ΠΡΑΚΤΙΚΑ

Τῶν Ἁγίων Κ' Οἰκουμενικῶν Συνόδων

ΤΟΜΟΣ Γ'



Ἔκδοσις
Καλύβης Τιμίου Προδρόμου
Ἱερᾶς Σκήτης Ἁγίας Ἄννης
Ἁγίου Ὄρους

ΤΩΝ ΙΕΡΩΝ ΣΥΝΟΔΩΝ

ΝΕΑ

ΚΑΙ ΔΑΨΙΛΕΣΤΑΤΗ ΣΥΛΛΟΓΗ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ. (ΜΕΡΟΣ Β΄)

ΑΠΟ ΕΤΟΥΣ ΧΡΙΣΤΟΥ 449. υμϑ΄. ΑΧΡΙ ΕΤΟΥΣ 1643. ᾳχμγ΄.

Ὁ παρών Τρίτος Τόμος τῶν «Πρακτικῶν τῶν Ἁγίων καί Οἰκουμενικῶν Συνόδων», ἐξετυπώθη εἰς τήν Θεσσαλονίκην τόν Αὔγουστον τοῦ 1986 μέ τήν λιθογραφική μέθοδο Foto - OFFSET, ἐπί χάρτου VELVET 105 Γραμμαρίων, μέ OFFSET A.B. DICK 375. Ἡ ἐκτύπωσις καί ἡ καλλιτεχνική ἐπιμέλεια ἔγινε ἀπό τόν Ἁγιορείτη Μοναχόν, Ὀνούφριον Ἁγιαννανίτην. Ἡ δέ βιβλιοδεσία εἰς τάς ἐγκαταστάσεις τῶν Ἀφῶν Βαρουσιάδη, τηλ. 839 414, εἰς τήν Θεσσαλονίκην.



Κεντρική Διάθεσις
ΑΓΙΟΝ ΟΡΟΣ: Θεόληπτος Μοναχός, Ἱ. Σκήτη Ἁγ. Ἄννης
GR- 630 87 Δάφνη. Τηλ. 0377 / 61.333.
ΑΘΗΝΑΙ: Σεργιάδης Γεώργιος, Μέτωνος 2, Τ.Κ. 104 36
Τηλ. 5244.711 - 5238.045

ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ



Εὐλογία καί χάριτι τοῦ Παναγάθου Θεοῦ ὡλοκληρώσαμεν διά τοῦ παρόντος τρίτου τόμου τήν ἔκδοσιν τῶν Πρακτικῶν τῶν Οἰκουμενικῶν Συνόδων τοῦ Ἀρχιμανδρίτου Σπυρίδωνος Μήλια. Καί εἰς τόν παρόντα τόμον, ὡς καί εἰς τούς δύο προηγουμένους τόμους, διετηρήσαμεν παραλλήλως πρός τήν νέαν ἀρίθμησιν τῶν σελίδων καί τήν παλαιάν, καί ἐμπλουτίσαμεν τόν τόμον διά διαφόρων εἰκόνων Βυζαντινῆς τέχνης, ὡς ἐπί τό πλεῖστον συναφῶν πρός τά ἐν αὐτῷ διαλαμβανόμενα.

Διά λόγους καθαρῶς τεχνικούς βιβλιοδεσίας, ἠναγκάσθημεν νά ἐπισυνάψωμεν εἰς τό παλαιόν κείμενον καί ἕν «Παράρτημα» μέ διάφορα σπουδαῖα Δογματικά κείμενα, τά ὁποῖα ἐλήφθησαν ἀπό τήν Ἑλληνική Πατρολογία τοῦ J.P. Migne, «Τά Δογματικά καί Συμβολικά Μνημεῖα τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας» τοῦ Ἰω. Καρμίρη, καί τά «Κείμενα Δογματικῆς καί Συμβολικῆς Θεολογίας τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας» τοῦ πρωτοπρ. Ἰω. Ρωμανίδου.

Οὕτω ὁ παρών τρίτος τόμος, ὅστις ἀποτελεῖται ἀπό τό δεύτερον ἥμισυ τῆς πρωτοτύπου ἐκδόσεως τοῦ Σπ. Μήλια, περιλαμβάνει τά τῆς Ἕκτης, Ἑβδόμης καί Ὀγδόης Οἰκουμενικῆς Συνόδου, τά τῆς ἐν Κων/πόλει Συνόδου τοῦ 1054, τόν Συνοδικόν Τόμον τῆς ἐν Κων/πόλει Συνόδου τοῦ 1351, τά τῆς ἐν Ἰασίῳ Συνόδου τοῦ 1642, τήν Ἐγκύκλιον τῆς ἐν Κων/πόλει Συνόδου τοῦ 1838 καί πλείστας ἄλλας Συνόδους.

Τά «Πρακτικά τῶν Οἰκουμενικῶν Συνόδων» ἐξεδόθησαν τότε, τῷ 1761, ὑπό τοῦ Σπ. Μήλια διά νά θρέψουν τούς ὑποδούλους Ρωμηούς μέ στερεάν τροφήν, διά νά ἔχουν τήν αἴσθησιν τῆς «Ἀληθείας» καί τῆς Καθολικῆς Ὀρθοδόξου Πίστεως, ὄχι εἰς ἕν ἐπίπεδον ὁμολογιακῆς διακηρύξεως, ἀλλ' εἰς ἕν ἐπίπεδον «γνώσεως» ζωῆς καί ἤθους, συνειδήσεως καί ταυτότητος μέ Ἐκεῖνον πού εἶπε, «Ἐγώ εἰμί ἡ Ἀλήθεια», καί ὄχι ἡ συνήθεια.

Τά «Πρακτικά τῶν Οἰκουμενικῶν Συνόδων» εἶναι ὅ,τι αὐθεντικώτερο ἔχει νά μᾶς προσφέρῃ ἡ Ὀρθόδοξος τοῦ Χριστοῦ Ἐκκλησία, εἶναι ἡ ὁμοφωνία τῶν Ἁγίων Πατέρων, ἡ συμφωνία τῆς Οἰκουμένης, ἡ λάμψις καί ἡ «ἀπόδειξις» τῆς Ἀληθείας, ἡ ἀλάθητος Ἐκκλησιαστική καί Καθολική Συνείδησις, εἶναι ὅ,τι «ἔδοξε τῷ Ἁγίῳ Πνεύματι» καί τοῖς Ἁγίοις.

Διό καί ἡ καθ' ἡμᾶς ἱερά ἀδελφότης προέβη εἰς τήν παροῦσαν ἐπανέκδοσιν, μή φεισθεῖσα πόνων καί κόπων, πιστεύοντες ὅτι τό παρόν ἔργον εἶναι εὐλογία Θεοῦ καί ὅτι θά θρέψῃ καί τώρα, ὅπως καί τότε, τόν Λαόν Του καί θά ἀποδώσῃ καρπόν πολύν καί βαρύν.

Ἐν τῇ Ἱερᾷ Σκήτει τῆς Ἁγ. Ἄννης
Κατά τό Σωτήριον ἔτος ᾳϡπς'

Ἔῤῥωσθε καί εὔχεσθε
Οἱ Ἐκδόται



Ἁγία Σοφία Κων/πόλεως. Ὁ Ἰησοῦς Χριστός ἐν μέσῳ τοῦ Κων/τίνου Μονομάχου καί τῆς Ζωῆς, 11ου αἰ.



Μ. Σινᾶ. Παναγία ἡ Ὁδηγήτρια, 12ου αἰ.



Πάτμος. Ἰησοῦς ὁ Παντοκράτωρ, 15ου αἰ.



ΙΣΤΟΡΙΑ

Μεγ. Λαύρα. Ἐπίτιτλον, (Εὐαγγελιστάριον Σκευοφυλακίου), Που αἰ.

ΤΗΣ ΕΝ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΤΟ ΤΡΙΤΟΝ

ΟΙΚΟΥΜΕΝΙΚΗΣ

ΕΚΤΗΣ ΑΓΙΑΣ

ΣΥΝΟΔΟΥ.

Κωνσταντῖνος Ἀπόγονος Ἡρακλείου βασιλεύσας, εὐφρόντισεν ἐπιμελῶς τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἑνώσεως, ὅθεν ἐκοινολογήσατο τὴν ὑπόθεσιν τῷ Κωνσταντινουπόλεως Θεοδώρῳ, καὶ τῷ Ἀντιοχείας μακαρίῳ, εἶτα ἔγραψε καὶ πρὸς τὸν μακάριον Δόνον Ῥώμης διὰ τὴν ἕνωσιν τῆς ἀνατολικῆς, καὶ Δυτικῆς Ἐκκλησίας. καὶ τὸν μὲν Ἀντιοχείας μακάριον, καίτοι αἱρεσιάρχην ὄντα, ἀφῆκεν ἵνα κριθῇ τὰ κατ' αὐτὸν ἐν τῇ οἰκουμενικῇ συνόδῳ, τὸν δὲ Κωνσταντινουπόλεως Θεόδωρον ὁρῶν συνευδοκοῦντα τῷ μακαρίῳ ἵνα ἐκβληθῇ τῶν διπτύχων ὁ ῥώμης Βιταλιανὸς ἀπέβαλε, καὶ προεβάλετο Πατριάρχην τὸν Γεώργιον, ἵνα ᾖ ὄργανον εὐσεβὲς ἐν τῷ θρόνῳ Κωνσταντινουπόλεως πρὸς κατόρθωσιν κανονικὴν τῆς οἰκουμενικῆς Συνόδου. ἡ μὲν οὖν σάκρα ἀπελθοῦσα εἰς ῥώμην, εὗρε τὸν Δόνον προκοιμηθέντα, πάπαν δὲ γεγονότα τὸν ἱερὸν Ἀγάθωνα. Ἐν τῇ σάκρᾳ αὐτοῦ ὁ βασιλεὺς πρὸς τὸν Πάπαν Δόνον λέγει. ἐθελησάντων τινῶν κίνησιν ποιήσασθαι περὶ τῶν φιλονεικουμένων ὑπὲρ τοῦ τῆς εὐσεβείας δόγματος μεταξὺ τοῦ μέρους τῆς τε καθ' ὑμᾶς ἁγιωτάτης Ἐκκλησίας, καὶ τῶν τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας καὶ ἀμφισβητῆσαι, διεκωλύσαμεν τοῦτο γενέσθαι, τοῦ καιροῦ μὴ ἐπιδεχομένου, γινώσκοντες ὡς ἀπὸ μερικῆς ἀμφισβητήσεως πρὸς οἷς ἕνωσιν γενέσθαι οὐκ ἐνεδέχετο, ἀλλὰ καὶ τὸ κακὸν ηὔξανε. καὶ, τηνικαῦτα παρασχεῖν ἡμῖν ἐπιτηδειότητα χρόνου πρὸς καθολικὴν συνάθροισιν τῶν ἀμφοτέρων θρόνων πρὸς τὸ κανονίζοντας αὐτοὺς τοὺς ὁρισμοὺς τῶν ἁγίων πέντε Συνόδων, καὶ τὰς ἐκθέσεις τῶν ἁγίων ἐγκρίτων πατέρων πληροφορίαν ἐμποιῆσαι αὐτοῖς, καὶ συνελθεῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν τὸ πάντιμον ὄνομα τοῦ Θεοῦ ἡμῶν. Καὶ, ἐπᾶν οὖν ὁ χρόνος οὐκ ἐπιδέχεται τελείαν συνάθροισιν γενέσθαι, προτρέπομεν τὴν ὑμετέραν πατρικὴν μακαριότητα διὰ τῆς παρούσης ἡμῶν εὐσεβοῦς Σάκρας στεῖλαι ἄνδρας χρησίμους τε καὶ ἐπιεικεῖς εἴδησιν ἔχοντας πάσης θεοπνεύστου γραφῆς, καὶ πείραν ἀνεπίληπτον κεκτημένους δογμάτων, ἐνδεδυμένους τὸ πρόσωπον τοῦ καθ' ὑμᾶς ἀποστολικοῦ θρόνου· καὶ, τὸ ἀσφαλὲς ἐχόντων τῶν καταλαμβανόντων ἐκ μέρους τοῦ καθ' ὑμᾶς ἀποστολικοῦ θρόνου διὰ τῆς παρούσης ἡμῶν εὐσεβοῦς σάκρας, μὰ τὸν γὰρ Θεὸν παντοκράτορα οὐκ ἔστι

παρ

ΚΛΕΙΣ

ΠΑΛΑΙΤΥΠΩΝ ΓΡΑΜΜΑΤΩΝ ΚΑΙ ΣΥΜΠΛΕΓΜΑΤΩΝ

Ὅσοι ἐκ τῶν ἀναγνωστῶν ἀντιμετωπίζουν δυσκολίας μέ τήν ἀνάγνωσιν τοῦ κειμένου τοῦ βιβλίου, παρακαλοῦνται νά συμβουλευθοῦν πρωτίστως τήν κατωτέρω κλεῖδα.

γὰρ = γάρ
γεν = γεν (μονογενὴς = μονογενής)
δια = δια (διασαπὲν = διασαπέν)
ἐν = ἐν (ἐννοιῶν = ἐννοιῶν)
ἐξ = ἐξ (ἐξωσμένον = ἐξωσμένον)
ἐπὶ = ἐπί
ἐστὶ = ἐστί
ευ = ευ (πνεύματος = πνεύματος)
ην = ην (γῆν = γῆν, ἦν = ἦν, τὴν = τήν)
καί = καί
καὶ = καί
καὶ = καί
κατὰ = κατά
μεν = μεν (δυνάμενος = δυνάμενος)
μετὰ = μετά
ος = ος (Παῦλος = Παῦλος)

ου = ου (θανάτου = θανάτου, οὖν = οὖν)
περὶ = περί
ρι = ρι (κύριος = κὺριος, περὶ = περί)
σθ = σθ (ἀσθενείας = ἀσθενείας)
σπ = σπ (σπορεὺς = σπορεύς)
σσ = σσ (ταράσσοντα = ταράσσοντα)
στ = στ (ἐστὶ = ἐστί)
χ = σχ (συχεθεὶς = συσχεθείς)
τὴν = τήν
τῆς = τῆς
τὸν = τόν
τρ = τρ (πατρὸς = πατρός)
τῶν = τῶν
τῶν = τῶν
υν = υν (δύναμιν = δύναμιν, οὖν = οὖν)
ὑπ = ὑπ (ὑπόστασιν = ὑπόστασιν)
χρ = χρ (χρεία = χρεία)



παρ' ἡμῖν ἑτερομέρησις οἱαδήποτε, ἀλλ' ἰσότητα τοῖς ἀμφοτέροις φυλάξομεν. καὶ, ὁ δόξαν ἡσας κινηθῆναι τὰ τοῦ κεφαλαίου ἐπὶ τοῦ παρόντος, ὀφλὰ τοῦ ἁγίου πνεύματος δόξαν ἔχει τοῦτον φανερωθῆναι τῇ ἀληθείαν, καὶ ἐπιστῆναι πάντας χωρὶς σχίσματος καὶ ἕρεσ τῇ ἀληθείᾳ. καὶ, πᾶσαν δὲ σύνδρασιν ἐκελεύσαμεν τοῖς ἐρχομένοις παρασχεῖν Θεόδωρον τὸν ἐνδοξότατον Πατείκιον καὶ Ἔξαρχον τῆς Ἰταλῶν ἡμῶν φιλοχείσου χώρας, εἴτε πλοῖον καὶ δαπάνας καὶ πᾶσαν χρείαν αὐτῷ, καὶ εἰ ἡ χρεία καλέσει, καὶ Καστελλάτους καράβους παρασχεθῆναι εἰς διάσωσιν αὐτῷ πρὸς ἡμᾶς. Ταῦτα ὁ βασιλεύς. ἀπῆλθεν οὖν ἡ σάκρα εἰς ῥώμην, καὶ εὗρεν, ὡς εἴρηται, τὸν Δόνον προκοιμηθέντα, πάπαν δὲ τὸν ὁσιώτατον Ἀγάθωνα. ὁ δὲ Ἀγάθων κατὰ τὴν πρὸς αὐτὸν βασιλικὴν κέλευσιν ἤθροισε σύνοδον ἐν Ῥώμῃ ἑκατὸν εἰκοσιεπτὰ Ἐπισκόπων, καὶ ἐπέμψεν εἰς Κωνσταντινούπολιν δύο ἐπιστολάς, τὴν μίαν αὐτὸς μόνος, τὴν δὲ ἑτέραν αὐτὸς καὶ ἡ σύνοδος αὐτοῦ, καὶ τοποτηρητὰς ἑαυτοῦ μὲν τρεῖς, Θεόδωρον καὶ Γεώργιον τοὺς ἱερεῖς, καὶ Ἰωάννην διάκονον, ἐκ προσώπου δὲ τῆς συνόδου αὐτοῦ, Ἰωάννην, Ἀβουνδάντιον, καὶ Ἰωάννην ἐπισκόπους ὁμοῦ μετὰ καὶ ἄλλων κληρικῶν καὶ μοναχῶν. Ἠθροίσθη ἡ σύνοδος αὕτη τῷ εἰκοστῷ ἑβδόμῳ ἔτει, εἰ καὶ ἐν τῇ δεκάτῃ ὀγδόῃ πράξει φαίνεται τῷ οἰκοστῷ ὀγδόῳ τῆς βασιλείας Κωνσαντίνου, καὶ μετὰ ἔτη δεκατρία τῆς ὑπατείας αὐτοῦ, τῇ ἑβδόμῃ τοῦ Νοεμβρίου, Ἰνδικτιῶνι ἑνάτῃ. Ἠθροίσθη δὲ εἰς τὸ βασιλικὸν παλάτιον εἰς τὸ σεκρέτον, Τροῦλλος λεγόμενον, κατὰ τὴν μονοθελητῶν, τὴν λεγόντων μὴ δύο φύσεις ἐπὶ Χριστοῦ, ἀλλὰ βλασφημούντων ἐν τῷ λέγειν ποτὲ μὲν μίαν ἐνέργειαν, ποτὲ δὲ μήτε μίαν, μήτε δύο, ἀλλά τινα σύμμικτον, θεανδρικὴν λεγομένην,

Ἐν ταύτῃ τῇ συνόδῳ προεκάθισεν ὁ Αὐτοκράτωρ Κωνσταντῖνος, καὶ ἡ περὶ αὐτὸν σύγκλητος ἐκάθισεν ἐκ πλαγίων αὐτοῦ. εἶτα εἰς τὸ ἀριστερὸν μέρος ἐκάθισαν οἱ Λεγᾶτοι τοῦ Πάπα καὶ οἱ ἐλθόντες ἐκ προσώπου τῆς συνόδου ῥώμης ἐπίσκοποι, καὶ Γεώργιος πρεσβύτερος μοναχὸς καὶ Λεγάτος Θεοδώρου τοῦ τοποτηρητοῦ τοῦ ἀποστολικοῦ θρόνου Ἱεροσολύμων, καὶ οἱ ἀπὸ ῥώμης λοιποί. εἰς δὲ τὸ δεξιὸν μέρος ἐκάθισαν ὁ Κωνσταντινουπόλεως Γεώργιος, ὁ Ἀντιοχείας μακάριος, καὶ Πέτρος πρεσβύτερος μοναχὸς καὶ Τοποτηρητὴς τοῦ Ἀλεξανδρείας, καὶ οἱ περὶ αὐτοὺς ἐπίσκοποι. εἶτα ἠγέρθησαν οἱ Λεγάτοι τοῦ Ῥώμης καὶ εἶπον, ἐπειδὴ καινοφωνίας εἰσήγαγον Σέργιος, Παῦλος, Πύῤῥος, Πέτρος, οἱ Κωνσταντινουπόλεως Πατριάρχαι, καὶ ὁ Ἀλεξανδρείας Κῦρος, καὶ Θεόδωρος ὁ φαρὰν καὶ τινες σὺν αὐτοῖς, οὐ θέλημα καὶ μίαν ἐνέργειαν λέγοντες ἐπὶ Χριστοῦ, ἀποδεξάτωσαν. εἶτα ἀπεκρίθησαν ὁ Ἀντιοχείας μακάριος, καὶ Στέφανος ὁ μαθητὴς αὐτοῦ καὶ ἄλλοι, ὅτι καινοφωνίας οὐκ εἰπομεν, ἀλλ' ἐκ τῆς πατέρων, καὶ λαβὼν ὁ στέφανος τῆς τρίτης συνόδου τὰ πρακτικὰ, ἐνόμισεν εἰπεῖν τι, ἀλλ' ἐφάνη λίαν ματαιόφρων. ἀλλὰ καὶ εἰς τὴν δευτέραν πρᾶξιν τὸ προστεθὲν ὑπὸ τῶν αἱρετικῶν τούτων ἀπὸ τῆς τετάρτης συνόδου ἀπὸ τοῦ τόμου Λέοντος τῇ ἀσεβείᾳ συνῆσαι· καὶ ἀπὸ τῆς πέμπτης προεβάλοντο ὁ μακάριος καὶ οἱ ὀπαδοὶ αὐτοῦ ἐπιστολὴν ἣν ἔστειλεν ὁ Κωνσταντινουπόλεως μηνᾶς πρὸς τὸν ῥώμης Βιγίλιον, ἀλλ' διρέθη πλαστὴ καὶ ψευδεπίπλαστος. ἀλλ' οὔτε ἀπὸ τῆς πέμπτης συνόδου τοιοῦτόν τι ἀποδεῖξαι ἐδυνήθησαν ὡς εἶπον, καὶ ἐζητήθη ἀναγνωσθῆναι τὰς ἐπιστολὰς τοῦ Ῥώμης Ἀγάθωνος. εἰς δὲ τὴν ὀγδόην πρᾶξιν ἠγέρθη ὁ μελιτιμῆς Θεόδωρος καὶ ἔδωκε χάρτην, ἐν ᾧ ἔλεγεν, ὥσπερ ἡ πέμπτη σύνοδος ἐδογμάτισε τὸν Χριστὸν ἐκ δύο φύσεων καὶ ἐν δυσὶ φύσεσιν, οὕτω πιστεύω καὶ τὸν αὐτὸν ποιεῖν καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα· καὶ ἐρωτηθεὶς εἶπε τοὺς ὀπαδοὺς αὐτοῦ, ἐκεῖνοι δὲ ἠρνήσαντο. δέεται δὲ τοῦ βασιλέως ὁ Κωνσταντινουπόλεως τεθῆναι ἐν τοῖς Διπτύχοις τὸν Βιταλιανὸν ῥώμης, ἐκβληθέντα διὰ αἰτίας τοῦ Ἀντιοχείας, καὶ εἰσακούεται δεύτερος, καὶ ἡ σύνοδος πολυχρονίζει τὸν βασιλέα, καὶ τὸν Ἀγάθωνα, καὶ τὸν Κωνσταντινουπόλεως, καὶ τὴν σύγκλητον. συνεφώνησαν ὅμως καὶ οἱ ἀπὸ τὸν Ἀντιοχείας ἐπίσκοποι τῷ τε Κωνσταντινουπόλεως, καὶ τῷ Ῥώμης. ὁ δὲ Ἀντιοχείας μακάριος ἔδωκε τὴν ὁμολογίαν τῆς πίστεως αὐτοῦ, καὶ ἐφάνη ἐς τὰ μάλιστα βλάσφημος, παρέθεντο δὲ καὶ τὰς χρήσεις τῆς πατέρων, ἃς προέβαλε, τοῖς αὐθεντικοῖς βιβλίοις, καὶ διρέθησαν χολοβαὶ καὶ ἀποκεκομμέναι, διελέχθη καὶ τῷ στόματι, καὶ ἐφάνη ψάλτης καὶ ἀχρεῖος. τὰ αὐτὰ γεγόνασι καὶ εἰς τὴν ἑνάτην πρᾶξιν, διά τοι τοῦτο καὶ μακάριος, καὶ στέφανος ὁ μαθητὴς καθαιροῦνται καὶ διώκονται. εἰς δὲ τὴν δεκάτην πρᾶξιν ἀνεγνώσθησαν εἰς πλάτος αἱ χρήσεις τῆς ἐγκειτῶν πατέρων Λέοντος, Ἀμβροσίου, Χρυσοστόμου, Ἀθανασίου, Νύσσης, Κυρίλλου, Ἐπιφανίου, Ναζιανζηνοῦ, Αὐγουστίνου, Ἰουστίνου, Ἰουστινιανοῦ βασιλέως, Ἐφραὶμ καὶ Ἀναστασίου Ἀντιοχείας, Ἰωάννου ἐπισκόπου Σκυθοπόλεως, αἵτινες, εἰς εἴρηται, ἐστάλησαν παρὰ Ἀγάθωνος, καὶ παρεβλήθησαν τοῖς πρωτοτύποις. ἀνεγνώσθησαν οὖν αὗται, καὶ διρέθησαν σωιστῶσαι τὸ ἅγιον Δόγμα· ἀνεγνώσθησαν καὶ χρήσεις τῶν αἱρετικῶν βλασφημοῦσαι, καὶ ἐγνώσθη ἐκ τῆς ἁγίων ἡ ἀλή-

ἡ ἀληθεια σωιστομβύη , ηαὶ ἐκ τῆς βεβήλων ἀντιλεγομένη . εἰς δὲ τὴ ςδεκάτῃ πράξιν ἀνεγνώσθη ἡ σωοδικὴ ἐπιστολὴ τοῦ Ἱεροσολύμων Σωφρονίου , ἡ σταλεῖσα πρὸς Σέργιον τὸν Κωνσταντινουπόλεως , ηαὶ ἐφάνη ηαὶ ἐξ αὐτοῦ ἡ τῆς ἀληθείας ὑπεροχή . ἀφῆκε δὲ ὁ βασιλεὺς τινὰς ἄρχοντας συμπαρεῖναι τῇ Σωόδῳ , διότι εἶχε πολιτικὰς φροντίδας . Εἰς τὴ ςδεκάτῃ πράξιν ἔδωκεν ὁ βασιλεὺς λίβελλον , ὃν αὐτῷ ἔδωκεν ὁ μακάριος ἵνα ἀναγνωσθῇ ἐν τῇ σωόδῳ , ηαὶ ἀνεγνώσθη . ἦσαν δὲ τρία κῳδίκια ἐν τῷ δοθέντι Λιβέλλῳ , ἔχοντα μαρτυρίας αἱρετικῶν περὶ τῆς αἱρέσεως αὐτοῦ . ηαὶ εἰς τὴ δωδεκάτῃ πράξιν παρῳράθησαν . ἀνεγνώσθη δὲ ἡ ἐπιστολὴ Σεργίου Κωνσταντινουπόλεως πρὸς τὸν Φάσιδον Κῦρον περιεχομένη ἐν τῷ Κῳδικίῳ , ηαὶ προσέτι ἐπιστολὴ τοῦ μιᾶς πρὸς Βιγίλιον , ἀλλ' αὕτη δίρέθη πλαστή . ηαὶ προσέτι ἀνεγνώσθησαν ἡ ἑβδόμη ηαὶ ἡ ὀγδόη αἱ πράξεις τῆς πέμπτης σωόδου . ἀλλὰ ηαὶ ἡ ἑβδόμη δίρέθη φαύλη ηαὶ πλαστὴ , ὅτι οἱ λίβελλοι πρὸς Ἰουστινιανὸν ηαὶ Θεοδώραν ἦσαν πλαστοί . ἀνεγνώσθη δὲ ηαὶ ἕτερον κῳδίκιον Σεργίου πρὸς Ὀνώριον Ῥώμης , ηαὶ ἕτερον τοῦ Ὀνωρίου Ῥώμης πρὸς Σέργιον , ηαὶ δίρέθησαν ηαὶ εἰς τὸν κῳδικα τοῦ Πατριαρχίου Κωνσταντινουπόλεως . εἰς δὲ τὴ δεκάτῃ τρίτῃ πράξιν καταχέωνται Σέργιος , Πύῤῥος , Παῦλος , Πέτρος Κωνσταντινουπόλεως Παξιάρχαι , Κῦρος Ἀλεξανδρείας ηαὶ Θεόδωρος Φαρὰν , ηαὶ ὁ Ῥώμης Ὀνώριος , ηαὶ ἐπαινεῖται ἡ ἐπιστολὴ τοῦ Ἱεροσολύμων Σωφρονίου , ἣν ἀπέστειλε πρὸς τὸν Κωνσταντινουπόλεως Σέργιον , ἀλλὰ δὴ ηαὶ πρὸς τὸν Ῥώμης Ὀνώριον . ηαὶ ἐξετάζονται τὰ συγγράμματα τῆς εἰρημένων αἱρετικῶν , ηαὶ δείσκονται πάσης αἱρέσεως μεστά . ἐξετάζονται δὲ ηαὶ τὰ συνοδικὰ Θωμᾶ , Ἰωάννου ηαὶ Κωνσταντίνου τῆς Κωνσταντινουπόλεως Παξιαρχῶν , ηαὶ δείσκονται ὀρθόδοξοι . ἀνεγνώσθη δὲ αὖθις ἡ τοῦ Ὀνωρίου πρὸς Σέργιον ἐπιστολὴ , ἐν ᾗ περὶ τοῦ Ἱεροσολύμων Σωφρονίου λέγει , ἵνα προτρέψῃ αὐτὸν μὴ λέγειν δύο ἐνεργείας , τὸν δὲ Κῦρον μὴ λέγειν μίαν , ἀλλὰ λέγειν ὅτι ὁ εἷς Χριστὸς ἐνεργεῖ ἐν ἑκατέραις ταῖς φύσεσιν . εἰς δὲ τὴ δεκάτῃ τετάρτῃ πράξιν ηαὶ οἱ ἐπίσκοποι Κύπρου χρήσεις ἁγίων ἔφερον , αἵτινες ηαὶ ἀνεγνώσθησαν , ηαὶ δίρέθησαν σύμφωνοι τῇ δόξῃ τῆς καθολικῆς ἐκκλησίας . Εἰς δὲ τὴ δεκάτῃ πέμπτῃ πράξιν ὁ μαθητὴς μακαρίου τὸ κακὸν ἀγγελεῖον , (φημὶ) ὁ πολυχρόνιος , ἔφερε χάρτῃ τῆς αἱρέσεως αὐτοῦ ὡς πρὸς τὸν βασιλέα Γεγραμμένον , ηαὶ εἶπε τῇ συνόδῳ , ἐπιθεῖναι αὐτὸν νεκρῷ ηαὶ ἐγερθῆναι . εἶπε δεύτερον , ὅτι εἶδε πλῆθος ἀνδρῶν λαλχειμονούντων . ηαὶ ἐν μέσῳ αὐτῆς ἄνδρα θαυμάσιον , εἰπόντα αὐτῷ , σπεῦσον ἐπὶ τῷ βασιλεῖ νέαν πίστιν μὴ ποιῆσαι , μήτε καταδέξασθαι . εἶπε τρίτον , ὅτι ἐλθὼν ἀπὸ Ἡράκλειας εἰς χρυσόπολιν , εἶδεν ἄνδρα λαλχειμονοῦντα πάνυ φοβερόν , ηαὶ εἶπεν αὐτῷ ἐκεῖνος , ὁ μὴ ὁμολογῶν ἐν θέλημα ηαὶ θεανδρικὴν ἐνέργειαν , οὐκ ἔστι Χριστιανός , ηαὶ αὐτὸς εἶπε πρὸς τὸν ὀφθέντα , ηαὶ ὁ βασιλεὺς Κωνσταντῖνος οὕτω προώρισε , ηαὶ ἀπεκρίθη αὐτῷ ἐκεῖνος , πάνυ καλῶς . εἶτα ἐξῆλθον οἱ ἄρχοντες ηαὶ ὅλη ἡ σωόδος , εἰς τὸ μεσαύλιον τοῦ δημοσίου λουτροῦ τοῦ Ζευξίππου , παρόντος ηαὶ πολλοῦ πλήθους λαοῦ , ὅπου ἔκειτο νεκρός τις , ηαὶ ἐφέθηκεν ὁ πολυχρόνιος τὸν χάρτῃ αὐτοῦ ἐπὶ τὸν νεκρὸν , ηαὶ ἐπιψιθυρίσας αὐτῷ πολὺ , εἶπεν , οὐ δυάμαι ἐγεῖραι . ὁ οὖν ἐστὼς λαὸς ἐβόησε , τῷ νέφ σίμωνι ἀνάθεμα , πολυχρονίῳ τῷ λαοπλάνῳ ἀνάθεμα . εἶτα μείναντι εἰς τὴ πεισμονῇ , ἡ σύνοδος ἀπεφήνατο , Μακαρίῳ , Στεφάνῳ ηαὶ Πολυχρονίῳ ἀνάθεμα , ἡ τρεῖς τοὺς τρεῖς ηαθεῖλεν . εἰς δὲ τὴ δεκάτῃ ἕκτῃ πράξιν ἐφάνη ηαίτις Κωνσταντῖνος ὡς ὁ Πολυχρόνιος . Πολυχρονίζεται ὁ βασιλεύς , οἱ ἄρχοντες , ὁ Ῥώμης , ὁ Κωνσταντινουπόλεως , ὁ Ἀντιοχείας Θεοφάνης , ηαὶ ἡ Σωόδος . ἀναθεματίζεται δὲ Σέργιος , Κῦρος , Πύῤῥος , ηαὶ οἱ ὀπαδοὶ αὐτῆς . Εἰς δὲ τὴ δεκάτῃ ὀγδόῃ πράξιν ἐφάνισαν εἰς τὸ τέλος τῆς συνάξεως τῆς ἐπισκόπων Ἰορδάνης , ηαὶ Πολυχρόνιος μοναχοὶ ηαὶ πρεσβυτέροι , ἀποχειροτόνητοι τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀναστάσεως πόλεως Ἱεροσολύμων . ἐξεφωνήθη ὁ ὅρος τῆς ἁγίας Συνόδου , διορίζων τὰ δύο φυσικὰ τοῦ σωτῆρος θελήματα , ηαὶ τὰς δύο ἐνεργείας , ηαὶ ὑπογράφουσι ηατὰ τάξιν οἱ πατέρες , ηαὶ τέλος πάντων ὁ βασιλεύς . εἶτα ἐρωτᾷ ὁ βασιλεὺς τὴ σύνοδον , εἰ συναινέσει πάντων ὁ ὅρος ἐξεφωνήθη , ηαὶ εἶπον , Ναί . ἔπειτα ἐπολυχρόνισαν τὸν βασιλέα , ηαὶ ἀνεθεμάτισαν τοὺς αἱρετικοὺς ηατ' ὄνομα . πρὸς τούτοις ὁ βασιλεὺς εἶπε τὴ προθυμίαν τοῦ ἐποίησεν ἵνα γένηται ἡ σωόδος , ηαὶ ὅτι χρήσεται εἰς τοῦ Θεοῦ τὸ χρήσιμον μετὰ τῆς πατέρων , εἰ ἐστί τί ἐλλιπές , ἢ ἀνεξέτασταν ηαὶ παρεσιώπησαν αὐτό . ἡ σωόδος ἐπολυχρόνισεν αὐτὸν , ηαὶ ὁ βασιλεὺς ἐπήνεσεν αὐτούς , ηαὶ ἐχαρίστησεν ἕνεκεν τοῦ πόνου αὐτῆς . εἶτα ἀνεγνώσθη ὁ προσφωνητικὸς εἰς τὸν βασιλέα , ηαὶ ὁ ηαταχειρισθεὶς πρότερον ὁ Σαρδινείας Κιτωνᾶτος ἀθωοῦται . δέεται ἡ σωόδος ἵνα ὁ ὅρος ὑπογεγραμμένος ὑπὸ τοῦ βασιλέως στα-

στηλῆ εἰς τοὺς πάντε Πατριαρχικοὺς θρόνους, καὶ γίνεται. γράφει ἡ σωόδος ἐπιστολὴ εἰς τὸν Ρ'ώμης Α'γάθωνα· γράφει ὁ βασιλεὺς ἤδικτον, καὶ βάλλει αὐτὸν εἰς τὸν τεῖτον νάρθηκα τῆς μεγάλης ἐκκλησίας, ὅπου ποτὲ ὁ Σέργιος, καὶ Πύῤῥος, καὶ Παῦλος ἐκρέμασαν τὴν ἔκθεσιν καὶ τὸν τύπον τῆς ἀνομίας. γράφει καὶ σάκραν εἰς τὸν Ρ'ώμης, καὶ δευτέραν εἰς τὴν Σωόδον Ρ'ώμης, καὶ τελειοῦται ἡ Σύνοδος.

Σ. Ι. Μ.



Μεγ. Λαύρα. Ἡ Μεταμόρφωσις, Θεοφάνους τοῦ Κρητός, 16ου αἰ.



Arbanasi Βουλγαρίας. 'Η Στ' Οἰκουμενική Σύνοδος, 17ου αἰ.



Ἅγ. Νικόλαος Ὀρφανός. Ἅγ. Γεώργιος Κων/πόλεως, 14ου αἰ.

Η' Α'ΓΙ'Α ΚΑΙ' ΟΙ'ΚΟΥΜΕΝΙΚΗ'

Ε'ΚΤΗ ΣΥ'ΝΟΔΟΣ,

ΤΡΙ'ΤΗ

ΤΩ͂Ν Ε'Ν ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟ'ΛΕΙ.

Χρόνοι ἀπὸ Χριστ. 680.

ΘΕΙ'Α ΣΑ'ΚΡΑ Καταπεμφθεῖσα πρὸς Δόμνον τὸν ἁγιώτατον πάπαν τῆς πρεσβυτέρας Ρ'ώμης, ἀποδοθεῖσα δὲ Ἀγάθωνι τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πάπᾳ Ἰῆς αὐτῆς πρεσβυτέρας Ρ'ώμης, διὰ τὸ τὸν αὐτὸν Δόμνον τῆ παρόντος μετασχεῖν βίᾳ.

Η ΕΠΙΓΡΑΦΗ ΤΗΣ ΣΑΚΡΑΣ.

Ε'ν ὀνόματι τῆ κυρίᾳ καὶ δεσπότᾳ Ἰησῆ Χριστῆ καὶ σωτῆρος ἡμῶν, αὐτοκράτωρ Φλάβιος Κωνσταντῖν⟨ος⟩, πιστὸς, μέγας βασιλεύς. Σάκρα Δόμνῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς πρεσβυτέρας Ρώμης, καὶ οἰκουμενικῷ πάπᾳ.

ΠΑ'ντως ἐπίσαται καὶ ἡ ὑμετέρα παξικὴ μακαριότης, καὶ πλεῖσοι τῶν τῆς καθ' ὑμᾶς ἁγιωτάτης ἐκκλησίας τῆς πρεσβυτέρας ὑμῶν Ρώμης, ὡς ἀφ' ἅπερ ἐκέλευσεν ὁ Θεὸς αὐτοκρατορικῶς βασιλεύειν ἡμᾶς, πολλάκις ἐθελησάντων τινῶν κίνησιν ποιήσασθαι περὶ τῆς φιλονεικουμένων ῥημάτων ὑπὲρ τῆ τῆς ἀσεβείας δόγματος, μετιξὺ τῆ μέρους τῆς τε καθ' ὑμᾶς ἁγιωτάτης ἐκκλησίας, καὶ τῆς τῆς ἐνταῦθα ἁγιωτάτης τῆ Θεῆ μεγάλης ἐκκλησίας, καὶ ἀμφισβητῆσαι, διεκωλύσαμεν τῆτο γενέσθαι, τῆ καιρῆ μὴ ἐπιδεχομένης· γινώσκοντες, ὡς ἀπὸ μερικῆς ἀμφισβητήσεως, πρὸς οἷς εἶπεν γενέσθαι οὐκ ἐνεδέχετο, ἀλλὰ ⟨τὸ⟩ κακὸν ηὔξανε. καὶ κἂν εἰ τινὶ ψυχῇ ὠδυνώμεθα ὑπὲρ πᾶσαν ὀδύνην, διά τε τὸν γινόμενον περὶ τάτε ἐνειδισμὸν ἐκ τῆς ἐχθρῶν, καὶ δι' αἰτίαν τὴν ἀληθειαν, τῆς τῆς καθ' ὑμᾶς ἀρχιερεῖς, καὶ τὸν ὀρθόδοξον ἡμῶν λαὸν διά τινας καινοφωνίας χίσματι περιπεσεῖν, καὶ τῆτο ἐπίχαρμα γενέσθαι τοῖς τε ἀσεβέσι, καὶ αἱρετικοῖς. ἀλλ' οὖν ἀποδεδώκαμεν τῷ Θεῷ ἡμῶν, αὐτῆ τὰ κρείττονα περὶ ἡμῶν προνοουμένῃ, καὶ καθ' ὃν κελεύσει ἡ αὐτῆ ἀγαθότης καιρόν τι τῆ κεφαλαίᾳ κατορθωθῆναι, τιμικαῦτι παραχεῖν ἡμῖν ἐπιτηδειότητι χρόνῳ πρὸς καθολικὴν συνάθροισιν τῆς ἀμφοτέρων θρόνων, πρὸς τὸ κανονίζοντας αὐτὰς τὰς ὁρισμὰς τῆς ἁγίων πάντε συνόδων, καὶ τὰς ἐκθέσεις τῆς ἁγίων ἐγκείτων πατέρων, πληροφορίαν ἐμποιῆσαι αὐτοῖς, καὶ συνελθεῖν ἐν ἑνὶ σώματι, καὶ μιᾷ καρδίᾳ δοξάζειν τὸ πάντιμον ὄνομα τῆ Θεῆ ἡμῶν. ἀλλ' ἐπεὶ ὡς ἄνθρωποι βαλλόμεθα, ὡς δὲ κελεύει ὁ Θεὸς πάντα ἀποτελεῖ· αὐτὸς γὰρ ἐπίσαται τὰ μέλλοντι, ⟨καὶ⟩ τὶ συμφέροντα ἡμῖν, ὅτως δύνοκεῖ ἀποτελεῖν. ἐν εἰδήσει ποιώμεθα τινὶ ὑμετέραν πατρικὴν μακαριότητα, ὡς προχειρισθεὶς Θεόδωρ⟨ος⟩ ὁ ἁγιώτατ⟨ος⟩ καὶ μακαριω-



Μ. Διονυσίου. ' Η Προσευχή τοῦ ' Ιησοῦ Χριστοῦ ἐν τῇ Γεσθημανῇ, (Κῶδ. 587 μ.), 11ου αἰ.

εωτατος παξιάρχης τῆς θεοφυλάκτυ ἡμῶν ταύτης καὶ βασιλίδος πόλεως, ἀνήγαγε τῇ ἡμετέρα γαλιλήᾳ, καὶ ὑφορᾶσθαι αὐτὸν σεῖλαι τὰ πρὸς σωτηθειαν σωσοδικὰ πρὸς τὴν ὑμετέραν παξικλὴν μακαριότητα, μήπως ἀπροσδεκτα γένωνται, καθὼς καὶ τὰ ἐπὶ τοῦ πρὸ αὐτοῦ παξιαρχῶν γεγόνασιν· ἀλλ' ὅτι μᾶλλον σωσεῖδε προσεπτικῇ ἐπισολῇ χρήσαθαι πρὸς τὴν ὑμετέραν παξικλὴν μακαριότητα, ὧτινα καὶ ἔσειλε, καὶ ταύτης ἂν εἰδήσει πάντως γένοιτο ἡ ὑμετέρα παξικὴ μακαριότης. καὶ ὁ σωσέδομεν διὰ τῆς παρύσης ἡμῶν δυσεβοῦς σάκρας περὶ τῆς τοιαύτης ἐπισολῆς πολυλογίαν χρήσαθαι. μὴ ἦν τὸ τὴν τοιαύτην ἐπισολὴν σαλεῦσαι πρὸς τὴν ὑμετέραν παξικλὴν μακαριότητα, ἠρωτήσαμεν τὸν τε αὐτὸν ἁγιώτατον καὶ μακαριώτατον πατριάρχην, καὶ Μακάριον τῆς Θεσπολιτῶν πόλεως. τίς ἡ δυσχέρεια ἡ προβαίνουσα μεταξὺ τῆς ὑμετέρας παξικῆς μακαριότητος, ἤγουν τοῦ καθ' ὑμᾶς ἀποσολικοῦ θρόνου, καὶ αὐτῶν. ἤδη τετελεσμένων πάντων ὄντων περὶ τῆς ἀμωμήτου ἡμῶν καὶ ἀπαρασαλεύτου τῶν Χερσιανῶν πίσεως διὰ τῆς διδασκαλίας τῶν ἁγίων ἀποσόλων, διά τε τῶν ἐνθέσεων τῶν ἁγίων πέντε σωσόδων, καὶ τῆς διδασκαλίας τῶν ἁγίων ἐγκείτων πατέρων, καὶ πασῶν τῶν αἱρέσεων ἤδη καὶ τηλαυγηθεισῶν καὶ καταργηθεισῶν, καὶ μηκέτι ὑπεῖναι ξόπον δυναμένον παρασπασμὸν, ἢ χίσμα τῇ ἁγίᾳ καὶ ἀμωμήτῳ ἡμῶν περιποιῆσαι πίσει. καὶ ἀπελογήσαντο ἡμῖν οἱ αὐτοὶ ἁγιώτατοι πατριάρχαι, ὡς ῥήματά τινα ηθνοφωνιῶν εἰσήχθησαν, τινῶν μὴ ἐξ ἀνειδησίας ταῦτα εἰσαγαγόντων, ἑτέρων δὲ παρὰ τὸ προσῆκον ἐπεξεργαζομένων τὰ ἀκατάληπτα ἔργα τοῦ Θεοῦ. καὶ ὅτι ἀφ' οὗ ταῦτα ἤρξαντο κινεῖσθαι τὰ ῥήματα καὶ μέχρι τοῦ παρόντος σωέλευσις μεταξὺ τῶν δύο θρόνων ὁ γέγονεν, ἵνα ἐκζητοῦντες, πληροφορίαν ἑαυτοῖς εἰσαγάγωσι τῆς ἀληθείας. διὰ οὖν οἰκτρὰ ζητήματα, μὴ γένοιτο ἀτέλεστος ἡ ἐρεχελία, μὴ ἐπιχαρῶσιν ἡμῖν οἱ Ἕλληνες, καὶ οἱ αἱρετικοί· μὴ λάβωσι χώραν ἕως τοῦ παντὸς τὰ σπέρματα τοῦ ἐναντίου εἰς ἡμᾶς. ἐκπεσὸν γὰρ ἐκ τῆς ἀνθρωπότητος τῆς λατρείας αὐτῷ, καὶ καταισχυνθεὶς τῇ ἐπιφανείᾳ τοῦ Θεοῦ ἡμῶν, ἐν τέλῳ ἄρτι ὑπάγεται ταῦτα πρὸς παραμυθίαν ἑαυτοῦ ποιῶν. ἀλλὰ τῇ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ ἐν τούτοις κατηχώμεθα διὰ τῆς σπουδῆς τῆς ὑμετέρας πατρικῆς μακαριότητος· καὶ κατὰ τὸ εἰρημένον, ἀποτιθεμένων ἡμῶν πάντα ζῆλον καὶ πᾶσαν ἔριδα καὶ πάντα φθόνον τῇ ἀληθείᾳ συνδράμωμεν· ἡ γὰρ ἀλήθεια ἠγαπημένη ἐστὶ τῷ Θεῷ. καὶ κατὰ τὴν τοῦ κυρίου φωνὴν, ὅστις θέλει πάντων πρῶτος εἶναι, ἔσω πάντων διάκονος. καὶ πάλιν εἴρηται. ὅτι ἐν τούτῳ γνώσονται, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐν τῷ ἀγαπᾶν ὑμᾶς ἀλλήλους. ἐπὰν οὖν ὁ χρόνος οὐκ ἐπιδέχεται τελείαν συνάθροισιν γένεσθαι, προτρέπομεν τὴν ὑμετέραν πατρικὴν μακαριότητα διὰ τῆς παρύσης ἡμῶν δυσεβοῦς σάκρας σεῖλαι ἄνδρας χρησίμους τε καὶ ἐπιεικεῖς, εἰδησιν ἔχοντας πάσης θεοπνεύστου γραφῆς, καὶ πεῖραν ἀνεπίληπτον κεκτημένους δογμάτων, ἐνδεδυμένους τὸ πρόσωπον τοῦ καθ' ὑμᾶς ἀποσολικοῦ θρόνου καὶ τῆς συνόδου αὐτοῦ, ἐπιφερομένους καὶ τὰς βίβλους ἃς δέον ἐστὶ προαχθῆναι, καὶ πᾶσαν αὐθεντίαν ἔχοντας, πρὸς τὸ διορισθέντας μὴ τῶν ἐνταῦθα, τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου, καὶ Μακαρίου τοῦ ἁγιωτάτου πατριάρχου Θεσπόλεως, ἀνερωτῆσαι μὴ πάσης πραότητος καὶ ἐπιεικείας, καὶ τῇ χάριτι τοῦ ἁγίου πνεύματος τῇ ἀληθείᾳ ἐπισῆναί τε, καὶ πεισθῆναι, τὸ ἀσφαλὲς ἐχόντων τῶν καταλαμβανόντων ἐκ μέρους τοῦ καθ' ὑμᾶς ἀποσολικοῦ θρόνου διὰ τῆς παρούσης ἡμῶν δυσεβοῦς σάκρας. μὰ τὸν γὰρ Θεὸν παντοκράτορα, οὐκ ἔστι παρ' ἡμῖν ἑτερομέρησις οἱαδήποτε, ἀλλ' ἰσότητα τοῖς ἀμφοτέροις φυλάξομεν, μηδόλως ὑπαναγκάζοντες, ἐν οἱῳδήποτε κεφαλαίῳ τοὺς σελλομένους παρ' ἡμῶν ἔν τινι, ἀλλὰ πάσης τιμῆς μὴ καὶ τῆς δεούσης δορυφορίας καὶ ἀποδοχῆς ἀξιώσομεν αὐτούς. καὶ εἰ μὴ συμβιβασθῶσιν ἀμφότερα τὰ μέρη, ἰδοὺ καὶ καλῶς· εἰ δὲ μὴ συμβιβασθῶσι, πάλιν μὴ πάσης δίλαβείας ἀποσέλλομεν αὐτοὺς πρὸς ὑμᾶς. μὴ ταῦτα ὑπεξερχομένων ἡμῶν τὸ κρίμα τοῦ Θεοῦ τὸ ἐπικείμενον ἡμῖν, πρὸς ὃ ὡρίσθημεν φυλάττειν ἣν παρελάβομεν ἁγίαν καὶ ἀμώμητον πίσιν, ἑκάστῳ τῷ ἰδίῳ νοΐ πληροφορουμένῳ καὶ μέλλοντος ἀπολογεῖσθαι ἐπὶ τοῦ ἁγίου καὶ φοβεροῦ βήματος τοῦ Θεοῦ ἡμῶν. προτρέπεσθαι γὰρ καὶ παρακαλεῖν δυνάμεθα ἐπὶ πάσῃ κατορθώσει τε καὶ σώσει πάντων τῶν Χερσιανῶν, καταναγκάζειν δὲ ὑδαμῶς βουλόμεθα. τὰ δὲ σελλόμενα παρὰ τῆς ὑμετέρας πατρικῆς μακαριότητος πρόσωπα ὅτως ὁρίσει· ἐκ μὲν τῆς καθ' ὑμᾶς ἁγιωτάτης ἐκκλησίας, εἰ μὲν ἀρέσκει αὐτῇ, ἐν τρισὶ προσώποις ἀρκεσθῆναι. ἐπεὶ καὶ πλείονας ὅσους ἀρέσκει αὐτῇ, ἐκπέμψει· ἐκ δὲ τῆς σωσόδου ἕως δεκαδύο μητροπολιτῶν τε καὶ ἐπισκόπων· ἐκ δὲ τῶν τεσσάρων Βυζαντίων μοναστηρίων ἐξ ἑκάστου μοναστηρίου ἀβδάδας τέσσαρας. εἰ γὰρ ἐπεδέχετο ὁ χρόνος ὡς προείρηται, καὶ τελείαν συνάθροισιν εἴχομεν παρασκευάσαι γενέσθαι. ἀλλ' ἐπειδὴ ὁ χρόνος οὐκ ἐπιδέχεται, ὁ δὲ Θεὸς ἡμῶν τῇ ἰδίᾳ βουλήσει προήγαγεν, ὅπερ ἡμεῖς ὑπερετιθέμεθα, ἐν τῷ χρόνῳ τούτῳ πάντως κελεύομεν τὴν ὑμετέραν πατρικὴν μακαριότητα μὴ χρῆσθαι παρέμποδον τοῦ θελήματος τοῦ Θεοῦ, ἀλλὰ τούτους ἀποσεῖλαι· οὕτω γὰρ ἐλπίζομεν εἰς τὴν αὐτοῦ ἀγαθότητα, ὅτι ὁ δόξαντας κινηθῆναι τὰ τοῦ κεφαλαίου ἐπὶ τοῦ παρόντος, διὰ τοῦ ἁγίου πνεύματος δόξαντας ἔχει, τούτους φανερωθῆναι τὴν ἀλήθειαν. καὶ ἐπισῆναι πάντας χωρὶς χίσματος καὶ ἕως τῇ ἀληθείᾳ, καὶ ἐν σὶ σώματι καὶ μιᾷ καρδίᾳ ἀνυμνεῖν πάντας ἡμᾶς τὴν αὐτοῦ ἀγαθότητα. παρασιωπῆσαι γὰρ αὐτὸ, φοβερὸν ἡγησάμεθα· πρὸς τὸ μὴ τὸν λαὸν τὸν προσερχόμενον ἁγιασθῆναι ἐν ταῖς ἁγιω-

Ματθ. 22.

Ιωάν. 13.

ἁγιωτάταις τȣ̃ Θεȣ̃ καθολικαῖς ϗ ἀποστολικαῖς ἐκκλησίαις, ἐναντίαις ἐμφιλοχωρεῖν ἐννοίαις, θεωρȣ̃ντας τὴν πρὸς ἀλλήλȣς τῶν ἀρχιερέων διάστασιν. πολὴν γὰρ ἔνστασιν ἡμῖν ἐπόρισαν ὅ τε ἁγιώτατος καὶ μακαριώτατος τῶν ἐνταῦθα πατριάρχης, ϗ Μακάριος ὁ ἁγιώτατος πατριάρχης Θεȣπόλεως ἐκβαλεῖν Βιταλιανὸν τὸν μακαριώτατον ἐκ τῶν διπτύχων, φάσκοντες Ονώριον μνημονεύεσθαι ἐν τοῖς διπτύχοις διὰ τὴν τιμὴν τȣ̃ ἀποστολικȣ̃ θρόνȣ τῆς πρεσβυτέρας Ρώμης· ἐπεὶ μὴ καταδέχεσθαι τȣ̀ς μετὰ ταῦτα πατριάρχας τῆς εἰρημένης ἁγιωτάτης ἐκκλησίας Ρ'ώμης μνημονεύειν, μέχρις ἂν ἡ συζήτησις ϗ πληροφορία γένηται τῶν ῥημάτων τῶν ἀμφισβητȣμένων μεταξὺ τῶν ἑκατέρων θρόνων. ϗ εἶθ' ȣ̃τως ἡ ὑμετέρα πατρικὴ μακαριότης ἀκολȣ́θως μνημονευθῇ. ἀλλ' ἡμεῖς τȣ̃το ȣ̓ κατεδεξάμεθα, τȣτέστι τὸ ἐκβληθῆναι τὸν αὐτὸν Βιταλιανὸν ἐκ τῶν διπτύχων· τȣ̃το μὲν, ὡς πᾶσαν ἰσότητα τηρȣ̃ντες, ϗ τȣ̀ς ἀμφοτέρȣς ὀρθοδόξȣς ἔχοντες· τȣ̃το δὲ ϗ διὰ τὴν προσαχθεῖσαν ἡμῖν ἀγάπην παρὰ τοῦ αὐτοῦ Βιταλιανȣ̃ ἐν τῇ ζωῇ αὐτȣ̃ ἐπὶ τῆς κινήσεως τῶν ἡμετέρων τυράννων. ἀλλ' ȣ̃τως ὑπεσχόμεθα τοῖς εἰρημένοις ἁγιωτάτοις πατριάρχαις, ὡς πάντως ἀποστελεῖ ἡ ὑμετέρα πατρικὴ μακαριότης ἀνθρώπȣς, τȣ̀ς ὀφείλοντας συζητῆσαι μετ' αὐτῶν, ϗ ὅτι τηνικαῦτα τὸ φανερȣ́μενον ἡ τελεία διοίκησις γίνεται. ἐπεὶ πρὸ τȣ́τȣ μὴ καταδεχεσθαι ἡμᾶς τὸν αὐτὸν μακαριώτατον Βιταλιανὸν ἐκβληθῆναι. Ταῦτα γινώσκȣσα ἡ ὑμετέρα πατρικὴ μακαριότης, σπεύσῃ ἐξακολȣθῆσαι τῷ θελήματι τȣ̃ Θεȣ̃. ὡς γὰρ προείρηται, ἐλπίδα ἔχομεν εἰς τὸν στέψαντα ἡμᾶς Θεὸν, ὅτι ἡνίκα θεωρήσῃ θερμὴν περὶ τȣ̃το ἐξ ἡμῶν πρόθεσιν, ἡ αὐτȣ̃ ἀγαθότης ϗ τȣ̀ς ταράχȣς τȣ̀ς ἐπερχομένȣς ἡμῖν τῶν ἐθνῶν ἀποπαύσει. πᾶσαν δὲ σύνδρασιν ἐκελεύσαμεν τοῖς ἐρχομένοις παρασχεῖν Θεόδωρον τὸν ἐνδοξότατον πατρίκιον, ϗ ἔξαρχον τῆς Ιταλῶν ἡμῶν φιλοχρίστȣ χώρας, εἴς τε πλοῖον ϗ δαπάνας ϗ πᾶσαν χρείαν αὐτῶν. ϗ εἰ ἡ χρεία καλέσοι, ϗ καστελλάτȣς καράβȣς παρασχεθῆναι εἰς διάσωσιν αὐτῶν, πρὸς τὸ πάντῃ ἀβλαβεῖς ϗ ἀκινδύνȣς τῇ τοῦ Θεȣ̃ συνεργίᾳ ἀποκαταστῆναι πρὸς ἡμᾶς. Η' ὑπογραφή. Τὸ θεῖον φυλάξοι σε ἐπὶ πολλȣ̀ς χρόνȣς, ἁγιώτατε ϗ μακαριώτατε πάτερ.

Θεία σάκρα καταπεμφθεῖσα πρὸς Γεώργιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον ταύτης τῆς μεγαλωνύμȣ Κωνσταντινȣπόλεως νέας Ρ'ώμης.

Η' Ε'ΠΙΓΡΑΦΗ'.

Ε'ν ὀνόματι τȣ̃ κυρίȣ ϗ δεσπότȣ Ιησȣ̃ Χριστȣ̃ Θεȣ̃ ϗ σωτῆρος ἡμῶν, αὐτοκράτωρ εὐσεβέστατος, εἰρηνικὸς, Φλάβιος Κωνσταντῖνος, πιστὸς ἐν Ιησȣ̃ Χριστῷ τῷ Θεῷ βασιλεύς. Σάκρα. Γεωργίῳ τῷ ἁγιωτάτῳ ϗ μακαριωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινȣπόλεως, ϗ οἰκȣμενικῷ πατριάρχῃ.

ΕΙ ϗ μερίμναις στρατιωτικαῖς τε, ϗ πολιτικαῖς ἀνενδότως ἡ ἡμετέρα συνέχεται γαλήνη, ἀλλ' οὖν ἅπαντα τῆς φιλοχρίστȣ ἡμῶν πολιτείας τὰ πράγματα δεύτερα τῆς χριστιανικωτάτης ἡμῶν πίστεως τιθέμενοι, ἢν καὶ ἐν πολέμοις ὑπέρμαχον ἡμῶν τε καὶ τῶν ἡμετέρων φιλοχρίστων ἐκστρατευμάτων κεκτήμεθα, ἀναγκαῖον ἐκρίναμεν τῇ παρούσῃ ἡμῶν πρὸς τὴν ὑμετέραν πατρικὴν ἁγιωσύνην εὐσεβεῖ ἡμῶν χρήσασθαι σάκρᾳ, δι' ἧς προτρέποντες αὐτὴν, * sancimus συναθροῖσαι τὴν πατρικὴν ὑμῶν μακαριότητα πάντας τοὺς ὑπὸ τὸν ἁγιώτατον αὐτῆς θρόνον τυγχάνοντας ὁσιωτάτους μητροπολίτας τε, ϗ ἐπισκόπους κατὰ ταύτην τὴν θεοφύλακτον ἡμῶν καὶ βασιλίδα πόλιν, ἐφ' ᾧ συνεργίᾳ τȣ̃ παντοδυνάμȣ ϗ πολυελέου ἡμῶν Θεȣ̃ τὴν ἀκριβῆ ζήτησιν γενέσθαι, τοῦ ἤδη ἀπὸ πολλοῦ χρόνȣ ἀναφυέντος δόγματος, περί τε θελήματος ϗ ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τȣ̃ ϗ διάστασιν οὐ μικρὰν ἔκ τινων προσώπων τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐμποιήσαντος ἐκκλησίᾳ. μεταδοῦναί τε τὴν περὶ τούτου εἴδησιν καὶ μακαρίῳ τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ τῆς Αντιοχέων μεγαλοπόλεως, πρὸς τὸ καὶ αὐτὸν τοὺς τῆς οἰκείας συνόδου θεοφιλεῖς μητροπολίτας τε καὶ ἐπισκόπους παρασκευάσαι ἐπὶ τούτῳ ἐνταῦθα συνελθεῖν. ἤδη γὰρ περὶ τούτου προετρεψάμεθα δι' εὐσεβῶν ἡμῶν κεραιῶν ἔτι ἐν ζῶσι τυγχάνοντα ϗ Δόμνον τὸν ἁγιώτατον πάπαν τοῦ ἀποστολικοῦ θρόνȣ τῆς πρεσβυτέρας Ρ'ώμης. κἀκείνου τοῦ ἐνταῦθα μεταστάντος βίου, Αχάθων ὁ ἁγιώτατος ἀρτίως προχειρισθεὶς πάπας εἰς τὸν τῆς λεχθείσης πρεσβυτέρας Ρ'ώμης ἀποστολικὸν θρόνον, ἀπέστειλεν ἐπὶ τοῦ παρόντος τὸ οἰκεῖον αὐτοῦ ἐπέχοντας πρόσωπον, Θεόδωρον, ϗ Γεώργιον, τοὺς θεοφιλεστάτους πρεσβυτέρȣς, καὶ Ιωάννην τὸν θεοφιλέστατον διάκονον. ἐκ προσώπȣ δὲ τῆς κατ' αὐτὸν ἁπάσης συνόδȣ, Ιωάννην, Αβουνδάντιον, καὶ Ιωάννην τοὺς ὁσιωτάτος ἐπισκόπους, μετὰ καὶ ἑτέρων κληρικῶν τε καὶ μοναχῶν, ὀφείλοντας εὑρεθῆναι εἰς

* νομοθετȣ̃μεν

εἰς τὴν τῆ προλεχθέντος κεφαλαίε ζήτησιν· οἱ ἢ ταυτῦν πρὸς τὰ ἡμέτερα κατέλαβον ἴχνη, ἀποδεδωκότες ἡμῖν ἢ δύο ἀναφοράς· μίαν μὲν τῆ αὐτῆ ἁγιωτάτε Ἀγαθωνος, ἑτέραν δὲ τῆς κατ' αὐτὸν συνόδε. γινώσκουσα τοίνυν ἡ παξικὴ ὑμῶν μακαριότης, ὡς πρῶτον ἡμῖν ἢ ἐξαίρετον, ὡς προείρηται, τὸ τῆς ὀρθοδοξίας καθέσηκε κεφάλαιον, σπεύσατω τὰς εἰρημένους ὁσιωτάτες μητροπολίτας ἢ ἐπισκόπες ἐν συντόμῳ καταλαβεῖν τὴν θεοφύλακτον ταύτην ἡμῶν βασιλίδα πόλιν πρὸς τὸ λεχθὲν κινηθῆναι κεφάλαιον, ἢ τῇ τῆ σέβαντος ἡμᾶς μεγαλοδώρε Θεῆ συνεργίᾳ ἀσφαλέσατον ἢ ὀρθόδοξον ὅρον τῷ τοιύτῳ ἐπιτεθῆναι δόγματι. Τὸ θεῖόν σε φυλάξοι ἐπὶ πολλὰς χρόνες, ἁγιώτατε, ἢ μακαριώτατε πάτερ.

Πεπραγμένα τῆς ἐν Κωνσταντινεπόλει γενομένης ἕκτης ἁγίας συνόδε κατὰ τῶν δυσεβῶς διδαξάντων ἓν θέλημα ἢ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκε οἰκονομίας τῆ κυρίε ἡμῶν Ἰησῆ Χριστῆ, τῆ ἀληθινῆ Θεῆ ἡμῶν, τοῦ υἱὸς τῆς ἁγίας ἢ ὁμοουσίε Τριάδος.

ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

ΕΝ ὀνόματι τῆ κυρίε ἢ δεσπότε Ἰησοῦ Χριστῆ τῆ Θεῆ ἢ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοσέπτων ἢ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνε μὲν τῆ δυσεβεσάτε, ἢ Θεοδοσίε μεγάλε βασιλέως, αἰωνίε Αὐγύστε, ἢ αὐτοκράτορος, ἔτες εἰκοστοεβδόμε, ἢ μετὰ τὴν ὑπατείαν τῆς αὐτῆ θεοσόφε πραότητος ἔτες τεσσαρακαιδεκάτου. Ἡρακλείε δὲ ἢ Τιβερίε τῶν θεοφυλάκτων αὐτῆ ἀδελφῶν ἔτες εἰκοστοδευτέρε, τῇ ἑβδόμῃ τοῦ Νοεμβρίε μηνὸς, ἰνδικτιῶνος ἑνάτης. προκαθημένε τῆ αὐτῆ δυσεβεσάτε ἢ φιλοχρίστε μεγάλε βασιλέως Κωνσταντίνε ἐν τῷ σεκρέτῳ τῆ θείε παλατίε, τῷ ὕπω λεγομένῳ Τρούλλῳ. ἢ κατὰ κέλευσιν τῆς αὐτῆ θεοσόφε γαληνίας, παρόντων ἢ ἀκροωμένων, Νικήτα τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε, ἢ μαγίστρε τῶν βασιλικῶν ὀφφικίων· Θεοδώρε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε, κόμητος τῆ βασιλικῆ ὀψικίε, ἢ ὑποστρατήγε Θρᾴκης. Σεργίε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε· Παύλου τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε· Ἰουλιανῆ τοῦ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε, ἢ στρατιωτικῆ λογοθέτε· Κωνσταντίνε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε, ἢ κυράτορος τῆ βασιλικῆ τῶν Ὁρμίσδε οἴκε· Ἀνασασίε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε, ἢ τοποτηρητῆ τῆ κόμητος τῆ βασιλικῆ ἐξκυβίτων· Ἰωάννε τοῦ ἐνδοξοτάτε ἀπὸ ὑπάτων παξικίε ἢ κοιαίσωρος· Πολυδίυτε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων, Θωμᾶ τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων· Παύλε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων, ἢ διοικητῆ τῶν ἀνατολικῶν ἐπαρχιῶν· Πέτρε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων. Λεοντίε τῆ ἐνδοξοτάτε ἀπὸ ὑπάτων, ἢ δομεσίκε τῆς βασιλικῆς ζαπέζης.

Συνελθόσης τῆς ἁγίας ἢ οἰκυμενικῆς συνόδε, τῆς κατὰ βασιλικὸν θέσπισμα σωαθροισθείσης ἐν τῷτῃ τῇ θεοφυλάκτῳ ἢ βασιλίδι πόλει· τετέσι Θεοδώρε, ἢ Γεωργίε τῶν ἁγιλαβεσάτων πρεσβυτέρων, ἢ Ἰωάννε τῆ ἁγιλαβεσάτε διακόνε, ἐπεχόντων τὸν τόπον τῆ ὁσιωτάτε ἢ ἁγιωτάτε ἀρχιεπισκόπε τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος· ἢ Γεωργίε τῆ ὁσιωτάτε ἢ ἁγιωτάτε ἀρχιεπισκόπε ταύτης τῆς μεγαλωνύμε Κωνσταντινεπόλεως νέας Ῥώμης, ἢ Πέτρε τῆ θεοφιλῆς πρεσβυτέρε, μοναχῆ, ἢ τοποτηρητῆ τῆ θρόνε τῆς Ἀλεξανδρέων μεγαλοπόλεως· ἢ Μακαρίε τῆ ὁσιωτάτε ἀρχιεπισκόπε Θεεπόλεως Ἀντιοχείας, ἢ Γεωργίου τῆ ἁγιλαβεσάτε πρεσβυτέρε μοναχῆ, ἢ ἀποκρισαρίε Θεοδώρε τῆ ὁσιωτάτε τοποτηρητῆ τῆ θρόνε Ἱεροσολύμων· Ἰωάννε ἐπισκόπε πόλεως * Πόρτε. Ἀβενδαντίε ἐπισκόπε πόλεως Πατέρνε· Ἰωάννε ἐπισκόπε πόλεως Ῥηγίε, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε ἁγιλαβεσάτων ἐπισκόπων συνόδε, τῶν ἢ δι' οἰκείων ὑπογραφῶν δηλωμένων ἐν τῇ χρυσῇ πρὸς τὸν εὐσεβέσατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ· ἢ Θεοδώρε τῆ ἁγιλαβεσάτε πρεσβυτέρε, ἢ τοποτηρητῆ τῆ θεοφιλεσάτε ἀρχιεπισκόπε Ῥαβέννης Θεοδώρε· Βασιλείε ἐπισκόπε πόλεως Γορτυνίης τῆς Κρήτης νήσε· Θεοδώρε ἐπισκόπε Ἐφέσε· Σισιννίε ἐπισκόπου Ἡρακλείας Θρᾴκης· Γεωργίε ἐπισκόπε Κυζίκε. Πέτρε ἐπισκόπε Νικομηδείας· Φωτίε ἐπισκόπε Νικαίας· Ἰωάννε ἐπισκόπε Χαλκηδόνος. Θεοδώρε ἐπισκόπε Μελιτινῆς· Σισιννίε ἐπισκόπε Ἱεραπόλεως Φρυγίας· Μακροβίε ἐπισκόπε Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκόπε Βυζίης Θρᾴκης· Γρηγορίε ἐπισκόπε Μιτυλήνης· Σεργίε ἐπισκόπε Σηλυβρίας· Ἀνδρέε ἐπισκόπε Μεθύμνης· Θεογνίε ἐπισκόπε Κίε· Γεωργίε ἐπισκόπε Καμηλιανῶν· Ἀντωνίε ἐπισκόπε Ὑσσαίπων· Γενεσίε ἐπισκόπε Ἀναστασιεπόλεως· Πλάτωνος ἐπισκόπου Κίννης· Ἰωάννε ἐπισκόπε τῆ Δασκυλίε· Θεοδώρε ἐπισκόπε Ἰουστινιανεπόλεως Γόρδε· Θεοδώρε ἐπισκόπε Βερόης· Στεφάνε ἐπισκόπε Ἡρακλείας Πόντε· Λογγίνε ἐπισκόπε Τίε· Δομετίε ἐπισκόπε Προυσιάδος· Σολομῶνος ἐπισκόπε Κλανέε· Γεωργίε ἐπισκόπε Κῴε· Ἰωάννε ἐπισκόπε Μίνδε· Γρηγορίε ἐπισκόπου Καντάνε· Ἰωάννε ἐπισκόπε Λάππης· Εὐλαλίε ἐπισκόπε Ζιωνοπόλεως· Κωνσταντίνε ἐπισκόπε Δαλισανδῆ· Θεοδώρε ἐπισκόπε Ὀλβης· Θεοφάνες πρεσβυτέρε ἢ ἡγεμόνε τῆ ἐν Σικελίᾳ διαγῆς μοναστηρίε ἐπιλεγομένε Βαΐων· Γεωργίε πρεσβυτέρε ἢ μοναχῆ μονῆς τῆς Ῥενατῆς τῶν Ῥενατέων· ἐν τῇ ἁγιαιμένε μονῆς ἐπιλεγομένης δόμε Ἀρσικίας, ἁγιαιμένης ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ· Ἀνασασίου πρεσ-

* Πατέρνε.

πρεσβυτέρου καὶ μοναχοῦ τῆς Δικληείων τοῦ ἐν Κωνσταντινουπόλει διαγῆς παξιαρχείου, καὶ Στεφάνου πρεσβυτέρου καὶ μοναχοῦ, τοῦ μαθητοῦ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας· καθεδομένων τε τῆς συνδοξοτάτων παξικίων, καὶ ὑπάτων ἐκ πλαγίου τοῦ δυσεβεστάτου, καὶ φιλοχρίστου ἡμῶν βασιλέως Κωνσταντίνου· καὶ ἐκ μιᾶς τοῦ δυωνύμου αὐτοῦ μέρους καθεδομένων τῆς ὁσιωτάτων τοποτηρητῆς τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, καὶ τῆς ἐκ προσώπου τῆς κατ' αὐτὸν συνόδου θεοφιλῶν ἐπισκόπων· καὶ Θεοδώρου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ῥαβέννης· καὶ Βασιλείου ἐπισκόπου Γορτυνίας· ⁊ Γεωργίου πρεσβυτέρου μοναχοῦ, καὶ ἀποκρισιαρίου Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· καὶ τῆς λοιπῶν ἐπισκόπων τῆς ὑπὸ τὸν θρόνον τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης. ἐκ δὲ τοῦ δεξιοῦ μέρους καθεδομένων ὁμοίως, Γεωργίου τε τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας· καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως· καὶ Θεοδώρου ἐπισκόπου Ἐφέσου, καὶ τῆς λοιπῶν θεοφιλεστάτων ἐπισκόπων τῆς ὑπὸ τὸν θρόνον τοῦ τε ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, καὶ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας, προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν διαγγελίων, Θεόδωρος ⁊ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι, καὶ Ἰωάννης ὁ θεοσεβέστατος διάκονος, οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος· ἔτι δὲ καὶ οἱ ἐκ προσώπου τῆς κατ' αὐτὸν συνόδου εἶπον· ἀναγάγετε δέσποτα, κατὰ τοῦ πεμφθεῖσαν σάκραν ἐκ τοῦ θεοσόφου ὑμῶν κράτους πρὸς τὸν ἁγιώτατον ἡμῶν πάπαν, ἀπεσάλημεν παραυτοῦ πρὸς τὰ πανδοσεβῆ ἴχνη τῆς θεοσηρίκτου ὑμῶν γαλήνης μετὰ καὶ ἀναφορᾶς αὐτοῦ, ἔτι δὲ καὶ ἑτέρας συνοδικῆς ἀναφορᾶς ὡσαύτως χρυσοβούλης πρὸς τοῦ θεοτείχιστον ὑμῶν δόσεβειαν ἐκ τῆς ὑπ' αὐτοῦ τελούντων ὁσιωτάτων ἐπισκόπων, ἃς καὶ ἐπιδεδώκαμεν τῷ θεοσέπτῳ ὑμῶν κράτει. ἐπειδὴ δὲ πρὸ τούτων τεσσαράκοντα, * μικρὸν χρόνῳ τὰ ἓξ χρόνων, * πλέον ἢ ἔλαττον, τινὰς ἡμῶν ὀφωνίας ἄντικρυς τῆς ὀρθοδόξου πίστεως παρεισήγαγον οἱ κατὰ καιρὸς χρυσοβούλοι πρόεδροι ταύτης τῆς βασιλίδος, καὶ θεοφυλάκτου ὑμῶν πόλεως, φαμὲν δὴ, Σέργιος, Παῦλος, Πύρρος, καὶ Πέτρος, ὁ μὲν ἀλλαὶ καὶ Κῦρος ὁ τῆς Ἀλεξανδρέων πόλεως χρυσοβούλος πρόεδρος, ἔτι δὲ Θεόδωρος ὁ χρυσοβούλος ἐπίσκοπος τῆς ὕπω λεγομένης πόλεως Φαρὰν, καί τινες ἕτεροι τούτοις ἐξακολουθήσαντες, οὐ θέλημα ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ υἱὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μίαν ἐνέργειαν δογματίσαντες, καὶ διδάξαντες, καὶ πολλάκις τοῦ δουλικοῦ ὑμῶν καθ' ἡμᾶς ἀποστολικοῦ θρόνου περὶ τούτου ὑποκρύσαντος, εἶπε δὲ καὶ παρακαλέσαντος, καὶ μὴ δυνηθέντος μέχρι νῦν τῆς τοιαύτης ἀποστῆσαι κακοδόξου γνώμης, αἰτοῦμεν τὸ θεόσεπτον ὑμῶν κράτος, εἰπεῖν τοῖς τοῦ μέρους τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως, πόθεν ἡ τοιαύτη ἐφεύρηται καινοφωνία. Κωνσταντῖνος ὁ δυσεβέστατος βασιλεὺς εἶπεν· ἐν ἀκροάσει χρυόμυοι Γεώργιός τε ὁ ἁγιώτατος ἀρχιεπίσκοπος τῆς θεοφυλάκτου ἡμῶν ταύτης πόλεως, καὶ Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ἀντιοχέων πόλεως, καὶ ἡ ὑπ' αὐτὸν συνοδος, τῆς παρὰ τοῦ μέρους τοῦ ἀποστολικοῦ τῆς Ῥωμαίων μεγαλοπόλεως θρόνου ῥηθέντων, τὰ δοκοῦντα αὐτοῖς διεξίτωσαν. Μακάριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος τῆς Ἀντιοχέων μεγαλοπόλεως ἅμα Στεφάνῳ τῷ δηλαβεστάτῳ πρεσβυτέρῳ καὶ μοναχῷ τῷ αὐτοῦ μαθητῇ· σὺν αὐτοῖς δὲ καὶ Πέτρος ὁ θεοφιλέστατος μητροπολίτης Νικομηδείας, ⁊ Σολομὼν ὁ θεοφιλέστατος ἐπίσκοπος * Κλαυδίου τοὺς λόγους ποιούμενοι ὑπέρ τε τοῦ θρόνου τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ τοῦ θρόνου Ἀντιοχείας, εἶπον· ἡμεῖς μὲν καινοφωνίας ἐκ ἐξεθέμεθα, ἀλλ' ἔτι παρελάβομεν ἔκτε τῆς ἁγίων οἰκουμενικῶν συνόδων, καὶ τῆς ἁγίων * ἐγκρίτων πατέρων, ἔτι δὲ καὶ τῆς προεδρισάντων ταύτης τῆς βασιλίδος πόλεως, φαμὲν Σεργίου, Παύλου, Πύρρου, καὶ Πέτρου· ἔτι δὲ καὶ Ὀνωρίου τοῦ χρυσοβούλου πάπα τῆς πρεσβυτέρας Ῥώμης, ⁊ Κύρου τοῦ χρυσοβούλου πάπα Ἀλεξανδρείας, τυτέστι περὶ θελήματος καὶ ἐνεργείας, ὅπω καὶ ἐπισθόμεθα, καὶ πιστεύομεν, καὶ κηρύττομεν· καὶ ἑτοίμως ἔχομεν, τὰ περὶ τούτου παρασῆσαι.

* Κλανεῦ.

* ἐκκρίτων.

Κωνσταντῖνος ὁ δυσεβέστατος βασιλεὺς εἶπεν· εἰ βέλεσθε περὶ τούτου παεισᾶν ἡμῖν, ἐκ ἄλλως ὑμᾶς δεχόμεθα ἀποδείξεις προφέροντις, εἰ μὴ, καθὼς εἴπατε, ἐκ τῆς ἁγίων καὶ οἰκουμενικῶν συνόδων, καὶ τῆς ἁγίων ἐγκρίτων πατέρων.

Μακάριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ οἱ σὺν αὐτῷ εἶπον· δυσεβέστατε δέσποτα κέλευσον δηλαδὴ τοῦ χαρτοφύλακος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας τὰ βιβλία τῆς ἁγίων συνόδων ἐκ τοῦ δευτέρου παξιαρχείου εἰς μέσον προαχθῆναι.

Κωνσταντῖνος ὁ δυσεβέστατος βασιλεὺς εἶπεν· κελεύομεν τὰ πεφραγμένα τῆς ἁγίων καὶ οἰκουμενικῶν συνόδων ἐκ τοῦ εὐαγοῦς παξιαρχείου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως παραχρῆμα διὰ τοῦ προσφόρου χαρτοφύλακος εἰς μέσον ἐλθεῖν, καὶ ἀναγνωσθῆναι· καὶ πρὸς βραχὺ ὑπεξελθὼν Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ, καὶ παραχρυόμυος ἐν τῇ βιβλιοθήκῃ τοῦ δευτέρου παξιαρχείου, προεκόμισε τὰ βιβλία τῆς ἁγίων καὶ οἰκουμενικῶν συνόδων.

Κωνσταντῖνος ὁ δυσεβέστατος βασιλεὺς εἶπε· Γεώργιος ὁ εὐλαβέστατος διάκονος ⁊ χαρτοφυ-

λαξ

λαξ ἅπερ ἐπιφέρεται βιβλία τῶν ἁγίων συνόδων ἐπιδιδότω πρὸς ἀνάγνωσιν.

Καὶ λαβὼν Στέφανος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ μοναχὸς, ὁ μαθητὴς Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀντιοχείας τὸ πρῶτον βιβλίον τῶν πεπραγμένων τῆς ἁγίας τρίτης ἐν Ἐφέσῳ τὸ πρότερον συνόδου ἀνέγνω. καὶ ἐλθὼν εἰς τὸν προσφωνητικὸν λόγον τὸν ἀπὸ τοῦ ἐν ἁγίοις Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως γενομένου προέδρου πρὸς Θεοδόσιον τὸν ἐν εὐσεβεῖ τῇ λέξει γενόμενον βασιλέα γραφέντα, οὗ ἡ ἀρχή· τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας· καὶ μετ' ὀλίγα· ἔρεισμα δὲ τὸ ἀκράδαντον τῆς οὕτω θεοφιλοῦς καὶ εὐαγεστάτης ὑμῶν βασιλείας αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός· δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην κατὰ τὸ γεγραμμένον· ἔστι γὰρ αὐτοῦ παναλκὲς τὸ θέλημα. Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ἀντιοχέων πόλεως εἶπεν· ἰδοὺ δέσποτα, παρέστησα ἓν εἶναι θέλημα ἐπὶ Χριστοῦ· καὶ ἀναστάντες οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ρώμης, καί τινες τῶν ἐπισκόπων τῆς συνόδου Κωνσταντινουπόλεως, καὶ οἱ ἐνδοξότατοι ἄρχοντες ἐξεβόησαν, λέγοντες· περισσῶς, καὶ παρὰ τὸ κείμενον Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος τῆς Ἀντιοχέων μεγαλοπόλεως ἐκ τοῦ νῦν ἀναγνωσθέντος ῥητοῦ δοκεῖ διαβεβαιοῦσθαι, ἓν εἶναι θέλημα ἐπὶ τῶν δύο φύσεων τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τουτέστι τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος· τοῦτο γὰρ ὁ ἐν ἁγίοις Κύριλλος ἐπὶ τῆς θείας αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ παντοκρατορικῆς φύσεως ἐκλαβὼν γεγράφηκεν, ὅπερ μετὰ τοῦ πατρὸς καὶ ἁγίου πνεύματος κοινὸν καὶ παντοδύναμον κέκτηται. διὸ καὶ παναλκὲς αὐτὸ ὁ αὐτὸς ἐν ἁγίᾳ τῇ μνήμῃ προσηγόρευσε Κύριλλος, ἄλλος τε δὲ οὐδὲ ἀριθμητικῶς τέθεικε τὸ * τοιοῦτον θέλημα ἕν. καὶ ἀναγνωσθέντος * ὁλοτελῶς τοῦ τοιούτου βιβλίου, Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· καὶ τὸ ἕτερον βιβλίον τῆς ἁγίας τρίτης συνόδου ἀναγινωσκέσθω. καὶ λαβὼν Σολομὼν ὁ θεοσεβέστατος διάκονος, καὶ νοτάριος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἀνέγνω ἀπ' ἀρχῆς ἕως τέλους. Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἱκανῶς ἡμῖν ἡ ἐν τῇ παρούσῃ ἡμέρᾳ * ἀνάγνωσις καθέστηκεν, ἐν ᾗ πέρας ἔλαβον τὰ ἐπὶ τῆς ἁγίας τρίτης ἐν Ἐφέσῳ τὸ πρότερον πραχθέντα συνόδου. καθ' ἑτέραν δὲ καὶ τὰ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου πεπραγμένα ἡμῖν ὑπαναγνωσθήσονται.

* ἀλλ. τοσοῦτον.
* ἐντελοῦς.
* γενομένη.

ΠΡΑΞΙΣ Β'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως καὶ αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοεβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τρισκαιδεκάτου· Ἡρακλείου δὲ καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ δεκάτῃ τοῦ Νοεμβρίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης.

Προκαθημένου τοῦ αὐτοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντ. ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνίης, παρόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῶν βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, κόμητος τοῦ βασιλικοῦ ὀψικίου, καὶ ὑποστρατήγου Θράκης· Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ἰουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ τοῦ Ὁρμίσδου οἴκου· Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστωρος· Πολυεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῶν ἀνατολικῶν ἐπαρχιῶν· Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεστίκου τῆς βασιλικῆς τραπέζης.

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν θεοσεβεστάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ θεοσεβεστάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἐπισκόπου τῆς πρεσβυτέρας Ρώμης Ἀγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ Πέτρου τοῦ * θεοσεβεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως· καὶ Μακαρίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας, καὶ Γεωργίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ ἀποκρισιαρίου Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκόπου πόλεως Πόρτου· Ἀβουνδαντίου ἐπισκόπου πόλεως Πατέρνου· Ἰωάννου ἐπισκόπου πόλεως τοῦ Ῥηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε * θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παραὐτῶν ἀναφορᾷ· καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιε-

* θεοφιλοῦς.
* εὐλαβεστάτων.

ἀρχιεπισκόπου Ρ'αβέννης Θεοδώρου· Βασιλείου ἐπισκόπου πόλεως Γορτυνίης τῆς Κρητῶν νήσου· Θεοδώρου ἐπισκόπου Ε'φέσου. Σισιννίου ἐπισκόπου Η'ρακλείας Θράκης. Γεωργίου ἐπισκόπου Κυζίκου· Πέτρου ἐπισκόπου Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ι'ωάννου ἐπισκόπου Χαλκηδόνος· Θεοδώρου ἐπισκόπου Μελιτινῆς· Σισιννίου ἐπισκόπου Ι'εραπόλεως Φρυγίας· Μακροβίου ἐπισκόπου Σελευκείας Ι'σαυρίας· Γεωργίου ἐπισκόπου Βυζίης Θράκης· Γρηγορίου ἐπισκόπου Μιτυλήνης· Σεργίου ἐπισκόπου Σηλυμβρίας· Α'νδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Γεωργίου ἐπισκόπου Καμουλιανῶν· Α'ντωνίου ἐπισκόπου Υ'παίπων· Ι'ωάννου ἐπισκόπου τῶν Δασκυλίου· Γενεσίου ἐπισκόπου Α'νασασιουπόλεως· Πλάτωνος ἐπισκόπου Κίννης· Θεοδώρου ἐπισκόπου Ι'ουστινιανουπόλεως Γόρδου· Θεοδώρου ἐπισκόπου Βερίσης· Στεφάνου ἐπισκόπου Η'ρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου· Δομετίου ἐπισκόπου Προυσιάδος· Σολομῶνος ἐπισκόπου Κλανέου· Γεωργίου ἐπισκόπου Κώου. Ι'ωάννου ἐπισκόπου Μυτιλήνης· Γρηγορίου ἐπισκόπου Καντάνου· Ι'ωάννου ἐπισκόπου Λάμπης· Εὐλαλίου ἐπισκόπου Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκόπου Δαλισανδῶν· Θεοδώρου ἐπισκόπου Ο"λβης· Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τῶν ἐν Σικελίᾳ δύο μοναστηρίων ἐπιλεγομένου Βυζίων· Γεωργίου πρεσβυτέρου καὶ μοναχῶν μονῆς τῆς Ρ'ενάτης τῆς ὁμωνυμίας ἐν τῇ πρεσβυτέρᾳ Ρ'ώμῃ· Κύνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Α'ρσικίας ὁμωνυμίας ἐν τῇ πρεσβυτέρᾳ Ρ'ώμῃ.

Α'νασασίου πρεσβυτέρου καὶ μοναχῶν τῆς κτηνείων τῶν ἐν Κωνσταντινουπόλει δύο παρεκκλησίων, καὶ Στεφάνου πρεσβυτέρου καὶ μοναχοῦ, τῶν μαθητῶν Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Α'ντιοχείας.

Καὶ καθεσθέντων τῆς τε ἐνδοξοτάτων πατρικίων, καὶ ὑπάτων, καὶ πάντων τῆς ὁσιωτάτων καὶ θεοφιλῶν μητροπολιτῶν καὶ ἐπισκόπων κατὰ τάξιν ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων εὐαγγελίων. Παῦλος ὁ μεγαλοπρεπέστατος ἀσεκρέτις σεκρετάριος βασιλικὸς εἶπε· μέμνηται ἡ ὑμετέρα εὐσέβεια, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος, ὡς κατὰ τὴν προτέραν συνέλευσιν τέλος λαβούσης τῆς ἀναγνώσεως τῆς πεπραγμένων τῆς ἁγίας ἐν Ε'φέσῳ πρώτης τὸ πρότερον συνοδικόν, συνεῖδεν ἀκολούθως καὶ τὰ τῆς ἁγίας τετάρτης ἐν Χαλκηδόνι συνόδου ἀναγνωσθῆναι πεπραγμένα· καὶ ὑποβάλλομεν πρὸς τὸ παρεστὰμενον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· προσαγέσθωσαν καὶ τὰ τῆς λεχθείσης τετάρτης ἁγίας ἐν Χαλκηδόνι συνόδου πεπραγμένα, καὶ εἰς ἐπήκοον ἀναγινωσκέσθωσαν.

Καὶ λαβὼν Α'ντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως τὸ πρῶτον βιβλίον τῆς αὐτῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ἀνέγνω. καὶ ἀναγινώσκοντος αὐτοῦ ἐν αὐτοῖς ἐμφερομένοις ἐπιστολὴ τοῦ ἐν ἁγίᾳ τῇ μνήμῃ τοῦ μεγαλωνύμου Ρ'ώμης πάπα Λέοντος, καὶ ἐλέγετο εἰς τὸ ῥητὸν φάσκον· ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ὅπερ ἐστὶ τοῦ σώματος, καὶ τὸ μὲν αὐτῶν ἀστράπτει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν. ἀνασάντες οἱ τοῦ μέρους τοῦ ἀποσολικοῦ θρόνου τῆς πρεσβυτέρας Ρ'ώμης ἐβόησαν· ἰδοὺ δέσποτα ἁγιώτατε, φανερῶς δύο φυσικὰς ἐνεργείας ἀσυγχύτως, καὶ ἀδιαιρέτως ἐπὶ τοῦ κυρίου ἡμῶν Ι'ησοῦ Χριστοῦ ὁ παρὼν ἁγιώτατος κηρύσσει πατήρ, ὅτινος τὸν παρόντα λόγον ἡ ἁγία τετάρτη συνόδος σήλωσε ὀρθοδοξίας ἀπεγράψατο, καὶ καθαίρεσιν πάσης αἱρέσεως, ἅπερ τῇ τοῦ μεγάλου, καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου ὁμολογίᾳ συμβαίνουσαν· καὶ τί περὶ τούτου ἀξιοῖ Μακάριος ὁ ὁσιώτατος, καὶ οἱ σὺν αὐτῷ θεοφιλέστατοι ἄνδρες, λέγειν;

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Α'ντιοχείας εἶπεν· ἐγὼ δέσποτα δύο ἐνεργείας οὐ λέγω· ἀλλ' οὐδὲ νοῶ τὸν ἐν μακαρίᾳ τῇ λήξει Λέοντα διὰ αὐτῆς τῆς ῥήσεως δύο ἐνεργείας φήσαντα.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἀλλὰ μίαν ἐνέργειαν νοεῖς αὐτὸν λέγοντα; Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος εἶπεν. ἐγὼ ἀριθμὸν οὐ λέγω, ἀλλὰ θεανδρικὴν ἐνέργειαν κατὰ τὸν ἅγιον Διονύσιον. Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· πῶς γὰρ νοεῖς τὴν θεανδρικὴν ἐνέργειαν; Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἐγὼ οὐκ ἐπικείνω. καὶ ἀναγνωσθέντων τῆς λοιπῶν τοῦ αὐτοῦ βιβλίου μέχρι πέρατος, Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἀναγινωσκέσθω καὶ τὸ ἕτερον βιβλίον τῆς αὐτῆς ἁγίας τετάρτης ἐν Χαλκηδόνι συνόδου· καὶ λαβὼν Α'ντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ αὐτοῦ τῆς πεπραγμένων βίβλον ἀνέγνω.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἱκανῶς καὶ νῦν ἡ παροῦσα ἔχει ἀνάγνωσις, καθ' ἑτέραν δὲ καὶ ἡ τῆς πεπραγμένων τῆς ἁγίας πέμπτης συνόδου βίβλος προσομιλείσθω.

ΠΡΑΞΙΣ Γ.

Ε'Ν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ι'ησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῆς θεοσέπτων καὶ Χριστιανικωτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ

καὶ θεοψηφίσει μεγάλου βασιλέως καὶ αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοῦ ἑβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτος ξισταμενοῦ δεκάτου. Ἡρακλείου δὲ καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ Νοεμβρίου μηνὸς, ἰνδικτιῶνος ἐνάτης. Προκαθημένου τοῦ αὐτοῦ θεοσεβεστάτου, καὶ φιλοχρ. μεγάλου βασιλέως Κωνσαντ. ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαλήνης, παρόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, ἐξ μαγίστρου τῶν βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων παξικίου, κόμητος τοῦ βασιλικοῦ ὀψικίου, καὶ στρατηγοῦ Θράκης· Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων παξικίου· Ἰουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων παξικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Κωνσαντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, ἐξ κουράτορος τοῦ βασιλικοῦ τῶν Ὁρμίσδου οἴκου· Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ὀξκουβίτου· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστωρος· Πολυδίκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῶν ἀνατολικῶν ἐπαρχιῶν. Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων.

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν θεοσεβεστάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ θεοσεβεστάτου δρουγγαρίου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου τῆς πρεσβυτέρας Ῥώμης Ἀγαθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσαντινουπόλεως νέας Ῥώμης, καὶ Πέτρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀντιοχείας, ἐξ Γεωργίου τοῦ εὐλαβεστάτου πρεσβυτ. μοναχοῦ καὶ ἀποκρισιαρίου Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκ. πόλεως Πόρτου. Ἀδουνδαντίου ἐπισκ. πόλεως Πατέρνου. Ἰωάννου ἐπισκ. πόλεως Ρηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβ. Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῆς καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γραφομένῃ πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα Κωνσαντῖνον παρ' αὐτῶν ἀναφορᾷ· καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκ. Ῥαβέννης Θεοδώρου. Βασιλείου ἐπισκ. πόλεως Γορτυνίης τῆς Κρητῆς νήσου. Θεοδώρου ἐπισκ. Ἐφέσου· Σισιννίου ἐπισκ. Ἡρακλείας Θρᾴκης· Γεωργίου ἐπισκόπου Κυζίκου. Πέτρου ἐπισκ. Νικομηδείας. Φωτίου ἐπισκ. Νικαίας· Ἰωάννου ἐπισκ. Χαλκηδόνος· Θεοδώρου ἐπισκ. Μελιτινῆς. Σισιννίου ἐπισκ. Ἱεραπόλεως Φρυγίας. Μακροβίου ἐπισκ. Σελευκείας Ἰσαυρίας. Γεωργίου ἐπισκ. Βυζίης Θρᾴκης· Γρηγορίου ἐπισκ. Μιτυλήνης· Σεργίου ἐπισκ. Σηλυβρίας· Ἀνδρέου ἐπισκ. Μεθύμνης· Θεοσωτίου ἐπισκ. Κίου· Γεωργίου ἐπισκ. Καμουλιανῶν· Ἀντωνίου ἐπισκ. Γαίπων· Ἰωάννου ἐπισκ. Δασκυλίου· Γενεσίου ἐπισκ. Ἀνασασιουπόλεως. Πλάτωνος ἐπισκ. Κίννης. Θεοδώρου ἐπισκ. Ἰουστινιανουπόλεως Γόρδου. Θεοδώρου ἐπισκ. Βερίσης. Στεφάνου ἐπισκ. Τίου· Δομετίου ἐπισκ. Προυσιάδος· Σολομῶνος ἐπισκ. Κλαυδίου· Γεωργίου ἐπισκ. Κῴου. Ἰωάννου ἐπισκ. Μύνδου. Γρηγορίου ἐπισκ. Καντάνων· Ἰωάννου ἐπισκ. Λάππης. Εὐλαλίου ἐπισκ. Ζιωουπόλεως· Κωνσαντίνου ἐπισκ. Δαλισανδοῦ. Θεοδώρου ἐπισκ. Ὀλβης· Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τῆς ἐν Σικελίᾳ ἁγίας μονῆς ἐπιλεγομένης Βαΐων. Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῆς Ρουσάτου ὀνομαζομένης ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ. Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Ἀρσικίας ὀνομαζομένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ῥώμην· Ἀνασασίου πρεσβυτέρου καὶ μοναχοῦ τῆς Δικτηείων τοῦ ἐνταῦθα ἁγίου παρχιαρχείου· καὶ Στεφάνου πρεσβυτέρου καὶ μοναχοῦ, τοῦ μαθητοῦ Μακαρίου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας.

Καὶ καθεζομένων τῆς τε ἐνδοξοτάτων πατρικίων, καὶ ὑπάτων, καὶ πάντων τῆς ὁσιωτάτων καὶ θεοφιλῶν μητροπολιτῶν, καὶ ἐπισκόπων κατὰ τάξιν ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ· προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων εὐαγγελίων, Παῦλος ὁ μεγαλοπρεπέστατος ἀσηκρήτις, καὶ βασιλικὸς σεκρετάριος εἶπε.

Κατὰ τὰ ἐν τῇ παρελθούσῃ συνελεύσει ὁμολογηθέντα παρὰ τῆς θεοσόφου ὑμῶν βασιλείας, ἰδοὺ τὰ βιβλία τῆς ἁγίας πέμπτης συνόδου μετὰ χεῖρας ἔχομεν, καὶ ὑποβάλλομεν τῷ παρεισάμενον.

Κωνσαντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· παρὼν Ἀντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος, ὑποδεχόμενος τὴν βίβλον ἀναγινωσκέτω. καὶ λαβὼν, καὶ ἀναπτύξας τὴν τοιαύτην βίβλον ἀπήρξατο τῆς προοιμίου τῆς τοιαύτης βίβλου, ἔχοντος ἐπὶ λέξεως οὕτω· λόγος τοῦ ἐν ἁγίοις Μηνᾶ ἀρχιεπισκ. Κωνσαντ. πρὸς Βιγίλιον τὸν μακαριώτατον πάπαν Ῥώμης, περὶ τοῦ οὗ εἶναι τὸ Χριστοῦ τὸ θέλημα. καὶ ἀνασάντες οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ἐβόησαν· εὐσεβέστατε δέσποτα, ἐφαλσθῇ ἡ παροῦσα βίβλος τῆς πέμπτης συνόδου. μὴ ἀναγνωσθῇ ὁ λεγόμενος λόγος Μηνᾶ πρὸς Βιγίλιον, πλασὸς γάρ ἐστιν· ἀλλὰ κέλευσον ἀκριβῶς * ἐπισκῆψαι· πληροφορηθῆναι γὰρ ἔχει τὸ εὐσεβὲς ὑμῶν κράτος, ὅτι ἐκ ἑτέρου τινὸς καὶ γινομένων τῆς πεπραγμένων ἐν τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ ἐν προοιμίοις

* ἐπισκύψαι

μίοις οὗτος ὁ λεγόμενος λόγος Μηνᾶ πρὸς Βιγίλιον, ἀλλὰ προσεχῶς ἐνετέθη ἐν τοῖς προοιμίοις τῆς παρούσης βίβλου. καθὸ ἐν τῷ εἰκοστῷ πρώτῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ τῆς θείας λήξεως ἐτελεύτησε Μηνᾶς· ἡ δὲ ἁγία πέμπτη σύνοδος ἐν τῷ εἰκοστῷ ἑβδόμῳ ἔτει τῆς αὐτοῦ βασιλείας συνηθροίσθη, ἐπισκοποῦντος ταύτης τῆς βασιλίδος πόλεως Εὐτυχίου τοῦ τῆς ὁσίας μνήμης· καὶ * ἐπισκήψαντες ὅ τε εὐσεβέστατος βασιλεὺς ἅμα τοῖς ἐνδοξοτάτοις ἄρχουσι, καί τισι τῶν τῆς ἁγίας συνόδου θεοφιλῶν ἐπισκόπων, καὶ ἀναπτύξαντες, καὶ ἀνακείναντες εὗρον τρεῖς τετράδας εἰς τὴν ἀρχὴν τοῦ βιβλίου ἐκ προσθήκης ἐμβληθῆναι, μὴ ἐχούσας ὑποσημείωσιν ἀριθμητικὴν τὴν πρὸς συνήθειαν ἐντεθειμένην ἐν ταῖς τετράσιν· ἀλλ' ἐν τῇ τετάρτῃ τετράδι εἶναι τὸν πρῶτον ἀριθμὸν, καὶ εἰς τὴν μετ' αὐτὴν δευτέραν, καὶ τρίτην τετράδα ἐφεξῆς· ἄλλως τε καὶ ἀνόμοια εἶναι τὰ γράμματα τῶν ὑποβληθεισῶν ἐν πρώτοις τριῶν τετράδων, ἐν αἷς ἐμφέρεται ὁ λεγόμενος Μηνᾶ πρὸς Βιγίλιον λόγος, πρὸς τὰ γράμματα τὰ ἀρχῆθεν γεγραμμένα ἐν τῷ λεχθέντι βιβλίῳ. Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ὁ τοιοῦτος μὴ ἀναγινωσκέσθω λόγος. τὸ δὲ προοίμιον τῶν πεπραγμένων τῆς αὐτῆς ἁγίας πέμπτης συνόδου κατὰ τάξιν ἀναγινωσκέσθω· καὶ ἀνεγνώσθη τὸ πρῶτον βιβλίον. Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἀκολούθως καὶ ἡ τοῦ δευτέρου βιβλίου τῶν πεπραγμένων τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ πέμπτῃ συνόδῳ γινέσθω ἀνάγνωσις· καὶ λαβὼν Πέτρος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως τὸ βιβλίον ἀνέγνω. καὶ ἀναγινωσκομένης τῆς ἑβδόμης πράξεως εὑρέθησαν ἐν αὐτῇ λίβελλοι δύο ὡς ἀπὸ Βιγιλίου τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένου πάπα Ῥώμης· ὁ μὲν εἷς πρὸς Ἰουστινιανὸν τὸν ἐν εὐσεβεῖ τῇ λήξει γενόμενον βασιλέα· ὁ δὲ ἕτερος πρὸς Θεοδώραν τὴν ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένην Αὐγούσταν. ἐν οἷς περιέχεται οὕτως· ἀναθεματίζομεν δὲ καὶ Θεόδωρον τὸν γενόμενον ἐπίσκοπον Μοψουεστίας, ὡς ἀλλότριον ἀεὶ γεγονότα καὶ τῶν ἐκκλησιῶν, καὶ τῶν ἁγίων πατέρων ἐναντίον· ὃς οὐχ ὁμολογεῖ σαρκωθῆναι τὸν Θεὸν λόγον, τουτέστι Χριστὸν εἶναι μίαν ὑπόστασιν, καὶ ἓν πρόσωπον, καὶ μίαν ἐνέργειαν. καὶ ἀναστάντες πάλιν οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης μετὰ καὶ τῶν σὺν αὐτοῖς θεοφιλῶν ἀνδρῶν ἐβόησαν, καὶ εἶπον. μὴ ποιήσῃ ὁ Θεὸς, δέσποτα, οὐκ εἶπε Βιγίλιος μίαν ἐνέργειαν. οὐκ εἰσὶν οἱ λίβελλοι Βιγιλίου ἐφαλσεύθη καὶ αὕτη ἡ βίβλος, ὥσπερ καὶ τὰ προοίμια τοῦ πρώτου βιβλίου τῆς παρούσης ἁγίας πέμπτης συνόδου· ἐπεὶ δέσποτα, εἰ μίαν ἐνέργειαν ἐδογμάτισε Βιγίλιος, καὶ ἀπεδέχθη ἐκ τῆς συνόδου καὶ ἐν τῷ τῆς αὐτῆς ἁγίας συνόδου ὅρῳ ἡ τοιαύτη περὶ μιᾶς ἐνεργείας εἶχεν ἀναληφθῆναι φωνή. ἀναγινωσκομένου δὲ, εὐσεβέστατε δέσποτα, τοῦ τοιούτου ὅρου, εὑρίσκει ὁ δεσπότης τὴν πᾶσαν ἀλήθειαν. καὶ καθ' εἱρμὸν καὶ τάξιν ἀναγνωσθείσης τῆς εἰρημένης βίβλου μέχρι τοῦ ὅρου, ἀναγνωσθέντος δὲ καὶ αὐτοῦ τοῦ ὅρου ἕως πέρατος, οὐδαμῶς τι ἐμφερόμενον περὶ μιᾶς ἐνεργείας ἐν τῷ τοιούτῳ εὑρέθη ὅρῳ.

Θεόδωρος καὶ Γεώργιος οἱ εὐλαβέστατοι πρεσβύτεροι, καὶ Ἰωάννης ὁ εὐλαβέστατος διάκονος, οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης εἶπον· αἰτοῦμεν τὴν θεόσοφον ὑμῶν γαλήνην, εὐκαίρως τὴν λεχθεῖσαν ἀνακριθῆναι βίβλον εἰς τὸ τὴν ἐν αὐτῇ γενομένην πλαστουργίαν φανερωθῆναι.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· τὸ αἰτηθὲν καθ' ἑτέραν γενέσθω· ἡ δὲ παροῦσα βίβλος μέχρι τέλους ἀναγινωσκέσθω. καὶ ἀνεγνώσθη.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· τὴν εἴδησιν τῶν ἀναγνωσθέντων συνοδικῶν βιβλίων λαβοῦσα ἥ τε ἁγία σύνοδος, καὶ οἱ ἐνδοξότατοι ἄρχοντες λεγέτωσαν. εἰ εὑρέθη ὁρισθὲν ἀπὸ τῶν αὐτῶν ἁγίων συνόδων, * ὅπερ ὑπέσχετο Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ οἱ σὺν αὐτῷ εὐλαβέστατοι ἄνδρες, ἀποδεικνύειν ἓν θέλημα καὶ ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡ ἁγία σύνοδος, καὶ οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἐκ τῶν συναναγνωσθέντων τῶν ἁγίων συνόδων, ὡς ἴσε εὐσεβέστατοι, παντελῶς οὐχ εὕρομεν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἓν θέλημα, καὶ μίαν ἐνέργειαν. Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος, καὶ οἱ σὺν αὐτῷ διεξίτωσαν, εἰ κατὰ τὰ παρ' αὐτῶν ὑποσχεσθέντα ἑτοίμως ἔχουσι χρήσεις προαγαγεῖν ἁγίων ἐγκρίτων πατέρων, ὀφειλούσας ἀποδεῖξαι ὅπερ ὑπέσχοντο, ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ταύτας προκομιζέτωσαν.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ οἱ σὺν αὐτῷ εἶπον. κατὰ τὰ κελευσθέντα παρὰ τοῦ ὑμετέρου κράτους, διορίας ἡμῖν διδομένης, τὰς ὑποσχεθείσας παρ' ἡμῶν προφέρεσθαι τῶν ἁγίων πατέρων προκομίζομεν χρήσεις.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν. Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος καὶ οἱ σὺν αὐτῷ, τοῦτο καθ' ἑτέραν πραττέτωσαν. Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, καὶ ἡ ὑπ' αὐτὸν σύνοδος εἶπον· αἰτοῦμεν τὴν ὑμετέραν θεόσοφον γαλήνην, τὰς σταλείσας ἀναφορὰς πρὸς τὸ θεόσεπτον ὑμῶν κράτος παρά τε Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῆς ὑπ' αὐτὸν συνόδου εἰς ἐπήκοον ἡμῶν ἀναγνωσθῆναι, πρὸς τὸ τὴν εἴδησιν λαβεῖν ἡμᾶς πάσης τῆς ἐν αὐταῖς ἐμφερομένης δυνάμεως. Κωνσταντῖνος ὁ εὐσεβέστατος

* ἐπεισκύψαντες

* ὥσπερ

ςατος βασιλεὺς εἶπε. τὸ παρ' ὑμῶν αἰτηθὲν καθ' ἑτέραν γενήσεται.

ΠΡΑΞΙΣ Δ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ιησοῦ Χριςοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοςέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνςαντίνου μὲν τοῦ εὐσεβεςάτου καὶ θεοψηφίςου μεγάλου βασιλέως καὶ αἰωνίου Αὐγούςου καὶ αὐτοκράτορος, ἔτους εἰκοςοεβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τρισκαιδεκάτου· Ηρακλείου δὲ καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοςοδευτέρου, τῇ πεντεκαιδεκάτῃ τοῦ Νοεμβρίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης. Προκαθημένου τοῦ αὐτοῦ εὐσεβεςάτου, καὶ φιλοχρ. μεγάλου βασιλέως Κωνςαντ. ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνῆς, παρόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίςρου τῶν βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, κόμητος τοῦ βασιλικοῦ ὀψικίου, καὶ ὑποςρατήγου Θρᾴκης. Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου. Ιουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ ςρατιωτικοῦ λογοθέτου. Κωνςαντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ τῶν Ορμίσδου οἴκου· Αναςασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου. Ιωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίςωρος· Πολυεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῶν ἀνατολικῶν ἐπαρχιῶν. Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεςίκου τῆς βασιλικῆς τραπέζης.

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέςι Θεοδώρου καὶ Γεωργίου τῶν εὐλαβεςάτων πρεσβυτέρων, καὶ Ιωάννου τοῦ εὐλαβεςάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου ταύτης Κωνςαντινουπόλεως νέας Ρώμης, καὶ Πέτρου τοῦ θεοσεβεςάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Αλεξανδρέων μεγαλοπόλεως. καὶ Μακαρίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπ. Θεουπόλεως Αντιοχείας, καὶ Γεωργίου τοῦ εὐλαβεςάτου πρεσβ. μοναχοῦ καὶ ἀποκρισιαρίου Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ιεροσολύμων. Ιωάννου ἐπισκ. πόλεως Πόρτου. Αβουνδαντίου ἐπισκ. πόλεως Πατέρνου. Ιωάννου ἐπισκ. πόλεως τοῦ Ρηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβ. Ρώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνςαντῖνον παρ' αὐτῶν ἀναφορᾷ· καὶ Θεοδώρου τοῦ εὐλαβεςάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεςάτου ἀρχιεπισκ. Ραβέννης Θεοδώρου· Βασιλείου ἐπισκ. πόλεως Γορτύνης τῆς Κρητῶν νήσου· Θεοδώρου ἐπισκ. Εφέσου. Σισιννίου ἐπίσκ. Ηρακλείας Θρᾴκης. Γεωργίου ἐπισκόπου Κυζίκου· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκ. Νικαίας· Ιωάννου ἐπισκ. Χαλκηδόνος. Θεοδώρου ἐπισκ. Μελιτηνῆς· Σισιννίου ἐπισκ. Ιεραπόλεως Φρυγίας· Μακροβίου ἐπισκ. Σελευκείας Ισαυρίας, Γεωργίου ἐπισκ. Βυζίης Θρᾴκης· Γρηγορίου ἐπισκ. Μιτυληνῆς· Σεργίου ἐπισκ. Σηλυβρίας· Ανδρέου ἐπισκ. Μεθύμνης· Θεογνίου ἐπισκ. Κίου· Γεωργίου ἐπισκ. Καμουλιανῶν· Αντωνίου ἐπισκ. Υπαίπων. Ιωάννου ἐπισκ. τοῦ Δασκυλίου. Γενεσίου ἐπισκ. Αναςασιουπόλεως· Πλάτωνος ἐπισκ. Κίννης· Θεοδώρου ἐπισκ. Ιουςινιανουπόλεως Γόρδου. Θεοδώρου ἐπισκ. Βερίσσης. Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνου ἐπισκ. Τίου· Δομετίου ἐπισκ. Προυσιάδος· Σολομῶνος ἐπισκ. Κλανέου· Γεωργίου ἐπισκ. Κῴου. Ιωάννου ἐπισκ. Μύνδου. Γρηγορίου ἐπισκ. Καντάνου· Ιωάννου ἐπισκ. Λάππης. Εὐλαλίου ἐπισκ Ζηνωνοπόλεως· Κωνςαντίνου ἐπισκ. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ολβης· Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τοῦ ἐν Σικελίᾳ εὐαγοῦς μοναςηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῆς Ρενάτου τῆς διακειμένης κατὰ τὴν πρεσβυτέραν Ρώμην· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας, διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην· Αναςασίου πρεσβυτέρου καὶ μοναχοῦ τῶν εὐκτηρίων τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου· καὶ Στεφάνου πρεσβυτέρου καὶ μοναχοῦ τοῦ μαθητοῦ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Αντιοχείας.

Καὶ καθεσθέντων τῶν τε ἐνδοξοτάτων πατρικίων, καὶ ὑπάτων, καὶ πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων Χριςοῦ τοῦ Θεοῦ ἡμῶν εὐαγγελίων, Παῦλος ὁ μεγαλοπρεπέςατος ἀσεκρέτις, καὶ βασιλικὸς σεκρετάριος εἶπε. μέμνηται ἡ θεόσοφος ὑμῶν εὐσέβεια, ὡς κατὰ τὴν προλαβοῦσαν συνέλευσιν ἀναγνωσθέντων τῶν πεπραγμένων τῆς ἁγίας πέμπτης συνόδου, Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως ἅμα τῇ ὑπ' αὐτὸν συνόδῳ ἠτήσατο τὸ ὑμέτερον εὐσεβὲς κράτος, τὰς γενομένας ἀναφορὰς ἀπό τε Αγάθωνος τοῦ ἁγιωτάτου πάπα

τῆς

τῆς πρεσβυτέρας Ρώμης, καὶ τῆς ὑπ' αὐτὸν συνόδου, παρουσίᾳ τῆς ὑμῶν εὐσεβείας, καὶ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου ἀναγνωσθῆναι· καὶ ὑποβάλλομεν πρὸς τὸ παρισάμενον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν. ἀναγινωσκέσθωσαν· καὶ προεκομίσθη δι' Ελληνικῶν γραμμάτων ἡ τῶν εἰρημένων ἀναφορῶν ἑρμηνεία Διογένους τοῦ μεγαλοπρεπεστάτου ἀσεκρέτις σεκρεταρίου βασιλικοῦ, καὶ ἀνεγνώσθη ἔχουσα ἐπὶ λέξεως οὕτως.

ΕΠΙΣΤΟΛΗ

ΑΓΑΘΩΝΟΣ ΠΑΠΑ

Τοῖς εὐσεβεστάτοις δεσπόταις, καὶ γαληνοτάτοις νικηταῖς καὶ τροπαιούχοις, προσφιλεστάτοις τέκνοις * τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ Κωνσταντίνῳ μεγάλῳ βασιλεῖ, Ηρακλείῳ, καὶ Τιβερίῳ Αὐγούστοις, Αγάθων ἐπίσκ. δοῦλος τῶν δούλων τοῦ Θεοῦ.

* L. ἐρασταῖς τοῦ κυρίου

Κατανοούντι μοι τοῦ ἀνθρωπίνου βίου τὰς διαφόρους ὀδύνας, καὶ πρὸς τὸν Θεὸν τὸν μόνον ἀληθινὸν μετὰ σφοδρότητος ὀδυρμῶν στενάζοντι, ὅπως παράκλησιν τῇ χειμαζομένῃ ψυχῇ τῷ πόθῳ τῆς θείας εὐσπλαγχνίας μεταδῷ, καὶ ἀπὸ τοῦ βυθοῦ τῶν θλίψεων τῇ δυναστείᾳ τῆς αὐτοῦ δεξιᾶς ἀνακουφίσῃ, μεγάλην καὶ θαυμαστὴν μετὰ ἀκαταπαύστου εὐχαριστίας ὁμολογῶ, γαληνότατοι δεσπόται καὶ τέκνα, παραμυθίας ἐπιτηδειότητα παραστῆσαι κατηξίωσε τὴν εὐσεβῆ πρόθεσιν τῆς γαληναίας ὑμῶν ἡμερότητος· ἣν τινα πρὸς σύστασιν τῇ θεόθεν καταπιστευθείσῃ * αὐτῇ χριστιανικωτάτῃ πολιτείᾳ ἡ αὐτοῦ ἐπίνευσις ἐχαρίσατο· ὅπως ἡ βασιλικὴ ἰσχὺς καὶ εὐμένεια περὶ Θεοῦ, δι' οὗ βασιλεῖς βασιλεύουσι, τοῦ βασιλέως ὄντως τῶν βασιλευόντων, καὶ κυρίου τῶν κυριευόντων, καὶ φροντίσῃ, καὶ ζητήσῃ, καὶ τῆς ἀμωμήτου αὐτοῦ πίστεως τὴν ἀλήθειαν, ὡς παρὰ τῶν ἀποστόλων, καὶ τῶν ἀποστολικῶν πατέρων παρεδόθη, ἀγρύπνως ἐπιζητήσῃ· καὶ ὡς ἡ ἀληθὴς παράδοσις περιέχει, ἐνστατικῶς ἐπιθυμήσῃ ἐν πάσαις ταῖς ἐκκλησίαις ἐπικρατῆσαι. καὶ μήπως τινὰ τῶν ἀκουόντων ὁ οὕτως εὐσεβὴς διαλάθῃ σκοπὸς, ἢ ἀνθρωπίνη ὑποψία καταπτοήσῃ λογιζομένων ἐξουσίᾳ ἡμᾶς εἶναι συνωθησθέντας, καὶ οὐχὶ πληρεστάτῃ γαληνότητι πρὸς τὸ ἀπολογήσασθαι περὶ τοῦ κηρύγματος τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως ὑπομνησθέντας, αἱ θειώδεις κεραῖαι πρὸς τὸν τῆς ἀποστολικῆς μνήμης Δῶνον τὸν ἀρχιερέα καὶ προηγησάμενον τὴν ἡμετέραν μετριότητα, πᾶσι τοῖς λαοῖς καὶ ἔθνεσι διὰ τῆς ἡμῶν διακονίας ἐφανεροποίησαν, καὶ πληροφοροῦσιν. ἅς τινας κεραίας ἡ χάρις τοῦ ἁγίου πνεύματος τῷ καλάμῳ τῆς βασιλικῆς γλώττης ἐκ τοῦ καθαροῦ τῆς καρδίας θησαυροῦ ὑπηγόρευσεν, ὑπομιμνησκούσας, καὶ μὴ καταθλιβούσας· ἀπολογουμένας καὶ μὴ καταφοβούσας· μὴ καταπονούσας, ἀλλὰ προτρεπούσας· πρὸς ταῦτα, ἅπερ εἰσὶ τοῦ Θεοῦ, κατὰ Θεὸν προτρεπούσας. ἐπειδὴ καὶ αὐτὸς ὁ πάντων κτιστὴς καὶ λυτρωτὴς, ὁπόταν ἠδύνατο ἐν τῇ μεγαλειότητι τῆς ἰδίας θεότητος τοὺς θνητοὺς ἐκφοβῆσαι, ἡμερότητι μᾶλλον ἀνεικάστου φιλανθρωπίας ταπεινῶς εἰς τὰ καθ' ἡμᾶς κατελθὼν, οὓς ἐδημιούργησε, καὶ λυτρώσασθαι κατηξίωσεν· ὅστις καὶ αὐτοπροαίρετον παρ' ἡμῶν τῆς ἀληθοῦς πίστεως τὴν περὶ αὐτοῦ ὁμολογίαν ἐκδέχεται. ὅπερ καὶ ὁ μακάριος Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων ὑπομιμνήσκει· ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Χριστοῦ μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως κατὰ Θεὸν προτρεπόμενοι. ταύταις τοίνυν ταῖς θείαις συλλαβαῖς, ἡμερώτατοι τῶν πραγμάτων δεσπόται, ἐμψυχωθεὶς, καὶ πρὸς ἐλπίδα παραμυθίας ἀπὸ βαθυτάτων ὀδυνῶν κουφισθεὶς, ἠρξάμην τῇ κρείττονι κατ' ὀλίγον ἀνεθεὶς παῤῥησίᾳ τὰ ἤδη * διὰ τῆς σάκρας τῆς ἡμερωτάτης ὑμῶν ἀνδρείας προσταχθέντα ἐνεργῶς πρόθυμον ὑπουργείαν παρισᾶν, καί τινα πρόσωπα εἴστε τὴν τοῦ καιροῦ τούτου ἀτονίαν, καὶ τῆς δουλικῆς ἡμῶν χώρας ποιότητα ἠδύναντο εὑρεθῆναι ἕνεκεν πληροφορίας ὑπακοῆς, ἐπεζήτουν. καὶ μετὰ βουλῆς τῶν συνδούλων μου τῶν ἐπισκόπων ἀπότε τῆς πλησιαζούσης τούτῳ τῷ ἀποστολικῷ θρόνῳ συνόδου, εἶτα δὲ καὶ ἀπὸ τοῦ * δουλικοῦ κλήρου * τοῦ φιλοῦντος τὸ ὑμέτερον χριστιανικώτατον κράτος, καὶ ἀκολούθως ἀπὸ τῶν θεοσεβεστάτων δούλων τοῦ Θεοῦ ἐπὶ τῷ σπεῦσαι παρὰ τὰ ἴχνη τῆς εὐσεβοῦς ὑμῶν γαληνότητος. καὶ εἰ μὴ ὅτι μακρὰ περίοδος τῶν χωρῶν, ἐν αἷς ἡ σύνοδος καθέστηκε τῆς ἡμετέρας ταπεινώσεως, τοῦ τοσούτου χρόνου ἐπεσώρευσε τὴν ἐπέκτασιν, πάλαι τοῦτο, ὅπερ μόλις ποτὲ νῦν γενέσθαι ἠδυνήθη, ἡ * περισπούδαστος ὑπακοὴ ἡ ἡμετέρα δουλεία ἐπλήρωσεν. ἀλλ' ἐν ὅσῳ ἀπὸ διαφόρων ἐπαρχιῶν ἡ δουλικὴ σὺν ἡμῖν σύνοδος συνηθροίζετο. ἐν ὅσῳ πρόσωπα, τινὰ μὲν ἀπὸ τῆς δουλικῆς τοῦ ἡμερωτάτου ὑμῶν κράτους πόλεως Ρώμης, ἢ ἐκ τοῦ πλησίον στείλαι φροντίζομεν, τινὰ δὲ ἐκ τῶν πόῤῥωθεν τυγχανουσῶν ἐπαρχιῶν, ἐν αἷς τὸν λόγον τῆς χριστιανικωτάτης πίστεως παρὰ τῶν ἀποστολικῶν τῶν προηγησαμένων τὴν ἐμὴν ἐλαχιστίαν οἱ σταλέντες ἐκήρυσσον, ἐξεδεχόμεθα ὑποστρέψαι, οὐ μικρὰ παραδρομὴ χρόνων ἐξηνύσθη· ἵνα τὰς σωματικὰς ἀσθενείας, ἐμοῦ τοῦ οἰκείου ὑμῶν σιωπῇ παρέλθω, ἐν αἷς οὔτε ζῆν ἔξεστιν, οὔτε ἀρέσκει συχναῖς ἀσθενείαις ἀποκάμνοντα. καὶ διὰ τοῦτο, χριστιανικώτατοι δεσπόται καὶ τέκνα, κατὰ τὴν εὐσεβεστάτην κέλευσιν τῆς θεοσκεπάστου ὑμῶν ἡμερότητος ἕνεκεν ὑπακοῆς, ἧς ὀφείλομεν, οὐχ ἕνεκεν παῤῥησίας * τῶν εἰς αὐτοὺς περισσευούσης εἰδήσεως, οὓς στέλλομεν, τοὺς παρόντας συνδούλους ἡμῶν, Αβουνδάντιον, Ιωάννην, καὶ Ιωάννην, τοὺς εὐλαβεστάτους ἀδελ-

* αὐτῆς

1. Πετρ. 5.

* ἴσ. τοῖς δη, &c. προσταχθεῖσιν

* L. οἰκείου * τοὺς φιλοῦντας.

* ἴσ. περισπουδάστῳ ὑπακοῇ

* ἴσ. τῆς ἐν οὐτοῖν.

ἀδελφὲς ἡμῶν καὶ ἐπισκόπους· Θεόδωρον καὶ Γεώργιον τὰ ἀγαπητὰ ἡμῶν τέκνα, τοὺς πρεσβυτέρους, μετὰ τῶν ἀγαπητῶν ἡμῶν τέκνων Ἰωάννου τοῦ διακόνου, καὶ Κωνσταντίνου τοῦ ὑποδιακόνου· ἐ μὴν ἀλλὰ καὶ Θεοδώρου τοῦ πρεσβυτέρου λεγάτου τῆς ἁγίας ἐκκλησίας Ῥαβέννης. καὶ τοὺς θεοσεβεστάτους δέλους τοῦ Θεοῦ τοὺς μοναχοὺς μετὰ καθοσιώσεως ἱκετευτικῆς καρδίας ἐν φροντίσαμεν ἀποσεῖλαι. παρὰ γὰρ ἀνθρώποις ἐν μέσῳ ἐθνῶν τυγχάνουσι, καὶ ἀπὸ σωματικοῦ μόχθου τῇ ξοφίᾳ μετὰ μεγάλου διεσαγμοῦ περιζομένοις, πῶς εἰς τὸ πλῆρες δυνήσεται εὑρεθῆναι ἡ τῶν γραφῶν ἔθησις; εἰ μὴ ὅτι κανονικῶς ἀπὸ τῶν ἁγίων τῶν προηγησαμένων καὶ τῶν ἁγίων πάντε συνόδων ἅπερ ὡρισμένα εἰσὶν, ἐν ἁπλότητι καρδίας, καὶ ἀναμφιβόλως ἀπὸ τῆς παραδοθείσης παρὰ τῶν πατέρων πίστεως φυλάττομεν, οὐ καὶ ἐξαίρετον ἔχειν διὰ παντὸς εὐχόμενοί τε καὶ σπεύδοντες, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα μειωθῇ, μηδὲ ἀλλαγῇ, ἢ προσεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι, καὶ νοήμασιν ἀπαράξωτα φυλαχθῶσιν. οἷς τισὶ διακομισαῖς καὶ χρήσεις τινὰς τῶν ἁγίων πατέρων, ὃς ἐδέξατο * αὕτη ἡ ἀποστολικὴ τοῦ Χριστοῦ ἐκκλησία, μετὰ τῶν βιβλίων αὐτῶν παραδεδώκαμεν· ὅπως εὐποιείας τυχόντες τοῦ ἀναφέρειν ἀπὸ τοῦ εὐμενοῦς ὑμῶν καὶ Χριστιανικωτάτου κράτους ἐκ τῶν μόνον ὁμολογήσασθαι σπεύσωσι, ἐπ' ἂν ἡ βασιλικὴ ἡμερότης προσάξῃ, τί * αὕτη ἡ πνευματικὴ μήτηρ τοῦ θεοκατορθώτου ὑμῶν κράτους, ἡ τοῦ Χριστοῦ ἀποστολικὴ ἐκκλησία πιστεύει, καὶ κηρύσσει ὁ διὰ κοσμικῆς εὐγλωττίας, ἤ τις οὐδὲ ἰδιώτης ἀνθρώποις βοηθεῖ, ἀλλὰ δι' ἀκεραιότητος τῆς ἀποστολικῆς πίστεως, ἐν ᾗ καὶ ἐκ σπαργάνων ἀναξαφσίτες μέχρι τέλους τῷ κατορθωτῇ τοῦ Χριστιανικωτάτου ὑμῶν κράτους τῷ κυρίῳ τοῦ οὐρανοῦ πάντας σωὶ ἡμῖν ἱκετεύομεν δουλεύειν καὶ φυλάττεσθαι. διόπερ ἄδειαν, ἣν ἔσουν αὐθεντίαν δεδώκαμεν αὐτοῖς πρὸς τὸ ὑμέτερον γαλλωσῶν κράτος, ἐπ' ἂν κελεύσῃ ἡ ὑμῶν φιλανθρωπία, τοῦ ἁπλῶς ἀπολογήσασθαι εἰς ὅσον αὐτοῖς μόνον ἐπετέθη· ἵνα μηδὲν δηλονότι προπετεύσωνται προσθεῖναι, ἢ * ὑφελεῖν, ἢ ἀλλάξαι. ἀλλὰ τῇ παράδοσιν τοῦτον τοῦ ἀποστολικοῦ θρόνου, καθὼς ὡρίσθη ἀπὸ τῶν προηγησαμένων ἀποστολικῶν προέδρων, εἰλικρινῶς ἐξηγήσασθαι. ὑπὲρ ὧν γονυπετοῦντες τῇ ὁσιοίᾳ * ἱκετικῶς τῇ ὑμετέραν φιλανθρωπίαν, ἤ τις πρὸς ἡμερότητα ὁσὶ παντὸς ἀποβλέπει, δυσωπῶμεν, ἵνα κατὰ τῇ ἀγαθοθελῆ, καὶ σεβασμίαν τῆς βασιλικῆς σάκρας ὑπόχεσιν ἀποδοχῆς αὐτὸς ἀξιώσῃ ἡ χρισομίμητος ὑμῶν γαλλωσότης, καὶ εὐμενεῖς τὰς ἀκοὰς ὑμῶν ταῖς μεξίαις αὐτῶν ἀναφοραῖς χαρίσασθαι καταξιώσῃ. ὅτως λυσιτελοῦν τὰ ὦτα τοῦ παντοδυνάμου Θεοῦ πρὸς τὸ εἰσακοῦσαι τῶν ἱκεσιῶν ὑμῶν εὑρῆσαι ἡ ὑμετέρα ἡμερωτάτη εὐσέβεια, καὶ ἀβλαβεῖς περί τε τῇ ὀρθότητα τῆς ἀποστολικῆς πίστεως, περί τε τῇ τῶν σωμάτων ὁλοκληρίαν τοῖς οἰκείοις ἀποκατασῆσαι κελεύσῃ. ὅτως ἀποκατασῆσαι ἡ ὑπερτάτη μεγαλειότης ὁσὶ τῶν ἀνδρειοτάτων, καὶ ἀηττήτων καμάτων τῆς ὑμῶν θεοσηρίκτου φιλανθρωπίας ὑπὸ τὸ ἀγαθοθελὲς διάδημα τῆς ὑμῶν βασιλείας πᾶσαν τῇ τῆς Χριστιανῶν πολιτείαν, καὶ τοῖς ἀνδρειοτάτοις ὑμῶν σκήπτροις τὰ ἀντιτασόμενα, ὑποτάξαι ἔθνη. ἵνα ἐκ τούτου πάσῃ ψυχῇ, καὶ πᾶσι τοῖς ἔθνεσι πληροφορία γίνηται, ὅτι ὅπερ ὁσὶ τῶν σεβασμίων χειρῶν περὶ ἀβλαβησίας, καὶ τοῦ μή τινι βαρυνθῆναι τοὺς ἐρχομένους, τοῦ Θεοῦ αὐτῇ συνηκήσαντος, ὑποχέσθαι κατηξίωσεν, ἐν πᾶσιν ἐπλήρωσεν· οὔτε γὰρ ἡ ἔθησις αὐτῶν παῤῥησίαν δέδωκεν, ἵνα τολμήσωμεν πρὸς τὰ εὐσεβῆ ὑμῶν ἴχνη τότε σεῖλαι. ἀλλὰ τοῦτο ἡ βασιλικὴ ὑμῶν εὐμένεια φιλανθρώπως κελεύουσα προεξέψατο, καὶ ἡ ἡμῶν σμικρότης τὸ κελευσθὲν μεθ' ὑπακοῆς ἐπλήρωσεν. ἵνα δὲ τῇ * θεοσυσάτῳ ὑμῶν εὐσεβείᾳ, τί πεμέχει ἡ δωίαμις τῆς ἀποστολικῆς ἡμῶν πίστεως, ὁσὶ βραχέων δηλοποιήσωμεν, ἰῶ καὶ παρελάβομεν ὁσὶ τῆς ἀποστολικῆς παραδόσεως παρὰ τῶν ἀποστολικῶν ἀρχιερέων, καὶ τῶν ἁγίων πάντε οἰκουμενικῶν συνόδων, δι' ὧν οἱ θεμέλιοι τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐστερεώθησαν, καὶ ἐσαθηρώθησαν. αὕτη τοιγαροῦν ἐστιν ἡ κατάστασις τῆς εὐαγγελικῆς, καὶ ἀποστολικῆς ἡμῶν πίστεως, ἵνα ὁμολογοῦντες τῇ ἁγίαν καὶ ἀχώριστον Τριάδα, τουτέστι τὸν πατέρα, υἱὸν, καὶ πνεῦμα ἅγιον, μιᾶς εἶναι θεότητος, μιᾶς φύσεως καὶ οὐσίας, υἱὸς αὐτῇ κηρύττομεν καὶ φυσικοῦ θελήματος, δυνάμεως, ἐνεργείας, δεσποτείας, μεγαλειότητος, ἐξουσίας, καὶ δόξης. καὶ εἴτι δήποτε περὶ τῆς αὐτῆς ἁγίας Τριάδος ὑσιωδῶς λέγεται, οὐκ ἀριθμῷ ὡς * ἀπὸ μιᾶς φύσεως ἓξ ὁμοουσίων Τριάδα προσώπων καταλαμβανόμεθα, κανονικῷ λόγῳ τοῦτο διδαχθέντες. ὅτε δὲ περὶ τοῦ υἱὸς τῆς αὐτῆς ἓξ προσώπων αὐτῆς τῆς ἁγίας Τριάδος τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ Θεοῦ λόγου, καὶ περὶ τοῦ μυστηρίου τῆς προσκυνητῆς αὐτοῦ κατὰ σάρκα οἰκονομίας ὁμολογοῦμεν, πάντα διπλᾶ υἱὸς καὶ τοῦ αὐτοῦ κυρίου τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τῇ εὐαγγελικῇ παράδοσιν ὁραβεβαιούμεθα. τουτέστι δύο αὐτοῦ τὰς φύσεις κηρύττομεν, τὴν θείαν δηλαδὴ καὶ τῇ ἀνθρωπίνῃ, ἐξ ὧν καὶ ἐν αἷς καὶ μετὰ τοῦ θαυμαστοῦ καὶ ἀχώριστον ἕνωσιν ὑφέστηκε· καὶ μίαν ἑκάστου αὐτοῦ φύσιν ἰδιότητι φυσικῇ ἔχειν ὁμολογοῦμεν· καὶ ἔχειν τῇ θείαν πάντα, ἅπερ εἰσὶ θεῖα· καὶ τῇ ἀνθρωπίνῃ πάντα τὰ ἀνθρώπινα χωρὶς τινος ἁμαρτίας· καὶ ἑκατέραν υἱὸς καὶ τοῦ αὐτοῦ Θεοῦ λόγου τοῦ σαρκωθέντος, τουτέστιν ἀνθρωπήσαντος ἀσυγχύτως, ἀχωρίστως, ἀῤῥέπτως εἶναι ἐπιγινώσκομεν· μόνῃ νοήσει τὰ λυόμενα ὁραιρέοντες διὰ τῇ τῆς συγχύσεως δηλαδὴ πλάνῃ. ἴσως γὰρ καὶ τῇ τῆς διαιρέσεως ἀποβαλλόμεθα βλασφημίαν. ὁπόταν δὲ δύο φύσεις καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνερ-

* ταύτη. * ταύτη. * ὑφεῖλαι. * ἱκετευτικῶς * θεοδιδάκτῳ * ἴσ. ὡς ἐπὶ μιᾶς φύσεως τ ὁμ. πρόσωπων συμπεριλαμβάνομεν.

ἐνεργείας ὁμολογοῦμεν ἐν τῷ σοὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ὃς ἐναντία ταῦτα, ὅτε ἀλλήλοις ἀντικείμενα λέγομεν, καθὼς οἱ ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας πλανώμενοι τῆς ἀποστολικῆς παραδόσεως κατηγοροῦσιν· ἀπέσω ἡ αὐτὴ ἀσέβεια ἀπὸ τῆς καρδίας τῆς πίστεως· ὅτε ὡς κεχωρισμένας ἐν δυσὶν προσώποις, ἤγουν ὑποστάσεσιν· ἀλλὰ δύο λέγομεν, ἕνα καὶ τὸν αὐτὸν κύριον Ἰησοῦν Χριστόν, καθὼς τὰς φύσεις, ὅπως καὶ φυσικὰ θελήματα, καὶ ἐνεργείας ἐν ἑαυτῷ ἔχειν, θείαν δηλαδὴ καὶ ἀνθρωπίνην, θεῖον ὂν θέλημα ⁊ ἐνέργειαν ἔχειν ἐξ ἀϊδίου μετὰ τοῦ ὁμουσίου πατρὸς καινόν· ἀνθρώπινον χρονικῶς ἐξ ἡμῶν μετὰ τῆς ἡμετέρας φύσεως προσληφθέν. αὕτη ἐστὶν ἡ ἀποστολικὴ ⁊ εὐαγγελικὴ παράδοσις. ἣν κρατεῖ ἡ πνευματικὴ μήτηρ τοῦ εὐτυχεστάτου ὑμῶν κράτους, ἡ ἀποστολικὴ τοῦ Χριστοῦ ἐκκλησία αὕτη ἐστὶν ἡ καθαρὰ τῆς εὐσεβείας ὁμολογία. αὕτη ἐστὶν ἡ τῆς τῶν Χριστιανῶν πίστεως ἀληθὴς, καὶ ἀμώμητος ὁμολογία ἣν ὥσπερ οὐκ ἀνθρωπίνη ἐφεῦρε πανουργία, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον διὰ τῶν κορυφαίων τῶν ἀποστόλων ἐδίδαξεν. αὕτη ἐστὶν ἡ βεβαία ⁊ ἀνεπίληπτος τῶν ἁγίων ἀποστόλων διδασκαλία, ἧς τινος εἰλικρινοῦς εὐσεβείας τὸ ἀκέραιον μέχρις ὅτου παῤῥησιαστικῶς κηρύττεται ἐν τῇ τῶν Χριστιανῶν πολιτείᾳ, τῆς ὑμετέρας Γαλλωσύνης τὸ κράτος φυλάττει, καὶ σαθηροποιεῖ καὶ ὑψοῖ, καὶ ὡς τελείως θαῤῥοῦμεν, εὐτυχὲς ἀποδείξει. πείσθητε ἐμοὶ τῷ ταπεινῷ, Χριστιανικώτατοι δεσπόται καὶ τέκνα, ὅτι ὑπὲρ τῆς σεβασμιότητος καὶ τοῦ ὑψώματος αὐτοῦ ταύτας μετὰ ὀδυρμῶν ἐκχέω τὰς ἱκεσίας. καὶ πεῖσαι συμβουλεύειν, εἰ καὶ ἀναξίως καὶ ἐλαχίστως, γνησίως ἀγαπῶν προπετεύομαι· ὅτι ἡ ἐκ Θεοῦ δωρηθεῖσα ὑμῖν νίκη, ἡμετέρα σωτηρία ἐστί· καὶ τῆς ὑμετέρας γαλλωσύνης εὐτυχία, ἡμετέρα εὐφροσύνη ἐστί· καὶ τῆς ὑμετέρας πραότητος ἡ ῥῶσις, ἣν ἡμετέρα σμικρότητι εὐθυμία ἐστί· καὶ κατὰ τοῦτο μετὰ συντετριμμένης καρδίας καὶ τοῖς τῆς ὀμματοίας προχεομένοις δάκρυσι προσπίπτων δυσωπῶ, ἐκτεῖναι καταξιώσατε τὴν φιλάνθρωπον δεξιὰν τῇ ἀποστολικῇ διδασκαλίᾳ, ἵνα τὸν σωτῆρος τῆς εὐσεβῶν ὑμῶν μόχθων, ὁ μακάριος Πέτρος ὁ ἀπόστολος παραδέδωκεν· οὐχ ἵνα συγκλεισθῇ ὑπὸ τὸν μόδιον, ἀλλὰ σάλπιγγος λαμπρότερον ἐν ὅλῳ τῷ κόσμῳ κηρυχθήσεται· ὅτι ἡ αὐτοῦ ἀληθὴς ὁμολογία, ἀπὸ τοῦ ἄξονος ἐκ τῆς οὐρανῶν ἀπεκαλύφθη· ἧς ἕνεκεν ἀπὸ τοῦ κυρίου τῆς ὅλων μακαρίου εἶναι ἀπεφάνθη ὁ Πέτρος· ὃς καὶ τοῦ ποιμαίνειν τὰ πνευματικὰ πρόβατα τῆς ἐκκλησίας ἀπ' αὐτοῦ τοῦ λυτρωτοῦ τῆς πάντων τὴν δευτέραν παραθέσει ἐδέξατο· ὅτινος ἐπινεύσαντος τῇ βοηθείᾳ, αὕτη ἡ ἀποστολικὴ αὐτοῦ ἐκκλησία, καὶ αἱ καθολικαὶ σύνοδοι πιστῶς περιπτυσσόμεναι, ἐν πᾶσιν ἠκολούθησαν, καὶ πάντες οἱ σεβάσμιοι πατέρες τῷ ἀποστολικῷ αὐτοῦ * ἐπεσπάσαντο διδασκαλίαν, δι' ἧς καὶ δεδοκιμασμένοι τῆς ἐκκλησίας τοῦ Χριστοῦ φωστῆρες ἐλάμψαν. καὶ οἱ μὴ ἅγιοι διδάσκαλοι ὀρθόδοξοι ἐσεβάσθησαν καὶ ἠκολούθησαν· οἱ δὲ αἱρετικοὶ τοῖς πλασοῖς ἐγκλήμασι καὶ μισέσησιν ἀφαιρέσεων ἐπηκολούθησαν. αὕτη ἐστὶν ἡ τῶν ἀποστόλων τοῦ Χριστοῦ ζῶσα παράδοσις, ἣ τινα μέχρι τοῦ παρόντος ἡ αὐτὴ κρατεῖ ἐκκλησία, ἥτις ἐξαιρέτως ἀγαπωμένη, ⁊ θαλπομένη, καὶ παῤῥησιαστικῶς κηρυχθεῖσα. ἥτις διὰ τῆς ἀληθοῦς ὁμολογίας τῷ Θεῷ καταλλάσσει· ἥτις τῷ δεσπότῃ Χριστῷ παρατίθεται. ἥτις τῆς εὐσεβείας ὑμῶν τὸ χριστιανικώτατον διαφυλάττει κράτος· ἥτις ἀπὸ τοῦ δεσπότου τοῦ οὐρανοῦ δαψιλεῖς νίκας τῇ ἀνδρείᾳ τῆς ὑμετέρας εὐσεβείας σωρεύσει· ἥτις σωροδόκει ἐν τοῖς πολέμοις, καὶ ἐκπολεμεῖ τοὺς ἐναντίους, τὸ ὑμέτερον θεοκατόρθωτον κράτος παντοίως ὡς ἀκαταμάχητον τεῖχος περισκέπει· ἥτις φόβον τοῖς ἐναντίοις ἔθνεσιν * ἐμβάλλει, καὶ τῇ θείᾳ ὀργῇ * τιμωρεῖται. ἥτις καὶ ἐν πολέμοις τὰ τῆς νίκης βραβεῖα περὶ * τῆς τῶν πολεμίων καταστροφῆς καὶ ὑποταγῆς ἀπονέμει· ἥτις καὶ ἐν εἰρήνῃ ἀπροσκόπως ἀπαράσειστον τὸ κράτος διατηρεῖ· ἥτις καὶ τὸν ἐν πολέμοις ἀγῶνα ἐπὶ τῷ τέλει τῆς νίκης στεφανοῖ· ἥτις καὶ τὸν ἐν εἰρήνῃ ἀγῶνα ἐπὶ τῷ τέλει τῆς εἰρήνης στεφανοῖ· ἥτις καὶ τὸν ἐν πολέμοις ἀγῶνα καὶ τὸν ἐν εἰρήνῃ ἀγῶνα ἐπὶ τῷ τέλει τῆς νίκης καὶ

ἐὰν ἐνταῦθα, ὅπερ ἀπέστω, κηρύξαι τῆς αὐτοῦ λόγων τὴν ἀλήθειαν ἐπαισχυνθῶ; τί περὶ ἐμαυτοῦ; τί περὶ τῆς ἐμπιστευθεισῶν μοι ψυχῶν ἀπολογήσομαι, ἐπὰν περὶ τῆς ληφθείσης ὑπ' ἐμοῦ λειτουργίας λόγον σφιγκτὸν ἀπαιτήσῃ; τίς * τοίνυν φιλανθρωπότατοι, καὶ εὐσεβέστατοι δεσπόται καὶ τέκνα, ὅπερ τρέμων καὶ συμπίπτων τῷ πνεύματι λέγω, μὴ προκαλέσηται ἐκεῖνα, ἅπερ θαυμαστῇ ὑποσχέσει τοῖς πιστοῖς ἐπηγγείλατο φήσας· ὅστις με ὁμολογήσει ἔμπροσθεν τῆς ἀνθρώπων, ὁμολογήσω κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς; καὶ τίνα τῆς ἀπίστων μὴ ἐκφοβήσῃ ἐκείνη ἡ ἀπότομος ἀπειλὴ, ἥτις ἀγανακτοῦντα αὐτὸν προσμαρτύρεται, καὶ διαβεβαιοῦται φάσκουσα· ὅστις με ἀρνήσεται ἔμπροσθεν τῆς ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς; ὅθεν καὶ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος τῆς ἐθνῶν ὑπομιμνήσκει καὶ λέγει· ἀλλ' εἰ καὶ ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν, παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ὅπου τοιαύτη ἐπίκειται ποινὴ κολάσεως τοῖς στρεβλοῦσιν, ἢ παρασιωπῶσι τὴν ἀλήθειαν, πῶς οὐκ ἔστι φευκτέα ἡ ὑπεξαίρεσις ἡ ἀπὸ τῆς ἀληθείας τῆς δεσποτικῆς πίστεως; ὅθεν καὶ οἱ τῆς ἀποστολικῆς μνήμης οἱ προηγησάμενοι τὴν ἐμὴν μετριότητα ταῖς δεσποτικαῖς διδασκαλίαις κατηρτισμένοι, ἐξότε καινοτομίαν αἱρετικὴν εἰς τὴν τοῦ Χριστοῦ ἄμωμον ἐκκλησίαν οἱ πρόεδροι τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας εἰσαγαγεῖν ἐπεχείρουν, οὐδέποτε ἠμέλησαν τούτους προτρέψασθαι, καὶ παρακαλοῦντες ὑπομνῆσαι, ἵνα ἀπὸ τοῦ φαύλου δόγματος τῆς αἱρετικῆς πλάνης κἂν σιωπῶντες ἀποστήσωνται, μήπως ἐκ τούτου προοίμιον διαχωρισμοῦ ἐν τῇ ἑνώσει τῆς ἐκκλησίας ποιήσωσιν. ἓν θέλημα, καὶ μίαν ἐνέργειαν τῆς δύο φύσεων διαβεβαιούμενοι ἐν τῷ ἑνὶ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ. ὅπερ καὶ οἱ Ἀρειανοὶ, καὶ οἱ Ἀπολλιναρισταὶ, καὶ οἱ Εὐτυχιανισταὶ, καὶ οἱ Τιμοθεανοὶ, καὶ οἱ Ἀκέφαλοι, οἱ Θεοδοσιανοὶ, καὶ οἱ Γαϊανῖται, καὶ πᾶσα παντελῶς αἱρετικὴ μανία, ἥτε τῆς συγχεόντων, ἥτε τῆς διαιρούντων τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ ἐδίδαξαν, συγχέοντες μὲν τῆς ἁγίας ἐνανθρωπήσεως τὸ μυστήριον, καθὸ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἓν * αὐτῆς, ὥσπερ ἑνὸς, θέλημα, καὶ ἐνέργειαν προσωπικὴν ἔχειν φιλονεικοῦσι. διαιροῦντες δὲ τὴν ἀχώριστον ἕνωσιν, τὰς δύο φύσεις, ἅς τινας τὸν σωτῆρα ἔχειν ἐπιγινώσκουσιν, οὐχὶ καθ' ἕνωσιν, ἥτις καθ' ὑπόστασιν γενομένη γνωρίζεται, ἑνοῦσιν· ἀλλὰ βλασφημοῦντες, κατὰ σχέσιν θελήματος ὡς δύο ὑποστάσεις, τουτέστι δύο τινὰς καθ' ὁμόνοιαν συνάπτουσι. τοιγαροῦν ἡ ἀποστολικὴ τοῦ Χριστοῦ ἐκκλησία ἡ πνευματικὴ μήτηρ τοῦ θεοθεμελιώτου ὑμῶν κράτους καὶ ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογεῖ ἐκ δύο, καὶ ἐν δύο ὑπάρχοντα φύσεσι, καὶ δύο αὐτοῦ τὰς φύσεις, τὴν θείαν δηλονότι, καὶ ἀνθρωπίνην, καὶ μετὰ τὴν ἀχώριστον ἕνωσιν ἀσυγχύτως ἐν αὐτῷ εἶναι διδάσκει, καὶ ἐκ τῆς φυσικῶν ἰδιοτήτων μίαν ἑκάστην αὐτῆς τῆς τοῦ Χριστοῦ φύσεων τελείαν εἶναι ἐπιγινώσκει. καὶ εἴτι δήποτε ἀνήκει πρὸς τὰς ἰδιότητας τῆς φύσεων, πάντα διπλᾶ ὁμολογεῖ· ὅτι αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεὸς τέλειός ἐστι, καὶ ἄνθρωπος τέλειός ἐστι, καὶ ἐκ δύο καὶ ἐν δύο φύσεσι, καὶ μετὰ τὴν θαυμαστὴν ἐνανθρώπησιν ὑπάρχων. οὔτε ἡ θεότης αὐτοῦ χωρὶς τῆς ἀνθρωπότητος, οὔτε ἡ ἀνθρωπότης αὐτοῦ χωρὶς τῆς θεότητος δύναται νοεῖσθαι. ἀκολούθως τοίνυν πρὸς τὸν κανόνα τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας καὶ δύο φυσικὰ θελήματα ἐν αὐτῷ, καὶ δύο φυσικὰς ἐνεργείας εἶναι ὁμολογεῖ, καὶ κηρύττει· ἐὰν γάρ τις προσωπικὸν νοήσῃ τὸ θέλημα, ἐν ὅσῳ τρία πρόσωπα ἐν τῇ ἁγίᾳ Τριάδι λέγονται, ἀναγκαῖόν ἐστιν, ἵνα καὶ τρία προσωπικὰ θελήματα, καὶ τρεῖς προσωπικαὶ ἐνέργειαι, ὅπερ ἀλλοκώτατόν ἐστι καὶ λίαν βέβηλον, λεχθήσωνται· * ἐπεὶ, ὅπερ ἡ ἀλήθεια τῆς χριστιανικωτάτης πίστεως περιέχει, φυσικὸν τὸ θέλημά ἐστιν, ὅπου μία φύσις λέγεται τῆς ἁγίας καὶ ἀχωρίστου Τριάδος, ἀκολούθως. καὶ ἓν φυσικὸν θέλημα, καὶ μία φυσικὴ ἐνέργεια νοεῖται. ἡνίκα δὲ ἐν τῷ ἑνὶ προσώπῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεσίτου Θεοῦ καὶ ἀνθρώπων δύο φύσεις, τουτέστι τὴν θείαν καὶ τὴν ἀνθρωπίνην ὁμολογοῦμεν, ἐν αἷς καὶ μετὰ τὴν θαυμαστὴν ἕνωσιν ὑπάρχει. καθὼς δύο τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ τὰς φύσεις, οὕτω καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς αὐτοῦ τὰς ἐνεργείας κανονικῶς ὁμολογοῦμεν. ἵνα δὲ ταύτης τῆς ἀληθοῦς ὁμολογίας ἡ νόησις ἐκ τῆς * παλαιᾶς καὶ καινῆς διαθήκης ἡ θεόπνευστος διδασκαλία ταῖς ἐννοίαις τῆς ὑμετέρας εὐσεβείας φανῇ· πλέον γὰρ καὶ ἀσυγκρίτως ἡ ὑμετέρα φιλανθρωπία δυνήσεται τὴν ἔννοιαν τῆς ἁγίων γραφῶν ἐπεξεργάσασθαι, ἤπερ ἡ ἡμετέρα σμικρότης ῥευστοῖς ῥήμασι σαφηνίσαι· αὐτὸς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὃς ἀληθινὸς καὶ τέλειος Θεὸς, ἀληθινὸς καὶ τέλειος ἄνθρωπός ἐστιν, ἐν τοῖς ἱεροῖς αὐτοῦ εὐαγγελίοις προσμαρτύρεται ἔν τισι τὰ ἀνθρώπινα, ἔν τισι τὰ θεῖα, καὶ ἅμα ἑκάτερα ἐν ἄλλοις περὶ αὐτοῦ φανερὰ ποιούμενος· ὅπως αὐτὸν ἀληθῆ Θεὸν καὶ ἀληθῆ ἄνθρωπον πιστεύειν καὶ κηρύττειν τοὺς πιστοὺς αὐτοῦ καταρτίσῃ. προσεύχεται οὖν πρὸς τὸν πατέρα ὡς ἄνθρωπος, ἵνα τὸ ποτήριον τοῦ πάθους παραγάγῃ. ὅτι ἐν αὐτῷ τῆς ἡμετέρας ἀνθρωπότητος ἡ φύσις χωρὶς μόνης ἁμαρτίας τελεία ἐστί· πάτερ, φάσκων, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ θέλεις. καὶ ἐν ἄλλῳ· μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γινέσθω. ἧς τινος μαρτυρίας τὴν ἔννοιαν ἐὰν ἀπὸ τῆς ἁγίων καὶ ἐγκρίτων πατέρων σαφηνισθεῖσαν ἐπιγνῶναι ἐπιθυμῶμεν. καὶ τί τὸ ἐμὸν θέλημα, τί τὸ σὸν

σῃ-

* ἵσ. τίνα.

Ματθ. 20.

Λουκ. 12.

L. αὐτοῦ.

* L. εἰ δὲ.

* L. ἐκ τῆς ἐν τῇ παλαιᾷ καὶ καινῇ διαθήκῃ θεοπνεύστου διδασκαλίας.

Ματθ. 26.

Μάρκ. 11.

Λουκ. 23.

σημαίνη, τὸ ἀληθὲς νοῆσαι, ὁ μακάριος Ἀμβρόσιος ἐν τῷ δευτέρῳ λόγῳ πρὸς τὸν τῆς δυσεβοῦς μνήμης Γρατιανὸν τὸν βασιλέα τούτοις τοῖς ῥήμασι περὶ τοῦ τόπου τούτου ἡμᾶς νοεῖν ὑπομιμνήσκει φάσκων· δέχεται τοίνυν τιὼ βέλησιν τιὼ ἐμιὼ, δέχεται τὸ συγγνόν· θαῤῥῶν γὰρ ὀνομάζω συγγνότητα, ἐπειδὴ κυρύασω σαυρόν. ἐμὸν ἰῶ τοῦτο τὸ βέλημα, ὅπερ ἴδιον ἔλεγον· ἐπειδήπερ ὡς ἄνθρωπος τὰ τῆς ἐμῆς συγγνότητος ἔλαβεν, ὡ ἄνθρωπος καὶ ἐλάλησεν. καὶ δηλονότι τοῦτο, φησίν. οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ θέλεις. ἐμὴ γάρ ἐστιν ἡ συγγνότης, ἰῶ κατ' ἐμιὼ διάθεσιν ἀνεδέξατο· ἰδοὺ φαίνεται, δυσεβέστατοι βασιλέων, ὅτι ἐνταῦθα ὁ ἅγιος πατὴρ τὸ ῥῆμα τοῦτο, ὅπερ ὁ κύριος προσδιαλεγόμενος προήγαγε, τό· οὐχ ὡς ἐγὼ θέλω, πρὸς τιὼ ἀνθρωπότητα αὐτοῦ ἀνήκειν ἐπισφραγίζει, καθ' ἰῶ καὶ ὑπήκοος κατὰ τιὼ διδασκαλίαν τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου τῇ ἐθνῶν λέγεται μέχει θανάτου, θανάτου δὲ σαυροῦ. ὅθεν καὶ συνταφόμενος τοῖς γονεῦσι γνωρίζεται. * ὅτε δὴ τιὼ ὑπακοιὼ αὐτοῦ τὴν ἐκούσιον κατὰ τιὼ θεότητα, ἥτις πάντων δέσποζει, δυσεβέσι νοεῖν, ἀλλὰ κατὰ τιὼ ἀνθρωπότητα, δι' ἧς ἐκουσίως τοῖς γονεῦσιν ὑπετάγη. ὅπερ καὶ ὁ ἅγιος Λουκᾶς ὁ εὐαγγελιστὴς, ὁμοίως μνημονεύει, τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατὰ τιὼ ἀνθρωπότητα προσδιαλεγόμενον πρὸς τὸν πατέρα εἰσάγων, καὶ διαβεβαιούμενος· πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. πλιὼ μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γινέσθω. ὅντινα τρόπον ὁ τοῦ Χριστοῦ ὁμολογητὴς Ἀθανάσιος ὁ ἀρχιερεὺς τῆς Ἀλεξ. ἐκκλ. ἐν τῷ λόγῳ τῷ κατὰ Ἀπολιναρίου τοῦ αἱρετικοῦ περὶ τῆς ἔνσαρκου καὶ τῆς ἀνθρωπήσεως, καὶ τοῦ δυϊκοῦ ἀριθμοῦ δραττόμενος οὕτω σαφηνίζει· ὅταν λέγῃ· πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω· πλιὼ μὴ τὸ ἐμὸν θέλημα γένηται, ἀλλὰ τὸ σόν· * τὸ πνεῦμα προθυμον, ἡ δὲ σὰρξ ἀσθενής· δύο θελήματα ἐνταῦθα δείκνυσι, τὸ μὲν ἀνθρώπινον, ὅπερ ἐστὶ τῆς σαρκὸς, τὸ δὲ θεϊκόν. τὸ γὰρ ἀνθρώπινον δι' ἀτιὼ ἀσθένειαν τῆς σαρκὸς παραιτεῖται τὸ πάθος· τὸ δὲ θεϊκὸν αὐτοῦ προθυμον· ἧς τινος σαφηνείας τί ἀληθέστερον δύναται γνωρισθῆναι; πῶς γὰρ ἂν ἐν αὐτῷ δύο θελήματα, τοῦτέστι θεῖον καὶ ἀνθρώπινον πιστῶς ἐπιγνωσθήσονται, ἐν ᾗ δύο φύσεις καὶ μιᾷ τιὼ ἀχωρίστου σῴζουσιν συνοδικῷ κηρύγματι κηρύττονται; καὶ Ἰωάννης γάρ, ὃς ἐπὶ τὸ στῆθος τοῦ κυρίου ἀνέπεσεν, ὁ ἀγαπητὸς μαθητὴς τιὼ αὐτιὼ περιοχιὼ τούτοις σαφηνίζει τοῖς ῥήμασιν· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. καὶ πάλιν· τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶν, ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ τι, ἀλλ' ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. ὡσαύτως τὸν αὐτὸν κύριον εἰσάγει μετὰ τῶν Ἰουδαίων διαλεγόμενον, καὶ λέγοντα μετὰ τῶν λοιπῶν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός. οὗτινος θείου λόγου τὸν σκοπὸν ὁ μακάριος Αὐγουστῖνος ὁ ἐξοχώτατος διδάσκαλος ὅπως κατὰ * Μαξίμου τοῦ Ἀρειανοῦ φράζει, καὶ λέγει· ὅπερ δὲ εἶπεν ὁ υἱὸς τῷ πατρί· πλιὼ οὐχ ὅπερ ἐγὼ θέλω, ἀλλ' ὅπερ σὺ θέλεις· τί σοι βοηθεῖ, ὅτι τὰ σὰ ῥήματα ὑποβάλλεις, καὶ λέγεις· ἔδειξεν ἀληθῶς τὸ ἴδιον θέλημα ὑποτεταγμένον τῷ ἰδίῳ γεννήτορι, ὡς ἂν εἰ ἡμεῖς ἠρνούμεθα τὸ θέλημα τοῦ ἀνθρώπου τῷ τοῦ Θεοῦ θελήματι ὀφείλειν εἶναι ὑποτεταγμένον; καὶ γὰρ ἐκ τῆς φύσεως τοῦ ἀνθρώπου τοῦτο εἰρηκέναι τὸν κύριον ταχέως θεωρεῖ, ὅστις εἰς τὸν τόπον αὐτοῦ τοῦ ἁγίου εὐαγγελίου μικρῷ προσεχέστερον ἐπισκύψει. ἐκεῖ γὰρ εἶπε· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μήτι ἐκ τῆς φύσεως τοῦ μονογενοῦς δυνήσεται τοῦτο λέγεσθαι; ἀλλ' ἄνθρωπε, ὅστις νομίζεις στενάζειν τιὼ φύσιν τοῦ πνεύματος τοῦ ἁγίου, διὰ τί μὴ καὶ τιὼ φύσιν τοῦ Θεοῦ λόγου περίλυπον εἶναι εἴποις δυνάσθαι; πλιὼ αὐτὸς, μή πως τι τοιοῦτον λεχθείη, οὐκ ἔφη· περίλυπος εἰμί. εἰ καὶ τὰ μάλιστα εἰ καὶ τοῦτο εἰρήκει, οὐχὶ μὴ ἐκ τῆς φύσεως τοῦ ἀνθρώπου ἐχρῆν νοεῖσθαι. ἀλλά φησι. περίλυπός ἐστιν ἡ ψυχή μου, ἰῶ ὡς ἄνθρωπος πάντως ἔχων ἀνθρωπίνιν. εἰ καὶ τὰ μάλιστα καὶ ἐν τούτῳ ὅ φησίν. οὐχ ὅπερ ἐγὼ θέλω, ἄλλο ἑαυτὸν δείκνυσι θέλειν παρὰ τὸν πατέρα, ὅπερ εἰ μὴ τῇ ἀνθρωπίνῃ καρδίᾳ οὐκ ἠδυνάτο, * ὁπόταν τιὼ ἡμετέραν ἀσθένειαν εἰς τιὼ ἰδίαν οὐχὶ τιὼ θείαν, ἀλλὰ τιὼ ἀνθρωπίνιν * μεταχηματίσαι διάθεσιν. ἀνθρώπου δηλαδὴ μὴ προσληφθέντος οὐδαμῶς τῷ παιδὶ εἶπεν ἂν ὁ μονογενὴς λόγος· οὐχ ὅπερ ἐγὼ θέλω. οὐδέποτε γὰρ ἠδυνάτο ἡ ἄτρεπτος ἐκείνη φύσις τί ποτε ἕτερον θέλειν παρὰ τὸν πατέρα. ταῦτα εἰ διαστέλλεται, Ἀρειανοὶ, αἱρετικοὶ οὐκ ἔσεσθε· διὰ ἧς διαλέξεως ὁ σεβάσμιος οὗτος πατὴρ ἀποδείκνυσιν, ὅτι ἰωὶ καὶ λέγει ὁ κύριος ἴδιον, τῆς ἀνθρωπότητος αὐτοῦ σημαίνει τὸ θέλημα. καὶ ὅτε λέγει μὴ ποιεῖν τὸ θέλημα τὸ ἑαυτοῦ, ὑπομιμνήσκει ἡμᾶς οὐχὶ τὸ ἡμέτερον πρωτοτύπως ζητεῖν θέλημα, ἀλλὰ διὰ ὑπακοῆς τὸ ἡμέτερον θέλημα τῷ θείῳ θελήματι ὑποτάσσειν. ὅθεν φανεροποιεῖ, ὅτι καὶ τὸ ἀνθρώπινον ἔχε θέλημα, καθ' ὃ ὑπήκουσε τῷ πατρὶ, καὶ μὴ ἄμωμον ἀπὸ πάσης ἁμαρτίας τὸ αὐτὸ ἀνθρώπινον θέλημα, ἅτε δὴ Θεὸς ἀληθὴς καὶ ἄνθρωπος, τοῦτο ἐν ἑαυτῷ ἔσχε καὶ ἀπέδειξεν. ὅπερ καὶ ὁ ἅγιος Ἀμβρόσιος σαφηνίζων τὸν ἅγιον Λουκᾶν τὸν εὐαγγελιστὴν ὕτως φράζει· τὸ ἴδιον αὐτοῦ εἰς τὸν ἄνθρωπον ἀνήγαγε τὸ τοῦ πατρὸς εἰς τιὼ θεότητα, τὸ γὰρ ἀνθρώπινον θέλημα προσηκμηρον, τὸ θέλημα τῆς θεότητος, αἰώνιον. ταῦτα ὁ πνευματικὸς πατὴρ ὑπομιμνήσκων καταρτίζει, ὁποῖον θέλημα ἐξ ἀϊδίου σὺν τῷ πατρὶ καὶ τῷ πνεύματι τῷ ἁγίῳ φυσικῶς κοινὸν ὁ υἱὸς ἔχει, καὶ ποιῶν χρονικῶς διὰ τῆς προσληφθείσης ἀνθρωπότητος ὁ αὐτὸς ἐν τῷ ἰδίῳ προσώπῳ ἀνέλαβεν, ὅπερ καὶ ὁ τῆς ἀποστολικῆς μνήμης ἅγιος

Φιλιπ. 2.

Λουκ. 2.
* ἴσ. ἐκεῖ.

Λουκ. 23.

Ματθ. 26.

* L. καὶ πάλιν

Ἰωάν. 12. 22.

Ἰωάν. 6.

Ματθ. 26.

* ἴσ. ὁπότε.

* ἴσ. μετεσχηματίσε.

Λουκ. 22.

ἅγιος Λέων ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Λέοντα τὸν βασιλέα σαφηνίζει, μιᾷ ἑκάστῃ μορφῇ, τουτέστι φύσει, ἅ τινά εἰσιν ἐν τῷ Χριστῷ, σκοπῷ διακεκριμένῳ, ἅπερ ἐν ταῖς γραφαῖς περὶ αὐτοῦ ἀναφέρονται, * φανερῶν, καὶ τοῦτο, ὅπερ ἴδιον θέλημα ὁ κύριος εἶπε, πρὸς τὴν ἀνθρωπότητα αὐτοῦ ἀνήκειν δεικνύων οὕτως φησί. κατὰ τὴν μορφὴν τοῦ δούλου οὐκ ἦλθε ποιῆσαι τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τοῦ πέμψαντος αὐτόν· ἰδοὺ γὰρ ἐνταῦθα ὁ ἀποστολικὸς πατὴρ πρὸς τὴν τοῦ δούλου μορφὴν τὸν αὐτὸν τοῦ κυρίου λόγον ἁρμοδίως ἡμᾶς ἐδίδαξε νοεῖν. προσεπιτούτοις, * ὅπως εὐσεβῶς δυνηθῶσι νοεῖσθαι αἱ διάφοροι ἐπὶ τούτῳ τῶν ἁγίων γραφῶν μαρτυρίαι, * ἅ τινα ποτὲ μὲν ἐκ τῆς φύσεως τῆς ἀνθρωπότητος, ποτὲ δὲ ἐκ τῆς θείας τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ καὶ ἀνθρώπου * κατασκευάζονται; καὶ * ὅτε μὲν ἡ γραφὴ μνημονεύει, πάντα ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ὡσαύτως· ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει, ζωοποιεῖ· καὶ τῷ λεπρῷ λέγει· θέλω, καθαρίσθητι. καί· οὐδεὶς δύναται γνῶναι τὸν πατέρα, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ τινι θέλει ὁ υἱὸς ἀποκαλύψαι. ὡσαύτως τινὰ περὶ τοῦ ἀνθρωπίνου αὐτοῦ θελήματος τοῦ εὐαγγελίου τὰ μυστήρια μνημονεύουσιν, ἡνίκα λέγουσιν αὐτὸν ἐπὶ τῆς θαλάσσης περιπατοῦντα θέλειν ὡς ἀληθῶς ἀνθρωπον τοὺς ἰδίους * πειράσαι μαθητάς. καὶ ἐν τῷ διέρχεσθαι αὐτὸν διὰ τῆς Γαλιλαίας μετὰ τῶν μαθητῶν, οὐκ ἤθελεν, ἵνα τις γνῷ, καὶ ὡς ἄνθρωπος λέγει, ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντος μέ. καὶ οὐκ ἤθελε διὰ τῆς Ἰουδαίας περιπατῆσαι, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. καὶ πάλιν, ἐγερθεὶς ἦλθε εἰς τὰ μεθόρια Τύρου, καὶ εἰσελθὼν εἰς οἶκον οὐκ ἤθελέ τινα γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν· μὴ οὖν αὐτὸς ὁ δημιουργὸς τῶν πάντων καὶ λυτρωτὴς, περὶ οὗ εἴρηται· πάντα ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, οὗ τινος τὸ θέλειν τοῦτό ἐστιν * ὅπερ δύναται· οὗ τινος τῷ νεύματι αἱ οὐράνιαι δυνάμεις σὺν φόβῳ λατρεύουσι, λαθεῖν ἐπὶ γῆς θέλων οὐκ ἠδυνήθη; ὁ κατὰ τὴν θείαν μεγαλωσύνην ἐξ αἰδίου σὺν τῷ πατρὶ ἐν τοῖς οὐρανοῖς ἀπορρήτως δεσπόζων, καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς; εἰ μὴ τοῦτο πρὸς τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, ὅπερ χρονικῶς κατηξίωσε προσλαβεῖν, ἐπαναδοθείην; πόσῃ οὖν πλάνῃ ἐγκεκύλισται ὁ τὰ τοιαῦτα μὴ διακρίνων, ἵνα εἴπῃ, ἐνὶ καὶ τῷ αὐτῷ θελήματι καὶ πάντα ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἅπερ ἠθέλησε, τὸν κύριον δύνασθαι, καὶ τῷ αὐτῷ πάλιν θελήματι ἐν οἴκῳ εὐτελεῖ θέλοντα λαθεῖν μὴ δύνασθαι κατὰ τὰς εὐαγγελικὰς μαρτυρίας; ἀλλ' ἐὰν πρὸς τὴν οἰκονομίαν τῆς ἀνθρωπότητος αὐτοῦ καθ' ἣν τὸ ταπεινὸν ἡμῶν προσέλαβεν, ἀποδοθῇ, πάντα τὰ τῆς θείας αὐτοῦ μεγαλωσύνης ἠλαττωμένα πρὸς τὴν ἀνθρωπότητα αὐτοῦ ἀνήκειν γνωρίζεται, ἣν τελείως προσέλαβε χωρίς τινος ἁμαρτίας, ἵνα ταύτην καὶ τελείως σώσῃ. τὸ γὰρ παρ' αὐτοῦ μὴ προσληφθὲν οὐδὲ σώζεται, καθὼς ἡμᾶς ὁ συστατικὸς τῆς ἀληθείας κήρυξ Γρηγόριος ὁ Ναζιανζοῦ πρόεδρος ἐφωδίασε, τοιγαροῦν * εἰς τὸ παρ' αὐτοῦ ἀνθρώπινον θέλημα, καθὼς ἡ φύσις, προσελήφθη, καὶ ἐσώθη. καὶ ὅπερ παρὰ τοῦ προσλαβομένου ἐσώθη, οὐκ ἠδύνατο εἶναι αὐτῷ ἐναντίον. οὐδὲν γὰρ ἐναντίον ἑαυτῷ ὁ δημιουργὸς τῶν ὅλων ἔκτισεν, ἢ διὰ τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως προσέλαβε. καὶ ὁ ψαλμῳδὸς Δαβὶδ τὸ πρόσωπον τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν ψαλμοῖς εἰσάγων προμηνύει· τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός μου ἠβουλήθην. ὡσαύτως. ἑκουσίως θύσω σοι. μήτι κατὰ τὴν θεότητα ἄλλο ἐστὶ θέλημα τοῦ πατρὸς παρὰ τὸν υἱόν; ἢ ἄλλο θέλει ὁ υἱὸς παρὰ τὸν πατέρα; εἰ τοίνυν ἓν θέλουσι, καὶ οὐδεμία ἐστὶ διαφορὰ θελήματος ἐν τῇ ἁγίᾳ Τριάδι, πῶς ἐστι νοητέον, ὅπερ ὁ προφήτης περὶ τοῦ προσώπου αὐτοῦ μαρτυρεῖ· τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός μου ἠβουλήθην, εἰ μὴ πιστῶς νοηθῇ εἰρημένον περὶ τοῦ ἀμώμου θελήματος τῆς αὐτοῦ ἀνθρωπότητος; ὅθεν καὶ ἕπεται· καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. οὐδεὶς γὰρ ἀμφιβάλλει, ὅτι ὁ ψαλμὸς οὗτος εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ ἀπὸ τοῦ προφήτου ἐκηρύχθη. ὅπερ καὶ ὁ ἀπόστολος Παῦλος ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Φιλιππησίους ἀναγγέλλει, εἰ πεπληρωμένῃ πίστει θελήσει τις προσέχειν, περὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὕτως λέγων· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. ἰδοὺ ἐνταῦθα ὁ ἀληθέστατος κήρυξ, καὶ τῶν μορφῶν, τουτέστι τῶν φύσεων τοῦ Χριστοῦ τὴν διαφορὰν διδάσκει, καὶ τὴν ὑπακοὴν μέχρι θανάτου τῆς * ἀνθρωπίνης μορφῆς σοφῶς ἐπισφραγίζει. τίς γὰρ εἰς τοσοῦτον ἀπὸ τοῦ φωτὸς τῆς ἀληθείας ἀπεχώρησεν, ἵνα κατὰ τὸ θέλημα τῆς αὐτοῦ θεότητος προπετεύσηται λέγειν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῷ πατρὶ ὑπακοῦσαι, ᾧ τινί ἐστιν ἴσος ἐν πᾶσι, καὶ τοῦτο θέλει ἐν πᾶσι καὶ αὐτὸς ὅπερ ὁ πατήρ; ἢ τίς μὴ νοήσῃ τὴν ὑπακοὴν τῷ ἀνθρωπίνῳ θελήματι μᾶλλον ἁρμόζειν, ἐν ᾧ παντελῶς οὐδεμίαν ἔσχεν ἁμαρτίαν; οὔτε ῥηθήσεται ὑπήκοος μέχρι θανάτου, εἰ μὴ ἀνθρώπινον θέλημα ἐν ἑαυτῷ ἀνέλαβε, καθὼς ψυχὴν λογικὴν, καὶ σάρκα μετὰ πάντων αὐτῶν τῶν ἰδιοτήτων σαρκωθεὶς προσέλαβε. προσεπιτούτοις ἵνα φανῇ τῇ ὑμετέρᾳ εὐσεβεῖ εὐμενείᾳ, ὅτι φυσικόν ἐστι τὸ ἀνθρώπινον θέλημα· καὶ ὁ ἀρνούμενος τὸ ἀνθρώπινον θέλημα χωρὶς μόνης ἁμαρτίας ἐν τῷ Χριστῷ, οὔτε ἔχειν αὐτὸν ἀνθρωπίνην ψυχὴν ὁμολογεῖ, ὁ σοφώτατος τῆς ἀληθείας κήρυξ, ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ πέμπτῳ τόμῳ τῆς διαλέξεως κατὰ Ἰουλιανοῦ

* προσνέμων

* L. πῶς ἂν εὐσεβῶς
L. αἵ τινες

* παράγονται
* ἐπὶ τοῦ παρόντος.
Ψαλ. 134.
Ἰωάν. 5.
Ματθ. 8.
Ματθ. 14.
* L. πέρασα
Ἰωαν. 6.
Μάρκ. 7.
Ἰωάν. 4.
Ἰωάν. 7.
Ψαλ. 125
* ὅπερ τὸ δύνασθαι.

L. εἰ παρ' αὐτοῦ τὸ ἀνθρώπινον.
Ψαλ. 49.
* τῇ ἀνθρωπίνῃ μ. σ. ἀπονέμει. ex Lat.

νȣ̃ τȣ̃ Πελαγιανιστȣ̃, τί ἐστι θέλημα, τȣ́τοις ὁρίζει τοῖς ῥήμασι· κίνησις ψυχῆς τί ἐστιν, εἰ μὴ κίνησις φύσεως; ἡ γὰρ ψυχὴ ἀνενδοιάστως φύσις ἐστί. διόπερ τὸ θέλημα κίνησις φύσεως ὑπάρχει, ἐπειδὴ κίνησίς ἐστι ψυχῆς. ἰδȣ̀ κατὰ τὸν ὅρον τȣ́τȣ τȣ̃ σοφωτάτȣ πατρός. τί εἴη τὸ ἀνθρώπινον θέλημα, δείκνυται ὅτι ψυχῆς κίνησις ἐστίν· ὁμοίως ἐν τῷ αὐτῷ· ἡ ἀλήθεια δὲ λέγει, ἐφ' ὅσον ἐστὶ * θελήματι ἀπὸ τῆς φύσεως χωρισθῆναι ȣ̓ δύναται. καὶ πάλιν ἐν τῷ αὐτῷ τόμῳ· καὶ πόθεν ἐστὶ τὸ θέλημα, καὶ εἶναι ȣ̓ λογίζεται. καὶ ἐὰν ἡ ἀρχαιογονία αὐτȣ̃ ȣ̓κ ἔστι ζητητέα, ȣ̓ διὰ τȣ̃το ȣ̓κ ἔστι ζητητέα, ὅτι τὸ θέλημά πόθεν ȣ̓κ ἔστιν, ἀλλ' ὅτι πεφανέρωται πόθεν εἴη. ἐξ ἐκείνȣ γάρ ἐστι τὸ θέλημα ȣ̃ τινός ἐστι τὸ θέλημα· ἀπ' ἀγγέλου δηλονότι θέλημα ἀγγέλου· ἀπὸ ἀνθρώπου, ἀνθρώπου· ἀπὸ Θεȣ̃, Θεοῦ· καὶ ἐὰν ἐνεργῇ ὁ Θεὸς θέλημα ἀγαθὸν ἐν τῷ ἀνθρώπῳ, τȣ̃το ἐνεργεῖ, ἵνα ἀνατείλῃ ἐξ αὐτοῦ ἀγαθὸν θέλημα· ȣ̃ τινός ἐστι τὸ θέλημα· καὶ πάλιν φησί· διὰ τί ȣ̃ν ἀρνῆσαι κεκλεισμένοις ὀφθαλμοῖς πράγματα φανερὰ, ἀπὸ τῆς φύσεως τȣ̃ ἀνθρώπȣ ἀναφύεσθαι θέλημα τῷ ἀνθρώπῳ; ὡσαύτως, αὐτὴ ἡ κίνησις τῆς ψυχῆς μηδενὸς ἀναγκάζοντος θέλημα ἐστί . . . . . καὶ πάλιν ȣ̓τως· ȣ̓κ * ἀληθῶς ἄρα Ιȣλιανὲ ἐξ ἀνθρώπȣ θέλημα ἀνθρώπȣ ȣ̓κ ἀναφύεται, ὁπόταν, ὁ ἄνθρωπος ἀγαθὸν ποίημα Θεȣ̃ εἴη; ἔπειτα δὲ * ἠδυνήθη ἀνελθεῖν εἰς τὴν καρδίαν σȣ, φύεσθαι μὴν ἐξ ἀνθρώπȣ θέλημα, ἀλλ' ȣ̓χὶ ἐκ τȣ̃ αὐτεξȣσίȣ αὐτȣ̃; εἰπὲ ȣ̃ν πόθεν, ἐὰν ȣ̓χὶ ἀπὸ τῆς φύσεως, τȣτέστιν, ἐὰν ȣ̓χὶ ἀπ' αὐτȣ̃ τȣ̃ ἀνθρώπȣ; αἷς τισι μαρτυρίαις φαίνεται, μίαν ἑκάστην αὐτῶν, ἅς τινας ἐνταῦθα ὁ πνευματικὸς πατὴρ ἀπηρίθμησε φύσεις, ἴδιον φυσικὸν ἔχειν, καὶ ἐνὶ ἑκάστῳ προσκυρȣ̃σθαι ὀφείλειν θέλημα· ȣ̓τε γὰρ δυνήσεται ἡ τῶν ἀγγέλων φύσις θεῖον ἔχειν θέλημα, ἢ ἀνθρώπινον· ȣ̓τε ἡ ἀνθρωπίνη φύσις θέλημα Θεȣ̃, ἢ ἀγγέλȣ, καθὼς ȣ̓τε ἑτέρȣ, παρ' ὅ ἐστι, τί ἔχειν φύσιν δυνήσεται ἢ κίνησιν, εἰ μὴ ὅπερ ἐστὶ φυσικῶς ἢ ἐδημιȣργήθη· ὁπόταν ταῦτα ȣ̓τως ἔχει, ἀκριβέστατα φαίνεται, ὅτι ἐν τῷ κυρίῳ ἡμῶν Ιησȣ̃ Χριστῷ δύο, τȣτέστι, Θεȣ̃ καὶ ἀνθρώπȣ φύσεις, ἤτοι ȣ̓σίας ὁμολογȣ̃ντες εἰς μίαν αὐτȣ̃ συνεληλυθέναι τὴν ὑπόστασιν, ἤτοι πρόσωπον, ἀναγκαῖόν ἐστι καὶ δύο ἡμᾶς φυσικὰ ἐν αὐτῷ ὁμολογεῖν θελήματα, θεῖον δηλονότι καὶ ἀνθρώπινον. ἐπειδὴ ȣ̓τε τὴν αὐτοῦ θεότητα, ὅσον πρὸς τὸν τῆς φύσεως λόγον ἀνήκει, ἀνθρώπινον ἐσχηκέναι θέλημα λέγειν ἐστίν· ȣ̓τε τὴν ἀνθρωπότητα αὐτοῦ θεῖον φυσικῶς ἐσχηκέναι θέλημα πιστεύειν ἐστίν· οὔτε δὲ πάλιν τινὰ ἐκ τῶν αὐτῶν δύο τοῦ Χριστοῦ οὐσιῶν ἐκτὸς τοῦ φυσικοῦ θελήματος ὑπάρχειν ὁμολογεῖν ἐστίν· ὁπόταν καὶ τὸ ἀνθρώπινον διὰ τῆς παντοκρατορίας τῆς αὐτοῦ θεότητος ὑψηλόν ἐστι, καὶ τὸ θεῖον διὰ τῆς ἀνθρωπότητος φανερὸν τοῖς ἀνθρώποις· ἀποδοῦναι τοίνυν ἀναγκαῖόν ἐστι τὰ ὄντα θεῖα τῷ αὐτῷ ὡς Θεῷ, τὰ ὄντα ἀνθρώπινα τῷ αὐτῷ ὡς ἀνθρώπῳ, καὶ ἑκατέρα διὰ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίȣ ἡμῶν Ιησοῦ Χριστοῦ ἀληθῶς ἐπιγινώσκειν. ὅπερ ὁ ἀληθὴς ὅρος τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ὑπομιμνήσκει ἡμᾶς διαβεβαιȣ́μενος. ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσιν, ἕνα, καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ιησȣ̃ν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν, τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, Θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς, τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος, ὁμοȣ́σιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοȣ́σιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ τȣ̃ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένȣ τῆς θεοτόκȣ κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Χριστὸν υἱὸν κύριον, μονογενῆ ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον, ȣ̓δαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἐν πρόσωπον, καὶ μίαν ὑπόστασιν συντρεχȣ́σης. ȣ̓κ εἰς δύο πρόσωπα μεριζόμενον, ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ Θεὸν λόγον κύριον Ιησοῦν Χριστόν. τοῦτο αὐτὸ καὶ ἡ ἁγία σύνοδος ἡ ἐπὶ τοῦ τῆς σεβασμίας μνήμης Ιουστινιανȣ̃ τȣ̃ βασιλέως ἐν Κωνσταντινȣπόλει συναθροισθεῖσα ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τῶν ὅρων κηρύττει· εἴ τις ἐν δύο φύσεσι, λέγουσα, μὴ ὡς ἐν θεότητι, καὶ ἀνθρωπότητι τὸν ἕνα κύριον ἡμῶν Ιησοῦν Χριστὸν γνωρίζεσθαι ὁμολογεῖ, ἵνα διὰ τȣ́τȣ σημαίνῃ τὴν διαφορὰν τῶν φύσεων, ἐξ ὧν ἀσυγχύτως ἡ ἄφραστος ἕνωσις γέγονεν, ȣ̓τε τȣ̃ λόγȣ εἰς τὴν τῆς σαρκὸς μεταποιηθέντος φύσιν, ȣ̓τε τῆς σαρκὸς πρὸς τὴν τȣ̃ λόγȣ φύσιν μεταχωρησάσης. μένει γὰρ ἑκάτερον ὅπερ ἐστὶ τῇ φύσει, καὶ γενομένης τῆς ἑνώσεως καθ' ὑπόστασιν. ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην λαμβάνει φωνὴν ἐπὶ τȣ̃ κατὰ Χριστὸν μυστηρίȣ· ἢ τὸν ἀριθμὸν τῶν φύσεων ὁμολογῶν ἐπὶ τȣ̃ αὐτȣ̃ ἑνὸς κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστοῦ τȣ̃ Θεȣ̃ λόγȣ σαρκωθέντος, μὴ τῇ θεωρίᾳ μόνῃ τὴν διαφορὰν τȣ́των λαμβάνει, ἐξ ὧν καὶ συνετέθη, οὐκ ἀνῃρημένην διὰ τὴν ἕνωσιν· εἷς γὰρ ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα· ἀλλ' ἐπὶ τȣ́τῳ κέχρηται τῷ ἀριθμῷ, ὡς κεχωρισμένας καὶ ἰδιοϋποστάτȣς εἶναι τὰς φύσεις· ὁ τοιοῦτος ἀνάθεμα ἔστω. διὰ ταῦτα, ἅπερ ἡμᾶς αἱ σεβάσμιαι αὗται σύνοδοι πιστῶς ὑπομιμνήσκȣσιν, ἀναγκαῖόν ἐστι φυλάξαι, ὅπως μηδαμοῦ τὴν διαφορὰν τῶν φύσεων διὰ τὴν ἕνωσιν ἀφαιρῶμεν, ἀλλὰ σωζομένης τῆς ἰδιότητος ἑκατέρας φύσεως, ἕνα Χριστὸν Θεὸν ἀληθινὸν καὶ τέλειον,

* θέλημά τε

* ȣ̓τως ἄρα

* μὴ

Πράξ. 5.

καὶ

καὶ ἐν αὐτὸν ἄνθρωπον ἀληθινὸν καὶ τέλειον ὁμολογήσωμεν. διὸ δὴ ἐὰν ἐν οὐδενὶ ἡ διαφορὰ τῆς φύσεων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀνῃρέθη, ἀναγκαῖόν ἐστιν, ἵνα ἐν πάσαις ταῖς ἰδιότησι τὴν αὐτὴν διαφορὰν φυλάξωμεν. ὁ γὰρ ἐν οὐδενὶ ἀναιρετέαν τὴν διαφορὰν διδάξας, ἐν πᾶσι ταύτην ὀφείλειν φυλάττεσθαι ὑπέμνησεν. ὅπου δὲ ἓν θέλημα καὶ ἐνέργεια ἀπὸ τῆς αἱρετικῶν καὶ τῆς τούτοις ἑπομένων λέγεται, ποία ἐν αὐτῇ διαφορὰ γνωρίζεται; ἢ πῶς κατὰ τὴν ἁγίαν ταύτην σύνοδον ἡ διαφορὰ φυλάττεται; ἐπειδὴ ἐὰν ἓν θέλημα ἐν αὐτῷ, ὅπερ ἀλλόκοτόν ἐστι, βεβαιοῦται, ἀναγκαῖόν ἐστι τοὺς ταῦτα διεκδικοῦντας ἢ θεῖον αὐτὸ λέγειν, ἢ ἀνθρώπινον, ἢ ἐξ ἀμφοῖν σύνθετον, κεκραμένον, καὶ συγκεχυμένον. ἢ, ὡς οἱ αἱρετικοὶ πάντες διαβεβαιοῦνται, ἓν ἔχειν τὸν Χριστὸν θέλημα καὶ ἐνέργειαν, ὡς ἀπὸ τῆς μιᾶς, ὡς αὐτοὶ φάσκουσι, συνθέτου φύσεως προελθόντα. καὶ ἀπώλετο ἐν τούτῳ ἀναμφιβόλως ἡ φυσικὴ διαφορὰ, ἥν τινα αἱ ἅγιαι σύνοδοι καὶ μετὰ τὴν θαυμαστὴν ἕνωσιν ἐν πᾶσιν ἡμῖν παραφυλαχθησομένην ἐθέσπισαν. ἐπεὶ κἂν ἕνα Χριστὸν, καὶ ἓν αὐτοῦ πρόσωπον καὶ ὑπόστασιν, διὰ τὴν ἕνωσιν δηλονότι τῆς φύσεων, ἥ τις γέγονε καθ' ὑπόστασιν, ἐδίδαξαν· ὅμως τὴν διαφορὰν αὐτῆς τῆς φύσεων, αἵτινες ἐν αὐτῷ ἠνώθησαν, μετὰ τὴν θαυμαστὴν καὶ ἀχώριστον ἕνωσιν, μέχρι θεωρίας νοήσεως γνωρίζειν ἡμᾶς, καὶ κηρύττειν παραδεδώκασι. τοιγαροῦν ἐὰν αἱ ἰδιότητες τῆς φύσεων ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ διὰ τὴν διαφορὰν φυλάττονται, ὁμοίως καὶ τὴν διαφορὰν τῆς φυσικῶν αὐτοῦ θελημάτων, καὶ τῆς φυσικῶν αὐτοῦ ἐνεργειῶν ἁρμόζει ἡμᾶς ὁμολογεῖν πληρεστάτῃ πίστει, ὅπως τῇ αὐτῆς διδασκαλίᾳ ἐν πᾶσιν ἀκολουθοῦντες ἀποδειχθῶμεν, καὶ μηδὲν τῆς αἱρετικῆς καινότητος εἰς τὴν τοῦ Χριστοῦ ἐκκλησίαν προσδεξώμεθα. κἂν εἰ γὰρ ἀναρίθμητα καὶ τῆς ἄλλων ἁγίων πατέρων ὑπάρχωσι τὰ πονήματα, ὅμως ὀλίγας χρήσεις ἀπὸ τῆς βιβλίων τῆς Γραικῶν ἐν ταύτῃ μου τῇ μετρίᾳ ἀναφορᾷ * ῥαθυμίας χάριν ὑπετάξαμεν.

* ἴσ. βαρυθυμίας.

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ υἱοῦ.

Ἕβδομον λεγέσθω τὸ καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ τὸν υἱὸν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πέμψαντος. εἰ μὲν οὖν μὴ παρὰ τοῦ κατεληλυθότος αὐτοῦ ταῦτα ἐλέγετο, εἴποιμεν ἂν ὡς * παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον, οὐ τοῦ κατὰ τὸν σωτῆρα νοουμένου· τὸ γὰρ ἐκείνου * θέλημα οὐδὲ ὑπεναντίον Θεῷ θεωθὲν ὅλον.

* ἴσ. παράτου

* θέλειν.

Τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης ἐκ τοῦ δευτέρου βιβλίου τοῦ κατὰ Εὐνομίου.

Πῶς ὁ κύριος τὸν κόσμον ἑαυτῷ καταλλάσσων ἐπεμέριζε τῇ ψυχῇ τε καὶ τῷ σώματι τὴν παραὐτοῦ γινομένην τοῖς ἀνθρώποις εὐεργεσίαν, θέλων μὲν διὰ τῆς ψυχῆς, ἁπτόμενος δὲ διὰ τοῦ σώματος;

Τοῦ αὐτοῦ ἐκ τοῦ βιβλίου τοῦ κατὰ Ἀπολλιναρίου.

Τῆς δὲ τοιαύτης κατὰ τὸν λόγον ἀμηχανίας μία γένοιτο ἂν παραμυθία, ἡ ἀληθὴς τοῦ μυστηρίου ὁμολογία· ὅτι τὸ γὰρ δειλιᾷν πρὸς τὸ πάθος τῆς ἀνθρωπίνης ἀσθενείας ἐστι, καθώς φησι καὶ ὁ κύριος, τὸ πνεῦμα πρόθυμον εἶναι λέγων, ἀσθενῆ δὲ τὴν σάρκα. τὸ δὲ ἀναδέχεσθαι τὸ ἐξ οἰκονομίας πάθος, τῆς θείας ἐστὶ καὶ βουλῆς καὶ δυνάμεως. ἐπειδὴ τοίνυν ἄλλο τὸ ἀνθρώπινον θέλημα, καὶ τὸ θεῖον ἄλλο, φθέγγεται μὲν ὡς ἐκ τοῦ ἀνθρώπου τὸ τῇ ἀσθενείᾳ τῆς φύσεως πρόσφορον ὁ τὰ ἡμέτερα πάθη οἰκειωσάμενος· ἐπάγει δὲ τὴν δευτέραν φωνὴν, τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς βούλημα κυρωθῆναι παρὰ τὸ ἀνθρώπινον ὑπὲρ τῆς τῆς ἀνθρώπων σωτηρίας θέλων· ὁ γὰρ εἰπών· μὴ τὸ ἐμὸν, τὸ ἀνθρώπινον τῷ λόγῳ ἐσήμανε. προσθεὶς δέ, τὸ σὸν, ἔδειξε τὸ συναφὲς τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορὰ διὰ τὴν κοινωνίαν τῆς φύσεως.

Ματθ. 26.

Τοῦ ἁγίου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως ἐκ τῆς ὁμιλίας τῆς πρὸς τοὺς μὴ ὑπαντήσαντας ἐν τῇ συνάξει· καὶ περὶ τοῦ ὁμοουσίου.

Εἰ τοίνυν πατρὸς καὶ υἱοῦ μία βούλησίς ἐστι, πῶς φησιν ἐνταῦθα· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ; ἂν μὲν γὰρ ἐπὶ τῆς θεότητος εἰρημένον ᾖ τοῦτο, ἐναντιολογία τις γίνεται, καὶ πολλὰ ἄτοπα ἐκ τούτου τίκτεται. ἂν δὲ ἐπὶ τῆς σαρκὸς, * ἔχῃ λόγον τὰ εἰρημένα, καὶ οὐδὲν γένοιτ' ἂν ἔγκλημα. οὐ γὰρ τὸ μὴ θέλειν ἀποθανεῖν τὴν σάρκα, κατάγνωσις· φύσεως γάρ ἐστι τοῦτο. αὐτὸς δὲ τὰ τῆς φύσεως ἅπαντα χωρὶς ἁμαρτίας ἐπιδείκνυται καὶ μετὰ πολλῆς τῆς περιουσίας, ὥστε τὰ τῆς αἱρετικῶν ἐμφράξαι στόματα· ὅταν οὖν λέγῃ· ὅτι εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, καὶ· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· οὐδὲν ἕτερον δείκνυσιν, ἀλλ' ἢ ὅτι σάρκα ἀληθῶς περιβέβληται φοβουμένην θάνατον· τὸ γὰρ φοβεῖσθαι θάνατον, καὶ ἀναδύεσθαι, καὶ ἀγωνιᾷν ἐκείνης ἐστίν.

Ματθ. 26.

Λουκ. 22.

Τοῦ ἁγίου Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας ἐκ τῆς θησαυρῶν.

Ὅταν οὖν φαίνηται δειλιῶν τὸν θάνατον καὶ λέγων· εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον,

τήριον, ἐννόει πάλιν, ὅτι δειλιῶσα τὸν θάνατον ἡ σὰρξ ἐδιδάσκετο φορουμένη παρὰ τοῦ Θεοῦ λόγου μηκέτι τοῦτο πάσχειν· ἔλεγε γὰρ πρὸς τὸν πατέρα· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. οὐκ ἐφοβεῖτο μὲν γὰρ, καθὸ λόγος ἐστὶ καὶ Θεὸς, τὸν θάνατον αὐτὸς, ἀλλ' εἰς τέλος διεξάγειν τὴν οἰκονομίαν ἠπείγετο. τοῦτο γὰρ ἦν τὸ θέλημα τοῦ πατρός· ἔχει δὲ καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, διὰ τὸ παραιτεῖσθαι τὴν σάρκα τὸν θάνατον φυσικῶς. ἐξ ὧν ἀληθευουσῶν μαρτυριῶν ἀποδέδεικται, δύο ἐν ἑνὶ καὶ τῷ αὐτῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ θελήματα προκηρύξαι, θεῖον δηλονότι καὶ ἀνθρώπινον, τούτους τοὺς σεβασμίους πατέρας. ὁπόταν λέγῃ ὁ ἅγιος Γρηγόριος ὁ Ναζιανζοῦ, τὸ γὰρ ἐκείνου θέλειν τοῦ ἐν τῷ σωτῆρι νοουμένου ἀνθρώπου δείκνυσι τὸ ἀνθρώπινον τοῦ σωτῆρος θέλημα δι' αὐτῆς τῆς ἑνώσεως τῆς πρὸς τὸν λόγον θεωθῆναι, καὶ διὰ τοῦτο μὴ εἶναι ἐναντίον Θεῷ. ὡσαύτως ἀποδείκνυσιν, ὅτι καὶ ἀνθρώπινον, εἰ καὶ θεωθὲν, ἔσχηκε θέλημα. καὶ ὁ αὐτὸς οὗτος, καθὼς εἰς τὰ ἀκόλουθα διδάσκει, ἔσχε καὶ θεῖον ἐν καὶ τὸ αὐτὸ σὺν τῷ πατρί. εἰ οὖν καὶ θεῖον καὶ θεωθὲν ἔσχε, δύο πάντως ἔσχε θελήματα. τὸ γὰρ φύσει θεῖον θεωθῆναι ἐκ * ἐπεδέχετο, τὸ δὲ θεούμενον οὐκ ἔστι δηλονότι φύσει θεῖον. καὶ ἐπὰν λέγῃ ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης, ὁ μέγας ἐπίσκοπος, ἀληθῆ εἶναι τοῦ μυστηρίου ὁμολογίαν, ἕτερον ὀφείλειν νοεῖσθαι τὸ ἀνθρώπινον θέλημα, ἕτερον τὸ θεῖον ἐν τῷ Χριστῷ, τί νοεῖσθαι ὑπομιμνήσκει, ἕτερον λέγων θέλημα καὶ ἕτερον, εἰ μὴ δύο φανερῶς θελήματα; ὡσαύτως ἡνίκα ὁ ἅγιος Ἰωάννης ὁ ἔξοχος καθηγεμὼν διδάσκει, ἐν μὲν κατὰ τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ νοεῖσθαι θέλημα· καὶ τὸν αὐτὸν πάλιν κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ λέγει θέλειν ὡς ἄνθρωπον, καὶ κατὰ σάρκα ἀληθῶς καὶ χωρὶς σκανδάλου λεγόμενον ὀφείλειν γνωρίζεσθαι, ὅτι οὐκ ἤθελε τεθνάναι, διόπερ * ὅτι τῆς ἀνθρωπίνης ἐστὶ φύσεως ἀνεπιλήπτως τοῦτο θελούσης· Φανερόν ἐστιν, ὅτι καὶ αὐτὸς δύο φυσικὰ ἐν τῷ Χριστῷ κηρύσσει θελήματα· θεῖον, ὅπερ ἐστὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· ἀνθρώπινον, ὅπερ τὴν διάθεσιν τοῦ ζῆν φυσικῶς πράττει. καὶ ὁπόταν ὁ συστατικὸς τῆς ὀρθοδόξου πίστεως κήρυξ ὁ μακάριος Κύριλλος λέγῃ, ὅτι καθὸ ἦν λόγος, οὐκ ἐφοβεῖτο τὸν θάνατον, ἀλλ' ἤθελε μέχρι τέλους τὴν οἰκονομίαν διεξάγειν, ὅτι τοῦτο ἦν τὸ θέλημα τοῦ πατρὸς, ὅπερ ἐστὶ κατὰ τὴν θεότητα καὶ τοῦ υἱοῦ· καὶ ἐσχηκέναι τὸν αὐτὸν τοῦτον κύριον Ἰησοῦν Χριστὸν κατὰ τὴν ἀνθρωπότητα τοῦ μὴ ἀποθανεῖν θέλημα, τουτέστι τῆς ἀνθρωπίνης ζωῆς τὴν φυσικὴν διάθεσιν· δείκνυσι δύο αὐτὸν, θεῖον δηλαδὴ καὶ ἀνθρώπινον, ἀναμφιβόλως ἐν ἑαυτῷ ἔχειν θελήματα· ἐν μὲν, ἐν ᾧ τὴν οἰκονομίαν ἤθελεν ἐκτελέσαι· ἕτερον δὲ, ἐν ᾧ λέγει τὴν σάρκα μὴ θέλειν φυσικῶς τεθνάναι. οὐδὲν δὲ ἧττον καὶ περὶ τῶν δύο φυσικῶν ἐνεργειῶν τοῦ Χριστοῦ δίδοται νοεῖσθαι, ὁπόταν οἱ αὐτοὶ σεβάσμιοι πατέρες μιᾷ ἑκάστῃ τῇ Χριστοῦ φύσει τὴν ἰδίαν ἐνέργειαν προσεκύρωσαν. ὅθεν ὁ ἅγιος Ἱλάριος ὁ τῆς ἀληθείας ἐξοχώτατος ἐκδικητὴς ἐν τῷ ἐννάτῳ λόγῳ περὶ πίστεως κατὰ Ἀρειανῶν οὕτως ἡμᾶς κατήρτισεν· ἐτέχθη τοίνυν ὁ μονογενὴς Θεὸς ἐκ παρθένου ἄνθρωπος, καὶ κατὰ τὸ πλήρωμα τῶν χρόνων, ἐν ἑαυτῷ μέλλων προάγεσθαι εἰς Θεὸν τὸν ἄνθρωπον, τοῦτον κατὰ πάντα τὸν τρόπον τοῦ εὐαγγελικοῦ λόγου ἐκράτησεν, ὅπως ἑαυτὸν υἱὸν Θεοῦ πιστεύεσθαι διδάξῃ, ὡς ἀνθρώπου υἱὸν κηρύττεσθαι ὑπομνήσῃ· λαλῶν καὶ πράττων * ὁ ἄνθρωπος ἅπαντα τὰ τοῦ Θεοῦ, εἶτα φθεγγόμενος, καὶ * πράττων ὁ Θεὸς ἅπαντα ἅπερ εἰσὶν ἀνθρώπου· οὕτως μέντοι, ἵνα ἐν αὐτῷ τοῦ ἑκατέρου γένους τῷ λόγῳ μηδέποτε εἰ μὴ μετὰ τῆς σημασίας καὶ ἀνθρώπου ὁ λαλῶν καὶ Θεοῦ εἴη· ὥστε ἀληθῶς δύο νοεῖσθαι τὰς φύσεις. ὡσαύτως ἐκ τοῦ αὐτοῦ μετ' ὀλίγα. εἶδες ἆρα οὕτως Θεὸν καὶ ἄνθρωπον κηρύττεσθαι, ἵνα ὁ θάνατος τῷ ἀνθρώπῳ, τῷ δὲ Θεῷ τῆς σαρκὸς ἡ ἔγερσις προσνεμηθῇ; ὅμως οὐχ ἵνα * ἄλλως εἴη, δι' οὗ ὁ νεκρὸς ἀνίσταται· ἡ σκυλευθεῖσα γὰρ σὰρξ ὁ Χριστός ἐστι νεκρός. καὶ πάλιν, ὁ τὸν Χριστὸν ἐκ νεκρῶν ἐξεγείρας, ὁ αὐτὸς Χριστός ἐστιν ὁ τὴν σάρκα ἀποθέμενος. τὴν φύσιν τοῦ Θεοῦ ἐν τῇ δυνάμει τῆς ἀναστάσεως νόησον, τὴν οἰκονομίαν τοῦ ἀνθρώπου ἐν τῷ θανάτῳ γνώριζε, καὶ ὁπόταν ὦσιν ἑκάτερα ταῖς ἑαυτῶν φύσεσι πραχθέντα, ἕνα ὅμως Χριστὸν Ἰησοῦν τοῦτον εἶναι μέμνησο τὸν τὸ ἑκάτερον ὄντα. μή τι ἀμφίβολον δυνηθείη ὑπολαμβάνεσθαι, ὅπερ ἐνταῦθα ὁ πατὴρ τῷ φωτὶ τῆς ἀληθείας φανεροποιεῖ ἐν τῷ λέγειν, καὶ λαλοῦντα καὶ πράττοντα τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πάντα τὰ τοῦ Θεοῦ ὄντα ἄνθρωπον, καὶ τὸν αὐτὸν τοῦτον πάλιν τὰ τοῦ ἀνθρώπου πράττοντα ὄντα Θεὸν, καὶ ἑκάτερον γένος σημαντικὸν Θεοῦ καὶ ἀνθρώπου ἀποδεικνῦντα; ὅπως ἐπιγνῶναι τοῖς ἐθέλουσι τὴν τῆς ἀληθείας * ὁδὸν ἀνάξῃ, ἐπειδὴ * ὁ αὐτὸς οὗτος εἷς ὢν Χριστὸς ὁ Θεὸς καὶ ἄνθρωπος καὶ τῆς θείας ἐνεργείας τὴν δυναστείαν, καὶ τῆς ἀνθρωπίνης φύσεως τὴν ἐνέργειαν ἔχειν αὐτὸν δείκνυσι, καὶ ἑκάτερα μετ' ἀλλήλων ἀκέραια διὰ τῆς θεωρητικῆς διακρίσεως σημαίνει. καὶ ὅτι ἑκάτερα καὶ τὰ τῆς θείας δυνάμεως καὶ τὰ τῆς οἰκονομίας τῆς ἀνθρωπίνης ἕνα καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ ἑκάτερον ὄντα ταῖς ἰδίαις φύσεσι πεπραχέναι προμηνύει, ὃς καὶ θείαν ἐνέργειαν μίαν ἔχει ἐξ ἰδίου σὺν τῷ πατρὶ, καὶ χρονικὴν ἀνθρωπίνην ἐνέργειαν ὑπὲρ ἡμῶν γενόμενος ἄνθρωπος ἐν ἑαυτῷ προσέλαβεν ἀνελλιπῶς, ἵνα ἀληθῶς ἑκάτερον * γένηται. καὶ ἐκ τῶν φύσεων ταῖς ἰδίαις ἐνεργείαις γνωρισθῇ, ὅπερ ἦν. ὁ ἅγιος δὲ Ἀθανάσιος ὁμοίως ὁ ὁμολογητὴς τοῦ Χριστοῦ ἐν τῷ τετάρτῳ λόγῳ τῷ κατὰ Ἀρειανῶν τὰ ἴσα ἡμᾶς ἐκδιδάσκει· ὡς γὰρ ὁ κύριος ἐνδυσάμενος τὸ σῶμα γέγονεν ἄνθρωπος, οὕτως ἡμεῖς οἱ ἄνθρωποι παρ' αὐτοῦ τοῦ λόγου τεθεοποιήμεθα προσληφθέντες

* L ἐπεδέιτο.

* ἵσ. διότι.

* καὶ πράττων ἄνθρωπος.

* καὶ πράττων Θεός.

* ἄλλος ᾖ ὁ θανὼν, καὶ ἄλλος δι' οὗ ὁ νεκρὸς ἀνίσταται, ἢ γυμνωθεῖσα γὰρ σ. ex L.

* ὁδὸν ἀνοίξῃ. ex L.

* ὁ αὐτὸς, οὗτος εἰπὼν, Χριστὸς ὁ Θεὸς καὶ

* ὑπάρχῃ καὶ ἐκ τῶν ἰδίων ταῖς φύσεσιν ἐνεργειῶν γνωρισθῇ ex L.

θέντες διὰ τῆς σαρκὸς αὐτοῦ, καὶ λοιπὸν ζωὴν αἰώνιον κληρονομοῦμεν. ταῦτα ἀναγκαίως προεζητήσαμεν, ἵνα ἐὰν ἴδωμεν αὐτὸν δι' ὀργάνου τοῦ ἰδίου σώματος θεϊκῶς πράττοντά τι ἢ λαλοῦντα, γινώσκωμεν, ὅτι Θεὸς ὢν ταῦτα ἐργάζεται. καὶ πάλιν ἐὰν ἴδωμεν αὐτὸν ἀνθρωπίνως λαλοῦντα, ἢ πάσχοντα, μὴ ἀγνοῶμεν, ὅτι σάρκα φορῶν γέγονεν ἄνθρωπος, καὶ ὅπως πάντα ποιεῖ καὶ λαλεῖ· ἑκάστου γὰρ τὸ ἴδιον γινώσκοντες, καὶ ἀμφότερα ἐξ ἑνὸς πραττόμενα βλέποντες καὶ νοοῦντες, ὀρθῶς πιστεύσομεν, καὶ ὅποτε πλανηθησόμεθα. πῶς σοφῶς ἐνταῦθα ὁ ἀξιομνημόνευτος πατὴρ ἐκ τῆς ποιοτήτων τῆς ἐνεργειῶν τῆς φύσεων τῆς ἐν τῷ Χριστῷ τὴν διαφορὰν διδάσκει νοεῖσθαι· καὶ ὡς τὰ πράγματα αὐτὰ πρὸ ὀφθαλμῶν ποιούμενα τῇ χειρὶ τῆς πνευματικῆς διδασκαλίας τοῖς ἀναγινώσκουσι δείκνυσιν, ἵνα λέγει, εἶναι ἑνὸς τὰ ἑκάτερα πράττεσθαι, τουτέστιν ἑκατέρας τὰς ἐνεργείας, τὰ θεῖα δηλονότι καὶ τὰ ἀνθρώπινα ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ προέρχεσθαι. καὶ ὑπομιμνήσκει μὴ δυνάσθαι πλανᾶσθαι τὸν κατὰ ταύτην τὴν ὀρθὴν νόησιν πιστεύοντα. ὡσαύτως ἵνα λέγει τὸ, ἔλεγε καὶ ἅμα ἐποίει τὰ ἀνθρώπινα, διδάσκει καθὸ τῆς ἀνθρωπίνης ἐν ἑαυτῷ ἐνεργείας, ὡς καὶ τῆς λαλιᾶς τὴν ἰδιότητα εἶχον. ἐὰν γὰρ ἀνθρωπίνως οὐκ ἐνήργησεν, ὅτε ἐλάλησε· κἂν εἰ τὰ μάλιστα καὶ ὅτε ἀνθρωπίνως ἐλάλησε καὶ ἐνήργησεν, ἅμα ἐνήργει καὶ ὡς Θεός.

Ὁ ἅγιος Διονύσιος ὁ Ἀρεοπαγίτης ὁ ἐπίσκοπος Ἀθηνῶν * ἐν τῷ βιβλίῳ τῷ περὶ θείων ὀνομάτων, κεφαλαίῳ δευτέρῳ ὁμοίως διδάσκει· διακέκριται δὲ τῆς ἀγαθοπρεποῦς εἰς ἡμᾶς θεουργίας τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς σωθῆναι τὸν ὑπερούσιον λόγον, καὶ δρᾶσαι, καὶ παθεῖν, ὅσα τῆς ἀνθρωπίνης αὐτοῦ θεουργίας ἐστὶν ἐκκείμενά τε καὶ ἐξαίρετα. τούτοις γὰρ ὁ πατὴρ καὶ τὸ πνεῦμα κατ' οὐδὲν κεκοινώνηκε λόγου. εἰ μήπου τις φαίη κατὰ τὴν ἀγαθοπρεπῆ καὶ φιλάνθρωπον εὐδοκίαν, καὶ κατὰ πᾶσαν τὴν ὑπερκειμένην καὶ ἄρρητον θεουργίαν, ἣν ἔδρα καὶ καθ' ἡμᾶς γεγονὼς ὁ ἀναλλοίωτος Θεὸς καὶ Θεοῦ λόγος.

Ὁ ἅγιος Ἀμβρόσιος ἀπὸ τοῦ δευτέρου λόγου πρὸς Γρατιανὸν τὸν βασιλέα· ὁ οὐκ ἴσος ἐν μορφῇ Θεοῦ, ἐλάττων ἐν τῇ προσλήψει τῆς σαρκός, καὶ τοῦ ἀνθρώπου τῷ πάθει. πῶς γὰρ ἡ αὐτὴ φύσις ἐδύνατο ἐλάττων εἶναι, καὶ ἴση; πῶς δὲ ἐὰν ἐλάττων ἐστί, τὰ αὐτὰ ποιεῖ ὁμοίως, ἅπερ ὁ πατὴρ ποιεῖ; καὶ γὰρ τίνα τρόπον ἡ αὐτὴ ἐνέργεια διαφόρως ἐστὶ δυνάμεως; μήτοι ὅπως δύναται ἐνεργεῖν ὁ ἧττων, καθ' ὃν τρόπον ὁ μείζων; ἢ μία ἐνέργεια δύναται εἶναι, ὅπου διαφορὰ οὐσίας ἐστί; τοίνυν λάβε τὸν Χριστὸν κατὰ τὴν θεότητα μὴ δύνασθαι ἐλάττονα λέγεσθαι.

Ἐκ τοῦ τόμου τῆς πίστεως τοῦ ἁγίου Λέοντος τοῦ τῆς Ρωμαίων ἀρχιερέως, τοῦ πρὸς τὸν ἅγιον Φλαυιανὸν τὸν ἐπίσκοπον καὶ ὁμολογητήν.

Ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρας κοινωνίας, ὅπερ ἴδιον ἔχουσι· τοῦ μὲν λόγου περαζομένου τοῦτο, ὅπερ ἐστὶ τοῦ λόγου· τοῦ δὲ σώματος ἐκτελοῦντος, ὅπερ ἐστὶ τοῦ σώματος. καὶ τὸ μὲν αὐτῆς διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκε. καὶ καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοιπεν.

Τοῦ αὐτοῦ ἀπὸ τῆς ἐπιστολῆς τῆς καλείσης πρὸς Λέοντα τὸν βασιλέα.

Εἰ καὶ τὰ μάλιστα ἐν τῷ ἑνὶ δεσπότῃ Ἰησοῦ Χριστῷ τῷ ἀληθεῖ τοῦ Θεοῦ καὶ τοῦ ἀνθρώπου υἱῷ, τοῦτε λόγου καὶ τῆς σαρκὸς συνῆν ὑπάρχει τὸ πρόσωπον, ὅπερ ἀχωρίστως καὶ ἀδιαιρέτως κοινὰς εἶχε τὰς πράξεις, δεῖ νοεῖν ὅμως αὐτῆς τῆς ἔργων τὰς ποιότητας, καὶ τῇ κατανοήσει τῆς εἰλικρινοῦς πίστεως δεῖ καθορᾶν, ἐπὶ ποῖα μὲν ἡ τῆς σαρκὸς προάγεται ταπεινότης, ἐπὶ ποῖα δὲ τὸ ὕψος τῆς θεότητος ἐπικλίνεται. καὶ τί μέν ἐστιν, ὅπερ ἡ σὰρξ ὁ πράττει δίχα τοῦ λόγου. καὶ τί ἐστιν, ὅπερ ὁ λόγος χωρὶς τῆς σαρκὸς οὐκ ἀποτελεῖ.

Ὁ ἅγιος Γρηγόριος ὁ ἐπίσκοπος Νύσσης ἐν τῷ τετάρτῳ λόγῳ τῆς ἐρμηνείας τῆς μακαρισμῶν. ἀπόστολος γὰρ τεσσαράκοντα ἡμέρας διαμείνας ὕστερον ἐπέβησε. δέδωκε γάρ, ὅτε ἠβουλήθη, τῇ φύσει καιρὸν τὰ ἑαυτῆς ἐνεργῆσαι.

Τοῦ ἁγίου Κυρίλλου τοῦ Ἀλεξανδρείας ἀπὸ τοῦ κδ'. κεφαλαίου τοῦ τῆς θησαυρῶν βιβλίου.

Οὐκοῦν τὰ θεοπρεπῶς εἰρημένα καὶ πεφραγμένα δείκνυσι τὸν σωτῆρα Θεόν. καὶ πάλιν τὰ ἀνθρωπίνως εἰρημένα καὶ γεγονότα δείκνυσι κατὰ ἀλήθειαν ἄνθρωπον. αὕτη γάρ ἐστι τοῦ μυστηρίου ἡ δυνάμις. ἄνθρωπος γέγονεν ὁ τοῦ Θεοῦ λόγος, οὐχ ἵνα πάλιν ὡς Θεὸς πρὸ τῆς ἐναν-θρωπήσεως πάντα πράττῃ καὶ λαλῇ, ἀλλ' ἵνα πολλάκις καὶ διὰ τὴν χρείαν τῆς μὲν σαρκὸς οἰκονομίας καὶ ὡς ἄνθρωπος λέγῃ τινά. ταῦτα τὴν * ἔχοντας τοῦ μυστηρίου τὴν δύναμιν, πῶς οὐκ ἄτοπον σκανδαλίζεσθαι τοὺς ἀκροωμένους ἀνθρωπινώτερον ἔνθ' ὅτε λαλοῦντος αὐτοῦ; λαλεῖ γὰρ ὡς ἄνθρωπος, λαλεῖ δὲ καὶ ὡς Θεὸς ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν. φαίνεται * δὲ τούτων τῶν ἁγίων πατέρων ὁ σκοπὸς τῇ πνευματικῇ διακρίσει τοῖς ὁρῶσιν, ὅτε κατὰ τὸν τῆς πίστεως κανόνα τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δύο ἐνεργείας ἐν τῷ Χριστῷ, τουτέστι θείαν

* ὁμοίως

* ἔχοντες

* δὲ

θείαν καὶ ἀνθρωπίνην γνωρίζουσιν. ἐπὰν ὁ ἅγιος Διονύσιος μὲν λέγῃ, * διακεκριμένως εἶναι τὴν ἐνέργειαν τοῦ Χριστοῦ, ἥ τις καθ' ἡμᾶς ἐστιν ἐξ ἡμῶν· καὶ ἐκ τούτου ὁλικῶς καὶ ἀληθῶς τὸν ἐνανθρωπήσαντα Θεὸν λόγον ἐπιγινώσκεσθαι. ὡσαύτως ἡνίκα λέγει δρᾶν καὶ παθεῖν τὰ πρόσφορα τῇ ἀνθρωπίνῃ αὐτοῦ θεουργίᾳ *, καθ' ἣν ὁ Θεὸς ὁ πατὴρ καὶ πνεῦμα τὸ ἅγιον κατ' οὐδένα * λόγον αὐτῇ κοινωνοῦσιν. ἐκεῖ γὰρ διάκρισις εἶναι γνωρίζεται, ὅπου ἡ διαφορὰ ἀναμφιβόλως ἀποδείκνυται. εἰ οὖν κατ' ἄλλην ἐνέργειαν μία ἐστὶ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἡ ἐνέργεια. καὶ κατ' ἄλλην κατ' οὐδένα λόγον ὁ πατὴρ, καὶ τὸ πνεῦμα τῷ αὐτῷ φυσικῷ λόγῳ κοινωνοῦσι, δύο ἀναμφιβόλως ἐνέργειαι ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ κυρίῳ ἡμῶν Ιησοῦ Χριστῷ Θεῷ ἀληθινῷ καὶ τελείῳ, καὶ ἀνθρώπῳ ἀληθινῷ καὶ τελείῳ λεχθήσονται· καὶ ἐν ὅσῳ δείκνυσιν ὁ μέγας διδάσκαλος Αμβρόσιος μὴ δύνασθαι διαφόρου δυνάμεως μίαν ἐνέργειαν ὑπάρχειν, μηδὲ τὴν ἐλάσσονα δύνασθαι ἐνεργεῖν τὰ τῆς μείζονος· οὔτε ὅπου διάφορος οὐσίᾳ ἐστὶ, μίαν δύνασθαι νοεῖσθαι τὴν ἐνέργειαν ἀποδείκνυσι φανεροῖς μηνύμασι τὸ μὴ δύνασθαι μίαν φυσικὴν ἐνέργειαν ἔχειν τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ, εἰ καὶ ἑνὸς προσώπου εἶναι γινώσκονται, καὶ μετὰ τῆς ἀλλήλων κοινωνίας ἐνεργεῖν θεωροῦνται· ὅπου τοίνυν μείζων καὶ ἐλάττων ἐνέργεια λέγεται, οὐ περὶ μιᾶς, ἀλλὰ περὶ δύο φυσικῶν τοῦ ἑνὸς Χριστοῦ ἐνεργειῶν φανεροῦται. καὶ ἐπὰν ὁ ἐκδικητὴς τῆς ἀληθείας ὁ ἅγιος Λέων πρὸς τὸν ὁμολογητὴν τοῦ Χριστοῦ Φλαβιανὸν ἐν τῷ δογματικῷ τόμῳ ἔφρασε φάσκων· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκε. καὶ ἀκολούθως κατὰ τὸν τῆς διανοίας λόγον διακρίνει τὸν λόγον ὅπερ ἐστὶ τοῦ λόγου ἐνεργοῦντα, καὶ τὸ σῶμα ὅπερ ἐστὶ τοῦ σώματος ἐκτελοῦν, καὶ μιᾶς ἑκάστης φύσεως τὰ πρόσφορα ἔργα θεορεῖτε, εἰ καὶ τὰ μάλιστα ταύτας ἀπὸ τῆς ἀλλήλων κοινωνίας οὐ χωρίζει, αὐτοῖς τοῖς πράγμασι δείκνυσιν ὁ ἐξαίρετος ἀρχιερεὺς, μᾶλλον δὲ καὶ πᾶσα σὺν αὐτῷ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου ἡ κοινότης, ὅτι καὶ θεότης τοῦ Χριστοῦ φυσικὴν ἐνέργειαν ἀσυγχύτως ἐν τῇ ἑνώσει ἐφύλαξε, καὶ ἡ ἀνθρωπότης αὐτοῦ τὰ πρὸς ἐνέργειαν τῆς ἀνθρωπίνης οὐσίας ἁρμόζοντα ἐξετέλεσε. καὶ ἑκάτερα ἀπὸ τοῦ ἑνὸς ἀσυγχύτως, καὶ ἀχορίστως προῆλθον κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ ἐξ ἑκατέρων τῶν φύσεων συνεστῶτος, καὶ ἐν ἑκατέροις εἷς καὶ ὁ αὐτὸς διέμεινε. καὶ ἐν ὅσῳ πρὸς τὸν ἐν εὐσεβεῖ τῇ μνήμῃ Λέοντα τὸν βασιλέα τὸ σύμβολον τῆς ἀληθοῦς ὁμολογίας σαφηνίζει, καὶ τοῦ λόγου καὶ τῆς σαρκὸς ἓν πρόσωπον εἶναι ἀληθῶς κηρύττει, ὅμως τὴν ὁδὸν τῆς ἐννοίας διανοίγει, ἵνα ἐκ τῶν ποιοτήτων αὐτῶν τῶν ἔργων τοῦ Χριστοῦ, τουτέστιν ἐκ τῆς φυσικῆς ἐνεργείας μία ἑκάστη τῶν καθ' ὑπόστασιν ἐν τῷ Χριστῷ ἑνωθεισῶν φύσεων, ποίας ἐστὶν οὐσίας, ἐπιγνωσθῇ· οὐδὲ γὰρ ἐνταῦθα ὁ κήρυξ τῆς ἀληθείας προσεδέξατο, ἵνα τὴν ἀνθρωπίνην ἐνέργειαν, ἣν χρονικῶς ὁ κύριος μετὰ τῆς ἀνθρωπότητος ἔλαβε, τῇ ἀϊδίῳ αὐτοῦ οὐσίᾳ προσκυρώσῃ, ἢ τῇ θείᾳ αὐτοῦ οὐσίᾳ τῆς ἀνθρωπίνης ἐνεργείας τὸ μέτρον ἐπιγραφῇ. ἀλλὰ μενούσης οὐδὲν ἧττον τῆς * ἑνώσεως τοῦ προσώπου τὰς φύσεις, αἵτινες ἐν τῷ Χριστῷ καθ' ὑπόστασιν ἡνώθησαν, ἐκ τῶν ἰδίων ἐνεργειῶν ἐπέγνω. εἰ τοίνυν δύο φύσεις εἰσὶν, ὧν ἡ ἕνωσις ἐν τῷ ἑνὶ Χριστῷ γέγονε, δύο δηλονότι εἰσὶ καὶ τούτων τῶν φύσεων αἱ ἐνέργειαι, αἵ τινες σὺν ταῖς ἑαυτῶν φύσεσιν ἀσυγχύτως καὶ ἀχωρίστως συνῆλθον ἐν τῷ ἑνὶ κυρίῳ Ιησοῦ Χριστῷ. ὁμοίως δὲ καὶ ὁ ἅγιος Νυσσαεὺς Γρηγόριος δεδωκέναι λέγων τὸν σωτῆρα κύριον τῇ ἀνθρωπίνῃ φύσει, ἣν ἐν ἑαυτῷ ἔσχε, καιρὸν τὰ ἴδια ἐνεργῆσαι, φανερώτερον * ὑπέδειξεν, ὅτι καὶ ἡ ἀνθρωπίνη φύσις, ἥτις ἐστὶν ἐν τῷ Χριστῷ, ἔσχε τῆς οἰκείας ἐνεργείας τὸ φυσικὸν ἀποτέλεσμα. ὅθεν δῆλόν ἐστι καὶ τοῦτον δύο ἐν τῷ Χριστῷ φυσικὰς ἐνεργείας οὐδὲν ἧττον ἐπιγνῶναι. καὶ γὰρ ὁ τῆς ἀληθείας ἐκδικητὴς Κύριλλος ὁ τῆς Αλεξανδρέων πόλεως, συνάγων ἐκ τούτων τῶν θεοπρεπῶς λεχθέντων, ἢ πραχθέντων παρὰ τοῦ κυρίου καὶ σωτῆρος Θεὸν αὐτὸν ἀποδείκνυσθαι, καὶ ἐκ τῶν παρὰ τοῦ αὐτοῦ κατὰ ἄνθρωπον λεχθέντων, ἢ γενομένων δείκνυσθαι αὐτὸν ἀληθῶς ἄνθρωπον, φανερόν ἐστιν, ὅτι ἐκ τῶν φυσικῶν ἐνεργειῶν τοῦ Χριστοῦ, τὸν Χριστὸν ἀληθινὸν καὶ τέλειον Θεὸν, καὶ τὸν αὐτὸν ἄνθρωπον ἀληθινὸν, καὶ τέλειον εἶναι ἐπέγνω· οὔτε γάρ ἐστιν ἄλλη οὕτω φανερὰ ἀπόδειξις, ἥτις δυνήσεται τὸν αὐτὸν τοῦτον καὶ Θεὸν καὶ ἄνθρωπον ἀποδεῖξαι παρὰ τὰς φυσικὰς ἐνεργείας. ὧν τινων ἐκ τῶν ποιοτήτων καὶ αἱ φύσεις, ἀφ' ὧν οὐσιωδῶς προήρχοντο, ἀκριβῶς ἐν αὐτῷ εἶναι πιστεύονται. εἰ τοίνυν ἐν δυσὶ φύσεσι καὶ μετὰ τὴν ἀχώριστον ἕνωσιν γνωρίζεται εἶναι, ἔνθα ἡ δυὰς τῶν φύσεων ἀσυγχύτως διέμεινεν, οὔτε αἱ αὐτῶν ἐνέργειαι ἠδυνήθησαν συγχεθῆναι· ἀλλ' ἀπὸ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου Ιησοῦ Χριστοῦ ταῖς ἰδίαις φύσεσι προσφόρως προέρχοντο. οὐκ ἐλλείψουσι δὲ καὶ ἄλλων σεβασμίων πατέρων δεδοκιμασμέναι μαρτυρίαι τῶν δύο φανερῶς λεγόντων φυσικὰς ἐνεργείας ἐν τῷ Χριστῷ, ἵνα σιωπῇ παραδράμωμεν τὸν ἅγιον Κύριλλον τὸν Ιεροσολύμων, τὸν ἅγιον Ιωάννην τὸν Κωνσταντινουπόλεως, ἢ ὁσοιδήποτε μετὰ ταῦτα ὑπὲρ τῆς ὀρθότητος τῆς σεβασμίας ἐν Χαλκηδόνι συνόδου, καὶ τοῦ τόμου τοῦ ἁγίου Λέοντος ἀπολογούμενοι τοὺς ἐπιπόνους ἀγῶνας κατὰ τῶν συγχεουσῶν αἱρέσεων * ἐπεδείξαντο. ὧν τινων ἀπὸ τῆς πλάνης καὶ ἡ τοῦ καινοῦ δόγματος κατῆλθε * σειρά. τουτέστιν ὁ τῆς μακαρίας μνήμης Ιωάννης ὁ Σκυθοπόλεως ἐπίσκοπος, Εὐλόγιος ὁ Αλεξανδρείας πρόεδρος, Εὐφραίμιος καὶ Αναστάσιος ὁ μέγας, τῆς Θεουπόλεως ἐκκλησίας οἱ ἄξιοι καθηγεμόνες, καὶ ὁ ὑπὲρ πάντας ζηλωτὴς τῆς ἀληθείας καὶ ἀποστολικῆς πίστεως, ὁ ἐν εὐσεβεῖ τῇ μνήμῃ Ιουστινιανὸς ὁ βασιλεὺς. οὗ τινος ἡ ὀρ-

* διακεκριμένην

* εἰ καὶ θείως συμβαίνουσι

* τρόπον

* τῆς ἑνότητος

* ἀπέδειξεν

* ἀπεδίξαντο.

* φάσις

ἡ ὀρθότης τῆς πίστεως ὁπόσον ὑπὲρ τῆς εἰλικρινοῦς ὁμολογίας τῷ Θεῷ ἤρεσε, τοσοῦτον τὴν χριστιανικωτάτην πολιτείαν ὕψωσε. καὶ μέχρι τοῦ νῦν ἀπὸ πάντων τῶν ἐθνῶν ἡ αὐτοῦ θεοσεβὴς μνήμη προσκυνήσεως ἀξιοῦται. οὗ τινος ἡ ὀρθότης τῆς πίστεως διὰ τῶν σεβασμίων αὐτοῦ ἠδίκτων ἐν ὅλῳ τῷ κόσμῳ διαχεθεῖσα ἐπαινεῖται. ἐξ ὧν ἕν, ὅπερ πρὸς Ζωΐλον τὸν Αλεξανδρείας καθηγεμόνα, ἐστάλη κατὰ τῆς τῶν Ακεφάλων αἱρέσεως ὑπὲρ τῆς ὀρθότητος τῆς ἀποστολικῆς πίστεως πρὸς τὸ πληροφορῆσαι αὐταρκοῦν, μετὰ ταύτης ἡμῶν τῆς μετρίας ἀναφορᾶς τῇ γαληναίᾳ ὑμῶν χριστιανότητι στείλαντες, διὰ τῶν ἀποκομιστῶν τῶν παρόντων προσφέρομεν. ἀλλ' ἵνα μή πως τῶν πολλῶν ῥημάτων φορτικὴ νομισθῇ ἡ δικαιολογία, καὶ μάλιστα οἷς τισι * τὸ πρᾶγμα καὶ ἡ διοίκησις ὅλου τοῦ κόσμου ὡς ἐν ἰσχυρῷ θεμελείῳ ἐπίκειται, ὀλίγας ἀπὸ τῶν ἀναριθμήτων ταύτῃ τῇ μετρίᾳ ἀναφορᾷ ἐντάξαι τῶν ἁγίων πατέρων μαρτυρίας ἐσπουδάσαμεν. ἐπειδὴ καὶ τοῦτο ἀσύγκριτον πάνυ καὶ μέγιστόν ἐστιν, ἵνα τῆς φροντίδος ὅλης τῆς χριστιανικωτάτης πολιτείας ἐπ' ὀλίγον κωλυθείσης, ὑπὲρ πόθου τῆς ἀληθοῦς πίστεως ζέουσα, τοῦ ἀποστολικοῦ κηρύγματος τὴν διδασκαλίαν ἐξ ἠνθισμένως ἐπιγνῶναι ἐπιθυμήσῃ ἡ σεβασμία καὶ ὑμῶν φιλανθρωπία. ἀληθῶς γὰρ ἐκ διαφόρων ἐγκρίτων πατέρων τῆς ὀρθοδόξου πίστεων ἡ ἀλήθεια ἐφάνη, εἰ καὶ ὀλίγαις μαρτυρίαις, ἐπειδὴ πρᾶγμα ἠνεῳγμένον καὶ πᾶσι φανερὸν οἱ ἐπαινετοὶ πατέρες περισσὸν ἔκριναν φράζειν. τίς γάρ, εἰ καὶ βραδὺς εἴη πρὸς τὸ νοῆσαι, οὐ θεωρήσει, ὅπερ πᾶσι φαίνεται· ὅτι ἀδύνατον, καὶ παρὰ τὴν τάξιν τῆς φύσεώς ἐστι, δύνασθαι εἶναι φύσιν, καὶ ἐνέργειαν μὴ ἔχειν φύσεως; ὅπερ οὐδὲ ἀπὸ τῶν αἱρετικῶν ποτε ἐδοκιμάσθη λέγεσθαι. οἵ τινες πάσας τὰς ἀνθρωπίνους πανουργίας, καὶ σκολιὰς ζητήσεις κατὰ τῆς ὀρθότητος τῆς πίστεως, καὶ συναθροισμοὺς ταῖς φαυλότησιν αὐτῶν προσφόρους ἐφεῦρον. πῶς οὖν ὅπερ οὔτε ἀπὸ τῶν ἁγίων ὀρθοδόξων πατέρων ἐῤῥέθη ποτὲ, οὔτε ἀπὸ τῶν βεβήλων αἱρετικῶν τετόλμηται εὑρεθῆναι, ἐπὶ τοῦ παρόντος δυνήσεται προπετευθῆναι; ἵνα τῶν δύο φύσεων τοῦ Χριστοῦ, τῆς θείας δηλονότι καὶ τῆς ἀνθρωπίνης, ὧν τινων αἱ ἰδιότητες ἀκέραιοι εἶναι γνωρίζονται ἐν τῷ Χριστῷ, μίαν * ἔχειν ἐνέργειαν τίς ποτε ὀρθῶς φρονῶν δυνήσηται ἀποδεῖξαι; ὁπόταν ἐὰν μία ἐστὶ, εἴπωσιν ἢ χρονικὴ ἢ ἀΐδιος λεχθήσεται θεία ἢ ἀνθρωπίνη, ἄκτιστος ἢ κτιστή. ἡ αὐτὴ, ἥ τις καὶ τοῦ πατρός ἐστιν, ἢ ἑτέρα παρὰ τὸν πατέρα. εἰ τοίνυν μία ἐστὶ καὶ ἡ αὐτὴ, μία καὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κοινή ἐστιν, ὅπερ ἀλλόκοτόν ἐστι λέγεσθαι. οὐκοῦν ἐπὰν ὁ υἱὸς τοῦ θεοῦ ὁ αὐτὸς θεὸς καὶ ἀνθρωπός ἐστι, τὰ ἀνθρώπινα ἐνεργήσας ἐπὶ τῆς γῆς, ὁμοίως σὺν αὐτῷ καὶ ὁ πατὴρ φυσικῶς ἐνήργησεν, ἐπειδὴ ἃ ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. εἰ δὲ, ὅπερ ἡ ἀλήθεια περιέχει, ἐν ὅσῳ ἀνθρώπινά τινα ἐνέργησεν ὁ Χριστὸς, πρὸς μόνον τὸ πρόσωπον αὐτοῦ ὡς υἱοῦ ἐπαναφέρεται, ἅτινα οὐκ ἔστι τὰ αὐτὰ, οἷα καὶ τοῦ πατρὸς, κατ' ἄλλο δηλονότι καὶ ἄλλο ἐνήργησεν ὁ Χριστός. ἵνα κατὰ τὴν θεότητα, ἃ ποιεῖ ὁ πατὴρ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιῇ· κατὰ δὲ τὴν ἀνθρωπότητα, ἅ εἰσι τοῦ ἀνθρώπου ἴδια, ὁ αὐτὸς * οὗτος ἐνήργει ὡς ἄνθρωπος, ἐπειδὴ ἀληθής ἐστι καὶ Θεὸς καὶ ἄνθρωπος. ὅθεν καὶ ἀληθῶς πιστεύεται, ὅτι ὁ αὐτὸς οὗτος εἷς * δύο φυσικὰς ἔχει ἐνεργείας, τὴν θείαν δηλονότι καὶ τὴν ἀνθρωπίνην, τὴν ἄκτιστον καὶ κτιστήν, ὡς ἀληθινὸς καὶ τέλειος Θεὸς, ἀληθινὸς καὶ τέλειος ἄνθρωπος, εἷς ὁ αὐτὸς μεσίτης Θεοῦ, καὶ ἀνθρώπων κύριος Ιησοῦς Χριστός. διὸ ὁμοίως καὶ ἐκ τῶν ποιοτήτων τῶν ἔργων, τῶν φύσεων, αἵ τινες ἐν τῷ Χριστῷ κατὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν σηνῆλθον, ἡ διαφορὰ ἀπρόσκοπος γνωρίζεται. * ὅπως δὲ καὶ τῶν θεομισήτων αἱρετικῶν, ὧν καθὼς τὰς προσηγορίας ὁμοίως βδελυττόμεθα καὶ τὰ ῥήματα, πρὸς ἔνδειξιν καὶ μόνον τούτων, οἷς τισιν οἱ τοῦ καινοῦ δόγματος ἐφευρεταὶ ἓν ἐν τῷ Χριστῷ λέγοντες θέλημα καὶ ἐνέργειαν ἠκολούθησαν, ὀλίγα τινὰ ἐκ τῶν καταράτων αὐτῶν ῥημάτων ἐπισυνίψαμεν. Απολλιναρίου αἱρετικοῦ κατὰ Διοδώρου πρὸς τὸ κείμενον ἐν τῷ ἠδίκτῳ τῆς ὀρθοδόξου πίστεως τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ Ιουστινιανοῦ τοῦ βασιλέως. ὄργανον καὶ τὸ κινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν. ὧν δὲ μία ἐνέργεια, τούτων μία ἐστὶν οὐσία, μία ἄρα οὐσία τοῦ λόγου καὶ τῆς σαρκός. τοῦ αὐτοῦ ἐν τῷ λόγῳ τῷ προγεγραμμένῳ, εἰς τὰ ἐπιφάνια τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου.

Ο εἷς γὰρ Χριστὸς θεϊκῷ μόνῳ θελήματι κινούμενος, καθὸ καὶ μίαν οἴδαμεν αὐτοῦ τὴν ἐνέργειαν ἐν διαφόροις θαύμασι καὶ παθήμασιν ἐκ τῆς μιᾶς αὐτοῦ συνθέτου φύσεως προϊοῦσαν. Θεὸς γὰρ ἔνσαρκός ἐστι καὶ πιστεύεται. Σεβῆρος ὁ αἱρετικὸς ἀπὸ τοῦ προσφωνητικοῦ λόγου τοῦ γενομένου ἐν τῇ Δάφνῃ, ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας οὕτως φησίν· ἀναθεματίζομεν δὲ καὶ τὴν συνόδον Χαλκηδόνος, καὶ τὸν τόμον Λέοντος τοῦ τῆς τῶν Ρωμαίων ἐκκλησίας ἡγησαμένου, καὶ τοὺς λέγοντας, ἢ εἰπόντας ἐν δύο φύσεσι τὸν ἕνα κύριον ἡμῶν Ιησοῦν Χριστὸν μετὰ τὴν ἄφραστον καὶ ἀπερινόητον ἕνωσιν, καὶ τούτων ἀκολούθως δύο ἐνεργείας, ἢ ἰδιότητας. ὁμοίως τοῦ αὐτοῦ Σεβήρου πρὸς Σέργιον γραμματικὸν ἔνθα φησίν· ἐπειδὴ γὰρ εἷς ὁ ἐνεργῶν, καὶ μία αὐτοῦ ἡ ἐνέργεια, καὶ κίνησις ἐνεργητική· ὡσαύτως καὶ ἐκ τοῦ δευτέρου βιβλίου Νεστορίου τοῦ ἀνθρωπολάτρου, οὗ ἔγραψεν ἐπιφανοῦς μυήσεως. ἀσυγχύτους φυλάττομεν τὰς φύσεις οὐ κατ' οὐσίαν, γνώμη δὲ συνημμένας. διὸ καὶ μίαν αὐτῶν τὴν θέλησιν, ἐνέργειάν τε καὶ δεσποτείαν ὁρίζομεν ἀξίας ἰσότητα δεικνυμένας. ὁ γὰρ Θεὸς λόγος ἀναλαβὼν, ὃν προώρισεν ἄνθρωπον, πρὸς αὐτὸν οὐ διεκρίθη διὰ τὴν προγνωσθεῖσαν αὐτῷ διάθεσιν.

Θεοδοσίου αἱρετικοῦ Αλεξανδρέως ἀπὸ τοῦ τόμου

L. ἡ φροντὶς

* ἴσ. εἶναι

* ὅπερ· οὐκ ἔστι ταυτὸν τῷ πατρὶ κατ' ἄλλο

* οὕτως

* ὢν

* ἴσ. τούτοις

τόμυ τȣ̃ παρ' αὐτοῦ γραφέντος Θεοδώρᾳ τῇ Αὐγȣ́στῃ· ὡς λοιπὸν κ̀ ἐνέργειαν εἶναι τȣ̃ συναμφοτέρȣ θεοπρεπῆ μίαν. ἐπεὶ κ̀ ἑνὸς εἶναι καὶ τȣ̃ αὐτȣ̃ φαμὲν τὰ θεοπρεπῆ θαύματα, κ̀ τὰ φυσικὰ πάντα κ̀ ἀδιάβλητα πάθη. κ̀ μετ' ὀλίγα· κ̀ μίαν εἶναι κ̀ τὴν αὐτὴν τȣ̃ ἑνὸς κυρίȣ Ἰησȣ̃ Χριστȣ̃ τȣ̃ Θεȣ̃ ἡμῶν κ̀ τὴν θεοπρεπῆ σοφίαν, γνῶσίν τε τῆς ὅλων, κ̀ εἴδησιν κατὰ τὸ συναμφότερον, τȣτέστι κατὰ τὴν αὐτȣ̃ θεότητα, κ̀ κατὰ τὴν αὐτȣ̃ ἀνθρωπότητα, ἐπεὶ κ̀ ἐνέργειαν μίαν ὁμολογȣ̃μεν θεοπρεπῆ, ὡς ἤδη προλέλεκται. κ̀ πάλιν· τῆς θεοπρεπȣ̃ς ἐνεργείας μιᾶς ȣ̃σης αὐτȣ̃, ἀνάγκη κ̀ ἀμέριστον εἶναι ταύτην κ̀ ἀδιαίρετον. κ̀ πάλιν· οἰκειȣ́μενος μὲν τὰ αὐτῆς, τȣτέστι τὰ τῆς σαρκός· ἐμποιήσας δὲ κ̀ αὐτῇ τῆς ἰδίας φύσεως τὴν ἐνέργειαν. τὸ δὲ ἐμποιήσας αὐτῇ αὐτὸ τὸ καταπλȣτίσαι τῇ πρὸς τὸν Θεὸν λόγον ἑνώσει τὴν αὐτȣ̃ θεοπρεπῆ ἐνέργειαν, τὴν ἀσυγχύτως κ̀ ἀτρέπτως ἑνωθεῖσαν αὐτῷ ἔμψυχον σάρκα παρίστησιν. ἰδȣ̀, εὐσεβέστατοι δεσπόται κ̀ τέκνα, τῆς ἁγίων πατέρων ταῖς μαρτυρίαις, ὡς πνευματικαῖς ἀκτῖσι, τῆς καθολικῆς κ̀ ἀποστολικῆς ἐκκλησίας ἡ διδασκαλία ἐφανερώθη, ὡς ἐφωτίσθη. κ̀ τῆς αἱρετικῆς τυφλώσεως τὸ σκότος, ὅπερ πλάνην τοῖς μιμȣμένοις ὑποβάλλει, ἀπεκαλύφθη. νῦν ἀναγκαῖόν ἐστιν, ἵνα τȣ̃ νέȣ δόγματος ὁ σκοπὸς ἐπιζητηθῇ, τίσιν ἠκολȣ́θησε, κ̀ ποίων διδασκάλων τῇ αὐθεντίᾳ ὑποστηρίζεται. Κῦρος ὁ Ἀλεξανδρεὺς ἐν τῷ ἑβδόμῳ κεφαλαίῳ τῆς ὅρων αὐτȣ̃ πρὸς τὸν τόπον, κ̀ τὸν αὐτὸν ἕνα Χριστὸν, ὡς ἕνα υἱὸν ἐνεργȣ̃ντα τὰ θεοπρεπῆ ὡς ἀνθρώπινα μιᾷ θεανδρικῇ ἐνεργείᾳ κατὰ τὸν ἐν ἁγίοις Διονύσιον· ὁμοίως Θεοδώρȣ τοῦ γενομένȣ ἐπισκόπȣ Φαρανίτȣ ἐκ τȣ̃ ἀντιγράφȣ πρὸς Σέργιον ἐπίσκοπον Ἀρσινοΐτην· ὡς διὰ τȣ̃το μία ἐνέργεια τȣ̃ ὅλȣ, ὡς ἑνὸς κ̀ τȣ̃ αὐτȣ̃ σωτῆρος πάντα ταῦτα εἰσίν. ὁμοίως Σεργίȣ τȣ̃ Κωνσταντινȣπόλεως ἐκ τȣ̃ ἀντιγράφου πρὸς Κῦρον τὸν Ἀλεξανδρείας. ἔφητε τοίνυν (καλὸν γάρ ἐστι κ̀ αὐταῖς ταῖς ἱεραῖς ὑμῶν φωναῖς χρήσασθαι) ὡς ἕνα κ̀ τὸν αὐτὸν Χριστὸν ἐνεργεῖν τὰ θεοπρεπῆ κ̀ ἀνθρώπινα μιᾷ ἐνεργείᾳ, κ̀ ταῦτα εὐσεβῶς, κ̀ ἄγαν ἠκριβωμένως ἐξέθεσθε. κ̀ ἐν τῇ διδασκαλίᾳ τῆς ἐκθέσεως, κ̀ ἄλλοις, ἓν θέλημα, κ̀ πᾶσαν θείαν κ̀ ἀνθρωπίνην ἐνέργειαν ἔχειν τὸν κύριον ἡμῶν Ἰησȣ̃ν Χριστὸν * σημαίνει. μήτε δὲ μίαν ὅλως, μήτε δύο ὀφείλειν λέγεσθαι ἐπιτρέπει. ὅπερ κ̀ ἐν ἄλλοις μετὰ διατάγματος καθαιρέσεως, κ̀ ἀκοινωνησίας ἀποφατικῆς διαβεβαιȣ̃ται. Πύῤῥος ἐν τῷ δογματικῷ τόμῳ, κ̀ ἐν τῇ βεβαιώσει τῆς ἐκθέσεως ἓν θέλημα ὁμολογεῖ ἐν τῷ Χριστῷ. κ̀ μετὰ ταῦτα ἐν τῷ λιβέλλῳ τῆς πίστεως, ὃν εἰς * ὁμολογίαν τοῦ μακαρίȣ Πέτρȣ τȣ̃ κορυφαίȣ τῆς ἀποστόλων προσήγαγε, δύο θελήματα, κ̀ δύο φυσικὰς ἐνεργείας ὁμολογεῖ ἐν τῷ ἑνὶ κυρίῳ ἡμῶν Ἰησȣ̃ Χριστῷ, ἐν ᾧ κ̀ ταῖς μαρτυρίαις τῆς ἁγίων πατέρων ȣ̃τως ἑαυτὸν τῆς ὀρθοδόξȣ πίστεως τὴν ἀλήθειαν ἔχειν διαβεβαιȣ̃ται. Παῦλος ὁμοίως ὁ τȣ́τȣ διάδοχος ἐν τῇ ἐπιστολῇ τῇ πρὸς τὸν τῆς ἀποστολικῆς μνήμης Θεόδωρον τὸν πάπαν τὸν προηγησάμενον τὴν ἡμετέραν μετριότητα, ἓν θέλημα τὸν Χριστὸν ἔχειν ὁμολογεῖ. κ̀ ὁ αὐτὸς ȣ̃τος ἐν τῇ κατασκευῇ τȣ̃ τύπȣ μετὰ παραγγελίας καθαιρέσεως, κ̀ ἀκοινωνησίας μήτε ἓν, μήτε δύο θελήματα φάσκει ὀφείλειν λέγεσθαι ἐν τῷ κυρίῳ ἡμῶν Ἰησȣ̃ Χριστῷ. Πέτρος ὁ τȣ́τȣ διάδοχος πρὸς τὸν τῆς ἁγίας μνήμης Βιταλιανὸν τὸν πάπαν γράφων κ̀ ἓν κ̀ δύο θελήματα, κ̀ μίαν κ̀ δύο ἐνεργείας ἐν τῇ οἰκονομίᾳ τῆς ἐνανθρωπήσεως τȣ̃ μεγάλȣ Θεȣ̃ κ̀ σωτῆρος ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ φρονεῖν ὁμολογεῖ. τίς, δέομαι, μὴ κατανυγείη, ἡμερώτατοι κ̀ φιλανθρωπότατοι βασιλέων, κ̀ τῆς ἀνθρωπίνης ζωῆς τὰς ἀμφιστόμȣς παγίδας τρέμων κατανοήσῃ, κ̀ μετὰ στεναγμȣ̃ ἐκ βάθȣς τὸν Θεὸν, ὅς ἐστι πηγὴ οἰκτιρμῶν, ἱκετεύσῃ, ῥυσθῆναι ἑαυτὸν ἀπὸ τῆς ἐπιβȣλῶν τοῦ ἐχθρȣ̃ τῆς πρὸς ἀπάτην τῆς ἀνθρωπίνης διανοίας πάντοθεν περικειμένων, θεωρῶν τȣ́τȣς, οἵτινες ἑαυτȣ̀ς ἀπὸ ἄκρας εἰδήσεως κηρυκτικȣ̀ς ἐλογίζοντο, * ταῖς παγίσι περιπεπτωκέναι τῆς αἱρετικῆς πλάνης, μήτε ἐν αὐτῇ τῇ πλάνῃ σταθερȣ̀ς εἶναι, ἀλλ' ἀεὶ ἀστάτȣς; ὅτε μὲν οὖν Σέργιος ἐν ἄλλοις κ̀ ἐν ἄλλοις γράμμασιν ἓν θέλημα κ̀ μίαν ἐνέργειαν τὸν κύριον ἡμῶν Ἰησȣ̃ν Χριστὸν ἔχειν προκηρύττει· κ̀ ἐν τῇ ἐκθέσει πᾶσαν θεῖαν, κ̀ πᾶσαν ἀνθρωπίνην ἐνέργειαν τȣ̃ ἑνὸς Χριστȣ̃ εἶναι προαναγγέλλει. κ̀ ἑπομένως ἐκ τȣ̃ ἐναντίȣ διαβεβαιȣ̃ται, μίαν ἐνέργειαν ἀπότινων πατέρων εἰρῆσθαι ἐπὶ Χριστȣ̃, δύο δὲ ἀπὸ ȣ̀δενὸς ἐνεργείας. ὅμως οὔτε μίαν ἐνέργειαν, ȣ̃τε δύο ὁρίζει ὀφείλειν λέγεσθαι ἐν τῷ ἑνὶ κυρίῳ Ἰησȣ̃ Χριστῷ. ὡσαύτως Πύῤῥος ἐν τῇ βεβαιώσει τȣ̃ τύπȣ, κ̀ ἐν ἄλλοις ὑπὲρ Κύρȣ τȣ̃ Ἀλεξανδρείας ἀπολογȣ́μενος, ἓν θέλημα κ̀ μίαν ἐνέργειαν νοεῖν αὐτὸν ἀποδείκνυσι. κ̀ ἐγγράφως πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν πάπαν ἓν θέλημα, κ̀ μίαν ἐνέργειαν τὸν κύριον Ἰησȣ̃ν Χριστὸν ἔχειν διαβεβαιȣ̃ται. κ̀ ὁ αὐτὸς ȣ̃τος ἐν τῷ λιβέλλῳ τῆς πίστεως μετὰ τῆς μαρτυριῶν τῆς ἁγίων πατέρων δύο φυσικὰ θελήματα ἔχειν ἐπικρίνει τὸν σωτῆρα κύριον. ὡσαύτως Παῦλος ὁ τȣ́τȣ διάδοχος ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Θεόδωρον τὸν τῆς ἀποστολικῆς μνήμης πάπαν ἓν θέλημα ἔχειν τὸν κύριον μηνύει. κ̀ ὁ αὐτὸς ȣ̃τος ἐν τῇ συνθέσει τȣ̃ τύπȣ ȣ̃τε ἓν, ȣ̃τε δύο θελήματα ὀφείλειν λέγεσθαι, ἢ ἐνεργείας ὥρισε. Πέτρος ὁμοίως ὡς ἓν κ̀ δύο θελήματα, κ̀ ἐνεργείας ἐπὶ τῆς οἰκονομίας τῆς ἐνανθρωπήσεως τȣ̃ σωτῆρος ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ φρονεῖν προμαρτύρεται. κ̀ εἷς ἕκαστος αὐτῆς * τȣ̀ς ἄλλως δικαιολογȣμένȣς κατακρίνει, ἀποκοινωνεῖ, κ̀ ἐκ τȣ̃ καταλόγȣ τῆς ἐκκλησίας ἀποβάλλεται. πρόχῃ τοίνυν ἡ θεοσύστατος τῆς ὑμετέρας φιλανθρωπίας κορυφὴ τῷ ἐνδοτάτῳ τȣ̃ διακριτικοῦ αὐτῆς

* σημαίνων μήτε μίαν ὅλως

* ἐν τῷ σηκᾷ Lat.

* κ̀ τὰς παγίδας ἐκτέμνειν τῆς αἱρετικῆς πλάνης.

* ἄλλως δικαιολογȣ́μενοι.

αὐτῆς ὀφθαλμῷ, ὃν πρὸς οἰκονομίαν τῶν χριστιανικωτάτων λαῶν τῆς θείας χάριτος ἐλλαμπούσης παραλαβεῖν ἠξιώθη, τίνι τῶν τοιούτων διδασκάλων κρινεῖ ἀκολουθεῖν ὁ Χριστιανῶν λαὸς, τίνος τούτων τὴν διδασκαλίαν ὀφείλει περιπτύσσεσθαι, ἵνα δυνηθῇ σωθῆναι. οἵ τινες καὶ πάντας, καὶ ἀλλήλους εἷς ἕκαστος αὐτῶν κατακρίνει, καθὼς οἱ ποικίλοι αὐτῶν καὶ ἄστατοι τῶν ἐγγράφων ὅροι διαβεβαιοῦνται, ποτὲ μὲν ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ποτὲ δὲ οὔτε ἓν, οὔτε δύο ἐνεργείας· ποτὲ ἓν θέλημα καὶ μίαν ἐνέργειαν· καὶ πάλιν δύο θελήματα, καὶ δύο ἐνεργείας· ὁμοίως ἓν θέλημα καὶ μίαν ἐνέργειαν, καὶ ἔπειτα οὔτε μίαν, οὔτε δύο· καὶ ἄλλος μίαν καὶ δύο.

Ποῖος παράφρων, παρακαλῶ εὐσεβέστατοι δεσπόται, τῆς τοσαύτης τυφλότητος τὰς πλάνας μὴ βδελύξηται, καὶ παραφυλάξηται, ἐὰν δηλαδὴ σωθῆναι ἐπιθυμῇ, καὶ ἄμωμον τῆς ἑαυτοῦ πίστεως τὴν ὀρθότητα ἐρχομένῳ τῷ κυρίῳ ἐπιποθῇ προσαγαγεῖν; διόπερ * λυτρωθήσεται ἐστὶ, καὶ ἐξ ὅλης τῆς ἰσχύος μετὰ τῆς τοῦ Θεοῦ βοηθείας * ἐλευθερωτέα ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία ἡ μήτηρ τοῦ χριστιανικωτάτου ὑμῶν κράτους, ἀπὸ τῆς πλάνης τῶν τοιούτων διδασκάλων· ἵνα τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν τῆς ὀρθοδόξου πίστεως ὀρθότητα, ἥτις τεθεμελίωται ἐπὶ τὴν στερεὰν πέτραν ταύτης τῆς τοῦ μακαριωτάτου κορυφαίου τῶν ἀποστόλων Πέτρου ἐκκλησίας, ἥτις τῇ αὐτοῦ χάριτι καὶ βοηθείᾳ ἀπὸ πάσης πλάνης ἄχραντος διαμένει. πᾶς ὁ ἀριθμὸς τῶν προέδρων, καὶ τῶν ἱερέων, * τοῦ κλήρου, καὶ τῶν λαῶν ὁμοθυμαδὸν πρὸς τὸ εὐαρεστεῖν τῷ Θεῷ, καὶ τὴν ψυχὴν σωθῆναι, τῆς ἀληθείας τὸν τύπον τῆς ἀποστολικῆς παραδόσεως ἅμα ἡμῖν ὁμολογήσῃ καὶ κηρύξῃ· ταῦτα δὲ τῇ ἡμετέρᾳ μετρία ἀναφορᾷ ἐνθεῖναι ἐφροντίσαμεν καταπεπονημένοι, καὶ ἀδιαλείπτως στενάζοντες περὶ τῆς τοσαύτης πλάνης τῶν τῆς ἐκκλησίας ἱερέων, ἴδια μᾶλλον ζητούντων παρὰ τὴν ἀλήθειαν τῆς πίστεως ὁρίσαι, καὶ τῆς ἀδελφικῆς ὑπομνήσεως τὸ ἀκέραιον εἰς οἰκείαν καταφρόνησιν ἀνήκειν κρινόντων· οὐ φθονοῦντι λογισμῷ, ὡς ὁ Θεὸς μαρτυρεῖ, οὔτε κατ' ἔπαρσιν ἀλαζονείας, οὔτε κατ' ἐναντίωσιν φιλονεικίας, οὔτε μάτην ἐπιλαβέσθαι τῆς αὐτῶν διδασκαλίας ἐπιθυμοῦντες, μήτε οἱανδήποτε ὑποπτεύσῃ τις ἀνθρωπίνης τέρψεως ἀλαζονείαν, ἀλλ' ὑπὲρ τῆς ὀρθότητος αὐτῆς τῆς ἀληθείας, ἐν ᾗ σωθῆναι ἡμᾶς θαρροῦμεν, καὶ ὑπὲρ τοῦ κανόνος αὐτῆς τῆς καθαρᾶς καὶ εὐαγγελικῆς ὁμολογίας, ὑπὲρ σωτηρίας δηλονότι τῶν ψυχῶν, καὶ τῆς συστάσεως τῆς τῶν Χριστιανῶν πολιτείας, ὑπὲρ ῥώσεως τῶν τοῦ Ῥωμαϊκοῦ κράτους τὰς κυβερνήσεις διοικούντων, τῆς ἐμῆς μετριότητος τοὺς προηγησαμένους ἀποστολικοὺς ὑπομνῆσαι, ἐρωτῆσαι, ἐπιτιμῆσαι, παρακαλέσαι, ἐλέγξαι, καὶ πάντα τρόπον προτροπῆς ἐγγυμνάσαι, ὅπως θεραπείαν δυνήσηται τὸ νεαρὸν τραῦμα λαβεῖν. οὔτε μετὰ τὴν παλαιότητα τῆς * δυσώδους πλάνης ἀπὸ τῆς ὑπομνήσεως ἀπεσιώπησαν, ἀλλὰ διὰ παντὸς προέτρεψαν καὶ διεμαρτύραντο, καὶ τοῦτο ἐξ ἀγάπης ἀδελφικῆς, οὐ κατὰ πονηρίαν, ἢ κατὰ πεῖσμα μίσους, (ἀπέστω, ἀπέστω ἀπὸ τῆς τῶν Χριστιανῶν καρδίας, ἵνα εἰς ὄλισθον ἑτέρου * παχύνηται, ὁπόταν ὁ τῶν πάντων κύριος διδάσκῃ· οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἵνα ἐπιστραφῇ, καὶ ζήσῃ· ὁ χαίρων ἐπὶ ἑνὶ μετανοοῦντι, ἢ ἐπὶ ἐννενήκοντα ἐννέα δικαίοις. ὃς πρὸς τὸ ἐλευθερῶσαι τὸ ἀπολωλὸς πρόβατον τῆς ἑαυτοῦ μεγαλειότητος τὴν δυναστείαν ἐπικλίνας ἐξ οὐρανοῦ εἰς τὴν γῆν καταβέβηκε) καὶ ἐξηπλωμέναις ταῖς πνευματικαῖς χερσὶν εὐχόμενοι, καὶ δυσωποῦντες αὐτοὺς εἰς τὴν ὁμοψυχίαν τῆς ὀρθοδόξου πίστεως ἐπανακάμπτοντας ἀσπάσασθαι, καὶ τὴν τούτων ἐπιστροφὴν πρὸς τὴν ὑγιῆ ὀρθότητα τῆς ὀρθοδόξου πίστεως ἀναμένοντες, ὅπως ἀπὸ τοῦ ἡμετέρου καταλόγου ἤτοι τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, οὗτινος, εἰ καὶ ἀνάξιοι, τὴν διακονίαν ἐκτελοῦμεν, καὶ τῆς παραδόσεως τὸν τύπον κηρύσσομεν, μὴ ποιήσωσιν ἑαυτοὺς ἀλλοτρίους, ἀλλ' ὁμονοητικῶς ἅμα ἡμῖν τὴν ἀμώμητον θυσίαν ὑπὲρ τῆς συστάσεως τοῦ ἀνδρειοτάτου καὶ γαληνοτάτου κράτους * ἀκαταπαύστως Χριστὸν τὸν κύριον ἐκδυσωπῶσι. πιστεύομεν, εὐλαβέστατοι τῶν πραγμάτων δεσπόται, μηδεμίαν ἀμφιβολίας ἀχλὴν ἀπομεῖναι, ἥτις πρὸς τὸ διαχωρίσαι δυνήσεται ἀντιστῆναι τοῖς ἑπομένοις τοῖς ἐφευρεταῖς τοῦ καινοῦ δόγματος. καὶ γὰρ ἡ πνευματικὴ εὐωδία τῆς γνώσεως, ὅθεν * τῶν πατέρων ἀναπνέει τὰ ῥήματα, ἐνώπιον τῶν ὀφθαλμῶν καθέστηκε· καὶ τῶν αἱρετικῶν ἡ ἀπάνθρωπος δυσωδία ἀπὸ πάντων τῶν πιστῶν * ἐξουδενώθη· καὶ ὅτι οἱ τοῦ καινοῦ δόγματος ἐφευρεταὶ τῶν αἱρετικῶν ἀκόλουθοι ἐδείχθησαν, καὶ οὐ τοῖς ἁγίοις πατράσιν ἑπόμενοι, μήτε τοῦτο * ἀπέμεινεν ἄγνωστον· τοιγαροῦν ὁσονδήποτέ τις τὴν ἰδίαν πλάνην θελήσει χρωματίσαι, ἀπὸ τοῦ φωτὸς τῆς ἀληθείας ἐλέγχεται, καθὼς καὶ ὁ ἀπόστολος τῶν ἐθνῶν διδάσκει· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστίν * ἐπειδὴ ἡ ἀλήθεια ἀεὶ σταθηρὰ καὶ ἡ αὐτὴ διαμένει. τὸ δὲ ψεῦδος ἀεὶ ποικίλλεται, καὶ ἐν τῷ ποικίλλεσθαι φανεροῦται, καὶ ἐξελέγχεται ἑαυτῷ τοῦτο ἐναντίον εἶναι. ἐκ τούτου γὰρ καὶ ἑαυτοὺς τὰ ἐναντία διδάσκειν ἐδείχθησαν οἱ τοῦ καινοῦ δόγματος ἐφευρεταὶ, ὅτι τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς πίστεως ἀκόλουθοι εἶναι οὐκ ἠθέλησαν. διὸ ἐπειδὴ καὶ ἡ ἀλήθεια ἐφάνη τῇ ἐπισκέψει τῆς θεοπνεύστου ὑμῶν εὐσεβείας, καὶ τὸ σκότος ἀπεσημειώθη, καὶ ἧς ἠξιώθη, ἀποβλήσεως ἔτυχεν· ὑπολέλειπται, ἵνα ταῖς εὐμενείαις τῆς θεοστέπτου ὑμῶν φιλανθρωπίας τῆς νίκης τὸν στέφανον ἡ ἀλήθεια ἀναδησαμένη ἐκλάμψῃ, καὶ τῆς καινότητος ἡ πλάνη μετὰ τῶν αὐτῆς ἐφευρετῶν, καὶ τῶν τῇ διδασκαλίᾳ αὐτῶν ἀκολουθούντων τῆς οἰκείας τόλμης τὴν ποινὴν ἀποτίσῃ. καὶ ἐκ τοῦ μέσου τῶν ὀρθοδόξων προέδρων ὑπὲρ τῆς καινότητος τῆς αὐτῶν αἱρετικῆς

* λυτρωθήσεται.
* ἐλευθερωθήσεται.
* τούτου.
* L. ἐπικρα-
* ἐπεμβαίνῃ. Λουκ. 15.
Ἰεζεκ. 18.
* προσφέροντες.
* ἦν τῶν.
* ἐξουδενωθῇ καὶ ἐπειδὴ οἱ τοῦ.
* ἀπομείνῃ.
* Ἐφεσ. 5.

τικῆς φαυλότητος ἐξωσθῶσιν· ἣν ἐν μέσῳ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐπεχείρησαν εἰσαγαγεῖν, καὶ τὸ ἀδιαίρετον καὶ ἄχραντον σῶμα τῆς ἐκκλησίας τοῦ Χριστοῦ τῷ μολυσμῷ τῆς αἱρετικῆς φαυλότητος σπιλῶσαι. οὐδὲ γὰρ εὔλογόν ἐστιν, ἵνα οἱ ὑπεύθυνοι τοὺς ἀνευθύνους βλάψωσι, ἢ τοὺς ἀναιτίους τῶν ἄλλων τὰ πλημμελήματα καταλάβωσιν· ὁπόταν κἂν εἰ ἐν τούτῳ τῷ κόσμῳ τοῖς κατακεκριμένοις συγχωρηθῇ, καθὼς αὐτοὶ οἱ συγχωρούμενοι οὐδεμιᾶς εὐεργεσίας * αἰσθάνονται ἐν τῇ κρίσει τοῦ Θεοῦ, οὕτω τοῖς φειδομένοις οὐκ ἐλάχιστος ὑπὲρ τῆς ἀναρμοδίου συμπαθείας ὁ κίνδυνος ἐπισωρεύεται. ταῦτα διὰ τοῦτο τὸν παντοδύναμον Θεὸν τοῖς ἐσχάτοις χρόνοις τῆς ὑμῶν ἡμερότητος εἰς τὸ διορθώσασθαι πιστεύομεν φυλάξαι, ἵνα καὶ τὸν τόπον, καὶ τὸν ζῆλον αὐτοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ τὸ ὑμέτερον κράτος καταξιώσαντος στέψαι, ποιοῦντες ἐπὶ γῆς ὑπὲρ τῆς αὐτοῦ εὐαγγελικῆς καὶ ἀποστολικῆς ἀληθείας δικαίαν κρίσιν προαγάγητε· ὅστις τοῦ ἀνθρωπίνου γένους λυτρωτὴς καὶ σωτὴρ ὑπάρχων, μέχρι τῆς σήμερον ὑβριζόμενος ἠνέσχετο, καὶ τῷ κράτει τῆς ὑμετέρας ἀνδρειότητος ἐνέπνευσεν, ἵνα τῆς αὐτοῦ πίστεως τὸ πρᾶγμα, καθὼς τὸ δίκαιον ἀπαιτεῖ, καὶ τῶν ἁγίων πατέρων καὶ τῶν ἱερῶν οἰκουμενικῶν πέντε συνόδων ἐψηφίσατο ἡ διδασκαλία καταξιώσητε * ἐπεξελθεῖν· καὶ τοῦ λυτρωτοῦ καὶ συμβασιλέως τὴν περὶ τῆς πίστεως αὐτοῦ ὕβριν, διὰ τῆς αὐτοῦ προστασίας ἀπὸ τῶν καταφρονησάντων ἐκδικήσητε, τὸ προφητικὸν ἐκεῖνο λόγιον μετὰ βασιλικῆς φιλανθρωπίας μεγαλοψύχως ἀναπληροῦντες, * ὅθεν ὁ βασιλεὺς καὶ προφήτης Δαβὶδ πρὸς τὸν Θεὸν φθέγγεται. ὁ ζῆλος τοῦ οἴκου σου, φάσκων, κατέφαγε μέ. ὅθεν ὑπὲρ τοῦ τοιούτου θεαρέστου ζήλου ἐπαινεθεὶς ἐκείνην τὴν μακαρίαν φωνὴν ἀκοῦσαι ἀπὸ τοῦ δημιουργοῦ τῶν ὅλων ἠξιώθη· ηὗρον Δαβὶδ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. ᾧ τινὶ καὶ ἐν τοῖς ψαλμοῖς ἐπαγγέλλεται· ηὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν· ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτὸν, ὅπως οὗτινος τὸ πρᾶγμα τῇ ζεούσῃ σπουδῇ ἡ τῆς χριστιανικωτάτης ὑμῶν βασιλείας εὐσέβεια ἀγωνίζεται ἀποτελέσαι, πάσας τὰς πράξεις τοῦ ἀνδρειοτάτου ὑμῶν κράτους εὐτυχεῖς καὶ αἰσίας ποιήσῃ, ὃς ἐν τοῖς ἑαυτοῦ ἁγίοις εὐαγγελίοις ἐπαγγέλλεται φάσκων· ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. πάντες γὰρ, πρὸς οὓς κατέλαβεν ἡ τῶν θείων ὑμῶν κεραιῶν εἴδησις, καὶ ὁ τοιοῦτος εὐμενῶς τῆς σεβασμίας μεγαλοψυχίας τῆς ὑμῶν ἡμερότητος ἀπεδείχθη σκοπὸς, ἀναριθμήτους εὐχαριστίας, καὶ ἀδιαλείπτους ἐπαίνους θαυμάσαντες περὶ τοῦ τοσούτου τῆς συμπαθείας μεγέθους, τῷ κατορθωτῇ τοῦ ἀνδρειοτάτου ὑμῶν κράτους ἀποδεδώκασιν. ἐπειδὴ ὡς ἀληθῶς εὐσεβέστατοι, καὶ δικαιότατοι βασιλεῖς, ἅπερ εἰσὶ τοῦ Θεοῦ μετὰ φόβου Θεοῦ κατηξιώσατε διαπράττεσθαι, πᾶσαν ἀβλάβειαν τοῖς στελλομένοις παρ' ἡμῶν προσώποις ὑποσχόμενοι. καὶ θαρροῦμεν, ὅτι ἅπερ ὑπέσχετο ἡ ὑμετέρα εὐσεβὴς εὐμένεια, δύναται καὶ ἀποτελέσαι· ὅπως ὅπερ τῷ Θεῷ ἀφιέρωται θεοσεβεῖ φιλανθρωπίᾳ παρὰ τοῦ φιλοχρίστου ὑμῶν κράτους, οὐδὲν ἧττον τῆς αὐτοῦ παντοκρατορίας συνεργούσης καὶ ἡ ὑπόσχεσις πληρωθῇ. ὅθεν καὶ ἔπαινος ἀπὸ πάντων τῶν ἐθνῶν τῶν Χριστιανῶν, καὶ αἰωνίζουσα μνήμη, καὶ συνεχὴς εὐχὴ πλεονάσει ὑπὲρ ῥώσεως, καὶ τῆς δωρηθησομένης τροπαιούχου καὶ τελείας νίκης ἀπὸ τοῦ δεσπότου Χριστοῦ, οὗτινος καὶ τὸ πρᾶγμα ἐστίν. ὅπως τῆς ἀνωτάτης μεγαλειότητος τῷ φόβῳ πληγέντα τὰ γένη τῶν ἐθνῶν ὑπὸ τοῖς σκήπτροις τοῦ ῥωμαλέου ὑμῶν κράτους τοὺς ἑαυτῶν αὐχένας ταπεινωθέντες ὑποστρώσωσιν, ἵνα τῆς ὑμετέρας εὐσεβοῦς βασιλείας κραταιωθῇ ἡ δυναστείᾳ, ἕως τὸ χρονικὸν κράτος ἡ διαιωνίζουσα μακαριότης τῆς * οὐρανίου διαδέξηται βασιλείας· οὐδὲ γὰρ δυνήσεται ἄλλο ὅμοιον εὑρεθῆναι, ὅπερ τὴν φιλανθρωπίαν τῆς ὑμετέρας ἀηττήτου ἀνδρείας τῇ θείᾳ παραθήσεται μεγαλειότητι, εἰ μὴ ἵνα ἐξωσθέντων τῶν πλανωμένων ἀπὸ τοῦ τῆς ἀληθείας κανόνος, τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς ἡμῶν πίστεως πανταχοῦ φανερωθῇ καὶ κηρυχθῇ τὸ ἀκέραιον. διὰ τοῦτο εὐσεβέστατοι καὶ θεοδίδακτοι δεσπόται καὶ τέκνα, ἐὰν τοῦτον τὸν κανόνα τῶν ἁγίων γραφῶν, τῶν σεβασμίων συνόδων, τῶν πνευματικῶν πατέρων ἀνεπίληπτον τοῦ ἀποστολικοῦ δόγματος κατὰ τὴν εὐαγγελικὴν αὐτῶν ἔννοιαν, δι' οὗ τῆς ἀληθείας ἡμῖν τὸν τύπον, τοῦ πνεύματος ἀνακαλύπτοντος, ἔδειξαν, ὁ πρόεδρος τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας σὺν ἡμῖν κρατεῖν καὶ κηρύττειν ἐπιλέξηται, εἰρήνη πολλὴ γένησεται τοῖς ἀγαπῶσι τὸ ὄνομα τοῦ Θεοῦ, καὶ οὐκ ἀπομενεῖ τι σκάνδαλον διχονοίας, καὶ γένησεται τὸ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, ἐπὰν διὰ τῆς χάριτος τοῦ ἁγίου πνεύματος ὁ λαὸς πρὸς ἐπίγνωσιν * τῆς χριστιανικωτάτης προσέλθῃ, πᾶσιν ἡμῖν καρδία μία, καὶ ψυχὴ μία. * ἐπεὶ, ὅπερ ἀπέστω, τὴν πρὸ μικροῦ ἀπ' ἄλλων εἰσαχθεῖσαν καινότητα ἐπισπάσασθαι θελήσει, καὶ ταῖς ἀλλοτρίαις διδασκαλίαις ἀπὸ τοῦ κανόνος τῆς ἀληθείας τῆς ὀρθοδόξου καὶ ἀποστολικῆς ἡμῶν πίστεως ἑαυτὸν σαγηνεῦσαι· ἥτινα ἅτε δὴ ταῖς ψυχαῖς * καταδίκην ἐκκλῖναι ἀδιαλείπτως ἀπὸ τῶν προηγησαμένων τὴν ἡμετέραν μετριότητα προτραπέντες, καὶ ὑπομνησθέντες μέχρι τούτου ὑπερέθεντο· αὐτὸς γνώσεται, τί περὶ τῆς τοιαύτης καταφρονήσεως ἐν τῷ θείῳ τοῦ Χριστοῦ κριτηρίῳ ἀπολογήσεται παρὰ τῷ δικαστῇ πάντων τῷ ἐν οὐρανοῖς ὄντι· ᾧτινι καὶ ἡμεῖς * καὶ αὐτὸς ὑπὲρ τῆς προσληφθείσης διακονίας τοῦ ἀληθοῦς κηρύγματος, ἢ τῆς ἐναντίας προλήψεως τῆς χριστιανικωτάτης πίστεως, ὅταν πρὸς τὸ κρίνειν παραγένηται, λόγον ἀποδώσομεν· * καὶ ἡμῖν μὲν, ὅπερ

* αἰσθάνοντας.

* ὑξακολουθῆσαι.

* ἵσ. ὅπερ. Ψαλ. 68.

Ματθ. 6.

* ἀϊδίου.

Ψαλ. 118.

* χριστιανότητος. ex Lat. Πράξ. 4.

* εἰ δὲ, L.

* βλαβεράν.

* καὶ ἡμεῖς αὐτοὶ Lat.

ὅπερ δεόμενος παρακαλῶ, ἐγγένηται τὸν ἀποστολικὸν, καὶ εὐαγγελικὸν τῆς ὀρθῆς πίστεως κανόνα, ὡς ἀπ' ἀρχῆς παρελάβομεν, ἀδιαστέστως, καὶ ἐλευθερίως μετὰ ἁπλῆς καθαρότητος ἀκέραιον καὶ ἄτρωτον φυλάξαι. διόπερ τῇ ὑμετέρᾳ σεβασμίᾳ γαληνότητι ὑπὲρ τῆς στοργῆς καὶ τιμῆς τῆς καθολικῆς καὶ ἀποστολικῆς ὀρθῆς πίστεως ἀπ' αὐτοῦ τοῦ συμβασιλέως τοῦ χριστιανικωτάτου ὑμῶν κράτους τοῦ δεσπότου ἡμῶν Ι'ησοῦ Χριστοῦ, οὗτινος τὴν ἀληθῆ πίστιν ἄχραντον ἐπιθυμεῖτε φυλάττειν, τέλειος μισθὸς καταλογισθήσεται τοῖς εὐσεβέσι καμάτοις. ὅτι ἔν τινι οὐδὲν ἠμελήθη, ἢ παρεωράθη ἀπὸ τῆς ὑμῶν θεοστεφοῦς εὐμενείας, ὅπερ ἀνήκειν δυνήσηται τῇ ὑγιεῖ ἀκεραιότητι τῆς ἀληθοῦς πίστεως πρὸς τὴν τῶν ἐκκλησιῶν ὁμόνοιαν, ἐπειδὴ ὁ κριτὴς τῶν πάντων Θεὸς τὴν πρόθεσιν ἐκζητεῖ τῆς διανοίας, καὶ τὴν σπουδὴν τῆς εὐσεβείας προσδέχεται· ὃς τὰς ἐκβάσεις τῶν πραγμάτων, καθὼς συμφέρειν κρίνει, καὶ διοικεῖ. παρακαλῶ τοίνυν εὐσεβέστατοι, καὶ φιλανθρωπότατοι βασιλέων, καὶ Αὔγουστοι, καὶ ἅμα σὺν τῇ ἐμῇ ἐλαχιστίᾳ πᾶσα ψυχὴ Χριστιανῶν γονυπετοῦσα δέεται, ἵνα πᾶσι τοῖς θεαρέστοις ἀγαθοῖς, καὶ ταῖς θαυμαστοῖς καὶ βασιλικαῖς εὐεργεσίαις, ἅς τινας διὰ τῆς ὑμῶν θεαρέστου σπουδῆς ἡ ὕψιστος ῥοπὴ τῷ ἀνθρωπίνῳ γένει χαρίσασθαι κατηξίωσε, καὶ τοῦτο εἰς ὁλόκληρον ἀποκατάστασιν τῆς τελείας εὐσεβείας τῷ συμβασιλεύοντι δεσπότῃ Χριστῷ εὐπρόσδεκτον θυσίαν προσαγαγεῖν κελεύσητε, τὸν λόγον τῆς ἀτιμωρησίας χαρισάμενοι, καὶ ἐλευθέραν τοῦ λαλεῖν ἄδειαν ἐνὶ ἑκάστῳ τῷ λαλεῖν ἐθέλοντι, καὶ λόγον ὑπὲρ τῆς πίστεως ἧς πιστεύει καὶ κρατεῖ, ἀποδοῦναι. ἵνα ἀπὸ πάντων φανερῶς ἐπιγνωσθῇ, ὅτι οὐδενὶ φόβῳ, οὐδεμιᾷ δυναστείᾳ, οὐδεμιᾷ ἀπειλῇ, ἢ ἀποστροφῇ, τίς ποτε ὑπὲρ τῆς ἀληθείας τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως λαλεῖν θέλων ἐκωλύθη, ἢ ἀπεβλήθη. ὅπως πάντες ὁμοθυμαδὸν ὑπὲρ τοῦ τοιούτου καὶ οὕτως ἀνεικάστου ἀγαθοῦ εἰς πάντα τὸν χρόνον τῆς ἑαυτῶν ζωῆς τὴν θείαν μεγαλωσύνην δοξάζωσι, καὶ ὑπὲρ ῥώσεως, καὶ ὑψώσεως τοῦ ἀνδρειοτάτου ὑμῶν κράτους ἀκαταπαύστους ὁμοθυμαδὸν τῷ δεσπότῃ Χριστῷ δεήσεις ἐκχέωσιν. ἡ ὑπογραφή. τὸ εὐσεβέστατον τῶν δεσποτῶν κράτος ἡ ὕψιστος χάρις διαφυλάξοι, καὶ τούτῳ πάντων τῶν ἐθνῶν τοὺς αὐχένας ὑποτάξοι.

. . . . . .

Ε'ΠΙΣΤΟΛΗ' Α'ΓΑ'ΘΩΝΟΣ

ΚΑΙ' ΤΗ̃Σ Ε'Ν Ρ'Ω'ΜΗ, ΣΥΝΟ'ΔΟΥ

Τῶν ἑκατὸν εἰκοσιπέντε ἐπισκόπων, ἣν ἔπεμψαν εἰς Κωνσταντινούπολιν.

Ε'πιγραφὴ τῆς συνοδικῆς ἀναφορᾶς.

Τοῖς εὐσεβεστάτοις δεσπόταις, καὶ γαληνοτάτοις νικηταῖς καὶ τροπαιούχοις, ποθητοῖς τέκνοις τοῦ Θεοῦ καὶ δεσπότου Ι'ησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Κωνσταντίνῳ μεγάλῳ βασιλεῖ, Η'ρακλείῳ καὶ Τιβερίῳ Αὐγούστοις, Α'γάθων ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ Θεοῦ σὺν πάσαις ταῖς συνόδοις ταῖς ἀνηκούσαις τῇ συνόδῳ τοῦ ἀποστολικοῦ θρόνου. Πάντων τῶν ἀγαθῶν ἐλπὶς ὑπάρχειν γνωρίζεται, ἡνίκα ἡ βασιλικὴ κορυφὴ τὸν στέψαντα αὐτὴν, καὶ τοῖς ἀνθρώποις ἐγκαταστήσαντα πρὸς σωτηριώδη κυβέρνησιν, ἐπιγινώσκουσα τὴν περὶ αὐτοῦ ἀληθῆ ὁμολογίαν, ᾗ τινι μόνῃ ὑπὲρ πάντα τὰ δῶρα ἐπιτέρπεται, πιστῶς ἐπιζητεῖ, καὶ ἀναζωπυροῦντι λογισμῷ περιπτύσσεσθαι ἐπιθυμεῖ. καὶ τοῦτο Θεοῦ ἐστιν ἐξοχώτατον δῶρον, ἐξ οὗ πᾶσα δόσις ἀγαθὴ προέρχεται· πρὸς ὃν ἐπαναφέρεται, ὅπερ προσελήφθη ἀπὸ τῆς αὐτοῦ μεγαλειότητος. οὗ τινος τῷ πνεύματι ἐν τοῖς τῆς διανοίας ἀποκρύφοις οἰκοδομοῦντος, καὶ ἀναῤῥωννυῶτος τῇ πνευματικῇ βράσει τῆς * ἀκτῖνος τοῦ εὐσεβοῦς σκοποῦ κύκλῳ πάντα διακαθαίρονται, καὶ τῆς εὐωδίας ἡ ὀσμὴ ἀπὸ τῆς θυσίας τῆς καρδίας ἀνέρχεται πρὸς τὸν κύριον, ὅστις τῷ τοιούτῳ δώρῳ εὐαρεστεῖται· ὅθεν καὶ ἐν τοῖς ἐπιγείοις εὐτυχίαν δωρήσηται, καὶ ἅπαντα τὰ ἔθνη ὑποτάξοι, ἅπερ προσκαλῆται πρὸς τὴν ὁμολογίαν τῆς ἀληθοῦς αὐτοῦ ἐπιγνώσεως, * τὰ ὑποτεταγμένα τῷ χριστιανικωτάτῳ κράτει· ἵνα εὐτυχεῖς ποιήσῃ τεταπεινωμένους, οὓς ταλαιπώρως ὑψοῦσθαι πρὸς κατάβλησιν ἑαυτῶν παρείασεν. ἐπεὶ δὲ, εὐσεβέστατοι καὶ ἀνδρειότατοι βασιλέων, τῆς σεβασμίας ὑμῶν εὐσεβείας σὺν ἐπαίνῳ θαυμάζομεν τὴν θεάρεστον πρόθεσιν, ἥπερ πρὸς τὴν ἀποστολικὴν ἡμῶν πίστιν ἔχειν κατηξιώσατε, τοῦ Θεοῦ μυστικῶς πληροφοροῦντος, οὐ ῥήμασι ῥευστοῖς, οὔτε λαλιᾷ ἀπάτης, ἀλλὰ τῇ αὐτοῦ θείᾳ χάριτι ὑπομιμνήσκοντος, καὶ πάσης ἀμφιβολίας περιαιρεθείσης ἐπιθυμεῖτε ἐπιγνῶναι, ἅπερ ἡ ἀλήθεια τῆς ὀρθοδόξου καὶ ἀποστολικῆς περιέχει πίστεως· ἡμεῖς πάντες οἱ ἐλάχιστοι τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ πρόεδροι, οἱ δοῦλοι τοῦ χριστιανικωτάτου ὑμῶν κράτους, ἔν τε τοῖς δυτικοῖς καὶ ἀρκτώοις μέρεσι τυγχάνοντες, εἰ καὶ ὀλίγοι καὶ ἁπλούστεροι τῇ γνώσει, τῆς * πίστεως ὅμως διὰ τῆς τοῦ Θεοῦ χάριτος σταθηροὶ, ἕνεκεν τῶν προσταχθέντων διὰ τῆς θειώδους σάκρας, ἐγνωκότες τὸν συμβασιλεύοντα καὶ διοικοῦντα σὺν ὑμῖν, τὸν κτίστην καὶ πρύτανιν τῶν πάντων Θεὸν, ἱλαρευόμενοι περὶ τῆς τοιαύτης εὐσεβοῦς προθέσεως μετὰ

Ι'ακ. 1.

* L. εὐσεβοῦν σκοποῦ ἀκτῖνες κύκλῳ διάττουσιν.

* L. ἅ τινα ὑπ. τ. χ. κ. τῆς τοῦ σκότους ἐξουσίας ἐλευθερώσοι

* τῇ πίστει ex Lat.

μετὰ τῶν ἐκ βάθους τῆς καρδίας ὀδυρμῶν εὐχαριστεῖν ἀπηρξάμεθα, ὅτι τὸ οὕτως ἀξιεπαίνετον, τὸ οὕτως θαυμαστὸν καὶ σωτηριῶδες, οὕτω μονογενῶς τῷ Θεῷ ὑπὲρ πάσας τὰς γηΐνας θυσίας εὐπρόσδεκτον ἔργον ἡ ὑμετέρα φιλανθρωπία καταπιστεύεται ἐπιθυμῆσαι. ὅπερ πολλοῖς μὲν εὐσεβείᾳ καὶ δικαιοσύνῃ προὔχουσι βασιλεῦσιν ἐπεθυμεῖτο, ὅμως ὀλίγοις καὶ ἀραιοῖς πρὸς θεάρεστον ἀποτέλεσμα μετὰ ἀκεραιότητος τῆς ἀποστολικῆς πίστεως διασωθῆναι δυνατὸν ἀπεδείχθη. πιστεύομεν δὲ, ὅτι ὅπερ ὀλίγοις καὶ ἀραιοῖς * συνεφωνήθη, τῷ θεοστέπτῳ ὑμῶν κράτει θεόθεν δωρηθήσεται, ἵνα δι' αὐτοῦ τῆς καθολικῆς, καὶ ἀποστολικῆς ἡμῶν πίστεως τὸ Τηλαυγέστατον * λάμψῃ φῶς ἐν ταῖς πάντων καρδίαις· ὅπερ ἐκ τῆς πηγῆς τοῦ ἀληθινοῦ φωτὸς, ὡς δι' ἀκτίνων τῆς ζωοποιοῦ λαμπηδόνος τοῖς μακαρίοις λειτουργοῖς Πέτρῳ καὶ Παύλῳ τοῖς τῶν ἀποστόλων κορυφαίοις, καὶ τοῖς τούτων μαθηταῖς καὶ διαδόχοις τοῖς ἀποστολικοῖς κατὰ βαθμὸν μέχρι τῆς ἡμετέρας οὐδενότητος τῇ τοῦ Θεοῦ βοηθείᾳ ἐφύλαχθη, μηδεμιᾷ τῆς αἱρετικῆς πλάνης δυσωδεστάτου σκότους ἀχλύϊ, μήτε νεφέλαις ψεύδους, ἢ νέφεσιν ἀπάτης μολυνθὲν, μήτε παραμεμιγμέναις αἱρετικῶν φαυλότησι, καθάπερ ἀμαυροῖς νέφεσι κατασκιασθὲν, ἀβαρὲς καὶ ἀκέραιον καὶ ταῖς ἰδίαις ἀκτῖσι διαλάμψαν. ἐν τούτῳ γὰρ ὅ τε ἀποστολικὸς θρόνος, οἵτε προηγησάμενοι τὴν ἡμετέραν μετριότητα μέχρι * τοσούτου οὐ χωρὶς κινδύνων ἀπέκαμον, νῦν δογματικῶς μετὰ τῶν ἀποστολικῶν ἀρχιερέων βουλευσάμενοι, νῦν συνοδικῷ ὅρῳ τῆς ἀληθείας περιεχομένους κανόνας πᾶσι γνωρίσαντες. καὶ τὰ αἰώνια ὅρια, ἅ τινα παραβῆναι οὐ θέμις ἐστὶ, μέχρι τῆς ἐξόδου αὐτῆς τῆς ψυχῆς συστατικῶς διεκδικοῦντες. μὴ ἀπατηθέντες κολακείαις, μήτε κινδύνους ὑφορώμενοι, ὅπως ἐκεῖνο τὸ ἐν εὐαγγελίοις τοῦ κυρίου ἡμῶν θέσπισμα ἔργοις ἀποδείξωσιν, ᾧπερ ἀποφαντικῶς διδάσκων παραγγέλλει. ὅστις με ὁμολογήσει ἐνώπιον τῶν ἀνθρώπων κἀγὼ ὁμολογήσω αὐτὸν ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. καὶ τῇ ἐπακολουθήσῃ τιμωρίᾳ ἐκφοβεῖ, ᾗ τινι αὐστηρῶς ἀπειλεῖ. καὶ ὅστις μὲ ἀρνήσεται ἐνώπιον τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἐνώπιον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἀποτρέπεται γὰρ πρὸς τὰς διαφορὰς τῶν καιρῶν ἡ ἀληθὴς ὁμολογία τῆς εὐσεβείας ποικίλλεσθαι, καθὼς οὐδὲ αὐτὸς τὴν ποικιλίαν προσεδέξατο, περὶ οὗ ἐστιν αὕτη ἡ ἀληθὴς ὁμολογία, ὃς λέγει. ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. τοίνυν ἐπειδὴ τῆς γαλυναίας ὑμῶν ἀνδρείας ἡ εὐμένεια πρόσωπα ἀπὸ τοῦ τῶν ἐπισκόπων ἀριθμοῦ σταλῆναι ἐκέλευσε, βίῳ τε καὶ εἰδήσει * πάντων γραφῶν προὔχοντα, περὶ μὲν τῆς καθαρότητος τοῦ βίου, εἰ καὶ τὰ μάλιστά τις καθαρῶς βιώσει, ὅμως θαρρεῖν οὐ τολμᾶ. ἡ δὲ τελεία εἴδησις ἐὰν πρὸς εἴδησιν ἀληθοῦς εὐσεβείας ἐπαναδράμῃ, μόνη ἐστὶν ἀληθείας ἐπίγνωσις· ἐὰν δὲ πρὸς εὐγλωττίαν βιωτικὴν, οὐχ ὑπολαμβάνομέν τινα ἐν τοῖς ἡμετέροις χρόνοις δύνασθαι εὑρεθῆναι τὸν περὶ ἄκρας εἰδήσεως καυχώμενον· ὁπότε ἐν τοῖς ἡμετέροις κλίμασι τῶν διαφόρων ἐθνῶν ἡ μανία βράζει, ποτὲ μὲν καταπονοῦντες, ποτὲ δὲ καταστρέχοντες καὶ ἁρπάζοντες. ὅθεν ὅλος ὁ βίος ἡμῶν μεριμνῶν ἐστι πεπληρωμένος, οὓς τινας περικυκλοῖ ἡ τῶν ἐθνῶν χεὶρ, καὶ ἐκ τοῦ σωματικοῦ καμάτου ἡ τροφή ἐστι, καθὸ ἡ παλαιὰ διακράτησις τῶν ἐκκλησιῶν κατ' ὀλίγον ταῖς διαφόροις συμφοραῖς ἐκλείψασα ὑπέπεσε. καὶ μόνη ἐστὶν ἡμετέρα ὑπόστασις ἡ πίστις ἡμῶν, μεθ' ἧς τὸ ζῆν ἄκρα ἐστὶ δόξα, δι' ἣν τὸ ἀποθανεῖν κέρδος αἰώνιον ἐστίν. αὕτη ἐστὶν ἡ τελεία ἡμῶν εἴδησις, ἵνα τοὺς ὅρους τῆς καθολικῆς καὶ ἀποστολικῆς πίστεως, οὓς μέχρι τούτου ὁ ἀποστολικὸς θρόνος ἅμα ἡμῖν καὶ ἐκράτησε καὶ παραδίδωσιν, ὅλῃ τῇ τῆς διανοίας παραφυλακῇ φυλάξωμεν· πιστεύοντες εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν πρὸ πάντων τῶν αἰώνων ἐξ αὐτοῦ γεννηθέντα, ἀληθινὸν Θεὸν ἐκ Θεοῦ ἀληθινοῦ, φῶς ἐκ φωτὸς, γεννηθέντα, οὐ ποιηθέντα, ὁμούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τάτε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, καὶ ζωοποιοῦν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον· Τριάδα ἐν μονάδι, καὶ μονάδα ἐν Τριάδι, ἑνότητα μὲν φύσεως, Τριάδα δὲ προσώπων, ἤγουν ὑποστάσεων, Θεὸν τὸν πατέρα ὁμολογοῦντες, Θεὸν τὸν υἱὸν, Θεὸν τὸ πνεῦμα τὸ ἅγιον. οὐ τρεῖς θεοὺς, ἀλλ' ἕνα θεὸν, πατέρα υἱὸν, καὶ πνεῦμα ἅγιον· οὐ τριῶν ὀνομάτων ὑπόστασιν, ἀλλὰ τριῶν ὑποστάσεων μίαν οὐσίαν· ὧν μία οὐσία, ἤτοι φύσις, τούτεστι μία θεότης, μία ἀϊδιότης, μία δυναστεία, ἓν κράτος, μία δόξα, μία προσκύνησις, ἓν οὐσιῶδες τῆς αὐτῆς ἁγίας καὶ ἀχωρίστου τριάδος θέλημα καὶ ἐνέργεια, ἥ τις πάντα ἔκτισε, διοικεῖ, καὶ διακρατεῖ. ὁμολογοῦμεν δὲ τὸν ἕνα τῆς αὐτῆς ἁγίας ὁμουσίου τριάδος τὸν Θεὸν λόγον, τὸν πρὸ αἰώνων ἐκ τοῦ πατρὸς γεννηθέντα, ἐπ' ἐσχάτων τῶν αἰώνων δι' ἡμᾶς, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ τῆς ἁγίας, ἀχράντου, καὶ ἀειπαρθένου, ἐνδόξου Μαρίας τῆς δεσποίνης ἡμῶν, τῆς ἀληθῶς καὶ κυρίος θεοτόκου, κατὰ σάρκα δηλονότι ἐξ αὐτῆς τεχθέντα, καὶ ἀληθῶς ἄνθρωπον γενόμενον, τὸν αὐτὸν Θεὸν ἀληθινὸν, καὶ τὸν αὐτὸν ἄνθρωπον ἀληθινόν· Θεὸν μὲν ἐκ τοῦ Θεοῦ πατρὸς, ἄνθρωπον δὲ ἐκ τῆς παρθένου μητρὸς, σαρκωθέντα ἐξ αὐτῆς σαρκὶ ψυχὴν * ἔχοντα λογικὴν καὶ νοεράν. ὁμοούσιον τὸν αὐτὸν τῷ θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας. σταυρωθέντα ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα. ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς, καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. ἕνα δηλαδὴ καὶ τὸν αὐτὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μο-

* συνεχωρήθη,
* ἐκλάμψοι
Μαρκ. 2. Λουκ. 12.
Ματθ. 10.
Ματθ. 3.
* πασῶς L.
Ἰωαν. 5.
* ἐχούση

μονογενῆ ἐκ δύο καὶ ἐν δύο οὐσίαις ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως ὑποστῆναι γινώσκομεν, οὐδαμοῦ τῆς διαφορᾶς τῶν φύσεων ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀλλὰ μᾶλλον σωζομένης τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης. οὐκ ἐν δυάδι προσώπων μεριζόμενον ἢ διαιρούμενον, οὔτε εἰς μίαν σύνθετον φύσιν συγχεόμενον, ἀλλὰ ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ Θεὸν λόγον τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν, οὔτε ἄλλον ἐν ἄλλῳ, οὔτε ἄλλον καὶ ἄλλον, ἀλλὰ τὸν αὐτὸν τοῦτον ἐν δύο φύσεσι, τουτέστι θεότητι καὶ ἀνθρωπότητι μετὰ τὴν ὑποστατικὴν ἕνωσιν ἐπιγινώσκομεν. ἐπειδὴ οὔτε ὁ λόγος εἰς τὴν φύσιν τῆς σαρκὸς ἐτράπη, οὔτε ἡ σὰρξ εἰς τὴν τοῦ λόγου φύσιν μετεμορφώθη. διέμεινε γὰρ ἑκάτερον ὅπερ φυσικῶς ἦν. τὴν διαφορὰν δηλονότι τῶν ἑνωθεισῶν ἐν αὐτῷ φύσεων μόνῃ θεωρίᾳ διακρίνομεν, ἐξ ὧν ἀχωρίστως, ἀσυγχύτως, καὶ ἀτρέπτως συνετέθη. εἷς γὰρ ἐξ ἑκατέρων, καὶ δι' ἑνὸς τὰ ἑκάτερα. ἐπειδὴ ἅμα εἰσὶ καὶ τὸ μέγεθος τῆς θεότητος, καὶ τὸ ταπεινὸν τῆς σαρκός· ἑκατέρας φύσεως φυλαττούσης καὶ μετὰ τὴν ἕνωσιν ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα, καὶ ἐνεργούσης ἑκατέρας μορφῆς μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε. τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ὅπερ ἐστὶ τοῦ σώματος. καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν. ὅθεν ἀκολούθως καθὼς δύο φύσεις ἤτοι οὐσίας, τουτέστι θεότητα καὶ ἀνθρωπότητα ἀσυγχύτως, ἀδιαιρέτως, ἀτρέπτως αὐτὸν ἔχειν ἀληθῶς ὁμολογοῦμεν, οὕτως ὁμοίως καὶ δύο φυσικὰ θέλημα τα, καὶ δύο φυσικὰς ἐνεργείας ἔχειν, ἅτε δὴ τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον, ἕνα καὶ τὸν αὐτὸν τοῦτον τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν, ὁ τῆς εὐσεβείας καταρτίζει κανών. ἐπειδὴ τοῦτο * ἡμᾶς ἡ ἀποστολικὴ καὶ εὐαγγελικὴ παράδοσις, καὶ τῶν ἁγίων πατέρων ἡ διδασκαλία, οὕστινας ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία, καὶ αἱ σεβάσμιαι σύνοδοι δέχονται, ὁρίσαι δείκνυνται. ἐξ ὧν διδασκαλιῶν ταῦτα ἀναλεξάμενοι διὰ βραχέων συνηγάγομεν. τοῦτο γὰρ πιστεύομεν, ὅπερ κατὰ τὴν ἀποστολικὴν παράδοσιν παρελάβομεν, ἧς τινος τῇ αὐθεντίᾳ ἐν πᾶσιν ἑπόμεθα. τὸ αὐτὸ γὰρ γινώσκομεν * καὶ τοὺς παρ' αὐτῆς καταστάντας τοὺς προηγησαμένους τὴν ἡμετέραν μετριότητα. ἣν καὶ μέχρι τέλους παραφυλαχθῆναι ἡμῖν εἴτε ἐν ζωῇ, εἴτε ἐν θανάτῳ εὐχόμεθα. τοῦτον τοιγαροῦν τῆς καθαρᾶς καθολικῆς καὶ ἀποστολικῆς ὁμολογίας τὸν κανόνα καὶ ἡ ἁγία σύνοδος, ἥτις ἐν ταύτῃ τῇ δουλικῇ τοῦ ὑμετέρου χριστιανικωτάτου κράτους τῶν Ρωμαίων πόλει ἐπὶ τοῦ τῆς ἀποστολικῆς μνήμης Μαρτίνου τοῦ πάπα συνῆλθε, συνοδικῶς κηρύξαι, καὶ συστατικῶς διεκδικῆσαι, πάντες ἡμεῖς, ὁστισδήποτε ὁπουδήποτε ἦσαν, οἱ ἐλάχιστοι τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ πρόεδρος ἐπέγνωμεν· ἐν ᾗ καὶ οἱ προηγησάμενοι τὴν ἡμετέραν ὀλιγότητα συνελθόντες τὴν ἀποστολικὴν ὁμολογίαν, ἣν ἐξ ἀρχῆς παρέλαβον, καὶ συνοδικῷ κηρύγματι ἐκήρυξαν, καὶ χωρὶς οἱασδήποτε καινοτομίας πλάνης ἀναμφιβόλως ὥρισαν· τοίνυν τῆς εὐσεβείας τῷ ζήλῳ, καὶ τῷ πόθῳ τῆς ἀποστολικῆς ὁμολογίας ἡ εὐμένεια τῆς ὑμετέρας γαληνότητος κινηθεῖσα ἐπὶ πλέον λαμπρῦναι ταύτην, ἵνα τῇ βασιλικῇ θάλψει πολὺ μᾶλλον ἐξαστράψαι, ἀποκαμεῖν φροντίσῃ. ἧς ἡ εὐχὴ, ἐπειδὴ ἐκ τοῦ Θεοῦ ἐστὶν, ἐκ τοῦ Θεοῦ ἀποτελεσθείη. ἵνα καὶ ἡ ἀλήθεια * ἥτις ἀκμὴν τοῖς ἐν δισταγμῷ τυγχάνουσι φανῇ, καὶ τοῖς ταύτην εἰλικρινῶς περιπτυσσομένοις ἀνδρεία προσθεθῇ, καὶ τῶν ζιζανίων τὰ σπέρματα τῇ πνευματικῇ δρεπάνῃ, ὡς προσκόμματος καὶ ἀπάτης ἀφορμὴ ἐκ τοῦ μέσου τῶν τοῦ Χριστοῦ ἐκκλησιῶν ἐκκοπῇ· ὧν τινων αὐθένται ὑπάρχουσι Θεόδωρος ὁ Φαρανίτης, Κῦρος Αλεξανδρείας, Σέργιος, Πύῤῥος, Παῦλος καὶ Πέτρος οἱ Κωνσταντινουπόλεως, καὶ οἱ τούτων ὁμόφρονες μέχρι τέλους ἀποδειχθέντες. οἵτινες τῆς καινῆς πλάνης αὐθένται, καὶ τῆς τελείας οἰκονομίας, ἐν ᾗ πάντες ἐσώθημεν, ἐχθροὶ οὐ μόνον τῆς ἀληθοῦς ὁμολογίας ἐναντίοι, ἀλλ' ἅτε δὴ πλανώμενοι ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας τὰ ἐναντία ἐδίδαξαν, ἄλλως καὶ ἄλλως δικαιολογούμενοι, καὶ ἀλλήλων τὰ δόγματα καταλύοντες. * τὸ γὰρ μηδεμιᾷ ἀληθείᾳ θεμελιωθὲν, ἀναγκαῖόν ἐστιν, ἵνα τῆς πλάνης τῷ ἀσυστάτῳ ποικίλληται. ἡ γὰρ ἀληθινὴ πίστις ἐναλλαγῆναι οὐ δύναται· ἢ ποτὲ μὲν ἄλλως, ποτὲ δὲ ἄλλως μετὰ ταῦτα κηρυχθῆναι. ἐπειδὴ ἔσαι ὑμῶν, ὡς ὁ ἀπόστολος διδάσκει, τὸ ναὶ ναὶ, καὶ τὸ οὐ οὔ. τὸ γὰρ πλέον ἀπὸ τοῦ πονηροῦ ἐστίν. πρὸς τούτοις ἀπολογητέον ἐστὶν ἡμῖν τοῖς ἐλαχίστοις οἰκέταις πρὸς τὴν εὐμένειαν τῶν γαληνοτάτων ἡμῶν δεσποτῶν χάριν τῆς βραδύτητος τῶν σταλέντων ἐκ τῆς ἡμετέρας συνόδου προσώπων, οὓς σταλῆναι διὰ τῆς σεβασμίας αὐτῆς σάκρας ἡ ὑμετέρα κορυφὴ παρεκελεύσατο. πρῶτον μὲν οὖν, ὅτι ἀναρίθμητον πλῆθος τῶν ἡμετέρων μέχρι τῶν κλιμάτων τοῦ ὠκεανοῦ ἐπεκτείνεται· ἧς τινος * συνόδου τὸ μῆκος ἐν πολλῇ καιροῦ παραδρομῇ διατείνει· εἶτα ἠλπίζομεν ἀπὸ Βρεττανίας Θεόδωρον τὸν σύνδουλον ἡμῶν καὶ συνεπίσκοπον, τῆς μεγάλης νήσου Βρεττανίας ἀρχιεπίσκοπον καὶ φιλόσοφον, μετὰ ἄλλων ἐκεῖσε κατὰ τὸν τόπον διαγόντων, ἐκεῖθεν τῇ ἡμετέρᾳ ἑνωθῆναι μετριότητι, καὶ διαφόρους ταύτης τῆς συνόδου ἐπισκόπους ἐν διαφόροις κλίμασι τυγχάνοντας. ἵνα ἐξ ὅλης τῆς κοινότητος τῆς δουλικῆς ἡμῶν συνόδου ἡ ἡμετέρα ἀναφορὰ γενήσιτο· μήπως ἐὰν μονομερῶς τὸ πραττόμενον γνωσθήσηται, τὸ μέρος λάθη. καὶ μάλιστα ἐπειδὴ ἐν μέσῳ τῶν ἐθνῶν τῶν τε Λογγοβάρδων, καὶ Σκλάβων, οὐ μὴν ἀλλὰ καὶ Φράγκων, Γότθων, καὶ Βρεττανῶν πλεῖστοι ἐκ τῶν συνδούλων ἡμῶν εἶναι γνωρίζονται. οἵτινες καὶ περὶ τούτου περιεργάζεσθαι οὐκ ἀφίστανται, ἵνα γνώσωνται, τί εἰς τὸ πρᾶγμα τῆς ἀποστολικῆς πίστεως πράττεται· οἵτινες ὁπόσον ὠφελῆσαι δύνανται, ἐπὰν εἰ τῇ συμφω-

* ἡμῖν

* καὶ διδαχθέντας παρ' αὐτῆς τοὺς προη,

* τοῖς ἀκμὴν ἐν δισ.

* ὁπότε γὰρ μηδεμία ἀληθεια ἐθεμελιώθη, ἀναγκαῖόν ἐστιν, ἵνα τῆς πλάνης τὸ ἀνακόλουθον ποικίλληται.

2. Κορίν. 1. Ματθ. 5. Ιακο. 3.

* ὁδοῦ. L.

φωνίᾳ τῆς πίστεως μεθ' ἡμῶν κρατῶνται, καὶ ἡμῖν ὁμοφωνῶσι, τοσοῦτον, ὅπερ ἀπέστω, ἐὰν σκάνδαλόν τί ποτε ἐν τῷ κεφαλαίῳ τῆς πίστεως ὑπομείνωσιν, εὑρίσκονται ἐχθροὶ καὶ ἐναντίοι. ἡμεῖς δὲ εἰ καὶ ἐλάχιστοι, ἀλλ' ὅμως ἀπὸ ὅλης ἰσχύος * θαῤῥοῦμεν, ἵνα τοῦ χριστιανικωτάτου ὑμῶν κράτους ἡ πολιτεία, ἐν ᾗ τοῦ μακαρίου Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ὁ θρόνος τεθεμελίωται, οὗ τινος τὴν αὐθεντίαν τῇ ἀληθείᾳ πάντα τῶν Χριστιανῶν τὰ ἔθνη ἅμα ἡμῖν προσκυνοῦσι καὶ σέβουσι, κατὰ τὴν αὐτοῦ τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου τιμὴν πάντων τῶν ἐθνῶν ἀποδειχθῇ ὑψηλοτέρα. τὰ δὲ * πρόσωπα, ἃ παρὰ τῆς ἡμετέρας μετριότητος κατὰ τάξιν ἐπιλέξασθαι συνείδομεν πρὸς τὰ ἴχνη τῆς ὑμετέρας θεοσκεπάστου ἀνδρείας, ὀφείλοντα προσαγαγεῖν τὴν ἀναφορὰν πάντων ἡμῶν, τουτοτέστιν ἁπάντων τῶν κατὰ τὰ ἀρκτῷα καὶ δυτικὰ κλίματα ἐπισκόπων· ἐν ᾗ καὶ τῆς ἀποστολικῆς ἡμῶν πίστεως τὴν ὁμολογίαν προαπηρξάμεθα. ὅμως οὐχ ὡς περὶ ἀδήλων φιλονεικεῖν, ἀλλ' ὡς βέβαια καὶ ἄτρωτα συνελόντι ὅρῳ προσφέρειν ἱκετευτικῶς παρακαλοῦντες, ἵνα τοῦ ὑμετέρου θεοστέπτου κράτους ἐπινεύοντος, ταῦτα αὐτὰ πᾶσι κηρυχθῆναι, καὶ πρὸς πάντας ἐπικρατεῖν κελεύσητε· ἵνα ὁ Θεὸς ὁ τὴν ἀλήθειαν καὶ τὴν δικαιοσύνην ἀγαπῶν, πάντα αἴσια χαρίσηται τοῖς χρόνοις τῆς ὑμετέρας γαληνοτάτης εὐμενείας ἐν οἷς τοῦ ἀποστολικοῦ κηρύγματος καὶ τῆς εὐσεβείας ἡ ἀλήθεια ἐκλάμπῃ, κρείττονι καὶ αἰσίᾳ ἐκβάσει τῆς ὑμῶν ἀνδρειοτάτης γαληνότητος τὸ κράτος εὐφρανθῆναι περὶ τῆς τῶν πολεμίων ὑποταγῆς χαριζόμενος. δέξασθαι τοίνυν καταξιώσατε εὐσεβέστατοι βασιλέων τοὺς σταλέντας παρὰ τῆς ἡμετέρας μετριότητος ἐπισκόπους μετὰ τῶν ὑπολοίπων τῆς ἐκκλησιαστικῆς τάξεως ἀνδρῶν, καὶ τῶν εὐλαβεστάτων δούλων τοῦ Θεοῦ μετ' εὐμενείας τῆς εἰθισμένης γαληνότητος. ὅπως καὶ τῇ ἐξ αὐτῶν μαρτυρίᾳ μετ' εὐχαριστίας εἰς τὰ οἰκεῖα αὐτῶν * ἐπαναστρέφοντες παρὰ πᾶσι τοῖς ἔθνεσι συχνάσῃ ὁ ἔπαινος τῆς ὑμετέρας φιλανθρωπίας, ὡς ἐκείνου τοῦ μεγάλου Κωνσταντίνου, οὗ τινος μετὰ τὴν τελευτὴν * ἀξιέπαινος οὐδὲν ἧττον φήμη ἀκμάζει. οὗ τίνος οὐ μόνον τὸ ἐπίσημον τῆς ἐξουσίας ἐστὶν, ἀλλὰ καὶ τῆς εὐσεβείας. μεθ' οὗ ἐκείνη ἡ ἱερωτάτη συνόδος τῶν τριακοσίων δέκα καὶ ὀκτὼ προέδρων ἐν τῇ Νικαέων πόλει ἐπὶ διεκδικήσει τῆς ὁμουσίου τριάδος συνῆλθε. καὶ καθὼς Θεοδοσίου τοῦ μεγάλου, οὗ τινος ἐν ταῖς ἄλλαις αὐτοῦ ἀρεταῖς ἡ μονογενὴς εὐσέβεια κηρύττεται· οὗ τινος * ἐπινεύσαντος, διὰ τῆς χάριτος τοῦ ἁγίου πνεύματος τῶν ἑκατὸν πεντήκοντα πατέρων * τῇ γνώμῃ, ἣν αὐτοῖς ἐνέπνευσε, τὸ πνεῦμα τὸ ἅγιον ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ ἐκηρύχθη. καὶ καθὼς τοῦ ἐξόχως τῆς ἀληθείας ἐρῶντος Μαρκιανοῦ τοῦ βασιλέως, τοῦ καὶ τὴν πρώτην ἐν Εφέσῳ σύνοδον, ἅτε δὴ καθολικὴν καὶ ἀποστολικὴν πίστιν * κηρύττοντος, ὑπὸ τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου δεχθῆναι ποιήσαντος, καὶ τοὺς αὐξήσαντας φοβερισμοὺς ἐκ τῆς τοῦ Θεοῦ ἀπελάσαντος ἐκκλησίας, τὸν ἱερώτατον ἐκεῖνον τόμον * ἐπισπασάμενος τοῦ ἀποστολικοῦ ἀνδρὸς τοῦ πάπα Λεόντος, ὃν ὁ μακάριος Πέτρος ὁ ἀπόστολος τοῖς ἐκείνου ἰδίοις ὑπηγόρευσε ῥήμασι. καὶ καθὼς τοῦ τελευταίου μὲν, ὅμως δὲ πάντων ἐξοχωτέρου, τοῦ μεγάλου ἐκείνου Ιουστινιανοῦ· οὗ τινος ὡς ἡ ἀρετὴ, οὕτω καὶ ἡ εὐσέβεια εἰς κρείττονα τάξιν ἀνεκαίνισε τὰ πάντα. οὗ τινος καθ' ὁμοίωμα ἡ αὐτοκρατορία τῆς ἀνδρειοτάτης ὑμῶν εὐμενείας ἀρεταῖς τε καὶ ἐγχειρήμασι τὴν πολιτείαν τῶν Χριστιανῶν κατασφαλίζεται, καὶ ἐπὶ τὸ κρεῖττον ἀνακαινίζει· τοῖς τε τῆς εὐσεβείας σπουδάσμασι τῇ καθολικῇ συντρέχει ἐκκλησίᾳ, ἵνα ἐν τῇ * ἑνώσει τῆς ἀληθοῦς ἀποστολικῆς ὁμολογίας τελεώτερον συναφθῇ, ἣν μέχρι τοῦ παρόντος σὺν ἡμῖν ἡ ἁγία τῶν Ρωμαίων ἐκκλησία φυλάττει. ὅπως τῆς ἀληθοῦς εὐσεβείας τὸ μυστήριον λαμπρότερον σάλπιγος εἰς ὅλον τὸν κόσμον κηρυχθῇ. καὶ ἔνθα ταύτης τῆς ἀληθοῦς ὁμολογίας τὸ ἀκέραιον ταῖς εὐσεβέσι σπουδαῖς τῆς ὑμετέρας βασιλείας ἐπικρατεῖ, ἔπαινος ἅμα καὶ εὐεργεσία τοῦ γαληναίου ὑμῶν κράτους κηρυχθῇ. ἵνα μετὰ τῶν τῆς εὐσεβείας ἐπαίνων καὶ τῆς βασιλείας ὑμῶν πλατυνθῶσι Θεοῦ ἐπινεύοντος τὰ * ἐξαίρετα· καὶ οὓς ἡ τῆς ἀληθοῦς εὐσεβείας ὁμολογία προτρέπεται, ἡ βασιλικὴ ἀνδρεία κτήσηται. καὶ ἡμεῖς γὰρ εἰ καὶ ἀνάξιοι τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἱκετεύομεν, ἵνα χωρὶς ὁλίσθου τινὸς μέχρις αὐτοῦ τοῦ τῆς ζωῆς ὅρου ἄσπιλον ἡμᾶς φυλάξαι, καὶ κηρύξαι συγχωρήσῃ, καὶ δι' αὐτῆς ἐνώπιον αὐτοῦ * καυχήσασθαι. ἐπειδὴ εἰ καὶ σοφίαν κοσμικὴν, καὶ ματαίαν ἀπάτην, ὥς φησιν ὁ μακάριος Παῦλος ὁ ἀπόστολος, παντελῶς ἀγνοοῦμεν, ὅμως τὸν κανόνα τοῦ ἀληθοῦς κηρύγματος τῇ ἁπλουστάτῃ ἀληθείᾳ διδάσκομεν, καὶ * ἐκδικοῦμεν. ἐπειδὴ οὐχὶ πομπὰς ῥημάτων ἔχειν ἐπιθυμοῦμεν, ἵνα ταῖς φιλονεικίαις προκατα ληφθῶμεν, οὔτε γὰρ * ἐνδέχεται ἐν στενοχωρίαις διαγόντων ἡμῶν, ἀλλὰ * τοὺς θέλοντας ἐπιστρέψαι πρὸς τὴν ἀλήθειαν τῆς ὀρθῆς ἡμῶν πίστεως τὴν τάξιν μετὰ ἁπλῆς καρδίας, καὶ ῥημάτων πρᾳότητος προσφέρομεν. σῶσαι γὰρ διὰ τῆς ἀληθείας τῆς ἀποστολικῆς ὁμολογίας τὰς ἐκ τῆς θείας ῥοπῆς ἐμπιστευθείσας ἡμῖν ψυχὰς ἐπιθυμοῦμεν, ἢ διὰ φλυαρίας τοὺς ἀκούοντας εἰς πλάνην ἐμβάλλειν. διόπερ ὁστισδήποτε τῶν ἱερέων ταῦτα τὰ ἐν τῇ ὁμολογίᾳ τῆς ἡμετέρας μετριότητος περιεχόμενα ἅμα ἡμῖν εἰλικρινῶς κηρύττειν ἐπιθυμήσει, ὡς τῇ ἡμετέρᾳ ἀποστολικῇ πίστει ὁμόφρονας, ὡς συνιερεῖς, ὡς συλλειτουργοὺς, ὡς τῆς αὐτῆς πίστεως, καὶ ἵνα ἁπλῶς εἴπωμεν, ὡς πνευματικοὺς ἀδελφοὺς, καὶ συνεπισκόπους ἡμῶν δεχόμεθα. τοὺς δὲ ταῦτα σὺν ἡμῖν ὁμολογεῖν μὴ θέλοντας, ὡς ἐχθροὺς τῆς καθολικῆς καὶ ἀποστολικῆς ὁμολογίας, ἐνόχους εἶναι κρίνομεν τῆς αἰωνίου κατακρίσεως, οὔτε δέ ποτε τοὺς τοιούτους ἐν τῷ συλλόγῳ τῆς ἡμετέρας μετριότητος, εἰμὴ διορθωθέντας, ἀνεχόμεθα δέξασθαι. μήτε παραβῆναι ἡμᾶς

τις

* L. πειρώμεθα.

* L. πρόσωπα δὲ ἐκ τῆς τάξεως τῆς ἡμετέρας μετριότητος ἐπ.

* ἐπαναστρεφόντων

ἀξιεπαίνετος

* L. συνάντι λαμβανομένου

* ἡ γνώμη

* ἐκηρύχθη ἣν αὐτὸν ἐνέπνευσε

σε τὸ πνεῦμα τὸ ἅγιον, τὸ ὁ τ. π. κ. τ. υἱῷ καὶ καθὼς * κηρύττουσαν,

* τὰς αὐξησάσας πλάνας ἐκ τῆς τοῦ Θεοῦ

* ἀσπασαμένου

* ἑνότητι L

* ἐπίσημα

* δοξασθῆναι

* διεκδικοῦμεν

* ἐμβαίνει

* τοῖς θέλουσιν

τὶς ἐξ αὐτῆς ὑπολάβοι, ὅπερ παρελάβομεν ἀπὸ τῆς προηγησαμένων ἡμᾶς. διὰ τοῦτο χαρὰ μεγάλη ἔσαι ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ἐὰν τῆς ὑμετέρας ἁγιωτάτης βασιλείας μεσιτεύσης ὁ συμβασιλεὺς ἡμῶν καὶ παντοκράτωρ Θεὸς ταύτην πρὸς πέρας ἀγάγῃ, ἵνα ὁ οὐρανὸς εὐφρανθῇ, καὶ ἀγαλλιάσηται ἡ γῆ γινομένης εἰρήνης πολλῆς τοῖς τὴν ἀλήθειαν ἀγαπῶσι, καὶ οὐκ ἔσιν αὐτοῖς σκάνδαλον· καὶ ἀφαιρεθῇ ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ βδέλυγμα σκανδάλου, τὸ ὂν εἰς πᾶσιν πολλῶν ἀσυσάτων καὶ ἀπλυστέρων· καὶ γένηται μία πίστις, εἷς σῶμα, καὶ χεὶλ καὶ εἷς, καὶ μία πρὸς πάντας τοῦ ἀποστολικοῦ κηρύγματος ὁμολογία, ἐν ὅσῳ πάντες ὁμοθυμαδὸν λαλῶσι τὰ μεγαλεῖα τοῦ Θεοῦ· ἵνα τινὰ ἐν τοῖς χρόνοις τῆς ὑμετέρας γαλλωσίας εὐδαιμονίας ὁ πολυέλεος Θεὸς χαρίσασθαι καταξιώσοι, * ἐν ᾧ τὰ διεσπασμένα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας τοῦ Θεοῦ κατισχνάζονται, τὰ δὲ χωρισμένα εἰς ἁρμονίαν ἀληθείας συνέρχονται, τὰ διεζευγμένα εἰς ἀγάπην ἀποστολικῆς πίστεως συνάπτονται, τὰ διεσκορπισμένα εἰς σύνωσιν ἐπικρατούσης τῆς ἀποστολικῆς ἐκκλησίας συνέρχονται. ἵνα ὁμοφρόνως ἅμα ἡμῖν πάντες τὴν μεγαλειότητα τοῦ ἐνεργήσαντος τὸ ἀγαθὸν τοῦτο Θεῷ πιστῶς ἰσχύσωσι παρακαλέσαι ὑπὲρ τοῦ μακροχρόνιον καὶ τελείαν εὐδαιμονίαν θεόθεν χαρισθῆναι τῷ κράτει τῆς ὑμῶν ἀνδρείας, ἵνα τοῖς καμάτοις τῆς ὑμῶν ἀηττήτου ἡμερότητος σωαχθήσονται ἐκ τῶν ἐθνῶν εἰς τὸ * πιστεύειν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ, καὶ δοξάζειν ἐν ὕμνοις τὴν ἀληθῆ αὐτοῦ ὁμολογίαν, τοῦ ποιήσαντος θαυμάσια μεγάλα μόνα, τοῦ ποιήσαντος τέρατα ἐπὶ τῆς γῆς· ἀνταναιρουμένου πολέμους μέχρι τῶν ἐσχάτων τῆς γῆς· ὃς τὰ διεσπαρμένα συνήγαγε, καὶ τὰ σωαχθέντα φυλάττει· ὃς τὰς ἀσεβεῖς βασιλεῖς ἐπὶ τὸν λαὸν αὐτοῦ βασιλεύειν προσάττει, ὅντινα ὀργὴν τῆς ἀγρύπνου ἀσεβείας, καὶ τῶν ἀηττήτων καμάτων σωεργοῦντος Θεοῦ φυλάττουσιν.

* παρὰ πᾶσι.

* ἕως.

* ἀληθείας.

* L. ὁμολογήσαθαι.

ΑΙ ΥΠΟΓΡΑΦΑΙ.

Ἀγάθων ἐπίσκοπος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας πόλεως Ῥώμης, ταύτῃ τῇ ἀναφορᾷ, ἅμα τῷ κοινῷ ὅλης τῆς συνόδου τοῦ ἀποστολικοῦ θρόνου, τῇ χαιρούσῃ χάριτι τῆς ὀρθότητος τῆς ἀποστολικῆς ὁμολογίας, ὡς ἀνωτέρω περιέχεται, φρονῶν ὑπέγραψα.

Ἀνδρέας χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἐν τῇ Ὄση ἐκκλησίας ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Ἀγγέλλος χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐν Ταρρακίνῃ ἐκκλησίας ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

Ἀδεοδάτος χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐν * Σάρμῃ ἐκκλησίας, ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Πέτρος χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐν Κούμῃ ἐκκλησίας ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Ἀγγέλλος χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐν Μισαίνῃ ἐκκλησίας ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Γαυδιῶζος χάριτι Θεοῦ ἐπισκ. τῆς ἁγίας ἐν Ποτιολάνῳ ἐκκλησίας ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Λοκρείτας ἐπαρχίας Καλαβρίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

* Λοκρῶν.

Ἀγγέλλος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐν Νεαπόλει ἐκκλησίας ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Αὐρηλιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Νωλάνων ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Βαρβάτος χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βενεβέντων ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Δεκόρωσος χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Καπούων ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Ἰουλιανὸς ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Κουσεντίνων *, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* omissum est ἐπαρχίας Βρετίων.

Ἰωάννης χάριτι Θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Τριβέντων ἐπαρχίας Καλαβρίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Γερμανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλη-

κλησίας * Τάραντος ἐπαρχίας Καλαβρίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* Ταρέντ.

Θεοφάνης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Θούρης ἐπαρχίας Καλαβρίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* leg. Θυρίνης.

Πέτρος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐν Κρότωνε ἐκκλησίας ἐπαρχίας * Βρυτίων, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* ἀλλ. Βρεττίων.

Παῦλος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Σκυλλακίνης ἐπαρχίας Βρυτίων, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Γεώργιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ταυριανῆς ἐπαρχίας Καλαβρίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Τροπαίας ἐπαρχίας Καλαβρίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Ἀβδάντιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Τεμψάνης ἐπαρχίας Βρυτίων, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Τάκινθος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Σύρτης ἐπαρχίας Καμπανίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

* Συρρέντ.

Πλακέντιος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βελλιτέρνης * ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* add. ἐπαρχίας Καμπανίας.

Ἰωβενάλιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀλβάνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Βίτος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας λιβυκῆς Σίλβας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Παῦλος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Νομβίτης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας τοῦ Πόρτου, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Στέφανος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Πραινεστίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Φίληξ ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Σπολητίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνετάξαμεν, συνήνεσα ὁμοθυμαδὸν, καὶ ὑπέγραψα.

Ὀνωράτος ἐλάχιστος ἐπίσκοπος, τῆς ἁγίας ἐκκλησίας * . . . . ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

* fort. Ἀσισίνης.

Φίληξ ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Καμερίνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Φλῶρος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Φολγίνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρ' ἡμῶν πάντων γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Δεκέντιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Φοροφλαμινίου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνήνεσα, καὶ ὑπέγ.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Νέρσης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Φίληξ ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ἀσκουλάνων, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Ἀδεανὸς ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ρεατίνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Φλῶρος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Φουρκώνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Κλαρέντιος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βαλνήσης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνωμένῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

* Κρέσης ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκ-

* Ὀρέσης.

ἐκκλησίας Βίβωνος, ἐπαρχίας Καλαβρίας, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ σὺν ἐκεῖνοι τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Θεοδόσιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Συρακούσης τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Βενέδικτος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Μεσσιώνης τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ, ἕνεκεν τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας εἰς τὰ Θερμιτάνα τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ. τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ σὺν ἐκεῖνοι τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

Ἰωάννης . . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . .

Πέξ[illegible] ἐλάχις[illegible] ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ταυρομμίτ[illegible] τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ σὺν ἐκεῖνοι τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

Ἰουλιανὸς ἐλάχις[illegible] ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Κατάνης τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ σὺν ἐκεῖνοι τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Γεώργι[illegible] ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Τροκαλιτάνης τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

* L. Τροκαλιτάνης.

Γεώργι[illegible] ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀκραγαντίνων τῆς ἐν Σικελίᾳ, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

Ἀθέοδατος ἐν ὀνόματι τοῦ Θεοῦ ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Λάκκων, λεγάτος τῆς σεβασμίας συνόδου τῆς ἐν Γαλλίᾳ τῇ ἐπαρχίᾳ. ταύτῃ τῇ ἀναφορᾷ, τῇ συνοδικῶς παρ' ἡμῶν γνώμῃ συναινῶν ὑπέγ.

Οὐϊλφέδ[illegible] ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Εὐνοσκιῆς νήσου τῆς Βρεττανίας, λεγάτος τῆς σεβασμίας συνόδου τῆς ἐν Βρεττανίᾳ καθεστώσης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ συνοδικῶς παρ' ἡμῶν γνώμῃ συναινῶν ὑπέγραψα.

* L. Ἐβορακίως.

Μαυρίκιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Τιβούρτης ἐπαρχίας Πικαίνης, ταύτῃ τῇ ἀναφορᾷ, ᾗ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπίξαμεν, ὁμοίως ὑπέγραψα.

Φίληξ ἐλάχιστος * πρεσβύτερος τῆς ἁγίας ἐκκλησίας * Ῥελατσίου, λεγάτος τῆς σεβασμίας συνόδου τῆς ἐν τῇ χώρᾳ τῆς Γάλλων καθεστώσης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ συνοδικῶς γνώμῃ παρ' ἡμῶν, συναινῶν ὑπέγ.

* L. ἐπίσκοπος.

* L. Ἀρελάτης.

Ταυρῖνος ἀνάξιος διάκονος τῆς ἁγίας ἐκκλησίας * Ἀκλουσίου, λεγάτος τῆς σεβασμίας συνόδου τῆς ἐν τῇ χώρᾳ τῆς Γάλλων καθεστώσης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ συνοδικῶς γενομένῃ παρ' ἡμῶν συναινῶν, ὑπέγ.

L. Τελάνης.

Μανσουέτος κατὰ Θεοῦ χάριν ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Μεδιολάνου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς γνώμῃ παρὰ πάντων ἡμῶν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

Ἰωάννης ἐκκλησίας *Βεργομάνης ἐπίσκ. ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

* L. Βεργόμις.

Δονάτος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Λαυδούσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

Ἀνασάσι[illegible] ἐπίσκοπ[illegible] τῆς ἁγίας ἐκκλησίας * Τικούσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγραψα.

* L. Τικίνης.

Βαλεντῖν[illegible] ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀκουίνου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Δεσιδέρι[illegible] ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Κρεμόνου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγραψα.

* L. Κοεμώνης.

Γρατιανὸς ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Νοβάρων, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Δεσιδέρι[illegible] ἐπίσκοπ[illegible] τῆς ἁγίας ἐκκλησίας * Ἱππορήγιος, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγραψα.

* L. Ἐπορεδίας.

Ἰωάννης * Φιλανθρωπία θεοσεβὴς ἐπίσκ. τῆς ἁγίας καθολικῆς ἐκκλησίας Γενούας, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

* Φιλανθρωπία.

Δευσδέδιτ ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Βελλίας, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνώμῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως σωνήνεσα, καὶ ὑπέγ.

Αὐδάκης ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Δέρτων[illegible], ταύτῃ τῇ κοινῶς παρὰ πάντων ἡμῶν γνω-

γενομένῃ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως, συνήνεσα, καὶ ὑπέγ.

Βενενάτος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ἀστένσου, ταύτῃ τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Βενέδικτος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Βαλβένσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως, συνήνεσα, καὶ ὑπέγραψα.

Βῶνος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀλβιγανένσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Θεόδωρος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Βερκελλῶν, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Ῥούστικος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ταυρινάτων, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Βιντιμιλίου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Σεβῆρος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Λούνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Ἐλευθέριος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Λουκένσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Μαυριανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Πισῶν, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγρ.

Σερηῦος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ποπουλωνίου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Ῥεπαράτος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Φλωρεντίνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Βαλεριανὸς ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Ῥουφελένσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως γενομένῃ συνήνεσα, καὶ ὑπέγραψα.

* Ρευσελένσου a Ῥουσελλίνης L.

Κυπριανὸς ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀρετίνης, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Βιταλιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Σενένσου, ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγρ.

Μαρκιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βολατερράνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Μαυρίκιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Σουανένσου, ἐν ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγ.

Ἀγνέλλος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βουλσινιένσου, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Θεόδωρος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Κλουσίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Κουστόδιτος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας τοῦ Βαλεντινοκάστρου, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

Βιταλιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Τούσκης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* Τουσκούλου

Μαυρίκιος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ἀναγνίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνήνεσα, καὶ ὑπέγραψα.

Σατουρνῖνος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀλεξίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγ.

Βαλεριανὸς ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας εἰς τὰ Ῥωσάνα, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* Γαυζίσκος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Σιγνίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἣν ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνετάξαμεν, ὁμοίως ὑπέγραψα.

* L. Γαυδιῶσος.

Ἀγά-

Ἀγάθων ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ἀχυλήας ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Κυριακὸς ἁμαρτωλὸς καὶ ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Πολιώτης ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Πόλης.

Αὐρηλιανὸς ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Παρσίλης ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Οὐρσῖνος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Κονίσης ἐπαρχίας Ἰσεΐας, ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Κενέτης L.

Ἀνδρέας ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Κελαιάνης ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Οὐειανταvῆς Lat.

Γαυδέντιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Τιργιώνης ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, τῇ κοινῶς παρὰ πάντων ἡμῶν γενομένῃ ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως συνιέσα, καὶ ὑπέγραψα. * Τεργισινῆς Lat.

Βικέντιος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Ὀπιτεργίης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Ὀπιτεργίε Lat.

* Οὐρσῖνος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Παταβίης ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Οὐρσινιανὸς L. * Πεκίνης L.

Παῦλος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀλτινούσης, ἐπαρχίας Ἰσεΐας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Παῦλος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀριμίνης ἐπαρχίας Πεντα πόλεως, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Βέατος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Πισαύρης ἐπαρχίας Πεντα πόλεως, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Δομίνικος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * . . . ἐπαρχίας Πεντα πόλεως, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Φάνης L.

Ἀδεμανὸς ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Νεμανάτης ἐπαρχίας Πεντα πόλεως, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Αὐσιμαρέης ἐπαρχίας Πεντα πόλεως, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Αὐξίμης.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Ἀγκῶνος ἐπαρχίας Πεντα πόλεως, ἐν ταύτῃ τῇ ἀναφορᾷ ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Βενενάτος ἐλάχιστος ἐπίσκ. ἁγίας ἐκκλησίας Περουσίνης ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Βονιφάτιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Τυδερτίνης ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Ἐξιλαράτος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Μαντυρείας ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Μεταύρης Lat.

Ἀμάτωρ ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Βλερένης ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Γρατζιώσος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Σεξίνης ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Δεοδάτος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Νεπεσίνης ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Θεόδωρος L.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας * Φαλάρεως ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα. * Φαλέρνης L.

Θεόδωρος ἀνάξιος καὶ ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας τῆς πόλεως Ἀμερίνης ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Βαρβατιανὸς ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Πολυμαρτίας ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ἵνα ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεταξάμην, ὁμοίως ὑπέγραψα.

Δευσδέδιτ ἐλάχις ἐπίσκοπ τῆς ἁγίας ἐκκλησίας Ναρνίας ἐπαρχίας Τυσκίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Θεόδωρ ἐλάχισος ἐπίσκοπ τῆς ἁγίας ἐκκλησίας Ῥαβέννης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Στέφαν ἐλάχις ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Σανσινάτης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

* Ἰσως Σαρνάτης,

Βαρβάτος ἐλάχισος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Κορνηλίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Βίκτωρ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βογωνίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Φλῶρ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Κεστήνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

* Καισένης

Βιτάλιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Φασεντίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Ἰωσῖνος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Βικαβεντίνης, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Βικεντίος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Λιβικένσε, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Πλακεντίος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Πλακεντίας, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Μαυρίκιος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας τῆς Ῥηγίε, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Πέτρος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Μοντέσε, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

* Μυτίνης L.

Γρατζιῶσος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Παρμένσε, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

* Πιπελίου L.

Μάγνος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας * Ποπίλιος, ἐν ταύτῃ τῇ ἀναφορᾷ, ὑπὲρ τῆς ἀποστολικῆς ἡμῶν πίστεως ὁμοθυμαδὸν συνεπάξαμεν, ὁμοίως ὑπέγρ.

Κωνσαντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἱκανῶς ἔχει καὶ τὰ κατὰ τὴν σήμερον ἡμέραν ἀναγνωσθέντα. Μακάριος δὲ ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ οἱ σὺν αὐτῷ καθ' ἑτέραν τὰς ἤδη ὑποχεθείσας παρ' αὐτῆς τῆς ἁγίων πατέρων χρήσεις προκομιζέτωσαν.

ΠΡΑΞΙΣ Ε'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῆς θεοσέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσαντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορ, ἔτους εἰκοστοῦ ἑβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τεσσαρεσκαιδεκάτου· Ἡρακλείου δὲ, καὶ Τιβερίου τῆς θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοσοδευτέρου, τῇ ἑβδόμῃ τοῦ Δεκεμβρίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης. Προκαθεζομένου τοῦ αὐτοῦ εὐσεβεστάτου, καὶ φιλοχρ. μεγάλου βασιλέως Κωνσαντ. ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ ὄντως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτῆς θεοσόφου γαληνότητος, παρόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῆς βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ βασιλικοῦ ὄψικίου, καὶ ὑποστρατήγου Θράκης. Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ἰουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κυράτωρος τοῦ βασιλικοῦ τῆς Ορμίσδου οἴκου. Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτων· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστωρος. Πολυδίκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῆς ἀνατολικῶν ἐπαρχιῶν. Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεστίκου τῆς βασιλικῆς ζαπέζης.

Συνελθόντης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῆς ἁγιωτάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ ἁγιωτάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου ταύτης Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας, καὶ Γεωργίου τοῦ ἁγιωτάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου Θεοδώρου τοῦ ἁγιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων. Ἰωάννου ἐπισκ. πόλεως Πόρτου.

Αβουδαντίου ἐπισ. πόλεως Πατέρνου. Ιωάννου ἐπισκό. πόλεως Ρηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβ. Ῥώμην ὁσίας τῆς ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῆς δὲ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῆς ἀναφορᾷ. καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκ. Ραβέννης Θεοδώρου· Βασιλείου ἐπισκ. πόλεως Γορτύνης τῆς Κρητῆς νήσου. Θεοδώρου ἐπισκ. Εφέσου· Σισιννίου ἐπισκ. Ηρακλείας Θρᾴκης. Γρηγορίου ἐπισκόπου Κυζίκου. Πέτρου ἐπισκόπου Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ιωάννου ἐπισκόπου Χαλκηδόνος. Σισιννίου ἐπισκόπου Ιεραπόλεως Φρυγίας· Μακροβίου ἐπισκόπου Σελευκείας Ισαυρίας· Γεωργίου ἐπισκόπου Βυζίης Θρᾴκης· Γρηγορίου ἐπισκ. Μιτυλήνης· Σεργίου ἐπισκ. Σηλυβρίας· Ανδρέου ἐπισκ. Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Γεωργίου ἐπισκ. Καμουλιανῶν. Αντωνίου ἐπισκ. Ὑπαίπων· Γενεσίου ἐπισκ. Αναστασιουπόλεως. Πλάτωνος ἐπισκόπου Κίννης. Θεωδώρου ἐπισκ. Μελιτηνῆς· Ιωάννου ἐπισκ. τοῦ Δασκυλίου. Θεοδώρου ἐπισκόπου Ιουστινιανουπόλεως Γόρδου. Θεοδώρου ἐπισκόπου Βερίσσης. Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου· Δομετίου ἐπισκ. Προυσιάδος· Σολομῶνος ἐπισκ. Κλανέου· Ιωάννου ἐπισκ· Μύνδου. Γεωργίου ἐπισκ. Κῴου· Γρηγορίου ἐπισκ. Καντάνου· Ιωάννου ἐπισκ. Λάππης· Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκ. Δαλισάνδου· Θεοδώρου ἐπισκόπ. Ὄλβης· Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τοῦ ἐν Σικελίᾳ εὐαγοῦς μοναστηρίου ἐπιλεγομένου Βαΐων. Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῆς Ρενᾶ τῆς διακειμένης κατὰ τὴν πρεσβυτέραν Ρώμην· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας, διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην· Αναστασίου πρεσβυτέρου καὶ μοναχοῦ τῆς εὐκτηρίων τοῦ ἐν Κωνσταντινουπόλει εὐαγοῦς πατριαρχείου· Στεφάνου πρεσβυτέρου καὶ μοναχοῦ, τοῦ μαθητοῦ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Αντιοχείας.

Καθεσθέντων τε τῆς ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, ἐκ πλαγίου τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως Κωνσταντίνου. καὶ ἐκ μὲν τοῦ εὐωνύμου αὐτοῦ μέρους καθεσθέντων τῆς ὁσιωτάτων τοποτηρητῆς τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος, καὶ τῆς σὺν αὐτοῖς θεοφιλῶν ἐπισκόπων. ἐκ δὲ τοῦ δεξιοῦ μέρους ὁμοίως καθεσθέντων Γεωργίου τε τοῦ ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Αντιοχείας, καὶ τῆς ἅμα αὐτῷ θεοφιλῶν ἐπισκόπων. προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων εὐαγγελίων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Παῦλος ὁ μεγαλοπρεπέστατος ἀσεκρέτις, καὶ βασιλικὸς σεκρετάριος εἶπεν. ἐν γνώσει τυγχάνη ἡ θεόσοφος ὑμῶν εὐσέβεια, ὡς ἐν τῇ προλαβούσῃ συνελεύσει κατὰ τὴν γενομένην αἴτησιν ὑπὸ Γεωργίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, καὶ τῆς ὑπ' αὐτὸν συνόδου ἡ ἀνάγνωσις γέγονε τῆς σταλεισῶν δύο ἀναφορῶν πρὸς τὴν θεοτείχιστον ὑμῶν γαλήνην ἀπό τε Αγάθωνος τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ρώμης, καὶ τῆς κατ' αὐτὸν συνόδου, καὶ ὡς διελαλήθη πρὸς Μακάριον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Αντιοχέων πόλεως καὶ τοὺς σὺν αὐτῷ τὰς ἤδη ὑποσχεθείσας παρ' αὐτῆς χρήσεις προκομίζειν ἁγίων καὶ ἐκκρίτων πατέρων, παριστώσας ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Ο εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε. λεγέτωσαν Μακάριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος, καὶ οἱ σὺν αὐτῷ θεοφιλεῖς, εἰ κατὰ τὴν αὐτῆς ὑπόσχεσιν εὐτρεπεῖς ὑπήντησαν.

Μακάριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος, καὶ οἱ σὺν αὐτῷ εἶπον. ναὶ δέσποτα. ἰδοὺ δύο κωδίκια ἐπιφερόμεθα, ἐν οἷς παρεξεβάλομεν διαφόρους χρήσεις ἁγίων καὶ ἐκκρίτων πατέρων, καὶ ταύτας κελεύσατε ἀναγνωσθῆναι· ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε. τὰ εἰρημένα κωδίκια ὑποδεχέσθωσαν, καὶ κατὰ τάξιν ἡ τούτων ἀνάγνωσις γινέσθω.

Καὶ λαβὼν Αντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Γεωργίου τὰ δύο κωδίκια, ἀνέγνω τὸ πρῶτον κωδίκιον ἔχων ἐν προγραφῇ οὕτως. χρήσεις ἁγίων πατέρων ἐν τὸ τοῦ κυρίου Ιησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ θέλημα διδασκόντων, ὅπερ ἐστὶ καὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος. καὶ καθεξῆς ἀνέγνω πάσας τὰς χρήσεις τὰς ἐγκειμένας ἐν τῷ αὐτῷ κωδικίῳ, ὁμοίως καὶ τὰς ἐν τῷ δευτέρῳ κειμένας πάσας.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπεν. ἐν γνώσει γεγόναμεν τῆς νῦν προκομισθεισῶν χρήσεων παρά τε Μακαρίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας καὶ τῆς σὺν αὐτῷ· ἀλλ' εἴπερ ἑτέρας χρήσεις βούλονται προαγαγεῖν πρὸς ἀπόδειξιν τοῦ ὑποσχεθέντος παρ' αὐτῆς ἑνὸς θέληματος καὶ ἐνεργείας, ἐπὶ τῆς οἰκονομίας τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καθ' ἑτέραν ταύτας προαγαγέτωσαν.

ΠΡΑΞΙΣ ς'.

Ε'Ν ὀνόματι τῦ κυρίυ ἡ δεσπότυ Ἰησῦ Χριστῦ τῦ Θεῦ ἡ σωτῆρος ἡμῶν, βασιλείας τῆ θεοσέπτων ἡ γαληνοτάτων ἡμῶν δεσποτῆ· Φλαβίων, Κωνσαντίνυ μὴ τῦ εὐσεβεστάτυ ἡ θεοψηφίστυ μεγάλυ βασιλέως αἰωνίυ Αὐγούστυ ἡ αὐτοκράτορ, ἔτυς εἰκοστῦ ἑβδόμυ, ἡ μ' ὑπατείαν τῆς αὐτῦ θεοσόφυ πραότητος ἔτους τεσσαρακαιδεκάτυ· Ηρακλείυ δὲ, ἡμὴ Τιβερίυ τῆ θεοφυλάκτων αὐτῦ ἀδελφῶν ἔτυς εἰκοστοδευτέρυ, τῆ δωδεκάτῃ τοῦ φεβρουαρίυ μηνὸς, ἰνδικτιῶνος ἑνάτης· Προκαθεζομένου τῦ αὐτοῦ θεσεβεστάτυ, ἡμὴ φιλοχρίστυ μεγάλου βασιλέως Κωνσαντίνυ ἐν τῷ σεκρέτῳ τῦ θείυ παλατίυ τῷ ὕπως ἐπιλεγομένῳ Τρούλλῳ. ἡ κατὰ κέλευσιν τῆς αὐτῦ θεοσόφου γαληνίης, παρόντων ἡ ἀκροωμένων Νικήτα τῦ ἐνδοξοτάτυ ἀπὸ ὑπάτων πατρικίου, ἡ μαγίστρου τῆ βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, ἡμὴ κόμητος τῦ βασιλικοῦ ὀψικίου, ἡ ὑποστρατήγου Θράκης· Σεργίυ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ιουλιανῦ τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίυ, ἡ στρατιωτικῦ λογοθέτου, Παύλου τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίυ. Κωνσαντίνυ τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, ἡμὴ κευράτορος τῦ βασιλικοῦ τῆς Ορμίσδυ οἴκου· Ανασασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίυ, ἡ τοποτηρητῦ τῦ κόμητος τῦ βασιλικῦ ἐξκυβίτων· Ιωάννυ τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίυ ἡ κοιαίσωρος· Πολυδύκτυ τῦ ἐνδοξοτάτυ ἀπὸ ὑπάτων· Θωμᾶ τῦ ἐνδοξοτάτυ ἀπὸ ὑπάτων· Παύλυ τῦ ἐνδοξοτάτυ ἀπὸ ὑπάτων, ἡ διοικητῦ τῆς ἀνατολικῶν ἐπαρχιῶν. Πέτρυ τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίυ τῦ ἐνδοξοτάτυ ἀπὸ ὑπάτων, ἡ δομεστίκυ τῆς βασιλικῆς χαπέζης.

Συνελθόσης δὲ ἡ τῆς ἁγίας ἡμὴ οἰκουμενικῆς συνόδυ τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ ἡ βασιλίδι πόλει· τυτέστι Θεοδώρυ ἡ Γεωργίυ τῆς πλαβεσάτων πρεσβυτέρων, ἡ Ἰωάννυ τῦ πλαβεστάτου διακόνυ, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου ἡμὴ ἁγιωτάτυ πάπα τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος, ἡμὴ Γεωργίυ τῦ ὁσιωτάτου ἡμὴ ἁγιωτάτου ἀρχιεπισκόπυ ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, ἡμὴ Πέτρυ τῦ θεοφιλεστάτυ πρεσβυτέρυ μοναχῦ, ἡ τοποτηρητῦ τῦ θρόνυ τῆς Αλεξανδρέων μεγαλοπόλεως· ἡ Μακαρίου τῦ ὁσιωτάτου ἀρχιεπισκόπυ Θευπόλεως Αντιοχείας, ἡ Γεωργίυ τῦ πλαβεστάτου πρεσβυτέρυ μοναχοῦ ἡ ἀποκρισιαρίου, Θεοδώρυ τῦ ὁσιωτάτου τοποτηρητῦ τῦ θρόνου Ἱεροσολύμων· Ιωάννυ ἐπισκ. πόλεως Πόρτυ. Αβουνδαντίου ἐπισκ. πόλεως Παπέρνου· Ἰωάννου ἐπισκ. πόλεως Ρηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ρώμην ὁσίας τῆ ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῆ ἡ δι' οἰκείων ὑπογραφῶν δηλυμένων ἐν τῇ βιβλῳ πρὸς τὸν θεσεβέστατον βασιλέα Κωνσαντῖνον παρ' αὐτῆ ἀναφορᾷ· ἡ Θεοδώρυ τῦ πλαβεστάτυ πρεσβυτέρυ, ἡ τοποτηρητῦ τῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ραβέννης Θεοδώρυ· Βασιλείυ ἐπισκόπυ πόλεως Γορτυνίης τῆς Κρητῆς νήσυ. Θεοδώρου ἐπισκ. Εφέσου· Σισιννίου ἐπισκ. Ηρακλείας Θράκης· Γρηγορίου ἐπισκόπου Κυζίκου· Πέτρου ἐπισκόπου Νικομηδείας. Φωτίου ἐπισκόπου Νικαίας· Ιωάννου ἐπισκόπου Χαλκηδόνος. Σισιννίου ἐπισκόπου Ιεραπόλεως Φρυγίας· Μακροβίου ἐπισκόπου Σελευκείας Ισαυρίας· Γεωργίυ ἐπισκ. Βυζίης Θράκης· Γρηγορίου ἐπισκόπου Μιτυλλινῆς· Σεργίου ἐπισκόπου Σηλυβρίας· Ανδρέου ἐπισκ. Μεθύμνης. Θεογνίου ἐπισκ. Κίου· Γεωργίου ἐπισκ. Καμουλιανῶν· Αντωνίου ἐπισκ. Υπαίπων· Γενεσίου ἐπισκ. Αναστασιουπόλεως· Πλάτωνος ἐπισκόπου Κίννης· Θεοδώρου ἐπισκόπου Μελιτινῆς· Ιωάννου ἐπισκόπου τῦ Δασκυλίου· Θεοδώρου ἐπισκ. Ιουστινιανουπόλεως Γόρδου. Θεοδώρου ἐπισκόπου Βερίας. Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου· Δομετίου ἐπισκόπου Προυσιάδος· Σολομῶνος ἐπισκ. Κλανέου· Ιωάννου ἐπισκ. Μυῶδου. Γεωργίου ἐπισκ. Κῶου· Γρηγορίου ἐπισκ. Καυτάνου· Ιωάννου ἐπισκ. Λάππης. Εὐλαλίου ἐπισκ. Ζιζωνοπόλεως· Κωνσαντίνου ἐπισκ. Δαλισάνδου· Θεοδώρου ἐπισκ. Ολβης· Θεοφάνυς πρεσβυτέρου ἡ ἡγουμένυ τῦ ἐν Σικελίᾳ βαγοῦς μοναστηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου ἡ μοναχῦ μονῆς τῆς Ρινᾶ τῆς διακειμένης κατὰ τὴν πρεσβυτέραν Ρώμην· Κόνωνος ἡ Στεφάνου πρεσβυτέρων ἡ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας, διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην. Ανασασίυ πρεσβυτέρου ἡ μοναχῦ τῆς κλητρείων τοῦ ἐν Κωνσαντινουπόλει βαγοῦς πατριαρχείυ· Στεφάνυ πρεσβυτέρυ ἡ μοναχῦ, τῦ μαθητῦ Μακαρίυ τῦ ὁσιωτάτυ ἀρχιεπισκόπυ Θευπόλεως Αντιοχείας.

Καὶ καθεδισάντων τῆς ἐνδοξοτάτων πατρικίων ἡ ὑπάτων, ἡ πάντων τῆς ὁσιωτάτων, ἡ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆς ἁγίων ἡ ἀχράντων εὐαγγελίων.

Παῦλος ὁ μεγαλοπρεπέστατος ἀσεκρέτις ἡμὴ βασιλικὸς σεκρετάριος εἶπεν. ἐπίσταται ἡ θεόσοφος ὑμῶν εὐσέβεια, ὡς κατὰ τὴν ἑβδόμην τῦ Δεκεμβρίου μηνὸς διελαλήθη πρὸς Μακάριον τὸν ὁσιώτατον πρόεδρον τῆς Αντιοχέων πόλεως, ἡ τοὺς σὺν αὐτῷ, εἴπερ ἔχουσιν ἑτέρας χρήσεις συμβαλλομένας τῇ αὐτῆς προβλήματι, τυτέστι περὶ ἑνὸς θελήματος ἡμὴ μιᾶς ἐνεργείας, ταύτας προκομίσαι· ἡ ὑποβάλλομεν πρὸς τὸ παρεισάγειν.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· διεξίτω Μακάριος ὁ θεοφιλέστατος ἀρχιεπίσκ., καὶ οἱ σὺν αὐτῷ, εἰ κατὰ τὰ διαλαληθέντα αὐτοῖς τὸ ἀποχρῶν περιποιήσαντες παρεγένοντο.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. Ἀντιοχείας, καὶ οἱ σὺν αὐτῷ εἶπον· ἰδὺ δέσποτα ἐν χερσὶν ἐπιφερόμεθα ἕτερον κωδίκιον περιέχον χρήσεις διαφόρων ἁγίων πατέρων, καὶ τοῦτο κελευόντων ὑμῶν παρέχομεν πρὸς ἀνάγνωσιν.

Καὶ λαβὼν Ἀντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ἀνέγνω ἔχον ἐν ἐπιγραφῇ· τὰ ἑπόμενα τῶν περὶ θελήματος χρήσεων· καὶ ἀνέγνω ἀπ' ἀρχῆς ἕως τέλους.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· καὶ τούτων τὴν εἴδησιν ἐλάβομεν· εἴπερ οὖν βούλεται τὸ μέρος Μακαρίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας ἕτερόν τι προκομίσαι πρὸς σύστασιν τῶν παραὐτῶν ὑποσχεθέντων, λεγέτω.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. Ἀντιοχείας, καὶ Στέφανος πρεσβύτερος καὶ μοναχὸς ὁ αὐτοῦ μαθητὴς, καὶ οἱ σὺν αὐτῷ εἶπον· ἀρκούμεθα δέσποτα ταῖς ἤδη προκομισθείσαις χρήσεσι παρ' ἡμῶν, τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων, καὶ ἕτερόν τι προκομίζειν οὐ βουλόμεθα.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· τὰ προκομισθέντα τρία κωδίκια παρὰ τοῦ μέρους Μακαρίου τοῦ ὁσιωτάτου σφραγιζέσθωσαν ἔκ τε τῶν ἐνδοξοτάτων ἀρχόντων, καὶ τῶν τοῦ μέρους τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ τοῦ θρόνου τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας· καὶ ἐσφραγίσθησαν.

Θεόδωρος καὶ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι, καὶ Ἰωάννης ὁ θεοσεβέστατος διάκονος, οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης, καὶ οἱ σὺν αὐτοῖς θεοφιλέστατοι ἐπίσκοποι, καὶ εὐλαβέστατοι κληρικοί τε καὶ μοναχοὶ εἶπον· εὐσεβέστατε δέσποτα, πρὸς οἷς τί ποτε περὶ ἑνὸς θελήματος καὶ μιᾶς ἐνεργείας οὐκ ἀπέδειξαν Μακάριός τε ὁ θεοφιλέστατος ἀρχιεπίσκ. Ἀντιοχείας, καὶ Στέφανος ὁ αὐτοῦ μαθητὴς, καὶ Πέτρος ὁ θεοφιλέστατος ἐπίσκ. Νικομηδείας, καὶ Σολομὼν ὁ θεοφιλέστατος ἐπίσκ. Κλανέου, ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τῶν παραὐτῶν προκομισθεισῶν χρήσεων· ἀλλὰ καὶ αὐτὰς, ἃς προήγαγον ἐπὶ τῆς ὑμῶν εὐσεβείας καὶ τῆς ἁγίας συνόδου, περιέκοψαν χρήσεις· καὶ τὰ μὲν εἰς τὸν τριαδικὸν περὶ ἑνὸς θελήματος συντείνοντα λόγον ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προήγαγον· τὰ δὲ ἁρμόζοντα, καὶ κυρίως ἐπὶ τῆς τοιαύτης ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἐγκείμενα νοήματά τε καὶ ῥήματα περιέτεμον· ὅθεν αἰτοῦμεν τὸ ὑμέτερον εὐσεβὲς κράτος τὰ αὐθεντικὰ βιβλία, ὧν προήγαγον πατρικῶν χρήσεων, προαχθῆναι ἐκ τοῦ εὐαγοῦς πατριαρχείου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, καὶ ἀντιβληθῆναι πρὸς τὰ παραὐτῶν ἐπιδοθέντα κωδίκια, καὶ παριστῶμεν τὸν γενόμενον παραὐτῶν ἐν αὐτοῖς συσκιασμόν. μετὰ χεῖρας δὲ ἔχοντες κωδίκιον περιέχον πλείστας χρήσεις ἁγίων καὶ ἐκκρίτων πατέρων τρανῶς παριστώσας δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἀσυγχύτως, καὶ ἀδιαιρέτως ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. οὐ μὴν ἀλλὰ καὶ βεβήλων αἱρετικῶν χρήσεις δηλούσας τὸ ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ὁμοφωνούσας τῷ περὶ ἑνὸς θελήματος καὶ μιᾶς ἐνεργείας δόγματι Μακαρίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας, καὶ τῶν σὺν αὐτῷ ἀντιλεγόντων, δεόμεθα ἐπὶ τῆς ὑμετέρας εὐσεβείας ταύτας ἀναγνωσθῆναι. Κωνσταντῖνος ὁ εὐλαβέστατος βασιλεὺς εἶπε· καθ' ἑτέραν τούτων ἡ προκομιδὴ καὶ ἀνάγνωσις γινέσθω.

ΠΡΑΞΙΣ Ζ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως, αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοεβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τρισκαιδεκάτου· Ἡρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου· τῇ τρισκαιδεκάτῃ τοῦ Φεβρουαρίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης· Προκαθεζομένου τοῦ αὐτοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνίης, παρόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῶν βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ βασιλικοῦ ὀψικίου, καὶ ὑποστρατήγου Θράκης· Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ἰουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ οἴκου τοῦ Ὁρμίσδου. Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστωρος· Πολυεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῶν ἀνατολικῶν ἐπαρχιῶν· Πέτρου τοῦ ἐνδοξο-

ξοτάτε ἀπὸ ὑπάτων · Λεοντίε τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων , κὴ δομεστίκε τῆς βασιλικῆς ϛαπέζης.

Συνελθόσης δὲ κὴ τῆς ἁγίας κὴ οἰκυμβυικῆς συνόδε τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ κὴ βασιλίδι πόλει· τυτέστι Θεοδώρε κὴ Γεωργίε τῆϛ ἁλαβεστάτων πρεσβυτέρων , κὴ Ἰωάννε τῦ ἁλαβεστάτε διακόνε, ἐπεχόντων τὸν τόπον τῦ ὁσιωτάτε κὴ ἁγιωτάτε πάπα τῆς πρεσβυτέρας Ῥ῾ώμης Ἀ῾γάθωνος , κὴ Γεωργίε τῦ ὁσιωτάτου ☩ ἁγιωτάτε ἀρχιεπισκ. ταύτης τῆς μεγαλωνύμε Κωνσταντινυπόλεως νέας Ῥ῾ώμης, κὴ Πέτρε τῦ θεοφιλεστάτε πρεσβυτέρε μοναχῦ, κὴ τοποτηρητῦ τῦ θρόνε τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. κὴ Μακαρίε τῦ ὁσιωτάτε ἀρχιεπισκόπε Θεσπόλεως Ἀντιοχείας, κὴ Γεωργίε τῦ ἁλαβεστάτε πρεσβυτέρε μοναχῦ κὴ ἀποκρισιαρίου Θεοδώρε τῦ ὁσιωτάτε τοποτηρητῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννε ἐπισκ. πόλεως Πόρτε · Ἀ῾βενδαντίε ἐπισκ. πόλεως Πατέρνε · Γ῾ωάννου ἐπισκ. πόλεως Ῥ῾ηγίε , ἐπεχόντων τὸν τόπον τῆς κατὰ τιὼ πρεσβυτέραν Ῥ῾ώμιω ὁσίας τῆϛ ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκ. συνόδε , τῆϛ κὴ δι᾽ οἰκείων ὑπογραφῶν δηλυμβύων ἐν τῇ γενομβύῃ πρὸς τὸν ἁσεβέστατον βασιλέα Κωνσταντῖνον παρ᾽ αὐτῆϛ ἀναφορᾷ · κὴ Θεοδώρε τοῦ ἁλαβεστάτε πρεσβυτέρε, κὴ τοποτηρητῦ τῦ θεοφιλεστάτε ἀρχιεπισκ. Ῥ῾αβέννης Θεοδώρε· Βασιλείε ἐπισκ. πόλεως Γορτυίης τῆς Κρητῆϛ νήσε· Θεοδώρε ἐπισκ. Ἐ῾φέσε · Σισιννίε ἐπισκόπου Η῾ρακλείας Θράκης · Γρηγορίου ἐπισκ. Κυζίκου· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκ. Νικαίας· Γ῾ωάννου ἐπισκ. Χαλκηδόνος . Σισιννίου ἐπισκ. Ἱεραπόλεως Φρυγίας · Μακροβίου ἐπισκ. Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκ. Βυζίης Θράκης· Γρηγορίου ἐπισκ. Μιτυλήνης · Σεργίου ἐπισκ. Σηλυβρίας · Ἀνδρέου ἐπισκ. Μεθύμνης · Θεογνίου ἐπισκόπου Κίου· Γεωργίου ἐπισκ. Καμουλιανῶν· Ἀντωνίου ἐπισκ. Ὑ῾παίπων· Γενεσίου ἐπισκ. Ἀναστασιουπόλεως · Πλάτωνος ἐπισκ. Κίννης · Γ῾ωάννου ἐπισκ. τῦ Δασκυλίου · Θεοδώρου ἐπισκ. Ἰουστινιανουπόλεως Γόρδου . Θεοδώρου ἐπισκ. Βερίσης . Στεφάνου ἐπισκ. Η῾ρακλείας Πόντου. Λογγίνου ἐπισκ. Τίου · Δομετίου ἐπισκ. Προυσιάδος · Σολομῶνος ἐπισκ. Κλανέου· Γ῾ωάννου ἐπισκ. Μυδου . Γεωργίου ἐπισκ. Κῴου · Γρηγορίου ἐπισκ. Καντάνου · Γ῾ωάννου ἐπισκ. Λάππης · Εὐλαλίου ἐπισκ. Ζωωγοπόλεως· Κωνσταντίνε ἐπισκ. Δαλισάνδου · Θεοδώρου ἐπισκ. Ὄ῾λβης · Θεοφάνες πρεσβυτέρου κὴ ἡγουμβύου τῦ ἐν Σικελίᾳ διαγῦς μοναστηρίου ἐπιλεγομβύου Βαΐων · Κόνωνος κὴ Στεφάνου πρεσβυτέρων κὴ μοναχῶν μονῆς ἐπιλεγομβύης δόμε ἀρσικίας διακειμβύης ἐν τῇ πρεσβυτέρᾳ Ῥ῾ώμῃ. (Γεωργίε πρεσβυτέρε κὴ μοναχῦ μονῆς * τῆϛ Ῥ῾ενᾶ τῆς διακειμβύης ὡσαύτως κατὰ τιὼ πρεσβυτέραν Ῥ῾ώμιω ·) Ἀναστασίε πρεσβυτέρε κὴ μοναχῦ τῆϛ ἁκτηρίων τῦ ἐν Κωνσταντινυπόλει διαγῦς παξιαρχείε · ☩ Στεφάνε πρεσβυτέρε κὴ μοναχῦ, τῦ μαθητῦ Μακκρίου τῦ ὁσιωτάτου ἀρχιεπισκ. Θεουπόλεως Ἀντιοχείας.

Καὶ καθεδέντων τῆϛ ἐνδοξοτάτων παξικίων κὴ ὑπάτων, κὴ πάντων τῆϛ ὁσιωτάτων κὴ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν , ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆϛ ἁγίων κὴ ἀχράντων ἁγγελίων.

Παῦλος ὁ μεγαλοπρεπέστατος ἀσεκρήτις κὴ βασιλικὸς σεκρετάριος εἶπεν · μέμνηται ἡ θεόσοφος ὑμῶν βασιλεία , ὡς κατὰ τὴν χθὲς ἡμέραν ὑπέχοντο Θεόδωρος κὴ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι , κὴ Ἰωάννης ὁ θεοσεβέστατος διάκονος , οἱ τὸν τόπον ἐπέχοντες τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικῦ θρόνου τῆς πρεσβυτέρας Ῥ῾ώμης Ἀ῾γάθωνος , κὴ οἱ συνόντες αὐτοῖς θεοφιλεῖς ἐπίσκοποι κὴ μοναχοὶ προκομίζειν χρήσεις ἁγίων κὴ ἐγκρίτων πατέρων σαφῶς διαγορεύσας δύο θελήματα φυσικὰ κὴ δύο ἐνεργείας φυσικὰς , ἐπὶ τῆς οἰκονομίας τῦ κυρίου ἡμῶν Ἰησῦ Χριστῦ τῦ ἀληθινῦ Θεῦ ἡμῶν· προσεπιτάττοις κὴ βεβήλων αἱρετικῶν χρήσεις δηλώσας ἓν θέλημα , κὴ μίαν ἐνέργειαν · κὴ ὑποβάλλομβυ πρὸς τὸ παριστάμβυον.

Ὁ ἁσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· προκομιζέτωσαν οἱ τὸν τόπον ἐπέχοντες Ἀ῾γάθωνος τῦ ἁγιωτάτε πάπα Ῥ῾ώμης τὰς ἐπιμνηθείσας αὐτοῖς χρήσεις.

Καὶ προεκόμισαν κωδίκιον ἔχον ἐν προγραφῇ ὕτως · χρήσεις ἁγίων κὴ ἐγκρίτων πατέρων παριστῶσαι δύο θελήματα , κὴ δύο ἐνεργείας ἐπὶ τῦ κυρίου κὴ Θεῦ κὴ σωτῆρος ἡμῶν Ἰησῦ Χριστῦ. ὅπερ λαβὼν Στέφανος πρεσβύτερος κὴ μοναχὸς μονῆς ἐπιλεγομένης δόμου Ἀρσικίας, εἷς τυγχάνων τῆϛ ἐκ μέρους τῦ ἀποστολικῦ θρόνου τῆς πρεσβυτέρας Ῥ῾ώμης , ἀνέγνω ἀπὸ ἀρχῆς μέχρι τέλους ταύτε τῆϛ ἁγίων ☩ ἐγκρίτων πατέρων χρήσεις , κὴ τὰς τῆϛ βεβήλων αἱρετικῶν.

Ὁ ἁσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε. τῶν νεῶν προκομισθεισῶν κὴ ἀναγνωσθεισῶν χρήσεων παρὰ τῆϛ τῦ μέρους Ἀ῾γάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥ῾ώμης τὴν εἴδησιν εἰληφότων ἡμῶν , λεγέτωσαν εἰ κὴ ἑτέρας βούλονται προκομίζειν χρήσεις . Θεόδωρος κὴ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι , κὴ Ἰωάννης ὁ θεοσεβέστατος διάκονος εἶπον · εἰ κὴ πλείστας ἑτέρας ἁπόρως ἔχομβυ χρήσεις προαγαγεῖν, ἀλλ᾽ ἓν διὰ τὸ μὴ ὄχλον προσποιῆσαι τοῖς θεοσόφοις ὑμῶν ἀκοαῖς, ταύταις ἀρκούμεθα πρὸς τὴν τῆς ἀληθείας ἀπόδειξιν , αἰτῦμβυ δὲ τὸ θεοσήμαντον ὑμῶν κράτος ἐρωτηθῆναι Γεώργιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον ταύτης τῆς θεοφυλάκτε ὑμῶν κὴ βασιλίδος πόλεως , κὴ τιὼ ὑπ᾽ αὐτὸν σωδον , ἔτι δὲ κὴ Μακάριον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον τῆς Ἀντιοχέων πόλεως, ☩ τὰς ὑπ᾽ αὐτὸν ἐπισκόπους . εἰ στοιχῦσι πάσῃ τῇ δυνάμει τῆϛ ἀναγνωσθεισῶν δύο ἀναφορῶν , τυτέστι τῦ ἁγιωτάτε πάπα Ἀ῾γάθωνος τῦ ἀπο-

σολικῆ θρόνου τῆς πρεσβυτέρας Ρ'ώμης, καὶ τῆς ὑπ' αὐτὸν σωόδε.

Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκ. Κωνσαντινοπόλεως, καὶ Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ οἱ σὺν αὐτοῖς εἶπον· δέσποτα, αἰτοῦμεν τὰ ἴσα τῆς εἰρηνικῶν ἀναφορῶν κομίσασθαι· συντυγχάνοντες γὰρ, καὶ ἀντιβάλλοντες τὰς ἐν αὐταῖς ἐγκειμένας τῆς ἁγίων καὶ ἐκκρίτων πατέρων χρήσεις πρὸς τὰ βιβλία τῆ διαγῆς τοῦ ἐνταῦθα πρωτιαρχείου, καθ' ἑτέραν τινὰ δέουσαν ἀπόκρισιν παρέχομεν.

Ὁ δεσπότης Βασιλεὺς Κωνσταντῖνος εἶπεν. ἀνυπερθέτως τὸ αἰτηθὲν γινέσθω· τὸ δὲ προκομισθὲν κωδίκιον ἐκ τῆς ἐπεχόντων τὸν τόπον τῆ ἁγιωτάτου πάπα Ρ'ώμης ὑπὸ σφραγῖδα τῆς ἐνδοξοτάτων ἀρχόντων καὶ ἀμφοτέρων τῆς μερῶν γινέσθω, κατὰ μίμησιν τῆς ὑπὸ Μακαρίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἀντιοχείας ἐπιδοθέντων κωδικίων. καὶ ἐσφραγίσθη.

ΠΡΑΞΙΣ Η'.

Ἐν ὀνόματι τῆ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστῆ τῆ Θεῆ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῆς θεοσέπτων καὶ γαληνιωτάτων ἡμῶν δεσποτῆς Φλαβίων, Κωνσταντίνου μὲν τῆ δυσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως, αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοεβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτῆ θεοσόφου πραότητος ἔτους ἑξακαιδεκάτου· Ἡρακλείου δὲ καὶ Τιβερίου τῆς θεοφυλάκτων αὐτῆ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῆ ἑβδόμη τῆ Μαρτίου μηνὸς, ἰνδικτιῶνος ἑνάτης.

Προκαθημένου τῆ αὐτῆ δυσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τῆ θείου παλατίου τῷ ὕστερον ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτῆ θεοσόφου γαληνίας, παρόντων καὶ ἀκροωμένων Νικήτα τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῆς βασιλικῶν ὀφφικίων· Θεοδώρου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τῆ βασιλικῆ ὀψικίου, καὶ στρατηγοῦ Θρᾴκης· Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Παύλου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ἰουλιανῆ τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Κωνσταντίνου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτορος τῆ βασιλικῆ τῆς Ὁρμίσδου οἴκου· Ἀνασασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητῆ τῆ κόμητος τῆ βασιλικῆ ἐξκουβίτου· Ἰωάννου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστορος. Πολυδίκου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Θωμᾶ τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Παύλου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητῆ τῆς ἀναπολικῶν ἐπαρχιῶν· Πέτρου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, Λεοντίου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεστίκου τῆς βασιλικῆς ξαπέζης.

Συνελθόντος δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθέντος ἐν τούτῳ τῷ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῆς θεολαβεστάτων πρεσβυτέρων, καὶ Ἰωάννου τῆ θεολαβεστάτου ἡγουμένου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Ἀγάθωνος, καὶ Γεωργίου τῆ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρ'ώμης, καὶ Πέτρου τῆ θεοφιλεστάτου πρεσβυτέρου μοναχῆ, καὶ τοποτηρητῆ τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως· καὶ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας, καὶ Γεωργίου τῆ θεολαβεστάτου πρεσβυτέρου μοναχῆ καὶ ἀποκρισιαρίου Θεοδώρου τῆ ὁσιωτάτου τοποτηρητῆ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκόπου πόλεως Πόρτου· Ἀβουνδαντίου ἐπισκ. πόλεως Πατέρνου· Ἰωάννου ἐπισκ. πόλεως Ρ'ηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ρ'ώμην ὁσίας τῆς ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδε, τῆς καὶ δι' οἰκείων ὑπογραφῶν δηλωμένων ἐν τῇ γνωμικῇ πρὸς τὸν θεοσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῆς ἀναφορᾷ· καὶ Θεοδώρου τῆ θεολαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητῆ τῆ θεοφιλεστάτου ἀρχιεπισκόπου Ρ'αβέννης Θεοδώρου· Βασιλείου ἐπισκόπου πόλεως Γορτυνίας τῆς Κρήτης νήσου· Θεοδώρου ἐπισκόπου Ἐφέσου· Σισιννίου ἐπισκ. Ἡρακλείας Θρᾴκης· Γρηγορίου ἐπισκόπου Κυζίκου· Πέτρου ἐπισκόπου Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ἰωάννου ἐπισκόπου Χαλκηδόνος· Θεοδώρου ἐπισκόπου Μελιτηνῆς· Σισιννίου ἐπισκόπου Ἱεραπόλεως Φρυγίας· Μακροβίου ἐπισκόπου Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκ. Βυζίης Θρᾴκης· Γρηγορίου ἐπισκόπου Μιτυληνῆς· Σεργίου ἐπισκόπου Σηλυβρίας· Ἀνδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Γεωργίου ἐπισκ. Καμουλιανῶν· Ἀντωνίου ἐπισκ. Τυπαίπων· Γενεσίου ἐπισκ. Ἀναστασιουπόλεως· Πλάτωνος ἐπισκόπου Κίννης· Ἰωάννου ἐπισκόπου τῆ Δασκυλίου· Θεοδώρου ἐπισκ. Ἰουστινιανουπόλεως Γόρδου· Θεοδώρου ἐπισκόπου Βερίσσης· Στεφάνου ἐπισκόπου Ἡρακλείας Πόντου· Λογγίνου ἐπισκόπου Τίου· Δομετίου ἐπισκ. Προυσιάδος· Σολομῶνος ἐπισκόπου Κλανέου· Ἰωάννου ἐπισκ. Μυόδου· Γεωργίου ἐπισκ. Κῴου· Γρηγορίου ἐπισκόπου Καντάνου· Ἰωάννου ἐπισκ. Λάππης· Εὐλαλίου ἐπισκ. Ζιωνοπόλεως· Κωνσταντίνου ἐπισκ. Δαλισάνδου· Θεοδώρου ἐπισκόπου Ὄλβης· Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τῆ ἐν Σικελίᾳ ἁγίας μοναστηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῆς Ρ'οσσᾶ τῆς ὀνομαζομένης κατὰ τὴν πρεσβυτέραν Ρ'ώμην· Κόνωνος καὶ

Στε-

Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμυ Ἀρσικίας, διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ῥώμην· Ἀναστασίου πρεσβυτέρου καὶ μοναχοῦ τῆς εὐκτηρίων τοῦ ἐν Κωνσταντινουπόλει εὐαγοῦς πατριαρχείου· καὶ Στεφάνου πρεσβυτέρου καὶ μοναχοῦ, τοῦ μαθητοῦ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας.

Καὶ καθεσθέντων τῆς ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῆς ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλυ σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων εὐαγγελίων.

Παῦλος ὁ μεγαλοπρεπέστατος ἀσεκρέτις καὶ βασιλικὸς σεκρετάριος εἶπεν· ἐπὶ μνήμης φέρει τὸ θεόστεπτον ὑμῶν κράτος, ὡς κατ' οἰκείαν αἴτησιν τῇ προλαβούσῃ συνελεύσει τὰ ἴσα κομισάμενοι τῆς σταλεισῶν δύο ἀναφορῶν πρὸς τὴν θεοστήρικτον ὑμῶν γαλήνην παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῆς κατ' αὐτὸν συνόδου, Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, καὶ Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. Ἀντιοχείας, καὶ οἱ σὺν αὐτοῖς θεοφιλεῖς ἐπίσκοποι, ὑπέσχοντο τούτοις ἐντυγχάνοντες καθ' ἑτέραν τὴν δέουσαν παρέχειν ἀνταπόκρισιν· καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· λεγέτω Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος τῆς θεοφυλάκτου ἡμῶν ταύτης βασιλίδος πόλεως, καὶ Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ ἡ ὑπ' αὐτὸς σύνοδος, εἰ στοιχοῦσι τῇ δυνάμει τῆς σταλεισῶν ἀναφορῶν παρὰ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, καὶ τῆς ὑπ' αὐτὸν συνόδου.

Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν. ἐντετυχηκὼς δέσποτα ἀγαθὲ πάσῃ τῇ δυνάμει τῆς σταλεισῶν ἀναφορῶν πρὸς τὸ ὑμέτερον εὐσεβὲς κράτος παρά τε Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῆς κατ' αὐτὸν συνόδου, καὶ ἐρευνήσας τὰς βίβλους τῆς ἁγίων καὶ * ἐκκρίτων πατέρων τὰς ἀποκειμένας ἐν τῷ κατ' ἐμὲ εὐαγεῖ πατριαρχείῳ, εὗρον πάσας τὰς ἐν ταῖς τοιαύταις ἀναφοραῖς ἐγκειμένας τῆς ἁγίων καὶ ἐκκρίτων πατέρων χρήσεις συναδούσας, καὶ εἰς οὐδὲν ἀλληγορούσας τοῖς ἁγίοις καὶ ἐκκρίτοις πατράσι. καὶ στοιχῶ αὐταῖς, καὶ οὕτως ὁμολογῶ καὶ πιστεύω.

* ἐγκρίτων.

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· οὕτως δέσποτα ὁμολογῶ, καὶ οὕτως πιστεύω, ὡς ἔχουσιν αἱ ἀναφοραὶ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος· τουτέστι δύο φύσεις, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας φυσικὰς ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Σισίννιος ὁ θεοφιλέστατος ἐπίσκοπος Ἡρακλείας Θράκης εἶπεν· ἀκροασάμενος τῆς ἀναφορῶν τοῦ ἁγιωτάτου πάπα Ῥώμης Ἀγάθωνος τῆς σταλεισῶν πρὸς τὸν δεσπότην ἡμῶν τὸν ἀγαθὸν, εὗρον μηδὲν αὐτὰς ἀντιπίπτειν τοῖς ἁγίοις πατράσι· καὶ ὁμολογῶ δύο θελήματα, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Γεώργιος ὁ θεοφιλέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· ἐντυχὼν ταῖς ἀναφοραῖς τοῦ ἁγιωτάτου πάπα Ῥώμης Ἀγάθωνος, καὶ τῆς ἐγκειμένων ἐν αὐταῖς χρήσεων τὴν εἴδησιν λαβὼν περὶ τῆς δύο θελημάτων καὶ ἐνεργειῶν, καὶ στοιχῶν πᾶσι τοῖς ἐμφερομένοις ἐν αὐταῖς οὕτως δοξάζω, καὶ οὕτως πιστεύω ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. ἐγὼ γὰρ καὶ ἐνταῦθα ἀναγνωσθεισῶν τῆς ἀναφορῶν οὕτως ἐπίστευσα, καὶ πιστεύω.

Ἰωάννης ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Χαλκηδόνος εἶπεν· οὕτως πιστεύω, καὶ οὕτως ὁμολογῶ κατὰ τὴν δύναμιν τῆς σταλεισῶν ἀναφορῶν παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης πρὸς τὸν εὐσεβέστατον καὶ θεοστήρικτον ἡμῶν δεσπότην καὶ μέγαν νικητὴν βασιλέα, περιεχουσῶν δύο φύσεις, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίως φυσικὰς ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἀσυγχύτως, ἀτρέπτως· καὶ ἀναθεματίζω τοὺς λέγοντας ἓν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Σισίννιος ἐπίσκοπος Ἱεραπόλεως Φρυγίας εἶπε· δέχομαι τὰ ἀνενεχθέντα τῷ δεσπότῃ ἡμῶν τῷ ἀγαθῷ νικητῇ βασιλεῖ Κωνσταντίνῳ παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης· καὶ ὁμολογῶ δύο φύσεις ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας φυσικὰς ἀδιαιρέτως, ἀτρέπτως, ἀσυγχύτως· καὶ ἀναθεματίζω τοὺς λέγοντας ἓν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Γεώργιος ὁ θεοφιλέστατος ἐπίσκοπος Βυζίης Θράκης εἶπεν· ὁμολογῶ δύο φυσικὰ θελήματα, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· δέχομαι δὲ καὶ τὰς σταλείσας ἀναφορὰς παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥώμης πρὸς τὸν εὐσεβέστατον καὶ θεοστήρικτον ἡμῶν δεσπότην καὶ μέγαν βασιλέα, τὰς τοῦτο αὐτὸ διαγορευούσας, καὶ ἐν πᾶσιν ἀκολουθῶ αὐταῖς.

Γρηγόριος ὁ θεοφιλέστατος ἐπίσκοπος Μιτυλήνης εἶπεν· ὁμολογῶ, καὶ οὕτω πιστεύω δύο φύσεις, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνερ-

ἐνεργείας ὁμοίως φυσικὰς εἰς τὸν ἕνα τῆς ἁγίας Τριάδος κύριον ἡμῶν Ιησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν. προσεπιτούτοις δὲ κατακολουθῶ καὶ ταῖς ἀναφοραῖς ταῖς σταλείσαις παρὰ Αγάθωνος τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης πρὸς τὸν εὐσεβέστατον ἡμῶν δεσπότην καὶ μέγαν βασιλέα, καὶ πάσῃ τῇ ἐν αὐταῖς ἐγκειμένῃ δυνάμει.

Ανδρέας ἐπίσκοπος Μεθύμνης εἶπεν· ἕπομαι ταῖς ἀναφοραῖς τοῦ ἁγιωτάτου πάπα Ρώμης Αγάθωνος, καὶ ταῖς χρήσεσι ταῖς ἐν αὐταῖς ἐγκειμέναις τῶν ἁγίων πατέρων· καὶ οὕτως πιστεύω, καὶ οὕτως ὁμολογῶ δύο φύσεις, δύο θελήματα, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Σέργιος ἐπίσκοπος Σηλυβρίας εἶπεν· ἕπομαι ταῖς ἀναφοραῖς τοῦ πατρὸς ἡμῶν Αγάθωνος τοῦ ἁγιωτάτου πάπα Ρώμης. οὕτως δέχομαι καὶ κατασπάζομαι αὐτὰς, ὡς τὴν ἐπιστολὴν τοῦ ἐν ἁγίοις Λέοντος τοῦ προηγησαμένου τὴν αὐτοῦ μακαριότητα· καὶ ὁμολογῶ ἐπὶ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν δύο θελήματα φυσικὰ, ὁμοίως καὶ τὰς δύο αὐτῶν ἐνεργείας.

Δομέτιος ἐπίσκοπος Προυσιάδος εἶπεν. ταῖς ἀναφοραῖς ταῖς σταλείσαις παρὰ τοῦ πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου τοῦ ἀποστολικοῦ καὶ κορυφαίου θρόνου τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος πρὸς τὸν θεόστεπτον καὶ πανήμερον ἡμῶν δεσπότην καὶ μέγαν νικητὴν βασιλέα, ὡς ἐκ τοῦ πνεύματος τοῦ ἁγίου ὑπαγορευθείσας διὰ στόματος τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, καὶ διὰ τοῦ δακτύλου τοῦ προλεχθέντος τρισμακαρίου πάπα Αγάθωνος γραφείσας δέχομαι καὶ περιπτήσσομαι, καὶ οὕτως πιστεύω, καὶ οὕτως φρονῷ δύο φύσεις ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ δύο θελήματα φυσικὰ, ὁμοίως καὶ ἐνεργείας φυσικὰς δύο ἐν ἑνὶ προσώπῳ, ἐν μιᾷ ὑποστάσει ἀχωρίστως καὶ ἀδιαιρέτως· καὶ ἀναθεματίζω τοὺς λέγοντας ἓν θέλημα, ἢ μίαν ἐνέργειαν μετὰ τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, εἰ μήτοιγε ἐπὶ τῆς ἁγίας Τριάδος καὶ μόνον·

Γενέσιος ἐπίσκοπος Αναστασιουπόλεως εἶπε. κατὰ τὴν δύναμιν τῶν ἀναγνωσθεισῶν ἀναφορῶν τοῦ ἁγιωτάτου πάπα Ρώμης οὕτως πιστεύω, καὶ ὁμολογῶ ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν δύο φύσεις, καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας.

Θεόδωρος ἐπίσκοπος Μελιτηνῆς, εἰσελθὼν ἐν μέσῳ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου εἶπεν· ἐγὼ δέσποτα ἄνθρωπός εἰμι χωρικὸς, καὶ αἰτῶ τὸ χαρτίον τοῦτο ἀναγνωσθῆναι. ὅπερ ἐπιδοθὲν ἀνεγνώσθη διὰ Ιωάννου τοῦ μεγαλοπρεπεστάτου ἀσεκρέτις καὶ σεκρεταρίου βασιλικοῦ, ἔχον ἐπὶ λέξεων οὕτως. οἱ ἅγιοι καὶ ἔκκριτοι πατέρες, ὧν τὰς χρήσεις ἑκάτερον μέρος πρὸς συνηγορίαν δῆθεν τοῦ οἰκείου δόγματος προήγαγεν, πρὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου διέλαμψαν, καὶ τοὺς οἰκείους δογματικοὺς λόγους συνεγράψαντο· ἐξ ὧν ὡς εἴρηται, τὰς χρήσεις προήγαγεν ἑκατέρον μέρος. ἀλλ' οὖν ὅμως οὐδεμία ἐκ τῶν τεσσάρων ἁγίων οἰκουμενικῶν συνόδων, οὔτε δὴ ἡ μετ' αὐτὰς ὡσαύτως ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος παραδέδωκε τῇ ἐν ὅλῳ τῷ κόσμῳ καθολικῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ ἀριθμὸν περὶ τῶν προκειμένων ζητημάτων δογματικῶν προφέρειν, ἢ παραδιδόναι, ἢ κηρύσσειν ἐπὶ τῆς τοῦ κυρίου Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἐνανθρωπήσεως, πλὴν τῶν ἐν αὐτῷ ὑπαρχουσῶν ἀτρέπτως, ἀσυγχύτως, καὶ ἀδιαιρέτως δύο φύσεων ἐν μιᾷ ὑποστάσει, ἤτοιγε ἑνὶ προσώπῳ, οὗτινος ἑνὸς κυρίου Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν τὰ θαύματα καὶ τὰ πάθη ὁμολογεῖν ἐπὶ λέξεως παραδέδωκεν ἡμῖν ἡ ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος, καὶ δεόμεθα τῆς εὐσεβοῦς ὑμῶν βασιλείας τῆς ἑνώσεως τῶν ἀπανταχοῦ ἁγίων ἐκκλησιῶν τοῦ Θεοῦ λόγον πλεῖστον τιθεμένης καὶ ποιουμένης, τὰ παραδοθέντα ἡμῖν ὀρθὰ καὶ ἀμώμητα δόγματα ὑπὸ τῶν εἰρημένων ἁγίων πέντε οἰκουμενικῶν συνόδων διὰ θείων ὑμῶν ἐπικυρῶσαι ἐγγράφως προσταγμάτων, ἤγουν νόμων, μηδενὸς ἔχοντος ἄδειαν παρεξιέναι, ἢ μετατιθέναι ὅρια αἰώνια, ἃ οἱ πατέρες ἡμῶν ἐπὶ σωτηρίᾳ πάντων ἐπήξαντο. μήτε μὴν ὑπὸ τὴν οἱανοῦν μέμψιν, ἢ κατηγορίαν τινὸς τῶν προκεκοιμημένων, εἴτε μίαν ἐνέργειαν καὶ ἓν θέλημα, εἴτε δύο ἐνεργείας καὶ δύο θελήματα δογματισάντων, γινομένου, εἰ μήτοιγε τῶν ἐκ τῶν εἰρημένων ἁγίων πέντε οἰκουμενικῶν, καὶ λοιπῶν ὀρθοδόξων ἐκκρίτων συνόδων ἐκβληθέντων αἱρετικῶν εἶεν, μετὰ τῶν ἀσεβῶν αὐτῶν δογμάτωντε καὶ συγγραμμάτων, καὶ τῶν καθόλου φάναι τῇ ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ ἀπροσδέκτων καὶ ἀποβλήτων, ὁμολογοῦντες τὸν αὐτὸν ἕνα τῆς ἁγίας ὁμουσίου καὶ ζωοποιοῦ Τριάδος τέλειον ἐν θεότητι, καὶ τέλειον αὐτὸν ἐν ἀνθρωπότητι, ἐκ δύο φύσεων θεότητος καὶ ἀνθρωπότητος, καὶ ἐν δύο φύσεσι καὶ μετὰ τὴν ἄφραστον καὶ ἀδιάλυτον ἕνωσιν. καταλλήλως καὶ προσφυῶς ταῖς φύσεσι τὸν αὐτὸν ἕνα Χριστὸν ἐν μιᾷ ὑποστάσει, ἤγουν ἑνὶ προσώπῳ ὑπάρχοντα ἀδιαιρέτως καὶ ἀχωρίστως, ἐνεργοῦντα τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, μηδενὸς κατὰ τὸν προδηλούμενον τρόπον ἐκ τῶν ὁποτέρων μερῶν κελεύσει τῆς ὑμῶν εὐσεβείας ὑπὸ κατηγορίαν, ἢ μέμψιν τούτου χάριν γενομένου.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε. λεγέτω Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Μελιτηνῆς, τίνες εἰσὶν οἱ ἅμα αὐτῷ πεποιηκότες τὸν ἐπιδοθέντα ἡμῖν παρ' αὐτοῦ, καὶ νῦν ἀναγνωσθέντα χάρτην.

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Μελιτηνῆς εἶπε. Πέτρος ἐπίσκοπος Νικομηδείας· Σολομὼν ἐπίσκοπος Κλανέου, Αντώνιος ἐπίσκοπος Υπαίπων· καὶ τινες τοῦ σεκρέτου τοῦ ἁγιωτά-

τάτȣ πατριάρχȣ Κωνσταντινȣπόλεως, τȣτέστι, Γεώργιος διάκονος καὶ χαρτοφύλαξ. Αναστάσιος διάκονος καὶ νοτάριος ὁ πλοιέκδικος. Στέφανος διάκονος καὶ καγκελλάριος. Διονύσιος διάκονος καὶ καγκελλάριος. Αναστάσιος πρεσβύτερος καὶ μοναχός. ὁ Στέφανος πρεσβύτερος μοναχὸς ὁ τȣ̃ πατριάρχου Αντιοχείας.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· τὶς ἐπιδέδωκέ σοι τὸν χάρτην τȣ̃τον αὐτὸν, ὃν προεκόμισας;

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Μελιτηνῆς εἶπεν· ȣ̃τος ὁ ἀββᾶς Στέφανος, ὁ τȣ̃ πατριάρχȣ Αντιοχείας· καὶ ὑπέδειξεν αὐτὸν ἑστῶτα ὄπισθεν τȣ̃ θρόνȣ, ȣ̃περ ἐκάθητο ὁ αὐτὸς ὁσιώτατος ἀρχιεπίσκοπος Αντιοχείας Μακάριος.

Γεώργιος ἐπίσκοπος Καμουλιανῶν εἶπε· δέχομαι καὶ ἐξακολουθῶ, δέσποτα ταῖς σταλείσαις ἀναφοραῖς παρὰ Ἀγάθωνος τȣ̃ μακαριωτάτου πάπα Ῥώμης· καὶ οὕτως δοξάζω, καὶ οὕτως ὁμολογῶ ἐπὶ τȣ̃ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ Θεȣ̃ ἡμῶν δύο φυσικὰ θελήματα, καὶ δύο ἐνεργείας.

Πλάτων ἐπίσκοπος Κίννης εἶπεν. ἀκροασάμενος τῶν ἀναφορῶν Αγάθωνος τȣ̃ ἁγιωτάτου πάπα Ρώμης ȣ̃τως πιστεύω, καὶ τῇ τȣ́των δυνάμει ἐξακολȣθῶ, ὁ πιστεύω, καὶ οὕτως ὁμολογῶ δύο φύσεις, ... ἀδιαρέτως ἐπὶ τȣ̃ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστȣ̃ τοῦ ἀληθινȣ̃ Θεȣ̃ ἡμῶν.

Θεόδωρος ἐπίσκοπος Βερίσσης Αρμενίας εἶπεν. ἀκροασάμενος τῶν ἀναφορῶν τῶν σταλεισῶν πρὸς τὸν δεσπότην ἡμῶν τὸν ἀγαθὸν ἐκ τȣ̃ πατρὸς ἡμῶν τȣ̃ πάπα Ρώμης Αγάθωνος, καὶ τῶν χρήσεων τῶν ἐν αὐταῖς ἐμφερομένων τὴν εἴδησιν λαβὼν πιστεύω, ὡς πιστεύει ὁ αὐτὸς πατὴρ ἡμῶν ὁ τῆς πρεσβυτέρας Ῥώμης πάπας, ἐπὶ τȣ̃ ἑνὸς τῆς ἁγίας Τριάδος τȣ̃ κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ Θεȣ̃ ἡμῶν δύο φύσεις ἐν ἑνὶ προσώπῳ, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίας φυσικάς.

Καὶ ἀναστάντες οἱ λοιποὶ πάντες θεοφιλέστατοι ἐπίσκοποι οἱ ὑπὸ τὸν θρόνον τυγχάνοντες Κωνσταντινȣπόλεως ἐβόησαν λέγοντες. καὶ ἡμεῖς εὐσεβέστατε δέσποτα τὴν εἴδησιν λαβόντες τῆς πρὸς τὸ πανήμερον ὑμῶν κράτος σταλείσης ἀναφορᾶς παρὰ Αγάθωνος τȣ̃ ἁγιωτάτȣ καὶ τρισμακαρίστȣ τῆς πρεσβυτέρας Ῥώμης πάπα, καὶ τῆς ἑτέρας ἀναφορᾶς τῆς γενομένης παρὰ τῆς ὑπ' αὐτὸν ὁσίας συνόδȣ, καὶ τῇ ἐν αὐταῖς ἐμφερομένῃ δυνάμει ἑπόμενοι, ȣ̃τω καὶ φρονȣ̃μεν, καὶ ὁμολογȣ̃μεν, καὶ πιστεύομεν ἐπὶ τȣ̃ ἑνὸς κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ Θεȣ̃ ἡμῶν δύο φύσεις ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίως φυσικάς· καὶ πάντας τȣ̀ς διδάξαντας καὶ λέγοντας ἓν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τῶν δύο φύσεων τȣ̃ ἑνὸς κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ Θεȣ̃ ἡμῶν ἀναθεματίζομεν.

Ἡ ἁγία σύνοδος εἶπεν. εἰ παρίσταται τῇ εὐσεβείᾳ ὑμῶν, Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Μελιτηνῆς ἅμα τοῖς ἐπιμνησθεῖσιν αὐτῷ προσώποις, τȣτέστι Πέτρῳ τῷ θεοφιλεστάτῳ μητροπολίτῃ Νικομηδείας, Σολομῶνι ἐπισκόπῳ Κλανέȣ, καὶ Ἀντωνίῳ ἐπισκόπῳ Υπαίπων, Γεωργίῳ διακόνῳ καὶ χαρτοφύλακι τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, Αναστασίῳ διακόνῳ καὶ νοταρίῳ τῷ πλοιεκδίκῳ· Στεφάνῳ διακόνῳ καὶ καγκελλαρίῳ· Διονυσίῳ διακόνῳ καὶ καγκελλαρίῳ. Αναστασίῳ πρεσβυτέρῳ καὶ μοναχῷ· Γεωργίῳ μοναχῷ τῷ μετὰ Μακαρίȣ τȣ̃ ὁσιωτάτȣ ἀρχιεπισκόπȣ Αντιοχείας, καὶ Στεφάνῳ πρεσβυτέρῳ ὁ μοναχῷ τῷ τȣ̃ αὐτοῦ Μακαρίȣ μαθητῇ, ἀναστὰς εἰς μέσον στηκέτω, καὶ ἀνενδοιάστως τὸ δοκοῦν αὐτῷ σὺν αὐτοῖς ἀποκρινέσθω.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· τὸ συνεωραθὲν παρὰ τῆς ἁγίας συνόδȣ γινέσθω.

Καὶ ἀναστάντες οἱ προειρημένοι ἐπίσκοποί τε καὶ κληρικοὶ καὶ ἐν τῷ μέσῳ ἑστηκότες ἄνευ Στεφάνου μοναχȣ̃ τȣ̃ μαθητȣ̃ Μακαρίȣ τȣ̃ ὁσιωτάτου ἀρχιεπισκόπου Θεȣπόλεως Αντιοχείας εἶπον· ἐψεύσατο καθ' ἡμῶν ȣ̃τος Θεόδωρος ὁ ἐπίσκοπος Μελιτηνῆς· οὔτε γὰρ εἰδήσει ἡμῶν ὁ ἐπιδοθεὶς τῷ δεσπότῃ ἡμῶν τῷ ἀγαθῷ παρ' αὐτοῦ χάρτης ἐγένετο. ἀλλὰ καὶ ἕτοιμοί ἐσμεν τὴν ἡμετέραν ὀρθόδοξον ὁμολογῆσαι πίστιν.

Ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος, καὶ ἡ ἁγία σύνοδος εἶπον. ἐπείπερ ὑπόνοια ἡμῖν δέδοται πρὸς ὑμᾶς προφάσει τȣ̃ ἐπιδοθέντος χάρτȣ παρὰ Θεοδώρȣ τȣ̃ θεοφιλεστάτȣ ἐπισκόπȣ Μελιτηνῆς, ȣ̀κ ἄλλως ἡμᾶς πλκροφορεῖτε, εἰ μήπως ἐγγράφȣς λιβέλλȣς τῆς πίστεως ὑμῶν καθ' ἑτέραν ἀγάγητε, ὀφείλοντες ἐπὶ τῶν ἁγίων καὶ ἀχράντων τȣ̃ Θεȣ̃ λογίων τȣ́τȣς ἐπιδȣ̃ναι.

Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Κωνσταντινȣπόλεως προσελθὼν τῷ εὐσεβεστάτῳ βασιλεῖ Κωνσταντίνῳ εἶπε· θεόστεπτε δέσποτα κέλευσον βληθῆναι ἐν τοῖς διπτύχοις τῶν ἁγίων ἐκκλησιῶν τὸ ὄνομα τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένου πάπα Ῥώμης Βιταλιανȣ̃, διὰ τὸ ἐκ τῆς βραδυτῆτος τῶν ἀποσταλέντων ἀποκρισιαρίων παρὰ τοῦ ἁγιωτάτου πάπα τῆς αὐτῆς πρεσβυτέρας Ρώμης, δεήσει τηνικαῦτα χρήσασθαι πρὸς τὸ πανήμερον ὑμῶν κράτος, τό, τε μέρος τῆς κατ' ἐμὲ ἁγιωτάτης ἐκκλησίας, καὶ Μακάριον τὸν ὁσιώτατον ἀρχιεπίσκοπον Αντιοχείας, καὶ τȣ̀ς κατ' ἐκεῖνο καιρȣ̃ ἐνδημοῦντας ἐν ταύτῃ τῇ θεοφυλάκτῳ ὑμῶν πόλει θεοφιλεστάτους ἐπισκόπους ἐπὶ τῷ τὸν προλεχθέντα ἐν ὁσίᾳ τῇ μνήμῃ Βιταλιανὸν ἐκβληθῆναι ἐκ τῶν ἁγίων διπτύχων· ἀναδοθῆναι δὲ ἡμῖν καὶ τὴν τοιαύτην δέησιν· παρευθὺ γὰρ εὑρίσκει ἡ θεόσοφος ὑμῶν γαλήνη τȣ̀ς κοινωνοῦντας τῇ καθολικῇ ἐκκλησίᾳ, ἢ καὶ ἀποχίζοντας ἐξ αὐτῆς διὰ πρόσωπον. ὁ εὐσεβέστατος βασιλεὺς Κωνσταντῖνος εἶπε· τὸ αἰτηθὲν παρὰ Γεωργίȣ

τοῦ ἁγιωτάτου πατριάρχου ταύτης τῆς θεοφυλάκτου ἡμῶν καὶ βασιλίδος πόλεως γινέσθω.

Ἡ ἁγία σύνοδος ἐξεβόησε· Κωνσταντίνου μεγάλου βασιλέως πολλὰ τὰ ἔτη. ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη. τοῦ φύλακος τῆς ὀρθοδοξίας πολλὰ τὰ ἔτη. εἰρηνοποιοῦ βασιλέως πολλὰ τὰ ἔτη. τοῦ νέου μεγάλου Κωνσταντίνου βασιλέως πολλὰ τὰ ἔτη· νέου Θεοδοσίου βασιλέως πολλὰ τὰ ἔτη. νέου Μαρκιανοῦ βασιλέως πολλὰ τὰ ἔτη. νέου Ἰουστινιανοῦ βασιλέως πολλὰ τὰ ἔτη. ἡμεῖς δοῦλοι τοῦ βασιλέως. Ἀγάθωνος ὀρθοδόξου πάπα Ῥώμης πολλὰ τὰ ἔτη. Γεωργίου ὀρθοδόξου πατριάρχου πολλὰ τὰ ἔτη. τῆς ἱερᾶς συγκλήτου πολλὰ τὰ ἔτη. ὀρθοδόξου συγκλήτου πολλὰ τὰ ἔτη.

Ἡ ἁγία σύνοδος εἶπεν· εἰ παρίσταται τῷ εὐσεβεστάτῳ δεσπότῃ, λεγέτω Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. Ἀντιοχείας τὸ, ὅπως πιστεύει ἐπὶ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. καὶ εἰ ὁμολογεῖ ἐν αὐτῷ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας φυσικὰς ἀσυγχύτως, καὶ ἀδιαιρέτως· καὶ εἰ ἕπεται ταῖς σταλείσαις πρὸς τὸ θεόσοφον ὑμῶν κράτος ἀναφοραῖς παρὰ τοῦ πατρὸς τῆς ὑμῶν εὐσεβείας Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐξακολουθεῖ ταῖς ἐν αὐταῖς ἐμφερομέναις πατρικαῖς χρήσεσι.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἀκηκοὼς Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας τῶν παρὰ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου λεχθέντων, τὸ δοκοῦν αὐτῷ ἀποκρινέσθω.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. Ἀντιοχείας εἶπεν· οὐ λέγω δύο θελήματα, ἢ δύο ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ' ἓν θέλημα, καὶ θεανδρικὴν ἐνέργειαν.

Ἡ ἁγία σύνοδος εἶπεν· ἡνίκα οὐ συντίθεται τῇ δυνάμει τῶν σταλεισῶν ὀρθοδόξων ἀναφορῶν παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥώμης Μακάριος ὁ ὁσιώτατος, τῶν ἐπὶ τῆς ὑμετέρας εὐσεβείας ἤδη ἀναγνωσθεισῶν, αἷς καὶ πάντες συγκαταθεμένοι ἠσμενίσαμεν, συνείδομεν τοῦτον ἐκ τοῦ θρόνου αὐτοῦ ἐγερθῆναι ὀφείλοντα ἀποκρίνεσθαι.

Καὶ ἀνέστη Μακρόβιος ὁ θεοφιλέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας ἅμα Εὐλαλίῳ ἐπισκόπῳ Ζηνωνοπόλεως, Κωνσταντίνῳ Δαλισανδοῦ, καὶ Θεοδώρῳ ἐπισκόπῳ Ὄλβης, ἀμφοτέρων τῆς συνόδου τοῦ θρόνου Ἀντιοχείας τυγχανόντων, καὶ εἶπεν: οὕτως δοξάζω, καὶ οὕτως πιστεύω κατὰ τὴν δύναμιν τῶν ἀναφορῶν τῶν σταλεισῶν πρὸς τὸν δεσπότην ἡμῶν τὸν ἀγαθὸν βασιλέα παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥώμης· καὶ ὁμολογῶ ὥσπερ δύο φύσεις, οὕτω καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀσυγχύτως, ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Κωνσταντῖνος ἐπίσκοπος Δαλισανδοῦ εἶπεν· ὁμολογῶ δύο φύσεις ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀσυγχύτως, καὶ ἀδιαιρέτως ἐν ἑνὶ προσώπῳ καὶ μιᾷ ὑποστάσει, καὶ δύο θελήματα φυσικὰ, καὶ δύο ἐνεργείας ὁμοίως φυσικάς.

Θεόδωρος ἐπίσκ. Ὄλβης εἶπεν· ἕπομαι τῇ ἐν Χαλκηδόνι ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, καὶ τῷ τόμῳ τοῦ μακαρίου πάπα Λέοντος γενομένου τῆς πρεσβυτέρας Ῥώμης· καὶ ὁμολογῶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἕνα τῆς ἁγίας Τριάδος ἐν δύο φύσεσι, καὶ δύο φυσικοῖς θελήμασι καὶ ἐνεργείαις ἀσυγχύτως καὶ ἀδιαιρέτως γνωριζόμενον· καὶ ἀκολουθῶ τῷ θρόνῳ Κωνσταντινουπόλεως, καὶ τῷ θρόνῳ Ῥώμης, καὶ ταῖς ἀναφοραῖς ταῖς πρὸς τὸν δεσπότην ἡμῶν τὸν ἀγαθὸν καὶ μέγαν βασιλέα σταλείσαις παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥώμης.

Εὐλάλιος ἐπίσκοπος Ζηνωνοπόλεως εἶπεν· οὕτως πιστεύω δύο φύσεις ἀσυγχύτως καὶ ἀδιαιρέτως, καὶ δύο θελήματα, καὶ δύο ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· εἰ δοκεῖ τῇ ἁγίᾳ ὑμῶν συνόδῳ, τὰ ἤδη ἐπιδοθέντα τῶν χρήσεων κωδίκια παρὰ μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ἀντιοχείας, τὰ δὲ σφραγισθέντα παρ' ὑμῶν, εἰς ἀνάγνωσιν καὶ ἀντιβολὴν τῶν αὐθεντικῶν βιβλίων, τῶν καὶ ἀποκειμένων ἐν τῷ εὐαγεῖ τῷ ἐνταῦθα πατριαρχείῳ προαγαγέσθωσαν.

Ἡ ἁγία σύνοδος εἶπε· τὸ καὶ νῦν παρὰ τῆς ὑμῶν γαληνότητος εὐσεβῶς κελευσθὲν γινέσθω.

Καὶ προηνέχθησαν διὰ Φωτεινοῦ τοῦ μεγαλοπρεπεστάτου ἀσεκρέτις καὶ σεκρεταρίου βασιλικοῦ κωδίκια τρία ἐσφραγισμένα, ἅ τινα μετὰ χεῖρας λαβὼν, καὶ * ἐπισκύψας ὁ αὐτὸς ὁσιώτατος Μακάριος εἶπε. ναὶ ἀληθῶς ταῦτά εἰσι, καὶ ἐπιγινώσκω αὐτά.

* ἐπισκέψω

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· λεγέτω Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Ἀντιοχείας, καὶ Στέφανος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ μοναχὸς ὁ αὐτοῦ μαθητὴς, τί σωρεύοντες ἑαυτοῖς τὰς τοιαύτας παρεξέβαλον χρήσεις.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. εἶπε· περὶ τοῦ ἑνὸς θελήματος, ὅπερ ἐστὶ τοῦ πατρὸς, καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τοῦ ἁγίου πνεύματος.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· περὶ τῆς οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Θεοῦ λόγου, πῶς δοξάζετε;

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος εἶπεν· ὁμολογῶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἕνα τῆς ἁγίας Τριάδος εἶναι, καὶ μετὰ τὴν σάρκωσιν ἐν δυσὶ τελείαις φύσεσιν ἀσυγχύτως,

τας, καὶ ἀδιαιρέτως ἐν ἑνὶ προσώπῳ, καὶ ὑποστάσει μιᾷ οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης. ἐπειδὴ οὖν ἕτερον πρόσωπον καὶ μετὰ τὴν ἐνανθρώπησιν ὁ εἷς τῆς ἁγίας Τριάδος οὐ προσέλαβε, διὰ τοῦτο οὔτε τι τῶν ἐκ τῆς ἁμαρτίας λέγομεν αὐτὸν προσλαβεῖν· δίχα γὰρ σαρκικῶν θελημάτων, καὶ λογισμῶν ἀνθρωπίνων ἐν εἰκόνι καινότητος ὁμολογοῦμεν τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ὁ γὰρ ἓν θέλημα ἔχων πρὸς ὑποδοχὴν τῶν παθῶν τούτων ἁπάντων, μίαν καὶ τὴν αὐτὴν εἶχε δύναμιν πρὸς ὑπομονὴν τούτων ἁπάντων, κατὰ τὸν ἅγιον καὶ ἔκκριτον Αὐγουστῖνον. περὶ τούτου γὰρ καὶ ὁμολογίαν πίστεως ἤδη πρότερον ἐξεθέμεθα, καὶ σύμφρονές ἐσμεν τῶν τε ἁγίων πέντε συνόδων, Ὀνωρίου τε τοῦ θεόφρονος, Σεργίου, καὶ Παύλου, καὶ Πέτρου, καὶ τῶν λοιπῶν· ὧν μνήμην καὶ ἐν αἷς ἐπιδεδώκαμεν τῷ δεσπότῃ χρήσεσι πεποιήμεθα, ὁμολογοῦντες ἓν θέλημα ὑποστατικὸν ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ θεανδρικὴν αὐτοῦ τὴν ἐνέργειαν· οὔτε γὰρ τὰ θεῖα κατὰ Θεὸν, οὔτε τὰ ἀνθρώπινα κατὰ ἄνθρωπον, ἀλλ' ἀνδρωθέντος Θεοῦ λόγου καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν πεπολιτεῦσθαι ὁμολογοῦμεν κατὰ τὸν ἅγιον Διονύσιον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἡ ἐπιμνησθεῖσα ἐπιδοθῆναι ἡμῖν παρὰ Μακαρίου τοῦ ὁσιωτάτου ἀρχιεπισκ. Ἀντιοχείας, τῆς οἰκείας αὐτοῦ πίστεως ὁμολογία εἰς ἀνάγνωσιν προαγαγέσθω.

Καὶ προηνέχθη διὰ Φωτεινοῦ ἀσεκρέτις, καὶ σεκρεταρίου βασιλικοῦ.

Καὶ ἀνεγνώσθη διὰ Διογένους ἀσεκρέτις σεκρεταρίου βασιλικοῦ, καὶ ἀνεγνώσθη ἔχουσα ἐπὶ λέξεων οὕτως.

Ἔκθεσις, ἤτοι ὁμολογία πίστεως Μακαρίου αἱρεσιάρχου.

Εἰρήνης Θεοῦ τῆς ὑπερεχούσης πάντα νοῦν τὸ κεφάλαιον ἡ εὐσέβεια, δι' ἧς ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ Θεῷ ζῶντι καὶ ἀληθινῷ τῇ Τριάδι λατρεύοντες * κρατῶμεν τῆς ὁμολογίας εἰρήνη Θεοῦ συνεχόμενοι. ταῦτα οὐκ ἀπ' ἀνθρώπου, οὐδὲ δι' ἀνθρώπου, ἀλλ' ἐκ θείας χάριτος ὦ πιστότατε βασιλεῦ διδαχθεὶς, τὰ ἄλλα πάντα δεύτερα θέμενος, ὡς ἔπρεπε θείᾳ καὶ ἱερᾷ κορυφῇ, τὸν προσόντα σοι θεῖον ζῆλον παρέθηξας· καὶ τοὺς τῆς ἐκκλησίας διανιστῶν ὀφθαλμοὺς, φημὶ τοὺς ἀρχιερεῖς, προτρέπεις ἕκαστον τὸ ἐνὸν αὐτῷ φῶς τῆς ὀρθοδοξίας προβάλλεσθαι, ὡς ἂν ἐκλαμφθείη περισσοτέρως ἐν κόσμῳ. συνεπινεύσοι δὲ καὶ Θεὸς ἐπὶ τῶν χρόνων τῆς εὐσεβοῦς βασιλείας σου τὸ τοῦ χριστιανικωτάτου κηρύγματος φῶς ἀτελεύτητον, καὶ τῶν αἱρετικῶν τὰ σκιώδη σβεσθείη καινοτομήματα· ὑπείκω τοίνυν ἑτοίμως τῇ θεαρέστῳ βουλῇ ὑμῶν. τίς ἐγὼ δέσποτα θεοψήφιστε ὁ εὐτελὴς καὶ κατερριμμένος καὶ ἀφανὴς καὶ εἰς ἔδαφος κείμενος; εἴπω δὲ καὶ οὐκ ἄξιος τῷ φρικτῷ λειτουργεῖν καὶ παρίστασθαι βήματι. ὅμως ἀξιωθεὶς ἐξ ὑμῶν τὴν ὁμολογίαν ποιοῦμαι τῆς πίστεως, ἣν οἱ πατέρες ἡμῖν οἱ ἐν Νικαίᾳ, καὶ οἱ ἐφεξῆς διηγόρευσαν· μεθ' ἧς γεννηθεὶς συναντεράφην, ταύτῃ καὶ συναπέλθοιμι. πιστεύω τοίνυν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργόν. καὶ εἰς ἕνα κύριον * Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν ἐξ αὐτοῦ γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, τέλειον υἱὸν τελείου γεννήτορος, λόγον ἐνεργῆ, σοφίαν ὑφεστῶσαν, καὶ δύναμιν τῆς ὅλης κτίσεως ποιητικήν. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ δι' υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις· ζωὴν τῶν ζώντων αἰτίαν, ἀθάνατον ἁγιότητα, παντὸς ἁγιασμοῦ χορηγόν· τριάδα τελείαν δόξῃ, καὶ ἀϊδιότητι, καὶ βασιλείᾳ, καὶ γνώμῃ μὴ μεριζομένην, μήτε ἀπαλλοτριουμένην, μίαν θεότητά τε καὶ κυριότητα. οὐδὲν γὰρ δοῦλον ἐν τῇ τριάδι, ὑποβεβηκὸς, καὶ ἐπείσακτον, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθόν. οὔτε γὰρ ἐνέλιπεν υἱὸς πατρὶ, οὔτε υἱῷ πνεῦμα, ἀλλ' ἄτρεπτος ἀεὶ καὶ ὁμοούσιος ἡ ἁγία τριὰς, ὁ Θεὸς ἡμῶν. Θεὸν δὲ ὅταν ἐρῶ, ἑνὶ φωτὶ περιαστράπτομαι καὶ τρισὶ. τρισὶ μὲν κατὰ τὰς ἰδιότητας, εἴτουν ὑποστάσεις καὶ πρόσωπα· ἑνὶ δὲ κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτουν θεότητος. διαιρεῖται γὰρ ἀδιαιρέτως, ἵν' οὕτως εἴπω, καὶ διηρημένως συνάπτεται. ἓν γὰρ ἐν τρισὶν ἡ θεότης, καὶ τρία ἓν τὰ ἐν οἷς ἡ θεότης· ἢ τόγε ἀκριβέστερον εἰπεῖν, ἃ ἡ θεότης. καὶ οὔτε τὴν ἕνωσιν σύγχυσιν ἐργαζόμεθα, οὔτε τὴν διαίρεσιν ἀλλοτρίωσιν, ἀπέστω γὰρ ἡμῖν ἐξ ἴσου καὶ ἡ Σαβελλίου συναίρεσις, καὶ ἡ Ἀρείου διαίρεσις, τὰ ἐκ διαμέτρου κακά. καὶ ὁμότιμα τὴν ἀσέβειαν. τί γὰρ δεῖ Θεὸν ἢ * συναλείφειν κακῶς, ἢ κατατέμνειν εἰς ἀνισότητα; ἡμῖν δὲ εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα· εἷς τὰ τρία Θεὸς, καὶ τὰ τρία ἓν ὥσπερ ἔφημεν· ὁμολογοῦμεν δὲ τὸν ἕνα τῆς ἁγίας Τριάδος τὸν κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ δι' ἡμᾶς ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατελθεῖν ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθῆναι ἐκ πνεύματος ἁγίου, καὶ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ ἐνανθρωπῆσαι, τουτέστιν ἀληθινὴν σάρκα λαβεῖν ἐξ αὐτῆς ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, καὶ ταύτην μηδαμῶς προϋποστᾶσαν θαυμασίως ἐν ἑαυτῷ ὑποστῆσαι. καὶ ἰδίαν καθ' ἕνωσιν οἰκονομικὴν ταύτην ποιήσασθαι. οὐκ ἐκ σπορᾶς ἀνθρωπίνης, ἢ ἐνεργείας συστᾶσαν ἀνδρὸς, οὔτε ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐνεργείᾳ καὶ θελήματι τῆς δυνάμεως τοῦ ὑψί-

ἴσ. κρατοῦμεν τὴν ὁμολογίαν.

* G. ἡμῶν.

* ἴσ. συνάπτειν.

ὑψίστου Θεοῦ. ἔφη γὰρ πρὸς τὴν πανύμνητον καὶ
Λυ 1. κ. ἀληθῆ θεοτόκον ὁ ἄγγελος πνεῦμα ἅγιον
ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισ-
κιάσει σοί. διὸ καὶ τὸ γεννώμενον ἅγιον, κλη-
θήσεται υἱὸς Θεοῦ. ταύτῃτοι καὶ μόνον, θεοτό-
κον κυρίως καὶ κατὰ ἀλήθειαν τὴν τοῦ Θεοῦ λό-
γου παρθένον μητέρα δοξάζομεν, ἐπειδὴ τὸν
προόντα Θεὸν ὑπερφυῶς ἐξ αὐτῆς σαρκωθέν-
τα γεγέννηκε. καὶ οὕτω γέγονε καθ' ἡμᾶς ὁ
ἐνανθρωπήσας θεὸς λόγος, οὐχ ὅπερ ἦν
ἀποβεβληκώς. ἀλλ' εἰ καὶ γέγονεν ἐν προλήψει
σαρκός τε καὶ αἵματος, καὶ οὕτω μεμενηκὼς θεὸς
δηλονότι φύσει τε καὶ ἀληθείᾳ. οὔτε δὲ τὴν
σάρκα φαμὲν εἰς θεότητος τραπῆναι φύσιν,
οὔτε μὴν εἰς φύσιν σαρκὸς τὴν ἀπόῤῥητον τοῦ
Θεοῦ λόγου παρενεχθῆναι φύσιν, καθάπερ Απολ-
λινάριος, Εὐτυχὴς, καὶ Σεβῆρος οἱ ἀσεβεῖς
παρελήρησαν. οὐδαμοῦ γὰρ διὰ τὴν ἕνωσιν ἡ
διαφορὰ τῶν φύσεων ἀφανίζεται, σώζεται δὲ
μᾶλλον ἡ ἰδιότης ἑκατέρας φύσεως ἐν ἑνὶ προ-
σώπῳ καὶ ὑποστάσει μιᾷ· ἡνῶσθαι γὰρ σαρκὶ
καθ' ὑπόστασιν ὁμολογοῦντες τὸν λόγον ἕνα αὐ-
τὸν προσκυνοῦμεν υἱὸν μονογενῆ, θεὸν ἀληθῆ,
κύριον Ιησοῦν Χριστὸν ἐν δύο φύσεσιν ἀσυγ-
χύτως καὶ ἀδιαιρέτως γνωριζόμενον. οὐκ ἀνὰ μέρος
τιθέντες καὶ διορίζοντες ἄνθρωπον, καὶ θεόν. οὐ
δὲ τὸν μὲν ἐνεργῆσαι τὰ θαύματα, τὸν δὲ
παθεῖν τὰ ἀνθρώπινα, καθάπερ οἱ διαιροῦν-
τες Θεόδωρος καὶ Νεστόριος λέγουσιν· ἀλλ'
ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦμεν θεὸν καὶ τέλειον
ἄνθρωπον, ὁμούσιον τῷ πατρὶ κατὰ τὴν θεό-
τητα, καὶ ὁμούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν
ἀνθρωπότητα τοῦ αὐτοῦ τὰς δύο γεννήσεις κηρύτ-
τοντες, τήν τε πρὸ αἰώνων ἐκ τοῦ πατρὸς κατὰ
τὴν θεότητα, καὶ τὴν ἐπ' ἐσχάτων τῶν ἡμερῶν
ἐκ Μαρίας τῆς παρθένου τῆς θεοτόκου κατὰ
τὴν ἀνθρωπότητα, τοῦ αὐτοῦ τὰ θαύματα καὶ
τὰ πάθη, καὶ πᾶσαν ἁπλῶς θεοπρεπῆ καὶ ἀν-
θρωποπρεπῆ ἐνέργειαν ἐκ τοῦ αὐτοῦ καὶ ἑνὸς
Χριστοῦ τοῦ θεοῦ ἡμῶν καινοπρεπῶς προϊέναι
πιστεύομεν. οὐ γὰρ κατὰ θεὸν τὰ θεῖα, οὐδ' αὖ κατὰ
ἄνθρωπον τὰ ἀνθρώπινα, ἀλλ' ἐνανθρωπήσας
Θεὸς λόγος καινήν τινα τὴν θεανδρικὴν ἐνέρ-
γειαν, καὶ ταύτην ὅλην ζωοποιὸν ἐπιδείκνυται.
εἰ καὶ ξενίζει, καὶ θορυβεῖ τάς τινων ἀκοὰς,
ὑπολαμβανόντων ἐπ' ἀναιρέσει ταύτην προφέρειν
ἡμᾶς τῶν ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν ἀσυγχύ-
τως, καὶ καθ' ὑπόστασιν ἡνωμένων δύο φύσεων·
ὅπερ οὐκ ἔστι ποτὲ, μηδὲ γένοιτο· ἕνα τοίνυν καὶ
τὸν αὐτὸν ἐνεργῆσαί φαμεν, τουτέστι θαυματουρ-
γῆσαι τὴν σωτηρίαν ἡμῶν· καὶ τὸν αὐτὸν παθεῖν
τῇ ἰδίᾳ σαρκὶ, καὶ πάντα ἀληθῶς ὑποστῆναι τὰ
σωτηριώδη παθήματα, ταυτὸν δὲ λέγειν καὶ θαύ-
* φαμεν ματα· ὡς εἶναι * τῆς μὲν σαρκὸς τὸ πά-
θος, οὐ κεχωρισμένης δηλονότι ἐκ τῆς θεό-
τητος, εἰ καὶ μὴ τῆς θεότητος ἦν τὸ πάσχειν·
τοῦ δὲ Θεοῦ τὴν ἐνέργειαν, εἰ καὶ διὰ τῆς ἀν-
θρωπότητος αὐτοῦ, τουτέστιν ὅλου τοῦ ἡμετέρου φυ-
ράματος ταύτην ἐπλήρωσεν ἑνὶ καὶ μόνῳ θείῳ
θελήματι, ὡς οὐκ ὄντος ἐν αὐτῷ καὶ ἄλλου
θελήματος, ἢ ἀντιπίπτοντος καὶ ἀντικειμέ-
νου τῷ θείῳ αὐτοῦ καὶ δυνατῷ ἐκείνῳ θελήματι.
ἀδύνατον γὰρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ τῷ
Θεῷ ἡμῶν δύο ἅμα καὶ κατὰ ταυτὸν ἐναντία,
ἢ καὶ ὅμοια ὑφεστάναι θελήματα. ἡ δὲ σωτή-
ριος τῶν θεοφόρων πατέρων διδασκαλία ἐναρ-
γῶς ἐκπαιδεύει τὸν μηδέποτε τὴν νοερῶς ἐψυ-
χωμένην τοῦ κυρίου σάρκα κεχωρισμένως καὶ ἐξ
οἰκείας ὁρμῆς ἐναντίως· τῷ νεύματι τοῦ ἡνω-
μένου αὐτῇ καθ' ὑπόστασιν Θεοῦ λόγου τὴν φυ-
σικὴν αὐτῆς ποιήσασθαι κίνησιν, ἀλλ' ὁπότε,
καὶ οἷαν, καὶ ὅσην αὐτὸς ὁ θεὸς λόγος ἠβού-
λετο, καὶ σαφῶς εἰπεῖν, ὃν τρόπον τὸ ἡμέτερον
σῶμα ἡγεμονεύεται, καὶ κοσμεῖται, καὶ τάττε-
ται ὑπὸ τῆς νοερᾶς καὶ λογικῆς ἡμῶν ψυχῆς,
οὕτως καὶ ἐπὶ τοῦ δεσπότου Χριστοῦ ὅλον τὸ
ἀνθρώπινον αὐτοῦ σύγκριμα ὑπὸ τῆς αὐτοῦ τοῦ
λόγου θεότητος ἀεὶ καὶ ἐν πᾶσιν ἀγόμενον
θεοκίνητον ἦν κατὰ τὸν τῆς Νύσσης Γρηγόριον
λέγοντα ἐν τοῖς κατ' Εὐνομίου οὕτως. καθὸ
θεὸς ὁ υἱὸς ἀπαθὴς πάντως ἐστὶ καὶ ἀκήρατος.
εἰ δέ τι πάθος ἐν τῷ εὐαγγελίῳ περὶ αὐτοῦ
λέγοιτο, διὰ τοῦ ἀνθρωπίνου πάντως τοῦ δε-
χομένου τὸ πάθος τὸ τοιοῦτον ἐνήργησεν.
ἐνεργεῖ γὰρ ὡς ἀληθῶς ἡ θεότης διὰ τοῦ πε-
ρὶ αὐτὴν σώματος τὴν τοῦ παντὸς σωτηρίαν. ὡς
εἶναι τῆς μὲν σαρκὸς τὰ πάθη, τοῦ δὲ Θεοῦ
τὴν ἐνέργειαν. δι' ἧς καὶ ἐσώθημεν, καὶ τῇ σωτη-
ρίᾳ μερισμὸν οὐκ εἰσάγομεν. ἅπαξ γὰρ ἀπο-
θανὼν, καὶ πολλῶν ἀνενεγκὼν ἁμαρτίας, καὶ λύ-
τρον ἐξ αὐτοῦ καὶ σωτηρίαν ἡμῖν τοῖς ἐν ἁμαρ-
τίαις εὑράμενος ἀνέστη τε καὶ συνήγειρε καὶ ἐζωο-
ποίησεν ἡμᾶς εἰρήνην ἀΐδιον χαρισάμενος. καὶ
ἀνελθὼν εἰς τοὺς οὐρανοὺς ἐκάθισεν ἐν δεξιᾷ τοῦ
πατρὸς αὐτοῦ. καὶ πάλιν ἥξει μετὰ δόξης κρῖναι
ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται
τέλος. προσδοκῶμεν γὰρ ἀναστῆναι πάντας,
καὶ τῷ θείῳ παραστῆναι βήματι, ὥστε ἀπολήψεσθαι
ἕκαστον δικαίαν παρ' αὐτοῦ ἀνταπόδοσιν τέλος οὐκ
ἔχουσαν. ἀναγκαίως δὲ κἀκεῖνο προσθήσομεν,
καταγγέλλοντες γὰρ τὸν κατὰ σάρκα θάνατον
τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, τουτέστιν Ιησοῦ Χριστοῦ
τήν τε ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς
ἀνάληψιν ὁμολογοῦντες, τὴν ἀναίμακτον ἐν ταῖς
ἐκκλησίαις τελοῦμεν λατρείαν. προσίεμεν δὲ οὕτω
ταῖς μυστικαῖς εὐλογίαις καὶ ἁγιαζώμεθα μέτο-
χοι τῆς τε ἁγίας σαρκὸς, καὶ τοῦ τιμίου αἵματος
τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ οὐχ ὡς
σάρκα κοινὴν δεχόμενοι. μὴ γένοιτο· οὔτε μὴν
ὡς ἀνδρὸς ἡγιασμένου καὶ συναφθέντος τῷ λό-
γῳ κατὰ τὴν ἑνότητα τῆς ἀξίας, ἤγουν ὡς
θείαν ἐνοίκησιν ἐσχηκότος, ἀλλ' ὡς ζωοποιὸν
ἀληθῶς, καὶ ἰδίαν αὐτοῦ τοῦ λόγου. ζωὴ γὰρ
ὢν κατὰ φύσιν ὡς Θεὸς, ἐπειδὴ γέγονεν ἓν
πρὸς τὴν ἑαυτοῦ σάρκα, ζωοποιὸν ἀπέφηνε ταύ-
την· ὥστε κἂν λέγῃ πρὸς ἡμᾶς· ἀμὴν ἀμὴν
λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ
υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα,
οὐχ ὡς ἀνθρώπου τοῦ καθ' ἡμᾶς ἑνὸς καὶ αὐτὴν
λογιούμεθα εἶναι· πῶς γὰρ ἡ ἀνθρώπου σὰρξ
ζωο-

ζωοποιὸς ἔσαι κατὰ τὴν φύσιν τὴν ἑαυτῆς; ἀλλ' ὡς ἰδίαν ἀληθῶς τοῦ υἱοῦ τοῦ Θεοῦ, τοῦ δι' ἡμᾶς καὶ υἱοῦ ἀνθρώπου γενομένου τε καὶ χρηματίσαντος. τὰς δέ γε ἐν τοῖς εὐαγγελίοις τοῦ σωτῆρος φωνὰς οὔτε ὑποστάσεσι δυσὶν, οὔτε μὴν προσώποις καταμεριζόμεθα· ἀλλὰ τάς τε ἀνθρωπίνας, καὶ πρός γε τούτῳ τὰς θείας παρ' ἑνὸς εἰρῆσθαι διακεισόμεθα φρονοῦντες ὀρθῶς. ἑνὶ τοιγαροῦν προσώπῳ τὰς ἐν τοῖς εὐαγγελίοις πάσας ἀναθετέον φωνὰς, ὑποστάσει μιᾷ τοῦ λόγου σεσαρκωμένῃ· κύριος γὰρ εἷς Ιησοῦς Χριστὸς κατὰ τὰς γραφάς. ταῦτα φρονεῖν δεδιδάγμεθα παρά τε τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, καὶ πάσης δὲ τῆς θεοπνεύστου γραφῆς, καὶ ἐκ τῆς τῶν μακαρίων πατέρων ἀληθοῦς ὁμολογίας, τῶν τε ἐν Νικαίᾳ, καὶ Κωνσταντινουπόλει, καὶ τῶν ἐν Εφέσῳ τὸ πρότερον, τῶν τε ἐν Χαλκηδόνι, καὶ Κωνσταντινουπόλει τὸ δεύτερον, τουτέστι τῶν ἁγίων καὶ οἰκουμενικῶν πέντε συνόδων, ἐν αἷς καὶ αἱ ἐπιστολαὶ τῶν ἁγίων Κυρίλλου, καὶ Λέοντος, καὶ ἅπερ ἐκήρυξαν καὶ ἐδέξαντο, δεχόμεθα καὶ κηρύττομεν. καὶ ἅπερ ἀπεβάλλοντο, καὶ ἡμεῖς ἀναθεματίζομεν, καὶ πᾶσαν αἵρεσιν ἀπὸ Σίμωνος καὶ μέχρι τοῦ νῦν, ἐξαιρέτως Αρειον, Εὐνόμιον, Μακεδόνιον, καὶ Απολλινάριον, Σαβέλλιον, Ναυατόν τε, καὶ Σαββάτιον, Διόδωρον, καὶ Νεστόριον, Εὐτυχέα τε καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ Ιουλιανὸν, καὶ τὸν ἀγνοήτην Θεμίστιον, καὶ πᾶσαν αὐτῶν τὴν ἀθέμιτον συμμορίαν. Ὠριγένην τε καὶ Δίδυμον, καὶ Εὐάγριον, καὶ τὰ μυθώδη * τούτου ληρήματα. ἔτι ἀναθεματίζομεν καὶ οὓς ἡ ἁγία πέμπτη σύνοδος ἀπεβάλετο, τὸν Μοψουεστίας λέγω Θεόδωρον, τὸν κατάρατον τῆς Μαξίμου αἱρέσεώς τε καὶ διαιρέσεως διδάσκαλον· τά τε ἀσεβῆ Θεοδωρίτου συγγράμματα τὰ κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῶν δώδεκα κεφαλαίων τοῦ ἁγίου Κυρίλλου. καὶ τὴν λεγομένην Ιβα ἐπιστολὴν πρὸς Μάρην γραφῆναι τὸν Πέρσην. καὶ ἐπὶ τούτοις ἅπασι τοῖς αἱρετικοῖς τὸν ἄρτι τούτοις παραφυέντα Μάξιμον τὸν δυσώνυμον μετὰ τῶν ἀσεβῶν μαθητῶν αὐτοῦ, ὃς τὸ μανιχαΐζειν καὶ ῥίπτειν τὸ σῶμα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ὁ Ελλην ἐδίδαξε, καὶ τὸ δυσσεβὲς αὐτοῦ τῆς διαιρέσεως φρόνημα· ὅπερ πρὸ ἡμῶν οἱ μακαριώτατοι ἡμῶν πατέρες ἀπώσαντα, Ονώριος, φημὶ, Σέργιός τε καὶ Κῦρος καὶ οἱ ἐφεξῆς τῶν ἐκκλησιῶν ἡγεμόνες, καὶ ἔξαρχοι. προσέτι δὲ καὶ ὁ τῆς πανευσεβοῦς λήξεως Ηράκλειος ὁ πρόπαππος ὑμῶν ὁ ὀρθόδοξος, οὗ τὴν γονὴν τῆς ὀρθοδοξίας Θεὸς εἰς τὴν εὐσεβῆ βασιλείαν ταύτην ἐσφράγισεν. ἐκθύμως γὰρ μετὰ τῶν ἁγίων πατέρων ἡμῶν καὶ αὐτὸς τὴν ἀναφυεῖσαν αἵρεσιν ταύτην τῶν Μαξιμιανῶν κατεδίκασεν. οἷς τισιν ἀκολουθήσασα καὶ ἡ ἐνταῦθα γενομένη κατὰ θείαν κέλευσιν τοῦ ἐν εὐσεβεῖ τῇ λήξει πατρὸς τοῦ δεσπότου ἁγία συνάθροισις, Πέτρος τε ὁ παναγιώτατος οἰκουμενικὸς πατριάρχης, καὶ ὁ προηγησάμενος τὴν ἐμὴν εὐτέλειαν Μακεδόνιος ὁ μακαριώτατος, καὶ ὁ τοποτηρητὴς τῆς Αλεξανδρέων Θεόδωρος, συμπαρόντων αὐτοῖς τῶν τε ἐνδημούντων ὁσιωτάτων ἐπισκόπων, καὶ τῆς ἱερᾶς συγκλήτου, τὰ κατ' αὐτὸν ἐγγράφως ζητήσαντες τοῦτον ἀνεθεμάτισαν, καὶ ἐξώρισαν μετὰ τῶν δυσσεβῶν μαθητῶν αὐτοῦ. ἀλλὰ τοὺς ὅλους αἱρετικοὺς καθ' ἑαυτοὺς οἱμώζειν ἐάσας τοῖς ἀναθέμασιν, αὖθις ἐπάνειμι πρὸς Θεὸν καὶ παρ' αὐτοῦ φυλάττεσθαι τὴν ὑμετέραν εὐσέβειαν ἐξαιτῶ τὸν τῆς ὀρθοδοξίας λόγον κρατύνουσαν· ὑμεῖς γὰρ καὶ ἐκ προγόνων φωστῆρες τῆς πίστεως· τοὺς φωστῆρας τῆς πίστεως κύριε φύλαξον. ὁ Θεὸς ὑψώσαι τὸ κέρας ὑμῶν· ὁ Θεὸς εἰρηνεύσαι τὴν βασιλείαν ὑμῶν τροπουμένην πάντα πόλεμον, καὶ εἰρήνην βαθεῖαν ταῖς ἐκκλησίαις, καὶ ὅλῳ τῷ κόσμῳ βραβεύουσαν.

L. τούτον.

Η' ὑπογραφή. Μακάριος ἐλέῳ Θεοῦ ἐπίσκοπος Θεουπόλεως ὑπαγορεύσας πᾶν τὸν προκείμενον τῆς ὀρθοδοξίας ὕφος κατὰ τὰς ἐκθέσεις τῶν ἁγίων καὶ οἰκουμενικῶν πέντε συνόδων, καὶ τῶν ὀνομαστὶ τεθέντων παρ' ἐμοῦ ἁγίων ἐκκρίτων πατέρων, τῶν ἐκθεμένων κατὰ τὴν προανατεταγμένην δύναμιν ἓν θέλημα ἐπὶ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ θεανδρικὴν αὐτοῦ * πολιτευσαμένου ἡμῖν τὴν ἐνέργειαν. καὶ ὡς ἀσεβές ἐστι τὸ λέγειν ἐπὶ τοῦ αὐτοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν δύο θελήματα, στοιχήσας, καὶ ὁμολογήσας, καὶ οὕτω φρονῶν, καὶ διδάσκων, καὶ προσδοκῶν παραστῆναι τῷ τοῦ Θεοῦ φοβερῷ βήματι μετὰ ταύτης τῆς ἐρθοδόξου μου πίστεως, ὑπεσημηνάμην.

* πολιτευσάμενον

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος, εἶπον· τῆς δυνάμεως τῆς προσδοθείσης ὁμολογίας τῆς ἑαυτοῦ πίστεως παρὰ Μακαρίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Αντιοχείας ἐν γνώσει γεγόναμεν. λεγέτω δὲ ὁ αὐτὸς θεοφιλέστατος Μακάριος, εἰ στοιχεῖ ταῖς χρήσεσι ταῖς παρ' αὐτοῦ ἐπιδοθείσαις.

Μακάριος ὁ ὁσιώτατος ἀρχιπίσκοπος εἶπε ναὶ δέσποτα.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· διεξίτω ὁ αὐτὸς θεοφιλέστατος Μακάριος, εἰ ὁμολογεῖ δύο φυσικὰ θελήματα, καὶ δύο ἐνεργείας φυσικὰς ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκοπος Αντιοχείας εἶπεν. οὐ λέγω δύο φυσικὰ θελήματα, ἢ δύο ἐνεργείας φυσικὰς ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ· οὐδὲ ἐὰν κατὰ μέλη κατακόπτομαι, καὶ βληθῶ εἰς τὴν θάλασσαν.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἐκ τῶν νυνὶ προκομισθέντων κωδικίων, καὶ ἐπιγνωσθέντων παρὰ Μακαρίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Αντιοχείας, τὸ πρῶτον κωδίκιον ἐξ αὐτῶν ἀναγνώσει καθυποβαλλέσθω πρὸς ἀντιβολὴν τῶν αὐθεντικῶν βιβλίων τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων, τῶν ἀποκειμένων ἐν τῷ εὐαγεῖ πατριαρχείῳ.

χείφ, κατὰ τὰ ἤδη αἰτηθέντα παρὰ τῆς τοῦ μέρους τῆ ἀποστολικῆ θρόνφ τοῦ ἁγιωτάτου πάπα Ρ'ώμης Ἀγάθωνος. Γεώργιος τοίνυν ὁ θεοφιλέστατος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης τῆ Θεῆ μεγάλης ἐκκλησίας προκομιζέτω τὰς τοιαύτας τῆς ἁγίων καὶ ἐνκρίτων πατέρων ἐκ τῆ βιαγῆς πατριαρχείφ βίβλους.

Καὶ προεκομίθησαν. καὶ λαβὼν κατὰ κέλευσιν τοῦ φιλοσεβεστάτου ἡμῶν βασιλέως Κωνσταντίνου Πέγου ὁ ἐνδοξότατος ὕπατος βιβλίον τῆ ἁγίου Ἀθανασίου ἀντέλαβε πρὸς τὸ τοιῆτον πρῶτον κωδίκιον, ἐπιφερομένου τὸ αὐτὸ κωδίκιον Διογένους τῆ μεγαλοπρεπεσάτου ἀσηκρήτις καὶ σεκρεταρίου βασιλικῆ, ὅπερ ἀνέγνω ἔχον ἐπὶ λέξεως ὅπως.

Τῆ ἁγίου Ἀθανασίου ἐκ τῆ κατὰ Ἀπολιναρίου φιλοπόνου λόγου. δῆλον γάρ, ὅτι προϋπάρχων Θεὸς λόγος πρὸ τῆς ἐν σαρκὶ ἐπιδημίας οὐκ ἦν ἄνθρωπος, ἀλλὰ Θεὸς ἦν πρὸς τὸν Θεὸν ἀόρατος καὶ ἀπαθὴς ὤν. ὅτε δὲ τὸ, Χριστὸς, ὄνομα δίχα τῆς σαρκὸς προάγεται, ἐπειδὴ ἀκολουθεῖ τῷ ὀνόματι τὸ πάθος καὶ ὁ θάνατος· τῆ μὲν Λουκᾶ γράφοντος, εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν· τῆ δὲ Παύλου λέγοντος· τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός· καὶ ὅτι ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν, οὐχ ὅτι ὁ Θεός, ἀλλ' ὅτι καὶ ἄνθρωπος ὁ Χριστός. διὸ, μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαυὶδ, γράφει. διὰ τοῦτο ἡ γραφὴ ἑκατέρων τῶν ὀνομάτων ποιεῖται τὴν προαγωγὴν ἐν ἐπιδείξει ὑπάρξεως, ἀοράτως μὲν Θεῆ νοουμένου, καὶ ὄντος ἀληθῶς· ὁρατῶς δὲ ἀνθρώπου ψηλαφωμένου, καὶ ὑπάρχοντος ἀληθῶς· οὐκ ἐν διαιρέσει προσώπων, * ἢ νοημάτων, ἀλλὰ φυσικῆ ἑνώσει, καὶ ἀλύτῳ σύνδεσμῳ. ἵνα ἐν αὐτῷ τῆ πάθους ὁμολογουμένως ἀληθῶς, ὁ αὐτὸς καὶ παθητὸς καὶ ἀπαθὴς νοοῖτο ἀληθῶς.

Εἰσὶ δὲ καὶ τὰ ἀποκοπέντα ἀπὸ Μακαρίου καὶ Στεφάνου τὰ πρὸ τῆ, καὶ μετά τινα τῆς χρήσεως. ἀλλὰ λέγετε, ὅτι εἰ πάντα ἔλαβε, πάντως δήπου, καὶ τὰς ἀνθρωπίνας λογισμὰς εἶχεν. ἀδύνατον δέ ἐστιν ἐν λογισμοῖς ἀνθρωπίνοις ἁμαρτίαν μὴ εἶναι. καὶ πῶς ἔσαι χωρὶς ἁμαρτίας ὁ Χριστός; εἴπατε τοίνυν, εἰ τῆς ἁμαρτητικῶν λογισμῶν δημιουργὸς ὁ Θεὸς, προσακτέον τῷ Θεῷ τὴν ἰδίαν δημιουργίαν· ἦλθε γὰρ προσαγαγέσθαι τὴν ἰδίαν ποίησιν. ἀλλ' ἄδικος ἔσαι πάλιν ἡ κρίσις καταδικάζουσα τὸν ἁμαρτήσαντα. εἰ γὰρ ἁμαρτητικὰς λογισμὰς ἐδημιούργησεν ὁ Θεὸς, πῶς καταδικάζει τὸν ἁμαρτήσαντα; ἢ πῶς οἷόντε παρὰ Θεῆ τοιαύτην κρίσιν γίνεσθαι; εἰ δὲ καὶ ὁ Ἀδὰμ ὑπέκειτο τοῖς τοιούτοις λογισμοῖς πρὶν ἢ παρακοῦσαι τῆς τοῦ Θεοῦ ἐντολῆς, καὶ πῶς· οὐκ ἐγίνωσκε καλὸν καὶ πονηρόν; λογικὸς μὲν ὢν τὴν φύσιν, ἐλεύθερος δὲ τῶν τοιούτων λογισμῶν, πεῖραν κακοῦ οὐκ εἰδὼς, μόνον δὲ τὸ καλὸν γινώσκων, καὶ ὥσπερ τις μονόβροτος ὤν. παρακούσας δὲ τῆς ἐντολῆς τοῦ Θεοῦ, ὑποπέπτωκε τοῖς τοιούτοις λογισμοῖς, ὑπὸ τοῦ Θεοῦ δημιουργήσαντος τοὺς αἰχμαλωτίζοντας λογισμὰς, ἀλλὰ τοῦ διαβόλου ἐξ ἀπάτης ἐπισπείραντος τῆ λογικῆ φύσει τοῦ ἀνθρώπου ἐν παραβάσει γλυομένη, καὶ ἀπωθείσῃ ἀπὸ Θεοῦ· ὥς τε τὸν διάβολον καὶ νόμον ἁμαρτίας κατασήσασθαι ἐν τῆ φύσει τοῦ ἀνθρώπου, καὶ θάνατον βασιλεύοντα διὰ τοῦ ἔργου τῆς ἁμαρτίας. διὰ τοῦτο ἦν ἦλθεν ὁ υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. ἀλλὰ λέγετε· ἔλυσε μὴ ἁμαρτήσας. ἀλλ' οὐκ ἔστιν αὕτη λύσις τῆς ἁμαρτίας. ὁ γὰρ ἐν ἐκείνῳ ἀρχῆθεν ἐνεργάσατο ὁ διάβολος τὴν ἁμαρτίαν, ἵνα ἐλθόντος αὐτοῦ εἰς τὸν κόσμον καὶ μὴ ἁμαρτήσαντος λυθῇ ἡ ἁμαρτία· ἀλλ' ἐν τῆ λογικῆ καὶ νοερᾷ φύσει τοῦ ἀνθρώπου ἀρχῆθεν ἐνεργάσατο ὁ διάβολος τὴν ἁμαρτίαν. διὰ τοῦτο ἀδύνατον γέγονε τῆ φύσει λογικῆ ὕσῃ, καὶ ἑκουσίως ἁμαρτησάσῃ, καὶ ὑπὸ καταδίκῃ θανάτου γλυομένῃ ἑαυτὴν ἀνακαλέσασθαι εἰς ἐλευθερίαν, ὡς φησιν ὁ ἀπόστολος. τὸ γὰρ ἀδυνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός. διὰ τοῦτο ἦλθεν ὁ υἱὸς τοῦ Θεοῦ ταὐτὸν ἐν τῆ ἰδίᾳ φύσει καταυσήσασθαι ἐκ νέας ἀρχῆς, καὶ * γλυνήσεως θαυμαστῆς, ὑπὸ τὴν ἀρχῆθεν σύστασιν καταμερίσας, ἀλλὰ τὴν ἐσπαρεῖσαν ἀθετησιν ἀθετήσας, ὡς μαρτυρεῖ ὁ προφήτης λέγων· πρινὴ γνῶναι τὸ παιδίον καλὸν ἢ κακὸν, ἀπειθεῖ πονηρία τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. εἰ δὲ μὴ ἐν τῆ ἁμαρτησάσῃ φύσει ἡ ἀναμαρτησία ὤφθη, πῶς κατεκρίθη ἡ ἁμαρτία ἐν τῆ σαρκὶ, μήτε τῆς σαρκὸς τὸ πρακτικὸν ἐχθρὸς, μήτε τῆς θεότητος ἁμαρτίαν γινωσκούσης; πῶς δὲ καὶ ὁ ἀπόστολος λέγει. ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις· οὐ τόπον διαγραφῶν, ἀλλὰ φύσιν ὑποτιθέμενος; ἵνα ὥσπερ, φησὶ, δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τὸν κόσμον, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, οὕτω καὶ δι' ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον· ἵνα δι' ἧς φύσεως ἡ προκόρησις τῆς ἁμαρτίας γέγονε, διὰ ταύτης καὶ ἡ ἐπίδειξις τῆς δικαιοσύνης γένηται, καὶ ὕτως λυθῇ τὰ ἔργα τοῦ διαβόλου ἐλευθερωθείσης τῆς ἀνθρώπου φύσεως ἀπὸ τῆς ἁμαρτίας, καὶ δοξασθῇ ὁ Θεός.

Ἀντιβλησκομένου δὲ τοῦ τοιούτου βιβλίου, καὶ παραλιμπανομένων τῆ πρὸ τοῦ, καὶ μετά τινα, καὶ τῶν μεταξὺ τῆς χρήσως ὄντων.

Κωνσταντῖνος ὁ θεοσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία συνόδος εἶπον· λεγέτω Μακάριος ὁ θεοφιλέστατος, τίνος ἕνεκεν τὰ τοιαῦτα καίρια περιέκοψεν ἐκ τῆς χρήσεως τοῦ ἁγίου καὶ ἐγκρίτου πατρός.

Μακάριος ὁ θεοφιλέστατος εἶπεν. ἐγὼ τὰς χρήσεις ἃς παρεξέβαλον, κατὰ τὸν ἴδιον σκοπὸν παρεξέβαλον.

Ἔτι ἀναγινωσκομένης τῆς μετὰ τὴν ἀποκοπὴν χρήσεως τῆς παρεκβληθείσης ὑπὸ Μακαρίου καὶ Στε-

Πραξ. 26.

1. Κορ. 5.

2. Τιμοθ. 2.

* ἢ ὀνομάτων

Ρ'ωμ. 8.

Ἡσαΐ. 5.

Ρ'ωμ. 8.

Στεφάνου, ἐχούσης ἐν ἐπιγραφῇ. καὶ μετάτινα, τῆς καὶ διαγορευούσης ἐπὶ λέξεως οὕτως διὰ τοῦτο ἐν τῇ τοῦ λόγου θεότητι ὀφθεῖσα ἡ τοῦ δούλου μορφὴ οὐκ ἀνάγκῃ ὑποκειμένη, ἀλλὰ φύσει καὶ δυνάμει τὴν ἀναμαρτησίαν ἐπιδείκνυται, διαλύσασα τὸν τῆς ἀνάγκης ὅρον, καὶ τὸν τῆς ἁμαρτίας νόμον, καὶ τὸν τῆς αἰχμαλωσίας τύρανον αἰχμαλωτεύσασα, ὥς φησιν ὁ προφήτης· ἀνέβη εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν. τὴν γὰρ μορφὴν τοῦ δούλου κατὰ τοῦ ἐχθροῦ προβαλλόμενος ὁ λόγος τὴν νίκην πεποίηται διὰ τοῦ ποτε ἡττηθέντος. διὰ τοῦτο καὶ πάντα πειρασμὸν συνετέλεσεν ὁ Ἰησοῦς ὅτι πάντα ἔλαβε τὰ πειρασμοῦ πεῖραν ἐσχηκότα, δι' ὧν τὴν ὑπὲρ ἡμῶν νίκην πεποίηται λέγων· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. οὐ γὰρ πρὸς θεότητα ᾔρατο ὁ διάβολος τὸν πόλεμον, ἣν ἠγνόησεν, οὔτε γὰρ ἐτόλμα· διὰ τοῦτο ἔλεγεν. εἰ σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ· ἀλλὰ πρὸς ἄνθρωπον, ὃν πάλαι πλανῆσαι ἴσχυσε, καὶ ἐξ ἐκείνου εἰς πάντας ἀνθρώπους ἐξέτεινε τῆς κακίας αὐτοῦ τὴν ἐνέργειαν. τῆς δὲ τοῦ Ἀδὰμ ψυχῆς ἐν καταδίκῃ θανάτου κατεχομένης καὶ βοώσης πρὸς τὸν ἑαυτῆς δεσπότην διὰ παντὸς, καὶ τῶν εὐαρεστησάντων τῷ Θεῷ, καὶ δικαιωθέντων ἐν τῷ φυσικῷ νόμῳ συγκατεχομένων τῷ Ἀδὰμ, συμπενθούντων τε καὶ συμβοώντων, ἐλεήσας ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἐποίησε, ηὐδόκησε διὰ μυστηρίου φανερώσεως καινότητος σωτηρίαν κατεργάσασθαι τῷ γένει τῶν ἀνθρώπων, καὶ καθαίρεσιν μὲν ποιήσασθαι τοῦ διὰ φθόνου ἀπατήσαντος ἐχθροῦ, ὕψωσιν δὲ ἀσυλλόγιστον ἀναδεῖξαι τοῦ ἀνθρώπου τῇ πρὸς τὸν ὕψιστον ἑνώσει καὶ κοινωνίᾳ, φύσει καὶ ἀληθείᾳ. διὰ τοῦτο ἦλθεν ὁ λόγος Θεὸς ὢν καὶ τοῦ πρώτου ἀνθρώπου δημιουργὸς, γενέσθαι ἄνθρωπος, εἰς ζωοποίησιν μὲν τοῦ ἀνθρώπου, καθαίρεσιν δὲ τοῦ ἀδίκου ἐχθροῦ. καὶ ἐγεννήθη ἐκ γυναικὸς ἐκ τῆς πρώτης πλάσεως τὴν τοῦ ἀνθρώπου μορφὴν ἑαυτῷ ἀναστησάμενος· ἐν ἐπιδείξει σαρκὸς δίχα σαρκικῶν θελημάτων, καὶ λογισμῶν ἀνθρωπίνων ἐν εἰκόνι καινότητος. ἡ γὰρ θέλησις θεότητος μόνης· ἐπειδὴ καὶ φύσις ὅλη τοῦ λόγου ἐν ἐπιδείξει μορφῆς τῆς ἀνθρωπίνης σαρκὸς τῆς ὁρωμένης τοῦ δευτέρου Ἀδὰμ, οὐκ ἐν διαιρέσει προσώπων, ἀλλ' ἐν ὑπάρξει θεότητος, καὶ ἀνθρωπότητος. διὰ τοῦτο γὰρ προσήει ὁ διάβολος τῷ Ἰησοῦ ὡς ἀνθρώπῳ· μὴ εὑρίσκων δὲ ἐν αὐτῷ τῆς παλαιᾶς αὐτοῦ ἐπισπορᾶς γνώρισμα, μήτε τῆς πρὸς τὸ παρὸν ἐπιχειρήσεως προχώρησιν, ἡττᾶτο αἰσχυνόμενος. καὶ νικώμενος, καὶ ἀτονῶν ἔλεγε· τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; τουτέστι τῶν ἐκ γῆς ἀνθρώπων διαβαίνων μετὰ ἰσχύος. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν.

Ψαλ. 67. καὶ πρὸς Ἐφεσ. 4.

Ἰωάν. 16.

Μάρκ. 24.

Γενέσ. 3.

Ἡσαΐ. 63.

Ἰωάν. 14.

Ἡ ἁγία σύνοδος εἶπεν· ἰδοὺ πανάγαθε δέσποτα καὶ πάλιν τὴν χρῆσιν ἀπέκοψε. τὰ γὰρ μετὰ τὴν χρῆσιν κατὰ κέλευσιν τοῦ ὑμετέρου κράτους ἀναγινωσκόμενα δείκνυσι τὴν αὐτοῦ συνεσκιασμένην παρεκβολὴν, ἅτινά εἰσιν ἐν τούτοις τὰ ἀποκοπέντα ὑπὸ Μακαρίου, καὶ Στεφάνου ἐκ τῆς παρούσης χρήσεως. καί τοι καὶ σῶμα, καὶ ψυχὴν, καὶ ὅλον εἶχε τὸν πρῶτον * ὁ δεύτερος Ἀδάμ. εἰ γὰρ περὶ ὑπάρξεως ἀνθρώπου ἦν τὸ οὐδὲν, πῶς τὸ σῶμα εὗρε τὸ ὁρώμενον εἰρηκότος τὸ οὐδέν; ἀλλ' οὐχ εὗρεν ἐν αὐτῷ, ὧν αὐτὸς εἰργάσατο ἐν τῷ πρώτῳ Ἀδάμ· καὶ οὕτως κατελύθη ἡ ἁμαρτία ἐν τῷ Χριστῷ· διὰ τοῦτο καὶ ἡ γραφὴ μαρτυρεῖ· ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, πῶς οὖν λέγετε, ὅτι ἀδυνατόν ἐστιν ἀναιχμαλώτιστον γενέσθαι τὸν ἅπαξ αἰκαλωτισθέντα ἄνθρωπον· ἵνα τὸ μὲν ἀδύνατον τῷ Θεῷ προσαγάγητε, τὸ δὲ δυνατὸν τῷ διαβόλῳ, ἀκατάλυτον αὐτοῦ λέγοντες τὴν ἁμαρτίαν ἐν τῇ φύσει τῶν ἀνθρώπων, ὡς καὶ οἱ ἄλλοι αἱρετικοί· καὶ διὰ τοῦτο ἐληλυθέναι τὴν θεότητα τὴν μὴ αἰχμαλωτιζομένην ἐν ὁμοιώματι σαρκὸς καὶ ψυχῆς, ἵνα αὐτὴ ἀναιχμαλώτιστος μείνῃ· καὶ οὕτως ὀφθῇ ἡ καθαρὰ δικαιοσύνη; πότε δὲ οὐκ ἦν καθαρὰ τῆς θεότητος ἡ δικαιοσύνη; καὶ τίς ἐν τούτοις ἀνθρώπων εὐεργεσία; εἰ μὴ ταυτότητι ὑπάρξεως, καὶ φύσεως καινότητι ὤφθη ὁ κύριος, ὥς φησιν ὁ ἀπόστολος, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, λέγων. ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή.

* δεύτερο γενόμενον.

Ἡσαΐ. 53.

Ἑβρ. 10.

Ἰωάν. 14.

Ἡ ἁγία σύνοδος εἶπεν. ἰδοὺ καὶ ταύτην τὴν χρῆσιν τοῦ ἁγίου πατρὸς περιεῖλες. οὐχ ἁρμόζει ὀρθοδόξοις οὕτω περικεκομμένας τὰς τῶν ἁγίων πατέρων φωνὰς παρεκβάλλειν· αἱρετικῶν δὲ μᾶλλον ἴδιον τοῦτο καθέστηκε.

Μακάριος ὁ ὁσιώτατος ἀρχιεπίσκ. εἶπε· καὶ ἤδη εἶπον, ὅτι θέλων συστήσασθαι τὸν σκοπόν μου, παρεξέβαλον.

Ἡ ἁγία σύνοδος ἐξεβόησεν· αἱρετικὸν ἑαυτὸν προδήλως ἀπέδειξε. τῷ νέῳ Διοσκόρῳ ἀνάθεμα. ὁ τοιοῦτος καθαιρείσθω. τὸν νέον Διόσκορον ἔξω βάλλε. τοῦ νέου Ἀπολλιναρίου κακὰ τὰ ἔτη. δικαίως τῆς ἐπισκοπῆς ἀλλοτριούσθω. γυμνούσθω τοῦ περικειμένου αὐτῷ ὡμοφορίου. καὶ γυμνωθέντος αὐτοῦ, εἰς μέσον τε ἑστῶτος ἅμα Στεφάνῳ τῷ αὐτοῦ μαθητῇ, Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος τοῦ μοναστηρίου Βαΐων ἠρώτησε τοὺς αὐτοὺς Μακάριον τε καὶ Στέφανον· εἶχεν ἀνθρώπινον θέλημα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἀναμάρτητον;

Μακάριος καὶ Στέφανος εἶπον· ἡμεῖς ἀνθρώπινον θέλημα ἐπὶ τοῦ Χριστοῦ οὐ λέγομεν, θεῖον δὲ ναί· δίχα γὰρ σαρκικῶν θελημάτων, καὶ λογισμῶν ἀνθρωπίνων, καθὼς ἡ προενεχθεῖσα παρ' ἡμῶν τοῦ ἁγίου Ἀθανασίου χρῆσις περιέχει. ἡ γὰρ θέλησις θεότητος μόνης.

Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος εἶπε· πῶς λαμβάνετε τὰ σαρκικὰ θελήματα, καὶ τοὺς ἀνθρωπίνους λογισμούς;

Μακάριος καὶ Στέφανος εἶπον. τὰ σαρκικὰ θε-

θελήματα, καὶ οἱ ἀνθρώπινοι λογισμοὶ τῶν καθ' ἡμᾶς ἀνθρώπων εἰσὶν. ὁ δὲ Χριστὸς οὐδὲν τούτων ἔσχεν.

Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος εἶπεν· εἰ τὴν χρῆσιν, ἣν περιεκόψατε, ἐπ' ἀκεραίῳ τεθείκατε, ηὑρίσκετο, ὅτι τὰ σαρκικὰ θελήματα, καὶ τοὺς ἀνθρωπίνους λογισμοὺς, τοὺς ἁμαρτητικοὺς καὶ καθ' ἡδονὴν ἔλαβεν ὁ ἅγιος πατὴρ Ἀθανάσιος, τοὺς καὶ ἐξ ἐπισπορᾶς διαβολικῆς ἐπεισελθόντας τῇ ἀνθρωπίνῃ φύσει, καθὼς ὁ αὐτὸς ἅγιος πατὴρ ἀνωτέρω ἔφησε. κἀγὼ δὲ λέγω μὴ ἔχειν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἐξ ἐπισπορᾶς θέλημα σαρκικὸν, ἢ ἁμαρτητικοὺς λογισμούς· μὴ γένοιτο· ἀλλὰ φυσικὸν θέλημα, ὅπερ καὶ δημιουργήσας τὸν Ἀδὰμ αὐτὸς ὁ Θεὸς ἐντέθεικεν αὐτῷ. καὶ τοῦτο δὲ ἐρωτῶ ὑμᾶς· εἶχε ψυχὴν λογικὴν ὁ Ἀδάμ;

Μακάριος καὶ Στέφανος εἶπον· ναί.

Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος εἶπε. φυσικὸν εἶχε θέλημα;

Στέφανος ὁ εὐσεβέστατος μοναχὸς εἶπε· προαιρετικὸν καὶ αὐτεξούσιον· καὶ γὰρ πρὸ τῆς παραβάσεως θεῖον θέλημα εἶχε, καὶ συνθελητὴς ἦν τῷ θεῷ.

Δομέτιος ὁ θεοφιλέστατος ἐπίσκοπος Προυσιάδος εἶπε· ποῦ σοῦ τὸ ἄτοπον βλάσφημον; ἐὰν συνθελητὴς ἦν ὁ Ἀδὰμ τῷ Θεῷ, οὐκοῦν καὶ συνδημιουργός.

Θεόδωρος καὶ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι, καὶ Ἰωάννης ὁ θεοσεβέστατος διάκονος, οἱ τὸν τόπον ἐπέχοντες Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης· καὶ οἱ ἐκ προσώπου τῆς κατὰ τοῦτον συνόδου θεοφιλεῖς ἐπίσκοποι εἶπον· ἐὰν ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως θεῖον θέλημα εἶχεν, οὐκοῦν καὶ ὁμοούσιος τῷ Θεῷ ὑπῆρχε, καὶ ἄτρεπτον καὶ ζωοποιὸν ἦν τὸ θέλημα τοῦ Ἀδάμ. καὶ πῶς τραπεὶς παρέβη τὴν ἐντολὴν, καὶ θανάτῳ ὑπέπεσεν; ὁ γὰρ συνθελητὴς, πάντως καὶ ὁμοούσιος. ἢ οὐκ ἐπίστασαι τὸν ἅγιον Κύριλλον βοῶντα. ὥσπερ ἐστὶν ὁμοούσιος, οὕτω καὶ συνθελητὴς τῷ ἰδίῳ γενήτορι; μιᾶς γὰρ οὐσίας ἓν δήπου τὸ θέλημα.

Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος εἶπεν· ὅπερ ἤδη κἀγὼ ἠρώτησα ὑμᾶς, εἴπατε. εἶχε φυσικὸν θέλημα ὁ Ἀδάμ; ναὶ, ἢ οὔ;

Μακάριος καὶ στέφανος εἶπον, καὶ ἤδη ἔφημεν προαιρετικὸν, καὶ αὐτεξούσιον.

Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος εἶπεν· ἢ σύνθεσθε, ὅτι εἶχε φυσικὸν θέλημα, ἢ ἀποτάξασθε· καὶ τοῦτο δεικνύω ἀπὸ ἁγίων καὶ * ἐκκρίτων πατέρων. ἐνστάντων οὖν τῶν αὐτῶν Μακαρίου καὶ Στεφάνου ἐπὶ πολὺ, καὶ μήτε συνθέσθαι θελόντων, μήτε ἀποτάξασθαι, Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· προαγαγέτω Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος ὥσπερ ἔφησε χρήσεις ἁγίων καὶ * ἐκκρίτων πατέρων.

* ἀλλ' ἐγκρίτων.

* ἀλλ' ἐγκρίτων.

Καὶ προήγαγε δύο χρήσεις, μίαν μὲν τοῦ ἁγίου Ἀθανασίου ἀρχιεπίσκ. Ἀλεξανδρείας ἐκ τοῦ περὶ ἐνανθρωπήσεως λόγου, καὶ κατὰ Ἀπολλιναρίου, ἔχουσαν ἐπὶ λέξεως οὕτως· ὅτε τὸν Ἀδὰμ ἀρχῆθεν ἔπλασεν ὁ Θεὸς, μήτοι γε σύμφυτον αὐτῷ δέδωκε τὴν ἁμαρτίαν; τίς οὖν ἦν ἔτι χρεία τῆς ἐντολῆς; πῶς δὲ αὐτὸν κατεδίκασεν ἁμαρτήσαντα; πῶς δὲ καὶ πρὸ τῆς παρακοῆς οὐκ ἐγίνωσκε καλὸν καὶ πονηρὸν ὁ Ἀδὰμ, ὃν ἔπλασεν ὁ Θεὸς ἐπὶ ἀφθαρσίᾳ καὶ εἰκόνι τῆς ἰδίας ἀϊδιότητος; ἐποίησεν αὐτὸν φύσιν ἀναμάρτητον, καὶ θέλησιν αὐτεξούσιον.

Ἑτέραν δὲ τοῦ ἁγίου Αὐγουστίνου ἐπισκ. Ἱππονηρηγίου, ἐκ τοῦ κατὰ Ἰουλιανοῦ βιβλίου πέμπτου περιέχουσαν οὕτως· κίνησις ψυχῆς τί ἐστιν, εἰ μὴ κίνησις φύσεως; ἡ γὰρ ψυχὴ ἀνενδοιάστως φύσις ἐστί· διόπερ τὸ θέλημα κίνησις φύσεως ὑπάρχει, ἐπειδὴ κίνησίς ἐστι ψυχῆς.

Ἡ ἁγία σύνοδος εἶπε· τηλαυγῶς καὶ ἀληθῶς παρέστησε Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος διὰ τῶν προενεχθεισῶν παρ' αὐτοῦ χρήσεων τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων φυσικὸν εἶναι τὸ θέλημα. εἰ οὖν ὁ πρῶτος Ἀδὰμ φυσικὸν εἶχε θέλημα, ὁ κατὰ πάντα ὅμοιος αὐτῷ γενόμενος πλὴν ἁμαρτίας δεύτερος Ἀδὰμ, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, πῶς οὐκ εἶχεν ἐν τῇ ἀνθρωπίνῃ αὐτοῦ φύσει θέλημα φυσικόν; ἐπὰν τοίνυν καὶ ἀνθρώπινον ἀναμάρτητον θέλημα προσέλαβεν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως, καὶ θεῖον πρὸ αἰώνων μετὰ πατρὸς καὶ ἁγίου πνεύματος θέλημα εἶχε, δῆλον ὅτι δύο φυσικὰ θελήματα ἐν αὐτῷ τοὺς ὀρθοδόξους δέον ὁμολογεῖν ἀσυγχύτως καὶ ἀδιαιρέτως. ὡς καὶ ἀπὸ πλείστων πατρικῶν χρήσεων τὰ δύο φυσικὰ θελήματα ἐπὶ τῆς τοῦ ἑνὸς προσώπου, ἤτοι μιᾶς ὑποστάσεως ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἐπιδείκνυται.

Πάλιν ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου ἑτέρα χρῆσις τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων ἐκ τοῦ πρὸς Γρατιανὸν τὸν βασιλέα λόγου, ἔχουσα ἐπὶ λέξεως οὕτως· πλὴν ἐπὶ τοσοῦτο τὸν ἄνθρωπον, ὃν ἀληθείᾳ σώματος ἐπεδείκνυτο, τῇ διαθέσει παριστᾷ συνεξισῶν, ὥστε εἰπεῖν αὐτόν· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ θέλεις. καὶ ταῦτα δηλαδὴ ὁμοίως ἔχοντος ἀεὶ τοῦ Χριστοῦ περὶ τὸ θέλημα, ὅπερ θέλει ὁ πατήρ. Ματθ. 26

Καὶ μετά τινα τῆς προκειμένης χρήσεως παρεξέβαλον οἱ αὐτοὶ Μακάριός τε καὶ Στέφανος οὕτως· συνορᾶς ὡς οὐ μόνον ὁ υἱὸς τὴν βούλησιν τοῦ πατρὸς, ἀλλὰ καὶ ὁ πατὴρ ποιεῖ τὸ βούλημα τοῦ υἱοῦ· τί δ' ἂν εἴη τὸ ζωοποιεῖν, εἰ μὴ * διὰ τοῦ παθεῖν τὸν υἱόν; τὸ * δὲ πάθος τοῦ Χριστοῦ βούλησίς ἐστι τοῦ πατρός· οὓς τοίνυν ζωοποιεῖ ὁ υἱὸς, διὰ τοῦ θελήματος ζωοποιεῖ

τοῦ

τȣ̃ πατρός. ȣ̓κȣ̃ν ἡ βȣ́λησις μία. ποία βȣ́λησις τȣ̃ πατρὸς, εἰ μὴ τὸ ἐλθεῖν εἰς τȣ̃τον τὸν κόσμον τὸν υἱὸν καὶ καθᾶραι τῶν ἁμαρτημάτων ἡμᾶς; ἄκȣσον λέγοντος τȣ̃ λεπρȣ̃· ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι· ἀπεκρίθη ὁ Ἰησȣ̃ς· θέλω, καθαρίσθητι· καὶ παραχρῆμα ὑ-
Ματθ. 8. γιὴς ἐγένετο· ὁρᾷς οὖν ὅπως ἐξουσιαστής ἐστιν ὁ υἱὸς τοῦ οἰκείου θελήματος, καὶ τὸ αὐτό ἐστι βούλημα τοῦ Χριστοῦ, ὅπερ ἐστὶ τοῦ πατρός;

Εἰσὶ δὲ καὶ τὰ ἀποκοπέντα ἐκ τῆς αὐτῆς χρήσεως ἀπὸ Μακαρίȣ καὶ Στεφάνȣ ȣ̓̃τως· εἰ καὶ τὰ μάλιστα φάσκοντος αὐτȣ̃· ἅπερ ἔχει ὁ πατὴρ, ἐμά ἐστιν, ἀναμφίβολον, ὡς ȣ̓δὲν ὑπεξήρηται· ἣν γὰρ ὁ πατὴρ ἔχει, τὴν αὐτὴν καὶ ὁ υἱὸς ἔχει βȣ́λησιν. μία τοίνυν ἡ βȣ́λησις, ὅπου μία ἡ δημιȣργία. ἡ γὰρ ἐν Θεῷ τȣ̃ θελήματος τάξις ἀποτέλεσμα τυγχάνει τῆς πράξεως. ἄλλη δέ γε βȣ́λησις ἀνθρώπȣ, καὶ ἑτέρα Θεȣ̃. ἀμέλει πρὸς τὸ γινώσκειν, ὡς ἀνθρώπῳ μὲν τὸ ζῆν καταθύμιον, ἐπειδὴ φοβȣ́μεθα τὴν τελευτὴν, τὸ δὲ τȣ̃ Χριστȣ̃ πάθος ἐστὶ κατὰ βȣ́λησιν θείαν, ἵνα ὑπὲρ ἡμῶν πάθῃ, τȣ̃ Πέτρȣ βȣλομένȣ τὸν κύριον ἀποκλῖναι τȣ̃ πάθȣς, ὁ κύριος εἶπεν. ȣ̓ φρονεῖς τὰ τȣ̃ Θεȣ̃, ἀλλὰ τὰ τῶν ἀνθρώπων. δέχεται τοίνυν τὴν βȣ́λη-
Ματθ. 16 σιν τὴν ἐμήν· δέχεται τὸ συγνόν· θαῤῥῶν γὰρ ὀνομάζω συγνότητα, ἐπειδὴ κηρύσσω σαυρόν. ἐμὸν ἣν τȣ̃το τὸ βȣ́λημα, ὅπερ ἴδιον ἔλεγεν, ἐπειδήπερ ὡς ἄνθρωπος τὰ τῆς ἐμῆς συγνότητος ἔλαβεν, ὡς ἄνθρωπος καὶ ἐλάλησε· καὶ διὰ τοῦτο φησίν· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ θέλεις· ἐμὴ γάρ ἐστιν ἡ συγνότης, ἣν κατ' ἐμὴν διάθεσιν ἀνεδέξατο· καὶ γὰρ οὐδεὶς τεθνηξόμενος χαίρει. ἐμοὶ συμπάσχει, καὶ ἐμοὶ συγνάζει, καὶ ἐμοὶ συναλγεῖ· ὑπὲρ ἐμοῦ τοιγαροῦν ἤλγησεν ἐν ἐμοὶ, ὁ ὑπὲρ ἑαυτοῦ μηδὲν ἔχων ἀλγεῖν· ἀλγεῖς οὖν κύριε οὐ τραῦμα σὸν, ἀλλ' ἐμόν. οὐ σὸν θάνατον, ἀλλ' ἡμετέραν ἀσθένειαν. ὁ προφήτης εἶπεν, ἐπειδὴ πε-
Ἡσαΐ. 53. ρὶ ἡμῶν ὀδυνᾶσαι, καὶ ἡμεῖς ἐλογισάμεθά σε κύριε εἶναι ἐν πόνῳ, ὁπότε αὐτὸς οὐκ ἤλγεις ὑπὲρ σαυτοῦ, ἀλλ' ὑπὲρ ἐμοῦ· καὶ τί θαυμαστὸν, εἰ ὑπὲρ πάντων ἤλγησεν ὁ δακρύσας ὑπὲρ ἑνός; τί θαυμαστὸν, εἰ μέλλων τελευτᾷν ἀηδιάζεται, ὃς ἐγείρειν τὸν Λάζαρον μέλλων ἐδάκρυσεν; ἀλλὰ
Ἰωάν. 11. κἀκεῖ τὸ τῆς ἀδελφῆς αὐτὸν εὔσπλαγχνον εἰς τὸ δακρύειν ἐκίνησε, δι' ἧς αὐτοῦ καθικνεῖτο τὰ τῆς ἀνθρωπίνης αἰσθήσεως, καὶ ἐνταῦθα βαθυτέρα διάθεσις αὐτȣ̃ τὰ τῆς οἰκονομίας ἐργάζεται· ἵνα καθάπερ ὁ θάνατος αὐτοῦ τὸν πάντων ἀφείλετο θάνατον, καὶ ὁ μώλωψ αὐτοῦ τὰ ἡμῶν ἰάσατο τραύματα, οὕτω καὶ ἡ συγνότης αὐτοῦ τὴν ἡμετέραν ἐξαλείψῃ κατήφειαν. ὡς ἄνθρωπος οὖν ἐνδοιάζει, ὡς ἄνθρωπος ἐκταράττεται· οὐ ταράττεται γὰρ ἡ δύναμις, οὐδὲ ἡ θεότης αὐτοῦ, ἀλλ' ἡ ψυχὴ ταράττεται· καὶ ταράττεται κατὰ τὴν τῆς ἀνθρωπίνης σαθρότητος πρόσληψιν· καὶ διὰ τοῦτο, ἐπειδὴ ψυχὴν ἀνεδέξατο παθητήν. οὐδὲ γὰρ ὁ Θεὸς καθὸ ἣν Θεὸς, ἢ ταράττεσθαι, ἢ ἀποθνήσκειν ἠδύνατο.

Ετι ἀνεγνώθη ἐκ τȣ̃ αὐτȣ̃ κωδικίȣ ἑτέρα χρῆσις τȣ̃ ἁγίȣ Διονυσίȣ ἐπισκόπȣ Αθηνῶν καὶ μάρτυρος, ἐκ τȣ̃ περὶ θείων ὀνομάτων λόγȣ. καὶ ἀντεβλήθη ὁμοίως τὸ κείμενον τῆς χρήσεως ἔχον ȣ̓̃τως.

Διακέκριται δὲ τῆς ἀγαθοπρεπȣ̃ς εἰς ἡμᾶς θεȣργίας τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ὁλικῶς καὶ ἀληθῶς ȣ̓σιωθῆναι τὸν ὑπερȣ́σιον λόγον, καὶ δρᾶσαι καὶ παθεῖν ὅσα τῆς ἀνθρωπίνης αὐτοῦ θεȣργίας ἐστὶν ἔκκριτον καὶ ἐξαίρετον. τȣ́τοις γὰρ ὁ πατὴρ καὶ τὸ πνεῦμα κατ' ȣ̓δένα κεκοινώνηκε λόγον· εἰ μήπȣ τις φαίῃ κατὰ τὴν ἀγαθοπρεπῆ καὶ φιλάνθρωπον βȣ́λησιν.

Τὰ ἀποκοπέντα ἐκ τῆς αὐτῆς χρήσεως παρὰ τῶν αὐτῶν· καὶ κατὰ πᾶσαν τὴν ὑπερκειμένην καὶ ἄῤῥητον θεȣργίαν, ἣν ἔδρα καὶ καθ' ἡμᾶς γεγονὼς ὁ ἀναλλοίωτος, ᾗ Θεὸς, καὶ Θεοῦ λόγος.

Ετι ἀνεγνώσθη ἐκ τȣ̃ αὐτȣ̃ κωδικίȣ χρῆσις τȣ̃ ἁγίȣ Ιωάννȣ τȣ̃ Χρυσοστόμȣ ἐκ τοῦ λόγου Ματθ. 26.
τοῦ εἰς τό· πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμȣ̃ τὸ ποτήριον τȣ̃το. (οὗ ἡ ἀρχή· βαθεῖαν τομήν.) καὶ ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης τυγχάνον τȣ̃ εὐαγȣ̃ς πατριαρχείȣ τῆς βασιλίδος ταύτης πόλεως, τὸ κείμενον τῆς χρήσεως ἔχον ȣ̓̃τως· τοσαῦτα ἀγαθὰ ἀπὸ τοῦ σαυρȣ̃ καὶ γέγονε καὶ γίνεται, καὶ ȣ̓ βȣ́λεται σαυρωθῆναι; εἰπέμοι. καὶ ἂν τοῦτο εἴποι, εἰ δὲ μὴ ἐβȣ́λετο, τίς αὐτὸν ἠνάγκασε; τίς ἐβιάσατο; τί δὲ καὶ προέπεμψεν ἀπαγγέλλοντας, ὅτι σαυρωθήσεται μὴ μέλλων σαυροῦσθαι, μὴ δὲ βȣλόμενος τοῦτο ὑπομεῖναι; τίνος δὲ ἕνεκεν καὶ ποτήριον καλεῖ τὸν σαυρὸν, εἴγε μὴ ἐβȣ́λετο σαυρωθῆναι; τȣ̃το γὰρ ἐνδεικνυμένȣ ἐστὶ τὴν ἐπιθυμίαν, ἣν ἔχει περὶ τὸ πρᾶγμα. ὥσπερ γὰρ τοῖς διψῶσι τὸ ποτήριον ἡδὺ, ȣ̓̃τως καὶ αὐτῷ τὸ σαυρωθῆ-
ναι· διὸ καὶ ἔλεγεν· ἐπιθυμίᾳ ἐπεθύμησα τὸ πά- Λȣκ. 22.
σχα τȣ̃το φαγεῖν μεθ' ὑμῶν, οὐχ ἁπλῶς εἰπὼν τȣ̃το, ἀλλὰ διὰ τὴν αἰτίαν ταύτην, ἐπειδὴ μετὰ τὴν ἑσπέραν ὁ σαυρὸς αὐτὸν διεδέχετο. τοίνυν καὶ δόξαν τὸ πρᾶγμα καλῶν, καὶ τῷ μαθητῇ ἐπιτιμῶν, ὅτι διεκώλυεν αὐτὸν, καὶ τὸν καλὸν ποιμένα * ἐνταῦθα δεικνὺς ἀπὸ τȣ̃ σφάττεσθαι ὑπὲρ τῶν προβάτων, καὶ ἐπιθυμίᾳ ἐπιθυμεῖν λέγων τὸ πρᾶγμα, καὶ ἑκὼν ἐπὶ τοῦτο ἐρχόμενος, πῶς παρακαλεῖ μὴ γενέσθαι τοῦτο; εἰ δὲ μὴ ἐβȣ́λετο, τί δύσκολον ἣν διακωλύσαι τȣ̀ς ἐρχομένȣς ἐπὶ τοῦτο; νῦν δὲ καὶ ὁρᾷς αὐτὸν ἐπιτρέχοντα τῷ πράγματι. ὅτε γȣ̃ν ἐπῆλθον αὐτῷ, λέγει. τίνα ζητεῖτε; οἱ δὲ λέγȣσιν. Ιησȣ̃ν τὸν Ναζωραῖον· λέγει· ἰδȣ̀ ἐγὼ εἰμί. καὶ Ἰωάν. 18.
ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί· ὁ οὖν ȣ̓̃τω πηρώσας αὐτοὺς πρότερον, καὶ δείξας, ὅτι ἠδύνατο διαφυγεῖν, τότε ἑαυτὸν ἐξέδωκεν, ἵνα μάθης, ὅτι οὐκ ἀνάγκῃ, οὐ βίᾳ, ȣ̓̃τε τυραννίδι τῶν ἐπελθόντων, ἄκων τοῦτο ὑπέμεινεν, ἀλλ' ἑκὼν καὶ βȣλόμενος καὶ προαιρού-

μενος, καὶ ἐκ πολλοῦ ταῦτα οἰκονομῶν. διὰ τοῦτο καὶ προφῆται προεπέμποντο, καὶ πατριάρχαι προέλεγον· καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων ὁ σταυρὸς προετυποῦτο. καὶ γὰρ τοῦ Ἰσαὰκ ἡ σφαγὴ τὸν σταυρὸν ἡμῖν ἐδήλου· διὸ καὶ ἔλε-
Γενέσ. 22. γεν. Αβραὰμ, ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο,
Ἰωάν. 8. ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶδε, καὶ ἐχάρη· εἶτα ὁ μὲν πατριάρχης ἐχάρη βλέπων τὴν εἰκόνα τοῦ σταυροῦ, αὐτὸς δὲ παρῃτεῖτο τὸ
Ἐξοδ. 17. πρᾶγμα; καὶ Μωσῆς δὲ οὕτω τοῦ Αμαλὴκ περιεγένετο, ἐπειδὴ τὸν τύπον ἐπεδείκνυτο τοῦ σταυροῦ, καὶ μυρία ἂν ἴδοι τις ἐν τῇ παλαιᾷ γενόμενα, ἃ τὸν σταυρὸν προδιαγράφει. τίνος οὖν ἕνεκεν οὕτως ἐγίνετο. εἴγε ὁ σταυροῦσθαι μέλλων οὐκ ἐβούλετο τοῦτο γενέσθαι; καὶ τὸ μετὰ τοῦτο δὲ
Ματθ. 26. ἔτι ἀπορώτερον· εἰπὼν γάρ· παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἐπήγαγε· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ἐντεῦθεν γὰρ ὅσον κατὰ τὴν ῥῆσιν δύο θελήματα ἐναντία ἀλλήλοις δείκνυται· εἴγε ὁ μὲν πατὴρ βούλεται αὐτὸν σταυρωθῆναι, αὐτὸς δὲ οὐ βούλεται. καίτοιγε πανταχοῦ ὁρῶμεν αὐτὸν τὰ αὐτὰ τῷ πατρὶ βουλόμενον, τὰ αὐτὰ προαιρούμενον. καὶ γὰρ ὅταν λέ-
Ἰωάν. 17. γῃ· δὸς αὐτοῖς, καθὼς ἐγὼ καὶ σὺ ἓν ἐσμεν, ἵνα καὶ αὐτοὶ, ἐν ἡμῖν ἓν ὦσιν· οὐδὲν ἄλλο λέγει, εἰ μὴ τὸ μίαν εἶναι γνώμην πατρὸς καὶ
Ἰωάν. 14. υἱοῦ. καὶ ὅταν λέγῃ· τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, οὐ λαλῶ ἐγώ· ὁ δὲ πατὴρ ἐν ἐμοὶ μένων ποιεῖ τὰ ἔργα· ταυτὸ τοῦτο δείκνυται. καὶ ὅταν λέγῃ·
Ἰωάν. 6 Ἰωάν. 8. ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, καὶ οὐ δύναμαι ἀπ' ἐμαυτοῦ ποιεῖν οὐδέν· οὐ τοῦτο δηλῶν λέγει, ὅτι ἐξουσίας ἀπεστέρηται ἢ τοῦ λαλεῖν, ἢ τοῦ ποιεῖν, ἄπαγε, ἀλλὰ μετ' ἀκριβείας δεῖξαι βουλόμενος σύμφωνον αὐτοῦ τὴν γνώμην καὶ τὴν ἐν ῥήμασι, καὶ τὴν ἐν πράγμασι, καὶ τὴν ἐν πάσαις οἰκονομίαις πρὸς τὸν πατέρα, καὶ μίαν καὶ τὴν * αὐτὴν οὐσίαν, κα-
Ἰωάν. 14. θὼς καὶ ἤδη πολλάκις ἀπεδείξαμεν. τὸ γάρ· ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, οὐκ ἐξουσίας ἀναίρεσις, ἀλλὰ συμφωνίας ἀπόδειξις.

Εἰσὶ δὲ καὶ τὰ ἑπόμενα τοῦ αὐτοῦ λόγου τὰ καὶ ἀποκοπέντα ἐκ τῆς παρούσης χρήσεως παρὰ τῶν αὐτῶν Μακαρίου τε καὶ Στεφάνου οὕτως· πῶς οὖν ἐνταῦθα φησί· πλὴν οὐχ ὡς ἐγὼ
Ματθ. 26. θέλω, ἀλλ' ὡς σύ; τάχα εἰς πολὺν ὑμᾶς ἀγῶνα ἐνεβάλομεν, ἀλλὰ διανάστητε· εἰ γὰρ καὶ πολλὰ τὰ εἰρημένα, ἀλλ' οὐ οἶδα, ὅτι νεάζει ὑμῶν ἡ προθυμία· πρὸς γὰρ αὐτὴν λοιπὸν τὴν λύσιν ὁ λόγος ἐπείγεται· τίνος οὖν ἕνεκεν οὕτως εἴρηται, πρόσεχε μετὰ ἀκριβείας. πολὺ δυσπαράδεκτος ἦν ὁ τῆς σαρκώσεως λόγος· ἡ γὰρ ὑπερβολὴ τῆς φιλανθρωπίας αὐτοῦ, καὶ τὸ μέγεθος τῆς συγκαταβάσεως τοῦτο φρίκης ἔγεμε, καὶ πολλῆς ἐδέετο κατασκευῆς ὥστε παραδεχθῆναι. ἐννόησον γὰρ, ἡλίκον ἦν ἀκοῦσαι καὶ μαθεῖν, ὅτι ὁ Θεὸς ὁ ἄῤῥητος, ὁ ἄφραστος, ὁ ἀπερινόητος, ὁ ἀόρατος, ὁ ἀκατάληπτος, οὗ ἐν τῇ χειρὶ τὰ
Ψαλ. 94. Ψαλ. 103. πέρατα τῆς γῆς, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. οὗ τὴν ῥοπὴν τῆς συγκαταβάσεως οὐδὲ τὰ χερουβὶμ ἐνεγκεῖν ἠδυνήθη, ἀλλὰ τὰς ὄψεις ἀπέκρυπτον τῇ προβολῇ τῶν πτερύγων· οὗτος ὁ πάντα νοῦν ὑπερβαίνων, καὶ πάντα λογισμὸν * κινῶν, παραδραμὼν ἀγγέλους, ἀρχαγγέλους, καὶ πάσας τὰς ἄνω δυνάμεις τὰς νοερὰς, κατεδέξατο γενέσθαι ἄνθρωπος, καὶ σάρκα τὴν ἀπὸ γῆς καὶ πηλοῦ πλασθεῖσαν ἀναλαβεῖν, καὶ εἰς μήτραν ἐλθεῖν παρθενικὴν, καὶ ἐννεαμηνιαῖον κυοφορηθῆναι χρόνον, καὶ γαλακτοτροφηθῆναι, καὶ τὰ ἀνθρώπινα πάντα παθεῖν, ἐπεὶ οὖν οὕτω παράδοξον ἦν τὸ μέλλον ἔσεσθαι, ὡς καὶ γενόμενον παρὰ πολλοῖς ἀπιστεῖσθαι, πρῶτον μὲν προφήτας προπέμπει τοῦτο αὐτὸ ἀπαγγέλλοντας· καὶ ὁ μὲν πατριάρ- Γενεσ. 49.
χης αὐτὸ προανεφώνει λέγων. ἀνέβης ἐκ βλαστοῦ υἱέ μου· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων. ὁ δὲ Ησαΐας λέγων· ἰδοὺ ἡ παρθένος ἐν γα- Ἡσαΐ. 7.
στρὶ ἕξει, καὶ τέξεται υἱόν. καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουήλ. καὶ ἑτέρωθεν πάλιν· εἴδομεν αὐτὸν ὡς παιδίον, ὡς ῥίζαν ἐν γῇ δι- Ἡσαΐ. 53.
ψώσῃ. γῆν διψώσαν τὴν μήτραν λέγων τὴν παρθενικὴν, διὰ τὸ μὴ δέξασθαι σπέρμα ἀνθρώπου, μὴ δὲ συνουσίας ἀπολαῦσαι, ἀλλὰ χωρὶς γάμων αὐτὸν τεκεῖν· καὶ πάλιν. παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. καὶ ἐξελεύσεται ῥάβ- Ἡσαΐ. 9.
δος ἐκ τῆς ῥίζης Ιεσσαὶ, καὶ ἄνθος ἐκ τῆς Ἡσαΐ. 11.
ῥίζης ἀναβήσεται. καὶ ὁ Ιερεμίας· οὗτος ὁ Θεὸς Βαρούκ 3. ἤτοι Ἱερεμ.
ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, ἔδωκεν αὐτὴν Ιακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ισραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ ὁ Δαβὶδ τὴν Ψαλ. 73.
παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον δηλῶν ἔλεγε· καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν· ὅτι ἀψοφητὶ καὶ ἀταράχως εἰς τὴν μήτραν ἦλθε τὴν παρθενικήν. ἀλλ' οὐκ ἤρκεσε ταῦτα μόνον· ἀλλὰ καὶ παραγενόμενος. ἵνα μὴ νομισθῇ φαντασία τὸ γινόμενον, οὐ τῇ ὄψει μόνον πιστοῦται τὸ πρᾶγμα, ἀλλὰ καὶ χρόνῳ πολλῷ, καὶ τῷ διὰ πάντων ἐλθεῖν τῶν ἀνθρωπίνων. οὐδὲ γὰρ ἁπλῶς εἰς ἄνθρωπον ἔρχεται ἀπηρτισμένον καὶ πεπληρωμένον, ἀλλ' εἰς μήτραν παρθενικὴν, ὥστε κυοφορήσεως καὶ τόκου ἀνασχέσθαι, καὶ γαλακτοτροφίας καὶ αὐξήσεως, καὶ τῷ μήκει τοῦ χρόνου, καὶ τῇ διαφορᾷ τῶν ἡλικιῶν πασῶν πιστώσασθαι τὸ γινόμενον. καὶ οὐδὲ ἐνταῦθα ἵσταται τῆς ἀποδείξεως μόνον, ἀλλὰ καὶ περιφέρων τὴν σάρκα, ἀφίησιν αὐτὴν τὰ τῆς φύσεως ἐλαττώματα ὑπομεῖναι, καὶ πεινῆσαι, καὶ διψῆσαι, καὶ καθευδῆσαι, καὶ κοπιάσαι· τέλος καὶ ἐπὶ τὸν σταυρὸν ἐρχόμενος ἀφίησιν αὐτὴν τὰ τῆς σαρκὸς παθεῖν. διὰ τοῦτο καὶ κρουνοὶ ἱδρώτων κατεφέροντο ἐξ αὐτῆς, καὶ ἄγγελος ἠυρίσκετο αὐτὴν διακρατῶν, καὶ λυπεῖται, καὶ ἀδημονεῖ. καὶ γὰρ πρινὴ ταῦτα εἰπεῖν, φησίν· ἡ ψυχή μου τετάρακται. καί· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανά- Λουκ. 22.
του. εἰ γὰρ καὶ τούτων ἁπάντων γενομένων, τὸ πονηρὸν Ἰωάν. 12.
τοῦ διαβόλου στόμα διὰ Μαρκίωνος τοῦ Ποντικοῦ,

καὶ

καὶ Οὐαλεντίνε, καὶ Μανιχαίε τῦ Πέρσε, καὶ ἑτέρων πλειόνων αἱρεσιαρχῶν ἐπεχείρησεν ὅσον τὸ ἐπ' αὐτοῖς, ἀναξέψαι τὸν τῆς οἰκονομίας λόγον, καὶ ἤχησε σατανικώτατα ἠχὼ λέγον. ὅτι οὐδὲ ἐσαρκώθη, οὐδὲ σάρκα περιεβάλετο, ἀλλὰ δόκησις τοῦτο ἦν, καὶ φαντασία, καὶ σκηνὴ, καὶ ὑπόκρισις, καί τοι τῶν παθῶν βοώντων, τὸ θανάτου, τὸ τάφε, τῆς πείνης, εἰ μηδὲν τούτων ἐγεγόνει, πῶς οὐ πολλῷ μᾶλλον ὁ διάβολος τὰ πονηρὰ ταῦτα ἂν ἔσπειρε δόγματα τῆς ἀσεβείας; διά τοι τοῦτο ὥσπερ ἐπείνησεν, ὥσπερ ἐκοπίασεν, ὥσπερ ἐκαθέδησεν, ὥσπερ ἔφαγε, ὥσπερ ἔπιεν, οὕτω καὶ θάνατον παραιτεῖται τὸ ἀνθρώπινον ἐνδεικνύμενος, καὶ τὴν ἀληθείαν τῆς φύσεως τὴν ἐκ ἀνεχομένην ἀπαθῶς ἀπορραγῆναι τῆς παρούσης ζωῆς. εἰ γὰρ μηδὲν τούτων εἰρήκει, εἶχον εἰπεῖν ὅτι εἰ ἄνθρωπος ἦν, ἔδει αὐτὸν παθεῖν τὰ τῦ ἀνθρώπου· τίνα δέ ἐστι ταῦτα; μέλλοντα σαρουῦσθαι καὶ δειλίαν, καὶ ἀγωνίαν, καὶ μὴ ἀπαθῶς ἀπορήγνυσθαι τῆς παρούσης ζωῆς. τῇ φύσει γὰρ ἔγκειται τὸ φίλτρον τὸ περὶ τὰ παρόντα. διά τοι τοῦτο δεῖξαι βουλόμενος ἀληθῆ τῆς σαρκὸς τὴν περιβολὴν, καὶ τὴν οἰκονομίαν πιστώσασθαι μετὰ πολλῆς τῆς ἀποδείξεως, τὰ πάθη γυμνὰ προτίθησιν.

Κωνσταντῖνος ὁ θεοσεβέστατος βασιλεὺς εἶπεν· ἀρκούντως ἔχει καὶ τὰ κατὰ τὴν σήμερον ἡμέραν πραχθέντα. τὰ δὲ ὑπόλοιπα τῦ παρόντος καὶ ἀναγινωσκομένε κωδικὶς καθ' ἑτέραν ἀναγινωσκέσθω.

Ματθ. 26. Μαρκ. 14.

ΠΡΑΞΙΣ Θ'.

ΕΝ ὀνόματι τῦ κυρίε καὶ δεσπότε Ἰησῦ Χριστῦ τῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοσέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνε μὲν τῦ θεοσεβεστάτε καὶ θεοψηφίστε μεγάλου βασιλέως αἰωνίου Αὐγύστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοῦ ἑβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτῦ θεοσόφε πραότητος ἔτους τεσσαρεσκαιδεκάτε. Ἡρακλείε δὲ, καὶ Τιβερίε τῶν θεοφυλάκτων αὐτῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρε, τῇ ὀγδόῃ τῦ Μαρτίε μηνός, ἰνδικτιῶνος ἑνάτης.

Προκαθεζομένε τῦ αὐτῦ θεοσεβεστάτε, καὶ φιλοχείστε μεγάλε βασιλέως Κωνσταντίνε ἐν τῷ σεκρέτῳ τῦ θείε παλατίε τῷ ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτῦ θεοσόφε γαληνότητος, παρόντων καὶ ἀκροωμένων Νικήτα τῦ ἐνδοξοτάτε ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῶν βασιλικῶν ὀφφικίων· Θεοδώρε τῦ ἐνδοξοτάτε ἀπὸ ὑπάτων πατρικίε, καὶ κόμητος τῦ βασιλικῦ ὀψικίου, καὶ στρατηγε Θράκης. Σεργίε τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου. Παύλε τῦ ἐνδοξοτάτε ἀπὸ ὑπάτων πατρικίε. Ἰουλιανοῦ τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίε, καὶ στρατιωτικῦ λογοθέτε. Κωνσταντίνου τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ χουράτωρος τῦ βασιλικοῦ τῶν Ὀρμίσδου οἴκου· Ἀναστασίε τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητῦ τῦ κόμητος τῦ βασιλικῦ ἐξκουβίτου· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστωρος· Πολιδύκτου τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Θωμᾶ τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Παύλου τῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητῦ τῶν ἀνατολικῶν ἐπαρχιῶν. Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεστίκε τῆς βασιλικῆς τραπέζης.

Σωσηθέσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδε τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει. τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν ἁλιαβεσάτων πρεσβυτέρων, καὶ Ἰωάννου τῦ ἁλιαβεσάτου διακόνου, ἐπεχόντων τὸν τόπον τῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης, Ἀγάθωνος, καὶ Γεωργίου τῦ ὁσιωτάτε καὶ ἁγιωτάτε ἀρχιεπισκόπου τῆς μεγαλωνύμε Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Πέτρου τοῦ θεοφιλεσάτου πρεσβυτέρου μοναχῦ, καὶ τοποτηρητῦ τῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Γεωργίου τῦ ἁλαβεσάτου πρεσβυτέρου μοναχῦ καὶ ἀποκρισιαρίου. Θεοδώρου τῦ ὁσιωτάτου τοποτηρητῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκ. πόλεως Πόρτου· Ἀδουνδαντίου ἐπίσκ. πόλεως Πατέργου· Ἰωάννου ἐπισκ. πόλεως Ῥηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πατέρων θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλωμένων ἐν τῇ γνωμένῃ πρὸς τὸν ἀσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ, καὶ Θεοδώρου τῦ ἁλαβεσάτου πρεσβυτέρου, καὶ τοποτηρητῦ τῦ θεοφιλεσάτου ἀρχιεπισκόπου Ραβέννης Θεοδώρου. Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρήτης νήσου. Θεοδώρου ἐπισκόπου Ἐφέσου. Σισιννίου ἐπισκ. Ἡρακλείας Θράκης. Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων· Φωτίου ἐπισκόπου Νικαίας· Ἰωάννου ἐπισκόπου Χαλκηδόνος· Ἰωάννου ἐπισκόπου Σίδης. Σισιννίου ἐπισκόπου Ἱεραπόλεως Φρυγίας· Μακροβίου ἐπισκόπου Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκόπου Βυζίης Θράκης· Γρηγορίου ἐπισκόπου Μιτυλήνης· Σεργίου ἐπισκ. Σηλυβρίας· Ἀνδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Γεωργίου ἐπισκόπου Καμουλιανῶν· Γεννεσίου ἐπισκόπου Ἀναστασιουπόλεως. Πλάτωνος ἐπισκόπου Κίννης· Ἰωάννου ἐπισκόπου τῆς Δασκυλίου· Θεοδώρου ἐπισκόπου Ἰουστινιανουπόλεως Γόρδου. Θεοδώρου ἐπισκόπου Βερίσης. Στεφάνου ἐπισκόπου Ἡρακλείας Πόντου. Λογγίνου ἐπισκ. Τίου· Δομετίου ἐπισκ. Προυσιάδος· Γεωργίου ἐπισκ. Κώου· Ἰωάννου ἐπισκ. Μιλήτου. Ἰωάννου ἐπισκόπου Ἐφέσου. Γρηγορίου ἐπισκ. Καντάνου. Ἰωάννου ἐπισκ. Λάμπης. Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκόπου. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ὀλβης. Θεοφα-

φάνους τοῦ εὐλαβεστάτου πρεσβ. καὶ ἡγουμένου τοῦ ἐν Σικελίᾳ εὐαγοῦς μοναστηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῶν Ρενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ρώμῃ· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην . . . . . .

Καὶ καθεσθέντων τῶν ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ θεοῦ ἡμῶν εὐαγγελίων.

Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῶν θεοσεβεστάτων νοταρίων Γεωργίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως εἶπε. μέμνηται ἡ θεόσοφος ὑμῶν βασιλεία, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ὡς κατὰ τὴν χθὲς ἡμέραν ἀντεβλήθησαν πρὸς τὰ βιβλία τοῦ εὐαγοῦς πατριαρχείου διάφοροι χρήσεις ἐκ τοῦ ἐπιδοθέντος κωδικίου παρὰ Μακαρίου καὶ Στεφάνου· καὶ διελαλήθη εἰς ἑτέραν τὰ ὑπόλοιπα τοῦ αὐτοῦ κωδικίου ἀναγνωσθῆναι.

* Εἱστήκεισαν δὲ πρὸ βήλου Πέτρος ἐπίσκοπος Νικομηδείας· Σολομὼν ἐπίσκοπος Κλανέου· Αντώνιος ἐπίσκοπος Υπαίπων. Θεόδωρος ἐπίσκοπος Μελιτηνῆς· Γεώργιος διάκονος καὶ χαρτοφύλαξ· Αναστάσιος διάκονος καὶ νοτάριος ὁ πλοιέκδικος· Στέφανος διάκονος καὶ καγκελλάριος. Διονύσιος διάκονος καὶ καγκελλάριος· Γεώργιος μοναχὸς ὁ κατὰ Μάκρην. Αναστάσιος πρεσβύτερος καὶ μοναχὸς, καὶ Στέφανος ὁ μοναχὸς μαθητὴς Μακαρίου. καὶ εἰ παρίσταται τῷ θεοσόφῳ ὑμῶν κράτει καὶ τῇ ἁγίᾳ συνόδῳ τούτους εἰσελθεῖν, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· οἱ μνημονευθέντες ἄνδρες εἰσίτωσαν. καὶ εἰσῆλθον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἀναγινωσκέσθω τὰ ἤδη πραχθέντα. καὶ ἀνεγνώσθησαν.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· προκομιζέσθω τὸ ἐπιδοθὲν κωδίκιον τῶν χρήσεων παρὰ Μακαρίου καὶ Στεφάνου πρὸς τὸ τὰ ἐπίλοιπα ἀναγνωσθῆναι, καὶ ἀντιβληθῆναι πρὸς τὰ βιβλία τοῦ εὐαγοῦς πατριαρχείου.

Καὶ προεκομίσθη. ὅπερ λαβὼν Διογένης ὁ μεγαλοπρεπέστατος ἀσεκρέτις καὶ βασιλικὸς σεκρετάριος ἀνέγνω ἔχον οὕτως· τοῦ ἁγίου Αθανασίου ἐκ τοῦ περὶ τριάδος καὶ σαρκώσεως λόγου· καὶ ὅταν λέγῃ· θεέ μου, θεέ μου ἵνα τί με ἐγκατέλιπες; ἐκ προσώπου ἡμετέρου λέγει. καὶ μετ' ὀλίγα. καὶ ὅταν λέγῃ· πάτερ εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. πλὴν μὴ τὸ ἐμὸν θέλημα γένηται, ἀλλὰ τὸ σόν. τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· δύο θελήματα ἐνταῦθα δείκνυσι, τὸ μὲν ἀνθρώπινον, ὅπερ ἐστὶ τῆς σαρκὸς, τὸ δὲ θεϊκόν. τὸ γὰρ ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς παραιτεῖται τὸ πάθος, τὸ δὲ θεϊκὸν αὐτοῦ πρόθυμον. ὥσπερ καὶ ὁ Πέτρος ἀκούσας περὶ τοῦ πάθους ἐδειλίασε, καὶ εἶπεν. ἵλεώς σοι κύριε. ἐπιτιμῶν δὲ αὐτῷ ὁ κύριος λέγει. ἄπελθε ὀπίσω μου σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων· οὕτως καὶ ἐνταῦθα νοεῖται. εἰσὶ δὲ καὶ τὰ ἀποκοπέντα ἐκ τῆς αὐτῆς χρήσεως παρὰ τῶν αὐτῶν Μακαρίου καὶ Στεφάνου οὕτως. γενόμενος γὰρ ἐν ὁμοιώματι ἀνθρώπων παραιτεῖται τὸ πάθος ὡς ἄνθρωπος. Θεὸς δὲ ὢν κατὰ τὴν οὐσίαν τὴν θεϊκὴν ἀπαθὴς ὑπάρχων, προθύμως ἀνεδέξατο τὸ πάθος καὶ τὸν θάνατον.

Ματθ. 16.

Βασίλειος ὁ θεοφιλὴς ἐπίσκοπος Γορτύνης εἶπεν· ἰδοὺ εὐσεβέστατε δέσποτα, πρὸς οἷς τὸ ἐν θέλημα τὸ ὑποσχεθὲν παρ' αὐτῶν οὐκ ἀπέδειξαν, ἀλλὰ καὶ δύο θελήματα ἐκ τῆς παρούσης καὶ ἀναγνωσθείσης τοῦ ἁγίου Αθανασίου χρήσεως τηλαυγῶς παρέστησαν.

Στέφανος μοναχὸς ὁ μαθητὴς Μακαρίου εἶπεν· ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ φανερῶς παριστᾷ ἐν θέλημα ἐπὶ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, φάσκων. τὸ γὰρ ἐκείνου θέλειν οὐδὲ ὑπεναντίον Θεῷ θεωθὲν ὅλον.

Βασίλειος ἐπίσκοπος Γορτύνης εἶπε· ποῖον θέλημα λέγεις τὸ θεωθὲν, θεῖον, ἢ ἀνθρώπινον; εἰ γὰρ τὸ θεῖον εἴπῃς, τὸ θεῖον θεώσεως οὐ δεῖται· εἰ δὲ τὸ ἀνθρώπινον, δῆλον ὅτι δύο θελήματα καὶ διὰ τῆς παρούσης ἄκων· σημαίνεις χρήσεως.

Δομέτιος ὁ θεοφιλέστατος ἐπίσκοπος Προυσιάδος εἶπεν· αἰτῷ τὸ θεόστεπτον τοῦ δεσπότου κράτος, καὶ τὴν ἁγίαν σύνοδον, ἐλθεῖν εἰς μέσον Γεώργιον τὸν εὐλαβέστατον μοναχὸν τὸν συμμαθητὴν Στεφάνου, καὶ ἐρωτηθῆναι, εἰ καλῶς δογματίζει Στέφανος.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· λεγέτω Γεώργιος ὁ εὐλαβέστατος εἰ ὀρθῶς δογματίζει Στέφανος ὁ μοναχὸς ὁ συμμαθητὴς αὐτοῦ.

Γεώργιος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· πάντῃ δέσποτα παρὰ τὸν σκοπὸν τῶν ἁγίων πατέρων διαλέγεται. πατρομάχος ἐστίν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις ἑτέρα τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγελίου, λόγου δωδεκάτου. καὶ ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου τὸ κείμενον τῆς χρήσεως ἔχον οὕτως. οὐκοῦν τό. οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. μεταμόρφωσιν, καὶ μεταπλασμὸν τῆς ἀνθρώπου φύσεως ἐκ τῆς ἀνάνδρου δειλίας εἰς εὐτολμίαν πνευματικὴν εὖ μάλα παραδηλοῖ.

Ματθ. 27.

Ματθ. 26.

Εἰσὶ δὲ καὶ τὰ πρὸ τῆς χρήσεως, ἅτινα κακούργως οἱ αὐτοὶ Μακάριός τε καὶ Στέφανος οὐ πα-

παρεξέκαλον, ὅπως· παραιτεῖται τοιγαροῦν τὸ ποτήριον, τῆς τῆ σωρωσάντων αὐτὸν ἀφιλοθεΐας οἰονεί τινος ἤδη δι' αὐτὰ κατηγορῶν· καὶ ὑποκειται μὲν τὸ δεῖμα τοῦ παθεῖν ἐν αὐτῷ δι' τὸ ἀνθρώπινον, κατεπωάζεται δὲ παραχρῆμα τῇ τοῦ ἐνοικοῦντος λόγω ῥώμη τε καὶ θεότητι· θέα γάρ, ὅπως παραδεικνύει μὲν ἐν αὐτῷ τὸ ἀνθρώπινον ἡ παραίτησις. τὸ δὲ τῆς θεότητος ἀκαμπὲς ἐξέλαμψεν δι' ὑός. ἔφη γὰρ πρὸς τὸν ἐν οὐρανοῖς πατέρα. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ἀνθρωποπρεπῶς δὲ καὶ τοῦτο φησίν. ἐπεὶ κατάγε τὸ εἶναι Θεὸς οὐκ ἔξω τῶν τοῦ παρὸς θελημάτων ἐστὶ, μᾶλλον δὲ αὐτός ἐστιν ἡ βούλησις τοῦ Θεοῦ καὶ παρός, εἴπερ ἐν σοφίᾳ καὶ τὸ θέλειν ἐστὶ τοῦ παρός, σοφία δὲ ὁ υἱός. ὅτι δὲ καὶ θέλησις ὀνομάζεται τοῦ παρὸς ὁ μονογενὴς, σαφηνεῖ λέγων ὁ θεσπέσιος μελῳδός· κύριε ἐν τῷ θελήματί σου παρέσχες τῷ κάλλει μου δύναμιν· ἐν Χριστῷ γὰρ ἡ πᾶσα δόσις τῆς οὐρανίων ἀγαθῶν πατρὸς τοῦ Θεοῦ καὶ παρός. ἄλλως τε μιᾶς τε καὶ ὁμοουσίου τῆς ἁγίας οὔσης Τριάδος, καὶ μιᾶς θεότητος ἐν αὐτῇ νοουμένης, πῶς οὐκ ἂν εἴη θέλημα ταυτὸν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος; πρεπωδέστατα τοίνυν τῷ τῆς ταπεινώσεως σχήματι, καὶ ὡς ἄνθρωπος ὑποδειλιῶν ῥῆμα τὸν παρὰ φύσιν τε καὶ ἐξ ἀρᾶς εἰσβεβηκότα θάνατον, διαπτύων δὲ πάλιν ὡς Θεὸς τὸ. οὐχ ὡς ἐγὼ θέλω, φησὶν, ἀλλ' ὡς σύ. θέα δὲ ὅπως ἐν Χριστῷ πρὸς τὸν ἀνωτάτω λοιπὸν δι' ὁλομίαν ἡ τοῦ ἀνθρώπου μετεπλάττετο φύσις. ἐδιδάσκετο γὰρ ἤδη πως μηδὲ αὐτὸν τὸν ἀμελῆ καταπτοεῖσθαι θάνατον. εἰ πρόσοιο μάλιστα χρησίμως διὰ Θεάν. ἐν γὰρ δήτοι τούτῳ πολὺς ὁ μισθός, ὅτι τὸ ὅπως ἀπηχθημένον καὶ τῇ φύσει πολεμιώτατον προσιέμεθα διὰ Θεὸν, μανθανούσης τῆς ἡμετέρας φύσεως ἐν πρώτῳ Χριστῷ καταδείζεσθαι, καὶ κρατεῖν κατὰ τοῦ ὅτω δεινῶν καὶ δυσαντήτων εἰς ἔφοδον. Ἡ ἁγία συνόδῳ εἶπε. πρὸς οἷς τὸ σὸν θέλημα, ὅπερ διεβεβαιοῦσθε σύτε Στέφανος καὶ ὁ σὸς διδάσκαλος Μακάριος, ὑ παρεσήσατε ἐπὶ τῆς σαρκὸς οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν διὰ τοῦ παρ' ὑμῶν ἐπιδοθέντος κωδικίου, ἀλλὰ καὶ δύο θελήματα ἐν ταῖς ἐγκειμέναις ἐν τῷ αὐτῷ κωδικίῳ χρήσεσιν ἐρρωμένως ξανῶς βοῶντα Ἀθανάσιον τὸν ἀοίδιμον· εἰ καὶ τὰ μάλιστα κατὰ ἀποκοπὴν, καὶ συσκιασμὸν τὸν ἐνθισμένον ὑμῖν τὰς τοιαύτας χρήσεις παρερμηνεύσαντες προηγάγετε. ὀείζομεν τοίνυν, ἵνα καὶ σαφῶς ἀπεδείχθητε ἐπ' ἀναξοπῆ τῆς θείων διδαγμάτων σπουδάσαντες, καὶ τὰς τῆς ἁγίων καὶ ἐκκρίτων πατέρων διδασκαλίας παραφθείραντες, τῆς αἱρετικῶν δὲ μᾶλλον τῇ γνώμῃ ἀναδεξάμενοι, καὶ τοῖς παρ' αὐτῆς δογματισθεῖσι κατακολουθήσαντες ἐπὶ λύμῃ τοῦ ὀρθοδόξου λαοῦ, πάσης ἡμᾶς ἱερατικῆς ἀξίας καὶ λειτουργίας ἀλλοξίους ὑπάρχειν. τοὺς δὲ ἤδη μεταμεληθέντας καὶ προανιυεγμένους ἐπισκόπους τε καὶ κληρικοὺς, τοὺς καὶ ἐπὶ τοῦ παρόντος ἑσῶτας ἐν μέσῳ, καὶ ὀρθοδόξως σῳὰ ἡμῖν ὁμολογοῦντας, σωρορῶμεν εἰς τοὺς ἰδίους μὲν καθεδρῶναι τόπους· τοὺς δὲ παρ' αὐτῶν ὑποχεθέντας τῆς οἰκείας αὐτῆς πίστεως ἐνωμότους λιβέλλους καθ' ἑτέραν ἡμῖν παραχέσθαι.

Ἡ ἁγία συνοδος εἶπεν· τὸ παρ' αὐτῆς αἰτηθὲν γινέσθω. καὶ ἐπεὶ ἱκανῶς ἔχει τὰ κατὰ τὸν σήμερον ἡμέραν κεκινημένα, καθ' ἑτέραν τὸ ἤδη ἐπιδοθὲν κωδίκιον ἐκ τῆς τοῦ μέρους τοῦ ἀποσολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης εἰς ἀνάγνωσιν καὶ ἀντιβολὴν ἐλθεῖν οὐ βουλόμεθα, διὰ τὸ τὰς ἐν αὐτοῖς ἐμφερομένας χρήσεις μηδαμῶς εἰς τὸν παροῦσαν δογματικὸν συντείνειν ὑπόθεσιν.

ΠΡΑΞΙΣ Γ.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῆς θεοσέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ δυσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως, αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοεβδόμου, καὶ μετ' ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους ξεσκαιδεκάτου· Ἡρακλείου δὲ, καὶ Τιβερίου τῆς θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, ὀκτὼ καὶ δεκάτῃ τῇ ἑβδόμῃ τοῦ Μαρτίου μηνὸς, ἰνδικτιῶνος ἑνάτης.

Προκαθεζομένου τοῦ αὐτοῦ δυσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ ὅτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνότητος, παόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῆς βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ βασιλικοῦ ὀφικίου, καὶ ὑποστρατήγου

Μαρκ. 26.

Ψαλμ. 29.

γου Θράκης· Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Παύλου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ἰουλιανῆ τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Κωνσαντίνου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τῆ βασιλικῆ τῆς Ὀρμίσδου οἴκου· Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητῆ τῆ κόμητος τῆ βασιλικῆ ἐξκουβίτου· Ἰωάννου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστωρος. Πολυδίκτου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Θωμᾶ τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Παύλου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητῆ τῆς ἀνατολικῶν ἐπαρχιῶν· Πέτρου τῆ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ δομεστίκου τῆς βασιλικῆς ταπέζης.

Συνελθόντες δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τυτέστι Θεοδώρου καὶ Γεωργίου τῆς Ἀλαβεσάτων πρεσβυτέρων, καὶ Ἰωάννου τῆ Ἀλαβεστίπου δρυκόνος, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Ἀγάθωνος, καὶ Γεωργίου τῆ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Πέτρου τῆ θεοφιλεσάτου πρεσβυτέρου μοναχῆ, καὶ τοποτηρητῆ τῆ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Γεωργίου τῆ Ἀλαβεσάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου· Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκόπου πόλεως Πόρτου. Βονιφατίου ἐπισκόπου πόλεως Πατέρνου· Ἰωάννου ἐπισκ. πόλεως Ῥηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τιμὴ πρεσβυτέραν Ρώμης ὁσίας τῆς ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῆς καὶ δι' οἰκείων ὑπογραφῶν δηλωμένων ἐν τῇ γνωμῇ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσαντῖνον παρ' αὐτῆς ἀναφορᾶ. καὶ Θεοδώρου τῆ Ἀλαβεσάτου πρεσβυτέρου, καὶ τοποτηρητῆ τῆ θεοφιλεστάτου ἀρχιεπισκόπου Ῥαβέννης Θεοδώρου· Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης· Βασιλείου ἐπισκόπου πόλεως Γορτυνίας τῆς Κρητῆς νήσου. Θεοδώρου ἐπισκόπου Καισαρείας Καππαδοκίας. Φιλαλήθους ἐπισκόπου Ἐφέσου· Σισιννίου ἐπισκ. Ἡρακλείας Θράκης· Πλάτωνος ἐπισκόπου Ἀγκύρας Γαλατίας· Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων. Πέτρου ἐπισκ. Νικομηδείας. Φωτίου ἐπισκόπου Νικαίας· Ἰωάννου ἐπισκόπου Χαλκηδόνος· Ἰωάννου ἐπισκόπου Σίδης· Θεοδώρου ἐπισκ. Μελιτινῆς. Ἰουστίνου ἐπισκόπου Τυάνων. Ἀλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανῆ ἐπισκόπου Κλαυδιουπόλεως· Πολυδίκτου ἐπισκ. Μύρων τῆς Λυκίας. Θεοδώρου ἐπισκ. Σταυρουπόλεως Καρίας. Ἰσιδώρου ἐπισκ. Ῥόδου. Σισιννίου ἐπισκόπου Ἱεραπόλεως Φρυγίας. Μακροβίου ἐπισκ. Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκόπου Βυζίης Θράκης· Γρηγορίου ἐπισκόπου Μιτυλήνης· Σεργίου ἐπισκόπου Σηλυβρίας· Ἀνδρέου ἐπισκ. Μεθύμνης. Θεοσγνίου ἐπισκόπου Κίου. Ἐπιφανίου ἐπισκ. Εὐχαΐτων· Γεωργίου ἐπισκόπου Καμουλιανῶν· Ἀντωνίου ἐπισκ. Ὑπαίπων· Γενεσίου ἐπισκ. Ἀνασασιουπόλεως. Πλάτωνος ἐπισκόπου Κίννης· Θεοδώρου ἐπισκόπου Πραινέτου· Ἰωάννου ἐπισκόπου τοῦ Δασκυλίου· Θεοδώρου ἐπισκόπου Ἰουστινιανουπόλεως Γόρδου. Θεοδώρου ἐπισκόπου Βερίασης. Στεφάνου ἐπισκόπου Ἡρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου· Δομετίου ἐπισκ. Προυσιάδος· Σολομῶνος ἐπισκ. Κλανέου· Γεωργίου ἐπισκ. Κῶου· Δομνίου ἐπισκ. Τήνου. Γρηγορίου ἐπισκ. Καντάνου· Ἰωάννου ἐπισκ. Λάππης· Εὐλαλίου ἐπισκ. Ζωνοπόλεως· Κωνσταντίνου ἐπισκ. Δαλισάνδου· Θεοδώρου ἐπισκόπ. Ὄλβης· Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τῆ ἐν Σικελίᾳ Ἁγαθῆς μοναστηρίου ἐπιλεγομένου Βαΐων. Γεωργίου πρεσβυτέρου καὶ μοναχῆ μονῆς τῆς Ρουνᾶ τῆς δρυακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ρώμῃ. Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Ἀρσικίας, δρυακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην·

. . . . . .

. . . . . .

. καθεσθέντων τε τῆς ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῆς ὁσιωτάτων, καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τῆ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων Χριστῆ τῆ Θεῆ ἡμῶν Εὐαγγελίων.

Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τῆ Θεῆ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ περιμικτὸς τῆς θεοσεβεστάτων νοταρίων τῆ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως εἶπε. μέμνηται ἡ ὑμετέρα εὐσέβεια, καὶ οἰκουμενικὴ συνόδος, ὡς κατὰ τὴν προλαβοῦσαν συνέλευσιν ἡ ἀνάγνωσις γέγονε τῆς ὑπολειφθεισῶν χρήσεων τῆς ἐν τῷ κωδικίῳ τῷ προσενεχθέντι παρὰ Μακαρίου καὶ Στεφάνου, ἐν ᾗ τούτων ἀντιβολὴ γέγονε πρὸς τὰ βιβλία τῆς ἁγίων πατέρων τὰ ἀποκείμενα ἐν τῷ Ἁγαθῆ πατριαρχείῳ τῆς βασιλίδος ταύτης πόλεως, καὶ τὴν τούτων ἐγνώκατε δύναμιν. καὶ ὡς διελαλήθη παρὰ τῆς ὑμετέρας ἁγίας συνόδου, εἰς ἑτέραν γνῶσθαι τὴν ἀνάγνωσιν καὶ ἀντιβολὴν πρὸς τὰ βιβλία τῆ Ἁγαθῆ τῆς ἐνταῦθα πατριαρχείου τῆς ἤδη ἐπιδοθεισῶν χρήσεων παρὰ τῆς τοῦ μέρους τῆ ἀποστολικῆ θρόνου τῆς πρεσβυτέρας Ρώμης. ὑπέχοντο δὲ Πέτρος τε ὁ θεοφιλέστατος ἐπίσκοπος Νικομηδείας, καὶ Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Μελιτινῆς, Σολομὼν ὁ θεοφιλέστατος ἐπίσκοπος Κλανέου καὶ Ἀντώνιος ὁ θεοφιλέστατος ἐπίσκοπος Ὑπαίπων· ἀλλὰ καὶ Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ, Διονύσιος ὁ θεοσεβέστατος διάκονος καὶ σακελλάριος, Ἀνασάσιός τε ὁ εὐσεβέστατος διάκονος καὶ νοτάριος ὁ πλοιήκδικος, καὶ Ἀνασάσιος πρεσβύτερος καὶ μοναχὸς, καὶ Γεώργιος μοναχὸς, τῆς τῆς οἰκείας αὐτῆς ὀρθοδόξου πί-

πίστεως ἐνωμότως τῇ ἁγίᾳ ὑμῶν καὶ οἰκουμενικῇ συνόδῳ ἐπιδοῦναι λιβέλλους, καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον. τὰ ἤδη πραχθέντα ἀναγινωσκέσθω. καὶ ἀνεγνώσθησαν.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἐν ἀκροάσει γενόμενοι τῶν ἐπιδοθεισῶν χρήσεων παρά τε Μακαρίου καὶ Στεφάνου, ἔγνωμεν τὴν γενομένην παρ' αὐτῶν ἀποκοπὴν ἐν ταῖς τοιαύταις χρήσεσι συσκιάζουσαν καὶ συγχέουσαν πᾶσαν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν τῆς ἐνανθρωπήσεως οἰκονομίαν. ἐπὶ μνήμης δὲ ἔχομεν, ὡς καὶ Πέτρος ὁ θεοφιλέστατος ἐπίσκοπος Νικομηδείας, καὶ Σολομὼν ὁ θεοφιλέστατος ἐπίσκοπος Κλανέου, καὶ Ἀντώνιος ὁ θεοφιλέστατος ἐπίσκοπος Ὑπαίπων, καὶ Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Μελιτηνῆς, καὶ μὴν καὶ Γεώργιος ὁ θεοσεβέστατος διάκονος, καὶ χαρτοφύλαξ. Στέφανός τε ὁ θεοσεβέστατος διάκονος καὶ καγκελλάριος, καὶ Διονύσιος διάκονος καὶ καγκελλάριος· Ἀναστάσιός τε ὁ εὐσεβέστατος διάκονος καὶ νοτάριος ὁ πλοιέκδικος, καὶ Ἀναστάσιος καὶ Γεώργιος οἱ εὐλαβέστατοι μοναχοὶ ὑπέσχοντο τοὺς περὶ τῆς ὀρθοδόξου * ἡμῶν πίστεως ἐνωμότους λιβέλλους εἰς ἑτέραν τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ ἐπιδοῦναι· ἀλλὰ ἀκόλουθον καθέστηκε πρότερον τὸ ἐπιδοθὲν κωδίκιον τῶν πατρικῶν χρήσεων παρὰ τῶν τοῦ μέρους τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, τὸ καὶ ὑπὸ σφραγῖδα τυγχάνον εἰς μέσον προαχθῆναι πρὸς ἀνάγνωσιν καὶ ἀντιβολὴν πρὸς τὰ βιβλία τοῦ εὐαγοῦς πατριαρχείου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως. καὶ προηνέχθη τὸ αὐτὸ κωδίκιον ἐσφραγισμένον.

Καὶ μετὰ τὸ ἀποσφραγισθῆναι, λαβὼν Πέτρος ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τὸ αὐθεντικὸν βιβλίον τοῦ σκευοφυλακίου ὑπάρχον τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐν σώμασιν * ἀργυρένδετον. καὶ Σολομὼν ὁ θεοσεβέστατος διάκονος καὶ νοτάριος τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τὸν εἰρημένον τῶν χρήσεων κωδίκιον ἀνέγνω, ἔχον ἐν προγραφῇ ἐπὶ λέξεων οὕτως. χρήσεις ἁγίων καὶ ἐκκρίτων πατέρων παριστῶσαι δύο θελήματα, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

* al. ἀργυρένδυτον.

Τοῦ ἁγίου Λέοντος πάπα Ῥώμης ἐκ τῆς πρὸς Λέοντα τὸν βασιλέα δευτέρας ἐπιστολῆς, ἧς ἡ ἀρχή. ὑποσχόμενον ἐμαυτὸν διαμέμνημαι.

Εἴ τι τοίνυν προσκαίρως δέχεται ὁ Χριστὸς, κατὰ τὴν ἀνθρωπότητα δέχεται, ᾗ τινι ταῦτα, ἅπερ οὐκ εἶχε, προσφέρηται. κατὰ γὰρ τὴν δύναμιν τῆς θεότητος ἀπαραλλάκτως πάντα, ὅσα ἔχει ὁ πατὴρ, ἔχει καὶ ὁ υἱός. καὶ ἅπερ ἐν μορφῇ δούλου παρὰ τοῦ πατρὸς εἴληφε, ταῦτα ἐν μορφῇ Θεοῦ ὢν καὶ αὐτὸς ἐχαρίσατο. κατὰ μὲν γὰρ τὴν τοῦ Θεοῦ μορφὴν αὐτὸς καὶ ὁ πατὴρ ἐν εἰσί· κατὰ δὲ τὴν τοῦ δούλου μορφὴν, οὐκ ἦλθε ποιῆσαι τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντος αὐτόν. κατὰ μὲν τὴν τοῦ Θεοῦ μορφὴν, ὡς ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως δέδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ. κατὰ δὲ τὴν μορφὴν τοῦ δούλου, περίλυπός ἐστιν ἡ ψυχή * μου ἕως θανάτου.

Γωάν. 10.

Γωάν. 6.

Γωάν. 5.

Ματθ. 26.

* αὐτοῦ

Ἥτις χρῆσις ἀντεβλήθη πρὸς τὸ ἀνωτέρω λεχθὲν τοῦ σκευοφυλακίου βιβλίον, καὶ ἐστοίχησεν.

Ὡσαύτως ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων ἐκ τοῦ πρὸς Γρατιανὸν τὸν βασιλέα λόγου δευτέρου, οὗ ἡ ἀρχή. ἀλλ' ἴσως οἶμαι διὰ τοῦ βιβλίου τοῦ προλαβόντος· δέχεται τοίνυν τὴν βούλησιν τὴν ἐμὴν, δέχεται τὸ συγνόν. θαρρῶν γὰρ ὀνομάζω συγνότητα, ἐπειδὴ κηρύττω σταυρόν· ἐμὸν ἦν τοῦτο τὸ βούλημα, ὅπερ ἴδιον ἔλεγεν. ἐπειδήπερ ὡς ἄνθρωπος τὰ τῆς ἐμῆς συγνότητος ἔλαβεν, ὡς ἄνθρωπος καὶ ἐλάλησε. καὶ διὰ τοῦτο φησίν. οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ θέλεις· ἐμὴ γάρ ἐστιν ἡ συγνότης, ἣν κατ' ἐμὴν διάθεσιν ἀνεδέξατο. καὶ γὰρ οὐδεὶς τεθνηξόμενος χαίρει· ἐμοὶ συμπάσχει, καὶ ἐμοὶ συγνάζει, καὶ ἐμοὶ συναλγεῖ· ὑπὲρ ἐμοῦ τοιγαροῦν ἤλγησεν ἐν ἐμοὶ ὁ ὑπὲρ ἑαυτοῦ μηδὲν ἔχων ἀλγεῖν. ἀλγεῖς οὖν κύριε οὐ τραῦμα σὸν, ἀλλ' ἐμόν. οὐ σὸν θάνατον, ἀλλ' ἡμετέραν ἀσθένειαν. ὁ προφήτης εἶπεν. ἐπειδὴ περὶ ἡμῶν ὀδυνᾶσαι, καὶ ἡμεῖς ἐλογισάμεθά σε κύριε εἶναι ἐν πόνῳ· ὁπότε αὐτὸς οὐκ ἤλγεις ὑπὲρ σαυτοῦ, ἀλλ' ὑπὲρ ἐμοῦ· καὶ τί θαυμαστὸν, εἰ ὑπὲρ πάντων ἤλγησεν, ὁ δακρύσας ὑπὲρ ἑνός; καὶ τί θαυμαστὸν, εἰ μέλλων τελευτᾷν ἀηδιάζεται, ὃς Λάζαρον ἐγείρειν μέλλων ἐδάκρυσεν; ἀλλὰ κἀκεῖ τὸ τῆς ἀδελφῆς αὐτὸν εὔσπλαγχνον εἰς τὸ δακρύειν ἐκίνησε. δι' ἧς αὐτοῦ καθικνεῖτο τὰ τῆς ἀνθρωπίνης αἰσθήσεως· καὶ ἐνταῦθα βαθυτέρα διάθεσις αὐτῷ τὰ τῆς οἰκονομίας ἐργάζεται· ἵνα καθάπερ ὁ θάνατος αὐτοῦ τὸν πάντων ἀφείλετο θάνατον, καὶ ὁ μώλωψ αὐτοῦ τὰ ἡμῶν ἰάσατο τραύματα, οὕτω καὶ ἡ συγνότης αὐτοῦ τὴν ἡμετέραν ἐξαλείψῃ κατήφειαν· ὡς ἄνθρωπος οὖν ἐνδοιάζει, ὡς ἄνθρωπος ἐκταράττεται. οὐ ταράττεται γὰρ ἡ δύναμις, οὐδὲ ἡ θεότης αὐτοῦ, ἀλλ' ἡ ψυχὴ ταράττεται, καὶ ταράττεται κατὰ τὴν τῆς ἀνθρωπίνης σαθρότητος πρόσληψιν· καὶ διὰ τοῦτο, ἐπειδὴ ψυχὴν ἀνεδέξατο παθητήν· οὐδὲ γὰρ ὁ Θεὸς καθὸ ἦν Θεὸς ἢ ταράττεσθαι ἢ ἀποθνήσκειν ἠδύνατο· οὕτω γοῦν· ὁ Θεὸς, ὁ Θεός μου φησι, διὰ τί ἐγκατέλιπες με; ὡς ἄνθρωπος οὖν λαλεῖ, τὰς ἀγωνίας τὰς ἐμὰς περιφέρων, ἐπειδήπερ ἐν κινδύνοις ὑπάρχοντες ἑαυτοὺς ὑπὸ Θεοῦ καταλελεῖφθαι νομίζομεν. ὡς ἄνθρωπος ταράττεται, ὡς ἄνθρωπος καὶ δακρύει, ὡς ἄνθρωπος καὶ σταυροῦται. οὕτω γὰρ εἶπεν ὁ ἀπόστολος, ὅτι τοῦ Χριστοῦ τὸ σῶμα ἐσταύρωσαν· καὶ ἀλλαχοῦ ὁ ἀπόστολος Πέτρος φησί· Χριστοῦ παθόντος σαρ-

Ματθ. 26.

Ἡσαΐ. 53.

Γωάν. 11.

Ἡσαΐ. 53.

Ματθ. 27. ἐκτοῦ Ψαλ. 21.

1. Κορίν. 1.

1 Πέτρου 4.

σαρκί. τὸ σῶμα τοίνυν πέπονθεν· ἡ μέντοι θεότης ἐλευθέρα τῆς τελευτῆς, καὶ τῷ πάθει τὸ σῶμα κατὰ νόμον ἀνθρωπίνης ἐνδέδωκε φύσεως· ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον παλαιότατον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς πατριαρχείου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, καὶ ἐστοίχησεν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Αμβροσίου ἐκ τῆς εἰς τὸ κατὰ Λουκᾶν ἅγιον εὐαγγέλιον ἑρμηνείας βιβλίου ἕκτου, ἔχουσα
Ματθ. 26. οὕτως· ὅπερ εἶπε· μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γινέσθω, τὸ ἴδιον αὐτοῦ εἰς τὸν ἄνθρωπον ἀνήγαγε, τὸ τοῦ πατρὸς εἰς τὴν θεότητα. τὸ γὰρ ἀνθρώπινον θέλημα, πρόσκαιρον, τὸ θέλημα τῆς θεότητος, αἰώνιον. ἥτις χρῆσις ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον, ἐν γράμμασι ῥωμαϊκοῖς γεγραμμένον, προενεχθὲν ἐκ μέρους τῆς τοῦ ἀποστολικοῦ θρόνου τῆς
* ἑρμηνεύοντος πρεσβυτέρας Ῥώμης * ἑρμηνεύσαντος Κωνσταντίνου τοῦ θεοσεβεστάτου πρεσβυτέρου, καὶ ἐκδίκου τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ γραμματικοῦ ῥωμαϊκοῦ, καὶ ἐστοίχησεν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Ιωάννου ἐπισκόπου Κωνσταντινουπόλεως, ἐκ τοῦ πρὸς τοὺς ἀπολειφθέντας τῆς συνάξεως λόγου. οὗ ἡ ἀρχή· πάλιν ἱπποδρομίαι. τούτων μέμνησθε τῆς ῥημάτων πάλιν· χρήσιμος γὰρ
L. προεῖπε αὐτῆς ἡ μνήμη τὴν εὐχὴν ἐξετάζουσιν ἔσται. * εἶπε τὸν προδότην, προεῖπε τὴν πάντων φυγὴν, καὶ τὸν αὐτοῦ θάνατον. πατάξω γὰρ,
Ματθ. 26. ἐκ τοῦ ζαχαρ. 13. Μάρκ. 14. Λουκ. 22. φησὶ, τὸν ποιμένα· προεῖπε τὸν μέλλοντα αὐτὸν ἀρνήσασθαι, καὶ πότε, καὶ ποσάκις μετὰ ἀκριβείας ἅπαντα· καὶ μετὰ ταῦτα πάντα ἱκανὴν αὐτοῦ τῆς προγνώσεως τῆς μελλόντων ἀπόδειξιν δοὺς, ἐλθὼν ἐπὶ τοῦ χωρίου εὔχεται. κἀκεῖνοι μὲν λέγουσιν ὅτι τῆς θεότητός ἐστιν ἡ εὐχὴ, ἡμεῖς δὲ λέγομεν, ὅτι τῆς οἰκονομίας. δικάσατε τοίνυν, καὶ πρὸς αὐτῆς τῆς τοῦ μονογενοῦς δόξης μηδενὶ κεχαρισμένην τὴν ψῆφον ἐνέγκητε. εἰ γὰρ καὶ ἐν φίλοις δικάζομαι νυῦ, ἀλλ' ἀντιβολῶ καὶ δέομαι ἀδέκαστον γενέσθαι τὴν κρίσιν, μήτε πρὸς ἐμὴν χάριν, μήτε πρὸς ἐκείνων ἀπέχθειαν. μάλιστα μὲν γὰρ καὶ αὐτόθεν δῆλον, ὅτι οὐκ ἔστι τῆς θεότητος ἡ εὐχή. Θεοῦ γὰρ τὸ προσκυνεῖσθαι ἐστί· Θεοῦ γὰρ τὸ εὐχὴν δέχεσθαι, οὐ τὸ εὐχὴν ἀναφέρειν. ἀλλ' ὅμως ἐπειδὴ ἀναισχυντοῦσιν, ἀπ' αὐτῆς τῆς ῥημάτων τῆς εὐχῆς ὑμῖν ποιῆσαι πειράσομαι φανερὸν, ὅτι τὸ ὅλον τῆς οἰκονομίας ἐστὶ, καὶ τῆς κατὰ τὴν σάρκα ἀσθενείας. ὅταν γὰρ φθέγγηταί τι ταπεινὸν ὁ Χριστὸς, οὕτω φθέγγεται ταπεινὸν καὶ εὐτελές, ὡς τὴν ὑπερβολὴν τῆς ταπεινότητος τῆς λεγομένων καὶ τοὺς σφόδρα φιλονεικοῦντας δυνηθῆναι πεῖσαι, ὅτι πολὺ τῆς ἀπορρήτου καὶ ἀφράστου οὐσίας ἐκείνης ἀποδέει τὰ ῥήματα. ἴωμεν τοίνυν ἐπ' αὐτὰ τὰ ῥήματα τῆς εὐχῆς· πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ
Ματθ. 26. τὸ ποτήριον τοῦτο. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. καὶ μετὰ βραχέα· ἐρώτησον τὸν αἱρετικὸν, Θεὸς δειλιᾷ, καὶ ἀναδύεται, καὶ ὀκνεῖ, καὶ λυπεῖται; κἂν εἴπῃ, ὅτι ναί· ἀπόστηθι λοιπὸν, καὶ στῆσον αὐτὸν κάτω μετὰ διαβόλου, μᾶλλον δὲ κἀκείνου κατωτέρω· οὐδὲ γὰρ ἐκεῖνος τολμήσει τοῦτο εἰπεῖν· ἂν δὲ εἴπῃ, ὅτι οὐδὲν τούτων ἄξιον Θεοῦ, εἰπέ, οὐκοῦν οὐδὲ εὔχεται Θεός. χωρὶς γὰρ τούτου καὶ ἕτερον ἄτοπον ἔσται, ἂν τοῦ Θεοῦ τὰ ῥήματα εἴη. οὔτε γὰρ ἀγωνίαν μόνον ἐμφαίνει τὰ ῥήματα, ἀλλὰ καὶ δύο θελήματα, ἐν μὲν υἱοῦ, ἐν δὲ πρατρὸς ἐναντία ἀλλήλοις. τὸ γὰρ εἰπεῖν· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, τοῦτο ἐστὶν ἐμφαίνοντος· τοῦτο δὲ οὐδὲ ἐκεῖνοί ποτε συνεχώρησαν. ἀλλ' ἡμῶν λεγόντων, ἐγὼ καὶ ὁ πατὴρ ἐν Ιωάν. 10.
ἐσμὲν ἐπὶ τῆς δυνάμεως, ἐκεῖνοι ἐπὶ τῆς θελήσεως τοῦτο εἰρῆσθαί φασι, λέγοντες πατρὸς καὶ υἱοῦ μίαν εἶναι βούλησιν· εἰ τοίνυν πατρὸς καὶ υἱοῦ μία βούλησίς ἐστι, πῶς φησιν ἐνταῦθα· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ; ἂν μὲν γὰρ ἐπὶ τῆς θεότητος εἰρημένον εἴη τοῦτο, ἐναντιλογία τις γίνεται, καὶ πολλὰ ἄτοπα ἐκ τούτου τίκτεται· ἂν δὲ ἐπὶ τῆς σαρκὸς, ἔχει λόγον τὰ εἰρημένα, καὶ οὐδὲν γένοιτ' ἂν ἔγκλημα. οὐ γὰρ τὸ μὴ θέλειν ἀποθανεῖν τὴν σάρκα, κατάγνωσις, φύσεως γάρ ἐστι τοῦτο. αὐτὸς δὲ τὰ τῆς φύσεως ἅπαντα χωρὶς ἁμαρτίας ἐπεδείκνυτο καὶ μετὰ πολλῆς τῆς περιουσίας, ὥστε τὰ τῆς αἱρετικῶν ἐμφράξαι στόματα· ὅταν οὖν λέγῃ· ὅτι εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ Ματθ. 26.
ποτήριον τοῦτο· καί. οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ, οὐδὲν ἕτερον δείκνυσιν ἀλλ' ἢ ὅτι σάρκα ἀληθῶς περιβέβληται φοβουμένην θάνατον· τὸ γὰρ φοβεῖσθαι θάνατον, καὶ ἀναδύεσθαι, καὶ ἀγωνιᾷν ἐκείνης ἐστί. νυῦ μὲν οὖν αὐτὴν ἐρήμην ἀφίησι καὶ γυμνὴν τῆς οἰκείας * δυνά- * ἐνεργείας
μεως, ἵνα αὐτῆς δείξας τὴν ἀσθένειαν, πιστώσηται αὐτῆς καὶ τὴν φύσιν. νυῦ δὲ αὐτὴν ἀποκρύπτει, ἵνα μάθῃς, ὅτι οὐ ψιλὸς ἄνθρωπος ἦν. ὥσπερ γὰρ εἰ διὰ παντὸς τὰ ἀνθρώπινα ἐπεδείκνυτο, τοῦτο ἂν ἐνομίσθη, οὕτως εἰ διὰ παντὸς τὰ τῆς θεότητος ἐπετέλει, ἠπιστήθη ἂν ὁ τῆς οἰκονομίας λόγος· διὰ τοῦτο ποικίλλει καὶ ἀναμίγνυσι καὶ τὰ ῥήματα καὶ τὰ πράγματα, ἵνα μήτε τῇ Παύλου τοῦ Σαμοσατέως, μήτε τῇ Μαρκίωνος καὶ Μανιχαίου νόσῳ καὶ μανίᾳ παράσχῃ πρόφασιν. διὰ τοῦτο καὶ προλέγει τὸ ἐσόμενον ὡς Θεὸς, καὶ ἀναδύεται πάλιν ὡς ἄνθρωπος. ἥτις χρῆσις ὡσαύτως ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς πατριαρχείου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, καὶ ἐστοίχησεν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Ιωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγελίου εἰς τὸ ῥητὸν, ἔνθα φησί καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς, καὶ εὑρίσκεις αὐτοὺς καθεύδοντας. ἔχουσα οὕτως· ὥσπερ οἱ τὸ σῶμα Ματθ. 26.
θεραπευόμενοι ἑκόντες ὑπομένουσι τὴν ἐν ταῖς

θε-

θεραπείαις ἀλγηδόνα, οὐχ ὡς * αἱρετὴν, ἀλλ' ὡς ἀναγκαίαν διὰ τὴν ἐξ αὐτῆς περιγενομένην ὑγείαν· τὸν αὐτὸν τρόπον καὶ ὁ σωτὴρ φεύκτον μὲν καθ' ἑαυτὸν καὶ ἤδη παρῃτεῖτο τὸν θάνατον, ὑπέμεινε δὲ αὐτὸν μακροθύμως ἵνα ἡμᾶς τοὺς ἀνθρώπους πολυτρόπως διὰ τῆς τοιαύτης ὠφελήσῃ οἰκονομίας. οὐ μόνον γὰρ τὸ λύτρον προσενεγκὼν ἐλευθέρους ἡμᾶς πάσης ἁμαρτίας γενέσθαι παρεσκεύασεν, ἀλλὰ γὰρ καὶ τὸ σῶμα ὥσπερ τινὰ ἀπαρχὴν τῆς ἐκ νεκρῶν ἀναστάσεως ἐπιδείξας τὴν κοινὴν καθόλου ἐβεβαίωσεν ἀνάστασιν· ἴσως δὲ καὶ εἰ μὴ παρῃτήσατο, ὑπελήφθη ἂν θρασύτητι καὶ ἀπονοίᾳ αὐθαιρέτως ἐπὶ τὸν θάνατον ἐληλυθέναι. νῦν δὲ διὰ τῆς προσευχῆς αὐτὸν παραιτησάμενος, τὴν ὑπερβολὴν παρέστησε τῆς τῶν ἀνελόντων αὐτὸν κακίας. παρελθέτω οὖν τὸ ποτήριον εἰρηκὼς, ἐπήγαγε· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. καὶ ἴδιον μὲν θέλημα ἔχει ἐναργῶς παρίστησι· προκρίνει δὲ
* προστίθησι πανταχοῦ τοῦ ἰδίου τὸ πατρικὸν θέλημα, καὶ ἐν πᾶσι τὸ τοῦ πατρὸς * προτίθησι συντρέχων αὐτῷ, καὶ σύμφωνον ἑαυτὸν δεικνὺς τῆς ἐκείνου βουλῆς. ἥ τις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον ὡσαύτως τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Αθανασίου ἀρχιεπισκόπου Αλεξανδρείας ἐκ τοῦ περὶ Τριάδος καὶ σαρκώσεως λόγου. οὗ ἡ ἀρχή, οἱ κακοτέχνως τὰς θείας γραφάς· ἔχουσα οὕτως· καὶ ὅταν λέγῃ· πάτερ εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν θέλημα γένηται, ἀλλὰ τὸ σὸν. τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· δύο θελήματα ἐνταῦθα δείκνυσι, τὸ μὲν ἀνθρώπινον ὅπερ ἐστὶ τῆς σαρκὸς, τὸ δὲ θεϊκόν. τὸ γὰρ ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς παραιτεῖται τὸ πάθος· τὸ δὲ θεϊκὸν αὐτοῦ πρόθυμον. ὥσπερ καὶ ὁ Πέτρος ἀκούσας περὶ τοῦ πάθους ἐδειλίασε, καὶ εἶπεν· ἵλεώς σοι κύριε.
Ματθ. 16. ἐπιτιμῶν δὲ αὐτῷ ὁ κύριος λέγει· ἄπελθε ὀπίσω μου σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. οὕτως καὶ ἐνταῦθα νοεῖται. γενόμενος γὰρ ἐν ὁμοιώματι ἀνθρώπων παραιτεῖται τὸ πάθος ὡς ἄνθρωπος· Θεὸς δὲ ὤν, καὶ κατὰ τὴν οὐσίαν τὴν θεϊκὴν ἀπαθὴς ὑπάρχων προθύμως ἀνεδέξατο τὸ πάθος, καὶ τὸν θάνατον, διότι οὐκ ἦν δυνατὸν αὐτὸν κρατεῖσθαι ὑπὸ τοῦ θανάτου. ἥ τις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι κροκωτοῖς τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Ε"τι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Νύσσης ἐκ τοῦ πρὸς Απολλινάριον τὸν αἱρετικὸν ἀντιῤῥητικοῦ λόγου, οὗ ἡ ἀρχή· καλὸν ἂν γένοιτο προοίμιον· ἔχουσα οὕτως· ἀλλὰ ταράσσονται, φησὶ, τὴν τῶν ἀπίστων ταραχήν. καθ' ἡμῶν χρῆται λοιδορίᾳ ταρασσομένους καὶ ἀπίστους ἀποκαλῶν τοὺς τῇ εὐαγγελικῇ φωνῇ μὴ * ἀνεξετάστως, ἥ φησί. πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν, ἀλλὰ τὸ σὸν γενέσθω θέλημα· τούτοις δὲ προστίθησι τὴν ἰδίαν λέξιν ἔχουσαν οὕτως. καὶ οὐ μνημονεύουσιν ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. τί ἂν ἐξεύροι τις τοιοῦτον εἰπεῖν; οὐ λέγω τούτων τινὰ τῶν ἐπὶ αἱρέσει κατεγνωσμένων, ἀλλ' οὐδὲ αὐτὸν οἶμαι τὸν ἀσεβείας τε καὶ τοῦ ψεύδους πατέρα εὑρεῖν τι τῶν εἰρημένων εἰς βλασφημίαν δεινότερον. ἆρα οἶδεν ὁ λογογράφος ἃ φθέγγεται; ὁ Θεὸς ἐξ οὐρανοῦ καταβὰς τὸ ἴδιον τῆς θεότητος θέλημα παραγράφεται, καὶ οὐ βούλεται εἰς ἔργον ἐλθεῖν ὅπερ βούλεται; οὐκοῦν μεμέρισται τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὰ θελήματα; καὶ πῶς ἂν εἴη κοινὸν ἐπ' ἀμφοτέρων τὸ θέλημα; πῶς δ' ἂν ἡ τῆς φύσεως ταυτότης τῇ διαφορᾷ τῶν θελημάτων ἐμφαίνοιτο; ἀνάγκη γὰρ πᾶσα συνδρομον εἶναι τῇ φύσει τὴν βούλησιν, καθὼς φησί που ὁ κύριος· οὐ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν· οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιεῖν· καρπὸς δ' ἂν εἴη φύσεως ἡ προαίρεσις, ὥστε ἀγαθῆς μὲν ἀγαθὴν εἶναι, κακῆς δὲ τοιαύτην. εἰ οὖν διάφορος ἐπὶ πατρός τε καὶ υἱοῦ ὁ καρπὸς τοῦ θελήματος, διάφορον ἐξ ἀνάγκης εἶναι καὶ τὴν ἑκατέρων φύσιν δεῖ ὁμολογεῖν. τί οὖν πολεμεῖται ὁ Αρειος; τί δὲ οὐκ αὐτομολοῦσι πρὸς τὸν Εὐνόμιον; ὃς διαιρῶν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὴν φύσιν συνδιατέμνει τῇ φύσει τὴν βούλησιν. καὶ διὰ τοῦτο μάλιστα κατασκευάζει τὸ τῆς οὐσίας ἀλλότριον τῷ ὑποβεβηκότι πρὸς τὸ προέχον συνδιαχίζων τὸν τῆς θεότητος λόγον. πάλιν δὲ τὸ παρ' αὐτοῦ ῥηθὲν ἀναλάβωμεν. καὶ οὐ μνημονεύουσιν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ· ποῖον θέλημά φησιν ὁ λογογράφος, ὃ βούλεται μὴ γίνεσθαι ὁ κύριος λέγων πρὸς τὸν πατέρα· μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω; ἆρα συνίησι, ποίᾳ πέπτωκεν
* αὐτοῦ ὁ λόγος ἐναντιότητι; ἐγγίζει τὸ πάθος, καὶ ὅσον οὔπω μέλλει ὁ προδότης ἐφίστασθαι μετὰ τοῦ πλήθους, καὶ τότε γίνεται ἡ τοιαύτη εὐχή. ὁ εὐχόμενος ἄνθρωπος, ἢ Θεός; εἰ Θεὸν εἶναι τὸν εὐχόμενον οἴεται, ἴσην αὐτῷ πρὸς τοὺς ἀνθρώπους ἐνορᾷ τὴν ἀσθένειαν. πῶς οὖν Θεὸς ὁ μηδὲν οἴκοθεν ἀγαθὸν ἔχων, ἀλλὰ τῆς ὑπερκειμένης συμμαχίας δεόμενος; εἶτα πῶς καταγινώσκει ἡ θεότης τοῦ ἰδίου θελήματος; ἀγαθὸν ἦν, ἢ κακὸν ὃ ἠβούλετο; εἰ μὲν γὰρ ἀγαθὸν, διὰ τί οὐκ εἰς πέρας ἄγεται; εἰ δὲ κακὸν, τίς πρὸς τὸ κακὸν τῇ θεότητι οἰκείωσις; ἀλλ' ὅπερ ἔφην,
* ὅτι οὐ συνίησιν εἰς τὸ ἐναντίον περιτρέπων τὸν * λόγον. εἰ γὰρ τοῦ μονογενοῦς ἐστι Θεοῦ ἡ φωνὴ ἡ λέγουσα. μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ἀλλὰ τὸ σὸν, αὐτὸς ὁ λόγος περὶ ἑαυτὸν ἀεὶ

Ματθ

* αὐτῷ

* L. τίς
* L. λόγον;

διάτινος ἐναντιότητος στρέφεται, καὶ οὐδαμοῦ τὸ στάσιμον ἔχει. ὁ γὰρ μὴ βουλόμενος τὸ ἴδιον θέλημα γενέσθαι, αὐτὸ τοῦτο βούλεται πάντως τὸ μὴ γενέσθαι, ὃ βούλεται· πῶς οὖν ἡ εὐχὴ πρὸς πέρας ἀχθήσεται λέγοντος, ὅτι τοῦτο θέλω, ἵνα ὃ θέλω μὴ γένηται; πρὸς τοὐναντίον πάντως τοῦ σπουδαζομένου περιτραπήσεται, καὶ ἀμηχανήσει καθ' ἑκάτερον ὁ τῆς τοιαύτης ἐπαίων εὐχῆς· ὅπερ γὰρ ἂν ποιήσῃ, πρὸς τὸ ἀβούλητον τῷ εὐχομένῳ περιτρέπει τὴν ἔκβασιν· ποιήσῃ τὸ θέλημα τοῦ εὐχομένου; ἀλλ' ἡ εὐχή ἐστι τοῦ μὴ γενέσθαι ὃ βούλεται. μὴ ποιήσῃ ὃ βούλεται; ἀλλ' ὁ εὐχόμενος βούλεται γενέσθαι αὐτὸ ὃ μὴ βούλεται· ὥστε κατὰ πάντα τρόπον πάντῃ μεταλαμβανόμενον ἀστατήσει τὸ νόημα, αὐτὸ ἑαυτῷ μαχόμενον, καὶ ὑφ' ἑαυτοῦ καθαιρούμενον. τῆς δὲ τοιαύτης κατὰ τὸν λόγον ἀμηχανίας μία γένοιτ' ἂν παραμυθία, ἡ ἀληθὴς τοῦ μυστηρίου ὁμολογία· ὅτι τὸ μὲν δειλιᾷν πρὸς τὸ πάθος τῆς ἀνθρωπίνης ἀσθενείας ἐστὶ, καθώς φησι καὶ ὁ κύριος, τὸ πνεῦμα πρόθυμον εἶναι λέγων, ἀσθενῆ δὲ τὴν σάρκα. τὸ δὲ ἀναδέχεσθαι τὸ ἐξ οἰκονομίας πάθος, τῆς θείας ἐστὶ δυνάμεως καὶ βουλῆς. ἐπειδὴ τοίνυν ἄλλο, τὸ ἀνθρώπινον θέλημα καὶ τὸ θεῖον φθέγγεται μὲν ὡς ἐκ τοῦ ἀνθρώπου τὸ τῆς ἀσθενείας τῆς φύσεως πρόσφορον ὁ τὰ ἡμέτερα πάθη οἰκειωσάμενος, ἐπάγει δὲ τὴν δευτέραν φωνὴν, τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς βούλημα κυρωθῆναι παρὰ τὸ ἀνθρώπινον ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας θέλων· ὁ γὰρ εἰπὼν, μὴ τὸ ἐμὸν, τὸ ἀνθρώπινον τῷ λόγῳ ἐσήμανε· προσθεὶς δὲ, τὸ σὸν, ἔδειξε συναφὲς τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορὰ διὰ τὴν κοινωνίαν τῆς φύσεως. ὁ γὰρ τοῦ πατρὸς εἰπὼν θέλημα καὶ τὸ τοῦ υἱοῦ ἐνεδείξατο· τοῦτο δέ ἐστι τὸ πάντας ἀνθρώπους θέλειν σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὅπερ οὐκ ἦν ἄλλως γενέσθαι μὴ τοῦ θανάτου καταγωνισθέντος τοῦ πρὸς τὴν ζωὴν ἐμποδίζοντος. τὸ δὲ ταπεινὸν τῆς ἀνθρωπίνης δειλίας καὶ ῥῆμα καὶ πάθος οἰκειοῦται ὁ κύριος δεικνὺς, ὅτι ἀληθὲς ἦν περὶ αὐτὸν τὸ ἡμέτερον, ἐκ τῆς τῶν παθημάτων κοινωνίας τὴν φύσιν πιστούμενος. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Γρηγορίου ἐκ τῆς εἰς τὸν ἄνθρωπον θεωρίας κεφαλαίου τετάρτου ἔχουσα οὕτως· ἡ μὲν γὰρ ψυχὴ τὸ βασιλικόν τε καὶ ἐπηρμένον αὐτόθεν δείκνυσιν πόῤῥω τῆς ἰδιωτικῆς ταπεινώσεως κεχωρισμένη ἐκ τοῦ ἀδέσποτον αὐτὴν εἶναι καὶ αὐτεξούσιον, ἰδίοις θελήμασιν αὐτοκρατορικῶς διοικουμένη.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Γρηγορίου ἐκ τῶν κατ' Εὐνομίου κεφαλαίου τριακοστοῦ πέμπτου, οὗ ἡ ἀρχή· οὐκ ἦν ὡς ἔοικεν. ἔχουσα οὕτως· πᾶσα ἀνάγκη κατάλληλον εἶναι, καὶ οἰκείαν ὁμολογεῖν τῇ φύσει καὶ τὴν προαίρεσιν· καὶ εἰ ἀνομοίως ἔχοιεν κατὰ τὴν φύσιν, ἀνόμοια εἶναι καὶ τὰ θελήματα· τῆς δὲ δυνάμεως ἐφ' ἑκατέρων ἱκανῶς ἐχούσης οὐθέτερον ἀτονήσει πρὸς τὴν ἐκπλήρωσιν τοῦ ἰδίου θελήματος· ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ λόγου εἰς τό· πάτερ εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. οὗ ἡ ἀρχή· βαθεῖαν τομὴν, ἔχουσα οὕτως· ἀλλ' οὐκ ἤρκεσε ταῦτα μόνον, ἀλλὰ καὶ παραγενόμενος, ἵνα μὴ νομισθῇ φαντασίᾳ τὸ γινόμενον, οὐ τῇ ὄψει μόνον πιστοῦται τὸ πρᾶγμα, ἀλλὰ καὶ χρόνῳ πολλῷ, καὶ τῷ διὰ πάντων ἐλθεῖν τῶν ἀνθρωπίνων· οὐ γὰρ ἁπλῶς εἰς ἄνθρωπον ἔρχεται ἀπηρτισμένον, ἀλλ' εἰς μήτραν παρθενικὴν, ὥστε κυοφορήσεως, καὶ τόκου ἀναχέσθαι καὶ γαλακτοτροφίας, καὶ αὐξήσεως, καὶ τῷ μήκει τοῦ χρόνου καὶ τῇ διαφορᾷ τῶν ἡλικιῶν ἁπασῶν πιστώσασθαι τὸ γινόμενον· καὶ οὐδὲ ἐνταῦθα ἵσταται τῆς ἀποδείξεως μόνον, ἀλλὰ καὶ περιφέρων τὴν σάρκα, ἀφίησιν αὐτὴν τὰ τῆς φύσεως ἐλαττώματα ὑπομεῖναι, καὶ πεινῆσαι, καὶ διψῆσαι, καὶ καθευδῆσαι, καὶ κοπιάσαι· τέλος καὶ ἐπὶ σταυρὸν ἐρχόμενος ἀφίησιν αὐτὴν τὰ τῆς σαρκὸς παθεῖν· διὰ γὰρ τοῦτο καὶ κρουνοὶ ἱδρώτων κατεφέροντο ἐξ αὐτῆς, καὶ ἄγγελος ἠυρίσκετο αὐτὴν διακρατῶν, καὶ λυπεῖται, καὶ ἀδημονεῖ· πρινὴ γὰρ ταῦτα εἰπεῖν, φησίν· ἡ ψυχή μου τετάρακται· καί· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου. εἰ γὰρ καὶ τούτων ἁπάντων γενομένων τὸ πονηρὸν τοῦ διαβόλου στόμα διὰ Μαρκίωνος τοῦ Ποντικοῦ, καὶ Οὐαλεντίνου, καὶ Μανιχαίου τοῦ Πέρσου, καὶ ἑτέρων πλειόνων αἱρεσιαρχῶν ἴσχυσεν, ὅσον τὸ ἐπ' αὐτοῖς, ἀνατρέψαι τὸν περὶ τῆς οἰκονομίας λόγον, καὶ ἤχησε σατανικήν τινα ἠχὴν, λέγων· ὅτι οὐδὲ ἐσαρκώθη, οὐδὲ σάρκα περιεβάλλετο, ἀλλὰ δόκησις τοῦτο ἦν καὶ φαντασία, καὶ σκηνὴ, καὶ ὑπόκρισις· καί τοι τῶν παθῶν βοώντων, τοῦ θανάτου, τοῦ τάφου, τῆς πείνης, εἰ μηδὲν τούτων ἐγεγόνει, πῶς οὐ πολλῷ μᾶλλον τὰ πονηρὰ ταῦτα ἀνέσπειρε τῆς ἀσεβείας δόγματα; διά τοι τοῦτο ὥσπερ ἐπείνησεν, ὥσπερ ἐκοπίασεν, ὥσπερ ἐκαθεύδησεν, ὥσπερ ἔφαγεν, ὥσπερ ἔπιεν, οὕτω καὶ θάνατον παραιτεῖται τὸ ἀνθρώπινον ἐνδεικνύμενος, καὶ τὴν ἀσθένειαν τῆς φύσεως τὴν οὐκ ἀνεχομένην ἀπαθῶς ἀπορραγῆναι τῆς παρούσης ζωῆς· εἰ γὰρ μηδὲν τούτων εἰρήκει, εἶχον εἰπεῖν, ὅτι εἰ ἄνθρωπος ἦν, ἔδει αὐτὸν παθεῖν τὰ τοῦ ἀνθρώπου. τίνα δέ ἐστι ταῦτα; μέλλοντα σταυροῦσθαι καὶ δειλιᾷν, καὶ ἀγωνιᾷν, καὶ μὴ ἀπαθῶς ἀπορρήγνυσθαι τῆς παρούσης ζωῆς. τῇ φύσει γὰρ ἔγκειται τὸ φίλτρον τὸ περὶ τὰ παρόντα. διά τοι τοῦτο δεῖξαι βουλόμενος ἀληθῆ τῆς σαρκὸς τὴν περιβολὴν, καὶ τὴν οἰκονομίαν πιστώσασθαι, μετὰ πολλῆς τῆς ἀποδείξεως τὰ πάθη γυμνὰ προτίθησιν. ἥτις χρῆσις ἀντεβλή-

Ματθ. 26.

τεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγελίου
Ματθ. 26. λόγου πά. οὗ ἡ ἀρχή· τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς· ἔχουσα οὕτως· καὶ μικρὸν προελθὼν ηὔχετο λέγων· πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· καὶ ἔρχεται πρὸς αὐτοὺς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ. οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· οὐχ ἁπλῶς πρὸς Πέτρον μάλιστα ἀποτείνεται, καίτοι καὶ τῶν ἄλλων καθευδησάντων, ἀλλὰ καθικνούμενος αὐτοῦ κἀντεῦθεν διὰ τὴν αἰτίαν ἣν ἔμπροσθεν εἶπον· εἶτα ἐπειδὴ καὶ οἱ ἄλλοι τὸ αὐτὸ εἶπον· εἰπόντος γὰρ, φησὶ, Πέτρου. κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρ-
Ματθ. 26. νήσομαι· ὁμοίως δὲ πάντες οἱ μαθηταὶ εἶπον· λοιπὸν πρὸς πάντας διαλέγεται ἐλέγχων αὐτῶν τὴν ἀσθένειαν. οἱ γὰρ συναποθανεῖν αἱρούμενοι, οὐδὲ λυπουμένῳ τότε συλλυπηθῆναι ἴσχυσαν ἐγρηγορότες, ἀλλ' ἐκράτησεν αὐτῶν ὁ ὕπνος. εὔχεται δὲ, ἵνα μὴ δόξῃ ὑπόκρισις εἶναι τὸ πρᾶγμα· καὶ ἱδρῶτες ἐπιῤῥέουσι διὰ τὴν αἰτίαν πάλιν τὴν αὐτὴν, ἵνα μὴ εἴπωσιν αἱρετικοὶ ὅτι ὑποκρίνεται τὴν ἀγωνίαν. διὰ τοῦτο καὶ ἱδρῶτες ὡς θρόμβοι αἵματος, καὶ ἄγγελος ἐνισχύων αὐτὸν ἐφάνη, καὶ μυρία φόβου τεκμήρια, ἵνα μή τις εἴπῃ τὰ ῥήματα πεπλασμένα εἶναι. διὰ τοῦτο καὶ ἡ εὐχή. τῷ μὲν οὖν εἰπεῖν· εἰ δυνατὸν, ἔδειξε τὸ ἀνθρώπινον, τῷ δὲ εἰπεῖν. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ, ἔδειξε τὸ ἐνάρετον καὶ ἐμφιλόσοφον, παιδεύων καὶ τῆς φύσεως ἀνθελκούσης ἕπεσθαι τῷ Θεῷ. ἐπειδὴ οὖν οὐκ ἤρκει τοῖς ἀνοήτοις τὸ πρόσωπον δεῖξαι μόνον, καὶ ῥήματα προστίθησι πάλιν. ἐπειδὴ ῥήματα οὐκ ἤρκει μόνον, ἀλλὰ καὶ πραγμάτων ἔδει, καὶ ταῦτα συνάπτει τοῖς ῥήμασιν, ἵνα πιστεύσωσι καὶ οἱ σφόδρα φιλονεικοῦντες, ὅτι καὶ ἄνθρωπος γέγονε, καὶ ἀπέθανεν· εἰ γὰρ καὶ τούτων ὄντων ἀπιστεῖται παράτινων ἔτι τοῦτο, πολλῷ μᾶλλον, εἰ μὴ ταῦτα ἦν. ἥτις χρῆσις ὡσαύτως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, βιβλίου δευτέρου, λόγου ξζ'. οὗ
Ἰωάν. 12. ἡ ἀρχή. γλυκὺς ὁ παρὸν βίος, ἔχουσα οὕτως· νῦν ἡ ψυχήμου τετάρακται, καὶ τί εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης. καὶ μὴν τοῦτο * οὐκ ἔστι προτρεπομένου ἐπὶ τὸν θάνατον ἐλθεῖν, μάλιστα μὲν * συμπροτρεπομένου. ἵνα γὰρ μὴ λέγωσιν, ὅτι αὐτὸς ἔξω τῶν ὠδίνων

* οὐκέτι.
* οὖν.

ὢν τῶν ἀνθρωπίνων, εὐκόλως περὶ θανάτου φιλοσοφεῖ, καὶ ἡμῖν ἔξω κινδύνου παραινεῖ, δείκνυσιν ὅτι καίτοι ἀγωνιῶν * αὐτὸς, ὅμως διὰ τὸ χρήσιμον οὐ παραιτεῖται. ταῦτα δὲ τῆς οἰκονομίας ἐστὶν, οὐ τῆς θεότητος· διὰ τοῦτο φησί· νῦν ἡ ψυχήμου τετάρακται. ἐπεὶ εἰ μὴ τοῦτ' ἔστι, ποία ἀκολουθία ἐστὶ τὸ λεχθὲν, καὶ τὸ εἰπεῖν, πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης· καὶ οὕτως τεταράχθαι, ὡς καὶ ἀπαλλαγὴν αἰτεῖν; εἴγε ἐνῆν καὶ διαφυγεῖν πάντα τῆς ἀνθρωπίνης φύσεως τὰ ἀσθενήματα, ἀλλ' οὐκ ἔχω τι εἴπω, φησὶν, ἀπαλλαγὴν αἰτούμενος. διὰ γὰρ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην· ὡσανεὶ ἔλεγε· κἂν ταραττώμεθα, κἂν θορυβώμεθα, μὴ φεύγωμεν θάνατον. δεῖ γὰρ φέρειν τὸ ἐπιόν· οὐ λέγω, ἀπάλλαξόν με ἐκ τῆς ὥρας ταύτης. ἀλλὰ τί; πάτερ δόξασόν σου τὸ ὄνομα. καί τοι τῆς ταραχῆς τούτῳ ἀναγκαζούσης λέγειν τὸ ἐναντίον. λέγω, δόξασόν σου τὸ ὄνομα, τουτέστιν, ἀνάγαγε λοιπὸν ἐπὶ τὸν σταυρόν· πάλιν πολὺ τὸ ἀνθρώπινον ἐπιδείκνυται, καὶ τὴν φύσιν μὴ βουλομένην ἀποθανεῖν, ἀλλὰ τῆς παρούσης ἀντεχομένην ζωῆς, δεικνὺς ὅτι οὐκ ἔξω τῶν ἀνθρωπίνων παθῶν ἦν· ὥσπερ γὰρ τὸ πεινῆν οὐκ ἔγκλημα, οὐδὲ τὸ καθεύδειν, οὕτως οὐδὲ τὸ τῆς παρούσης ζωῆς ἐφίεσθαι. ὁ δὲ Χριστὸς σῶμα καθαρὸν ἁμαρτημάτων εἶχεν, οὐ φυσικῶν ἀναγκῶν ἀπηλλαγμένον, ἐπεὶ οὐδὲ σῶμα ἂν ἦν. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

* αὐτὸν ὅμως f. θάνατον.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τῶν θησαυρῶν, κεφαλαίου κδ'. οὗ ἡ ἀρχή. εἰ παράτινος τῶν τυχόντων, ἔχουσα οὕτως· τῷ οἰκείῳ θανάτῳ τὸν θάνατον κατήργησεν ὁ σωτήρ· ὥσπερ οὖν οὐκ ἂν ὁ θάνατος κατηργήθη μὴ ἀποθανόντος αὐτοῦ, οὕτως ἐφ' ἑκάστῳ τῶν τῆς σαρκὸς παθῶν. εἰ μὴ γὰρ ἐδειλίασεν, οὐκ ἂν ἐλευθέρα τοῦ δειλιᾶν ἡ φύσις ἐγένετο. εἰ μὴ ἐλυπήθη, οὐκ ἂν ἀπηλλάχθη τοῦ λυπεῖσθαι ποτέ. εἰ μὴ ἐταράχθη καὶ ἐπτοήθη, οὐκ ἂν ἔξω ποτὲ τούτων ἐγένετο. καὶ ἐφ' ἑκάστῳ τῶν ἀνθρωπίνως γεγονότων τὸν αὐτὸν ἐφαρμόζων λόγον εὑρήσεις ἐν Χριστῷ τὰ τῆς σαρκὸς πάθη κεκινημένα, οὐχ ἵνα κρατήσῃ ὥσπερ καὶ ἐν ἡμῖν, ἀλλ' ἵνα κινηθέντα καταργηθῇ τῇ δυνάμει τοῦ ἐνοικήσαντος λόγου πρὸς τὸ ἄμεινον μεταποιουμένης τῆς φύσεως. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου, ἔχουσα οὕτως· ἄνθρωπος γέγονεν ὁ τοῦ Θεοῦ λόγος, οὐχ ἵνα πάλιν ὡς Θεὸς πρὸ τῆς ἐνανθρωπήσεως πράττῃ καὶ λαλῇ, ἀλλ' ἵνα πολλάκις καὶ διὰ τὴν χρείαν τῆς μετὰ σαρκὸς οἰκονομίας καὶ

ὡς

ὡς ἄνθρωπος λέγῃ τινά· ταύτην ἔχοντος τοῦ μυστηρίου τὴν δύναμιν, πῶς οὐκ ἄτοπον σκανδαλίζεσθαι τοὺς ἀκροωμένους ἀνθρωπινώτερον ἔσθ' ὅτε λαλοῦντος αὐτοῦ; λαλεῖ γὰρ ὡς ἄνθρωπος, λαλεῖ δὲ καὶ ὡς Θεὸς ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν. ἀνθρωπίνως μὲν γὰρ ἔλεγε· νῦν ἡ ψυχή μου τετάρακται. θεϊκῶς δέ· πάλιν ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. τὸ μὲν οὖν ταράττεσθαι τῆς σαρκὸς ἴδιον πάθος· τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναί τε καὶ πάλιν ἀναλαβεῖν τὴν ψυχὴν, τῆς τοῦ λόγου δυνάμεως ἔργον ἐστίν. ὥσπερ οὖν ὅταν λέγῃ τι θεϊκῶς, καί τοι φαινόμενος ἄνθρωπος, οὐ σκανδαλιζόμεθα, ἀλλ' ἐννοοῦμεν τὸν ἐνοικοῦντα τῇ σαρκὶ λόγον, οὕτως ὅταν τι λαλῇ ὡς ἄνθρωπος, μὴ σκανδαλιζώμεθα ἐννοοῦντες, ὅτι δι' ἡμᾶς γέγονεν ἄνθρωπος, καὶ τὰ τῇ ἀνθρωπότητι πρέποντα λαλεῖ. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς τὸ αὐτὸ βιβλίον, καὶ ἐστοίχησεν.

Ἰωάν. 12.

Ἰωάν. 10.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ κατὰ τῶν Ἰουλιανοῦ δογμάτων βιβλίου τρίτου, ἀπὸ λόγου δωδεκάτου, οὗ ἡ ἀρχή· πειρᾶται μὲν ὁ δι' ἐναντίας· ἔχουσα οὕτως· ἐπειδὴ δὲ εἰ μὴ τὸ ἀβούλητον ἐποιήσατο θελητὸν, οὐδ' ἂν ἔπαθεν ὅλως, δείκνυσι μὲν ἀναγκαίως ἀβούλητον μὲν τὸ ἐν τῷ παθεῖν δυσκλεὲς, ὡς ἔφην, αἱρετὸν δ' ὅμως διὰ τὸ πᾶσι χρήσιμον· καὶ τὴν μὲν ἀνεθελησίαν ἡ τοῦ ποτηρίου παραίτησις ἔχει· τόγε μὴν ἑκόντα παθεῖν τὸ εἰρημένον πρὸς τὸν πατέρα· πλὴν μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω· συνευδοκήσαντος γὰρ τοῦ Θεοῦ καὶ πατρὸς, καὶ οἷον συνεύοντος ταῖς σοφωτάταις οἰκονομίαις τοῦ υἱοῦ τὸν κατὰ σάρκα θάνατον ὑπομεῖναι λέγεται, ἵνα ἐκ νεκρῶν ἀναστὰς καταργήσῃ τὸν θάνατον, καὶ ἀνατρέψῃ φθορὰν, καὶ δικαιώσῃ τὴν ὑπ' οὐρανόν. καὶ μετὰ βραχέα· ἄθρει δὴ οὖν, ὅπως διὰ τὸ ἀναστῆσαι τὸ δοθὲν αὐτῷ, τουτέστιν ἡμᾶς, τὸ ἀνεθέλητον αὐτῷ διὰ τὰς ἐν τῷ παθεῖν ἀτιμίας αἱρετὸν ἐποιήσατο. ὑπέμεινε γὰρ σταυρὸν αἰσχύνης καταφρονήσας, ὡς ὁ θεσπέσιος γράφει Παῦλος· ὅτι δὲ ἦν τὸ πάθος ἀνεθέλητον μὲν αὐτῷ τόγε ἧκον εἰς τὴν τῶν ἀνθρωπίνων ἐννοιῶν ἀσθένειαν, πλὴν καίτοι πολὺ τὸ δυσκλεὲς ἔχον αἱρετὸν διὰ τὸ τῷ Θεῷ δοκοῦν· δοκεῖ δὲ πᾶν ὁτιοῦν ὑπομεῖναι θέλειν τοὺς αὐτῷ * γνησίως ὑπέργε τοῦ διασῶσαι πολλούς· κατίδοι τις ἂν εὖ μάλα καὶ ἐν τοῖς εὐαγγελικοῖς διηγήμασιν. ἥτις χρῆσις ὡσαύτως ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης τυγχάνον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησε.

Ματθ. 26.

Ἑβρ. 12.

* ἴσως, γνησίους.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγελίου τόμου * δεκάτου ἔχουσα οὕτως. εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ συμβὰν οὐχὶ πάντῃ τε καὶ πάντως θελητὸν ἦν αὐτῷ, ἀλλ' οὖν τῆς ἁπάντων ἕνεκα σωτηρίας καὶ ζωῆς θελητὸν ἐποίησατο τὸ ἐπὶ τῷ σταυρῷ πάθος, ᾔδει γὰρ, ᾔδει σαφῶς τὰ ἐντεῦθεν ἐσόμενα κατορθώματα, καὶ ὅτι τὴν ἀνθρώπου φύσιν ἀνακαινιεῖ, καὶ αἵματι τῷ οἰκείῳ κατακτήσεται τῷ Θεῷ καὶ πατρί· εἰ γὰρ μὴ ἐποιήσατο θελητὸν, καίτοι λίαν ἀβούλητον ὄν, τὸ παθεῖν, τίς ἂν νοοῖτο λοιπὸν ἡ πρόφασις τοῦ προσεύχεσθαι αὐτὸν, καὶ λέγειν· πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο; τοῦ αὐτοῦ ἀπὸ τόμου δωδεκάτου· καὶ ὑπόκειται μὲν τὸ δεῖμα τοῦ παθεῖν ἐν αὐτῷ διὰ τὸ ἀνθρώπινον. * κατασκευάζεται δὲ παραχρῆμα τῇ τοῦ ἐνοικοῦντος λόγου ῥώμῃ τε καὶ εὐσθενείᾳ· θέα γὰρ ὅπως παραδεικνύει μὲν ἐν αὐτῷ τὸ ἀνθρώπινον ἡ παραίτησις· τὸ δὲ τῆς θεότητος ἀκαμπὲς ἀνέλαμψεν εὐθύς. ἔφη γὰρ πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· ἀνθρωποπρεπῶς δὲ καὶ τοῦτο φησίν. ἐπεὶ κατὰ τὸ εἶναι Θεὸς οὐκ ἔξω τῶν τοῦ πατρὸς θελημάτων ἐστί· μᾶλλον δὲ αὐτός ἐστιν ἡ βούλησις τοῦ Θεοῦ καὶ πατρὸς. εἴπερ ἐν σοφίᾳ καὶ τὸ θέλειν ἐστὶ τοῦ πατρὸς, σοφία δὲ ὁ υἱός. ὅτι δὲ καὶ θέλησις ὀνομάζεται τοῦ πατρὸς ὁ μονογενὴς, σαφηνιεῖ λέγων ὁ θεσπέσιος ψαλμῳδός. κύριε ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν. ἐν Χριστῷ γὰρ ἡ πᾶσα * δύναμις τῶν ἐπουρανίων ἀγαθῶν παρὰ τοῦ Θεοῦ καὶ πατρός. ἄλλως τε μιᾶς τε καὶ ὁμοουσίου τῆς ἁγίας οὔσης Τριάδος, καὶ μιᾶς θεότητος ἐν αὐτῇ νοουμένης, πῶς οὐκ ἂν εἴη θέλημα ταυτὸν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος; πρεπωδέστατα τοίνυν τῷ τῆς ταπεινώσεως σχήματι, καὶ ὡς ἄνθρωπος ὑποδειλιῶν ἠρέμα τὸν παρὰ φύσιν τε καὶ ἐξ ἀρᾶς εἰσβεβηκότα θάνατον, διαπτύων δὲ πάλιν ὡς Θεὸς, τό· οὐχ ὡς ἐγὼ θέλω, φησὶν, ἀλλ' ὡς σύ. αἵτινες δύο χρήσεις ὡσαύτως ἀντεβλήθησαν πρὸς χαρτῷον βιβλίον τῆς βιβλιοθήκης τυγχάνον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησαν.

* ἴσ. ἀλλ' ἐν δεκάτου.

Ματθ. 26.

* ἴσ. κατευνάζεται.

Ψαλ. 30.

* L. δόσις

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Κυρίλλου ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου βιβλίου τετάρτου, οὗ ἡ ἀρχή· ὅτι καταβέβηκεν ἐκ τοῦ οὐρανοῦ· ἔχουσα οὕτως· μάλιστα μὲν γὰρ οὐκ ἀπολύτως, οὐδὲ εἰς πᾶσαν ἁπλῶς ὑπόθεσιν, ἀλλ' οὐδὲ ἐπὶ παντὸς πράγματος μὴ πάντῃ τε καὶ πάντως τῶν οἰκείων ἔχεσθαι θελημάτων ὁ υἱὸς διϊσχυρίσατο. φυλάξαι γε μὴν τὸ τοῦ πατρὸς λέγει κατὰ πράγματος ὡρισμένου διὰ τὰς σὰς, ὥς γε μοι πρόσεστι νοεῖν, εὐρεσιλογίας, προνοήσας τῆς ἡμετέρας ἀσφαλείας ὡς Θεός. ὑπομένει δὲ τὸ ἀβούλητον, καὶ ποιεῖται θελητὸν δι' ἡμᾶς· πάθος δέ φημι τὸ ἐπὶ τῷ σταυρῷ δηλονότι συναρέσαν * καὶ τῷ γεννήσαντι, καθάπερ ἡμῖν ἤδη προείρηται· καὶ γοῦν ἔξεστιν ὁρᾶν παρατεθεῖσαν εὐθὺς τὴν ἀπόδειξιν, καὶ παρακειμένην ἐναργῶς τὴν ὑπόθεσιν, ἐφ' ἣν καθάπερ αὐτός φησι, τῶν μὲν οἰκείων ἀπέστη θελημάτων, ἀποπληροῖ δὲ τὸ τοῦ πατρός. τοῦτο γάρ ἐστι, φησί, τὸ θέλημα τοῦ πατρὸς, ἵνα πᾶν ὃ δέδωκέ

* καταβέβηκα

* οὕτω.

Ἰωάν. 6.

δωκέμοι, μὴ ἀπολέσω ἐξ αὐτȣ̃· ἀλλ' ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· καὶ ὅτι μὲν ὄντως ἀνεθέλητόν τε ὁμȣ̃ καὶ θελητὸν τῷ μονογενεῖ τὸ ἐπὶ τῷ σταυρῷ πάθος ὁρᾶται, προείρηται μὲν ἤδη σαφῶς· διαληψώμεθα δὲ καὶ εἰσαῦθις ἀκριβεστέραις ἐρεύναις τοῖς ἐντευξομένοις ἁπλȣ̃ντες τὴν ἀλήθειαν.

Τȣ̃ αὐτȣ̃ ἐκ τȣ̃ αὐτȣ̃ λόγȣ· σκανδαλίζου τοιγαρȣ̃ν ἄνθρωπε μηδαμῶς, ὅταν ἀκȣ́σῃς λέγοντος· καταβέβηκα ἐκ τȣ̃ ȣ̓ρανȣ̃, ȣ̓χ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τȣ̃ πέμψαντος μέ. ὃ γὰρ ἐλέγομεν ἐξ ἀρχῆς, τȣ̃το πάλιν ἐρȣ̃μεν, κατὰ πράγματος ὡρισμένȣ καὶ ἐναργȣ̃ς, τὸν ἐπὶ τȣ́τῳ λόγον ἐποιήσατο ὁ Χριστός. διδάσκων γὰρ, ὅτι τὸ ὑπὲρ πάντων τεθνάναι θελητὸν μὲν ἔχει διὰ τὸ ȣ̓τω βεβȣλῆσθαι τὴν θείαν φύσιν, ἀνεθέλητον δὲ διὰ τὰ ἐπὶ τῷ σταυρῷ πάθη, καὶ τὸ ὅσον ἧκεν εἰς τὴν σάρκα παραιτȣμένην τὸν θάνατον, τὰ τοιαῦτα φησί. καὶ μακρὸς μὲν * ἤδη προανήλωται λόγος· ὅτι δὲ καὶ ἀνεθέλητόν πως ὁρᾶται τῷ σωτῆρι Χριστῷ, καθάπερ ἦν ἄνθρωπος, τὸ ἐπὶ τῷ σταυρῷ πάθος, καὶ ἐξ αὐτῆς ἀκόλȣθον ἡμᾶς τῆς τῶν πραγμάτων φύσεως κατιδεῖν. φαμὲν ȣ̓ν ὅτι τῆς Ἰȣδαϊκῆς ἔργον ἦν ἀπονοίας τȣ̃ πάντῃ τε καὶ πάντως σταυρωθήσεσθαι τὸν Χριστὸν, καὶ τȣ̃το ἀνυπερθέτως ἔμελλεν ἔσεσθαι παρ' αὐτῶν ȣ̓κ ἀμελέτητον ἐχόντων τὴν τόλμαν τὴν ἐπὶ τȣ́τοις, ἀφ' ὧν ἤδη πεπράχεσαν εἴς τε τȣ̀ς ἁγίȣς προφήτας, καὶ τȣ̀ς οἵπερ ἂν ἦσαν κατ' ἐκεῖνο καιρȣ̃ γεγονότες ἅγιοι. ἐπεὶ δὲ ȣ̓χ ἑτέρως ἦν τὸ πεπτωκὸς εἰς θάνατον ἐξαναστῆσαι πάλιν εἰς ζωὴν, εἰ μὴ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τȣ̃ Θεȣ̃ λόγος, ἔδει δὲ πάντως γεγονότα παθεῖν, τὸ ἀνεθέλητον ἐποιήσατο θελητόν· αἵ τινες δύο χρήσεις ὁμοίως ἀντεβλήθησαν πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησαν.

Ἔτι ἀνεγνώσθη ἐκ τȣ̃ αὐτȣ̃ κωδικίȣ χρῆσις τȣ̃ αὐτοῦ ἁγίȣ Κυρίλλȣ ἐκ τῆς αὐτῆς ἑρμηνείας βιβλίȣ ὀγδόȣ· οὗ ἡ ἀρχή· ἡ ȣ̓ν Μαρία λαβοῦσα λίτραν μύρȣ· ἔχȣσα οὕτως· ὅρα δὴ πάλιν ἐν τούτοις τῆς μὲν ἀνθρωπίνης φύσεως τὸ εἰς θορύβȣς εὔκολον, καὶ εὐπαρακόμιστον εἰς δειλίαν, τῆς δὲ θείας αὐτῆς καὶ ἀῤῥήτȣ δυνάμεως τὸ ἐφ' ἅπασιν ἀῤῥαγές τε καὶ ἄθραυστον, καὶ εἰς μόνην βλέπον τὴν αὐτῇ πρέπȣσαν ἀνδρείαν· ἡ μὲν γὰρ τοῦ θανάτȣ παρεισδύσασα μνήμη ταράττειν πειρᾶται τὸν Ἰησοῦν· ἡ δὲ τῆς θεότητος δυνάμις κεκινημένον εὐθὺς χειροῦται τὸ πάθος, καὶ μεταμορφοῖ παραχρῆμα πρὸς ἀσύγκριτον εὐτολμίαν τὸ δειλία νενικημένον. οἰησώμθα γὰρ καὶ ἐν τῷ σωτῆρι Χριστῷ κεκινῆσθαι τὰ ἀνθρώπινα διὰ δύο καὶ ἀναγκαίȣς τρόπȣς. ἔδει γὰρ, ἔδει διὰ τȣ́των αὐτῶν οὐ δοκήσει καὶ ὑπονοίᾳ, φυσικῶς δὲ μᾶλλον καὶ ἀληθῶς ἄνθρωπον ἐκ γυναικὸς γεγονότα φαίνεσθαι πάντα φέροντα τὰ ἀνθρώπινα, δίχα μόνης ἁμαρτίας. φόβος δὲ καὶ δειλίᾳ πάθη μὲν ἐν ἡμῖν φυσικὰ, τόγε μὴν ἐν ἁμαρτίαις τετάχθαι διαπεφευγότα. καὶ πρὸς τούτοις ἔτι χρησίμως ὑπεκινεῖτο ἐν Χριστῷ τὰ ἀνθρώπινα, οὐχ ἵνα κινηθέντα κρατύνηται, καὶ εἰς τὰ πρόσω χωρῇ, καθάπερ καὶ ἐφ' ἡμῶν· ἀλλ' ἵνα κεκινημένα τῇ δυνάμει τοῦ λόγȣ διακόπτηται, πρὸς ἀμείνω τινὰ καὶ θειοτέραν κατάστασιν μεταστοιχειȣμένης τῆς φύσεως ἐν πρώτῳ Χριστῷ. ἦν γὰρ οὕτω καὶ οὐχ ἑτέρως καὶ εἰς ἡμᾶς αὐτοὺς τὸν τῆς ἰάσεως διαβῆναι τρόπον. τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἑρμηνείας βιβλίȣ δεκάτȣ, ἧς ἡ ἀρχή· ὁ ἔχων τὰς ἐντολάς μȣ καὶ τηρῶν αὐτάς. ὥσπερ ἐστὶν ὁμοούσιος, οὕτω καὶ συνθελητὴς τῷ ἰδίῳ γενήτορι. μιᾶς γὰρ οὐσίας ἐν δήπȣ τὸ θέλημα, καὶ σκοπὸς ἐφ' ἅπασιν εἷς, καὶ τὸ διαφωνοῦν οὐδέν· τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἑρμηνείας βιβλίȣ δωδεκάτȣ, οὗ ἡ ἀρχὴ, ὅτι Θεὸς κατὰ φύσιν ὁ υἱός· πεπληρωμένης πάσης ἀσεβείας ἐπὶ Χριστῷ παρὰ τῆς τῶν Ἰȣδαίων ἀνοσιότητος, καὶ λοιπὸν ἐλλελοιπότος ȣ̓δενὸς, εἰς τὸ φαίνεσθαι τελείως ἔχȣσαν τὴν ὑπὲρ λόγον ὠμότητα, πάσχει τι πάλιν ἐν τελευταίοις ἡ σὰρξ ἴδιόν τε καὶ φυσικόν. εἰσδέχεται γὰρ τὸ διψῆν ταῖς πολυτρόποις αἰκίαις ξηραινομένη. δεινοὶ γὰρ οἱ πόνοι πρὸς τὸ ἀναγκάσαι διψῆν, ἐμφύτῳ τινὶ καὶ ἀφράστῳ θερμότητι τὴν ἐν τῷ βάθει δαπανῶντες ἰκμάδα, καὶ διαπύροις τισὶ προσβολαῖς τὸ τοῦ πάσχοντος διακαίοντες σπλάγχνον· ἦν μὲν γὰρ οὐ χαλεπὸν τῷ πάντα ἰσχύοντι Θεῷ λόγῳ ἀποστῆσαι καὶ τοῦτο τῆς ἰδίας σαρκός· ἀλλ' ὥσπερ ἑκὼν ἐφῆκε παθεῖν τὰ ἕτερα, πάσχει καὶ τοῦτο καθ' ἑκούσιον βούλησιν· οὐκοῦν ἐζήτει πιεῖν. αἵ τινες τρεῖς χρήσεις ὡσαύτως ἀντεβλήθησαν πρὸς βιβλία χαρτῷα τῆς βιβλιοθήκης τυγχάνοντα τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείȣ, καὶ ἐστοίχησαν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίȣ χρῆσις τοῦ ἁγίȣ Ἐπιφανίȣ ἀρχιεπισκόπȣ Κύπρȣ ἐκ τῶν Παναρίων, ἀπὸ λόγȣ ξθ'. κατὰ Ἀρειομανιτῶν, οὗ ἡ ἀρχή. τούτȣς τȣ̀ς περὶ Μελέτιον· ἔχȣσα οὕτως· προπηδήσαντες τοίνυν οἱ λεξίθηρες εὐθέως ὡς πρόφασιν κατ' ἐχθροῦ εὐράμενοι ἐπιφέρȣσι λέγοντες· ὁρᾶς, ὅτι ἐπεδέετο ἰσχύος ἀγγέλων; ἐνίσχυσε γὰρ αὐτὸν ἄγγελος· ἐν ἀγωνίᾳ γὰρ αὐτὸς ἐγένετο. καὶ οὐκ ἴσασιν ὅτι ἐὰν μὴ ἔχῃ ταῦτα πάντα, καὶ τό· μὴ τὸ ἐμὸν βούλημα, ἀλλὰ τὸ σόν· καὶ ἐὰν μὴ ἀγωνιάσῃ, καὶ ἐὰν μὴ ἱδρὼς αὐτῷ γένηται ἐκ σώματος προχεόμενος, ἄρα δόκησις ἦν ἡ ἐνσαρκος τοῦ Χριστοῦ παρȣσία. καὶ * εὐλόγως παρὰ Μανιχαίων καὶ Μαρκιωνιστῶν ἡ περὶ φαντασίας δόκησις τῆς ἐνσάρκȣ παρȣσίας ὑπόθεσις ᾄδεται, καὶ οὐκ ἀληθεστάτη. ταῦτα δὲ πάντα ἐπασφαλιζόμενος ἡμῶν τὴν ζωὴν τὰ ὅλα ἀνεδέξατο οἰκονομικῶς ἀνθρωποπαθῆ τινα διηγήματα ἔχων, καὶ οὐχ εἰρωνείᾳ, ἀλλ' ἀληθείᾳ τό· μὴ τὸ ἐμὸν βȣ́λημα, ἵνα δείξῃ σαρκὸς ὑπόστασιν ἀληθινήν· καὶ ἵνα ἐλέγξῃ τοὺς λέ-

Ἰωάν. 6.

* ἡμῖν.

Ἰωάν. 12.

Ματθ. 26.

* εὔκολος in edit. S. Epiphauii.

λέγοντας, νῦν μὴ ἐσχηκέναι αὐτὸν ἀνθρώπινον· καὶ ἐλέγξῃ τοὺς μὴ λέγοντας αὐτὸν σάρκα ἐσχηκέναι. πᾶς γὰρ θεῖος λόγος ἀνὰ μέσον τῶν υἱῶν τοῦ σκότους ἑστὼς ἐλέγχει μὲν τὸ σκότος, φωτίζει δὲ τοὺς υἱοὺς τῆς ἀληθείας. ὅρα γὰρ πόσα χρήσιμα ἐν τῷ λόγῳ τούτῳ. ἀπὸ ἀσωμάτων οὐ προέρχεται ἱδρώς· ἐν δὲ τῷ τοῦτο γενέσθαι ἔδειξεν ἀληθινὴν σάρκα, καὶ οὐ δόκησιν. ἀπὸ σαρκὸς ἐν θεότητι συνηνωμένης χωρὶς ψυχῆς τε καὶ νοὸς οὐ γίνεται ἀγωνίᾳ· ἀγωνιάσαντος δὲ αὐτοῦ ἔδειξε ψυχὴν καὶ σῶμα καὶ νοῦν ἐπὶ τὸ αὐτὸ πεφορηκέναι, ὅθεν ἡ ἀγωνία γίνεται. καὶ πάλιν ἐν τῷ εἰπεῖν· μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν, ἔδειξεν ἀληθῶς νοῦν ἀνθρώπινον, ἀλλ' ἀναμάρτητον. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Γρηγορίου ἐπισκόπου Ναζιανζοῦ ἐκ τοῦ περὶ υἱοῦ δευτέρου λόγου, οὗ ἡ ἀρχή· ἐπειδή σοι τὰς μὲν ἐκ τῶν λογισμῶν, ἔχουσα οὕτως. ἕβδομον λεγέσθω τὸ καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ τὸν υἱὸν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πέμψαντος. εἰ μὲν οὖν μὴ παρὰ τοῦ κατεληλυθότος αὐτοῦ ταῦτα ἐλέγετο, εἴποιμεν ἂν ὡς παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον, οὐ τοῦ κατὰ τὸν σωτῆρα νοουμένου. τὸ γὰρ ἐκείνου θέλειν οὐδὲ ὑπεναντίον Θεῷ θεωθὲν ὅλον· ἀλλὰ τοῦ καθ' ἡμᾶς, ὡς τοῦ ἀνθρωπικοῦ θελήματος οὐ πάντως ἑπομένου τῷ θείῳ, ἀλλ' ἀντιπίπτοντος ὡς τὰ πολλὰ καὶ ἀντιπαλαίοντος.
Ματθ. 26. καὶ γὰρ ἐκεῖνο οὕτως ἐνοήσαμεν τό· πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, τὸ δὲ σὸν ἰσχυέτω θέλημα. οὔτε γὰρ εἰ δυνατὸν ἢ μὴ τοῦτο, ἀγνοεῖν ἐκεῖνον εἰκός· οὔτε τῷ θελήματι ἀντισφέρειν τὸ θέλημα * ἐπειδὴ ὡς παρὰ τοῦ προσλαβόντος ὁ λόγος, τοῦτο γὰρ τὸ κατεληλυθὸς, οὐ τοῦ προσλήμματος, οὕτως ἀπαντησόμεθα, οὐχ ὡς ὄντος ἰδίου * τοῦ υἱοῦ θελήματος παρὰ τὸ τοῦ πατρὸς, ἀλλ' ὡς οὐκ ὄντος ὁ λόγος· ἵνα ᾖ τοιοῦτον τὸ συναγόμενον· οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν· οὐδὲ γάρ ἐστι τὸ ἐμὸν τοῦ σοῦ κεχωρισμένον, ἀλλὰ τὸ κοινὸν ἐμοῦ τε καὶ σοῦ· ὧν ὡς μία θεότης, οὕτω καὶ βούλησις. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασι κροκωτοῖς τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

*L. ἐπειδὴ οὖν

* f τῷ υἱῷ utrumque recte.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τῶν θησαυρῶν λόγου κδ. οὗ ἡ ἀρχή. εἰ παρά τινος τῶν τυχόντων, ἔχουσα οὕτως· ὅταν οὖν φαίνηται δειλιῶν τὸν θάνατον, καὶ λέγων· εἰ
Ματθ. 26. δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἐννόει πάλιν, ὅτι δειλιῶσα τὸν θάνατον ἡ σὰρξ ἐδιδάσκετο φορουμένη παρὰ τοῦ Θεοῦ λόγου μηκέτι τοῦτο πάσχειν. ἔλεγε γὰρ πρὸς τὸν πατέρα· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· οὐκ ἐφοβεῖτο μὲν γὰρ, καθὸ λόγος ἐστὶ καὶ Θεὸς, τὸν θάνατον αὐτὸς, ἀλλ' εἰς τέλος διεξάγειν τὴν οἰκονομίαν ἠπείγετο. τοῦτο γὰρ ἦν τὸ θέλημα τοῦ πατρός. ἔχει δὲ καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, διὰ τὸ παραιτεῖσθαι τὴν σάρκα τὸν θάνατον φυσικῶς. διδάσκων τοίνυν τὴν ἀνθρωπότητα μηκέτι τὰ αὐτῇ προσόντα φρονεῖν, ἀλλὰ τὸ τοῦ Θεοῦ θέλημα ζητεῖν, ὡς ἄνθρωπος λέγει. οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. διὰ τοῦτο γὰρ φαίνεται καὶ προσθείς· τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον τοῦ εὐαγοῦς ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Κυρίλλου ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάννην εὐαγγελίου βιβλίου τετάρτου, οὗ ἡ ἀρχή· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, ἔχουσα οὕτως· ὅτι δὲ καὶ ἀνεθέλητον μὲν πώς ἐστι τῷ σωτῆρι Χριστῷ τὸ ἐπὶ τῷ σταυρῷ πάθος, θελητὸν δὲ δι' ἡμᾶς, καὶ τὴν εὐδοκίαν τοῦ Θεοῦ καὶ πατρὸς, συνήσεις ἐντεῦθεν. μέλλων γὰρ ἀναβαίνειν ἐπ' αὐτὸν, τὰς πρὸς Θεὸν ἐποιεῖτο διαλέξεις, ὡς ἐν προσευχῆς δηλονότι σχήματι λέγων· πάτερ εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· ὅτι μὲν γὰρ Θεὸς ἦν ὁ λόγος ἀθάνατός τε καὶ ἀδιάφθορος, καὶ αὐτὸ κατὰ φύσιν ζωὴ, καταπτήσσειν οὐκ ἤδει τὸν θάνατον, πᾶσιν οἶμαι προδηλότατον· ἐπιτρέπειγε μὴν ὡς ἐν σαρκὶ γεγονὼς ὑπομένειν τὰ ἴδια τῇ σαρκὶ, καὶ γεγονότα λοιπὸν ἐπὶ θύραις ὑποπτήσσειν ἐᾷ τὸν θάνατον, ἵνα φαίνηται κατὰ ἀλήθειαν ἄνθρωπος. διὰ τοῦτο φησίν· εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. εἰ ἐνδέχεται, φησὶν, ὦ πάτερ, μὴ παθόντα τὸν θάνατον κατορθῶσαι τοῖς εἰς αὐτὸν * πεσοῦσι τὴν ζωήν. εἰ ἀποθνήσκει θάνατος μὴ τεθνεῶτος ἐμοῦ, κατὰ τὴν σάρκα δηλονότι, παροιχέσθω, φησὶ, τὸ ποτήριον· πλὴν ἐπειδήπερ οὐκ ἂν γένοιτο, φησὶν, ἑτέρως, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ὁρᾷς ὅπως ἀτονοῦσα μὲν ἡ ἀνθρώπου φύσις καὶ ἐν αὐτῷ τῷ Χριστῷ, τὸ ὅσον εἰς αὐτὴν, εὑρίσκεται; ἀνακομίζεται δὲ διὰ τοῦ ἑνωθέντος αὐτῇ λόγου πρὸς εὐτολμίαν θεοπρεπῆ, καὶ εἰς φρόνημα νεανικὸν μεταπαιδεύεται, ὡς μὴ τοῖς ἰδίοις τὸ δοκοῦν ἐπιτρέψαι θελήμασιν, ἀλλὰ σκοπῷ μᾶλλον ἀκολουθεῖν τῷ θείῳ, καὶ πρὸς ἐκεῖνο τρέχειν ἐπείγεσθαι, πρὸς ὅπερ ἂν ἡμᾶς ὁ τοῦ πεποιηκότος ἀνακαλεῖται νόμος; ὅτι δὲ τὰ τοιαῦτά φαμεν ἀληθεύοντες, ἐξ αὐτοῦ μαθήσῃ τοῦ συνεζευγμένου. τὸ μὲν γὰρ πνεῦμα, φησὶ, πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· οὐ γὰρ ἠγνόησε Χριστὸς, ὅτι τῆς θεοπρεποῦς ἀξίας πολὺ δὴ λίαν ἀπελιμπάνετο τὸ δοκεῖν ἡττᾶσθαι θανάτῳ, καὶ τῆς ἀπ' αὐτοῦ δειλίας αἰσθάνεσθαι· διὰ τοῦτο θερμοτάτην τοῖς εἰρημένοις ἐπηύεγκε τὴν ἀπολογίαν. ἠσθενηκέναι μὲν γὰρ τὴν σάρκα διὰ τὸ αὐτῇ πρέπον καὶ φύσει προσὸν εἰπὼν, πρόθυμον δ' οὖν ὅμως ὑπάρχειν τὸ πνεῦμα, τὸ παθεῖν οὐδὲν τῶν ἀδικουντων εἰδώς·

Ἰωάν. 6.

ὁρᾷς

ὁρᾶς ὅπως ἀβούλητος τῷ Χριστῷ διάτε τὴν σάρκα καὶ τὴν ἐκ τοῦ πάθους ἀδοξίαν ὁ θάνατος, θελητὸς δ' οὖν ὅμως ἄχρις ἂν εἰς αἴσιον διεξάγεται πέρας τῷ κόσμῳ παντὶ τὸ ἐν εὐδοκίᾳ τοῦ πατρὸς, τουτέστιν ἡ πάντων σωτηρία καὶ ζωή, ἥτις χρῆσις ὡσαύτως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ περὶ τῆς ἐνανθρωπήσεως λόγου κατὰ Ἀπολλιναριανῶν· οὗ ἡ ἀρχή· ὁ μὲν τρόπος τοῦ εὐσεβοῦς· ἔχουσα οὕτως· ὅτε τὸν Ἀδὰμ ἀρχῆθεν ἔπλασεν ὁ Θεὸς, μή τί γε σύμφυτον αὐτῷ δέδωκε τὴν ἁμαρτίαν; τίς οὖν ἔτι χρεία τῆς ἐντολῆς; πῶς δὲ αὐτὸν κατεδίκασεν ἁμαρτήσαντα; πῶς δὲ καὶ πρὸ τῆς παρακοῆς οὐκ ἐγίνωσκε καλὸν καὶ πονηρὸν ὁ Ἀδὰμ, ὃν ἔπλασεν ὁ Θεὸς ἐπὶ ἀφθαρσίᾳ καὶ εἰκόνι τῆς ἰδίας ἀϊδιότητος, ἐποίησεν αὐτὸν φύσιν ἀναμάρτητον, καὶ θέλησιν αὐτεξούσιον. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι κρωκωτοῖς τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Γενίσ. 1. 2. 3. 1.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Αὐγουστίνου ἐπισκόπου Ἱππονορηγίου ἐκ τοῦ κατὰ Ἰουλιανοῦ Πελαγιανιστοῦ βιβλίου πέμπτου, ἔχουσα οὕτως· κίνησις ψυχῆς τί ἐστιν, εἰ μὴ κίνησις φύσεως; ἡ γὰρ ψυχὴ ἀνενδοιάστως φύσις ἐστί· διόπερ τὸ θέλημα κίνησις φύσεως ὑπάρχει, ἐπειδὴ κίνησίς ἐστι ψυχῆς. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον ἐν Ῥωμαϊκοῖς γράμμασι γεγραμμένον, ἑρμηνεύσαντος Κωνσταντίνου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ γραμματικοῦ Ῥωμαϊκοῦ, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις περὶ ἐνεργειῶν, τοῦ ἁγίου Λέοντος πάπα Ῥώμης, ἐκ τῆς πρὸς Φλαβιανὸν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως ἐπιστολῆς, ἧς ἡ ἀρχή· ἀναγνόντες τὰ γράμματα· ἔχουσα οὕτως. ὥσπερ τῷ ἐλεεῖν ὁ Θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕτως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς θείας ἀξίας οὐκ ἀναλίσκεται. ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελουῦντος ἅπερ ἐστὶ τοῦ σώματος. καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκε. καὶ καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοιπεν· εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς υἱὸς τοῦ Θεοῦ, καὶ ἀληθῶς υἱὸς ἀνθρώπου τυγχάνει. ἥτις χρῆσις ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασιν ἀργυρένδετον τοῦ σκευοφυλακίου τυγχάνον τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἁγίου Λέοντος, ἐκ τῆς πρὸς Λέοντα τὸν εὐσεβέστατον βασιλέα δευτέρας ἐπιστολῆς. ἧς ἡ ἀρχή· ὑποχόμενον ἐμαυτὸν διαμέμνημαι· ἔχουσα οὕτως· τοιγαροῦν εἰ καὶ τὰ μάλιστα ἐν τῷ ἑνὶ δεσπότῃ Ἰησοῦ Χριστῷ τῷ ἀληθεῖ τοῦ Θεοῦ καὶ ἀνθρώπου υἱῷ, τοῦ τε λόγου καὶ τῆς σαρκὸς ἓν ὑπάρχει τὸ πρόσωπον, ὅπερ ἀχωρίστως καὶ ἀδιαιρέτως κοινὰς ἔχει τὰς πράξεις· δεῖ νοεῖν ὅμως αὐτῶν τῶν ἔργων τὰς ποιότητας, καὶ τῇ κατανοήσει τῆς εἰλικρινοῦς πίστεως δεῖ καθορᾶν, ἐπὶ ποῖα μὲν ἡ τῆς σαρκὸς προάγεται ταπεινότης, ἐπὶ ποῖα δὲ τὸ ὕψος τῆς θεότητος ἐπικλίνεται· καὶ μετὰ βραχέα· καὶ τὸ δὴ πέρας δίχα μὲν τῆς τοῦ λόγου δυνάμεως οὐκ ἂν ἑαυτὸν ὁ κύριος ἴσον τῷ πατρὶ τυγχάνειν ὡμολόγει, δίχα δὲ τῆς αληθείας τοῦ σώματος οὐκ ἂν ὁ αὐτὸς ἔλεγε μείζονα εἶναι ἑαυτοῦ τὸν πατέρα· ὁπότε ἡ καθολικὴ πίστις ἑκάτερον δέχεται, καὶ ἑκάτερον ἐκδικεῖ· ἥτις κατὰ τὴν ὁμολογίαν τοῦ μακαρίου ἀποστόλου Πέτρου ἕνα Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος καὶ ἄνθρωπον πιστεύει καὶ λόγον· εἰ καὶ τὰ μάλιστα τοίνυν ἐξ ἐκείνης τῆς ἀρχῆς, ἀφ' ἧς ἐν τῇ γαστρὶ τῆς παρθένου ὁ λόγος γέγονε σὰρξ, οὐ δ' ὁτιοῦν ἦν διαιρέσεως ἀνὰ μεταξὺ τῆς ἑκατέρας μορφῆς, καὶ διὰ πάσης αὐξήσεως σωματικῆς ἑνὸς προσώπου αἱ τοῦ παντὸς χρόνου πράξεις γεγόνασιν, ὅμως αὐτὰ ταῦτα, ἅπερ ἀχωρίστως γεγένηται, κατ' οὐδεμίαν ἐπιμιξίαν συγχέομεν, ἀλλὰ τί ποίας εἴη μορφῆς ἐκ τῆς τῶν ἔργων ποιότητος αἰσθανόμεθα. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς τὸ αὐτὸ ἐν σώμασι βιβλίον ἀργυρένδετον τοῦ σκευοφυλακίου ὑπάρχον τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ ἐστοίχησεν.

Ματθ. 16.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος ἐξ ἧς ἐποιήσατο ἐκθέσεως πίστεως περὶ τῆς ὀρθῆς ὁμολογίας· ἧς ἡ ἀρχή· ἱκανῶς τὸν κατὰ Ἰουδαίων καὶ καθ' Ἑλλήνων, ἔχουσα οὕτως· ὥσπερ τοῦ φωτὸς, ᾗ φῶς ἐστιν ἓν, τὴν ἐνέργειαν οὐκ ἄν τις χωρίσειε τοῦ σώματος αὐτοῦ τοῦ δεκτικοῦ, τῷ λόγῳ δὲ διελὼν γνωρίσειε τὴν φύσιν ἧς ἐστιν ἰδία ἡ ἐνέργεια, * οὕτως ἐπὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ πᾶσαν μὲν ἐνέργειαν οὐκ ἄν τις χωρίσειε τῆς μιᾶς υἱότητος, τῆς δὲ φύσεως, ἧς ἐστι οἰκεῖον τὸ γινόμενον, τῷ λόγῳ γνωρίσειεν· ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

* οὕτω καὶ

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ εἰς Θωμᾶν τὸν ἀπόστολον, καὶ κατὰ Ἀρειανῶν λόγου· οὗ ἡ ἀρχή. τῷ μὲν νόμῳ τῆς ἐκκλησίας πειθόμενος· ἔχουσα οὕτως· ταῦτα ἀκούσας ἐκάθαρα τὴν ψυχὴν ἀπιστίας, ἀπεδυσάμην τὴν ἀμφίβολον γνώμην, ἀνέλαβον νοῦν πεπεισμένον, ἡψάμην τοῦ σώματος χαίρων καὶ τρέμων, ἐξήπλωσα μετὰ τῶν δακτύλων καὶ τὸ τῆς ψυχῆς ὄμμα, καὶ δύο λοιπὸν ἐνερ-

ἐνεργειῶν ἠθόμιλω. ἤ τις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι προσενεχθὲν ἐκ μέρους τῆς τῶ ἀποστολικῶ θρόνω τῆς πρεσβυτέρας Ρώμης, καὶ ἐσοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τῶ αὐτῶ κωδικίω χρῆσις τῶ ἁγίω Γρηγορίω ἐπισκόπω Νύσσης ἐκ τῶ τῆς κατὰ Εὐνομίαν τόμω πέμπτω. ἧ ἡ ἀρχή· περὶ δὲ τῆς Πέτρω τῶ ἀποστόλω φωνῆς· ἔχυσα· ὅτως. διαμένει ἀσύγχυτος τῆς τε τῆς σαρκὸς καὶ τῆς τῆς θεότητος ἰδιωμάτων ἡ θεωρία, ἕως ἂν ἐφ' ἑαυτῶ θεωρῆται τούτων ἑκάτερον, οἷόν τι λέγω, ὁ λόγος πρὸ τῆς αἰώνων ἦν, ἡ σὰρξ δὲ ἐπὶ τῆς ἐσχάτων γεγένηται χρόνων. καὶ οὐκ ἄντις ἀναστρέψας εἴπῃ ἢ ταύτῃ προαιώνιον εἶναι, ἢ ἐν τοῖς ἐσχάτοις γεγενῆσθαι τὸν λόγον· ἡ σὰρξ παθητικῆς ἐστι φύσεως, ἐνεργητικῆς δὲ ὁ λόγος· καὶ ὠδὲ αὖτε δημιουργικὴ τῆς ὄντων, ὅτε ἡ θεότης παθητικῶ ἔχει τῶ δυνάμιν. ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ὁ λόγος, ἐν τῇ τῶ θανάτω πεῖρα ὁ ἄνθρωπος. καὶ ὅτε ἐξ ἀϊδίου τὸ ἀνθρώπινον, ὅτε θνητὸν τὸ θεῖον· ἐπὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν θεωρεῖται τρόπον. ὅτε ζωοποιεῖ τὸν Λάζαρον ἡ ἀνθρωπίνη φύσις, ὅτε δακρύει τὸν κείμενον ἡ ἀπαθὴς ἐξουσία. ἀλλ' ἴδιον τῶ μὲν ἀνθρώπω τὸ δάκρυον, ἡ δὲ ζωὴ τῆς ὄντως ζωῆς· ὑ τρέφει τὰς χιλιάδας ἡ ἀνθρωπίνη ὠμοχειρία, ὅτε τρέχει ἐπὶ τῶ συκῶ ἡ παντοδυναμος ἐξουσία. τίς ὁ κοπιῶν ἐκ τῆς ὁδοιπορίας; καὶ τίς ὁ ἀπόνως ὅλον τὸν κόσμον ὑποστήσας τῷ λόγῳ; τί τὸ τῆς δόξης ἀπαύγασμα; τί τὸ τοῖς ἥλοις καταπειρόμενον; ποία μορφὴ ἐπὶ τῶ πάθος ῥαπίζεται; καὶ ποία ἐξ ἀϊδίου δοξάζεται; φανερὰ γὰρ ταῦτα κἂν μήτις ἐφερμηνεύσῃ τῷ λόγῳ, ὅτι αἱ μὲν πληγαὶ τῶ δούλω, ἐν ᾧ ὁ δεσποτης, αἱ δὲ τιμαὶ τῶ δεσπότω, περὶ ὃν ὁ δοῦλος· ὡς δηλαδὴ τὴν σωτηρίαν τε καὶ συμφυΐαν κοινὰ γίνεσθαι τὰ ἑκατέρω ἀμφότερα· τῶ τε δεσπότω τὸν δουλικὸν μώλωπας εἰς ἑαυτὸν ἀναλαβόντος, καὶ τῶ δούλω τῇ δεσποτικῇ δοξαζομένω τιμῇ.

Ἔτι ἀνεγνώσθη ἐκ τῶ αὐτῶ κωδικίω ἑτέρα χρῆσις τῶ αὐτῶ ἐκ τῆς αὐτῆς, τόμω ιβ'. ἧ ἡ ἀρχή. ἀλλ' ἴδωμεν καὶ τὸ ἐκ τῶ ἀκολούθω, ἔχυσα οὕτως· τέως δὲ μαθεῖν ἄξιον παρὰ τῆς προφερόντων ἡμῖν τὰς τοιαύτας φωνάς· ὅτι τὸ ἀναβαῖνον, καὶ τὸ ὁρώμενον, καὶ τό διὰ τῆς ἁφῆς γνωριζόμενον, καὶ πρὸς τούτοις τὸ τοῖς ἀνθρώποις διὰ τῆς ἀδελφότητος οἰκειούμενον· ἆρα τῆς θείας, ἢ τῆς ἀνθρωπίνης φύσεως ἴδιον εἶναι νομίζουσιν· εἰ μὲν γὰρ τὸ ψηλαφητὸν, καὶ ὁρατὸν, καὶ βρώσει καὶ πόσει διοικούμενον, καὶ τοῖς ἀνθρώποις ὁμοχθὲς καὶ ἀδελφὸν, καὶ ὅσα περὶ τὸ σωματικὸν καθορᾶται φύσιν, ταῦτα καὶ ἐν τῇ θεότητι βλέπουσι, λεγέτωσαν περὶ τοῦ μονογενοῦς Θεοῦ καὶ ταῦτα, καὶ ὅσα θέλουσι, μαρτυρείτωσαν αὐτῷ, καὶ τὸ πρακτικὸν ἐνέργειαν, καὶ τὸ τοπικὸν μετάστασιν, ὅπερ ἴδιον τῆς ἐν σώματι περιγεγραμμένων ἐστίν· εἰ δὲ ὁ μὲν διὰ τῆς Μαρίας ἀδελφοῖς διαλέγεται, ὁ δὲ μονογενὴς ἀδελφὸς οὐκ ἔχει· πῶς γὰρ ἂν ἐν ἀδελφοῖς τὸ μονογενὲς διασώζοιτο; καὶ ὁ εἰπών. πνεῦμα ὁ Θεὸς, φησὶ πρὸς τοὺς μαθητὰς ὁ αὐτὸς, ὅτι ψηλαφήσατέ με, ἵνα δείξῃ, ὅτι ψηλαφητὴ μοὶ ἡ ἀνθρωπίνη φύσις, ἀναφὲς δὲ τὸ θεῖον· καὶ ὁ εἰπών· πορεύομαι, τοῦτο τοπικὸν διασημαίνει μετάστασιν. ὁ δὲ τὰ πάντα ἐμπεριειληφὼς, ἐν ᾧ, καθὼς φησιν ὁ ἀπόστολος, ἐκτίσθη τὰ πάντα, καὶ ἐν ᾧ τὰ * πάντα συνέστηκεν, οὐδὲν ἐν τοῖς ὅλοις, ἔξω ἑαυτῶ ἔχει, εἰς ὃ κατά τινα κίνησιν ἢ μεταχώρησιν χωρήσαι· οὐδὲ γὰρ ἔστιν ἕτερος ἐνεργῆσαι τοῦτο κίνησιν μὴ τῶ μεθισαμένω τὸν μοῦ, ἐν ᾧ ἦν, ἀπολιπόντος, ἕτερον δὲ * ἀντικαταλαμβάνοντος τόπον· τὸ δὲ διὰ πάντων ἥκον, καὶ ἐν πᾶσιν ὂν, καὶ πάντα περικρατοῦν, καὶ ὑπ' οὐδενὸς τῆς ὄντων περιεργόμενον οὐκ ἔχει ὅπου μεταχωρήσει τοῦ μηδὲν εἶναι κενὸν τῶ θείω πληρώματος. αἵ τινες δύο χρήσεις ἀντεβλήθησαν πρὸς βιβλίον ἐν σώμασι χρυσοῖς τῆς βιβλιοθήκης ὑπάρχον τοῦ Διαγοῦς τῶ ἐνταῦθα πατριαρχείω, καὶ ἐσοίχησαν.

Ἔτι ἀνεγνώσθη ἐκ τῶ αὐτῶ κωδικίω χρῆσις τῶ αὐτῶ ἐκ τῆς πρὸς Εὐσάθιον ἐπιστολῆς περὶ τῆς ἁγίας Τριάδος, ἧς ἡ ἀρχή· ἔτι μοὶ καὶ πᾶσιν ἡμῖν· ἔχυσα ὅτως. ἐκεῖνοι δείξάτωσαν, διὰ τίνων τὸ τῆς φύσεως παρηλλαγμένον ἐπέγνωσαν. εἰ μὲν γὰρ ἐν δυνατὸν αὐτὴν ἐφ' ἑαυτῆς τοῦ θείαν φύσιν θεωρηθῆναι, καὶ τό, τε οἰκείως ἔχον, καὶ τὸ ἀλλότριον διὰ τῆς φαινομένων εὑρεῖν, οὐκ ἂν πάντως ἐδεήθημεν λόγων, ἢ τεκμηρίων ἑτέρων πρὸς τοῦτο τὸ ζητούμενον κατάληψιν. ἐπεὶ δὲ ἡ μὲν ὑψηλοτέρα τῆς * ζητουμένων ἐστὶ κατανοήσεως, ἐκ δὲ τεκμηρίων τινῶν περὶ τῆς διαφερόντων τοῦ γνῶσιν ἡμῶν σοχαστικῶς ἀναλογιζόμεθα, ἀνάγκη πᾶσα διὰ τῆς ἐνεργειῶν ἡμᾶς χειραγωγεῖσθαι πρὸς τοῦτο τῆς θείας φύσεως ἔρευναν. οὐκοῦν ἐὰν ἴδωμεν διαφερόντας ἀλλήλως τὰς ἐνεργείας τὰς παρὰ τὸ πατρός τε καὶ υἱὸς καὶ τὸ ἁγίου πνεύματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῆς ἐνεργειῶν σοχαζόμεθα. οὐδὲ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον, πρὸς τὸ τῆς ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι. οὔτε ψύχει τὸ πῦρ, ὅτε θερμαίνει ὁ χρύσαλλος· ἀλλὰ τῇ τῆς φύσεων * ἑτερότητι συνδιακωλύονται ἀπ' ἀλλήλων καὶ αἱ παρὰ τούτων ἐνέργειαι.

Ἔτι ἀνεγνώσθη ἐκ τῶ αὐτῶ κωδικίω χρῆσις τῶ αὐτῶ ἐκ τῶ αὐτῶ λόγου. ἡ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. διεργέτιν γὰρ καὶ κτιστὴν ἀγαθόντε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες διαφορὰς ἐνεργειῶν ἐδιδάχθημεν· τῶ δὲ ἐνεργοῦντος τὴν φύσιν δῆλον μᾶλλον ἢ διὰ τῆς τῆς ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. ὅταν γὰρ ἀποδιδῶ τις λόγον ἑκάστου τε τούτων τῆς ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως, περὶ ἣν τὰ ὀνόματα, ἢ τὸν αὐ-

Ἰωάν. 1.

Ἰωάν. 11.

Μαρκ 8. Λουκ. 9. Ἰωάν. 6. Ματθ. 21.

Ἰωάν. 20. Ἰωάν. 4. Λουκ. 24.

Ρωμ. 11. * ὄντα

* ἀντιμεταλαμβάνοντος

αὐτὸν ἀμφοτέρων ἀποδίδωσι λόγον. ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ αἱ φύσεις διάφοροι. αἵ τινες δύο χρήσεις ἀντεβλήθησαν πρὸς βιβλίον ἐν σώμασι κροκωτοῖς τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησαν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Αλεξανδρείας ἐκ τοῦ προσφωνητικοῦ τοῦ πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον λόγου περὶ τῆς ὀρθῆς πίστεως· οὗ ἡ ἀρχή. τῆς μὲν ἐν ἀνθρώποις εὐκλείας· ἔχουσα οὕτως. ὅλον οὖν ὅλῃ συνηνώσθαί φαμεν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ λόγον. οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι τὴν ψυχὴν οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. ἐπράττετο δὲ δι' ἄμφω καλῶς τῆς οἰκονομίας τὸ μυστήριον. προσεχρήσατο γὰρ καθάπερ ὀργάνῳ τῇ μὲν ἰδίᾳ σαρκὶ πρὸς τὰ σαρκὸς ἔργα τε καὶ ἀῤῥωστήματα φυσικὰ, καὶ ὅσα μώμου μακράν. ψυχῇ δ' αὐτῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται, κόπους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιποριῶν, πτοίας τε καὶ φόβους, καὶ λύπην, καὶ ἀγωνίαν, καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ἥτις χρῆσις ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασι τῆς ἁγίας τρίτης ἐν Εφέσῳ τὸ πρότερον συνόδου τῆς βιβλιοθήκης τυγχάνον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, ἐν ᾧ φέρεται ὁ εἰρημένος προσφωνητικὸς λόγος, καὶ ἐστοίχησεν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τῆς θησαυρῶν λόγου τριακοστοῦ δευτέρου. ἔχουσα οὕτως. οὐ γὰρ δήπου μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γενητοῖς πρέποντα καταγάγωμεν τόπον. οἷς γὰρ ἡ ἐνέργεια καὶ ἡ δύναμις ἀπαραλλάκτως μία, τούτοις ἀνάγκη καὶ τὴν τοῦ εἴδους ἑνότητα σώζεσθαι. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις Ιουστινιανοῦ τοῦ εὐσεβεστάτου βασιλέως ἐκ τοῦ κατὰ Νεστοριανῶν καὶ Ακεφάλων λόγου· οὗ ἡ ἀρχή. τεκμήριον ἀκριβὲς τῆς εὐθείας, καὶ μὴ τετραμμένης ὁδοῦ· ἔχουσα οὕτως· ἀλλὰ δεῖ καὶ τὰ ἐφεξῆς εἰρημένα τῷ ἐν ἁγίοις εἰπεῖν Λέοντι, καὶ τὰ παρὰ τούτων συκοφαντούμενα. εἰπόντος γὰρ αὐτοῦ ὅτι ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελουντος ἅπερ ἐστὶ τοῦ σώματος. καὶ τὸ μὲν αὐτῆς διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ἐποπέπτωκεν. εὐθέως ἀναπηδῶσιν οἱ αἱρετικοὶ λέγοντες, μὴ δεῖν διαφόρους λέγειν ἐνεργείας τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ, ἀλλὰ μίαν εἶναι τὴν ἐνέργειαν, πάλιν καὶ τοῦτο κατὰ τὴν Απολλιναρίου βλασφημοῦντες μανίαν. πάντες γὰρ οἱ ἅγιοι πατέρες, ὥσπερ τὸ πάθος καὶ τὴν ἀπάθειαν ἑνὸς καὶ τοῦ αὐτοῦ πιστεύειν ἡμᾶς ἐδίδαξαν, οὕτω καὶ διαφόρους ἐνεργείας ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ ὁμολογεῖν ἡμᾶς ἐξεπαίδευσαν· ἀμέλει τοι ὁ ἐν ἁγίοις Κύριλλος ἀπαγορεύων τοῖς μίαν εἶναι τὴν ἐνέργειαν λέγουσι θεότητος καὶ ἀνθρωπότητος, γράφει τά δε ἐν τῷ τριακοστῷ δευτέρῳ λόγῳ τοῦ Θησαυροῦ. οὐ γὰρ δή που μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γενητοῖς πρέποντα καταγάγωμεν τόπον. καὶ ὁ ἐν ἁγίοις δὲ Αθανάσιος ἐν τῷ κατὰ Αρειανῶν τετάρτῳ λόγῳ γράφει τάδε· ταῦτα ἀναγκαίως προεξητάσαμεν, ἵνα ἐὰν ἴδωμεν αὐτὸν δι' ὀργάνου τοῦ ἰδίου σώματος θεϊκῶς τι πράττοντα ἢ λέγοντα γινώσκωμεν ὅτι Θεὸς ὢν ταῦτα ἐργάζεται. καὶ πάλιν. ἐὰν ἴδωμεν αὐτὸν ἀνθρωπίνως λαλοῦντα ἢ πάσχοντα, μὴ ἀγνοῶμεν, ὅτι σάρκα φορῶν γέγονεν ἄνθρωπος, καὶ οὕτω ταῦτα ποιεῖ. ἑκάστου * γὰρ τὸ ἔργον γινώσκοντες, καὶ ἀμφότερα ἐξ ἑνὸς πραττόμενα βλέποντες ὀρθῶς πιστεύσομεν, καὶ οὔ ποτε πλανησόμεθα. ἰδοὺ καὶ διὰ τῆς νῦν παρατεθειμένων ἡμῖν ἐκ τῆς ἁγίων πατέρων σαφῶς ἀποδέδεικται, διαφόρους ἐνεργείας εἶναι τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ ἑνὸς κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ· καὶ τοῦτο συμφώνως ἅπασι τοῖς πρὸ αὐτοῦ τὸν ἐν ἁγίοις διδάξαι Λέοντα. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

* L. γοῦν

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐν ἁγίοις Ιουστινιανοῦ ἐκ τῆς πρὸς Ζώϊλον τὸν ἁγιώτατον πατριάρχην Αλεξανδρείας δογματικῆς ἐπιστολῆς· ἧς ἡ ἀρχή. τοῖς γράμμασιν ἐντυχόντες· ἔχουσα οὕτως. εἷς οὖν ἐστὶν ὁ Χριστὸς οὐκ ἀνῃρημένης τῆς τῆς φύσεων διαφορᾶς διὰ τὴν ἄφραστον ἕνωσιν· λόγος νοούμενος, καὶ ἄνθρωπος θεωρούμενος. οὔτε γὰρ ἡ ἕνωσις σύγχυσιν ἀπειργάσατο, οὔτε ἡ διαφορὰ τῆς ἐν αὐτῷ οὐσιῶν τομὴν εἴτουν διαίρεσιν ἐπιδέχεται. βλέποντες γὰρ τοῦ Χριστοῦ τὰ θαύματα, κηρύττομεν αὐτοῦ τὴν θεότητα· ὁρῶντες αὐτοῦ τὰ πάθη, οὐκ ἀρνούμεθα αὐτοῦ τὴν ἀνθρωπότητα. οὔτε δὲ τὰ θαύματα χωρὶς σαρκὸς, οὔτε τὰ πάθη χωρὶς τῆς θεότητος. καὶ ἔστι παράδοξον, ὅτι αὐτὸς ἦν ὁ πάσχων, καὶ μὴ πάσχων. πάσχων μὲν, ὅτι τὸ ἴδιον αὐτοῦ ἔπαχε σῶμα, καὶ ἐν αὐτῷ τῷ σώματι ἦν. μὴ πάσχων δὲ, ὅτι φύσει Θεὸς ὢν ὁ λόγος ἀπαθὴς ἦν. καὶ αὐτὸς μὲν ὁ ἀσώματος ἦν ἐν τῷ παθητῷ σώματι, τὸ δὲ σῶμα εἶχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ λόγον ἀφανίζοντα τὰς ἀσθενείας αὐτοῦ τοῦ σώματος. ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔχη-

ἔχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελουῶτος ἅπερ ἐστὶ τοῦ σώματος. τοῦτο γὰρ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ τριακοστῷ δευτέρῳ λόγῳ τοῦ θησαυροῦ διδάσκει, τὴν πρὸς Ρωμαίους ἐρμηνεύων ἐπιστολήν. οὐ δήπου μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν Θεοῦ καὶ ποιήματος, ἵνα μὴ τό τε ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γενητοῖς πρέποντα καταγάγωμεν τόπον. ὁ αὐτὸς δὲ ἅγιος πατὴρ καὶ ἐν τοῖς πρὸς Θεοδόσιον τὰ αὐτὰ ἡμᾶς ἐκδιδάσκει λέγων. ὅλον ὅλῃ συνηνῶσθαί φαμεν τῇ καθ' ἡμᾶς ἀνθρωπότητι τὸν ἐκ Θεοῦ λόγον. οὐ γάρ που τὸ ἄμεινον ἐν ἡμῖν, τουτέστι τὴν ψυχὴν οὐδενὸς ἂν ἠξίωσε λόγου, μόνῃ δωρούμενος τῇ σαρκὶ τῆς ἐπιδημίας τοὺς πόνους. ἐπράττετο δὲ δι' ἀμφοῖν καλῶς τῆς οἰκονομίας τὸ μυστήριον. προσεχρήσατο δὲ καθάπερ ὀργάνῳ τῇ ἰδίᾳ σαρκὶ πρὸς τὰ τῆς σαρκὸς ἔργα τε καὶ ἀῤῥωστήματα φυσικὰ, καὶ ὅσα μώμου μακράν· ψυχῇ * δ' αὐτῇ ἰδίᾳ πρὸς τὰ ἀνθρώπινά τε καὶ ἀνυπαίτια πάθη. πεινῆσαι γὰρ λέγεται, κόπους τε ὑπενεγκεῖν τοὺς ἐκ μακρῶν ὁδοιπορίων, πτοίας τε καὶ φόβον καὶ λύπην καὶ ἀγωνίαν, καὶ τὸν ἐπὶ τῷ σταυρῷ θάνατον. ἐπαναγκάζοντος γὰρ οὐδενὸς ἔθηκεν ἀφ' ἑαυτοῦ τὴν ἰδίαν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, σάρκα μὲν τὴν ἰδίαν τῆς ἁπάντων σαρκὸς ἀποτιννὺς ἀληθῶς δῶρον ἀντάξιον. ψυχὴν δ' αὖ ψυχῆς ἀντίλυτρον τῆς ἁπάντων ποιούμενος, εἰ καὶ ἀνεβίω πάλιν, ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς Θεός· οὐ γάρ τοι θέμις εἰπεῖν, φθορᾷ μὲν δυνάσθαι κρατεῖσθαί ποτε τὴν ἑνωθεῖσαν τῷ λόγῳ σάρκα, κάτοχον δὲ αὖ ταῖς τοῦ ᾅδου πύλαις τὴν θείαν γενέσθαι ψυχὴν, οὐκ ἐγκατελείφθη γὰρ εἰς ᾅδου, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Πέτρος. οὐ γάρ ἐστιν εἰπεῖν, ὡς τήν τε ἄληπτον παντελῶς καὶ ἀνάλωτον τῷ θανάτῳ φύσιν, τουτέστι τὴν θεότητα τοῦ μονογενοῦς τῶν ὑπὸ χθόνα μυχῶν ἀνακεκομίσθαι φήσομεν. οὐ γὰρ ἂν ἠξιώθητο τὸ χρῆμα θαύματος, εἰ μεμένηκεν εἰς τὸν ᾅδην ὁ ἐκ Θεοῦ λόγος, τῇ τῆς θεότητος ἐνεργείᾳ τε καὶ φύσει παραδόξως τε καὶ ὑπὲρ λόγον πληρῶν τὰ πάντα, καὶ τοῖς πᾶσιν ἐπιδημῶν. εἶτα προϊὼν τῷ λόγῳ ταῦτα πάλιν φησί· ἀνθρώπινον μὲν τὸ τεθνάναι πάθος, ἐνέργημα δὲ θεϊκὸν τὸ ἀναβιῶναι, δεικνὺς ἃ δι' ἀμφοῖν γνωρίζεται καθ' ἡμᾶς τε ἅμα καὶ ὑπὲρ ἡμᾶς ὡς Θεός. ὁρᾷς ὅπως ὁ σεβάσμιος οὗτος πατὴρ τὰς τῶν δύο φύσεων ἐνεργείας ἐπὶ τῆς μιᾶς ὑποστάσεως, ἤτοι τοῦ ἑνὸς προσώπου τοῦ Χριστοῦ ἡμῶν παραδίδωσι; καὶ μετ' ὀλίγα· εἶτα δι' ἡμᾶς ἄνθρωπος γενόμενος ὁρατὸς καὶ ψυλαφητὸς γέγονε, καὶ διὰ τῶν θείων τε καὶ ἀνθρωπίνων ἐνεργειῶν φανερωθεὶς ὑπάρχειν ἐν θεότητι καὶ ἀνθρωπότητι δέδωκεν ἡμῖν γινώσκειν ὅτι ἐν οἷς ἐγνώσθη, ἐξ αὐτῶν καὶ συνίσταται, οὕτω γὰρ καὶ οἱ ἅγιοι πατέρες ἀμφοτέρας τὰς φωνὰς ὁμολογοῦντες, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι, καὶ τὴν ἐκ θεότητος καὶ ἀνθρωπότητος, δι' ἑκατέρας αὐτῶν τὸ ἀσύγχυτόν τε καὶ ἀδιαίρετον τῆς οἰκονομίας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ παραδιδόασιν. αἵ τινες δύο χρήσεις ἀντεβλήθησαν ὡσαύτως πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησαν.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ ἐν ἁγίοις Εφραιμίου ἀρχιεπισκόπου Αντιοχείας, καὶ ἐξ ἧς ἐποιήσατο ἀπολογίας ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τοῦ τόμου τοῦ ἁγίου Λέοντος, ἀπὸ κεφαλαίου νστ'. οὗ ἡ ἀρχή· ὅτι οὐκ ἀνελλιπῶς ἐφύλαττεν ἡ σάρξ. ἔχουσα οὕτως· εἰπὲ δὲ ἡμῶν ὦ τῶν πάσης ἀντιπαθείας ἀκέραιον φυλάττων σου τὴν διάνοιαν. ἦν ποτε καιρὸς ἀπὸ τῆς ἐνανθρωπήσεως, ὅτε ὁ σεσαρκωμένος λόγος Θεὸς οὐκ εἶχε τελείαν τὴν ἰδίαν αὐτοῦ ἔμψυχον σάρκα; ἢ ἐπειδὴ ἐπέζευσεν ἐπάνω τῶν κυμάτων τῆς θαλάσσης, οὐκ ἐφύλαττον οἱ πόδες τὸ ἰδίωμα τῆς ἀνθρωπίνης φύσεως; ἀλλ' ὦ βέλτιστε, ἐν τῇ ἀνθρωπίνῃ φύσει τὰ ὑπὲρ φύσιν ἔπραττε Χριστὸς ὁ Θεὸς ἡμῶν, οὐκ ἀνῃρημένης ἢ ἀφανισθείσης τῆς ἀνθρωπίνης ἰδίας αὐτοῦ σαρκός. κἂν αὐτῆς γε τῆς ἐνεργείας ἡ ἰδέα πείσῃ σε τὴν σάρκα ἐπὶ τῆς ἰδίας μεμενικέναι φύσεως ὁμολογῆσαι. τὸ γὰρ πεζεύειν, καὶ ποσὶ πεζεύειν, εἰ μὴ κατὰ φαντασίαν ἐγένετο, πρόδηλον ὅτι ποδῶν ἐστιν ἐνέργεια τῆς ἡμετέρας φύσεως. ὥστε αὐτὸ τὸ εἶδος τῆς ἐνεργείας βοᾷ τὴν τῆς σαρκὸς ἐπὶ τῶν ἀρχαίων μέτρων φυλακήν. καὶ τὴν τοιαύτην πορείαν πάντες σωματικήν τε καὶ αἰσθητικὴν λέγουσιν. τὸν δὲ ἐπὶ τῆς θαλάσσης πεζεύειν, τοῦτο τῆς θεότητος ὑπῆρχε διὰ σαρκὸς ἀνθρωπίνης ἐνεργούσης. εἰ μὲν οὖν γυμνῇ τῇ σαρκὶ τὴν ἐνέργειαν ἐλέγομεν γίνεσθαι τοῦ γεγονότος, ἄπορος ἦν ὁ λογισμὸς, καθάπερ καὶ εἰ μόνῃ τῇ θεότητι τὸ βαδίζειν ἀνετίθεμεν, πορείαν ὑποτιθέμενοι, καὶ πεζεύειν ὁμολογοῦντες. νῦν δὲ σεσαρκωμένον Θεὸν λόγον ἐνηργηκέναι τὴν τοιαύτην ἐνέργειαν ὁμολογοῦντες, τὰ μὲν ἀκολούθως φαμὲν πρὸς τὴν τῆς σαρκὸς γεγενῆσθαι φύσιν, τὰ δὲ διὰ τὴν τῆς θεότητος ὑπερφυᾶ φύσιν. ὥστε καὶ ἐνταῦθα δύο ἐνέργειαι. οὐκ ἐπειδὴ δὲ εἶχε τὸ θεοπρεπὲς, μηνύοντος τοῦ Θεοῦ λόγου τὴν καθ' ὑπόστασιν ἕνωσιν, ἡ ἐνέργεια, διὰ τοῦτο τολμητέον εἰπεῖν, ὡς ἡ σὰρξ οὐκ ἀνελλιπὴς ἦν ἐν τοῖς οἰκείοις ἰδιώμασιν, ἀλλ' ἐλλιπής τε καὶ * εὐτελὴς ὑπῆρχεν· ταυτὸ δὲ εἰπεῖν * χείρων ἢ ἀνούσιος παντελῶς.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἀπὸ κεφαλαίου ἑξηκοστοῦ τετάρτου, ἔχουσα οὕτως· παραφέρει ὁ γραμματικὸς ἐκ τοῦ λόγου τοῦ περὶ τῆς ἐνσάρκου οἰκονομίας, ἤγουν ἐπιφανείας τοῦ Θεοῦ λόγου τὸν μέγαν Αθανάσιον ἐκ γραφικῶν ἀποδείξεων λέγοντα οὕτως· ὅταν λέγῃ· πάτερ εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν θέ-

* δ' αὐτῇ

* ἀλλ' ἀτελὸς
* ἴσ. χείσων τῆς ἄνω οὐσίας.

θέλημα γνήσιαι, ἀλλα' τὸ σόν. τὸ μὲν πνεῦμα προθυμον, ἡ δὲ σὰρξ ἀσθενής· δύο θελήματα ἐνταῦθα δείκνυσι. τὸ μὲν ἀνθρώπινον, ὅπερ ἐστὶ τῆς σαρκὸς, τὸ δὲ θεῖκόν. καὶ τὸ μὲν ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς παραιτεῖται τὸ πάθος, τὸ δὲ θεῖκὸν αὐτὸ προθυμον. ἀπόκεινται δὲν ἡμῖν. δέχη ταύτῃ τῇ ῥήσιν, καὶ προσίη ὡς καλῶς ἔχουσαν, καὶ ὡς εἰπεῖν, ἐξ αὐτῆς τῆς ἀληθείας προελθοῦσαν, ἢ ὡς ψεῦδή τινα καὶ ἀλλόκοτον ἀποσρέφη; ἀλλ' οὐκ ἂν φαίης διαψεύδεσθαι τὸν μέγαν Ἀθανάσιον· καὶ πῶς δύο θελήματα παραδεχόμενος λέγοντα τὸν ἅγιον, ἀκόλουθα ἔτι λέξεις σεαυτῷ, φάσκων τὰς δύο φύσεις ἐν τῇ μιᾷ ὑποσάσει λέγοντας διατέμνειν τὸν Ἐμμανουήλ; πρόδηλον γὰρ, ὡς ὅπου δύο θελήματα, ὧν τὸ μὲν προθυμον καὶ ἀνδρεῖον, τὸ δὲ ἀσθενές, καὶ διάφοροι φύσεις ὑπάρχουσι τὰ σάς. μίαν γὰρ φύσιν καὶ τὴν αὐτὴν προθυμότε εἶναι καὶ ἀνδρείαν, καὶ ἀσθενῆ λέγεσθαί τε καὶ εἶναι καθ' ὑπόσασιν καὶ τὸν αὐτὸν χρόνον οὐδεὶς ἂν εἰπεῖν, ἢ ἀναπλάσασθαι τολμήσει. τὰ γὰρ ἐναντία μίαν καὶ τὴν αὐτὴν φύσιν ἔχειν τε καὶ κεκτῆσθαι τῇ ἀμηχάνων ἐστί. σωζέσθαι τοίνυν, ὡς εἷς καὶ ὁ αὐτὸς ὁ κατὰ τὴν αὐτὴν φύσιν προθυμός τε καὶ ἀνδρεῖός ἐστι καὶ ἀσθενὴς, ἀλλὰ καθ' ἑτέραν μὲν τὸ τῆς ἀνδρείας διεφαίνετο, καθ' ἑτέραν δὲ τὸ τῆς ἀσθενείας ἐλέγχετο. ὥσε δηλ' πάντων καὶ ἐξ ὧν ὁ ἅγιος ἀπεφώνατο, καταδηλον γίνεται τὸ δύο φύσεις ἔχειν τὸν δεσπότην Χριστὸν, ἐν αἷς ὑπάρχετε καὶ γνωρίζεται. αἵτινες χρήσεις ἀντεβλήθησαν πρὸς βιβλίον χαρτῶν προσενεχθὲν ἐκ μέρους τῆς τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐσοίχησαν· καὶ ἀνασὰς Θεοφάνης ὁ θεοφιλέσατος πρεσβύτερος καὶ ἡγούμενος τῆς μονῆς Βαΐων εἶπεν· Ἀναφέρω τῇ τε ὑμετέρᾳ δόσεβείᾳ καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, ὡς Ἐφραίμιος ὅτος, ὅ τινος ἀρτίως αἱ χρήσεις ἀνεγνώσθησαν, πατριάρχης γέγονεν Ἀντιοχείας. ἀναφέρεται δὲ ὅτος καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας.

Ἡ ἁγία συνόδος εἶπεν· ἀληθῶς ἐπισάμεθα τὸν αὐτὸν ἐν ἁγίοις Ἐφραίμιον ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναφέρεσθαι μετὰ τῶν ἁγίων καὶ ἐκκειτων πατέρων.

Ἔτι ἀνεγνώσθη ἐκ τῆ αὐτῆ κωδικίῳ χρῆσις τῆ ἐν ἁγίοις Ἀνασασίῳ ἀρχιεπισκόπῳ Ἀντιοχείας, ἐξ ἧς ἐποιήσατο ἀπολογίας ὑπὲρ τοῦ τόμου τῆ ἁγίου Λέοντος, κεφαλαίῳ ἑξηκοστῷ· ἧ ἡ ἀρχή· εἴτις μέμνηται τῆς ὀλίγῳ πρόσθεν ἡμῖν· ἔχουσα οὕτως· εἰ δι' ὧν αὐτὸν γνωρίζεσθαι Θεὸν ἐχρῆν, θεῖκως ἐνήργει· ἀφ' ὧν δὲ καὶ ἀναγκαῖον ἦν ἄνθρωπον ὄντως ὁρᾶσθαι, ἀνθρωπίνως εἰργάζετο, ἑτέρα μὲν ἐστὶ πάντως τῆς θείας φύσεως, ἑτέρα δὲ τῆς ἀνθρωπίνης ἡ ἐνέργεια. εἰδ' ἔσιν ἑτέρα καὶ ἑτέρα, ὥσπερ δὴν ἐστι, τῷ χαίρειν τίς ἐγκαλεῖται περὶ ἑτέρας καὶ ἑτέρας, ἑκατέραν λέγων μορφήν; ἀνάγκη γὰρ, ὡς φησι * Κύριλλος, ἀποδιδόναι Θεῷ χρεωσύμβια, καὶ ἦ ἀνθρωπότητι αὐτῆ τὰ αὐτῆ ὀφειλόμβια. ἃ ταῦτα δὲ τυγχάνει ἀμφότερα, ἐπεὶ προσφόρως ἐκ ἀπονέμεται. τῷ σὰρ μὲν τοι προσάγεται πάντως ἑκάτερα· εἷς γὰρ ἦν καὶ ἔστι καὶ διαφόρως ἐνεργῶν διὰ τῆς διαφόρων αὐτῆ φύσεων. ὥσπερ ἃ ταὐτὸν ἐστὶ τὸ ἐπιπλήττειν τῇ μητρὶ λεγόσῃ· οἶνον οὐκ ἔχουσι, καὶ τὸ μεταβάλλειν τὸ ὕδωρ εἰς οἶνον· οὕτως οὐ ταυτὸν ἐστὶ θεότητι ἡ ἀνθρωπότης, οὐδ' αὖ πάλιν ἀνθρωπότητι ἡ θεότης, οὐδὲ τὰ ἐξ αὐτῆς προϊόντα ταυτά· ὁ αὐτὸς δὲ ποιεῖ ἀμφότερα Θεὸς ὢν ἅμα καὶ ἄνθρωπος, οὐκ εἰς σύγχυσιν ἐπιμιγνὺς τὰς οὐσίας, οὔτε μὴν τὰς ἐκ τῆς οὐσιῶν προερχομένας ἐνεργείας· ἑκάτερον γὰρ ἀδιάτατον, καὶ τῆς δόσεβοῦς δόξης ἀλλόξιον· ὥσπερ γὰρ τὸ ξέφεσθαι καὶ αὔξειν οὐ θεότητος, οὕτω τὸ ἐγείρειν νεκροὺς οὐκ ἀνθρωπότητος. ἀμφότερα δὲ ὅμως τοῦ αὐτοῦ θεότητα κεράσαντος ἀνθρωπότητι πρεπόντως, οὐ κατὰ ἀνάχυσιν, καθ' ὑπόσιν δὲ ἀσύγχυτον. οὐκοῦν δύο μὲν εἰσιν αἱ ἐνέργειαι, ὥσπερ καὶ αἱ οὐσίαι· εἷς δὲ ὁ ἐνεργῶν, Θεὸς καὶ ἄνθρωπος ὢν ὁ αὐτὸς. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς χαρτῶον βιβλίον ἐκ μέρους προενεχθὲν τῆς τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐσοίχησεν.

Βασίλειος ὁ θεοφιλέσατος ἐπίσκοπος πόλεως Γορτυνίας τῆς Κρητῆς νήσου εἶπε· δέχεται ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σωόδος τὸν τὸν ἅγιον Ἀνασάσιον τὸν χρυόμβυον ἀρχιεπίσκοπον Ἀντιοχείας, ὅτινος ἡ χρῆσις ἀνεγνώσθη ἐπὶ τῆ παρόντος, ἀπολογουμβύου ὑπὲρ τῆ τόμου τῆ ἁγίου Λέοντος;

Ἡ ἁγία σωόδος εἶπε· δεχόμεθα τὸν ἐν ἁγίοις Ἀνασάσιον ὀρθοδόξως ἀπολογησάμβυον ὑπὲρ τῆ τόμου τῆ ἁγίου καὶ ἀοιδίμου πάπα Λέοντος. Θεόδωρος ὁ θεοφιλέσατος ἐπίσκοπος Μελιτίνης εἶπεν. ἅγιον ἀποκαλεῖ πᾶσα ἡ ἀνατολὴ τοῦτον τὸν τῆς ὁσίας μνήμης Ἀνασάσιον τὸν χρυόμβυον ἀρχιεπίσκοπον Ἀντιοχείας, καὶ τὸν μὴ δεχόμβυον αὐτὸν ὁ Θεὸς ἀναθεματίσῃ. καὶ συμφώνως ἅπαντες εἶπον· Ἀμήν.

Ἔτι ἀνεγνώσθη ἐκ τῆ αὐτῆ κωδικίῳ χρῆσις τῆ ἐν ἁγίοις Γωάννου ἐπισκόπου Σκυθοπόλεως ἐκ τῆς κατὰ Σεβήρου Βλασφημιῶν λόγου ὀγδόου, ἔχουσα οὕτως· ἰδωμβυ δὲ, τί πάλιν αἰτιᾷ τὸν ἁγιώτατον πάπαν Λέοντα. ἔφη γάρ· ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἔχηκεν ἴδιον· τῷ μὲν λόγῳ κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τῷ λόγῳ, τῷ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τῷ σώματος. ἐπειδὴ ὡς ἄπορον κατέρρωσας τὴν ἱερὰν ταύτην φωνὴν, ἀκούειν οἷς τῷ Ἀλικαρνασσέως Ἰουλιανοῦ ἀντιφθεγγομένοις σοι, καὶ τοιούτως τὰ σὰ διασύροντος. συνήργει ὁ λόγος τὴν ἀφθαρσίαν, συνήργησεν ἡ σὰρξ κατὰ τὴν σὴν βλασφημίαν τὴν φθοράν. εἰπὲ δὲ ἡμῖν ὦ βέλτισε, πότερον τὸν Θεὸν λόγον ὑσωδῶς ἰώσθαι πεπίσθακας τῇ σαρκὶ καὶ ψυχῇ, ἥπερ καὶ ἰῶνται; ναὶ φησί· τοῦτον δὲ τὸν ἐπὶ πᾶσι Θεὸν τῷ ἐξαιρέτῳ

* Κυρίλλου ἐκ τῶν θησαυρῶν κεφαλαίῳ ἑκατοστῷ τεσσαρακοστῷ τετάρτῳ.

ρέτῳ τῆς θεότητος περιδεδράχθαι οὐρανοῦ, καὶ γῆς, καὶ θαλάττης, αἰθέρος τε καὶ ἀέρος, ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ συλλήβδην εἰπεῖν, τῶν ἐν τῇ ἀσωμάτῳ μακαριότητι χιλίων χιλιάδων, καὶ μυρίων μυριάδων ἁγίων, λειτουργικῶν τε καὶ ἀοράτων οὐσιῶν συνέχειν τὴν ὕπαρξιν, καὶ προνοεῖν κοινῇ πάντων ὁρατῶν τε καὶ ἀοράτων, καὶ ἰδίᾳ ἑκάστου; ναὶ οἶμαι δώσεις, εἴπερ μὴ πάντῃ ἐξέστηκας. τὴν δὲ τοιαύτην πρόνοιαν οὐκ ἂν ἐνέργειαν καλέσαις Θεοῦ; καὶ πρὸς τοῦτο οὐκ ἀντιλέξεις, εἴπερ μὴ καὶ νῦν βούλει πρῶπτον τῇ θεότητι μάχεσθαι· οὕτω μὲν οὖν δώσεις τοῦ Θεοῦ καὶ σαρκωθέντος διηνεκῆ τὴν ἐνέργειαν. τὴν ψυχὴν δὲ τὴν νοερὰν τὴν αὐτῷ καθ' ὑπόστασιν ἡνωμένην εἴποις ἂν διανοεῖσθαι, ἢ ἀδιανόητον εἶναι; ἀλλ' εἰ μὲν ἀδιανόητον, περιέπεσας τῇ Ἀπολλιναρίου τοῦ σοῦ πατρὸς βλασφημίᾳ, ἄνουν εἰρηκότος τὴν ἑνωθεῖσαν τῷ Θεῷ λόγῳ ἀνθρωπότητα. εἰ δὲ φὴς τὸν νοῦν διανοεῖσθαι, καὶ μὴ δίκην τῶν ἀψύχων ἢ ἀλόγων ἀδιανόητον εἶναι, δώσεις πάντως, εἴπερ τοῖς ἀκολούθοις καὶ νῦν θελήσειας ἕπεσθαι λόγοις, τὴν διανόησιν ἐνέργειαν εἶναι τοῦ νοῦ· οἷον, οἶδεν ὅτι ἥνωται τῇ θεότητι, εἰ καὶ τῆς αὐτῆς ἀνθρώποις χωρὶς ἁμαρτίας καθέστηκε φύσεως. ἐπίσταται ὅτι ὑπεραναβέβηκε πᾶσαν κτίσιν ὁρατήν τε καὶ ἀόρατον, καὶ προσκυνεῖται ὑπὸ τῶν ἄνω δυνάμεων ἡ ἀμερίστως ἡνωμένη ψυχὴ τῷ δημιουργῷ τῶν ὅλων Θεῷ. μέμνηται τῆς ἐκ παρθένου θεοτόκου κατὰ σάρκα γεννήσεως, τῶν ἐπὶ γῆς διατριβῶν, τοῦ σωτηρίου πάθους, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναλήψεως. γινώσκει πᾶσαν τὴν στρατιὰν τῶν οὐρανῶν περικεχυμένην αὐτῇ, καὶ λατρεύουσαν οἷα Θεοῦ ψυχῇ. τὴν δὲ τοιαύτην διανόησιν ἐνέργειαν εἴποις ἂν καὶ αὐτὸς οἶμαι τῆς διανουμένης ψυχῆς, τῆς καὶ ἀμερίστως ἡνωμένης τῇ θεότητι. ὁρᾷς ὅτι ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο ὁρῶμεν τὰς ἐνεργείας τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος ἀμερίστως καὶ ἀναλλοιώτως; ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης τυγχάνον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθησαν ἐκ τοῦ αὐτοῦ κωδικίου χρήσεις βεβήλων αἱρετικῶν, ἓν θέλημα καὶ μίαν ἐνέργειαν λεγόντων ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Θεμιστίου αἱρετικοῦ ἐκ τοῦ δευτέρου αὐτοῦ ἀντιῤῥητικοῦ κατὰ τοῦ τόμου Θεοδοσίου κεφαλαίου μα'. ἀλλ' οὐ τοῦ αὐτοῦ δύο γνώσεις, ὦ οὗτος, ἢ δύο ἐνεργείας φαμέν. μία γὰρ ὡς ἀληθῶς ἡ τοῦ σαρκωθέντος λόγος ἐνέργειά τε καὶ γνῶσις, καὶ ἑνὸς ἴσμεν τὰ πάντα Χριστοῦ, κἂν τὰ μὲν θεοπρεπῶς γινώσκῃ καὶ ἐνεργῇ διὰ τῆς ἰδίας σαρκὸς, τὰ δὲ ἀνθρωπίνως· οὐ γὰρ ἐπεί τοι καὶ ὁ ἱερὸς Ἀθανάσιος δύο θελήματα ἔφη τὸν Χριστὸν δεικνύναι κατὰ τὸν τοῦ πάθους καιρὸν ἤδη καὶ δύο θελήσεις αὐτῷ περιθήσομεν, καὶ ταύτας μαχομένας ἀλλήλαις κατὰ τοὺς σοὺς τούτους συλλογισμούς· ἀλλ' εἰσόμεθα εὐσεβῶς τὴν ὡς ἑνὸς μίαν θέλησιν τοῦ Ἐμμανουὴλ, πῇ μὲν ἀνθρωπίνως κινεῖσθαι, πῇ δὲ θεοπρεπῶς. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις Ἀνθίμου αἱρετικοῦ ἐκ τοῦ πρὸς Ἰουστινιανὸν τὸν εὐσεβέστατον βασιλέα λόγου, οὗ ἡ ἀρχή· Θεοῦ μεμνῆσθαι ἐν πάσῃ ὑποθέσει καλόν· ἔχουσα οὕτως· ἡμεῖς δὲ δοξάζοντες μίαν τοῦ Θεοῦ λόγου φύσιν σεσαρκωμένην, καὶ προσκυνουμένην μετὰ τῆς ἰδίας αὐτοῦ σαρκὸς, ἐν ταύτῃ τῇ μιᾷ φύσει τοῦ Θεοῦ λόγου σεσαρκωμένῃ οὔτε τῆς θεότητος αὐτοῦ ἄγνοιαν, οὔτε τῆς ψυχῆς αὐτοῦ τῆς λογικῆς καὶ νοερᾶς, ᾗ ἐψύχωται τὸ ἐξ ἡμῶν ληφθὲν ὁμοούσιον ἡμῖν καὶ ὁμοιοπαθὲς σῶμα, τὸ καθ' ὑπόστασιν ἑνωθὲν τῷ Θεῷ λόγῳ ἀνεχόμεθα εἰπεῖν· μηδὲ γὰρ γένοιτο. εἰ γὰρ μία ἐστὶν ὑπόστασις καὶ μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη, ὥσπερ οὖν καὶ ἔστιν, ἀναμφιβόλως καὶ ἓν θέλημα, καὶ μία ἐνέργεια δηλονότι, καὶ μία σοφία, καὶ μία γνῶσις τοῦ συναμφοτέρου ὑπάρχει.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου πρώτου· τὰ εἰκότα δὲ τούτοις καὶ ὁ αὐτὸς ἁγιώτατος ἐδίδαξε πατὴρ καὶ ἐν τῷ τετάρτῳ τόμῳ τῆς διαλέξεως τοῦ εἰς τὸ κατὰ τὸν ἅγιον Ἰωάννην εὐαγγέλιον ὑπομνήματος, οὕτως εἰπών· διὰ τοῦτο καὶ ἐν τῷ τοὺς νεκροὺς ἀνιστᾶν οὐ λόγῳ μόνον, οὐδὲ τοῖς θεοπρεπέσιν ἐπιτάγμασιν ἐνεργῶν ὁ σωτὴρ εὐρίσκεται, ἀλλὰ συνεργάτιν ὥσπερ τινὰ πρὸς τοῦτο δὴ μάλιστα τὴν ἁγίαν αὐτοῦ λαμβάνειν ἠπείγετο σάρκα, ἵνα δεικνύῃ ζωοποιεῖν δυναμένην, καὶ ὡς ἓν ἤδη γενομένην πρὸς αὐτόν. καὶ γοῦν ὅτε τὸ τοῦ ἀρχισυναγώγου κόριον διανίστη λέγων· ἡ παῖς ἔγειραι, ἐκράτησε τῆς χειρὸς αὐτῆς, καθὰ γέγραπται. ζωοποιῶν μὲν ὡς Θεὸς τῷ παντουργῷ προστάγματι, ζωοποιῶν δὲ καὶ διὰ τῆς ἁφῆς τῆς χειρὸς, μίαν τε καὶ συγγενῆ δι' ἀμφοῖν ἐπιδεικνὺς τὴν ἐνέργειαν. ὅτε τοίνυν ἴδιον νοερᾶς θεοπρεποῦς ἴσμεν ἐνεργείας τῶν ὅλων τὴν γνῶσιν, μίαν δὲ καὶ τὴν αὐτὴν τοῦ συναμφοτέρου τὴν θεοπρεπῆ ἐνέργειαν ἐδιδάχθημεν ὑπάρχειν, πῶς οὐχ ὁμολογήσομεν ἐντεῦθεν, μίαν καὶ τὴν αὐτὴν τῶν ὅλων γνῶσιν ὑπάρχειν τοῦ ἑνὸς Χριστοῦ κατὰ τὴν αὐτοῦ θεότητα, καὶ κατὰ τὴν αὐτοῦ ἀνθρωπότητα; αἵτινες δύο χρῆσις ὁμοίως ἀντεβλήθησαν πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησαν.

Ματθ. 5.
Ματθ. 5.
Λουκ. 8.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις Θεμιστίου αἱρεσιάρχου ἐκ τοῦ πρώτου αὐτοῦ ἀντιῤῥητικοῦ τοῦ κατὰ τοῦ τόμου Θεοδοσίου, κεφαλαίου πέμπτου· ἔχουσα οὕτως· οἵγε μὲν ὅσιοι πατέρες μίαν ἀπολύτως εἶναι ἔφασαν τὴν ἐνέρ-

ἐνέργειαν, καὶ οὐ κατά γε τουτονὶ περικλείουσι ταύτην εἰς θεοπρεπῆ μόνον, ἢ γοῦν ἑτέραν ἀνθρωπίνην οὕτως καθυπεμφαίνουσιν. ἀλλ' ὡς παρ' ἑνὸς καὶ τοῦ αὐτοῦ Χριστοῦ πάντων ἐνεργουμένων, ὅσα κατὰ τὴν οἰκονομίαν ἐστὶ θεοπρεπῆ καὶ ἀνθρώπινα, μίαν ἁπαξαπλῶς, ὥσπερ ἔφθην εἰπὼν, τοῦ Χριστοῦ φασὶ τὴν ἐνέργειαν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ ἀντιῤῥητικοῦ, κεφαλαίου τριακοστοῦ τετάρτου· ἔχουσα οὕτως· μία γὰρ ἡ γνῶσις ἐπὶ Χριστοῦ καθάπερ καὶ ἡ ἐνέργεια· καὶ γὰρ εἷς ἦν ὁ γινώσκων, ὥσπερ ἀμέλει τοι καὶ ὁ ἐνεργῶν. τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου ἀντιῤῥητικοῦ, κεφαλαίου μβ'. ἡμεῖς δὲ ἐν καλῷ φρενὸς ἑστηκότες, σὺν Θεῷ δὲ εἰρήσθω, καὶ τῆς ὀρθῆς διδασκαλίας ἐχόμενοι, οὐ δύο φύσεις εἶναι πιστεύομεν τὸν Ἐμμανουὴλ, κἂν ἐκ δύο συντέθειται, οὐδὲ ἐν δύο ταῖς φύσεσι, διαιρετικὸν γὰρ ἑκάτερον, ἀλλὰ μίαν τοῦ Θεοῦ λόγου φύσιν σεσαρκωμένην, μίαν ὑπόστασιν, καὶ πρόσωπον ἕν. ἀκολούθως τε τοῦ ἑνὸς προσώπου μίαν ἴσμεν καὶ τὴν ἐνέργειαν, ὡσαύτως δὲ καὶ μίαν τὴν γνῶσιν, καθὰ διαφόρως εἰρήκαμεν. αἵ τινες χρήσεις τρεῖς ὁμοίως ἀντεβλήθησαν πρὸς βιβλίον χαρτῷον τῆς βιβλιοθήκης ὑπάρχον τοῦ εὐαγοῦς τοῦ ἐνταῦθα πατριαρχείου, καὶ ἐστοίχησαν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρήσεις Σεβήρου τοῦ δυσσεβοῦς ἐκ τῆς πρὸς Οἰκουμένιον κόμητα δευτέρας ἐπιστολῆς, ἧς ἡ ἀρχή· ἔστι καὶ ἡμῖν ἐκ τῆς θεοπνεύστου γραφῆς· ἔχουσα οὕτως· εἰ τοίνυν μετεστοιχείωσεν ὁ λόγος ἣν ἠνώσεν ἑαυτῷ καθ' ὑπόστασιν ἀνθρωπότητα, οὐκ εἰς τὴν ἑαυτοῦ φύσιν, ἔμεινε γὰρ τοῦτο ὅπερ ἦν, ἀλλ' εἰς τὴν ἑαυτοῦ δόξαν τε καὶ ἐνέργειαν, καὶ τὰ τῆς σαρκὸς ἴδια, γέγονεν ἴδια τοῦ λόγου, πῶς ἑκατέραν μορφὴν ἐνεργεῖν τὰ ἴδια δώσομεν; ἀναθεματιστέον οὖν τοὺς ἐν δύο φύσεσιν ὁρισαμένους τὸν ἕνα Χριστὸν, καὶ ἑκάστην τῶν φύσεων ἐνεργεῖν τὰ ἴδια λέγοντας. τῶν μὲν γὰρ ἐνεργουμένων καὶ πραττομένων παρὰ τοῦ ἑνὸς Χριστοῦ πολὺ τὸ διάφορον. τὰ μὲν γάρ ἐστι θεοπρεπῆ, τὰ δὲ ἀνθρώπινα, οἷον τὸ σωματικῶς βαδίζειν, ἐπὶ γῆς ἰέναι καὶ ὁδοιπορεῖν, ὁμολογοῦμεν ὡς ἀνθρώπινον· τὸ δὲ τοῖς τὰ σκέλη πεπηρωμένοις, καὶ βαίνειν ἐπὶ γῆς τὸ παράπαν μὴ δυναμένοις τὸ ὑγιῶς βαδίζειν χαρίσασθαι, θεοπρεπές· ἀλλ' εἷς ὁ σαρκωθεὶς λόγος τοῦτό τε κἀκεῖνο ἐνήργηκε, καὶ οὐ τὸ μὲν τῆς δε, τὸ δὲ τῆσδε τῆς φύσεως. οὐδὲ ἐπειδὴ διάφορα τὰ ἐνεργηθέντα, διὰ τοῦτο δύο τὰς ἐνεργούσας φύσεις ἤτοι μορφὰς δικαίως ὁριούμεθα. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον ἐν σώμασι τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα εὐαγοῦς πατριαρχείου, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Παῦλον αἱρετικὸν ἐπιστολῆς, ἧς ἡ ἀρχή· τὸν μὲν ἀπόστολον Παῦλον· ἔχουσα οὕτως· μιᾶς γὰρ ὑποστάσεως ὁμολογουμένης τοῦ Ἐμμανουὴλ, ἀκόλουθον μίαν φύσιν ὁμολογεῖν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, καὶ αὐτὴν ἐνεργοῦσαν τὰ θεοπρεπῆ καὶ ἀνθρώπινα· καὶ οὐ κατὰ τὸν Λέοντος τόμον ἐνεργούσας δύο φύσεις καὶ μορφὰς ὑποτίθεσθαι, κοινωνούσας ἀλλήλαις κατὰ συνάφειαν σχετικήν. τοῦτο γὰρ αὐτῷ βούλεται τὸ βλάσφημον ἐκεῖνο· ἐνεργεῖ μετὰ τῆς θατέρου κοινωνίας ἑκατέρα μορφή. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον ἐν σώμασι προενεχθὲν ἐκ μέρους τῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Ἄνθιμον τὸν αἱρετικὸν συνοδικοῦ γράμματος, οὗ ἡ ἀρχή· τῶν πρὸς τὴν σὴν θεοφιλίαν· ἔχουσα οὕτως· καὶ θεϊκῶς τὰς θεοσημείας εἰργάσατο, καὶ ἀνθρωπίνας καὶ θείας φωνὰς ἐφθέγξατο. καὶ τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωπίνως ἐνήργησε. καὶ οὐ διαφερόντων ἐνεργημάτων καὶ τῶν φωνῶν, θαυμάτων τε καὶ παθῶν εἰς τὸν μετὰ τὴν ἄφραστον ἕνωσιν δύο φύσεων εμπεσούμεθα μερισμὸν. καὶ ταύταις ἐπιμεριοῦμεν φωνὰς καὶ πάθη καὶ ἐνεργήματα, τὸν αὐτὸν εἰδότες καὶ θαυματουργοῦντα καὶ πάσχοντα καὶ θεϊκῶς καὶ οἰκονομικῶς, καὶ ἀνθρωπίνως φθεγγόμενον ταῦτα, ὡς ἐν γραφῇ φράσαι, τὰ ἐφ' οἷς ἡ εἰς Χριστὸν πίστι· καὶ ὁμολογία καθέστηκεν. ἥτις χρῆσις ἀντεβλήθη ὁμοίως πρὸς βιβλίον χαρτῷον προενεχθὲν ἐκ μέρους τῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ πρὸς Θεοδόσιον, ἔχουσα οὕτως· τούτοις δὲ τοῖς προειρημένοις τῆς ἀνθρωπολατρείας ἀκοίμοις εἰσηγηταῖς συναρμοστέον καὶ ἀναθεματιστέον, καὶ τὴν ἐν Χαλκηδόνι δυσσεβῆ συνόδον, καὶ τὸν βλάσφημον τόμον Λέοντος τοῦ τῆς Ῥωμαίων ἐκκλησίας ἡγησαμένου· ὃν ἡ αὐτὴ σύνοδος στήλην ὀρθοδοξίας ἀπεκάλεσε, παρὰ τοὺς κανόνας ὅρον πίστεως ἐκθεμένη, καὶ τὴν θείαν καὶ ἀμέριστον καὶ ἄτρεπτον σάρκωσιν διελοῦσα τῇ μετὰ τὴν ἕνωσιν δυάδι τῶν φύσεων, καὶ τούτων ἐνεργείαις καὶ ἰδιότησιν, ὡς ὁ αὐτὸς τόμος τοῖς ἀναγινώσκουσι παρίστησιν ἐμφανῶς, ὥσπερ ἐφερμηνεύων πλατέως τί ποτε τὸ ἐν δύο φύσεσι λέγειν γνωρίζεσθαι τὸν ἕνα κύριον καὶ Θεὸν Ἰησοῦν Χριστὸν μετὰ τὴν ἄφραστον ἕνωσιν. ἀποδεχόμεθα δὲ καὶ ἐν ἐπαίνῳ ποιούμεθα καὶ τὴν ὀρθὴν ὁμολογίαν τοῦ ἑνωτικοῦ γράμματος, ὅπερ ὁ τῆς γαληνοτάτης λήξεως βασιλεὺς ἐξεφώνησε Ζήνων. ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῷον προενεχθὲν ἐκ μέρους τῶν τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις Θεοδοσίου αἱρεσιάρχου ἐκ τοῦ πρὸς Θεοδώραν τὴν

τὴ Αὐγούσταν λόγου· οὗ ἡ ἀρχή· ἐμοὶ μὴ ἐδόκει· ἔχουσα ὕπως· ὡς λοιπὸν καὶ ἐνέργειαν εἶναι τὰ σωαμφοτέρα θεοπρεπῆ μίαν· ἐπεὶ καὶ ἑνὸς εἶναι καὶ τοῦ αὐτοῦ φαμὲν τότε θεοπρεπῆ παθήματα καὶ τὰ φυσικὰ πάντα καὶ ἀδιάβλητα πάθη, ἅπερ πέφυκεν ἑκουσίως ὑπὲρ ἡμῶν τῇ ἰδίᾳ σαρκί· καὶ μεθ' ἕτερα· ἐπεὶ καὶ ἐνέργειαν μίαν ὁμολογοῦμεν θεοπρεπῆ, ὡς ἤδη προλέλεκται.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου· ἔχουσα ὕπως· τῆς γὰρ θεοπρεποῦς ἐνεργείας μιᾶς οὔσης αὐτοῦ, ἀνάγκη καὶ ἀμέριστον εἶναι ταύτην καὶ ἀδιαίρετον, καὶ οὐ τὴν μὲν ὡς ἐνδεᾶ καὶ ἐπὶ τὸ μεῖζον ἀναβάσεως δεομένην κατὰ τὸ ἀνθρώπινον λαβεῖν καθ' ὑμᾶς, τὴν δὲ ὡς παντέλειον ὁμολογεῖν καὶ ἀνελλιπῆ κατὰ τὴν θεότητα, ἵνα μὴ εἰς τὴν ψυχοφθόρον καὶ ἀσεβῆ Νεστορίου κακοδοξίαν ἐμπέσωμεν.

Ἔτι ἀνεγνώσθη ἐκ τῆς αὐτῆς κωδικίου χρῆσις τῆς αὐτῆς ἐκ τῆς αὐτῆς λόγου· ἔχουσα ὕπως· οὐκοῦν καὶ ἡμεῖς μίαν καὶ τὴν αὐτὴν θεοπρεπῆ σοφίαν, καὶ μίαν γνῶσιν λέγοντες τῆς Θεοῦ λόγου καὶ τῆς νοερᾶς ψυχῆς, ἣ ἐψύχωται τὸ αὐτοῦ πανάγιον σῶμα, μάλιστα μὲν ταῖς τῶν ἁγίων πατέρων κατακολουθοῦμεν διδασκαλίαις, ὡς σαφῶς ἀποδέδεικται· σαφέστερον δὲ καὶ τῆς καθ' ὑπόστασιν ἀσυγχύτου ἑνώσεως τὴν ἀπόδειξιν ἐργαζόμεθα, καὶ τὴν τῆς δυάδος παντοχόθεν ὠφελίαν προαναστέλλομεν. εἰ γὰρ μὴ προσθήσομεν τὴν αὐτὴν, ἕψονται καὶ ἡμῖν ἀκολούθως, ὡς Σεβῆρος ὁ σοφώτατος ἔφησεν, αἱ δύο φύσεις, καὶ αἱ δύο ἐνέργειαι, αἱ δύο σοφίαι ἐπὶ Χριστοῦ. ταῦτα δὲ τῆς Θεοδωρίτου βλασφημίας ἐστί, καὶ τῆς ἐκεῖθεν Ἰουδαϊκῆς διαιρέσεως ἔκγονα, καὶ οὐχ ἡμῶν τὴν ἕνα καὶ τὸν αὐτὸν προσβλόντων Χριστὸν, καὶ μίαν αὐτοῦ θεοπρεπῆ γνῶσίν τε καὶ ἐνέργειαν ὁμολογούντων. αἵ τινες ξεῖς χρήσεις ἀντεβλήθησαν ὡσαύτως πρὸς βιβλίον χαρτῶν τῆς βιβλιοθήκης ὑπάρχον τοῦ ἐνταῦθα δικαίου πατριαρχείου, καὶ ἐστοίχησαν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις Παύλου ἐκ τῆς πρὸς Γάϊον ἐπιστολῆς· ἧς ἡ ἀρχή· πάντα μοι τὰ τῆς ὑμετέρας ἀγιωσύνης· ἔχουσα οὕτως· καὶ τὸ ἑνωτικὸν γράμμα τοῦ τῆς δυσεβοῦς λήξεως Ζήνωνος ἐπ' ἀναιρέσει τῆς ἐν Χαλκηδόνι συνόδου δεχόμεθα. ἤ τις προφάσιν τοῦ τὸν Εὐτυχοῦς ποιησαμένη παραφορὰν, τὸν Νεστορίου ἀνθρωπολατρείαν, σπουδαίως ταῖς ἐκκλησίαις εἰσέφρησεν, ἐν δύο φύσεσιν εἶναί τε καὶ γνωρίζεσθαι τὸν Χριστὸν ἐπ' ἀθετήσει τῆς ὀρθοδόξου πίστεως δογματίσασα· καὶ τὰς μὲν φύσεις ἀκολούθως τῇ Νεστοριανῇ παραφροσύνῃ ἐπὶ τῷ ἀριθμῷ τῆς δυάδος φυλάξασα, τὴν δὲ σχέσιν τῆς ὑποστάσεως λέγω καὶ τῆς ἀξίας ἁπλῶς ἑνώσασα. καὶ οὕτω λοιπὸν τῇ αὐτῇ κακοργίᾳ ἕνα καὶ τὸν αὐτὸν Χριστὸν υἱὸν καὶ κύριον μονογενῆ ἀσυγχύτως, ἀδιαιρέτως, ἀξέπτως καὶ ἀχωρίστως, κηρύξασα. καὶ εἰς ἐρμηνείαν σαφῆ τοῦ οἰκείου σκοποῦ τὸν Λέοντος προσηκαμένη τόμον, καὶ σήλιν αὐτὸν ὀρθοδοξίας ἀποκαλέσασα, τὸν προφανῶς τέμνοντα Χριστὸν τῇ μιᾷ τῶν ἑνώσιν δυάδι τῆς φύσεων· καὶ ταύταις μορφάς τε καὶ ἐνεργείας, φωνάς καὶ ἀνελλιπεῖς ἰδιότητας βλασφήμως ἐπιμερίζοντα. διόπερ καὶ ὡς ἀπιθάνως λέγειν ἐπιχειροῦντα ἀποπεμπόμεθα· καὶ μὴ βραχέα· ταῦτά φασι, καὶ οὐκ ἀγνοοῦντες, ὅτι ἐπ' αὐτῆς τῆς πραγμάτων τὴν τοιαύτην φωνὴν ἡ ἐν ἐκείνῃ τῇ πόλει, ὡς εἴθε μήποτε, συναγηγερμένη σύνοδος ἔθεικεν ἀκολύθως ἑαυτῇ, τὴν τῆς χέσεως σωφέιαν, ἓν ἀποκαλέσασα πρόσωπον, καὶ τὴν ἐκ δύο, ὡς πολεμίαν ἀποπεμψαμένη φωνὴν, τὴν ἀσυγχύτως καὶ ἀδιαιρέτως ἕνα δεικνύουσαν ἡμῖν τὸν Ἐμμανουὴλ, τὸν αὐτὸν ὁμοούσιον ὄντα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι κατὰ τὴν θεότητα, καὶ τὸν αὐτὸν ὁμοούσιον τοῖς ἀνθρώποις ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. τὸν αὐτὸν καὶ θαυματουργοῦντα καὶ πάσχοντα, καὶ θείως καὶ ἀνθρωπίνως φθεγγόμενον, καὶ μίαν αὐτοῦ τὴν ἐνέργειαν καὶ τὴν γνῶσιν ὡς ἑνὸς ἐκπαιδεύουσαν· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἐν ᾧ ἅπαντές εἰσιν οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι, κἂν οἰκονομικῶς λέγῃ τὴν τῆς σωτηρίας ἡμέραν ἀγνοεῖν· ἥτις χρῆσις ἀντεβλήθη πρὸς βιβλίον χαρτῶν προενεχθὲν ἐκ μέρους τῆς τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου χρῆσις Θεοδώρου αἱρετικοῦ ἐκ τῆς πρὸς Παῦλον αἱρετικὸν δογματικῆς ἐπιστολῆς, ἧς ἡ ἀρχή· ὅταν μοι τὸν ἡμῶν· ἔχουσα ὕτως· καὶ πρὸς τούτοις ἅπασιν ἀναθεματίζω τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ τὸν Λέοντος τόμον, καὶ πάντας τοὺς εἰπόντας ἢ λέγοντας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ δύο φύσεις μιᾷ τινὶ ἄφρατον ἕνωσιν, ἢ ἐν δύο φύσεσι τὸν ὁριζομένους, καὶ μὴ δοξάζοντας ἓν αὐτοῦ εἶναι πρόσωπον, καὶ μίαν ὑπόστασιν, καὶ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένου, καὶ μίαν αὐτοῦ τινὰ ἐνέργειαν κατὰ τὴν τῆς θεοφόρων ἡμῶν πατέρων διδασκαλίαν· ταύτῃ τοι καὶ τὸ ἑνωτικὸν γράμμα τοῦ τῆς δυσεβοῦς λήξεως Ζήνωνος δέχομαι ἐπὶ ἀναθεματισμῷ τῆς εἰρημένης ἐν Χαλκηδόνι συνόδου, καὶ τοῦ τόμου Λέοντος· ἥτις χρῆσις ὁμοίως ἀντεβλήθη πρὸς βιβλίον χαρτῶν προενεχθὲν ἐκ μέρους τῆς τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐστοίχησεν.

Ἔτι ἀνεγνώσθη ἐκ τῆς αὐτῆς κωδικίου χρῆσις Παύλου αἱρετικοῦ ἐκ τῆς πρὸς τὸν εἰρημένον Θεόδωρον ἐπιστολῆς, ἧς ἡ ἀρχή· ἡ νῦν πρῶτον, ἀλλ' ἄνωθεν μισόκαλος· ἔχουσα οὕτως· ὅταν τοίνυν τὸν τῆς ἐνανθρωπήσεως πολυπραγμονῶμεν τρόπον, δύο τὰ ἀλλήλοις

λοις ὐχ ὁμοούσια ὁρᾷ δὴ πάντως ὁ ἡμέτερος νῦς. συνεισρέχυσα δὲ ἡ τῆς ἀληθοῦς σώσεως σύνοια, ὐκέτι μοὶ δύο, ἀλλ' ἕν σώθετον ἀποφαίνει τὸν σωτῆρα Χριστὸν, τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ τὸν αὐτὸν ὁμοούσιον τοῖς ἀνθρώποις ἡμῖν κατὰ τὴν ἀνθρωπότητα· τὸν αὐτὸν θαυματουργοῦντα καὶ πάσχοντα, θεϊκῶς καὶ ἀνθρωπίνως φθεγγόμενον, καὶ μίαν αὐτοῦ τὴν ἐνέργειαν ὡς ἑνός. καὶ μετὰ βραχέα. τὸν γοῦν Λέοντος τόμον σήλιτευ τε ὀρθοδοξίας ἀποκαλεῖ, καὶ πρὸς πίστιν καὶ σαφήνειαν τῆς αὐτῆ δοκούντων ἀξιοῖ παραλαμβάνειν, ὃς ἐναργέστατα τέμνει τὸν ἕνα Χριστὸν μετὰ τὴν ἕνωσιν δυοῖν τῆς φύσεων· μορφάς τε αὐτῆς καὶ φωνὰς, ἐνεργείας τε καὶ παντελεῖς ἰδιότητας ἰσαρίθμους ἐπιμερίζει. οὐ τοίνυν οὐδὲ ἐκείνων ἀνεξόμεθα τῆς ἀνδρῶν, οἵτινες ἀσυσάτους αὐτῇ καὶ λίαν ἀμαθεῖς ποιοῦνται ἀπολογίας, καὶ τοσοῦτον τῆς παρ' αὐτῇ κειμένων ἀποδεούσας, ὅσων αὐτά γε ταῦτα ἐξ ἀρχῆς ἀναιρεῖν. αἵτινες δύο χρήσεις ἀντεβλήθησαν ὡσιώτως πρὸς βιβλίον χαρτῶν προσενεχθὲν ἐκ μέρους τῆς τῶ ἀποστολικῶ θρόνω τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐσοίχησαν.

Θεόδωρος καὶ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι, καὶ Ἰωάννης ὁ θεοσεβέστατος διάκονος, οἱ τὸν τόπον ἐπέχοντες τῶ ἁγιωτάτω πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος εἶπον. αἰτοῦμεν τιμῶτε ὑμετέραν θεσέβειαν, καὶ ἵνα ἁγίαν ἓ οἰκουμενικὴν συνόδου ἀναγνωσθεῖσαι, καὶ τοῖς πραττομένοις συναγῆναι καὶ Ἀπολλιναρίου τοῦ αἱρετικοῦ χρῆσιν ἐκ τῆς βίβλου τῆς ἀπορίων αὐτοῦ, ἀπὸ βιβλίου τοῦ συνταῦθα διαλόγου πατριαρχείου, μὴ συντεθεῖσαν παρ' ἡμῶν ἐν τῶ νεῶ ἀναγνωσθῆναι κωδικίῳ, ἁρμοδίαν οὖσαν καὶ σωμάσασαν τῷ περὶ θεοῦ θελήματος καὶ μιᾶς ἐνεργείας φρονήματι Μακαρίου καὶ Στεφάνου.

Κωνσταντῖνος ὁ θεσεβέστατος βασιλεὺς, ἓ ἡ ἁγία σύνοδος εἶπον. τὸ αἰτηθὲν παρὰ τῆς θεσεβεστάτων ἀνδρῶν γενέσθω.

Καὶ προεκομίσθη τὸ τοιοῦτον βιβλίον χαρτῶον τῆς βιβλιοθήκης, τυγχάνον τῶ συνταῦθα διαγοῦς πατριαρχείω ἐπιγράφον, ἐκ τῆς ἀπορίων Ἀπολλιναρίου. ὅ ἡ ἀρχή. ἡ ζωὴ τῆς ζώντων αἰτία· ἔχει δὲ ἡ χρῆσις ὕτως. Θεὸς ἀναλαβὼν ὄργανον καὶ Θεὸς ἐστὶ καθὸ ἐνεργεῖ, καὶ ἄνθρωπος κατὰ τὸ ὄργανον· μείων δὲ Θεὸς ὁ μεταβέβληται. ὄργανον καὶ τὸ κινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν. εἰ δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ ὐσία. μία ἄρα ὐσία γέγονε τοῦ λόγου καὶ τῆ σαρκὶ.

Κωνσταντῖνος ὁ θεσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· οἱ ἀνωτέρω ἐπιμνησθέντες Πέτρος, καὶ Θεόδωρος, καὶ Σολομὼν, καὶ Ἀντώνιος, οἱ θεοφιλέστατοι ἐπίσκοποι, Γεώργιός τε καὶ Διονύσιος, Ἀναστάσιός τε καὶ Στέφανος οἱ θεοσεβέστατοι διάκονοι· καὶ Ἀναστάσιος καὶ Γεώργιος οἱ θλαβέστατοι μοναχοὶ, τὰς ὑποχεθέντας παρ' αὐτῆς τῆς οἰκείας πίστεως λιβέλλους ὁμνύντες ἐπιδιδόντωσαν. καὶ τὸν σωματικὸν ἐπὶ τῆς προκειμένων ἁγράντων τῶ Θεῶ θαγγελίων κατιβαλλόμενοι ὅρκον, οἱ αὐτοὶ θεοφιλεῖς ἐπίσκοποι, καὶ θλαβέστατοι κληρικοί τε καὶ μοναχοὶ ἐπιδεδώκασιν ἰσοτύπους λιβέλλους, καὶ ἀνεγνώσθησαν ἔχοντες ἐπὶ λέξεως ὕτως.

Τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ τῇ κατὰ κέλευσιν τοῦ θσεβεστάτου καὶ θεοψηφίστου ἡμῶν δεσπότου καὶ μεγάλου νικητοῦ βασιλέως Κωνσταντίνου συνελθούσῃ ἀρτίως ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, ἐν τῷ βασιλικῷ σεκρέτῳ τῷ ἐπιλεγομένῳ Τρούλλῳ, λίβελλος πληροφορίας σωτηρίας καὶ ἐπιδοθεὶς παρ' ἐμοῦ Πέτρου ἀναξίου ἐπισκόπου Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας. ἐπειπερ ἐπεζήτησεν ἡ ὑμετέρα θεότητος καὶ ἱμία σύνοδος τὸ ὅπως κατέχω περὶ τῆς ὀρθοδόξου καὶ ἀμωμήτου ἡμῶν τῆς Χριστιανῶν πίστεως, καὶ περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ σύνος τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος· τοίνυν χάριν τινὰ παρῶσαν ἔγγραφον πληροφορίαν σωτήριος, ἐπιδίδωμι τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ὑμῶν συνόδῳ ἔχουσαν ὡς ἐστοιχείωται, ὕτως.

Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῆς τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων . . . . .

. . . . . .

. . . . . .

.

ἁμαρτίας. παθητὸν σαρκὶ, ἀπαθῆ θεότητι· Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς, τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ἐκ δύο φύσεων θεότητός τε καὶ ἀνθρωπότητος, καὶ ἐν δύο φύσεσι τελείαις, καὶ μετὰ τὴν ἄφραστον καὶ ἀχώριστον ἕνωσιν ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης. οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ, θεὸν λόγον κύριον Ἰησοῦν Χριστὸν ὁμολογῶ. οὐδὲ γὰρ τετάρτου προσώπου προσθήκην ἡ ἁγία Τριὰς ἐδέξατο καὶ σαρκωθέντος τοῦ ἑνὸς αὐτῆς θεοῦ λόγου. ἀλλ' ἐν τῇ παρθενικῇ νηδύϊ τῆς ἀχράντου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας ἐνοικήσας ἀπορρήτως, ἐξ αὐτῆς ἐν τῇ ἰδίᾳ ὑποστάσει σάρκα ἑαυτῷ ἐδημιούργησεν ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ. διόπερ καὶ τοῦ αὐτοῦ τὰς δύο γεννήσεις ὁμολογῶ, τήν τε πρὸ αἰώνων ἐκ τοῦ θεοῦ καὶ πατρὸς κατὰ τὴν θεότητα, καὶ τὴν ἐκ τῆς αὐτῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας κατὰ σάρκα καὶ πρόσφατον· μείνας γὰρ ὅπερ ἦν, γέγονεν ἀναλλοιώτως ὅπερ οὐκ ἦν. καὶ οὕτως μίαν αὐτοῦ τὴν ὑπόστασιν σύνθετον καταγγέλλω, μηδετέρας τραπείσης διὰ τὴν ἕνωσιν φύσεως, μὴ δ' αὖ τομὴν ἐπιδεχομένης τῆς ἀπορρήτου ταύτης ἑνώσεως. ἡ γὰρ κατὰ σύνθεσιν ἤτοι καθ' ὑπόστασιν ἕνωσις καὶ τὴν σύγχυσιν καὶ τὴν διαίρεσιν ἀποβάλλεται· καὶ φυλάττει μὲν τὴν ἑκατέρας φύσεως ἰδιότητα, ἓν δὲ πρόσωπον τοῦ θεοῦ λόγου· καὶ κατὰ τῆς σαρκὸς ἀποδείκνυσιν. ὅθεν καὶ δύο τοῦ αὐτοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ὁμολογῶ κατὰ τὴν δύναμιν τῶν ἐντεθεισῶν χρήσεων ἁγίων καὶ ἐκκρίτων πατέρων ἐν τῇ σταλείσῃ ἀναφορᾷ πρὸς τὸν εὐσεβέστατον καὶ θεοστήρικτον ἡμῶν δεσπότην καὶ μέγαν νικητὴν βασιλέα παρὰ Ἀγάθωνος τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης. καὶ ἁπλῶς εἰπεῖν ἐν πᾶσι στοιχῶ, καὶ ἐμμένω πᾶσι τοῖς ἐμφερομένοις κεφαλαίοις ἔν τε τῇ εἰρημένῃ ἀναφορᾷ τοῦ αὐτοῦ ἁγιωτάτου ἀνδρὸς, καὶ ἐν τῇ ἑτέρᾳ ἀναφορᾷ τῆς κατ' αὐτὸν συνόδου. ἔτιγε μὴν ὁμολογῶ τὸν αὐτὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν τὸν ἕνα τῆς ἁγίας ὁμοουσίου καὶ ζωοποιοῦ Τριάδος σταυρωθέντα ἑκουσίως ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, παθόντα τε καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, καὶ εἰς οὐρανοὺς ἀνελθόντα, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρὸς, πάλιν ἐλεύσεσθαι μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος ἀμήν.

Δέχομαι δὲ καὶ ἀσπάζομαι τὰς ἁγίας οἰκουμενικὰς πέντε συνόδους· τουτέστι τὴν ἐν Νικαίᾳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων· καὶ τὴν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει τῶν ἑκατὸν πεντήκοντα ἁγίων καὶ μακαρίων πατέρων· καὶ τὴν ἐν Ἐφέσῳ τὸ πρότερον τῶν διακοσίων ἁγίων πατέρων· καὶ τὴν ἐν Χαλκηδόνι τῶν ἑξακοσίων τριάκοντα ἁγίων πατέρων. καὶ τὴν ἐν χρόνοις Ἰουστινιανοῦ τοῦ τῆς εὐσεβοῦς λήξεως συνελθοῦσαν αὖθις ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει ἁγίαν πέμπτην σύνοδον. ἐν πᾶσι δὲ παραφυλάττω καὶ ἀσπάζομαι τὰ παρὰ τῶν αὐτῶν ἁγίων πέντε συνόδων ὁρισθέντα καὶ τυπωθέντα· καὶ οὓς ἐδέξαντο δέχομαι· καὶ οὓς κατέκριναν καὶ ἀνεθεμάτισαν, ἀποβάλλομαι καὶ ἀναθεματίζω. πρὸς τούτοις δὲ ἀποβάλλομαι, καὶ ἀναθεματίζω καὶ πάντας τοὺς μίαν ἐνέργειαν καὶ ἓν θέλημα κηρύξαντας, ἢ κηρύσσοντας, ἢ μέλλοντας κηρύσσειν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. ταύτην τοίνυν τὴν τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου ἡμῶν τῶν Χριστιανῶν πίστεως πληροφορίαν σύνεταξα γραφεῖσαν δι' ἑτέρου, μηνὶ Μαρτίῳ. ἰνδικτιῶνος ἐννάτης. ἡ ὑπογραφή· Πέτρος ἀνάξιος ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθηνῶν ἐπαρχίας, στοιχῶν καὶ ἐμμένων πᾶσι τοῖς ἐμφερομένοις ἐν τῷ παρόντι τῆς πληροφορίας λιβέλλῳ, καὶ ὁμολογήσας, ὡς πρόκειται, ὥσπερ δύο φύσεις, οὕτω καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ. ἀναθεματίσας τε πάντας τοὺς λέγοντας ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος· ὑπέγραψα μηνὶ Μαρτίῳ, ἰνδικτιῶνος ἐννάτης. καὶ οἱ λοιποὶ σὺν αὐτῷ προσδεδώκασιν ὁμοίως.

Γεώργιος ὁ θεοσεβέστατος πρεσβύτερος μοναχὸς καὶ ἀποκρισιάριος Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων εἶπεν· αἰτῶ τήν τε ὑμετέραν εὐσέβειαν, καὶ τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, τὰ συνοδικὰ Σωφρονίου τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένου ἀρχιεπισκόπου Ἱεροσολύμων, τὰ παρ' αὐτοῦ μὲν πρὸς Σέργιον τὸν τηνικαῦτα πατριάρχην τυγχάνοντα τῆς βασιλίδος ταύτης καὶ θεοφυλάκτου πόλεως, μὴ προσδεχθέντα δὲ παρ' αὐτοῦ Σεργίου, ἐν χερσί μου τυγχάνοντα, ἀναγνωσθῆναι· ἐφ' ᾧ διαγνωσθῆναι, εἴτε ὀρθοδόξως ἔχουσιν, εἴτε καὶ οὔ.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον. καθ' ἑτέραν ἡ τούτων προκομιδὴ καὶ ἀνάγνωσις γινέσθω.

ΠΡΑ-

ΠΡΑΞΙΣ ΙΑ'.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοσέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοῦ ἑβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τεσσαρεσκαιδεκάτου. Ἡρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ εἰκάδι τοῦ Μαρτίου μηνὸς, ἰνδικτιῶνος ἑνάτης.

Προκαθεζομένου τοῦ αὐτοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνότητος, παρόντων καὶ ἀκροωμένων Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῆς βασιλικῶν ὀφφικίων· Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ βασιλικοῦ ᾠκητικίου, καὶ ὑποστρατήγου Θράκης. Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων παξικίου. Ἰουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ στρατιωτικοῦ λογοθέτου. Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων παξικίου, καὶ κουράτορος τοῦ βασιλικοῦ τοῦ Ὁρμίσδου οἴκου· Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ κοιαίστορος. Πολυδύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῆς ἀνατολικῶν ἐπαρχιῶν. Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεστίκου τῆς βασιλικῆς ζαπέζης.

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν ἁγιωτάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ ἁγιωτάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Ἀγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Ἀλεξανδρέως μεγαλοπόλεως. καὶ Γεωργίου τοῦ ἁγιωτάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου. Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκ. πόλεως Πόρτου· Ἀγουνδαντίου ἐπισκ. πόλεως Πατέρνου· Ἰωάννου ἐπισκ. πόλεως Ῥηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ρώμην ὁσίας καὶ ἁγίας ἑκατὸν εἴκοσι ἑπτὰ θεοφιλῶν ἐπισκόπων συνόδου, καὶ δι' οἰκείων ὑπογραφῶν δηλωθέντων ἐν τῇ ῥηθείσῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῆς ἀναφορᾷ, καὶ Θεοδώρου τοῦ ἁγιωτάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ραβέννης Θεοδώρου. Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης· Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρήτης νήσου. Φιλαλήθους ἐπισκόπου Καισαρείας Καππαδοκίας Θεοδώρου ἐπισκόπου Ἐφέσου. Σισιννίου ἐπισκόπου Ἡρακλείας Θράκης. Πλάτωνος ἐπισκόπου Ἀγκύρας Γαλατίας. Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ἰωάννου ἐπισκόπου Χαλκηδόνος· Ἰωάννου ἐπισκόπου Σίδης. Θεοδώρου ἐπισκόπου Μελιτηνῆς. Ἰουστίνου ἐπισκόπου Τυάνων. Ἀλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανοῦ ἐπισκ. Κλαυδιουπόλεως· Πολυδύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκ. Σταυρουπόλεως Καρίας. Τιβερίου ἐπισκόπου Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκόπου Σωάδων. Στεφάνου ἐπισκόπου Ἀντιοχείας Πισιδίας· Θεοπέμπτου ἐπισκόπου Ἰουστινουπόλεως ἤτοι Μωκισσοῦ. Ἰωάννου ἐπισκόπου Πέργης. Ἰσιδώρου ἐπισκόπου Ῥόδου· Σισιννίου ἐπισκόπου Ἱεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκόπου Ταρσοῦ. Μακροβίου ἐπισκόπου Σελευκείας Ἰσαυρίας. Γεωργίου ἐπισκόπου Βυζίης Θράκης. Ζαχαρίου ἐπισκόπου Λεοντοπόλεως Ἰσαυρίας. Γρηγορίου ἐπισκόπου Μιτυλλήνης· Γεωργίου ἐπισκόπ. Μιλήτου. Σεργίου ἐπισκόπου Σηλυβρίας· Ἀνδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Ἐπιφανίου ἐπισκ. Εὐχαΐτων. Πέτρου ἐπισκόπου Μεσημβρίας· Πέτρου ἐπισκόπου Σωζοπόλεως Θράκης. Ἰωάννου ἐπισκ. Νύσσης. Θεοδώρου ἐπισκ. τῆς βασιλικῶν Θερμῶν. Γεωργίου ἐπισκόπου Καμουλιανῶν. Ζωήτου ἐπισκόπου * Χρυσοπόλεως Ἀσίας. Παξικίου ἐπισκ. Μαγνησίας· Ἀντωνίου ἐπισκ. Ὑπαίπων. Θεοδώρου ἐπισκ. Περγάμου. Γενεσίου ἐπισκόπου Ἀναστασιουπόλεως· Πλάτωνος ἐπισκόπου Κίννης. Στεφάνου ἐπισκόπου Βερινουπόλεως. Ἀνδρέου ἐπισκόπου Μυρίζου. Ἰωάννου ἐπισκ. Μιλητουπόλεως. Ἰωάννου ἐπισκ. Φιλαδελφείας. Θεοδώρου ἐπισκόπου * Πρανέτου. Ἰωάννου ἐπισκόπου τοῦ Δασκυλίου. Θεοδώρου ἐπισκόπου Ἰουστινιανουπόλεως Γόρδου. Μιχαὴλ ἐπισκ. Καραλίας Παμφυλίας· Καλλινίκου ἐπισκόπου Κολωνίας Ἀρμενίας. Θεοδώρου ἐπισκόπου Βερίσσης. Τιβερίου ἐπισκ. Ἀμισσοῦ· Σεργίου ἐπισκ. Σινώπης. Γεωργίου ἐπισκ. Ἰουνιουπόλεως. Στεφάνου ἐπισκόπου Ἡρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου. Δομετίου ἐπισκ. Προυσιάδος· Γεωργίου ἐπισκ. Κραλίας. Πλάτωνος ἐπισκ. Ἀδριανουπόλεως· Σολομῶνος ἐπισκ. Κλανέου. Γεωργίου ἐπισκόπου Ἐρίζων. Γεωργίου ἐπισκόπου Κῴου. Ἰωάννου ἐπισκ. Μιλέτου. Πατρικίου ἐπισκ. Ἰλιέων. Πέτρου ἐπισκ. Ἀππίας. Ἀλεξάνδρου ἐπισκόπου Νακωλείας. Δομετίου ἐπισκ. Πρου-

Πρυμνήσου· Κωνσαντίνου ἐπισκ. Βαράτης Θεοδοσίου ἐπισκ. Ψιβήλων. Παύλου ἐπισκ. Σωζοπόλεως Πισιδίας· Πλουσιανοῦ ἐπισκ. τοῦ Συλλέου. Θεοδώρου ἐπισκ. Ναζιανζοῦ· Δημητρίου ἐπισκ. Τήνου. Στεφάνου ἐπισκ. Πάρου. Γρηγορίου ἐπισκ. Καντάνου. Ιωάννου ἐπισκ. Λάππης. Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσαντίνου ἐπισκόπ. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ολβης. Θεοφάνους πρεσβυτέρου καὶ ἡγουμένου τοῦ ἐν Σικελίᾳ εὐαγοῦς μοναστηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῶν Ρενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ρώμῃ· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην.

Καθεσθέντων τε καὶ τῶν ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ θεοῦ ἡμῶν εὐαγγελίων.

Κωνσαντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῶν θεοσεβεστάτων νοταρίων τοῦ ἁγιωτάτου πατριάρχου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως Γεωργίου, εἶπεν.

Διακρίνειν εἰωθυῖα τοὺς τὰ ὀρθὰ φρονοῦντας καὶ κυρύσσοντας δόγματα ἐκ τῶν μὴ ἀληθῶς ὁμολογούντων τὰ τῆς οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ἥ τε ὑμετέρα εὐσεβὴς γαλήνη, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος ἐν εἰδήσει τυγχάνει, ὡς κατὰ τὴν προλαβοῦσαν πρᾶξιν Γεώργιος ὁ εὐλαβέστατος πρεσβύτερος μοναχὸς καὶ ἀποκρισιάριος Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ιεροσολύμων προσελθὼν ᾔτησε τὴν ὑμετέραν εὐσέβειαν καὶ τὴν ἁγίαν ὑμῶν σύνοδον, τὰ συνοδικὰ γράμματα Σωφρονίου τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένου ἀρχιεπισκόπου τῆς Ιεροσολυμιτῶν πόλεως προενεχθῆναι εἰς μέσον, καὶ ἀναγνωσθῆναι, καὶ τὴν τούτων λαβεῖν ὑμᾶς εἴδησιν, καὶ κρῖναι, εἴγε ὀρθόδοξα καθεστήκασι. καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Κωνσαντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἀναγινωσκέσθω τὰ ἤδη πραχθέντα. καὶ ἀνεγνώσθησαν.

Κωνσαντῖνος ὁ εὐσεβέστατος βασιλεὺς καὶ ἡ ἁγία σύνοδος εἶπον· Γεώργιος ὁ εὐλαβέστατος πρεσβύτερος, μοναχὸς καὶ ἀποκρισιάριος τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ιεροσολύμων τῶν ἐπιμνησθέντων παρ' αὐτοῦ συνοδικῶν Σωφρονίου τοῦ γενομένου ἀρχιεπισκόπου Ιεροσολύμων κατὰ τὰ αἰτηθέντα παρ' αὐτοῦ τὴν προκομιδὴν ποιησάτω, καὶ ἡ τούτων ἀνάγνωσις γινέσθω. καὶ προεκομίσθη βιβλίον ἔχον τὰ συνοδικὰ τοῦ αὐτοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ Σωφρονίου. ὅπερ λαβὼν Αγάθων ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως ἀνέγνω, ἔχον ἐπὶ λέξεως οὕτω.

Δεσπότῃ πάντων ἁγιωτάτῳ, καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Σεργίῳ ἀρχιεπισκόπῳ καὶ πατριάρχῃ Κωνσαντινουπόλεως, Σωφρόνιος ἀχρεῖος δοῦλος τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως.

Βαβαὶ, βαβαὶ, παμμακάριστοι, πῶς μοι φίλον νῦν τὸ ἡσύχιον, καὶ πολὺ τοῦ πρὶν προσφιλέστερον, ἀφ' οὗπερ ἐξ ἡσυχίας ἀπράγμονος εἰς πραγμάτων τύρβην ἐλήληθα, καὶ χερσαίοις τισὶ καταντλοῦμαι τοῖς κύμασι. βαβαὶ, βαβαὶ, θεοτίμητοι, πῶς μοι νῦν ἡδὺ τὸ ἐλάχιστον, καὶ τοῦ πρὶν οὐ μετρίως ἡδύτερον, ἀφ' οὗπερ ἐκ κοπρίας, καὶ γῆς, καὶ ἀφάτου καὶ πολλῆς ταπεινότητος εἰς θῶκον ἱεραρχικὸν ἀνελήλυθα. καὶ πολὺν ὁρῶ συνεζευγμένον τὸν κλύδωνα, καὶ τῷ κλύδωνι παρομαρτοῦντα τὸν κίνδυνον. οὐχ οὕτω γὰρ ἥδιστα καθορᾶται τὰ ἥδιστα πρὸ τῆς τῶν ἀηδῶν πείρας καὶ γνώσεως, ὡς ὅταν μετὰ πεῖραν καὶ ἔφοδον τῶν λυπηρῶν καταφαίνηται. οὕτως ὑγεία τοῖς μεθ' ὑγείαν νοσοῦσι τριπόθητος. οὕτω γαλήνη τοῖς μετὰ γαλήνην χειμαζομένοις ἐπίχαρτος. οὕτω πλοῦτος τοῖς μετὰ πλοῦτον πενομένοις ἐράσμιος. καὶ πάντα τις οὕτως ἂν ἴδοι τυγχάνοντα αὐτὰ μὲν ὄντα καὶ μένοντα φυσικῇ καὶ οὐσιώδει ποιότητι, ὁποῖα περ καὶ πρὸ τῆς τῶν ἐναντίων πείρας ἐφαίνετο. κομψότερα δὲ μετὰ τὴν τούτων γνῶσιν γιγνόμενα καὶ τοῖς αὐτὰ δεδεγμένοις πολὺ τιμιώτερα, οὐ μὴν ἀλλὰ καὶ τερπνότερα, καὶ πολὺ ποθεινότερα. καὶ τοῦτο ἡμῖν Ἰὼβ ὁ ἀοίδιμος συμψηφιεῖται λαμπρότατα, διὰ πείρας ἑκατέρων γενόμενος, καὶ τὰς ψήφους ὀρθὰς ὁριζόμενος, καὶ δίκαιος ἂν εἴη κριτὴς τῶν λεγομένων ἡμῖν προερχόμενος, καὶ κρίσιν ὁρίζων ἀπροσκλινῆ καὶ ἀδέκαστον. τί οὖν ἐκεῖνος ὁ ἀθλητής φησιν ὁ ἀδάμαστος, τῶν ἡδόντων παθῶν τὴν μετάβλησιν, καὶ τῶν λυπούντων ἐλθὼν εἰς ἐπίκλυσιν; Τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ Θεὸς ἐφύλαξεν, ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου. ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει· ὅτε ἤμην ἐπιβρίθων ὁδοῖς. ὅτε ὁ κύριος ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου. ὅτε ἤμην ὑλώδης λίαν, κύκλῳ δὲ μοῦ οἱ παῖδες· ὅτε ἐχέοντό μου αἱ ὁδοὶ βουτύρῳ, τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι, ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει, ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος; ἰδόντες με νεανίσκοι ἐκρύβησαν, πρεσβῦται δὲ ἐπανέστησαν, ἀνδροὶ δὲ ἐπαύσαντο λαλοῦντες, δάκτυλον ἐπιθέντες ἐπὶ στόματι, οἱ δὲ ἀκούσαντες ἐμακάρισαν με. οὐκοῦν εἰκότως κἀγὼ μακαριώτατοι σὺν Ἰὼβ τῷ πεντάθλῳ βοήσομαι τῶν πάλαι μοι προσόντων καλῶν τῇ μνήμῃ βαλλόμενος· γαλήνος ταῦτα βίος ἦν καὶ ἡσύχιος, καὶ ταπεινότης οὐδένα γινώσκουσα κλύδωνα. τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ Θεὸς ἐφύλαττεν ἄθλιπτον, ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου εἰρηναίαν

ναίαν βιοῦντος ζωὴν καὶ ἀκύμαντον; ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει· ὅτε τῆς ἡσυχίας ἐτρύγων τοὺς βότρυας· ὅτε γαλήνης ἐβριθόμην γεννήμασιν· ὅτε ἀταραξίας ἐτρύφων βλαστήμασιν· ὅτε ἀμεριμνίας ἠγαλλίων τοῖς ἄνθεσιν· ὅτε ἀφοβίας ἐστεφανούμην τοῖς κάλυξιν· ὅτε ἀπραγμοσύνης ἡστιώμην ταῖς χάρισιν· ὅτε τῆς ἐπιγείου πενίας ἀπήλαυον· ὅτε τῆς ἀκινδύνου κοπρίας ἤρουν τοὺς αὔλακας· ὅτε τῆς ἀκυμάντου πτωχείας τὴν θάλαττιν ἔπλεον· ὅτε τῆς χθαμαλῆς ἑστίας ἐγαννύμην τοῖς κάλλεσιν· ὅτε τῆς χαμαιτρόφου διαίτης μάννα τὸ μελίῤῥυτον ἤσθιον, ἄλλος τις Ἰσραὴλ καὶ αὐτὸς θεωρούμενος, καὶ τρυφὴν τρυφῶν εἰρηνικὴν καὶ οὐράνιον ἄνευ γογγυσμοῦ καὶ γνώμης ἀγνώμονος. ἐπεὶ οὖν ταῦτα καὶ τούτων πέρα σοφώτατοι εἰς ἐμὲ τὸν τρισάθλιον ἀνάγκῃ μεγάλῃ καὶ βίᾳ θεοφιλῶν κληρικῶν, καὶ εὐλαβῶν μοναχῶν, καὶ πιστῶν λαϊκῶν, τῶν πάντων πολιτῶν τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, τῶν χειρί με βιασαμένων, καὶ τυραννίδι δρασάντων γεγένηται, οἵοις οὐκ οἶδα οὐδὲ ἐπίσταμαι κρίμασιν, ἀξιῶ τοὺς πανιέρους ὑμᾶς καὶ προτρέπομαι, μὴ μόνον εὐχαῖς καθαραῖς ταῖς πρὸς κύριον ἐπικουρεῖν ἐμοὶ βιωτικῶς θαλαττεύοντι, εἶτα δὲ καὶ κινδυνεύοντι, καὶ στηρίζειν με μικροψυχίαις ὀκλάζοντα, ἀλλὰ καὶ θεοπνεύστοις διδάγμασι ποδηγεῖν πρὸς τὴν τῶν πρακτέων ἐγχείρησιν. τοῦτο μὲν ὡς πατέρες καὶ φύσαντες, τοῦτο δὲ ὡς ἀδελφοὶ καὶ ὁμαίμονες. δότε γοῦν ὑμεῖς ἐμοὶ πατρικῶς τε καὶ ἀδελφικῶς τὰ αἰτήματα δίκαιά γε τυγχάνοντα, κἀγὼ ταῖς ὑμετέραις ποδηγίαις ἐφέψομαι, καὶ συμπλοκὴν τὴν πρὸς ὑμᾶς ἐμπορεύσομαι, ἣν ἡ πίστις συνδεῖ τοὺς ὁμόφρονας, καὶ ἡ ἐλπὶς συνενοῖ τοὺς εὐθύφρονας, καὶ ἡ ἀγάπη συνδεσμοῖ τοὺς θεόφρονας· ὧν τὸ χοινίον τὸ ἔντριτον, κἂν τριῶν τουτωνὶ τῶν θείων ἀρετῶν συμπλεκόμενον οὔτε λύσιν ἐπίσταται, οὔτε ῥῆξιν ὑφίσταται, οὔτε χωρισμὸν παραδέχεται· ἀλλ' ἔστιν ἀληθῶς ἀδιάῤῥηκτον, εἰς μίαν συνάγον εὐσέβειαν τοὺς τὴν πλοκὴν αὐτοῦ πλουτοῦντας τὴν ἔνθεον. ἐπεὶ δέ τις ἀποστολικὴ καὶ ἀρχαία παράδοσις ἐν ταῖς κατὰ πᾶσαν τὴν οἰκουμένην ἁγίαις ἐκκλησίαις κεκράτηκεν, ὅπως οἱ πρὸς ἱεραρχίαν ἀγόμενοι τοῖς πρὸ αὐτῶν τὰς ἱεραρχίας χειρίζουσι πάντα εἰλικρινῶς ἀνατίθωνται, ὅπως φρονοῖεν, καὶ ὅπως πίστεως ἔχοιεν, ἣν Παῦλος αὐτοῖς ὁ σοφώτατος ἄγαν ἀσφαλῶς παραδέδωκεν, ἵνα μὴ εἰς κενὸν τὰ δρομήματα τεύχοιεν· κενὸς γὰρ αὐτοῖς ἅπας ὁ δρόμος ἐγίγνετο, ἀδικουμένης κατά τι τῆς πίστεως. ἐκεῖνος γὰρ ὁ θεσπέσιος, ὁ Θεοῦ φωνῶν ἀκροασάμενος, καὶ οὐρανὸν αὐτὸν ἐσχηκὼς παιδευτήριον, καὶ παραδείσου θεωρὸς γενόμενος πρόωρος, καὶ ῥημάτων ἑτέροις ἀῤῥήτων ἀνθρώποις πυθόμενος, ἐδεδίει καὶ ἔτρεμε, καὶ ὡς αὐτός φησιν, ἐπεφοβεῖτο, μήπως ἄλλοις κηρύξας Χριστοῦ τὸ σωτήριον κήρυγμα, αὐτὸς ἀδόκιμος γένηται. ὅθεν καὶ ἐν Ἱεροσολύμοις ἀνήρχετο ὁ Χριστοῦ μαθητὴς ἐπουράνιος, καὶ τοῖς πρὸ αὐτοῦ θείοις μαθηταῖς ὑπεκλίνετο, καὶ τὸ εὐαγγελικὸν, ὅπερ ἐκήρυττε δίδαγμα, τοῖς τῶν ἄλλων δοκοῦσι προὔχειν ἐγνώριζε, καὶ κοινωνοὺς αὐτοὺς ἐποιεῖτο τοῦ δόγματος, τὸ ἀσφαλὲς ἑαυτῷ μνηστευόμενος, καὶ τοῖς μετ' αὐτὸν δεχομένοις αὐτοῦ τὰ διδάγματα, καὶ τύπος ἅπασι σωτηρίας γινόμενος ἄριστος τοῖς ἀκολουθεῖν αὐτοῦ βουλομένοις τοῖς ἴχνεσι. τούτῳ τοιγαροῦν καὶ ἡμεῖς τῷ ἔθει δουλεύοντες, καὶ νόμον ἡγούμενοι κάλλιστον πᾶν τὸ τοῖς πάλαι πρεπόντως γινόμενον, ἀποστολικῷ μάλιστα κρατυνθὲν ἐγχειρήματι, τὸ ὅπως ἔχομεν περὶ πίστεως, γράφομεν· καὶ τοῖς θεοσόφοις ὑμῖν πρὸς δοκιμὴν ἀποστέλλομεν, ἵνα μὴ ὅρια μετατιθέντες αἰώνια, ἅπερ ἡμῶν οἱ πατέρες ἔθεντο, δόξωμεν, οὐ διακρείνειν μόνον εἰδόσιν ἀπὸ τῶν νόθων τὰ δόκιμα δόγματα, ἀλλὰ καὶ προσαναπληροῦν τὰ λείποντα διὰ τὴν καὶ ἐν Χριστῷ τελείαν ἀγάπησιν δυναμένοις ἀκριβῶς καὶ ἰσχύουσιν. ἐκεῖνα γοῦν λέξων ἐλεύσομαι, ἅπερ ἀπ' ἀρχῆς ἐν ἐκκλησίᾳ τῇ ἁγίᾳ καὶ καθολικῇ τεχθεὶς καὶ τραφεὶς ἐκμεμάθηκα, κἂξ ἁπαλῶν φρονεῖν ὀνύχων παρείληφα, καὶ κηρυττόντων ὑμῶν τῶν θεοπνεύστων ἀκήκοα.

Παροι. 22.

Πιστεύω τοίνυν, μακάριοι, καθάπερ ἀρχῆθεν πεπίστευκα, εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ἄναρχον παντελῶς καὶ ἀΐδιον, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἀϊδίως καὶ ἀπαθῶς ἐξ αὐτοῦ γεννηθέντα τοῦ Θεοῦ καὶ πατρὸς, καὶ οὐκ ἄλλην ἀρχὴν ἢ τὸν πατέρα γινώσκοντα, ἀλλ' οὐδὲ ἄλλοθέν ποθεν ἢ ἐκ τοῦ πατρὸς τὴν ὑπόστασιν ἔχοντα· φῶς ἐκ φωτὸς ὁμούσιον· Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ συναΐδιον. εἰς ἓν πνεῦμα ἅγιον τὸ ἐκ Θεοῦ πατρὸς ἐκπορευόμενον, τὸ φῶς καὶ Θεὸν καὶ αὐτῷ γνωριζόμενον, καὶ ὂν ἀληθῶς πατρὶ καὶ υἱῷ συναΐδιον, ὁμούσιόν τε καὶ ὁμόφυλον, καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως, ὡσαύτως δὲ καὶ θεότητος. Τριάδα ὁμούσιον καὶ ὁμότημον καὶ ὁμόθρονον, συμφυᾶ καὶ συγγενῆ καὶ ὁμόδοξον, εἰς μίαν συγκεφαλαιουμένην θεότητα, καὶ εἰς μίαν συναγομένην κοινὴν κυριότητα, ἄνευ προσωπικῆς ἀναχύσεως, καὶ ὑποστατικῆς ἐκτὸς συναιρέσεως. τριάδα γὰρ ἐν μονάδι πιστεύομεν, καὶ μονάδα ἐν τριάδι δοξάζομεν. τριάδα μὲν ταῖς τρισὶν ὑποστάσεσι, μονάδα δὲ τῷ μοναδικῷ τῆς θεότητος. ἥτε γὰρ ἁγία τριὰς ἀριθμητὴ ταῖς προσωπικαῖς ἐστιν ὑποστάσεσιν, ἥτε παναγία μονὰς πάσης ἐκτὲς ἐστὶν ἀριθμήσεως. καὶ ἡ μὲν ἀδιαίρετον ἔχει διαίρεσιν, καὶ ἀσύγχυτον φέρει συνάφειαν. διαιρουμένη γὰρ ταῖς ἀριθμηταῖς ὑποστάσεσι, καὶ ἀριθμουμένη ταῖς προσωπικαῖς ἑτερότησι τῷ ταυτῷ τῆς οὐσίας καὶ τῆς φύσεως ἥνωται, καὶ τὸν παντελῆ μερισμὸν οὐ προσίεται. ἥτε μονὰς ἐνιαία τέ ἐστι καὶ ἄζυγος, καὶ πᾶσαν φεύγει τὴν κατ' οὐσίαν ἀρίθμησιν. εἷς γὰρ Θεὸς ἡμῖν ἀραρότως πιστεύεται, ὅτι καὶ θεότης μία * διαπρυσίως κηρύσσεται, κἂν ἐν τριάδι προσώπων γινώ-

1. Κορ. 12.

Γαλάτ. 2.

νώσκηται. καὶ εἷς κύριος ἡμῖν ἀναγγέλλεται, ὅτι καὶ κυριότης μία βεβαίως διέγνωσται, κἂν ἐν τρισὶν ὑποστάσεσι δείκνυται. οὔτε καθὸ εἷς Θεὸς ὁ Θεὸς καὶ μία θεότης ἐστὶ διαιρούμενος, καὶ εἰς τρεῖς θεοὺς μεριζόμενος, ἢ εἰς τρεῖς θεότητας ἐκφερόμενος· οὔτε καθὸ εἷς κύριος ὁ εἷς κύριος διϊστάμενος, καὶ εἰς κυρίους τρεῖς εὑρυνόμενος, ἢ κυριότητας τρεῖς πλατυνόμενος. Ἀρειανῶν τὸ δυσσέβημα εἰς ἀνίσους Θεοὺς τὸν ἕνα κατατέμνον Θεὸν, καὶ εἰς ἀνομοίους θεότητας τὴν μίαν μερίζον θεότητα, καὶ εἰς ἑτερογενεῖς τρεῖς κυριότητας τὴν μίαν διϊστῶν κυριότητα. οὔτε καθὸ τριὰς ὁ εἷς Θεός ἐστι καὶ γνωρίζεται, καὶ ὑποστάσεις τρεῖς καταγγέλλεται, καὶ εἰς τρία πρεσβεύεται πρόσωπα, καὶ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα ἅγιον λέγεται, συστελλόμενος, ἢ συντιθέμενος, ἢ συγχεόμενος, καὶ εἰς μίαν ἑαυτὸν συναλείφων ὑπόστασιν, καὶ εἰς ἓν συγκρίνων οὐκ ἀριθμούμενον πρόσωπον. Σαβελλιανῶν τὸ ἀνόμημα εἰς μίαν τὰς τρεῖς ὑποστάσεις συγχέον ὑπόστασιν, καὶ εἰς ἓν τὰ τρία συμφύρον πρόσωπα πρόσωπον. πῶ γὰρ τριὰς, ὦ δυσσεβέστατοι, εἰ πρὸς ἓν καθ' ὑμᾶς ἡ τριὰς συναχθήσεται πρόσωπον, καὶ πρὸς μίαν δραμεῖται συγκεχυμένην ὑπόστασιν; ἢ πῶ μονὰς, ὦ μανικώτατοι, εἰ πρὸς οὐσίας τρεῖς ἡ μονὰς ἐξαχθήσεται, καὶ πρὸς φύσεις τρεῖς πλατυνθήσεται καὶ εἰς τρεῖς θεότητας πληθυνθήσεται; ἀσεβὲς γὰρ παρ' ὀρθοδόξοις ἑκάτερον, καὶ πάντῃ τῆς εὐσεβείας ἐξώκειλε τότε μοναδικὸν καθ' ὑπόστασιν, τότε τριαδικὸν ἐν ταῖς φύσεσι. τὸ μὲν γὰρ πρὸς Ἰουδαϊσμὸν εὐθὺς ἀποφέρεται, καὶ ἑαυτῷ συναποφέρει τὸν λέγοντα. τὸ δὲ πρὸς ἑλληνισμὸν ἐκκυλίεται, καὶ ἑαυτῷ συνεκκυλίει τὸν φάσκοντα. καὶ ἢ πάντως ἑλληνίζει ὁ τοῦτο μανικῶς σὺν Ἀρείῳ φθεγγόμενος, ἢ Ἰουδαΐζει, ἐκεῖνο δυσσεβῶς σὺν Σαβελλίῳ δεχόμενος. καὶ διὰ τοῦτο καλῶς τοῖς θεολόγοις τεθέσπισται, μονάδα μὲν ἡμᾶς φρονεῖν μιᾷ καὶ ἑνιαίᾳ θεότητι, καὶ τῷ ταυτῷ τῆς οὐσιώδους τε καὶ φυσικῆς κυριότητος· Τριάδα δὲ ταῖς ἀσυγχύτοις τρισὶν ὑποστάσεσι, καὶ τῷ διαφόρῳ τῆς τρισαρίθμου προσωπικῆς ἑτερότητος· ἵνα μήτε τὸ ἓν * μείνῃ Σαβέλλιον πάντῃ ἓν θεωρούμενον, καὶ πᾶσαν ὑποστατικὴν πληθὺν ἐκτρεπόμενον· μήτε τὰ τρία σεμνύνῃ τὸν Ἄρειον τρία διαμπὰξ προσνοούμενα, καὶ πᾶσαν μοναδικὴν φωνὴν διωθούμενα θεότητος, καὶ οὐσίας, καὶ φύσεως. ὥσπερ οὖν φρονεῖν ἕνα Θεὸν ἐδιδάχθημεν, οὕτω καὶ μίαν θεότητα καθομολογεῖν παρειλήφαμεν. καὶ ὥσπερ ὑποστάσεις τρεῖς πρεσβεύειν ἐμάθομεν, οὕτω καὶ πρόσωπα τρία δοξολογεῖν ἐπαιδεύθημεν, οὐκ ἄλλον τὸν ἕνα Θεὸν παρὰ τὰ τρία γινώσκοντες πρόσωπα, οὔτε τὰ τρία τῆς Τριάδος ὁμοούσια πρόσωπα, ἅπερ ἐστὶν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἕτερα παρὰ τὸν ἕνα Θεὸν ἐπιστάμενοι. καὶ διὰ τοῦτο ἓν τὰ τρία τὰ ἐν οἷς ἡ θεότης κηρύττομεν, καὶ τὰ τρία ἓν, ὧν θεότης ἐστὶν ἐξαγγέλλομεν· ἢ τόγε ἀκριβέστερον εἰπεῖν καὶ σαφέστερον, ἃ ἡ θεότης ἐστὶ καὶ γινώσκεται· τὸ γὰρ αὐτὸ καὶ ἕν ἐστι καὶ τρία πιστεύεται καὶ τρία δοξάζεται, καὶ ἓν ἀληθῶς ἀναγγέλλεται. καὶ οὔτε τὸ ἓν ᾗ ἕν ἐστι, τρία λαμβάνεται· οὔτε τὰ τρία καθὸ * τρία τυγχάνει, ἓν ἐξακούεται· ὃ καὶ παράδοξον καὶ πάσης γέμον ὄντως ἐκπλήξεως. τὸ γὰρ αὐτὸ καὶ ἀριθμητόν ἐστι, καὶ διαφεύγει τὴν ἐξαρίθμησιν, ἀριθμητὸν μὲν ταῖς ἑαυτοῦ τρισσαῖς ὑποστάσεσι, διαφεῦγον δὲ τῷ ἑνικῷ τῆς θεότητος τὴν ἀρίθμησιν. τὸ γὰρ ἑνικὸν αὐτοῦ τῆς οὐσίας καὶ φύσεως ἀριθμεῖσθαι παντελῶς οὐκ ἀνέχεται, ἵνα μὴ καὶ διαφορὰν εἰσοίσῃ θεότητος, καὶ λοιπὸν οὐσίας καὶ φύσεως, καὶ πολυθείαν τὴν μοναρχίαν ἐργάσοιτο. πᾶς γὰρ ἀριθμὸς τὴν διαφορὰν κέκτηται σύνοικον, καὶ πᾶσα διαφορὰ καὶ διάκρισις τὸν ἀριθμὸν συνεπάγεται σύμφυτον. ἀριθμεῖται γοῦν ἡ μακαρία τριὰς οὐκ οὐσίαις καὶ φύσεσι καὶ διαφόροις θεότησιν, ἢ τρισσαῖς κυριότησιν· ἄπαγε ὡς Ἀρειανοὶ μαίνονται, καὶ οἱ τῆς νέας τριθείας λυττῶσιν ἡγούμενοι, οὐσίας τρεῖς, καὶ φύσεις τρεῖς, καὶ τρεῖς κυριότητας, καὶ τρεῖς ὁμοίως * κενολογοῦντες θεότητας· ἀλλ' ὑποστάσεσι καὶ ἰδιότησι νοεραῖς, τελείαις καθ' ἑαυτὰς ὑφεστώσαις ἀριθμῷ διαιρεταῖς καὶ οὐ διαιρεταῖς τῇ θεότητι. διαιρεῖται γὰρ ἀδιαιρέτως ἡ παναγία τριὰς, καὶ διῃρημένως πάλιν συνάπτεται. τοῖς γὰρ προσώποις τὴν διαίρεσιν ἔχουσα ἀδιαίρετος μένει καὶ ἄτμητος οὐσίᾳ καὶ φύσει, ὡσαύτως δὲ καὶ θεότητι. καὶ διὰ τοῦτο οὔτε τρεῖς Θεοὺς λέγομεν, οὔτε τρεῖς φύσεις ἐπὶ τῆς Τριάδος δοξάζομεν, οὔτε τρεῖς ἐπ' αὐτῆς οὐσίας κηρύττομεν, οὔτε τρεῖς ὁμολογοῦμεν θεότητας, οὐχ ὁμοουσίους, οὐχ ἑτεροουσίους, οὐχ ὁμοφύλους, οὐχ ἑτεροφύλους, οὐδ' ὅσα μοναδικῶς ἐπ' αὐτῆς προσκηρύττεται, εἰς πλῆθος ἐκφέρειν ἀφίεμεν, ἤ τινα τὴν αὐτῆς διαιρεῖν συγχωροῦμεν ἑνότητα. οὔτε δὲ τρεῖς τινας Θεοὺς ἐπιστάμεθα, ἢ τρεῖς τινας φύσεις, ἢ τρεῖς τινας οὐσίας, ἢ τρεῖς τινας θεότητας οἴδαμεν, οὐχ ὁμογενεῖς, οὐχ ἑτερογενεῖς, οὐχ ὁμοειδεῖς, οὐχ ἑτεροειδεῖς. ἀλλ' οὔτε δὲ ὅλως Θεοὺς ἢ φύσεις ἢ οὐσίας ἢ θεότητας ἔγνωμεν, ἢ γινώσκοντας οἴδαμεν· ἀλλὰ καὶ τὸν ἔχοντα ἢ φρονοῦντα, ἢ γινώσκοντα τοῖς ἀναθέμασι βάλλομεν· ἡμεῖς γὰρ μίαν ἀρχὴν τὴν μίαν ἴσμεν θεότητα, μίαν βασιλείαν, μίαν ἐξουσίαν, μίαν δύναμιν, μίαν ἐνέργειαν, μίαν βούλησιν, μίαν θέλησιν, μίαν δεσποτείαν μίαν κίνησιν, εἴτε τῶν μετ' αὐτὴν ὄντων ἁπάντων δημιουργικὴν, εἴτε προνοητικὴν, εἴτε συστατικὴν καὶ συντηρητικὴν· μίαν κυριότητα, μίαν ἀϊδιότητα, καὶ ὅσ' ἅττα μοναδικὰ καὶ ἀσύζυγα τῆς μιᾶς οὐσίας καὶ φύσεως ἐν τρισίν ἐστι προσωπικαῖς ὑποστάσεσιν· οὔτε τὰς ὑποστάσεις συγχέοντες, καὶ εἰς μίαν αὐτὰς ὑπόστασιν ἄγοντες· οὔτε τὴν οὐσίαν τὴν μίαν μερίζοντες, καὶ εἰς οὐσίας τρεῖς αὐτὴν κατατέμνοντες, καὶ τὴν μίαν διὰ τοῦτο διαιροῦντες θεότητα. ἀλλ' ἔστιν εἷς Θεὸς, μία θεότης ἐν τρισὶν ὑποστάσεσι λάμπουσα, καὶ τρεῖς ὑποστάσεις

* ἵσ. σεμνύνῃ.

* τριάς.

* καινολεγοῦντες.

σεις καὶ πρόσωπα ἐν θεότητι μιᾷ γνωριζόμενα. διὰ τοῦτο τέλειος Θεὸς, πατὴρ, τέλειος Θεὸς ὁ υἱὸς, τέλειος Θεὸς τὸ πνεῦμα τὸ ἅγιον· ἐπειδὴ τὴν αὐτὴν καὶ μίαν ἕκαστον πρόσωπον ἀμέριστον καὶ ἀνελλιπῆ καὶ τελείαν ἔχει θεότητα. καὶ ὡς μὲν Θεὸς τὸ αὐτὸ καθέστηκεν ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα· ὡς δὲ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα τὸ ἅγιον, ἕτερον καὶ ἕτερον καὶ ἕτερον, οὐ λέγεται. κἀντεῦθεν ταῦτα τοῖς θεολήπτοις κηρύττεται, Θεὸς, καὶ Θεὸς, καὶ Θεὸς, ἀλλ' εἷς τὰ τρία Θεός. οὐ γὰρ ἄλλος Θεὸς ὁ πατὴρ, οὐδὲ ἄλλος Θεὸς ὁ υἱὸς, οὐδὲ ἄλλος πάλιν Θεὸς τὸ πνεῦμα * τὸ ἅγιον· ἐπεὶ μηδ' ἄλλη φύσις ὁ πατὴρ, μηδ' ἄλλη φύσις ὁ υἱὸς, μηδ' ἄλλη πάλιν φύσις τὸ πνεῦμα τὸ ἅγιον. τοῦτο γὰρ καὶ τοὺς πολλοὺς καὶ διαφόρους Θεοὺς ἐκτεχνάζεται, καὶ τὰς πολλὰς καὶ διαφόρους ἐκτίκτει θεότητας. ἀλλὰ Θεὸς μὲν ὁ πατὴρ, Θεὸς ὁ υἱός· ὁμοίως δὲ Θεὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς μιᾶς ἀμερίστως καὶ ἀνελλιπῶς τὰ τρία πρόσωπα πληρούσης θεότητος, καὶ ἐν ἑκάστῳ οὔσης ὁλοτελῶς, καὶ ὁλικῶς· θεότης γὰρ μερισμὸν οὐχ ὑφίσταται· καὶ ἐν τοῖς τρισὶ προσώποις πληρωτικῶς καὶ ἐντελῶς, οὐ μεριστῶς ἤγουν ἐκ μέρους πληροῦσα τὰ πρόσωπα, ἀλλ' ἐν ἑκάστῳ πληρεστάτως ὑπάρχουσα, καὶ μία γε μένουσα καὶ εἰ ἐν προσώποις τρισὶ διαφαίνοιτο· καὶ πρὸς θεοτήτων πληθυσμὸν οὐκ ἐκτρέχουσα, καὶ εἰ ἐν τρισίν ἐστιν ὑποστάσεσιν· ἵνα μὴ σωματικήν τινα πάθη διαίρεσιν ἡ ὄντως ἀπαθὴς καὶ ἀσώματος, καὶ πάσχειν οὐκ εἰδυῖα τὰ κτίσεως ἴδια. ἔστιν οὖν μετὰ τοῦ εἶναι Θεὸς πατὴρ ὁ πατὴρ, καὶ οὔτε υἱὸς, οὔτε πνεῦμα ἅγιον, ἀλλ' ὅπερ ὁ υἱὸς κατ' οὐσίαν ἐστι, καὶ κατὰ φύσιν τὸ πνεῦμα τυγχάνει τὸ ἅγιον. καὶ ἔστι μετὰ τοῦ εἶναι Θεὸς ὁ υἱὸς, καὶ οὔτε πατὴρ, οὔτε πνεῦμα πανάγιον, ἀλλ' ὅπερ ὁ πατὴρ κατὰ φύσιν κηρύττεται, καὶ ὃ κατ' οὐσίαν τὸ πνεῦμα καθορᾶται τὸ ἅγιον. καὶ ἔστι μετὰ τοῦ εἶναι Θεὸς πνεῦμα ἅγιον, τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὔτε πατὴρ θεωρούμενον, οὔτε υἱὸς λαμβανόμενον, ἀλλ' ὅπερ ὁ πατὴρ κατ' οὐσίαν πεπίστευται, καὶ ὅπερ ὁ υἱὸς κατὰ φύσιν ἀγγέλλεται· τὸ μὲν διὰ τὴν φύσιν, καὶ τὴν τῆς οὐσίας ταυτότητα καὶ τὸ συγγενὲς τῆς ὑπάρξεως, τὸ δὲ διὰ τὰς ἑτεροίας τῶν τριῶν ἰδιότητας, καὶ τὸ τῶν ἀσυγχύτως ἕκαστον χαρακτηριζόντων πρόσωπον ἰδιωμάτων ἀνόμοιον. ὥσπερ γὰρ τὸ, Θεός, ἕκαστον ἀμετάπτωτον κέκτηται, οὕτω καὶ τὴν τοῦ προσώπου χαρακτηριστικὴν ἰδιότητα ἀμετάβλητον καὶ ἀκίνητον λέλογχε τὴν αὐτῷ καὶ μόνῳ προσοῦσαν, καὶ τῶν ἄλλων προσώπων αὐτὸ διακρίνουσαν, καὶ τὴν ὁμοφυᾶ καὶ ὁμότιμον ὁμοούσιόν τε καὶ ὁμόθρονον τριάδα τηροῦσαν ἀσύγχυτον. τριὰς οὖν, ἡ τριὰς οὐ τελεία μόνον τῇ τῆς μιᾶς θεότητος τελειότητι, ἀλλὰ καὶ ὑπερτελὴς καὶ ὑπέρθεος δόξῃ καὶ ἀϊδιότητι καὶ βασιλείᾳ μὴ μεριζομένη, μηδὲ ἀπαλλοτριουμένη. οὔτε οὖν κτιστόν τι ἢ δοῦλον ἐν τῇ τριάδι, οὔτε ἐπείσακτον, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθών. οὔτε οὖν ἐνέλειψε πατρὶ υἱὸς, οὔτε υἱῷ πνεῦμα, ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ τριὰς ἀεί. καὶ περὶ μὲν τῆς ἁγίας καὶ ὁμοουσίου, ἀϊδίου τε καὶ ἀρχικῆς καὶ πάντων δημιουργοῦ, καὶ βασιλίδος Τριάδος τὸ ὅπως φρονῶ, καὶ δοξάζω, καὶ σέβομαι, ὡς ἐν βραχέσιν εἰπεῖν, δῆλον ὑμῖν καὶ σαφὲς διατέθεικα. οὐ γάρ τι πλέον συνεχώρει τούτων φάναι τῶν συνοδικῶν συλλαβῶν τὸ ἐπίτομον. ὅπως δὲ καὶ περὶ τῆς τοῦ ἑνὸς τῆς αὐτῆς πανσέπτου Τριάδος Θεοῦ λόγου καὶ υἱοῦ φιλανθρώπου τε καὶ παραδόξου σαρκώσεως, ταὐτὸν δὲ εἰπεῖν ὑπερτάτης κενώσεως, καὶ πρὸς τοὺς ἐπιγείους ἡμᾶς θεϊκῆς τε καὶ θεοποιοῦ καταβάσεως ἔχω καὶ φρονῶ, καὶ κηρύττειν ἐκ πατέρων ἁγίων καὶ τῶν καθ' ὑμᾶς θεοπνεύστων παρέλαβον, ὡς ἐπὶ τῆς ἀληθείας αὐτῆς τῆς ἐφορώσης τὰ σύμπαντα, γράμμα τουτὶ τὸ συνοδικὸν γράφων ἐντίθημι, καὶ πρὸς τὴν ὑμῶν ἐκπέμπω τῶν πανσόφων ἀκρόασιν.

Πιστεύω καὶ περὶ ταύτης, θειότατοι, ὡς ὁ Θεὸς λόγος, ὁ τοῦ πατρὸς μονογενὴς υἱὸς, ὁ πρὸ πάντων τῶν αἰώνων καὶ χρόνων ἀπαθῶς ὑπ' αὐτοῦ γεννηθεὶς τοῦ Θεοῦ καὶ πατρὸς, οἶκτον λαβὼν καὶ φιλάνθρωπον ἔλεον τοῦ ἀνθρωπίνου ἡμῶν ὀλισθήματος ἑκουσίῳ θελήματι, καὶ Θεοῦ βουλήσει τοῦ φύσαντος, καὶ συνευδοκίᾳ θείᾳ τοῦ πνεύματος, κόλπων μὴ χωρισθεὶς τοῦ γεννήσαντος πρὸς τοὺς ταπεινοὺς ἡμᾶς καταβέβηκεν. ἔστι γὰρ ὥσπερ τῆς αὐτῆς βουλήσεως τῷ πατρὶ καὶ τῷ πνεύματι, οὕτω καὶ οὐσίας ἀπείρου καὶ φύσεως, περιγραφῆς οὐδαμῶς ἀνεχόμενος, ἢ τῆς καθ' ἡμᾶς τοπικῆς μεταβάσεως, κατὰ φύσιν δρᾶν * εἰωθὼς θεϊκὴν τὴν ἐνέργειαν, καὶ μήτραν εἰσδὺς ἀπειρόγαμον, παρθενίας ἀγλαϊζομένην ἁγνότητι, Μαρίας τῆς ἁγίας καὶ φαιδρᾶς καὶ θεόφρονος καὶ παντὸς ἐλευθέρας μολύσματος τοῦ τε κατὰ σῶμα καὶ ψυχὴν καὶ διάνοιαν, σαρκοῦται ὁ ἄσαρκος, καὶ μορφοῦται τὸ ἡμῶν ὁ κατ' οὐσίαν τὴν θείαν ὅσον εἰς σχῆμα καὶ εἶδος ἀμόρφωτος, καὶ σωματοῦται καθ' ἡμᾶς ὁ ἀσώματος, καὶ ἄνθρωπος κατὰ ἀλήθειαν γίνεται ὁ ἀεὶ Θεὸς γνωριζόμενος· καὶ μητρικῆς κοιλίας ἐγγάστριος ὁ τοῦ ἀϊδίου πατρὸς ἐγκόλπιος δείκνυται, καὶ ὁ ἄχρονος ἀρχὴν χρονικὴν καταδέχεται· οὐ φαντασίᾳ ταῦτα γινόμενος ἅπαντα, καθὰ Μανιχαίοις καὶ Οὐαλεντίνοις δοκεῖ τοῖς παράφροσιν, ἀλλ' ἀληθείᾳ καὶ πράγματι ὅλον ἑαυτὸν κενώσας πατρικῷ καὶ οἰκείῳ θελήματι, καὶ ὅλον προσλαβὼν τὸ ἡμέτερον φύραμα, σάρκα φημὶ τὴν ἡμῖν ὁμοούσιον, καὶ ψυχὴν λογικὴν τὴν ψυχαῖς ταῖς ἡμετέραις ὁμόφυλον, καὶ νοῦν τῷ νῷ τῷ ἡμῶν παραπλήσιον· ταῦτα γὰρ ἄνθρωπός ἐστι καὶ γινώσκεται· καὶ ἄνθρωπος κατὰ ἀλήθειαν γέγονεν ἐξ αὐτῆς ἄκρας τῆς ἐν παρθένῳ τῇ παναγίᾳ συλλήψεως. ἄνθρωπος γὰρ χρηματίζειν ἐβούλετο, ἵνα τῷ ὁμοίῳ ἀνακαθάρῃ τὸ ὅμοιον, καὶ τῷ συγγενεῖ τὸ συγγενὲς ἀνασώ-

* πανάγιον.

* εἰδὼς L.

σώσηται, ϗ τῷ συμφυεῖ τὸ συμφυὲς ἐκλαμπρύνει· δθᾳ τοῦτο παρθ/κὸν ἁγία λαμβάνεται, ϗ σῶμα ϗ ψυχὴ ἁγιάζεται, ϗ οὕτως ὑπάρχει τῇ σαρκώσει τοῦ κτίσαντος ὡς καθαρὰ ϗ ἀγνὴ ϗ ἀμόλυντος. σαρκοῦται γὰρ ὁ λόγος ὁ Θεὸς τὸ ἡμέτερον ἐ προπλασθὲν σῃ σαρκὶ σωματικῷ, ἢ προμορφωθὲν τῇ * καθ' αὐτὸ προϋποσάντι ποτὲ προσπλεκόμενος σώματι, ἢ προϋποσάσῃ ψυχῇ σωτιθέμενος, ἀλλὰ τότε τύπος παραγόμενος πρὸς ὕπαρξιν, ὅτε αὐτοῖς ὁ λόγος αὐτὸς ϗ Θεὸς σωνετίθετο φυσικῶς σύγχρονον ἔχοντα τῇ ὑπάρξει τῇ σώσῃ, ϗ ἐ πρὸ τῆς πρὸς τὸν λόγον ἀληθεσάτης συμβάσεως καθ' ἑαυτὰ γενόμενα πώποτε, ἤτινος ἀνθρώπου τῇ καθ' ἡμᾶς ἑτέρᾳ τὸ παράπαν ὑπάρξαντα, ἀλλὰ σωδρομον ἔχοντα τῇ φυσικῇ τοῦ λόγου συμβάσει ἴδιον ὕπαρξιν, ϗ ἐκ ἐκείνης ἐδὲ ὡς ἐν ὀφθαλμοῦ ῥιπῇ ταύτῃ προτερεύσαν ἔχοντα, ὡς Παῦλος ὁ Σαμοσατεὺς βομβεῖ ϗ Νεσόριος. ἅμα γὰρ σὰρξ, ἅμα Θεοῦ λόγου σάρξ· ἅμα σὰρξ ἔμψυχος λογικὴ, ἅμα Θεοῦ λόγου σὰρξ ἔμψυχος λογική. ἐν αὐτῷ γὰρ ϗ οὐ καθ' ἑαυτὴν ἔχει τὴν ὕπαρξιν. ἅμα γὰρ τῇ συλλήψει τοῦ λόγου ταῦτα παρήχθη πρὸς σύστασιν, ϗ ἰώθη αὐτῷ καθ' ὑπόστασιν ἅμα τῷ πρὸς σύστασιν ἄγεσθαι τὴν ὄντως ἀληθῆ ϗ ἀμέριστον, τὴν μήτε διαίρεσιν πάσχουσαν, μήτε ξοπὴν εἰσδεχομένην ϗ σύγχυσιν· ὑπ' αὐτοῦ παραλόμενα, ϗ ἐν αὐτῷ σωισάμενα, ϗ αὐτῷ σωτιθέμενα, ϗ χρόνον οὐδενὸς τὸ σμίκρον τῆς οἰκείας συστάσεως προτερεύοντα φέροντα τῆς πρὸς αὐτὸν ἀσυγχύτου ϗ ἀτμήτου σωθέσεως. ἐκ τῆς ἓν ἀχράντων ϗ παρθενικῶν αἱμάτων τῆς παναγίας ϗ ἀχράντου παρθένου Μαρίας ὁ λόγος σαρκωθεὶς κατὰ ἀλήθειαν ἄνθρωπος, κἂν τῇ παρθενικῇ γαστρὶ κυοφορούμενος, ϗ τὸν χρόνον πεπληρωκὼς τῆς ἐννόμου κυήσεως, ἐν πᾶσι τοῖς φυσικοῖς ϗ ἁμαρτίαν οὐ φέρουσι τοῖς ἀνθρώποις ἡμῖν ὁμοιούμενος, ϗ τὴν ἡμετέραν οὐκ ἀπαξιῶν ἐμπαθεσάτην διατέλειαν, τίκτεται Θεὸς ἀνθρωπίνῳ τῷ σώματι, ὡσαύτως δὲ ϗ τῷ σχήματι, ψυχὴν λογικὴν ϗ ἀσώματον ἔχοντι, ὅπερ αὐτὸς ἐν ἑαυτῷ ϗ οὐχ ἕτερος λογικῷ ἐνεψύχωσε πνεύματι· ϗ παρθένον τηρεῖ τὴν γεννήσασαν, ϗ θεοτόκον αὐτὴν κυρίως ϗ ἀληθῶς ἀναδείκνυσι· κἂν Νεσόριος ὁ παράφορος ῥήσσηται, ϗ τότε τὸ θεομάχον στρατόπεδον δακρύῃ ϗ θρηνῇ ϗ ὀδύρηται, ϗ σὺ ἐκείνῳ πάλιν σπαράττηται. Θεὸς γὰρ ἴδιον ὁ ἐκ παρθένου τῆς ἁγίας θεοτόκου Μαρίας τικτόμενος, ϗ δεύτερον δὲ ἡμᾶς ϗ χρονικὴν προσδεχόμενος γέννησιν μὴ τὴν πρώτην αὐτὸν ϗ ἀΐδιον τὴν ἐκ πατρὸς φυσικὴν ϗ ἀνέκφραστον γέννησιν, κἂν σεσαρκωμένος ἐτίκτετο διὰ τοὺς ἡμᾶς τοὺς σαρκικοὺς ὁμοιότητα· ὅλος Θεὸς ἀνυμνούμενος, ὅλος ὁ αὐτὸς προσφερόμενος ἄνθρωπος· τέλειος Θεὸς ὁ αὐτὸς γινωσκόμενος, ϗ τέλειος ἄνθρωπος ὁ αὐτὸς γνωριζόμενος. ἐκ δύο γὰρ φύσεων ἔσχε τὴν σύνωσιν θεότητος ϗ ἀνθρωπότητος, ἡνωμένων δύο τελείαις ἐγνωρίζετο φύσεσι, θεότητί τε ϗ ἀνθρωπότητι. οὔτε γὰρ τῇ ἑνώσει ξοπή τις ἢ φυρμὸς ἐμεσίτευσεν, οὔτε τῇ διαφορᾷ ϗ δυάδι τῶν μορφῶν ἤτοι τῆς οὐσιῶν μὴ τὴν σύνωσιν διαίρεσίς τις ἢ τομὴ εἰσεκείνετο· κἂν τοῦτο μὴ λυπῇ τὸν μεμισοπονηρον Νεσόριον, ἐκεῖνο δὲ τήκῃ Εὐτυχῆ τὸν κακόφρονα. τὰ γὰρ καθ' ὑπόστασιν ἀλλήλοις ἑνούμενα ὅτε ξοπὴν σωεισδέχεται, ὅτε γνωρίζει διαίρεσιν, οὔτε συγχύσεως οἶδε τὰ ἴδια, οὔτε τομῆς λαμβάνει τὰ σύμβολα. ὅπερ, ὡς ἔοικεν Εὐτυχὴς ἀγνοῶν ϗ Νεστόριος, ϗ τῆς καθ' ὑπόστασιν σωνώσεως μὴ μαθόντες τὴν δύναμιν, καθ' ἣν ὁ λόγος σεσάρκωται, ϗ ἡ σὰρξ ἔμψυχος καὶ σῶνους ἀμεταβλήτως τεθέωται, ὁ μὲν εἰς τὸ τῆς ἀναχύσεως ἀκοντίζεται πέλαγος, ὁ δὲ εἰς τὸ τῆς διαιρέσεως κατιφέρεται βάραθρον. ϗ δθᾳ τοῦτο ὁ μὲν φεύγει καθομολογεῖν τὴν δυάδα τῆς φύσεων, ὁ δὲ μίαν καθομολογεῖν τὴν τοῦ Θεοῦ λόγου φύσιν σεσαρκωμένην συσέλλεται, ἢ ϗ μίαν αὐτοῦ σωθετον λέγειν ὑπόστασιν δέδοικε· φόβον οἱ δραπέται φοβούμενοι, οὗ φόβος ἐδεὶς πολιτεύεται. ἡμεῖς δὲ ῥωμαλέῳ φρονήματι τὴν ἑκατέρου τούτων δουλίαν παρελάσαντες ἄνοιαν, καὶ ἐπὶ τὴν πέτραν τῆς εὐσεβείας ἑστῶτες ἀδείμαντοι, καὶ τὴν καθ' ὑπόστασιν τοῦ λόγου πρὸς σάρκα τὴν ἐξ ἡμῶν τὴν σύνοσιν καὶ ἔμψυχον κηρύττομεν σύμβασιν, καὶ σὰρκα Χριστὸν καὶ υἱὸν τὸν σαρκωθέντα λόγον προσβάλλομεν, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν λέγομεν σωθετον, ϗ ἐν δυσὶν αὐτὸν ἀγορεύομεν φύσεσι, ϗ δύο τοῦ αὐτοῦ Θεοῦ λόγου γεννήσεις πιστεύομεν· μίαν μὲν τὴν ἐκ Θεοῦ πατρὸς, ἣν ϗ ἄχρονον ϗ ἀΐδιον οἴδαμεν· ϗ δευτέραν τὴν ἐκ τῆς θεοτόκου μητρὸς, ἣν καὶ πρόσφατον ϗ χρονικὴν ἐπιστάμεθα· ϗ μίαν τοῦ Θεοῦ λόγου φύσιν ἐπ' αὐτοῦ σεσαρκωμένην δοξάζομεν, ἀλλ' οὐχ ὡς Ἀπολλιναρίου ϗ Εὐτυχὴς ϗ Διόσκορος λέγουσιν, ἀλλ' ὡς ὁ σοφὸς ἡμῖν παραδέδωκε Κύριλλος. ϗ τὰ τῆς φύσεων σώζεσθαι φάσκομεν ἴδια, ϗ τὴν τῆς ἡνωμένων διαφορὰν ἀπαγγέλλομεν, τὴν ὡς * φυσικῆ μὲν λεγομένην ϗ οὖσαν ποιότητι, ἐν οὐσιώδει δὲ νοουμένην καὶ οὖσαν * ποσότητι. καὶ οὔτε τὴν Νεσοριανὴν τομὴν δεδιττόμεθα, οὔτε τὴν Εὐτυχιανὴν ξοπὴν διλαβούμεθα· ἐπεὶ μήτε ὡς ὁ ματαιόφρων Νεστόριος σχετικὴν τὴν σύνωσιν λέγομεν, ἢ ἰσοτιμίαν καὶ ταυτοβουλίαν καὶ θελημάτων ροπὴν καὶ ταυτότητι παραπληροῦμεν τὴν σύμβασιν· μήτε ὡς Εὐτυχὴς ὁ θεήλατος κατὰ σύγχυσίν τινα καὶ ἀλλοίωσιν Θεοῦ λόγου καὶ σαρκὸς ἐψυχωμένης νοερῶς, ἤτοι τῶν φύσεων καὶ οὐσιῶν καὶ μορφῶν φλιναφοῦμεν τὴν σώθεσιν, ἧς ἐξ ὧν ἐπὶ Χριστοῦ ἡ θαυμασία γεγένηται σύμβα-

* καθ' αὐτὸ

* φυσικῆ ποιότητος

* ποιότητι

βασις. ὅθεν τὴν βασιλικὴν ὁδὸν καὶ μέσην ὁδεύοντες, καὶ ἀποσυγοῦμεν τὴν σύγχυσιν, καὶ τὴν τομὴν μυσαττόμεθα. μόνην δὲ κατὰ ψυχὴν ἀσπαζόμεθα τὴν ἀσύγχυτον ὁμοῦ καὶ ἀμέριστον θεότητός τε καὶ ἀνθρωπότητος ἕνωσιν, ἣν * μόνην γινωρίζειν ἐπίσταται ἡ φυσικὴ καθ' ὑπόστασιν σύνοδος. ταύτῃ γὰρ ἀλλήλαις ἑνούμεναι θεότης τε καὶ ἀνθρωπότης ἐσχήκασιν, ἵνα μήτε τροπὴν ὑπομένοιεν, μήτε διαίρεσιν πάθοιεν. ὁ γὰρ τῆς ἑνώσεως λόγος τῆς φυσικῆς φημι, καὶ καθ' ὑπόστασιν· οὔτε γὰρ ἑτέραν ἕνωσιν ἐπὶ Χριστοῦ παρὰ ταύτην ἐπίσταμαι· οὐκ ἀγνοεῖ μὲν τὴν διαφορὰν, ἐξίστησι δὲ διαμπὰξ τὴν διαίρεσιν, καὶ τηρεῖ τὰ συνδραμόντα πρὸς ἕνωσιν ἄτρεπτα, καὶ τῶν ἡνωμένων μερισμὸν οὐκ εἰσδέχεται. καὶ διὰ τοῦτο ἐκ θεότητος καὶ ἀνθρωπότητος, καὶ ἐκ δύο φύσεων τὸν Χριστὸν ὀνομάζοντες, καὶ Θεὸν τὸν αὐτὸν καὶ ἄνθρωπον, καὶ διφυᾶ καὶ διπλοῦν κατὰ τὰς φύσεις κηρύττομεν· ὁμοίως δὲ καὶ ἐν θεότητι τέλειον, καὶ ἐν ἀνθρωπότητι τὸν αὐτὸν ἐπιστάμεθα τέλειον. διὸ καὶ ἐν δυσὶν αὐτὸν δογματίζομεν φύσεσι, καὶ ὁμοούσιον ὡς Θεὸν τῷ πατρὶ τὸν αὐτὸν ἀναγράφομεν, καὶ ὁμοούσιον τῇ μητρὶ καὶ ἡμῖν τὸν αὐτὸν ὡς ἄνθρωπον φάσκομεν, ὁρατὸν τὸν αὐτὸν καὶ ἀόρατον, κτιστὸν τὸν αὐτὸν ὡσαύτως καὶ ἄκτιστον, σῶμα τὸν αὐτὸν καὶ ἀσώματον, ἁπτὸν τὸν αὐτὸν καὶ ἀνέπαφον, περιγραπτὸν τὸν αὐτὸν καὶ ἀπερίγραφον, ἐπίγειον τὸν αὐτὸν καὶ οὐράνιον, σάρκα τὸν αὐτὸν ἐψυχωμένην * λογικὴν καὶ θεότητα, πρόσφατον τὸν αὐτὸν καὶ ἀΐδιον, ταπεινὸν τὸν αὐτὸν καὶ ὑπέρτατον, καὶ ὅσα διττῆς ἀμερίστως εὑρίσκεται φύσεως. κἂν τὸ μὲν ὑπῆρχεν ἀεὶ, ὡ φύσιν ἔχων ἀΐδιον, τὸ δὲ δι' ἡμᾶς ἐν χρόνοις ἐσχάτοις ἀτρέπτως ἐγένετο, ὡς φύσιν προσλαβὼν τὴν ἀνθρώπειον. εἰ γὰρ ἡ ἕνωσις ἄτρεπτος ἦν καὶ ἀμέριστος, ὥσπερ καὶ ἄτρεπτός ἐστι καὶ ἀμέριστος, μένει καὶ τὰ δύο * δύο ἀναλλοιότως διάφορα σημαινόμενα, καὶ * ἀμερίστως ἑτερότητι λάμποντα. φύσεις ταῦτα καὶ οὐσίαι καὶ μορφαὶ καθεστήκασιν, ἐξ ὧν ἡ ἀπόρρητος γέγονεν ἕνωσις, καὶ ἐν αἷς εἷς καὶ ὁ αὐτὸς Χριστὸς κατοπτεύεται. μένει καὶ τὸ ἓν ἓν, τὸ ἐξ αὐτῶν γεγονὸς ἀποτέλεσμα, μηκέτι δίχα διαιρούμενον, καὶ τὰ ἐξ ὧν ἐστιν ἄνευ τομῆς καὶ τροπῆς ἐνδεικνύμενον. ὑπόστασις τοῦτο τυγχάνει καὶ πρόσωπον σύνθετον ἐξ ἀσυγχύτου συστὰν ἀνακράσεως, καὶ μερισμὸν οὐκ * εἰδυῖα συμβάσεως, καὶ τὸ εἶναι ἓν καὶ μένειν ἓν λαχὸν ἀδιαίρετον. καὶ οὔτε δύο, καθὸ ἓν ὑπάρχει γινόμενον. οὔτε συγχέον καὶ πρὸς μίαν ἄγον ἑνότητα, καὶ φυσικὴν καὶ οὐσιώδη ταυτότητα τὰ ἐξ ὧν φυσικῶς συνενήνεκται· ἀλλ' ἔστιν ἓν καὶ δύο τὸ αὐτὸ γνωριζόμενον. ἓν μὲν κατὰ τὴν ὑπόστασίν τε καὶ πρόσωπον, δύο δὲ κατὰ τὰς φύσεις αὐτὰς, καὶ τὰς φυσικὰς αὐτῶν ἰδιότητας, ἐξ ὧν καὶ τὸ εἶναι ἓν διεκλήρωσε, καὶ τὸ μένειν τῇ φύσει διπλοῦν διεφύλαξεν. ὅθεν ὁ αὐτὸς μένων εἷς Χριστὸς καὶ υἱὸς μονογενὴς ἀδιάτμητος ἐν ἑκατέραις ὁρᾶται ταῖς φύσεσι, καὶ τὰ ἑκατέρας φυσικῶς οὐσίας εἰργάζετο κατὰ τὴν ἑκατέρᾳ προσοῦσαν οὐσιώδη ποιότητα, ἢ καὶ φυσικὴν ἰδιότητα· ὅπερ εἰ τὴν φύσιν ἔσχε μοναδικήν τε καὶ ἀσύζυγον, καθὰ καὶ τὴν ὑπόστασίν τε καὶ τὸ πρόσωπον, οὐκ ἂν διεπράξατο· καὶ οὐκ ἂν ὁ εἷς καὶ ὁ αὐτὸς τὰ τῆς ἑκατέρας ἐντελῶς κατειργάζετο φύσεως. πότε γὰρ θεότης ἀμέτοχος σώματος ἔργα φυσικῶς κατειργάσατο σώματος, ἢ πότε σῶμα χηρεῦον θεότητος πράξεις ἐνήργησεν οὐσιωδῶς γνωριζομένας θεότητος; ὁ δὲ Εμμανουὴλ εἷς ὢν καὶ ἐν ταυτῷ τὰ ἑκάτερα, τουτέστι Θεός τε καὶ ἄνθρωπος, τὰ ἑκατέρας ἔδρα κατὰ ἀλήθειαν φύσεως, κατ' ἄλλο καὶ ἄλλο ἐνεργῶν τὰ πραττόμενα· καθὸ μὲν Θεὸς ὁ αὐτὸς τὰ θεῖα, καθὸ δὲ ἄνθρωπος ὁ αὐτὸς τὰ ἀνθρώπινα· ἑαυτὸν τοῖς πᾶσι δεῖξαι βουλόμενος, ὡς Θεὸς ὁ αὐτὸς εἴη καὶ ἄνθρωπος. καὶ διὰ τοῦτο ὁ αὐτὸς τά τε θεῖα ποιεῖ καὶ ἀνθρώπινα, ὁμοίως καὶ λέγει καὶ φθέγγεται. καὶ οὐκ ἄλλος μὲν τὰ θαύματα πέπραχεν, ἄλλος δὲ τὰ ἀνθρώπινα τέτεχε, καὶ τὰ παθήματα πέπονθεν, ὡς Νεστόριος βούλεται· ἀλλ' εἷς μὲν, καὶ ὁ αὐτὸς Χριστὸς καὶ υἱὸς ὁ τὰ θεῖα δεδρακὼς καὶ τὰ ἀνθρώπινα, κατ' ἄλλο δὲ καὶ ἄλλο, ὡς ὁ θεῖος ἐπρέσβευσε Κύριλλος. ἐπειδὴ καὶ ἐν ἀμφοτέροις ἔσχε τὴν ἐξουσίαν ἀσύγχυτον, οὐ μὴν ἀλλὰ καὶ ἀμέριστον. καθὸ μὲν γὰρ Θεὸς ὁ αὐτὸς ὑπῆρχεν ἀΐδιος, ἔδρα τὰ θαύματα. καθὸ δὲ ἄνθρωπος ὁ αὐτὸς ἐγνωρίζετο πρόσφατος, ἐποίει τὰ ταπεινὰ καὶ ἀνθρώπινα. ὥσπερ γὰρ ἐν Χριστῷ ἑκατέρα φυλάττει φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα, οὕτω καὶ ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας τοῦθ' ὅπερ ἴδιον ἔσχηκε. τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ', ὅπερ ἐστὶ τοῦ λόγου, μετὰ τῆς κοινωνίας δηλονότι τοῦ σώματος· τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος, κοινωνοῦντος αὐτῷ δηλαδὴ τοῦ λόγου τῆς πράξεως. καὶ ταῦτα ἐν ὑποστάσει μιᾷ γνωριζόμενα, * καὶ τὴν βδελυρωτάτην τομὴν διωθούμενα. οὔτε γὰρ διῃρημένως ἐνήργουν τὰ ἴδια, ἵνα καὶ μερισμὸν αὐτῶν ὑποπτεύσωμεν. μὴ σκιρτάτω διὰ τοῦτο Νεστόριος ἑαυτὸν βουκολῶν ὁ παράφορος, ὅτιπερ ἑκατέρα μορφὴ ἐν τῷ ἑνὶ Χριστῷ καὶ υἱῷ μετὰ τῆς θατέρου κοινωνίας τοῦθ' ὅπερ ἴδιον ἔσχηκεν, ἔπραττεν. οὔτε γὰρ τῆς θατέρας κατ' αὐτὸν διεστῶσα τοῦτο, ὅπερ ἴδιον ἔσχηκεν, ἔπραττεν. οὐ γὰρ δύο κατ' αὐτὸν Χριστοὺς καὶ υἱοὺς τοὺς ἐνεργοῦντας δοξάζομεν, ἕνα μὲν κατὰ φύσιν υἱὸν καὶ Χριστὸν τὰ παράδοξα, ἕτερον δὲ κατὰ χάριν υἱὸν καὶ Χριστὸν τὰ πτωχότερα. καὶ εἰ δύο τὰς κοινῶς ἐνεργούσας μορφὰς δογματίζομεν, ἑκάστην κατὰ τὴν ἑαυτῆς φυσικὴν ἰδιότητα. ἀλλὰ ἕνα καὶ τὸν αὐτὸν υἱὸν καὶ Χριστὸν τὸν τὰ ὕψηλα καὶ πτωχὰ φυσικῶς ἐργαζόμενον κατὰ τὴν ἑκάστης τῶν δυεῖν αὐτοῦ φύσεων φυσικὴν καὶ οὐσιώδη ποιότητα λέγομεν. αἱ γάρ τοι φύσεις ἀμετάβλητοι μένουσαι καὶ ἀσύγχυτοι, καὶ δύο τηλαυγῶς γνωριζόμεναι, καὶ οὐ συγκεχυμένως ἑνωθεῖσαι τούτων παντελῶς * ἀπεστέρηντο, καὶ ἐν ὑποστάσει μιᾷ διεδείκνυντο. μὴ μάτην πηδάτωσαν

* μόνης

* λογικῶν.

* εἰδυίας

* ἐν προσώπῳ ἑνὶ θεωρούμενα

* οὐκ ἐστέρηντο

σαν Εὐτυχὴς καὶ Διόσκορος οἱ τῆς ἐκ ὄσης ἀθέου συγχύσεως πρόβολοι, ἀλλὰ μὴ τῆς θατέρα κοινωνίας ἑκάτη φύσις τὸ ἴδιον ἔπραττε καὶ τῇ διαίρεσιν φεύγουσα, καὶ τῇ ξοπλίᾳ ὁ γινώσκουσα, ἢ τῇ διαφορὰν πρὸς τὴν θατέραν φυλάττουσα, καὶ τῇ κοινωνίαν καὶ σώθεσιν ἀδιάλυτον καὶ ἀρραγῆ διασώζουσα. ἐνθεν δυσεβοῦντες, καὶ ἐπὶ τῇ ὅρων τῆς ὀρθοδοξίας ἰσάμενοι, ὥσπερ τὸν υἱὰ καὶ τὸν αὐτὸν Χριστὸν καὶ υἱὸν ἐνεργεῖν τὰ ἑκάτερα λέγομεν, ἐπειδὴ Θεὸς ὁ αὐτὸς ὑπῆρχε καὶ ἄνθρωπος, καὶ ὑδεμίαν ἐνθυμούμεθα σύγχυσιν· οὕτως οὐδὲ ἑκατέραν μορφὴν μὴ τῆς θατέρα κοινωνίας ἐνεργεῖν τὰ ἴδια φάσκοντες, ἐπειδήπερ δύο μορφαὶ καθεστήκασιν ἐν τῷ υἱῷ καὶ τῷ αὐτῷ Χριστῷ φυσικῶς ἐνεργοῦσαι τὰ ἴδια, τινὰ τὸ παράπαν ἐννοοῦμεν διαίρεσιν, ὡς ἐνταῦθα μὲν Εὐτυχὴς, ἐκεῖσε δὲ συκοφαντεῖν ἡμᾶς ἐθέλει Νεστόριος, ἐξ ἐναντίας ἀλλήλων ἰσάμενοι, καὶ τὸν καθ' ἡμῶν τῆς δυσεβῶν δυσεβῆ μεμισάμενοι πόλεμον, ὃς εἰς ὐδὲν λογιζόμενοι * καὶ τῆς ἑκατέρας φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν, τὴν ὐσιώδη λέγω καὶ φυσικὴν καὶ κατάλληλον, ἀδιαιρέτως ἐξ ἑκατέρας προϊοῦσαν ὐσίας καὶ φύσεως, κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ ὐσιώδη ποιότητα, καὶ τὴν ἀμέριστον ὁμῦ καὶ ἀσύγχυτον τῆς θατέρας ὐσίας σωζεπαγομένην σωτέργιαν. τοῦτο γὰρ καὶ τῆς ἐνεργείας ἐπὶ Χριστῷ ποιεῖ τὸ διάφορον, ὥσπερ δὴ καὶ τὸ εἶναι τὰς φύσεις, τῆς φύσεως. ὁ ταυτὸν γὰρ θεότης τε καὶ ἀνθρωπότης κατὰ τὴν φυσικὴν ἑκάτη προσοῦσαν ποιότητα, κἂν εἰς ὑπόστασιν μίαν ἀλλήλαις ἀφράστως σωέδραμον, καὶ εἰς ἓν ἀσυγχύτως σωτεθησαν πρόσωπον, καὶ τὸν αὐτὸν ἡμῖν ἕνα Χριστὸν καὶ υἱὸν ἀπετέλεσαν διὰ τῆς καθ' ὑπόστασιν πρὸς ἀλλήλας σωδρομῆς καὶ σωθέσεως. ὅ, τε γὰρ Θεὸς λόγος Θεὸς λόγος ἐστὶ καὶ ὁ σὰρξ, κἂν εἰ σάρκα λογικὴν ἐψυχωμένην προσείληφε, καὶ ἑνώσει ταύτην φυσικῇ καθ' ὑπόστασιν ἐῶσεν. ἤτε σὰρξ σὰρξ ἐστιν ἐψυχωμένη λογικῶς ὁ λόγος, καὶ εἰ Θεοῦ λόγου σὰρξ κατοπτεύεται. καὶ διὰ τοῦτο ἔτε τὴν αὐτὴν ἀπαραλλάκτως ἀλλήλαις ἐνέργειαν μὴ τὴν ἕνωσιν τὴν φυσικὴν καὶ ἀσύγχυτον, τυτέστι τὴν ἀληθῆ καὶ καθ' ὑπόστασιν, ἔχουσιν. ὐδὲ μίαν καὶ μόνην αὐτῆς τὴν ἐνέργειαν λέγομεν, ἢ ὐσιώδη καὶ φυσικὴν, καὶ παντελῶς ἀπαράλλακτον, ἕνα μὴ καὶ εἰς ὐσίαν μίαν, καὶ φύσιν μίαν αὐτὰς συνελάσωμεν, τὴν Ἀκεφάλων παιζομένην παισὶ, καὶ αὐτοῖς ἀναιδῶς προφερομένην αὐτοῖς ῥήμασι σώθετον. ὥσπερ οὖν τὴν ἑκατέρας ὐσίας καὶ φύσεως, ἐξ ὧν ἡμῖν ἀσυγχύτως ἐπὶ Χριστῷ γέγονεν ἡ ἕνωσις, καὶ τὸν ἕνα Χριστὸν καὶ υἱὸν ἀπετέλεσεν ὅλον Θεὸν, ὅλον τὸν αὐτὸν πεσθόμεν ἄνθρωπον, ἑκατέραν φυσικὴν ὁμολογοῦμεν ἐνέργειαν, ἵνα μὴ τὰς ἀσυγχύτως ἑνωθείσας φύσεις συγχέωμεν, εἴπερ ἐκ τῆς ἐνεργειῶν καὶ μόνων κατὰ τοὺς τὰ τοιαῦτα δεινὰς αἱ φύσεις γνωρίζονται. καὶ τῆς ὐσιῶν ἀεὶ τὸ διάφορον ἐκ τοῦ διαφόρου τῆς ἐνεργειῶν καταλαμβάνεσθαι πέφυκεν. οὕτω καὶ πᾶσαν φωνὴν καὶ ἐνέργειαν, κἂν θεία τις ᾖ καὶ ὑράνιος, ἢ ἀνθρωπίνητε καὶ ἐπίγειος, ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ προϊέναι Χριστοῦ καὶ υἱοῦ δογματίζομεν, καὶ τῆς μιᾶς αὐτοῦ συνθέτου καὶ μοναδικῆς ὑποστάσεως, ὃς σεσαρκωμένος τοῦ Θεοῦ λόγου ἐτύγχανεν, ὁ καὶ ἑκατέραν ἀμερίστως καὶ ἀσυγχύτως ἐνέργειαν κατὰ τὰς ἑαυτοῦ φύσεις ἐξ ἑαυτοῦ φυσικῶς προβαλλόμενος. κατὰ μὲν τὴν θεῖαν αὐτοῦ φύσιν, καθ' ἣν ἦν καὶ τῷ πατρὶ ὁμούσιος, τὴν θεϊκὴν καὶ ἀνέκφρασον· κατὰ δὲ τὴν ἀνθρωπίνην, καθ' ἣν καὶ τοῖς ἀνθρώποις ἡμῖν ὁ αὐτὸς ὁμούσιος ἔμεινε, τὴν ἀνθρωπείαν καὶ προσγενον, τὴν ἑκάστῃ φύσει φίλην καὶ προσφορον. καὶ ὐκ ἐῶν τῆς ὁρώντων τινὰ σκανδαλίζεσθαι, ὡς ὁ Θεὸς ὁ αὐτὸς εἴη καὶ ἄνθρωπος· ὁ ταῦτα κἀκεῖνα φυσικῶς ἐργαζόμενος· διὰ μὲν τὸ τὸν αὐτὸν ἕνα Χριστὸν καὶ υἱὸν ἐνεργεῖν τὰ ἑκάτερα, τὴν Νεστορίου μιαρὰν ἐμφράττων ἀποῤῥοιαν. ἔτε γὰρ δύο κατ' αὐτὸν Χριστὸς καὶ υἱὸς, ὡς εἰρήκαμεν, τὰς ἐνεργοῦντας ταῦτά τε κἀκεῖνα προσβάλλομεν. διὰ δὲ τὸ δεικνύναι τὰ ἑκατέρας ἴδια φύσεως ἀσύγχυτα μὴ τὴν σῶσιν μιζόντα, καὶ ἑκατέραν, τῆς αὐτῆς ὁμοίως προφέρειν ἐνέργειαν, τῷ φυσικῷ λόγῳ γνωριζομένων τῆς φύσεων, καὶ τὴν οἰκείαν φύσιν φυσικῶς * ἐρμιωμένων, ἀφ' ἧς ἀμερίστως καὶ φυσικῶς ἐπηγάζετο, καὶ ὐσιωδῶς * ἀνεβλύστανε, τὴν Εὐτυχοῦς ἐκφέπων φιλοσύγχιτον βλάσησιν. ἐνθεν τόκον τεχθεὶς τὸν ἡμέτερον γαλακτοτροφεῖται καὶ αὔξεται, καὶ τὰς σωματικὰς μεθηλικιώσεις διέρχεται, ἄχρις ἔ προς τὸ τῆς ἀνθρωσύνης ἡλικίας ἀφίκετο τέλειον. καὶ πεῖναν τὴν ἡμῶν καὶ δίψαν προσδέχεται, καὶ κόπον καθ' ἡμᾶς τὸν ἐξ ὁδοιπορίας ὑπέμεινεν. ἐποιεῖτο γὰρ καὶ τὴν πορευτικὴν ἡμῖν ὁμοίως ἐνέργειαν, ἥτις ἀνθρωπίνως ἐνεργουμένη, καὶ κατ' ὐσίαν ἀνθρωπίνην προβαίνουσα τῆς ἀνθρωπείας αὐτοῦ φύσεως ἐτύγχανεν ἔνδειξις. ὅθεν καὶ τόπον ὡς ἡμεῖς ἐκ τόπου μετέβαινεν, ἐπεὶ καὶ κατὰ ἀλήθειαν γέγονεν ἄνθρωπος, καὶ φύσιν τὴν ἡμῶν ἔχων ἀμείωτον. καὶ περιγραφῆς ἠνέχετο, σώματος· καὶ σχῆμα τὸ ἡμῖν ἁρμόζον πεφόρηκε, σωματικὴ γὰρ, τυτέστι σώματος, καὶ ἡ μορφὴ τυγχάνει τοῦ σχήματος, καθ' ἣν ἐν μήτρᾳ συλληφθεὶς διεπεπλασο, καὶ ἣν εἰσαεὶ διετήρησεν, καὶ εἰς αἰῶνα τηρεῖ τὸν ἀπέραντον. διὰ τοῦτο πεινῶν διεξέφετο, διὰ τοῦτο διψῶν ἐποτίζετο, καὶ ὡς ἄνθρωπος ἔπινε. διὰ τοῦτο παιδικῶς ἐβασάζετο ἀγκάλαις παρθενικαῖς ἐποχούμενος, καὶ κόλποις μητρικοῖς ἀνακείμενος. διὰ τοῦτο κοπιῶν ἐκαθέζετο, καὶ ὕπνῳ χρίζων ἐκάθευδεν. ἀλλὰ καὶ ἤλγει τυπτόμενος, καὶ μαστιζόμενος ἔπασχε, καὶ πόνος ὑπέμενε σώματος, χεῖρας καὶ πόδας τῷ σαυρῷ περονώμενος. ἐδίδα γὰρ ὅτε καὶ ἤθελε φύσει τῇ ἀνθρωπείᾳ καιρὸν ἐνεργεῖν καὶ πάσχειν τὰ ἴδια· ἵνα μὴ φαντασία τις καὶ

* ἐρμιωμένων
* ἀνεβλάστανε

θέα

θέα διάκενος ἡ αὐτοῦ περιώνυμος κρίνοιτο σάρκωσις. οὐ γὰρ ἀκουσίως ταῦτα ἢ ἀναγκαστῶς προσεδέχετο, κἂν φυσικῶς αὐτὰ καὶ ἀνθρωπίνως προσίετο, καὶ ἀνθρωπίναις κινήσεσιν ἐποίει καὶ ἔπραττεν. ἅπαγε τῆς βδελυκτῆς ἐνθυμήσεως. Θεὸς γὰρ ἦν ὁ ταῦτα πάσχειν σαρκικῶς ἀνεχόμενος, καὶ σώζων ἡμᾶς τοῖς οἰκείοις παθήμασι, καὶ βραβεύων ἡμῖν δι' αὐτῶν τὴν ἀπάθειαν· ἀλλ' ὅτε πάσχειν καὶ πράττειν καὶ ἐνεργεῖν ἀνθρωπίνως αὐτὸς ἐβεβούλητο, καὶ τοὺς ὁρῶντας ὠφελεῖν ἐψηφίζετο, δι' οὓς καὶ ἄνθρωπος κατὰ ἀλήθειαν γέγονε. καὶ οὐχ ὅτε αἱ φυσικαὶ κινήσεις καὶ σαρκικαὶ κινεῖσθαι φυσικῶς πρὸς ἐνέργειαν ἤθελον, εἰ καὶ οἱ ἐπιβουλεύοντες ἄθεοι τὰς ἐπιβουλὰς πληροῦν παντόλμως ἐγλίχοντο. σῶμα γὰρ παθητὸν καὶ θνητὸν καὶ φθαρτὸν ἐνεδύσατο, καὶ τοῖς φυσικοῖς καὶ ἀδιαβλήτοις ἡμῶν ὑποκείμενον πάθεσι, καὶ τούτῳ τῇ οἰκείᾳ φύσει καταλλήλως πάσχειν καὶ δρᾷν συνεχώρησε μέχρι τῆς ἐκ νεκρῶν ἀναστάσεως. ἐκεῖσε γὰρ καὶ τὸ παθητὸν ἡμῶν καὶ θνητὸν καὶ φθαρτὸν καταλέλυκε, καὶ τὴν ἐκ τούτων ἐλευθερίαν ἡμῖν ἐχαρίσατο. τὰ μὲν οὖν ταπεινὰ καὶ ἀνθρώπινα οὕτω ἑκουσίως ὁμοῦ καὶ φυσικῶς, μένων καὶ ἐν τούτοις Θεὸς ἐπεδείκνυτο· ταμίας γὰρ ἦν αὐτὸς ἑαυτῷ παθῶν ἀνθρωπίνων καὶ πράξεων, καὶ οὐ μόνον ταμίας, ἀλλὰ καὶ πρίτανις, καὶ εἰ φύσιν παθητὴν φυσικῶς ἐσεσάρκωτο. καὶ διὰ τοῦτο ἦν ὑπὲρ ἄνθρωπον αὐτοῦ τὰ ἀνθρώπινα· οὐκ ἐπειδήπερ φύσις ἦν οὐκ ἀνθρώπειος, ἀλλ' ἐπειδήπερ ἑκουσίως γέγονεν ἄνθρωπος, καὶ ἄνθρωπος γεγονὼς ἑκουσίως αὐτὰ προσεδέχετο· καὶ οὐ τυραννικῶς ἢ ἀναγκαστῶς ἐστιν ὅτε καθ' ἡμᾶς καὶ ἀβουλήτως, ἀλλ' ἡνίκα καὶ ὅσον ἐβούλετο. καὶ συγχωρεῖν αὐτὸς τοῖς τὰ πάθη προσφέρουσι, τοῖς τε παθήμασιν αὐτοῖς ἐνεργουμένοις κατὰ φύσιν ἐπένευσε. τὰ δὲ θεῖα καὶ λαμπρὰ καὶ ὑπέρτατα, καὶ νικῶντα προδήλως ἡμῶν τὴν εὐτέλειαν, ἅπερ ἦν θαυμαστὰ καὶ τεράστια, καὶ τῶν παραδόξων ἔργων ἡ πρόοδος, ὁποίαπερ ἦν ἡ ἄσπορος σύλληψις, ἡ Ιωάννου ἐγγάστριος σκίρτησις, ὁ τόκος ὁ ἄφθορος, ἡ παρθενία ἡ ἄχραντος, ἡ πρὸ τοῦ τόκου καὶ ἐν τῷ τόκῳ καὶ μετὰ τὸν τόκον ἀλώβητος, ἡ τῶν ποιμένων οὐράνιος μύησις, ἡ τῶν μάγων ἀστροκίνητος ἕλκυσις, δωροφορία τε σὺν αὐτῇ καὶ προσκύνησις, καὶ ἡ γραμμάτων ἀμαθήτευτος εἴδησις· πῶς γὰρ οὗτος, φασὶν, οἶδε γράμματα μὴ μεμαθηκώς; μερικῶς ἐπελέγχουσα τῶν τῆς ἀγνοίας ἐραστῶν τὸν κακότροπον ἔρωτα, ἡ ἐξ ὑδάτων οἰνώδης ἐμφόρησις, τῶν ἀσθενῶν ἡ ἐπίρρωσις, τῶν τυφλῶν ἡ ἀνάβλεψις, τῶν κυλλῶν ἡ ἀνόρθωσις, τῶν παραλύτων ἡ σύσφιγξις, τῶν χωλῶν ἡ εὐθύδρομος κίνησις, τῶν λεπρῶν ἡ ὑπέρλαμπρος κάθαρσις, τῶν πεινώντων ἡ σχέδιος πλήρωσις, τῶν διωκόντων ἡ * πώρωσις, τῶν ἀνέμων ἡ κοίμισις, τῆς θαλάττης ἡ γαλυναία κατάστασις, ἡ ἐπὶ τῶν ὑδάτων ἐνσώματος βάδισις, ἡ τῶν ἀκαθάρτων πνευμάτων ἐκδίωξις, ἡ τῶν στοιχείων αἰφνίδιος κίνησις, ἡ τῶν μνημείων αὐτόματος ἄνοιξις, ἡ ἐκ νεκρῶν τριήμερος ἔγερσις, ἡ τῆς φθορᾶς οὐ τελευτῶσα κατάλυσις, ἡ τοῦ θανάτου μὴ παυομένη καθαίρεσις, ἡ φυλαττομένης τῆς λίθου καὶ τοῦ τάφου σφραγῖδος ἀκώλυτος ἔξοδος, ἡ τῶν θυρῶν κεκλεισμένων ἀκράτητος εἴσοδος, ἡ εἰς οὐρανοὺς ἀπογῆς πολυθαύματος καὶ ἐνσώματος ἄνοδος, καὶ πάντα τὰ τούτοις παρόμοια, τὰ καὶ λόγου φύσιν, καὶ φωνῆς ὑπερβαίνοντα δύναμιν, καὶ πᾶσαν ἀνθρωπείαν ὑπερνικῶτα διάνοιαν· ἅπερ ἅπαντα ὑπὲρ λόγον καὶ φύσιν ἀνθρωπίνην τελούμενα τῆς τοῦ Θεοῦ λόγου θείας οὐσίας καὶ φύσεως ὁμολογουμένως ὑπῆρχε τεκμήρια, εἰ καὶ διὰ σαρκὸς ἐνηργεῖτο καὶ σώματος, καὶ οὐ δίχα σαρκὸς λογικῶς ἐψυχωμένης ἐπράττετο. καὶ οὐ διὰ ταῦτα τὸν Θεὸν λόγον τοπάσομεν ἄσαρκον, ἢ σώματος αὐτὸν ἐκτὸς δογματίσομεν, ὅτιπερ ἕδρα τὰ σωμάτων ὑπέρτερα. καὶ γὰρ ἀληθῶς ὁ λόγος σεσάρκωται, καὶ ἀψευδῶς σαρκωθεὶς σεσωμάτωται, καὶ εἷς υἱὸς ἐγινώσκετο ὁ πᾶσαν ἐξ αὐτοῦ προφέρων ἐνέργειαν θείαν τε καὶ ἀνθρώπειον, ταπεινήν τε καὶ ὑπέρογκον, χθαμαλὴν καὶ οὐράνιον, σαρκικὴν καὶ ἀσώματον, ὁρατὴν καὶ ἀόρατον, περιγραφὴν καὶ ἀπερίγραφον, ἀναλογοῦσαν αὐτοῦ τῇ δυάδι τῶν φύσεων, καὶ δι' ἑαυτῆς αὐτὴν ἀσιγήτως κηρύττουσαν, καὶ διαπρυσίως ἀγγέλλουσαν. εἷς γὰρ ὢν καὶ ὁ αὐτὸς καθ' ὑπόστασιν υἱὸς ἀδιαίρετος, καὶ δύο φύσεις ὁ αὐτὸς γνωριζόμενος, κατ' ἄλλην μὲν τὰς θεοσημείας εἰργάζετο, κατ' ἄλλην δὲ τὰ ταπεινὰ παρεδέξατο. καὶ διὰ τοῦτό φασιν οἱ θεόφρονες, οἱ ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ τοῦ ἀληθοῦς στεψάμενοι, καὶ τὸ φάσκειν θεόθεν δεξάμενοι, τὰς θειοτάτας * συνέσεις ἡμῖν ἐξυφαίνοντες. ὡς ὅταν ἀκούσῃς περὶ τοῦ ἑνὸς υἱοῦ τὰς ἐναντίας φωνὰς, καταλλήλως μέριζε ταῖς φύσεσι τὰ λεγόμενα. ἂν μέν τι μέγα καὶ θεῖον, τῇ θείᾳ φύσει προσνέμων· ἂν δέ τι μικρὸν καὶ ἀνθρώπινον, τῇ ἀνθρωπίνῃ λογιζόμενος. οὕτω γὰρ καὶ τὸ τῶν φωνῶν ἀσύμφωνον διαφεύξῃ, ἑκάστης, ἃ πέφυκεν ἴδια, δεχομένης φύσεως· καὶ τὸν υἱὸν τὸν ἕνα καὶ πρὸ πάντων αἰώνων καὶ πρόσφατον κατὰ τὰς ἁγίας γραφὰς ὁμολογήσεις. ἀλλὰ καὶ οὕτως ἐπὶ τοῦ ἑνὸς υἱοῦ φασι, πᾶσαν μὲν ἐνέργειαν οὐκ ἄν τις * χωρίσαι τῆς μιᾶς υἱότητος, τῆς δὲ φύσεως, ἧς ἐστιν οἰκεῖον τὸ γινόμενον, τῷ λόγῳ γνωρίσειεν. οὐκοῦν κάλλιστα λίαν αὐτοῖς δεδογμάτισται τὸ, ἕνα μὲν ὁμολογεῖν τὸν Εμμανουήλ· οὕτως γὰρ ὁ Θεὸς λόγος σαρκωθεὶς ὀνομάζεται· καὶ τὸν αὐτὸν ἅπαντα δρᾷν καὶ οὐκ ἄλλον καὶ ἄλλον τά τε ὑψηλὰ καὶ ἐλάχιστα παντοίας ἐκτὸς διαστάσεως· δι' ὧν καὶ τῶν αὐτοῦ φύσεων ἀσύγχυτος ἡ διπλόη γνωρίζεται, καὶ εἰς ὑποστάσεις δύο καὶ πρόσωπα διαμπὰξ ὁ αὐτὸς οὐ μερίζεται· ἀλλ' ἔστιν εἷς καὶ ὁ αὐτὸς υἱὸς καὶ Χριστὸς ἀδιάτμητος, ἐν δυσὶν ἀδιαιρέτως γνωριζόμενος φύσεσι. καὶ αὐτοῦ τὰ πάντα τοῦ ἑνὸς υἱοῦ διαβεβαιούμεθα καὶ πάσας αὐτοῦ καὶ τὰς φωνὰς καὶ τὰς ἐνεργείας πιστεύομεν. κἂν αἱ μὲν αὐτῶν εἰσι

Λουκ. 1.
Λουκ. 2.
Ματθ. 2.
Ιωάν. 7.
Ιωάν. 2.
* πήρωσις,
* συναινίσεις
* χωρήσεις

εἰσι θεωπρεπεῖς, αἱ δὲ ὅτω πάλιν ἀνθρωποπρεπεῖς, αἱ δὲ μέσην τινὰ τάξιν ἐπέχουσιν, ὡς ἔχουσαι τὸ θεοπρεπὲς ἐν ταυτῷ καὶ ἀνθρώπινον. ταύτης δέ φαμεν τῆς δυνάμεως καὶ τὴν * κοινὴν καὶ θεανδρικὴν λεγομένην ἐνέργειαν, οὐ μίαν ὑπάρχουσαν, ἀλλ' ἑτερογενῆ καὶ διάφορον, ἣν ὁ ἐξ Ἀρείου πάγου Παύλῳ τῷ θείῳ θείως ζωγρηθεὶς θεηγόρος Διονύσιος ἔφησεν· ὡς τὸ θεοπρεπὲς ἐν ταὐτῷ καὶ ἀνθρώπινον ἔχουσαν, καὶ διὰ τῆς χαριεστάτης τε καὶ συνθέτου προσρήσεως τὴν ἑκάστης οὐσίας καὶ φύσεως ἑκάστην ἐντελῶς δηλοῦσαν ἐνέργειαν. προαιώνιον τοίνυν τὸν Θεὸν λόγον δοξάζοντες καὶ τῷ πατρὶ συναΐδιον, χρονικὴν ὑπομεῖναι πρεσβεύομεν γέννησιν, ἣν ἐκ παρθένου τῆς κυρίως καὶ ἀληθῶς θεοτόκου Μαρίας σαρκωθεὶς ἀπετίκτετο, καὶ διὰ τοῦτο δύο τὰς γεννήσεις γεγενῆσθαι πρὸς τῶν εὐσεβούντων εἰκότως πιστεύεται. καὶ τέλειος ὢν ὁ αὐτὸς ἐν θεότητι, τέλειος ἦν ὁ αὐτὸς ἐν ἀνθρωπότητι· οὔτε τῇ διαφορᾷ τῶν οὐσιῶν διαιρούμενος, οὔτε τῇ τῆς ὑποστάσεως καὶ τοῦ προσώπου ταυτότητι τὰς φύσεις ἄγων πρὸς οὐσιώδη ταυτότητα· ἀλλ' ἐξ ὧν καθ' ὑπόστασιν πέφηνε φύσεων, ἐν αὐταῖς ἀδιαιρέτως ἔμεινε, πάντα σοφῶς καὶ ἀληθῶς ὑπελθὼν τὰ ἡμέτερα ἔργα καὶ πάθη φυσικὰ καὶ ἀδιάβλητα πράγματα, τὰ μώμου μακρὰν καὶ μολύσματος, καὶ ἐν οἷς ἁμαρτίας ἴχνος τινὸς μὴ εὑρίσκεται. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδέ τις δόλος ἐν τῷ στόματι αὐτοῦ τὸ σύνολον ηὕρηται. καὶ συναναστραφεὶς ἀνθρωπίνως ἡμῖν, ἅτε τέλειος γνωριζόμενος ἄνθρωπος, κἂν Θεὸς ὁ αὐτὸς ἀπαραλείπτως ἐτύγχανε, καὶ θαυματουργήσας ὡς ἔπρεπε· τέλειος γὰρ Θεὸς ἐγινώσκετο, καὶ ἀνθρωπείᾳ νοερῶς ἐψυχωμένῃ σαρκὶ συνεκέκρατο· ἐπὶ τὸ πάθος τὸ ἑκούσιον ἄνεισι, καὶ ἑκουσίως Ἰουδαίοις προδίδοται, μᾶλλον δὲ ἑαυτὸν αὐτοῖς δι' ἀνθρώπων σωτηρίαν ἑκουσίως προδίδωσι. καὶ δεσμεύεται, καὶ κολαφίζεται, καὶ ἐμπτύεται, καὶ μαστίζεται, καὶ χλευάζεται, καὶ χλαμύδα πορφυρᾷν ὡς βασιλεύων τῶν ὅλων ἐνδύεται, καὶ κάλαμον ὡς σκῆπτρον βασιλικὸν βασιλικῶς ἐγχειρίζεται, καὶ Πιλάτου κατακρίνεται κρίνοντος, καὶ τέλος ἱκρίῳ προσπήγνυται, καὶ χεῖρας καὶ πόδας αἱμάσσεται τῷ σωτηρίῳ σταυρῷ προσηλούμενος, καὶ λῃσταῖς συνεπαίρεται, καὶ ὄξος ποτίζεται, καὶ χολῆς ἀπογεύεται, καὶ μέγα βοήσας τῷ πατρὶ τὴν ψυχὴν παραδίδωσι, καὶ τὴν πλευρὰν τῇ λόγχῃ τιτρώσκεται, καὶ ὕδωρ καὶ αἷμα σωτήριον μετὰ θάνατον προχέει καὶ νέκρωσιν, καὶ νεκρὸς τοῦ σταυροῦ καταφέρεται, καὶ κηδεύεται, καὶ σμυρνίζεται, καὶ ταφὴν τριήμερον θάπτεται, καὶ τριήμερος ἀναστὰς τοῦ τάφου προέρχεται, καὶ πάντας ἑαυτῷ τοὺς νεκροὺς συνανίστησιν, ἐκ τάφου καὶ φθορᾶς πρὸς τὴν ἀτελευτῶσαν αὐτοῦ ζωὴν ἐπαγόμενος διὰ τῆς αὐτοῦ ἐκ νεκρῶν ἀναστάσεως, καὶ τοῖς μαθηταῖς ἐκ νεκρῶν ἀναστὰς ἐμφανίζεται, καὶ πιστοποιεῖται βρώσει καὶ πόσει καὶ ἁφῇ χειρῶν ἀποστολικῶν τῆς οἰκείας σαρκὸς τὴν ἀνάστασιν, καὶ πνεῦμα τούτοις παρέχει πανάγιον,

* καινὴν.

Ἐφεσ. 2.

Ἰωάν. 10.

Λουκ. 24.

Μαρκ. 16.

ὡς συγγενὲς αὐτῷ καὶ ὁμόφυλον· καὶ εἰς οὐρανοὺς ἀναφέρεται, μᾶλλον δὲ ὡς καὶ τῶν οὐρανῶν δεσπόζων ἀνέρχεται, καὶ δεξιὸς τοῦ τεκόντος καθέζεται, θῶκον ἔχων τὸν πατρικὸν καὶ βασιλικὸν καὶ ὑπέρτατον. ὅθεν καὶ πάλιν ἐλεύσεται κρίσιν ζώντων καὶ νεκρῶν ποιησόμενος, καὶ ἀποδώσων ἑκάστῳ κατὰ τὰς πράξεις, ἅσπερ ἕκαστος πέπραχεν, εἴτε * ἀγαθὰς πράξεις καὶ καλὰς, εἴτε φαύλας καὶ ψεκτὰς κατειργάσατο. ὃν σὺν πατρί τε καὶ πνεύματι καὶ βασιλεύειν τῶν ὅλων πιστεύομεν βασιλείαν ἀληθῶς ἀτελεύτητον, καὶ τέλος οὐκ ἐπιδεχομένην καὶ πλήρωμα. ἀλλὰ καὶ περὶ τῆς ἐνσάρκου οἰκονομίας, ταὐτὸν δὲ φάναι τοῦ Θεοῦ λόγου σαρκώσεως, καὶ πρὸς τοὺς ταπεινοὺς ἡμᾶς ὁμοιώσεως, ὡς λέγω καὶ φρονῶ, διὰ βραχέων ἐγνώρισα. περὶ δὲ τῆς τοῦ ὁρωμένου κόσμου γεγονυίας ἀρχῆθεν συστάσεως, καὶ συντελείας, * ἣν οὐκ εἰς μακρὰν ὑποδέξοιτο, ὁμολογῶ θεοτίμητοι, ὡς πάντα οὐ μόνον τὰ ὁρατὰ, ἀλλὰ δὴ καὶ ἀόρατα ὁ εἷς Θεὸς ἐτεκτήνατο, ὁ πατὴρ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἡ ἀΐδιος φύσις καὶ ἄναρχος κἂν μὴ ὄντων εἰς τὸ εἶναι παρήγαγε, καὶ οὐκ ὄντα πρὶν ἐχεδίασε, καὶ τὰς τούτων μυρίας διαφορὰς σοφῶς προεβάλετο. πάντα γὰρ διὰ τοῦ μονογενοῦς ὁ πατὴρ ἐν ἁγίῳ πεποίηκε πνεύματι, ἃ καὶ προνοίᾳ σοφῇ συγκρατεῖ τῶν οἰκείων ἔργων ὡς Θεὸς προϊστάμενος· ἀρχήν τε τοῖς πᾶσι χρονικὴν ὁρισάμενος, τὰ μὲν αἰσθητὰ τέλει χρονικῷ καθυπέβαλε, τὰ δὲ νοητὰ καὶ ἀόρατα τούτων ἀξίας ἠξίωσε μείζονος· καὶ θνήσκει μὲν οὐδαμῶς, οὐδὲ φθείρεται κατὰ τὸ τῶν αἰσθητῶν ῥευστὸν καὶ εὐπάροιστον, οὐ μήν ἐστι τὴν φύσιν ἀθάνατα, ἢ πρὸς οὐσίαν μετελήλυθεν * ἄφραστον, ἀλλὰ χάριν αὐτοῖς ἐχαρίσατο φθορᾶς αὐτὰ καὶ θανάτου διείργουσαν. οὕτως ἀνθρώπων ψυχαὶ διαμένουσιν ἄφθαρτοι· οὕτως ἄγγελοι διατελοῦσιν ἀθάνατοι· οὐ φύσιν ἀληθῶς, ὡς ἔφημεν, ἄφθαρτον, ἢ οὐσίαν κυρίως ἀθάνατον ἔχοντες, ἀλλὰ χάριν ἐκ Θεοῦ κληρωσάμενοι ἀθανασίας χορηγὸν, καὶ ἀφθαρσίας αὐτοῖς ὑπάρχουσαν πρόξενον. ἀλλ' οὐκ ἐπειδήπερ αἱ τῶν ἀνθρώπων ψυχαὶ Θεοῦ χάριτι τὴν φθορὰν ἀπεώσαντο τὴν πᾶσι * κτιστῆς φύσεως ἐμφολεύουσαν, διὰ τοῦτο καὶ πρὸ σωμάτων αὐτὰς ὑποπτεύσομεν, ἢ πρὸ τῆς τοῦ ὁρωμένου κόσμου παραγωγῆς καὶ συμπήξεως ἐν ἀϊδίῳ τινὶ ζωῇ τελεῖν ἐννοήσομεν, καὶ βίον ἔχειν οὐράνιον * φήσωμεν, ἄσαρκόν τε καὶ ἀσώματον ζώσας ζωὴν τὴν ἀΐδιον ἐν οὐρανῷ ποτε μὴ ὑπάρχοντι, ὡς Ὠριγένης ὁ παράφορος βούλεται, καὶ οἱ τούτου συμμύσται καὶ σύμφρονες Δίδυμος καὶ Εὐάγριος, καὶ ὁ λοιπὸς αὐτῶν μυθομέριμνος ὅμιλος· οἵπερ οὐ τοῦτο μόνον πεπλανημένως δοξάζουσιν Ἑλληνικοῖς ἐμφερόμενοι δόγμασι, καὶ τὴν Χριστιανῶν καταῤῥυποῦντες εὐγένειαν, ἀλλὰ καὶ τὴν τῶν σωμάτων τούτων, ὧν νυνὶ περικείμεθα, ἀνοήτως ἀναιροῦσιν ἀνάστασιν, μυρία δεινὰ βατταρίζοντες τῆς δυσσεβοῦς αὐτῶν μυθοπλαστίας ἐπάξια. οἷς ἀρκεῖ πρὸς ἐπίπληξιν τὸ Παύλῳ πρὸς Κορινθίους λεγόμενον· ὡς εἰ νεκροὶ οὐκ ἐγεί-

Πράξ. 1.

Ματθ. 10.

* ἀγαθάς τιο

* ἧς.

* L. ἄφθαρτον.

* L. κτιστοῖς φυσικῶς.

* φήσαμεν.

1. Κορινθ. 15.

ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. καὶ λοιπὸν οὕτως αὐτοῖς τοῖς λόγισμοῖς ματαιάζουσι, τό * κενὴ ἄρα ἡ πίστις ὑμῶν, προσεθήσεται· ἢ οὐ μέρος, ὦ οὗτοι, τῆς ἡμῶν σεπτῆς ὁμολογίας γεγένηται καὶ ταυτησὶ τῆς σαρκὸς ἡ ἀνάστασις; καὶ σαρκὸς γὰρ ἀνάστασιν ὁμολογεῖν ἀπαιτούμεθα τῷ σωτηρίῳ προσιόντες βαπτίσματι. διὰ τοῦτο γὰρ, καθά τινι τῶν σοφῶν τεθεώρηται, καὶ πᾶσα τοῦ μονογενοῦς ἡ λαμπρὰ καὶ διάσημος οἰκονομία λαμπρῶς πεπραγμάτευται, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. οὐ τοῦτο δὲ μόνον οἱ παράφρονες σφάλλονται, καὶ τῆς εὐθείας ὁδοῦ παρακρούονται. ἦν γὰρ αὐτῶν ὡς ἐν συγκρίσει κακῶν καὶ φορητὸν τὸ δυσσέβημα· ἀλλὰ καὶ ἕτερα μυρία παρὰ τὴν ἀποστολικὴν καὶ πατρῴαν ἡμῶν παράδοσιν λέγουσι, παραδείσου φυτείαν ἐκβάλλοντες, ἐν σαρκὶ πεπλάσθαι τὸν Ἀδὰμ οὐ βουλόμενοι, τὴν ἀπ' αὐτοῦ τῆς Εὔας διάπλασιν ψέγοντες, τὴν ἠχὴν ἀθετοῦντες τοῦ ὄφεως, τὰς τῶν οὐρανίων ταγμάτων ταξιαρχίας οὕτω μὲν ἀρχῆθεν ἐκ Θεοῦ * κεκτῆσθαι κωλύοντες, ἐκ καταδίκης δὲ προγενεστέρας καὶ παρατροπῆς αὐτὰς φανταζόμενοι. ὡς ἐν ἐνάδι τε νόων πάντα παρῆχθαι τὰ λογικὰ, ἀθέως ὁμοῦ καὶ μυθικῶς ὀνειρώττοντες, τῶν ὑπερουρανίων ὑδάτων τὴν κτίσιν κακίζοντες, τέλος εἶναι κολάσεως θέλοντες· καὶ πάντων μὲν τῶν αἰσθητῶν παντελῆ φθορὰν παρεισφέροντες· πάντων δὲ τῶν λογικῶν, ἀγγέλων, ἀνθρώπων, δαιμόνων ἀποκατάστασιν φάσκοντες, καὶ πάλιν εἰς ἐνάδα μυθικὴν τὰς τούτων διαφορὰς ἀναχέοντες. ὅτε καὶ μηδὲν ἡμῶν διαφέρειν τὸν Χριστὸν, ὃν αὐτοὶ ληρῳδῶς δογματίζουσιν, οὐχ ὃν ἡμεῖς εὐσεβῶς προσκηρύττομεν, δόξῃ ἢ τιμῇ, ἢ βασιλείᾳ, ἢ δεσποτείᾳ δαιμονιωδῶς ἀναβράττουσι. καὶ μυρία ἄττα προφέροντες πρὸς τοῦ διαβολικοῦ καὶ δυσσεβοῦς τῆς καρδίας αὐτῶν θησαυρίσματος, οὐ μιᾷ μόνον ἀνατροπῇ θολερᾷ, ἀλλὰ μυρίαις τὸν πλησίον ποτίζοντες, καὶ ψυχὰς ἀνθρώπων θανατοῦντες οἱ δείλαιοι, ὑπὲρ ὧν Χριστὸς ἀποθανεῖν κατηξίωσε, καὶ λύτρον αὐτοῦ τὸ αἷμα τὸ θεῖον ἐξέχεε, καὶ δῶρον ὑπὲρ πᾶσαν ἀξίαν θειότατον τὴν ἑαυτοῦ ψυχὴν καταβάλετο. ἡμεῖς δὲ πίστεως ὀρθῆς καὶ ἀμωμήτου καὶ σώφρονος τὸ λογικὸν ποτισθέντες γάλα καὶ ἄδολον, καὶ καλὸν Θεοῦ ῥῆμα γευσάμενοι, ἅπαντα τὰ ἐκείνων σκοτεινὰ διωσάμενοι δόγματα, καὶ τούτων ὄντες ἁπάντων τῶν ἀθέσμων αὐτῶν φλυνάφων ἐλεύθεροι, καὶ τοῖς πατρῴοις ἡμῶν ἐπιβαίνοντες ἴχνεσι, καὶ τοῦ παρόντος κόσμου συντέλειαν λέγομεν, καὶ τὴν ζωὴν ἐκείνην τὴν μέλλουσαν τὴν μετὰ τὴν παροῦσαν ζωὴν διαιωνίζειν πιστεύομεν, καὶ τὴν κόλασιν ἀτελεύτητον ἔχομεν τὴν μὲν ἀλήκτως εὐφραίνουσαν τῶν ἀρίστων ἔργων τοὺς πράκτορας, τὴν δὲ ἀπαύστως ἀλγύνουσαν, οὐ μὴν ἀλλὰ καὶ κολάζουσαν τοὺς ἐνθάδε γεγονότας ἐραστὰς τῆς φαυλότητος, καὶ μετανοεῖν οὐ θελήσαντας πρὸ τῆς ἐντεῦθεν ἐκδρομῆς καὶ ἐκβάσεως. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησὶ Χριστὸς ὁ κριτὴς, ἡ ἀλήθεια· καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. ταῦτα φρονεῖν καὶ πιστεύειν, σοφώτατοι, ἔκ τε ἀποστολικῆς καὶ εὐαγγελικῆς, ἔκ τε προφητικῆς καὶ νομικῆς, ἔκ τε πατρῴας καὶ διδασκαλικῆς παρειληφότες κηρύξεως, καὶ δεδρακότες ὑμῖν τοῖς πανσόφοις κατάδηλα, καὶ μηδὲν ὑμᾶς ἀποκρύψαντες. ἀκόλουθον λοιπόν ἐστι καὶ ἁρμόδιον. καὶ τῇ παλαιᾷ παραδόσει κατάλληλον, τὰς ἱερὰς συνόδους τῶν πατρικῶν ἡμῶν καὶ πανιέρων ἀθροίσεων δήλας ποιεῖν ἐπὶ γράμματος, ἃς ὡς φωταγωγοὺς ταῖς ἡμετέραις ψυχαῖς περιέπομεν, καὶ δι' αἰῶνος ἔχειν εὐχόμεθα, ὅπως αὐταῖς καὶ τῆς μακαρίας ζωῆς κοινωνήσαιμεν, ὡς παῖδες αὐτῶν εὐγενεῖς καὶ διάδοχοι. τέτταρας τοίνυν ἐπὶ τῶν ἐνθέων τῆς ἐκκλησίας δογμάτων μεγάλας καὶ ἱερὰς οἰκουμενικὰς συνόδους δεχόμεθα, εὐαγγελικαῖς φαιδρυνομένας λαμπρότησι, καὶ χαρακτήρων εὐαγγελικῶν ἀγλαϊζομένας ποσότητι. τούτων πρωτεύειν φαμὲν τὸ ἐν Νικαίᾳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων συνέδριον, ὅπερ ἐκ θείας ἀθροισθὲν ἐπινεύσεως τῆς Ἀρείου λύττης καθαιρεῖ τὰ μιάσματα. μετ' ἐκεῖνο δὲ τῷ χρόνῳ, οὐ δόξῃ καὶ χάριτι, συναθροίζεται δεύτερον ἄθροισμα τὸ ἐν τῇ βασιλίδι συνειλεγμένον τῶν πόλεων· πεντήκοντα δὲ καὶ ἑκατὸν θεόσοφοι πατέρες ἐτύγχανον, οἳ καὶ τοῦτο πληροῦν θεόθεν ἠγμένοι τὸ ἄθροισμα, ὃ τὴν τρικέραυνον Μακεδονίου, Ἀπολλιναρίου τε καὶ Μάγνου σβεννύει δυσσέβειαν, καὶ τῆς τοσαύτης χαλεπῆς πυρακτώσεως τῶν εὐσεβούντων τὰ συστήματα ῥύεται. τρίτον μετὰ τοῦτο μόνῳ τῷ χρόνῳ δοξάζω συνέδριον τὸ ἐν Ἐφέσῳ τὸ πρότερον ἐκ θείας ἐνεδρεῦσαν βουλήσεως· τὸ γὰρ Διοσκόρου λεγόμενον δεύτερον τῆς Εὐτυχοῦς ἀδοκίμου γνώμης πεφώραται σύστοιχον· ὅπερ πρῶτον συνέδριον διακοσίων μὲν ἁγίων πατέρων ἐγνωρίζετο πλήρωμα, καταβάλλει δὲ τὸν ἀνθρωπολάτρην Νεστόριον, καὶ πᾶσαν αὐτοῦ τὴν Χριστομάχον ἀσέβειαν. καὶ τέταρτον μετὰ τὰ τρία τῷ χρόνῳ μόνῳ θεόσοφον ἀθροίζεται σύνταγμα τῶν ἑξακοσίων ὁμοῦ καὶ τριάκοντα πανυμνήτων πατέρων, καὶ δαδούχων τῆς πίστεως, ὅπερ ἐν Χαλκηδόνι μὲν τὴν θείαν ποιεῖται θεόθεν συνέλευσιν, καὶ συναθλοῦσαν εἶχεν Εὐφημίαν τὴν μάρτυρα. τὴν καὶ μέχρι τῆς σήμερον προμαχοῦσαν αὐτῶν τοῦ ὅρου τῆς πίστεως, καὶ τῆς αὐτῶν περιφήμου καὶ μεγίστης ἀθροίσεως λόγον πολὺν ποιουμένην καὶ ἄπαυστον· κατασφάττει δὲ τὴν ξυνωρίδα τὴν βέβηλον, Εὐτυχῆ φημι καὶ Διόσκορον, καὶ τὴν τούτων ἀποφράττει θεομάχον κακόνοιαν ἐκ τῆς Ἀπολλιναριανῆς ὥσπερ πηγῆς καταῤῥέουσαν, καὶ πληροῦσαν πάντας τῆς ἀσεβείας τοὺς ῥύακας. ἐκβάλλει δὲ μετὰ τῆς τούτων ἀσεβεστάτης αἱρέσεως διὰ τῶν αὐτῆς ὀρθοδόξων προῤῥήσεων καὶ τὴν Νεστορίου τοῦ θεομάχου παμμίαρον αἵρεσιν. καὶ κατὰ ταύτης γὰρ ὡς ἔτι τῇ ἀναιδείᾳ σπαιρούσης ἠθροίζετο. ὅθεν καὶ τελείως αὐτὴν ἀπενέκρωσε, καὶ τῶν ἐκκλησιαστικῶν αὐλῶν ἐξωστράκισεν. ἐπὶ ταύταις δὲ ταῖς μεγάλαις

* καὶ ἄραματαία.

* κεκτῆσθαι.

Ματθ. 9.

λαις καὶ οἰκουμενικαῖς πανσέπτοις τε καὶ πανιέροις τῶν ἁγίων καὶ μακαρίων πατέρων ὁμοτίμοις ἀθροίσεσι τέσσαρσι, καὶ πέμπτην ἁγίαν ἄλλην παρὰ ταύτας καὶ μετὰ ταύτας συστᾶσαν, οἰκουμενικὴν δέχομαι σύνοδον, τὴν ἐν τῇ βασιλίδι καὶ αὐτὴν γενομένην τῶν πόλεων, Ἰουστινιανοῦ τοῦ τότε τὰ σκῆπτρα τῆς Ῥωμαϊκῆς βασιλείας διέποντος, καὶ πάντα αὐτῆς τὰ λαμπρὰ διορίσματα. ἥτις * κυροῦσα μὲν τὴν ἐν Χαλκηδόνι περιώνυμον ἤθροισται σύνοδον. ἀναιρεῖ δὲ καὶ ἐκρίπτει πρὸς ὄλεθρον πρωτοτύπως μὲν Ὠριγένην τὸν ἄφρονα, καὶ πάντα αὐτοῦ τὰ ὀνειρώδη κομψεύματα, καὶ πολυειδοῦς ἀσεβείας πλήρη συγγράμματα· Εὐαγρίου δὲ σὺν αὐτῷ καὶ Διδύμου τὰ δόγματα, καὶ πάντα αὐτῶν τὰ Ἑλληνικὰ καὶ τερατώδη, οὐ μὴν ἀλλὰ καὶ μυθώδη ληρήματα. μεθ' οὓς τὸν Μοψουεστίας ἐκτίλλει Θεόδωρον, τὸν Νεστορίου τοῦ θεομάχου διδάσκαλον, καὶ ὡς μυσαρὸν σὺν τοῖς αὐτοῦ βλασφήμοις συγγράμμασι τῆς καθολικῆς ἐκκλησίας ἐκρίπτει ζιζάνιον. Θεοδωρίτου δὲ τὰ κακῶς κατὰ τοῦ τῆς εὐσεβείας προμάχου Κυρίλλου καὶ δυσσεβῶς γεγονότα συντάγματα, καὶ ὅσα κατά γε τῶν δώδεκα τοῦ αὐτοῦ θεσπεσίου Κυρίλλου κεφαλαίων, τῆς τε πρώτης ἁγίας ἐν Ἐφέσῳ συνόδου, καὶ τῆς ὀρθῆς ἡμῶν κατηγόρησε πίστεως, Νεστορίῳ τῷ δυσσεβεῖ χαριζόμενος. κἀκεῖνα ταύτης ποιεῖ τῆς κατακρίσεως μέτοχα, ἅπερ καὶ ὑπὲρ Διοδώρου καὶ Θεοδώρου ἀπολογούμενος γέγραφαι· μεθ' ὧν καὶ τὴν Ἴβα ἐπιστολὴν πρὸς τὸν Πέρσην γεγράφθαι λεγομένην Μάρην ἀπερρίζωσεν, ὡς οὐ μόνον ὀρθῶν δογμάτων ἀντίπαλον, ἀλλὰ καὶ πάσης ἀσεβείας ἀνάπλεων. ἐκείνας μὲν οὖν τὰς ἱερὰς καὶ μεγάλας καὶ οἰκουμενικὰς ἁγίας τέτταρας συνόδους ἀσπάζομαι, καὶ φρονήματι ἐνὶ περιπτύσσομαι. ἐπὶ ταύταις δὲ καὶ ταύτην τὴν πέμπτην τιμῶ καὶ γεραίρω, καὶ σέβομαι. καὶ πάντα αὐτῶν ἀσμένως προσίεμαι τά τε ἐν δόγμασι, καὶ διαφόροις διδάγμασι καὶ τοῖς κατὰ τῶν αἱρετιζόντων ἀναθεματισμοῖς καὶ ὁρίσμασιν. ὅθεν καὶ ἀσμενίζω καὶ δέχομαι, οὓς ἐδέξαντο καὶ ἠσμένισαν· καὶ ἀναθεματίζω καὶ ἀποβάλλομαι, ὅσους ἀναθέματι καθυπέβαλον, καὶ ἀποβλήτους τῆς καθολικῆς καὶ ἁγίας ἡμῶν ἐκκλησίας ἡγήσαντο. ταύταις ταῖς ἁγίαις καὶ μακαρίαις πέντε συνόδοις ἑπόμενος ἕνα καὶ μόνον ὅρον ἐπίσταμαι πίστεως, καὶ μάθημα ἓν οἶδα καὶ σύμβολον, ὅπερ ἡ πάνσοφος καὶ μακαρία τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων θεσπεσία πληθὺς ἐξ ἁγίου προσεφθέγξατο πνεύματος· ὃ καὶ ἡ ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα θεοπνεύστων πατέρων ἐπεκύρωσεν ἄθροισις. καὶ ἡ ἐν Ἐφέσῳ πρώτη τῶν διακοσίων ἐνθέων πατέρων ἐβεβαίωσε σύνοδος. καὶ ἡ τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα πανιέρων πατέρων προσεδέξατο καὶ ἐκράτυνε σύμβασις, καὶ ἀπαράτρωτον καὶ ἀρραγὲς καὶ ἀσάλευτον διαπρυσίως ἔφη φυλάττεσθαι. δεχόμεθα δὲ καὶ ἀγκάλαις ταῖς αὐταῖς ἀσμενίζομεν καὶ πάντα τοῦ θεσπεσίου Κυρίλλου τὰ θεῖά τε καὶ θεόσοφα συγγράμματα, ὡς πάσης ὀρθότητος γέμοντα, καὶ πᾶσαν αἱρετικῶν καθαιροῦντα δυσσέβειαν. ἐξαιρέτως δὲ τὰς πρὸς Νεστόριον τὸν θεοστυγῆ καὶ θεήλατον δύο συνοδικὰς ἐπιστολὰς, τήν τε δευτέραν καὶ τὴν τρίτην, ᾗ καὶ τὰ δυοκαίδεκα συνῆπται κεφάλαια· ἅπερ ἅπασαν τὴν Νεστορίου κακόνοιαν ἀποστόλων ἁγίων ἰσαρίθμοις κατέφλεξεν ἄνθραξι. σὺν ταύταις δέχομαι καὶ τὴν πρὸς τοὺς τῆς ἑώας ἁγιωτάτους προέδρους συνοδικὴν γραφεῖσαν ἐπιστολὴν, ἐν ᾗ καὶ ἱερὰς αὐτῶν τὰς φωνὰς ἀπεκάλεσε, καὶ τὴν πρὸς αὐτοὺς εἰρήνην ἐκράτυνεν. αἷς συναρίθμια καὶ αὐτὰ τῶν ἀνατολικῶν προέδρων τὰ γράμματα λέγομεν, ὡς ὑπ' αὐτοῦ Κυρίλλου τοῦ θείου δεχθέντα, καὶ εἶναι πρὸς αὐτοῦ μαρτυρούμενα φωναῖς ἀναμφιλέκτοις ὀρθόδοξα. τούτοις ὁμοίως τοῖς ἱεροῖς Κυρίλλου τοῦ πανσόφου χαράγμασιν ὡς ἱερὰν καὶ ὁμότιμον δέχομαι, καὶ τῆς αὐτῆς ὀρθοδοξίας γενήτριαν καὶ τὴν θεόδοτον ἐπιστολὴν καὶ θεόπνευστον τοῦ μεγάλου καὶ λαμπροῦ, καὶ θεόφρονος Λέοντος τοῦ τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας. μᾶλλον δὲ τῆς ὑφ' ἡλίῳ πάσης φωστῆρος, ἢν θείῳ σαφῶς ἐνεργούμενος πνεύματι κατ' Εὐτυχοῦς τοῦ κακόφρονος, καὶ Νεστορίου τοῦ θεοστυγοῦς καὶ παράφρονος πρὸς Φλαβιανὸν τὸν ἀοίδιμον τῆς βασιλίδος τῶν πόλεων πρόεδρον γέγραφεν. ἣν καὶ στήλην ὀρθοδοξίας καλῶ καὶ ὁρίζομαι, τοῖς οὕτως αὐτὴν καλῶς ὁρισαμένοις πατρᾶσιν ἁγίοις ἑπόμενος, ὡς πᾶσαν μὲν ὀρθοδοξίαν ἡμᾶς ἐκδιδάσκουσαν, πᾶσαν δὲ κακοδοξίαν αἱρετικὴν ὁλοθρεύουσαν, καὶ τῶν τῆς ἁγίας ἡμῶν καθολικῆς ἐκκλησίας θεοφρουρήτων αὐλῶν ἀπελαύνουσαν. μεθ' ἧς ἐνθέου συλλαβῆς καὶ χαράγματος, καὶ πάσας αὐτοῦ τὰς ἐπιστολὰς καὶ τὰ δόγματα, ὡς ἐκ στόματος προϊόντα Πέτρου τοῦ κορυφαίου προσίεμαι καὶ καταφιλῶ καὶ ἀσπάζομαι, καὶ πάσῃ ψυχῇ περιπτύσσομαι. ταῦτα καθὼς προεῖπον, δεχόμενος τὰ ἱερὰ πέντε τῶν μακαρίων πατέρων καὶ θεῖα συνέδρια, καὶ τὰ Κυρίλλου πάντα τοῦ πανσόφου συγγράμματα, καὶ μάλιστα κατὰ τῆς Νεστορίου μανίας γενόμενα, καὶ τὴν τῶν ἀνατολικῶν προέδρων συλλαβὴν τὴν πρὸς αὐτὸν γραφεῖσαν τὸν θειότατον Κύριλλον, καὶ παρ' αὐτοῦ μαρτυρηθεῖσαν ὀρθόδοξον, ὅσα τε Λέων ὁ τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας νομεὺς ἁγιώτατος γέγραφε, καὶ μάλιστα κατὰ τῆς Εὐτυχιανῆς καὶ Νεστοριανῆς βδελυρίας συνέταξε· ταῦτα μὲν ὡς Πέτρου, ἐκεῖνα δὲ ὡς Μάρκου γινώσκω ὁρίσματα. οὐ μὴν ἀλλὰ καὶ πάντα πάντων τῶν τῆς καθολικῆς ἡμῶν ἐκκλησίας ἐκκρίτων μυσταγωγῶν θεόσοφα διδάγματα, εἴτε ἐν λόγοις τε καὶ συγγράμμασιν, εἴτε ἐν ἐπιστολαῖς τισι περιείληπται. καὶ συλλήβδην εἰπεῖν, ἅπαντα δέχομαι καὶ ἀσπάζομαι, ὅσαπερ ἡ ἁγία καθολικὴ ἡμῶν ἐκκλησία προσίεται· καὶ πάντα τοὔμπαλιν ἀποστρέφομαι, καὶ ἀναθεματίζω, καὶ λογίζομαι βέβηλα, ὅσα καὶ αὐτὴ πανσόφως βδελύττεται, καὶ τῆς οἰκείας εὐσεβείας ἡγεῖται πολέμια, οὐ μόνον βιβλί-

* κηρῦσθαι.

βλίδια καὶ λογίδρια καὶ θεομάχα καὶ παρέγραπτα δόγματα, ἀλλὰ καὶ αἱρετικὰ καὶ κακόδοξα, καὶ κακοδόξων αἱρέσεων ἡγησάμενα πρόσωπα. καὶ πρὸς πληροφορίαν ἡμῶν ἀπαράλειπτον αὐτὰ διαρθοῦμαι τὰ πρόσωπα, ἅπερ ἀναθεματίζω καὶ ποιοῦμαι κατάκριτα, οὐ γλώττῃ μόνον καὶ στόματι, ἀλλὰ καὶ καρδίᾳ καὶ πνεύματι, ὡς τῆς ἁγίας καὶ καθολικῆς ἡμῶν πίστεως ὀφθέντα διὰ πάντων ἐπίβουλα. ἀνάθεμα τοίνυν εἰσαεὶ καὶ κατάθεμα, ἀπὸ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς τριάδος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἔστωσαν, πρῶτον μὲν Σίμων ὁ Μάγος, ὁ πασῶν πρῶτος κακίστων κακίστως ἄρξας αἱρέσεων. μεθ' ὃν καὶ Κλεόβιος, Μένανδρος, Φίλητος, Ἑρμογένης, Ἀλέξανδρος ὁ Χαλκεὺς, Δοσίθεος, Γόρθεος, Σατορνῖνος, Μασβόθεος, Ἀδριανὸς, Βασιλείδης, Ἰσίδωρος ὁ τούτου υἱὸς καὶ τὴν μανίαν ὑπέρτερος, Ἐβίων, Καρποκράτης, Ἐπιφανὴς, Πρόδικος, Κήρινθός τε καὶ Μήρινθος, Οὐαλεντῖνος, Φλωρῖνος, Βλαστὸς, Ἀρτέμων, Σεκοῦνδος, Κασσιανὸς, Θεόδοτος, Ἡρακλέων, Πτολεμαῖος, Μάρκος, Κολορβάσος, Ἀδέμις ὁ Καρύστιος, Θεόδοτος ὁ Σκυτεὺς, Θεόδοτος ἕτερος, Εὐφράτης ὁ Περσικὸς, Μονόϊμος ὁ Ἄραψ, Ἑρμογένης, Τατιανὸς ὁ Σῦρος, Σεβῆρος, Ἀσκληπιόδοτος, Βαρδησάνης, Ἁρμόνιος ὁ τούτου υἱὸς καὶ τὴν πλάνην ἰσόρροπος, Ἑρμόφιλος, Κέρδων, Σακέρδων, Μαρκίων ὁ Ποντικὸς, Ἀπελλὴς, Ἀπολλωνίδης, Πότιτος, Πρέπων, Πίθων, Συνερὸς, Θεόδοτος ὁ τραπεζίτης, Μοντανὸς, Πρίσκιλλά τε καὶ Μαξίμιλλα αἱ τούτου μανιώδεις μαθήτριαι, Νέπος, * Ἐλκεσέως Ὠριγένης, Ὠριγένης ἕτερος ὁ καὶ Ἀδαμάντιος, Σαβέλλιος ὁ Λίβυς, Νοβάτος, Παῦλος ὁ ἐκ Σαμοσάτων, Ἐπίγενος, Κλεομένης, Νόητος ὁ Σμυρναῖος, Μάνης ὁ τῆς ἀθέου μανίας ἐπώνυμος, Σαββάτιος, Ἄρειος, Μελέτιος, Ἀέτιος, Εὐνόμιος, Ἀστέριος, Εὐδόξιος, Δονάτος, Μακεδόνιος ὁ τῷ ἁγίῳ μαχεσάμενος πνεύματι, καὶ πνευματομάχου προσηγορίαν ἀξίαν δεξάμενος· Ἀπολλινάριος ὁ Λαοδικεὺς, καὶ ὁ τούτου υἱὸς Ἀπολλινάριος, Μάγνος, Πολέμων, Κελέστιος, Πελάγιος, Ἰουλιανὸς, οἱ τῆς αὐτῆς μανίας ὑπέρμαχοι. Θεόδωρος ὁ Μοψουεστίας, καὶ Νεστόριος, οἱ τῆς μιαρᾶς ἀνθρωπολατρείας μιαρώτατοι κήρυκες· Κῦρός τε καὶ Ἰωάννης οἱ Κίλικες, οἱ τῆς αὐτῆς ἀθείας ἀθεώτατοι πρόβολοι, Εὐτυχὴς, Διόσκορος ὁ Εὐτυχέως ὑπερασπιστὴς, καὶ συνήγορος. Βαρσουμᾶς, Ζωόρας, Τιμόθεος ὁ λεγόμενος Αἴλουρος· Πέτρος ὁ Μογγὸς καὶ Ἀκάκιος οἱ τὸ * κενωτικὸν τεκτηνάμενοι Ζηνώνος· Λαμπέτιος ὁ τῆς δυσωνύμου τῶν Μαρκιωνιστῶν αἱρέσεως ἔξαρχος· Δίδυμος καὶ Εὐάγριος οἱ τῆς Ὠριγενιανῆς τερθρείας μυστηριάρχαι παμμίαροι· Πέτρος ὁ Κναφεὺς ὁ τῷ τρισαγίῳ ὕμνῳ προσαρμόσαι σταυρὸν θρασυνόμενος. Πέτρος ἕτερος τὸ Ἰβηρικὸν καὶ φρενοβάρβαρον μίασμα. Ἡσαΐας ὁ τοῦ παρόντος Πέτρου συνόμιλος, οἱ ἄλλην Ἀκέφαλον ἐν Ἀκεφάλοις καταδείξαντες αἵρεσιν. μεθ' ὧν ἁπάντων καὶ πρὸ πάντων καὶ μετὰ πάντας καὶ κατὰ πάντας καὶ ὑπὲρ πάντας ἔστω καὶ Σεβῆρος ἀνάθεμα, ὁ τούτων μαθητὴς ἐκμανέστατος, καὶ πάντων χρηματίσας Ἀκεφάλων τῶν νέων καὶ τῶν παλαιῶν ὠμότατος τύραννος, καὶ τῆς ἁγίας καθολικῆς ἐκκλησίας ἐχθρὸς δυσμενέστατος, καὶ τῆς Ἀντιοχέων ἁγιωτάτης ἐκκλησίας μοιχὸς ἀνομώτατος, καὶ φθορεὺς βδελυρώτατος. Θεοδόσιός τε ὁ Ἀλεξανδρεὺς, ὁ Τραπεζούντιος Ἄνθιμος, Ἰάκωβος ὁ Σύρος, Ἰουλιανὸς ὁ Ἀλικαρνασσεὺς, Φελικίσσιμος, Γαϊανὸς ὁ Ἀλεξανδρεὺς, ἀφ' ὧν ἡ τῶν Γαϊανιτῶν ἤγουν Ἰουλιανιστῶν ἐπιγέγονεν αἵρεσις. Δωρόθεος ὁ τῆς αὐτῆς ἀθέως ὑπερμαχήσας αἱρέσεως· Παῦλος ὁ Μελανὸς, οὐ μόνον δὲ λεγόμενος, ἀλλὰ καὶ γενόμενος κατὰ ἀλήθειαν. Ἰωάννης ὁ Γραμματικὸς ὁ τὴν ἐπωνυμίαν Φιλόπονος μᾶλλον δὲ Ματαιόπονος, Κόνων τε καὶ Εὐγένιος, οἱ τρεῖς τῆς τριθείας τρισκατάρατοι πρόμαχοι. Θεμίστιος ὁ τῆς ἀγνοίας πατὴρ καὶ γενήτωρ καὶ σπορεὺς ἀθεσμότατος, ὃς ἀγνοεῖν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν τὴν ἡμέραν ἐφλυνάφει τῆς κρίσεως, ἀγνοῶν ἅπερ αὐτὸς ὁ θεήλατος ἔφασκε, καὶ μὴ εἰδὼς ἅπερ ἀμφιγνοῶν ἀνεφθέγγετο. εἰ μὴ γὰρ ἠγνόει τῶν οἰκείων λόγων τὴν δύναμιν, οὐκ ἂν τὴν ὀλέθριον ἄγνοιαν τέτοκε, καὶ τοῦ τῆς ἀγνοίας ἄγους θερμῶς ὑπερήσπιζεν, ἀγνοεῖν τὸν Χριστὸν, οὐ καθὸ Θεὸς ὑπῆρχεν ἀΐδιος, ἀλλὰ καθὸ γέγονεν κατὰ ἀλήθειαν ἄνθρωπος, τὴν ἡμέραν τῆς συντελείας καὶ κρίσεως ἐξ ἀφρόνων φρενῶν ἐρευγόμενος, καὶ ψιλὸν αὐτὸν ἐργαζόμενος ἄνθρωπον· καὶ ταῦτα τερατείαν ἐπιφημίζων ἑαυτῷ τὴν Ἀκέφαλον, καὶ φύσιν μίαν αὐτοῦ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ φανταζόμενος σύνθετον. ἔστω δὲ σὺν αὐτῷ καὶ Πέτρος ὁ Σύρρος ἀνάθεμα, καὶ Σέργιος ὁ Ἀρμένιος, οἱ τῆς μικρᾶς τριθείας ἡγούμενοι, καὶ μηδὲ οὕτω πρὸς ἑαυτοὺς συμφωνήσαντες, μηδὲ τὰ αὐτὰ παραπλησίως ἀλλήλοις δοξάσαντες. Δαμιανὸς, ὁ τούτων μὲν ὑπερβαλλόντως ἀντίπαλος, νέος δὲ φανεὶς ἐν ἡμετέροις χρόνοις Σαβέλλιος· μεθ' ὧν καὶ οἱ αὐτῶν τῆς ἀσεβείας διάδοχοι ἀνάθεμα ἔστωσαν καὶ κατάθεμα, Ἀθανάσιός τε ὁ Σύρος, καὶ ὁ Ἀποζυγάριος Ἀναστάσιος, καὶ οἱ τὴν τούτων ἀσύμβατον σύμβασιν, ἀσυμβάτως τε καὶ ἀμαθῶς προσιέμενοι, καὶ ἀλογίστων δίκην κτηνῶν ὑπ' αὐτῶν βουκολούμενοι. καὶ ἀλλήλοις μὲν, * φησι, φιλικῶς συφερόμενοι, ὑπ' ἀλλήλων δὲ τοῖς ἀναθεματισμοῖς ἐχθρωδῶς τιτρωσκόμενοι. ἐνδύεσθωσαν δὲ σὺν αὐτοῖς, καὶ περιβαλλέσθωσαν τὸ ἀνάθεμα καὶ κατάθεμα καὶ Βενιαμὶν ὁ Ἀλεξανδρεὺς, καὶ Ἰωάννης, καὶ Σέργιος, καὶ Θωμᾶς, καὶ Σεβῆρος οἱ Σύροι, οἱ ἔτι ζῶντες ζωὴν τὴν ἐπάρατον, καὶ πολεμοῦντες ἐμμανῶς τὴν εὐσέβειαν. κοινωνείτω δὲ αὐτοῖς τῆς τῶν παρόντων ἀναθεματισμῶν κατακρίσεως καὶ Μηνᾶς ὁ Ἀλεξανδρεὺς,

* L. Ἐλκεσεὺς. f. script. Ἐλκεσαῖος.

* ἐνωτικὸν intelligit.

* L. φησεὶ σφίσι.

δρεὺς, ὁ τῆς τῶν Γαϊανιτῶν προμαχῶν καὶ προασπίζων αἱρέσεως, καὶ πολεμῶν ἐμφανῶς τῆς ἀληθείας τὸ κήρυγμα, καὶ πάντες σὺν αὐτοῖς οἱ τούτου κοινωνοὶ καὶ ὁμόφυλοι, καὶ τὴν ἀσέβειαν σύστοιχοι. βαλλέσθωσαν δὲ τοῖς ἴσοις αὐτοῖς ἀναθέμασι καὶ πᾶσαι αἱ αἱρέσεις αἱ μετὰ τὴν Χριστοῦ παρουσίαν ἀκμάσασαι, καὶ Χριστοῦ τὴν ἐκκλησίαν πολεμεῖν θρασυνόμεναι· τουτέστιν ἡ Νικολαϊτῶν, ἡ Εὐχιτῶν, ἡ Καϊανῶν, ἡ Ἀδαμιανῶν, ἡ Μαρβιλιωτῶν, ἡ Βορβοριανῶν, ἡ Νασηνῶν, ἡ Στρατιωτικῶν, ἡ Ἀφονιτῶν, ἡ *Πιθιανῶν, ἡ Σοφιανῶν, ἡ Ὀφιτῶν, ἡ Ἀντιτακτιτῶν, ἡ Περατικῶν, ἡ Ὑδροπαρασταθῶν, ἡ Ἐγκρατιτῶν, ἡ Μαρκιωνιστῶν, ἡ Φρυγῶν, ἡ Πεπουζιανῶν, ἡ Ἀρτοτυριτῶν, ἡ Τασκοδούργων, ἡ Τεσσαρεσκαιδεκατιτῶν, ἡ Ναζωραίων, ἡ Μελχισεδεκιτῶν, ἡ Ἀντιδικομαριανιτῶν, ἡ Ταθηριανῶν, ἡ Μαρτιανῶν, ἡ Δουλιανῶν, ἡ Ἀνθρωπομορφητῶν, ἡ Ἱερακιτῶν, ἡ Μεσαλλιανῶν, ἡ Εὐτυχιτῶν, ἡ Ἀκεφάλων, ἡ Οὐερσουνουφιτῶν, ἡ Ἡσαϊανῶν, ἡ Ἀγνοϊτῶν, ἡ Ἰακωβιτῶν, ἡ Τριθεϊτῶν, καὶ εἴ τις ἑτέρα παρ' αὐτὰς καθέστηκε δυσσεβὴς καὶ θεήλατος αἵρεσις, ἅπαντας τοίνυν τοὺς προαναφερομένους αἱρεσιάρχας, καὶ τὰς μετὰ τούτους ὀνομασθείσας δυσσεβεστάτας αἱρέσεις καὶ σχίσματα, ἀναθεματίζω καὶ καταθεματίζω ψυχῇ καὶ καρδίᾳ καὶ στόματι, ἐννοίᾳ τε καὶ λόγοις καὶ ῥήμασι, καὶ πάντα ἕτερον αἱρεσιάρχην ὀλέθριον, καὶ πᾶσαν ἑτέραν παμβέβηλον αἵρεσιν, καὶ πᾶν ἕτερον σχίσμα θεήλατον, ὅσους περ ἡ ἁγία καὶ καθολικὴ ἡμῶν ἐκκλησία ἀναθεματίζει. ἀναθεματίζω δὲ καὶ καταθεματίζω καὶ πάντας αὐτῶν τοὺς ὁμόφρονας, τοὺς τὰς αὐτὰς αὐτοῖς ἀσεβείας ζηλώσαντας, καὶ ἀμετανοήτους ἐν αὐταῖς τελευτήσαντας, καὶ τοὺς ἔτι καὶ νῦν ἐν αὐταῖς διαμένοντας, καὶ πολεμοῦντας τῆς καθολικῆς ἡμῶν ἐκκλησίας τὸ κήρυγμα, καὶ πίστιν ἡμῶν τὴν ὀρθὴν καὶ ἀμώμητον βάλλοντας· καὶ ἀναθεματίζω πάλιν παραπλησίως καὶ πάντα αὐτῶν τὰ θεομάχα συγγράμματα, ἃ κατὰ τῆς ἁγιωτάτης ἡμῶν καθολικῆς ἐκκλησίας συνέταξαν, καὶ κατὰ τῆς ὀρθῆς ἡμῶν καὶ ἀμωμήτου συνεγράψαντο πίστεως. ἀναθεματίζω δὲ σὺν αὐταῖς ταῖς βεβήλοις αἱρέσεσι καὶ πᾶσαν ἑτέραν θεοστυγῆ καὶ κακόδοξον αἵρεσιν, ἣν ἡ ἁγία καθολικὴ ἡμῶν ἐκκλησία ἀναθεματίζειν καὶ κατακρίνειν συνείθισται, καὶ τοὺς ἐξάρχους αὐτῶν καὶ γενήτορας, καὶ τὰ αὐτῶν μυσαρὰ, καὶ παμμίαρα λογίδριά τε καὶ βιβλίδια· μόνα τιμῶν καὶ κρατῶν καὶ φρονῶν καὶ σεβόμενος τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἡμῶν ἐκκλησίας τὰ δόγματα, ἅπερ μερικῶς ὑμῖν καὶ διὰ βραχέων ἐκτέθειμαι διὰ τὸ τῶν συνοδικῶν γραμμάτων, ὡς εἶπον, ἐπίτομον· μεθ' ὧν καὶ ἀπαίρειν τῶν ἐντεῦθεν προσεύχομαι, ὅτε Θεὸς τοῦτο γενέσθαι προστάξειεν. ὅθεν καὶ τὴν ὑμετέραν ἀξιῶ πατρικὴν ἁγιότητα, ταῦτα πρὸς τῆς ἐμῆς ταπεινότητος θεσμῷ συνοδικῷ δεχομένην τὰ γράμματα, πατρῴοις θεωρῆσαι τοῖς ὄμμασι, καὶ ἀδελφικοῖς κατανοῆσαι τοῖς βλέμμασι. καὶ εἴ τι δι' ἄγνοιαν ἔπταισται, ἢ διὰ λήθην ἐλλέλειπται, ἢ διὰ σπουδὴν παρεώραται, ἢ διὰ συντομίαν κεκώφωται καὶ οὐδαμῶς ἐμνημόνευται, ἢ διὰ γλώττης ἀκινησίαν σεσίγηται, ἢ διὰ βραδυγλωττίαν καὶ φωνῆς μεγίστην ἰσχνότητα, ἢ διὰ λόγων ἀγροικοτέρων ἀσθένειαν καὶ μὴ βουλομένων ἡμῶν σεσιώπηται, προσθήκαις ἀναπληρῶσαι καὶ φθέγμασιν ἐκ πατρικῆς προερχομένοις πληρώσεως, καὶ διορθώσεσιν ἰθῦναι, καὶ ῥῶσιν προσφιλεστάτην χαρίσασθαι ἀδελφικοῖς ἐνεργουμένην σπουδάσμασι, καὶ πατρικαῖς ἀνομβρουμένην *προθέσεσιν, ἵνα μὴ τό, τε ἐλλιπὲς ἐν αὐτοῖς καὶ εὐτελὲς εἰσαεὶ διαφαίνοιτο, μήτε τὸ ἀσθενὲς καὶ ἀγνοίᾳ πολλάκις σφαλλόμενον ἀῤῥωστοῦν εἰσαεὶ διαμένοι, καὶ δι' ὅλου τοῦ βίου νοσηλευόμενον. ὅπερ φιλικῶς ὑφ' ὑμῶν καὶ γνησίως γιγνόμενον πλουτίσῃ μὲν ἐμὲ καὶ ἰάσηται, μαρτυρίσῃ δὲ τοῖς μακαριωτάτοις ὑμῖν τὸ συμπαθὲς καὶ φιλόστοργον, ταυτὸ δὲ εἰπεῖν τὸ φιλάδελφόν τε καὶ φιλότεκνον. οὕτω δὲ πρὸς ὑμῶν ἐγὼ πλουτιζόμενος, καὶ τὸ ἐλλιπὲς προσαναπληρούμενος, καὶ τὸ ἀσθενὲς ἰατρευόμενος, καὶ τὸ χωλὸν ἀνορθούμενος, καὶ ῥώσει καὶ πλούτῳ πατρικῷ καὶ ἀδελφικῷ στεφανούμενος, πηλίκην ἔχειν χάριν ὑμῖν καὶ χαρὰν σὺν αὐτῇ νομισθήσομαι; ἢ εὐφροσύνην τρυγᾶν καὶ ἡδονὴν τὴν ἀνωτάτω γνωσθήσομαι; ἀλλὰ τοῦτο μὲν εἰδείη μόνος Θεὸς, εἰδείην δὲ καὶ αὐτὸς ἐγὼ, θεοτίμητοι, ὁ τὴν τοιαύτην κερδαίνων εὐπάθειαν, καὶ τὴν λαμπρὰν εὐεργεσίαν δρεπόμενος. εἰδείητε δὲ τάχα καὶ αὐτοὶ καὶ μαθήσοισθε, εἰ καρδίας τῆς ἐμῆς τὸ θερμὸν εἰς εὐσέβειαν ἴδοιτε, καὶ τῆς ψυχῆς τὸ πολὺ πρὸς ἀγάπησιν ψυχικοῖς ὀφθαλμοῖς θεωρήσοιτε. περὶ τούτων οὖν ἐπὶ πλέον ὑμᾶς αἰτεῖν τοῖς λόγοις ἀφέμενος· οἶδα γὰρ, ὡς ταῦτα πάντως *πληρώσετε καὶ πρὸ τῶν ἡμετέρων ἐλαχίστων αἰτήσεων, ἀδελφικῆς ἀγάπης πυρσῷ πυρακτούμενοι, καὶ πόθῳ πατρικῷ φλογιζόμενοι· ἐκεῖνο δυσωπῶ, καὶ δυσωπῶν οὐδέποτε παύσομαι, ὥστε καὶ εὐχαῖς πρὸς Θεὸν καὶ δεήσεσιν ἐμὲ περιέπειν θερμότατα τὸν δεδιότα καὶ τρέμοντα, καὶ τὸ βάρος βαστάζειν τοῦ προσεπιτεθέντος μοι ζυγοῦ μὴ δυνάμενον. καὶ οὐ τοῦτο γε μόνον, ἀλλ' ὅπως καὶ τὸ Χριστοῦ μοι τοῦτο συμβόσκοιτε ποίμνιον· ὅπερ ποιμαίνειν μὲν αὐτὸς ἐγκεχείρισμαι, ἀδυνατῶ δὲ μὴ ἐπικουρούντων ὑμῶν ἀντιλήψεσι ποιμαίνειν τοῦτο καὶ τρέφειν ἐνθέοις τισὶ καὶ ὠφελίμοις βλαστήμασι, καὶ φυλάττειν ἀβλαβὲς καὶ ἀπήμαντον. καὶ διὰ τοῦτο πρεσβεύω καὶ δέομαι, ἵνα μὴ βλάβην ταῦτα τὴν οἱανοῦν ὑπομένοντα παρὰ τὴν ἐμὴν ἀπειρίαν καὶ ἀτεχνίαν, καὶ οὐκ ἀρκοῦσαν πρὸς τὸ δεόντως νέμειν ἀδράνειαν, ὡς αὐτὸς αὐτοῖς λυμηνάμενος ἐν ἡμέρᾳ τῆς κρίσεως κρίνωμαι, καὶ τῶν κλεπτόντων καὶ σφαττόντων καὶ ἀπολλούντων Χριστοῦ τοῦ Θεοῦ τὰ πολυτίμητα πρόβατα οὐ τελευτῶσαν ὑφέξω τὴν κόλασιν. τὴν γὰρ τούτων σωτηρίαν τε καὶ ἐπαύξησιν, καὶ τὴν πόαις ταῖς ἀρίσταις κορυφουμένην πιότητα οἶδα σαφῶς καὶ ἐπίσταμαι πρὸς τοῦ

Ἡφιονητῶν L. Σηθιανῶν.

* προσθέσεσιν.

* πληρώσοιτε

τȣ̃ ἀρχιποιμένος Χριστȣ̃ εὐθυνθησόμενος· ἀλλ' εἴ τι θεοτίμητοι δύναθε, Χριστȣ̀ χαριζομένȣ τὸ δύνασθαι, βοηθεῖν ἡμῖν ἀγωνίσασθε, ἵνα μὴ κἀυτὸς ἐγὼ, καὶ τὰ Χριστȣ̃ ταῦτα τὰ τιμιώτατα πρόβατα θηριάλωτοι παρὰ τὴν ἐμὴν ἀδυναμίαν γενοίμεθα. Τὴν ἴσην δὲ ὑμῖν πλȣσίαν ἄγω παράκλησιν, ἵνα ἐκτενῆ ποιῆσθε καὶ ἄπαυστον τὴν πρὸς Θεὸν ἱκετείαν καὶ δέησιν ὑπὲρ τῆς φιλοχρίστων καὶ γαληνοτάτων ἡμῶν βασιλέων, τῆς θεόθεν τῆς βασιλείας λαχόντων τȣ̀ς οἴακας· ὅπως αὐτοῖς ὁ φιλοικτίρμων Θεὸς καὶ φιλάνθρωπος, ὁ καὶ δύναμιν ἔχων ἰσοσθενῆ τῷ βȣλήματι, ταῖς ὑμετέραις θεοδέκτοις εὐχαῖς μειλιττόμενος, ἐτῆς μὲν πληθὺν αὐτοῖς πολλὴν προσχαρίσηται, νίκας τε μεγίστας κατὰ βαρβάρων δοίη καὶ τρόπαια, καὶ παίδων παισὶν αὐτȣ̀ς στεφανώσειε, καὶ εἰρήνῃ θεϊκῇ χαρακώσειε, καὶ σκῆπτρα παράσχοι κραταιὰ καὶ ἐνδύναμα, βαρβάρων μὲν ἁπάντων, μάλιστα δὲ Σαρακηνῶν ὀφρὺν καταθράττοντα, τῆς δι' ἁμαρτίας ἡμῶν ἀδοκήτως νῦν ἡμῖν ἐπαναστάντων, καὶ πάντα ληϊζομένων ὠμῶ καὶ θηριώδει φρονήματι, καὶ δυσσεβεῖ καὶ ἀθέῳ τολμήματι. διὸ περισσῶς τοὺς μακαρίȣς ὑμᾶς ἱκετεύομεν ἐκτενεστάτας πρὸς Χριστὸν τὰς δεήσεις ποιήσασθαι, ὅπως ταύτας εὐμενῶς πρὸς ὑμῶν προσηκάμενος καταβάλλοι θᾶττον αὐτῶν τὰ μανίας πλήρη φρυάγματα, καὶ εὐτελεῖς αὐτȣ̀ς ὑποπόδιον, καθὰ τὸ πρότερον, τοῖς θεοσδότοις ἡμῶν βασιλεῦσι δωρήσοιτο. ἵνα εὐημεροῖεν μὲν αὐτοὶ οἱ τὸ ἐπὶ γῆς ἡμῶν βασίλειον ἔχοντες, πολεμικῶν θορύβων παυσάμενοι. * εὐημεροῖ δὲ σὺν αὐτοῖς καὶ ἅπαν αὐτῶν τὸ πολίτευμα, σκήπτροις τοῖς αὐτῆς καρτερῶς χαρακȣ́μενον, καὶ εἰρηνικῆς δι' αὐτῆς καταστάσεως τȣ̀ς εὐφροσύνης τοκέας δρεπόμενον βότρυας. ἀντιβολῶ δὲ δικαίως ὑμῶν τὸ φιλάδελφον, Λεόντιον τὸν θεοφιλέστατον διάκονον τῆς ἁγίας Χριστȣ̃ τȣ̃ Θεȣ̃ ἡμῶν ἀναστάσεως, καὶ τȣ̃ εὐαγȣ̃ς ἡμῶν σεκρέτȣ καγκελλάριόν τε καὶ προτονοτάριον· καὶ τὸν εὐλαβέστατον ἡμῶν ἀδελφὸν Πολύευκτον, τȣ̀ς τοῖσδε ἡμῶν τοῖς συνοδικοῖς διακονȣμένȣς χαράγμασιν, εὐμενέσι προσώποις θεάσασθε, καὶ συγκαταβάσει πρεπώδει προσδέξασθε. τȣ̃το γὰρ ὑμῶν καὶ τὸ ἰδιώτατον πέφυκε γνώρισμα, ᾧ τȣ̀ς θεατὰς ὑμῶν ἀεὶ καταπλήττετε, ἐν ὕψει τε μεγίστῳ τυγχάνοντες, καὶ μεγίστην ἐνδεδυμένοι ταπείνωσιν. ἀλλὰ καὶ πᾶσιν ὑμῶν τοῖς λαμπροῖς ἰδιώμασι πνευματικῶς καὶ ἱλαρῶς δεξιώσασθε, καὶ ἐφόδια ψυχῆς πνευματικὰ καὶ λαμπρὰ προσχαρίσασθε, καὶ θᾶττον ὡς ἡμᾶς ἀντιπέμψατε γαννυμένȣς καὶ χαίροντας, ὅτι τοιȣ̃τον ἱστορεῖν Βυζαντίων ἠξίωνται πρόεδρον· χαροποιȣ̃ντά τε καὶ ἡμῶν τὴν εὐτέλειαν ἐν τῷ διηγεῖσθαι κομψῶς ἡμῖν τὰ ὑμέτερα, ῥῶσιν ψυχῆς θεοδώρητον, καὶ ὑγείαν τȣ̃ σώματος θεόσδοτον, καὶ νέμειν ποθούμενα γράμματα, τὰ πίστιν ἡμῖν τὴν ὀρθὴν ἐκφαιδρύνοντα, καὶ τὸ ἦθος τῆς ψυχῆς ἐκλευκαίνοντα, καὶ τὴν ποιμαντικὴν ἡμᾶς ἐπιστήμην παιδεύοντα, καὶ θαῤῥαλέȣς πρὸς τὸ ποιμαίνειν τὰ ἐνθάδε Χριστȣ̃ ποιȣ́μενα ποίμνια. . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . πᾶσαν τὴν σὺν τοῖς πανιέροις ὑμῖν θεοφιλῆ καὶ φαιδρὰν ἀδελφότητα πλεῖστα ἐν Χριστῷ τῷ Θεῷ ἐγώ τε ὁ ταπεινὸς καὶ ἐλάχιστος, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ προσαγορεύομεν. ἐῤῥωμένος ἐν κυρίῳ ὑπερεύχȣ μȣ ἁγιώτατε ἀδελφέ.

Κωνσταντῖνος ὁ εὐλαβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἐν εἰδήσει καὶ τῆς νῦν ἀναγνωσθέντων συνοδικῶν γεγόναμεν. λεγέτωσαν δὲ Θεόδωρος καὶ Γεώργιος οἱ θεοσεβέστατοι πρεσβύτεροι, καὶ Ιωάννης ὁ θεοσεβέστατος διάκονος, οἱ τὸν τόπον ἐπέχοντες Αγάθωνος τȣ̃ ἁγιωτάτȣ πάπα Ρώμης, εἴγε καὶ αὖθις καινότερόν τι βȣ́λονται διεξιέναι.

Θεόδωρος καὶ Γεώργιος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ Ιωάννης ὁ θεοσεβέστατος διάκονος, ἀμφότεροι τὸν τόπον ἐπέχοντες τȣ̃ ἁγιωτάτȣ πάπα τȣ̀ς ἀποστολικȣ̃ θρόνȣ τῆς πρεσβυτέρας Ρώμης εἶπον· ἐπίσταται ἥ τε ὑμετέρα εὐσέβεια, καὶ ἡ ἁγία καὶ οἰκȣμενικὴ ὑμῶν σύνοδος, ὅτι διὰ τῆς ἀναφορῶν τῆς σταλεισῶν πρὸς τὴν ὑμετέραν εὐσέβειαν παρὰ Αγάθωνος τοῦ ἁγιωτάτȣ ἡμῶν πάπα, πᾶσα ἡ δύναμις τῆς ὀρθοδόξȣ καὶ ἀποστολικῆς πίστεως ἐδηλοποιήθη διὰ πλείστων πατρικῶν χρήσεων ἐν αὐταῖς ἐγκειμένων. ἐκ περιȣσίας δὲ καὶ ἑτέρας χρήσεις ἐπιδεδώκαμεν ἐν κωδικίῳ, αἵ τινες καὶ ἀντεβλήθησαν πρὸς βιβλία τῆς ἁγίων καὶ ἐκκρίτων πατέρων, κἂν εἰ ἕτεραι * χρήσεις ὕπεισιν ἡμῖν ἁγίων καὶ ἐκκρίτων πατέρων, ἀλλ' ȣ̃ν ὅμως ταύταις ἀρκȣ́μεθα πρὸς ἀπόδειξιν τῆς ὀρθοδόξȣ πίστεως. ἐπιδεδώκαμεν δὲ καὶ χρήσεις βεβήλων αἱρετικῶν ἐν τῷ ῥηθέντι κωδικίῳ ἐναντία τῆς ἁγίων πατέρων περιεχȣ́σας, τȣτέστιν ἐν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς οἰκονομίας τȣ̃ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίȣ ἡμῶν Ιησȣ̃ Χριστȣ̃. αἵ τινες καὶ αὐταὶ ἀντεβλήθησαν πρὸς τὰ βιβλία τῆς αὐτῆς βεβήλων αἱρετικῶν. καὶ πᾶσι κατάδηλος γέγονε καὶ ἡ τῆς ὀρθοδόξων πατέρων εὐσεβὴς πίστις, καὶ ἡ τῆς αἱρετικῶν δυσσεβὴς κακοδοξία. ἐπειδὴ δὲ ἐγνώσθη ἡμῖν, ὥς τινα οἰκεῖα πονήματα ηὑρέθησαν παρὰ Μακαρίῳ καὶ Στεφάνῳ τῷ αὐτȣ̃ μαθητῇ ὁμοφωνȣ̃ντα ταῖς δόξαις τῆς βεβήλων αἱρετικῶν, ἅ τινα καὶ ἀφῃρέθησαν παρ' αὐτῆς, καὶ ἐστιν ἐν τῷ χαρτοφυλακίῳ τȣ̃ εὐαγȣ̃ς πατριαρχείȣ τῆς θεοφυλάκτȣ ταύτης καὶ βασιλίδος πόλεως, εἰ παρίσταται τῷ θεοσόφῳ δεσπότῃ καὶ τῇ ἁγίᾳ καὶ οἰκȣμενικῇ σύνοδῳ, εἰς μέσον ἔλθωσι τὰ τοιαῦτα πονήματα, πρὸς τὸ τὴν ἐν αὐτοῖς ἐγκειμένην δύναμιν διαγνωσθῆναι.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁ-

* εὐημερῶ

* πολλαὶ

ἡ ἁγία σύνοδος εἶπον· λέγετω Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐν ταῦθα ἁγιωτάτης μεγάλης ἐκκλεισίας, εἰ κατὰ τὰ λεχθέντα παρὰ τῶν τοῦ μέρους τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, πονήματα Μακαρίου καὶ Στεφάνου τοῦ αὐτοῦ μαθητοῦ τυγχάνουσιν ἐν τῷ κατ' αὐτὸν χαρτοφυλακίῳ.

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἶπε· ναὶ δέσποτα, καθὼς ἐδίδαξαν οἱ τοῦ μέρους τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, ὕπεισιν ἐν τῷ κατ' ἐμὲ χαρτοφυλακίῳ πονήματα Μακαρίου καὶ Στεφάνου.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ταῦτα εἰς μέσον προαγαγέσθω. καὶ πρὸς βραχὺ ὑπεξελθὼν ὁ αὐτὸς θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ, καὶ παραγενόμενος ἐν τῷ κατ' αὐτὸν χαρτοφυλακίῳ, παραχρῆμά τε ἀνθυποστρέψας προεκόμισε δύο βιβλία, καὶ ἓν χαρτῷον τετράδιον.

Κωσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον. διεξίτω Γεώργιος ὁ θεοσεβέστατος, εἰ τὰ προκομισθέντα δύο βιβλία, καὶ τὸ σὺν αὐτοῖς χαρτῷον τετράδιον, πονήματα Μακαρίου τυγχάνουσιν.

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἶπε. ταῦτα δέσποτα τὰ δύο βιβλία, καὶ τὸ σὺν αὐτοῖς χαρτῷον τετράδιον ἐν τῇ βασιλικῇ οἰκίᾳ τῶν Φιλίππου ἡυρέθησαν, ἐν ἑνὶ * μιτάτῳ διαφέροντι τῇ μονῇ Χρυσοπόλεως μετὰ καὶ ἑτέρων διαφόρων βιβλίων. ἅ τινα δύο βιβλία, καὶ τὸ σὺν αὐτοῖς χαρτῷον τετράδιον ἔκ τε τῶν ἰδιοχείρων Στεφάνου τοῦ ἀββᾶ, καὶ ἐκ τῆς ἐπιγραφῆς αὐτῶν διαγινώσκονται Μακαρίου τε καὶ αὐτοῦ Στεφάνου τυγχάνειν πονήματα.

* μετάτῳ

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον. ἡ τούτων ἀνάγνωσις γινέσθω. καὶ λαβὼν Ἀντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως τὸ χαρτῷον τετράδιον ἀνέγνω, ἔχον ἐν ἐπιγραφῇ οὕτως.

Ἴσον λιβέλλου ἐπιδοθέντος Κωνσταντίνῳ τῷ εὐσεβεστάτῳ μεγάλῳ βασιλεῖ παρὰ Μακαρίου τοῦ ἁγιωτάτου πατριάρχου Θεουπόλεως ἤτοι Ἀντιοχείας τῆς ἀνατολικῆς διοικήσεως ἐν τῷ παλατίῳ. καὶ ἀναγινωσκομένου τοῦ τοιούτου τετραδίου, Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς καὶ ἡ ἁγία σύνοδος εἶπον· τὴν δύναμιν τοῦ παρόντος λιβέλλου ἐν τοῖς ἤδη πραχθεῖσιν εἰλήφαμεν, καὶ περιττή ἐστιν ἡ τούτου ἀνάγνωσις· ἀναγινωσκέσθω δὲ τέως ἓν τὸ τῶν δύο βιβλίων· καὶ λαβὼν ὁ αὐτὸς εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος Ἀντίοχος ἀνέγνω ἔχον οὕτως ἐν ἐπιγραφῇ.

Λόγος προσφωνηθεὶς τῷ εὐσεβεστάτῳ καὶ εἰρηνοποιῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ παρὰ Μακαρίου ἐπισκόπου Θεουπόλεως. καὶ ἀναγνωσθείσης τῆς τοιαύτης ἐπιγραφῆς, Θεοφάνης ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἡγούμενος τοῦ εὐαγοῦς μοναστηρίου Βαΐων εἶπεν. εὐσεβέστατε δέσποτα, παρὰ τάξιν ἐποίησε Μακάριος τὸν λεγόμενον καὶ ἀναγινωσκόμενον προσφωνητικὸν ὡσανεὶ λόγον. παρὰ ἱερέως γὰρ γινόμενος προσφωνητικὸς πρὸς βασιλέα λόγος, εἴτε τε καὶ ἱστορικὸς, ἐπὶ συγκλήτου ἐπιδίδοται, καὶ ἀναγινώσκεται. πρινὴ δὲ τοῦτο πρᾶξαι καὶ ἐν Σαρδινίᾳ καὶ ἐν Ῥώμῃ καὶ εἰς ἑτέρους τόπους κωδίκια ποιήσας τὸν αὐτὸν προσφωνητικὸν λόγον ἀπέστειλεν ὁ εἰρημένος Μακάριος, ὅπερ πάντῃ ἀπρόσφορον πρὸς τὸν ἱερατικὸν θεσμὸν καθέστηκεν.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν. ἡμεῖς μὲν προσφωνητικὸν λόγον οὐκ ἐπιστάμεθα λαβεῖν παρὰ Μακαρίου, χαρτία δέ τινα ἐπιδέδωκεν ἡμῖν, ἅ τινα καί εἰσιν. οἷς οὐδὲ μέχρι τοῦ παρόντος ἐνετύχομεν, καὶ ταῦτα καθ' ἑτέραν προφέρομεν, ὀφειλούσης τῆς ἁγίας ὑμῶν συνόδου τὴν εἴδησιν αὐτῶν λαβεῖν· ἡ δὲ ἀκόλουθος ἀνάγνωσις τοῦ λεγομένου προσφωνητικοῦ λεγέσθω. καὶ ἀνεγνώσθη ὁ τοιοῦτος προσφωνητικὸς λόγος πάσης κακοδοξίας γέμων, καὶ τοῖς αἱρετικοῖς κατὰ πάντα συνάδων τρανῶς, φέρων ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς, καὶ ἡ ἁγία σύνοδος εἶπον· ὡσαύτως καὶ τὸ ἕτερον βιβλίον ἀναγινωσκέσθω. καὶ λαβὼν ὁ αὐτὸς εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος Ἀντίοχος τὸ τοιοῦτον βιβλίον ἀνέγνω ἔχον ἐπιγραφὴν οὕτως.

Λόγος ἀποσταλεὶς ὑπὸ Μακαρίου ἀρχιεπισκόπου Θεουπόλεως Λουκᾷ πρεσβυτέρῳ καὶ μοναχῷ τῷ ἐν Ἀφρικῇ, γράψαντι περὶ τῆς τῶν Μαξιμιανῶν νέας αἱρέσεως. καὶ τῆς ἀναγνώσεως τοῦ αὐτοῦ λόγου ἐπὶ πολὺ γινομένης, ἡ ἁγία σύνοδος εἶπεν. ἀναγνωσθέντος ἤδη τοῦ λιβέλλου Μακαρίου, τοῦ ἐπιδοθέντος τῷ εὐσεβεστάτῳ καὶ θεοστέπτῳ ἡμῶν δεσπότῃ καὶ μεγάλῳ νικητῇ βασιλεῖ· ὁμοίως δὲ ἀναγνωσθέντος καὶ τοῦ ὡσανεὶ προσφωνητικοῦ λόγου τοῦ, ὡς ἐπιγέγραπται, γενομένου πρὸς τὸ θεοστήρικτον αὐτοῦ κράτος, καὶ τούτου ἀποπληρωθέντος· ἀρξαμένου δὲ προσεπιτούτοις ἀναγινώσκεσθαι καὶ τοῦ παρόντος λόγου πρὸς Λουκᾶν τινα μονάζοντα ἐν Ἀφρικῇ, τάξιν ἀντιῤῥητικοῦ καὶ συλλογισμοὺς Ἀριστοτελικοὺς ἔχοντος, καὶ πάντῃ ἀπᾴδοντος ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις, καὶ τοῖς ἁγίοις καὶ ἐκκρίτοις πατράσι μηδέποτέ τι τοιοῦτο καταδεξαμένοις, συνορῶμεν ἐκκοπὴν γενέσθαι τῆς τοῦ τοιούτου πρὸς Λουκᾶν λόγου ἀναγνώσεως, ὡς ξένων καὶ ἀλλοτρίων ὄντων τοῦ ἐκκλησιαστικοῦ φρονήματος τῶν ἐν αὐτῷ ἐμφερομένων, καὶ ἑαυτοῖς καὶ τῇ ἀληθείᾳ παντελῶς ἐναντιουμένων. τὰ δὲ τοῦ τοιούτου βιβλίου ἐπίλοιπα ἀναγινωσκέσθωσαν. καὶ ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ βιβλίου λόγος τρίτος τοῦ αὐτοῦ Μακαρίου περὶ τῆς αὐτῆς ὑποθέσεως, οὗ ἡ ἀρχή· αἱ μὲν οὖν ὑπὲρ τῆς εὐσεβείας ἐνστάσεις κατὰ τῶν

πο-

πολεμίων. καὶ τῆς ἀναγνώσεως ἐπὶ πολὺ προϊούσης ἡ ἁγία σύνοδος εἶπε. τὸν κονιορτὸν τῆς ἀκαίρου φλυαρίας τῆς συγγραμμάτων Μακαρίου καὶ Στεφάνου τοῦ αὐτοῦ μαθητοῦ, ἐξαιρέτως δὲ τὸ ἐν αὐτοῖς ῥῆτὸν λόγου τοῦ καὶ κατὰ τὸ παρὸν ἀναγινωσκομένου, ἀφ' ἑαυτῆς ἀποτινασόμενοι, καὶ ἀναθεματισμῷ δικαίως ὑποβάλλοντες ἐκκοπῆναι σωρῶμεν τῷ ψυχοβλαβῆ τούτων ἀνάγνωσιν. ἐκ δὲ τῆς τοιούτων συγγραμμάτων, πρὸς παράλληλον ἀπόδειξιν τῆς ὁμοφροσύνης τῶν ἤδη προκομισθεισῶν αἱρετικῶν χρήσεων παρὰ τῶν τοῦ μέρους τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης, τὰς ἐκ τῆς αὐτῶν συγγραμμάτων προφανεῖς βλασφημίας παρεχθληθῆναι, καὶ σωταγῆναι τοῖσδε τοῖς πεπραγμένοις δέον καθέσηκεν.

Κωνσταντῖνος ὁ θεσεβέστατος βασιλεὺς εἶπε. κατὰ τὸ σωεφαρθὲν παρὰ τῆς ἁγίας συνόδου γινέσθω. καὶ παρεξεβλήθησαν ἐκ τῶν εἰρημένων Μακαρίου συγγραμμάτων πρὸς ἀντιπαράθεσιν χρήσεων βεβήλων καὶ δυσεβῶν αἱρετικῶν διάφοροι βλασφημίαι, καὶ συνέτιγησαν ἔχουσαι ὕτως.

Μακαρίου αἱρετικοῦ ἀπὸ λιβέλλου ἐπιδοθέντος τῷ θεσεβεστάτῳ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ, ὃ ἡ ἀρχή· εἰρήνης Θεοῦ τῆς ὑπερεχούσης πάντα νοῦν τὸ κεφάλαιον ἡ θεσέβεια. σὺν καὶ μόνῳ θείῳ θελήματι, ὡς οὐκ ὄντος σὺν αὐτῷ καὶ ἄλλου θελήματος, ἢ ἀντιπίπτοντος καὶ ἀντικειμένου τῷ θείῳ αὐτοῦ καὶ δυνατῷ θελήματι. ἀδύνατον γὰρ σὺν σοὶ καὶ τῷ αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν δύο ἅμα κατὰ ταυτὸν ἐναντία, ἢ καὶ ὅμοια ὑφεσάναι θελήματα.

Θεμιστίου αἱρετικοῦ ἐκ τοῦ δευτέρου αὐτοῦ ἀντιῤῥητικοῦ τοῦ κατὰ τοῦ τόμου Θεοδοσίου, κεφαλαίου μά.

Οὐ γὰρ ἐπείτοι καὶ ὁ ἱερὸς Αθανάσιος δύο θελήματα ἔφη τὸν Χριστὸν δεικνύναι κατὰ τὸν τοῦ πάθους καιρόν, ἤδη καὶ δύο θελήσεις αὐτῷ περιθήσομεν, καὶ πῶτε μαχομένας ἀλλήλαις κατὰ τὰς σὰς τούτους συλλογισμούς, ἀλλ' εἰσόμεθα θεσεβῶς τὸ ὡς ἑνὸς μίαν θέλησιν τοῦ Εμμανουὴλ, πῇ μὲν ἀνθρωπίνως κινεῖσθαι, πῇ δὲ θεοπρεπῶς.

Μακαρίου αἱρετικοῦ ἀπὸ λόγου ῥῖτου, οὗ ἡ ἀρχή. αἱ μὲν ὧν ὑπὲρ τῆς θεσεβείας σὺσάσεις. σὺ γὰρ πρόσωπον τοῦ σωτῆρος Χριστοῦ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κηρύσσομεν, καὶ ὡς σὺν ὄντος αὐτοῦ σὺν καὶ τὸ θέλημα δογματίζομεν, καθὼς καὶ οἱ πρὸ ἡμῶν διεσάφησαν.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου. οὕτως ἡμεῖς σὺν θέλημα τοῦ Χριστοῦ, καὶ τοῦτο θεϊκὸν κατὰ τοὺς διδασκάλους ὅλον κηρύσσομεν.

Απολιναρίου αἱρετικοῦ· καὶ ὑ μνημονεύουσιν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται ὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ Θεοῦ τοῦ καταβάντος ἐξ ὐρανοῦ.

Μακαρίου αἱρετικοῦ ἐκ τοῦ λεγομένου προσφωνητικοῦ λόγου πρὸς τὸν θεσεβέστατον βασιλέα· ὃ ἡ ἀρχή· παράδοξόν τι καλλίνικε δέσποτα· τὸ τἀναντία δὲ αὐτοῖς δογματίσαντας ἁγίους πατέρας ἡμῶν κατέκριναν καὶ ἀνεθεμάτισαν, καὶ πάντας ἁπλῶς τὸ σὸν θέλημα τοῦ κυρίου δοξάσαντας, ὧν εἷς ὑπάρχει καὶ ὁ τῆς Ρωμαίων Ονώριος, σὸν θέλημα δογματίσας βλασφημότατα. ὡσαύτως δὲ καὶ τὸν μίαν εἰπόντας ἐνέργειαν, μὴ προσδεξάμενοι τῷ τοῖς ἁγίοις πατράσι γνωριζομένῳ μίαν ζωοποιὸν Χριστοῦ τοῦ ἐνέργειαν.

Ανθίμου αἱρετικοῦ ἐκ τοῦ πρὸς Ιουστινιανὸν τὸν βασιλέα λόγου· ὃ ἡ ἀρχή· Θεοῦ μεμνῆσθαι ἐν πάσῃ ὑποθέσει καλόν. εἰ γὰρ μία ἐστὶν ὑπόστασις. καὶ μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη, ὥσπερ οὕτως καὶ ἔστιν, ἀναμφιβόλως καὶ σὸν θέλημα, καὶ μία ἐνέργεια δηλονότι, καὶ μία σοφία, καὶ μία γνῶσις τοῦ σωαμφοτέρου ὑπάρχει.

Μακαρίου αἱρετικοῦ ἀπὸ λόγου σταλέντος παρ' αὐτοῦ πρὸς Λουκᾶν πρεσβύτερον καὶ μοναχὸν Αφρικῆς· ὃ ἡ ἀρχή· οἷον ἐστὶ τοῖς κατὰ θάλατταν κινδυνεύουσι· ποία δὲ φύσις καὶ ἐπὶ τῶν πάντη κεχωρισμένων, ἵνα καὶ πάλιν ὑμῶν τῇ μωρίᾳ σωαπαχθῶ, μίαν ἐκ τριῶν ἑτέρας ἐνεργούσης φύσεως, μίαν ὐκ ἐκτελοῦσαν τὴν ἐνέργειαν;

Απολλιναρίου αἱρετικοῦ ἐκ τῶν ἀποριῶν· ὄργανον καὶ τὸ κινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν. εἰ δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ οὐσία. μία ἄρα ὐσία γέγονε τοῦ λόγου καὶ τοῦ ὀργάνου.

Μακαρίου αἱρετικοῦ ἐκ τοῦ αὐτοῦ πρὸς Λουκᾶν πρεσβύτερον καὶ μοναχὸν λόγου ἑβδόμου. διὸ δὴ καὶ πρὸς ἕκασα τῶν γινομένων σωεργάτην ὥσπερ τινὰ πρὸς τοῦτο δὴ μάλιστα τὴν ἁγίαν αὐτοῦ λαμβάνειν ἠπείγετο σάρκα, ἵνα δεικνύῃ ζωοποιοῦν δυναμένην καὶ ὡς ἓν ἤδη γεγονυίαν πρὸς αὐτὸν, ὃ κατὰ φύσιν δῆλον, ἀλλὰ καθ' ἕνωσιν οἰκονομικὴν, καὶ διώκειν ἀκαταλύτου ζωῆς, καθ' ἣν ἡ ἅφατος ἐξέλαμψεν ἡμῖν ἀναστάσεως. καὶ γοῦν ὅτε τὸ τοῦ ἀρχισωαγωγέως κόριον ὀρθρίσῃ λέγων· ἡ παῖς ἐγήγερται, ἐκράτησε τῆς χειρὸς αὐτῆς, ζωοποιῶν μὲν ὡς Θεὸς τῷ παντουργῷ προστάγματι, ζωοποιοῦσαν δ' αὖ πάλιν καὶ ὀρθὴν τῆς ἁφῆς τῆς ἁγίας αὐτοῦ σαρκὸς, μίαντε καὶ συγχυθῆναι δι' ἀμφοῖν ἐπιδεικνὺς τὴν ἐνέργειαν. ὁρᾶς ὅπως εἰπὼν ἐνεργεῖν ἑκατέραν μορφὴν ὀρθὴν τιμῆς θατέρᾳ κοινωνίαν μίαν αὐτῇ τὴν ἐνέργειαν ἀπεφήνατο; ὁ γὰρ ἐκ τοῦ καθάπερ εἰπεῖν, ζωοποιοῦν ὡς Θεὸς, ζωοποιοῦν δὲ καὶ ὀρθὴν τῆς ἁφῆς, ἤδει κατὰ τοὺς νέους τούτους δογματισὰς δύο ζωοποιήσεις, καὶ ἐνεργείας δύο νοεῖν ἡμᾶς ἐξεπαίδευσεν.

Ανθίμου αἱρετικοῦ ἐκ τοῦ πρὸς Ιουστινιανὸν τὸν βασιλέα προσφωνητικοῦ λόγου, ὃ ἡ ἀρχή. Θεοῦ μεμνῆσθαι ἐν πάσῃ ὑποθέσει καλόν. τὶ εἰκότι δὲ τούτοις καὶ ὁ αὐτὸς ἁγιώτατος ἐδίδαξε πατὴρ, καὶ ἐν τῷ τετάρτῳ τόμῳ τοῦ εἰς τὸ κατὰ τὸν ἅγιον Ιωάννην διαγγέλιον ὑπομνήματος, ὕπως εἰπών· ὀρθὰ τοῦτο καὶ ἐν τῇ τὸν νεκρὸν ἀνιστᾶν, οὐ λόγῳ μόνον, οὔτε τοῖς θεο-

θεοπρεπέσιν ἐπιτάγμασιν ἐνργῶν ὁ σωτὴρ εὑρίσκεται, ἀλλὰ συνεργάτιν ὥσπερ τινὰ πρὸς τοῦτο δὴ μάλιστα τὴν ἁγίαν αὐτοῦ λαμβάνειν ἠπείγετο σάρκα, ἵνα δεικνύῃ ζωοποιεῖν δυναμένην, καὶ ὡς ἐν ἤδη γενομένην πρὸς αὐτόν· καὶ γοῦν ὅτε τὸ τοῦ ἀρχισυναγώγου κόριον διανίστη λέγων· ἡ παῖς ἔγειραι, ἐκράτησε τῆς χειρὸς αὐτὴν, καθὼς γέγραπται, ζωοποιῶν μὲν ὡς Θεὸς τῷ παντουργῷ προστάγματι, ζωοποιῶν δ' αὖ πάλιν καὶ διὰ τῆς ἁφῆς τῆς χειρὸς. μίαν καὶ συγγενῆ δι' ἀμφοῖν ἐπιδεικνὺς τὴν ἐνέργειαν· ὅτε τοίνυν ἴδιον νοερᾶς θεοπρεποῦς ἴσμεν ἐνεργείας τῶν ὅλων τὴν γνῶσιν, μίαν δὲ καὶ τὴν αὐτὴν τοῦ συναμφοτέρου τὴν θεοπρεπῆ ἐνέργειαν ἐδιδάχθημεν ὑπάρχειν, πῶς οὐχ ὁμολογήσομεν ἐντεῦθεν μίαν καὶ τὴν αὐτὴν τῶν ὅλων γνῶσιν ὑπάρχειν τοῦ ἑνὸς Χριστοῦ, ὡς εἰρήκαμεν, καὶ κατὰ τὴν αὐτοῦ θεότητα, καὶ κατὰ τὴν αὐτοῦ ἀνθρωπότητα.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ἀρκούντως ἔχει καὶ τὰ κατὰ τὴν σήμερον ἡμέραν πραχθέντα. ἐπεὶ δὲ ἐν τοῖς φιλοχρίστου ἡμῶν πολιτείας ἐνηχολήμεθα πράγμασι, κελεύομεν Κωνσταντῖνον καὶ Αναστάσιον τοὺς ἐνδοξοτάτους πατρικίους, Πολύευκτον καὶ Πέτρον τοὺς ἐνδοξοτάτους ἀπὸ ὑπάτων, ἐκ προσώπου τῆς ἡμῶν εὐσεβείας συνευρίσκεσθαι τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ὑμῶν συνόδῳ ἐν ταῖς ὑπολοίποις συνελεύσεσι, τῆς παρούσης ὑποθέσεως τῶν πλείστων, καὶ καιριωτέρων κεφαλαίων ἐπὶ τῆς ἡμῶν εὐσεβείας ἤδη πραχθέντων.

ΠΡΑ̃ΞΙΣ ΙΒ'.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ιησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοῦ ἑβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τρισκαιδεκάτου. Ηρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ εἰκάδι δευτέρα τοῦ Μαρτίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης.

Προκαθεζομένου τοῦ σεβασμιωτάτου σέσσου τοῦ αὐτοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνίης, ἐκ προσώπου αὐτοῦ παρόντων καὶ ἀκροωμένων, Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ οἴκου τῶν Ορμίσδου. Αναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Πολιεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. καὶ Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων·

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν εὐλαβεστάτων πρεσβυτέρων, καὶ Ιωάννου τοῦ εὐλαβεστάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Αλεξανδρέων μεγαλοπόλεως. καὶ Γεωργίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου. Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ιεροσολύμων· Ιωάννου ἐπισκ. πόλεως Πόρτου· Ἀβουνδαντίου ἐπισκ. πόλεως Πατέρνου· Ἰωάννου ἐπισκ. πόλεως Ρηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ρώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ, καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ραβέννης Θεοδώρου. Ιωάννου ἐπισκόπου Θεσσαλονίκης· Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρητῶν νήσου. Φιλαλήθους ἐπισκόπου Καισαρείας Καππαδοκίας. Θεοδώρου ἐπισκόπου Εφέσου. Σισιννίου ἐπισκόπου Ηρακλείας Θρᾴκης. Πλάτωνος ἐπισκόπου Αγκύρας Γαλατίας. Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ιωάννου ἐπισκόπου Χαλκηδόνος· Ιωάννου ἐπισκόπου Σίδης. Θεοδώρου ἐπισκόπου Μελιτηνῆς. Ιουστίνου ἐπισκόπου Τυάνων. Αλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανοῦ ἐπισκ. Κλαυδιουπόλεως· Πολυεύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκ. Σταυρουπόλεως Καρίας. Τιβερίου ἐπισκόπου Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκόπου Συνάδων. Στεφάνου ἐπισκόπου Αντιοχείας Πισιδίας· Ιωάννου ἐπισκ. Πέργης· Θεοπέμπτου ἐπισκ. Ιουστινουπόλεως ἤτοι Μωκισοῦ. Ισιδώρου ἐπισκ. Ρόδου· Σισιννίου ἐπισκ. Ιεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκ. Ταρσοῦ· Μακροβίου ἐπισκ. Σελευκείας Ισαυρίας. Γεωργίου ἐπισκ. Βυζίης Θρᾴκης. Ζαχαρίου ἐπισκόπου Λεοντοπόλεως Ισαυρίας. Γρηγορίου ἐπισκόπου Μιτυληνῆς· Γεωργίου ἐπισκόπ. Μιλήτου. Σεργίου ἐπισκόπου Σηλυβρίας· Ανδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Επιφανίου ἐπισκ. Ευχαΐτων. Πέτρου ἐπισκόπου Μεσημβρίας· Πέτρου ἐπισκόπου Σωζοπόλεως Θρᾴκης. Ιωάννου ἐπισκ. Νύσσης. Θεοδώρου ἐπισ. τῶν βασιλικῶν Θερμῶν. Γεωργίου ἐπισκόπου Καμουλιανῶν. Ζωήτου ἐπισκόπου * Χρυσοπόλεως Ασίας. Πατρικίου ἐπισκ. Μαγνησίας· Αντωνίου ἐπισκ. Υπαίπων. Θεοδώρου ἐπισκ. Περγάμου. Γενεσίου ἐπισκόπου Αναστασιουπόλεως· Πλάτωνος ἐπισκ. Κίννης. Στεφάνου ἐπισκ. * Βερινουπόλεως. Ανδρέου ἐπικ. Μνίζου. Ιωάν-

* Οὐρανουπόλεως.

Ιωάννου ἐπισκ. Μιλητουπόλεως. Ιωάννου ἐπισκόπου Φιλαδελφείας. Θεοδώρου ἐπισκόπου * Πραινέτου. Ιωάννου ἐπισκόπου τοῦ Δασκυλίου. Θεοδώρου ἐπισκόπου Ιουστινιανουπόλεως Γόρδου. Μηνᾶ ἐπισκόπου Καραλίας Παμφυλίας· Καλλινίκου ἐπισκόπου Κολωνίας Αρμενίας. Θεοδώρου ἐπισκόπου Βερίσσης. Τιβερίου ἐπισκ. Αμίσσου· Σεργίου ἐπισκ. Σινώπης. Γεωργίου ἐπισκ. Ιουνοπόλεως. Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου. Δομετίου ἐπισκ. Προυσιάδος· Γεωργίου ἐπισκ. Κρατίας. Πλάτωνος ἐπισκ. Αδριανουπόλεως· Σολομῶνος ἐπισκ. Κλανέου. Γεωργίου ἐπισκόπου Κῴου. Ιωάννου ἐπισκόπου Ερίζων. Ιωάννου ἐπισκ. Μυύδου. Πατρικίου ἐπισκ· Ιλούζων. Πέτρου ἐπισκ. Αππίας· Αλεξάνδρου ἐπισκόπου Νακωλείας. Δομετίου ἐπισκ. Πρυμνήσου· Κωνσταντίνου ἐπισκ. Βαράτης· Θεοδοσίου ἐπισκ. Ψιβήλων. Παύλου ἐπισκ. Σωζοπόλεως Πισιδίας· Πλουσιανοῦ ἐπισκ. τοῦ Συλλέου. Θεοδώρου ἐπισκ. Ναζιανζοῦ· Δημητρίου ἐπισκ. Τήνου. Στεφάνου ἐπισκ. Πάρου. Γρηγορίου ἐπισκ. Καντάνου. Ιωάννου ἐπισκ. Λάππης. Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκόπ. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ολβης. Θεοφάνους τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τοῦ ἐν Σικελίᾳ εὐαγοῦς μοναστηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῶν Ρενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ρώμῃ· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην.

Καθεσθέντων τε καὶ τῶν ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, ἐκ πλαγίου τοῦ σεβασμιωτάτου σέσσου τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως Κωνσταντίνου, καὶ πάντων δὲ τῶν ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων ὡσαύτως καθεσθέντων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων Χριστοῦ τοῦ θεοῦ ἡμῶν εὐαγγελίων.

Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῶν θεοσεβεστάτων νοταρίων τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Γεωργίου, εἶπεν.

Πάντα ἀνελλιπῶς καὶ πρὸς ἀκριβῆ κατάληψιν τῆς ὀρθοδόξου καὶ ἀμωμήτου ἡμῶν τῶν Χριστιανῶν πίστεως ἐπισκεπτομένη ἥτε ὑμετέρα ἐνδοξότης, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν συνόδος γινώσκει, ὡς κατὰ τὴν προλαβοῦσαν συνέλευσιν ἀναγινωσκομένου τοῦ ὡσανεὶ γενομένου προσφωνητικοῦ λόγου παρὰ Μακαρίου πρὴς τὸν εὐσεβέστατον καὶ θεόστεπτον ἡμῶν δεσπότην καὶ μέγαν βασιλέα, διαλαλῆσαι κατηξίωσεν ἡ αὐτοῦ θεόσοφος γαλήνη, χαρτία τινὰ ἐπιδεδόσθαι αὐτῷ παρὰ Μακαρίου, μὴ ἐντυχεῖν δὲ αὐτοῖς μέχρι τοῦ παρόντος· ἀλλὰ καὶ αὐτὰ καθ' ἑτέραν τῇ ἁγίᾳ ὑμῶν προκομίζειν συνόδῳ ὀφειλούσῃ τὴν εἴδησιν αὐτῶν λαβεῖν. ἔστηκε τοίνυν πρὸ βήλου Ιωάννης ὁ ἐνδοξότατος πατρίκιος καὶ κοιαίστωρ ἀποσταλεὶς παρὰ τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡμῶν βασιλέως χάρτας τινὰς ἐπιφερόμενος· καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· τέως ἡ τῶν ἤδη πραχθέντων ἀκολούθως γινέσθω ἀνάγνωσις. καὶ ἀνεγνώσθησαν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· εἰσίτω Ιωάννης ὁ ἐνδοξότατος πατρίκιος καὶ κοιαίστωρ. καὶ εἰσῆλθεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· διεξίτω Ιωάννης ὁ ἐνδοξότατος πατρίκιος καὶ κοιαίστωρ, τίνος χάριν εἰς ἡμᾶς παραγέγονεν.

Ιωάννης ὁ ἐνδοξότατος πατρίκιος καὶ κοιαίστορ εἶπεν· ὁ πανάγαθος καὶ θεοστήρικτος ἡμῶν δεσπότης καὶ μέγας νικητὴς βασιλεὺς περὶ τῶν κατὰ τὴν * προτέραν ἐπιμνησθέντων ἐπιδοθῆναι αὐτῷ χαρτῶν παρὰ Μακαρίου πόθῳ τοῦ στέψαντος αὐτὸν Θεοῦ συνεχόμενος, καὶ δι' ἐρεύνης γενόμενος, ἅπερ ἐπιφέρομαι χαρτία τε καὶ κωδίκια, ἐπιδέδωκέμοι, κελεύσας δι' ἐμοῦ ταῦτα τῇ ἁγίᾳ ὑμῶν ἐπιδοθῆναι συνόδῳ, ὀφειλούσῃ τὴν τούτων ποιήσασθαι ἀνάκρισιν· καὶ τοῦτο καταξιώσας δι' ἐμοῦ δηλοποιηθῆναι ὑμῖν, ὅτι οὐκ ἀνέγνω αὐτὰ ἡ θεοτείχιστος αὐτοῦ ἡμερότης μέχρι τοῦ παρόντος, ἀλλ' οὐδὲ τὴν ἐπιγραφὴν αὐτῶν, εὑρηκέναι δὲ αὐτὰ ἔνδον τῶν παρόντων κωδικίων. ἅτινα κωδίκια καὶ μετὰ τῶν τοιούτων χαρτῶν, ὡς ὁρᾶτε, ἀπέστειλε τὰ πάντα ἐσφραγισμένα.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· οἱ προκομισθέντες χάρται καὶ κωδίκια παρὰ Ιωάννου τοῦ ἐνδοξοτάτου πατρικίου καὶ κοιαίστωρος ὑποδεχέσθωσαν. καὶ ἐπεδόθησαν δύο χαρτία ἐσφραγισμένα ἀπὸ κηρίου, ἐκτυποῦντα μονόγραμμον Κωνσταντίνου δεσπότου. ὡσαύτως δὲ καὶ τὰ προδηλούμενα κωδίκια τὴν αὐτὴν σφραγίδα ἔχοντα. οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· ὁ μὲν παρὼν ἐνδοξότατος πατρίκιος καὶ κοιαίστωρ τὸ ἀποχρῶν τῇ βασιλικῇ ποιησάμενος κελεύσει πρὸς τὰ οἰκεῖα χωρείτω· τὰ δὲ εἰρημένα χαρτία ἀναγνώσει ὑποβαλλέσθωσαν.

Καὶ λαβὼν Ἀντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἓν ἐκ τῶν κωδικίων ἀνέγνω, ἔχον ἐν προγραφῇ οὕτως.

Λόγος προσφωνηθεὶς τῷ εὐσεβεστάτῳ καὶ εἰρηνοποιῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ παρὰ Μακαρίου ἐπισκόπου Θεουπόλεως. καὶ τῆς ἀναγνώσεως ἐπ' ὀλίγον γενομένης, οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ἁγία συνόδος εἶπον. ὁ λεγόμενος προσφωνητικὸς ὡσανεὶ λόγος καὶ κατὰ τὴν προτεραίαν παρόντος τοῦ εὐλαβεστάτου καὶ θεοστηρίκτου μεγάλου ἡμῶν βασιλέως ἐν ἑτέρᾳ βίβλῳ ἀνεγνώσθη· καὶ περισσὸν ὑπάρχει καὶ αὖθις τοῦτον

* Πριμνής.

* προτερείαν.

τον ἀναγνωσθῆναι. τὸ δὲ σὺν τῷ αὐτῷ κωδικίῳ εὑρεθὲν χαρτίον ἀναγινωσκέσθω.

Καὶ λαβὼν Ἀντίοχος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος ἀνέγνω ἔχον οὕτως.

Παρασημείωσις μηνὶ Σεπτεμβρίῳ κβ'. ἰνδικτιῶνος ἑβδόμης. Ζαχαρίας ἐπίσκ. Κλαυδιουπόλεως, καὶ Γεώργιος ἐπίσκοπος Ἀδρασοῦ τῆς Ἰσαυρίας, καὶ Τιβέριος διάκονος καὶ νοτάριος εἶπον.

Ἀπέστειλεν ἡμᾶς ὁ ἁγιώτατος πατριάρχης ἡμῶν πρὸς τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινουπόλεως ἐπιφερομένους ὑπαναγνωστικὸν διὰ σημείων, καὶ ἐξέλαβεν ὁ εἷς ἡμῶν Τιβέριος διάκονος καὶ νοτάριος καὶ ἀνελθόντων ἡμῶν εἰς τὸ πατριαρχεῖον ἐξῆλθεν ὁ χαρτοφύλαξ, καὶ εἴπομεν αὐτῷ· ὅτι μήνυσον ἡμᾶς. καὶ λέγει. τί ἐστι τὸ πρᾶγμα; καὶ εἴπομεν αὐτῷ. θέλομεν εἰσελθεῖν προσκυνῆσαι τὰ ἴχνη αὐτοῦ.

Καὶ τῆς ἀναγνώσεως γινομένης οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἁγία σύνοδος εἶπον. ἐπεὶ καὶ ἡ δύναμις ἡ ἐν τῷ περιεχομένῳ χάρτῃ οὐδὲν πρὸς τὴν παροῦσαν συντείνει ὑπόθεσιν, συνορῶμεν μηδὲ τὴν τοῦτο γενέσθαι ἀνάγνωσιν. τὰ δὲ λοιπὰ ἀναγινωσκέσθωσαν.

Ἔτι λαβὼν ὁ αὐτὸς εὐλαβέστατος Ἀντίοχος ἕτερον κωδίκιον ἀνέγνω, ἔχον ἴσον ἐπιστολῆς Σεργίου τοῦ γενομένου πατριάρχου Κωνσταντινουπόλεως, πρὸς Κῦρον ἐπίσκοπον τοῦ Φάσιδος, ἔχον ἐπὶ λέξεως οὕτως.

Ἐφάνη μὲν ἡμῖν καὶ ἀπὸ πρώτης εὐθέως πείρας τὸ πυκνὸν καὶ ἐπιμελὲς τοῦ τρόπου τῆς θεοφιλίας ὑμῶν, πλέον δὲ νῦν διὰ τῆς παρ' αὐτῆς γραφέντων τὸ φιλόπονον αὐτῆς καὶ φιλομαθὲς κατεμάθομεν. ἐντυχεῖν γὰρ σημήνασα τῇ πρὸς Ἀρκάδιον τὸν τῆς Κυπρίων νήσου θεοφιλῆ πρόεδρον γενομένῃ πανευσεβεῖ κελεύσει παρὰ τοῦ κρατίστου, καὶ θεοστηρίκτου ἡμῶν βασιλέως κατὰ Παύλου τοῦ κεφαλαιωτοῦ τῆς τῆς Ἀ' κεφάλων πονηρᾶς συμμορίας, καὶ τὴν εἰρημένην εὐσεβῆ κέλευσιν εὑρεῖν δύο κωλύουσαν ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν λέγειν ἐνεργείας, ἠρώτησεν ἡμᾶς διὰ τῆς οἰκείας μηνύσεως. πότερον χρὴ δύο πρεσβεύειν ἐνεργείας, ἢ μίαν τοῦ κυρίου λέγειν ἐνέργειαν. ὅθεν ἡμεῖς ἁπλῷ καὶ συντόμῳ λόγῳ κεχρήμεθα, καὶ τὰ τῆς ἡμετέρας ἐροῦμεν εἰδήσεως. ἐροῦμεν τοίνυν, ὡς ἐν μὲν ταῖς ἁγίαις μεγάλαις καὶ οἰκουμενικαῖς συνόδοις οὐδεμία περὶ τούτου κίνησις γέγονεν, οὐδ' ἐστὶ περὶ τῆς τοιαύτης ζητήσεως ὅρον ἐξενεχθέντα τὸν οἱονοῦν παρά τινος τῆς ὀρθοδόξων συνόδων εὑρεῖν. τῆς δέ γε ἐκκρίτων πατέρων ἐνίους ἐπιστάμεθα, καὶ κατ' ἐξαίρετον τὸν ἁγιώτατον Κύριλλον τὸν τῆς Ἀλεξανδρέων ἀρχιεπίσκοπον ἔν τισι τῆς ἰδίων συγγραμμάτων μίαν ζωοποιὸν ἐνέργειαν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν εἰρηκότα. ἀλλὰ μὴν καὶ Μηνᾶς ὁ ἐν ἁγίοις ἀρχιεπίσκ. τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως λόγον συνέταξε προσφωνηθέντα πρὸς Βιγίλιον τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης γενόμενον πάπαν, ἐν ᾧ τὸν ὅμοιον καὶ αὐτὸς τρόπον ἐν τὸ τοῦ Χριστοῦ θέλημα, καὶ μίαν ζωοποιὸν ἐνέργειαν ἐδογμάτισε. καὶ ὥστε * τὴν συνετωτάτην ὑμῶν φιλοπονίαν ἐντυγχάνουσαν τὴν ἐμπεριεχομένην αὐτῷ δύναμιν γνῶναι, ἀναγκαίως τὸν εἰρημένον λόγον μεταγραφῆναι παρεσκευάσαμεν, ὑποκειμένων αὐτῷ καὶ χρήσεων διαφόρων πρὸς σύστασιν τοῦ προκειμένου σκοποῦ, καὶ τοῦτον σὺν τοῖς ἡμετέροις αὐτῇ σταλῆναι γράμμασιν ἐπετρέψαμεν. ἐπειδὴ δέ φησιν ἡ θεοφιλία ὑμῶν τὸν ἁγιώτατον πάπαν τῆς Ῥωμαίων Λέοντα διὰ τοῦ λέγειν· ἐνεργεῖ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, δύο ἐνεργείας ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν παραδιδόναι τε καὶ κηρύττειν, χρεὼν αὐτὴν εἰδέναι, ὡς πολλῶν τοῦ δυσσεβοῦς κατὰ Σεβῆρον τὸν κατάρατον τμήματος, τῆς ἀεὶ πρὸς τὰ τῆς εὐσεβείας δόγματα διαμαχομένων, καὶ τῆς τοῦ εἰρημένου πανευφήμου πατρὸς καθυλακτησάντων ἐπιστολῆς, ἥτις κοινὴ τῷ ὄντι τῆς ὀρθοδοξίας στήλη καθέστηκε, διάφοροι τῆς ἐκκρίτων τῆς καθολικῆς ἐκκλησίας διδασκάλων πρὸς δικαίαν καὶ ἀληθῆ συνηγορίαν τῆς λελεγμένης διανέστησαν ἐπιστολῆς· καὶ οὐδένα ἴσμεν ἐκείνων εἰπόντα, ἐπὶ τοῦ προκειμένου ῥητοῦ δύο ἐνεργείας τὸν ἐν ἁγίοις εἰρηκέναι Λέοντα. ἀλλ' ἵνα μὴ πάντας αὐτοὺς εἰς μέσον ἄγοντες τὸ γράμμα μηκύνωμεν, ἑνὸς τούτων πολὺν ἐπὶ τῇ τῆς ἀληθῶν δογμάτων διδασκαλίᾳ παρὰ πάντων ἀπενεγκαμένου τὸν ἔπαινον. φημὶ δὴ οὖν Εὐλογίου τοῦ τῆς ὁσίας μνήμης τῆς Ἀλεξανδρέων γενομένου ποιμένος λόγον ὁλόκληρον ὑπὲρ τῆς εἰρημένης γεγραφότος ἐπιστολῆς, χρῆσιν εἰς τὸ προκείμενον φερομένην ῥητὸν τῷ ἀνωτέρῳ μνημονευθέντι λόγῳ μετὰ τὰς πατρικὰς χρήσεις καθυποταγῆναι παρεσκευάσαμεν. οὔτε οὖν ὥσπερ ἐπιστάμεθα τῆς πολλάκις λεχθείσης εὐσεβῶς ὑπεραγωνισαμένους ἐπιστολῆς, οὔτε ἄλλον τινὰ τῆς θεοπνεύστων τῆς ἐκκλησίας μυσταγωγῶν ἄχρι καὶ σήμερον ηὕρομεν δύο ἐνεργείας ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εἰρηκότας. εἰ δέ τις τῆς ἀκριβεστέρων δεῖξαι δυνηθείη τινὰς τῆς ἐκκρίτων καὶ θεοφόρων ἡμῶν πατέρων, ὧν τὰ δόγματα νόμος τῇ καθολικῇ καθέστηκεν ἐκκλησίᾳ, δύο ἐνεργείας ἐπὶ Χριστοῦ λέγειν παραδιδόντας, δεῖ πάντως ἀκολουθῆσαι. πᾶσα γὰρ ἀνάγκη μὴ μόνον κατ' ἔννοιαν τοῖς τῶν ἁγίων πατέρων ἕπεσθαι δόγμασιν, ἀλλὰ καὶ ταῖς αὐταῖς ἐκείνοις κεχρῆσθαι φωναῖς, καὶ μηδὲν τὸ παράπαν καινοτομεῖν. ἃ μὲν οὖν ἐπιστάμεθα τοῦ προκειμένου χάριν κεφαλαίου, ταῦτα ἐστί. δεχομένη δὲ ἡ θεοφιλία ὑμῶν, καὶ καθεξῆς τοῖς σταλεῖσιν αὐτῇ παρ' ἡμῶν ἐντυγχάνουσα, τὰ μὲν τῆς ὠφελείας τῷ τῶν γνώσεων Θεῷ, καὶ τοῖς πατράσι τῶν τοιούτων ἐπιγραφέτω λόγων καὶ πονημάτων· δῶρον δὲ τῆς ἡμῶν ὑπερευχέσθω ταπεινώσεως, καὶ τὰ περὶ τούτων ἀντίγραφα διὰ τάχους ἡμῖν στειλάτω.

Καὶ μετὰ τὸ συμπέρασμα τῆς ἀναγνώσεως τῆς τοιαύτης ἐπιστολῆς, ὁ αὐτὸς εὐλαβέστατος Ἀντίοχος ἀνέγνω ἐκ τοῦ αὐτοῦ κωδικίου λόγον ὡσα-

ὡσανεὶ Μηνᾶ πατριάρχυ Κωνσταντινυπόλεως πρὸς Βιγίλιον πάπαν Ῥώμης.

Καὶ τότυ ἀναγινωσκομβύυ οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδ@ εἶπον· ἱκανὴ καὶ ἡ τῦ παρόντος λόγυ ἀνάγνωσις καθέστηκεν, ἐπειδὴ πλασὸς καὶ φάλσ@ ἐστί· καθὸ ὅτε ἐν τοῖς ἀποκειμβύοις βιβλίοις ἐν τῷ διακείτῃ τῇ ἐνταῦθα πατριαρχείῳ τῇ γνομβύων ἐπιστολῶν ὑπὸ Μιννᾶ τῦ ἐν ὁσίᾳ τῇ μνήμῃ, προεδρεύσαντος τῆς βασιλίδ@ ταύτης πόλεως, ὁ λεγόμεν@ Μιννᾶ πρὸς Βιγίλιον ηὕρηται λόγ@· ἀλλὰ καὶ κατὰ τινὰ προαναπεταγμβύην ξύτινα τρόπον ποιησάμενοι τῆς πρώτης βίβλυ τῇ πεπραγμβύων τῆς ἁγίας πέμπτης συνόδυ, ηὑρέθησαν κατὰ προσθήκην φάλσαι ξεῖς πεῖρας, ὁμολογήσαι τὸν τοιῦτον λόγον· τὰ δὲ ὑπόλοιπα τῦ αὐτῦ κωδικίου ἀναγινωσκέσθωσαν.

Ἔτι ἀνέγνω ὁ αὐτὸς διάβασατος Ἀντίοχος ἔσχατα τῆς ἑβδόμης καὶ ὀγδόης πράξεως τῆς ἁγίας καὶ οἰκυμβυικῆς πέμπτης συνόδυ, μεταγραφόντα ἐκ τῆς αὐθεντικῶν πεπραγμβύων τῆς ἀποκειμβύων ἐν τῷ διακείτῃ παπιαρχείῳ.

Τῆς τότων τοίνυν ἀναγνώσεως γινομβύης, οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ἁγία συνόδ@ εἶπον· ἤδη καὶ αἱ πράξεις αἱ προσῦσαι ἑβδόμη καὶ ὀγδόη, κατὰ τὸ γνομβύων ἀνάγνωσιν τῆς ἁγίας πέμπτης συνόδυ ἐδηλοποιήθησαν ἡμῖν. ἀλλὰ καὶ διὰ μνήμης ἔχομβυ, ὡς ἡνικαῦτα διεξῆλθον οἱ τῦ μέρυς τῦ ἀποσολικῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης φαλσάθαι τὴν προλεχθεῖσαν ἑβδόμην πρᾶξιν· καθὸ ὐκ εἰσὶν ἀληθεῖς οἱ ἐν αὐτῇ ἐμφερόμβυοι δύο λίβελλοι, οἱ ὡσανεὶ προσδοθέντες ἀπὸ Βιγιλίυ Ἰωαννιανῷ καὶ Θεοδώρᾳ τοῖς ἐν διακείτῃ τῇ μνήμῃ. ἐν πεντὴ καθέστηκε καὶ ἡ τῆς εἰρημένων δύο πράξεων ἀνάγνωσις.

Αὖθις τοίνυν ἐπεδόθη τῷ προδηλυμβύῳ διάβασατῷ Ἀντιόχῳ ἕτερον κωδίκιον, ὅπερ ἀνέγνω φέρον ὕτως.

Ἴσαν ἐπιστολῆς Σεργίου ἀρχιεπισκόπου Κωνσταντινυπόλεως, πρὸς Ὀνώριον πάπαν Ῥώμης.

Οὕτω τοῖς ἁγιωτάτοις ὑμῖν ὁλικῶς τε καὶ συμφυῶς εἰς ταύτητα σωνεσφίγμεθα πνβλματος, ὡς σπβδέειν ἡμᾶς πάντων τῦ ἡμετέρων βνβλιμάτων καὶ πράξεων συλλήπτορας τὸν ἱερωτάτυς ἔχειν ὑμᾶς. καὶ εἰ μὴ πολὺ τὸ διεῖργον ἡ τῦ τόπων παρεῖχε διάσασις, τῦτο ἂν καθ' ἡμέραν ἐπράττομβυ, ἐν ὀχυρᾷ ἐν τετειχισμένῃ τῆς τιμίας καὶ ὁμοψύχυ ὑμῶν ἀδελφότητ@ ἑαυτὸς περιφράττοντες συμβυλίᾳ. ὅμως ἐπείπερ ἡμῖν καὶ καμάτυ χωρὶς ὁ λόγ@ τε καὶ τὸ γράμμα τὸ σπβδαζόμβυον δίδωσιν, αὐτίκα τὰ περὶ ὧν τῦτο χαράσσομβυ, ἐν ἀφηγήσει ποιήμεθα. πρότιν@ φανερῦ χρόνυ, ἡνίκα τινὰ κατὰ Περσῶν ἐκστρατείαν ὁ καλλίνικ@ καὶ θεοσέπτ@ δεσπότης ἐν μέγας βασιλεὺς ἐποιεῖτο, διὰ τὸς ὑπὲρ τῆς παρὰ τῦ Θεῦ καταπιστβθείσης αὐτῷ φιλοχείσυ πολιτείας ἀγῶνας, καὶ ἐπὶ τὰ τῆς Ἀρμενίων χώρας γένοντε μέρη. τῆς δὲ πρωτβύόντων τις τῆς δυσσεβῦς Σεβήρυ τῦ καταράτυ μερίδ@, Παῦλ@ τὄνομα, ἐν ἐκείνοις τοῖς τόποις ἀναφανεὶς προσέλβσιν τῇ αὐτῦ ἐποιήσατο βσεβείας τὸν ὑπὲρ τῆς κατ' αὐτὸν πεπλανημένης αἱρέσεως προβαλλόμβυ@ λόγον, καὶ ἕτω δῆθεν σωηγορῶν. ἐφ' οἷς ἡ πανβσεβὴς αὐτῦ καὶ βασιλικὴ μεγαλόνοια, (μὴ γὰρ τῆς ἄλλων τῦ Θεῦ χαρισμάτων καὶ τινὶ τῶν θείων δογμάτων καταπλυτεῖν ἔλαχε γνῶσιν,) διελέξασά τε καὶ θεαμββίσασα τινὶ μοχθηρὰν τότε δυσσέβειαν, τοῖς αὐτῦ βεβήλοις κακοτεχνίαις τὰ τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, ὡς ἀληθὴς ταύτης ὑπέρμαχ@, ὀρθᾷ ἐν ἀμώμητα ἀντεξήγαγε δόγματι. ἐν οἷς καὶ μιᾶς ἐνεργείας Χριστῦ τῦ ἀληθινῦ Θεῦ ἡμῶν ἐποιήσατο μνήμνιν. μετά τινα δὲ χρόνον ὁ αὐτὸς θεοσέπτ@ βασιλεὺς κατὰ τινὰ Λάζων γνομέν@ χώραν, τῆς, ὡς εἴρηται, γνομσύης αὐτῷ πρὸς τὸν αἱρετικὸν ἐκεῖνον Παῦλον διαλέξεως ἀνεμνήσθη παρυσία Κύρυ τῦ ἁγιωτάτυ, ἡνικαῦτα μὲν τὸν τῆς αὐτῆς φιλοχείσυ Λάζων χώρας μητροπολιτικὸν ἐπέχοντ@ θρόνον, νυνὶ δὲ τινὰ μεγάλην ποιμαίνοντ@ Ἀλεξάνδρειαν. ὁ δὲ ῥηθεὶς ἁγιώτατ@ ἀνὴρ τότων ἀκύσας πρὸς τινὰ αὐτῦ ἀπεκείθη γαλιλύην, μὴ εἰδέναι ἀκριβῶς, εἴτε μίαν, εἴτε δύο ἐνεργείας Χριστῦ τῦ ἀληθινῦ Θεῦ ἡμῶν χρεὼν ἐστὶ δογματίζειν. καὶ δὴ κατὰ κέλβσιν τῆς αὐτῦ βασεβείας διὰ γραμμάτων οἰκείων ἐπηρώτησεν ἡμᾶς ὁ ῥηθεὶς ἁγιώτατ@ ἀνὴρ, πάτερον χρὴ μίαν ἐνέργειαν, ἢ δύο ἐπὶ τῦ σωτῆρ@ ἡμῶν λέγεσθαι Χριστῦ· καὶ ἅπερ τινὰς οἴδαμβυ τῶν ἁγίων καὶ μακαρίων πατέρων μίαν εἰρηκότας ἐνέργειαν. ὅθεν ἡμεῖς τὰ τῆς οἰκείας εἰδήσεως αὐτῷ δι' ἡμετέρων ἐσημάναμβυ ἀντιγράφων, σείλαντες καὶ λόγον Μιννᾶ τῦ ἁγιωτάτυ πατριάρχυ τῆς θεοφυλάκτυ ταύτης καὶ βασιλίδος πόλεως γενομσύης, προσφωνηθέντα καὶ ἐπιδοθέντι παρ' αὐτῦ ἐνταῦθα παρόντι Βιγιλίῳ τῷ ἐν ἁγίοις τινὶ ὑμετέραν προηγησαμένῳ ἁγιωσύνην, ἔχοντα καὶ χρήσεις πατρικὰς διαφόρυς περὶ μιᾶς ἐνεργείας καὶ σύος θελήματος τῦ σωτῆρ@ ἡμῶν Χριστῦ τῦ ἀληθινῦ Θεῦ. οὐδὲν μὴν τοι παντάπασιν ἴδιον ἐν τοῖς τοιύτοις ἡμῶν ἀντιγράφοις ἀπεφηνάμεθα, ὡς ἔστι γνῶναι τὰς πανιέρυς ὑμᾶς τοῖς ἀποσαλεῖσιν ἰσοτύποις αὐτῶν ἐντυγχάνοντας. καὶ σιγιλιῶ μὲν ἐξ ἐκείνου τῦ χρόνυ τὸ τοιῦτον κεφάλαιον ἔλαβεν· ἐπειδὴ δὲ πρὸ ὀλίγυ ἡμερῦ σωεργίᾳ καὶ χάριτι τοῦ πάντας ἀνθρώπυς θέλοντ@ σωθῆναι Θεῦ, 1. Τιμοθ. 2. βσεβεῖ τε ζήλῳ τῦ κρατίστυ καὶ καλλινίκυ μεγάλυ βασιλέως παρορμηθεὶς Κῦρ@ ὁ ἁγιώτατος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως πατριάρχης, καὶ κοινὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτυργὸς φιλοθέως τε καὶ ἐπιεικῶς προεξέψατο τὰς κατὰ τινὰ Ἀλεξανδρέων μεγαλόπολιν τὰ Ἐτυχῦς καὶ Διοσκόρυ, Σεβήρυ τε καὶ Ἰυλιανῦ τῶν θεοσυγῶν νοσῦντας τῇ καθολικῇ προσελθεῖν ἐκκλησίᾳ· καὶ μετὰ πολλὰς διαλέξεις καὶ καμάτυς, ὃς μετὰ πλεί-

πλείστης φρονήσεως καὶ λυσιτελεστάτης οἰκονομίας ἐν τῷ πράγματι κατελάβετο, τὸ σπουδαζόμενον διὰ τῆς ἄνωθεν κατώρθωσε χάριτος, γεγόνασι μεταξὺ μέρους ἑκατέρου δογματικά τινα κεφάλαια. ἐφ' οἷς ἅπαντες οἱ πρώην μὲν εἰς διαφόρους * ἀπεσχοινισμένοι μερίδας, προπάτορας δὲ Διόσκορον καὶ Σεβῆρον τοὺς ἀλιτηρίους ἐπιγραφόμενοι, ἠνώθησαν τῇ ἁγιωτάτῃ καὶ μόνῃ καθολικῇ ἐκκλησίᾳ μία τε ποίμνῃ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἅπας ὁ τῆς Ἀλεξανδρέων φιλόχριστος γέγονε λαὸς, καὶ πᾶσα σχεδὸν πρὸς τούτοις ἡ Αἴγυπτος καὶ Θηβαΐς καὶ Λιβύη, καὶ αἱ λοιπαὶ τῆς Αἰγυπτιακῆς διοικήσεως ἐπαρχίαι. οὓς τινας ἦν ἰδεῖν πρὶν, ὡς εἰρήκαμεν, εἰς ἀναρίθμητον πλῆθος αἱρέσεων διεσκεδασμένους, εὐδοκίᾳ δὲ νῦν τοῦ Θεοῦ, καὶ σπουδῇ θεαρέστῳ τοῦ ῥηθέντος ἁγιωτάτου τῆς Ἀλεξανδρέων ἱεράρχου ἐν * γεγόνασι πάντες, μιᾷ φωνῇ καὶ ἑνότητι πνεύματος τὰ ὀρθὰ τῆς ἐκκλησίας ὁμολογοῦντες δόγματα. τῶν εἰρημένων δὲ καὶ ἐστοιχημένων ἐν καθέστηκε κεφάλαιον τὸ περὶ μιᾶς ἐνεργείας Χριστοῦ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν. τούτων οὕτως προεληλυθότων Σωφρόνιος ὁ ὁσιώτατος μοναχὸς, ὁ τανῦν, ὡς ἐξ ἀκοῆς καὶ * μονῆς μεμαθήκαμεν, τῆς Ἱεροσολυμιτῶν χειροτονηθεὶς προέδρος, οὔπω γὰρ αὐτοῦ τὰ ἐξ ἔθους συνοδικὰ μέχρι τοῦ νῦν ἐδεξάμεθα κατὰ τὴν Ἀλεξανδρέων τηνικαῦτα γενόμενος, καὶ τῷ ῥηθέντι ἁγιωτάτῳ πάπα συνὼν, ἡνίκα τὴν, ὡς εἴρηται, πρὸς τοὺς πρώην αἱρετικοὺς εὐδοκίᾳ Θεοῦ κατώρθου παράδοξον ἕνωσιν καὶ σὺν αὐτῷ τὰ περὶ τῶν τοιούτων διασκοπούμενος κεφαλαίων, ἠναντιώθη καὶ ἀντεῖπε πρὸς τὸ τῆς μιᾶς ἐνεργείας κεφάλαιον, δύο παντὶ τρόπῳ ἐνεργείας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀξιῶν δογματίζεσθαι. τοῦ δὲ λεχθέντος ἁγιωτάτου πάπα μάλιστα μὲν χρήσεις τινὰς αὐτῷ τῶν ἁγίων πατέρων προαγαγόντος σποράδην ἔν τισι τῶν οἰκείων συγγραμμάτων μίαν ἐνέργειαν εἰρηκότων, εἶτα δὲ καὶ ἐκ περιουσίας φάσκοντος, ὡς πολλάκις οἱ ἅγιοι πατέρες ἡμῶν διὰ τὸ κερδᾶναι πλειόνων ψυχῶν σωτηρίαν, τοιούτων ἀναφηέντων κεφαλαίων θεαρέστοις οἰκονομίαις χρησάμενοι φαίνονται καὶ συμβάσεσι, μηδὲν τῆς ἀκριβείας τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων παρασαλεύοντες· καὶ λέγοντος, ὡς ἄρα χρὴ ἐπὶ τοῦ παρόντος τοσούτων μυριάδων λαοῦ σωτηρίας ἐν χερσὶ προκειμένης μηδὲν περὶ τοῦ τοιούτου κεφαλαίου ἐριστικῶς ζυγομαχεῖν διὰ τὸ, ὡς εἴρηται, καὶ ὑπότινων θεσπεσίων πατέρων τὴν τοιαύτην εἰρῆσθαι φωνὴν, καὶ μηδὲν παρὰ τοῦτο τῆς ὀρθοδοξίας παραβλάπτεσθαι τὸν λόγον, ὁ ῥηθεὶς θεοφιλὴς Σωφρόνιος τὴν τοιαύτην οἰκονομίαν οὐδαμῶς κατεδέξατο, ἐπεὶ οὖν τούτου ἕνεκα μετὰ γραμμάτων τοῦ αὐτοῦ ἁγιωτάτου ἡμῶν συλλειτουργοῦ πρὸς ἡμᾶς παραγέγονε, καὶ τὸν περὶ τούτου καὶ παρ' ἡμῖν ἀνεκίνησε λόγον, ἐνιστάμενος τῶν τοιούτων ἐξαιρεθῆναι κεφαλαίων μετὰ τὴν γενομένην ἕνωσιν τὴν τῆς μιᾶς ἐνεργείας φωνὴν, σκληρὸν ἡμεῖς ἡγησάμεθα τοῦτο. πῶς γὰρ σκληρὸν οὐκ ἦν καὶ σφόδρα βαρύτατον, ἅτε δὴ μέλλον ἀναλύειν τε καὶ ἀναστρέπειν ὅλην ἐκείνην τὴν καλῶς γεγενημένην ὁμόνοιάν τε καὶ ἕνωσιν κατὰ τε τὴν Ἀλεξανδρέων πόλιν, καὶ κατὰ πάσας τὰς ὑπ' αὐτὴν ἐπαρχίας, τὰς ἐν μηδενὶ καιρῷ μέχρι τοῦ νῦν καταδεξαμένας ὄνομα γοῦν ἁπλῶς τοῦ θεσπεσίου καὶ ἀοιδίμου πατρὸς ἡμῶν Λέοντος, ἢ τῆς ἁγίας καὶ μεγάλης, καὶ οἰκουμενικῆς ἐν Χαλχηδόνι συνόδου ἐπὶ μνήμης φέρειν, νυνὶ δὲ λαμπρᾷ καὶ μεγάλῃ τῇ φωνῇ ἐν ταῖς θείαις μυσταγωγίαις ταύτην ἀνακηρύττοντας; πολλῶν τοίνυν περὶ τούτου κεκινημένων λόγων ἡμῖν πρὸς τὸν εἰρημένον ὁσιώτατον Σωφρόνιον, τέλος προετρέψαμεν αὐτὸν χρήσεις ἡμῖν προκομῆσαι ἁγίων καὶ ἐκκρίτων πατέρων, ἐκείνων μέν τοι προδήλως, οὓς ἅπαντες κοινοὺς διδασκάλους ὁμολογοῦμεν, καὶ ὧν τὰ δόγματα νόμον αἱ ἅγιαι τοῦ Θεοῦ ἐκκλησίαι γινώσκουσι, δύο ῥητῶς καὶ αὐταῖς λέξεσιν ἐνεργείας ἐπὶ Χριστοῦ λέγειν παραδιδούσας· ὁ δὲ τοῦτο ποιῆσαι παντοίως ἠπόρησεν. ἡμεῖς οὖν τὴν ἐντεῦθεν ἀρξαμένην ἐξάπτεσθαί τισι τῶν ἐνταῦθα ἀμφισβήτησιν κατανοήσαντες, καὶ εἰδότες ὡς ἐκ τῶν τοιούτων ἀεὶ φιλονεικιῶν αἱ τῶν αἱρέσεων διχοστασίαι γεγόνασιν, ἀναγκαῖον ἐκρίναμεν πᾶσαν θέσθαι σπουδὴν πρὸς τὸ καταπαῦσαί τε καὶ ἐκκόψαι τὴν περιττὴν ταύτην λογομαχίαν. καὶ πρὸς μὲν τὸν συχνῶς εἰρημένον ἁγιώτατον τῆς Ἀλεξανδρέων πατριάρχην γεγραφήκαμεν, ὥστε αὐτὸν τὴν πρὸς τοὺς πάλαι χωριζομένους ἕνωσιν σὺν Θεῷ κατορθώσαντα, μηκέτι τοῦ λοιποῦ τινι συγχωρεῖν μίαν ἢ δύο προφέρειν ἐνεργείας ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ἀλλὰ μᾶλλον, καθάπερ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ παραδεδώκασι σύνοδοι, ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἐνεργεῖν ὁμολογεῖν τά τε θεῖα καὶ ἀνθρώπινα, καὶ πᾶσαν θεοπρεπῆ καὶ ἀνθρωποπρεπῆ ἐνέργειαν ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ σεσαρκωμένου Θεοῦ λόγου ἀδιαιρέτως προϊέναι, καὶ εἰς ἕνα καὶ τὸν αὐτὸν ἀναφέρεσθαι· διὰ τὸ τὴν μὲν μιᾶς ἐνεργείας φωνὴν, εἰ καί τισι τῶν ἁγίων εἴρηται πατέρων, ὅμως ξενίζειν καὶ θορυβεῖν τάς τινων ἀκοὰς, ὑπολαμβανόντων ἐπ' ἀναιρέσει ταύτην προφέρεσθαι τῶν ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν ἀσυγχύτως καὶ καθ' ὑπόστασιν ἡνωμένων δύο φύσεων· ὅπερ οὐκ ἔστι ποτὲ, μηδὲ γένοιτο. ὡσαύτως δὲ καὶ τὴν τῶν δύο ἐνεργειῶν ῥῆσιν πολλοὺς σκανδαλίζειν, οἷα μηδέ τινι τῶν θεσπεσίων τε καὶ ἐκκρίτων τῆς ἐκκλησίας εἰρημένην μυσταγωγῶν· ἀλλὰ γὰρ καὶ ἕπεσθαι ταύτῃ τὸ καὶ δύο πρεσβεύειν θελήματα ἐναντίως πρὸς ἄλληλα ἔχοντα, ὡς τοῦ μὲν Θεοῦ λόγου τὸ σωτήριον θέλοντος ἐκπληρωθῆναι πάθος, τῆς δὲ κατ' αὐτὸν ἀνθρωπότητος ἀντιπιπτούσης τῷ αὐτοῦ θελήματι καὶ ἐναντιουμένης, καὶ ἔνθεν δύο τοὺς τἀναντία θέλοντας εἰσάγεσθαι, ὅπερ δυσσεβές. ἀδύνατον γὰρ ἑνὶ καὶ τῷ αὐτῷ ὑποκειμένῳ δύο ἅμα καὶ κατὰ ταυτὸν * ὑφεστάναι θελήματα. ἡ δὲ σωτήριος

* Pro ἀπεσχισμένοι. Hard.

* L. ἐν χεῖλος.

* L. μονῆς.

* L. ἐναντία ὑφ.

ριος τῶν θεοφόρων πατέρων διδασκαλία ἐναργῶς ἐκπαιδεύει τὸ, μηδέποτε τὴν νοερῶς ἐψυχωμένην τοῦ κυρίου σάρκα κεχωρισμένως καὶ ἐξ οἰκείας ὁρμῆς ἐναντίως τῷ νεύματι τοῦ ἡνωμένου αὐτῇ καθ' ὑπόστασιν Θεοῦ λόγου τὴν φυσικὴν αὐτῆς ποιήσασθαι κίνησιν, ἀλλ' ὁπότε, καὶ οἵαν, καὶ ὅσην αὐτὸς ὁ Θεὸς λόγος ἠβούλετο· καὶ σαφῶς εἰπεῖν, ὃν τρόπον τὸ σῶμα τὸ ἡμέτερον ἡγεμονεύεται καὶ κοσμεῖται καὶ τάττεται ὑπὸ τῆς νοερᾶς καὶ λογικῆς ἡμῶν ψυχῆς, οὕτως καὶ ἐπὶ τοῦ δεσπότου Χριστοῦ ὅλον τὸ ἀνθρώπινον αὐτοῦ σύγκριμα ὑπὸ τῆς αὐτοῦ τοῦ λόγου θεότητος ἀεὶ καὶ ἐν πᾶσιν ἀγόμενον θεοκίνητον ἦν, κατὰ τὸν τῆς Νύσσης Γρηγόριον, λέγοντα ἐν τοῖς κατ' Εὐνομίου οὕτως· καθὸ Θεὸς ὁ υἱὸς, ἀπαθὴς πάντως ἐστὶ καὶ ἀκήρατος. εἰ δέ τι πάθος ἐν τῷ εὐαγγελίῳ περὶ αὐτοῦ λέγοιτο, διὰ τοῦ ἀνθρωπίνου πάντως τοῦ δεχομένου τὸ πάθος, τὸ τοιοῦτον ἐνήργησεν. ἐνεργεῖ γὰρ ὡς ἀληθῶς ἡ θεότης διὰ τοῦ περὶ αὐτὴν σώματος τὴν τοῦ παντὸς σωτηρίαν· ὡς εἶναι τῆς μὲν σαρκὸς τὸ πάθος, τοῦ δὲ Θεοῦ τὴν ἐνέργειαν. ταύτην τοίνυν τὴν ἀρξαμένην ἀνάπτεσθαι φιλονεικίαν ἑωρακότες, ἀναγκαῖον ταῖς τετριμμέναις μᾶλλον τῶν ἁγίων πατέρων φωναῖς καὶ συνοδικῶς ὡρισμέναις διὰ πάντων ἀκολουθῆσαι· καὶ μήτε τὰ σπανίως ὑπό τινων πατέρων εἰρημένα, καὶ οὐ περὶ αὐτὰ τὸν σκοπὸν ἐσχηκότων, ὥστε σαφῆ καὶ ἀναμφίλεκτον τὴν περὶ αὐτῶν ἐκθέσθαι διδασκαλίαν, εἰς κανόνα καὶ νόμον πάντως ἄγειν δογματικὸν, ὁποῖόν ἐστι καὶ τὸ περὶ μιᾶς ἐνεργείας αὐτοῖς εἰρημένον· μήτε μὴν τὰ μηδαμῶς εἰρημένα τοῖς ἐκκρίτοις πατράσιν, ὑπό τινων δὲ νῦν προφερόμενα, φημὶ δὴ τὰς δύο ἐνεργείας ὡς δόγμα προφέρειν ἐκκλησιαστικόν. καὶ πέρας ἔδοξε καὶ ἐστέρχθη, ὥστε τὸν εἰρημένον ὁσιώτατον Σωφρόνιον μηδένα τὸ λοιπὸν περὶ μιᾶς ἢ δύο ἐνεργειῶν λόγον κινεῖν, ἀλλ' ἀρκεῖσθαι τῇ προλελεγμένῃ ἀσφαλεῖ τε καὶ τετριμμένῃ τῶν ἁγίων πατέρων ὀρθοτομίᾳ τε καὶ διδασκαλίᾳ. τούτοις οὖν ἀρκεσθεὶς ὁ συχνῶς εἰρημένος ὁσιώτατος ἀνὴρ, καὶ παραφυλάττειν αὐτὰ διαβεβαιωσάμενος, ἤτησεν ἡμᾶς καὶ δι' ἐπιστολῆς τὴν περὶ τούτων αὐτῷ παραχεῖν ἀπόκρισιν, ὥστε τὴν τοιαύτην αὐτὸν, * ὡς εἰπεῖν, ἐπιστολὴν ἐπιδεικνύναι τοῖς ὡς εἰκὸς ἐπερωτᾶν αὐτὸν περὶ τῆς εἰρημένης ζητήσεως βουλομένοις, ὃ δὴ καὶ ἀσμένως πεπράχαμεν. ὁ μὲν οὖν ἐπὶ τούτοις ἐντεῦθεν ἐξεπλεύσεν· ἀρτίως δὲ ὁ πανευσεβὴς καὶ θεοστήρικτος ἡμῶν δεσπότης κατὰ τὴν Ἐδεσσηνῶν διατρίβων πόλιν πανευσεβῆ κεραίαν ἐποιήσατο πρὸς ἡμᾶς παρακελευομένην, ἵνα τὰς πατρικὰς ἐκείνας παρεκβάλωμεν χρήσεις, τὰς ἐμφερομένας τῷ γενομένῳ, ὡς εἴρηται, παρὰ τοῦ ἐν ἁγίοις Μηνᾶ πρὸς τὸν ἁγιώτατον Βιγίλιον δογματικῷ περὶ μιᾶς ἐνεργείας καὶ ἑνὸς θελήματος λόγῳ, καὶ ταύτας τῇ θεοσόφῳ αὐτοῦ ἀποστείλωμεν γαληνότητι· ὃ δὴ καὶ πρὸς ἔργον ἠγάγομεν. ἡμεῖς δὲ τὴν τῶν ἤδη κεκινημένων ἔχοντες μνήμην, καὶ τὸν ἐκ τῆς ταιαύτης κινήσεως ἀρξάμενον θόρυβον ἐπιστάμενοι, ἀνηγάγομεν τῇ αὐτοῦ πανευσεβεῖ γαληνότητι διὰ μεταξίας ἡμῶν ἀναφορᾶς, καὶ γραμμάτων πρὸς τὸν εὐκλεέστατον βασιλικὸν σακελλάριον τῶν περὶ τούτου παρ' ἡμῶν γενομένων ἅπασαν ἑξῆς τοῦ κεφαλαίου τὴν λεπτομέρειαν, καὶ ὡς οὐ χρὴ τὰ περὶ τῆς τοιαύτης ζητήσεως ἐρευνᾶν, ἀλλ' ἐμμένειν τῇ τετριμμένῃ καὶ συμφώνως παρὰ πάντων ὁμολογουμένῃ πατρικῇ διδασκαλίᾳ περὶ τοῦ τοιούτου ζητήματος, καὶ ὁμολογεῖν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ, τὸν ὄντα κατὰ ἀλήθειαν Θεὸν ἅμα καὶ ἄνθρωπον, τὸν αὐτὸν ἐνεργεῖν τὰ θεῖα καὶ τὰ ἀνθρώπινα· καὶ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ σεσαρκωμένου Θεοῦ λόγου, καθὰ φθάσαντες ἔφημεν, πᾶσαν προϊέναι ἀμερίστως καὶ ἀδιαιρέτως θείαν τε καὶ ἀνθρωπίνην ἐνέργειαν. τοῦτο γὰρ ἡμᾶς ὁ θεοφόρος ἐκδιδάσκει Λέων διαρρήδην εἰπών· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκεν. ἐφ' οἷς ἀντίγραφον πανευσεβῆ κέλευσιν τοῦ πανημέρου αὐτοῦ ἐδεξάμεθα κράτους τὰ πρέποντα τῇ θεοδηγήτῳ αὐτοῦ περιέχουσαν γαληνότητι. τούτων οὖν ἁπάντων ἄνωθεν οὕτω παρηκολουθηκότων, εὔλογον ἅμα καὶ ἀναγκαῖον ἐκκρίναμεν τῶν κατὰ μέρος ἐμνημονευμένων τὴν εἴδησιν τῇ ὑμετέρᾳ ἀδελφικῇ καὶ ὁμοψύχῳ μακαριότητι παραχεῖν διὰ τῶν ἐσταλμένων παρ' ἡμῶν ἰσοτύπων. καὶ προτρέπομεν τοὺς πανιέρους ὑμᾶς τούτοις ἅπασιν ἐντυχεῖν, καὶ τῇ προσούσῃ ὑμῖν θεαρέστῳ καὶ πληρεστάτῃ ἀγάπῃ καὶ νῦν ἑπομένους, εἴ τί περ ἴσως ἐλλεῖπον * εἴρηται, τοῦτο τῇ δεδωρημένῃ ὑμῖν ἐκ Θεοῦ χάριτι ἀναπληρῶσαι, καὶ δι' ὁσίων ὑμῶν συλλαβῶν σὺν τῇ ὑμετέρᾳ εὐκταίᾳ ῥώσει τὰ περὶ τούτων ὑμῖν δοκοῦντα σημάναι.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου ἀντίγραφος ἐπιστολὴ Ὀνωρίου πάπα Ῥώμης πρὸς τὸν αὐτὸν Σέργιον, ἔχουσα οὕτως.

Τὰ γραφέντα παρὰ τῆς ὑμετέρας ἀδελφότητος ἐδεξάμεθα, δι' ὧν φιλονεικίας τινὰς καὶ νέας φωνῶν ζητήσεις ἔγνωμεν εἰσενεχθείσας παρὰ Σωφρονίου τινὸς, τηνικαῦτα μὲν μοναχοῦ, νυνὶ δὲ ὡς ἀκούομεν, ἐπισκόπου καθεστῶτος τῆς Ἱεροσολυμιτῶν πόλεως, κατὰ Κύρου τοῦ ἡμετέρου ἀδελφοῦ τῆς Ἀλεξανδρέων πόλεως προέδρου, μίαν ἐνέργειαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῖς ἐπιστρέψασιν ἐκ τῶν αἱρέσεων κηρύξαντος. ὅστις Σωφρόνιος παραγενόμενος πρὸς τὴν ὑμετέραν ἀδελφότητα, καὶ τὴν τοιαύτην ἀποτιθέμενος μέμψιν, πολυτρόπως παιδευθεὶς ᾔτησε, περὶ ὧν παρ' ὑμῶν κατηχήθη, ἐγγράφως αὐτῷ σαφηνισθῆναι. ὧν τινων γραμμάτων πρὸς τὸν αὐτὸν Σωφρόνιον πεμφθέντων παρ' ὑμῶν δεξάμενοι τὰ ἴσα, καὶ ἐντυχόντες ἐπαινοῦμεν τὴν ὑμετέραν ἀδελφότητα μετὰ πολλῆς προνοίας τε καὶ ἐπισκέψεως γράψαι περιαιροῦσαν τὸ καινὸν τῆς ὀνομασίας, δυνάμενον τοῖς ἁπλουστέροις σκάνδαλον εἰσάγειν. ἡμᾶς γὰρ δέον ἐστὶ βαδίζειν ὥσπερ ἐλάβομεν. καὶ γὰρ προηγουμένου τοῦ Θεοῦ παρεγενόμεθα πρὸς τὸ μέτρον τῆς ὀρθῆς πίστεως,

* εἰς εἶπε

* εἴρηται ἢ περισσὸν

*L τῇ χοινίᾳ σεως, ἱνὰ τινα οἱ ἀπόστολοι τῆς ἀληθείας * τῷ φωτὶ τῇ θείων γραφῶν ἐξέτειναν, ὁμολογοῦντες τὸν κύριον Ἰησοῦν Χριστὸν μεσίτιν Θεοῦ καὶ ἀνθρώπων ἐνεργοῦντα τὰ θεῖα μεσιτεύσης τῆς ἀνθρωπότητος τῆς ἐνωθείσης αὐτῷ τῷ Θεῷ λόγῳ καθ' ὑπόστασιν. καὶ τὸν αὐτὸν ἐνεργοῦντα τὰ ἀνθρώπινα ἀφράστως καὶ μονογενῶς προσληφθείσης τῆς σαρκὸς ἀδιαιρέτως, ἀξέπτως, ἀσυγχύτως, * τελείως * τῆς θεότητος. καὶ ὁ ἐκλάμψας ἐν σαρκὶ τοῖς θαύμασι τελείᾳ θεότητι. αὐτός ἐστιν ὁ καὶ τῆς σαρκὸς τὰς διαθέσεις τοῖς ἐνεδισμοῖς τὸ πάθος ἐνεργήσας τέλειος Θεὸς καὶ ἄνθρωπος. εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων ἐν ἑκατέραις ταῖς φύσεσι, λόγος σὰρξ γενόμενος καὶ ἐνῴκησεν ἐν ἡμῖν, αὐτὸς υἱὸς ἀνθρώπου καταβὰς ἐξ οὐρανοῦ, εἷς καὶ ὁ αὐτός, καθὼς γέγραπται σωρωθεὶς ὁ κύριος τῆς δόξης, ὁπόταν ὁμολογήσῃ τὴν θεότητα μηδαμῶς δυνάσθαί τινα ὑπομεῖναι ἀνθρώπινα πάθη· καὶ οὐκ ἐξ οὐρανοῦ ἀλλ' ἐκ τῆς ἁγίας θεοτόκου προσελήφθη ἡ σάρξ· (διὰ ἑαυτῆς γὰρ ἡ ἀλήθεια ἐν τοῖς εὐαγγελίοις οὕτως εἶπεν. οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.) δηλαδὴ παιδεύουσα ἡμᾶς, ὅτι τῇ θεότητι ἑνώθη ἡ παθητὴ σὰρξ ἀφράστως καὶ μονογενῶς, ὡς ὑπερκεκαλυμμένως καὶ ἀσυγχύτως, οὕτω καὶ ἀδιαιρέτως δόξῃ συνεῖναι.

Ὅπως ἀναμφιλέκτως θαυμαστῷ λόγῳ νοητὴν μένουσαν τῆς διαφορᾶς ἑκατέρων φύσεων σώζεσθαι, ᾧ τινι ὁ ἀπόστολος σωφάντων πρὸς Κορινθίους εἶπε. σοφίαν λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν τὴν ἐν μυστηρίῳ ἀποκεκρυμμένην. ἣν προώρισεν ὁ Θεὸς εἰς δόξαν ἡμῶν πρὸ τῶν αἰώνων, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνω. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ὁπότε μὲν δηλαδὴ ἡ θεότης οὐδὲ σωρωθῆναι ἠδυνάτο, οὐδὲ παθῶν ἀνθρωπίνων πεῖραν λαμβάνειν. διὰ τοῦτο κατ' ἀμφότερα καὶ Θεὸς λέγεται παθεῖν, καὶ ἡ ἀνθρωπότης ἐκ τοῦ οὐρανοῦ κατελήλυθέναι μὴ τῆς θεότητος. ὅθεν καὶ σὺν θέλημα ὁμολογοῦμεν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ. ἐπειδὴ προθήλως ὑπὸ τῆς θεότητος προσελήφθη ἡ ἡμετέρα φύσις, οὐκ ἁμαρτία ἐν ἐκείνῃ, δηλαδὴ ἡ φύσις ἡ πρὸ τῆς ἁμαρτίας κτισθεῖσα, οὐκ ἦτις μὴ τὴν παράβασιν ἐφθάρη. Χριστὸς γὰρ ὁ κύριος ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας παραγενόμενος, τὴν ἁμαρτίαν ἀφεῖλε τοῦ κόσμου, καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. καὶ μορφὴν δούλου λαβὼν ἐν σχήματι εὑρέθη ὡς ἄνθρωπος. ἐπειδὴ γὰρ χωρὶς ἁμαρτίας σωσελήφθη ἐκ παρθένου ἁγίας, διὰ τοῦτο καὶ χωρὶς ἁμαρτίας ἐστὶν ὁ τόκος ὁ ἐκ τῆς ἁγίας ἀχράντου, παρθένου καὶ θεοτόκου, μὴ μετασχοῦσα πείρας τῆς ἁμαρτησάσης φύσεως. τὸ γὰρ τῆς σαρκὸς ἄνομα κατὰ δύο τρόπους διὰ τῶν θείων λογίων ἐπὶ καλῷ καὶ ἐπὶ κακῷ ἐγνωμεν λαμβάνεσθαι, καθὼς γέγραπται· ἐὰν μὴ κατοικήσῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διότι εἰσὶ σάρξ. καὶ ὁ ἀπόστολος· σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. καὶ πάλιν· τῷ νῷ δουλεύω τῷ νόμῳ τοῦ Θεοῦ, τῇ δὲ σαρκὶ τῷ νόμῳ τῆς ἁμαρτίας. θεωρῶ δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, ὃς ἐστιν ἐν τοῖς μέλεσί μου· καὶ πολλὰ τοιαῦτα ἐπὶ κακῷ ἀπολύτως εἰώθε νοεῖσθαί τε καὶ λέγεσθαι. ἐπ' ἀγαθῷ δὲ ὅτως, Ἡσαΐου τοῦ προφήτου λέγοντος. ἐλεύσεται πᾶσα σὰρξ ἐν Ἱερουσαλήμ, καὶ προσκυνήσουσιν ἐνώπιόν μου. καὶ ἐν τῷ Ἰώβ. ἐν τῇ σαρκί μου ὄψομαι τὸν Θεόν. καὶ ἀλλαχοῦ· ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. καὶ ἄλλα διάφορα. οὐ προσελήφθη ἔν καθὼς εἰρήκαμεν, ἀπὸ τοῦ σωτῆρος ἡ ἁμαρτήσασα φύσις, ἡ ἀντιστρατευομένη τῷ νόμῳ τοῦ νόος, ἀλλ' ἦλθε ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς, τουτέστι τὴν ἁμαρτήσασαν τοῦ ἀνθρωπίνου γένους φύσιν. ἕτερος γὰρ νόμος τοῖς μέλεσιν, ἢ θέλημα διάφορον, ἢ ἐναντίον οὐ γέγονεν ἐν τῷ σωτῆρι, ἐπειδὴ καὶ ὑπὲρ νόμον ἀνθρωπίνης φύσεως ἐτέχθη. καὶ γὰρ γέγραπται· οὐκ ἦλθον ποιῆσαι τὸ θέλημά μου, ἀλλὰ τοῦ πέμψαντός με πατρός. καὶ· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὅπερ σὺ θέλεις πάτερ. καὶ ἄλλα τοιαῦτα ἅπερ οὐκ εἰσὶ ταὐτὰ διαφόρου θελήματος, ἀλλὰ τῆς οἰκονομίας τῆς ἀνθρωπότητος τῆς προσληφθείσης. ταῦτα γὰρ δὴ ἡμᾶς ἐλέχθη, οἷς δέδωκε παράδειγμα, ἵνα τοῖς ἴχνεσιν αὐτοῦ ἐπώμεθα, ὁ τῆς εὐσεβείας διδάσκαλος τοὺς μαθητὰς διδάσκων, ἵνα μὴ τὸ ἴδιον ἕκαστος ἡμῶν, ἀλλὰ τὸ τοῦ κυρίου μᾶλλον ἐν πᾶσι προτιμήσῃ θέλημα· ὁδῷ τοίνυν βασιλικῇ πορευόμενοι δεξιᾶ καὶ ἀριστερᾶ τῆς θηριώδους τὰς πετρώδεις παγίδας ἐκφεύγοντες πρὸς λίθον τὸν ἡμέτερον μὴ προσκρούσωμεν πόδα, τοῖς Ἰουδαίοις, τουτέστι τοῖς γηΐνοις αἱρετικοῖς τὰ οἰκεῖα καταλιμπάνοντες· μηδ' εἰς ἴχνος ποδὸς ἑτέρου, τουτέστιν εἰς τὴν φαύλην αὐτῶν διδασκαλίαν παντὶ τρόπῳ αἱ διάνοιαι ἡμῶν προσφαύσωσιν, ὅπως δυνηθῶμεν κατευθῦναι πρὸς τὰς παθείας ὁδοὺς τοὺς ἴβοις τῆς ἡμερίων ἡμῶν βαδίζοντες. κἂν εἴ τινες ψελλίζοντες, ἵνα ὅτως εἴπωμεν, ἐπεχείρησαν προφέροντες ἐκθέσθαι, τιμῶντες αὐτοὺς ἐν σχήματι διδασκάλων, ὅπως δυνηθῶσι τὰς διανοίας τυπῶσαι τῶν ἀκροατῶν, οὐ χρὴ ταῦτα πρὸς δόγματι ἐκκλησιαστικὰ μεταστρέφειν, ἅπερ οὐδὲ συνόδοι κατεξέτισαν, οὐδὲ αὐθεντίαι κανονικαὶ ἔδοξαν σαφηνίζειν, ἵνα μίαν ἢ δύο ἐνεργείας τις τολμήσῃ ἐπὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ κηρύξαι. ἃς οὐδὲ διαγγελικὰ, οὐδὲ ἀποστολικὰ γράμματα, οὐδὲ συνοδικαὶ κείσεις φαίνονται εἰσάσαι. εἰ μὴ, ὡς προείπομεν, τινὲς ψελλίζοντες τινὰ ἐδίδαξαν συγκαταβαίνοντες πρὸς τὸ τιμῶν τὰς διανοίας καὶ σύνοιαν τῶν ἔτι νηπιαζόντων. ἃ ἵνα πρὸς τὰ ἐκκλησιαστικὰ δόγματα φέρεσθαι οὐκ ὀφείλει, ἅπερ εἷς ἕκαστος ἐν τῷ ἰδίῳ λογισ-

*τελείας
*ὑπ. ὑπὸ τῆς θεόν.

Ἰωάν. 3.

1. Κορ. 2.

Φιλιπ. 2.

γενεσ. 6.

1. Κορ. 5. Ῥωμ. 7.

Ἡσαΐ. 66.

Ἰωβ. 19.

Λυκ. 3.

Λυκ. 16.

Ἰωάν. 8. Ματθ. 26.

γισμῷ πλημμυρῶν ὡς οἰκείαν γνώμιν προφέρει. ὅτι γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο, εἷς καὶ ὁ αὐτός ἐστιν ἐνεργῶν τὰ θεῖα καὶ τὰ ἀνθρώπινα τελείως, αἱ θεῖαι γραφαὶ φανερῶς ἀποδεικνύουσι. πότερον δὲ διὰ τὰ ἔργα τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος μία ἢ δύο ἐνέργειαι ὤφελον παραγόμενα λέγεσθαι ἢ νοεῖσθαι, ταῦτα πρὸς ἡμᾶς ἀνήκειν ἐκ ὤφελον, ἀλλὰ καταλιμπάνομεν ταῦτα τοῖς γραμματικοῖς, ἤγουν τεχνογράφοις, οἵτινες εἰώθασι τοῖς παισὶν ἐν τῷ παραγωγὰς ποιεῖν τὰ ἐφελκόμενα παρ' αὐτοῖς ὀνόματα πιπράσκειν. ἡμεῖς γὰρ ὑ * μίαν ἐνέργειαν ἢ δύο τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ τὸ αὐτοῦ ἅγιον πνεῦμα ἐξ ὧν τῶν ἁγίων γραφῶν παρελάβομεν, ἀλλὰ πολυτρόπως ἐγνωμεν αὐτὸν ἐνεργοῦντα. γέγραπται γάρ. Ὃς ἂν ἔχει τὸ πνεῦμα τοῦ Χριστοῦ, οὗτος ἂν ἐστιν αὐτοῦ. καὶ πάλιν. οὐδεὶς δύναται λέγειν, κύριος Ἰησοῦς, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ αὐτὸς δὲ κύριος· καὶ διαιρέσεις ἐνεργειῶν εἰσὶν, ὁ αὐτὸς δὲ Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ἐὰν γὰρ αἱ διαιρέσεις τῶν ἐνεργειῶν πολλαί εἰσι, καὶ ταύτας πάσας ὁ Θεὸς ἐν πᾶσι τοῖς μέλεσι τοῦ πεπληρωμένου σώματος ἐνεργεῖ, πόσῳ μᾶλλον ἐν τῇ κεφαλῇ ἡμῶν Χριστῷ τῷ κυρίῳ ταῦτα δύναται πληρέσαι ἁρμοσθῆναι; ὅπως καὶ ἡ κεφαλὴ καὶ τὸ σῶμα οὐ εἴη τέλειον. ἵνα δηλαδὴ σωδράμῃ, ὡς γέγραπται, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. εἰ γὰρ ἐν ἄλλοις, τυτέσιν ἐν τοῖς μέλεσι τοῖς ἰδίοις τὸ πνεῦμα τοῦ Χριστοῦ πολυτρόπως ἐνεργεῖ, οὐ ᾧ ζῶσι, καὶ κινοῦνται, καὶ εἰσί· πόσῳ μᾶλλον δι' ἑαυτοῦ τοῦ μέσιτου Θεοῦ καὶ ἀνθρώπων πληρέσαι καὶ τελειότατα, καὶ πολυτρόπως καὶ ἀφράστως ἡμᾶς δέον ἐστὶν ὁμολογεῖν τῇ κοινωνίᾳ ἑκατέρας φύσεως αὐτοῦ ἐνεργεῖν; καὶ ἡμᾶς μὴ χρὴ κατὰ τὰ θεσπίσματα καὶ τῶν θείων λογίων φρονεῖν καὶ ἀναπνεῖν, ἐκεῖνα δηλαδὴ ἀναξέποντας, ἅτινα ἁγισμῷ φωνῆς γινώσκονται τοῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις σκάνδαλα τίκτειν· μήπως οἱ νηπιάζοντες τῇ ἐπωνυμίᾳ τῶν δύο ἐνεργειῶν προσκόψαντες, τὴν Νεστοριανὴν μανίαν ἡμᾶς φρονεῖν νομίσωσιν. ἢ εἰ δηλαδὴ πάλιν μίαν ἐνέργειαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμολογητέαν εἶναι δοξάσωμεν, τὴν μωρὰν τῶν Εὐτυχιανιστῶν ταῖς ἐμβροντήτοις ἀκοαῖς ἄνοιαν ὁμολογεῖν νομισθῶμεν· παραφυλαττόμενοι, ἵνα μὴ ὧν τὰ μάτια καὶ κενὰ ὅπλα σωνεκαύθησαν, τούτων αἱ τέφραι ἀναμνήσωσι τοὺς πυρσοὺς ἀναζωπυρηθέντας τῶν φλογοφόρων ζητήσεων· ἁπλότητι καὶ ἀληθείᾳ ὁμολογοῦντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν σὺν καὶ τὸν αὐτὸν ἐνεργοῦντα σὺν τῇ θείᾳ καὶ ἀνθρωπίνῃ φύσει. βέλτιον μᾶλλον ὑπολαμβάνοντες, ἵνα οἱ μάταιοι τῶν φύσεων σαθμισαὶ, ἀργοὶ καὶ παγανικώτατοι φιλόσοφοι, τῦφον ἔχοντες καὶ οἰδαίνοντες καθ' ἡμῶν ἐπιψοφήσωσι τοῖς φωναῖς τοῦ καθέχων, ἵνα οἱ ἁπλούστεροι καὶ ταπεινοὶ τῷ πνεύματι λαοὶ τοῦ Χριστιανῶν δυνηθῶσι μύειν νήσεις. οὐδεὶς γὰρ ἀπατήσει ἐξ' φιλοσοφίας καὶ κενῆς ἀπάτης τοὺς μαθητὰς τοῦ ἁλιέως, τοὺς ἐπομένους τῇ τύπων διδασκαλίᾳ. πᾶσα γὰρ ὑπόθεσις ἡ πεζώδης καὶ περιῤῥέουσα πανούργῳ συλλογισμῷ ἐν τοῖς τύπων δικτύοις σωνεξίσθη. ταῦτα μεθ' ἡμῶν ἡ ἀδελφότης ἢ ὑμέτερα κηρύξει, καθὼς καὶ ἡμεῖς ταῦτα μεθ' ὑμῶν ὁμοψύχως κηρύσσομεν, προξέποντες ὑμᾶς, ἵνα τιὼ εἰσαχθεῖσαν προσηγορίαν τῆς νέας φωνῆς, τῆς μιᾶς ἢ τοῦ δύο ἐνεργειῶν ἐκφθέγοντες ὦσι μεθ' ἡμῶν τὸν κύριον Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, Θεὸν ἀληθινὸν ἐν δύο φύσεσιν ἐνεργοῦντα τὰ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, ὀρθοδόξῳ πίστει καὶ σύνεσι καθολικῇ κηρύξητε. ἡ ὑπογραφή. ὁ Θεός σε ἐῤῥωμένον φυλάξοι ἀγαπητὲ καὶ ἁγιώτατε ἀδελφέ.

Ῥωμ. 8.

* Κορινθ. 12.

Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ἁγία συνόδος εἶπον· δέον ἀχθῆναι πρὸς ἡμᾶς τὰ ῥήγιστρα καὶ δογματικὰ συγγράμματα, τὰ ἐκτεθέντα ὑπὸ Σεργίου τοῦ γλυκυμήλου * τῆς βασιλίδος ταύτης πόλεως, εἴτε πρὸς Ονώριον, ἢ Κῦρον, ἢ Σωφρόνιον, ἢ καὶ πρὸς ἕτερα πρόσωπα, ἢ καὶ ἀπὸ Ονωρίου πρὸς Σέργιον γλυκύμυα τῆς παρούσης σύνεκεν δογματικῆς ζητήσεως, καὶ ἀποκείμενα ἐν τῷ χαρτοφυλακίῳ τοῦ βαγοῦς τοῦ ἐντεῦθα πατριαρχείου, πρὸς ἀντιβολὴν τῶν παρὰ Μακαρίου ἐπιδοθέντων κωδικίων τῷ δυσεβεστάτῳ ἡμῶν βασιλεῖ, τῷ καὶ νεῷ ἀναγνωσθέντων.

* πατριάρχου

Γεώργιος τοίνυν ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐντεῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας μου πάσης σπουδῆς ἀπερχόμενος ἐν τῷ χαρτοφυλακίῳ τοῦ βαγοῦς πατριαρχείου τὰ λεχθέντα ἀναγέτω ῥήγιστρά τε καὶ συγγράμματα.

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἶπεν· καθὼς ἐκέλευσεν ὑμετέρα ἐνδοξότης καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν συνόδου, παραχρῆμα ἀπέρχομαι, καὶ ὅσα δύνειν δυνηθῶ, φέρω μεθ' ἑαυτοῦ.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον. τὸ μὲν παρὰ * Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος ὑποχεσθὲν πρὸς τέλειον πέρας ἀγέσθω· οἱ δὲ ὑπεκλαμβάνοντες τὰ ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ συνόδῳ πραττόμενα γινέσθωσαν ἅμα Ἰωάννῃ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ πόλεως Ρηγίου, καὶ Γεωργίῳ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Κυζίκου, καὶ Δομετίῳ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ πόλεως Προυσάδος πρὸς Μακάριον, καὶ ὑποδεικνύτωσαν αὐτῷ τά τε δύο βιβλία, ἅ τὸ σὺν αὐτοῖς χαρτῶον τεθάδιον· καὶ πιστωθανέσθωσαν παρ' αὐτοῦ, εἰ ἀληθῶς ταῦτα πονήματι αὐτοῦ Μακαρίου τυγχάνουσιν. ὡσαύτως δὲ ὑποδεικνύτωσαν αὐτῷ ἅ τὰ ξία κωδίκια, καὶ τὸν σὺν χάρτῃ, τὰ καὶ νῦν ἐπὶ ἡμῶν ἀναγνωσθέντα, εἰ ἄρα καὶ ταῦτα αὐτὸς ἐπιδέδωκε τῷ δυσεβεστάτῳ ἡμῶν

* αὐτῷ

δεσπότῃ καὶ μεγάλῳ βασιλεῖ, καὶ τὴν ἐξ αὐτοῦ διδομένην ἀπόκρισιν παραυτὰ πρὸς ἡμᾶς ἀγαγέτωσαν. καὶ πρὸς ὀλίγον ὑπεξελθόντες οἱ εἰρημένοι θεοφιλέστατοι ἐπίσκοποι ἅμα Παύλῳ καὶ Ἰωάννῃ τοῖς μεγαλοπρεπεστάτοις ἀσεκρέτις σεκρεταρίοις βασιλικοῖς, καὶ Ἀγάθωνι τῷ εὐλαβεστάτῳ ἀναγνώστῃ καὶ νοταρίῳ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως. καὶ παραγενόμενοι πρὸς Μακάριον, καὶ * ἀνθυποστρέψαντες εἶπον· ἀπελθόντες κατὰ τὴν κέλευσιν τῆς τε ὑμετέρας ἐνδοξότητος, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς ὑμῶν συνόδου ἀνήλθομεν ἐν τῷ εὐαγεῖ πατριαρχείῳ. καὶ εἰσελθόντες ἐν ἑνὶ κελλίῳ, ἔνθα ἐστὶ Μακάριος, ὡς ἐκελεύσατε, ἐπηρωτήσαμεν αὐτὸν εἰ ἐπιγινώσκει τὰ δύο βιβλία τὰς εἰς ὄνομα αὐτοῦ ἐπιγραφέντα, καὶ τὸ ἓν σὺν αὐτοῖς χαρτῷον τετράδιον, καὶ εἰ πονήματα αὐτοῦ τυγχάνουσιν ὅστις Μακάριος κομισάμενος αὐτὰ καὶ ἀναπτύξας καὶ κανονίσας εἶπε· ναὶ δέσποτα, ἀκριβῶς ἐμὰ πονήματά εἰσι, καὶ ἐπιγινώσκω αὐτά. ὁμοίως δὲ ὑπεδείχθησαν αὐτῷ καὶ τὰ τρία κωδίκια, καὶ τὸ ἓν χαρτίον, ἅπερ καὶ κατὰ τὴν σήμερον ἡμέραν ἀνεγνώσθησαν. καὶ κανονίσας καὶ αὐτὰ εἶπε· ναὶ δέσποτα, γνωρίζω αὐτά· κατὰ γὰρ τὸν περυσινὸν χρόνον ἐπιδέδωκα αὐτὰ τῷ δεσπότῃ, καὶ ἀληθῶς ἐπιγινώσκω αὐτά.

* μετὰ βραχυ

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἰσελθὼν ἐν μέσῳ τῆς ἁγίας συνόδου εἶπε· κατὰ τὰ κελευσθέντα μοι παρά τε τῆς ὑμετέρας ἐνδοξότητος, καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἀπελθὼν ἐν τῷ χαρτοφυλακίῳ τοῦ εὐαγοῦς πατριαρχείου, ἅπερ εὑρεῖν ἠδυνήθην κωδίκια ἤτοι ῥέγιστρα, ἐπιφέρομαι πρὸς τὸ ὑμῖν παραστησόμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον. ἐπιδιδότω Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ πρὸς ἀνάγνωσιν ἤτοι ἀντιβολὴν τῶν ἐπιδοθέντων παρὰ Μακαρίου κωδικίων τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ, ἅπερ ἐπιφέρεται κωδίκια ἤτοι ῥέγιστρα. καὶ λαβὼν Ἀντίοχος, ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος Γεωργίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, κωδίκιον ἤτοι ῥέγιστρον διαφόρων ἐπιστολῶν Σεργίου γενομένου πατριάρχου Κωνσταντινουπόλεως, ἀνέγνω ἐπιστολὴν τοῦ αὐτοῦ Σεργίου πρὸς Κῦρον ἐπίσκοπον γενόμενον Λαζίκης. καὶ ἀντεβλήθη πρὸς τὸ προσενεχθὲν διὰ Ἰωάννου τοῦ ἐνδοξοτάτου κοιαίστωρος κατὰ Μακαρίου κωδίκιον, καὶ ἐστοίχησεν.

Ἔτι προηνέχθη ἕτερον κωδίκιον ἤτοι ῥέγιστρον ἀναγνωσθὲν ὁμοίως διὰ τοῦ αὐτοῦ εὐλαβεστάτου Ἀντιόχου, ἔχον ἐπιστολὴν Σεργίου πατριάρχου, γενομένου Κωνσταντινουπόλεως πρὸς Ὀνώριον γενόμενον πάπαν Ῥώμης. καὶ ἀντεβλήθη πρὸς τὸ ἐπιδοθὲν κωδίκιον παρὰ Μακαρίου τῷ εὐσεβεστάτῳ βασιλεῖ, καὶ ἐστοίχησεν. ὁμοίως προηνέχθη παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος αὐθεντικὴ ἐπιστολὴ Ῥωμαϊκὴ Ὀνωρίου γενομένου πάπα Ῥώμης πρὸς Σέργιον πατριάρχην Κωνσταντινουπόλεως μετὰ καὶ τῆς αὐτῆς ἑρμηνείας. καὶ ἀντεβλήθη ἡ αὐτὴ Ῥωμαϊκὴ ἐπιστολὴ διὰ Ἰωάννου τοῦ θεοφιλεστάτου ἐπισκόπου πόλεως Πόρτου, ἑνὸς τυγχάνοντος τῆς συνόδου τῆς πρεσβυτέρας Ῥώμης, καὶ ἐστοίχησεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. τὴν εἴδησιν λαβοῦσα ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος καὶ τῶν νῦν ἀναγνωσθέντων καὶ ἀντιβληθέντων περί τε Σεργίου τοῦ γενομένου πατριάρχου τῆς βασιλίδος ταύτης πόλεως, καὶ περὶ Ὀνωρίου γενομένου πάπα Ῥώμης, ἔτι δὲ καὶ Σωφρονίου τοῦ γενομένου πατριάρχου Ἱεροσολύμων τὰ δοκοῦντα αὐτῇ διεξίτω.

Ἡ ἁγία σύνοδος εἶπε. κατὰ τὰ διαλαληθέντα παρὰ τῶν ἐνδοξοτάτων ὑμῶν ἕνεκεν τῶν ἀναγνωσθέντων ἡμῖν ἔκ τε τῶν ῥεγίστρων τῶν γραφεισῶν ἀπὸ Σεργίου ἐπιστολῶν καὶ τῆς αὐθεντικῆς Ῥωμαϊκῆς Ὀνωρίου ἐπιστολῆς, εἶτα δὲ καὶ περὶ τῶν συνοδικῶν Σωφρονίου τῶν ἤδη ἀναγνωσθέντων ἡμῖν, ἀκριβέστερον περὶ αὐτῶν διασκεπτόμενοι καθ' ἑτέραν πρὸς τοὺς ἐνδοξοτάτους ὑμᾶς τὰ δέοντα λέξομεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. τοῦτο μὲν ἡ ἁγία ὑμῶν σύνοδος πραξάτω· ὁ εὐσεβέστατος δὲ καὶ θεοστήρικτος ἡμῶν δεσπότης καὶ μέγας βασιλεὺς τὸν στέψαντα αὐτὸν Θεὸν φιλανθρωπίᾳ ἐν πᾶσι μιμούμενος, καὶ τὴν ἐπιστροφὴν ἐκδεχόμενος Μακαρίου, δι' ἡμῶν τῶν ἀναξίων αὐτοῦ δούλων τὴν ὑμετέραν πυνθάνεται ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, εἴπερ τούτου ἐπιστρέφοντος μετὰ τὴν ἐκ τῆς ἁγίας ὑμῶν συνόδου γενομένην ἐπ' αὐτῷ καθαίρεσιν, ἐν τῷ ἰδίῳ ἀποκαθίσταται θρόνῳ.

Ἡ ἁγία σύνοδος εἶπε, τὸν παλαιωθέντα Μακάριον ἐν τοῖς τῆς ἀσεβείας δόγμασι, καὶ οὐ μόνον τὸν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει οἰκοῦντα πάντα φιλόχριστον λαὸν ἀναστροπὴν θελερὰν ποτίσαντα, καὶ φαλσεύσαντα τὰς χρήσεις τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων· καὶ τὰς μὲν περικόψαντα, ταῖς δὲ προσθέντα, καὶ κατὰ τὸ δόξαν αὐτῷ παρ' ὁδὸν βαλόντα τὸν εὐσεβέστατον καὶ θεόστεπτον ἡμῶν βασιλέα διὰ τῶν ἐπιδοθέντων παρ' αὐτοῦ κωδικίων· ἀλλὰ μὴν καὶ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν διά τε γραμμάτων αὐτοῦ, καὶ ἀνθρώπων ἀποσταλέντων πάντα συνταράξαντα, καὶ ἀπὸ τῆς ἀληθοῦς πίστεως ἀποστήσαντα, καὶ δικαίως καὶ κανονικῶς ἀπὸ τοῦ ἀρχιερατικοῦ σχήματος γυμνωθέντα, οὐδαμῶς ὁ θεῖος κανὼν παραδέχεται τοῦ λοιποῦ εἰς διδασκαλικὸν καθίσαι θρόνον. ὅπως μὴ ἐντεῦθεν τὸ τῆς οἰκείας αὐτοῦ αἱρέσεως πλειόνως ἀναζωπυρηθείη φρόνημα, καὶ γένηται κατὰ τὸ γεγραμμένον τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. καὶ μάλιστα διαφόρως κατὰ παρουσίαν τοῦ εὐσεβεστάτου ἡμῶν δεσπότου καὶ μεγάλου βασιλέως, καὶ πάσης τῆς καθ' ἡμᾶς συνόδου ἐρωτηθέντος, εἰ ἕπεται καὶ συνομολογεῖ μετὰ πάντων ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὥσπερ δύο φύσεις, οὕτω καὶ δύο θελήματα φυσικά, καὶ δύο ἐνερ-

Ματθ. 12. Λουκ. 11.

ἐνεργείας φυσικὰς, καὶ μὴ καταδεξαμένου αὐτοῦ τὸ σύνολον, ἀλλ' ἐπιβεβαιώσαντος τὰ ἤδη ἀσεβῶς παρ' αὐτοῦ ὁρισθέντα, καὶ λέξεσιν αὐταῖς εἰρηκότος· ὅτι ἐὰν τέμνωμαι καταμεληδον, καὶ ῥίπτωμαι εἰς τὴν θάλασσαν, ἐγὼ οὔτε δύο θελήματα, οὔτε δύο ἐνεργείας λέγω ἐπὶ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος. ἐντεῦθέν τε ὡς εἴρηται συνοδικῶς καθαιρεθέντα καὶ ἀναθεματισθέντα, οὐδαμῶς τοῦτον Μακάριον τοῦ λοιποῦ, ὡς ἀνωτέρω λέλεκται, ἡ ἁγία αὕτη καθ' ἡμᾶς σύνοδος εἰς ἱερατικὸν δέχεται θρόνον· ἀλλὰ καὶ δεόμεθα ἔξω τῶν ὅρων αὐτὸν γενέσθαι τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως μετὰ καὶ τῶν τὰ ὅμοια αὐτῷ φρονούντων.

Οἱ θεοφιλέστατοι ἐπίσκοποι, καὶ οἱ εὐλαβέστατοι κληρικοὶ οἱ ὑπὸ τὸν θρόνον τυγχάνοντες τῆς Αντιοχέων πόλεως προσελθόντες τοῖς ἐνδοξοτάτοις ἄρχουσιν εἶπον· αἰτοῦμεν τὴν ὑμετέραν ἐνδοξότητα τοῦ ἀναγάγαι τῷ εὐσεβεστάτῳ καὶ θεοστέπτῳ ἡμῶν δεσπότῃ καὶ μεγάλῳ βασιλεῖ, ἕτερον ἀντὶ Μακαρίου τοῦ γενομένου ἡμῶν ἀρχιεπισκόπου εἰς τὸν ἀρχιερατικὸν θρόνον Αντιοχείας προελθεῖν, διὰ τὸ μὴ χηρεύειν τὸν τοιοῦτον θρόνον.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. κατὰ τὰ συνεωραθέντα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ὑμῶν συνόδου, καὶ κατὰ τὰ αἰτηθέντα παρὰ τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ εὐλαβεστάτων κληρικῶν τῶν ὑπὸ τὸν θρόνον τελούντων τῆς Αντιοχέων πόλεως διαπραξόμεθα, τῆς ὑμετέρας ἁγίας συνόδου καθ' ἑτέραν τὰ ὑποχεθέντα ἕνεκεν Σεργίου, Ονωρίου, καὶ Σωφρονίου ἔργῳ πληρούσης.

ΠΡΑ̃ΞΙΣ ΙΓ'.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ιησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοῦ ἑβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τρισκαιδεκάτου. Ηρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ εἰκάδι δευτέρᾳ τοῦ Μαρτίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης.

Προκαθεζομένου τοῦ σεβασμιωτάτου σέσσου τοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνίης, ἐκ προσώπου αὐτοῦ παρόντων καὶ ἀκροωμένων, Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ οἴκου τῶν Ορμίσδου. Αναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Πολιεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. καὶ Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων·

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν εὐλαβεστάτων πρεσβυτέρων, καὶ Ιωάννου τοῦ εὐλαβεστάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Αλεξανδρέων μεγαλοπόλεως. καὶ Γεωργίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου. Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ιεροσολύμων· Ιωάννου ἐπισκ. πόλεως Πόρτου· Α'βουνδαντίου ἐπισκ. πόλεως Πατέρνου· Ι'ωάννου ἐπισκ. πόλεως Ρηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ρώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ, καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ραβέννης Θεοδώρου. Ιωάννου ἐπισκόπου Θεσσαλονίκης· Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρητῶν νήσου. Φιλαλήθους ἐπισκόπου Καισαρείας Καππαδοκίας. Θεοδώρου ἐπισκόπου Εφέσου. Σισιννίου ἐπισκόπου Ηρακλείας Θρᾴκης. Πλάτωνος ἐπισκόπου Αγκύρας Γαλατίας. Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ιωάννου ἐπισκόπου Χαλκηδόνος· Ιωάννου ἐπισκόπου Σίδης. Θεοδώρου ἐπισκόπου Μελιτηνῆς. Ιουστίνου ἐπισκόπου Τυάνων. Αλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανοῦ ἐπισκ. Κλαυδιουπόλεως· Πολυεύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκ. Σταυρουπόλεως Καρίας. Τιβερίου ἐπισκόπου Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκόπου Συνάδων. Στεφάνου ἐπισκόπου Αντιοχείας Πισιδίας· Ιωάννου ἐπισκ. Πέργης· Θεοπέμπτου ἐπισκ. Ιουστινουπόλεως ἤτοι Μωκισοῦ. Ισιδώρου ἐπισκ. Ρόδου· Σισιννίου ἐπισκ. Ιεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκ. Ταρσοῦ· Μακροβίου ἐπισκ. Σελευκείας Ισαυρίας. Γεωργίου ἐπισκ. Βυζίης Θρᾴκης. Ζαχαρίου ἐπισκόπου Λεοντοπόλεως Ισαυρίας. Γρηγορίου ἐπισκόπου Μιτυληνίης· Γεωργίου ἐπισκόπ. Μιλήτου. Σεργίου ἐπισκόπου Σηλυβρίας· Ανδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Επιφανίου ἐπισκ. Ευχαΐτων. Πέτρου ἐπισκόπου Μεσημβρίας· Πέτρου ἐπισκόπου Σωζοπόλεως Θρᾴκης. Ιωάννου ἐπισκ. Νύσσης. Θεοδώρου ἐπισ. τῶν βασιλικῶν Θερμῶν. Γεωργίου ἐπισκόπου Καμουλιανῶν. Ζωήτου ἐπισκόπου Χρυσοπόλεως Ασίας. Παζοβίου ἐπισκ. Μαγνη-

γνησίας· Αντωνίου ἐπισκ. Ὑπαίπων. Θεοδώρου ἐπισκ. Περγάμου. Γενεσίου ἐπισκόπου Αναστασιουπόλεως· Πλάτωνος ἐπισκ. Κίννης. Στεφάνου ἐπισκ. Βερινουπόλεως. Ανδρέου ἐπικ. Μνίζου. Ιωάννου ἐπισκ. Μιλητουπόλεως. Ιωάννου ἐπισκόπου Φιλαδελφείας. Θεοδώρου ἐπισκόπου Πραινέτου. Ιωάννου ἐπισκόπου τοῦ Δασκυλίου. Θεοδώρου ἐπισκόπου Ιουστινιανουπόλεως Γόρδου. Μηνᾶ ἐπισκόπου Καραλίας Παμφυλίας· Καλλινίκου ἐπισκόπου Κολωνίας Αρμενίας. Θεοδώρου ἐπισκόπου Βερίσσης. Τιβερίου ἐπισκ. * Αμίσσου· Σεργίου ἐπισκ. Σινώπης. Γεωργίου ἐπισκ. Ιουνοπόλεως. Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου. Δομετίου ἐπισκ. Προυσιάδος· Γεωργίου ἐπισκ. Κρατίας. Πλάτωνος ἐπισκ. Αδριανουπόλεως· Σολομῶνος ἐπισκ. Κλανέου. Ἰωάννου ἐπισκ. Ερίζων. Ιωάννου ἐπισκ. Μύνδου. Πατρικίου ἐπισκ. Ιλούζων. Πέτρου ἐπισκ. Αππίας. Αλεξάνδρου ἐπισκόπου Νακωλείας. Δομετίου ἐπισκ. Πρυμνήσου· Κωνσταντίνου ἐπισκ. Βαράτης· Θεοδοσίου ἐπισκ. Ψιβήλων. Παύλου ἐπισκ. Σωζοπόλεως Πισιδίας· Πλουσιανοῦ ἐπισκ. τοῦ Συλλέου. Θεοδώρου ἐπισκόπου Ναζιανζοῦ· Γεωργίου ἐπισκόπου Κῴου. Δημητρίου ἐπισ. Τήνου. Στεφάνου ἐπισκου Πάρου. Γρηγορίου ἐπισκόπου Καντάνου. Ιωάννου ἐπισκόπου Λάππης. Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκόπ. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ολβης. Θεοφάνους τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἡγουμένου τοῦ ἐν Σικελίᾳ εὐαγοῦς μοναστηρίου ἐπιλεγομένου Βαΐων· Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῶν Ρενᾶ τῆς διακειμένης κατὰ τὴν πρεσβυτέραν Ρώμην· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρώμην.

Καὶ καθεσθέντων τῶν τε ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ θεοῦ ἡμῶν εὐαγγελίων.

Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῶν θεοσεβεστάτων νοταρίων τοῦ ἁγιωτάτου πατριάρχου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως Γεωργίου, εἶπεν. ἐπὶ μνήμης φέρει ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος, ὡς κατὰ τὴν προλαβοῦσαν συνέλευσιν διελαλήθη αὐτῇ ἐκ τῶν ἐνδοξοτάτων ἀρχόντων, ἐφ' ᾧ τὴν οἰκείαν ἀποφήνασθαι γνώμην περί τε Σεργίου, Ονωρίου, καὶ Σωφρονίου, τῶν γενομένων πατριαρχῶν, καὶ ὑπέσχετο τοῦτο καθ' ἑτέραν διαπράττεσθαι. καὶ ὡς μετὰ τὰ συνωραθέντα παρὰ τῆς ἁγίας ὑμῶν συνόδου προελθεῖν τε καὶ κυρωθῆναι ἐπὶ Μακαρίῳ, ᾐτήσαντο οἱ ὑπὸ τὸν θρόνον τελοῦντες τῆς Αντιοχέων πόλεως θεοφιλεῖς ἐπίσκοποι καὶ εὐλαβέστατοι κληρικοὶ ἀνενεχθῆναι τῷ εὐσεβεστάτῳ καὶ γαλυνοτάτῳ ἡμῶν δεσπότῃ καὶ μεγάλῳ βασιλεῖ ἕτερον προχειρισθῆναι εἰς τὸν τῆς Αντιοχέων πόλεως θρόνον· καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· ἀναγινωσκέσθωσαν τὰ ἤδη πραχθέντα. καὶ ἀνεγνώσθησαν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· διεξίτω ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος τὰ κατὰ τὴν * προτέραν ὑποσχεθέντα παρ' αὐτῆς. ἡ ἁγία σύνοδος εἶπε. κατὰ τὴν γενομένην τῇ ὑμετέρᾳ ἐνδοξότητι παρ' ἡμῶν ὑπόσχεσιν ἀνακρίναντες τὰς ὡς ἀπὸ Σεργίου τοῦ γενομένου πατριάρχου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως γραφείσας δογματικὰς ἐπιστολὰς πρό τε Κῦρον τὸν τηνικαῦτα γενόμενον ἐπίσκοπον τοῦ Φάσιδος, καὶ Ονώριον τὸν γενόμενον πάπαν τῆς πρεσβυτέρας Ρώμης. ὡσαύτως δὲ καὶ τὴν ἀπ' ἐκείνου, τουτέστιν Ονωρίου, πρὸς αὐτὸν Σέργιον ἀντιγραφεῖσαν ἐπιστολήν. καὶ ταύτας εὑρηκότες πάντῃ ἀλλοτρίας τυγχανούσας τῶν ἀποστολικῶν διδαγμάτων, καὶ τῶν ὁρισθέντων ὑπὸ τῶν ἁγίων συνόδων, καὶ πάντων τῶν ἐκκρίτων ἁγίων πατέρων, ἑπομένας δὲ ταῖς τῶν αἱρετικῶν ψευδοδιδασκαλίαις, ταύτας πάντῃ ἀποβαλλόμεθα, καὶ ὡς ψυχοφθόρους βδελυττόμεθα. ὧν δὲ, τουτέστι τῶν αὐτῶν, τὰ ἀσεβῆ ἀποστρεφόμεθα δόγματα, τούτων καὶ τὰ ὀνόματα ἐκ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἐκβληθῆναι ἐκρίναμεν, τουτέστι Σεργίου τοῦ γενομένου προέδρου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, τοῦ ἀρξαμένου περὶ τοῦ τοιούτου ἀσεβοῦς συγγράφεσθαι δόγματος, Κύρου τοῦ Αλεξανδρείας, Πύρρου, Παύλου, καὶ Πέτρου καὶ αὐτῶν προεδρευσάντων ἐν τῷ θρόνῳ τῆς θεοφυλάκτου ταύτης πόλεως, καὶ τὰ ὅμοια ἐκείνοις φρονησάντων· εἶτα δὲ καὶ Θεοδώρου τοῦ τῆς Φαρὰν γενομένου ἐπισκόπου. ὧν πάντων προγεγραμμένων προσώπων ἐπεμνήσθη ἐν τῇ πρὸς τὸν εὐσεβέστατον καὶ θεοστήρικτον ἡμῶν δεσπότην καὶ μέγαν βασιλέα ἀναφορᾷ Αγάθων ὁ ἁγιώτατος καὶ τρισμακάριστος τῆς πρεσβυτέρας Ρώμης πάπας, καὶ ἀπεβάλλετο ὡς ἐναντίως τῆς ὀρθοδόξου ἡμῶν πίστεως φρονήσαντας, οὓς καὶ ἀναθέματι καθυποβληθῆναι ὁρίζομεν. πρὸς τούτοις δὲ συνεκβληθῆναι ἐκ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας καὶ συναναθεματισθῆναι συνείδομεν καὶ Ονώριον τὸν γενόγενον πάπαν τῆς πρεσβυτέρας Ρώμης, διὰ τὸ εὑρηκέναι ἡμᾶς διὰ τῶν γενομένων παρ' αὐτοῦ γραμμάτων πρὸς Σέργιον κατὰ πάντα τῇ ἐκείνου γνώμῃ ἐξακολουθήσαντα, καὶ τὰ αὐτοῦ ἀσεβῆ κυρώσαντα δόγματα. διεσκεψάμεθα δὲ καὶ τὰ συνοδικὰ Σωφρονίου τοῦ τῆς ὁσίας μνήμης γενομένου πατριάρχου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ιεροσολυμιτῶν πόλεως, καὶ ταῦτα εὑρηκότες τῇ ἀληθεῖ πίστει συμβαίνοντα, καὶ ταῖς ἀποστολικαῖς καὶ τῶν ἁγίων ἐκκρίτων πατέρων διδασκαλίαις ἐφάμιλλα, ὡς ὀρθόδοξα ἐκρίναμεν, καὶ ὡς ἐπωφελῆ ὄντα τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ παρεδεξάμεθα, καὶ τὸ ὄνομα αὐτοῦ ἐνταγῆναι ἐν τοῖς ἱεροῖς διπτύχοις τῶν ἁγίων ἐκκλησιῶν δίκαιον εἶναι ἐκρίναμεν.

Οἱ

* Αμύζων

* προτεραίαν

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὸ ἀπόχρων τῇ ἐρωτήσει ποιησαμένη ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος ἕνεκεν τῶν παρ' ἡμῶν προτεθέντων αὐτῇ προσώπων Σεργίου καὶ Ὀνωρίου τῶν γενομένων πατριαρχῶν, ἔτι δὲ καὶ Σωφρονίου τοῦ τῆς ὁσίας μνήμης γενομένου ἀρχιεπισκόπου Ἱεροσολύμων, διεξελθοῦσα δὲ καὶ περὶ Πύῤῥου, Παύλου, καὶ Πέτρου τῶν γενομένων προέδρων τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, πρὸς τούτοις δὲ καὶ Κύρου τοῦ γενομένου πάπα Ἀλεξανδρείας, καὶ Θεοδώρου τοῦ γενομένου ἐπισκόπου πόλεως Φαρὰν, διαλαλήσει πρὸς Γεώργιον τὸν θεοσεβέστατον διάκονον καὶ χαρτοφύλακα τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας τοῦ εἰς μέσον πρὸς ἀνάγνωσιν ἀγαγεῖν τὰ ἀποκείμενα ἐν τῷ εὐαγεῖ πατριαρχείῳ τῶν εἰρημένων προσώπων συνοδικὰ, ἢ καὶ δογματικὰ συγγράμματα, ἢ καὶ ἐπιστολὰς πρὸς τὸ καὶ ἡμᾶς λαβεῖν τὴν αὐτῶν κατάληψιν. περὶ γὰρ τῆς γενομένης αἰτήσεως παρὰ τῶν ὑπὸ τὸν θρόνον τῆς Ἀντιοχέων μεγαλοπόλεως τελούντων θεοφιλῶν ἐπισκόπων καὶ εὐλαβεστάτων κληρικῶν ἕνεκεν τοῦ προχειρισθῆναι πρόεδρον ἐν τῷ τῆς Ἀντιοχέων πόλεως θρόνῳ, ἀνηγάγομεν ἐπὶ τὰς θεοσόφους ἀκοὰς τοῦ κρατίστου καὶ θεοτειχίστου ἡμῶν βασιλέως, καὶ ἐκέλευσεν ἡ αὐτοῦ γαλήνη ψήφισμα γενέσθαι κατὰ τὴν συνήθη ἀκολουθίαν ἐκ τῶν ὑπὸ τὸν εἰρημένον θρόνον θεοφιλῶν ἐπισκόπων τε καὶ κληρικῶν, καὶ τοῦτο ἐπιδοθῆναι τῷ πανημέρῳ αὐτοῦ κράτει.

Ἡ ἁγία σύνοδος εἶπεν. ἐπιζητησάσης τῆς ὑμῶν ἐνδοξότητος εἰς μέσον ἀγαγεῖν Γεώργιον τὸν θεοσεβέστατον διάκονον καὶ χαρτοφύλακα τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας τὰς γραφείσας ἐπιστολὰς δογματικὰς, ἢ καὶ ἕτερα συγγράμματα δογματικὰ ἀπό τε Πύῤῥου, Παύλου, καὶ Πέτρου τῶν γενομένων πατριαρχῶν ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, ἔτι δὲ καὶ Κύρου τοῦ γενομένου πάπα Ἀλεξανδρείας, καὶ Θεοδώρου τοῦ γενομένου ἐπισκόπου πόλεως φαρὰν, πρὸς τὸ ταῦτα ἀνακριθῆναι, τοῦτο γενέσθαι περιττὸν ἡγούμεθα διὰ τὸ καὶ τὴν ἐκείνων φανερὰν πᾶσιν ὑπάρχειν δόξαν περί τε θελήματος ἑνὸς καὶ μιᾶς ἐνεργείας, εἶτα δὲ καὶ Ἀγάθωνα τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης πρόεδρον διὰ τῆς οἰκείας αὐτοῦ ἀναφορᾶς τον ἐκείνων ἀποκαλύψαντα ἐναντίον σκοπὸν, μᾶλλον μὲν οὖν καὶ δηλοποιήσαντα, ὡς τὰ ὅμοια ἐφρόνησαν Σεργίῳ τῷ ἐναρξαμένῳ καινοφωνίαν, ἤτοιγε κακόδοξον καὶ βλάσφημον εἰσαγαγεῖν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ διδασκαλίαν. διὸ καὶ τούτους μετὰ τῶν οἰκείων συγγραμμάτων ὁ προδηλούμενος ἁγιώτατος πάπας ἀπεβάλετο.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· εἰ καὶ κατὰ πάντα ὀρθόδοξος ἡ ἀναφορὰ τοῦ ἁγιωτάτου καὶ τρισμακαρίστου πάπα Ἀγάθωνος τυγχάνει, καὶ τῇ ἀληθείᾳ συμβαίνει, ἀλλὰ τῶν ἀναγκαίων καθέστηκε πάντως τὰ τῶν προλεχθέντων προσώπων συντάγματα εἰς μέσον ἐνεχθῆναι κατὰ τὰ πρότερον παρ' ἡμῶν διαλαληθέντα, διὰ τὸ πλειόνως φανερωθῆναι τὴν τῶν αὐτῶν προσώπων δόξαν.

Ἡ ἁγία σύνοδος εἶπε· ἡνίκα πρὸς τὸ ἀκριβέστερον διαγνῶναι τὰ περὶ Πύῤῥου, Παύλου, καὶ Πέτρου, καὶ Κύρου τοῦ γενομένου πάπα Ἀλεξανδρείας, καὶ Θεοδώρου τοῦ γενομένου ἐπισκόπου τῆς Φαρὰν ἡ ἐνδοξότης ὑμῶν ἐνίσταται, Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας εἰς μέσον ἀγαγέτω τὰ ὑπὸ τῶν εἰρημένων προσώπων δογματικῶς γραφέντα, πρὸς τὸ πάντας ἐν πληροφορίᾳ γενέσθαι, ὡς καὶ αὐτοὶ κατὰ πάντα τῇ Σεργίου κατηκολούθησαν κακοδοξίᾳ.

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἶπε· κατὰ τὰ ἤδη ἐν τῇ προλαβούσῃ πράξει διαλαληθέντα παρὰ τῆς ἁγίας ὑμῶν καὶ οἰκουμενικῆς συνόδου τηνικαῦτα ὑπεξελθὼν ἀνεζήτησα ἅπερ ἐκελεύσατε· καὶ κατὰ πρώτην τάξιν εὗρον ἐν τῷ χαρτοφυλακίῳ τοῦ εὐαγοῦς πατριαρχείου πρὸς τοῖς ἤδη προκομισθεῖσι παρ' ἐμοῦ, ἐπιστολὴν Κύρου ἐπισκόπου τηνικαῦτα τοῦ Φάσιδιος τυγχάνοντος, σταλεῖσαν πρὸς Σέργιον τὸν γενόμενον πατριάρχην τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως πρὸ πεντήκοντα ἓξ χρόνων κατὰ τὴν ιδ'. ἐπινέμησιν τοῦ παρελθόντος κύκλου, ἐρωτήσαντος αὐτοῦ διὰ τῆς αὐτῆς ἐπιστολῆς τὸν εἰρημένον Σέργιον περὶ τοῦ ζητήματος τῶν ἐνεργειῶν. ὡσαύτως δὲ καὶ ἑτέραν ἐπιστολὴν σταλεῖσαν παρὰ τοῦ αὐτοῦ Κύρου πρὸς τὸν λεχθέντα Σέργιον μετὰ τὸ ἐκ τῆς ἐπισκοπῆς τοῦ Φάσιδος αὐτὸν μετατεθῆναι ἐν τῷ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως θρόνῳ, σημαίνουσαν τὴν γενομένην ἕνωσιν τῶν λεγομένων Θεοδοσιανῶν μετὰ καὶ ἴσου πληροφορίας τῆς προελθούσης μεταξὺ τῶν τε αὐτῶν Θεοδοσιανῶν καὶ τοῦ λεχθέντος Κύρου ἑνώσεως. ὁμοίως δὲ καὶ Θεοδώρου τοῦ γενομένου ἐπισκόπου τῆς Φαρὰν βιβλία διάφορα παρεκβληθέντα ἐκ τῆς βιβλιοθήκης τοῦ εὐαγοῦς πατριαρχείου· ἐν οἷς ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς Σέργιον ἐπίσκοπον τοῦ Ἀρσενοΐτου περὶ μιᾶς ἐνεργείας, ὡσαύτως δὲ καὶ ἑρμηνεῖαι διαφόρων πατρικῶν χρήσεων. παρεξέβαλον δὲ ἐκ τῆς βιβλιοθήκης καὶ ἕτερα βιβλία * ἐξέχοντα συντάγματα Πύῤῥου τοῦ γενομένου μετὰ Σέργιον πατριάρχου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, τὰ πολλὰ ἰδιόχειρα αὐτοῦ τυγχάνοντα περὶ θελήματος καὶ ἐνεργείας, καὶ ἑτέρων τινῶν. ὁμοίως δὲ παρεξέβαλον ἐκ τοῦ χαρτοφυλακίου τοῦ μνημονευθέντος εὐαγοῦς πατριαρχείου ῥέγιστρον διαφόρων ἐπιστολῶν Παύλου τοῦ μετ' αὐτὸν Πύῤῥον γενομένου πατριάρχου τῆς βασιλίδος ταύτης πόλεως ἐν ᾧ φέρεται ἐπιστολὴ γραφεῖσα παρὰ τοῦ αὐτοῦ Παύλου πρὸς τὸν ἐν ἁγίοις Θεόδωρον τὸν γενόμενον πάπαν Ῥώμης περὶ ἑνὸς θελήματος.

* L. ἐξ ἔχοντα.

καὶ προσφωνητικὴς τῆ αὐτῆ Παύλε τόμος ξεῖς πρὸς τὸν ἐν ἁγίοις γεγράμμενον ἡμῶν βασιλέα καὶ πατέρα τῆ φιλοσεβεστάτε ἡμῶν δεσπότε καὶ μεγάλε βασιλέως περὶ ὀρθοῦ θελήματος καὶ ἐνεργείας. ἔτι μὴν καὶ Πέτρε τῆ γεγραμμένε παξιάρχε ὡσαύτως μετὰ τὸν αὐτὸν Παῦλον τῆς βασιλίδος ταύτης πόλεως. ῥέγιστρον ὁμοίως διαφόρων ἐπιστολῶν, ἐν ᾧ ἐπιστολὴ τῆ αὐτῆ δογματικὴ γραφεῖσα πρὸς Βιταλιανὸν τὸν ἐν ἁγίᾳ τῇ μνήμῃ γεγραμμένον πάπαν Ῥώμης. καὶ ἀμφότερα ἐπικομίζομαι πρὸς τὸ ὑμῖν παρασταθησόμενον.

Ἡ ἁγία συνόδος εἶπεν· ἅπερ μετὰ χεῖρας ἔχει Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας βιβλία, ῥέγιστρα, καὶ χάρτας, ταῦτα ὑποδεχόμενοι οἱ ἡμᾶς ὑπεκλαμβάνοντες κατὰ τάξιν ἀναγινωσκέτωσαν. καὶ λαβὼν Ἀντίοχος ὁ ἀλαβέστατος ἀναγνώστης καὶ νοτάριος τὰς γραφείσας ἀπὸ Κύρου πρὸς Σέργιον δύο ἐπιστολὰς μετὰ καὶ τῶν λεχθέντος τῆς πληροφορίας ἕνεκα ἀνέγνω, ἐχούσας ἐπὶ λέξεως οὕτως.

Τῷ θεοτιμήτῳ δεσπότῃ, ἀγαθῷ ἀρχιποίμενι, παξὶ πατέρων, οἰκουμενικῷ παξιάρχῃ Σεργίῳ παρὰ Κύρε ἐλαχίστε ὑμετέρε. προθυμηθείτιμοι τῷ παρῦσαν ἀναφορὰν ἀνατεῖναι τῷ θεοτιμήτῳ με δεσπότῃ διάφοροι εἰσήεσαν λογισμοί, καὶ δυσὶ γνώμαις τῷ ψυχῷ ἐμεριζόμην. ἄραγε, φημί, πειθείμην τῷ διδάσκοντι· ὑψηλότεράσε μὴ ζήτει, καὶ βαθυτεράσε μὴ ἐρεύνα· καὶ κλεῖθρα ἐπιβαλὼν τοῖς χείλεσι σιγῶ ἀσκήσω· ἢ ἀκύσοιμι τῶ λέγοντος· ζητῶ ζήτει, καὶ παρ' ἐμοί μένε; εἶτα ἱκανῶς ἐμαυτὸν ἐν τούτῳ βασανίσας, τότε καὶ γράφειν ἐπαῤῥησιαζόμην, ὅτε τῷ τῆς ἑσμακαρίσεως ὑμῶν θεσπνέσεν διδασκαλίαν κατὰ νῶν ἐλάμβανεν, πεπεισμένος ὅτι δυοῖν θάτερον, ἢ καὶ ἑκάτερα ἂν ἐκ τούτε μοι περιγένοιτο· ἢ γὰρ, φημί, ἀποδεχθείμην, ἢ πάντως διορθωθείμην ἐπὶ τοῖς ἀναφερομένοις, ὅσιν ἐν τούτοις, ἀξιωθεὶς θεοτίμητος τῆς πανσεβοῦς ἐχνῶν τῶ θεοσηέντε ἡμῶν δεσπότε, ἅμα δὲ καὶ τῆς * θεοτιμήτε αὐτῆ συγκαταβάσεως τυχών, παῤῥησίας μετελάμβανον θείᾳ κελεύσει τῆς αὐτῆ ἡμερότητος ἐντυχεῖν πρὸς Ἀρκάδιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Κύπρε κατὰ Παῦλον τῶ κεφαλαιώτε τῆς ἀνεπισκόπων μάλα θεοπρεπῶς συνταγείσης. ἧς ἐπαινετὸς καὶ θεοφιλὴς ὡς ἀληθῶς ἅπας μᾶλλον ὁ σκοπὸς, εὐσεβῶς τῷ ἀμώμητον ἡμῶν ὀρθοδοξίαν θρησκεύων, δύο δὲ ἐνεργείας ἐπὶ τῶ δεσπότε ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τῷ σῶσιν λέγεσθαι κωλύσαν αὐτῷ δίκαιος ἀνεύθυνον, καὶ προφέρειν ἐπειρώμην τοῦ μακαρίε Λέοντος τῷ πάντιμον ἐπιστολῇ, δύο ἐνεργείας μετὰ τῆς ἀλλήλων δηλαδὴ κοινωνίας, καθὼς διδάσκει ὁ πανάγιός με δεσπότης, ἀναφανδὸν βόωσαν. ἐνθεῖτε λοιπὸν ὁρμηθέντος ἡμῖν τῶ λόγε, πάντιμον ἀναφορὰν τῆς θεοπνεύστων ὑμῶν εἰς ἀνάγνωσιν ἐγχειρίζεσθαι ἐκελεύομεν, ἀντίγραφον εἶναι λεγομένην καὶ δοκοῦσαν τῆς ῥηθείσης ἀσεβοῦς κελεύσεως· μνήμην γὰρ ἐποιεῖτο ἐκείνε Παύλε τοῦ φαύλου, ἀλλὰ μὴν καὶ τῆ τῆς κελεύσεως ἴσε, καὶ τὸν ἐγγεγραμμένον αὐτῷ νῶν ἀπεδέχετο. εἰκότως ἂν τισὶ καὶ τοῦτο ἡσυχίαν ἄγειν, καὶ ἤκιστα ἀντιλέγειν ἐπαιδεύομεν. ἐπὶ δὲ τῷ ὑμετέραν θεόφρασον διδασκαλίαν καταφθέγγεσθαι ἔγνων, τιμίων αὐτῆς κειμένων ἀξιωθῆναι δεόμενος τηλαυγέστερον διασαφέντων, ὅπως δύο ἐνεργείας λέγειν μετὰ τῷ * L. ἡνωμένῃ ἕνωσιν παραιτέμενοι εἰς μίαν * ἡνωμενικὴν ἐνέργειαν διωκόμεθα ἐπὶ πᾶσι τοῖς θείοις λόγοις συγκλείειν, τό, τε παθητὸν καὶ ἀπαθὲς τῆς ἀῤῥήτε οἰκονομίας τε σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἵνα διὰ τῆς θεοφανοῦς παιδεύσεως τῆ θεοδιδάκτων ὑμῶν φωταγωγηθεὶς ἡμῶν τὸ ἀπαίδευτον ἴσως κἂν ἐν τούτῳ μιμήσηται τῷ ῥίονα καὶ θάλασσαν γῆν, καὶ τὸν καταβαλλόμενον τοῦ λόγε κόκκον ἀσμένως ὑποδεξάμενον πρὸς ἀκαρπίαν διάσωσῃ. τὰς δὲ θεοσεβεῖς αὐτοῦ προσευχὰς σωθῆναι τῇ ἐμῇ βραχύτητι καὶ τοῖς σὺν ἐμοὶ ὁ ἀγαθός με δεσπότης καταξιώσει. ἡ ὑπογραφή. Κῦρος ἐλάχιστος ὑπερευχόμενος τῆς παντίμε ἀξίας τε θεοτιμήτε με δεσπότε ἀνήγαγον.

Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ γραφεῖσα ἀπὸ Ἀλεξανδρείας. Ἰδίῳ δεσπότῃ τὰ πάντα θεοτιμήτῳ καὶ ἑσμακαρίσῳ παξὶ πατέρων οἰκουμενικῷ παξιάρχῃ Σεργίῳ Κῦρος· ἐλάχιστος ὑμέτερος. Εὐφορίας καὶ πάλιν πνευματικῆς διὰ τῶν ἀπροσδέκτων ἀχῶν τῆς τε θεοτιμήτε με δεσπότου μακαριότητος γεωργηθείσης, τῇ διδαχῇ καὶ τοῖς πανσεβεστάτοις χρόνοις τῶν θεοφρυήτων καὶ κατὰ ἀλήθειαν φιλοχρίστων ἡμῶν δεσποτῶν συμβαινούσης, καὶ νῦν ἀξιοῦμαι τῷ ἑσμακαρίσῳ με δεσπότῃ τὰς ἀπαρχὰς ἀναφέρειν. δῆλον γὰρ ποιοῦμαι, ὡς ἅπαντες οἱ τὸ δόγματος τῶν λεγομένων Θεοδοσιανῶν κατὰ ταύτην τὴν Ἀλεξανδρέων φιλόχριστον πόλιν κληρικοί, ἅμα καὶ τοῖς ἐν ἀξίαις καὶ στρατείαις διαλάμπουσιν, ἔτι δὲ καὶ τοῖς εἰς δῆμον τελοῦσιν, εἰς χιλιάδας σωτηρίους τὴν κατὰ τὴν ξ' τῆς Γενέσε μηνὸς σωθησόμενοι τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ Θεοῦ καθολικῇ ἐκκλησίᾳ τῶν ἀχράντων τοῦ Θεοῦ σωτηρίων μυστηρίων μετέλαβον· ὁδηγηθέντες πρὸς τοῦτο, ἡγεμόνες προδήλως τῆς τοῦ παντοδυνάμε Θεοῦ δόσεως, τῇ χορηγηθείσῃ μοι διδαχῇ παρά τε τῶν φιλαγάθων καὶ καλλινίκων ἡμῶν δεσποτῶν, παρά τε τῆς τοῦ δεσπότε με θεοπνεύστε παναγιστείας· ὡς ἐντεῦθεν συνελοῦσαι κατὰ τὸ γεγραμμένον, ἐν τοῖς πυκάζουσιν ἑορτὴν μέχρι τῶν κεράτων τοῦ θυσιαστηρίου. εἰ δὲ δεῖ τἀληθέστερον λέγειν, οὐκ ἐν τοῖς πυκάζουσι μόνον, οὐδὲ μέχρι τῶν κεράτων τὸ θυσιαστηρίου, ἀλλὰ κατὰ πᾶσαν τὴν Ἀλεξανδρέων φιλόχριστον πόλιν, καὶ τὰς ὑπ' αὐτὴν χώρας μέχρι τῶν νεφελῶν αὐτῆ, καὶ τῶν ἐπέκεινα τῆς οὐρανίων τάξεων, τῇ τῶν ἁγιωτάτων ἐκκλησιῶν εἰρήνῃ, καὶ τοῖς πρὸς αὐτὴν ἐπιστρεφομένοις φρονήμασιν. ὅπως δὲ τὰ τῆς τοιαύτης συνόδου παρηκολούθησε, λεπτομερῶς

Ἐκκλ. 3

Ψαλ. 117

ρῶς τολμήσας ἀνήγαγον ἐπὶ τὰς παναγίσεβεῖς ἀκοὰς τῶν ἀηττήτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν διὰ τῆ σωδέλφυ μυ Ἰωάννυ τῆ θεοφιλεσάτυ διακόνυ πᾶσι τοῖς κινηθεῖσι παρατυχόντος. καὶ πέπεισμαι, ὅτι καὶ ἐν τούτῳ ἀποδέχεται τὸν ἐλάχιστον αὐτῆ δῆλον ὁ πανάγιός μυ δεσπότης. δέομαι οὖν τῆ ξισμακαρίστυ μυ δεσπότυ, ὅπως ἐν εὐδήσει περὶ πάντων γινόμενος, εἴ τι μοι κατὰ τίνα τοιαύτην κίνησιν, ὡς εἰκός, καθυσέρηται. ἢ κατ' ἄγνοιαν τῆ δέοντος διημάρτηται, * διορθώσασθαι τὸν ἐλάχιστον αὐτῆ δῆλον. ἔργον γὰρ τοῦτο τῶν θεοτιμήτων ὑμῶν πάσαις ταῖς θείαις κεκοσμημένων γραφαῖς, καὶ τετελειωμένων ταῖς ἄνωθεν ἀρεταῖς.

* L. διορθώσασθαι κατεξιώση.

Ὑπογραφή. Κῦρος ἐλάχιστος ἐπίσκοπος ὑπερβαλλόμενος τῆς θεοτιμήτυ ἀζωΐας τῆ ξισμακαρίστυ μυ δεσπότυ ἀνήγαγον.

Γσον γενομένης πληροφορίας μεταξὺ Κύρυ τῆ γενομένυ πάπα Ἀλεξανδρείας, καὶ τῶν τῆς μερίδος τῶν Θεοδοσιανῶν.

Τοῦ δεσπότυ Χριστῆ τῆ ἀληθινῆ Θεῆ ἡμῶν πάντων προλάμποντος, καὶ πάντας εἰς τὸ σωτήριον καὶ ἀληθινὸν αὐτῆ πίστιν ἰθύνοντος, καὶ εἰς μίαν καὶ τὸ αὐτὸ ἁγίαν αὐτῆ ἐκκλησίαν συγκαλῆντος, τὴν παρῆσαν πληροφορίαν πεποιήμεθα ἐπὶ τῇ σιάσει τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, μηνὶ * Παῦνι, ἰνδικτιῶνος ε'.

* Μαΐυ.

Πληροφορία γενομένη παρὰ Κύρυ ἐλέῳ Θεοῦ ἐπισκόπου, τὸν τόπον ἐπέχοντος κατὰ θεῖον θέσπισμα τῶν ἀγαθῶν καὶ καλλινίκων ἡμῶν δεσποτῶν τοῦ ἀποστολικοῦ θρόνου τυύτης τῆς Ἀλεξανδρέων φιλοχρίστου πόλεως.

α'.

Εἴτις οὐχ ὁμολογεῖ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, Τριάδα ὁμούσιον, μίαν θεότητα ἐν τρισὶν ὑποστάσεσιν, ἀνάθεμα ἔστω.

β'.

Εἴ τις οὐχ ὁμολογεῖ τὸν σῶμα τῆς ἁγίας Τριάδος, τὸν Θεὸν λόγον τὸν πρὸ αἰώνων ἀχρόνως γεννηθέντα ἐκ τοῦ πατρὸς, καὶ καταληθέντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίυ καὶ τῆς δεσποίνης ἡμῶν τῆς ἁγίας ἐνδόξυ θεοτόκυ καὶ ἀειπαρθένυ Μαρίας· καὶ ἐνανθρωπήσαντα, παθόντα τῇ ἰδίᾳ σαρκὶ, καὶ ἀποθανόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς, ἀνάθεμα ἔστω.

γ'.

Εἴ τις οὐχ ὁμολογεῖ τῆ αὐτῆ καὶ σὺν ἡμῶν Ἰησῆ Χριστῆ τῆ ἀληθινῆ Θεῆ τὰ πάθη καὶ τὰ θαύματα, ἀλλ' ἄλλυ καὶ ἄλλυ, ἀνάθεμα ἔστω.

δ'.

Εἴ τις οὐχ ὁμολογεῖ ἐξ αὐτῆς ἄκρας σιώσεως τὸν Θεὸν λόγον ἐν τῇ γαστρὶ τῆς ἁγίας θεοτόκυ καὶ ἀειπαρθένυ Μαρίας ὑποστῆσαι ἑαυτῷ καθ' ὑπόστασιν σάρκα ἐξ αὐτῆς τῆς ἁγίας θεοτόκυ τὴν ἡμῖν ὁμούσιον, ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, σιάσει φυσικῇ τε καὶ καθ' ὑπόστασιν, καὶ ὅτως προελθεῖν ἐξ αὐτῆς σῶα ὄντα ἀσύγχυτόν τε καὶ ἀδιαίρετον, ἀνάθεμα ἔστω.

ε'.

Εἴ τις οὐχ ὁμολογεῖ τὴν ἁγίαν δέσποιναν ἡμῶν καὶ ἀειπάρθενον Μαρίαν κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον εἶναι, ὡς τὸν Θεὸν λόγον σεσαρκωμένον κυήσασαν καὶ τεκοῦσαν, ἀνάθεμα ἔστω.

ς'.

Εἴ τις οὐχ ὁμολογεῖ ἐκ δύο φύσεων, τυτέστι θεότητος τε καὶ ἀνθρωπότητος ἕνα Χριστὸν, ἕνα υἱὸν, μίαν τῆ Θεῆ λόγυ φύσιν σεσαρκωμένην κατὰ τὸν ἐν ἁγίοις Κύριλλον, ἀσυγχύτως, ἀτρέπτως, ἀναλλοιώτως, ἤγυν μίαν ὑπόστασιν σωθέντων, ὅπερ ἐστὶν αὐτὸς ὁ κύριος ἡμῶν Ἰησῆς Χριστὸς, εἷς ὢν τῆς ἁγίας ὁμουσίυ Τριάδος, ὁ τοιῆτος ἀνάθεμα ἔστω.

ζ'.

Εἴ τις τὸν ἕνα κύριον ἡμῶν Ἰησῆν Χριστὸν ἐν δυσὶ θεωρεῖσθαι λέγων ταῖς φύσεσιν, οὐχ ἕνα τῆς ἁγίας Τριάδος τὸν αὐτὸν ὁμολογεῖ, τὸν ἀϊδίως μὲν ἐκ τῆ πατρὸς γεννηθέντα Θεὸν λόγον, ἐν ἐσχάτοις δὲ τῶν αἰῶνος ἡμεροῖς τὸν αὐτὸν σαρκωθέντα καὶ τεχθέντα ἐκ τῆς παναγίας καὶ ἀχράντυ δεσποίνης ἡμῶν θεοτόκυ καὶ ἀειπαρθένυ Μαρίας· ἀλλ' ἕτερον τοῦτον οἵδε καὶ ἕτερον, καὶ οὐχ ἕνα καὶ τὸν αὐτὸν, κατὰ τὸν σοφώτατον Κύριλλον, ἐν θεότητι τέλειον, καὶ ἐν ἀνθρωπότητι τέλειον τὸν αὐτὸν· ἐκ κατὰ τοῦτο καὶ μόνον ἐν δυοθεωρέμενον φύσεσι· τὸν α' τὸν πάσχοντα καὶ μὴ πάσχοντα κατ' ἄλλο, καὶ ἄλλο, υὡς ὁ αὐτὸς ἐν ἁγίοις ἔφησε Κύριλλος, πάσχοντι μὲν ἀνθρωπίνως σαρκὶ καθὸ ἄνθρωπος, μένοντι δὲ ὡς Θεὸν ἀπαθῆ ἐν τοῖς τῆς ἰδίας σαρκὸς πάθεσι. καὶ τὸν αὐτὸν ἕνα Χριστὸν καὶ υἱὸν ἐνεργοῦντι τὰ θεοπρεπῆ καὶ ἀνθρώπινα μιᾷ θεανδρικῇ ἐνεργείᾳ, κατὰ τὸν ἐν ἁγίοις Διονύ-

νύσιον· θεωρίᾳ μόνῃ διακρίνων τὰ ἐξ ὧν ἡ ἕνωσις γέγονε, καὶ ταῦτα τῷ νῷ διασκοπῶν ἄτρεπτα καὶ ἀσύγχυτα μετὰ τὴν αὐτῶν φυσικὴν καὶ καθ' ὑπόστασιν ἕνωσιν μένοντα. καὶ ἐν τούτοις ἀδιαιρέτως καὶ ἀχωρίστως τὸν ἕνα καὶ τὸν αὐτὸν Χριστὸν καὶ υἱὸν γνωριζόμενον, καθὸ δύο τὰ ἀλλήλοις ἀσυγχύτως συνηνεγμένα καθορᾷ τῷ νῷ πραγματικὴν αὐτῶν τὴν θεωρίαν ποιούμενος, ἀλλὰ μὴ φαντασίᾳ ψευδεῖ καὶ διακένοις νοῦ διαπλάσμασι. * διϊστῶσι δὲ οὐδαμῶς, ὡς ἀνῃρημένης ἤδη τῆς εἰς δύο διατομῆς διὰ τὴν ἄφραστον καὶ ἀπερινόητον ἕνωσιν, λέγων κατὰ τὸν ἅγιον Ἀθανάσιον ἅμα γὰρ σὰρξ, ἅμα Θεοῦ λόγου σάρξ· ἅμα σὰρξ ἔμψυχος λογικὴ, ἅμα Θεοῦ λόγου σὰρξ ἔμψυχος λογικὴ. ἀλλ' ἐπὶ διαιρέσει τῇ ἀνὰ μέρος τὴν τοιαύτην ἐκλαμβάνει φωνὴν, ἀνάθεμα ἔστω.

* διϊστῶν

ή.

Εἴ τις οὐκ ἀναθεματίζει Ἄρειον, Εὐνόμιον, Μακεδόνιον, Ἀπολλινάριον τοὺς αἱρετικοὺς, Νεστόριον, Εὐτυχέα τὸν δυσώνυμον, καὶ Κῦρον καὶ Ἰωάννην τοὺς Αἰγεώτας, καὶ πάντας τοὺς ἀντειρηκότας καθ' οἷον δήποτε τρόπον τοῖς δώδεκα κεφαλαίοις τοῦ ἁγιωτάτου Κυρίλλου, καὶ μὴ μετανοήσαντας, ἀλλ' ἐν τῇ τοιαύτῃ πλάνῃ ἀποθανόντας, καὶ τοὺς τὰ ὅμοια αὐτῶν φρονήσαντας, ἢ φρονοῦντας, ἀνάθεμα ἔστω.

θ'.

Εἴ τις οὐκ ἀναθεματίζει τὰ συγγράμματα Θεοδωρίτου τὰ κατὰ τῆς ὀρθῆς πίστεως τοῦ ἐν ἁγίοις Κυρίλλου, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, καὶ Θεόδωρον τὸν Μοψουεστίας καὶ τὰ συγγράμματα αὐτοῦ. καὶ εἴ τις οὐ δέχεται τὰ συγγράμματα τοῦ ἁγίου Κυρίλλου, καὶ μάλιστα τὰ κατὰ Θεοδώρου καὶ Θεοδωρίτου, καὶ Ἀνδρέου, καὶ Νεστορίου, καὶ τῶν τὰ ὅμοια αὐτοῖς καὶ ἑνὸς αὐτῶν πεφρονηκότων ἢ φρονούντων, ἀνάθεμα ἔστω.

Ἔτι λαβὼν ὁ αὐτὸς εὐλαβέστατος Ἀντίοχος βιβλίον Θεοδώρου ἐπισκόπου γενομένου τῆς Φαρὰν, ἀνέγνω λόγον τοῦ αὐτοῦ πρὸς Σέργιον ἐπίσκοπον γενόμενον Ἀρσενοίτου τῆς Αἰγυπτιακῆς διοικήσεως, ἐν ᾧ περιέγεται οὕτως.

Πᾶν ὁτιοῦν ἱστόρηται ἢ εἰπὼν ἢ δράσας ὁ κύριος, διὰ νοῦ καὶ αἰσθήσεως καὶ αἰσθητηρίων καὶ εἶπε καὶ ἔπραξε. καὶ οὕτως αὐτοῦ ὡς ὅλου καὶ ἑνὸς μία ἐνέργεια τοῦ λόγου, τοῦ νοῦ, τοῦ αἰσθητικοῦ σώματος καὶ ὀργανικοῦ τὰ πάντα λεχθείη.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἐπειδὴ προηγουμένως διά τινα θείαν καὶ σοφωτάτην οἰκονομίαν ὕπνον, κάματον, καὶ πείναν, καὶ δίψαν προσήκατο, ὁπότε καὶ ἠβουλήθη, καὶ μάλιστα δικαίως καὶ τὴν ἐν τούτοις κίνησιν καὶ ἠρεμίαν τῇ πανσθενεῖ καὶ πανσόφῳ τοῦ λόγου ἐνεργείᾳ προσάπτομεν. καὶ ἐντεῦθεν μίαν τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ ἐνέργειαν προσαγορεύομεν.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἱκανῶς οἶμαι παρέστησεν ἡμῖν ὁ λόγος διὰ τῆς ἐξετάσεως, ὅτι πάντα ὅσα ἱστόρηται περὶ τοῦ δεσπότου Χριστοῦ, εἴτε Θεοῦ, εἴτε ψυχῆς, εἴτε σώματος, ἢ τοῦ συναμφοτέρου, ψυχῆς λέγω καὶ σώματος, μοναδικῶς ἅμα καὶ ἀδιαιρέτως ἐπράττετο, ἀρχόμενα μὲν καὶ οἷον εἰπεῖν πηγάζοντα ἐκ τῆς τοῦ λόγου σοφίας καὶ ἀγαθότητος καὶ δυνάμεως, διὰ μέσης δὲ ψυχῆς νοερᾶς καὶ σώματος προϊόντα. καὶ διὰ τοῦτο μία ἐνέργεια ὅλου ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ σωτῆρος ἡμῶν ταῦτα πάντα καί εἰσι καὶ ἐλέχθησαν.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔχομεν ἄρα ἐκ τούτων σαφῶς, ὅτι ἔργον Θεοῦ ἅπαντα, ὅσα περὶ Χριστοῦ καὶ ἀκούομεν καὶ πιστεύομεν, εἴτε τῇ θείᾳ φύσει προσεοικότα, εἴτε τῇ ἀνθρωπίνῃ. καὶ κατὰ τοῦτο μία ἐνέργεια ταῦτα τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος εὐσεβῶς ὠνόμασται.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ὡς εἶναι πᾶσαν τὴν ἐνανθρώπησιν ἀπὸ ἀρχῆς μέχρι τέλους, καὶ ὅσα ταύτης μικρά τε καὶ μεγάλα, μίαν ἀληθῶς ὑψηλοτάτην καὶ θείαν ἐνέργειαν

Τοῦ αὐτοῦ ἐκ τοῦ λόγου, οὗπερ ἐποίησεν εἰς τὰς ἑρμηνείας τῶν πατρικῶν χρήσεων.

Τὸ δὲ θεϊκὸν θέλημα, ὅπερ ἐστὶ αὐτοῦ τοῦ Χριστοῦ· αὐτοῦ γὰρ τὸ θέλημα ἕν ἐστι, καὶ τοῦτο θεϊκόν.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Διὰ τούτων ἄρα χωρὶς πάσης ἀμφιλογίας παιδευόμεθα, ὅτι πάντα ὅσα τῆς σωτηριώδους οἰκονομίας εἴτε θεῖα, εἴτε ἀνθρώπινα περὶ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ ἀνιστρόηται, ἀρχοειδῶς μὲν οἷον εἰπεῖν ἐκ τοῦ θείου τὴν ἔνδοσιν καὶ τὴν αἰτίαν ἐλάμβανε, διὰ μέσης δὲ τῆς νοερᾶς καὶ λογικῆς ψυχῆς ὑπουργεῖτο παρὰ τοῦ

τȣ̃ σώματος · εἴτε θαυματοποιόν τινα δυνάμιν εἴποις, εἴτε καὶ φυσικήν τινα τȣ̃ ἀνθρώπου κίνησιν· οἷον τροφῆς ὄρεξιν, ὕπνον, κάματον, καὶ πόνων ἀντίληψιν, λύπην καὶ ἀδημονίαν. ἃ καὶ πάθη κατὰ συγχώρησιν ὀνομάτων ἐκ τῆς συνηθείας προσαγορεύεται, κυρίως δὲ φυσικῆς κινήσεως διὰ τȣ̃ ἐμψύχȣ καὶ αἰσθητικȣ̃ ζώου πεφύκασι. καὶ αὐτὰ δὲ, ἅπερ κυρίως ἐστὶ καὶ λέγεται πάθη, ὁ σταυρὸς, ἡ νέκρωσις, οἱ μώλωπες, ἡ ὠτειλὴ καὶ καθήλωσις, τὰ ἐμπτύσματα, τὰ ῥαπίσματα, πάντα ταῦτα ὀρθῶς ἂν καὶ δικαίως κληθείη μία καὶ τȣ̃ αὐτȣ̃ ἑνὸς Χριστȣ̃ ἐνέργεια.

Τȣ̃ αὐτȣ̃ ἐκ τȣ̃ αὐτȣ̃ λόγȣ.

Νοείσθω οὖν ἡμῖν ἐκ παντὸς ἅπαντα τὰ κατὰ τὴν τȣ̃ σωτῆρος Χριστȣ̃ ἐνανθρώπησιν μία θείᾳ τε καὶ σωτηριώδης ὄντως ἐνέργεια.

Τȣ̃ αὐτȣ̃ ἐκ τȣ̃ αὐτȣ̃ λόγȣ.

Ἐκ τȣ́των γε πάντων καὶ τῶν ὁμοίων εὖγε καὶ μάλα δικαίως μία Θεοῦ ἐνέργεια πάντα τὰ τῆς ἐνανθρωπήσεως ἴδια πιστεύεσθω καὶ λεγέσθω.

Τȣ̃ αὐτȣ̃ ἐκ τȣ̃ αὐτȣ̃ λόγȣ.

Ἡ μὲν γὰρ ἡμετέρα ψυχὴ ȣ̓ πέφυκε τοσαύτης δυνάμεως εἶναι, ἵνα τὰς φυσικὰς τοῦ σώματος ἰδιότητας ἐξ αὐτȣ̃ τε καὶ ἑαυτῆς ἀπελαύνῃ. ἀλλ' ȣ̓δὲ κυρία τοσȣ̃τον ὤφθη λογικὴ ψυχὴ τȣ̃ ἰδίȣ σώματος, ὥστε καὶ τῶν κατ' αὐτὸ καὶ συμφυῶν αὐτῷ ὄγκȣ καὶ ῥοῆς καὶ χρώματος ἐπικρατῆσαι, καὶ ἔξω τȣ́των αὐτὸ καταστῆσαι ποτέ. ἅπερ ἅπαντα κατὰ τὴν οἰκονομίαν τȣ̃ σωτῆρος ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ καὶ ἱστόρηται καὶ γεγένηται ἐν τῷ θείῳ καὶ ζωοποιῷ σώματι. καὶ γὰρ ἀόγκως, καὶ οἷον εἰπεῖν ἀσωμάτως ἄνευ διαστολῆς προῆλθεν ἐκ μήτρας, καὶ μνήματος, καὶ θυρῶν. καὶ ὡς ἐπ' ἐδάφȣς τῆς θαλάσσης ἐπέζευεν.

Τȣ̃ αὐτȣ̃ ἐκ τȣ̃ αὐτȣ̃ λόγȣ.

Δέον οὖν ȣ̓́τω φρονεῖν τε καὶ λέγειν ἡμᾶς, πάντα τὰ κατὰ τὴν ἐνανθρώπησιν τȣ̃ σωτῆρος Χριστȣ̃ ἱστορȣ́μενα εἶναι μίαν γινώσκειν ἐνέργειαν. ταύτης δὲ τεχνίτην καὶ δημιȣργὸν τὸν Θεὸν, ὄργανον δὲ τὴν ἀνθρωπότητα. τά τε οὖν ὡς Θεοῦ, τά τε ἀνθρωποπρεπῶς περὶ αὐτοῦ λεγόμενα πάντα ἐνέργειά ἐστι τῆς τȣ̃ λόγου θεότητος.

Ἔτι λαβὼν ὁ αὐτὸς εὐλαβέστατος Ἀντίοχος βιβλίον ἔχον ἐν ἐπιγραφῇ. Πύῤῥου ἐλαχίστου ἐπισκόπου περὶ θελήματος καὶ ἐνεργείας. ἀνέγνω τόμον δογματικὸν τȣ̃ αὐτȣ̃ Πύῤῥȣ, ἐν ᾧ περιέχεται ȣ̓́τως.

Ἑνὸς δὲ, ὡς εἴρηται, καὶ μόνον ἐπελάβετο κεφαλαίȣ Σωφρόνιος ὁ εὐλαβέστατος, ὡς χρῆσιν Διονυσίȣ τȣ̃ θεοφόρȣ παραποιήσαντος διδασκάλȣ μιᾶς φωνῆς ἐν ἀμείψει. εἰκότα δὴ λέγων ἐν τȣ́τῳ μάλιστα ὁ ἀνὴρ καὶ ἀσφαλείας ἐχόμενα, ἐν οἷς φησιν ἐκεῖνος· ἀλλ' ἀνδρωθέντος Θεȣ̃ καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένος. μίαν γὰρ ταῖς ἀληθείαις ἀντὶ τȣ̃, καινὴν, περιεῖχεν ὁ χάρτης. ȣ̓ κακȣ́ργως μᾶλλον, μὴ γένοιτο, κατάγε τὸν ἐμὸν λόγον, ἀλλ' ὡς ȣ̓κ ἂν ἄλλως τῆς καινῆς, ἢ μιᾶς δυναμένης τῆς τοιᾶσδε παρὰ τοῦ ἁγιωτάτȣ Κύρȣ φωνῆς ἐντεθείσης. τῇ γὰρ ἀποφάσει τῶν ἄκρων μίαν Φησὶν ὁ θεῖος διδάσκαλος κατάφασιν ποιησάμενος, καὶ ταύτην μοναδικῶς ἐκφωνήσας, τί ἄλλο γε, ἢ μίαν ὁμολογεῖν ἐνέργειαν ὡς ἑνὸς τȣ̃ Χριστȣ̃ καθ' ὁντιναȣ̃ν λόγον σαφῶς παραδέδωκεν;

Ἔτι ἀνεγνώσθη ἀπὸ ῥεγίστρȣ διαφόρων ἐπιστολῶν ἶσον ἐπιστολῆς Παύλου τοῦ γενομένου προέδρου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως· γραφείσης πρὸς Θεόδωρον τὸν γενόμενον πάπαν Ῥώμης· ἧς ἡ ἀρχή· ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφȣ̀ς ἐπὶ τὸ αὐτό. ἔχει δὲ μετά τινα ἡ αὐτὴ ἐπιστολὴ ȣ̓́τως· ἑνὸς δὲ καὶ τȣ̃ αὐτȣ̃ Θεȣ̃ λόγου σεσαρκωμένου τά τε θαύματα κηρύττομεν, καὶ τὰ πάθη γνωρίζομεν, ἅπερ σαρκὶ δι' ἡμᾶς ἑκουσίως ὑπέμεινεν, ὅθεν καὶ Θεὸς λέγεται παθεῖν, καὶ υἱὸς ἀνθρώπȣ ἐκ τȣ̃ ȣ̓ρανȣ̃ κατεληλυθέναι διὰ τὴν ὑπὲρ νȣ̃ν καὶ ἀδιάσπαστον καθ' ὑπόστασιν τῶν δύο φύσεων ἕνωσιν. διὰ τȣ̃το καὶ ἓν θέλημα τȣ̃ κυρίȣ καὶ δεσπότȣ ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ νοȣ̃μεν, ἵνα μὴ ἐναντίωσιν ἢ διαφορὰν θελημάτων ἐνὶ καὶ τῷ αὐτῷ προσώπῳ τȣ̃ κυρίȣ ἡμῶν Ἰησȣ̃ Χριστοῦ περιάψωμεν, ἢ αὐτὸν ἑαυτῷ διαμαχόμενον δογματίσωμεν, ἢ δύο τȣ̀ς θέλοντας εἰσαγάγωμεν. ȣ̓κ ἐπὶ συναλοιφῇ παντοίως, ἢ συγχύσει τῶν δύο φύσεων τῶν ἐν αὐτῷ θεωρȣμένων τὴν τοιαύτην τȣ̃ ἑνὸς θελήματος προφέροντες φωνὴν, ἢ ἐπὶ ἀναιρέσει θατέρας μόνην τὴν ἑτέραν εἶναι πρεσβεύοντες, ἀλλὰ τȣ̃το διὰ τῆς τοιαύτης σημαίνοντες φωνῆς, ὡς ἡ αὐτοῦ λογικῶς τε καὶ νοερῶς ἐψυχωμένη σὰρξ ἐξ αὐτῆς ἄκρας ἑνώσεως ἀῤῥήτως τὰ θεῖα καταπλουτήσασα τὸ τοῦ ἑνώσαντος αὐτὴν ἑαυτῷ καθ' ὑπόστασιν θεῖον ἐκέκτητο καὶ οὐ διάφορον θέλημα.

Ἔτι ἀνεγνώσθη ἀπὸ ἑτέρȣ ῥεγίστρȣ ἐπιστολὴ Πέτρου καὶ αὐτοῦ γενομένȣ προέδρου τῆς βασιλίδος ταύτης πόλεως πρὸς Βιταλιανὸν τὸν ἐν ὁσίᾳ τῇ μνήμῃ γενόμενον πάπαν Ῥώμης. ἧς ἡ ἀρχή. πνευματικῆς εὐφροσύνης πρόξενον ἡμῖν τὸ γράμμα τῆς ὑμετέρας ὁμοψύχου καὶ ἁγίας ἀδελφότητος γέγονεν. καὶ ἀναγινωσκομένης τῆς τοιαύτης ἐπιστολῆς ἐχούσης διαφόρȣς πατρικὰς χρήσεις, οἱ τὸν τόπον ἐπέχοντες Ἀγάθωνος τȣ̃ ἁγιωτάτȣ πάπα Ῥώμης εἶπον· διδάσκομεν τὴν ὑμῶν ἐνδοξότητα, ὡς αἱ ἐμφερόμεναι πατρικαὶ χρήσεις ἐν τῇ

τῇ παρούσῃ καὶ νῦν ἀναγινωσκομένῃ Πέτρου ἐπιστολῇ περικεκομμένως παρεξεβλήθησαν ὑπὸ τοῦ αὐτοῦ Πέτρου, διὰ τὸ παραστῆσαι αὐτὸν ἐθέλειν τὸν αὐτοῦ περὶ ἑνὸς θελήματος καὶ μιᾶς ἐνεργείας σκοπόν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. ἔγνωμεν ἀκριβῶς κατὰ τὰ παρὰ τῶν θεοφιλῶν ὑμῶν λεχθέντα, ὡς αἱ τοιαῦται ἐμφερόμεναι χρήσεις ἐν τῇ παρούσῃ ἐπιστολῇ περικεκομμένως ἐνετέθησαν. καὶ εἰ δοκεῖ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, εἰς τὰ πρόσω μὴ χωρείτω ἡ τῆς τοιαύτης ἐπιστολῆς ἀνάγνωσις.

Ἡ ἁγία σύνοδος εἶπεν· πρὸς τὰ παρὰ τῆς ὑμῶν ἐνδοξότητος ἀρτίως διαλαληθέντα ἀρκούντως ἔχει τῆς παρούσης ἐπιστολῆς ἡ ἀνάγνωσις. ἰδοὺ δὲ κατὰ τὰ παρὰ τῶν ἐνδοξοτάτων ὑμῶν διαλαληθέντα, ἤγουν ἐπιζητηθέντα, εἰς μέσον ἐλθόντων τῶν τε γενομένων δογματικῶν ἐπιστολῶν τε καὶ συγγραμμάτων ἀπό τε Πύρρου, Παύλου, καὶ Πέτρου, τῶν γενομένων πατριαρχῶν τῆς βασιλίδος ταύτης πόλεως, καὶ Θεοδώρου ἐπισκόπου τῆς Φαρὰν, καὶ Κύρου τοῦ γενομένου πάπα Ἀλεξανδρείας, καὶ εἰς ἐπήκοον ἡμῶν καὶ τῆς ὑμῶν ἐνδοξότητος ὑπαναγνωσθέντων, φανερῶς τε καὶ μίαν ἐνέργειαν, καὶ ἓν θέλημα ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἀσεβῶς δογματίσαι αὐτοὺς ἀποδηλωσάντων ἐν πάσῃ πληροφορίᾳ ὤφειλεν ἡ ὑμετέρα ἐνδοξότης γενέσθαι, ὡς καλῶς καὶ δικαίως ἤδη τούτους ἀπεβάλετο Ἀγάθων ὁ ἁγιώτατος τῆς πρεσβυτέρας Ῥώμης πάπας διὰ τῆς παρ' αὐτοῦ πρὸς τὸν εὐσεβέστατον, καὶ καλλίνικον ἡμῶν βασιλέα γενομένης ἀναφορᾶς. συνῳδὰ δὲ αὐτοῦ καὶ ἡμεῖς, ὡς τἀναντία τῆς ὀρθῆς πίστεως φρονήσαντας, τούτους ἀποβληθῆναι ἐκ τῶν ἱερῶν διπτύχων, καὶ ἀναθέματι καθυποβληθῆναι ἐκκρίναμεν, καὶ τὰ αὐτῶν συγγράμματα ὡς ἀσεβείας ἀνάμεστα βδελυττόμεθα, καὶ ἀφανισμῷ ὀφείλοντα ὑποβληθῆναι ἀποφαινόμεθα.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. εἰ οἱ μετὰ Πέτρον ἐπισκοπήσαντες ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, τουτέστι Θωμᾶς, Ἰωάννης, καὶ Κωνσταντῖνος, φαίνωνται εἴτε ἐπιστολὰς γράψαντες, εἴτε λόγους συντεθεικότες περὶ τῆς νῦν ἀσεβῶς εἰσαχθείσης καινοφωνίας εἰς τὴν καθολικὴν ἐκκλησίαν, τὰ τούτων ἴσα, ἤτοι ῥέγιστρα, ἢ καὶ αὐθεντικὰ εἰς μέσον ἀγαγέτω Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ, πρὸς τὸ καὶ τὴν τούτων εἴδησιν λαμβάνουσαν τὴν ἁγίαν ὑμῶν σύνοδον τὰ τῷ καλῶς ἔχοντι συμβαίνοντα ἀποφήνασθαι. ὡσαύτως καὶ εἰ φαίνονται εἴτε ἐπίσκοποι, εἴτε κληρικοὶ, εἴτε μοναχοὶ, εἴτε ἕτεροί τινες λιβέλλους ἀπαιτηθέντες παρὰ τῶν ἐπισκοπησάντων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως περὶ μιᾶς ἐνεργείας καὶ ἑνὸς θελήματος, καὶ ταῦτα συνείδομεν τὸν εἰρημένον θεοσεβέστατον διάκονον καὶ χαρτοφύλακα Γεώργιον εἰς μέσον προαγαγεῖν ἀπαραλείπτως, πρὸς τὸ καὶ ταῦτα κατὰ τὴν κρίσιν τῆς ἁγίας συνόδου ἀφανισμῷ παραδοθῆναι.

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἶπε· τὸ κωδίκιον, δέσποτα, ἤτοι ῥέγιστρον τὸ ἔχον τὰ ἰσότυπα τῶν γενομένων συνοδικῶν ἀπό τε Θωμᾶ, Ἰωάννου, καὶ Κωνσταντίνου τῶν ἐν ἁγίᾳ τῇ μνήμῃ γενομένων πατριαρχῶν τῆς βασιλίδος ταύτης πόλεως ὕπεστί μοι ἐνταῦθα. πρὸς τούτοις καὶ τὰ αὐθεντικὰ συνοδικὰ βεβουλλωμένα, τὰ γενόμενα ὑπὸ Θωμᾶ τοῦ ἐν ἁγίᾳ τῇ μνήμῃ γενομένου πατριάρχου πρὸς Βιταλιανὸν τὸν ἐν ἁγίᾳ τῇ μνήμῃ γενόμενον πάπαν Ῥώμης. ἅτινα καὶ ἀποστεῖλαι πρὸς αὐτὸν βουληθέντος αὐτοῦ, διὰ τὴν γενομένην, ὡς ἐπίστασθε, τῶν ἀθέων Σαρακηνῶν ἐπίμονον καταδρομὴν καὶ παράστασιν εἰς τὸν διετῆ χρόνον, ὃν ἐπεσκόπησεν, ἐκπέμψαι οὐκ ἴσχυσε. καὶ ταῦτα παρευθὺ κελευόντων ὑμῶν προφέρω. τὴν μέντοι ἀναζήτησιν τῶν γενομένων λιβέλλων ἀπὸ διαφόρων ἐπισκόπων, ἢ μοναχῶν, ἢ κληρικῶν, ἢ λαϊκῶν περὶ θελήματος καὶ ἐνεργείας μετὰ ἀκριβείας ἐποιησάμην, καὶ τούτους παρεξέβαλον, καί εἰσιν ἐν τῷ χαρτοφυλακίῳ πρὸς τὸ ὑμῖν παραστησόμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἅπερ ἔφησε Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ μετὰ χεῖρας ἔχειν ῥέγιστρα συνοδικῶν τῶν γραφέντων ἀπὸ Θωμᾶ, Ἰωάννου, καὶ Κωνσταντίνου τῶν ἐπισκοπησάντων τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως· εἶτα δὲ καὶ τὰ αὐθεντικὰ συνοδικὰ, ἅπερ εἶπε γράψαι Θωμᾶν πρὸς Βιταλιανὸν τὸν ἐν ἁγίᾳ τῇ μνήμῃ γενόμενον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, εἰς μέσον ἀγαγέτω, καὶ ταῦτα ὑποδεχόμενοι οἱ ἡμᾶς ὑπολαμβάνοντες, εἰς ἐπήκοον πάντων ἡμῶν ἀναγινωσκέτωσαν. καὶ λαβὼν Ἀγάθων ὁ εὐσεβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως τὸ αὐθεντικὸν συνοδικὸν γράμμα τοῦ ἐν ἁγίᾳ τῇ μνήμῃ Θωμᾶ βεβουλλωμένον, καὶ τῆς ἐν αὐτῷ ἐπικειμένης βούλλας ἐπὶ πάντων ἀφαιρεθείσης, ἀνέγνω ἔχων ἐν ἐπιγραφῇ οὕτως· τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Βιταλιανῷ Θωμᾶς ἀνάξιος ἐπίσκοπος ἐν κυρίῳ χαίρειν. οὗ ἡ ἀρχή. ὁ μὲν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα. ὅπερ συνοδικὸν ἀντεβλήθη πρὸς τὸ ῥέγιστρον τὸ προκομισθὲν παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος, καὶ ἐστοίχησεν ἀπ' ἀρχῆς ἕως τέλους ἀπαραλείπτως.

Ἔτι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου, ἤγουν ῥεγίστρου ἰσότυπα τῶν συνοδικῶν Ἰωάννου τοῦ ἐν ἁγίᾳ τῇ μνήμῃ ὡσαύτως γενομένου πατριάρχου τῆς βασιλίδος ταύτης πόλεως, ἔχοντα ἐν ἐπιγραφῇ οὕτως.

Τῷ τὰ πάντα ὁσιωτάτῳ καὶ ἁγιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Μακαρίῳ Ἰωάννης ἀνάξιος ἐπί-

ἐπίσκοπος, ὧν ἡ ἀρχή. τίς λαλήσει τὰς δυ-
Ψαλ. 105. νασείας τοῦ κυρίου.

Ετι ἀνεγνώσθη ἐκ τοῦ αὐτοῦ κωδικίου, ἤτοι ῥεγίστρου ἰσότυπα τῶν συνοδικῶν Κωνσταντίνου τοῦ ἐν ὁσίᾳ τῇ μνήμῃ γενομένου πατριάρχου τῆς βασιλίδος ταύτης πόλεως, ἔχοντα ἐν προγραφῇ οὕτως· τῷ τὰ πάντα ὁσιωτάτῳ καὶ ἁγιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ Μακαρίῳ Κωνσταντῖνος ἀνάξιος ἐπίσκοπος. ὧν ἡ ἀρχή. ἄλλοι μὲν ἴσως ἐπιεικείᾳ μείζονι τῆς τῶν πολλῶν καταλήψεως. τούτων τοίνυν ἀπ' ἀρχῆς μέχρι τέλους ἀπαραλείπτως ἀναγνωσθέντων, ἡ ἁγία σύνοδος εἶπεν· ἐν ἀκροάσει γενόμενοι τῶν γραφεισῶν συνοδικῶν ἐπιστολῶν παρά τε Θωμᾶ, Ιωάννου, καὶ Κωνσταντίνου τῶν γενομένων πατριαρχῶν τῆς βασιλίδος ταύτης πόλεως, καὶ εὑρηκότες μηδὲν ἐναντίον αὐτοὺς περὶ τῆς ὀρθῆς πίστεως φρονήσαντας ἢ γράψαντας, συνείδομεν Γεώργιον τὸν θεοσεβέστατον διάκονον καὶ χαρτοφύλακα τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας ἐπ' ὄψεσιν ἡμῶν ἐπὶ τῶν προκειμένων ἀχράντων τοῦ Θεοῦ λογίων πληροφορῆσαι ἡμᾶς, ὡς διὰ πάσης ἐρεύνης ἐλθὼν οὐχ ηὗρε λιβέλλους γραφῆναι ἀπό τινων, καὶ προσδοθῆναι τοῖς εἰρημένοις τρισὶ πατριάρχαις Θωμᾶ, Ιωάννῃ, καὶ Κωνσταντίνῳ, ἓν θέλημα καὶ μίαν ἐνέργειαν δηλοῦντας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. καὶ ἁψάμενος τῶν προκειμένων ἀχράντων τοῦ Θεοῦ λογίων Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ ὤμοσεν οὕτως· μὰ τὰς ἁγίας γραφὰς ταύτας, καὶ τὸν Θεὸν τὸν λαλήσαντα δι' αὐτῶν, διὰ πάσης ἐρεύνης ἐλθὼν οὐχ εὗρον λιβέλλους γενομένους ἀπό τινων, καὶ προσδοθέντας τοῖς εἰρημένοις τρισὶν ἁγιωτάτοις πατριάρχαις, Θωμᾶ, Ιωάννῃ, καὶ Κωνσταντίνῳ περὶ ἑνὸς θελήματος καὶ μιᾶς ἐνεργείας.

Η' ἁγία σύνοδος εἶπε. τοῦ σωματικοῦ λόγου εἰς ἐπήκοον ἡμῶν καὶ τῶν συμπαρόντων ἡμῖν ἐνδοξοτάτων ἀρχόντων καταβληθέντος παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου, καὶ χαρτοφύλακος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, καὶ πληροφορίαν ἡμῖν τελείαν διὰ τοῦ τοιούτου παραχόντος σωματικοῦ λόγου, ὡς οὐδαμῶς οἱ αὐτοὶ ἐν ἁγίᾳ τῇ μνήμῃ, Θωμᾶς, Ιωάννης, καὶ Κωνσταντῖνος, τινὰς εἰσέπραξαν λιβέλλους περὶ ἐνεργείας καὶ θελήματος. τοὺς τοιούτους ἐν ἁγίᾳ τῇ μνήμῃ τρεῖς ἄνδρας, τουτέστι Θωμᾶν, Ιωάννην, καὶ Κωνσταντῖνον, συνείδομεν ἐν τῇ αὐτότητι μεῖναι, καὶ ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναφέρεσθαι τῶν ἁγιωτάτων ἐκκλησιῶν, ὡς οἷα ἐν πᾶσιν ἀμωμήτων αὐτῶν καὶ ἀνεπιλήπτων εὑρεθέντων περὶ τὴν ὀρθόδοξον ἡμῶν τῶν Χριστιανῶν πίστιν. οὓς δὲ ἔφησε Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ ἔχειν λιβέλλους ἀπὸ διαφόρων προσώπων γενομένους ἐπὶ Σεργίου, Πύῤῥου, Παύλου, καὶ Πέτρου, παραχρῆμα πρὸς ἡμᾶς ἀγαγέτω, ἐφ' ᾧ τὸν ἀφανισμὸν αὐτῶν προσφόρως γενέσθαι. καὶ ὑπεξελθὼν πρὸς βραχὺ Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ, καὶ μετ' ὀλίγον ἀνθυποστρέψας, διαφόρους τε χάρτας ἐπιφερόμενος εἶπε. κατὰ τὰ παραστάντα τῇ ἁγίᾳ ὑμῶν συνόδῳ πάντας τοὺς γενομένους λιβέλλους, καὶ καταθέσεις, καὶ ἑτέρους χάρτας εἰς τὴν παροῦσαν συντείνοντας δογματικὴν κίνησιν, καὶ εὑρεθέντας ἐν τῷ χαρτοφυλακίῳ τοῦ εὐαγοῦς πατριαρχείου παρεξέβαλον, ἐν οἷς καὶ ἑτέρα Ρ'ωμαϊκὴ ἐπιστολὴ Ονωρίου τοῦ γενομένου πάπα Ρώμης πρὸς τῇ ἤδη προενεχθείσῃ αὐτοῦ ἐπιστολῇ ηὕρηται μετὰ τῆς αὐτῆς ἑρμηνείας.

Ε'τι δὲ ἐπιφέρομαι καὶ βίβλον ἐν σώμασι ἔχουσαν ἴσα διαφόρων ἐπιστολῶν δογματικῶν, ἐν ᾗ ἔγκειται ἐπιστολὴ δογματικὴ Πύῤῥου τοῦ γενομένου ἀρχιεπισκόπου ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, γραφεῖσα πρὸς Ιωάννην τὸν ἐν ὁσίᾳ τῇ μνήμῃ γενόμενον πάπαν Ρώμης. καὶ ἅπαντα ἐπιφέρομαι πρὸς τὸ ὑμῖν παραστησόμενον.

Η' ἁγία σύνοδος εἶπεν. οὕσπερ ἔφησε Γεώργιος ὁ θεοσεβέστατος διάνονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας λιβέλλους, καὶ ἕτερα χαρτία εἰς τὴν παροῦσαν δογματικὴν φερόμενα κίνησιν, εἰς μέσον ἀγαγέτω, πρὸς τὸ ταῦτα διασκεπτομένους ἡμᾶς, εἰ ἐναντία τῆς ὀρθοδοξίας εὕρωμεν, τῷ ἁρμοδίῳ ὑποβληθῆναι ἀφανισμῷ ἐπιτρέψαι. ἣν δὲ ἐπὶ τοῦ παρόντος εὑρηκὼς εἶπε μετὰ χεῖρας ἔχειν ὁ αὐτὸς θεοσεβέστατος χαρτοφύλαξ Γεώργιος, Ρωμαϊκὴν Ονωρίου γενομένου πάπα Ρώμης ἐπιστολὴν μετὰ τῆς αὐτῆς ἑρμηνείας. ὡσαύτως καὶ τὴν βίβλον, ἐν ᾗ φέρεται ἡ ἐπιστολὴ Πύῤῥου πρὸς Ιωάννην τὸν γενόμενον πάπαν Ρ'ώμης, ἐπιδιδότω πρὸς ἀνάγνωσιν, πρὸς τὸ τὴν τούτων λαβεῖν ἡμᾶς εἴδησιν. καὶ προεκομίσθη ἡ τοιαύτη Ρωμαϊκὴ Ονωρίου ἐπιστολὴ μετὰ τῆς αὐτῆς ἑρμηνείας ἔχουσα ἐν προγραφῇ οὕτως. τῷ ἀγαπητῷ ἀδελφῷ Σεργίῳ Ονώριος. ἧς ἡ ἀρχή. τὰ γραφέντα παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν τέκνου Συρίκου τοῦ διακόνου. ἔχει δὲ ἡ αὐτὴ ἐπιστολὴ μετά τινα οὕτως. οὐμὴν ἀλλὰ καὶ πρὸς Κῦρον τὸν ἀδελφὸν ἡμῶν τὸν τῆς Αλεξανδρέων πόλεως πρόεδρον εἰς τὸ ἀνατραπῆναι τὴν ἐπωνυμίαν τὴν νέας ἐφευρέσεως τῆς μιᾶς ἢ τῶν δύο ἐνεργειῶν, ὡς μὴ ὀφείλειν τῷ λαμπρῷ κηρύγματι τῶν τοῦ Θεοῦ ἐκκλησιῶν τὴν ἀχλὴν τῶν συνεσκιασμένων φιλονεικιῶν περιχεθῆναι, ἤγουν περιῤῥαίνεσθαι, ἀλλ' ἐκβληθῆναι δηλαδὴ τὴν προσηγορίαν τῆς νεωστὶ εἰσαχθείσης μιᾶς, ἢ διπλῆς ἐνεργείας ἀπὸ τοῦ κηρύγματος τῆς πίστεως. Οἱ γὰρ ταῦτα λέγοντες τί ἕτερον ὑπονοοῦσιν, ἢ καθ' ὁμοιότητα τῆς προσηγορίας τῆς μιᾶς, ἢ τῶν δύο φύσεων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, οὕτω καὶ μίαν ἢ δύο ἐνεργείας; περὶ οὗ λαμπρῶς ἡ θεία γραφὴ διαγορεύει. μιᾶς δὲ ἐνεργείας, ἢ δύο εἶναι, ἢ γεγονέναι τὸν μεσίτην Θεοῦ καὶ ἀνθρώπων τὸν κύριον Ιησοῦν Χριστὸν, νοεῖν ἢ προφέρειν πάνυ μάταιον.

Εχει

Εχει δὲ πρὸς τὸ τέλος ἡ αὐτὴ ἐπιστολὴ οὕτως· καὶ ταῦτα μὲν τῇ ὑμετέρᾳ ἁγιωτάτῃ ἀδελφότητι συνείδομεν διὰ τῶν παρόντων γραμμάτων κατάδηλα ποιήσασθαι πρὸς καταρτισμόν τε καὶ γνῶσιν τῶν ἀμφιβαλλόντων. τὸ δὲ λοιπὸν, ὅσον πρὸς τὸ δόγμα τὸ ἐκκλησιαστικὸν συντείνει, καὶ τίνα τε ὀφείλομεν κρατεῖν, ἤγουν κηρύττειν διὰ τὴν ἁπλότητα τῶν ἀνθρώπων, καὶ εἰς τὸ περιελεῖν τὰς δυσχερεῖς περιόδους τῶν ζητήσεων, ὡς ἀνωτέρω εἴπομεν· οὐδὲ μίαν οὐδὲ δύο ἐνεργείας ἐπὶ τοῦ μεσίτου θεοῦ καὶ ἀνθρώπων ὁρίζειν, ἀλλ' ἑκατέρας τὰς φύσεις ἐν τῷ ἑνὶ Χριστῷ τῇ φυσικῇ ἑνότητι ἡνωμένας μετὰ τῆς θατέρου κοινωνίας ἐνεργούσας καὶ πρακτικὰς ὁμολογεῖν ὀφείλομεν. καὶ τὴν μὲν θείαν ἐνεργοῦσαν ἅ εἰσι τοῦ Θεοῦ, τὴν δὲ ἀνθρωπίνην ἀποτελοῦσαν τὰ τῆς σαρκὸς οὐ διῃρημένως, οὐδὲ συγκεχυμένως· ἢ τραπεῖσαν τὴν τοῦ Θεοῦ φύσιν εἰς ἄνθρωπον, οὐδὲ τὴν ἀνθρωπείαν τραπεῖσαν εἰς θεότητα ἐκδιδάσκοντες, ἀλλὰ τὰς διαφορὰς τῶν φύσεων ἀκεραίας ὁμολογοῦντες. εἷς γὰρ καὶ ὁ αὐτός ἐστι ταπεινὸς καὶ ὑψηλος, ἴσος τῷ πατρὶ καὶ ἥττων τοῦ πατρὸς, αὐτὸς ὁ πρὸ τῶν αἰώνων τεχθεὶς ἐν χρόνῳ ἐγένετο. δι' οὗ οἱ αἰῶνες ἐγένοντο, ἐγένετο ἐν τῷ αἰῶνι. καὶ ὁ νόμον δεδωκὼς, γέγονεν ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσηται· αὐτὸς ἐσταυρώθη· αὐτὸς τὸ χειρόγραφον, ὅπερ ἦν καθ' ἡμῶν, καταργῶν ἐν τῷ σταυρῷ ἐκ τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν ἐθριάμβευσεν. ἐξαιροῦντας οὖν, ὡς εἴπομεν, τὸ σκάνδαλον τῆς νέας ἐφευρέσεως, οὐ δέον ἡμᾶς ὁρίζειν, ἢ κηρύττειν μίαν ἢ δύο ἐνεργείας, ἀλλ' ἀντὶ μιᾶς, ἥτινες λέγουσιν ἐνέργειαν, δέον ἡμᾶς τὸν ἕνα ἐνεργοῦντα Χριστὸν τὸν κύριον ἐν ἑκατέραις ταῖς φύσεσιν ἀληθῶς ὁμολογεῖν. καὶ ἀντὶ τῶν δύο ἐνεργειῶν ἐξαιρεθείσης τῆς προσηγορίας τῆς διπλῆς ἐνεργείας αὐτὰς μᾶλλον τὰς δύο φύσεις μεθ' ἡμῶν κηρύξωσι, τουτέστι τῆς θεότητος καὶ τῆς σαρκὸς τῆς προσληφθείσης ἐν τῷ ἑνὶ προσώπῳ τοῦ μονογενοῦς υἱοῦ καὶ πατρὸς ἀσυγχύτως, ἀδιαιρέτως, ἀτρέπτως ἐνεργούσας τὰ ἴδια. καὶ ταῦτα μὲν τῇ μακαριωτάτῃ ὑμῶν ἀδελφότητι συνείδομεν κατάδηλα ποιῆσαι, ἵνα τῇ προθέσει τῆς μιᾶς ὁμολογίας δείξωμεν ὁμοψυχήσαντας ἑαυτοὺς τῇ ὑμῶν ἁγιότητι, δηλαδὴ συμφωνοῦντας ἐν ἑνὶ πνεύματι τῇ ἴσῃ διδαχῇ τῆς πίστεως. γράφοντες ἔτι μὴν καὶ τοῖς κοινοῖς ἀδελφοῖς ἡμῶν Κύρῳ καὶ Σωφρονίῳ τοῖς ἐπισκόποις, ἵνα μὴ τῇ νεαρᾷ φωνῇ, τουτέστι τῇ προσηγορίᾳ τῆς μιᾶς, ἢ διπλῆς ἐνεργείας ἐνίστασθαι ἢ ἐπιμένειν φανῶσιν, ἀλλὰ περιαιρεθείσης τῆς προσηγορίας τοιουτοτρόπου νέας φωνῆς, τὸν ἕνα Χριστὸν κύριον μεθ' ἡμῶν κηρύξωσιν ἐνεργοῦντα τὰ θεῖα καὶ τὰ ἀνθρώπινα ἐν ἑκατέραις ταῖς φύσεσι. κἂν εἰ τὰ μάλιστα τούτους, οὓς πρὸς ἡμᾶς ὁ προλεχθεὶς ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν Σωφρόνιος ἀπέστειλε, παρεσκευάσαμεν, ἵνα μὴ δύο ἐνεργειῶν ἐπωνυμίαν τοῦ λοιποῦ κηρύττων ἐπιμείνῃ ὅπερ καὶ πάντως ἐπηγγείλαντο τὸν προλεχθέντα ἄνδρα μέλλειν ποιεῖν, εἴγε Κῦρος ὁ ἀδελφὸς ἡμῶν καὶ συνεπίσκοπος ἀπὸ τῆς προσηγορίας τοῦ λέγειν μίαν ἐνέργειαν ἀποστῇ. ὡσαύτως ἐπεδόθη καὶ ἡ βίβλος, ἐν ᾗ ἐπεφέρετο ἐπιστολὴ Πύῤῥου τοῦ γενομένου προέδρου τῆς βασιλίδος ταύτης πόλεως πρὸς Ἰωάννην τὸν ἐν ὁσίᾳ τῇ μνήμῃ γενόμενον πάπαν Ῥώμης. ἧς ἡ ἀρχή· ὁ κύριος ἡμῶν καὶ θεὸς ὁ Χριστὸς μέλλων εἰς οὐρανοὺς ἀνιέναι. ἔχει δὲ μετά τινα ἡ αὐτὴ ἐπιστολὴ οὕτως· τίς γὰρ ἐκείνων βλέπων οὕτω διακειμένους ἡμᾶς ἐχθρωδῶς, καὶ τοὺς ἱερᾶσθαι λαχόντας ὀνείδεσι βαλλομένους ἀπὸ τῶν ποιμαίνεσθαι τεταγμένων, οὐ διαπαίξεται, καὶ ἀπογνώσεται τῆς ἡμετέρας γνώμης, καὶ ἀφορμὴν τῆς ἰδίας ἀσεβείας τὴν ἐν ἡμῖν ἀταξίαν ποιήσεται; οὔπω ὁ περὶ δύο φύσεων καταλέλυται πέλεμος, καὶ ἕτερον ἑαυτοῖς ἐπεισάγομεν θόρυβον. ὁμοίως προηνέχθησαν καὶ ἀνεγνώσθησαν καὶ οἱ ἀνωτέρω ἐπιμνησθέντες λίβελλοί τε, καὶ ἕτεροι χάρται.

Ἡ ἁγία σύνοδος εἶπε. τῶν προκομισθέντων ἡμῖν παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας λιβέλλων τε καὶ χαρτῶν, καὶ ἑτέρων συνταγμάτων τὴν εἴδησιν λαβόντες, ἔγνωμεν εἰς μίαν καὶ τὴν αὐτὴν ἀσέβειαν φέρεσθαι. καὶ συνείδομεν ταῦτα ὡς βέβηλα καὶ ψυχοφθόρα παραχρῆμα πρὸς τέλειον ἀφανισμὸν πυρὶ παραδοθῆναι. καὶ ἐκαύθησαν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον. ἀρκούντως καὶ τὰ κατὰ τὴν σήμερον ἡμέραν πραχθέντα.

ΠΡΑΞΙΣ ΙΔ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκρατορος, ἔτους εἰκοστοεβδόμου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πραότητος ἔτους τρισκαιδεκάτου· Ἡρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ πέμπτῃ τοῦ Ἀπριλίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης.

Προτεθημένου τοῦ σεβασμιωτάτου σέσσου τοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ, καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνῆς ἐκ προσώπου αὐτοῦ παρόντων καὶ ἀκροωμένων, Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ οἴκου τῶν Ὁρμίσδου Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Πολυεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων.

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς

κῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν εὐλαβεστάτων πρεσβυτέρων, καὶ Ιωάννου τοῦ εὐλαβεστάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ρώμης Αγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρ'ώμης, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Αλεξανδρέων μεγαλοπόλεως. καὶ Θεοφάνους τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Α'ντιοχείας. καὶ Γεωργίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου. Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ιεροσολύμων· Ιωάννου ἐπισκ. πόλεως Πόρτου· Α'βουνδαντίου ἐπισκ. πόλεως Πατέρνου· Ι'ωάννου ἐπισκ. πόλεως Ρ'ηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ρώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ, καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, ὁ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ραβέννης Θεοδώρου. Ιωάννου ἐπισκόπου Θεσσαλονίκης· Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρητῶν νήσου. Φιλαλήθους ἐπισκόπου Καισαρείας Καππαδοκίας. Θεοδώρου ἐπισκ. Εφέσου· Θεοδώρου ἐπισκ. πόλεως Τριμιθούντων ἐπέχοντος τὸν τόπον Επιφανίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Κύπρου. Σισιννίου ἐπισκόπου Ηρακλείας Θρᾴκης. Πλάτωνος ἐπισκόπου Αγκύρας Γαλατίας. Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ιωάννου ἐπισκόπου Χαλκηδόνος· Ιωάννου ἐπισκόπου Σίδης. Θεοδώρου ἐπισκόπου Μελιτηνῆς. Ιουστίνου ἐπισκόπου Τυάνων. Αλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανοῦ ἐπισκ. Κλαυδιουπόλεως· Πολυεύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκ. Σταυρουπόλεως Καρίας. Τιβερίου ἐπισκόπου Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκόπου Συνάδων. Στεφάνου ἐπισκόπου Αντιοχείας Πισιδίας· Ιωάννου ἐπισκ. Πέργης· Θεοπέμπτου ἐπισκ. Ιουστινουπόλεως, ἤτοι Μωκισοῦ. Ισιδώρου ἐπισκ. Ρόδου· Σισιννίου ἐπισκ. Ιεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκ. Ταρσοῦ· Μακροβίου ἐπισκ. Σελευκείας Ισαυρίας. Γεωργίου ἐπισκ. Βυζίης Θρᾴκης. Ζαχαρίου ἐπισκόπου Λεοντοπόλεως Ισαυρίας. Γρηγορίου ἐπισκόπου Μιτυλήνης· Γεωργίου ἐπισκόπ. Μιλήτου. Σεργίου ἐπισκόπου Σηλυβρίας· Ανδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Επιφανίου ἐπισκ. Ευχαΐτων. Πέτρου ἐπισκόπου Μεσημβρίας· Πέτρου ἐπισκόπου Σωζοπόλεως Θρᾴκης. Ιωάννου ἐπισκ. Νύσσης. Θεοδώρου ἐπισ. τῶν βασιλικῶν Θερμῶν. Γεωργίου ἐπισκόπου Καμουλιανῶν. Ζωήτου ἐπισκόπου Χριστουπόλεως Ασίας. Πατρικίου ἐπισκ. Μαγνησίας· Αντωνίου ἐπισκ. Υπαίπων. Θεοδώρου ἐπισκ. Περγάμου. Στρατονίκου ἐπισκόπου Σόλων, καὶ Τύχωνος ἐπισκόπου τοῦ Κιτίου, ἀμφοτέρων τῆς συνόδου τυγχανόντων τῆς φιλοχρίστου τῶν Κυπρίων νήσου. Γενεσίου ἐπισκόπου Αναστασιουπόλεως· Πλάτωνος ἐπισκ. Κίννης. Στεφάνου ἐπισκ. Βερινουπόλεως. Ανδρέου ἐπικ. Μνίζου. Ιωάννου ἐπισκ. Μιλητουπόλεως. Ιωάννου ἐπισκόπου Φλαβιάδος. Θεοδώρου ἐπισκόπου Πραινέτου. Ιωάννου ἐπισκόπου τοῦ Δασκυλίου. Θεοδώρου ἐπισκόπου Ιουστινιανουπόλεως Γόρδου. Μηνᾶ ἐπισκόπου Καραλίας Παμφυλίας· Καλλινίκου ἐπισκόκου Κολωνίας Αρμενίας. Θεοδώρου ἐπισκόπου Βερίσσης. Τιβερίου ἐπισκ. * Αμίσσου· Σεργίου ἐπισκ. Σινώπης. Γεωργίου ἐπισκ. Ιουνοπόλεως. Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνου ἐπισκόπου Τίου. Δομετίου ἐπισκ. Προυσιάδος· Γεωργίου ἐπισκ. Κρατίας. Πλάτωνος ἐπισκ. Αδριανουπόλεως· Σολομῶνος ἐπισκ. Κλανέου. Ι'ωάννου ἐπισκ. Ερίζων. Ιωάννου ἐπισκ. Μύνδου. Πατρικίου ἐπισκ. Ιλούζων. Πέτρου ἐπισκ. Αππίας. Αλεξάνδρου ἐπισκόπου Νακωλείας. Δομετίου ἐπισκ. Πρυμνήσου· Κωνσταντίνου ἐπισκ. Βαράτης· Θεοδοσίου ἐπισκ. Ψιβήλων. Παύλου ἐπισκ. Σωζοπόλεως Πισιδίας· Πλουσιανοῦ ἐπισκ. τοῦ Συλλέου. Θεοδώρου ἐπισκόπου Ναζιανζοῦ· Γεωργίου ἐπισκόπου Κῴου. Δημητρίου ἐπισ. Τήνου. Στεφάνου ἐπισκου Πάρου. Γρηγορίου ἐπισκόπου Καντάνου. Ιωάννου ἐπισκόπου Λάππης. Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκόπ. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ολβης. Γεωργίου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῶν Ρενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρα Ρ'ώμῃ· Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Αρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρ'ώμην.

Καὶ καθεσθέντων τῶν τε ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ θεοῦ ἡμῶν εὐαγγελίων.

Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῶν θεοσεβεστάτων νοταρίων τοῦ ἁγιωτάτου πατριάρχου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως Γεωργίου, εἶπεν. ἐν εἰδήσει τυγχάνει ἥτε ὑμετέρα ἐνδοξότης, καὶ ἡ ἁγία οἰκουμενικὴ ὑμῶν σύνοδος, ὡς κατὰ τὴν εἰκάδα ὀγδόην τοῦ διελθόντος Μαρτίου μηνὸς προηνέχθησαν παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας διάφοροι λίβελλοι, καὶ ἕτερα δογματικὰ χαρτῷα συντάγματα, καὶ βίβλοι διάφοροι· ἅτινα καὶ ἐκ διαλαλιᾶς τῆς ὑμετέρας ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἀφανισμῷ παρεδόθησαν. μέμνηται δὲ πάντως ἡ ὑμε-

ὑμετέρα ἐνδοξότης, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σωὸδος, ὡς ἐν τοῖς ἤδη κεκινημένοις προεκομίσθησαν ἐκ τοῦ διαγοῦς πατριαρχείου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως δύο ἐν σώμασι βιβλία τῆς ἁγίας πέμπτης σωὸδου μετὰ τὴν χθομβῶσαν ἀνάγνωσιν τῶν λοιπῶν σωὸδων. καὶ ὡς ἐν τῷ πρώτῳ βιβλίῳ ἐν προοιμίοις εὑρέθησαν ξεῖς τετράδες ἀνεπίγραφοι κείμεναι, διαγορεύσαι τὸν λεγόμενον Μηνᾶ λόγον πρὸς Βιγίλιον τὸν τότε παπαν τῆς πρεσβυτέρας Ρώμης, ὃν ἐτοιάσαντο οἱ τοῦ μέρους Ἀγαθωνος τοῦ ἁγιωτάτου πάπα τῆ ἀποστολικῆ θρόνῳ τῆς πρεσβυτέρας Ρώμης, λέγοντες πλασὸν ὑπάρχειν. καὶ ὡς μετὰ τὴν ἀνάγνωσιν τῆ τοιούτῳ βιβλίῳ ἀναγινωσκομένῳ καὶ τῆ δευτέρου βιβλίῳ τῆς αὐτῆς ἁγίας πέμπτης σωὸδου εὑρέθησαν οἱ λεγόμενοι δύο λίβελλοι Βιγιλίου πρὸς Ἰουστινιανὸν τὸν ἐν ἀσεβεῖ τῆ λήξει χθομένον βασιλέα, καὶ Θεοδώραν τὴν χθομένην Αὐγόσαν. εἰς ὃς λιβέλλους οἱ τῆ αὐτῆ ἀποστολικῆ θρόνου ἀπέκρουσαν λέγοντες, ὅτι καὶ οἱ τοιοῦτοι λίβελλοι φάλσοι ὑπάρχουσι. καὶ ὡς ἠτήσαντο τὰ τοιαῦτα βιβλία δικαίρως ἀνακειθῶναι. καὶ ἐπροβάλλομεν πρὸς τὸ παρεισάμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· τέως ἡ πρόσφορος τῆ ἤδη πραχθέντων γενέσθω ἀνάγνωσις. καὶ ἀνεγνώσθησαν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· δέον τὰ δύο ἐν σώμασι βιβλία τῆς ἁγίας πέμπτης σωὸδου, ἅπερ καὶ ἤδη παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος ἐπεδόθησαν, καὶ αὖθις εἰς μέσον ἀχθῆναι δι' αὐτῶ πρὸς τὸ ἀκριβέστερον διαγνῶναι ἡμᾶς, εἰ κατὰ τὰ ἐπιμνησθέντα παρὰ τῆ ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Ἀγαθωνος ταῦτα ἐφαλσῶθησαν. ὡσαύτως δὲ προσενεχθῆναι καὶ τὸ χαρτῶον αὐθεντικὸν ἐλιτάριον τῆς ἑβδόμης πράξεως τῆς λεχθείσης ἁγίας πέμπτης σωὸδου, πρὸς τὸ καὶ αὐτὸ κανονίσαι ἡμᾶς, καὶ δεόντως ἀνακεῖναι, εἰ ἀνεπιβόλως μεμῶμηκε. καὶ προῃρέχθησαν τὰ αὐτὰ δύο ἐν σώμασι βιβλία, καὶ τὸ χαρτῶον ἐλιτάριον παρὰ τοῦ αὐτοῦ θεοσεβεστάτου χαρτοφύλακος Γεωργίου.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπαν· λεγέτω Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, εἰ τὰ προκομισθέντα δύο βιβλία, καὶ τὸ χαρτῶον ἐλιτάριον αὐτὰ εἰσιν, ἅπερ καὶ ἤδη προεκόμισεν.

Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ εἶπεν. ἀσφαλῶς δέσποτα ταῦτά εἰσι τὰ δύο τεύχη τὰ φέροντα τὰ πεπραγμένα τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης σωὸδου, καὶ τὸ τομάριον τῆς ἑβδόμης αὐθεντικῆς πράξεως τῆς αὐτῆς ἁγίας πέμπτης σωὸδου, καθ' ὃν τρόπον αὐτὰ καὶ ἤδη προεκόμισα. ἀκριβέστερον δὲ ἀναζητήσας ἐν τῆ βιβλιοθήκη τοῦ διαγοῦς πατριαρχείου νῦν ἑτέραν χαρτῶαν βίβλον τῆς αὐτῆς ἁγίας πέμπτης συνόδου, ἐν ᾗ ὑπάρχει τῆ ἁγίᾳ ὑμῶν συνόδῳ, κελεύσατε ταύτην παρακομίσαι με.

Ἡ ἁγία σωὸδος εἶπεν. ἵνα μὴ χεῖρας ἔχειν διεξῆλθε χαρτῶαν τῆς ἁγίας πέμπτης συνόδου βίβλον Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ τοῦ ἐνταῦθα διαγοῦς πατριαρχείου πρὸς ἀντιβολὴν τῶν ἤδη προκομισθέντων δύο ἐν σώμασι βιβλίων προκομιζέτω. καὶ προεκομίσθησαν.

Ἡ ἁγία σωὸδος εἶπε. παρελθέτω εἰς μέσον Γεώργιος ὁ θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ, καὶ τῶν προκειμένων ἀχράντων τοῦ θεοῦ ἡμῶν διαγγελίων ἐφαπτόμενος πληροφορησάτω ἡμᾶς, εἰ ταῦτα τὰ προδηλούμενα δύο βιβλία, καὶ τὸ εἰλιτάριον, ὃν τρόπον νῦν εἰσιν αὐτὰ, καὶ παρέλαβεν ἐν τῆ βιβλιοθήκη τοῦ διαγοῦς πατριαρχείου, ἵνα καὶ νῦν εἰσίν. καὶ ἁψάμενος τῶν προκειμένων ἀχράντων τοῦ Θεοῦ διαγγελίων ὁ αὐτὸς θεοσεβέστατος διάκονος καὶ χαρτοφύλαξ Γεώργιος εἶπε. μὰ τὰς ἁγίας δυνάμεις ταύτας, καὶ τὸν Θεὸν τὸν λαλήσαντα δι' αὐτῶν σὺν ἀληθείᾳ ταῦτα τὰ δύο ἐν σώμασι βιβλία τῆς ἁγίας πέμπτης σύνοδου, * καθὼς καὶ ἤδη προεῖπον καὶ προεκομίσθησαν καὶ προεκομίσθησαν, ἵνα καὶ νῦν τυγχάνουσιν ἀκριβῶς, ὡς καὶ ἤδη αὐτὰ ἐν τῆ βιβλιοθήκη τοῦ διαγοῦς πατριαρχείου νῦν καὶ παρέλαβον. καὶ ἵνα προσετέθη ἐξ ἐμοῦ τί ποτε, ἵνα ὑφῃρέθη, ἵνα εἰδήσει με ἐξ οὐδήποτέ τινος τῶν πάντων. ἀλλὰ καὶ τὸ ἐπὶ τοῦ παρόντος εὑρεθὲν παρ' ἐμοῦ ἐν τῆ αὐτῆ βιβλιοθήκη τοῦ διαγοῦς πατριαρχείου χαρτῶον βιβλίον τῆς αὐτῆς ἁγίας πέμπτης συνόδου ἵνα ἐστὶ, καθὼς ἐκεῖσε νῦν εὑρέθη ἀποκείμενον. καὶ ἀνασάντες οἱ τῆς ἁγίας συνόδου θεοφιλέστατοι ἐπίσκοποι, καὶ ἐν χερσὶ λαβόντες τά τε εἰρημένα δύο ἐν σώμασι βιβλία, καὶ τὸ χαρτῶον ἐλιτάριον, καὶ ἀκριβῶς τοῖς κατηγορηθεῖσιν ἐν αὐτοῖς τόποις κατεπεισκύψαντες, καὶ ἀντιβαλόντες αὐτὰ πρὸς τὸ χαρτῶον βιβλίον τὸ ἐπὶ τοῦ παρόντος προκομισθὲν ὑπὸ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος, ἔτι μὴν καὶ πρὸς ἕτερα χαρτῶα ἀρχαῖα βιβλία τῆς αὐτῆς ἁγίας πέμπης συνόδου εἶπον· τοῖς προκομισθεῖσι δύο ἐν σώμασι βιβλίοις παρὰ Γεωργίου τοῦ θεοσεβεστάτου διακόνου καὶ χαρτοφύλακος τῆς ἐν ταύτῃ τῆ βασιλευούσῃ πόλει ἁγίας τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, καὶ χαρτῴῳ ἐλιταρίῳ τῆς ἑβδόμης πράξεως τῆς ἁγίας πέμπτης συνόδου ἀκριβῶς ἐπισκύψαντες κατὰ τὴν χθομένην αἴτησιν παρὰ τῶν ἐπεχόντων τὸν τόπον τοῦ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ρώμης Ἀγαθωνος. καὶ ταῦτα ἀντιβαλόντες μετά τε τοῦ ἀρτίως προκομισθέντος χαρτῴου συνοδικοῦ βιβλίου, καὶ ἑτέρων ἀρχαίων χαρτῴων βιβλίων τῆς αὐτῆς ἁγίας πέμπτης συνόδου· καὶ εὑρήκοτες τὰ αὐτὰ δύο ἐν σώμασι βιβλία, καὶ τὸ χαρτῶον ἐλιτάριον τῆς ἑβδόμης πράξεως συμφωνοῦντα μὴν αὐτοῖς. προσθήκας δὲ ἔχοντα τόν τε λεγόμενον Μηνᾶ πρὸς Βιγίλιον λόγον, καὶ

* καὶ τὸ εἰλιτάριον τῆς ἑβδόμης πράξεως τῆς αὐτῆς ἁγίας πέμπτης συνόδου.

* ὡσανεὶ

καὶ ἀπὸ Βιγιλίου λιβέλλους * ὡς ἂν δύο πρός τε Ἰουστινιανὸν τὸν τῆς θείας λήξεως γενόμενον βασιλέα, καὶ τὴν αὐτοῦ σύμβιον Θεοδώραν· ἐν οἷς λιβέλλοις ἔδοξε καὶ ἀναθεματίζειν Θεόδωρον τὸν Μοψουεστίας ἐπίσκοπον, καὶ τὴν λεγομένην Ἴβα ἐπιστολὴν, καὶ τὰ συγγράμματα Θεοδωρίτου τὰ κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων γενομένου ἐπισκόπου· δογματικώς τε δοκεῖ ὁρίζειν ἐν αὐτοῖς ἐπὶ λέξεως οὕτως· ἀναθεματίζομεν δὲ καὶ Θεόδωρον τὸν Μοψουεστίας * ἐπίσκοπον, ὡς ἀλλότριον ἀεὶ γεγονότα καὶ τῶν ἐκκλησιῶν καὶ τῶν ἁγίων πατέρων ἐναντίον, ὃς οὐχ ὁμομογεῖ σαρκωθῆναι τὸν Θεὸν λόγον, τουτέστι Χριστὸν εἶναι μίαν ὑπόστασιν, καὶ ἓν πρόσωπον, καὶ μίαν ἐνέργειαν. ταῦτα ἔγνωμεν, καθὼς καὶ διεβεβαιώσαντο οἱ τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης μήτε γεγενῆσθαι, μήτε γεγράφθαι τῷ καιρῷ τῆς εἰρημένης ἁγίας πέμπτης συνόδου. ἀλλ' ἐν προσθήκῃ μὲν εἶναι τὰς τρεῖς τετράδας τοῦ πρώτου βιβλίου τῆς ἁγίας πέμπτης συνόδου, ἐν αἷς φέρεται ὁ λεγόμενος λόγος Μηνᾶ. εἶτα δὲ καὶ ἐν τῷ δευτέρῳ βιβλίῳ κατὰ τὴν ἑβδόμην πρᾶξιν ὑπαλλαγῆναι μὲν τὸ πεντεκαιδέκατον τετράδιον, προστεθῆναι δὲ καὶ τετράφυλλον ἀνεπίγραφον πρὸ τῆς ἐκκαιδεκάτης τετράδος, ἐν ᾧ φέρονται οἱ λεγόμενοι δύο λίβελλοι Βιγιλίου γεγενῆσθαι πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν τοὺς ἐν θείᾳ τῇ λήξει, ἀμφότερα ἀνεπίγραφα τυγχάνοντα. τοὺς δὲ φαλσεύσαντας τὰ εἰρημένα δύο βιβλία, καὶ τὸ χαρτῷον εἰλιτάριον, ὡς ἐκ προσηγορίας ἐκείνων πονηρευσαμένους κατὰ τῶν ὀρθῶν δογμάτων ταῦτα ἐνθεῖναι, καθὸ οὐδὲ ἐν τοῖς προκομισθεῖσι νῦν ἀρχαίοις καὶ ἀνεπιβουλεύτοις βιβλίοις τῆς ἁγίας πέμπτης συνόδου, οὐδὲ ἐν τῷ ἐπὶ τοῦ παρόντος εὑρεθέντι ἐν τῇ βιβλιοθήκῃ τοῦ εὐαγοῦς πατριαρχείου χαρτῴῳ βιβλίῳ ἔγκεινται οἱ τοιοῦτοι λόγοι ἀπό τε Μηνᾶ πρὸς Βιγίλιον, καὶ ἀπὸ Βιγιλίου πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν τοὺς ἐν θείᾳ τῇ λήξει· ἀλλὰ ταῦτα εὑρηκότες πλαστῶς ἐντεθεῖναι, ὡς διαβολικῆς ἐνεργείας μετεχηκότα ἐκ τῶν ταῦτα φαλσευσάντων, τὸ μὲν χαρτῷον φαλσευθὲν εἰλιτάριον ὁρίζομεν χιωθῆναι κατὰ τοὺς τόπους, ἐν οἷς αἱ προσθῆκαι γεγόνασι. τὰ δὲ βιβλία καὶ αὐτὰ ὀβελισθῆναι ἐν οἷς ἐραδιουργήθησαν τόποις καὶ χιωθῆναι. τοὺς δὲ ταῦτα φαλσεύσαντας ἀναθεματισμῷ ὑποβληθῆναι, καὶ ὀνομαστὶ σὺν αὐτοῖς ἀναθεματισθῆναι τόν τε λεγόμενον λόγον Μηνᾶ πρὸς Βιγίλιον, καὶ τοὺς ἀπὸ Βιγιλίου πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν τοὺς τῆς θείας λήξεως δύο ὡσανεὶ λιβέλλους.

* γενόμενον

Μακρόβιος ὁ θεοφιλέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· ἀναφέρω τοῖς τε ἐνδοξοτάτοις ὑμῖν, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ὑμῶν συνόδῳ, ὡς περιῆλθεν εἰς ἐμὲ βιβλίον τῆς ἁγίας πέμπτης συνόδου δοθέν μοι ἀπό τινος Φιλίππου στρατηλάτου τοῦ βασιλικοῦ ὀψικίου· ᾧ τινι ἐντυχὼν ηὗρον πεφαλσευμένον αὐτὸ εἶναι κατὰ τὴν ἑβδόμην πρᾶξιν. καὶ ἐρωτήσαντός μου τὸν αὐτὸν Φίλιππον, ὅτι * τίνι δέδωκε τὸ βιβλίον; καὶ εἶπέ μοι, ὅτι Στεφάνῳ τῷ μοναχῷ τῷ μαθητῇ Μακαρίου δέδωκα αὐτό. τὰ οὖν γράμματα, ἐν οἷς ἡ ῥαδιουργία τοῦ βιβλίου γέγονεν, ἰδιόχειρα Γεωργίου τοῦ μοναχοῦ τοῦ κατὰ Μακάριον ἀσφαλῶς τυγχάνουσιν· ἐπειδὴ ὅτε ἦν πατριάρχης μου ὁ εἰρημένος Μακάριος, εἰσηρχόμην εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐθεώρουν αὐτὸν Γεώργιον τὸν μοναχὸν πολλάκις γράφοντα. καὶ γινώσκω ἀκριβῶς, ὅτι ἰδιόχειρα αὐτοῦ τυγχάνουσιν. αἰτῷ οὖν τήν τε ὑμῶν ἐνδοξότητα καὶ τὴν ἁγίαν συνόδον, εἰς μέσον ἐρχόμενον τὸν αὐτὸν Γεώργιον τὸν μοναχὸν τὰ περὶ τούτου ἐρωτηθῆναι.

* πώποτε δέδωκεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· ὁ ἐπιμνησθεὶς Γεώργιος ὁ μοναχὸς ἐλθέτω εἰς μέσον. καὶ εἰσῆλθεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον· τῷ εἰς μέσον ἑστῶτι Γεωργίῳ τῷ εὐλαβεστάτῳ μοναχῷ ὑποδειχθήτω ἡ παροῦσα βίβλος πρὸς τὸ ἐπιγνῶναι αὐτὸν, εἰ ἰδιόχειρα αὐτοῦ τυγχάνουσι τὰ ἐν τῷ ἐκ προσθήκης ὄντι ἐν αὐτῇ διφυλλίῳ ὑπάρχοντα γράμματα. Γεώργιος ὁ εὐλαβέστατος μοναχὸς ἐπεισκύψας τῇ τοιαύτῃ βίβλῳ εἶπεν· αὕτη ἡ βίβλος ἡ νῦν προκομισθεῖσα ὑπὸ Μακροβίου τοῦ ὁσιωτάτου μητροπολίτου Σελευκείας, καὶ ὑποδειχθεῖσά μοι ἐγένετο Φιλίππου τοῦ στρατηλάτου τοῦ βασιλικοῦ ὀψικίου. αὐτὸς δὲ Φίλιππος γείτων ἦν τοῦ πατρὸς Στεφάνου τοῦ πεσόντος τοῦ * κατὰ Μακαρίου τοῦ αἱρετικοῦ. ὅτε οὖν ἐγένετο ἡ ζήτησις μεταξὺ Θεοδώρου τοῦ γενομένου πατριάρχου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, καὶ τοῦ εἰρημένου Μακαρίου περὶ πίστεως, ἔλαβον τὰ ἴσα ἀπὸ τοῦ πατριαρχείου, ὡς εἶπον Μακάριος καὶ Στέφανος τῶν λεγομένων λιβέλλων Βιγιλίου, καὶ ἐγράψαμεν εἰς τετράδας, καὶ ἐπεδόθησαν παρ' αὐτῶν τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ. ἐθάρρησαν οὖν οἱ περὶ Στέφανον καὶ Μακάριον, ὡς ἐπιδεδωκότες τῷ δεσπότῃ τὰς τετράδας, καὶ ἑκάστῳ τῶν ἐρχομένων πρὸς αὐτοὺς ὑπεδείκνυον. ὁ οὖν Φίλιππος ἐκεῖνος ἔχων τὸ βιβλίον τοῦτο ἤγαγεν αὐτὸ πρὸς Στέφανον τὸν αἱρετικὸν πρὸς ἐπίσκεψιν λέγων, ὅτι ἐλθὼν ἀπὸ τῆς δύσεως ἤγαγον τὸ βιβλίον τῆς πέμπτης συνόδου, καὶ βλέπε εἰ καλῶς ἔχει. τοῦτο δὲ τὸ βιβλίον οὐκ εἶχε τοὺς λεγομένους λιβέλλους Βιγιλίου. καὶ εἶπεν αὐτῷ ὁ αἱρετικὸς Στέφανος, ὅτι ἵνα οἶδας, παραλέλειπται εἰς αὐτό. ὁ οὖν Φίλιππος παρεκάλεσεν αὐτὸν εἰπὼν, εἴτι γινώσκεις, ὅτι ἐστὶ παραλελειμμένον, ἀναπλήρωσον ὁ οὖν αὐτὸς Στέφανος εἶπέ μοι γράψαι τοὺς αὐτοὺς λιβέλλους, καὶ ἔγραψα ἐκ τῶν εἰρημένων ἴσων, καὶ ἔδωκα αὐτῷ Στεφάνῳ. κατὰ ἀλήθειαν ταῦτα ἰδιόχειρά μου εἰσι, καὶ ἐπιγινώσκω αὐτά. οὐ μόνον δὲ ἐν τούτῳ αὐτῷ τῷ βιβλίῳ τὴν προσθήκην ταύτην τῶν λεγομένων λιβέλλων Βιγιλίου ἐποίησαν, ἀλλὰ καὶ ὁσαδήποτε βιβλία τῆς πέμπτης συνόδου ἦλθον εἰς αὐ-

* ἴσ. τοῦ μετὰ

αὐτοὺς μὴ ἔχοντα τοὺς λεγομένους λιβέλλους Βιγιλίου, προσέθηκαν οἱ αὐτοὶ Μακάριός τε καὶ Στέφανος. ἐνέπεσε δὲ αὐτοῖς καὶ ἄλλο Ῥωμαϊκὸν βιβλίον τῆς πέμπτης συνόδου, ὅπερ εἶπον ἀγοράσαι παρὰ τῆς γενομένης γυναικὸς Ἰννοκεντίου τοῦ πατρικίου εἰς νομίσματα ἕξ. τὸ δὲ περὶ τοῦ τοιούτου Ῥωμαϊκοῦ βιβλίου κεφάλαιον ἀσφαλῶς ἐπίσταται καὶ Κωνσταντῖνος ὁ θεοφιλέστατος πρεσβύτερος τῆς ἐνταῦθα ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ γραμματικὸς Ῥωμαϊκός.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον. παρὼν Κωνσταντῖνος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ γραμματικὸς Ῥωμαϊκὸς λεγέτω, εἰ ἀληθεύει Γεώργιος ὁ εὐλαβέστατος μοναχὸς ἕνεκεν τοῦ ἐπιμνησθέντος αὐτῷ Ῥωμαϊκοῦ βιβλίου.

Κωνσταντῖνος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ γραμματικὸς Ῥωμαϊκὸς εἶπεν· εἶδα δέσποτα ἐπὶ τῶν χρόνων Παύλου τοῦ γενομένου πατριάρχου, ἐλθόντος Φορτουνίου τοῦ γενομένου ἀρχιεπισκόπου Καρθαγένης, καὶ μέλλοντος αὐτοῦ λειτουργεῖν ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ, ἐζητήθη, ὅπως ὤφειλε καθίσαι, εἴτε πρὸ τῶν μητροπολιτῶν τῶν ἐνδημούντων ἐνταῦθα, εἴτε μετ' αὐτούς· καὶ δὴ ζητοῦντος τοῦ αὐτοῦ Παύλου γενομένου πατριάρχου τὸ βιβλίον τῆς πέμπτης συνόδου, ἵνα γνῷ, πῶς ὤφειλον καθίσαι, ηὑρέθη κατὰ συγκυρίαν καὶ Ῥωμαϊκὸν βιβλίον τῆς αὐτῆς συνόδου. κἀκεῖθεν ὁδηγηθεὶς ὁ αὐτὸς Παῦλος ἐποίησεν αὐτὸν κατὰ τάξιν καθίσαι. ἐξήγαγε δὲ αὐτὸ τὸ Ῥωμαϊκὸν βιβλίον ἐκ τῆς βιβλιοθήκης, καὶ λέγει μοί· θεώρησον αὐτὸ, εἰ ἄρα πρὸς τὸ χαρτῷον αὐθεντικὸν εἰλιτάριον τῆς ἁγίας πέμπτης συνόδου πεπλήρωται. καὶ ηὗρον τὸ αὐτὸ Ῥωμαϊκὸν βιβλίον λεῖπον ἐν τῇ ἑβδόμῃ πράξει πρὸς τὸ χαρτῷον εἰλιτάριον. καὶ λέγει μοι ὁ αὐτὸς Παῦλος ὁ πατριάρχης· ὅτι λάβε τὸν διάκονον Σέργιον μετὰ σοῦ τὸν λεγόμενον Ἀντιπισιδίας· ἐπειδὴ καλῶς καλλιγραφεῖ, καὶ ὑπόδειξον αὐτῷ, πῶς ὀφείλει γράψαι τὰ Ῥωμαϊκὰ γράμματα καὶ πρόσθες τὰ λείποντα. εἰσὶ δὲ ἅπερ προσεθήκαμεν εἰς τὸ αὐτὸ Ῥωμαϊκὸν βιβλίον ἐν τῇ ἑβδόμῃ πράξει, οἱ λεγόμενοι λίβελλοι Βιγιλίου τοῦ γενομένου πάπα Ῥώμης, οὓς καὶ μετέφρασα Ῥωμαϊστὶ ἐκ τοῦ αὐτοῦ εἰλιταρίου. καὶ ὡς εἴρηται, ἔγραψεν ὁ μνημονευθεὶς Σέργιος ὁ διάκονος. τὰ δὲ γραφέντα παρὰ τοῦ αὐτοῦ Σεργίου διακόνου τοῦ λεγομένου Ἀντιπισιδίας ἐνέβαλεν ἐν τῷ αὐτῷ Ῥωμαϊκῷ βιβλίῳ Θεόδωρος ὁ καλλιγράφος, ὅστις εἶχε τὸ ἐργαστήριον εἰς τὸν ἅγιον Ἰωαννοφωκᾶν. ταῦτα δέσποτα σὺν ἀληθείᾳ οἶδα γεγενῆσθαι.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· παρὼν Σέργιος ὁ θεοσεβέστατος διάκονος, καὶ ἐπακούσας τῶν παρὰ Κωνσταντίνου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ γραμματικοῦ Ῥωμαϊκοῦ λεχθέντων, τὰ τῆς οἰκείας εἰδήσεως σὺν πάσῃ ἀληθείᾳ διεξιέτω.

Σέργιος ὁ θεοσεβέστατος διάκονος τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας εἶπεν· πρὸ τούτων πλείστων χρόνων μετεστείλατόμε Παῦλος ὁ γενόμενος πατριάρχης Κωνσταντινουπόλεως, καὶ λέγει μοί· βλέπε τί μεταβάλλει ὁ κῦρις Κωνσταντῖνος ὁ γραμματικὸς ὁ Ῥωμαϊκὸς ἐκ τοῦ εἰλιταρίου τῆς πέμπτης συνόδου, γράψον αὐτὸ ἐν Ῥωμαϊκοῖς γράμμασι. καὶ ταῦτα ἀκούσας παρ' αὐτοῦ ὡς δοῦλος, καὶ ὑποκείμενος ὑπήκουσα καὶ ἔγραψα, καὶ δέδωκα αὐτὰ τούτῳ αὐτῷ τῷ κυρῷ Κωνσταντίνῳ τῷ πρεσβυτέρῳ καὶ γραμματικῷ.

Ἡ ἁγία σύνοδος ἐξεβόησεν· ἀνάθεμα τῷ λεγομένῳ τοῦ Μηνᾶ πρὸς Βιγίλιον, καὶ τοῖς πλασαμένοις αὐτὸν, ἤγουν συγγραψαμένοις. ἀνάθεμα τοῖς λεγομένοις γεγενῆσθαι λιβέλλοις ἀπὸ Βιγιλίου πρὸς Ἰουστινιανὸν καὶ Θεοδώραν τοὺς ἐν τῇ θεῖα λήξει, τοῖς καὶ φάλσοις ἀποδειχθεῖσιν. ἀνάθεμα περιεκτικῶς τοῖς φαλσεύσασι τὰ πεπραγμένα τῆς ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου. ἀνάθεμα τοῖς διδάξασι καὶ ἐκθεμένοις, διδάσκουσι, ἢ καὶ μέλλουσι δειδάσκειν ἐν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος. ταῖς ἁγίαις τέσσαρσι συνόδοις αἰωνία ἡ μνήμη. τῇ ἁγίᾳ πέμπτῃ συνόδῳ αἰωνία ἡ μνήμη. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Κωνσταντίνου μεγάλου βασιλέως πολλὰ τὰ ἔτη. εἰρηνοποιοῦ βασιλέως πολλὰ τὰ ἔτη. τοῦ φύλακος τῆς ὀρθοδοξίας πολλὰ τὰ ἔτη. υἱὲ Θεοῦ ζωὴν αὐτῷ. υἱὲ Θεοῦ νίκας αὐτῷ. Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Τριμιθούντων τῆς Κυπρίων νήσου, ἐπέχων τὸν τόπον Ἐπιφανίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς αὐτῆς Κυπρίων νήσου ἅμα Στρατονίκῳ τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Σόλων, καὶ Τύχωνι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ τοῦ Κιτίου, ἀμφοτέρων τῆς συνόδου τυγχανόντων τῆς εἰρημένης φιλοχρίστου τῶν Κυπρίων νήσου εἶπον. ἀναδιδάσκομεν τοὺς ἐνδοξοτάτους ὑμᾶς, καὶ τὴν ἁγίαν καὶ οἰκουμενικὴν ὑμῶν σύνοδον, ὡς χρήσεις διαφόρων ἁγίων καὶ ἐκκρίτων πατέρων ἐπιφερόμεθα δηλούσας δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ἐν αἷς ἔγκειται χρῆσις τοῦ ἁγίου Ἀθανασίου τοῦ γενομένου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐκ τοῦ λόγου, τοῦ μὲν γεγραμμένου εἰς τὸ εὐαγγελικὸν ῥητὸν, τὸ φάσκον. νῦν ἡ ψυχήμου τετάρακται. ὕπεστι δὲ ἡμῖν κατὰ χώραν καὶ ἡ βίβλος τοῦ αὐτοῦ ἁγίου Ἀθανασίου ἡ ἔχουσα ἐφ' ὁλοκλήρῳ τὸν τοιοῦτον αὐτοῦ λόγον. εἰσελθόντων * καὶ ἡμῶν ἀρτίως ἐνταῦθα κατὰ κέλευσιν τοῦ εὐσεβεστάτου καὶ θεοστέπτου μεγάλου ἡμῶν βασιλέως, καὶ ἀναζητησάντων βίβλους, ὧν ἐπιφερόμεθα πατρικῶν χρήσεων εἰς τὸ ταύτας προκομίσαι τῇ ἁγίᾳ ὑμῶν συνόδῳ, ηὕρομεν χαρτῷον παλαιότατον βιβλίον ἔχον διαφόρους ὁμιλίας τοῦ αὐτοῦ

Ἰωάν. 1

* δὲ

τȣ̃ ἁγίȣ Ἀθανασίȣ, ἐν αἷς ἔγκειται ὁ αὐτὸς εἰς τὸ, νῦν ἡ ψυχήμȣ τετάρακται, λόγος. αἰτȣ̃μεν ȣ̃ν τήν τε ὑμετέραν ἐνδοξότητα, καὶ τὴν ἁγίαν καὶ οἰκȣμενικὴν ὑμῶν σύνοδον, εἰ παρίσταται αὐτῇ, τὸ τοιȣ̃τον βιβλίον ἐν χερσὶν ἡμῶν ὑπάρχον ἐπιδοῦναι ἡμᾶς πρὸς ἀνάγνωσιν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· ὥσπερ ἔφησαν μετὰ χεῖρας ἔχειν τȣ̃ ἁγίȣ Ἀθανασίȣ βίβλον οἱ θεοφιλεῖς ἐπίσκοποι τῆς Κυπρίων νήσȣ, ταύτην ὑποδεχόμενοι οἱ ὑπεκλαμβάνοντες τὰ ἐν τῇ παρȣ́σῃ ἁγίᾳ συνόδῳ πραττόμενα εἰς ἐπήκοον πάντων ἡμῶν τὸν ἐν αὐτῇ φερόμενον εἰς τὸ, νῦν ἡ ψυχήμου τετάρακται, λόγον ἀναγινωσκέτωσαν. καὶ λαβὼν Ἀγάθων ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τȣ̃ ἁγιωτάτȣ πατριάρχȣ Κωνσταντινȣπόλεως τὸ αὐτὸ βιβλίον, ἀνέγνω τὸν ἐν αὐτῷ ἐμφερόμενον λόγον, ἔχοντα ἐπὶ λέξεως ȣ̃τως· Ἀθανασίȣ ἀρχιεπισκόπου Ἀλεξανδρείας, εἰς τὸ, νῦν ἡ ψυχήμȣ τετάρακται. τῆς ὁμοιώσεως τȣ̃ κυρίȣ τῆς πρὸς ἡμᾶς ἡ ὠφέλεια μεγάλη, ὅτι καὶ ἡμεῖς ὁμοιȣ́μεθα πρὸς αὐτόν· εἰ γὰρ μὴ αὐτὸς ὡμοίωτο πρὸς ἀνθρώπȣς, ȣ̓κ ἠδύναντο οἱ ἄνθρωποι ὁμοιȣ̃σθαι πρὸς Θεόν· ἀλλὰ πρὸς Θεὸν ἄνθρωπον γενόμενον ὁμοιȣ̃νται ἄθρωποι. ἔδει δὴ τὸν εἰς ὁμοίωσιν ἡμῶν καταβαίνοντα κατὰ τȣ̃το μάλιστα ὁμοιωθῆναι, καθ' ὃ μεταβολῆς ἐδεόμεθα, κατὰ τὰ πάθη, ἵνα ταῦτα εἰς ἀπάθειαν μεταστῇ. μηδεὶς δὴ ἀπιστείτω περὶ τῶν παθῶν οἰόμενος τρέπεσθαι τὴν θεότητα, ἀλλὰ προσγενόμενον αὐτῇ τὸ πάθος ἀπὸ τοῦ σαρκικȣ̃ καὶ ψυχικȣ̃ κινήματος ἐνθυμείσθω καὶ προσγινόμενον καὶ νικώμενον. διὰ γὰρ τοῦτο προσγέγονεν, ἵνα νικηθῇ. καὶ διὰ τȣ̃το νενίκηται, ἵνα ἡ πᾶσα ἀνθρώπων φύσις κατὰ τὸ συγγενὲς εὐεργετηθῇ. ἐκεῖθεν γὰρ ἀρξάμενοι μεταχηματιζόμεθα πάντες ἐκ παχόντων ἀπαθεῖς, καὶ ἀπὸ νεκρῶν ζῶντες καθιστάμενοι. μὴ ȣ̃ν ταραττέσθω τις εἰς ἀπιστίαν, εἰ λέγει Θεὸς ὢν ὁ κύριος ἅμα καὶ ἄνθρωπος· νῦν ἡ ψυχήμȣ τετάρακται. τȣ̃το γὰρ ἐγένετο τῆς μὲν θεότητος εἰκȣ́σης, τῆς δὲ σαρκὸς ἐγειρομένης· δυνατὸν ὂν τῇ θεότητι κωλύσαι τὴν ταραχὴν, ἀλλ' ȣ̓ βȣλομένης αὐτῆς, ἵνα μὴ τὴν ὁμοίωσιν τὴν πρὸς ἡμᾶς διαλύσῃ. τοιȣ̃το δή τι νοητέον ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων, κεκραμένον μέλι πρὸς ὕδωρ. ȣ̓ δὴ τὸ μέλι μεταβέβληται, ἀλλὰ τὸ ὕδωρ ἐπλεόνασεν. ὅτε δὴ κίνημά τι τῆς σαρκός ἐστιν ἐν τῷ κυρίῳ, τοιȣ̃τόν τι λάβομεν ὁμοίωμα, ὥσπερ ὕδατος ἐν μελικράτῳ πλεονασμόν. ὅταν δὲ πάλιν τὸ θεϊκὸν ἐμφαίνηται, καὶ ἐνεργεῖ δυνάμεις, καὶ δείκνυσι τὴν ἐξȣσίαν, τοιαύτην ὁμοίωσιν λάβωμεν, ὥσπερ τȣ̃ μέλιτος ἐπικρατȣ̃ντος τὸ ὕδωρ. δυνατὸν γὰρ τῇ θεότητι τȣ̃το, ποτὲ μὲν τῇ σαρκὶ παραχωρεῖν εἰς τὸ πλεονάσαι, ποτὲ δὲ αὐτὴν ἐπικρατῆσαι ἀναιρȣ̃σαν τὸ πάθος, καὶ τὸ τῆς σαρκὸς ἀσθενές. τεκμήριον δὲ, τεσσαράκοντα ὅλας ἡμέρας ἀπέχεται τροφῆς σωματικῆς, καὶ ȣ̓ πεινᾷ τὸ σῶμα. μετὰ γὰρ ταῦτα, καθὼς γέγραπται, πεπείνακεν. ἐνταῦθα σαρκὸς πλεονασμός· εἶτα ἐπείνασε μετὰ τὸν τοσȣ̃τον χρόνον· ἐπλεόνασε τὸ τῆς σαρκὸς διὰ τȣ̃το, ἵνα καὶ πεῖρα προσενεχθῇ, καὶ ὁ πειράζων καταισχυνθῇ, καὶ ὁ ἐξ ἀρχῆς ἄνθρωπος διὰ βρῶμα πεσὼν δι' ἐγκράτειαν βρώματος ἀναστῇ. φέρει δὲ καὶ τὴν ταραχὴν τῆς σαρκὸς ἐπὶ τῷ θανάτῳ προσιόντι, καὶ πῶς γὰρ ἔμελλεν ὑπήκοος γενέσθαι τὴν ἡμετέραν ὑπακοὴν πληρῶν ἀνθ' ἡμῶν, εἰ μὴ καὶ προσεναντίωμα ἔσχε, καὶ τȣ̃ ἐναντιώματος ἐπεκράτησεν; ἡμῖν γὰρ ἐπειδάν τι ἐκ σαρκὸς ἐναντίωμα γένηται, εἰ παρακȣ́σαμεν τȣ̃ προστάγματος νικηθέντες σαρκὶ, τȣ̃τον τὸν τρόπον ἡ ἁμαρτία συμβαίνει. ȣ̓κȣ̃ν ἐν τῷ κυρίῳ τὸ μὲν ἐναντίωμα ἔδει γενέσθαι τὸ ἀπὸ τῆς σαρκὸς, νικῆσαι δὲ τὴν ὑπακοήν. εἰ γάρ καὶ Θεὸς, ἀλλ' ἐν σαρκὶ, καὶ κατὰ σάρκα τὴν ὑπακοὴν πληροῖ, καὶ τȣ̃ θελήματος τῆς σαρκὸς τῷ θελήματι τῆς θεότητος κρατεῖ, καθάπερ εἴρηκεν· ὅτι καταβέβηκα ἐκ τȣ̃ ȣ̓ρανȣ̃, ȣ̓χ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τȣ̃ πέμψαντός με πατρός· ἴδιον λέγων θέλημα αὐτȣ̃ τὸ τῆς σαρκὸς, ἐπεὶ καὶ ἡ σὰρξ ἰδία αὐτȣ̃ γέγονεν· οὐ γάρ ἐστι θέλημα υἱȣ̃ θεϊκὸν θελήματος Θεȣ̃ κεχωρισμένον. ἔδει δὲ τὸ τῆς σαρκὸς θέλημα κινηθῆναι, ὑποταγῆναι δὲ τῷ θελήματι τῷ θεϊκῷ. καὶ ȣ̃τως αἱ τῶν ἀνθρώπων παρακοαὶ λύονται διὰ τῆς παραδόξȣ ταύτης ὑπακοῆς, ἣν Χριστὸς ὑπήκȣσεν ὑπὲρ ἡμῶν. ὅρα δὴ τȣ̃ κινήματος τοῦ σαρκικοῦ γενομένου τί φησιν. καὶ τί εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. πάτερ δόξασόν σȣ τὸ ὄνομα. τὸ, τί εἴπω; πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης, ἐφθέγξατο κατὰ τὴν κίνησιν τῆς σαρκός. τὸ, διὰ τȣ̃το ἦλθον εἰς τὴν ὥραν ταύτην, θεότητος ὑπερνικώσης φθέγγεται, σχεδόν τοι μηδὲ φανῆναι τῷ σαρκικῷ θελήματι συγχωροῦντος τοῦ θεϊκοῦ. τὸ γὰρ, τί εἴπω; ὥσπερ ἐγκόπτοντός ἐστι ῥῆμα, ὡς φανῆναι μὲν ἡμῖν, ὅτι καὶ σὰρξ ἀληθὴς, ὑποταττομένη δὲ, καὶ οὐ δυναμένη περισπάσαι καθάπερ ἵππος τὸν ἐπιβάτην, οὐδ' ὅσον ὀκλάσαι τὴν χεῖρα τὴν ἡνιοχοῦσαν. καὶ δὴ καὶ τί λογίζεται τὸ πάθος; οὐκ ἀδοξίαν, οὐκ αἰσχύνην, ἀλλὰ δόξαν ἑαυτοῦ καὶ τοῦ πατρός. καὶ ἐπισπεύδει μᾶλλον, ἢ ἀποτρέπει τὸ πάθος· πάτερ δόξασόν σου τὸ ὄνομα. οὐκ ἔσται φησὶν οὐδεμία παραίτησις παρ' ἐμοῦ, ἀλλ' εἴξει τὸ παραιτούμενον, καὶ κρατήσει τὸ μὴ παραιτούμενον. σαρκικὴ μὲν γὰρ φύσις παραιτεῖται τὸν θάνατον, καὶ ἦν τοῦτο ἐν Χριστῷ, ἐπειδὴ καὶ γέγονε σὰρξ ὁ λόγος ἀληθῶς· θεϊκὴ δὲ βούλησις αἱρεῖται τὴν κόσμου σωτηρίαν, ἣν ὁ θάνατος κατειργάσατο. εἶτα πληρούμενον φαίνεται τὸ, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντος μέ. λέγει ὁ Χριστὸς, πάτερ δόξασόν σου τὸ ὄνομα· καὶ ἀπόκρισις ἐξ οὐρανοῦ· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω· ἵνα εἰδῶμεν, ὅτι διάστασις οὐδεμία,

Ματθ. 4.

Ἰωάν. 9.

Ἰωάν. 12.

μία, οὐδὲ χωρισμὸς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· μᾶλλον δὲ ἵνα κερδάνωμεν τὴν συνάφειαν ἡμῶν τὴν πρὸς Θεὸν ἐν Χριστῷ γενομένην. οὐδεὶς μὲν γὰρ ἀνθρώπων, ὃς οὐκ ἀπέσπασεν ἑαυτὸν ἀπὸ θελήματος Θεοῦ κατά τι μέρος ἢ πράγματος, ἢ χρόνου· ἐν μόνῳ δὲ Χριστῷ τὸ ἀχώριστον τῆς θελήσεως ἐφυλάχθη. ᾧ συνακολουθοῦντες κερδαίνομεν τὴν συνάφειαν τὴν πρὸς Θεὸν, καὶ τὴν ἕνωσιν τὴν σωτήριον καθ' ὁμοίωσιν αὐτοῦ, καθ' ὁμοίωσιν τῆς θείας ἑνώσεως * ὡσαύτως εἴρηκεν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, οὕτω καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν.

* ὡς αὐτὸν Ἰωάν. 10.

Ἡ ἁγία συνόδος εἶπεν· σαφῶς καὶ νῦν ἐν τῷ ἀναγνωσθέντι λόγῳ δύο φυσικὰ θελήματα ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ὁ ἀοίδιμος ἐτράνωσεν Ἀθανάσιος.

Δομέτιος ὁ θεοφιλέστατος ἐπίσκοπος Προυσιάδος εἶπεν· ἀναφέρω τῇ ὑμῶν ἐνδοξότητι, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ὑμῶν συνόδῳ, ὡς Πολυχρόνιός τις πρεσβύτερος καὶ μοναχὸς ὁμόφρων ὑπάρχων Μακαρίου καὶ Στεφάνου τῶν αἱρετικῶν, ἐκείνων τε συνιστᾷν τὰ ἀσεβῆ βουλόμενος δόγματα, οὐ μετρίως τοὺς ἁπλουστέρους ἀπατᾶ διὰ τῆς ἀσεβοῦς αὐτοῦ ψευδοδιδασκαλίας. εἰ οὖν παρίσταται τῇ ὑμῶν ἐνδοξότητι, καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ὑμῶν συνόδῳ, τοῦτον ὡς ὑμᾶς γενέσθαι, καὶ τὰ περὶ τῆς οἰκείας αὐτοῦ πίστεως διεξελθεῖν;

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνόδος εἶπον. ἀρκούντως μὲν ἔχει τὰ κατὰ τὴν σήμερον ἡμέραν πραχθέντα. Πολυχρόνιος δὲ ὁ εὐλαβέστατος πρεσβύτερος, καὶ μοναχὸς καθ' ἑτέραν πρὸς ἡμᾶς ἀγέσθω, ὀφείλων περὶ τῆς οἰκείας αὐτοῦ ἐπερωτηθῆναι πίστεως. καὶ πάντες ἡσύχως ἐσιώπησαν.

ΠΡΑΞΙΣ ΙΕ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ εὐσεβεστάτου καὶ θεοψηφίστου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοογδόου, καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου πρᾳότητος ἔτους τρισκαιδεκάτου. Ἡρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοδευτέρου, τῇ εἰκάδι ἕκτη τοῦ Ἀπριλλίου μηνὸς, ἰνδικτιῶνος ἐννάτης.

Προτεθειμένου τοῦ σεβασμιωτάτου σέσσου τοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου γαληνίης, ἐκ προσώπου αὐτοῦ παρόντων καὶ ἀκροωμένων, Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ τῶν Ορμίσδου οἴκου. Αναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Πολιεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. καὶ Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων·

Συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν εὐλαβεστάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκ. τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Θεοφάνους τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας. καὶ Γεωργίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκόπου πόλεως Πόρτου· Ἀβουνδαντίου ἐπισκόπου πόλεως Πατέρνου· Ἰωάννου ἐπισκόπου πόλεως Ῥηγίου, ἐπεχόντων τὸν τόπον τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ· καὶ Θεοδώρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ῥαβέννης Θεοδώρου· Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης· Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρητῶν νήσου· Φιλαλήθους ἐπισκ. Καισαρείας Καππαδοκίας· Θεοδώρου ἐπισκ. Ἐφέσου. Θεοδώρου ἐπισκ. πόλεως Τριμιθούντων ἐπέχοντος τὸν τόπον Ἐπιφανίου τοῦ ὁσιωτάτου ἀρχιεπισκ. Κωνσταντείας Κύπρου· Σισιννίου ἐπισκ. Ἡρακλείας Θρᾴκης· Πλάτωνος ἐπισκ. Ἀγκύρας Γαλατίας· Γεωργίου ἐπισκ. Κυζίκου· Μαρίνου ἐπισκ. Σάρδεων· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκ. Νικαίας· Ἰωάννου ἐπισκ. Χαλκηδόνος· Ἰωάννου ἐπισκ. Σίδης· Θεοδώρου ἐπισκ. Μελιτηνῆς. Ἰουστίνου ἐπισκ. Τυάνων. Ἀλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανοῦ ἐπισκ. Κλαυδιουπόλεως· Πολυεύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκόπου Σταυρουπόλεως Καρίας· Τιβερίου ἐπισκ. Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκόπου Συνάδων· Στεφάνου ἐπισκ. Ἀντιοχείας Πισιδίας· Ἰωάννου ἐπισκ. Πέργης· Θεοπέμπτου ἐπισκ. Ἰουστινιανουπόλεως ἤτοι Μωκισοῦ· Ἰσιδώρου ἐπισκ. Ῥόδου· Σισιννίου ἐπισκ. Ἱεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκόπου Ταρσοῦ· Μακροβίου ἐπισκόπου Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκόπου Βυζίης Θρᾴ-

Θρᾴκης · Ζαχαρίου ἐπισκόπου Λεοντοπόλεως Ἰσαυρίας · Γρηγορίου ἐπισκόπου Μιτυλήνης · Γεωργίου ἐπισκόπου Μιλήτου · Σεργίου ἐπισκόπου Σηλυβρίας · Ἀνδρέου ἐπισκόπου Μεθύμνης · Θεογνίου ἐπισκόπου Κίου · Ἐπιφανίου ἐπισκόπου Εὐχαΐτων · Πέτρου ἐπισκόπου Μεσημβρίας · Πέτρου ἐπισκ. Σωζοπόλεως Θρᾴκης · Ἰωάννου ἐπισκ. Νύσσης · Θεοδώρου ἐπισκ. τῆς βασιλικῶν Θερμῶν · Γεωργίου ἐπισκ. Καμουλιανῶν · Ζωήτου ἐπισκόπου Χριστουπόλεως Ἀσίας · Πατροβίου ἐπισκ. Μαγνησίας · Ἀντωνίου ἐπισκ. Ὑπαίπων · Θεοδώρου ἐπισκ. Περγάμου · Στρατονίκου ἐπισκ. Σόλων, καὶ Τύχωνος ἐπισκ. τοῦ Κιτίου, ἀμφοτέρων τῆς συνόδου τυγχανόντων τῆς φιλοχρίστου τῆς Κυπρίων νήσου · Γενεσίου ἐπισκ. Ἀναστασιουπόλεως · Πλάτωνος ἐπισκ. Κίννης · Στεφάνου ἐπισκ. Βερινουπόλεως · Ἀνδρέου ἐπισκ. Μνίζου · Ἰωάννου ἐπισκ. Μιλητουπόλεως · Ἰωάννου ἐπισκ. Φιλαδελφείας · Θεοδώρου ἐπισκ. Πραινέτου · Ἰωάννου ἐπισκ. τοῦ Δασκυλίου. Θεοδώρου ἐπισκ. Ἰουστινιανουπόλεως Γόρδου. Μηνᾶ ἐπισκόπου Καραλλίας Παμφυλίας · Καλλινίκου ἐπισκ. Κολωνίας Ἀρμενίας · Θεοδώρου ἐπισκ. Βερίσσης. Τιβερίου ἐπισκ. Ἀμύσου · Σεργίου ἐπισκ. Σινώπης · Γεωργίου ἐπισκ. Ἰουνοπόλεως · Στεφάνου ἐπισκ. Ἡρακλείας Πόντου. Λογγίνου ἐπισκ. Τίου · Δομετίου ἐπισκόπου Προυσιάδος · Γεωργίου ἐπισκ. Κρατίας. Πλάτωνος ἐπισκ. Ἀδριανουπόλεως · Σολομῶνος ἐπισκ. Κλανέου · Ἰωάννου ἐπισκ. Ἐρίζων · Ἰωάννου ἐπισκ. Μύνδου · Πατρικίου ἐπισκ. Ἰλούζων · Πέτρου ἐπισκόπου Ἀππίας · Ἀλεξάνδρου ἐπισκόπου Νακωλείας · Δομετίου ἐπισκόπου Πρυμνήσου · Κωνσταντίνου ἐπισκ. Βαράτης · Θεοδοσίου ἐπισκ. Ψιβήλων · Παύλου ἐπισκόπου Σωζοπόλεως Πισιδίας · Πλουσιανοῦ ἐπισκόπου τοῦ Συλλέου · Πλάτωνος ἐπισκ. Μαγίδων. Θεοδώρου ἐπισκ. Ναζιανζοῦ. Γεωργίου ἐπισκ. Κῴου. Δημητρίου ἐπισκ. Τήνου · Στεφάνου ἐπισκ. Πάρου · Γρηγορίου ἐπισκ. Καντάνου · Ἰωάννου ἐπισκ. Λάππης · Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως · Κωνσταντίνου ἐπισκ. Δαλισάνδου · Θεοδώρου ἐπισκ. Ὄλβης · Γεωργίου τοῦ ἐλαβεστ. πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῆς Ῥενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ · Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Ἀρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ῥώμην.

Καθεσθέντων τῆς τε ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῆς ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τοῦ Τρούλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εὐαγγελίων.

Θεόδωρος ὁ θεοσεβέστατος διάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῆς θεοσεβεστάτων νοταρίων τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως Γεωργίου εἶπε· μέμνηται πάντως ἥτε ὑμετέρα ἐνδοξότης, καὶ ἡ παροῦσα ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ὡς κατὰ τὴν προτέραν συνέλευσιν Δομέτιος ὁ θεοφιλέστατος Προυσιάδος ἐσίσκ. τὴν ἁγίαν ὑμῶν ἐδίδαξε σύνοδον, Πολυχρόνιον τὸν εὐλαβέστατον πρεσβύτερον καὶ μοναχὸν ὑπερασπίζοντα τῆς δογμάτων Μακαρίου τε καὶ Στεφάνου τῆς δυσσεβῶν τινὰς τῆς τοῦ φιλοχρίστου λαοῦ διὰ τῆς ματαίας αὐτοῦ διαστρέφειν διδασκαλίας. καὶ ὥστε τούτων ἀχθῆναι παρὰ τῇ ἁγίᾳ ὑμῶν συνόδῳ, ὀφείλοντα περὶ τῆς οἰκείας ἀνακριθῆναι πίστεως. καὶ ὡς τηνικαῦτα συνεῖδεν ἥτε ὑμετέρα ἐνδοξότης, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν σύνοδος τὸν μνημονευθέντα Πολυχρόνιον καθ' ἑτέραν ὡς ὑμᾶς παραγίνεσθαι. ἰδοὺ οὖν πρὸ βήλου ἔστηκεν ἐπὶ τοῦ παρόντος ὁ λεχθεὶς εὐλαβέστατος Πολυχρόνιος, καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον · εἰσίτω Πολυχρόνιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ μοναχός. καὶ εἰσῆλθεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον · λεγέτω Πολυχρόνιος ὁ εὐλαβέστατος μοναχὸς τὰ τῆς πίστεως αὐτοῦ, τὸ ὅπως ὁμολογεῖ ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Πολυχρόνιος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν. ἐγὼ δίδωμι τὴν ἔκθεσιν τῆς πίστεώς μου ἐπὶ ἔργῳ νεκροῦ, παρακαλῶν περὶ αὐτοῦ τὸν υἱὸν τοῦ Θεοῦ, ἵνα ἐγείρῃ αὐτόν. εἰ δὲ μὴ ἀναστῇ, ἰδοὺ σύνοδος καὶ βασιλεὺς, καὶ τὰ δοκοῦντα αὐτοῖς ἐπ' ἐμοὶ γίνονται.

Ἡ ἁγία σύνοδος εἶπεν · ὁποίαν ἔκθεσιν πίστεως βούλει ἐπὶ τῷ νεκρῷ θεῖναι, ἵνα ἐγερθῇ, γνῶναι θέλομεν.

Πολυχρόνιος ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· ἐγὼ τίθημι τὴν ἔκθεσίν μου ὑπεράνω τοῦ νεκροῦ, καὶ τότε αὐτὴν ἀναγνώσετε.

Ἡ ἁγία σύνοδος εἶπεν· ἰδοὺ ὁ νεκρὸς ηὐτρέπισται. τὴν οὖν ἔκθεσιν τῆς πίστεώς σου προκόμισον ὀφείλουσαν ἐπιτεθῆναι τῷ νεκρῷ, καὶ ἐγεῖραι αὐτόν, καθὼς εἶπας. καὶ προεκόμισεν ὁ αὐτὸς εὐλαβέστατος Πολυχρόνιος χαρτίον βεβουλλωμένον διὰ βούλλας ἐκτυπούσης μονόγραμμον, Πολυχρονίου ὁμολογητοῦ, ἔχον ἐπιγραφήν · Κωνσταντίνῳ τῷ θεοστέπτῳ καὶ πανσόφῳ μεγάλῳ βασιλεῖ Πολυχρόνιος. καὶ εἶπεν, ἐν τούτῳ ἐστὶν ἡ πίστις μου, καὶ οὕτως ἐγνώρισέ μοι ὁ Θεὸς, καὶ τίθω αὐτὸ ἐπάνω τοῦ νεκροῦ · καὶ ἐὰν μὴ ἐγερθῇ, ἰδοὺ προεῖπον, ὅτι βασιλεὺς ἐστι καὶ σύνοδος, καὶ ὡς κελεύουσι, κρίνωσιν.

Ἡ ἁγία σύνοδος εἶπεν · ὁ προενεχθεὶς χάρτης παρὰ Πολυχρονίου τοῦ εὐλαβεστάτου μοναχοῦ ἀποβουλλωθήτω. * καὶ ἀποβουλλωθέντος τοῦ τοιούτου χάρτου, λαβὼν Ἀντίοχος ὁ εὐλαβέστατος

* καὶ ἀναγνωσθήτω.

τος ἀναγνώστης καὶ νοτάριος τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἀνέγνω τὸν λεχθέντα χάρτην ἔχοντα ἐπὶ λέξεως οὕτως.

Κωνσταντίνῳ τῷ πανημέρῳ καὶ θεοστέπτῳ μεγάλῳ βασιλεῖ ἐγὼ Πολυχρόνιος ὡς παρὼν ἀσπάζομαι καὶ προσκυνῶ· καὶ ὅτι εἶδον πλῆθος ἀνδρῶν λευχειμονούντων, καὶ εἰς τὸ μέσον ἄνδρα, οὗ τὴν ἀρετὴν διηγήσασθαι οὐ δύναμαι, λέγοντά μοι, ὅτι νέαν πίστιν κατασκευάζει, σπεῦσον, εἰπὲ τῷ βασιλεῖ Κωνσταντίνῳ, μὴ ποιήσῃ νέαν πίστιν, μὴ δὲ καταδέξηται. καὶ ἐλθόντος μου ἀπὸ Ἡρακλείας ἐν Χρυσοπόλει, καὶ στάντος μου εἰς τὸ ἡλιακὸν, ἦν ὡσεὶ ὥρα ἑβδόμη τῆς ἡμέρας, εἶδον ἄνδρα φοβερὸν λευχειμονοῦντα σφόδρα· καὶ ἔστη ἔμπροσθέν μου λέγων· ὅτι ὁ μὴ ὁμολογῶν ἐν θέλημα, καὶ θεανδρικὴν ἐνέργειαν οὐκ ἔστι Χριστιανός. ἐγὼ δὲ εἶπον· τοῦτο καὶ Κωνσταντῖνος ὁ σοφώτατος βασιλεὺς προώρισεν, ἐν θέλημα καὶ θεανδρικὴν ἐνέργειαν· ὁ δὲ ἔφη· πάνυ καλῶς καὶ θεαρέστως.

Ἡ ἁγία σύνοδος εἶπε. λεγέτω Πολυχρόνιος ὁ εὐλαβέστατος μοναχὸς, εἰ τὰ γράμματα τὰ ἐν τῷ παρόντι ἐπιφερόμενα χάρτῃ ἰδιόχειρα αὐτοῦ τυγχάνουσι· καὶ εἰ αὐτός ἐστιν ὁ χάρτης ὁ ὀφείλων ἐπιτεθῆναι τῷ νεκρῷ, καὶ ἐγεῖραι αὐτόν.

Πολυχρόνιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ μοναχὸς εἶπεν· ὄντως δεσπόται, ἰδιόχειρά μου τυγχάνουσι. καὶ αὐτός ἐστιν ὁ χάρτης ὁ ὀφείλων παρ' ἐμοῦ ἐπιτεθῆναι τῷ νεκρῷ, καὶ ἐγεῖραι αὐτόν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· συνείδομεν τὸν ἀναγνωσθέντα χάρτην ἐπὶ νεκρῷ τεθῆναι ὑπὸ τοῦ αὐτοῦ Πολυχρονίου κατὰ τὴν παρ' αὐτοῦ γενομένην πρότασιν ἔξω τοῦ ἐνταῦθα θείου μεγάλου παλατίου, ἐν δημοσίῳ τόπῳ, κατὰ παρουσίαν ἡμῶν τε καὶ τοῦ εὐρισκομένου λαοῦ, εἰς τὸ πληροφορηθῆναι τὸν φιλόχριστον λαὸν τὸ, ὅπως ὁ Θεὸς τὴν ἀλήθειαν ἀποδείκνυσιν. καὶ ἐξελθόντων τῶν τε ἐνδοξοτάτων ἀρχόντων, καὶ τῆς ἁγίας συνόδου, καὶ πλείστου λαοῦ συναθροισθέντος ἐν τῷ μεσαυλίῳ τοῦ δημοσίου λουτροῦ τοῦ οὕτως ἐπιλεγομένου Ζευξίππου, προκειμένου τε ἐν ἐναργύρῳ ἐξοδιακῷ κραββάτῳ τοῦ νεκροῦ, κατὰ παρουσίαν ὡσαύτως τῶν τε ἐνδοξοτάτων ἀρχόντων, καὶ τῆς ἁγίας συνόδου, καὶ πλείστου εὑρεθέντος ἐκεῖσε φιλοχρίστου λαοῦ, ἐπιστὰς ὁ αὐτὸς Πολυχρόνιος ἐπιτέθεικε τῷ νεκρῷ τὸν τοιοῦτον τῆς πίστεως αὐτοῦ χάρτην, καὶ πλείστας ὥρας μείνας, καὶ ἐπιψιθυρίσας αὐτῷ, καὶ μηδὲν τῶν παρ' αὐτοῦ ἀτόπως, καὶ βλασφήμως ὑποχεθέντων ἰσχύσας πρᾶξαι, ὁ αὐτὸς Πολυχρόνιος εἶπεν· ἀδυνάτως ἔχω ἐγεῖραι τὸν νεκρόν.

Ὁ οὖν παρὼν ἐκεῖσε λαὸς ἀνεβόησε· τῷ νέῳ Σίμωνι ἀνάθεμα, Πολυχρονίῳ λαοπλάνῳ ἀνάθεμα. καὶ αὖθις εἰσελθόντες οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ ἐπιλεγομένῳ Τρούλλῳ, παρόντος τοῦ αὐτοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ μοναχοῦ Πολυχρονίου, εἶπον· λεγέτω καὶ πάλιν Πολυχρόνιος, εἰ ὁμολογεῖ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Πολυχρόνιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ μοναχὸς εἶπε· καθὼς ἔχει τὸ χαρτίον, ὅπερ ἐπιδέδωκα, καὶ τέθεικα ἐπάνω τοῦ νεκροῦ, οὕτως πιστεύω ἐν θέλημα καὶ θεανδρικὴν ἐνέργειαν, καὶ ἕτερόν τι οὐ λέγω.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· τὸ χαρτίον, ὅπερ ἐπιδέδωκας, τίς γεγράφηκε; Πολυχρόνιος εἶπεν· ἰδιόχειρά μου τυγχάνουσιν.

Ἡ ἁγία σύνοδος εἶπεν· ἡνίκα Πολυχρόνιος πρεσβύτερος ὁ μοναχὸς τῇ οἰκείᾳ κακοδοξίᾳ ἕως γήρους ἐνέμεινε· νῦν δὲ καὶ προτραπεὶς παρ' ἡμῶν, ὅπως φρονεῖ περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ἐδοκίμασε πειράσαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ βλάσφημον συντάξας χάρτην ἀπηναισχύντησε φήσας τοῦτον ἐπιτιθέναι ἐπὶ νεκρῷ, καὶ εἰς βεβαίωσιν τῆς ἐν αὐτῷ γεγραμμένης βλασφημίας, ἵνα μὴ εἴπωμεν πίστεως, τὸν τοιοῦτον ἀνίστασθαι νεκρόν. ἡμεῖς τῷ εἰρημένῳ παρὰ τοῦ ἁγίου ἀποστόλου Παύλου ἀναθέματι, ἤδη τοῦτον κατὰ ψυχὴν ἐβάλομεν. ἀλλ' εἰς πληροφορίαν τῶν φιλοχρίστων λαῶν ὧν πλείστους ἐν τοῖς ἔμπροσθεν χρόνοις ἠπάτησαν αὐτός τε καὶ οἱ τούτου ὁμόφρονες, παρεχωρήσαμεν τὴν τοιαύτην αὐτοῦ αὐθάδειαν, καὶ μανιώδη καὶ τολμηρὰν πρότασιν δημοσίᾳ γενέσθαι, καὶ τοῦ ἐπιζητηθέντος παρ' αὐτοῦ νεκροῦ εἰς μέσον ἀχθέντος παρουσίᾳ ἡμῶν τε καὶ τῶν ἐνδοξοτάτων ἀρχόντων, καὶ πλήθους τοῦ φιλοχρίστου λαοῦ, καὶ καθὼς ἐκεῖνος προέτεινε, τὸ τοιοῦτον αὐτοῦ ἀσεβὲς σύνταγμα ἐπιτεθεικὼς, καὶ πλείστην ὥραν, ὅσην αὐτὸς ἐβούλετο, ἐπιστὰς τῷ τοιούτῳ νεκρῷ, καὶ ἐπιψιθυρίσας καθ' ἑαυτὸν, ἅπερ ἐνόμισεν, ἕως οὗ αὐτὸς εἶπε, μηδὲν δύνασθαι ποιεῖν. πῶς γὰρ ἂν καὶ ἐδύνατο βλασφημῶν εἰς Θεὸν δυνάμεις ἐπιτελεῖν; συνείδομεν τοῦτον ὡς λαοπλάνον καὶ ἀπατεῶνα, καὶ πρόδηλον αἱρετικὸν πάσης ἱερατικῆς τάξεώς τε καὶ λειτουργίας γυμνωθῆναι. καὶ καθαιρεθέντος αὐτοῦ, ἡ ἁγία σύνοδος ἐξεβόησεν· Πολυχρονίῳ αἱρετικῷ, καὶ τοῖς ὁμόφροσιν αὐτοῦ ἀνάθεμα· Μακαρίῳ καὶ Στεφάνῳ, καὶ τῷ Πολυχρονίῳ ἀνάθεμα. ἡ τριὰς τοὺς τρεῖς καθεῖλεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἀρκούντως ἔχει καὶ τὰ κατὰ τὴν σήμερον ἡμέραν πραχθέντα.

ΠΡΑ̃ΞΙΣ Ιϛ'.

ΕΝ ὀνόματι τȣ̃ κυρίȣ καὶ δεσπότȣ Ιησȣ̃ Χριϛȣ̃ τȣ̃ Θεοῦ ⲥ̀ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοϛέπτων καὶ γαληνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνϛαντίνȣ μὲν τȣ̃ εὐσεβεϛάτȣ καὶ θεοψηφίϛȣ μεγάλου βασιλέως αἰωνίου Αὐγȣ́ϛȣ καὶ αὐτοκράτορος, ἔτους εἰκοϛοογδόȣ, καὶ μετὰ ὑπατείαν τῆς αὐτȣ̃ θεοσόφȣ πραότητος ἔτȣς τρισκαιδεκάτȣ. Ηρακλείȣ δὲ, καὶ Τιβερίȣ τῶν θεοφυλάκτων αὐτȣ̃ ἀδελφῶν ἔτȣς εἰκοϛοτρίτȣ, τῇ ἐννάτῃ τȣ̃ Αὐγȣ́ϛȣ μηνὸς, ἰνδικτιῶνος ἐννάτης.

Προτεθειμένου τοῦ σεβασμιωτάτου σέσσου τοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρȣ́λλῳ. καὶ κατὰ κέλευσιν τῆς αὐτȣ̃ θεοσόφȣ γαληνίης, ἐκ προσώπου αὐτοῦ παρόντων ⲥ̀ ἀκροωμένων, Κωνϛαντίνȣ τȣ̃ ἐνδοξοτάτȣ ἀπὸ ὑπάτων πατρικίȣ, καὶ κȣράτωρος τȣ̃ βασιλικοῦ τῶν Ορμίσδου οἴκου. Αναϛασίȣ τȣ̃ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητȣ̃ τȣ̃ κόμητος τȣ̃ βασιλικȣ̃ ἐξκουβίτου· Πολιεύκτου τȣ̃ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. ⲥ̀ Πέτρου τȣ̃ ἐνδοξοτάτου ἀπὸ ὑπάτων·

Συνελθȣ́σης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδȣ τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ ⲥ̀ βασιλίδι πόλει· τουτέϛι Θεοδώρȣ καὶ Γεωργίȣ τῶν εὐλαβεϛάτων πρεσβυτέρων, καὶ Ἰωάννȣ τȣ̃ εὐλαβεϛάτȣ διακόνȣ, ἐπεχόντων τὸν τόπον τȣ̃ ὁσιωτάτȣ καὶ ἁγιωτάτȣ ἀρχιεπισκόπȣ τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, καὶ Γεωργίου τȣ̃ ὁσιωτάτου καὶ ἁγιωτάτȣ ἀρχιεπισκόπȣ ταύτης τῆς μεγαλωνύμου Κωνϛαντινȣπόλεως νέας Ῥώμης, καὶ Πέτρȣ τȣ̃ θεοφιλεϛάτȣ πρεσβυτέρου μοναχȣ̃, καὶ τοποτηρητȣ̃ τȣ̃ ἀρχιερατικȣ̃ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Θεοφάνȣς τȣ̃ ὁσιωτάτȣ καὶ ἁγιωτάτȣ ἀρχιεπισκόπου Θεουπόλεως Ἀντιοχείας. καὶ Γεωργίου τȣ̃ θεοφιλεϛάτȣ πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου Θεοδώρου τȣ̃ ὁσιωτάτου τοποτηρητȣ̃ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης· Θεοδώρȣ τȣ̃ θεοσεβεϛάτȣ πρεσβυτέρου, καὶ τοποτηρητȣ̃ τȣ̃ θεοφιλεϛάτου ἀρχιεπισκόπου Ῥαβέννης Θεοδώρου· Ἰωάννου ἐπισκόπου πόλεως Πόρτου· Βασιλείου ἐπισκόπου πόλεως Γορτύνης τῆς Κρητῶν νήσου· Ἀβουνδαντίου ἐπισκόπου πόλεως Πατέρνου, καὶ Ἰωάννου ἐπισκόπου πόλεως Ῥηγίου, ἐπεχόντων τὸν τόπον ἅμα Ἰωάννῃ τῷ θεοφιλεϛάτῳ ἐπισκόπῳ πόλεως Πόρτȣ, τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέϛατον βασιλέα Κωνϛαντῖνον παρ' αὐτῶν ἀναφορᾷ· Φιλαλήθους ἐπισκόπου Καισαρείας Καππαδοκίας· Θεοδώρου Ἐφέσου. Θεοδώρου ἐπισκόπου πόλεως Τριμιθούντων ἐπέχοντος τὸν τόπον Ἐπιφανίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς Κύπρου· Σισιννίου ἐπισκόπου Ἡρακλείας Θρᾴκης· Πλάτωνος ἐπισκόπου Ἀγκύρας Γαλατίας· Γεωργίου ἐπισκ. Κυζίκου· Μαρίνου ἐπισκ. Σάρδεων· Πέτρȣ ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκ. Νικαίας· Ἰωάννου ἐπισκ. Χαλκηδόνος· Ἰωάννου ἐπισκ. Σίδης· Ἰωάννȣ ἐπισκ. Ἀμασείας· Θεοδώρου ἐπισκ. Μελιτηνῆς. Ἰουστίνου ἐπισκ. Τυάνων. Ἀλυπίου ἐπισκ. Γαγγρῶν· Κυπριανȣ̃ ἐπισκ. Κλαυδιουπόλεως· Ἰωάννȣ ἐπισκ. Πισινȣ̃ντος· Πολυεύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκόπου Σταυρουπόλεως Καρίας· Τιβερίου ἐπισκ. Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκόπου Συνάδων· Κωνϛαντίνȣ ἐπισκ. Βαράτης, ἐπέχοντος τὸν τόπον Παύλȣ ἐπισκ. τȣ̃ Ἰκονίȣ· Στεφάνου ἐπισκόπου Ἀντιοχείας Πισιδίας· Ἰωάννου ἐπισκόπου Πέργης· Θεοπέμπτου ἐπισκόπου Ἰουϛινιανουπόλεως ἤτοι Μωκισȣ̃· Ἰσιδώρου ἐπισκόπου Ῥόδου· Σισιννίου ἐπισκ. Ἱεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκόπου Ταρσοῦ· Στεφάνȣ ἐπισκόπȣ Ἀναζάρβου· Μακροβίου ἐπισκόπου Σελευκείας Ἰσαυρίας· Γεωργίου ἐπισκόπου Βυζίης Θρᾴκης· Θεοδώρȣ ἐπισκ. Πομπηϊȣπόλεως· Ζαχαρίȣ ἐπισκόπου Λεοντοπόλεως Ἰσαυρίας· Γρηγορίου ἐπισκόπȣ Μιτυλήνης· Γεωργίου ἐπισκόπου Μιλήτου· Σεργίου ἐπισκόπȣ Σηλυβρίας· Ἀνδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Ἀλεξάνδρου ἐπισκόπου Κοτράδων· Ἐπιφανίου ἐπισκόπου Εὐχαΐτων· Ἰωάννȣ ἐπισκόπου Ἡρακλειȣπόλεως, ἤτοι Πιδαχθόης· Πέτρου ἐπισκόπου Μεσημβρίας· Πέτρου ἐπισκόπου Σωζοπόλεως Θρᾴκης· Ἰωάννου ἐπισκόπου Στόβων· Ἰωάννȣ ἐπισκ. Ἀθηνῶν· Ἰωάννȣ ἐπισκ. τȣ̃ Ἄργȣς· Θεοδοσίȣ ἐπισκ. Λακεδαιμονίας· Ἰωάννȣ ἐπισκ. Νύσσης· Θεοδώρου ἐπισκ. τῶν βασιλικῶν Θερμῶν· Γεωργίου ἐπισκ. Καμουλιανῶν· Θεοδώρȣ ἐπισκ. Ἐκελενζινῆς, ἤτοι Ἰȣϛινιανȣπόλεως τῆς μεγάλης Ἀρμενίας· Γεωργίȣ ἐπισκ. Δαρανάλεως, ἤτοι τῶν Καμάχων. Ζωήτου ἐπισκ. Χριϛȣπόλεως Ἀσίας· ἤτοι Διὸς ἱερȣ̃. Θεοδώρου ἐπισκ. Περγάμου· Θεοδώρȣ ἐπισκ. Μαϛαύρων· Πατρικίȣ ἐπισκ. Μαγνησίας· Ἀντωνίου ἐπισκ. Ὑπαίπων· Ἰωάννȣ ἐπισκ. Ἀνέων· Σισιννίȣ ἐπισκ. Νύσσων· Στρατονίκου ἐπισκ. Σόλων, καὶ Τύχωνος ἐπισκ. τȣ̃ Κιτίȣ, ἀμφοτέρων τῆς συνόδȣ τυγχανόντων τῆς φιλοχρίϛου τῶν Κυπρίων νήσου· Ἰωάννȣ ἐπισκ. Λάππης. Γρηγορίȣ ἐπισκ. Καντάνȣ· Ῥηγίνȣ ἐπισκ. τȣ̃ Πανίȣ· Μαρτυρίȣ ἐπισκ. Ἰȣλιȣπόλεως Γαλατίας· Μιχαὴλ ἐπισκ. Ἀσπόνης· Πλάτωνος ἐπισκόπου Κίννης· Γενεσίου ἐπισκ. Ἀναϛασιȣπόλεως· Στεφάνου ἐπισκ. * Βερινουπόλεως· Ἀνδρέȣ ἐπισκ. Μνίζου· * Γεωργίȣ ἐπισκ. Ποιμανινȣ̃· Ἰωάννου ἐπισκ.

* Οὐρανοπόλεως.
* Μερκυρίȣ.

πισκ. Μιλητουπόλεως · Κυρίκυ ἐπισκ. Ἀδριανείας · Ἰωάννου ἐπισκ. Φιλαδελφείας · Ἀνδρέυ ἐπισκ. Σιλάνδυ · Ἰωάννου ἐπισκ. Σίτων · Θεοδώρου ἐπισκ. Δάλδης, Ἰωάννου ἐπισκ. τοῦ Δασκυλίου · Θεοδώρου ἐπισκ. Πραινέτου · Ἰωάννου ἐπισκ. Ἀδριανῶν Βιθυνίας · Γεωργίου ἐπισκ. τῦ Γάλου · Σισιννίου ἐπισκ. Βασιλινυπόλεως · Πολυχρονίου ἐπισκ. Θεουπόλεως, ἤτοι Πρύσης · Ἀνασασίυ ἐπισκ. Θεοτοκιανῶν, ἤται Ἀπολλωνιάδος · Θεοδώρου ἐπισκ. Καισαρείας Βιθυνίας · Θεοδώρου ἐπισκ. Ἰουστινιανουπόλεως Γόρδου. Μηνᾶ ἐπισκόπου Καραλλίας Παμφυλίας · Κοσμᾶ ἐπισκ. Μανύων. Νικήτα ἐπισκ. Κορακησίου · Θεοδώρου ἐπισκ. Βερίσσης Ἀρμενίας · Καλλινίκου ἐπισκ. Κολωνίας Ἀρμενίας · Τιβερίου ἐπισκ. Ἀμίσου · Ἰωάννου ἐπισκ. Ἀνδράπων · Θεοδώρου ἐπισκ. Ἰβόρων · Σεργίου ἐπισκ. Σινώπης · Γρηγορίου ἐπισκ. Ἄρκης · Ἰωάννου ἐπισκόπου Φαυστινουπόλεως · Γεωργίου ἐπισκ. Ἰουνοπόλεως · Φωκᾶ ἐπισκ. Δαδύβρων · Πλάτωνος ἐπισκ. Ἀδριανουπόλεως · Γεωργίου ἐπισκ. Κρατίας · Δομετίου ἐπισκ. Προυσιάδος · Στεφάνου ἐπισκόπυ Ἡρακλείας Πόντου · Λογγίνου ἐπισκ. Τίου · Ἀνασασίου ἐπισκ. τῦ Πολεμωνίου · Ἰωάννου ἐπισκ. Κωμάνων. Θεοφυλάκτου ἐπισκόπου Κερασύντων · Σολομῶνος ἐπισκ. Κλανέου · Θεοδώρυ ἐπισκ. τῦ Ἀμωρίου · Ζημάρκυ ἐπισκ. Σιδύμων · Γεωργίυ ἐπισκ. Οἰνιάνδων · Ἰωάννυ ἐπισκ. Ἐρίζων. Ἰωάννου ἐπισκ. τῦ Μύνδου · Πατρικίου ἐπισκ. Ἰλάζων · Κυρίκυ ἐπισκ. Ἀγκύρας Συνάου · Πέτρου ἐπισκόπου Ἀππίας · Ἀλεξάνδρου ἐπισκόπου Νακωλείας · Δομετίου ἐπισκόπου Πρυμνήσου · Θεοδώρυ ἐπισκ. Ψιβήλων · Παύλυ ἐπισκ. Σωζοπόλεως Πισιδίας · Μαρίνυ ἐπισκ. τῦ Φιλομηλίου · Κωνσταντίνου ἐπισκ. Τιβριάδων · Πλάτωνος ἐπισκ. Μαγίδων · Πλουσιανῦ ἐπισκ. τῦ Συλλέου · Θεοδώρυ ἐπισκ. Ναζιανζῦ. Θεοδώρου ἐπισκ. Δοάρων · Γεωργίου ἐπισκ. Κῴυ. Γεωργίου ἐπισκ. Χίου · Στεφάνυ ἐπισκ. Πάρου · Γεωργίου ἐπισκ. Ναξίας · Δημητρίου ἐπισκ. Τηνίου · Εὐτυχίου ἐπισκ. Μήλυ · Ἰωάννυ ἐπισκ. Κωρύκου · Ἰωάννυ ἐπισκόπου Ἀδάνων · Γεωργίυ ἐπισκ. Φλαβιάδος · Εὐλαλίυ ἐπισκόπου Ζηνωνοπόλεως · Κωνσταντίνου ἐπισκόπου Δαλισανδῦ · Θεοδώρυ ἐπισκ. Ὄλβης · Γεωργίυ τῦ ἐλαβεστάτου πρεσβυτέρου καὶ μοναχῦ μονῆς τῆς Ῥενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ · Κόνωνος καὶ Στεφάνου πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπιλεγομένης δόμου Ἀρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ῥώμην.

Καθεσθέντων τῆς τε ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῆς ὁσιωτάτων καὶ θεοφιλῶν ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τῦ Τρύλλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῆς ἁγίων καὶ ἀχράντων Χριστῦ τῦ Θεοῦ ἡμῶν εὐαγγελίων.

Θεόδωρος ὁ θεοσεβέστατος διάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, πριμικήριος τῆς θεοσεβεστάτων νοταρίων τῦ ἁγιωτάτυ ἀρχιεπισκόπυ τῆς θεοφυλάκτυ ταύτης καὶ βασιλίδος πόλεως Γεωργίου εἶπε · διδάσκομεν τὺς ἐνδοξοτάτους ὑμᾶς, καὶ τὴν ἁγίαν καὶ οἰκυμενικὴν ὑμῶν σύνοδον, ὡς Κωνσταντῖνος λέγων ἑαυτὸν εἶναι πρεσβύτερον τῆς ἐν Ἀπαμείᾳ ὔσης ἁγιωτάτης τῦ Θεῦ ἐκκλησίας τῆς δευτέρας τῆς Σύρων ἐπαρχίας πρὸ βήλου ἔστηκε, καὶ δέεται εἰσόδου τυχεῖν, ἐφ' ᾧ ἀναδιδάξαι τὴν ἁγίαν ὑμῶν σύνοδον τινὰ συντείνοντα εἰς τὴν παρῦσαν δογματικὴν κίνησιν, καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον · εἰσίτω ὁ μνημονευθεὶς εὐλαβέστατος πρεσβύτερος. καὶ εἰσῆλθεν.

Ἡ ἁγία σύνοδος εἶπεν · ὁ ἑστὼς εὐλαβέστατος Κωνσταντῖνος τὰ οἰκεῖα γνωρίσματα λεγέτω, καὶ τὴν αἰτίαν, δι' ἣν παραγέγονε · Κωνσταντῖνος ὁ εὐλαβέστατος εἶπε · Κωνσταντῖνος λέγομαι, πρεσβύτερός εἰμι τῆς ἐν Ἀπαμείᾳ ὔσης ἁγίας τῦ Θεῦ ἐκκλησίας τῆς δευτέρας τῆς Σύρων ἐπαρχίας, χειροτονηθεὶς ὑπὸ Ἀβρααμίου ἐπισκ. Ἀρεθύσης. ἦλθον πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον, ἐφ' ᾧ ἀναδιδάξαι ὑμᾶς, ὅτι ἐὰν εἰσηκύσθην, ἃ ἐπάθομεν ἐφέτος, ὐκ εἴχομεν παθεῖν, τουτέστιν εἴτι ἐπάθαμεν εἰς τὸν πόλεμον Βουλγαρίας · ἠθέλησα γὰρ ἀπ' ἀρχῆς εἰσελθεῖν εἰς τὴν σύνοδον, καὶ παρακαλέσαι ἵνα γένηται εἰρήνη, ὅπως τί ποτε ἐνωτικὸν γένηται εἰς μέσον, καὶ μὴ ἐκεῖνοι θλίβωνται, μηδὲ ἐκεῖνοι, τουτέστιν οἱ λέγοντες ἐν θέλημα, καὶ οἱ λέγοντες δύο θελήματα. ὃ ἀπῆλθον ἐγγὺς τῦ πατρικίυ Θεοδώρυ τῦ στρατηγῦ, καὶ παρεκάλεσα αὐτὸν, ἵνα αὐτὸς λαλήσῃ ὑπὲρ ἐμῦ εἰς τὴν σύνοδον, ἵνα γένηται ἀγάπη καὶ εἰρήνη · ὅτι εἰρήνην καὶ ἀγάπην πλέον ὅλων ἀγαπᾷ ὁ Θεός · καὶ ἄρτι ἐὰν κελεύετε, ἵνα ὃ δέδωκέ μοι ὁ Θεὸς περὶ πίστεως, γράψω Κυριστὶ, καὶ ἑρμηνεύηται Γραικιστί.

Ἡ ἁγία σύνοδος εἶπε · καθὼς τὰ οἰκεῖα γνωρίσματα ἐδήλωσας ἡμῖν Γραικιστὶ, ὡσαύτως καὶ τὰ τῆς πίστεώς σου ὑπαγόρευσον. Κωνσταντῖνος πρεσβύτερος εἶπε · διορίαν λάβω ἡμερῶν ἐν καὶ γράφω καθ' ἑαυτὸν τὴν πίστιν μυ, καὶ φέρω αὐτὴν πρὸς τὴν ἁγίαν ὑμῶν σύνοδον.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον · κατὰ πρότασίν συ παρεγένυ πρὸς ἡμᾶς ὀφείλων τὰ τῆς πίστεώς συ εἰπεῖν ἡμῖν · τῆς ἀναγκαίων ὖν καθέστηκε παραχρῆμα τὰ τῆς πίστεώς σου ἐξειπεῖν ἡμῖν, καὶ τὸν τρόπον οὗπερ εἶπας γενέσθαι ἐνωτικῦ. Κωνσταντῖνος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν · ἐγὼ δύο φύσεις λέγω, ὥσπερ ἐρρέθη ἐν Χαλκηδόνι, καὶ δύο ἰδιώματα. καὶ περὶ ἐνεργείας μάχην ὐκ ἔχω, ἐὰν ὡς ἰδιώματα λέγετε αὐτά. θέλημα δὲ ἐν λέγω τῦ προσώπυ τῦ Θεῦ λόγυ.

. . . . . .
. . . . . .
. . . . . .
. . . . . καὶ μετὰ τοῦ σάρκωσιν. πατὴρ γὰρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα οὐκ εἶναι θέλημα.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ οὐ θέλημα, ὅπερ λέγεις, τῆς θείας αὐτοῦ ὑπάρχει φύσεως, ἢ τῆς ἀνθρωπίνης φύσεως; Κωνσταντῖνος ὁ βλασφέσατος εἶπε· τῆς θεότητος λέγω εἶναι τὸ θέλημα.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον. ἡ ἀνθρωπίνη φύσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶχε θέλησιν, ἢ οὐχί; Κωνσταντῖνος ὁ βλαβέσατος εἶπε· φυσικῶς ναί, εἶχε γὰρ αὐτὴν ἀπὸ γαστρὸς ἕως σαυτοῦ. καὶ ἰδίωμα λέγω αὐτό, καὶ ἰδίωμα ἐστίν.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία συνοδος εἶπον, τί οὖν; ἀπὸ τοῦ σαυροῦ τὴν φύσιν τὴν ἀνθρωπίνην ἔβασεν ὁ Χριστός; Κωνσταντῖνος ὁ βλαβέσατος εἶπεν· οὐκ ἔμεινε μετ' αὐτοῦ τὸ ἀνθρώπινον θέλημα, ἀλλ' ἔμεινε μετὰ τοῦ αἵματος καὶ τῆς σαρκός. ὅτι οὐχρήζει οὐδὲ φαγεῖν, οὐδὲ πιεῖν, οὐδὲ κοιμηθῆναι, οὐδὲ περιπατῆσαι.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· πρὸς τοῦτο ἔφησας, ἵν' θέλημα εἶχε τὸ προσωπον τοῦ Θεοῦ λόγου· καὶ μετὰ ταῦτα εἶπας, ὅτι φυσικῶς εἶχε θέλησιν ἡ ἀνθρωπότης αὐτοῦ. ὅθεν καὶ κατὰ τοὺς σοὺς λόγους ἓν εἶχε προσωπικὸν θέλημα, οὐχ ἓν φυσικόν. καὶ πῶς σὺ ἓν θέλημα δοξάζεις ἐπὶ Χριστοῦ; Κωνσταντῖνος ὁ βλαβέσατος εἶπεν· ὁ Χριστὸς ἀφῆκε καὶ ἀπεδύσατο αὐτὸ μετὰ τοῦ αἵματος καὶ τῆς σαρκός.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· πῶς γὰρ ἔμεινεν ἡ σὰρξ οὐχὶ τὸ αἷμα; Κωνσταντῖνος ὁ βλαβέσατος εἶπεν. ἀπεδύσατο αὐτό.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· τίς ἀπεδύσατο τὴν σάρκα; Κωνσταντῖνος ὁ βλασφέστατος εἶπεν· ὁ Χριστός.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον· καὶ τὸ ἀνθρώπιον θέλημα συναπεδύσατο τῇ σαρκί; Κωνσταντῖνος ὁ βλασφέστατος εἶπε· ναὶ δέσποτα, τὴν θέλησιν ἐκείνην.

Οἱ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ἁγία σύνοδος εἶπον. Μακάριος ὁ χρυσόμυρος πατριάρχης Ἀντιοχείας ὕπως ἐπίστευσεν, ὡς σὺ λέγεις; Κωνσταντῖνος ὁ βλαβέσατος εἶπε· ναὶ δέσποτα, ὡς ἐγὼ λέγω ἓν θέλημα, οὕτω καὶ Μακάριος ἔλεγεν. ὕπως γὰρ καὶ ἤκουσα ἐξ αὐτοῦ.

Ἡ ἁγία σύνοδος εἶπεν. οὕτω φρονεῖς, καὶ ὕπως ἐμμένεις μέχρι τέλους ἐν τῇ αὐτῇ δόξῃ; Κωνσταντῖνος εἶπε· ναὶ δέσποτα. ὕπως φρονῶ, καὶ ὕπως πιστεύω, καὶ οὐκ ἐνδέχεται ἄλλως.

Ἡ ἁγία σύνοδος ἐξεβόησεν. αὕτη ἡ δόξα τῆς Μανιχαίων ἐστίν. αὕτη ἡ πίστις Ἀπολιναρίου ἐστίν. ἀνάθεμα αὐτῷ μετὰ τῆς δογμάτων αὐτοῦ. τῷ νέῳ Μανιχαίῳ ἀνάθεμα. τῷ νέῳ Ἀπολιναρίῳ ἀνάθεμα. ἔξω βληθήτω ὁ Μανιχαῖος. πᾶσι τοῖς αἱρετικοῖς ἀνάθεμα. καὶ μετὰ τὸ ἐκβληθῆναι τὸν αὐτὸν Κωνσταντῖνον, Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως εἶπεν. ἐγὼ καί τινες ὀλίγοι τῆς ὑπὸ τὸν κατ' ἐμὲ θρόνον ὁσιώτατοι δ' οἰκονομίαν τινὰ παρακαλοῦμεν, ἵνα εἰ τῆς ἐνδεχομένων ἐστίν, ὀνόμασι μὴ ἀναθεματισθῶσι τὰ πρόσωπα εἰς τὰς ἐκβοήσεις, τουτέστι Σέργιος, Πύρρος, Παῦλος, καὶ Πέτρος.

Ἡ ἁγία συνοδος εἶπε. τοὺς καθάπαξ κατακρίτους ἀποδεικνυμένους, καὶ κατὰ ἀπόφασιν ἡμετέραν ἤδη ἐκβληθέντας ἐκ τῆς ἱερᾶς διπτύχων, δέον καθέσηκε, καὶ εἰς τὰς ἐκβοήσεις τούτους ὀνόμασι ἀναθεματισθῆναι.

Γεώργιος ὁ ἁγιώτατος ἀρχιεπίσκοπος τῆς βασιλίδος ταύτης πόλεως εἶπεν. ἐπειδὴ τὸ πλῆθος, ἤτοι τῆς πολλῶν πανταχοῦ ἡ βελτίστη κρατεῖ, ἀναγκαῖόν ἐστιν ὀνόμασι τὰ λαχθέντα πρόσωπα ἀναθεματισθῆναι. καὶ ἐξεβόησαν πάντες. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. Κωνσταντίνῳ μεγάλῳ βασιλέως πολλὰ τὰ ἔτη· ὀρθοδόξῳ βασιλέως πολλὰ τὰ ἔτη. εἰρηνικῷ βασιλέως πολλὰ τὰ ἔτη. Κωνσταντίνῳ νέῳ Μαρκιανῷ πολλὰ τὰ ἔτη. Κωνσταντίνῳ νέῳ Θεοδοσίῳ πολλὰ τὰ ἔτη. Κωνσταντίνῳ νέῳ Ἰουστινιανῷ βασιλέως πολλὰ τὰ ἔτη· τοῦ φύλακος τῆς ὀρθοδοξίας πολλὰ τὰ ἔτη. τὸ σημεῖωμα τῆς ἐκκλησιῶν κύριε φύλαξον. τὸν φύλακα τῆς πίστεως κύριε περίσωσον. Ἀγάθωνος πάπα Ῥώμης πολλὰ τὰ ἔτη. Γεωργίῳ πατριάρχῃ Κωνσταντινουπόλεως πολλὰ τὰ ἔτη· Θεοφάνους πατριάρχῃ Ἀντιοχείας πολλὰ τὰ ἔτη· ὀρθοδόξῳ συνόδῳ πολλὰ τὰ ἔτη· ὀρθοδόξῳ συγκλήτῳ πολλὰ τὰ ἔτη. Θεοδώρῳ αἱρετικῷ τῷ Φαρανίτῃ ἀνάθεμα. Σεργίῳ αἱρετικῷ ἀνάθεμα. Κύρῳ αἱρετικῷ ἀνάθεμα. Ὀνωρίῳ αἱρετικῷ ἀνάθεμα. Πύρρῳ αἱρετικῷ ἀνάθεμα· Πέτρῳ αἱρετικῷ ἀνάθεμα. Μακαρίῳ, καὶ Στεφάνῳ καὶ Πολυχρονίῳ αἱρετικοῖς ἀνάθεμα· Ἀπεργίῳ τῷ Πέργης ἐπισκοπήσαντι ἀνάθεμα· ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα. πᾶσι τοῖς ἀντιποιουμένοις τῆς αἱρετικῶν ἀνάθεμα· αὕξει ἡ πίστις τῆς Χριστιανῶν· ὀρθοδόξου καὶ οἰκουμενικῆς συνόδου πολλὰ τὰ ἔτη.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· λεγέτω ἡ ἁγία καὶ οἰκουμενικὴ ὑμῶν συνοδος, ἕνεκα τῆς εἰς ἀκριβεστέραν κατάληψιν σωτηρίων ὑπολελειπται τῆς παρούσης ἕνεκα ὑποθέσεως. καὶ δέον ὑπάρχει πλείονος ἐρεύνης, ἢ ζητήσεως ἐντὸς γενέσθαι τοῦ ὑμῶν ἀγιότητα.

Ἡ ἁγία σύνοδος εἶπεν. ἀρκούντως μοὶ ἔχει τὰ μέχρι τοῦ νῦν πραχθέντα τε καὶ διηγωνισμένα, καὶ εἰς τοῦ παροῦσαν δογματικοῦ σωτηρίου ζήτησιν. καθ' ἑτέραν δὲ τῇ ἐπιφοιτήσει τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος ὅρον τῇ ὀρθοδοξίᾳ συμβαίνοντα σωτηρικῶς ψηφιούμεθα.

ΠΡΑΞΙΣ ΙΖ'. καὶ ΙΗ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, βασιλείας τῶν θεοστέπτων καὶ Γαλήνοτάτων ἡμῶν δεσποτῶν Φλαβίων, Κωνσταντίνου μὲν τοῦ πραοτάτου καὶ θεοψειφίστου μεγάλου βασιλέως αἰωνίου Αὐγούστου καὶ αὐτοκράτορος, ἔτους εἰκοστοογδόου καὶ μετὰ ὑπατείαν τῆς αὐτοῦ θεοσόφου γαλήνης ἔτους τρισκαιδεκάτου· Ἡρακλείου δὲ, καὶ Τιβερίου τῶν θεοφυλάκτων αὐτοῦ ἀδελφῶν ἔτους εἰκοστοτρίτου, τῇ ἐκκαιδεκάτῃ τοῦ Σεπτεμβρίου μηνὸς, ἰνδικτιῶνος δεκάτης.

Προκαθειμένου τοῦ αὐτοῦ εὐσεβεστάτου, καὶ φιλοχρίστου μεγάλου βασιλέως Κωνσταντίνου ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ, καὶ κατὰ κέλευσιν τῆς αὐτοῦ θεοσόφου Γαλήνης παρόντων καὶ ἀκροωμένων, Νικήτα τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ μαγίστρου τῶν βασιλικῶν ὀφφικίων. Θεοδώρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου κόμητος τοῦ βασιλικοῦ ὀψικίου, καὶ ὑποστρατήγου Θρᾴκης· Σεργίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου· Ἰουλιανοῦ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου καὶ στρατιωτικοῦ λογοθέτου· Κωνσταντίνου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ κουράτωρος τοῦ βασιλικοῦ οἴκου τῶν Ὁρμίσδου· Ἀναστασίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων πατρικίου, καὶ τοποτηρητοῦ τοῦ κόμητος τοῦ βασιλικοῦ ἐξκουβίτου· Ἰωάννου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Πατρικίου καὶ κοιαίστωρος. Πολυεύκτου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων. Θωμᾶ τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων Παύλου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ διοικητοῦ τῶν ἀνατολικῶν ἐπαρχιῶν. Πέτρου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων· Λεοντίου τοῦ ἐνδοξοτάτου ἀπὸ ὑπάτων, καὶ δομεστίκου τῆς βασιλικῆς τραπέζης.

Συνελθούσης δὲ καὶ τῆς ἁγίας, καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ βασιλικὸν θέσπισμα συναθροισθείσης ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· τουτέστι Θεοδώρου καὶ Γεωργίου τῶν εὐλαβεστάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ εὐλαβεστάτου διακόνου, ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πάπα τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος, καὶ Γεωργίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου ταύτης τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, (καὶ τῶν σὺν αὐτῷ) καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ, καὶ τοποτηρητοῦ τοῦ ἀρχιερατικοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως. καὶ Θεοφάνους τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Θεουπόλεως ἤτοι Ἀντιοχείας. καὶ Γεωργίου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ καὶ ἀποκρισιαρίου. Θεοδώρου τοῦ ὁσιωτάτου τοποτηρητοῦ τοῦ θρόνου Ἱεροσολύμων· Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης· Θεοδώρου ἐπισκόπου πόλεως Τριμιθούντων ἐπέχοντος τὸν τόπον Ἐπιφανίου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς Κυπρίων νήσου. Θεοδώρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Ῥαβέννης Θεοδώρου· Ἰωάννου ἐπισκ. πόλεως Πόρτου· Στεφάνου ἐπισκ. πόλεως Κορίνθου· Βασιλείου ἐπισκ. πόλεως Γορτύνης τῆς Κρητῶν νήσου· Ἀβουνδαντίου ἐπισκ. πόλεως Πατέρνου· καὶ Ἰωάννου ἐπισκ. πόλεως Ῥηγίου, ἐπεχόντων τὸν τόπον ἅμα Ἰωάννῃ τῷ θεοφιλεστάτῳ ἐπισ. πόλεως Πόρτου, τῆς κατὰ τὴν πρεσβυτέραν Ῥώμην ὁσίας τῶν ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων συνόδου, τῶν καὶ δι' οἰκείων ὑπογραφῶν δηλουμένων ἐν τῇ γενομένῃ πρὸς τὸν εὐσεβέστατον βασιλέα Κωνσταντῖνον παρ' αὐτῶν ἀναφορᾷ· Φιλαλήθους ἐπισ. Καισαρείας Καππαδοκίας· Θεοδώρου ἐπισκ. Ἐφέσου· Σισιννίου ἐπισκόπου Ἡρακλείας Θρᾴκης· Πλάτωνος ἐπισκόπου Ἀγκύρας Γαλατίας. Γεωργίου ἐπισκόπου Κυζίκου. Μαρίνου ἐπισκόπου Σάρδεων· τῆς Λυδῶν ἐπαρχίας· Πέτρου ἐπισκ. Νικομηδείας· Φωτίου ἐπισκόπου Νικαίας· Ἰωάννου ἐπισκόπου Χαλκηδόνος· * Ἰωάννου ἐπισκόπου Ἀμασείας· Θεοδώρου ἐπισκόπου Μελιτηνῆς. Ἰουστίνου ἐπισκόπου Τυάνων. Ἀλυπίου ἐπισκόπου Γαγγρῶν· Κυπριανοῦ ἐπισκ. Κλαυδιουπόλεως τῆς Ὀνωρεατῶν ἐπαρχίας· Ἰωάννου ἐπισκ. Πισινοῦντος· Πολυεύκτου ἐπισκ. Μύρων τῆς Λυκίας· Θεοδώρου ἐπισκ. Σταυρουπόλεως καρίας· Τιβερίου ἐπισκ. Λαοδικείας Φρυγίας· Κοσμᾶ ἐπισκ. Συνάδων. Κωνσταντίνου ἐπισκ. Βαράτης, ἐπέχοντος τὸν τόπον Παύλου ἐπισκ. τοῦ Ἰκονίου. Στεφάνου ἐπισκ. Ἀντιοχείας Πισιδίας· Ἰωάννου ἐπισκ. Πέργης· Θεοπέμπτου ἐπισ. Ἰουστινιανουπόλεως, ἤτοι Μωκισοῦ. Ἰσιδώρου ἐπισ. Ῥόδου· Σισιννίου ἐπισκ. Ἱεραπόλεως Φρυγίας· Θεοδώρου ἐπισκ. Ταρσοῦ· Στεφάνου ἐπισκ. Ἀναζάρβου. Μακροβίου ἐπισκ. Σελευκείας Ἰσαυρίας. Γεωργίου ἐπισ. Βυζίης Θρᾴκης. Θεοδώρου ἐπισκ. Πομπηϊουπόλεως. Ζαχαρίου ἐπισκ. Λεοντοπόλεως Ἰσαυρίας. Γρηγορίου ἐπισκόπου Μιτυλήνης· Γεωργίου ἐπισκόπ. Μιλήτου. Σεργίου ἐπισκόπου Σηλυβρίας· Ἀνδρέου ἐπισκόπου Μεθύμνης· Θεογνίου ἐπισκόπου Κίου· Ἀλεξάνδρου ἐπισκ. Κοτράδων τῆς Ἰσαύρων χώρας· Ἐπιφανίου ἐπισκ. Εὐχαΐτων· Ἰωάννου ἐπισ. Ἡρακλειουπόλεως, ἤτοι Πιδαχθόης. Πέτρου ἐπισκόπου Μεσημβρίας· Πέτρου ἐπισκόπου Σωζοπόλεως Θρᾴκης. Ἰωάννου ἐπισκ. Στόβων. Ἰωάννου ἐπισκ. Ἀθηνῶν. Ἰωάννου ἐπισκ. τοῦ Ἄργους. Θεοδοσίου. ἐπισκόπου Λακεδαιμονίας. Ἰωάννου ἐπισκόπου Λάππης. Γρηγορίου ἐπισκ. Καντάνου· Στρατονίκου ἐπισκ. Σόλων. Τύχωνος ἐπισκ. τοῦ Κιτίου, ἀμφοτέρων τῆς συνόδου τυγχανόντων τῆς φιλοχρίστου τῶν Κυπρίων νήσου. Ἰωάννου ἐπισκόπου Νύσσης. Θεοδώρου ἐπισκόπου τῶν βασιλικῶν Θερμῶν. Γεωργίου ἐπισκόπου Καμουλιανῶν. Θεοδώρου ἐπισκ. Ἐκκλενζίνης, ἤτοι Ἰουστινιανουπόλεως τῆς μεγάλης Ἀρμενίας· Γεωργίου ἐπισκ. Δαρανάλεως, ἤτοι τῶν Καμάχων· Ζωήτου ἐπισκόπου Χριστουπόλεως, ἤτοι Διὸς ἱεροῦ τῆς Ἀσιανῶν ἐπαρχίας. Θεοδώρου ἐπισκ.

ἐπισκοπου Περγάμου. Θεοδώρου ἐπισκόου Μασαύρων. Θεοδώρου ἐπισκόπου Αδραμυτȣ̃. Παϛικίȣ ἐπισκ. Μαγνησίας· Αντωνίου ἐπισκόπου Υπαίπων. Ιωάννȣ ἐπισκόπου Ανέων. Σισιννίȣ ἐπισκόπου Νύσσης Ασίας· Ρηγίνου ἐπισκόπου τȣ̃ Πανίου. Μαρτυρίου ἐπισκόπου Ιȣλιουπόλεως· Μιχαὴλ ἐπισκόπου Ασπόνης· Πλάτωνος ἐπισκόπου Κίννης· Γενεσίȣ ἐπισκόπου Αναστασιȣπόλεως· Στεφάνȣ ἐπισκ. Βηρινȣπόλεως. Ανδρέȣ ἐπισκ. Μνίζȣ. Μερκȣρίȣ ἐπισκόπου Ποιμανινȣ̃· Ιωάννου ἐπισκ. Μιλητουπόλεως. Κωνσταντίνου ἐπισκ. Λαμψάκου. Κυρίκου ἐπισκόπου Αδριανείας· Ιωάννȣ ἐπισκόπου Φιλαδελφείας. Ανδρέου ἐπισκόπου Σιλάνδου. Ιωάννου ἐπισκόπȣ Σίτων. Θεοδώτου ἐπισκόπου. Δάλδης· Ιωάννου ἐπισκόπου τοῦ Δασκυλίȣ. Ἰωάννου ἐπισκ. Αδριανῶν. Σισιννίου ἐπισκόπου Βασιλινȣπόλεως· Θεοδώρου ἐπισκόπȣ Πραινέτου· Λεοντίου ἐπισκόπου Ελενȣπόλεως· Γεωργίου ἐπισκόπȣ τȣ̃ Γάλου. Θεοδώρου ἐπισκόπου Καισαρείας Βιθυνίας· Πολυχρονίου ἐπισκόπου Θεουπόλεως, ἤτοι Πρȣ́σης· Αναστασίȣ ἐπισκ. τῆς Θεοτοκιανῶν, ἤτοι Απολλωνιάδος. Θεοδώρȣ ἐπισκ. Ιȣστινιανουπόλεως Γόρδȣ. Μηνᾶ ἐπισκ. Καραλίας Παμφυλίας· Κοσμᾶ ἐπισκόπου Μανȣ́ων. Νικήτα ἐπισκ. τȣ̃ Κορακησίȣ· Θεοδώρου ἐπισκόπου Βερίσσης. Καλλινίκου ἐπισκόκου Κολωνίας Αρμενίας· Τιβερίου ἐπισκ. Αμίσου· Ιωάννου ἐπισκόπου Ανδράπων· Θεοδοσίȣ ἐπισκ. Ιβόρων. Σεργίου ἐπισκ. Σινώπης· Γρηγορίου ἐπισκ· Αρκης· Ιωάννου ἐπισκόπου Φαυστινουπόλεως. Εἰρηνάρχȣ τȣ̃ ἐλαβεστάτȣ διακόνου, ἐπέχοντος τὸν τόπον Κομιτᾶ ἐπισκ. Αμάστριδος· Γεωργίȣ ἐπισκόπȣ Ιουνοπόλεως· Φωκᾶ ἐπισκόπου Δαδύβρων· Πλάτωνος ἐπισκ. Αδριανȣπόλεως. Γεωργίȣ ἐπισκ. Κρατίας. Δομετίου ἐπισκ. Πρȣσιάδος· Στεφάνου ἐπισκόπου Ηρακλείας Πόντου. Λογγίνȣ ἐπισκόπȣ Τίȣ. Αναστασίου ἐπισκόπȣ τȣ̃ Πυλεμωνίȣ· Ιωάννου ἐπισκόπου Κομάνων. Θεοφυλάκτου ἐπισκόπου Κερασȣ̃ντος· Θεοδώρȣ ἐπισκόπου Τραπεζοῦντος· Σολομῶνος ἐπισκ. Κλανέȣ. Θεοδώρου ἐπισκ. τȣ̃ Αμωρίȣ· Ζημάρκου ἐπισκόπου Σιδύμων· Γεωργίου ἐπισκόπου Οἰνιάνδων. Ἰωάννȣ ἐπισκ. Ερίζων· Ιωάννȣ ἐπισκ. Μυνδου· Παϛικίου ἐπισκόπου Ιλούζων. Κυρίκου ἐπισκόπου Αγκυροσυναȣ̃ Πέϛου ἐπισκ. Αππίας· Αλεξάνδρου ἐπισκόπου Νακωλείας. Δομετίȣ ἐπισκ. Πρυμνήσου· Θεοδοσίου ἐπισκ. Ψιβήλων. Παύλȣ ἐπισκόπου Σωζοπόλεως Πισιδίας· Κοσμᾶ ἐπισκόπου τȣ̃ Κοττυαίου. Μαρίνου ἐπισκ τοῦ Φιλομηλίου· Κωνσταντίνου ἐπισκόπ. Τιβριάδων· Πλάτωνος ἐπισκόπου Μαγίδων· Πλουσιανȣ̃ ἐπισκ. τȣ̃ Συλλέου. Θεοδώρου ἐπισκ. Ναζιανζοῦ. Θεοδώρȣ ἐπισκόπȣ Δοάρων· Γεωργίου ἐπισκ. Κῴȣ. Γεωργίου ἐπισκόπου Χίου· Στεφάνου ἐπισκ. Πάρου· Γεωργίου ἐπισκόπ. Ναξίας. Δημητρίȣ ἐπισκόπου Τήνου· Γεωργίου ἐπισκ. Θήρας. Εὐτυχίου ἐπισκόπ. Μήλου· Ιωάννου ἐπισκ. Κωρύκου· Ιωάννου ἐπισκόπου Αδάνων· Γεωργίου ἐπισκόπου Φλαβιάδος. Εὐλαλίου ἐπισκ. Ζηνωνοπόλεως· Κωνσταντίνου ἐπισκόπ. Δαλισανδοῦ· Θεοδώρου ἐπισκ. Ολβης. Γεωργίου τȣ̃ ἐλαβεστάτου πρεσβυτέρου καὶ μοναχοῦ μονῆς τῶν Ρενᾶ τῆς διακειμένης ἐν τῇ πρεσβυτέρᾳ Ρ'ώμῃ· Κόνωνος καὶ Στεφάνȣ πρεσβυτέρων καὶ μοναχῶν μονῆς ἐπονομαζομένης δόμȣ Αρσικίας διακειμένης ὡσαύτως κατὰ τὴν πρεσβυτέραν Ρ'ώμην. Λεοντίου τȣ̃ ἐλαβεστάτου διακόνȣ καὶ μοναχȣ̃ μονῆς ἐπιλεγομένης Κέλλαι νόβαι, τυγχανȣ́σης ὁμοίως ἐν τῇ τοιαύτῃ πρεσβυτέρᾳ Ρώμῃ· Ιορδάνου καὶ Πολυχρονίȣ τῶν ἐλαβεστάτων πρεσβυτέρων μοναχῶν καὶ ἀποκρισιαρίων τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν πόλεως Ιεροσολύμων.

Καὶ καθεσθέντων τῶν τε ἐνδοξοτάτων πατρικίων καὶ ὑπάτων, καὶ πάντων τῶν ὁσιωτάτων καὶ θεοφιλῶν μητροπολιτῶν τε καὶ ἐπισκόπων κατὰ τάξιν, ἐν τῷ αὐτῷ τȣ̃ Τρȣ́λλου σεκρέτῳ, προκειμένων ἐν μέσῳ τῶν ἁγίων καὶ ἀχράντων Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐναγγελίων.

Θεόδωρος ὁ θεοσεβέστατος ἀρχιδιάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τȣ̃ Θεȣ̃ καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας, καὶ πριμικήριος τῶν θεοσεβεστάτων νοταρίων τȣ̃ ὁσιωτάτου καὶ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως Γεωργίȣ εἶπε. μείζονος ἐσεβείας καθέστηκε γνώρισμα, παγγάληνε δέσποτα, τὸ πρώτως τοῖς περὶ τὸ θεῖον σέβας ἀνήκουσιν ἐξαίρετον τὴν ἐπιμέλειαν τίθεσθαι, εἶθ' ȣ̃τως τὰ τῇ φιλοχρίστῳ πολιτείᾳ προσήκοντα πράγματα ἐθυβόλως ἰθύνεσθαι. ὃ δὴ καὶ πράττεις ἐπιεικῶς, ἡμερώτατε, πᾶσαν μὲν τὴν περὶ τῶν κοσμικῶν πραγμάτων ὄχλησιν ἀποθέμενος, τὴν δὲ περὶ τὰ θεῖα φροντίδα τε καὶ σπȣδὴν ἀναδεξάμενος τῇ τȣ̃ πνεύματος χάριτι. καὶ τȣ̃το ὑμῶν ἔκκριτον ἐγκαλλώπισμα ἐξ ἐσεβείας κατὰ τȣ̃ διαβόλȣ συγκροτῆσαι στρατόπεδον, καὶ κατὰ τῆς ἀσεβȣ̃ς αὐτȣ̃ φάλαγγος ἱερὸν συναθροῖσαι κατάλογον, φαμὲν δὴ τὴν ἁγίαν ταύτην, καὶ μεγάλην, καὶ οἰκȣμενικὴν σύνοδον, ἥτις ὡς ἔδει μετὰ πολλῆς ὅσης τῆς ἐμμελείας ἐκ πολλῶν ἡμερῶν τὸ περὶ τῆς ἀμωμήτȣ ἡμῶν τῶν Χριστιανῶν πίστεως πρακτέον διήνυσε, πρόμαχον ἐτυχήσασα τὴν ὑμετέραν ἐσέβειαν. καὶ τὴν ὁπωσοῦν *ἀναφυεῖσαν κατὰ τῆς ὀρθοδοξίας διχόνοιαν ἐκποδὼν πεποίηκεν, ἐπερειδομένη μὲν τοῖς τῆς ἀληθείας διδάγμασι, κρατυνομένη δὲ ταῖς τῶν μακαριωτάτων πατέρων ἀνεπιλήπτοις, καὶ θείαις ὡς ἀληθῶς παραδόσεσιν, ὡς ἔστιν ἐκ τῶν ἐγγράφως πεπραγμένων ἐφ' ἑκάστῳ τῶν παρακολȣθησάντων κατανοῆσαι. ὅρον δὲ νῦν ἐξεφώνησεν ἀπλανῆ τῇ δυνάμει τῶν θείων γραφῶν σεμνυνόμενον, καὶ τὴν τῶν ἁγίων πατέρων διδασκαλίαν ἐπιγραφόμενον, εἰς βεβαίωσιν μὲν τῶν ὀρθῶν τῆς ἐσεβείας δογμάτων, καύχημα δὲ τῆς ὑμετέρας ἐσεβȣ̃ς βασιλείας· καὶ τȣ̃τον μετὰ χεῖρας ἐπιφερόμεθα, εἰ παρίσταται τῷ σκοπῷ τῆς ὑμῶν γαληνότητος, ἀναγνωσθησόμενον.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν. ὁ ἐπιμνησθεὶς ὅρος ἀναγινωσκέσθω. καὶ λαβὼν Ἀγάθων ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ ὁσιωτάτου, καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως Γεωργίου, ἀνέγνω τὸν ὅρον ἔχοντα ἐπὶ λέξεως οὕτως.

Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν, καὶ πανευσεβὲς θέσπισμα τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου μεγάλου βασιλέως Κωνσταντίνου συναχθεῖσα ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι Κωνσταντινουπόλει νέα Ῥώμῃ, ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ ἐπιλεγομένῳ Τρούλλῳ, ὥρισε τὰ ὑποτεταγμένα.

Ὁ τοῦ θεοῦ πατρὸς μονογενὴς υἱός τε καὶ λόγος, ὁ κατὰ πάντα ὅμοιος ἡμῖν χωρὶς ἁμαρτίας γενόμενος ἄνθρωπος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ἐν εὐαγγελικαῖς διαπρυσίως
Ιωάν. 8. ἐκήρυξε φωναῖς· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. καὶ πάλιν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, εἰρήνην
Ιωάν. 14. τὴν ἐμὴν δίδωμι ὑμῖν. ταύτῃ τοι τῇ θεολέκτῳ τῆς εἰρήνης διδασκαλίᾳ, θεοσόφως ὁ πρᾳότατος ἡμῶν βασιλεὺς ὁδηγούμενος, ὁ τῆς μὲν ὀρθοδοξίας ὑπέρμαχος, τῆς δὲ κακοδοξίας ἀντίμαχος, τὴν καθ' ἡμᾶς ἁγίαν ταύτην καὶ οἰκουμενικὴν συναθροίσας ὁμήγυριν, τὸ τῆς ἐκκλησίας ἅπαν ἠνώσε σύγκριμα. ὅθεν ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκουμενικὴ σύνοδος τὴν ἀπό τινων καὶ ὧδε χρόνων τῆς δυσσεβείας πλάνην πόῤῥωθεν ἀπελάσασα, καὶ τῇ τῶν ἁγίων καὶ ἐκκρίτων πατέρων ἀπλανῶς εὐθείᾳ τρίβῳ κατακολουθήσασα, ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις ἐν ἅπασιν εὐσεβῶς ὡμοφώνησε. φαμὲν δὴ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐν Νικαίᾳ συνελθόντων ἁγίων πατέρων κατὰ τοῦ μανιώδους Ἀρείου· καὶ τῇ μετ' αὐτὴν ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα θεοφόρων ἀνδρῶν κατὰ Μακεδονίου τοῦ πνευματομάχου, καὶ Ἀπολιναρίου τοῦ δυσσεβοῦς· ὁμοίως καὶ τῇ ἐν Ἐφέσῳ τὸ πρότερον κατὰ Νεστορίου τοῦ Ἰουδαιόφρονος συναγηγερμένων διακοσίων θεσπεσίων ἀνδρῶν· καὶ τῇ ἐν Χαλκηδόνι τῶν ἑξακοσίων τριάκοντα θεοπνεύστων πατέρων κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου τῶν θεοστυγῶν. πρὸς ταύταις καὶ τῇ τελευταίᾳ τούτων πέμπτῃ ἁγίᾳ συνόδῳ τῇ ἐνταῦθα συναθροισθείσῃ κατὰ Θεοδώρου τοῦ Μοψουεστίας, Ὠριγένους, Διδύμου τε, καὶ Εὐαγρίου, καὶ τῶν συγγραμμάτων Θεοδωρίτου τῶν κατὰ τῶν δώδεκα κεφαλαίων τοῦ ἀοιδίμου Κυρίλλου, καὶ τῆς λεγομένης Ἴβα ἐπιστολῆς πρὸς Μάρην γεγράφθαι τὸν Πέρσην· ἀκαινοτόμητα μὲν ἐν πᾶσι τὰ τῆς εὐσεβείας ἀνανεωσαμένη θεσπίσματα, τὰ βέβηλα δὲ τῆς δυσσεβείας ἐκδιώξασα δόγματα· καὶ τὸ παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων ἐκτεθὲν, καὶ αὖθις παρὰ τῶν ἑκατὸν πεντήκοντα θεοφρόνως βεβαιωθὲν, ὅπερ καὶ αἱ λοιπαὶ ἅγιαι σύνοδοι ἐπ' ἀναιρέσει πάσης ψυχοφθόρου αἱρέσεως ἀσπασίως ἐδέξαντο καὶ ἐπεκύρωσαν σύμβολον, καὶ ἡ καθ' ἡμᾶς ἁγία καὶ οἰκουμενικὴ θεοπνεύστως ἐπεσφράγισε σύνοδος.

Ἔκθεσις πίστεως τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων μακαρίων πατέρων.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, τὸν γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός. θεὸν ἐκ θεοῦ. φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ. γεννηθέντα οὐ ποιηθέντα, ὁμούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα, παθόντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενον, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας, ἦν ποτε, ὅτε οὐκ ἦν, καὶ πρὶν γεννηθῆναι οὐκ ἦν. καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως, ἢ οὐσίας φάσκοντας εἶναι, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ ἁγία τοῦ θεοῦ καθολικὴ, καὶ ἀποστολικὴ ἐκκλησία.

Ἔκθεσις πίστεως τῶν ἐν Κωνσταντινουπόλει ἑκατὸν πεντήκοντα ἁγίων καὶ μακαρίων πατέρων.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. φῶς ἐκ φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμούσιον τῷ πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο. τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου. καὶ ἐνανθρωπήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα. καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός. καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. προσδοκῶμεν ἀνά-

σασιν νεκρῶν, καὶ ζωλὴ τῶ μέλλοντος αἰῶνος. ἀμήν.

Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος εἶπεν· ἤρκει μὲν εἰς ἐντελῆ τῆς ὀρθοδόξου πίστεως ἐπίγνωσίν τε καὶ βεβαίωσιν τὸ δυσσεβὲς καὶ ὀρθόδοξον τοῦτο τῆς θείας χάριτος σύμβολον. ἀλλ' ἐπεὶ οὐκ ἐπαύσατο ἀρχῆθεν τῆς κακίας ὁ ἐφευρετὴς συνεργὸν τὸν ὄφιν διαβάλλων, καὶ δι' αὐτοῦ τὸν ἰοβόλον τῆ ἀνθρωπείᾳ φύσει προσαγόμενος θάνατον, ἵνα καὶ νῦν ὄργανα πρὸς τὴν οἰκείαν αὐτοῦ βούλησιν διρηκὼς ἐπιτήδεια, Θεόδωρόν φαμεν τὸν γενόμενον τῆς Φαρὰν ἐπίσκοπον, Σέργιον, Πύρρον, Παῦλον, Πέτρον τοὺς γενομένους προέδρους τῆς βασιλευούσης ταύτης πόλεως· ἔτι δὲ καὶ Ὀνώριον τὸν γενόμενον πάπαν τῆς πρεσβυτέρας Ρώμης, Κῦρον τὸν Ἀλεξανδρείας ἐπισκοπήσαντα, Μακάριόν τε τὸν Ἀντιοχείας προσεχῶς γενόμενον πρόεδρον, καὶ Στέφανον τὸν τούτου μαθητήν, οὐκ ἤρκεσε δὲ αὐτῆ τῆ τῆς ἐκκλησίας πληρώματι τῆς πλάνης ἐπεγείρειν τὰ σκάνδαλα, ἑνὸς θελήματος, ἢ μιᾶς ἐνεργείας ἐπὶ τῆ δύο φύσεων τὸν ἕνα τῆς ἁγίας Τριάδος Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν τῆ ὀρθοδόξῳ λαῷ καμνοφώνως ἐνσπείρας τὴν αἵρεσιν, τῆ Ἀπολιναρείου, Σεβήρου, καὶ Θεμιστίου τῆ δυσσεβῶν φρενοβλαβεῖ κακοδοξίᾳ συναδύσαν, καὶ τὸ τέλειον τῆς ἐνανθρωπήσεως τοῦ αὐτοῦ ἑνὸς κυρίου Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀνελεῖν ὀλοτρόπως δολερᾶς ἐπινοίας σπουδάσασαν, ἀθέλητον ἐντεῦθεν καὶ ἀνενέργητον τὴν νοερῶς ἐψυχωμένην αὐτοῦ σάρκα δυσφήμως εἰσάγουσαν. ἐξήγειρε τοίνυν Χριστὸς ὁ Θεὸς ἡμῶν τὸν πιστὸν βασιλέα τὸν νέον Δαυὶδ, ἄνδρα κατὰ τὴν ἑαυτοῦ καρδίαν διρηκώς· ὃς οὐκ ἔδωκε, κατὰ τὸ γεγραμμένον, ὕπνον τοῖς ὀφθαλμοῖς αὐτοῦ, καὶ τοῖς βλεφάροις αὐτοῦ νυσταγμὸν, ἕως ὅτου ὀλοτρόπως τῆς καθ' ἡμᾶς θεοσυλλέκτου ταύτης καὶ ἱερᾶς ὁμηγύρεως τὸ τῆς ὀρθοδοξίας ἤνυσε τέλειον κήρυγμα. κατὰ γὰρ τὴν θεόλεκτον φωνὴν, ὅπου εἰσὶ δύο ἢ τρεῖς ἐπὶ τῷ ἐμῷ ὀνόματι συνηγμένοι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν· ἤτις παροῦσα ἁγία καὶ οἰκουμενικὴ σύνοδος πιστῶς δεξαμένη ἐν ὑστάταις χρόνοις ἀσπασαμένη τούτου τὴν ἁγιωτάτην καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Ἀγάθωνος γενομένην ἀναφορὰν πρὸς τὸν εὐσεβέστατον καὶ πιστότατον ἡμῶν βασιλέα Κωνσταντῖνον, τὴν ἀποκαλουμένην ὀνομαστὶ τοὺς κηρύξαντας, καὶ διδάξαντα, ὡς προδεδήλωται, ἓν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν· ὡσαύτως δὲ προσηκαμένη καὶ τὴν ἐκ τῆς ὑπὸ τὸν αὐτὸν ἁγιώτατον πάπαν ἱερᾶς συνόδου τῆ ἑκατὸν εἴκοσι πέντε θεοφιλῶν ἐπισκόπων ἑτέραν συνοδικὴν ἀναφορὰν πρὸς τὴν αὐτοῦ θεόσοφον γαλήνιότητα, οἵατε συμφωνήσας τῆ τε ἁγίᾳ ἐν Χαλκηδόνι συνόδῳ, καὶ τῷ τόμῳ τοῦ πανιέρου καὶ μακαριωτάτου πάπα τῆς αὐτῆς πρεσβυτέρας Ρώμης Λέοντος, τῷ σταλέντι πρὸς Φλαυιανὸν τὸν ἐν ἁγίοις· ὃν καὶ σήμερον ὀρθοδοξίας ἡ τοιαύτη συνόδος ἀπεκάλεσεν. ἔτι μὴν καὶ ταῖς συνοδικαῖς ἐπιστολαῖς ταῖς γραφείσαις παρὰ τοῦ μακαρίου Κυρίλλου κατὰ Νεστορίου τοῦ δυσσεβοῦς, καὶ πρὸς τοὺς τῆς ἀνατολῆς ἐπισκόπους ἑπομένη ταῖς τε ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις, καὶ τοῖς ἁγίοις καὶ ἐκλεκτοῖς πατράσι, καὶ συμφώνως ὁμολογοῦσα ὁμολογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν τὸν Υἱὸν τῆς ἁγίας ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος τέλειον ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτὸν ἐκ ψυχῆς λογικῆς καὶ σώματος· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα· κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας· τὸν πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ πνεύματος ἁγίου, καὶ Μαρίας τῆς παρθένου τῆς κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκου κατὰ τὴν ἀνθρωπότητα. ἕνα καὶ τὸν αὐτὸν Χριστὸν υἱὸν κύριον μονογενῆ ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον. οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνηρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης. οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν υἱὸν μονογενῆ θεὸν λόγον κύριον Ἰησοῦν Χριστὸν, καθάπερ ἄνωθεν οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς ὁ Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν ἁγίων πατέρων ἡμῖν παραδέδωκε σύμβολον· καὶ δύο φυσικὰς θελήσεις, ἤτοι θελήματι ἐν αὐτῷ, καὶ δύο φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως κατὰ τὴν τῶν ἁγίων πατέρων διδασκαλίαν ὡσαύτως κηρύττομεν. καὶ δύο μὲν φυσικὰ θελήματι οὐχ ὑπεναντία, μὴ γένοιτο, καθὼς οἱ ἀσεβεῖς ἔφησαν αἱρετικοὶ, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, καὶ μὴ ἀντιπίπτον, ἢ ἀντιπαλαῖον, μᾶλλον μὲν ὂν καὶ ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι. ἔδει γὰρ τὸ τῆς σαρκὸς θέλημα κινηθῆναι, ὑποταγῆναι δὲ τῷ θελήματι τῷ θείῳ κατὰ τὸν πάνσοφον Ἀθανάσιον· ὥσπερ γὰρ ἡ αὐτοῦ σάρξ, σάρξ τοῦ Θεοῦ λόγου λέγεται καὶ ἔστιν, οὕτω καὶ τὸ φυσικὸν τῆς σαρκὸς αὐτοῦ θέλημα ἴδιον τοῦ Θεοῦ λόγου λέγεται καὶ ἔστι, καθάφησιν αὐτός· ὅτι κατέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός, ἴδιον λέγων θέλημα αὐτοῦ τὸ τῆς σαρκὸς, ἐπεὶ καὶ ἡ σάρξ ἰδία αὐτοῦ γέγονεν· ὃν γὰρ τρόπον ἡ παναγία καὶ ἄμωμος ἐψυχωμένη αὐτοῦ σὰρξ θεωθεῖσα οὐκ ἀνῃρέθη, ἀλλ' ἐν τῷ ἰδίῳ αὐτῆς ὅρῳ τε καὶ λόγῳ διέμεινεν, οὕτω καὶ τὸ ἀνθρώπινον αὐτοῦ θέλημα θεωθὲν οὐκ ἀνῃρέθη, σέσωσται δὲ μᾶλλον κατὰ τὸν θεολόγον Γρηγόριον λέγοντα· τὸ γὰρ ἐκείνου θέλειν τοῦ κατὰ τὸν σωτῆρα νομοῦ οὐδὲ ὑπεναντίον Θεῷ

Πραξ. 13. Ψαλ. 88.

Ψαλ. 131.

Ματθ. 4.

Ἰωάν. 6.

θεωθῇ ὅλον. δύο δὲ φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀῤῥέπτως, ἀμερίστως, ἀσυγχύτως ἐν αὐτῷ τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν δοξάζομεν, τουτέστι θείαν ἐνέργειαν, καὶ ἀνθρωπίνην ἐνέργειαν κατὰ τὸν θεηγόρον Λέοντα ξανέστατα φάσκοντα· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο, ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος. ὁ γὰρ δήπου μίαν δώσομεν φυσικὴν τινὰ ἐνέργειαν Θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ὑξαίρετον εἰς τὸν τοῖς γηΐνοις πρέποντα καταγάγωμεν τόπον· οἷός γὰρ καὶ τοῦ αὐτοῦ τάτε θαύματα καὶ τὰ πάθη γινώσκομεν κατ' ἄλλο καὶ ἄλλο τῆς ὑξ ὧν ἐστι, φύσεων, καὶ ἐν αἷς τὸ εἶναι ἔχει, ὡς ὁ θεσπέσιος ἔφησε Κύριλλος· πάντοθεν γοῦν τὸ ἀσύγχυτον καὶ ἀδιαίρετον φυλάττοντες σωτῆρι φωνῇ τὸ πᾶν ὑξαγγέλλομεν· οὗτος τῆς ἁγίας Τριάδος καὶ μετὰ σάρκωσιν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν εἶναι πιστεύοντες, φαμὲν δύο αὐτοῦ τὰς φύσεις ἐν τῇ μιᾷ αὐτοῦ ὑποστάσει ἐκλαμπούσας ἀσυγχύτως, ἐν ᾗ τάτε θαύμασι, καὶ τὰ παθήματα δι' ὅλης αὐτοῦ τῆς οἰκονομικῆς ἀναστροφῆς οὐ κατὰ φαντασίαν, ἀλλὰ ἀληθῶς ἐπεδείξατο, τῆς φυσικῆς ἐν αὐτῷ τῇ μιᾷ ὑποστάσει διαφορᾶς γνωριζομένης τῷ μετὰ τῆς θατέρου κοινωνίας ἑκατέραν φύσιν θέλειν τε καὶ ἐνεργεῖν τὰ ἴδια· καθ' ὃν δὴ λόγον καὶ δύο φυσικὰ θελήματά τε καὶ ἐνεργείας δοξάζομεν πρὸς σωτηρίαν τοῦ ἀνθρωπίνου γένους καταλλήλως σωζέχοντα. τούτων τοίνυν μετὰ πάσης πανταχόθεν ἀκριβείας τε, καὶ ἐμμελείας παρ' ἡμῶν διατυπωθέντων, οἰόμεθα ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ γράφειν συγγράφειν, ἢ σωτιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως. τοὺς δὲ τολμῶντας ἢ σωτιθέναι πίστιν ἑτέραν, ἢ προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι ἕτερον σύμβολον τοῖς ἐθέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ὑξ Ἑλληνισμοῦ, ἢ ὑξ Ἰουδαϊσμοῦ, ἢ γοῦν ὑξ αἱρέσεως οἱασοῦν, ἢ καινοφωνίαν, ἤτοι λέξεως ἐφεύρεσιν πρὸς ἀναξοπλίαν εἰσάγειν τῆς νυνὶ παρ' ἡμῶν διορισθέντων· τούτους εἰ μὲν ἐπίσκοποι εἶεν, ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου. εἰ δὲ μοναζοντες εἶεν, ἢ λαϊκοί, ἀναθεματίζεσθαι αὐτούς.

ΑΙ ΥΠΟΓΡΑΦΑΙ.

Θεόδωρος ἐλάχιστος πρεσβύτερος τῆς ἁγίας ἐκκλησίας Ῥώμης, καὶ τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ῥώμης ὑπέγρ.

Γεώργιος ἐλάχιστος πρεσβύτ. τῆς ἁγίας ἐκκλησίας Ῥώμης καὶ τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ῥώμης ὑπέγρ.

Ἰωάννης ἐλάχιστος διάκονος τῆς ἁγίας ἐκκλησίας Ῥώμης, καὶ τὸν τόπον ἐπέχων Ἀγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ῥώμης ὑπέγρ.

Γεώργιος ἐλέῳ Θεοῦ ἐπίσκ. Κωνσταντινουπόλεως νέας Ῥώμης ὡρίσας ὑπέγρ.

Πέτρος πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ὑπέγρ.

Θεοφάνης ἐλέῳ Θεοῦ ἐπίσκ. Θεουπόλεως ἤτοι Ἀντιοχείας ὡρίσας ὑπέγρ.

Γεώργιος ἐλάχιστος πρεσβύτερος ἐπέχων τὸν τόπον Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ τοῦ ἀποστολικοῦ θρόνου τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως Ἱεροσολύμων ὑπέγραψα.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. Θεσσαλονίκης καὶ Βικάριος τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης, καὶ λεγατάριος ὡρίσας ὑπέγρ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. πόλεως Τεμιθύντων τῆς Κυπρίων νήσου, καὶ τὸν τόπον ἐπέχων Ἐπιφανίου τοῦ ἁγιωτάτου ἀρχιεπισκ. ὡρίσας ὑπέγρ.

Θεόδωρος ἐλάχιστος πρεσβύτερος, καὶ τὸν τόπον ἐπέχων Θεοδώρου τοῦ μακαριωτάτου ἀρχιεπισκ. τῆς Ῥαβεννησίων πόλεως ὑπέγρ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Πόρτου, καὶ λεγάτος πάσης τῆς συνόδου τῆς ἁγίας καὶ ἀποστολικῆς ἐκκλησίας τοῦ ἀποστολικοῦ θρόνου πόλεως Ῥώμης ὡρίσας ὑπέγρ.

Στέφανος ἐλέῳ Θεοῦ ἐπίσκ. Κορίνθου, καὶ λεγάτος τοῦ ἀποστολικοῦ θρόνου Ῥώμης ὡρίσας ὑπέγρ.

Βασίλειος ἐλέῳ Θεοῦ ἐπίσκ. μητροπόλεως Γορτυνίας τῆς Κρητῶν νήσου, καὶ λεγάτος τῆς ἁγίας συνόδου τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ὁρίσας ὑπέγρ.

Ἀβουνδάντιος ἐπίσκ. Τεμψάνης, καὶ ἀποκρισιάριος πάσης τῆς συνόδου τοῦ ἁγίου ἀποστολικοῦ θρόνου πόλεως Ῥώμης ὁρίσας ὑπέγρ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. πόλεως τοῦ Ῥηγίου, καὶ ἀποκρισιάριος πάσης τῆς συνόδου τοῦ ἁγίου ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ὡρίσας ὑπέγρ.

Φιλαλήθης ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Καισαρέων μητροπόλεως τῆς πρώτης τῆς Καππαδόκων ἐπαρχίας, καὶ ἔξαρχος τῆς Ποντικῆς διοικήσεως ὁρίσας ὑπέγρ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἐφεσίων μητροπόλεως, καὶ ἔξαρχος τῆς Ἀσιανῆς διοικήσεως ὁρίσας ὑπέγρ.

Σισίννιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἡρακλεοτῶν μητροπόλεως τῆς Εὐρωπιανῶν ἐπαρχίας ὁρίσας ὑπέγρ.

Πλάτων ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἀγκυρανῶν μητροπόλεως τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὡρίσας ὑπέγρ.

Γεώργιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Κυζικηνῶν μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὡρίσας ὑπέγρ.

Μαΐνος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Σάρδεων μη-

ξοπόλεως τῆς Λυδῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Πέτρος ἀνάξιος ἐπίσκ. τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Φώτιος ἐλάχιστος ἐπίσκ. τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς Χαλκηδονέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σιδητῶν μητροπόλεως τῆς Παμφυλίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωσὴφ ἐλάχιστος ἐπίσκ. τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας τῶν Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς Ἀμασέων μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεοδόσιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Μελιτινῶν μητροπόλεως τῆς πρώτης τῶν Ἀρμενίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἀλύπιος ἐλάχιστος ἐπίσκ. τῆς Γαγγρηνῶν μητροπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁρίσας ὑπέγ.

Κυπριανὸς ἐλέῳ θεῦ ἐπίσκ. τῆς Κλαυδιουπολιτῶν μητροπόλεως τῆς Ὀνωρειτῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλάχιστος ἐπίσκ. τῆς Πισινουντίων μητροπόλεως τῆς δευτέρας τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Πολύδικτος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Μυρέων μητροπόλεως τῆς Λυκίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σταυρουπολιτῶν μητροπόλεως τῆς Καρῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Τιβέριος ἐλάχιστος ἐπίσκ. τῆς Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Κοσμᾶς ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σωναδέων μητροπόλεως τῆς Φρυγῶν Σαλουταρίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Κωνσταντῖνος ἐλάχιστος ἐπίσκ. τῆς Βαρατέων μητροπόλεως τῆς Λυκαόνων ἐπαρχίας, ἡγὴ τὸν τόπον ἀναπληρῶν Παύλου ἐπισκ. τοῦ Ἰκονίου ὁρίσας ὑπέγ.

Στέφανος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Περγέων μητροπόλεως τῆς Παμφυλίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόπεμπτος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Κουστινιανουπολιτῶν, ἤτοι Μωκισσιωῶν φιλοχρίστου μητροπόλεως τῆς δευτέρας τῶν Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰσίδωρος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ῥοδίων μητροπόλεως τῶν Κυκλάδων νήσων ὁρίσας ὑπέγραψα.

Σισίννιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἱεραπολιτῶν μητροπόλεως τῆς Φρυγῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ταρσέων μητροπόλεως τῆς πρώτης τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέφανος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἀναζαρβέων μητροπόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Μακρόβιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σελευκέων μητροπόλεως τῆς Ἰσαύρων χώρας ὁρίσας ὑπέγρ.

Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. Ἀθλωῶν, καὶ λιγάτος τῆς ἁγίας συνόδου τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ῥώμης ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σοβέων πόλεως ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τοῦ Ἄργους ὁρίσας ὑπέγ.

Θεοδόσιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Λακεδαιμονίων πόλεως ὁρίσας ὑπέγ.

Γρηγόριος ἐλέῳ θεῦ ἐπίσκ. Καντάνου τῆς Κρητῶν νήσου ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Βιζυηνῶν πόλεως τῆς Θρᾴκων χώρας ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ θεῦ ἐπίσκ. Πομπηϊουπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μιλησίων πόλεως τῆς Καρῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ζαχαρίας ἐλέῳ θεῦ ἐπίσκ. τῆς Λεοντοπολιτῶν πόλεως τῆς Ἰσαύρων χώρας ὑπέγ.

Γρηγόριος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Μιτυληναίων πόλεως τῆς Λεσβίων νήσου ὁρίσας ὑπέγραψα.

Σέργιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σηλυβριανῶν πόλεως τῆς Εὐρωπαίων ἐπαρχίας ὁρίσας ὑπέγραψα,

Ἀνδρέας ἐλέῳ θεῦ ἐπίσκ. τῆς Μεθυμναίων πόλεως τῆς Λεσβίων νήσου ὁρίσας ὑπέγραψα.

Θεόγνιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Κιανῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . .

Ἀλέξανδρος ἐλέῳ θεῦ ἐπίσκ. Κωτράδων ὁρίσας ὑπέγ.

Ἐπιφάνιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Εὐχαϊτινῶν πόλεως τῆς Ἑλλησποντίων χώρας ὁρίσας ὑπέγρ.

Πέτρος ἐλέῳ θεῦ ἐπίσκ. Σωζοπόλεως Θρᾴκης ὁρίσας ὑπέγ.

. . . . . .
. . . . . .
Στρατόνικ☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σολέων πόλεως τῆς Κυπρίων νήσου ὁρίσας ὑπέγραψα.
Τύχων ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Κιτίου τῆς Κυπρίων νήσου ὁρίσας ὑπέγ.
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Νυσαέων πόλεως τῆς πρώτης τῆς Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.
. . . . . .
. . . . . .
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Θερμιωῶν πόλεως τῆς πρώτης τῆς Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.
Γεώργ☉ χάριτι θεῦ ἐπίσκ. τῆς Καμυλιανῶν πόλεως τῆς πρώτης τῆς Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἰουστινιανουπολιτῶν πόλεως, ἤγουν τοῦ κλίματος Ἐκκλεζιηνῆς ὁρίσας ὑπέγ.
Γεώργ☉ ἐλέῳ θεῦ ἐπίσκ. τοῦ κλίματος Δαρανάλεως τῆς μεγάλης Ἀρμηνίας. ὁρίσας ὑπέγ.
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. Λάππης τῆς Κρητῶν νήσου ὁρίσας ὑπέγ.
Ζώητος ἐλέῳ θεῦ ἐπίσκ. Χερσονήσου, ἤτοι Διὸς ἱερᾶς τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Περγαμιωῶν πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Μασαυριωῶν πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἀδραμυτιωῶν πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Πατρίκ☉ ἐλέῳ Θεῦ ἐπίσκ. τῆς Μαγνήτων περὶ Μαίανδρον πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Ἀντώνι☉ ἐλέῳ θεῦ ἐπίσκ. Ἰῆς Τριπιωλιωῶν πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἀνεαῖς πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Σισίννι☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Νυσαέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Ῥηγῖν☉ ἐλέῳ θεῦ ἐπίσκ. τοῦ Πανίου τῆς Θρακῶν χώρας ὁρίσας ὑπέγ.
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἡρακλειουπολιτῶν πόλεως τῆς δευτέρας τῆς Ἀρμηνίων ἐπαρχίας ὁρίσας ὑπέγ.
Μαρτύρι☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἰουλιουπολιτῶν πόλεως τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Μιχαὴλ ἐλέῳ θεῷ ἐπίσκ. Ἀσπονιτῶν πόλεως τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Πλάτων ἐλέῳ θεοῦ ἐπίσκ. Κιννιωῶν πόλεως τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Ἀνδρέας ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Μνίζου τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.
Γενέσι☉ ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἀνασασιουπολιτῶν πόλεως, τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Στέφαν☉ ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Βηρινουπολιτῶν πόλεως τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Μιλητουπολιτῶν πόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.
Μερκούρι☉ ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Ποιμανικοῦ τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγρ.
Δομέτι☉ ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Πρυμνήσου τῆς Φρυγῶν Σαλουταρίων ἐπαρχίας ὁρίσας ὑπέγ.
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Ἰβάρων ὁρίσας ὑπέγ.
Κύριλλ☉ ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Ἀδρανίας ὁρίσας ὑπέγ.
Ἀνδρέας ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Συλάνδου τῆς Λυδῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Φιλαδελφέων πόλεως ὁμοίως ὑπέγ.
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Σίτων ἐπαρχίας Λυδίας ὁμοίως ὑπέγ.
Θεόδοτ☉ ἐλέῳ θεῦ ἐπίσκ. πόλεως Δάλδης ὁρίσας ὑπέγ.
. . . . . .
. . . . . .
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς * Δασκυλεόντων πόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.
* ἴσ. Δασκυλειωτία.
Ἰωάννης ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἀδριανῶν πόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγρ.
. . . . . .
. . . . . .
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκοπ☉ τῆς Πραινετίων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Γεώργι☉ ἐλέῳ θεῦ ἐπίσκ. Καδοσίας Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Στέφαν☉ ἐλέῳ θεῦ ἐπίσκοπ☉ τῆς Καισαρέων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Ἀνασάσι☉ ἐλέῳ θεῦ ἐπίσκοπ☉ τῆς Θεοτιμιανῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.
Θεόδωρ☉ ἐλέῳ θεῦ ἐπίσκ. νέας Ἰουστινιανουπόλεως, ἤτοι Μέλης τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Μη-

Μιωᾶς ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Καραλλέων πόλεως τῆς Παμφυλίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Κοσμᾶς ἐλέῳ Θεοῦ ἐπίσκοπος πόλεως Καντάνων τῆς Παμφυλίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Νικήτιος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως τῶ Κορακησίω ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Βερίσσης Ἀρμβυίας ὁρίσας ὑπέγ.

Καλλίνικος ἐλέῳ Θεῷ ἐπίσκ. Κολωνείας Ἀρμβυίας ὁρίσας ὑπέγ.

Τιμόθεος ἐλέῳ Θεοῦ ἐπίσκοπος Ἀμισοῦ τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Σέργιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Σινώπης τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

. . . . . .
. . . . . .
. . . . .
. . . . . .
. . .

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. τῆς Ἀνδραπλωῶν πόλεως ὁρίσας ὑπέγ.

Γρηγόριος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Ἀρκῆς τῆς πρώτης τῆς Ἀρμβυίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. τῆς Φωσινουπολιτῶν πόλεως τῆς δευτέρας τῆς Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Εἰρηναρχος ἐλέῳ Θεῷ διάκονος τῆς ἐν Ἀμάσρη ἁγίας τῶ Θεῷ ἐκκλησίας, καὶ τὸν τόπον ἀναπληρῶν Κομιτᾶ τῶ ἁγιωτάτω μου ἐπισκόπου ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῷ ἐπίσκ. Ἰωνοπόλεως ὁρίσας ὑπέγ.

Φωκᾶς ἐλέῳ Θεῷ ἐπίσκ. Δαδύβρων ὁρίσας ὑπέγραψα.

Πλάτων ἐλέῳ Θεῷ ἐπίσκ. Ἀδριανουπόλεως Ὀνωριάδος ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῷ ἐπίσκ. Κρατίας Ὀνωριάδος ὁρίσας ὑπέγ.

Δωμέτιος ἐλέῳ Θεῷ ἐπίσκ. τῆς Πρυσιάδων πόλεως ὁρίσας ὑπέγ.

Στέφανος ἐλέῳ Θεῷ ἐπίσκ. Ἡρακλείας Πόντου ὁρίσας ὑπέγ.

Λογγῖνος ἐλέῳ Θεῷ ἐπίσκοπος Τίου ὁρίσας ὑπέγραψα.

Ἀνασάσιος χάριτι Χριστῶ ἐπίσκ. τῶ Πολεμωνίου ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. Κωμάνων ὁρίσας ὑπέγραψα.

Θεοφύλακτος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Κερασοῦντος ὁρίσας ὑπέγ.

Σολομὼν ἐλέῳ Θεοῦ ἐπίσκ. Κλανέου ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεῷ ἐπίσκ. τῶ Ἀμωρίου ὁρίσας ὑπέγ.

Ζήμαρχος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Σιδύμων ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Οἰνιάνδου ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Ἐρίζων ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Μιλάδων ὁρίσας ὑπέγ.

Παξίκιος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Ἰλέζων ὁρίσας ὑπέγ.

Πέτρος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Ἀππίας ὁρίσας ὑπέγ.

Κύριλλος ἐλέῳ Θεῷ ἐπίσκ. Ἀγκύρας Φρυγίας ὁρίσας ὑπέγ.

Ἀλέξανδρος ἐλέῳ Θεῷ ἐπίσκ. Νακωλείας ὁρίσας ὑπέγ.

Παῦλος ἐλέῳ Θεοῦ ἐπίσκ. Σωζοπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Μαρῖνος ἐλάχιστος ἐπίσκ. τῶ Φιλομηλίου ὁρίσας ὑπέγ.

Κωνσταντῖνος ἐλάχιστος ἐπίσκ. Τιβεριάδων ὁρίσας ὑπέγ.

Πλάτων ἐλάχιστος ἐπίσκ. πόλεως Μαγίδων ὁρίσας ὑπέγ.

Πλουσιανὸς ἐλέῳ Θεῷ ἐπίσκ. τῶ Συλλέου ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Ναζιανζῶ ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Δοάρων ὁρίσας ὑπέγ.

Δημήτριος ἐλέῳ Θεῷ ἐπίσκ. νήσου Τίου ὁρίσας ὑπέγ.

Στέφανος ἐλέῳ Θεῷ ἐπίσκ. νήσου Πάρου ὁρίσας ὑπέγ.

Εὐτύχιος ἐλάχιστος ἐπίσκ. νήσου Μήλου ὁρίσας ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκ. νήσου Θήρας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Κωρύκου ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεῷ ἐπίσκ. πόλεως Ἀδάνων ὁρίσας ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκ. πόλεως Φλαβιάδος ὁρίσας ὑπέγ.

Εὐλάλιος ἐλέῳ Θεῷ ἐπίσκ. Ζωωνοπόλεως Ἰσαυρίας ὁρίσας ὑπέγ.

Κωνσταντῖνος ἐλάχιστος ἐπίσκ. πόλεως Δαλισανδῶ ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεῷ ἐπίσκ. τῆς Ὀλβέων πόλεως ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῷ ἐπίσκ. τῆς Κώων νήσου ὁρίσας ὑπέγ.

Θεοδόσιος ἐλάχιστος ἐπίσκ. τῆς Ψιβήλων πόλεως τῆς Λυκαονίας ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῷ ἐπίσκ. Χίου τῆς νήσου ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῷ ἐπίσκ. Ναξίας τῆς νήσου ὁρίσας ὑπέγ.

Κωνσταντῖνος ἐλέῳ Θεῷ ἐπίσκ. Λαμψάκου ὁρίσας ὑπέγ.

Κοσμᾶς ἀνάξιος ἐπίσκ. τῆς Κοτιανῶν πόλεως ὁρίσας ὑπέγ.

Πο-

Πολυχρόνιος ἐλέῳ θεῦ ἐπίσκοπος τῆς Θεσπολιτῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ. διὰ Θεοδοσίου τοῦ ἁγιωτάτου πρεσβυτέρου τῆς κατ' ἐμὲ ἁγιωτάτης ἐκκλησίας.

Πέτρος χάριτι Χριστοῦ ἐπίσκ. τῆς Μεσημβριῶν πόλεως τῆς Αἰμιμοντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Πέτρος ἀνάξιος ἐπίσκ. τῆς Σωζοπολιτῶν πόλεως τῆς Αἰμιμοντίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Τραπεζουντίων πόλεως ὁρίσας ὑπέγ.

Λεόντιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἑλευθερουπολιτῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Θεοδόσιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Σεβαστουπόλεως μητροπόλεως τῆς δευτέρας τῆς Ἀρμενίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Σιλουανὸς ἐλέῳ θεῦ ἐπίσκ. τῆς Λημνίων νήσου ὁρίσας ὑπέγ.

Γεώργιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Ἀβυδηνῶν πόλεως ὁρίσας ὑπέγ.

Ἀνδρέας ἐλέῳ θεῦ ἐπίσκ. τῆς Νεαπολιτῶν πόλεως τῆς Καρῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα διὰ Θεοδώρου τοῦ ἐμοῦ μητροπολίτου διὰ τοῦ συνέχουσάν με τῆς ὀμμάτων στέρησιν.

Γεώργιος ἐλέῳ θεῦ ἐπίσκ. τῆς Καρπαθίων νήσου ὁρίσας ὑπέγ.

Δαβὶδ ἐλάχιστος διάκονος τῆς ἐν Βοσπόρῳ ἁγιωτάτης ἐκκλησίας, καὶ τὸν τόπον ἐπέχων Ἀνδρέου τοῦ ὁσιωτάτου μου ἐπισκόπου ὑπέγραψα.

. . . . . .
. . . . . .
. . . . . .
. . . .

Κυπρίανος ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ἀλάρεως νήσου Σαρδινίας ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεῦ ἐπίσκ. Αὐρηλιουπόλεως ὁρίσας ὑπέγ.

Ἡ ὑπογραφὴ τοῦ ἁσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου.

Κωνσταντῖνος ἐν Χριστῷ τῷ θεῷ βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ἀνέγνωμεν καὶ σωμνέσαμεν.

Κωνσταντῖνος ὁ ἁσεβέστατος βασιλεὺς εἶπε· λεγέτω ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, εἰ κατὰ συναίνεσιν πάντων τῶν ὁσιωτάτων ἐπισκόπων ὁ ἐπὶ τοῦ παρόντος ἀναγνωσθεὶς ὅρος ἐξεφωνήθη.

Ἡ ἁγία σύνοδος ἐξεβόησε· πάντες οὕτω πιστεύομεν, μία πίστις. πάντες οὕτω φρονοῦμεν· πάντες συναινέσαντες, καὶ ἀσπασάμενοι ὑπεγράψαμεν. ὀρθοδόξως πάντες πιστεύομεν. αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τὰς τελειότητας τῶν δύο φύσεων Χριστὸς τὸν Θεὸν ἡμῶν σὺ ἐξάνωσας. τὸν φωσφόρα τῆς εἰρήνης κύριε φύλαξον. Μαρκιανῷ νέῳ Κωνσταντίνῳ αἰωνία ἡ μνήμη. νέῳ Ἰουστινιανῷ Κωνσταντίνῳ αἰωνία ἡ μνήμη. ὅλους τοὺς αἱρετικοὺς σὺ ἐδίωξας. τὸν καθολόντα τοὺς αἱρετικοὺς κύριε φύλαξον. τοὺς ἀναιρουμένους καὶ συγχέοντας σὺ ἐδίωξας. ἀπέσω φθόνος τῆς βασιλείας ὑμῶν. ὁ θεὸς φυλάξῃ τὸ κράτος ὑμῶν· ὁ θεὸς τιμὴ βασιλείαν ὑμῶν εἰρηνεύσῃ. ἡ ὑμετέρα ζωὴ τῶν ὀρθοδόξων ζωή· μάκρυνε βασιλεῦ τὸν ἐπίγειον φύλαξον. ἁγία σου οἰκουμενικὴ ἐκκλησία εἰρήνευσε. Νεστορίῳ καὶ Εὐτυχεῖ, καὶ Διοσκόρῳ ἀνάθεμα. Ἀπολιναρίῳ, καὶ Σεβήρῳ ἀνάθεμα. τοῖς ὁμόφροσιν αὐτῶν ἀνάθεμα. Θεοδώρῳ τῷ τῆς Φαρὰν ἀνάθεμα. Σεργίῳ, καὶ Ὀνωρίῳ ἀνάθεμα. Πύρρῳ, καὶ Παύλῳ ἀνάθεμα. Κύρῳ, καὶ Πέτρῳ ἀνάθεμα. Μακαρίῳ, καὶ Στεφάνῳ, καὶ Πολυχρονίῳ ἀνάθεμα. ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα τοῖς κηρύξασι, καὶ κηρύττουσι καὶ μέλλουσι διδάσκειν ἢ θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἀνάθεμα.

Κωνσταντῖνος ὁ ἁσεβέστατος βασιλεὺς εἶπε· τὸν θεὸν μάρτυρα προφέρομαι τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ὑμῶν συνόδῳ, ὡς χωρὶς οἱασδήποτε προσπαθείας, ἢ ἀντιπαθείας πρώτη ἐπιθυμία καὶ ζῆλος καθέστηκεν ἡμῶν τοῦ ἀδιάβλητον εἶναι τιμὴ ἀμώμητον ἡμῶν τῶν Χριστιανῶν πίστιν, καὶ ἐν σαθρότητι ἡμᾶς αὐτοὺς παραφυλάττειν ἐν ὀνόματι τοῦ θεοῦ κατὰ τιμὴ διδασκαλίαν, καὶ παράδοσιν τιμὴ παραδοθεῖσαν ἡμῖν διὰ τοῦ εὐαγγελίου, καὶ τῶν ἁγίων ἀποστόλων, καὶ διὰ τῶν ἐνθέσεων τῶν ἁγίων πέντε οἰκουμενικῶν συνόδων, ἔτι τῶν ἁγίων ἐνκρίτων πατέρων. καὶ ὑ μικρῶς ἡμᾶς συνῴθει ἡ περὶ τούτου ἐπιθυμία, ἐξότου κατὰ κέλευσιν τοῦ Θεοῦ ἡμῶν αὐθεντῶς ἐπελαβόμεθα τοῦ θρόνου τῆς βασιλείας ἡμῶν. ὅτε ἂν ηὐδόκησεν ὁ θεὸς ἡμερὰν παραχέσθαι, προεξεφάμεθα χαίρεσθαι τιμὴ συνάθροισιν ὑμῶν πρὸς τὸ κανονίζοντας ὑμᾶς τὰς ἁγίας τοῦ θεοῦ γραφὰς, πᾶσαν ἡμονφωνίαν ἢ ἡμνοτομίαν προσαφθεῖσαν τῇ ἀμωμήτῳ ἡμῶν τῆς Χριστιανῶν πίστει ἐν τοῖς προσεχέσι τούτοις χρόνοις ὑπὸ τινων κακοδόξων ἐξωθῆσαι, καὶ καθαρωτάτῃ ἡμῖν αὐτιμὴ παραδοῦναι, καθὼς προείρηται, ὡς πρὸς τὰς ἁγίας καὶ οἰκουμενικὰς πέντε συνόδους, ἔτι τὰς ἐνθέσεις τῶν ἁγίων ἐνκρίτων πατέρων, εἰς τὸ ὕστερος ἡμᾶς αὖθις παραφυλάττειν μέχρι θανάτου. ἐκεῖ γὰρ δικασόμεθα ὑμῖν ἐν τῷ φοβερῷ βήματι τοῦ θεοῦ, ὅτε μέλλει κρίνειν ζῶντας καὶ νεκροὺς, εἴπερ τι συγγινώσκετε παραλελειμμένον ἐν τῷ παρ' ὑμῶν ἐκτεθέντι ὅρῳ, ἢ καί τις ἐξ ὑμῶν ὡς εἰκὸς βούλεται εἰπεῖν· ὅπως διαδερομένου τοῦ προαγομένου παρά τινος ἐξ ὑμῶν λόγου πάντοθεν τὸ ἀκριβὲς χάριτι καὶ ἐπι-

ἐπιφοιτήσει τȣ̃ πνεύματος τȣ̃, ἁγίȣ ἐπιλαβέσθαι ἡμᾶς τῆς ἐκδοθείσης ἡμῖν ἁγίας τε καὶ ἀμωμήτȣ πίστεως ἀπό τε τῶν ἁγίων ἀποστόλων καὶ μαθητῶν τȣ̃ κυρίȣ καὶ σωτῆρος ἡμῶν Ἰησȣ̃ Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ θεȣ̃ ἡμῶν, καὶ τῶν καθεξῆς εὑρεθέντων ἐκκρίτων πατέρων, καὶ τῶν ἁγίων πέντε οἰκȣμενικῶν συνόδων. ὅπως ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ πᾶσαι αἱ ἐκκλησίαι τȣ̃ θεȣ̃ ὕμνον ἀναπέμπωσιν ἐπὶ τῆς βασιλείας ἡμῶν τῷ πολυελέῳ ἡμῶν θεῷ ὀρθοτομȣ̃σαι τὸν λόγον τῆς αὐτȣ̃ ἀληθείας, σβεσθείη δὲ πάσης αἱρετικῆς αὐθαδείας φρυαγματελείως παρὰ τῆς αὐτȣ̃ ἀγαθότητος.

Ἡ ἁγία σύνοδος ἐξεβόησε· πολλὰ τὰ ἔτη τȣ̃ βασιλέως. φιλοχρίστȣ βασιλέως πολλὰ τὰ ἔτη. τὸν εὐσεβῆ τῶν Χριστιανῶν βασιλέα κύριε φύλαξον. τὴν ὀρθοδοξίαν σὺ ἐστήριξας. ὁ ὅρος ὀρθόδοξος ἐστίν. τῷ ἀντιλέγοντι τῷ ὅρῳ ἀνάθεμα. ὁ ἀντιλέγων τῷ ὅρῳ αἱρετικός ἐστιν. ὁ ἀντιλέγων τῷ ὅρῳ διαιρετής ἐστι, ὁμὴ δεχόμενος τὸν ὅρον ἀπολλιναριστὴς ἐστίν. ὁ ἀντιλέγων τὸ ὅρῳ Νεστοριανὸς ἐστίν. ὁ μὴ δεχόμενος τὸν ὅρον Εὐτυχιανιστής ἐστιν. τοῖς Νεστοριανοῖς ἀνάθεμα. τοῖς Εὐτυχιανισταῖς ἀνάθεμα. τοῖς Απολλιναρισταῖς ἀνάθεμα. πάσαις ταῖς χριστομάχοις αἱρέσεσιν ἀνάθεμα. αἰωνία ἡ μνήμη τῷ βασιλεῖ. αἰώνιος διαμείνῃ ἡ ὑμῶν βασιλεία.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· εἰ καὶ πάντως ἡ ὑμῶν ὁσιότης τε καὶ εὐλάβεια κέκμηκεν ἔκ τε τῆς μακρόθεν ὁδοιπορίας, καὶ χρονίας ἐνταῦθα διατριβῆς, ἀλλ' οὖν χάριν ἐπάξιον μετὰ τὴν ἐκ τε τῆς ἄνω ῥοπῆς ἀντίδοσιν καὶ παρὰ τῆς ἡμῶν λήψεται βασιλείας· ὅτι πολλῶν πλανηθέντων περὶ τὴν ὀρθόδοξον πίστιν ἀναιρεθείσης τῆς διχονοίας εἰς μίαν καὶ τὴν αὐτὴν ὁ μολογίαν ὁμοφώνως πάντες συνήλθομεν, ἐλπίζοντες τὴν ἀληθῆ καὶ ταχίστην σωτηρίαν παρὰ τȣ̃ μεγαλοδώρȣ θεȣ̃, πρεσβείαις τῆς ἁγίας ἀχράντȣ θεοτόκȣ, καὶ τῆς ὑμῶν ἁγιότητος δέξασθαι.

Ἡ ἁγία σύνοδος εἶπεν· εὐσεβέστατε δέσποτα καὶ γαληνότατε, λόγον προσφωνητικὸν πρὸς τὸ θεοτίμητον ὑμῶν κράτος κατὰ τὸ εἰωθὸς συνετάξαμεν. καὶ εἰ παρίσταται τῇ εὐσεβείᾳ ὑμῶν, τȣ̃τον ἀναγνωσθῆναι κελεύσατε.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· ὁ παρὰ τῆς ἁγίας ὑμῶν συνόδȣ συνταγεὶς προσφωνητικὸς λόγος ἐπιδιδόσθω, καὶ ἀναγινωσκέσθω. καὶ ἐπεδόθη, καὶ ἀνεγνώσθη ἔχων ἐπὶ λέξεως ȣ̃τως.

Λόγος προσφωνητικὸς παρὰ τῆς ἁγίας, καὶ οἰκȣμενικῆς ἕκτης συνόδȣ πρὸς τὸν εὐσεβέστατον, καὶ φιλόχριστον βασιλέα Κωνσταντῖνον.

ΥΠΟ τῆς τȣ̃ παντὸς ποιητικῆς τε, καὶ συνεκτικῆς δεξιᾶς τὸ τῆς αὐτοκρατορικῆς ἐξȣσίας διάδημα κατ' ἀξίαν δεξάμενος φιλόχριστε βασιλεῦ, φιλανθρωπία καὶ ἡμερότητι, καὶ τῇ συμφύτῳ περὶ τὴν πίστιν εὐσεβείᾳ τε καὶ εὐθύτητι τὸν βασιλεύσαντά σε Θεὸν φιλεῖς ἀνταμείβεσθαι. τοιȣ́τοις γὰρ ἀντιδώροις οἶδας αὐτὸν ἐξιλάσκεσθαι, ὃις ἀγαπᾷ θεραπεύεσθαι. τίς δὲ θεῷ παρ' ὑμῶν φιλοτιμωτέρα δώρων προσένεξις, ἀλλ' ἢ τῆς πρὸς αὐτὸν ἀγάπης καὶ πίστεως ἡ διάπυρος ἔνδειξις, καὶ τῶν ἁγίων ἐκκλησιῶν ἡ δι' ὑμῶν εἰρηναία κατάστασις; διὸ καὶ μάλιστα πλείστȣς ἀγῶνας, μεδ' ȣ̃σπερ ἔχεις, ἐτέλεσας, τὴν ὁμογνωμοσύνην τῶν διεστώτων πραγματευόμενος. ὑμεῖς μὲν γὰρ διὰ Χριστȣ̃ χρηστῶς βασιλεύετε, Χριστὸς δὲ δι' ὑμῶν ἀγαπᾷ ταῖς ἐκκλησίαις αὐτȣ̃ τὴν εἰρήνην βραβεύεσθαι. αὐτὸς καὶ νῦν τὴν ὑμετέραν γαλήνην ἐξήγειρε, καὶ πρὸς τὸν τῆς ὀρθοδοξίας ζῆλον κεκίνηκεν, ὥστε τὴν οἰκȣμενικὴν ταύτην συγκαλέσασθαι σύνοδον· καὶ τὸ μὲν τῆς προσεχῶς φυείσης αἱρέσεως ἀνατρέψαι καινȣ́ργημα, τῆς ἀληθείας δὲ κυρῶσαι τὸ κήρυγμα; ἵνα τȣ́τȣ προβαίνοντος εὐσταθές τε καὶ ἀστασίαστον εἴη τῆς ἐκκλησίας τὸ σύστημα. οὐκ ἀνεκτὸν γὰρ ἡγήσασθε σοφώτατε βασιλεῦ, τὰ μὲν ἄλλα πρὸς ἑαυτȣ̀ς ὁμονοεῖν ἡμᾶς καὶ συμφέρεσθαι, περὶ αὐτὸ δὲ τῆς ζωῆς ἡμῶν τὸ κεφάλαιον ἑαυτῶν ἀποῤῥήγνυσθαί τε καὶ ἀποχίζεσθαι, καὶ ταῦτα μελῶν ἀλλήλων ὄντων ἡμῶν, καὶ τὸ ἓν σῶμα συνιστώντων Χριστȣ̃ διὰ τῆς πρὸς αὐτόν τε καὶ ἀλλήλȣς ὁμοδοξίας καὶ πίστεως. τί δὲ καὶ μάλιστα βασιλεῖ πρεπωδέστερον, ἢ πρὸ παντὸς εὐσεβείᾳ κατακοσμεῖν τὸ ὑπήκοον, δι' οὗ κἂν τοῖς ἄλλοις εὐδαιμονεῖ τὸ πολίτευμα; καὶ δὴ ταῖς θειοτάταις ὑμῶν προστάξεσιν εἴξαντες ὅ, τε τῆς πρεσβυτάτης Ρώμης καὶ ἀποστολικῆς ἀκροπόλεως ἀρχιερατικώτατος πρόεδρος, καὶ ἡμεῖς οἱ ἐλάχιστοι, Χριστȣ̃ δὲ ὅμως ἱερεῖς καὶ θεράποντες, ὁ μὲν ἀνθ' ἑαυτȣ̃ τὴν τῶν γραμμάτων εἰκόνα, καὶ τοὺς τὸ πρόσωπον αὐτȣ̃ διαγράφοντας ἱερέας συνέστησεν, οἱ δὲ σὺν αὐτοῖς, καὶ πάντες ἅμα τὸν θεοτίμιτον θρόνον τοῦ κράτȣς σȣ σωματικῶς περιέστημεν. εἰ μὲν οὖν ἅπαντες ἁπλῶς τε καὶ ἀπανȣργεύτως ἀνέκαθεν τὸ εὐαγγελικώτατον παρεδέξαντο κήρυγμα, καὶ ταῖς ἀποστολικαῖς διατάξεσιν ἱκανώθησαν, καλῶς ἂν εἶχε καὶ εἰκότως τὰ πράγματα, καὶ ȣ̃τε τοῖς αἱρεσιάρχαις, ȣ̃τε τοῖς ἱεράρχαις ἀγώνων πόνοι συνεκεκρότηντο. ἔδει γὰρ ἔδει τȣ̀ς μὲν ἠρεμȣ̃ντας τὴν σωτηρίαν πορίζεσθαι, τȣ̀ς δὲ πρὸς τὸ μάχεσθαι μὴ ἀνθέλκεσθαι, καὶ τὸν τῆς γαλήνης καιρὸν τοῖς θορύβοις μερίζεσθαι, ἀλλ' * ἡσυχίαν φιλοσοφεῖν, καὶ θεῷ συλλαλεῖν, καὶ τοῖς ὑπὸ χεῖρα κατορθωμάτων τύπον καθίστασθαι. ἐπεὶ δὲ τȣ̃ σατανᾶ ἡ ἀντίπαλος δύναμις ἠρεμεῖν ȣ̓κ ἀνέχεται, ἀλλ' ὥσπερ αἰχμηφόρους καὶ βεληφόρȣς τȣ́ς οἰκείȣς ὑπηρέτας κατεξανίστησι, τοῖς τῆς πλάνης διδάγμασιν οἷα κρυπταῖς μαχαίραις τὴν τῶν πολλῶν δολοφονοῦντας διάνοιαν. τȣ́τȣ χάριν καὶ Χριστὸς ὁ Θεὸς ἡμῶν, ἡ τȣ̃ παντὸς σοφία καὶ δύναμις, δι' ἧς τὸ πᾶν συνέστη τε καὶ συνέχεται, τȣ̀ς ἰδίȣς κατ' αὐτῶν ὁπλίτας ἐπικαίρως ἀντεξανίστησι, τὴν τȣ̃ πνεύματος ἀναλαμβάνοντας μάχαιραν πρὸς ἐκτομὴν, καὶ ἀναίρεσιν τῶν ἀνταιρόντων χεῖρα κατὰ περιȣσίȣ λαοῦ αὐτȣ̃, καὶ τὰ τῆς ἐκκλησίας βασίλεια πειρωμένων

* ἡσύχιον.

νων λῃστρικῶς παρασήσασθαι, καὶ τὰς ἐντὸς μαργαρίτας τὰ θειότατα λόγια συλῆσαι τε, καὶ πατῆσαι τοῖς χοιρώδεσι δόγμασι. πρὸς ὃς καὶ ζαχαρ. 13. ῥομφαία κελεύεται παροξύνεσθαι. ῥομφαία, φησί, ἐξεγέρθητι ἐπὶ τοὺς λύκους ποιμένας, καὶ τοὺς τὰ πρόβατα σωτηραττοντας διακέχρησο. οὕτως ἄρα καὶ τῇ ὅλων συνόδων αἱ καθ' ἕν ἀθροίσεις ἐγκλίνεται πρὸς ταράττειν ἀεὶ καὶ μαχόμενον, τῇ τε αὐτοκρατόρων τῇ τε προπατόρων ὁπλιζομένων. Ἀρειος διαιρέτης καὶ καταιτομὰς τῆς Τριάδος ἐγήγερτο. καὶ παραυτίκα Κωνσταντῖνος ὁ ἀσεβέστατος, καὶ Σίλβεστρος ὁ ἀοίδιμος τῷ ἐν Νικαίᾳ μεγάλῳ τε καὶ περιβλεπτῳ συνέλεγον σύνοδον· ἐν ᾗ ἡ Τριὰς τότε τὸ τῆς πίστεως ὑπηγόρευσε σύμβολον, τῆς τε Ἀρειανῆς κακοτεχνίας κατεψηφίσατο, καὶ τῇ δικαίᾳ ποινῇ τῆς * ἐκκλησίας τὸν * Ἄρειον ἐν ἀτίμοις, ἀλλ' ὁμοτίμοις ἐκείνῳ τόποις ἐτιμωρήσατο. Μακεδονίῳ τῷ τῦ πνεύματος ἠθέτει θεότητα, καὶ τὸ δεσπόζον ὁμόδουλον ἐδογμάτιζεν. ἀλλ' ὁ μέγας βασιλεὺς Θεοδόσιος, καὶ Δάμασος ὁ ἀδάμας τῆς πίστεως, ὁ ταῖς ἑτεροδόξοις προβολαῖς τε καὶ προσαρράξεσι τῷ ἀντίτυπον γνώμῃ ὑποτιτρωσκόμενος, Γρηγορίου τε, καὶ Νεκταρίου τὸν ἐν ταύτῃ τῇ βασιλίδι φόλει συνήθροιζον σύλλογον. καὶ τῷ μὲν ἀνίερον γλῶτταν τῦ ἱερατείου ἀπέκοπτον βλασφημίαις ἐξαγίοις κατακοντίζουσαν τὸ πνεῦμα τὸ ἅγιον, τὸ δὲ τῆς πίστεως αὖθις προσανέπτυσσον σύμβολον, ὅτι Θεὸς τὸ πνεῦμα, κυρωσάντες δι' ὧν ξανότερον ἐξειργάσαντο· ἵνα μὴ ἓν τὰς τῆς Τριάδος τὴν ἕνωσιν λύοντας ἡ τῆς τριάδος κατέλυσε δύναμις. πολλὴ δὲ πάνυ καὶ πολυχιδὴς καὶ ἡ περὶ τῷ τῦ μονογενοῦς οἰκονομίαν ἀντίῤῥησις, ἀλλὰ τὰ γενικώτερα διεξελθεῖν ὁ λόγος ἐπείγεται. πάλιν Νεστόριος καὶ πάλιν Κελεστῖνος, καὶ Κύριλλος ὁ μὲν γὰρ τὸν Χριστὸν διήρει καὶ κατεδίχαζεν. οἱ δὲ τῷ δεσπότῃ συλλαμβανόμενοι σὺν τῷ τῆς σκήπτρων δεσπόζοντι τὸν κατατομέα κατέβαλλον. Ἔφεσος ταῦτα, καὶ τῇ ἐκεῖσε πραχθέντων οἱ πίνακες δι' ἐγγραμμάτου φωνῆς σιγῶσαι λαλοῦσι τὰ πράγματα. εἶτα τῆς Εὐτυχοῦς ἀνοίας ληρωδούσης ἕτερον μύθημα, καὶ τῦ σωτῆρος πάντη παραιτουμένου τῷ ἀνανθρώπησιν, καὶ σκιοειδῆ τινα τῷ πρὸς ἡμᾶς αὐτῦ τερατολογοῦντος ὁμοίωσιν, ἆρα σιωπᾷν ἐχρῆν, καὶ ὑ τοὺς πνευματοφόρους ἀνίστασθαι ταῖς θεολογίαις τὰς ψευδολογίας κατασιγάζοντας; καὶ πῶς ἂν οὐκ ἠγανάκτει Θεὸς βλασφημούμενος καὶ μὴ διεκδικούμενος; Λέοντος τοίνυν ὁ δέλτος καθάπερ λέοντος βρύχημα ῥωμαλέον ἐκ Ῥώμης ἠχήσασα τὸν τέως ἀρχιμανδείτῃ θῆρα κατεξεφόβησε, τῆς τε μοναστικῆς ἀγέλης ἀπήλασε, καὶ τῷ αὐτοῦ φαντασίαν καὶ δόκησιν ἀπεδοκίμασε καὶ ἠφάνισε. ταύτην ἄρα τῷ θεόγραπτον δέλτον Μαρκιανὸς βασιλεὺς ὁ θειότατος, καὶ Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως πρόεδρος σὺν ἅπαντι τῷ κατὰ χαλκηδόνα χριστολέκτῳ συλλόγῳ περιεπτύξαντο, καὶ χειρὶ καὶ γλώττῃ συνετίθεντό τε καὶ συνυπέγραφον, καὶ ταύτῃ τὸ σύστοιχον Εὐτυχεῖ τοῦ Διοσκόρου κατήργησαν φρόνημα. ὅπου γοῦν μὴ ταῦτα Βιγίλιος Ἰουστινιανῷ τῷ πανδυσεβεῖ συμπεφώνηκε, καὶ τὸ τῆς πέμπτης συνόδου σύνεδριον, τὰ φωραθέντα καὶ λαθόντα τινῶν ἀναθεματίζων συντάγματι βδελυρίας πεπλήρωκε. τούτων ὄντως ἐχόντων ἀναγκαῖον ἐτύγχανε καὶ τὴν ὑμετέραν φιλόχριστον ἡμερότητα, τῷ πανίερον τοῦτον ἀνδρα πολυάθλησιν ἐγκωμιάσαι, τῷ καλῶς ποιεῖν νομίζειν ἀμφότερα, καὶ τὸ μὴ αἴτιον τῆς τῶν ἐκκλησιῶν διασάσεως ἀποσείσασθαι, τὰ δὲ διεζευγμένα πρὸς ἕνωσιν ἐφελκύσασθαι. οὐκ ἔφερες γάρ, θεοτίμητε δέσποτα, τῷ ἔναγχος ὑφανθεῖσαν τῆς ψευδοδιδασκαλίας ἐπίνοιαν τῶν τῆς ὀρθοδοξίας χιτῶνα μέχρι πολλοῦ καθορᾶν περιχίζουσαν, ἀλλ' ὡς δι' ὀργάνων τολμῶμεν λέγειν τῦ πνεύματος δι' ἡμῶν τε καὶ μεθ' ἡμῶν τὸ διερρωγὸς ἐξανύφανας, καὶ τῇ ὁλοκληρίᾳ συννήρμοσας. καὶ δὴ τῇ συμπνοίᾳ τοῦ παναγίου συμπνεύσαντες πνεύματος, ἀλλήλοις τε πάντες ὁμονοήσαντες, καὶ ὁμοφωνήσαντες, καὶ τοῖς Ἀγάθωνος τοῦ μακαριωτάτου πατρὸς ἡμῶν καὶ κορυφαιοτάτου πάπα δογματικοῖς πρὸς τὸ ὑμέτερον κράτος ὁμοφρονήσαντες γράμμασι, τῇ τε τῆς ὑπ' αὐτὸν ἁγίας συνόδου τῇ ἑκατὸν εἴκοσι πέντε ἀναφορᾷ συναινέσαντες, ἕνα τῆς ἁγίας Τριάδος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ σαρκωθέντα δοξάζομεν ἐν δύο τελείαις ταῖς φύσεσιν ἀδιαιρέτως, ἀσυγχύτως ὑμνοῦμεν. ὡς μὲν γὰρ λόγος ὁμοούσιός ἐστι καὶ συναΐδιος τῷ Θεῷ καὶ γεννήτορι. ὡς δὲ σάρκα λαβὼν ἐκ τῆς ἀχράντου παρθένου καὶ θεοτόκου Μαρίας, ἄνθρωπός ἐστι τέλειος ὁμοούσιος ἡμῖν καὶ ὑστερον χρόνον γενόμενος. τέλειον οὖν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι κατά τε τὰς παρεκὰς ἄνωθεν παραδόσεις, καὶ τὸν ἐν χαλκηδόνι θεῖον ὅρον κηρύττομεν. καὶ ὥσπερ δύο παρειλήφαμεν φύσεις, ὅτι καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς αὐτῦ τὰς ἐνεργείας γνωρίζομεν. ὑδετέραν γὰρ τῷ ἐν Χριστῷ φύσεων ἐπὶ τῆς οἰκονομίας αὐτῦ τολμήσομεν ἀθέλητον ἢ ἀνενέργητον ἀποφαίνεσθαι. μὴ πως αὐτῶν ἀναιροῦντες τὰ ἰδιώματα, καὶ τὰς, ὧνπερ εἰσὶν ἰδιώματα, φύσεις συναναιρήσωμεν. ὑ γὰρ ἀρνούμεθα τὸ φυσικὸν αὐτῦ τῆς ἀνθρωπότητος θέλημα, ἢ τῷ κατὰ φύσιν ἐνέργειαν, ἵνα μὴ καὶ τὸ τῆς σωτηρίας ἡμῶν οἰκονομικὸν κεφάλαιον ἀθετήσωμεν, καὶ τῇ θεότητι τὰ πάθη προσαψωμεν. τοῦτο γὰρ ἔσφαλον οἱ προσεχῶς ἓν ἐπ' αὐτοῦ τὸ θέλημα, καὶ τὴν μίαν ἐνέργειαν ἀνοσίως καινοτομήσαντες, τῷ Ἀρείου τε, καὶ Ἀπολλιναρίου, καὶ Εὐτυχοῦς, καὶ Σεβήρου κακοδοξίαν ἀνανεούμενοι. εἰ γὰρ ἀθέλητόν τε καὶ ἀνενέργητον τὴν ἀνθρωπίνην τῦ κυρίου φύσιν λέγειν * παρήσομεν· πῶς τὸ τέλειον ἐν ἀνθρωπότητι σέσωσαι; ὑδὲν γὰρ σωίσησιν ἕτερον τῆς ἀνθρωπίνης οὐσίας τῷ τελειότητι, εἰ μήποτε τὸ ὑσιῶδες θέλημα, δι' ὃ καὶ ἡ τῆς αὐτεξουσιότητος ἐν ἡμῖν χαρακτηρίζεται δύναμις· ὅπως ἔχέτω καὶ ἡ ὑσιώδης ἐνέργεια· πῶς γὰρ

πάλιν

* Γρ. ἀσεβείας
* Ἀρεια

πάλιν φαμὲν αὐτὸν ἐν ἀνθρωπότητι τέλειον, μηδὲν ἀνθρώπινον παθόντα, ἢ ἐνεργήσαντα; ὥσπερ οὖν ἡ τῶν δύο φύσεων συνδρομὴ μίαν ἡμῖν ἀσύγχυτόν τε καὶ ἀδιάτμητον ἐφύλαξε τὴν ὑπόστασιν, οὕτω καὶ ἡ μία ὑπόστασις ἐν δύο διαλάμπουσα φύσεσι τὰ ἑκατέρᾳ προσήκοντα παρεδείκνυεν ἴδια. δύο γοῦν ἐπ' αὐτοῦ φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας κοινωνικῶς τε καὶ ἀδιαιρέτως προϊούσας δοξάζομεν. τὰς δὲ καινοφωνίας καὶ τοὺς τούτων ἐφευρετὰς πόῤῥω που τῶν ἀκκλησιαστικῶν περιβόλων ἐβάλομεν, καὶ τῷ ἀναθέματι δικαίως καθυπεβάλομεν. φαμὲν δὴ Θεόδωρον τὸν τῆς Φαρὰν, Σέργιόν τε καὶ Παῦλον, Πύῤῥον ἅμα καὶ Πέτρον τοὺς Κωνσταντινουπόλεως προεδρεύσαντας· ἔτι δὲ καὶ Κῦρον τὸν τῆς Αλεξανδρέων ἱερατεύσαντα, καὶ σὺν αὐτοῖς Ονώριον τὸν τῆς Ρώμης γενόμενον πρόεδρον, ὡς ἐκείνοις ἐν τούτοις ἀκολουθήσαντα. καὶ πρός γε τούτοις κατ' ἐξαίρετον λόγον ἀναθεματίζομεν καθαιρήσαντες Μακάριον τὸν γενόμενον τῆς Αντιοχέων ἐπίσκοπον, καὶ Στέφανον τὸν τούτου μαθητὴν, μᾶλλον δὲ λέγειν καθηγητὴν, τὴν τῶν πρὸ αὐτῶν διεκδικεῖν ἀγωνισαμένους δυσσέβειαν, καὶ πᾶσαν ὡς ἔπος εἰπεῖν τὴν οἰκουμένην ἀναστατώσαντας· καὶ τοῖς μὲν πανταχοῦ λοιμώδεσι γράμμασι, ταῖς δὲ καθ' ἕκαστον δολεραῖς κατηχήσεσι τὴν τῶν πολλῶν ληϊσαμένους ἁπλότητα· ὁμοίως δὲ καὶ Πολυχρόνιον τὸν νηπιόφρονα καὶ ληρήσαντα γέροντα, τὸν τοὺς νεκροὺς ἐγείρειν ἐπαγγελλόμενον, καὶ τῷ μὴ ἐγείρειν γελώμενον. καὶ πάντας τοὺς θεματίσαττας, ἢ θεμανίζοντας, ἢ θεματίζειν τολμῶντας ἓν θέλημα, καὶ μίαν ἐπὶ τῆς οἰκονομίας Χριστοῦ τὴν ἐνέργειαν. καὶ μή τινες ἴσως ἐπιμεμφέσθωσαν τῆς τε τοῦ παναγίου πάπα θείας παραζηλώσεως, τῆς τε παρούσης ἀγγελικῆς συνελεύσεως. ἡμεῖς τε γὰρ ταῖς ἐκείνου, καὶ πρὸ ἡμῶν καὶ σὺν ἡμῖν ἐκεῖνος ταῖς ἀποστολικαῖς τε καὶ πατρικαῖς ἠκολουθήσαμεν παραδόσεσι, καὶ οὐδὲν ἀπᾷδον τε καὶ εἰσύμφωνον τῆς αὐτῶν στοιχειώσεως ἐφηυράμεθα. ἄλλως τε καὶ πρὸς τοὺς ἐπαναστάντας ἀντεπανέστημεν, ἀλλ' οὐ προσεπανέστημεν, καὶ οὐχ ἡμεῖς τῆς συμβολῆς ἀπηρξάμεθα, τοῖς δὲ προαρξαμένοις ἀνθωπλισάμεθα· τίς ἑώρακεν ἄρα τηλικαῦτα παράδοξα; πνευματικὸν ἡμῖν ἄρτι προετίθετο στάδιον, καὶ ὁ τῆς ψευδωνύμου γνώσεως προαπεδύετο πρόμαχος· οὐκ ᾔδει δὲ μὴ κομίζεσθαι τῆς νίκης τὸν στέφανον, ἀλλὰ καὶ συνεκδύεσθαι τῆς ἱερωσύνης τὸν στέφανον. ὁ δὲ κορυφαιότατος ἡμῖν συνηγωνίζετο πρωταπόστολος· τὸν γὰρ ἐκείνου μιμητὴν, καὶ τῆς καθέδρας διάδοχον εἴχομεν ὑπαλείφοντα, καὶ τὸ τῆς θεολογίας μυστήριον διὰ γραμμάτων ἐμφαίνοντα. ὁμολογίαν σοι θεοχάρακτον ἡ Ρώμη πόλις ἡ πρεσβῦτις ἀνέτεινε, καὶ τὴν τῶν δογμάτων ἡμέραν ἐκ τῆς ἑσπέρας ἀνέτειλε χάρτης, καὶ μέλαν ἐφαίνετο, καὶ δι' Αγάθωνος ὁ Πέτρος ἐφθέγγετο, καὶ τῷ συμβασιλεύοντι παντοκράτορι βασιλεὺς αὐτοκράτωρ συνεψηφίζου σὺ θεοψήφιστε. καὶ Σίμωνες παράσημοι τῷ τῆς ἀθετήσεως πτερῷ κατέπιπτον ἀνιπτάμενοι, καὶ στήλη τούτων ἡ κατάβλησις ἵσταται, καὶ ἡ πίστις ἀνίσταται, καὶ τῶν λαῶν ἡ ὁμόνοια πρὸς τὸν οἰκεῖον κόσμον ἀποκαθίσταται. ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς, φησὶν ὁ προφήτης. εἰς φῶς ἐπήρθη ὁ ἥλιος, ὁ νοῦς ὁ ὑμέτερος πρὸς τὸν δικαιοσύνης ἀνέδραμεν ἥλιον, καθαρωτάτῳ καθαρῶς ἀτενίσας, καὶ τὴν καταλλαγὴν ἡμῖν ἐντεῦθεν διακεκόμικε. καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς, ἡ ἐκκλησία φαμὲν καὶ νύμφη Χριστοῦ τὴν ἑαυτῆς σεμνότητα περιβάλλεται, καὶ τὴν εὐσέβειαν ὡς παρθενίαν καταστολίζεται, καὶ τὴν τῆς ὀρθοδοξίας πληροφορουμένη φαιδρότητα δαδουχεῖ τῷ κόσμῳ τὴν εἰρήνην ἀνέκλειπτον. ἀκούσατε ταῦτα πάντες, ὅσοι τε τὸ γεῶδες τοῦτο σκῆνος ἀπεξεδύσασθε, καὶ ὅσοι μετατίκτεσθαι μέλλετε. τοῖς ἐνεστῶσι γὰρ ὅρασις, οὐκ ἀκοὴ πληροφόρησις. καὶ τῷ μόνῳ σοφῷ τε καὶ δυναμένῳ Θεῷ χαριστήριον ὕμνον ἐκτενῶς ἀνατείνωμεν, δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη προσᾴδοντες, τῷ εὐδοκῆσαι Χριστῷ τῷ φιλανθρώπῳ ἀναστῆσαι βασιλέα φιλόχριστον, τὴν ἕνωσιν ταῖς ἐκκλησίαις βραβεύσαντα. ἀλλ' ὦ φιλάγαθε καὶ φιλοδίκαιε δέσποτα τῷ τὸ κράτος χαρισαμένῳ σοι τήνδε τὴν εὔνοιαν ἀντιχάρισαι, καὶ τοῖς παρ' ἡμῶν ὁρισθεῖσι σφραγῖδα παράσχου τὴν ὑμῶν ἔγγραφον βασιλικὴν ἐπικύρωσιν, καὶ διὰ θείων ἠδίκτων, καὶ τῶν ἐξ ἔθους εὐσεβῶν διατάξεων τὴν τούτων ἁπάντων βεβαίωσιν· ὥστε μηδένα τοῖς πραχθεῖσιν ἢ ἀντιφθέγγεσθαι, ἢ καινότερον ζήτημα μηχανήσασθαι. ἴσθι γὰρ ὦ βασιλεῦ γαληνότατε, ὡς οὐδὲν τῶν ἐν ταῖς ὅλαις ταῖς συνόδοις καὶ παρὰ τῶν ἐκκρίτων πατέρων ὑποτυπωθέντων παρεχαράξαμεν, μενοῦνγε μᾶλλον ἐβεβαιώσαμεν· καὶ ἰδοὺ πάντες συμψύχως τε καὶ συμφώνως ἀναφθεγγόμεθα· σῶσον κύριε τὸν βασιλέα ἡμῶν τὸν μετά σε κρατύνοντα τὴν κρηπῖδα τῆς πίστεως. εὐλόγησον τὴν ζωὴν αὐτοῦ, κατεύθυνον τὰ διαβήματα τῶν βουλῶν αὐτοῦ. πατησάτω τὴν ἰσχὺν τῶν ἐχθρῶν αὐτοῦ, καὶ οἱ ἀνθεστηκότες αὐτῷ παραχρῆμα πιπτέτωσαν, ὅτι ἐποίησε κρίμα καὶ δικαιοσύνην αἰώνιον, καὶ τῇ ἀληθείᾳ κινδυνευούσῃ χεῖρας ὠρέξατο, καὶ τὸν λαόν σου διέσωσε, καὶ ὁμοδοξεῖν συνεβίβασε. χαῖρε πόλις νέα Ρώμη Κωνσταντινούπολις, δεδοξασμένη τῷ τοῦ κράτους ὀνόματι. ἰδοὺ ὁ βασιλεύς σου πιστότατος, ἀλλὰ καὶ ἀνδρειότατος, καὶ λήψεται πανοπλίαν, τὴν ζηλωτικὴν αὐτοῦ δύναμιν. ἐνεδύσατο θώρακα, δικαιοσύνην καὶ ὁσιότητα· περιέθετο κόρυθα φρόνησιν, τὸ τῶν ἀρετῶν σκοπευτήριον. καὶ θυρεὸν ἀνελάβετο τὴν ἀκαταμάχητον θεοσέβειαν· τούτοις καθοπλιζόμενον κατίδοι τοῦτον τὸν βάρβαρον, καὶ εἰς τὸ θεῖον ἐλπίζομεν ὑπόσπονδον ἀχθήσεται τῷ δεσπόζοντι· εὐφραίνου πόλις Σιὼν τῆς οἰκουμένης περιωπὴ καὶ βασίλεια. Κωνσταντῖνος ἀλουργίδι σε προεκόσμησε, καὶ πίστει προέστεψε, καὶ Κωνσταντῖνος ἀμφοτέροις ἐπέστεψε, καὶ πύλαι ᾅδου πῆς σῆς ὀρθοδόξου βασιλείας οὐ κατισχύσουσι· χαῖρε καὶ θάρσει

ἀββακ. 3.

Λουκ. 2.

Ψαλ. 19.

βα-

βασιλεῦ ὡραιότατε, κύριος ὁ θεός σου ἐν σοὶ δυνατὸς περιζωννύων σε δύναμιν σώσει σέ· ἐπάξει ἐπί σε ἀφροσύνην καὶ ἀγαλλίασιν, καὶ ὠζηθήσεται ἡ βασιλεία σου, καὶ ὑψωθήσεται ὁ βραχίων σου, καὶ κατισχύσατε πάσης δυσμενοῦς ἀθεΐας καὶ ἀντιλάσεως. καὶ κόψεται μοὶ τὸ πολέμιον, χαρήσεται δὲ τὸ ὑπήκοον· διότι ἐγὼ δυνατός εἰμι, λέγει κύριος παντοκράτωρ.

ΑΙ ΥΠΟΓΡΑΦΑΙ.
τῆς συνόδου.

Θεόδωρος ἐλάχιστος πρεσβύτερος τῆς ἁγίας ἐκκλησίας Ρώμης, καὶ τὸν τόπον ἐπέχων Ἁγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ρώμης, τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγρ.

Γεώργιος ἐλάχιστος πρεσβύτερος τῆς ἁγίας ἐκκλησίας Ρώμης, καὶ τὸν τόπον ἐπέχων Ἁγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ρώμης, τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα.

Ἰωάννης ἐλάχιστος διάκονος τῆς ἁγίας ἐκκλησίας Ρώμης, καὶ τὸν τόπον ἐπέχων Ἁγάθωνος τοῦ μακαριωτάτου καὶ οἰκουμενικοῦ πάπα πόλεως Ρώμης, τῷδε τῷ προσφωνητικῷ θεηθεὶς ὑπέγραψα.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. Κωνσταντινουπόλεως νέας Ρώμης τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα.

Πέτρος ἐλέῳ θεοῦ πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ θρόνου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγραψα.

Θεοφάνης ἐλέῳ θεοῦ ἐπίσκοπος Θεουπόλεως ἤτοι Ἀντιοχείας ὁμοίως ὑπέγ.

Γεώργιος ἐλάχιστος πρεσβύτερος τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν Ἀναστάσεως. ἐπέχων τὸν τόπον Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ τοῦ ἀποστολικοῦ θρόνου Ἱεροσολύμων ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκοπος Θεσσαλονίκης καὶ βικάριος τοῦ ἀποστολικοῦ θρόνου Ρώμης, καὶ λιγατάριος ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκοπος πόλεως Τεμισθύντων τῆς Κυπρίων νήσου, καὶ τὸν τόπον ἐπέχων Ἐπιφανίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ὁμοίως ὑπέγ.

Θεόδωρος πρεσβύτερος, τῆς ἁγιωτάτης ἐκκλησίας Ραβέννης, καὶ τὸν τόπον ἐπέχων Θεοδώρου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ὁμοίως ὑπέγραψα.

Ἰωάννης ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Πόρτου, καὶ λιγάτος πάσης τῆς συνόδου τοῦ ἀποστολικοῦ θρόνου Ρώμης ὁμοίως ὑπέγ.

Στέφανος ἐλέῳ θεοῦ ἐπίσκοπος Κορίνθου, καὶ λιγάτος τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ρώμης ὁμοίως ὑπέγ.

Βασίλειος ἀνάξιος ἐπίσκοπος μητροπόλεως Γορτυνίης τῆς Κρητῶν νήσου, καὶ λιγάτος τῆς ὅλης ἁγίας συνόδου τοῦ ἀποστολικοῦ θρόνου τῆς πρεσβυτέρας Ρώμης ὁμοίως ὑπέγραψα.

Ἀβουνδάντιος ἐπίσκοπος Τεμψάνης, καὶ ἀποκρισιάριος πάσης τῆς συνόδου τοῦ ἁγίου ἀποστολικοῦ θρόνου Ρώμης ὁμοίως ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκοπος πόλεως τοῦ Ρηγίου, καὶ ἀποκρισιάριος πάσης τῆς συνόδου τοῦ ἁγίου ἀποστολικοῦ θρόνου ὑπέγραψα.

Φιλαλήθης ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Καισαρέων μητροπόλεως τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Σισίννιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἡρακλειωτῶν μητροπόλεως τῆς Εὐρωπιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Πλάτων ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἀγκυρανῶν μητροπόλεως τῆς πρώτης τῆς Γαλατῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Κυζικηνῶν μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Μαξῖνος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Σάρδεων μητροπόλεως τῆς Λυδῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ δεηθεὶς ὑπέγ.

Πέτρος ἀνάξιος ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Φώτιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Σιδητῶν μητροπόλεως τῆς Παμφυλίων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Ἰησῖνος ἐλάχιστος ἐπίσκ. τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας τῆς Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀμασέων μητροπόλεως τῆς Ἑλενοπολιτῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν μητροπόλεως τῆς πρώτης τῆς Ἀρμενίων ἐπαρχίας ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. Πισιδιωτῶν μητροπόλεως τῆς δευτέρας τῆς Γαλατῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Ἀλύπιος ἐλάχιστος ἐπίσκοπος τῆς Γαγγρηνῶν μητροπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁμοίως ὑπέγ.

Κυπριανὸς ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Κλαυδιοπολιτῶν μητροπόλεως τῆς Οὐηρεασιτῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Πολύδυκος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μυρέων

μητροπόλεως τῆς Λυκίων ἐπαρχίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Σταυρουπολιτῶν μητροπόλεως τῆς Καρῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Τιβέριος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν Παχατιανῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Κοσμᾶς ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Σωναδέων μητροπόλεως τῆς Φρυγῶν Σαλουταρίων ἐπαρχίας ὁμοίως ὑπέγ.

Κωνσαντῖνος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Βαρατέων μητροπόλεως τῆς Λυκαόνων ἐπαρχίας, ἡγὴ τὸν τόπον ἐπέχων Παύλου τοῦ ἁγιωτάτου μου ἐπισκόπου, τυτέστι μητροπολίτου τοῦ Ἰκονίου ὁμοίως ὑπέγραψα.

Στέφανος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Περγέων μητροπόλεως τῆς Παμφυλίων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Θεόπεμπτος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Γορδιανουπολιτῶν ἤτοι Μωκισσῶν μητροπόλεως τῆς δευτέρας τῆς Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα.

Ἰσίδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ῥοδίων μητροπόλεως τῆς Κυκλάδων νήσων τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Σισίννιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἱεραπολιτῶν μητροπόλεως τῆς Φρυγῶν Παχατιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ταρσέων μητροπόλεως τῆς πρώτης τῆς Κιλίκων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα.

Στέφανος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἀναζαρβέων μητροπόλεως τῆς δευτέρας τῆς Κιλίκων ἐπαρχίας ὁμοίως ὑπέγ.

Μακρόβιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Σελευκέων μητροπόλεως τῆς Ἰσαύρων χώρας ὁμοίως ὑπεγραψα.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. Ἀθίλων, ἧς ληγάμης τῶδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα.

Γεώργιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Βιζυήνων πόλεως τῆς Θρᾴκων χώρας ὁμοίως ὑπέγραψα.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Πομπηϊουπολιτῶν πόλεως τῆς Παφλαγόνων ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα.

Ζαχαρίας ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Λεοντοπολιτῶν πόλεως τῆς Ἰσαύρων χώρας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Γρηγόριος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Μιτυληναίων πόλεως τῆς Λεσβίων νήσου τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Ἀλέξανδρος ἐλέῳ Θεοῦ ἐπίσκ. Κοτράδων Ἰσαυρίας ὁμοίως ὑπέγ.

Ἐπιφάνιος ἐλέῳ Θεοῦ ἐπίσκ. Εὐχαϊτῶν ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. Ἡρακλειουπόλεως δευτέρας Ἀρμενίας ὁμοίως ὑπέγ.

Στρατόνικος ἐλέῳ Θεοῦ ἐπίσκ. Σόλων τῆς Κυπρίων νήσου ὁμοίως ὑπέγ.

Τύχων ἐλέῳ Θεοῦ ἐπίσκ. τοῦ Κιτίου τῆς Κυπρίων νήσου ὁμοίως ὑπέγ.

Πέτρος χάριτι τοῦ Θεοῦ ἡμῶν ἐπίσκ. Μεσημβρίας Θρᾴκης ὁμοίως ὑπέγ.

Πέτρος ἀνάξιος ἐπίσκ. Σωζοπόλεως Θρᾴκης ὁμοίως ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς Στοβέων πόλεως ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. τοῦ Ἄργους ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Μιλησέων πόλεως τῆς Καρῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Λαππέων πόλεως τῆς Κρητῶν νήσου ὁμοίως ὑπέγ.

Θεοδόσιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Λακεδαιμονίων πόλεως ὁμοίως ὑπέγ.

Γρηγόριος ἐλέῳ Θεοῦ ἐπίσκ. Καντάνων τῆς Κρητῶν νήσου ὁμοίως ὑπέγ.

Σέργιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Σηλυβριωνῶν πόλεως τῆς Εὐρωπιανῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Ἀνδρέας ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Μεθυμναίων πόλεως τῆς Λεσβίων νήσου ὁμοίως ὑπέγραψα.

Θεογνιος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Κιανῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Νυσαέων πόλεως τῆς πρώτης τῆς Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Θερμιωνῶν πόλεως τῆς πρώτης τῆς Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Γεώργιος χάριτι Θεοῦ ἐπίσκ. τῆς Καμουλιανῶν πόλεως τῆς πρώτης τῆς Καππαδοκῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγραψα.

Ζώπυρος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Χερσουπολιτῶν πόλεως, ἤτοι Διὸς ἱεροῦ τῆς Ἀσιανῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. πόλεως Περγαμου τῆς Ἀσιανῶν ἐπαρχίας ὁμοίως ὑπέγραψα.

Πατρίκιος ἐλέῳ Θεοῦ ἐπίσκοπος τῆς Μαγνητῶν πρὸς τῷ Μαιάνδρῳ πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. πόλεως Ἀνέων τῆς Ἀσιανῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. Μασσάλων ἐπαρχίας Ἀσίας ὁμοίως ὑπέγ.

Σισίννιος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Νύσσης ἐπαρχίας Ἀσίας ὁμοίως ὑπέγ.

Ρηγῖνος ἐλέῳ θεοῦ ἐπίσκ. τοῦ Πανίου τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Μαρτύριος ἐλέῳ θεοῦ ἐπίσκ. Ἰουλιουπόλεως Γαλατίας πρώτης ὁμοίως ὑπέγ.

Μιχαὴλ ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀσπονέων πόλεως ὁμοίως ὑπέγ.

Πλάτων ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Κιννηνῶν πόλεως Γαλατίας πρώτης ὁμοίως ὑπέγ.

Γενέσιος ἐλέῳ θεοῦ ἐπίσκ. Ἀναστασιουπόλεως ὁμοίως ὑπέγ.

Ἀνδρέας ἐλέῳ θεοῦ ἐπίσκ. Μνίζου ἐπαρχίας Γαλατίας πρώτης ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. Μιλητουπόλεως Ἑλλησπόντου ὁμοίως ὑπέγ.

Κύρικος ἐλέῳ θεοῦ ἐπίσκ. Ἀδριανίας Ἑλλησπόντου ὁμοίως ὑπέγ.

Σισίννιος ἐλέῳ θεοῦ ἐπίσκ. Βασιλινουπόλεως Βιθυνίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Πραινετίων πόλεως ἐπαρχίας Βιθυνίας ὁμοίως ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. Ἰουστινιανουπόλεως ἤτοι Μέλης ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀνδραπηνῶν πόλεως ὁμοίως ὑπέγ.

Σολομὼν ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Κλανέου τῷδε τῷ προσφωνητικῷ ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ναξίων νήσου ὁμοίως ὑπέγ.

Πολυχρόνιος ἐλέῳ θεοῦ ἐπίσκ. Θεουπόλεως ἤτοι Προύσης ὁμοίως ὑπέγραψε διὰ Θεοδοσίου πρεσβυτέρου διὰ τὸ προσὸν αὐτῷ γῆρας.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως τοῦ Ἀμωρίου ὁμοίως ὑπέγ.

Ἀναστάσιος ἐλέῳ θεοῦ ἐπίσκ. τοῦ Πολεμωνίου ὁμοίως ὑπέγραψα.

Γρηγόριος ἐλέῳ θεοῦ ἐπίσκ. Ἄρκης Ἀρμενίας ὁμοίως ὑπέγραψα.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. Βερίσσης Ἀρμενίας ὁμοίως ὑπέγραψα.

Τιβέριος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀμισηνῶν πόλεως ὁμοίως ὑπέγ.

Μερκούριος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Ποιμανινοῦ ὁμοίως ὑπέγ.

Μηνᾶς ἐλέῳ θεοῦ ἐπίσκ. Καραλλίας Παμφυλίας ὁμοίως ὑπέγραψα.

Κοσμᾶς ἐλέῳ θεοῦ ἐπίσκ. Κοτανῶν ἤτοι Μαναύων ὁμοίως ὑπέγ.

Νικήτας ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως τοῦ Κορακησίου ὁμοίως ὑπέγ.

Δομέτιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Προυσιαδέων πόλεως ὁμοίως ὑπέγ.

Γεώργιος λέῳ θεοῦ ἐπίσκ. τῆς Ἰουνοπολιτῶν πόλεως ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Δασκυλιωτῶν πόλεως ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Καδοσέων πόλεως ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Κρατίας ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. Φιλαδελφείας τῆς πόλεως ὁμοίως ὑπέγραψα.

Θεόδωτος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Δάλδης ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. Καισαρείας Βιθυνίας ὁμοίως ὑπέγ.

Ἀντώνιος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Ὑπαίπων Ἀσίας ὁμοίως ὑπέγ.

Ἀναστάσιος ἐλέῳ θεοῦ ἐπίσκ. Θεοτοκιανῶν ἤτοι Ἀπολλωνιάδος ὁμοίως ὑπέγ.

Σέργιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Σινωπέων πόλεως ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Σίτων ὁμοίως ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς Φαυστινουπόλεως τῆς δευτέρας τῆς Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Πλάτων ἐλέῳ θεοῦ ἐπίσκ. Ἀδριανουπόλεως Ὀνωριάδος ὁμοίως ὑπέγ.

Στέφανος ἐλέῳ θεοῦ ἐπισκ. Ἡρακλείας Πόντου ὁμοίως ὑπέγ.

Λογγῖνος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Τυάνων πόλεως ὁμοίως ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Κομάνων Ἀρμενίας δευτέρας ὁμοίως ὑπέγραψα.

Εἰρηνάρχος ἐλέῳ θεοῦ διάκονος τῆς ἐν Ἀμάστριδι ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ τὸν τόπον ἐπέχων Κομιτῶ τοῦ ἁγιωτάτου μου ἐπισκ. ὁμοίως ὑπέγ.

Κωνσταντῖνος ἐλάχιστος ἐπίσκ. τῆς Τιβριαδέων πόλεως ὁμοίως ὑπέγ.

Ἀλέξανδρος ἀνάξιος ἐπίσκ. Νακωλείας ὁμοίως ὑπεγραψα.

Ζήμαρκος ἐλέῳ θεοῦ ἐπίσκ. Σιδύμων τῆς Λυκαονίας ὁμοίως ὑπέγ.

Στέφανος ἐλέῳ θεοῦ ἐπίσκ. Βηρινουπόλεως Γαλατίας πρώτης ὁμοίως ὑπέγραψα.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. Οἰνιάνδων ὁμοίως ὑπέγ.

Θεοφύλακτος ἐλέῳ θεοῦ ἐπίσκ. Κερασοῦντος ὁμοίως ὑπέγραψα.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. Ἐρίζων τῆς Καρῶν ἐπαρχίας ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Μηνίδου ἐπαρχίας Καρίας ὁμοίως ὑπέγ.

Πατρίκιος ἐλέῳ θεοῦ ἐπισκ. πόλεως Ἰλούζων ἐπαρχίας Πακατιανῶν ὁμοίως ὑπέγραψα.

Πέτρος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Ἀππίας ἐπαρχίας Πακατιανῶν ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. Ναζιανζοῦ ὁμοίως ὑπεγ.

Μαρῖνος ἐλέῳ θεοῦ ἐπίσκ. τοῦ Φιλομηλίου ὁμοίως ὑπέγ.

Πλάτων ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Μαγίδων ὁμοίως ὑπέγ.

Πλουσιανὸς ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως τοῦ Συλλέου ὁμοίως ὑπέγ.

Θεό-

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. Δοάρων Καππαδοκίας δευτέρας ὁμοίως ὑπέγ.

Φωκᾶς ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Δαδυβρηνῶν πόλεως ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπισκ. τῆς Κώων νήσου ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. νήσου Χίου ὁμοίως ὑπέγ.

Δημήτριος ἐλέῳ θεοῦ ἐπίσκ. νήσου Τήνου ὁμοίως ὑπέγ.

Εὐτύχιος ἐλέῳ θεοῦ ἐπίσκ. νήσου Μήλου ὁμοίως ὑπέγ.

Στέφανος ἐλέῳ θεοῦ ἐπίσκ. νήσου Πάρου ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Φλαβιάδος ὁμοίως ὑπέγ.

Εὐλάλιος ἐλέῳ θεοῦ ἐπίσκ. Ζηνωνοπόλεως Ἰσαυρίας ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Κωρύκου ὁμοίως ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Ἀδάνων ὁμοίως ὑπέγ.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Θήρας τῆς νήσου ὁμοίως ὑπέγ.

Καλλίνικος ἐλέῳ θεοῦ ἐπίσκ. Κολωνείας Ἀρμενίας ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἰβοριτῶν πόλεως ὁμοίως ὑπέγ.

Κωνσταντῖνος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Δαλισανδοῦ ὁμοίως ὑπεγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ὄλβης ἐπαρχίας Ἰσαυρίας ὁμοίως ὑπεγ.

Κωνσταντῖνος ἐλέῳ θεοῦ ἐπισκ. Λαμψάκου ὁμοίως ὑπέγ.

Δομέτιος ἐλέῳ θεοῦ ἐπίσκ. Πρυμνήσου ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Τραπεζουντίων πόλεως ὁμοίως ὑπέγ.

Λεόντιος ἐλέῳ θεοῦ ἐπίσκ. Ἑλενουπόλεως Βιθυνίας ὁμοίως ὑπέγ.

Θεοδόσιος ἐλέῳ θεοῦ ἐπίσκ. πόλεως Ψιβήλων τῆς Λυκαόνων ἐπαρχίας ὁμοίως ὑπέγ.

Κοσμᾶς ἐλέῳ θεοῦ ἐπίσκ τοῦ Κοττυαίου ὁμοίως ὑπέγ.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀδραμυτοῦ τῆς Ἀσίας ὁμοίως ὑπέγ.

Ἡ ἁγία σύνοδος εἶπεν· αἰτοῦμεν τὸ εὐσεβὲς καὶ θεόστεπτον τοῦ δεσπότου κράτος, καθὼς καὶ διὰ τοῦ προσαχθέντος τῇ εὐσεβεῖ ὑμῶν βασιλείᾳ προσφωνητικοῦ ἐδεήθημεν, διὰ θείας ὑμῶν ὑποσημειώσεως τὸ κῦρος παραχέσθαι τῷ παρ' ἡμῶν ἐκφωνηθέντι ἐν ὑπογράφῳ ὅρῳ, τῷ καὶ ἐπι τῆς θεοσόφου ὑμῶν γαληνότητος τανῦν ἀναγνωσθέντι.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπε· τὸ αἰτηθὲν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου παραυτίκα διαπραξόμεθα· ἐπεὶ δὲ τὰ πρὸς ἀκριβῆ κατάληψιν τῶν ἀναφερομένων τῇ ἡμετέρᾳ εὐσεβείᾳ διαπραττομένοι οὐδὲν ἀνεξέταστον καταλιμπάνειν ἐθέλομεν Κιτονάτου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Σαρδῴων νήσου κατηγορηθέντος περίτινων κεφαλαίων πρὸς ἐναντίωσιν ὁρώντων τῆς τε ἡμετέρας δουλείας, καὶ τῆς φιλοχρίστου ἡμῶν πολιτείας, καὶ τούτων ψευδῶν ἀποδειχθέντων, ἀθῴου τε τοῦ τοιούτου ὁσιωτάτου ἀνδρὸς ἀναδειχθέντος, προτρέπομεν τὴν ἁγίαν καὶ οἰκουμενικὴν ὑμῶν σύνοδον, τὸν αὐτὸν ὁσιώτατον Κιτονάτον προσδέξασθαι, ἔνα τε ὑμῶν τοῦτον καταριθμῆσαι· καὶ ἐν τῷ ἐκφωνηθέντι παρὰ τοῦ ἁγίου πνεύματος διὰ τῆς ἁγίας ὑμῶν συνόδου τῆς ὀρθοδόξου πίστεως ὅρῳ παρασκευάσαι καθυπογράψαι. καὶ μετὰ τὸ τὸν αὐτὸν ὁσιώτατον Κιτονάτον ὑπογράψαι ἐν τῷ τοιούτῳ ὅρῳ, καὶ Θεόδωρον ἐπίσκοπον Αὐρηλιουπόλεως, λαβὼν ἐν χερσὶν ὁ αὐτὸς εὐσεβέστατος βασιλεὺς τὸν κατὰ παρουσίαν τῆς αὐτοῦ γαληνότητος ἀναγνωσθέντα ἐνυπόγραφον ὅρον τῆς ἁγίας συνόδου ὑπεσημήνατο ἰδιοχείρως, καθὼς ἐν αὐτῷ τῷ προτεταγμένῳ ἐν τῇ παρούσῃ πράξει ὅρῳ ἐμφέρεται.

Ἡ ἁγία σύνοδος εἶπεν· αἰτοῦμεν τὸ θεόσοφον τοῦ δεσπότου κράτος, πρὸς μείζονα τῆς ὀρθοδόξου πίστεως ἀσφάλειάν τε καὶ βεβαίωσιν ἰσοτύπους ἐνυπογράφους ὅρους τοῦ ἀναγνωσθέντος κατὰ παρουσίαν τοῦ γαληνοτάτου ὑμῶν κράτους ὅρου ἐκδοθῆναι τοῖς πέντε πατριαρχικοῖς θρόνοις μετὰ τῆς εὐσεβοῦς ὑμῶν ὑποσημειώσεως.

Κωνσταντῖνος ὁ εὐσεβέστατος βασιλεὺς εἶπεν· τὸ καὶ νῦν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ὑμῶν συνόδου αἰτηθὲν εὐσεβῶς διαπραξόμεθα.

Ἰστέον, ὡς κατὰ τὰ διαλαληθέντα παρὰ τοῦ εὐσεβεστατου καὶ φιλοχρίστου βασιλέως Κωνσταντινου, ἤγουν ὑποσχεθέντα, ἰσοτύπους ὅρους μεθ' ὑποσημειώσεως τῆς αὐτοῦ πανημέρου γαληνῆς παρέσχετο τοῖς πέντε πατριαρχικοῖς θρόνοις οὕτως.

Τῷ ἀποστολικῷ θρόνῳ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου, ἤγουν Ἀγάθωνι τῷ ἁγιωτάτῳ πάπα τῆς πρεσβυτέρας Ῥώμης.

Τῷ θρόνῳ τῆς ἁγιωτάτης καθολικῆς καὶ ἀποστολικῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, ἤγουν Γεωργίῳ τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πατριάρχῃ.

Τῷ ἀποστολικῷ θρόνῳ τοῦ ἁγίου εὐαγγελιστοῦ Μάρκου τῷ τιμωμένῳ ἐν τῇ Ἀλεξανδρέων μεγαλοπόλει διὰ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου μοναχοῦ καὶ τοποτηρητοῦ.

Τῷ θρόνῳ τῆς Ἀντιοχέων ἤτοι Θεουπολιτῶν μεγαλοπόλεως διὰ Θεοφάνους τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου πατριάρχου.

Τῷ θρόνῳ τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως ἤτοι Ἱεροσολύμων, ἐπέχοντος τὴν τοποτηρησίαν τοῦ αὐτοῦ τιμιωτάτου θρόνου Θεοδώρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου, διὰ Γεωργίου πρεσβυτέρου μοναχοῦ τοῦ Σεβαστηνοῦ· ὅστις μετέπειτα καὶ πατριάρχης Ἀντιοχείας ἐγένετο.

ΙΣΟΤΥΠΑ ΤΩΝ ΣΤΑΛΕΝΤΩΝ

γραμμάτων παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου πρὸς Ἀγάθωνα τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης.

Ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ θεοῦ χάριν, καὶ πανευσεβὲς θεσπισμα τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου μεγάλου βασιλέως Κωνσταντίνου συναχθεῖσα ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι Κωνσταντινουπόλει νέᾳ Ῥώμῃ, ἐν τῷ σεκρέτῳ τοῦ θείου παλατίου τῷ οὕτως ἐπιλεγομένῳ Τρούλλῳ, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνι ἐν κυρίῳ χαίρειν.

Τὰ μέγιστα τῶν νοσημάτων μειζόνων δεῖται βοηθημάτων, ὡς ἴστε μακαριώτατοι διά τοι τοῦτο Χριστὸς ὁ ἀληθινὸς θεὸς ἡμῶν, ἡ ὄντως τῶν ὄντων δημιουργικη τε καὶ προνοητικὴ δύναμις σοφὸν ἀνέδειξεν ἰατρὸν τὴν ὑμετέραν θεοτίμητον ἁγιότητα, τό,τε νοσῶδες τῆς αἱρετικῆς λύμης ὀρθοδοξίας φαρμάκοις ῥωστικῶς ἀπελαυνουσαν, καὶ πανσθενῆ τὴν ὑγείαν τῆς ἐκκλησίας χαριζομένην τοῖς μέλεσιν. ὅθεν καὶ ἡμεῖς ὡς πρωτοθρόνῳ σοι τῆς οἰκουμενικῆς ἐκκλησίας τὸ πρακτέον παρατιθέμεθα, ἐπὶ τὴν στερεὰν πέτραν ἑστῶτι τῆς πίστεως, τοῖς παρὰ τῆς ὑμετέρας πατρικῆς μακαριότητος πρὸς τὸν εὐσεβέστατον βασιλέα τῆς ἀληθοῦς ὁμολογίας ἐμφιλοχωρήσαντες γράμμασιν· ἅπερ καὶ ὡς ἀπὸ τῆς κορυφαίας τῶν ἀποστόλων ἀκρότητος θεολογηθέντα γινώσκομεν. δι' ὧν καὶ τὴν τῆς ἐναγχος ἀναφανείσης αἱρέσεως πολυπλανῆ δοξαν ἐξεδιώξαμεν, ἐξάρχοντος ἡμῶν ἐν τοῖς δόγμασι Κωνσταντίνου τοῦ θειωδῶς βασιλεύοντος, καὶ τὰ σκῆπτρα ἡμερωτάτως ἰθύνοντος, μεθ' οὗ τὴν τῆς ἀσεβείας πλάνην κατεστρεψάμεθα, τὰ τῶν αἱρετικῶν δυσσεβῆ πολιορκήσαντες δογματα. κἀντεῦθεν ἐκ βάθρων αὐτῶν ἀνασπάσαντες τοὺς θεμελίους τῆς βδελυρωτάτης αἱρέσεως, καὶ καταβάντες πρὸς αὐτοὺς μεθ' ὅπλων πνευματικῶν τε καὶ πατρικῶν, καὶ τὰς γλώσσας αὐτῶν προσφόρως λέγειν συγχέαντες, τὸν ὑπ' αὐτῶν κτισθέντα τῆς ἀσεβεστάτης αἱρέσεως πύργον ἐξεμοχλεύσαμεν. αὐτοὺς δὲ ὡς περὶ τὴν πίστιν ἡμαρτηκότας εἰς τὰς πρωΐας ἔξω τῆς παρεμβολῆς τῶν αὐλῶν τοῦ θεοῦ, Δαβιτικῶς εἰπεῖν, τοῖς ἀναθέμασιν ἀπεκτείναμεν, κατὰ τὴν τοῖς ἱεροῖς ὑμῶν γραμμασιν ἐπ' αὐτοῖς προψηφισθεῖσαν ἀπόφασιν. φαμὲν δὴ Θεόδωρον τὸν τῆς Φαράν, Σέργιον, Ὀνώριον, Κῦρον, Παῦλον, Πύῤῥον καὶ Πέτρον· πρὸς δὲ τούτοις καὶ μετὰ τούτους τοῖς ἀναθέμασι τῶν αἱρετικῶν ἐνδίκως καθυπεβάλομεν καὶ τοὺς ἐν ζῶσιν ἀναδεδεγμένους τὴν τούτων ἀσέβειαν, εἰπεῖν δὲ μᾶλλον σαφέστερον, τὴν Ἀπολλιναρίου, Σεβήρου τε καὶ Θεμιστίου τῶν θεοστυγῶν, Μακάριον τὸν γενόμενον τῆς Ἀντιοχέων μεγαλοπόλεως ἐπίσκοπον· ὃν καὶ τῆς ποιμαντικῆς δορᾶς κατ' ἀξίαν ἀπεγυμνώσαμεν διὰ τὸ ἀμετανόητον τούτου πρὸς τὴν ὀρθόδοξον πίστιν καὶ ἀνεπίστροφον. Στέφανον τὸν τούτου πρὸς ἄνοιαν μαθητὴν καὶ διδάσκαλον πρὸς ἀσέβειαν, καὶ τὸν ἐν τοῖς αἱρετικοῖς δόγμασι Πολυχρόνιον, καὶ τοὺς τὰ ὅμοια τούτοις ἀμετανοήτως διδάξαντας, ἢ διδάσκοντας, ἢ φρονοῦντας, ἢ φρονήσαντας δόγματα.

Δαυϊτικῶς

Ψαλ. 100. 8.

Μέχρι τούτων τοίνυν ἡμῖν τὸ κατηφὲς καὶ στυγνὸν καὶ πολύδακρυ οὐ γὰρ ἐγελάσαμεν τῶν πέλας τὰ πτώματα, οὐδὲ τῆς ἐκείνων ἐξοιστροίσεως ἐπιχαρέντες κατεσκιρτήσαμεν, οὐδὲ μέγα διὰ τοῦτο ἠπήρθημεν, ἵνα καὶ μεῖζον ἐπὶ τούτῳ κατενεχθείημεν. οὐχ οὕτως ἡμεῖς περὶ τούτων ὦ σεβασμία καὶ ἱερὰ κεφαλὴ ἐπαιδεύθημεν, τὸν τῶν ὅλων δεσπότην Χριστὸν κεκτημένοι φιλάνθρωπόν τε καὶ ὑπεράγαθον. ὃς καὶ μιμητὰς ἡμᾶς, ὡς ἐφικτὸν, τῆς ἱεραρχικῆς αὐτοῦ νομοθεσίας ἀγαθοπρεπῶς γενέσθαι παρακελεύεται, καὶ τύπον ἐπέχοντας τῆς αὐτοῦ ποιμαντικῆς τε καὶ συστατικῆς κυβερνήσεως. ἀλλὰ καὶ πρὸς ἐπιστροφὴν μετανοίας ὅ,τε γαληνότατος βασιλεὺς καὶ ἡμεῖς διαφόρως τούτους προετρεψάμεθα· καὶ μεθ' ὅλης τῆς εὐσεβείας τὰ πάντα πεπράχαμεν, οὐδὲν πρὸς χάριν ἢ ἀπέχθειαν * διαγενόμενοι καθὼς ὑμᾶς ἔνεστιν ἐκ τῶν ἤδη κεκινημένων ἐφ' ἑκάστῳ τῶν παρηκολουθηκότων καὶ ἐγγράφως ὑπομνηματισθέντων, τῶν καὶ ἐπὶ τοῦ παρόντος τῇ ὑμῶν ἐσταλμένων μακαριότητι, γνῶναι τὴν δύναμιν· εἶτα δὲ καὶ διὰ τῶν ἀναπληρωσάντων τὸ πρόσωπον τῆς ὑμετέρας ἁγιότητος Θεοδώρου καὶ Γεωργίου τῶν θεοφιλεστάτων πρεσβυτέρων, καὶ Ἰωάννου τοῦ θεοσεβεστάτου διακόνου, καὶ Κωνσταντίνου τοῦ εὐλαβεστάτου ὑποδιακόνου τῶν ὑμετέρων πνευματικῶν τέκνων, καὶ ἠγαπημένων ἡμῖν ἀδελφῶν· ἃ τῶν ἐκ τῆς καθ' ὑμᾶς ἁγίας συνόδου σταλέντων ὁσιωτάτων ἐπισκόπων, ὀρθῶς καὶ χρηστῶς κατὰ τὴν ὑμῶν παίδευσιν ἐν τῷ πρώτῳ τῆς πίστεως σὺν ἡμῖν ἀγωνισαμένων κεφαλαίῳ, οὕτως ἡμεῖς τῷ ἁγίῳ πνεύματι λαμπρυνόμενοι, καὶ ταῖς ὑμετέραις διδασκαλίαις ὁδηγούμενοι τὰ δυσχερῆ τῆς δυσσεβείας ἀπεκρουσάμεθα δόγματα, τὴν εὐθυτάτην τῆς ὀρθοδοξίας τρίβον ἐξομαλίσαντες, ἐν ὅλοις τοῦ εὐσεβεστάτου καὶ γαληνοτάτου ἡμῶν βασιλέως Κωνσταντίνου θεοσόφως ἡμᾶς περιθάλψαντός τε καὶ κυβερνήσαντος. εἶτά τε καὶ τοῦ ἑνὸς ἡμῶν τῆς βασιλευούσης ταύτης Κωνσταντινουπόλεως ἁγιωτάτου προέδρου συνθεμένου πρώτου τῷ πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα παρ' ὑμῶν τῆς ὀρθοδοξίας σταλέντι συντάγματι, ἅτε κατὰ πάντα τοῖς ἐκκρίτοις καὶ θεοφόροις πατράσι, καὶ ταῖς ἁγίαις πέντε οἰκουμενικαῖς συνόδοις ὁμοφωνήσαντι. καὶ δὴ πάντας ἡμᾶς Χριστοῦ τοῦ θεοῦ περιέχοντος τὸ σπουδαζόμενον εὐμαρῶς διηνύσαμεν. θεὸς γὰρ ἦν ὁ ἐνεργῶν καὶ στεφανῶν τὸ συνέδριον.

* ἴσ. ῥόμενοι

Ἐντεῦθεν τοιγαροῦν ἐφ' ἡμᾶς ἡ τοῦ παναγίου πνεύματος χάρις ἐπέλαμψε, τὴν ἐξουσίαν διὰ τῆς ὑμῶν ἐκτενεστάτης εὐχῆς χαρισαμένη τοῦ πᾶν

τȣ̃ πᾶν ζιζάνιον κ̀ ξύλον μὴ ποιȣ̃ν καρπὸν καλὸν ἐκκόψαι, κ̀ πυρὶ καταναλῶσαι κελεύσασα. κ̀ καρδίᾳ γλώσσῃ τε κ̀ χειρὶ συμφωνήσαντες ἀπλανέστατόν τε κ̀ ἀσφαλέστατον τῇ συνεργίᾳ τȣ̃ ζωοποιȣ̃ πνεύματος ὅρον ἐξεφωνήσαμεν· ȣ̓ μετάραντες κατὰ τὸ δὴ λεγόμενον, ὅρια αἰώνια, μὴ γένοιτο. ἀλλὰ ταῖς τῶν ἁγίων κ̀ ἐκκρίτων πατέρων ἐμμείναντες χρήσεσιν. ὁρίσαντες, ἵνα καθάπερ ἐκ δύο καὶ ἐν δύο φύσεσι θεότητός τε κ̀ ἀνθρωπότητος, ἐξ ὧν συντεθεὶς, κ̀ ἐν αἷς ὑπάρχων Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν κηρύττεται παρ' ἡμῶν, κ̀ δοξάζεται ἀχωρίστως, ἀτρέπτως, ἀσυγχύτως, κ̀ ἀδιαιρέτως, ȣ̓τω κ̀ δύο φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀσυγχύτως, ἀμερίστως προσβεύομεν, καθὼς κ̀ ἐν τοῖς παρ' ἡμῶν ὁρισθεῖσι συνοδικῶς δεδήλωται. οἷς κ̀ τὸ τȣ̃ θεομιμήτȣ ἡμῶν βασιλέως κράτος συναινέσαν ἰδιοχείρως καθυπεσημήνατο· ἀποβαλλόμενοι, ὡς προλέλεκται, τὴν ἀσεβεστάτην ἐν φασματώδη περὶ ἑνὸς θελήματος κ̀ μιᾶς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ Θεοῦ ἡμῶν, κ̀ κατακρίναντες αἵρεσιν· ἔνθεν τε τῶν συγχεόντων καὶ διαιρȣ́ντων τὸν τάραχον κατεπαύσαμεν, καὶ τὴν πυρφλόγον ζάλην τῶν λοιπῶν αἱρέσεων κατεσβέσαμεν, τὴν δὲ τῆς ὀρθοδόξȣ πίστεως φωταυγίαν τηλαυγῶς σὺν ὑμῖν ἐκηρύξαμεν. ἣν κ̀ αὖθις διὰ τιμίων ὑμῶν ἀντιγράφων ἐπισφραγίσαι τὴν ὑμῶν ἐκλιπαρȣ̃μεν πατρικὴν ἁγιότητα· δι' ἧς εὐέλπιδες εἰς Χριστὸν ὄντες θαρρȣ̃μεν, τὴν αὐτȣ̃ πολυέλεον ἀγαθότητα τὴν σύστασιν τῇ ἐκ Θεȣ̃ δωρηθείσῃ τῷ πρᾳοτάτῳ ἡμῶν βασιλεῖ Ῥωμαϊκῇ πολιτείᾳ χαρίζεσθαι, νίκαις τε πολυχρονίοις τὴν αὐτȣ̃ κατακοσμεῖν παγγάλλων ἡμερότητα· τὴν δὲ ὑμετέραν θεοτίμητον ἁγιότητα παριστῶσαν πρὸς τοῖς ἔνθεν κ̀ τῷ φοβερῷ αὐτȣ̃ ἐκείνȣ βήματι εἰλικρινῶς τε κ̀ ἀληθῶς ὁμολογήσασαν τὰ τῆς πίστεως, ἐν ῥώσει φυλαττομένην, κ̀ διασώζȣσαν τὰ ἐκ Θεȣ̃ ἐμπιστευθέντα αὐτῇ ὀρθόδοξα ποίμνια.

Παροι. 28.

Πᾶσαν σὺν τῇ ὑμετέρᾳ μακαριότητι ἐν Χριστῷ ἀδελφότητα ἡμεῖς τε κ̀ οἱ σὺν ἡμῖν πλεῖστα προσαγορεύομεν.

Γεώργιος ἐλέῳ θεȣ̃ ἐπίσκ. Κωνσταντινȣπόλεως νέας Ῥώμης ὑπεσημηνάμην.

Πέτρος ἐλέῳ θεȣ̃ πρεσβύτερος κ̀ τοποτηρητὴς τȣ̃ θρόνȣ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ὑπεσημηνάμην.

Θεοφάνης ἐλέῳ θεȣ̃ ἐπίσκ. Θεȣπόλεως ἤτοι Ἀντιοχείας ὁμοίως ὑπεσημηνάμην.

Γεώργιος ἐλάχιστος πρεσβύτ. τῆς ἁγίας Χριστȣ̃ τȣ̃ θεȣ̃ ἡμῶν Ἀναστάσεως, ἐπέχων τὸν τόπον Θεοδώρȣ τȣ̃ ὁσιωτάτȣ πρεσβυτ. κ̀ τοποτηρητȣ̃ τȣ̃ ἀποστολικȣ̃ θρόνȣ Ἱεροσολύμων ὁμοίως ὑπεσημηνάμην.

Ἰωάννης ἐλέῳ θεȣ̃ ἐπίσκ. Θεσσαλονικέων πόλεως ὑπὲρ ἐμαυτȣ̃ καὶ τῆς ὑπ' ἐμὲ συνόδȣ ὑπεσημηνάμην.

Φιλαλήθης ἀνάξιος ἐπίσκ. τῆς Καισαρέων μητροπόλεως, καὶ ἔξαρχος τῆς Ποντικῆς διοικήσεως ὑπὲρ ἐμαυτοῦ ὁμοίως ὑπεσημηνάμην.

Θεόδωρος ἐλέῳ θεȣ̃ ἐπίσκ. πόλεως Τριμιθȣ́ντων τῆς Κυπρίων νήσȣ, κ̀ τὸν τόπον ἐπέχων Ἐπιφανίȣ τȣ̃ ἁγιωτάτȣ μȣ ἀρχιεπισκόπȣ τῆς αὐτῆς Κυπρίων νήσȣ ὁμοίως ὑπεσημηνάμην.

Κιτονάτος ἀνάξιος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Καραλίας νήσου Σαρδινίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπεσημηνάμην.

Θεόδωρος πρεσβύτ. τῆς ἁγιωτάτης ἐκκλησίας Ῥαβέννης, κ̀ τὸν τόπον ἐπέχων Θεοδώρȣ τȣ̃ ἁγιωτάτου μου ἀρχιεπισκ. ὁμοίως ὑπεσημηνάμην.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Πόρτȣ, κ̀ ληγάτος πάσης τῆς συνόδȣ τῆς ἁγίας κ̀ ἀποστολικῆς ἐκκλησίας τȣ̃ ἀποστολικȣ̃ θρόνου πόλεως Ῥώμης ὑπὲρ ἐμαυτȣ̃ ὁμοίως ὑπεσημηνάμην.

Στέφανος ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Κορινθίων μητροπόλεως τῆς Ἑλλήνων χώρας ὑπὲρ ἐμαυτȣ̃, κ̀ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Βασίλειος ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Γορτυνίων μητροπόλεως τῆς Κρητῶν νήσου ὑπὲρ ἐμαυτȣ̃ καὶ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Ἀβȣνδάντιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Τεμψάνης, κ̀ ληγάτος πάσης τῆς συνόδου τῆς ἁγίας καὶ ἀποστολικῆς ἐκκλησίας τοῦ ἀποστολικοῦ θρόνου πόλεως Ῥώμης ὑπὲρ ἐμαυτοῦ ὁμοίως ὑπεσημηνάμην.

Ἰωάννης ἁμαρτωλὸς ἐπίσκ. πόλεως τȣ̃ Ῥηγίȣ, κ̀ ληγάτος πάσης τῆς συνόδȣ τȣ̃ ἁγίȣ καὶ ἀποστολικȣ̃ θρόνȣ πόλεως Ῥώμης ὁμοίως ὑπεσημηνάμην.

Θεόδωρος ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Ἐφεσίων μητροπόλεως, κ̀ ἔξαρχος τῆς Ἀσιανῶν διοικήσεως ὑπὲρ ἐμαυτȣ̃ κ̀ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Σισίννιος ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Ἡρακλειωτῶν μητροπόλεως τῆς Εὐρωπαίων ἐπαρχίας ὑπὲρ ἐμαυτȣ̃ κ̀ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Πλάτων ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Ἀγκυρανῶν μητροπόλεως τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὑπὲρ ἐμαυτȣ̃ κ̀ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Γεώργιος ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Κυζικηνῶν μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὑπὲρ ἐμαυτȣ̃ κ̀ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Μαρῖνος ἐλέῳ θεȣ̃ ἐπίσκ. τῆς Σάρδεων μητροπόλεως τῆς Λυδῶν ἐπαρχίας ὑπὲρ ἐμαυτȣ̃ καὶ τῆς ὑπ' ἐμὲ συνόδȣ ὁμοίως ὑπεσημηνάμην.

Πέτρος ἀνάξιος ἐπίσκοπος τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Φώτιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Χαλκηδονέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Σιδηπόλεως μητροπόλεως τῆς Παμφύλων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Θεοδόσιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Σεβαστηνῶν μητροπόλεως τῆς δευτέρας τῆς Ἀρμενίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Ἀμασέων μητροπόλεως τῆς Ἑλενοποντίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μελιτηνῶν μητροπόλεως τῆς πρώτης τῆς Ἀρμενίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Ἰωσὴφ ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας τῆς Καππαδοκῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Ἀλύπιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Γαγγρηνῶν μητροπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Κυπριανὸς ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Κλαυδιουπολιτῶν μητροπόλεως τῆς Ὀνωριάδος ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Πισινουντιέων μητροπόλεως τῆς δευτέρας τῆς Γαλατίας ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Πολυδεύκης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Μυρέων μητροπόλεως τῆς Λυκίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Σταυρουπολιτῶν μητροπόλεως τῆς Καρῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Τιβέριος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν ἐπαρχίας Πακατιανῶν ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπέγραψα.

Κοσμᾶς ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Συναδέων μητροπόλεως τῆς Φρυγῶν Σαλουταρίων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Κωνσταντῖνος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Βαρατέων πόλεως, καὶ τὸν τόπον ἀναπληρῶν Παύλου τοῦ ἁγιωτάτου μου μητροπολίτου τῆς Ἰκονιέων μητροπόλεως τῆς Λυκαόνων ἐπαρχίας, ὁμοίως ὑποσημειώμαι.

Στέφανος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Περγέων μητροπόλεως τῆς Παμφύλου ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Θεόπεμπτος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἰουστινιανουπολιτῶν ἤτοι Μωκισσηνῶν φιλοχείσου μητροπόλεως τῆς δευτέρας τῆς Καππαδοκῶν ἐπαρχίας ὁμοίως ὑποσημειώμαι.

Ἰσίδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ῥοδίων μητροπόλεως τῆς Κυκλάδων νήσων ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Σισίννιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἱεραπολιτῶν μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ταρσέων μητροπόλεως τῆς πρώτης τῆς Κιλίκων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Στέφανος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἀναζαρβέων πόλεως τῆς δευτέρας τῆς Κιλίκων ἐπαρχίας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑπέγραψα.

Μακρόβιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Σελευκέων μητροπόλεως τῆς Ἰσαύρων χώρας ὑπὲρ ἐμαυτοῦ καὶ τῆς ὑπ' ἐμὲ συνόδου ὁμοίως ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Βιζυηνῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὑποσημειώμαι.

Θεόδωρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Πομπηϊουπολιτῶν πόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁμοίως ὑποσημειώμαι.

Ζαχαρίας ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Λεοντοπολιτῶν πόλεως τῆς Ἰσαύρων χώρας ὑποσημειώμαι.

Γρηγόριος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μιτυληναίων πόλεως τῆς Λεσβίων νήσου ὑποσημειώμαι.

Γεώργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μιλησέων πόλεως τῆς Καρῶν ἐπαρχίας ὑποσημειώμαι.

Σέργιος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Σηλυβρηνῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὑποσημειώμαι.

Ἀνδρέας ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μεθυμναίων πόλεως τῆς Λεσβίων νήσου ὁμοίως ὑποσημειώμαι.

Ἀλέξανδρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Κοτραδέων πόλεως τῆς Ἰσαύρων Χώρας ὑποσημειώμαι.

Ἐπι-

Ἐπιφάνιος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Εὐχαϊτηνῶν φιλοχρίστου μητροπόλεως τῆς Ἑλενοποντίων ἐπαρχίας ὑπεσημηνάμην.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Καρπαθίων νήσου ὁμοίως ὑπεσημηνάμην.

Ἰωάννης ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Ἡρακλειουπολιτῶν πόλεως τῆς δευτέρας τῶν Ἀρμενίων ἐπαρχίας ὑπεσημηνάμην.

Πέτρος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Μεσημβρηνῶν πόλεως τῆς Αἱμιμοντίων ἐπαρχίας ὑπεσημηνάμην.

Πέτρος ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Σωζοπολιτῶν πόλεως τῆς Θρᾳκῶν χώρας ὑπεσημηνάμην.

. . . . . .

. . . . ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰουστῖνος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Τυανέων μητροπόλεως τῆς δευτέρας Καππαδοκίας, ὁρίσας ὑπέγ.

Ὀλύμπιος ἐλέει Θεοῦ ἐπίσκ. Γαγγρηνῶν μητροπόλεως τῆς Παφλαγίων ἐπαρχίας, ὁρίσας ὑπέγ.

Κυπριανὸς ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Ἡμυ . . . . . Διοσπολιτῶν, μητροπόλεως τῆς Ὀναρίστων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Πολύδεκτος ἐλέει Θεοῦ ἐπίσκοπος τῆς Μυρέων μητροπόλεως τῆς Λυκίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεάτωρος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Σταυροπόλεων μητροπόλεως τῆς Ἡβρῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Τιβέριος ἐλέει Θεοῦ ἐπίσκ. τῆς . . . . . Λαοδικέων μητροπόλεως τῆς Φρυγῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Κοσμᾶς ἐλέει Θεοῦ ἐπίσκ. Συμβαδίων μητροπόλεως τῆς Σαλυταρίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Κωνσταντῖνος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Βὴρ, μητροπόλεως τῆς Λυκαίων ἐπαρχίας μητροπόλεως ὁρίσας ὑπέγ.

Στέφανος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Ἀντιοχέων μητροπόλεως τῆς Παμφίλων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόπεμπτος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Ἰουστινοπολίτων, ἤτοι Μωκρασηνῶν, μητροπόλεως δευτέρας τῶν Καππαδοκίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰσιόδωρος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Ῥουγίνων μητροπόλεως τῆς Φρυγῶν Πατακίων ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Ταρσέων μητροπόλεως τῆς Προτηέων ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέφανος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Ἀναζαρβέων μητροπόλεως τῆς δευτέρας τῶν Κιλικίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Μακρόβιος ἐλέει Θεοῦ ἐπίσκ. τῆς Σελονέων μητροπόλεως τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσ. ὑπέγ.

Ἰωάννης ἐλέει Θεοῦ ἐπίσκ. Ἀθηναῖος καὶ λεγάτος τῆς ἁγίας συνόδου τοῦ ἀποστολικοῦ Θεσίου τῆς πρεσβυτέρας Ῥώμης ὁρίσας ὑπέγ.

Γεώργιος χάριτι Θεοῦ ἐπίσκ. τῆς Βυζηνῶν πόλεως τῆς Θρᾴκων χώρας ὁρίσας ὑπέγ.

Ζαχαρίας ἐλέει θεοῦ ἐπίσκ. Λεοντοπολιτῶν τῆς Ἰσαύρων χώρας ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέει θεοῦ ἐπίσκ. τῆς Πομπηϊουπολιτῶν πόλεως τῆς Παφλαγόνων, ἐπαρχίας ὁρίσας ὑπέγ.

Γρηγόριος ἐλέει θεοῦ ἐπίσκ. τῆς Μιτυλινέων πόλεως τῆς Λεσβίων νήσου, ὁρίσας ὑπέγ.

Σέργιος ἐλέει θεοῦ ἐπίσκ. τῆς Σελυμβρίων πόλεως τῆς Εὐρώπης νεάνων Θρᾴκων χώρας, ὁρίσας ὑπέγ.

Ἀνδρέας ἐλέει θεοῦ ἐπίσκοπος τῆς Μεθυμνείων πόλεως τῆς Λεσβίων νήσου, ὁρίσας ὑπέγ.

Θεογόνιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς Νεάνων πόλεως τῆς Βεθυνέων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἀλέξανδρος ἐλέει θεοῦ ἐπίσκ. πόλεως Κυπράδων, τῆς Ἰσαύρων χώρας ὁρίσας ὑπέγραψα.

Ἐπιφάνιος ἀνάξιος ἐπίσκοπος τῆς Εὐχαΐτων πόλεως τῆς Ἐλελιώτων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Πέτρος χάριτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπίσκοπος τῆς Μεσεμβρίων φιλοχρίστου πόλεως ὁρίσας ὑπέγ.

Πέτρος ἐλέει θεοῦ ἐπίσκ. τῆς Σωξοπόλεων ἐπαρχίας ὁρίσας ὑπέγ.

. . . . . ἐλέει θεοῦ ἐπίσκ. Πτοβίων ὁρίσας ὑπέγ.

. . . . . ἐλέει θεοῦ ἐπίσκ. τῆς τῶν Κυπρίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Τύχων ἐλέει θεοῦ ἐπίσκοπος πόλεως τοῦ . . . . . .

Ἤδικτον τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου ἀνατεθὲν ἐν τῷ τρίτῳ νάρθηκι τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας πλησίον τῆς καλουμένης Δικυμβάλου.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, αὐτοκράτωρ εὐσεβέστατος, εἰρηνικὸς, φιλόχριστος Κωνσταντῖνος, πιστὸς ἐν Ἰησοῦ Χριστῷ τῷ Θεῷ βασιλεὺς τοῖς τοῦ φιλοχρίστου ἡμῶν παντὸς λαοῦ τοῦ οἰκουῶτος ἐν ταύτῃ τῇ θεοφυλάκτῳ ἡμῶν καὶ βασιλίδι πόλει· στήριγμα καὶ θεμέλιος τῆς ἐκ τῆς ἄνω ῥοπῆς πεπιστευμένης ἡμῖν χριστιανικωτάτης πολιτείας καθέστηκεν ἡ πρὸς τὸ θεῖον πίστις ἀκλινής τε καὶ ἀδιάσειστος, ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν καὶ ὡς ἰδίαν οἰκίαν τὴν ἐκκλησίαν ἀνωκοδόμησε, καὶ ὡς παμβασιλεὺς τὸν τῆς ἡμετέρας βασιλείας θρόνον ἵδρυσε, καὶ τὸ τῆς αὐτοκρατορίας ἡμῖν ἐνεχείρισε σκῆπτρον. καθάπερ γάρ τινα πέτραν ὑψηλὴν καὶ μετέωρον,

καὶ οἷον οὐρανοῦ καὶ γῆς κειμένην μεταίχμιον τὴν πρὸς αὐτὸν ἡμῖν ὁ σωτὴρ σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι μυστικὴν ὁμολογίαν ὑπέδειξεν, ἵνα δι' αὐτῆς ὡς διὰ μέσης κλίμακος πρὸς τὴν οὐράνιον πολιτείαν ἐπαναγώμεθα, καὶ θειοτέρας βασιλείας τὸ κράτος ἀναδησώμεθα. ἐπὶ ταύτῃ τῇ πέτρᾳ τοῦ λογισμοῦ τὰς βάσεις ἐπήξαμεν, ἐφ' ἧς ἑστάναι παγίως ἐτάχθημεν, καὶ ἧς ἀσφαλῶς ἔχεσθαι τοὺς ὑπὸ χεῖρα προστάττομεν· ἵνα μή τις ἐξ ἀπροσεξίας εὐρίπιστος ὑπὸ τοῦ πονηροῦ καὶ μεταρσίου πνεύματος ἐξωθούμενός τε καὶ κρημνιζόμενος πρὸς τὸ τῆς δυσσεβείας κατολισθήσειε βάραθρον. ἀεὶ μὲν γὰρ φίλον τῷ μισανθρώπῳ δαίμονι χωρίζειν ἀπὸ θεοῦ τὸν κατ' εἰκόνα θεοῦ, καὶ πολυτρόποις ἀπάταις παρασφάλλειν τὸν ἄνθρωπον· ἀλλ' οὐδὲν αὐτῷ σπουδαιότερόν τε καὶ ἐργωδέστερον τοῦ τῆς εὐσεβείας καταγωνίζεσθαι, καὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης ἀνασοβεῖν τὴν κατάστασιν. ὃ δὴ καὶ προσεχῶς ἐπὶ τῶν προλαβόντων χρόνων ἐπεδείξατο, καὶ τῶν κατ' ἀλλήλων ἄρασθαι πόλεμον τὰς ἐκκλησίας ὑπέθετο, δι' ὧν ὀργάνων εἰς τοῦτο συνασπιζόντων ἐφηύρατο, τῷ μὲν ἱερατικῷ σχήματί τε καὶ προκαλύμματι τὴν δολερὰν συσκιαζόντων διάνοιαν, τοῖς δὲ φιλοχρίστοις λαοῖς ὀλέθριον ἐρευγομένων κατήχησιν. ἑνὸς γὰρ θελήματος καὶ μιᾶς ἐνεργείας ἐπὶ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως, ἤγουν ἐπὶ τῶν αὐτοῦ δύο φύσεων, τῆς θείας φαμὲν καὶ ἀνθρωπίνης, ἐκαινούργησαν θέσπισμα· ὥστε καὶ μίαν ἐντεῦθεν ἐπὶ Χριστοῦ φύσιν ἀσυμφανῶς εἰσηγήσασθαι βούλεσθαι, τὴν τῆς παλαιοτάτης ἐκείνης καὶ διεφθαρμένης συγχύσεως ἀναχαλκεύσαντες αἵρεσιν, μεθ' ἧς Ἀπολλινάριος μὲν ἀπώλετο, Θεμίστιος δὲ ὁ ἀθέμιτος ἀνατεθεμάτισαι, καὶ Εὐτυχὴς καὶ Διόσκορος τῇ ἀλλήλων κακοδοξίᾳ συγκαθηρέθησαν. καὶ πάντες οὗτοι, καὶ οἱ κατ' ἴχνος μὲν τούτων βαδίσαντες, ἀντιστρόφως δὲ τῆς ἀληθείας ὁδεύσαντες συνοδικαῖς τε καὶ πατρικαῖς συγκατεδικάσθησαν ψήφοις. ταύτης ἐφεξῆς τῆς νόσου ταῖς ἐκκλησίαις μετέδωκαν καὶ οἱ πρὸ τῶν ἡμετέρων χρόνων ἀνίεροι ἱερεῖς τὰς ἐκκλησίας διαστρόφως ἰθύναντες· εἰσὶ δὲ οὗτοι. Θεόδωρος ὁ τῆς Φαρὰν γενόμενος ἐπίσκοπος. Σέργιος ὁ τῆς θεοφυλάκτου ἡμῶν ταύτης καὶ βασιλίδος πόλεως γενόμενος πρόεδρος· ἔτι δὲ καὶ Ὀνώριος ὁ τῆς πρεσβυτέρας Ῥώμης πάπας γενόμενος, ὁ τῆς αἱρέσεως βεβαιωτὴς, καὶ αὐτὸς ἑαυτῷ προσμαχόμενος· καὶ Πῦρος ὁ τῆς Ἀλεξανδρέων μὲν τὴν προεδρίαν λαχὼν, ἀκυρῶσαι δὲ σπεύσας τῆς ὀρθοδοξίας τὰ δόγματα· ὁμοίως Πύῤῥος, Παῦλος, καὶ Πέτρος, οἱ τῆς βασιλίδος ἡμῶν ταύτης πόλεως τὸν πατριαρχικὸν θρόνον ὑπαλλήλως διαδεξάμενοι, καὶ τῆς διαστροφῆς τὴν ὑπόθεσιν ἀμοιβαδὸν ἀλλήλοις διακομίσαντες. τούτων ἁπάντων ἐκδικηταὶ καὶ συναιρέται κακοὶ κακῶς ἐπανέστησαν, Μακάριος ὁ τῆς Ἀντιοχέων γενόμενος πρόεδρος, καὶ Στέφανος ὁ αὐτοῦ φοιτητὴς καὶ τῆς ἀπονοίας εἰσηγητὴς, καὶ Πολυχρόνιος ὁ πολλῷ χρόνῳ συγγηράσας τῇ πολιᾷ τῆς αἱρέσεως. οἳ καὶ τοσοῦτον, οἷς ἠκολούθησαν, παρεζήλωσαν, καὶ τῷ τῆς ἀσεβείας οἴστρῳ τὴν ψυχὴν ἐξεκαύθησαν, ὥστε καὶ διασπᾶν, καὶ κατατέμνειν ἄλληλα τὰ μέλη Χριστοῦ τοὺς φιλοχρίστους ἀνέπεισαν· ὡς μηδὲ βαρβάρους τοσοῦτον, ὁπόσον Χριστιανοὺς Χριστιανοὺς ἀνταμύνεσθαι· τὴν τῶν ἁγίων ἐκκλησιῶν πρὸς ἑαυτὰς ταραχὴν καὶ διάστασιν, φιλοτιμίαν καὶ εὐφροσύνην ἀντὶ τοῦ πενθεῖν λογισάμενοι. ἀλλ' ἡμεῖς τοῖς ἄνωθεν εὐσεβῶς τε καὶ συνωνύμως προβεβασιλευκόσι παραμιλλώμενοι, τῷ τε περὶ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως ἀνακαιόμενοι ζήλῳ, καὶ τὰς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἐν εἰρηναίᾳ τάξει διατελεῖν ἐπὶ τῆς ἡμετέρας βασιλείας πρῶτον ἔργον τιθέμενοι, πορρωτέρω τὰ τῆς βλάβης διήκειν δεινότατον ἡγησάμεθα. διὸ καὶ τὴν πανίερον ταύτην καὶ οἰκουμενικὴν ἕκτην συγκαλέσαντες σύνοδον, ὡς ταῖς πρὸ αὐτῆς ἁγίαις πέντε οἰκουμενικαῖς συνόδοις ἐφάμιλλον, εἰς μέσον ἄγεσθαι τῶν ἐσφαλμένων δογμάτων, ταυτὸν δὲ λέγειν καινουργημάτων τὰς προτάσεις διεταξάμεθα. ἥ τις ἁγία σύνοδος ἕκαστα δοκιμάσασά τε καὶ ἀνακρίνασα τοὺς μὲν τὸ τῆς ὀρθῆς δόξης ἀνασείοντας κήρυγμα, καὶ τὸ τοῦ Χριστοῦ σκανδαλίζοντας ποίμνιον τῆς ἱερατικῆς αὐλῆς ἐξωστράκισεν· ὅρον δὲ θεοψήφιστον, καὶ τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας συνάγοντα εἰς ἕνωσιν ἐθεμάτισε, τοῖς μὲν εὐαγγελικοῖς καὶ ἀποστολικοῖς ἀκολουθοῦντα θεσπίσμασι, ταῖς δὲ εἰρημέναις ἁγίαις πέντε οἰκουμενικαῖς συνόδοις συνᾴδοντα. διὸ καὶ ἡμεῖς τὰ παραὐτῶν ὁροθετηθέντα κυρῶσαί τε καὶ βεβαιῶσαι βουλόμενοι τὸ παρὸν εὐσεβὲς ἤδικτον ἐκτιθέμεθα, τῆς ἀληθοῦς περὶ τὸ θεῖον πίστεως κατὰ τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς διαγορεῦον τὴν ὁμολογησιν. πιστεύομεν εἰς πατέρα, υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, Τριάδα ἐν μονάδι, καὶ μονάδα ἐν Τριάδι. μίαν οὐσίαν ἐν τρισὶν ὑποστάσεσι. μονάδα μὲν διὰ τὴν φυσικὴν ἑνότητα καὶ κυριότητα, Τριάδα δὲ διὰ τὴν τρισυπόστατον τελειότητα, καὶ τὸν πλοῦτον τῆς ὑπερφυοῦς ἀγαθότητος. μονὰς γὰρ ὡς ἀληθῶς ἡ Τριὰς ἑνιζομένη θεότητι, καὶ Τριὰς ὡς ἀληθῶς η μονὰς διαιρουμένη ταῖς ἰδιότησι, καὶ οὐ μεριζομένη τῇ ἀϊδιότητι· αὐτή τε ἑαυτῇ συναΐδιος, καὶ τὴν οὐσίαν ὁμότιμος. οὐ γάρ ἐστιν αἰὼν, ὅτε μὴ τῷ πατρὶ συνῆν ὁ υἱός· πῶς γὰρ ἂν καὶ κληθείη πατὴρ μὴ συνάναρχον ἔχων υἱόν; οὐδὲ ἦν ὅτε οὐκ ἦν σὺν ἀμφοῖν τὸ πνεῦμα τὸ ἅγιον· εἷς ὢν τὰ τρία θεὸς σὺν ἀλλήλοις νοούμενα μόνης τῆς καθ' ἕκαστον διαφορᾶς ἐν τῷ κοινῷ τῆς οὐσίας ἀδιαιρέτως διαιρούσης τὸ πρόσωπον. μόνος γὰρ πατὴρ ὁ πατὴρ, μόνος υἱὸς ὁ υἱὸς, μόνον ἅγιον πνεῦμα τὸ πνεῦμα τὸ ἅγιον. ταύταις γὰρ ταῖς διαφοραῖς οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. ἀλλ' ἐν τούτοις μὲν ἀδιαιρέτως διαιροῦνται, κοινωνοῦσι δὲ τῇ τῆς οὐσίας ἑνότητι. Τριὰς ἁπλῇ τε καὶ ἀμερὴς καὶ ἀσύνθετος ἐκ τριῶν τελείων αὐτοτελής τε

καὶ

καὶ ὑπερτέλειος, μιᾷ φύσει τε καὶ θεότητι
καὶ ἑνὶ θελήματι καὶ μιᾷ ἐνεργείᾳ δοξαζομένη.
ὧν γὰρ ἡ φύσις, μία, τούτων καὶ ἡ θέλησις καὶ
ἡ ἐνέργεια μία, καθάπερ ἐδίδαξεν ἡμᾶς ὁ
τοῦ κόσμου φωστὴρ καὶ θεοφόρος Βασίλος ὁμο-
λογοῦμεν δὲ τὸν ἕνα τῆς ἁγίας Τριάδος τὸν
μονογενῆ υἱὸν τοῦ θεοῦ καὶ θεὸν ἡμῶν, τὸν τῷ
πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι συνάναρχόν τε καὶ
ὁμούσιον, τὸν αὐτὸν ἐν ἐσχάτοις τε καὶ προωρισμέ-
νοις καιροῖς διὰ τὴν τοῦ ἀνθρωπίνου γένους σω-
τηρίαν τε καὶ ἀνάπλασιν κατελθόντα ἐκ τῶν οὐ-
ρανῶν, ἤγουν εἰς ἑκούσιον κενωθέντα ταπεινω-
σιν, ἐν τῇ μήτρᾳ τῆς ἀχράντου παρθένου καὶ
θεοτόκου Μαρίας κατασκηνώσαντα, προκαθαρ-
θείσης ψυχὴν καὶ σῶμα τῷ πνεύματι, καὶ ἐκ
τῆς ἁγίας καὶ ἀμώμου σαρκὸς αὐτῆς ἐν τῇ οἰ-
κείᾳ ὑπάρξει σάρκα λαβόντα τὴν ἡμῖν ὁμοού-
σιον· καὶ ταύτην ἑαυτῷ διὰ μέσης ψυχῆς λο-
γικῆς τε καὶ νοερᾶς συμπήξαντά τε καὶ διαμορφώ-
σαντα, καὶ γεννηθέντα ἐξ αὐτῆς παρθένου μη-
τρὸς ὑπὲρ λόγον τε καὶ παντὸς νοὸς διανόησιν.
ἀσπόρου γὰρ οὔσης καὶ ὑπερφυοῦς συλλήψεως ἄρ-
ρητός τε καὶ ἀνεκδιήγητος καὶ ἡ κύησις. προῆλθεν
οὖν καθ' ἡμᾶς ὁ ὑπὲρ ἡμᾶς Χριστός τε ὁ κύριος
πάντα φέρων ἐν ἑαυτῷ οὐσιωδῶς τὰ ἡμέτερα, μόνης
ἁμαρτίας ἐκτὸς, ὅλος ἄνθρωπος γεγονὼς, ὁ
μείνας ὅλος Θεός· ὁ αὐτὸς ἐπίγειος καὶ οὐρά-
νιος, ἀόρατος καὶ ὁρώμενος, θνητὸς καὶ ἀθάνα-
τος. δύο γὰρ φύσεις συνελθοῦσαι πρὸς ἀδιά-
σπαστον ἕνωσιν, ἕνα μὲν τὸν Εμμανουὴλ ἡμῖν
ἀπετέλεσαν, σώζοντα δὲ τὰς ἐξ ὧν συνέστηκε
φύσεων, ἀνελλιπῶς ἰδιότητας. ἁπλοῦς γὰρ ὢν ὁ
λόγος κατὰ τὴν θείαν καὶ πατρικὴν καὶ αἴδιον
γέννησιν. διπλοῦς προῆλθε κατὰ τὴν μητρι-
κήν τε καὶ χρονικὴν καὶ ἐνσώματον γέννησιν· ὥστε
ὁ δύο Χριστοῦ τοῦ Θεοῦ ἡμῶν γεννήσεις δοξά-
ζοντες μίαν αὐτοῦ πρεσβεύομεν τὴν ὑπόστασιν ἐν
δυσὶ τὸ εἶναι τελείαις ἔχουσαν φύσεσιν. εἷς γὰρ
ὢν τῆς ἁγίας Τριάδος μεμένηκε καὶ σὰρξ ὁ λό-
γος γενόμενος, τέλειος ἐν θεότητι, καὶ τέ-
λειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι ὁμούσιος τῷ
Θεῷ καὶ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμούσιος
ἡμῖν ὁ αὐτὸς κατὰ τὴν ἀνθρωπότητα· παθητὸς
σαρκὶ, ἀπαθὴς θεότητι. οὐκ ἄλλῳ τοίνυν
τὰ θαύματα, καὶ ἄλλῳ τὰ πάθη διανέμομεν,
ἀλλ' ἑνὶ καὶ τῷ αὐτῷ κυρίῳ ἡμῶν Ιησοῦ Χρι-
στῷ τὴν ἑκατέρων ἐπίδειξιν ἀπονέμομεν, κατ'
ἄλλο μὲν θαυματουργοῦντι, κατ' ἄλλο δὲ
πάσχοντι. κατὰ μὲν γὰρ τὴν θεϊκὴν αὐτοῦ
φύσιν τὴν τῶν σημείων προέφερε δύναμιν.
κατὰ δὲ τὴν ἀνθρωπίνην μορφὴν τὰ τῇ φύ-
σει προσήκοντα καὶ ἀδιάβλητα πάθη προσίε-
το ἵνα ἐν ἑαυτῷ μετασοιχειώσῃ τὸ ἐμπαθὲς
ἡμῶν εἰς ἀπάθειαν κατὰ τὸν ἀπόστολον λέ-
γοντα· δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφ-
θαρσίαν, καὶ τὸν θνητὸν τοῦτο ἐνδύσασθαι ἀθα-
νασίαν. οὐδὲ γὰρ ἀπηξίωσεν ὁ φιλάνθρωπος
Κορινθ. 25. τοῖς ἀνθρωπίνοις καὶ ἀδιαβλήτοις πάθεσιν ὁμι-
λῆσαι καὶ Θεὸς ὢν ἀθάνατος, καὶ διὰ μέσης
ψυχῆς τῷ θανάτῳ σωματικῶς συμπλακῆ-

ναι· ψυχῆς δὲ φαμὲν κατὰ πάντα τελείας καὶ
ὁλοκλήρου καὶ μηδὲν ἐλλειπούσης πρὸς ἀνθρωπί-
νην ἐντέλειαν· ἀνθρωπίνης δὲ τελειότητος ἔν-
δειξις νοῦς, καθ' ὃν καὶ θελομέν τε καὶ λογιζό-
μεθα, καὶ τῶν ἀλόγων ζώων διακρινόμεθα·
οὐδὲν γὰρ ἄνουν θελητικὸν, πᾶν δὲ θελητικὸν
νοερόν ὅπου γὰρ νοῦς, ἐκεῖ πάντως καὶ θέλη-
σις. εἰ οὖν τέλειος ἄνθρωπος γέγονεν ὁ
σωτὴρ ἐν τελειότητι μείνας τῇ θεϊκῇ, οὔτε
ἄνους, οὔτε ἀθέλητος ἦν. οἱ δὲ τῆς ἀνθρωπίνης
τοῦ κυρίου ψυχῆς τὸ κατὰ φύσιν ἀναιρεῖν πειρώ-
μενοι θέλημα, ἀνόητον μὲν αὐτὴν ὡς ὄντως
ἀνόητοι διαγράφουσιν. ἐπὶ τὴν ἀπαθῆ δὲ φύ-
σιν τά τε πάθη καὶ τὸν θάνατον ἀναφέρουσιν, ἡ-
μᾶς δὲ μὴ τελείως σωθῆναι κατασκευάζουσι δι' ὧν,
ὡς λέγουσιν ἐλλιπῶς ὁ λόγος τὴν ἡμετέραν οὐσίαν
ἀνείληφεν· εἰ γὰρ ὅλος ὅλῃ τῇ ἀνθρωπίνῃ
φύσει μὴ ἥνωται, οὐδὲ (ὅλος ὡς) ὅλος ὁ ἄν-
θρωπος σέσωσται· τὸ γὰρ ἀπρόσληπτον ἀθερά-
πευτον, ὃ δὲ ἥνωται Θεῷ, τοῦτο καὶ σώζεται κα-
τὰ τὸν τῆς θεολογίας ἐπώνυμον Γρηγόριον ἀλλ'
οὗτοι μὲν ταῖς οἰκείαις δοκήσεσί τε καὶ φαντασίαις
περιπλανάσθωσαν. ἡμεῖς δὲ τῆς ἀληθοῦς οἰκονο-
μίας τὸ μοστήριον μὴ φαυλίζοντες, οὐ μόνον νοε-
ράν τε καὶ θελητικὴν τὴν παναγίαν τοῦ σωτῆ-
ρος ψυχὴν οὖσαν πιστεύομεν, ἀλλὰ καὶ πάσαις
αὐτὴν ταῖς φυσικαῖς ἀληθῶς κινουμένην δυνά-
μεσι, καὶ τῶν ὁμοίων ἡμῖν καὶ ἀναμαρτήτων
θελητικῶς ἀντιποιουμένην παθῶν. ὅταν ὁ λό-
γος αὐτῇ παραχωρῇ ζητεῖν καὶ θέλειν τὰ ἴ-
δια. οὕτω καὶ τῆς φυσικῆς τροφῆς κατὰ λόγον
ὠρέγετο, καὶ ἐπεθύμει, ὁ ἐλυπεῖτο, καὶ ἐτα-
ράττετο. ὅτε γὰρ ὁ σωτὴρ ἐπὶ τὸ τοῦ σταυροῦ πά-
θος καθ' ἑκούσιον ἤρχετο βούλησιν, ἤρξατο
λυπεῖσθαι καὶ ἀδημονεῖν. ταύτα δὲ ψυχῆς νεορᾶς
τε καὶ θελητικῆς τυγχάνουσιν ἰδιώματα καὶ πει-
θέτω ἡμᾶς ὁ περιφανὴς πατὴρ ἡμῶν Επιφά-
νιος ἐν τῷ κατὰ Αρειομανιτῶν λόγῳ ταῦτα διε-
ξιών· ἀπὸ σαρκὸς, φησὶ, θεότητι συνηνωμέ-
νης χωρὶς ψυχῆς, ὁ νοὸς οὐ γίνεται ἀγωνία. Ματθ. 26
διὸ ὁ αὐτὸς ὁ κύριος ἔλεγε. περίλυπός ἐστιν
ἡ ψυχή μου ἕως θανάτου. εἶτα προσεύχεται πα-
ρελθεῖν τὸν ποτήριον. ὡς μὲν γὰρ ἄνθρωπος
παρῃτεῖτο τὸν θάνατον. εἶχε γὰρ καὶ τὸ μὴ θέ-
λειν ἀποθανεῖν, καθὰ διηγόρευσεν ὁ ἀοιδι-
μος Κύριλλος, διὰ τὸ παραιτεῖσθαι τὴν σάρ-
κα τὸν θάνατον φυσικῶς. ὡς δὲ Θεὸς ὁ αὐ-
τὸς προθύμως ἐπὶ τὸ πάθος ἠπείγετο. καὶ μάρ-
τυς τούτων ἀπαραλλόγιστος ὁ ἀθλοφόρος καὶ
θεοφόρος πατὴρ ἡμῶν Ἀθανάσιος, ἐν τῷ πε-
ρὶ Τριάδος γὰρ καὶ σαρκώσεως λόγῳ ταῦτα φησί·
καὶ ὅταν λέγῃ· πάτερ, εἰ δυνατὸν, παρελθέτω
ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο πλὴν μὴ τὸ ἐμὸν
γενέσθω θέλημα, ἀλλὰ τὸ σὸν δύο θελήμα-
τα ἐνταῦθα δείκνυσι, τὸ μὲν ἀνθρώπινον,
ὅπερ ἐστὶ τῆς σαρκὸς, τὸ δὲ θεϊκόν. καὶ τὸ μὲν
ἀνθρώπινον διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς πα-
ραιτεῖται τὸ πάθος, τὸ δὲ θεϊκὸν αὐτοῦ πρόθυ-
μον. εἷς μὲν γὰρ καὶ ὁ αὐτὸς ἐν ἑκατέρᾳ φύσει λα-
λῶν ποτὲ μὲν ἀνθρωποπρεπῶς, ποτὲ δὲ θεοπρεπῶς

ἀφίησι τὴν φωνήν. εἶχε γὰρ καθάφησιν ὁ πανεύφημος Κυρίλλος, ἐν ἀμφοτέροις τὴν ἐξουσίαν. ὅτε οὖν λέγει· μὴ τὸ ἐμὸν γενέθω θέλημα· τουτέστι τῆς ἀνθρωπίνης φύσεως φησί. κἀγὼ γὰρ νῦν ὡς ἄνθρωπος φθέγγομαι. ὅτε δὲ λέγει, τὸ σὸν, τὸ κοινόν φησιν ἐμοῦ τε τοῦ λόγου καὶ σοῦ. πατρὸς γὰρ καὶ υἱοῦ, καθὸ λόγος ἐστὶν ἐν τὸ θέλημα διὰ τὸ τῆς οὐσίας μοναδικὸν κατὰ τὸν ἅγιον Νυσσαέα Γρηγόριον ἐν τῷ κατὰ Ἀπολλιναρίου λόγῳ φήσαντα οὕτως. φθέγγεται μὲν ὡς ἐκ τοῦ ἀνθρώπου τὸ τῆς ἀσθενείας τῆς φύσεως πρόσφορον ὁ τὰ ἡμέτερα πάθη οἰκειωσάμενος, ἐπάγει δὲ τὴν ἑτέραν φωνὴν, τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς βούλημα κηρωθῆναι παρὰ τὸ ἀνθρώπινον ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας θέλων. ὁ γὰρ εἰπὼν, μὴ τὸ ἐμὸν, τὸ ἀνθρώπινον τῷ λόγῳ ἐσήμανε. προσθεὶς δὲ, τὸ σὸν, ἔδειξε τὸ συναφὲς τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορὰ διὰ τὴν κοινωνίαν τῆς φύσεως. εἰ οὖν ἕπεται, καθάφασιν οἱ πατέρες, τῇ φύσει τὸ θέλημα, δύο δὲ φύσεις ἐν τῷ Χριστῷ, δύο πάντως αὐταῖς καὶ φυσικὰ θελήματα δωσομεν. ὁ αὐτὸς γὰρ, ὡς εἰρήκαμεν, * καθ' ἑτέραν θέλων μορφὴν, ἤθελε μὲν ὡς Θεὸς, ἤθελε δὲ καὶ ὡς ἄνθρωπος, τῇ τῶν φύσεων ἑτερότητι καὶ δύο θελήσεων ἤτοι θελημάτων συνεκφαίνων διαφοράν. καὶ οὐκ ἐναντία θελήματα, καὶ ἀλλήλοις ἀντεξαγόμενα παρεισάγομεν. τὸ γὰρ τοῦ σωτῆρος ἀνθρωπινον θέλημα οὐκ ἦν ὑπεναντίον τῷ θείῳ θελήματι, ἀλλ' εἵπετο κατὰ πάντα τῷ τοῦ προσλαβόντος, καὶ θεώσαντος λόγου θελήματι τὸ θεωθὲν τοῦ προσλήμματος ἀνθρώπινον θέλημα, καθάφησιν ὁ θεολόγος Γρηγόριος. τὸ γὰρ ἐκείνου θέλειν, τοῦ κατὰ τὸν σωτῆρα νουμένου δηλονότι ἀνθρώπου, οὐδὲ ὑπεναντίον Θεῷ θεωθὲν ὅλον. ὁ μὲν οὖν περὶ θελημάτων λόγος ἐν ὀλίγῳ τοσοῦτος. φέρε δὲ καὶ τὸν περὶ ἐνεργειῶν ἐν συντόμῳ διαληψώμεθα λόγον, καὶ τοῖς ὁμοίοις κεχρημένοι πάλιν ἐπιχειρήμασι δύο τὰς ἐνεργείας ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν φυσικῶς ἀποδείξωμεν. οἱ γὰρ μίαν μόνην ἐπὶ Χριστοῦ δοξάζοντες τὴν ἐνέργειαν, ἢ διαιροῦσι τὰς φύσεις, ἢ ἀναφύρουσι καὶ συγχέουσι. Νεστόριος μὲν γὰρ ὁ ἀνθρωπολάτρης, καὶ οἱ τὴν ἐκείνου παραφροσύνην νοσήσαντες δύο λέγοντες φύσεις συνδιατέμνουσι ταύταις καὶ πρόσωπα, καὶ ἰσαρίθμους αὐταῖς ὑποστάσεις συμπαρεισάγουσι, μίαν δὲ αὐτῶν σχετικὴν ἀποφαίνουσι τὴν ἐνέργειαν. ἡ δὲ σχέσις δύο πάντως, ἢ καὶ πλειόνων ἀνὰ μέρος τε καὶ ἀνακεχωρισμένως ὑφεστηκότων ἐστὶ συνάφεια. οἱ τοίνυν, ὡς λέλεκται, εἰς δύο Χριστοὺς τὸν ἕνα Χριστὸν διατέμνοντες, μίαν σχετικὴν, ὡς εἴπομεν, δογματίζουσι τὴν ἐνέργειαν. Ἀπολλινάριος δὲ, καὶ Θεμίστιος, καὶ Εὐτυχὴς καὶ Σεβῆρος οἱ τῆς συμμορίας αὐτῶν τὴν μωρίαν ἀπομαξάμενοι τὰς ἐν Χριστῷ δύο φύσεις συγχέοντές τε καὶ συναλείφοντες, μίαν αὐτοῦ πεφυρμένην τε καὶ φασματώδη φύσιν πρεσβεύουσι, μίαν δὲ αὐτοῦ τερατουργοῦσιν ἐνέργειαν. καὶ ταῦτα μὲν οὗτοι· ἡμεῖς δὲ τῶν καθ' ἑκάτερα βόθρων διαιρέσεώς τε καὶ συναιρέσεως τὸν κίνδυνον ἀποκλίνοντες, καὶ οἷον βασιλικὴν διανύοντες τρίβον δύο Χριστοῦ τὰς φύσεις, καὶ τὰς τούτων ἰσαρίθμους φυσικὰς ἐνεργείας ὁμολογοῦμεν εἰς μίαν ἀμερίστως συντρεχούσας * ὑπόστασιν, καὶ τὰ ἑκάτερα ἐν τῷ κοινῷ συνεισάγουσαν ἰδιώματα. οὐχ ὡς ἑτέρου παρὰ τὰς φύσεις τοῦ προσώπου τυγχάνοντος, ἀλλ' ἐν τῇ τοῦ λόγου ὑποστάσει τῆς ἀνθρωπίνης ὅλης διαπλασθείσης φύσεως, καὶ τὰ ἑαυτῆς ἀνελλιπῶς ἐνεργούσης μεθ' οὗ ἥνωται καθ' ὑπόστασιν λόγου δίχα μόνης ἁμαρτίας, ὥσπερ καὶ τοῦ λόγου τελείως ἐνεργοῦντος τὰ ἴδια μεθ' ἧς ἀνθρωπίνης ἀνέλαβε φύσεως οὕτω τε ἡμῖν εὐσεβῶς πιστεύουσι φυλαχθήσεται τὸ κατὰ τὸν μακάριον Λέοντα. ἐνεργεῖν ἑκατέραν μορφὴν μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκε. τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος, ἅπερ ἐστὶ τοῦ σώματος. ἃ μὲν γὰρ εἶχεν ὡς ὁμούσιος τῷ πατρὶ, ταῦτα κατεργάζετο θεϊκῶς. διὰ δὲ τῆς ἀνθρωπίνης μορφῆς. ἃ δὲ προσείληφεν ἐξ ἡμῶν ὡς ὁμούσιος ἡμῖν τὰ αὐτὰ εἰργάζετο ἀνθρωπίνως, ἀλλ' οὐχ ὡς ψιλὸς ἄνθρωπος, ἀλλ ὡς ἐνανθρωπήσας Θεός. καὶ γάρ φησιν ἐν τοῖς θησαυροῖς ὁ πανεύφημος Κύριλλος. ἔστιν ἰδεῖν κατὰ ταυτὸν ἀμφότερα ἐν αὐτῷ· Θεὸς γὰρ ἦν ἀληθινὸς ἐν σαρκὶ, καὶ σὰρξ ἀληθὴς ἐν Θεῷ. δι' ὧν οὖν ἔδει γνωρίζεσθαι Θεὸν, ταῦτα θεϊκῶς ἐνεργεῖ· καὶ ἀφ' ὧν ἦν ἀναγκαῖον ἄνθρωπον ὄντως ὁρᾶσθαι, ταῦτα ποιεῖ καὶ λέγει οἰκονομῶν τῷ μυστηρίῳ τὴν ἀλήθειαν. τὸ μὲν γὰρ σωματικοῖς βαδίζειν ποσὶ καὶ πρὸς κόπον ὁδοιπορεῖν, καὶ διὰ γλώσσης λαλεῖν ἀνθρωπίνης φύσεως ἔργον ἐτύγχανε. τὸ δὲ τοῦ παραλυτικοῦ λόγῳ θεραπεῦσαι τὰ μέλη, καὶ τοῦ κωφοῦ πρὸς τὸ φθέγγεσθαι διαρθρῶσαι τὴν γλῶτταν, καὶ τοῖς κοπιῶσί τε καὶ πεφορτισμένοις ἀπό τε πλήθους ἁμαρτημάτων, καὶ νοσημάτων παρέχειν ἄφεσιν καὶ ἀνάστασιν, ἔργα θεϊκῆς ὑπῆρχε δυνάμεως, ἀλλ' οὐδέτερον ἄνευ θατέρου γέγονε. καὶ προσφερέσθω πάλιν εἰς μέσον ὁ ἁγιώτατος Λέων ἐν τῇ πρὸς Λέοντα τὸν βασιλέα ἐπιστολῇ ταῦτα δὴ γεγραφώς· εἰς τοσαύτην ἐνότητα κατ' αὐτὴν τῆς παρθένου τὴν σύλληψιν τῆς θεότητός τε καὶ ἀνθρωπότητος συμπλακείσης, ὥστε μήτε δίχα τοῦ εἶναι αὐτὸν ἄνθρωπον τὰ θεῖα, μήτε δίχα τοῦ εἶναι Θεὸν τὰ ἀνθρώπινα πράττεσθαι. ἰδοὺ σαφῶς διηγόρευσεν ὁ πατὴρ, ἐν τῇ τοῦ προσώπου ἐνότητι κοινωνικῶς τε καὶ οὐκ ἀπεσχοινισμένως, οὐδὲ συγκεχυμένως ἑκατέραν φύσιν ἐνεργεῖν τὸ προσφύες τε καὶ ἴδιον· ἵνα καὶ Θεὸς εἶναι πιστεύηται, καὶ τὴν οἰκονομίαν πιστώσηται. εἷς οὖν ὑπάρχων ὁ κύριος Ἰησοῦς Χριστὸς τέλειος ἐν θεότητι, καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι, ἐνεργεῖ μὲν ὡς Θεὸς, ἐνεργεῖ δὲ καὶ ὡς ἄνθρωπος, τῇ δυάδι τῶν φύσεων καὶ δύο φυσικὰς ἐνεργείας ἀποπληρῶν. τὸ γὰρ ἑτερογενῆ τε καὶ ἑτεροφυᾶ κατὰ τὸν πάνσοφον Κύριλλον τὴν αὐτὴν ἐνέργειαν ἔχων οὐκ ἄντις δοίη σωφρονῶν. ἀλλ' ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας ἤτοι τῆς ποιότητος τὸν λόγον, οὕτω καὶ διάφορον ἀποδώσου-

* καθ' ἑκατέραν

* L. ἴσ. ὑτ. τα ἑκατέρας

σωσι τῳ ἐνέργειαν. ὡς καὶ ὁ μέγας Βασίλειος ἐν τῷ κατ' Εὐνομίου συλλογίζεται λόγῳ, ὅτι τῆς ἑτερουσίας οὐκ ἔστιν ἡ ἐνέργεια μία. δύο τοίνυν φυσικὰς θελήσεις ἤτοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ὀρθοδόξως πρεσβεύομεν, καὶ ὅπως πᾶσι τοῖς φιλοχρίστοις φρονεῖν δοκᾷ τάδε ἡμῶν τοῦ εὐσεβοῦς ἠδίκτου διαγορεύομεν. δεχόμεθα δὲ καὶ σεβαζόμεθα τὰς ἁγίας καὶ οἰκουμενικὰς πέντε συνόδους, τῳ ἐν Νικαίᾳ τῆς τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων κατὰ τῆς Ἀρειανικῆς συνεδρευσάντων μανίας· οἵ καὶ τὸ θεῖον τῆς πίστεως συνεργίᾳ τῆς τριαδικῆς καὶ ὁμοτίμου θεότητος ὡροθέτησαν σύμβολον· καὶ τῳ ἐν τῇ Θεοφυλάκτῳ ἡμῶν βασιλίδι πόλει τῆς ἑκατὸν πεντήκοντα κατὰ τῆς Μακεδονιανῆς πνευματομάχου γνώμης ἅμα, καὶ γλώττης, καὶ Μάγνου τοῦ Ἀπολιναριστοῦ συνηθροισμένων πατέρων· οἵ καὶ συμφωνίᾳ τοῦ παναγίου πνεύματος τὸ λεχθὲν μέγα καὶ σεβάσμιον ἐφθέγξαντο σύμβολον, τὰ περὶ τοῦ ἁγίου πνεύματος, ὅτι θεὸς βεβαιώσαντες δι' ὧν ἀνέπτυξαν ἐκτυπώτερον. καὶ τῳ ἐν Ἐφέσῳ συνελθόντι τὸ πρότερον, ἧς ἦρχον Κελεστῖνος καὶ Κύριλλος, οἵ σὺν τῷ δεσπότῃ Χριστῷ καὶ ἀδιαιρέτῳ Θεῷ ἡμῶν τὸν διαιρέτην Νεστόριον σὺν τῇ αὐτοῦ βεβήλῳ καὶ κακοδόξῳ δόξῃ κατέκριναν. πρὸς τούτοις ἔτι περιπτυσσόμεθα τῳ τῆς ὅλων σφραγῖδα ᾧ κύρωσιν, τῳ ἁγίαν ἐν χαλκηδόνι σύνοδον τῆς ἑξακοσίων τριάκοντα καὶ ἀριθμῷ καὶ πλήθει τετιμημένων πατέρων· ὧν τῆς ἀσεβείας τῇ μάσιγι Διόσκορος καὶ Εὐτυχῆς σωεπλήγησαν, καὶ τῇ τῆς δυσσεβείας κάρᾳ τῳ ἱερωσύνην συναπετμήθησαν. δεχόμεθα δὲ καὶ τῳ ἐν χρόνοις Ἰουστινιανοῦ τοῦ τῆς θείας λήξεως ἐν τῇ λεχθείσῃ Θεοφυλάκτῳ ἡμῶν ᾧ πανδαίμονι πόλει κεκροτημένῳ σύνοδον κατ' Ὠριγένους, καὶ Διδύμου, καὶ Εὐαγρίου τῆς θεομάχων . . .

. . . . . .

. . . . . .

ἀναξιοπῇ δὲ τῆς δεκαδύο κεφαλαίων τοῦ πανσεφήμου Κυρίλλου Θεοδωρήτου πεπονημένων, καὶ ἀναιρέσει τῆς λεγομένης Ἴβα γεγράφθαι πρὸς Μάριν τὸν Πέρσην ἐπιστολῆς. ταύτας δὴ τὰς οἰκουμενικὰς καὶ θεολέκτους συνόδους, οἷόν τινα κλῆρον οὐράνιον τοῖς τῆς ψυχῆς ταμείοις ἐναποθέμενοι, καθάπερ νοητὰς μαργαρίτας τὰ παρ' αὐτῆς θησαυριζόμενα δόγματα. καὶ ὥσπερ ἀπεβάλοντο καὶ ἀνεθεμάτισαν, ἀνεθεματίζομεν ᾧ ἀπεβαλόμεθα· καὶ ὡς εἰσεδέξαντο δεχόμεθα, καὶ πατέρας ἡμῶν ἐγγραφόμεθα. ἀναθεματίζομεν δὲ πᾶσαν αἵρεσιν ἀπὸ Σίμωνος ἄχρι καὶ νῦν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ παρεισδύσασαν, καὶ τῳ τῆς πιστῶν εἰρήνου τε καὶ ὁμονοίας περιεχίσασαν. πρὸς τούτοις δὲ πᾶσιν ἀναθεματίζομεν καὶ ἀποβαλλόμεθα τὰς τῆς κενῶν καὶ νέων δογμάτων αἱρεσιάρχας καὶ ἀντιλήπτορας· φαμὲν δὴ Θεόδωρον τὸν τῆς Φαρὰν γενενημένον ἐπίσκοπον· Σέργιον τὸν τῆς θεοφυλάκτου ἡμῶν ταύτης καὶ βασιλίδος πόλεως γενόμενον πρόεδρον. τὸν τούτου ὁμόφρονα καὶ ὁμόξοπον τὴν ἀσέβειαν· ἔτι δὲ καὶ Ὀνώριον τὸν τῆς πρεσβυτέρας Ῥώμης πάπαν γενόμενον, τὸν κατὰ πάντα τούτοις συναιρετὴν καὶ σύνδρομον καὶ βεβαιωτὴν τῆς αἱρέσεως· καὶ Κῦρον τὸν τῆς Ἀλεξανδρέων ἐπισκοπήσαντα. ὁμοίως Πύῤῥον, Παῦλον, Πέτρον, τοὺς τῆς Βασιλίδος ταύτης πόλεως προεδρεύσαντας. καὶ πρὸς τούτοις Μακάριον τὸν τῆς Ἀντιοχέων γενόμενον ἐπίσκοπον, Στέφανόν τε τὸν αὐτοῦ μαθητὴν, καὶ τὸν ἄφρονα Πολυχρόνιον· καὶ πάντας τοὺς φρονοῦντας ἢ μέλλοντας φρονεῖν ἓν θέλημα καὶ μίαν ἐπὶ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομίας ἐνέργειαν. τούτων ὅπως ἁπάντων ἀπὸ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς ἕκτης συνόδου διατυπωθέντων, . . .

. . . . . .

*Sancimus, ὥσε μηδένα τῆς πάντων ἑτέρου τι περὶ τὴν πίστιν ἐργάζεσθαι, ἢ καινότερον δόγματος ἐφεύρημα μηχανήσασθαι, ἢ ὅλως περὶ ἑνὸς θελήματος, καὶ μιᾶς ἐνεργείας διδασκαλίαν ἐμφαίνειν, ἢ λόγον ἀνακινεῖν. ἅπαντες γὰρ οἱ ἱεροὶ καὶ ἔγκριτοι πατέρες ταῖς φύσεσι τὰ θελήματα καὶ τὰς ἐνεργείας διδάσκουσιν ἕπεσθαι. καὶ ὥσπερ δύο φύσεις ἐπὶ Χριστοῦ πεπιστεύκαμεν, ὅπως καὶ δύο φυσικὰς θελήσεις ἤτοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας δοξάζομεν. ταῦτα τῆς ἀληθοῦς εἰς Θεὸν ὁμολογίας τὰ δόγματα· ταῦτα τῆς εὐαγγελικῶν τε καὶ ἀποστολικῶν φωνῶν τὰ κηρύγματα· ταῦτα τῆς ἁγίων συνόδων, καὶ τῆς ἐγκρίτων, καὶ παλαιῶν γλωσσῶν τὰ διδάγματα. ταῦτα Πέτρος ἡ πέτρα τῆς πίστεως, ἡ κορυφὴ τῆς ἀποστόλων ἀνόθευτα παρεφύλαξεν. ἐν ταύτῃ τῇ πίστει καὶ ζῶμεν καὶ βασιλεύομεν, καὶ τῷ συμβασιλεύοντι Θεῷ συμβασιλεύειν ὧδις ἐλπίζομεν· ταύτῃ συνεκδημεῖν ἐντεῦθεν ἀρχόμεθα, καὶ τῷ τῷ Χριστοῦ παρίσασθαι βήματι. ἐπὶ ταύτῃ ἅπαντας τὴν ὁμολογίαν προφέρομεν, καὶ συλλαλεῖν ἡμῖν τῷ Θεῷ προσκαλούμεθα· ἐπ' ὄρους ὑψηλοῦ τῆς βασιλείας ἑστῶτες κηρύττομεν, καὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης τὴν φάνδημον ἑορτὴν διαγγελιζόμεθα. ἡ ποτὲ γὰρ τῆς φιλοχρίστων διχόνοια νῦν εἰς ὁμόνοιαν μετεχώρησε. τὰ τῆς αἱρετικῶν συνεξέβησαν σκάνδαλα καὶ τὴν ἰδίαν ἀξίαν ἡ πίστις ἀνεκομίσατο ταῖς ἑαυτῆς ἐκκλησίαις τοῦ Χριστοῦ μεσιτεύσαντος. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ λύσας τὸ φραγμὸν τὸ μεσότοιχον, καὶ τὰ τῷ χρόνῳ διεσῶτα συμβιβάσας εἰς ἕνωσιν. εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, καὶ μία σήμερον ἐν Θεῷ ἡ ἐκκλησία. εἴ τις οὖν φιλόχριστος καὶ φοβεῖται τὸν κύριον, καὶ τῆς ἐλπιζομένης σωτηρίας ὀρέγεται, ταύτης ἐχέθω τῆς ὀρθοδόξου πίστεως, ὡ γὰρ ἔστι δὶ ἄλλης πίστεως σώζεσθαι. εἰ δέ τις ἀνθρωπίνοις μὴ προσώποις χαρίζεται, τῳ δὲ πρὸς Θεὸν ἀγάπῃ ζηλωτικῶς οὐκ ἐνδείκνυται, καὶ τὴν παροῦσαν ἡμῶν ἀσεβῆ παραλογίζεται διαγόρευσιν, εἰ μὴ ἐπίσκοπός ἐστιν, ἢ κληρικὸς, ἢ καὶ μοναχικὸν περιβέβληται σχῆμα, τῳ τῆς καθαι-

* Θεσπίζομεν.

ρέσεως

ρέσεως ἀποτίσει ποινήν. εἰ δὲ ἐν ἀξιωμάτων τάξει τελεῖ, τιμωρίαν ὑφέξει τὴν δήμευσιν, καὶ τὴν τῆς ζώνης ἀφαίρεσιν. εἰ δὲ ἐν ἰδιώτου μοίρα καθέστηκε, τὴν ἐκ τῆς βασιλίδος, καὶ πάσης ἁπλῶς ἡμῶν πόλεως ὑπερορίαν κατακριθήσεται· καὶ πρὸς τούτοις ἅπασι τὴν ἐκ τῆς φοβερᾶς καὶ ἀδεκάστου κρίσεως οὐκ ἐκφεύξεται κόλασιν.

ΑΝΤΙΓΡΑΦΟΝ ΘΕΙΑΣ ΣΑΚΡΑΣ

Τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου, γενομένη πρὸς Λέοντα τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, σταλεῖσα διὰ τῶν ἐκεῖθεν ἀποσταλέντων συνοδικαρίων παρὰ περιόντος Ἀγάθωνος τοῦ τῆς ὁσίας μνήμης. ἀπελύθη μηνὶ Δεκεμβρίῳ ιγ'. ἰνδικτιῶνος δεκάτης.

Λέοντι τῷ ἁγιωτάτῳ, καὶ μακαριωτάτῳ ἀρχιεπισκόπῳ τῆς ἀρχαίας καὶ περιδόξου πόλεως Ῥώμης, καὶ οἰκουμενικῷ πάπᾳ.

ΤΗΣ τῶν οὐρανῶν ἀκαταλήκτου βασιλείας τε καὶ μακαριότητος ἐφιέμενοι, καὶ πρὸς τὴν πνευματικὴν υἱοθεσίαν τὸν φιλευσεβῆ σκοπὸν ἡμῶν διευθύνοντες, ἐκεῖνα διαμελετῶμεν καὶ πράττομεν, ὅσα τοῦ σπουδαζομένου τυχεῖν ὑποτίθεται. τί οὖν ὁ κύριος ἐν εὐαγγελίοις ἐπηγγείλατο; μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. ταύτης δὴ τῆς ἐπαγγελίας τῆς καὶ πρὸς θείαν ἡμᾶς ἀναβιβαζούσης συγγένειαν, καὶ τὴν τῆς υἱοθεσίας χαριζομένης εὐγένειαν ἐντὸς γένεσθαι βουλόμενοι, καὶ τὸν περιστέψαντα ἡμᾶς Χριστὸν αὐτὸν ἐκμιμούμενοι, καὶ τὸ πᾶν ἐν ἑαυτῷ τῷ Θεῷ καταλλάξαντα, πρὸς εἰρήνην τε καὶ ὁμόνοιαν τὴν ἡμετέραν φιλόχριστον πολιτείαν ἄγειν σπουδάζομεν· ἐξαιρέτως δὲ τῆς τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν εὐταξίας φροντίζομεν, καὶ τὴν τῆς πίστεως ἕνωσιν διὰ παντὸς ἐμπορεύεσθαι προνοούμεθα. λίαν τοίνυν καὶ οὐ μετρίως ἐχαλεπαίνομεν, καὶ τὸ λοιπὸν οὐκ ἐφέρομεν τὴν τοσαύτην τῷ χρόνῳ διάστασιν συνακμάσασαν, ὥστε καὶ τοὺς ἀπίστους τοῖς φιλοχρίστοις ἐπιγελᾷν, καὶ εὐφροσύνην ἡγεῖσθαι τὴν τῶν χριστιανῶν εἰς ἀλλήλους ἀπέχθειαν. τὴν πρὸς ἐκείνους γὰρ ἀφέντες ἀντιπαράταξιν, κατ' ἀλλήλων τὰς γλώσσας ἠκονημένῳ ξυρῷ ταῖς δυσφημίαις ἐξώπλιζον, καὶ τὴν πίστιν ταῖς διχονοίαις συγκατεδίχαζον. ταῦτα πρὸ τῶν ἡμετέρων χρόνων ἀρξάμενα, καὶ εἰς τοσοῦτον κακίας ἐλάσαντα, ὥστε καὶ τὸ πάθος ἀνίατον μένειν δοκεῖν, στῆσαι μὲν ἦν χαλεπὸν, μὴ στῆσαι δὲ χαλεπώτερον· καὶ παρώργιζον μὲν Θεὸν, παρώργιζον δὲ καὶ τὴν ἡμῶν ἡμερότητα. οὐκ ἄλλως τοίνυν τὴν συνέχουσαν νόσον τὰς ἐκκλησίας τοῦ Θεοῦ θεραπεῦσαι διέγνωμεν, εἰ μήπως δὴ τοὺς τοῦ Θεοῦ μὲν ἱερεῖς καὶ θεράποντας, τῶν δὲ τοιούτων θεραπευτὰς εἰς ἐπίσκεψιν προτρεψόμεθα. πολλάκις γὰρ ἡ ἐκκλησία ταῖς εἰσβολαῖς τῶν αἱρέσεων ἐπεκινδύνως ἐνόσησεν, ἀλλ' οὐχ ἑτέρως ἐδέξατο τῆς ὀρθοδοξίας τὴν ἴασιν, εἰ μὴ ταῖς τῶν εὐσεβῶν καὶ φιλοχρίστων βασιλέων προσκλήσεσι, ταῖς δὲ τῶν θεοφόρων ἱερέων συννεύσεσί τε καὶ συνελεύσεσι· διὸ δὴ τὴν μὲν τοῦ ἐν ἁγίοις πάπα Ἀγάθωνος μακαριότητα δι' εὐσεβῶν ἡμῶν κεραιῶν στεῖλαί τινας τοὺς τὸ πρόσωπον αὐτοῦ ἐπέχοντας προετρέψαμεν. τοὺς δὲ λοιποὺς ἁγιωτάτους προέδρους διηγορεύσαμεν τοὺς ὑπ' αὐτὸν ἕκαστον ὁσιωτάτους ἱερεῖς συγκαλέσαντα, πάντας ὁμοῦ κατὰ τὴν θεοφύλακτον ἡμῶν καὶ βασιλίδα συναγείρεσθαι πόλιν. ὥστε τοῦ μὲν σεσηπηκότος, ἢ σκανδαλίζοντος μέλους τὸ ἀλυσιτελὲς ἐκτεμεῖν, ἡνίκα μὴ βούλητε μάλιστα τὸ θεραπεύεσθαι δέχεσθαι· τὸ δὲ λοιπὸν ἅπαν καταῤῥῶσαι σῶμα Χριστοῦ τοῖς τῆς εὐσεβείας δόγμασί τε καὶ καταπλάσμασι. συμφέρει γὰρ εὐαγγελικῶς εἰπεῖν, ἵνα ἓν μέλος ἀπόληται, καὶ σώζηται τῆς ἐκκλησίας ὅλης τὸ πλήρωμα. καὶ δὴ κατὰ τὴν ἡμετέραν πρόσκλησίν τε καὶ πρόσταξιν τῶν τε τοῦ μέρους τῆς ὑμετέρας μακαριότητος, τῶν τε συνθρόνων αὐτῇ μετ' αὐτὴν ἁγιωτάτων πατριαρχῶν, καὶ τῶν λοιπῶν ἁπάντων ὁσιωτάτων ἐπισκόπων τῇ ἡμετέρᾳ συνελθόντων τε, καὶ συνεδρευσάντων φιλευσεβεῖ γαληνότητι τὸν περὶ πίστεως διεγυμνάζομεν λόγον. αὐτίκα γοῦν τὴν πρὸς τὸ ἡμέτερον κράτος τοῦ ἐν ἁγίοις πάπα Ἀγάθωνος ἀναφορὰν οἱ τὸ πρόσωπον αὐτοῦ ἐπέχοντες προκομίσαντες, φαμὲν δὴ, Ἀβουνδάντιος, Ἰωάννης, καὶ Ἰωάννης οἱ ἁγιώτατοι ἐπίσκοποι· Θεόδωρος καὶ Γεώργιος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ Ἰωάννης ὁ θεοφιλέστατος ἀρχιδιάκονος, καὶ Κωνσταντῖνος ὁ εὐλαβέστατος ὑποδιάκονος, καὶ Θεόδωρος ὁ θεοφιλέστατος πρεσβύτερος τῆς ἐκκλησίας Ῥαβέννης, καὶ οἱ σὺν αὐτοῖς τῇ ἡμετέρᾳ γαληνῇ ταύτην ἀνέτειναν, ἣν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι κελεύσαντες τῆς ὑγιοῦς τε καὶ ἀνοθεύτου πίστεως ἐν αὐτῇ τὸν χαρακτῆρα κατωπτρισάμεθα. τάς τε γὰρ εὐαγγελικάς τε καὶ ἀποστολικὰς φωνὰς ἀνακρίναντες, τά τε παρὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων συγκροτηθέντα καὶ ὁρισθέντα ταύτῃ συγκρούσαντες, καὶ ἅσπερ ἔφερε χρήσεις τοῖς πατρικοῖς παραβαλόντες συντάγμασι, καὶ μηδὲν εὑρηκότες ἀσύμφωνον, ἀπαραχάρακτον τῆς ἀληθοῦς ὁμολογίας ἐν αὐτῇ τὸν λόγον κατενοήσαμεν· καὶ ὥσπερ αὐτὸν τὸν ἐξάρχοντα τοῦ ἀποστολικοῦ χοροῦ τὸν πρωτοκάθεδρον Πέτρον τοῖς νοητοῖς κατενοήσαμεν ὄμμασι τὸ τῆς οἰκονομίας ὅλης θεολογοῦντα μυστήριον, καὶ διὰ τῶν γραμμάτων τῷ Χριστῷ προσφθεγγόμενον· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. αὐτὸν γὰρ ὅλον Χριστὸν ἡμῖν τὸ ἱερὸν αὐτοῦ γράμμα τῷ λόγῳ διέγραφεν. ὅπερ ἅπαντες ἀσπασίως τε καὶ εἰλικρινῶς ἐδεξάμεθα, καὶ οἷον αὐτὸν Πέτρον ταῖς τῆς ψυχῆς ἀγκάλαις ὑπεδεξάμεθα. μόνος δὲ σὺν οἷς ὑπεσύρετο Μακάριος ὁ μὴ μακάριος ἀπεστάτησεν, ὃς

Ματθ. 5

Ματθ. 16.

τῆς

τῆς Αντιοχέων προήδρευσε· καὶ τοῦ μὲν ζυγοῦ τοῦ Χριστοῦ ἀπεναντίας ἑαυτὸν ὑπεξήγαγε, τῆς δὲ ἱερατικῆς ὁμηγύρεως ἀπεσκίρτησε· μηδὲ γὰρ ὅλως συνθέσθαι τοῖς πανιέροις Αγάθωνος κατένευσε γράμμασιν, ὥσπερ ἂν εἰ καὶ κατ' αὐτοῦ τοῦ κορυφαίου Πέτρου μαινόμενος. πολλὴ μὲν οὖν ἡ παραίνεσις, πολλὴ δὲ καὶ ἡ παράκλησις αὐτῷ προσεφέρετο. πάσης γὰρ ἐπιστροφῆς ὁδὸν ὑπεδείξαμεν. τί μὲν οὐ λέγοντες; τί δὲ οὐ τεχναζόμενοι τῶν, ὅσα μάλιστα μὲν . . . . . τοῦ ἱερατικοῦ συλλόγου χωρίζουσι. * διεπόμεθα γὰρ αὐτῷ, πῶς γὰρ οὐχί; καὶ τοῖς οἰκτιρμοῖς τὸ σπλάχνον ἐσπαρασσόμεθα, διασπωμένῳ τῆς τοῦ κυρίου ἀγέλης. ἀλλ' ὄψις πόρνης ἐγένετο αὐτῷ, καὶ τὸ τῆς ἀναισχυντίας ἐνεδύσατο πρόσωπον, καὶ σὺν τῇ παρακλήσει καὶ τὴν εὐσέβειαν ἀπεκρούσατο. οὐ γὰρ συνῆκε τοῦ συνιέναι· καὶ λόγον ὅσιον ἐβδελύξατο. καὶ τί μηκύνομεν τὴν περὶ τούτων ἐξήγησιν, περὶ ὧν διηγεῖται λεπτομερέστερον τῶν πεπραγμένων ἡ δύναμις; δι' ὧν σταλέντων ὑμῖν τῶν κινηθέντων ἁπάντων τὴν εἴδησιν ἀνιχνεύετε. ἐπεὶ δὲ οὕτως ἐσκλήρυνε, καὶ νεῦρον σιδηροῦν τὸν τράχηλον ἀνετείνατο, καὶ τὸ πρόσωπον ἀπεχάλκωσε, τά τε ὦτα τοῦ μὴ ἀκούειν ἐβάρυνε, καὶ τὴν καρδίαν ἔταξεν ἀπειθῆ τοῦ μὴ εἰσακοῦσαι τοῦ νόμου. νόμος γὰρ ἐκ Σιὼν ἐκπορεύεται, τῆς ἀποστολικῆς ἀκρωρείας τὰ δόγματα· διάτοι ταῦτα καὶ ἡ ἁγία τε καὶ οἰκουμενικὴ σύνοδος τὸν αὐτὸν φρενοβλαβῆ Μακάριον σὺν τοῖς αὐτῷ συναιρέταις τοῦ μὲν ἱερατικοῦ σχήματος ἀπεγύμνωσε. κοινῇ δὲ πάντες δι' ἐγγράφου δεήσεως τὴν ἡμετέραν γαλήνην ἱκέτευσαν πρὸς τὴν ὑμετέραν τούτους παραπέμψαι μακαριότητα. τοῦτο δὴ καὶ πεπράχαμεν, καὶ πρὸς ὑμᾶς ἐκείνους ἐστάλκαμεν, τῇ ὑμετέρᾳ πατρικῇ κρίσει τὸ πᾶν περὶ αὐτῶν ἐπιτρέψαντες. θεῖον δὲ καὶ σεβάσμιον ὅρον ἡ ἁγία σύνοδος ἐξεβόησεν, ᾧ καὶ συνυπεγράψαμεν, καὶ δι' εὐσεβῶν ἡμῶν ἠδίκτων τοῦτον ἐπεκυρώσαμεν, προτρέψαντες ἅπαντα τὸν φιλόχριστον ἡμῶν λαὸν τῇ ἐν αὐτοῖς ἐγγεγραμμένη πίστει συνέπεσθαι, καὶ μηδὲν τὸ παράπαν ἐφευρίσκειν αἱρεσιούργημα. καὶ δόξα τῷ ποιοῦντι δεδοξασμένα θεῷ, τῷ παρ' ὑμῖν τὴν πίστιν ἀπαρεγχείρητον διασώσαντι. πῶς γὰρ οὐκ ἔμελλεν, ἐν ᾗ πέτρᾳ τὴν ἐκκλησίαν ἐθεμελίωσε, καὶ πύλαις ἅδου
Ματθ. 16. ταῖς αἱρετικαῖς ἐνεδρεύσεσι μὴ κατισχυθήσεσθαι προηγόρευσεν; ἐξ ἧς ὥσπερ ἐξ οὐρανίων ἀψίδων τῆς ἀληθοῦς ὁμολογίας ὁ λόγος ἀνέλαμψε, καὶ τὰς ψυχὰς τῶν φιλοχρίστων ἐφώτισε, καὶ τὴν ὀρθοδοξίαν κατεψυγμένην ἀνεζωπύρησε. ταῦτα κατὰ σκοπὸν Θεοῦ συνεύσαντος διηνύσαμεν, καὶ εἰς μίαν ποίμνην τὰ τοῦ Χριστοῦ πρόβατα συνηλάσαμεν, οὐκέτι μὲν οὖν τοῖς μισθωτοῖς καὶ οὐκ οὖσι ποιμέσιν ἐξαπατώμενα, καὶ διὰ τοῦτο τοῖς λύκοις ἁλώσιμα· ἐνὶ δὲ καὶ μόνῳ ποιμένι τῷ καλῷ ποιμαινόμενα, ᾧ καὶ ὑμεῖς συμποιμαίνειν ἐτάχθητε, καὶ ὑπὲρ τῶν προβάτων τιθέναι τὴν ψυχὴν διετάχθητε. οὐκοῦν ἀνδρίζου, καὶ ἴσχυε, καὶ τὴν τοῦ λόγου ῥομφαίαν περίζωσαι, καὶ θείῳ ζήλῳ ταύτην παράθηξον, καὶ στῆθι ἑδραῖος τῆς εὐσεβείας ὑπέρμαχος, καὶ πᾶσαν αἱρετικὴν ἀκοὴν καὶ εἰσήγησιν ἐκτεμεῖν προθυμήθητι, καθὰ καὶ Πέτρος, τὸ πρότερον τὸ τῆς Ιουδαϊκῆς ἀκροάσεως αἰσθητήριον τῇ μαχαίρᾳ πατάξας ἀφείλετο. τῆς νομικῆς τε καὶ ἀνδραποδώδους συναγωγῆς προδιαγράφων τὴν κώφευσιν. ἀνάτεινον τὴν ἀξίνην τοῦ πνεύματος, καὶ πᾶν δένδρον καρπὸν ἐκφύον αἱρέσεως ἢ κατηχήσεσι μεταφύτευσον, ἢ κανονικαῖς ἐπιτιμήσεσιν ἔκκοψον, καὶ εἰς τὸ πῦρ τῆς μελλούσης γεέννης παράπεμψον. ἵνα πάντοθεν τῶν τὴν πίστιν λυμαινομένων ἐκτεμνομένων, ἐρρωμένον ᾖ καὶ ὁλόκληρον τῆς ἐκκλησίας τὸ σῶμα, τῇ εἰρήνῃ τοῦ πνεύματος συσφιγγόμενόν τε καὶ συναρμολογούμενον. ἧς ἀκλονήτου μενούσης κλονεῖται μὲν τῶν δυσμενῶν ἡ στάσις τε καὶ ἀντίστασις, ἐρείδεται δὲ τῇ πέτρᾳ τῆς πίστεως ὁ θρόνος τῆς ἡμῶν γαληνότητος, ἰθύνεται δὲ πρὸς τὸ συμφέρον τοῦ ἡμετέρου κράτους τὰ βουλεύματα καὶ κινήματα, τῆς ὅλης δὲ πολιτείας Ρωμαϊκῆς ἡ κατάστασις συγγαληνιᾷ τῇ γαλήνῃ τῆς πίστεως. προτρέπομεν δὲ τὴν ὑμετέραν πανίερον κορυφὴν ἀνυπερθέτως ἐκπέμψαι τὸν παρ' αὐτῆς ὁριζόμενον ἀποκρισιάριον, ἐφ' ᾧ τοῦτον κατὰ τὴν βασιλίδα καὶ θεοφύλακτον ἡμῶν διάγειν πόλιν, καὶ ἐν τοῖς ἀνακύπτουσιν εἴτε δογματικοῖς, εἴτε κανονικοῖς καὶ ἁπλῶς ἐκκλησιαστικοῖς ἅπασι πράγμασι τὸ τῆς ὑμετέρας ἁγιωσύνης ἐξεικονίζειν πρόσωπον. ἔρρωσο ἐν κυρίῳ μακαριώτατε, καὶ ὑπερεύχεσθαι τοῦ ἡμετέρου κράτους συντονώτερον διανάστηθι.

Η' Υ'ΠΟΓΡΑΦΗ' ΤΟΥ εὐσεβεστάτου βασιλέως.

Τὸ θεῖόν σε περιφυλάξῃ ἐπὶ πολλοὺς χρόνους ἁγιώτατε καὶ μακαριώτατε πάτερ.

ΑΝΤΙΓΡΑΦΟΣ ΘΕΙΑ ΣΑΚΡΑ ΤΟΥ

Αὐτοῦ ὁσιωτάτου καὶ φιλοχρίστου βασιλέως Κωνσταντίνου γενομένη πρὸς τὴν ἁγίαν σύνοδον τοῦ ἀποστολικοῦ θρόνου Ρώμης, καὶ σταλεῖσα διὰ τῶν αὐτῶν συνοδικαρίων.

Πάσαις ταῖς ἁπανταχοῦ ἁγίαις συνόδοις ταῖς ἀνηκούσαις τῇ συνόδῳ τοῦ ἀποστολικοῦ θρόνου.

ΦΑιδρὸς ὑμῶν καὶ περίβλεπτος ὁ πανίερος σύλλογος, ὃν ὑπὲρ τῆς ἐκκλησίας συνήθροισε τὸ πνεῦμα τὸ ἅγιον, καὶ τοῖς τῆς εὐσεβείας λόγοις ἐξώπλισε· δι' ὧν τοὺς ἐνεδρεύοντας τῇ πίστει κατεμαχήσασθε, ταξιάρχῃ τῷ ἱεράρχῃ καὶ οἰκουμενικῷ πατριάρχῃ παρασπίζοντες, ᾧ καὶ συνειρηνεύειν ἐμάθετε, καὶ συμπολεμεῖν ἐδιδάχθητε. καιρὸς γὰρ τῷ παντὶ πράγματι τῷ Σολομῶντι δοκεῖ· καλὸν μὲν γὰρ ἦν

καὶ τὸ εἰρηνεύειν πρὸς ἅπαντας, ἀλλ' ὁμονοοῦντας πρὸς τὴν εὐσέβειαν· κρεῖττον δὲ τὸ πολεμεῖν, ὅτε τὸ εἰρηνεύειν τὴν ἐπὶ τῷ κακῷ συμφωνίαν ἐργάζεται. ἀμέλει δὴ καὶ ὁ κύριος ἔφασκεν· οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν
Μακθ. 10. γῆν, ἀλλὰ μάχαιραν· μαχαίρᾳ δὲ ὁ λόγος τῆς πίστεως ἀμφιστόμῳ παρείκασαι διαιρῶν, καὶ διακρίνων τὸν πιστὸν καὶ τὸν ἄπιστον. καὶ τὴν μὲν πρὸς ἀσέβειαν διχοτομῶν συγγένειάν τε καὶ σύμβασιν, τῷ Θεῷ δὲ προσοικειῶν καὶ συνάπτων διὰ τῆς πρὸς αὐτὸν εἰρήνης καὶ ἀγαπήσεως. οὐδὲν γὰρ τῆς πρὸς αὐτὸν ἀγάπης διὰ πίστεως προτιμότερον. οὐ πατὴρ, οὐ μήτηρ τὰς ὠδίνας τοῖς τέκνοις συναποτίκτουσα, οὐκ ἀδελφοὶ τῇ τῆς φύσεως ἀνάγκῃ δεσμούμενοι, καὶ τὰς γνώμας λυόμενοι. οὐ νομικῆς συζυγίας παχεῖά τε καὶ οὐκ ἀπαθεστάτη συνάφεια, καὶ τῇ θατέρου λύσει τὴν σχέσιν συνδιαλύουσα. οὐδὲν γὰρ τούτων ἡμᾶς θείας φύσεως μετόχους ἐργάζεται, μόνη δὲ πίστις ἡ πρὸς Θεὸν καὶ ἀγάπησις· ἐξ ὧν συμπλοκῆς ἀνεγεννήθημέν τε καὶ ἀνεπλάσθημεν, καὶ τῆς πρὸς τὸν πλάστην οἰκειώσεως ἠξιώθημεν. καὶ γὰρ αὐτὸς ἔλεγεν ὁ σωτήρ· ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ
Μαρθ. 10. ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. εἴπερ οὖν οἱ τὴν εὐαγγελικὴν τρίβον ἰχνηλατεύειν προαιρούμενοι, καὶ τῆς ἀποστολικῆς ἱεραρχίας τὸ ἀξίωμα κληρωσάμενοι πάντα περιφρονοῦσι, καὶ πάσχουσι, καὶ τὸν ἔσχατον, εἰ τύχοι, διὰ τὴν πρὸς Θεὸν φιλίαν φιλοῦσι κατακριθῆναι θάνατον, τί οὐκ ἂν καὶ παθεῖν καὶ δρᾶσαι προθυμηθήσονται, ὅτε τὴν πίστιν πολεμουμένην κατίδοιεν, δι' ἧς ἡ πρὸς Θεὸν φιλία πορίζεται; ὅτε τὴν ἐκκλησίαν πορθουμένην αἱρετικαῖς προσβολαῖς κατοπτεύουσιν; ὅτε τὴν ἀλήθειαν τῷ ψεύδει βαλλομένην συναίσθονται; ἆρα τὸ πολεμεῖν καὶ ἐκδικεῖν ἀφέντες τοῖς πολεμίοις καταλλαγήσονται, καὶ τῆς εὐαγγελικῆς ἐντολῆς ἐπιλήσονται; καὶ πῶς ἀνεύθυνον τοῦτο καὶ ἀτιμώρητον; οὐδαμῶς οὐκοῦν ἀναλαβόντες τὴν πανοπλίαν τοῦ πνεύματος τοῖς παραταξαμένοις ἀνθοπλίζονται. τοῦτο δὴ τοῦτο καὶ ὁ πανίερος ὑμῶν ἐπεδείξατο σύλλογος, καὶ τῆς εὐσεβείας ὑπερεμάχησε, δι' ὧν τῷ κοινῷ πατρὶ συνεμάχησε. καὶ τῆς αἱρετικῆς κατηνδραγάθησε φάλαγγος. ἀλλὰ τῇ μνήμῃ τῶν λεχθησομένων ὁ λόγος συστέλλεται, καὶ προσωτέρω βαίνειν ἀναχαιτίζεται. τραγῳδία γὰρ πενθικὴ τῶν ἐπιόντων ἡ ἔκφρασις· αἱρεσιάρχαι οἱ ἱεράρχαι γεγόνασι· καὶ ἀντὶ μὲν εἰρήνης ἔριν τῷ λαῷ προσεφώνησαν· ἀντὶ δὲ σίτου ζιζάνια ταῖς ἐκκλησιαστικαῖς ἀρούραις ἐνέσπειραν· τὸν οἶνον ἔμιξαν ὕδατι· καὶ τὸν πλησίον ἐπότισαν ἀνατροπὴν θολεράν· ὁ λύκος ὡς ἀμνὸς, καὶ ὡς λύκος ὁ ἀμνὸς ὑπεκρίνετο. τὸ ψεῦδος ἀλήθεια, καὶ ἡ ἀλήθεια ψεῦδος παρελογίζετο. πέφυρται πάντα τῆς ἐκκλησίας τὰ πράγματα. ἐπεὶ δὲ οὕτω ταῦτα διέκειτο, καὶ τὴν εὐσέβειαν ἡ ἀσέβεια κατεβόσκετο, πρὸς τὸ μάλιτα πρέπον ἡμῖν εὐθυβολῆσαι προήχθημεν, καὶ τῷ μόνῳ σοφῷ καὶ τῶν τοιούτων γνώστῃ Θεῷ τὸ τῆς διανοίας ἀνετείνομεν ὄμμα, κἀκεῖθεν τῶν ἀπόρων τὴν λύσιν συχναῖς προσευχαῖς ἐξητούμεθα. διὸ τῷ παρ' αὐτοῦ φωταγωγούμενοι πνεύματι τοὺς τῆς ἐκκλησίας ὀφθαλμοὺς, τοὺς ἱερέας φαμὲν, πρὸς τὴν τῆς ἀληθείας κατανόησιν συγκαλέσαι διέγνωμεν. τοσοῦτον γὰρ ὑπεραθλοῦμεν τῆς πίστεως, καὶ πρὸς τὴν εὐσέβειαν συντεινόμεθα, καὶ τῆς ἐκκλησιαστικῆς ἐν πρώτοις φροντίζομεν καταστάσεως, ὥστε καὶ πολεμικαῖς μερίμναις περιστιχούμενοι, καὶ πολεμικοῖς βουλεύμασιν ἀνθελκόμενοι τὴν πανίερον ταύτην συναθροίζειν οὐκ ἀπεκάμομεν σύνοδον, ἵνα τῆς τῶν ἐκκλησιῶν διαστάσεως ἐκποδὼν ἐλαυνομένης ὁ τῆς εἰρήνης ἁρμοσθήσηται σύνδεσμος. τῇ γὰρ εἰρήνῃ τῆς πίστεως συνειρηνεύειν πιστεύομεν καὶ τὸ φιλόχριστον ἡμῶν Ρωμαϊκὸν ἅπαν πολίτευμα. καὶ δὴ τὸ πάνσεμνον ὑμῶν συνελέγη συνέδριον· παρῆτε γὰρ καὶ ὑμεῖς σὺν τῷ οἰκουμενικῷ ἀρχιποίμενι συνθεολογοῦντες αὐτῷ καὶ τῷ πνεύματι καὶ τῷ γράμματι. τάτε γὰρ παρὰ τῆς αὐτοῦ σταλέντα μακαριότητος, τάτε παρὰ τῆς ὑμῶν ἁγιότητος ἐδεξάμεθα γράμματα. προεκομίσθησαν, ἀνεγνώσθησαν, τὸν τῆς ἀληθείας λόγον διήρθρωσαν, καὶ τὸν τῆς ὀρθοδοξίας χαρακτῆρα διεζωγράφησαν. * πάντες γὰρ * πάντα
ἐμφερῆ τε καὶ ἀπαράλλακτα ταῖς τε συνοδικαῖς καὶ πατρικαῖς διδασκαλίαις ἀπεμιμήσαντο· οὐδὲ γὰρ ἠμελήσαμεν, ἀλλ' ἐπιμελῶς αὐτὰ συνεκρίναμεν. διὸ καὶ πάντες συμφώνως καὶ γνώμῃ καὶ γλώττῃ, τῇ μὲν συνεπιστεύσαμεν, τῇ δὲ συνωμολογήσαμεν, καὶ ὡς αὐτοῦ τοῦ θεσπεσίου Πέτρου φωνὴν τὴν Αγάθωνος δέλτον ὑπερηγάσθημεν. οὐ διεφώνησε γὰρ οὐδεὶς, εἰ μὴ εἷς. οὐδεὶς Ἰωάν.
γὰρ τῶν πάντων ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ὁ πατὴρ τῆς ἀπειθείας, καὶ οὗτος τοῖς ἑαυτοῦ φοιτηταῖς συναπορραγεὶς ἐκ τοῦ ἀγγελοπρεποῦς καὶ πανιέρου χοροῦ. ὃν εὐκαίρως τῷ προφήτῃ συνταλανίζομεν, διότι καὶ συνηλγήσαμεν· πῶς ἐξέπεσες ἐξ οὐρανοῦ τοῦ τῆς ἱερωσύνης ὑψώματος ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων, καὶ τῷ φωτὶ τῆς ἀψευδοῦς γνώσεως τὰς τῶν πιστευόντων τεταγμένος διαυγάζειν ψυχάς: ὁ ταῖς νεφέλαις τοῖς κούφοις σου δόγμασι τὸν τῆς ἀλαζονείας ἐπιτιθέναι θρόνον ἀναπτερούμενος; πῶς ἐδραπέτευσας τοσούτων ἱερέων ἀγγελομίμητον σύνταγμα, καὶ τῷ τῆς ἀπονοίας πτερῷ πρὸς βαθυτάτην ἐπήρθης κατάπτωσιν; διὰ τί τῆς μυστικῆς τραπέζης ἀπνυτομόλησας, καὶ τὴν Ιουδαϊκὴν ἀποστασίαν ἐζήλωσας; πῶς οὐκ ἐδέξω παράκλησιν ἀδελφῶν βασιλικήν τε καὶ ἀποστολικὴν συγκροτησάντων πανήγυριν; πῶς ἀπελάκτισας ὁ ἠγαπημένος τοὺς ἀγαπῶντας, καὶ πρὸς μετάνοιάν σε προτρέποντας; μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφεται; διὰ τί ἀπέστρεψας ἀποστροφὴν ἀναιδῆ καὶ κατεκρατήθης ἐν τῇ αἱρετικῇ προαιρέσει σου, καὶ οὐκ ἠθέλησας ἐπιστρέψαι πρὸς τὴν εὐσέβειαν; πάντως ἠχύνθης, ἐφ' οἷς κακῶς ἐδίδασκες, ἐλεγχόμενος. ὦ παρανοίας

ὁμοῦ

ὁμοῦ καὶ τυφλώσεως. ταυτὸν γὰρ εἶναι δοκοῦσι ἑκάτερα. ἡ μὲν γὰρ τὰ ἴχνη τοῦ σώματος, ἡ δὲ τὰς βάσεις τῆς ψυχῆς περιπλανᾷ παρασφάλλουσα. τὸ κακῶς διδάσκειν οὐκ ἐπηχύνετο, καὶ τὸ καλῶς μανθάνειν ᾐχύνετο. ταῦτα μὲν ὁ τῆς Ἀντιοχέων γενόμενος πρόεδρος Μακάριος ὁ ἀμακάριος, καὶ οἱ σὺν αὐτῷ τῆς τοῦ Χριστοῦ ταξιαρχίας ἀποστατήσαντες· ἧς τινος οἰκουμενικῆς συνελεύσεως καὶ ψήφω κοινῇ τῆς ἱερατικῆς ἀξίας ἐξώσθησαν, καὶ τῇ τοῦ παναγίου πάπα δοκιμῇ παρεπέμφθησαν.

Ὅρον δὲ σεπτὸν καὶ σεβάσμιον ἡ ἁγία σύνοδος ἐθεμάτισε, ταῖς τε ἁγίαις συνόδοις καὶ ἐκκρίτοις πατράσι συμβαίνοντά τε καὶ συνεπόμενον· ᾧ καὶ τὸ ἡμέτερον κράτος συνυπέγραψε, καὶ δι' εὐσεβῶν ἡμῶν ἠδίκτων τοῦτον ἐκύρωσε. δι' οὗ ταῖς εὐχαῖς ὑμῶν τὸ τῆς ἐκκλησίας πᾶν εἰρηνεύσε πλήρωμα. ποῦ ποτε ἄρα εἰσὶν οἱ τὸ σκάνδαλον τῆς συντεθειμμένης αἱρέσεως τεκτονεύσαντες; ποῦ ποτέ εἰσιν οἱ τὴν πεπλασμένην εὐλάβειαν ψευδοδιδασκαλίας ὑπόθεσιν ἐνδυόμενοι; ἀφῃρέθη τῶν προσωπείων τὰ περιθέματα· διηλεγχθη τῶν φενακιζόντων τὰ πλαστουργήματα. τὴν δορὰν ὁ λύκος ἀπημφιάσατο, καὶ λύκος γυμνὸς ἐκπομπεύεται· καὶ τοῦτο μένει φαινόμενος, ὅπερ ἐκρύπτετο μὴ φαινόμενος· ἡ ὑπόκρισις κατακέκριται· ἡ ἀλήθεια πολιτεύεται. τὸ ψεῦδος ἐξώρισται· ὁ σπορεὺς τῶν * ζιζανίων δογμάτων ἐκκέκοπται. ὁ σῖτος, ὁ λαὸς ὁ φιλόχριστος εἰς μίαν ἀποθήκην τῆς Χριστοῦ ἐκκλησίας εἰσκεκόμισται· τὸ τῆς ὀρθοδοξίας φῶς ἀνατέταλκε· τὸ τῆς πλάνης σκότος καθυποδέδυκεν· ἡ κατήφεια μετημφίασται. τὸ πένθος εἰς εὐφροσύνην, τὸ σκυθρωπὸν εἰς χαρὰν, πάντα πρὸς τὸ κρεῖττον μεταπεφοίτηκε. διὸ καὶ ἡμεῖς ταῖς ἐκκλησίαις τοῦ Θεοῦ τὴν τῆς εἰρήνης ἀπολαβούσαις χάριν συγχαίροντες ἀποστολικῶς ὑμᾶς προσφθεγγόμεθα χαίρετε, χαίρετε, καὶ πάλιν ἐρῶ, χαίρετε· τριαδικὴν γὰρ χαρὰν ἡμῖν ἡ Τριὰς ἐχαρίσατο. ἔρρωσθε πανίεροι τῆς εὐσεβείας ὑπεριστάμενοι, καὶ τοῦ ἡμετέρου κράτους ὑπερευχόμενοι.

* Ἴσ. ζιζανιωδῶν.

Φιλιπ. 4.

Καὶ ἡ θεία χείρ. ἀνέγνωμεν.

. . . . . .

Ἡ ὑπογραφή.

Ἀ'ΝΤΙ'ΓΡΑΦΟΣ Ἀ'ΝΑΦΟΡΑ'

σταλεῖσα παρὰ Λέοντος τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης πρὸς Κωνσταντῖνον τὸν εὐσεβέστατον καὶ φιλόχριστον βασιλέα, ἐπικυροῦσα καὶ ἀποδεχομένη τὰ ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ πραχθέντα τε, καὶ ὁρισθέντα.

Τῷ εὐσεβεστάτῳ καὶ γαληνοτάτῳ δεσπότῃ, νικητῇ καὶ τροπαιούχῳ, τέκνῳ ἀγαπητῷ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Κωνσταντίνῳ βασιλεῖ Λέων ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ Θεοῦ.

Τῶν βασιλεῖ τῶν βασιλευόντων, οὗ τινος ἐν τῇ ἐξουσίᾳ εἰσὶν αἱ τοῦ κόσμου βασιλεῖαι, αὐτῷ μικροί τε καὶ μεγάλοι εὐχαριστοῦμεν, τῷ οὕτως εἰς ὑμᾶς μεταγαγόντι τὴν ἐπίγειον βασιλείαν, ὅπως τὴν οὐράνιον μᾶλλον * φιλοτιμήσεται ὑμᾶς περινοστῆσαι. πλεῖον γάρ ἐστιν, ὅτι προσηλωμένοι τῷ Θεῷ παῤῥησιάζεσθε, ἤπερ ὅτι ἐκ τῆς θεόθεν ἡμῖν προσποριοθείσης τιμῆς βασιλεύετε. τοῦτο * γὰρ ἐκεῖνο ὑμᾶς ὠφελεῖ. τὴν γὰρ δόξαν τοῦ πατρικοῦ διαδήματος ἐπιτικτόμενοι καρποῦσθε τῇ οὐρανίῳ εὐσπλαγχνίᾳ· ἡ γὰρ ὑμῶν εὐσέβεια καρπός ἐστιν οἰκτιρμοῦ, ἡ δὲ ἐξουσίᾳ φύλαξ τῆς καταστάσεως. τοιγαροῦν δι' ἐκείνης ἡ βασιλικὴ διάνοια τῷ Θεῷ προσαρμόζεται, διὰ ταύτης δὲ τὸ δικάζειν τοῖς ὑπηκόοις προσνέμεται. ἐκείνης ἡ εὐπορία τοῖς πτωχοῖς βοηθεῖ, * ταύτης δὲ τοὺς ἀποπλανηθέντας ἐκ τῆς ἀληθοῦς ὁδοῦ διορθοῦται. οὐδὲ γὰρ μικρά τις τῶν βασιλευόντων τυγχάνει ἡ φροντὶς τοῦ τὰ σφαλερὰ διορθοῦσθαι, ὥσπερ καὶ ἐπὶ τοῖς ἐναντίοις θριαμβεύειν. ἐπειδὴ ὡς νομίζω, αὐτῷ τὴν ἑαυτῶν ἐξουσίαν ὑποτάσσουσι δουλεύοντες. οὗ δηλονότι τῇ σκέπῃ καὶ τῷ δώρῳ βασιλεύουσι. διὸ καὶ θεόθεν προτυπωθεῖσα ἡ φιλόχριστος ὑμῶν εὐσέβεια, καὶ ἄξιον κατοικητήριον τοῦ πνεύματος τοῦ ἁγίου ἐν τῷ κρυπτῷ τῆς οἰκείας καρδίας ἑτοιμάσασα, ὅσον τὴν κεφαλὴν τῆς ἐκκλησίας τὸν κύριον Ἰησοῦν Χριστὸν, τὸν κανόνα τῆς ἀληθοῦς εὐσεβείας περιπτυσσομένη τῆς ἐξ αὐτοῦ δωρηθείσης αὐτῇ βασιλείας ἀρχηγὸν ἀποδείκνυσι, τοσοῦτον τὸ σῶμα αὐτοῦ τὸ σεβάσμιον, ὅπερ ἐστὶν ἡ ἁγία μήτηρ ἐκκλησία, ὡς γνήσιον καὶ πρωτότυπον αὐτῆς τέκνον περιθάλποντε καὶ φιλοτιμούμενον, ἐπὶ τῇ οἰκείᾳ * ἀδιακοσμήτῳ στερρότητι χαίρειν ἐποίησε. καὶ γὰρ γέγραπται περὶ ὑμῶν φιλανθρωπότατε βασιλέων, καὶ περὶ τῆς αὐτῆς ἁγίας ἐκκλησίας τῆς ἐν ὅλῳ διακειμένης τῷ κόσμῳ· ἔσονται, φησὶ, βασιλεῖς οἱ τροφεῖς σοῦ ὡσαύτως δὲ γέγραπται· τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. ἐπειδὴ τὰ θεῖα τῶν ἀνθρωπίνων προτιμῶντες πραγμάτων, καὶ τὴν ὀρθόδοξον πίστιν ἀπροσπαθῶς τῶν βιωτικῶν προκρίνοντες φροντίδων, τί ἕτερον, ἤπερ ὅτι τὴν ὀρθὴν τοῦ Θεοῦ κρίσιν σεβάζεσθε, καὶ καθαρωτάτην θυσίαν καὶ ὁλοκαύτωμα ἐκκαῖον θείαν εὐωδίαν ἐν τῷ βωμῷ

* L. φιλοτιμεῖσθαι ὑμ. παραστῆσαι.

* L. ἐκεῖνο γὰρ ὑμᾶς. τοῦτο τοὺς ὑπὸ χεῖρα ἀφελεῖ.

* L. ταύτης δὲ ἡ ἀγχίνοια.

* ἀδιακινήτῳ

Ἡσαΐ. 44.

Ψαλ. 98.

μῷ τοῦ ὑμετέρου στήθους σφαγιάζετε τῇ αὐτοῦ ἀοράτῳ μεγαλειότητι; ταῦτα ἐναργῶς λέγεσθαι περὶ τῆς προθέσεως τοῦ εὐσεβοῦς ὑμῶν λογισμοῦ χριστιανικώτατε βασιλέων τῆς τοῦ Θεοῦ χάριτος ἐνεργούσης θαῤῥοῦμεν. δι' ἧς καὶ μόνης πᾶσα πλάνη νενίκηται, καὶ ἡ ὀρθότης τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς πίστεως σὺν τῷ συνδέσμῳ τῆς εἰλικρινοῦς ἀγάπης παρὰ πᾶσι τοῖς προέδροις τῆς τοῦ Χριστοῦ ἐκκλησιῶν ἐπικρατεῖ. ἐκεῖ γὰρ ἡ ἀλήθεια τῆς τῆς Χριστιανῶν πίστεως διαλάμπει, ἔνθα ὁμολογουμένως ἡδιττὴ ἀγάπη τοῦ Θεοῦ καὶ τοῦ πλησίον ὑπερζέει. διόπερ εἰ μὴ τὸ ἑκάτερον τούτων ὁ συμβασιλεὺς τῆς βασιλευόντων, ὁ παντοδύναμος Θεὸς ἐφιλοτιμήσατο τοῖς ἑαυτοῦ ἱερεῦσιν, οὐδαμῶς ἡ βασιλικὴ εὐγένεια τοῖς ἐσχάτοις ἑαυτῆς δούλοις συγκατέβαινε, καὶ πρὸς ὀλίγον τοῦ βασιλικοῦ ὕψους ἐξαιρέτου * τυγχάνοντος ἑαυτὴν ἐπεπόθει συναρίθμιον εἶναι τοῦ τῆς ἱερέων καταλόγου διὰ τὸν πρὸς Θεὸν ζῆλον. ὦ ποία ἔνδοξος καὶ ὑψηλοτάτη καὶ ἀληθὴς ταπείνωσις, ἥτις διὰ τὸν πρὸς Θεὸν πόθον συγκαταβῆναι κατηξίωσε. τοίνυν τί περιλέλειπται, ἐξοχώτατε σεβαστῶν, καὶ πιστότατε βασιλέων, εἰ μὴ τοί γε ἵνα ὁ Θεὸς ὁ παρέχων τὴν ἐπίδοσιν, ταῦτα τὰ πονήματα ἀξίως ἐμπνεύσῃ ἐν τῇ βασιλικῇ ὑμῶν καρδίᾳ, καὶ αὐξήσῃ, καὶ πληρώσῃ ἐν ὑμῖν τὸ φῶς τοῦ καθολικοῦ δόγματος, ἵνα * φωτίζωνται τῆς αἱρετικῆς φαυλότητος αἱ συνέφειαι; ἔπειτα καὶ τοὺς ληγαταρίους τούτου τοῦ ἀποστολικοῦ θρόνου τῆς μητρὸς ὑμῶν τῆς Ῥωμαίων ἐκκλησίας, τοὺς οἰκέτας τῆς ὑμετέρας εὐσεβείας, Θεόδωρον καὶ Γεώργιον τοὺς πρεσβυτέρους, καὶ Ἰωάννην τὸν διάκονον τὰ ἡμέτερα τέκνα, καὶ Κωνσταντῖνον τὸν ὑποδιάκονον καὶ ῥεγιωνάριον τῆς ἁγίας ἡμῶν ἐκκλησίας μετὰ τῆς σὺν αὐτοῖς ἀποδημησάντων προσώπων, τῆς καὶ παρὰ τοῦ προηγησαμένου ἡμᾶς τῆς ἀποστολικῆς μνήμης Ἀγάθωνος τοῦ πάπα κατὰ τὴν ὀγδόην ἐπινέμησιν ἕνεκεν τοῦ τῆς πίστεως πράγματος κατὰ κέλευσιν τῆς ὑμῶν εὐσεβείας αὐτόθι σταλέντων, διὰ τῆς ἔναγχος διελθούσης δεκάτης ἐπινεμήσεως τῷ * Ἰουνίῳ μηνὶ μετὰ θείων κεραιῶν τῆς ὑμῶν φιλανθρωπίας, ἅμα καὶ συνοδικοῖς ὑπομνήμασι μετὰ μεγάλης χαρᾶς καὶ εὐφροσύνης ἐπὶ τῷ κυρίῳ ἀγαλλιώμενοι ἐδεξάμεθα. καὶ ὥσπερ ἀπότινων κυμάτων λύπης εἰς εὐκταῖον γαλήνης λιμένα συνελθόντες καὶ ἐνιχύσαντες μετὰ εὐχαριστίας ἠρξάμεθα βοᾶν· κύριε σῶσον τὸν χριστιανικώτατον ἡμῶν βασιλέα, καὶ ἐπάκουσον αὐτοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσηταί σε, οὗτινος διὰ τῆς θεοπνεύστου σπουδῆς κατὰ πᾶσαν τὴν οἰκουμένην ἡ εὐσέβεια τῆς ἀποστολικῆς καὶ ἀληθοῦς παραδόσεως ἀναζωπυρεῖ, καὶ ἡ δυσώδης τῆς αἱρετικῆς φαυλότητος ἀχλὺς ἐματαιώθη. ἄξιον οὖν ἐστι τῷ προφήτῃ συμψάλλειν, καὶ λέγειν. κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῆς χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. ὁ γὰρ βασιλεὺς καθήμενος ἐπὶ θρόνου, καθὼς πού τις σοφώτατός φησι, τῷ οἰκείῳ αὐτοῦ σκοπῷ διεσκέδασε πᾶν πονηρόν. καὶ γὰρ τοῖς μόχθοις τῆς ὑμῶν εὐσεβείας τοῦ κυρίου συνεργοῦντος τὸ πονηρὸν διεσκορπίσθη, ὅπερ ἡ τοῦ διαβόλου πονηρία πρὸς τὴν τῆς ἀνθρώπων ἀπάτην ἐπήγαγε· καὶ τὸ ἀγαθὸν τῆς τῶν Χριστιανῶν πίστεως, ὅπερ ὁ Χριστὸς πρὸς σωτηρίαν τῆς ἀνθρώπων ἐχαρίσατο, τοῦτο ἐπικρατεῖ. τοιγαροῦν τῆς συνοδικῶν τὸ ὕφος ἀναδραμόντες, καὶ ἐπιμελῶς περιεργασάμενοι, καὶ ἕκαστα τῆς ὑπομνημάτων ἀπαιτήσαντες, τὰ αὐτὰ, ἅπερ καὶ οἱ τοῦ ἀποστολικοῦ θρόνου ληγατάριοι ἐξηγήσαντο, τοῖς συμφωνοῦσιν ἐγγράφοις, ηὕρομεν συμβαίνειν. καὶ γὰρ ἐπέγνωμεν, ὅτι ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ἥτις κατὰ Θεοῦ χάριν τῷ βασιλικῷ προστάγματι ἔναγχος ἐν τῇ βασιλίδι συνηθροίσθη πόλει, τὰ αὐτὰ, ἅπερ καὶ ἡ * οἰκουμενικὴ σύνοδος ἡ τῷ ἁγίῳ καὶ ἀποστολικῷ τούτῳ θρόνῳ συγκειμένη ὦ τινι καὶ τὴν διακονίαν ἐκτελοῦμεν, συνῄνεσέ τε καὶ ἐψηφίσατο ἐπὶ τῇ ὁλοκληρίᾳ τῆς ὀρθοδόξου πίστεως καὶ τοῖς τῆς πατέρων κανόσι, καὶ ὁμογνωμόνως ἅμα ἡμῖν συνωμολόγησε τὸν ἕνα τῆς ἁγίας καὶ ἀχωρίστου Τριάδος εἶναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο, καὶ ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀχωρίστως, ἀδιαιρέτως τυγχάνοντα, ὡς ἀληθῶς Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν τοῦτον σωζομένης τῆς ἰδιότητος μιᾶς ἑκάστης τῆς ἐν αὐτῷ συνελθουσῶν φύσεων. τὸν αὐτὸν τοῦτον τὰ θεῖα ἐνεργοῦντα ὡς Θεὸν, καὶ τὰ ἀνθρώπινα ἀχωρίστως ἐνεργοῦντα ὡς ἄνθρωπος χωρὶς μόνης ἁμαρτίας· καὶ διὰ τοῦτο δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐσχηκέναι ἀληθῶς ἐκήρυξε, δι' ὧν καὶ ἡ τῆς φύσεων αὐτοῦ πρωτοτύπως ἀλήθεια ἀποδείκνυται· πρὸς ἐπίγνωσιν δηλονότι τῆς διαφορᾶς ὧν εἰσι φύσεων, ἐξ ὧν καὶ ἐν αἷς εἷς καὶ ὁ αὐτὸς κύριος ἡμῶν Ἰησοῦς Χριστὸς συνέστηκε· δι' ἅπερ ἀληθῶς * ἔδειξε ταύτην τὴν ἁγίαν καὶ ἀξιεπαίνετον κεκηρυγμένην ἕκτην σύνοδον, ἥτις διὰ τῆς τοῦ Θεοῦ εὐσπλαγχνίας τὴν ἀλήθειαν τῆς χριστιανικωτάτης πίστεως τοῖς πιστοῖς φανεροῖ ἀπροσκόποις ποσὶ κατακολουθήσασα τῷ τε ἀποστολικῷ κηρύγματι καὶ τοῖς ὅροις τῆς ἁγίων καὶ οἰκουμενικῶν πέντε συνόδων, συναινοῦσαν ἐν ἅπασι, καὶ τοὺς αὐτῆς περιπτυσσομένην κανόνας, καὶ μηδὲν προστιθεῖσαν ἢ ὑπεξαίρουσαν παρὰ τὰ ὁρισθέντα τῇ ὀρθοδόξῳ πίστει, ἀλλὰ τὴν βασιλικὴν καὶ εὐαγγελικὴν τρίβον ἐξ εὐθείας βαδίζουσαν· καὶ ἐν αὐτοῖς, καὶ δι' αὐτῆς τὸ σχῆμα τῆς ἱερῶν δογμάτων, καὶ ἡ διδασκαλία τῆς τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας ἐκκρίτων πατέρων ἐφυλάχθη, ἔτι δὲ καὶ ὁ κανωνικὸς θεσμὸς * τῆς προκομισθεισῶν πρὸς οἰκοδομὴν πάντων. ἀλλὰ καὶ τοῦτο ὑπάρχει ἀληθῶς ἄξιον καὶ τῷ Θεῷ εὐάρεστον, ὅτι ἡ ἀλήθεια τοῦ ἀποστολικοῦ κηρύγματος, ἥτις τὴν αὐτοκρατορικὴν δυναστείαν κατακοσμεῖ, καὶ τὴν βασιλικὴν φιλανθρωπίαν φυλάττει, κατὰ τὸ διάταγμα τῆς σεβασμιωτάτης εὐσεβείας ἐν

ὅλῳ

* L. ἐξηρημένου, ἑαυτὴν

* L. φυγαδεύωνται.

* L. Ἰουλίῳ

Ψαλ. 19.

Ψαλ. 20

Παροι. 20.

* L. ἅπερ καὶ ὅλη ἡ συνόδος.

* L. πάρα ἔγνωμεν.

* L. προεκομίσθη.

ὅλῳ τῷ κόσμῳ ἐπηύξησε, καὶ καθάπερ ἀκτὶς ἡλίου τὰς πάντων περιεκάθαρε καρδίας. ὅπως πάλιν * ἔνθεν τὴν διδασκαλίαν πνευματικῶς τῆς εὐσεβείας κομίσωνται, ὅθεν ἐπιγινώσκειν ὀφείλουσιν εὐμενῶς αὐτοῖς παρασχεθεῖσαν τῆς δικαίας οἰκονομίας τὴν κυβέρνησιν. τοιγαροῦν συνοδικῇ ἀποφάσει, καὶ ψήφῳ βασιλικοῦ διατάγματος, καθάπερ τῇ τοῦ πνεύματος διστόμῳ ῥομφαίᾳ, ἅμα ταῖς παλαιαῖς αἱρέσεσι καὶ ἡ πλάνη τῆς καινῆς φαυλότητος ἐξεκεντήθη, καὶ οἱ ἀρχηγοὶ τοῦ ψεύδους σὺν τῇ ἑαυτῶν βλασφημίᾳ ἐξωλίσθησαν· οἵτινες ἐπεχείρησαν στόματι ἱεροσύλῳ ἐκτίθεσθαι ἐν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ τῶν καθ' ὑπόστασιν ἡνωμένων δύο φύσεων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ ὧν καὶ ἐν αἷς ἀδιαιρέτως καὶ ἀσυγχύτως συνέστηκε. τοῦτον τοίνυν τῆς ὀρθῆς καὶ ἀποστολικῆς παραδόσεως τὸν τύπον ὁ προηγησάμενός με Ἀγάθων ὁ τῆς ἀποστολικῆς μνήμης πάπας ἅμα τῇ τιμίᾳ συνόδῳ ἐκήρυξε. καὶ τοῦτον τοῖς προλαβοῦσιν ἐγγράφοις ἐν τῷ τῆς τιμίας ἀναφορᾶς παγηνῷ τῇ ὑμετέρᾳ εὐσεβείᾳ διὰ τῶν οἰκείων ληγαταρίων ἀνέπεμψεν, ἀποδεικνύων καὶ ἐπικυρῶν ταῖς τῶν ἁγίων καὶ ἐκκρίτων τῆς ἐκκλησίας διδασκάλων χρήσεσιν, * ὅν τινα ἐπὶ τοῦ παρόντος ἡ ἁγία καὶ μεγάλη τοῦ κυρίου σύνοδος ἡ διὰ τῆς ὑμετέρας γενομένη * συνόδου ἐδέξατο, καὶ ἐν ἅπασιν αὐτὸν σὺν ἡμῖν περιεπτύξατο, ὡς τὴν εἰλικρινῆ διδασκαλίαν τοῦ μακαρίου Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων ἐν αὐτῷ ἐπιγινώσκουσα, καὶ σημεῖα ὁλοκλήρου εὐσεβείας ἐν αὐτῷ τούτῳ διασκεπτομένη. ἡ οὖν ἁγία οἰκουμενικὴ καὶ μεγάλη ἕκτη σύνοδος, ἣν ἐπινεύσει Θεοῦ σπουδαίως ἡ ὑμῶν φιλανθρωπία συνεκάλεσέ τε, καὶ προηγήσατο ἕνεκεν τῆς εἰς Θεὸν ὑπουργίας, ἐν πᾶσι τῷ ἀποστολικῷ κανόνι καὶ τῇ διδασκαλίᾳ τῶν ἐκκρίτων πατέρων ἐξηκολούθησεν. καὶ ἐπειδὴ, ὡς προείρηται, τῆς ὀρθῆς πίστεως τὸν ὅρον τελείως ἐκήρυξεν, ὅνπερ καὶ ὁ ἀποστολικὸς θρόνος τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, οὗτινος τὴν διακονίαν εἰ καὶ ἀνάξιοι ὄντες ἐκτελοῦμεν, σεβασμίως ἐδέξατο· διὸ δὴ καὶ ἡμεῖς, καὶ διὰ τῆς ἡμετέρας τάξεως οὗτος ὁ προσκυνητὸς καὶ ἀποστολικὸς θρόνος ὁμογνωμόνως τε καὶ ὁμοψύχως τοῖς παρ' αὐτῆς ὁρισθεῖσι συναινεῖ, καὶ τῇ αὐθεντίᾳ τοῦ μακαρίου Πέτρου βεβαιοῖ, καθάπερ ἐπὶ στερεᾷ πέτρᾳ, ἥτις ἐστὶν ὁ Χριστὸς, ἀπ' αὐτοῦ τοῦ κυρίου τὴν στερρότητα κομιζομένοις. διὰ ταῦτα οὖν καθὼς δεχόμεθα, καὶ βεβαίως κηρύττομεν, τὰς πέντε ἁγίας καὶ οἰκουμενικὰς συνόδους, τήν τε ἐν Νικαίᾳ, καὶ Κωνσταντινουπόλει, καὶ τὴν ἐν Ἐφέσῳ πρώτην, καὶ τὴν ἐν Χαλκηδόνι, καὶ πάλιν τὴν ἐν Κωνσταντινουπόλει· ἅς τινας καὶ πᾶσα ἡ τοῦ Χριστοῦ ἐκκλησία κυροῖ, καὶ ταύταις ἀκολουθεῖ· οὕτως καὶ τὴν νεωστὶ ἐν τῇ βασιλευούσῃ πόλει εὐσεβεῖ * ἐπινεύσει τῆς ὑμετέρας γαληνότητος ἐπιτελεσθεῖσαν ἁγίαν ἕκτην σύνοδον, ὡς ταῦτα ἑρμηνεύουσαν, καὶ ταύταις ἐπακόλουθον, τῷ ὁμοίῳ σεβάσματι κρίνοντες δεχόμεθα. καὶ ἀξίως ἅμα ταύταις συναριθμηθῆναι αὐτὴν ψηφιζόμεθα, ὡς καὶ αὐτὴν ὡσαύτως τῇ τοῦ Θεοῦ χάριτι συναθροισθεῖσαν. εἶτα δὲ καὶ τοὺς ἐν αὐτῇ πιστῶς συνελθόντας ἱερεῖν τοῦ Χριστοῦ μετὰ τῶν ἁγίων πατέρων καὶ διδασκάλων τῆς τοῦ Θεοῦ ἐκκλησίας ὁμοίως ἀναφέρεσθαι κρίνομεν. καὶ γὰρ καὶ ἐν τούτοις, καθὼς καὶ ἐν ἐκείνοις τὸ αὐτὸ τοῦ Θεοῦ πνεῦμα τὴν τῶν ψυχῶν σωτηρίαν ἐνήργησε. καὶ ὁ ταύτης καρπὸς ὁ ἀμάραντος τῇ ὑμετέρᾳ εὐσεβεῖ βασιλείᾳ καταλογισθήσεται παρὰ τοῦ κυρίου· ἧς τινος τῷ μόχθῳ συνεργούσης τῆς τοῦ Θεοῦ χάριτος θαυμαστῶς ἀπετελέσθη εἰς αἰῶνας κηρυττομένῳ. προσεπιτούτοις συναναθεματίζομεν πάσας τὰς αἱρέσεις, καὶ τοὺς τούτων ἅπαντας ἀρχηγοὺς καὶ σπεύσας, οἵτινες κατὰ τῆς ὀρθοδόξου καὶ ἀποστολικῆς πίστεως ταῖς τοῦ διαβόλου ἀπάταις κρατυνόμενοι πλάνας ψεύδους ταῖς ἐκκλησίαις ἐπεχείρησαν παρεισαγαγεῖν· τουτέστιν Ἄρειον, Σαβέλλιον, Μακεδόνιον, Ἀπολλινάριον, Εὐνόμιον, Νεστόριον, Εὐτυχέα, Διόσκορον, Τιμόθεον, Σεβῆρον, Θεμίστιον, Ὠριγένην τὸν καὶ Ἀδαμάντιον, Δίδυμον, καὶ Εὐάγριον· ὡσαύτως τὰ συγγράμματα Θεοδωρίτου τὰ κατὰ τῶν δεκαδύο κεφαλαίων τοῦ ἁγιωτάτου Κυρίλλου μετὰ τῆς ἐπιστολῆς τῆς λεγομένης Ἴβα πρὸς Μάρην τὸν Πέρσην σταλείσης· ἅμα δὲ αὐτοῖς καὶ Ἰάκωβον, καὶ * Θεόδωρον, καὶ Γαϊανὸν, Ἄνθιμον, Ζωόραν, Δονάτον, Ναβάτον, Πρισκιλλιανὸν, Παῦλον, Φωτεινὸν, Πελάγιον, Κελέστιον, Ἰουλιανὸν, Φαῦστον, καὶ Μαξιμῖνον· οὓς ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ἐκ τοῦ καταλόγου τῶν πιστῶν πατέρων, ἅτε δὴ ζιζάνια τῆς δεσποτικῆς ἅλωνος, λέγω δὴ τῆς ἐκκλησίας ἀποκηρυχθέντας ταῖς κολάσεσι τῆς γεέννης τῷ πτύῳ τῆς θείας κρίσεως ἀπεβάλετο. καὶ ὡσαύτως ἀναθεματίζομεν τοὺς ἐφευρετὰς τῆς νέας πλάνης· τουτέστι Θεόδωρον τὸν τῆς Φαρὰν ἐπίσκοπον, Κῦρον τὸν Ἀλεξανδρείας, Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον, τοὺς τῆς ἐκκλησίας Κωνσταντινουπόλεως ὑποκαθιστὰς μᾶλλον ἤπερ καθηγητάς. οὐ μὴν ἀλλὰ καὶ Ὀνώριον, ὅστις ταύτην τὴν ἀποστολικὴν ἐκκλησίαν οὐκ ἐπεχείρησε διδασκαλίᾳ ἀποστολικῆς παραδόσεως ἁγνίσαι, ἀλλὰ τῇ βεβήλῳ προδοσίᾳ μιανθῆναι τὴν ἄσπιλον παρεχώρησε· καὶ πάντας δὲ τοὺς ἐν τῇ ἑαυτῶν πλάνῃ τελευτήσαντας· ὡσαύτως δὲ βδελυττόμεθα καὶ ἀναθεματίζομεν τοὺς τούτων μιμητὰς καὶ συνίστορας, τούς τε ἤδη ἔκπαλαι καὶ μέχρι τοῦ νῦν ὄντας, τουτέστι Μακάριον τὸν γενόμενον ἀπατεῶνα τῆς Ἀντιοχέων ἐκκλησίας ἅμα τῷ σὺν αὐτῷ τῆς πλάνης μαθητῇ, μᾶλλον δὲ διδασκάλῳ Στεφάνῳ· καὶ σὺν αὐτοῖς Πολυχρόνιον τὸν νέον ὡς ἀληθῶς Σίμωνα· ὅστις τῇ φαντασίᾳ παιζόμενος τῆς αἱρετικῆς φαυ-

L. ἐκεῖθεν

* L. ὅν τινα ἐπὶ τ. π. ἡ α καὶ μ συνόδος ἡ διὰ τοῦ κυρίου, καὶ τῆς ὑμ. γεν σπουδῆς ἐδέξατο, * σπουδης

* ἐπαγωνίσματι L.

* L. Θεοδώσιον.

φαυλότητος ἐγείρειν νεκρὺς ἐπηγγείλατο· τοῦ δὲ ἀποτελέσματος τῇ ματαίᾳ αὐτοῦ κατατολμήσει μὴ ἑπομένου, ἐν πᾶσιν ἀπατεὼν ἐδείχθη. ἔτι δὲ καὶ τοὺς τὰ ὅμοια αὐτῷ φρονήσαντας, ἢ φρονοῦντας, τοὺς δηλονότι ἓν θέλημα καὶ μίαν ἐνέργειαν φάσκειν κατατολμήσαντας, ἢ κατατολμῶντας, ἢ μέλλοντας κατατολμᾶν ἐπὶ τῷ δύο φύσεων τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. οὓς ἀπεκήρυξεν ἡ προμνημονευμένη ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος. καὶ τὸν Μακάριον μὲν τοῦ τῆς προεδρίας ἀξιώματος ἀπεβάλετο, τὸν δὲ μαθητὴν αὐτοῦ Στέφανον, καὶ Πολυχρόνιον τὸν μεματαιωμένον γέροντα τῆς ἱερατικῆς ἐξέκοψε τιμῆς, τούς τε τούτων μετόχους καὶ ἑταίρους, οἵ τινες οὐκ ἠβουλήθησαν συνιέναι τοῦ ἀγαθῦναι, ἀνομίαν δὲ ἐλογίσαντο ἐπὶ ταῖς κοίταις αὐτῷ· οἵ τινες τὰς ἰδίας πλάνας πανταχοῦ ἐπεχείρησαν κατασπεῖραι, κατ' ἐξαίρετον ὁ Μακάριος, καὶ ὑπὸ τὴν δορὰν τοῦ προβάτου λανθάνων ἐπανεφάνθη λύκος, καὶ ἀντὶ ποιμένος ηὑρέθη κλέπτης, καὶ λῃστὴς ἀπερρίφθη ἀπὸ τοῦ ἀληθινοῦ τῷ προβάτων ποιμένος, τουτέστι τοῦ Χριστοῦ ὡς πολυορκητὴς καὶ λοιμοφθόρος. διὸ καὶ τῷ τοῦ ἀναθέματος δόρατι ἀξίως ἐπλήγησαν, καὶ αἰωνίοις συνδεθέντες δεσμοῖς, μὴ βουλόμενοι μετανοῆσαι ἀνευλύτως ἀναφραγέντες κατέχονται· μήπως πάλιν διαναστάντες τῷ μιασμῷ τῆς οἰκείας λοιμοφθόρου διδασκαλίας τῇ ἀχαλινώτῳ αὐτῷ τόλμῃ τινὰς τῷ ἁπλουστέρων μολύνωσιν. οἵ τινες καὶ μέχρι τοῦ παρόντος ἐπιμόνως τῇ οἰκείᾳ αὐτῷ ἐνστάσει προσμεῖναι ἠθέλησαν, * ἤπερ ἵνα πρὸς ἐπίγνωσιν τῆς ἀληθείας ὑποστρέψαντες σωθῶσι. τῇ γὰρ χρονίᾳ κακίᾳ ἐσκληρύνθη ἡ καρδία αὐτῷ· καὶ παρὰ πᾶσιν ἐφάνησαν συνειδήσει μᾶλλον, ἤπερ ἀγνοίᾳ ἐξολισθήσαντες, ὡς ἑκουσίως ἐπιμαχόμενοι τῇ ἀποστολικῇ ἀληθείᾳ· καὶ μᾶλλον τὴν ἑαυτῷ, ἤπερ τὴν τοῦ Θεοῦ δόξαν ἐπιζητοῦντες. ὁπόταν ὁ κύριος ὑπομιμνήσκῃ τοὺς πλημμελοῦντας προτρέπων πρὸς διόρθωσιν μετανοίας. οὐ γὰρ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἵνα ἐπιστραφῇ, καὶ ζήσηται. ὅτι γὰρ ὑπομιμνήκειν κατηξίωσεν ἡ ὑμετέρα εὐσέβεια διὰ θείων αὐτῆς γραμμάτων τὴν ἡμετέραν οὐδενότητα, ἵνα μυηθῶσιν ἐν τοῖς δόγμασι τῆς ὀρθοδόξου πίστεως καὶ τῆς σωτηριώδους διδασκαλίας, ὅπως φθάσωσι πρὸς τὴν τῆς ὑγιοῦς πίστεως γνῶσιν, ὡς ἀσθενοῦσι καὶ περὶ τὴν πίστιν ναυαγοῦσι τούτοις χεῖρα πνευματικῆς διδασκαλίας ἐπιδεδώκαμεν σπουδαίως, ἵνα πρὸς τὸν τῆς ἀληθείας λιμένα ἀφίκωνται· καὶ πρὸς τὸ ἐπιγνῶναι τῆς ὑγιαινούσης πίστεως τὴν ὀρθότητα ἀδιαλείπτως ἰατρικὰ βοηθήματα παρεχόμεθα κατὰ τὸ ἁρμόζον τῇ ἡμετέρᾳ διακονίᾳ· οὐ παρελίπομεν ὑπομνήσεως ἰατρεῖον παρισᾶν τοῖς ἐθέλουσι. κἂν εἰ δὲ πρὸς τὴν κατάστασιν τῆς εὐαγγελικῆς καὶ ἀποστολικῆς πίστεως ὁ χαρακτὴρ τῆς γραφῆς τοὺς θαυμαζομένους ἀγῶνας τῆς ὑμετέρας πρᾳότητος, καὶ τὴν μονογενῶς ἐνοῦσαν αὐτῇ ἀγρυπνίαν οὐκ αὐταρκεῖ διηγήσασθαι. ἀλλ' οὐ διὰ τοῦτο τῆς ἀνδρείας ὑμῶν τὰ ἐξαίρετα σιωπῇ παρεπέμφθη τοῦ παντὸς κόσμου πανταχοῦ ταῦτα βοῶντος. ὦ ἁγία μῆτερ ἐκκλησία ἀνάστηθι, ἀπόθου τὸ ἔνδυμα τῆς στυγνότητος, καὶ ἔνδυσαι τὴν στολὴν τῆς εὐφροσύνης σου. ἰδοὺ ὁ υἱός σου ὁ συστατικώτατος βασιλέων, ὁ σὸς ἐκδικητὴς καὶ βοηθὸς σου. μὴ ταραχθῇς· περιεζώσατο γὰρ ῥομφαίαν τὸν λόγον τοῦ Θεοῦ, ἐν ᾧ διαιρεῖ τοὺς ἀπίστους ἀπὸ τῷ πιστῶν· ἐνεδύσατο πίστεως θώρακα, καὶ περικεφαλαίαν σωτηρίας ἐλπίδα. ἰδοὺ ὁ σὸς πρόμαχος ὁ νέος Δαβίδ. μὴ φοβηθῇς, θάρσει· οὐ γὰρ ἐκεῖνος ὁ ἐνὸς τοῦ Ἰουδαϊκοῦ ἔθνους βασιλεὺς, ἀλλ' οὗτος ὁ σὸς, ὁ τοῦ φιλοχρίστου λαοῦ εὐσεβέστατος βασιλεὺς πορφυρωθεὶς ἐν τῷ τοῦ Ναζωραίου αἵματι, τὸν σὸν πολέμιον τὸν μεγαλορρήμονα Γολιὰθ κατέβαλε, καὶ πᾶσαν αὐτοῦ τὴν φάλαγγα πανταχοῦ διεσκόρπισε, καὶ ἐπάταξεν αὐτοῦ πληγῇ λίθου τὸ μέτωπον, ἔνθα σφραγὶς εὐσεβείας οὐχ ὑπῆρχε· καὶ τῆς κεφαλῆς ἀφαιρεθείσης οὐδεμία ἰσχὺς περιελείφθη· καὶ ἰδοὺ πανταχοῦ ἐπὶ δόρατος θριαμβεύεται· συναθροίσθητε οὖν καὶ συνέλθετε ὦ θεοσεβέστατοι παντὸς τοῦ κόσμου οἱ λαοὶ, ἅμα τοῖς ἱερεῦσι τῷ τοῦ Θεοῦ ἐκκλησιῶν, ἄσατε μεγάλῃ τῇ φωνῇ λέγοντες· ἐνίκησεν ὁ νέος Δαυὶδ, ὁ συστατικώτατος τῷ Αὐγούστων, οὐ μόνον ἐν χιλιάσιν· οὐδὲ γὰρ τὴν καθολικὴν νίκην τοῦ εὐαγγελικοῦ κηρύγματος δυνήσεταί τις ἀριθμητικῶς συμπεριλαβεῖν· ἀλλ' ἔτι μὴν καὶ αὐτὸν τὸν ἀρχηγὸν καὶ πολέμιον καὶ ἡγεμόνα καὶ ἐρεθιστὴν πάντων τῷ κακῶν καὶ τῆς πλάνης τὸν διάβολον μετὰ τῷ αὐτοῦ ταγμάτων καὶ τῷ συνδρόμων τῷ ὅπλῳ τῆς ἀληθοῦς ὀρθοδόξου καὶ ἀποστολικῆς παραδόσεως καὶ ὁμολογίας κατέσβεσεν. εὐφράνθητι οὖν ἁγία μῆτερ ἐκκλησία ἀμέριμνος ὑπάρχουσα περὶ τῆς σῆς ἐλευθερίας, ἡ πολλάκις καταπολεμηθεῖσα, ἀλλὰ μηδαμῶς ἐγκαταλειφθεῖσα· ἀνέστησε γὰρ ὁ σὸς ἀήττητος βασιλεὺς ὁ Χριστὸς βασιλέα φιλόχριστον τὸν σὸν ὑπέρμαχον, τὸν σὸν εὐεργέτην καὶ * πάροχον· οὗτινος τῷ σπουδάσματι τῆς ὀρθοδόξου πίστεως τὴν ἑαυτῆς ἐπισυνάγουσα λαμπρότητα ὅλον καταυγάζεις τὸν κόσμον· καὶ πάντες οἱ πιστοὶ ἀγαλλιῶνται εὐχαριστίας ἀναπέμποντες, τοὺς δὲ ἀπίστους ἡ λύπη καὶ ἡ κατάβλησις καταπαύει, καὶ συντελεῖ· αἱ τοῦ Θεοῦ ἐκκλησίαι ἀνέπνευσαν ῥυσθεῖσαι ἀπὸ πασῶν τῷ ἰδίων περιστάσεων, καὶ τοῖς βασιλικοῖς περιθάλπονται δώροις, καὶ τῇ αὐτοκρατορικῇ ὀχυροῦνται προστασίᾳ· αἷς τισι καὶ ἡ σεβασμιωτάτη ὑμῶν εὐσέβεια τοῖς δεσποτικοῖς ῥήμασι τὸν Χριστὸν μιμουμένη ἐπαγγέλλεται· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας τοῦ αἰῶνος, ὥσπερ

Ψαλ. 35.

* εἴπερ.

Γεζεκ. 18.

1. Βασιλ. 17.

* εὐπάροχον

Ματθ. 28

περ ὁ κύριος Ἰησοῦς Χριστὸς, οὗ τινος τοῖς διδάγμασι κέχρηται, καὶ τῆς αἰωνίου βασιλείας καὶ διωνύμου δόξης ἐν ἀπολαύσει γέγονεν· καὶ καθολικῶς ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὸ κράτος αὐτῆς αἰωνίζοντος πλατύνηται. τῶν δὲ παρουσῶν ἀναφορῶν ἐλάχιστον ἀποκαλεῖται Κωνσταντῖνον τὸν ὑποδιάκονον καὶ ῥεγιωνάριον τούτου τοῦ ἀποστολικοῦ θρόνου, τὸν καὶ πρὸ μικροῦ μετὰ τῆς ληταρείων τοῦ ἁγίου μνήμης τοῦ προηγησαμένου με παραγενόμενον ἐν τῇ ἁγίᾳ σωσθῆναι τῇ αὐτόθι ἐπιτελεσθείσῃ, τῇ σωτηρίῳ φιλανθρωπίᾳ ἡ ὑμετέρα βασιλικὴ μεγαλοψυχία δέξασθαι καταξιώσῃ, καὶ ταῖς ἀναφοραῖς αὐτοῦ τὸ οὖς τῆς ἐλεημοσύνης ἐπικλίνῃ, καὶ ὡς διάκονον ἀξίως δέξηται. * τὸ εὐσεβὲς τοῦ δεσπότου κράτος ἡ οὐράνιος διαφυλάξῃ χάρις, καὶ πάντων τῶν ἐθνῶν τοὺς αὐχένας ὑποτάξῃ.

* ἡ ὑπογραφὴ



Ἁγ. Νικόλαος Ὀρφανός. Ὁ ἐμπαιγμὸς τοῦ Χριστοῦ, 14ου αἰ.



Σκήτη Ἁγ. Ἄννης, Ἅγιον Ὄρος. Ἅγιος Ἰωάννης ὁ Δαμασκηνός, (Λεπτομέρεια), 14ου αἰ.



Μ. Δαφνίου. Ἡ προδοσία τοῦ Ἰούδα, 11ου αἰ.



Μ. Διονυσίου. Ἐπίτιτλον, (Κῶδ. 13), 13ου αἰ.

Ε'τος ἀπὸ Χρι. 5ῶ 692.

Η' Ε' Ν
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
Ε' Ν Τ Ρ Ο' Υ Λ Λ Ω
ΣΥΝΑΘΡΟΙΣΘΕΙΣΑ Α'ΓΙ'Α ΠΕΝΘΕ'ΚΤΗ ΣΥ'ΝΟΔΟΣ
ΕΠΙ' ΙΟΥΣΤΙΝΙΑΝΟΥ ΤΟΥ ΔΕΥΤΕ'ΡΟΥ

ΠΡΟΣΦΩΝΗΤΙΚΟ'Σ ΛΟ'ΓΟΣ ΤΩ'Ν

Ε'ν τῷ Τρούλλῳ βασιλικῷ παλατίῳ συνελθόντων Διακοσίων ἑπτὰ ἁγίων πατέρων ἐν Κωνσταντινουπόλει πρὸς τὸν θεσέβεστατον βασιλέα Ιουστινιανὸν, ᾧ ὑπέταξαν τὰς ὑπ' αὐτῶν ἐκτεθείσας κανόνας.

Τῷ θεσεβεστάτῳ καὶ φιλοχρίστῳ βασιλεῖ Ιουστινιανῷ ἡ ἁγία καὶ οἰκουμενικὴ συνοδος ἡ κατὰ τὸ θεῖον πνεῦμα καὶ θέσπισμα τοῦ θεσεβεστάτου ὑμῶν κράτους συναθροισθεῖσα κατὰ ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν.

ΤΗΣ ἀῤῥήτου καὶ θείας χάριτος τοῦ λυτρωτοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ πᾶσαν περιλαβούσης τὴν γῆν. καὶ τὸ ζωηφόρον τῆς ἀληθείας κηρύγματος ταῖς ἁπάντων ἀκοαῖς ἐνσπαρέντος, ὁ μὲν λαὸς ὁ καθημένος ἐν σκότει τῆς ἀγνοίας φῶς εἶδε μέγα τῆς ἐπιγνώσεως, ἐξ ἧς τῆς πλάνης ἠλευθερώθη δεσμῶν, βασιλείαν οὐρανῶν τῆς παλαιᾶς δουλείας ἀντιλλαξάμενος. ὁ δὲ τοῦ κάλλους τῆς πρώτης λαμπρότητος δι' ἔπαρσιν ἀπωσθείς, ὁ πρωτος δράκων, ὁ νῦν ὁ μέγας, ὁ Ασυριος ὑπὸ μὲν πρὶν αἰχμαλώτων ἁλίσκεται, καὶ γίνεται τῇ δυνάμει τοῦ σαρκωθέντος λόγου πάσης ἰσχύος ἀλλότριος, καθὼς γέγραπται· ὅλι τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. φαντασιῶν γὰρ λαξεία λογικὴ νενομοθέτηται, καὶ ὁλοκάρπωσις ἀναφέρεται, καὶ ὁ Θεὸς θυόμενος καὶ μεταδιδόμενος εἰς σωμάτων ὁμοῦ καὶ ψυχῶν περιποίησιν θεουργεῖ τοὺς μετέχοντας. ὑφ' οὗ καὶ δαίμονες φυγαδεύονται, καὶ ἱερὰ μὲν ἀνθρώπων ἀθροιζομένη πανήγυρις ἐπ' ἐκκλησίαις μυστικῶς ἁγιάζεται· καὶ ξυφὴς ὁ παράδεισος τοῖς πᾶσιν ἀνέῳκται· καὶ τέλος γέγονε τὰ φάντα καινά. ἀλλ' ἐπεὶ ὁ ἀνθρωποκτόνος διάβολος ἅπαξ κατέναντι κυρίου παντοκράτορος ξαχνιάσας, καὶ ὠδινήσας πόνον τῆς ἀποστάσεως, μὴ φέρων ἡμᾶς ἐγηρθέντας βλέπειν τοῦ τῆς παραβάσεως πτώματος, καὶ τὸν ἐρανὸν μεμιαμμένους μεμιαμμένους ἀπὸ τῆς ἀπαρχῆς ἡμῶν, τουτέστι Χριστοῦ τοῦ δόντος ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν, ὑπὲρ ἀνῆκε τὰ τῆς κακίας βέλη κενῶν, καὶ τοῖς πιστοῖς τιτρώσκων τοῖς πάθεσιν, ὡς ἂν χωρισθείσι τῆς δοθείσης αὐτοῖς ἐνεργείας τοῦ πνεύματος, τιμῆς τε καὶ χάριτος, ἐδὲ ὁ ἀγαθὸς ἀθλοθέτης ἡμῶν καὶ τῆς σωτηρίας ἀρχηγὸς παρεῖδε Θεὸς ἀβοηθήτους ἡμᾶς καθεκάστην ἀνιεσῶν μυρίαις τοὺς ἐν τῷ τοῦ βίου τούτου σάλῳ μεμιαμμένους τῆς ἀσεβείας παρατεταγμένους, καὶ τὸν πρὸς αὐτὸν σωσάμενον πόλεμον. οἱ τοῦ τοῦ πνεύματος σπασάμενοι μάχαιραν, ὅ ἐστι ῥῆμα Θεοῦ, καὶ ὕπως συμπλακέντες τῷ πονηρῷ τοῦ καθ' ἡμῶν τυραννίδα κατέλυσαν· ὁδηγοὶ τῆς ποιμενίων μυρίμνων, καὶ τὰς ὁδοὺς κυρίου τοῖς λαοῖς διατίζοντες, ὅπως μὴ κατὰ κρημνῶν τῆς ἀνομίας ὑπ' ἀγνοίας τοῦ κρείττονος ὠθοῖντο καὶ διολισθαίνοιεν. ἔδει γὰρ τὸν τὸ εἶναι ἡμῖν χαρισάμενον, καὶ τοσούτῳ μεγέθει συγκαταβάσεώς τε καὶ ταπεινώσεως τὸ ἡμέτερον γένος μεταποιήσαντα, καὶ πρὸς ἑαυτὸν μετακαλεσάμενον, καὶ ἀναβιβάσαντα, καὶ τοῦ εἰς τὸ δεῖν εἶναι ξένον ἡμῖν ὑποδεῖξαι μεμιαμμένους τῆς ἐκκλησίας λαμπτήρων καὶ διδασκάλων φωτιζομένων τὰ κατὰ Θεὸν ἡμῶν μεμιαμμένα, καὶ πρὸς τὸ εὐαγγέλιον παρορμώντων· ὧν καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, κατὰ τὸν θεῖον ἀπόστολον. ὅθεν καὶ νῦν φιλιπ. ἡμῖν τὸν οἰκεῖον βίον διεξάγουσι ῥᾳθυμότερον, καὶ τῇ τῆς λογισμῶν ἀργίᾳ καθεύδουσιν· ὡς ἐπεισελθεῖν ἀφυλάκτοις τὸν ὁδοστάτην ἐχθρὸν, καὶ κατὰ μικρὸν τοῦ ἀρετοῦ ὑποκλέψαντα τοῦ κακίαν ἡμῖν ἐνθυμεῖσθαι, ὁ τοῦ μεγίστου ταύ-

ταύτην τοῦ παρόντος κόσμου πηδαλιουχῶν ὀλκάδα Χριστὸς ὁ Θεὸς ἡμῶν σε τὸν σοφὸν ἡμῶν κυβερνήτην, τὸν εὐσεβῆ βασιλέα, προστάτην ὄντως ἀνέστησεν οἰκονομοῦντα τοὺς λόγους ἐν κρίσει, φυλάσσοντα εἰς τὸν αἰῶνα ἀλήθειαν, ποιοῦντα κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς, καὶ ἐν ἀμώμῳ ὁδῷ πορευόμενον· ὃν ἡ σοφία κυοφορήσασα καὶ μαιεύσασα, καὶ καλῶς ταῖς ἀρεταῖς ἐκθρέψασα τε καὶ περιστείλασα, καὶ θείου πληρώσασα πνεύματος, ὀφθαλμὸν οἰκουμένης ἀπέδειξε τῇ τοῦ νοῦ καθαρότητι καὶ λαμπρότητι διαυγάζοντα περιφανῶς τὸ ὑπήκοον· ᾧ τὴν ἑαυτῆς ἐκκλησίαν παρέθετο, καὶ τὸν νόμον αὐτῆς μελετᾷν νυκτὸς καὶ ἡμέρας ἐδίδαξε πρὸς καταρτισμὸν καὶ οἰκοδομὴν τῶν ὑπὸ χεῖρα λαῶν. ὃς τῷ θερμῷ τοῦ πρὸς Θεὸν πόθου τὸν ζηλωτὴν ὑπερβαλὼν Φινεὲς, καὶ τὴν ἁμαρτίαν ἐκκεντήσας τῷ κράτει τῆς εὐσεβείας τε καὶ συνέσεως, καὶ τὸ ποίμνιον τῆς κακίας τε καὶ φθορᾶς συνεξελέσθαι προείλω· ἔπρεπε γὰρ τὸν τῶν οἰάκων μετὰ τὴν ἄνω ῥοπὴν τοῦ ἀνθρωπίνου γένους ἐπειλημμένον, μὴ μονὸν τὸ καθ' ἑαυτὸν σκοπεῖν, καὶ ὅπως ἂν αὐτῷ ὁ οἰκεῖος διευθύνοιτο βίος, ἀλλὰ καὶ πᾶν τὸ ἀρχόμενον ἐκ τρικυμίας περισώζειν καὶ τῆς πολλῆς τῶν πταισμάτων συγχύσεως, ἐπικλυζόντων πάντοθεν τῶν πνευμάτων τῆς πονηρίας, καὶ τὸ σῶμα ἡμῶν ἐκταρασσόντων τῆς ταπεινώσεως.

Επειδὴ δὲ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ δύο σύνοδοι, αἱ κατὰ ταύτην τὴν βασιλίδα καὶ θεοφύλακτον πόλιν συναθροισθεῖσαι, ἡ μὲν, ἐπὶ τῶν χρόνων Ιουστινιανοῦ τοῦ τῆς θείας λήξεως, ἡ δὲ, ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως Κωνσταντίνου τοῦ πατρὸς τῆς σῆς ἡμερότητος. τὸ περὶ τῆς πίστεως πατρικῶς διατρανώσασαι μυστήριον, οὐδαμῶς ἱεροὺς κανόνας ἐνέγραψαν, καθάπερ αἱ λοιπαὶ ἅγιαι τέσσαρες οἰκουμενικαὶ σύνοδοι, δι' ὧν ἀποστήσωνται μὲν οἱ λαοὶ τῆς χείρονος καὶ ταπεινοτέρας διαγωγῆς·
1. πετρ. 2 ἐπὶ δὲ τὸν κρείττονα καὶ ὑψιλότερον μεταθῶνται βίον· ἐντεῦθέν τε τὸ ἔθνος τὸ ἅγιον τὸ βασίλειον ἱεράτευμα, ὑπὲρ οὗ Χριστὸς ἀπέθανεν, ὑπὸ πολλῶν ἐξ ἀταξίας παθῶν διασπώμενον καὶ ὑποσυρόμενον, καὶ κατὰ μικρὸν τῆς θείας μάνδρας ἀπορραγὲν καὶ διατμηθὲν, καὶ τῇ ἀγνοίᾳ καὶ λήθῃ τῶν τῆς ἀρετῆς κατορθωμάτων ἀπολισθῆσαν, καὶ ἀποστολικῶς εἰπεῖν τὸν υἱὸν τοῦ Θεοῦ
Ἑβρ. 10. καταπατῆσαι, καὶ τὸ αἷμα τῆς διαθήκης, ἐν ᾧ ἡγιάσθη, κοινὸν ἡγησάμενον, τὴν τοῦ πνεύματος ἐνύβρισε χάριν. τοῦτο λίαν ὡς περιούσιον
Ματθ. 18. λαὸν ἐπισυναγαγεῖν βουληθεὶς, μιμήσει τοῦ τὸ πλανώμενον πρόβατον ἐπὶ τὸ ὄρος ἐπεζητοῦντος ποιμένος Χριστοῦ, καὶ τῇ αὐτοῦ ἀποκαταστῆσαι αὐλῇ, καὶ πεῖσαι φυλάττειν τὰς ἐντολάς τε καὶ τὰ θεῖα προστάγματα· δι' ὧν τῶν νεκρῶν ἀποχωροῦντες ἔργων ζωοποιούμεθα· πᾶσάν τε περινοήσας σωτηρίας διάσκεψιν, καὶ Θεὸν ἐκζητήσας κατὰ τὸ φάσκον ῥητόν· ὁ ζητῶν τὸν κύριον εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης· οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν, εὑρήσουσιν εἰρήνην· τὴν ἁγίαν ταύτην καὶ θεόλεκτον οἰκουμενικὴν ἀθροισθῆναι σύνοδον ὥρισας, ὅπως τῇ τῶν πολλῶν ἐπὶ τὸ αὐτὸ συνεύσει τε καὶ συμπνοίᾳ κατορθωθείη σοι εἰς δέον τὸ σπουδαζόμενον. ἀλλὰ καὶ εἴ τι λείψανον Ελληνικῆς, ἢ Ιουδαϊκῆς σκαιότητος τῷ τῆς ἀληθείας ὡρίμῳ σίτῳ ἐγκαταμέμικται ἐκ ῥίζης αὐτῆς ὡς ζιζάνιον ἀρθείη, καὶ καθαρὸν ἀποδειχθείη τῆς ἐκκλησίας τὸ λήϊον. ὅπου γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ Ματθ. 18.
ἐμῷ ὀνόματι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ἡ κυρία ἔφη φωνή. καὶ πάλιν διὰ Ιερεμίου ἡμῖν ἀνέκραγεν· ἐκζητήσατέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν, Γερεμ. 9.
καὶ ἐπιφανοῦμαι ὑμῖν. ἐπὶ τούτῳ τοίνυν κατὰ κέλευσιν τῆς σῆς εὐσεβείας συνελθόντες κατὰ ταύτην τὴν θεοφύλακτον καὶ βασιλίδα πόλιν κανόνας ἱεροὺς ἀνεγράψαμεν. διὸ τῆς σῆς εὐσεβείας δεόμεθα τὰς τῶν πρὶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει ἐπὶ τοῦ ἐν εὐσεβεῖ τῇ μνήμῃ γενομένου ἡμῶν βασιλέως Θεοδοσίου συναθροισθέντων πατέρων φωνάς σοι προσάγοντες, ἵνα ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν ἐκκλησίαν τετίμηκας, οὕτως καὶ τῶν δοξάντων δι' εὐσεβῶν κεραιῶν ἐπισφραγίσης τὸ τέλος. ὁ δὲ κύριος στηρίξαι σου τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ, καὶ παραπέμψοι γενεαῖς γενεῶν, καὶ προσθείη τῷ ἐπιγείῳ κράτει καὶ τῆς βασιλείας τῆς ἐν οὐρανοῖς τὴν ἀπόλαυσιν.

ΚΑΝΩΝ α'.

ΤΑξις ἀρίστη παντὸς ἀρχομένου, καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι, κατὰ τὴν θεολόγον φωνήν. ὅθεν καὶ τῆς εὐσεβείας ὑφ' ἡμῶν ἤδη διαπρυσίως κηρυττομένης, καὶ τῆς ἐκκλησίας, ἥτις ἐπὶ Χριστῷ τεθεμελίωται, διηνεκῶς αὐξανούσης, καὶ προκοπτούσης, ὡς τῶν τοῦ Λιβάνου κέδρων ταύτην ὑπερεκτείνεσθαι· καὶ νῦν ἀρχὴν ποιούμενοι τῶν ἱερῶν λόγων χάριτι θείᾳ ὁρίζομεν, ἀκαινοτόμητόν τε καὶ ἀπαράτρωτον φυλάττειν τὴν παραδοθεῖσαν πίστιν ἡμῖν ὑπό τε τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου τῶν θεοκρίτων ἀποστόλων. ἔτι δὲ καὶ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ συνελθόντων ἐπὶ Κωνσταντίνου τοῦ γενομένου ἡμῶν βασιλέως κατὰ Αρείου τοῦ δυσσεβοῦς καὶ τῆς παρ' αὐτοῦ δογματισθείσης ἐθνικῆς ἑτεροθείας, ἢ πολυθείας εἰπεῖν οἰκειότερον· οἳ τῇ ὁμογνωμοσύνῃ τῆς πίστεως τὸ ὁμούσιον ἡμῖν ἐπὶ τῶν τριῶν τῆς θεαρχικῆς φύσεως ὑποστάσεων ἀπεκάλυψάντε καὶ διετράνωσαν, μὴ ἐπικεκρύφθαι τῷ μοδίῳ τῆς ἀγνωσίας τοῦτο παραχωρήσαντες, ἀλλὰ τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα προσκυνεῖν μιᾷ προσκυνήσῃ τοὺς πιστοὺς ἀναφανδὸν ἐκδιδάξαντες. καὶ τήν τε τῶν ἀνίσων βαθμῶν τῆς θεότητος δόξαν καθελόντες καὶ διασπάσαντες, τά τε ὑπὸ τῶν αἱρετικῶν συστάντα ἐκ ψάμμου κατὰ τῆς ὀρθοδοξίας μειρακιώδη ἀθύρματα καταβαλόντες καὶ ἀνατρέψαντες. ὡσαύτως δὲ καὶ τὴν ἐπὶ τοῦ μεγάλου Θεο δο-

δοσίᾳ τῇ γλυκυμίᾳ ἡμῶν βασιλέως, ὑπὸ τῇ ἐν ταύτῃ τῇ βασιλίδι πόλει συναχθέντων ἑκατὸν πεντήκοντα ἁγίων πατέρων κηρυχθεῖσαν πίστιν κρατιώμεν, τὰς θεολόγους περὶ τῆς ἁγίας πνεύματος φωνὰς ἀσπαζόμενοι, καὶ τὸν βέβηλον Μακεδόνιον ταῖς πρότερον ἐχθροῖς τῆς ἀληθείας συνεξελαύνοντες, ὡς δῆλον τὸ δεσπότην αὐθαδῶς δοξάσαι τολμήσαντα, καὶ χίσαι τιὼ ἄτμητον μονάδα λησεικῶς προελόμενον, ὡς ἂν μὴ ἐντελὲς ἡμῖν τὸ τῆς ἐλπίδος εἰς μυστήριον· τῷ βδελυρῷ τούτῳ καὶ κατὰ τῆς ἀληθείας λυττήσαντι, καὶ Ἀπολλιναρίου τὸν τῆς κακίας μύσιν συγκατακείναντες· ὃς ἄνουν καὶ ἄψυχον τὸν κύριον ἀνειληφέναι σῶμα δυσεβῶς ἐξηρίζατο, ἐντεῦθεν καὶ ἕτος ἡμῖν ἀτελῆ τιὼ σωτηρίαν γενέσθαι συλλογιζόμενος. ἀλλὰ μὴν καὶ τὰ παρὰ τῇ ἐν τῇ Ἐφεσίων πόλει τὸ πρότερον συναχθέντων ἐπὶ Θεοδοσίου τοῦ υἱοῦ Ἀρκαδίου γλυκυμίου ἡμῶν βασιλέως, διακοσίων θεοφόρων πατέρων ἐκτεθέντα διδάγματι, ὡς κράτος ἀρραγὲς τῆς δυσεβείας ἐπισφραγίζομεν, οἷα Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ καὶ σαρκωθέντα κηρύττοντες, καὶ τιὼ αὐτὸν ἀσπόρως τεκοῦσαν ἄχραντον ἀειπάρθενον, κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον δοξάζοντες· καὶ τιὼ ληρώδη τοῦ Νεσορίου διαίρεσιν ὡς ἀπωκισμένῃ θείας μοίρας ἀποδιώκοντες, ἄνθρωπον ἰδικῶς, καὶ Θεὸν ἰδικῶς τὸν οἷα Χριστὸν δογματίζοντος, καὶ τιὼ Ἰουδαϊκιὼ ἀνανεοῦντος δυσέβειαν. ὁμοὶ ἀλλὰ καὶ τιὼ ἐν τῇ Χαλκηδονέων μητροπόλει ἐπὶ Μαρκιανοῦ καὶ αὐτοῦ γλυκυμίου ἡμῶν βασιλέως, τῇ ἑξακοσίων τριάκοντα θεοφόρων πατέρων συλλογραφηθεῖσαν πίστιν ὀρθοδόξως ἐπικυροῦμεν, ἥτις τὸν οἷα Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ ἐκ δύο σωτεθέντα τῇ φύσεων, καὶ ἐν δύο ταῖς αὐταῖς δοξαζόμενον φύσεσι, μεγαλοφώνως τοῖς πέρασι τῆς γῆς παραδέδωκε· καὶ Εὐτυχέα τὸν ματαιόφρονα, τὸν δοκήσει τὸ μέγα τῆς οἰκονομίας μυστήριον τελεθλιῶναι ἀποφλυάμενον, ὡς ἀποβρόπαιόντι καὶ μίασμα τῇ ἱερῶν τῆς ἐκκλησίας περιβόλων ἐξήλασε. σὺν αὐτῷ δὲ καὶ Νεσόριον, καὶ Διόσκορον· τὸν μὲν τῆς διαιρέσεως, τὸν δὲ τῆς συγχύσεως ὑπερασπιστὴν τε καὶ πρόμαχον, τὰς ἐκ διαμέσου τῆς ἀσεβείας πρὸς τὸ ἐκπεπωκότας ἀπωλείας καὶ ἀθεότητος βάραθρον. ἀλλά γε καὶ τὰς δυσεβεῖς φωνὰς τῇ ἑκατὸν ἐξήκοντα πέντε θεοφόρων πατέρων, τῇ κατὰ ταὐτὰ τιὼ Βασιλίδα συναγηγερμένων πόλιν ἐπὶ Ἰουστινιανοῦ τοῦ τῆς δυσεβοῦς λήξεως γλυκυμίου ἡμῶν Βασιλέως· ὡς ὑπὸ τοῦ πνεύματος ἐξενεχθείσας γινώσκομεν καὶ τὰς μεθ' ἡμᾶς ἐκδιδάσκομεν, οἳ Θεόδωρον τὸν Μοψουεστίας τὸν Νεσορίου διδάσκαλον, Θεοδώρητόν τε, Δίδυμον καὶ Εὐάγριον τὰς τὰς Ἑλληνικὰς ἀναπλασαμένους μυθοποιίας, καὶ σωμάτων τινῶν καὶ ψυχῶν ἡμῖν περιόδους καὶ ἀλλοιώσεις ἀναπεμπάσαντας ταῖς τοῦ νοῦ παραφοραῖς τε καὶ ὀνειρώξεσι, καὶ εἰς τιὼ τῶν νεκρῶν δυσεβῶς ἐμπαροινήσαντας ἀναβίωσιν. τά τε γραφέντα παρὰ Θεοδωρήτου κατὰ τῆς ὀρθῆς πίστεως, καὶ τῇ δώδεκα κεφαλαίων τοῦ μακαρίου Κυρίλλου, καὶ τιὼ λεγομένῳ Ἶβα ἐπιστολιὼ σωδοκῶς ἀνεθεμάτισάν τε καὶ ἐβδελύξαντο. καὶ τιὼ ὑπὸ τῆς ἀνάγκης συναθροισθέντος κατὰ ταὐτὰ τιὼ βασιλίδα πόλιν ἐπὶ τοῦ ἐν θείᾳ τῇ λήξει γλυκυμίου ἡμῶν βασιλέως Κωνσταντίνου ἕκτης ἁγίας συνόδου πίστιν. ἢ μειζόνως τὸ κύριος ἐδέξατο, δι' ὧν ὁ δυσεβὴς βασιλεὺς σφραγῖσι τὰς ταύτης τόμους κατησφαλίσατο πρὸς τιὼ ἐν τῷ παντὶ αἰῶνι ἀσφάλειαν, καὶ αὖθις ὁμολογοῦμεν φυλάττειν ἀπαρεγχείρητον. ἢ δύο φυσικὰς θελήσεις, ἤτοι θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ ἑνὸς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ δοξάζειν ἡμᾶς θεοφιλῶς διεσάφησε· τοὺς τὸ δίθεες τῆς ἀληθείας δόγμα παραχαράξαντας, καὶ οὐ θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ ἑνὸς κυρίου τοῦ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ τοὺς λαοὺς ἐκδιδάξαντας τῇ τῆς δυσεβείας ψήφῳ καταδικάσασα. φαμὲν Θεόδωρον τὸν τῆς Φαρὰν, Κῦρον τὸν Ἀλεξανδρείας, Ονώριον τὸν Ρώμης, Σέργιον, Πύρρον, Παῦλον, Πέτρον τοὺς ἐν ταύτῃ τῇ θεοφυλάκτῳ προεδρεύσαντας πόλει· Μακάριον τὸν γλυκύμυθον τῆς Αντιοχέων ἐπίσκοπον, Στέφανον τὸν αὐτοῦ μαθητιὼ, καὶ τὸν ἄφρονα Πολυχρόνιον. ἐντεῦθεν ἀνέπαφον τηρῆσα τὸ κοινὸν σῶμα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ σωελόντι φάναι, πάντων τῇ ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ δογματοφυλάκτων ἀνδρῶν, οἳ γεγόνασι φωστῆρες ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες, τιὼ πίστιν κρατεῖν βεβαίαν, καὶ μέχρι συντελείας τοῦ αἰῶνος ἀσάλευτον δογματεύειν θεσπίζομεν, καὶ τὰ αὐτῇ θεοπαράδοτα συγγράμματά τε καὶ δόγματα πάντα· ἀποβαλλόμενοί τε καὶ ἀναθεματίζοντες ὅς ἀπεβάλοντο καὶ ἀναθεμάτισαν, ὡς τῆς ἀληθείας ἐχθρὸς καὶ κατὰ Θεοῦ φρυαξαμένους καὶ, καὶ ἀδικίαν εἰς ὕψος ἐκμελετήσαντας. εἰ δέ τις τῶν ἁπάντων μὴ τὰ προειρημένα τῆς δυσεβείας δόγματα κρατεῖ καὶ ἀσπάζεται, καὶ ὅπως δοξάζει τε καὶ κηρύττει, ἀλλ' ἐξ ἐναντίας ἴσθι τούτων ἐπιχειρεῖ. ἔσω ἀνάθεμα κατὰ τὸν ἤδη προεκτεθέντα ὅρον ὑπὸ τῇ προδηλωθέντων ἁγίων καὶ μακαρίων πατέρων, καὶ τοῦ χριστιανικοῦ καταλόγου ὡς ἀλλότριος ἐξωθείσθω, καὶ ἐκπιπτέσθω. ἡμεῖς γὰρ ὅτε προσθεῖναί τι, ὅτε μὴν ὑφαιρεῖν κατὰ τὰ προορισθέντα παντελῶς διεγνώκαμεν, ἢ καθ' ὁντιναοῦν δεδωκήμεθα λόγον.

β'.

Ἔδοξε καὶ τοῦτο τῇ ἁγίᾳ ταύτῃ συνόδῳ καλλίστατε καὶ σπουδαιότατα· ὥστε μεῖναι καὶ ἀπὸ τοῦ νῦν βεβαίους καὶ ἀσφαλεῖς πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων πατέρων δεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας ἡμῖν ὀνόματι τῇ ἁγίων καὶ ἐνδόξων ἀποστόλων ὀγδοήκοντα πέντε κανόνας. ἐπειδὴ δὲ ἐν τούτοις τοῖς κανόσιν ἐντέταλται δέχεσθαι ἡμᾶς τὰς τῶν αὐτῶν ἁγίων ἀποστόλων διὰ Κλήμεντος διὰ-

διατάξεις, αἷς τισι πάλαι ὑπὸ τῶν ἑτεροδόξων ἐπὶ λύμῃ τῆς ἐκκλησίας νόθα τινὰ καὶ ξένα τῆς εὐσεβείας παρενετέθησαν, τὸ εὐπρεπὲς κάλλος τῶν θείων δογμάτων ἡμῖν ἀμαυρώσαντα, τὴν τῶν τοιούτων διατάξεων προσφόρως ἀποβολὴν πεποιήμεθα πρὸς τὴν τοῦ χριστιανικωτάτου ποιμνίου οἰκοδομὴν καὶ ἀσφάλειαν· οὐδαμῶς ἐγκρίνοντες τὰ τῆς αἱρετικῆς ψευδολογίας κυήματα, καὶ τῇ γνησίᾳ τῶν ἀποστόλων καὶ ὁλοκλήρῳ διδαχῇ παρενείροντες. ἐπισφραγίζομεν δὲ καὶ τοὺς λοιποὺς πάντας ἱεροὺς κανόνας τοὺς ὑπὸ τῶν ἁγίων καὶ μακαρίων πατέρων ἡμῶν ἐκτεθέντας, τουτέστι τῶν τε ἐν Νικαίᾳ συναθροισθέντων τιή. θεοφόρων ἁγίων πατέρων, καὶ τῶν ἐν Ἀγκύρᾳ. ἔτι μὴν καὶ τῶν ἐν Νεοκαισαρείᾳ· ὡσαύτως καὶ τῶν ἐν Γάγγραις, πρὸς δὲ καὶ τῶν ἐν Ἀντιοχείᾳ τῆς Συρίας. ἀλλὰ μὴν καὶ τῶν ἐν Λαοδικείᾳ τῆς Φρυγίας. προσέτι καὶ τῶν ρν'. τῶν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι συνελθόντων πόλει· καὶ τῶν διακοσίων τῶν ἐν τῇ Ἐφεσίῳ μητροπόλει τὸ πρότερον συναγηγερμένων· καὶ τῶν ἐν Χαλκηδόνι ἑξακοσίων τριάκοντα ἁγίων καὶ μακαρίων πατέρων· ὡσαύτως καὶ τῶν ἐν Σαρδικῇ· ἔτι μὴν καὶ τῶν ἐν Καρθαγένῃ· προσέτι γε μὴν καὶ τῶν αὖθις ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει συνελθόντων ἐπὶ Νεκταρίου τοῦ τῆς βασιλίδος ταύτης προέδρου καὶ Θεοφίλου τοῦ γενομένου Ἀλεξανδρείας ἀρχιεπισκόπου· ἀλλὰ μὴν καὶ τοῦ Διονυσίου ἀρχιεπισκόπου γενομένου τῆς Ἀλεξανδρείας μεγαλοπόλεως· καὶ Πέτρου γενομένου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος· Γρηγορίου ἐπισκ. γενομένου Νεοκαισαρείας τοῦ θαυματουργοῦ· Ἀθανασίου ἀρχιεπισκ. Ἀλεξανδρείας· Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας· Γρηγορίου ἐπισκ. Νύσσης· Γρηγορίου τοῦ θεολόγου· Ἀμφιλοχίου Ἰκονίου· Τιμοθέου ἀρχιεπισκ. γενομένου Ἀλεξανδρείας· τοῦ προτέρου Θεοφίλου ἀρχιεπισκ. τῆς αὐτῆς Ἀλεξανδρείας μεγαλοπόλεως· Κυρίλλου ἀρχιεπισκόπου τῆς αὐτῆς Ἀλεξανδρείας· Γενναδίου πατριάρχου γενομένου τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως· ἔτι μὴν καὶ τῶν ὑπὸ Κυπριανοῦ τοῦ γενομένου ἀρχιεπισκ. τῆς Ἄφρων χώρας καὶ μάρτυρος, καὶ τῆς κατ' αὐτὸν συνόδου ἐκτεθέντα κανόνα, ὃς ἐν τοῖς τῶν προειρημένων προέδρων τόποις καὶ μόνον, κατὰ τὸ παραδοθὲν αὐτοῖς ἔθος, ἐκράτησε. καὶ μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχαράττειν κανόνας, ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους παραδέχεσθαι κανόνας, ψευδεπιγράφως ὑπό τινων συντεθέντας τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. εἰ δέ τις ἁλῷ κανόνα τινὰ τῶν εἰρημένων καινοτομῶν, ἢ ἀνατρέπειν ἐπιχειρῶν, ὑπεύθυνος ἔσται κατὰ τὸν τοιοῦτον κανόνα, ὡς αὐτὸς διαγορεύει, τὴν ἐπιτιμίαν δεχόμενος· καὶ δι' αὐτοῦ ἐν ᾧπερ πταίει, θεραπευόμενος.

γ'.

Ἐπειδὴ δὲ ὁ εὐσεβὴς καὶ φιλόχριστος ἡμῶν βασιλεὺς τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ προσεφώνησε συνόδῳ· ὥστε τοὺς ἐν κλήρῳ καταλεγομένους, καὶ ἄλλοις τὰ θεῖα διαπορθμεύοντας, καθαροὺς ἀποφῆναι καὶ λειτουργοὺς ἀμώμους, καὶ τῆς νοερᾶς τοῦ μεγάλου Θεοῦ καὶ θύματος καὶ ἀρχιερέως θυσίας ἀξίους· ἀνακαθᾶραί τε τὰ ἐξ ἀθέσμων γάμων τούτοις ἐπιτριβέντα μύση· πρὸς τοῦτο δὲ τῶν μὲν τῆς Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας τὸν τῆς ἀκριβείας τηρηθῆναι κανόνα προτιθεμένων, τῶν δὲ ὑπὸ τὸν τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως θρόνον, τὸν τῆς φιλανθρωπίας καὶ συμπαθείας, εἰς ἓν ἀμφότερα μίξαντες πατρικῶς ὁμοῦ καὶ θεοφιλῶς, ὡς μήτε τὸ πρᾷον ἔκλυτον, μήτε στῦφον τὸ αὐστηρὸν καταλείψοιμεν· καὶ μάλιστα τοῦ ἐξ ἀγνοίας πτώματος εἰς οὐκ ὀλίγον ἀνδρῶν πλῆθος διήκοντος, συνορῶμεν· ὥστε τοὺς μὲν δυσγάμοις περιπαρέντας, καὶ μέχρι τῆς ιέ. τοῦ διελθόντος Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἰνδικτιῶνος, ἔτους στρθ. δουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ μὴ ἐκνῆψαι ταύτης προελομένους, καθαιρέσει κανονικῇ ὑποβαλεῖν. τοὺς δὲ τῷ τοιούτῳ μὲν τῆς διγαμίας πάθει περιπεσόντας, πρὸ δὲ τῆς ἡμῶν ἐπιγνώσεως τὸ συμφέρον ἐπεγνωκότας, καὶ τὸ κακὸν ἐξ ἑαυτῶν περικόψαντας, καὶ πόρρω τὴν ξένην ταύτην καὶ νόθον συμπλοκὴν ἐκδιώξαντας· ἢ καὶ ὧν αἱ κατὰ δεύτερον γάμον γυναῖκες ἤδη τετελευτήκασιν· ἢ καὶ αὐτοὶ πρὸς ἐπιστροφὴν εἶδον μεταμαθόντες τὴν σωφροσύνην, καὶ τῶν πρώην αὐτοῖς παρανομηθέντων ταχέως ἐπιλαθόμενοι, εἴτε πρεσβύτεροι, εἴτε διάκονοι ὄντες τυγχάνοιεν, τούτους ἔδοξε πεπαῦσθαι μὲν πάσης ἱερατικῆς λειτουργίας ἤτοι ἐνεργείας, ἤδη ἐπὶ ῥητόν τινα χρόνον ἐπιτιμηθέντας· τῆς δὲ τιμῆς τῆς κατὰ τὴν καθέδραν καὶ στάσιν μετέχειν, ἀρκουμένους τῇ προεδρίᾳ, καὶ προσκλαίοντας τῷ κυρίῳ συγχωρηθῆναι αὐτοῖς τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. εὐλογεῖν γὰρ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον. τοὺς δὲ γαμετῇ μὲν μιᾷ συναφθέντας, εἰ χήρα ἡ προσλυφθεῖσα ἐτύγχανεν· ὡσαύτως δὲ καὶ τοὺς μετὰ τὴν χειροτονίαν γάμῳ ἐνὶ παρανόμῳ προσομιλήσαντας, τουτέστι πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους, ἤδη ἐπὶ βραχύν τινα χρόνον εἰρχθέντας τῆς ἱερᾶς λειτουργίας καὶ ἐπιτιμηθέντας, αὖθις αὐτοὺς ἐν τοῖς οἰκείοις ἀποκαταστῆναι βαθμοῖς, μηδαμῶς ἐν ἑτέρῳ μείζονι προκόπτοντας βαθμῷ προδήλως διαλυθέντος αὐτοῖς τοῦ ἀθέσμου συνοικεσίου. ταῦτα δὲ ἐπὶ τοῖς καταληφθεῖσι μέχρι τῆς ιέ. ὡς εἴρηται, τοῦ Ἰανουαρίου μηνὸς τῆς τετάρτης ἰνδικτιῶνος, ἐν τοῖς προδηλωθεῖσι πταίσμασι καὶ μόνον ἐρρῶσθαι ἐτυπώσαμεν· ὁρίζοντες ἀπὸ τοῦ παρόντος, καὶ ἀνανεούμενοι τὸν κανόνα τὸν διαγορεύοντα, τὸν δυσὶ γάμοις συμπλακέντα μετὰ τὸ βάπτισμα,

ἢ

ἢ παλλακὴν κτησάμενον, μὴ δύνασθαι εἶναι ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ· ὡσαύτως καὶ τὸν χήραν λαβόντα, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ τῆς σκηνῆς, μὴ δύνασθαι εἶναι ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ.

δ'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, ἢ θυρωρὸς γυναικὶ ἀφιερωμένη Θεῷ μιχθείη, καθαιρείσθω, ὡς τὴν νύμφην τοῦ Χριστοῦ διαφθείρας· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Καν. ἀποστ. 28.

ε'.

Μηδεὶς τῶν ἐν ἱερατικῷ καταλόγῳ τῶν ἐν τῷ κανόνι ἐμφερομένων ἀνυπόπτων προσώπων ἐκτὸς διάγων, γυναῖκα κεκτήσθω ἢ θεραπαινίδα, τὸ ἀνεπίληπτον ἑαυτῷ ἐντεῦθεν τηρῶν. εἰ δὲ παραβαίη τις τὰ παρ' ἡμῶν ὁρισθέντα, καθαιρείσθω. τὸ αὐτὸ δὴ τοῦτο καὶ οἱ εὐνοῦχοι παραφυλαττέτωσαν, τὸ ἄμεμπτον ἑαυτοῖς προνοούμενοι· παραβαίνοντες δὲ, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν· εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν. Νικ. 5.

ϛ'.

Ἐπειδὴ παρὰ τοῖς ἀποστολικοῖς κανόσιν εὕρηται, εἰς κλῆρον προαγομένων ἀγάμων, μόνους ἀναγνώστας καὶ ψάλτας γαμεῖν· καὶ ἡμεῖς τοῦτο παραφυλάττοντες ὁρίζομεν ἀπὸ τοῦ νῦν, μηδαμῶς ὑποδιάκονον, ἢ διάκονον, ἢ πρεσβύτερον μετὰ τὴν ἐπ' αὐτῷ προερχομένην χειροτονίαν ἔχειν ἄδειαν, γαμικὸν ἑαυτῷ συνιστᾶν συνοικέσιον. εἰ δέ τις τοῦτο τολμήσει ποιῆσαι, καθαιρείσθω. εἰ δὲ βούλοιτό τις τῶν εἰς κλῆρον προερχομένων γάμου νόμῳ συνάπτεσθαι γυναικὶ, πρὸ τῆς τοῦ διακόνου, ἢ ὑποδιακόνου, ἢ πρεσβυτέρου χειροτονίας τοῦτο πραττέτω. Καν. 28.

ζ'.

Ἐπειδὴ μεμαθήκαμεν ἔν τισι τῶν ἐκκλησιῶν διακόνους τυγχάνειν ὀφφίκια ἐκκλησιαστικὰ ἔχοντας, ἐντεῦθέν τινας αὐτῶν αὐθαδείᾳ καὶ αὐτονομίᾳ κεχρημένους πρὸ τῶν πρεσβυτέρων καθέζεσθαι, ὁρίζομεν ὥστε τὸν διάκονον, κἂν ἐν ἀξιώματι τουτέστιν ὀφφικίῳ οἱῳδήποτε ἐκκλησιαστικῷ τυγχάνη, τὸν τοιοῦτον μὴ πρὸ τοῦ πρεσβυτέρου καθέζεσθαι, ἐκτὸς εἰ μὴ τὸ πρόσωπον ἐπέχων τοῦ οἰκείου πατριάρχου, ἢ μητροπολίτου ἐν ἑτέρᾳ πόλει παραγένηται ἐπί τινι κεφαλαίῳ· τότε γὰρ ὡς τὸν ἐκείνου τόπον ἀναπληρῶν τιμηθήσεται. εἰ δέ τις τοιοῦτον τολμήσει τυραννικῷ χρώμενος θράσει διαπράξασθαι, ὁ τοιοῦτος ἐκ τοῦ οἰκείου καταβιβασθεὶς βαθμοῦ ἔσχατος πάντων γινέσθω τοῦ ἐν ᾧπερ καταλέγεται τάγματος ἐν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, τοῦ κυρίου ἡμῶν παραινοῦντος, μὴ χαίρειν ταῖς πρωτοκλισίαις κατὰ τὴν ἐν τῷ ἁγίῳ εὐαγγελιστῇ Λουκᾷ, ὡς ἐξ αὐτοῦ τοῦ κυρίου ἡμῶν καὶ Θεοῦ κειμένην διδασκαλίαν· ἔλεγε γὰρ πρὸς τοὺς κεκλειμένους παραβολὴν ἐπάγων· (πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο λέγων πρὸς αὐτούς.) ἐὰν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ. καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρῇ σοί. δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν. ἀλλ' ὅταν κληθῇς, ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκὼς εἴπῃ σοί· φίλε προσανάβηθι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσετε· καὶ ὁ ταπεινὸν ἑαυτὸν ὑψωθήσεται. τὸ δὲ αὐτὸ φυλαχθήσεται καὶ ἐπὶ τῶν λοιπῶν ἱερῶν ταγμάτων· ἐπειδὴ τῶν κατὰ τὸν κόσμον ἀξιωμάτων κρείττονα τὰ πνευματικὰ ἐπιστάμεθα. Λουκ. 14.

η'.

Ἐν πᾶσι τὰ ὑπὸ τῶν ἁγίων πατέρων ἡμῶν θεσπισθέντα καὶ ἡμεῖς κρατεῖν βουλόμενοι, ἀνανεοῦμεν καὶ τὸν κανόνα τὸν διαγορεύοντα, καθ' ἕκαστον ἔτος τῶν ἐν ἑκάστῃ ἐπαρχίᾳ συνόδους γίνεσθαι ἐπισκόπων, ἔνθα ἂν ὁ τῆς μητροπόλεως δοκιμάσῃ ἐπίσκοπος. ἐπειδὴ δὲ διά τε τὰς τῶν βαρβάρων ἐπιδρομὰς, διά τε προσπιπτούσας ἑτέρας αἰτίας ἀδυνάτως οἱ τῶν ἐκκλησιῶν πρόεδροι ἔχουσι δὶς τοῦ ἐνιαυτοῦ τὰς συνόδους ποιεῖσθαι, ἔδοξεν ὥστε τρόπῳ παντὶ ἅπαξ τοῦ ἐνιαυτοῦ τὴν τῶν προγεγραμμένων ἐπισκόπων διὰ τὰ ὡς εἰκὸς ἀναφυόμενα ἐκκλησιαστικὰ κεφάλαια, ἐν ἑκάστῃ ἐπαρχίᾳ γίνεσθαι σύνοδον, ἀπὸ τῆς ἁγίας τοῦ πάσχα ἑορτῆς, καὶ μέχρι συμπληρώσεως τοῦ Ὀκτωβρίου μηνὸς ἑκάστου ἔτους, κατὰ τὸν τόπον ὃν ὁ τῆς μητροπόλεως, καθὰ προείρηται, δοκιμάσῃ ἐπίσκοπος. τοὺς δὲ μὴ συνιόντας ἐπισκόπους ἐνδημοῦντας ταῖς ἑαυτῶν πόλεσι, καὶ ταῦτα ἐν ὑγείᾳ διάγοντας, καὶ πάσης ἀπαραιτήτου καὶ ἀναγκαίας ἀσχολίας ὄντας ἐλευθέρους, ἀδελφικῶς ἐπιπλήττεσθαι. Νικ. 9. Χαλκ. 19. Ἀποστ. 17 Ἀντιοχ. 2.

θ'.

Μηδενὶ ἐξεῖναι κληρικῷ καπηλικὸν ἐργαστήριον ἔχειν. εἰ γὰρ τῷ τοιούτῳ εἰσιέναι ἐν καπηλίῳ οὐκ ἐπιτέτραπται, πόσῳ μᾶλλον ἄλλοις ἐν τούτῳ διακονεῖσθαι, καὶ ἃ μὴ θέμις αὐτῷ ἐγχειρεῖν; εἰ δέ τι τοιοῦτον διαπράξοιτο, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Καν. ἀποστ. 51 42. Λαοδ.

ι'.

Ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος, τόκους ἢ τὰς λεγομένας ἑκατοστὰς λαμβάνων, ἢ παυσάσθω, ἢ καθαιρείσθω. Καν. ἀποστ. 49.

ια'.

ιά.

Μηδεὶς τῶν ἐν ἱερατικῷ τάγματι ἢ λαϊκὸς τὸ παρὰ τῶν Ἰουδαίων ἄζυμα ἐσθιέτω, ἢ τοιούτους προσοικειούσθω, καὶ ἰατρείας παρ' αὐτῶν λαμβανέτω, ἢ ἐν βαλανείῳ παντελῶς τούτοις συλλουέσθω. εἰ δέ τις τοῦτο πρᾶξαι ἐπιχειροίη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Καν ἀποσ. 69.
Λαοδ. 37. 38.

ιβ'.

Καὶ τοῦτο δὲ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἔν τε Ἀφρικῇ καὶ Λιβύῃ καὶ ἑτέροις τόποις, οἱ τῶν ἐκεῖσε θεοφιλέστατοι πρόεδροι συνοικεῖν ταῖς ἰδίαις γαμεταῖς, καὶ μετὰ τὴν ἐπ' αὐτοῖς προελθοῦσαν χειροτονίαν οὐ παραιτοῦνται· πρόσκομμα τοῖς λαοῖς ἐντεῦθεν τιθέντες καὶ σκάνδαλον. πολλῆς οὖν ἡμῖν σπουδῆς οὔσης τοῦ πάντα πρὸς ὠφέλειαν τῶν ὑπὸ χεῖρα ποιμνίων διαπράττεσθαι· ἔδοξεν ὥστε μηδαμῶς τὸ τοιοῦτον ἀπὸ τοῦ νῦν γίνεσθαι. τοῦτο δέ φαμεν, οὐκ ἐπ' ἀθετήσει ἢ ἀναστροπῇ τῶν ἀποστολικῶς προνενομοθετημένων· ἀλλὰ τῆς σωτηρίας καὶ προκοπῆς τῆς ἐπὶ τὸ κρεῖττον τῶν λαῶν προμηθούμενοι καὶ τοῦ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως. φησὶ γὰρ ὁ θεῖος ἀπόστολος· πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε· ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι· μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ. εἰ δέ τις φωραθείη τὸ τοιοῦτον πράττων, καθαιρείσθω.

Ἀποσ. καν. 9.
Ἀποσ. 5.
1. Κορ 10.

ιγ'.

Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας καθομολογεῖν, ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα· μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. ὥστε εἴ τις ἄξιος εὑρεθείη πρὸς χειροτονίαν ὑποδιακόνου ἢ διακόνου ἢ πρεσβυτέρου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τοιοῦτον βαθμὸν ἐκβιβάζεσθαι γαμετῇ συνοικῶν νομίμῳ. μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας. ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ Θεοῦ νομοθετηθέντα καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον καθυβρίζειν ἐκβιασθῶμεν τῆς τοῦ εὐαγγελίου φωνῆς βοώσης. ἃ ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω· καὶ τοῦ ἀποστολικοῦ διδάσκοντος, τίμιον τὸν γάμον, καὶ τὴν κοίτην ἀμίαντον. καί· δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. ἴσμεν δὲ ὥσπερ καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν τιθέμενοι πρόνοιαν ἔφασαν, ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους κατὰ τοὺς ἰδίους ὅρους ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα καὶ τὸ διὰ τῶν ἀποστόλων παραδοθὲν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάττωμεν. καιρὸν ἐπὶ παντὸς ἐπιστάμενοι πράγματος, καὶ μάλιστα νηστείας καὶ προσευχῆς. χρὴ γὰρ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας ἐν τῷ καιρῷ τῆς τῶν ἁγίων μεταχειρήσεως ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν οὗ παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν ἐπιτυχεῖν. εἴ τις οὖν τολμήσοι παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰ τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν ἢ διακόνων ἢ ὑποδιακόνων, ἀποστερεῖν τῆς πρὸς νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω. ὡσαύτως καὶ εἴ τις πρεσβύτερος ἢ διάκονος τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλει, ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω.

Ἀποσ. 5.
Ματθ. 19.
Ἑβρ. 13.
1. Κορ. 7.
Σύνοδ. Καρθ. 11. καν. 2.

ιδ'.

Ὁ τῶν ἁγίων θεοφόρων πατέρων ἡμῶν κρατείτω κανὼν καὶ ἐν τούτῳ, ὥστε πρεσβύτερον πρὸ τῶν λ'. ἐτῶν μὴ χειροτονεῖσθαι, κἂν πάνυ ᾖ ἄνθρωπος ἄξιος, ἀλλ' ἀποτηρεῖσθαι· ὁ γὰρ κύριος Ἰησοῦς Χριστὸς ἐν τῷ λ'. ἔτει ἐβαπτίσθη, καὶ ἤρξατο διδάσκειν. ὁμοίως μήτε διάκονος πρὸ τῶν εἰκοσιπέντε ἐτῶν, μήτε διακόνισσα πρὸ τῶν μ'. χρόνων χειροτονείσθω.

Νεοκ. καν. 11.
Χαλκ. 15.

ιε'.

Ὑποδιάκονος μὴ ἥττων τῶν κ'. χρόνων χειροτονείσθω εἰ δέ τις τῶν ἐν οἰαοῦν καταστάσει ἱερατικῇ παρὰ τοὺς ὁρισθέντας χειροτονηθείη χρόνους, καθαιρείσθω.

ιϛ'.

Ἐπειδὴ ἡ τῶν πράξεων βίβλος ἑπτὰ διακόνους ὑπὸ τῶν ἀποστόλων καταστῆναι παραδίδωσιν· οἱ δὲ τῆς κατὰ Νεοκαισάρειαν συνόδου οὕτως ἐν τοῖς ἐκτεθεῖσι παρ' αὐτῶν κανόσι σαφῶς διεξῆλθον. ὅτι διάκονοι ἑπτὰ ὀφείλουσιν εἶναι κατὰ τὸν κανόνα, κἂν πάνυ μεγάλη ἡ πόλις ᾖ, πεισθήσῃ δὲ ἐκ τῆς βίβλου τῶν πράξεων· ἡμεῖς τῷ ἀποστολικῷ ῥητῷ τὸν νοῦν ἐφαρμόσαντες τῶν πατέρων, εὕρομεν ὡς ὁ λόγος αὐτοῖς οὐ περὶ τῶν τοῖς μυστηρίοις διακονουμένων ἦν ἀνδρῶν, ἀλλὰ περὶ τῆς ἐν ταῖς χρείαις τῶν τραπεζῶν ὑπουργίας, τῆς τῶν πράξεων βίβλου οὕτως ἐχούσης· ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωρουν-

πραξ. 6.
νεοκ. καν. 15.

ρῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπον· οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις. ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους, καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχωρον, καὶ Νικάνωρα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. ταῦτα διερμηνεύων ὁ τῆς ἐκκλησίας διδάσκαλος Ἰωάννης ὁ Χρυσόστομος, οὕτω διέξεισι· θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐπὶ τῇ αἱρέσει τῶν ἀνδρῶν, πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ' αὐτῶν οἱ ἀπόστολοι ὁποῖον δὲ ἄρα ἀξίωμα εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν. ἀλλὰ τῶν πρεσβυτέρων ἡ οἰκονομία ἐστί; καί τοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ' οἱ ἀπόστολοι μόνοι. ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν. ἐπὶ τούτοις οὖν κηρύσσομεν καὶ ἡμεῖς, ὥστε τοὺς προειρημένους ἑπτὰ διακόνους μὴ ἐπὶ τῶν τοῖς μυστηρίοις διακονουμένων λαμβάνεσθαι κατὰ τὴν προερμηνευθεῖσαν διδασκαλίαν, ἀλλὰ τοὺς τὴν οἰκονομίαν τῆς κοινῆς χρείας τῶν τότε συνηθροισμένων ἐγχειρισθέντας τούτους ὑπάρχειν, οἳ τύπος ἡμῖν κἂν τούτῳ γεγόνασι τῆς περὶ τοὺς δεομένους φιλανθρωπίας τε καὶ σπουδῆς.

ιζ'.

Ἐπειδήπερ διαφόρων ἐκκλησιῶν κληρικοὶ τὰς ἰδίας, ἐν αἷς ἐχειροτονήθησαν, ἐκκλησίας καταλιπόντες, πρὸς ἑτέρους συνέδραμον ἐπισκόπους, καὶ γνώμης δίχα τοῦ οἰκείου ἐπισκόπου ἐν ἀλλοτρίαις κατετάγησαν ἐκκλησίαις· ἐκ τούτου τε συνέβη ἀνυποτάκτους αὐτοὺς καταστῆναι· ὁρίζομεν, ὥστε ἀπὸ τοῦ Ἰανουαρίου μηνὸς τῆς παρελθούσης τετάρτης ἐπινεμήσεως, μηδένα τῶν ἁπάντων κληρικῶν κἂν ἐν οἱῳδήποτε τυγχάνῃ βαθμῷ, ἄδειαν ἔχειν ἐκτὸς τῆς τοῦ οἰκείου ἐπισκόπου ἐγγράφου ἀπολυτικῆς ἐν ἑτέρᾳ κατατάττεσθαι ἐκκλησίᾳ. ἐπεὶ ὁ μὴ τοῦτο ἀπὸ τοῦ νῦν παραφυλαττόμενος, ἀλλὰ καταισχύνων τό γε ἐπ' αὐτῷ τὸν τὴν χειροτονίαν αὐτῷ ἐπιτεθεικότα, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ παραλόγως αὐτὸν προσδεξάμενος.

ιη'.

Τοὺς προφάσει βαρβαρικῆς ἐπιδρομῆς, ἢ ἄλλως πῶς ἐκ περιστάσεως μετανάστας γενομένους κληρικοὺς, ἡνίκα ἂν ὁ τρόπος αὐτοῖς ἀποπαύσηται, ἢ αἱ τῶν βαρβάρων ἐπιδρομαὶ, δι' ἃς τὴν ἀναχώρησιν ἐποιήσαντο, αὖθις ἐν ταῖς οἰκείαις ἐκκλησίαις προστάσσομεν ἐπανέρχεσθαι, καὶ μὴ ἐπιπολὺ ταύτας ἀπροφασίστως καταλιμπάνειν. εἰ δέ τις μὴ κατὰ τὸν παρόντα διαγένηται κανόνα, ἀφοριζέσθω μέχρις ἂν πρὸς τὴν οἰκείαν ἐκκλησίαν ἐπαναδράμῃ. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῷ κατέχοντι αὐτὸν ἐπισκόπῳ γινέσθω.

ιθ'.

Ὅτι δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας ἐν πάσαις μὲν ἡμέραις, ἐξαιρέτως δὲ ταῖς κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ κρίματα, καὶ μὴ παρεκβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους, ἢ τὴν ἐκ τῶν θεοφόρων πατέρων παράδοσιν. ἀλλὰ καὶ εἰ γραφικός τις ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο. καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες· ἵνα μὴ ἔσθ' ὅτε πρὸς τοῦτο ἀπόρως ἔχοντες ἀποπίπτοιεν τοῦ προσήκοντος. διὰ γὰρ τῆς τῶν προειρημένων πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν, καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταῤῥυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τῷ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει· ἀλλὰ προσέχοντες διδασκαλίᾳ, ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι· καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν ἑαυτοῖς ἐξεργάζονται

κ'.

Μὴ ἐξέστω ἐπισκόπῳ εἰς ἑτέραν τὴν μὴ αὐτῷ προσήκουσαν πόλιν δημοσίᾳ διδάσκειν. εἰ δέ τις φωραθείη τοῦτο ποιῶν, τῆς ἐπισκοπῆς παυέσθω, τὰ δὲ τοῦ πρεσβυτέρου ἐνεργεῖτο.

κα'.

Οἱ ἐπὶ ἐγκλήμασι κανονικῶς ὑπεύθυνοι γινόμενοι, καὶ διὰ τοῦτο παντελεῖ τε καὶ διηνεκεῖ καθαρέσει ὑποβαλλόμενοι ἐν τῷ τῶν λαϊκῶν ἀπωθούμενοι τόπῳ, εἰ μὲν ἑκουσίως πρὸς ἐπιστροφὴν ὁρῶντες ἀθετοῦσι τὴν ἁμαρτίαν, δι' ἣν τῆς χάριτος ἐκπεπτώκασι, καὶ ταύτης τέλεον ἀλλοτρίους ἑαυτοὺς καθιστῶσι, τῷ τοῦ κλήρου κειρέσθωσαν σχήματι· εἰ δὲ μὴ τοῦτο αὐθαιρέτως αἱρήσονται, καθάπερ οἱ λαϊκοὶ τὴν κόμην ἐπιτρεφέτωσαν· ὡς τὴν ἐν κόσμῳ ἀναστροφὴν τῆς οὐρανίου ζωῆς προτιμήσαντες.

κβ'.

Τοὺς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους, εἴτε οἱουσδήποτε κληρικοὺς, καὶ οὐκατὰ δοκιμασίαν καὶ τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προστάσσομεν, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας.

κγ'.

Περὶ τοῦ μηδένα εἴτε ἐπίσκοπον, εἴτε πρεσβύτερον, ἢ διάκονον τῆς ἀχράντου μεταδιδόντα κοινωνίας παρὰ τοῦ μετέχοντος εἰσπράττειν τῆς τοιαύτης μεταλήψεως χάριν ὁβολοὺς ἢ εἶδος τὸ οἱονοῦν. οὐδὲ γὰρ πεπραμένη ἡ χάρις, οὐδὲ χρήμασι τὸν ἁγιασμὸν τοῦ πνεύματος μεταδίδομεν· ἀλλὰ τοῖς ἀξίοις τοῦ δώρου ἀπανουργεύτως μεταδοτέον. εἰ δὲ φανείη τις τῶν ἐν κλήρῳ καταλεγομένων ἀπαιτῶν, ᾧ μεταδίδωσι τῆς ἀχράντου κοινωνίας, τὸ οἱονοῦν εἶδος, καθαιρείσθω, ὡς τῆς Σίμωνος ζηλωτὴς πλάνης καὶ κακουργίας.

κδ'.

Μὴ ἐξέστω τινι τῶν ἐν ἱερατικῷ καταλεγομένων τάγματι, ἢ μοναχῶν, ἐν ἱπποδρομίαις
Λαοδ. καν. 54. ἀνιέναι, ἢ θυμελικῶν παιγνίων ἀνέχεσθαι. ἀλλ' εἰ καί τις κληρικὸς κληθείη ἐν γάμῳ, ἡνίκα τὰ πρὸς ἀπάτην εἰσέλθοιεν παίγνια, ἐξαναστήτω, καὶ αὐτίκα ἀναχωρείτω, οὕτω τῆς τῶν πατέρων ἡμῶν προστασσούσης διδασκαλίας. εἰ δέ τις ἐπὶ τούτῳ ἁλῷ, ἢ παυσάσθω, ἢ καθαιρείσθω.

κε'.

Πρὸς τοῖς ἄλλοις ἀνανεοῦμεν καὶ τὸν κανόνα
Χαλκ. καν. 17. τὸν διαγορεύοντα, τὰς καθ' ἑκάστην ἐκκλησίαν ἀγροικικὰς παροικίας, ἢ ἐγχωρίους μένειν ἀπαρασαλεύτους παρὰ τοῖς κατέχουσιν αὐτὰς ἐπισκόποις, καὶ μάλιστα εἰ τριακονταετῆ χρόνον αὐτὰς ἀβιάστως διακατέχοντες ᾠκονόμησαν· εἰ δὲ ἐντὸς τῶν τριάκοντα ἐτῶν ἐγένετό τις, ἢ γένηται περὶ αὐτῶν ἀμφισβήτησις, ἐξεῖναι τοῖς λέγουσιν ἠδικῆσθαι περὶ τούτου κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας.

κϛ'.

Πρεσβύτερον τὸν κατὰ ἄγνοιαν ἀθέσμῳ γάμῳ περιπαρέντα καθέδρας μὲν μετέχειν κατὰ τὰ ὑπὸ τοῦ ἱεροῦ κανόνος ἡμῖν νομοθετηθέντα, τῶν δὲ λοιπῶν ἐνεργειῶν ἀπέχεσθαι· ἀρκετὸν γὰρ τῷ τοιούτῳ ἡ συγγνώμη· εὐλογεῖν δὲ ἕτερον τὸν τὰ οἰκεῖα τημελεῖν ὀφείλοντα τραύματα, ἀνακόλουθον· εὐλογία γὰρ ἁγιασμοῦ μετάδοσις ἐστί· ὁ δὲ τοιοῦτον μὴ ἔχων διὰ τὸ τῆς ἀγνοίας παράπτωμα, πῶς ἑτέρῳ μεταδώσει; μήτε τοίνυν δημοσίᾳ μήτε ἰδίᾳ εὐλογείτω, μήτε τὸ κυρίου σῶμα διανεμέτω, ἀλλ' ἀρκούμενος τῇ προεδρίᾳ προσκλαιέτω τῷ κυρίῳ συγχωρηθῆναι αὐτῷ τὸ ἐκ τῆς ἀγνοίας ἀνόμημα. πρόδηλον γὰρ ὡς ὁ τοιοῦτος ἄθεσμος γάμος διαλυθήσεται, καὶ οὐδαμῶς ὁ ἀνὴρ μετουσίαν ἕξει πρὸς τὴν, δι' ἣν τῆς ἱερᾶς ἐνεργείας ἐστέρηται.

κζ'.

Μηδεὶς τῶν ἐν κλήρῳ καταλεγομένων ἀνοίκειον ἐσθῆτα ἀμφιεννύσθω, μήτε ἐν πόλει διάγων, μήτε ἐν ὁδῷ βαδίζων· ἀλλὰ στολαῖς κεχρήσθω ταῖς ἤδη τοῖς ἐν κλήρῳ καταλεγομένοις ἀπονεμηθείσαις. εἰ δέ τις διαπράξοιτο τὸ τοιοῦν, ἐπὶ ἑβδομάδα μίαν ἀφωριζέσθω.

κη'.

Ἐπειδὴ ἐν διαφόροις ἐκκλησίαις μεμαθήκαμεν σταφυλῆς ἐν τῷ θυσιαστηρίῳ προσφερομένης κατά τι κρατῆσαν ἔθος, τοὺς λειτουργοὺς ταύτην τῇ ἀναιμάκτῳ τῆς προσφορᾶς θυσίᾳ συνάπτοντας, οὕτως ἅμα τῷ λαῷ διανέμειν ἀμφότερα· συνείδομεν, ὡς μηκέτι τοῦτό τινα τῶν ἱερωμένων ποιεῖν· ἀλλ' εἰς ζωοποίησιν καὶ ἁμαρτιῶν ἄφεσιν τῷ λαῷ τῆς προσφορᾶς μόνης μεταδιδόναι· ὡς ἀπαρχὴν δὲ τὴν τῆς σταφυλῆς λογιζομένους προσένεξιν, ἰδικῶς τοὺς ἱερεῖς εὐλογοῦντας τοῖς αἰτοῦσι ταύτης μεταδιδόναι πρὸς τὴν τοῦ δοτῆρος τῶν καρπῶν εὐχαριστίαν. δι' ὧν τὰ σώματα ἡμῶν κατὰ τὸν θεῖον ὅρον αὔξει τε καὶ τρέφεται. εἴ τις οὖν κληρικὸς παρὰ τὰ τεταγμένα ποιήσει, καθαιρείσθω.

κθ'.

Ὁ τῶν ἐν Καρθαγένῃ διαγορεύει κανὼν, ὥστε τὰ τοῦ ἁγίου θυσιαστηρίου εἰ μὴ ὑπὸ νηστικῶν ἀνθρώπων μὴ ἐπιτελεῖσθαι, ἐξῃρημένης Καρθ. σύνοδ. καν. 29.
μιᾶς ἐτησίας ἡμέρας, ἐν ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται· ἴσως τηνικαῦτα διά τινας κα- Λαοδ. καν. 50.
τὰ τοὺς τόπους προφάσεις τῇ ἐκκλησίᾳ λυσιτελεῖς τῶν θείων ἐκείνων πατέρων τῇ τοιαύτῃ χρησαμένων οἰκονομίᾳ, μηδενὸς οὖν ἡμᾶς ἐνάγοντος καταλιπεῖν τὴν ἀκρίβειαν, ὁρίζομεν ἀποστολικαῖς καὶ πατρικαῖς ἑπόμενοι παραδόσεσι, μὴ δεῖν ἐν τῇ τεσσαρακοστῇ τῇ ὑστεραίᾳ ἑβδομάδι τὴν πέμπτην λύειν, καὶ ὅλην τὴν τεσσαρακοστὴν ἀτιμάζειν.

λ'.

Πάντα πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας βουλόμενοι διαπράττεσθαι, καὶ τοὺς ἐν ταῖς βαρβαρικαῖς ἐκκλησίαις ἱερέας οἰκονομεῖν διεγνώκαμεν. ὥστε εἰ τὸν ἀποστολικὸν κανόνα περὶ τοῦ προφάσει εὐλαβείας τὴν οἰκείαν γαμετὴν μὴ ἐκβάλλειν, ὑπεραναβαίνειν οἴονται δεῖν, καὶ πέρα τῶν ὁρισθέντων ποιεῖν· καὶ ἐκ τού-

των μὴ τῶν οἰκείων συμφωνούντες συμβίων, τῆς πρὸς ἀλλήλους ὁμιλίας ἀπέχονται· ὁρίζομεν τούτους μηκέτι ταύταις συνοικεῖν καθ' οἱονδήτινα τρόπον· ὡς ἂν ἡμῖν ἐντεῦθεν ἐντελῆ τῆς ὑποσχέσεως παρέξοιεν τὴν ἀπόδειξιν. πρὸς τοῦτο δὲ αὐτοῖς οὐ δι' ἄλλο τι, ἢ διὰ τὴν τῆς γνώμης μικροψυχίαν, καὶ τὸ τῶν ἠθῶν ἀπεξενωμένον ἡμᾶς ἀπαγὲς ἐνδεδώκαμεν.

λά.

Τοὺς ἐν ἀκτημόνοις οἴκοις ὄντας οἰκίας τυγχάνουσι λειτουργοῦντας ἢ βαπτίζοντας κληρικούς, ὑπὸ γνώμης τοῦτο πράττειν τοῦ κατὰ τόπον ἐπισκόπου ὁρίζομεν· ὥστε εἴ τις κληρικὸς μὴ τοῦτο οὕτω παραφυλάττοι, καθαιρείσθω.

λβ'.

Ἐπειδὴ εἰς γνῶσιν ἡμετέραν ἦλθεν, ὡς ἐν τῇ Ἀρμενίων χώρᾳ οἶνον μόνον ἐν τῇ ἱερᾷ τραπέζῃ προσάγουσιν, ὕδωρ αὐτῷ μὴ μιγνύοντες οἱ τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες, προτιθέμενοι τὸν τῆς ἐκκλησίας διδάσκαλον Ἰωάννην τὸν Χρυσόστομον φάσκοντα διὰ τῆς εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἑρμηνείας ταῦτα· τίνος ἕνεκεν οὐκ ὕδωρ ἔπιεν ἀνασάς ἀλλ' οἶνον; ἀλλ' αἵρεσιν πονηρὰν προρρίζου ἀνασπῶν· ἐπειδὴ γάρ εἰσί τινες ἐν τοῖς μυστηρίοις ὕδατι κεχρημένοι, δεικνὺς ὅτι οὐ νῦν τὰ μυστήρια παρέδωκε, οὐ νῦν ἀνασὰς χωρὶς μυστηρίων τὴν ψιλὴν τράπεζαν παρετίθετο, οἴνῳ ἐχρῆτο, ἐκ τοῦ γεννήματος, φησί, τῆς ἀμπέλου· ἄμπελος δὲ οἶνον οὐκ ὕδωρ γεννᾷ· ἐκ τούτου τὸν διδάσκαλον οἴονται ἀνατρέπειν τὴν τοῦ ὕδατος ἐν τῇ ἱερᾷ θυσίᾳ προσαγωγήν· ὡς ἂν μὴ ἀπὸ τοῦ νοῦ κατέχοιντο τῇ ἀγνοίᾳ, τὴν τοῦ πατρὸς διάνοιαν ὀρθοδόξως ἀποκαλύπτομεν. τῆς γὰρ πονηρᾶς τῶν Ὑδροπαραστατῶν αἱρέσεως παλαιᾶς ὑπαρχούσης, οἳ ἀντὶ οἴνου μόνῳ τῷ ὕδατι ἐν τῇ οἰκείᾳ θυσίᾳ κέχρηνται, ἀνασκευάζων ὅτος ὁ θεοφόρος ἀνὴρ τὴν παράνομον τῆς τοιαύτης αἱρέσεως διδαχήν, καὶ δεικνὺς ὡς ἐξ ἐναντίας τῆς ἀποστολικῆς ἴσταται παραδόσεως, τὸν εἰρημένον κατεσκεύασε λόγον· ἐπεὶ καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἔνθα τὴν ποιμαντικὴν ἐχειρίζετο ἡγεμονίαν, ὕδωρ οἴνῳ μίγνυσθαι παρέδωκεν, ἡνίκα τὴν ἀναίμακτον θυσίαν ἐπιτελεῖσθαι δεήσεσιν, τὴν ἐκ τῆς τιμίας πλευρᾶς τοῦ λυτρωτοῦ ἡμῶν καὶ σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἐξ αἵματος καὶ ὕδατος κρᾶσιν παραδείκνυς, ἥτις εἰς ζωοποίησιν παντὸς τοῦ κόσμου ἐξεχέθη καὶ ἁμαρτιῶν ἀπολύτρωσιν. καὶ κατὰ πᾶσαν δὲ ἐκκλησίαν, ἔνθα οἱ πνευματικοὶ φωστῆρες ἐξέλαμψαν, ἡ θεόσδοτος αὕτη τάξις κρατεῖ. καὶ γὰρ καὶ Ἰάκωβος ὁ κατὰ σάρκα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀδελφός, ὃς τῆς Ἱεροσολυμιτῶν ἐκκλησίας πρώτως τὸν θρόνον ἐπισκήθη· καὶ Βασίλειος ὁ τῆς Καισαρέων ἀρχιεπίσκοπος, ὃς τὸ κλέος κατὰ πᾶσαν τὴν οἰκουμένην διέδραμεν, ἐγγράφως τῇ μυστικῇ ἡμῖν ἱερουργίαν παραδεδωκότες, ὅπου τελειοῦν ἐν τῇ θείᾳ λειτουργίᾳ ἐξ ὕδατός τε καὶ οἴνου τὸ ἱερὸν ποτήριον ἐκδεδώκασι. καὶ οἱ ἐν Καρθαγένῃ συναχθέντες ὅσιοι πατέρες ὅπου ῥητῶς ἐπεμνήσθησαν. ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου προσενεχθείη, ὡς αὐτὸς ὁ κύριος παρέδωκε, τουτέστιν ἄρτου καὶ οἴνου ὕδατι μεμιγμένου. εἴ τις οὖν ἐπίσκοπος ἢ πρεσβύτερος μὴ κατὰ τὴν παραδοθεῖσαν ὑπὸ τῶν ἀποστόλων τάξιν ποιεῖ, καὶ ὕδωρ οἴνῳ μιγνὺς ὅπου τὸ ἄχραντον προσάγει θυσίαν, καθαιρείσθω, ὡς ἀτελῶς τὸν μυστηριον ἐξαγγέλλων, καὶ ἡμᾶς τὰ παραδεδομένα. Σωσθ. Καρθ. 3. καν. 24.

λγ'.

Ἐπειδήπερ ἔγνωμεν ἐν τῇ Ἀρμενίων χώρᾳ μόνους ἐν κλήρῳ τοὺς ἐκ γάμου ἱερατικῇ καταστάττεσθαι, Ἰουδαϊκοῖς ἔθεσιν ἑπομένων τῶν τοῦτο πράττειν ἐπιχειρούντων, τινὰς δὲ αὐτῶν καὶ μὴ ἀπωκειρομένους ἱεροψάλτας καὶ ἀναγνώστας τοῦ θείου νόμου καθίστασθαι· συνείδομεν ὥστε ἀπὸ τοῦ νῦν μὴ ἐξεῖναι τοῖς εἰς κλῆρον βουλομένοις προάγειν τινὰς εἰς τὸ γάμου ἀποβλέπειν τοῦ προχειρίζεσθαι. ἀλλὰ δοκιμάζοντες, εἰ ἄξιοί εἰσι κατὰ τοὺς περὶ τούτου ἐν τοῖς ἱεροῖς κανόσιν ὅρους ἐν κλήρῳ καταλεγῆναι, τύπους ἐκκλησιαστικοὺς προχειρίζεσθαι, εἴτε καὶ ἐκ προγόνων γεγόνασιν ἱερέων, εἴτε καὶ μή· ἀλλὰ μηδέ τινα τῶν ἁπάντων συγχωρεῖν ἐπ' ἄμβωνος κατὰ τὴν τῶν ἐν κλήρῳ καταλεγομένων τάξιν, τοὺς θείους τῷ λαῷ λόγους ὑποφωνεῖν, εἰ μή τι ἂν ἱερατικῇ χειρὶ χρείσηται ὁ τοιοῦτος, καὶ τὴν ἀλογίαν ὑπὸ τοῦ οἰκείου ποιμένος κανονικῶς ὑποδέξηται εἰ δέ τις φωραθείη παρὰ τὰ γεγραμμένα ποιῶν ἀφορίζεσθω.

λδ.

Καὶ τοῦτο δὲ τῷ ἱερατικῷ κανόνος σαφῶς διαγορεύοντος, ὡς τὸ τῆς συνωμοσίας ἢ φράξιας ἔγκλημα καὶ παρὰ πᾶν ἔξω νόμων πεκώλυται, πολλῷ δὲ μᾶλλον ἐν τῇ ἐκκλησίᾳ τοῦτο γενέσθαι ἀπαγορεύειν προσήκει, καὶ ἡμεῖς φυλάττειν σπουδάζομεν ὡς εἴ τινες κληρικοὶ ἢ μοναχοὶ αἱρεθεῖεν ἢ συνομνύμενοι, ἢ φρατριάζοντες, ἢ κατασκάλας τυρβάζοντες ἐπισκόπων ἢ συγκληρικῶν, ἐκπιπτέτωσαν πάντη τοῦ οἰκείου βαθμοῦ. Χαλκ. καν.

λέ.

Μὴ ἐξέστω τινὶ τῶν πάντων μητροπολιτῶν τελοῦντος ἐπισκόπου τελοῦντος ὑπὸ τὸν κατ' αὐτὸν θρόνον τὰ αὐτοῦ πράγματα ἢ τῆς κατ' αὐτὸν ἐκκλησίας ἀφαιρεῖσθαι, ἢ σφετερίζεσθαι· ἀλλ'

ἀλλ᾽ ὑπὸ παραφυλακὴν ἔσωσαν τῆ κλήρῳ τῆς ἐκκλησίας, ἧς ὁ τελευτήσας ἐτύγχανε προέδρ@, μέχρι τῆς ἑτέρᾳ ἐπισκόπῳ παραγωγῆς. ἐκτὸς εἰ μή κληρικοὶ ἐν τῇ ἐκκλησίᾳ ὑχ ὑπελείφθησαν. τίωικαῦται γὰρ ὁ μητροπολίτης ταῦτα παραφυλάξει ἀμείωτα, τῷ χειροτονηθησομένῳ ἐπισκόπῳ πάντα ἀποδιδούς.

λς΄.

καν. καν. 3. Χαλκ. καν. 28. Ἀναγεμμοι τὰ παρὰ τῆς ῥ΄ · ἁγίων πατέρων τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν χλ΄. τῶν ἐν Χαλκηδόνι συνελθόντων νομοθετηθέντα, ὁρίζομεν, ὥστε τὸν Κωνσταντινουπόλεως θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τῆ τῆς πρεσβυτέρας Ρώμης θρόνῳ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ᾽ ἐκεῖνον ὑπάρχοντα. μεθ᾽ ὃν ὁ τῆς Αλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος· εἶτα ὁ τῆς Αντιοχέων· καὶ μετὰ τοῦτον ὁ τῆς Ιεροσολυμιτῶν πόλεως.

λζ΄.

Αντιοχ. καν. 18. Ἐπειδὴ κατὰ διαφόρους καιροὺς βαρβαρικαὶ ἐγένοντο ἔφοδοι, καὶ πλεῖσαι πόλεις ἐντεῦθεν ὑπεχείρισαν τοῖς ἀνόμοις κατέσησαν, ὡς ἐντεῦθεν μὴ δυνηθῶμεν τὸν τῆς τοιαύτης πόλεως πρόεδρον μετὰ τὴν ἐπ᾽ αὐτῷ χειροτονίαν τὸν οἰκεῖον θρόνον καταλαβεῖν, καὶ ἐν αὐτῷ ἱεραρτικῇ κατασάσει ἐνιδρυνθῆναι· καὶ ὅπως κατὰ τὸ κρατῆσαν ἔθος, τὰς χειροτονίας, καὶ πάντα ἃ τῷ ἐπισκόπῳ ἀνήκει, πράττειν τε καὶ μεταχειρίζεσθαι· ἡμεῖς τὸ τίμιον καὶ σεβάσμιον τῆ ἱερωσύνῃ φυλάσσοντες, καὶ μηδαμῶς πρὸς λύμην τῆς ἐκκλησιαστικῶν δικαίων τὴ ἐθνικὴ ἐπήρειαν ἐνεργεῖσθαι βουλόμενοι, τοῖς ὅπως χειροτονηθεῖσι, καὶ διὰ τὴν προκειμένην αἰτίαν ἐν τοῖς ἑαυτῆς μὴ καταστῆσι θρόνοις, τὸ ἀπρόκειτον τηρεῖσθαι συνεωράκαμεν· ὥστε καὶ χειροτονίας κληρικῶν διαφόρων κανονικῶς ποιεῖν, καὶ τῆ τῆς προεδρείας αὐθεντίᾳ κατὰ τὸν ἴδιον ὅρον κεχρῆσθαι, καὶ βεβαίαν καὶ νενομισμένην εἶναι πᾶσαν ὑπ᾽ αὐτῆς προϊοῦσαν διοίκησιν. ὁ γὰρ ἀπὸ τοῦ τῆς ἀνάγκης καιροῦ τῆς ἀκεβείας περιχαράξας, ὁ τῆς οἰκονομίας ὅρος περιορισθήσεται.

λη΄.

Χαλκ. καν. 12. Τὸν ἐκ τῆς πατέρων τεθέντα κανόνα καὶ ἡμεῖς παραφυλάττομεν, τὸ ὅπως διαγορεύονται. εἴ τις ἐκ βασιλικῆς ἐξουσίας ἐκαινίσθη πόλις, ἢ αὖθις καινισθῇ, τοῖς πολιτικοῖς καὶ δημοσίοις τύποις καὶ ἡ τῶν ἐκκλησιαστικῶν πραγμάτων τάξις ἀκολουθείτω.

λθ΄

Τῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν Ιωάννου τῷ τῆς Κυπρίων νήσου προέδρῳ ἅμα τῷ οἰκείῳ λαῷ ἐπὶ τοῦ Ελλησπόντιον ἐπαρχίαν διά τε τὰς βαρβαρικὰς ἐφόδους, διά τε τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τῶ Χριστιανικωτάτῳ κράτους ὑποταγῆναι, τῆς εἰρημένης μετασάντος νήσου προνοίᾳ τῶ φιλανθρώπῳ Θεῶ, καὶ μόχθῳ τῶ φιλοχείστου καὶ εὐσεβοῦς ἡμῶν βασιλέως, συνορῶμεν, ὥστε Ε΄φεσ. καν. 8. ἀκηλοτόμητα φυλαχθῆναι τὰ παρὰ τῆς ἐν Εφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων πατέρων τῷ θρόνῳ τῶ προγεγραμμένου ἀνδρὸς παραχεθέντα προνόμια· ὥστε τὴ νέαν Ιουστινιανούπολιν τὸν δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως· καὶ τὸν ἐπ᾽ αὐτῇ καθιερωμένον θεοφιλέστατον ἐπίσκοπον πάντων προεδρεύειν τῆς τῆς Ελλησποντίων ἐπαρχίας, καὶ ὑπὸ τῆς ἐπισκόπων τῆς οἰκείων χειροτονεῖσθαι κατὰ τὴν ἀρχαίαν συνήθειαν, τὰ γὰρ ἐν ἑκάστῃ ἐκκλησίᾳ ἔθη καὶ οἱ θεοφόροι ἡμῶν πατέρες παραφυλάττεσθαι διεγνώκασι, τῶ τῆς Κυζικηνῶν πόλεως ἐπισκόπῳ ὑποκειμένῳ τῷ προέδρῳ τῆς εἰρημένης Ιουστινιανουπόλεως, μιμήσει τῆς λοιπῶν ἁπάντων ἐπισκόπων τῆς ὑπὸ τὸν λεχθέντα θεοφιλέστατον πρόεδρον Ιωάννην. ὑφ᾽ ἧς χρείας καλύσης καὶ ὁ τῆς αὐτῆς Κυζικηνῶν πόλεως ἐπίσκοπος χειροτονηθήσεται.

μ΄.

Ἐπειδὴ τῷ Θεῷ κολλᾶσθαι διὰ τῆς ἐκ τῆς τῶ βίω θορύβων ἀναχωρήσεως λίαν ἐστὶ σωτήριον, χρὴ μὴ ἀνεξετάστως ἡμᾶς παρὰ τὸν ἡμερὸν τὸς τὸν μονήρη βίον ἐπανηρημένους προσιέσθαι· ἀλλὰ τὸν παραδοθέντα ἡμῖν παρὰ τῆς πατέρων ὅρον καὶ ἐν αὐτοῖς φυλάττειν· ὥστε τὴ ὁμολογίαν τῶ κατὰ Θεὸν βίω τότε προσίεσθαι δεῖ, ὡς ἤδη βεβαίαν, καὶ ἀπὸ γνώσεως καὶ κρίσεως γινομένην, μετὰ τὴν τῶ λόγῳ * ἴσ. λείπει συμπλήρωσιν. ἔσω τοίνυν ὁ μέλλων τὸν μοναχικὸν ὑπέρχεσθαι ζυγὸν ἐξ ἧττων ἢ δεκαετὴς, ἐν τῷ προέδρῳ κειμένης τῆς ἐπὶ τούτῳ δοκιμασίας, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται πρὸς τὴ ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν. εἰ γάρ καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς ἱεροῖς αὐτῶ κανόσι τὴ ἐκουσίως ἑαυτὴν προσαγαγοῦσαν τῷ Θεῷ, καὶ τὴ παρθενίαν ἀσπαζομένην, τὸν ἑπταεκαιδέκατον διανύσασαν χρόνον τῷ τῶν παρθενίων τάγματι ἀριθμεῖσθαι νομοθετεῖ, ἀλλ᾽ ἐν τῷ περὶ τῆς χηρῶν τε καὶ διγαμιῶν παραδείγματι κατακολουθήσαντες, εἰς τὸν εἰρημένον χρόνον ἀναλόγως τὸς τὸν μονήρη βίον ἑλομένους περιεστήσαμεν. ἐν γὰρ τῷ θείω ἀποστόλῳ γέγραπται, ἑξήκοντα ἐτῶν τὴ ἐν τῇ ἐκκλησίᾳ καταλέγεσθαι χήραν. οἱ δὲ ἱεροὶ κανόνες τεσσαράκοντα ἐτῆς τὴ διακόνισσαν χειροτονεῖσθαι παραδεδώκασι. τὴ ἐκκλησίαν χάριτι θείᾳ κραταιοτέραν γνουμένην, καὶ ἐπὶ τὰ προ-

πρόσω βαίνουσαν ἑωρακότες, καὶ τὸ τῆς πιστῶν πρὸς τὴν τῆς θείων ἐντολῶν τήρησιν πάγιόν τε καὶ ἀσφαλὲς. ὅπερ καὶ ἡμεῖς ἄριστα κατανοήσαντες, ἀρτίως διωρισάμεθα τὴν εὐλογίαν τῆς χάριτος τῷ μέλλοντι τῆς κατὰ Θεὸν ἀγώνων ἐνάρχεσθαι, ὥσπερ τινὰ σφραγῖδα ταχέως ἐνσημαινόμενοι· ἐντεῦθεν αὐτὸν πρὸς τὸ μὴ ἐπὶ πολὺ ὀκνεῖν καὶ ἀναδύεσθαι προβιβάζοντες. μᾶλλον μὲν οὖν καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ παρορμῶντες ἐκλογὴν καὶ κατάστασιν.

μά.

Τοὺς ἐν πόλεσιν, ἢ χωρίοις ἐν ἐγκλείστραις βουλομένους ἀναχωρεῖν, καὶ ἑαυτοῖς καταμόνας προσέχειν, πρότερον ἐν μοναστηρίῳ εἰσιέναι δεῖ, καὶ τὴν ἀναχωρητικὴν παιδοτριβεῖσθαι διαγωγὴν, καὶ ἐπὶ τριετῆ χρόνον τῷ τῆς μονῆς ἐξάρχοντι ἐν φόβῳ Θεοῦ ὑποτάττεσθαι, καὶ τὴν κατὰ πάντα ὡς προσῆκεν ὑπακοὴν ἐκληροῦν· καὶ οὕτως ὁμολογοῦντας περὶ τῆς ἐν τῷ τοιούτῳ βίῳ προαιρέσεως, καὶ ὡς ἐξ ὅλης καρδίας ἑκουσίως τοῦτον ἀσπάζονται, ὑπὸ τοῦ κατὰ τόπον δοκιμάζεσθαι προέδρου· εἶθ' οὕτως ἐφ' ἕτερον ἐνιαυτὸν ἔξωθεν προσκαρτερεῖν τῆς ἐγκλείστρας, ὡς ἂν ὁ σκοπὸς αὐτῷ πλειόνως φανερωθείη. τηνικαῦτα γὰρ πληροφορίαν παρέξουσιν, ὡς οὐκ ἐνὴν θηρώμενοι δόξαν, ἀλλὰ δι' αὐτὸ τὸ ὄντως καλὸν τὴν ἡσυχίαν ταύτην μεταδιώκουσι. μετὰ δὲ τὴν τοσούτου χρόνου συμπλήρωσιν, εἰ τῇ αὐτῇ προαιρέσει ἐμμένοιεν, ἐγκλεισθῆναι αὐτοὺς, καὶ μηκέτι τούτοις ἐξεῖναι ὅτε καὶ βούλονται τῆς τοιαύτης καταμονῆς ἀφίστασθαι· ἐκτὸς εἰ μὴ διὰ κοινὴν λυσιτέλειαν καὶ ὠφέλειαν, ἢ ἑτέραν ἀνάγκην πρὸς θάνατον αὐτοὺς βιαζομένην πρὸς τοῦτο ἕλκοιντο, καὶ οὕτω μετ' εὐλογίας τοῦ κατὰ τὸν τόπον ἐπισκόπου. τῆς δὲ εἰρημένων προφάσεων δίχα ἐγχειροῦντας ἐκ τῆς καταγωγίων αὐτῆς ἐξιέναι, πρωτοτύπως μὲν, ἄκοντας αὐτοὺς καθειργνύειν ἐν τῇ εἰρημένῃ ἐγκλείστρᾳ· ἔπειτα δὲ νηστείαις καὶ ἑτέραις σκληραγωγίαις αὐτοὺς θεραπεύειν, εἰδότας κατὰ τὸ γεγραμμένον, ὡς οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῆς οὐρανῶν.

μβ'.

Τοὺς λεγομένους ἐρημίτας, οἵ τινες μελανειμονοῦντες, καὶ τὰς κεφαλὰς κομῶντες περιάγουσι τὰς πόλεις, μεταξὺ ἀνδρῶν λαϊκῶν καὶ γυναικῶν ἀναστρεφόμενοι καὶ τὸ οἰκεῖον ἐπάγγελμα καθυβρίζοντες ὁρίζομεν, εἰ μὲν αἱροῦνται τὰς κόμας ἀποκειράμενοι τὸ τῆς λοιπῶν μοναχῶν ἀναδέξασθαι σχῆμα, τούτους ἐν μοναστηρίῳ ἐγκαθίστασθαι, καὶ τοῖς ἀδελφοῖς ἐγκαταλέγεσθαι. εἰ δὲ μὴ τοῦτο προέλοιτο, παντάπασιν αὐτοὺς τῆς πόλεων ἀπελαύνεσθαι καὶ τὰς ἐρήμους οἰκεῖν, ἐξ ὧν καὶ τὰς ἐπωνυμίας ἑαυτοῖς ἀνεπλάσαντο.

μγ'.

Ἐξὸν ὑπάρχει Χριστιανῷ τὸν ἀσκητικὸν ἐλέσθαι βίον, καὶ τὴν πολυτάραχον τῆς βιωτικῶν πραγμάτων ζάλην ἀποθεμένῳ ἐν μοναστηρίῳ εἰσιέναι, καὶ κατὰ τὸ μοναχικὸν σχῆμα ἀποκαρῆναι, κἂν ἐν οἱῳδήποτε πταίσματι ἁλῷ· ὁ γὰρ σωτὴρ ἡμῶν Θεὸς ἔφη. τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. ὡς οὖν τῆς μοναχικῆς πολιτείας τὴν ἐν μετανοίᾳ συλογραφούσης ἡμῖν ζωὴν, τῷ γνησίως ταύτῃ προστιθεμένῳ συνευδοκοῦμεν, καὶ οὐδεὶς αὐτὸν παρεμποδίσει τρόπος πρὸς τὴν τοῦ οἰκείου σκοποῦ ἀποπλήρωσιν. Ιωάν. 6.

μδ'.

Μοναχὸς ἐπὶ πορνείᾳ ἁλοὺς, ἢ πρὸς γάμου κοινωνίαν καὶ συμβίωσιν γυναῖκα ἀγαγόμενος, τοῖς τῆς πορνευόντων ἐπιτιμίοις κατὰ τοὺς κανόνας ὑποβληθήσεται.

με'.

Ἐπειδὴ μεμαθήκαμεν ἔν τισι γυναικείοις μοναστηρίοις, τὰς μελλούσας τοῦ ἱεροῦ ἐκείνου καταξιοῦσθαι σχήματος, πρότερον σαρκικαῖς καὶ παντοίαις στολαῖς, ἔτι μὴ καὶ * κοσμίοις χρυσιῷ καὶ λίθῳ πεποικιλμένοις ὑπὸ τῆς προσαγόντων αὐτὰς περιστέλλεσθαι· καὶ οὕτω τῷ θυσιαστηρίῳ προσιούσας ἐκδιδύσκεσθαι τὴν τοσαύτην τῆς ὕλης ἀμφίασιν, παραχρῆμά τε γίνεσθαι ἐπ' αὐταῖς τὴν τοῦ σχήματος εὐλογίαν, καὶ τὸ μέλαν αὐτὰς ἔνδυμα ἀμφιέννυσθαι· ὁρίζομεν, ὥστε μηκέτι ἀπὸ τοῦ νῦν τοῦτο γίνεσθαι. οὐδὲ γὰρ εὐαγὲς ὑπάρχει τὴν ἤδη διὰ τῆς οἰκείας προαιρέσεως ἀποθεμένην πᾶσαν τὴν τοῦ βίου τερπνότητα, καὶ ἀσπασαμένην τὴν κατὰ Θεὸν πολιτείαν, καὶ βεβαιώσασαν ταύτην λογισμοῖς ἀκλινέσι, καὶ οὕτω τῷ μοναστηρίῳ προσελθοῦσαν, αὖθις εἰς ἀνάμνησιν διὰ τοῦ τοιούτου φθαρτοῦ τε καὶ ῥέοντος κόσμου ἐλθεῖν, ὧν ἤδη ἐποιήσατο λήθην. ἐκ τούτου τε ἀμφίβολον καταστῆναι, καὶ τὴν ψυχὴν ἐκταραχθῆναι δίκην κυμάτων ἐπικλυζόντων, καὶ τῇ δε κἀκεῖσε περιστρεφόντων· ὡς μήτε δάκρυον ἐστὶν ὅτε λοιπὸν ἀφιεῖσαν, τὴν ἐν τῇ καρδίᾳ διὰ τοῦ σώματος κατάνυξιν ἐπιδείξασθαι, ἀλλ' εἰ καὶ βραχύ τι ὡς εἰκὸς ἐκπηδήσειε δάκρυον, μὴ μᾶλλον τῆς διὰ τὸν ἀσκητικὸν ἀγῶνα διαθέσεως χάριν, ἢ διὰ τὸ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ καταλιπεῖν. βασιλ. καν. 60.

λς'.

Αἱ τὸν ἀσκητικὸν αἱρούμεναι βίον, καὶ ἐν μοναστηρίῳ κατατατόμεναι, καθόλου μὴ προϊέτωσαν. εἰ δέ τις ἀπαραίτητος αὐτὰς ἀνάγκη πρὸς τοῦτο ἕλκει, μετ' εὐλογίας καὶ ἐπιτροπῆς τῆς προεστώσης τοῦτο πραττέτωσαν. καὶ τότε μὴ μόναι

καθ'

καθ' ἑαυτὰς, ἀλλὰ μετά τινων πρεσβυτίδων καὶ πρωτευουσῶν ἐν τῷ μοναστηρίῳ μετ' ἐντολῆς τῆς καθηγουμένης. παντελῶς δὲ αὐταῖς ἐξωκοιτεῖν οὐκ ἔξεστιν. ἀλλὰ καὶ ἄνδρες οἱ τὸν μονήρη βίον μετερχόμενοι χρείας ἐπειγούσης καὶ αὐτοὶ μετ' εὐλογίας τοῦ τὴν ἡγουμενίαν ἐμπεπιστευμένου προϊέτωσαν. ὥστε οἱ παραβαίνοντες τὸν νῦν ὁρισθέντα παρ' ἡμῶν ὅρον, εἴτε ἄνδρες εἶεν, εἴτε γυναῖκες, προσφόροις ἐπιτιμίοις ὑποβληθήτωσαν.

μζ'.

Μήτε ἐν ἀνδρῴῳ μοναστηρίῳ γυνὴ, μήτε ἐν γυναικείῳ ἀνὴρ καθευδέτω. παντὸς γὰρ προσκόμματος καὶ σκανδάλου ἔξω δεῖ εἶναι τοὺς πιστοὺς, καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ κυρίῳ τὸν ἑαυτῶν εὐθετίζειν βίον. εἰ δέ τις τοῦτο πράξει, εἴτε κληρικὸς εἴτε λαϊκὸς, ἀφοριζέσθω.

μη'.

Ἡ τοῦ πρὸς ἐπισκοπῆς προεδρίαν ἀναγομένου γυνὶ κατὰ κοινὴν συμφωνίαν τοῦ οἰκείου ἀνδρὸς προδιαζευχθεῖσα, μετὰ τὴν ἐπ' αὐτῷ τῆς ἐπισκοπῆς χειροτονίαν ἐν μοναστηρίῳ εἰσίτω πόρρω τῆς τοῦ ἐπισκόπου καταγωγῆς ᾠκοδομημένῳ, καὶ τῆς τοῦ ἐπισκόπου προνοίας ἀπολαυέτω· εἰ δὲ καὶ ἀξία φανείη, καὶ πρὸς τὸ τῆς διακονίας ἀναβιβασθήσεται ἀξίωμα.

μθ'.

Ἀνανεούμενοι καὶ τοῦτον τὸν ἱερὸν κανόνα ὁρίζομεν, ὥστε τὰ ἅπαξ καθιερωθέντα μοναστήρια κατὰ γνώμην τοῦ ἐπισκόπου, μένειν εἰς τὸ διηνεκὲς μοναστήρια, καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ, καὶ μηκέτι δύνασθαι γίνεσθαι αὐτὰ κοσμικὰ καταγώγια· μήτε δὲ ὑπότινος τῶν ἁπάντων κοσμικοῖς ἀνδράσι ταῦτα ἐκδίδοσθαι. ἀλλ' εἰ καὶ μέχρι τοῦ νῦν γέγονε τοῦτο, μηδαμῶς κρατεῖσθαι ὁρίζομεν. τοὺς δὲ ἀπὸ τοῦ παρόντος πράττειν τοῦτο ἐπιχειροῦντας ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις.

καν. ἀποστ. 42. 43.

ν'.

Μηδένα τῶν ἁπάντων εἴτε λαϊκῶν, εἴτε κληρικῶν κυβεύειν ἀπὸ τοῦ νῦν· εἰ δέ τις τοῦτο φωραθείη πράττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

να'.

Καθόλου ἀπαγορεύει ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος αὕτη τοὺς λεγομένους μίμους, καὶ τὰ τούτων θέατρα. εἶτά γε μὴν καὶ τὰ τῶν κυνηγιῶν * θεώρια, καὶ τὰς ἐπὶ σκηνῶν ὀρχήσεις ἐπιτελεῖσθαι. εἰ δέ τις τοῦ παρόντος κανόνος καταφρονήσει, καὶ πρός τι ἑαυτὸν τῶν ἀπηγορευμένων τούτων ἐκδῷ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω. εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

νβ'.

Λαοθ. δ. 4

Ἐν πάσαις τῆς ἁγίας τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις, παρεκτὸς σαββάτου καὶ κυριακῆς, καὶ τῆς ἁγίας τοῦ εὐαγγελισμοῦ ἡμέρας, γινέσθω ἡ τῶν προκγιασμένων ἱερὰ λειτουργία.

νγ'.

Ἐπειδὴ μείζων ἡ κατὰ πνεῦμα οἰκειότης τῆς τῶν σωμάτων συναφείας· ἔγνωμεν δὲ ἔν τισι τόποις τινὰς ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος παῖδας ἀναδεχομένους, καὶ μετὰ τοῦτο ταῖς ἐκείνων μητράσι χηρευούσαις γαμικὸν συναλλάσσοντας συνοικέσιον· ὁρίζομεν ἀπὸ τοῦ παρόντος μηδὲν τοιοῦτον πραχθῆναι. εἰ δέ τινες μετὰ τὸν παρόντα κανόνα φωραθεῖεν τοῦτο ποιοῦντες, προτοτύπως μὲν οἱ τοιοῦτοι ἀφιστάσθωσαν τοῦ παρανόμου τούτου συνοικεσίου· ἔπειτα δὲ καὶ τοῖς τῶν πορνευόντων ἐπιτιμίοις ὑποβληθήτωσαν.

νδ'.

Λευϊτ. 18. Βασιλ. καν. 98. καὶ 68.

Τῆς θείας ἡμᾶς οὕτω σαφῶς ἐκδιδασκούσης γραφῆς· οὐκ εἰσελεύσῃ πρὸς πάντα οἰκεῖον σαρκός σου ἀποκαλύψαι ἀσχημοσύνην αὐτοῦ, ὁ θεοφόρος Βασίλειός τινας τῶν ἀπηγορευμένων γάμων ἐν τοῖς οἰκείοις κανόσιν ἀπηριθμήσατο, σιωπῇ τὰ πλεῖστα παραδραμὼν, καὶ κατ' ἀμφότερα κατασκευάσας ἡμῖν τὸ ὠφέλιμον. τὸ γὰρ τῶν αἰσχρῶν ὀνομασιῶν πλῆθος παραιτησάμενος, ὡς ἂν μὴ τὸν λόγον καταρυπαίνοι τοῖς ῥήμασι· γενικοῖς ὀνόμασι τὰς ἀκαθαρσίας διέλαβε, δι' ὧν περιεκτικῶς ἡμῖν τοὺς παρανόμους γάμους ὑπέδειξεν. ἐπεὶ δὲ τῇ τοιαύτῃ σιωπῇ, καὶ τῷ ἀγνώστῳ τῆς τῶν ἀθέσμων γάμων ἀπαγορεύσεως ἑαυτὴν ἡ φύσις συνέχεε. συνείδομεν γυμνότερον τὰ περὶ τούτου ἐκθέσθαι, ὁρίζοντες ἀπὸ τοῦ νῦν τὸν τῇ οἰκείᾳ ἐξαδέλφῃ πρὸς γάμου κοινωνίαν συναπτόμενον· ἢ πατέρα καὶ υἱὸν μητρὶ καὶ θυγατρί· ἢ δύο κόραις ἀδελφαῖς πατέρα καὶ υἱὸν, ἢ ἀδελφοῖς δυσὶ μητέρα καὶ θυγατέρα· ἢ ἀδελφοὺς δύο δυσὶν ἀδελφαῖς, ὑπὸ τὸν τῆς ἑπταετίας πίπτειν κανόνα, ἀφισταμένων αὐτῶν προδήλως τοῦ παρανόμου συνοικεσίου.

Βασίλ. πρὸς ἀμφιλ. καν. 22.

νε'.

Ἐπειδὴ μεμαθήκαμεν ἐν τῇ Ῥωμαίων πόλει ἐν ταῖς ἁγίαις τῆς τεσσαρακοστῆς νηστείαις τοῖς ταύτης σάββασι νηστεύειν παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων

μαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα τὸν λέγοντα, εἴτις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ κυριακῇ νηστεύων ἢ τὸ σάββατον πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω. εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

νϛ'.

Ὡσαύτως μεμαθήκαμεν ἔν τε τῇ Αρμενίων χώρᾳ, ἐν τοῖς σάββασι καὶ ἐν ἑτέροις τόποις καὶ ἐν ταῖς κυριακαῖς τῆς ἁγίας τεσσαρακοστῆς ὠὰ καὶ τυρὸν ἐσθίειν τινάς. ἔδοξε τοίνυν καὶ τοῦτο, ὥστε τὴν κατὰ πᾶσαν οἰκουμενικὴν τοῦ Θεοῦ ἐκκλησίαν μιᾷ κατακολουθοῦσαν τάξει τὴν νηστείαν ἐπιτελεῖν, καὶ ἀπέχεσθαι ὥσπερ θυτοῦ παντοίου, οὕτω δὴ καὶ ὠοῦ καὶ τυροῦ, ἃ καρπός εἰσι καὶ γενήματα ὧν ἀπεχόμεθα. εἰ δὲ μὴ τοῦτο παραφυλάττοιεν, εἰ μὲν κληρικοὶ εἶεν, καθαιρείσθωσαν. εἰ δὲ λαϊκοὶ, ἀφοριζέσθωσαν.

νζ'.

Οτι οὐ χρὴ ἐν τοῖς θυσιαστηρίοις μέλι καὶ γάλα προσφέρεσθαι.

νη'.

καν. ἀποστ. 3. καὶ ἀφρικ. καν. 37.

Μηδεὶς τῶν ἐν λαϊκοῖς τεταγμένων ἑαυτῷ τῶν θείων μυστηρίων μεταδιδότω παρόντος ἐπισκόπου, ἢ πρεσβυτέρου, ἢ διακόνου. ὁ δέ τι τοιοῦτον τολμῶν. ὡς παρὰ τὰ διατεταγμένα ποιῶν, ἐπὶ ἑβδομάδα μίαν ἀφοριζέσθω· ἐντεῦθεν παιδαγωγούμενος μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν.

νθ'.

Μηδαμῶς ἐν εὐκτηρίῳ οἴκῳ ἔνδον οἰκίας τυγχάνοντι βάπτισμα ἐπιτελείσθω· ἀλλ' οἱ μέλλοντες ἀξιοῦσθαι τοῦ ἀχράντου φωτίσματος ταῖς καθολικαῖς προσερχέσθωσαν ἐκκλησίαις, κἀκεῖσε τῆς δωρεᾶς ταύτης ἀπολαυέτωσαν. εἰ δέ τις ἁλῷ τὰ παρ' ἡμῶν ὁρισθέντα μὴ φυλάττων, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω, εἰ δὲ λαικὸς, ἀφοριζέσθω.

ξ'.

1. κορίν. 6.

Τοῦ ἀποστόλου βοῶντος, ὅτι ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι, πρόδηλον, ὡς καὶ ὁ τῷ ἐναντίῳ ἑαυτὸν οἰκείων ἓν γίνεται τῇ πρὸς αὐτὸν συναφείᾳ. τοὺς τοίνυν δαιμονᾶν ὑποκρινομένους, καὶ τρόπων φαυλότητι προσποιητῶς τὰ ἐκείνων χηματιζομένους, ἔδοξε τρόπῳ ἐπιτιμᾶσθαι παντὶ, καὶ τοιαύταις αὐτοὺς σκληραγωγίαις καὶ πόνοις ὑποβάλλειν, οἷς ἂν οἱ ἀληθῶς δαιμονῶντες πρὸς ἀπαλλαγὴν τῆς τοῦ δαίμονος ἐργασίας ἢ μᾶλλον ἐνεργείας ἀξίως ὑποβάλλοιντο.

ξα'.

ἀγκύρ. 24.

Οἳ μάντεσιν ἑαυτοὺς ἐπιδιδόντες, ἢ τοῖς λεγομένοις ἑκατοντάρχαις, ἤτισι τοιούτοις, ὡς ἂν παρ' ἐκείνων μάθοιεν, εἴτε ἂν αὐτοῖς ἐκκαλύπτεσθαι βούλοιντο, κατὰ τὰ πρῴην ὑπὸ τῶν πατέρων περὶ αὐτῶν ὁρισθέντα ὑπὸ τὸν κανόνα πιπτέτωσαν τῆς ἑξαετίας. τῷ αὐτῷ δὲ τούτῳ ἐπιτιμίῳ καθυποβάλλεσθαι δεῖ καὶ τοὺς, ἄρκτους ἐπισυρομένους, ἢ τοιαῦτα ζῶα, πρὸς παίγνιον καὶ βλάβην. τῶν ἁπλουστέρων· καὶ τύχην, καὶ εἱμαρμένην, καὶ γενεαλογίαν, καὶ τοιούτων τινῶν ῥημάτων ὄχλον κατὰ τοὺς τῆς πλάνης λήρους φωνοῦντας. τούς τε λεγομένους νεφοδιώκτας, καὶ γοητευτὰς, καὶ φυλακτηρίους, καὶ μάντεις. ἐπιμένοντας δὲ τούτοις καὶ μὴ μετατιθεμένους καὶ ἀποφεύγοντας τὰ ὀλέθρια ταῦτα καὶ Ελληνικὰ ἐπιτηδεύματα, παντάπασιν ἀποῤῥίπτεσθαι τῆς ἐκκλησίας ὁρίζομεν, καθὰ καὶ οἱ ἱεροὶ κανόνες διαγορεύουσι. τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ὥς φησιν ὁ ἀπόστολος. ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ;

2. κορίν.

ξβ'.

Τὰς οὕτω λεγομένας καλάνδας, καὶ τὰ λεγόμενα βοτὰ, καὶ τὰ καλούμενα βρουμάλια, καὶ τὴν ἐν τῇ πρώτῃ τοῦ Μαρτίου μηνὸς ἡμέρᾳ τελουμένην πανήγυριν, καθάπαξ ἐκ τῆς τῶν πιστῶν πολιτείας περιαιρεθῆναι βουλόμεθα· ἀλλὰ μὴν καὶ τὰς τῶν γυναίων δημοσίας ὀρχήσεις, πολλὴν λύμην καὶ βλάβην ἐμποιεῖν δυναμένας· ἔτι μὴν καὶ τὰς ὀνόματι τῶν παρ' Ελλησι ψευδῶς ὀνομασθέντων Θεῶν, ἢ ἐξ ἀνδρῶν ἢ γυναικῶν γενομένας ὀρχήσεις καὶ τελετὰς κατά τι ἔθος παλαιὸν καὶ ἀλλότριον τοῦ τῶν Χριστιανῶν βίου ἀποπεμπόμεθα, ὁρίζοντες μηδένα ἄνδρα γυναικείαν στολὴν ἐνδιδύσκεσθαι, ἢ γυναῖκα τοῖς ἀνδράσιν ἁρμόδιον· ἀλλὰ μήτε προσωπεῖα κωμικὰ, ἢ σατυρικὰ, ἢ τραγικὰ ὑποδύεσθαι· μήτε τὸ τοῦ βδελυκτοῦ Διονύσου ὄνομα τὴν σταφυλὴν ἀποθλίβοντας ἐν τοῖς ληνοῖς ἐπιβοᾶν· μηδὲ τὸν οἶνον ἐν τοῖς πίθοις ἐπιχέοντας ἀγνοίας τρόπῳ ἢ ματαιότητι, τὰ τῆς μανιώδους πλάνης ἐνεργοῦντας. τοὺς οὖν ἀπὸ τοῦ νῦν τι τῶν προειρημένων ἐπιτελεῖν ἐγχειροῦντας, ἐν γνώσει τούτων καθισταμένους, τούτους εἰ μὲν κληρικοὶ εἶεν, καθαιρεῖσθαι προστάσσομεν· εἰ δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

δευτερ.

ξγ'.

Τὰ ψευδῶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν συμπλασθέντα μαρτυρολόγια, ὡς ἂν τοὺς Χριστοῦ μάρτυρας ἀτιμάζοιεν, καὶ πρὸς ἀπιστίαν ἐνάγοιεν τοὺς ἀκούοντας, μὴ ἐπὶ ἐκκλησίας δημοσιεύεσθαι προστάσσομεν ἀλλὰ ταῦτα πυρὶ

πα-

παραδίδοσθαι. τοὺς δὲ ταῦτα παραδεχομένους, ἢ ὡς ἀληθέσι τούτοις προσέχοντας, ἀναθεματίζομεν.

ξδ'.

Ὅτι οὐ χρὴ δημοσίᾳ λαϊκὸν λόγον κινεῖν ἢ διδάσκειν, ἀξίωμα ἑαυτῷ διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον· ἀλλ' εἴκειν τῇ παραδοθείσῃ παρὰ τοῦ κυρίου τάξει, καὶ τὸ οὖς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λαβοῦσι λόγου διανοίγειν, καὶ τὰ θεῖα παρ' αὐτῆς ἐκδιδάσκεσθαι. ἐν γὰρ τῇ μιᾷ ἐκκλησίᾳ διάφορα μέ-
1. Κορίν. 12 λη πεποίηκεν ὁ Θεὸς κατὰ τὴν τοῦ ἀποστόλου φωνήν. ἢν ὁ θεολόγος ἑρμηνεύων Γρηγόριος σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι φάσκων· ταύτην αἰδώμεθα τὴν τάξιν ἀδελφοί, ταύτην φυλάττωμεν. ὁ μὲν ἔστω τις ἀκοὴ, ὁ δὲ γλῶσσα, ὁ δὲ χεὶρ, ὁ δὲ ἄλλο τί· ὁ μὲν διδασκέτω· ὁ δὲ μανθανέτω. καὶ μέτι βραχέα· καὶ ὁ μανθάνων ἐν εὐπειθείᾳ, καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι, καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ· μὴ πάντες ᾦμεν γλῶσσα τὸ ἑτοιμότερον, μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν· καὶ μέτι τινά· τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; τί γίνῃ κεφαλὴ, ποὺς τυγχάνων; τί στρατηγεῖν ἐπιχειρεῖς τεταγμένος ἐν στρατιώταις; καὶ ἑτέρωθι· ἡ σοφία διακελεύεται· μὴ
Παροι. 23. ἴσθι ταχὺς ἐν λόγοις· μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ, μηδὲ ζήτει τῆς σοφῶν εἶναι σοφώτερος. εἰ δέ τις ἁλῷ τὸν παρόντα κανόνα σαλεύων, ἐπὶ ἡμέρας τεσσαράκοντα ἀφοριζέσθω.

ξε'.

Τὰ ἐν ταῖς νουμηνίαις ὑπό τινων πρὸ τῶν οἰκείων ἐργαστηρίων καὶ οἴκων ἀναπτομένας πυρκαϊὰς, ἃς καὶ ὑπεράλλεσθαί τινες κατά τι ἔθος ἀρχαῖον ἐπιχειροῦσιν, ἀπὸ τοῦ παρόντος καταργηθῆναι προστάσσομεν· ὅστις οὖν τοιοῦτόν τι πράξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ
4. Βασιλ. 21. λαϊκὸς, ἀφοριζέσθω. γέγραπται γὰρ ἐν τῇ δ'. τῶν βασιλειῶν. καὶ ᾠκοδόμησε Μανασσῆς θυσιαστήριον πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς δύο αὐλαῖς οἴκου κυρίου· καὶ διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο καὶ ἐποίησεν ἐγγαστριμύθους, καὶ γνώστας ἐπλήθυνε, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, τοῦ παροργίσαι αὐτόν.

ξϛ'.

Ἀπὸ τῆς ἁγίας ἀναστασίμου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἡμέρας μέχρι τῆς καινῆς κυριακῆς, τὴν ὅλην ἑβδομάδα ἐν ταῖς ἁγίαις ἐκκλησίαις σχολάζειν δεῖ ἀπαραλείπτως τοὺς πιστοὺς, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς εὐφραινομένους ἐν Χριστῷ καὶ ἑορτάζοντας, καὶ τῇ τῶν θείων γραφῶν ἀναγνώσει προσέχοντας, καὶ τῆς ἁγίων μυστηρίων καταξυφῶντας. ἐσόμεθα γὰρ οὕτω Χριστῷ συνανιστάμενοί τε καὶ συνανυψούμενοι. μηδαμῶς οὖν ἐν ταῖς προκειμέναις ἡμέραις ἱπποδρομίᾳ ἢ ἑτέρα δημώδης θέα ἐπιτελείσθω.

ξζ'.

Ἡ θεία ἡμῖν γραφὴ ἐνετείλατο ἀπέχεσθαι αἵματος, καὶ πνικτοῦ, καὶ πορνείας τοῖς οὖν Καν. Γαγγ. 2.
διὰ τὴν λίχνον γαστέρα αἷμα οἱουδήποτε ζώου τέχνῃ τινὶ κατασκευάζουσιν ἐδώδιμον, καὶ οὕτω τοῦτο ἐσθίουσι, προσφόρως ἐπιτιμῶμεν. εἴ τις οὖν ἀπὸ τοῦ νῦν αἷμα ζώου ἐσθίειν ἐπιχειροίη οἱῳδήτινι τρόπω, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

ξη'.

Περὶ τοῦ μὴ ἐξεῖναί τινι τῆς ἁπάντων βιβλία τῆς παλαιᾶς καὶ καινῆς διαθήκης, τῆς τε ἁγίων καὶ ἐκκρίτων ἡμῶν κηρύκων καὶ διδασκάλων διαφθείρειν ἢ κατατέμνειν, τοῖς βιβλιοκαπήλοις, ἢ τοῖς λεγομένοις μυρέψοις, ἢ ἄλλῳ τινὶ πρὸς ἀφανισμὸν ἐκδιδόναι· εἰ μή τι ἄρα τέλεον εἴτε ὑπὸ σητῆς, ἢ ὕδατος ἢ ἑτέρῳ τρόπῳ ἀχρειωθείη. ὁ δέ τι τοιοῦτον ποιεῖν ἁλισκόμενος ἀπὸ τοῦ νῦν, ἐπὶ ἐνιαυτὸν ἀφοριζέσθω. ὁμοίως καὶ ὁ τὰς τοιαύτας βίβλους ὠνούμενος, εἰ μήτε αὐτὸς ταύτας κατέχει πρὸς οἰκείαν ὠφέλειαν, μήτε ἑτέρῳ πρὸς εὐεργεσίαν καὶ τὸ διαμεῖναι ἀποδοίη, ἀλλὰ ταῦτα διαφθείρειν ἐπιχειρήσοι, ἀφοριζέσθω.

ξθ'.

Μὴ ἐξέστω τινὶ τῆς ἁπάντων ἐν λαϊκοῖς τελοῦντι ἔνδον ἱεροῦ εἰσιέναι θυσιαστηρίου· μη- Λαοδ. 9.
δαμῶς ἐπὶ τούτῳ τῆς βασιλικῆς εἰργομένης ἐξουσίας καὶ αὐθεντίας, ἡνίκα ἂν βουληθείη προσάξαι δῶρα τῷ πλάσαντι, κατά τινα ἀρχαιοτάτην παράδοσιν.

ο'.

Μὴ ἐξέστω ταῖς γυναιξὶν ἐν τῷ καιρῷ τῆς θείας λειτουργίας λαλεῖν, ἀλλὰ κατὰ τὴν φωνὴν Παύλου τοῦ ἀποστόλου, σιγάτωσαν· οὐδὲ 1. Κορίν. 14.
γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάτ- Γενέ. 31.
τεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν.

οα'.

Τοὺς διδασκουμένους τοὺς πολιτικοὺς νόμους μὴ δεῖν τοῖς Ἑλληνικοῖς ἔθεσι κεχρῆσθαι, μήτε μὴν ἐπὶ θεάτρων ἀνάγεσθαι, ἢ τὰς λεγομένας κυλίστρας ἐπιτελεῖν, ἢ παρὰ τὴν κοι-

νὴν χρῆσιν στολὰς ἑαυτοῖς περιτιθέναι, μήτε καθ' ὃν καιρὸν τῶν μαθημάτων ἐνάρχονται, ἢ πρὸς τὸ τέλος αὐτῶν καταντῶσιν, ἢ καθόλου φάναι, διὰ μέσου τῆς τοιαύτης παιδεύσεως· εἰ δέ τις ἀπὸ τοῦ νῦν τοῦτο πρᾶξαι τολμήσῃ, ἀφοριζέσθω.

οβ'.

Μὴ ἐξέστω ὀρθόδοξον ἄνδρα αἱρετικῇ συνάπτεσθαι γυναικὶ, μήτε μὴν αἱρετικῷ ἀνδρὶ γυναῖκα ὀρθόδοξον ζευγνύσθαι· ἀλλ' εἰ καὶ φανῇ τι τοιοῦτον ὑπό τινος τῶν ἁπάντων γινόμενον, ἄκυρον ἡγεῖσθαι τὸν γάμον, καὶ τὸ ἄθεσμον διαλύεσθαι συνοικέσιον. οὐ γὰρ χρὴ τὰ ἄμικτα μιγνύναι, οὐδὲ τῷ προβάτῳ λύκον συμπλέκεσθαι, καὶ τῇ τοῦ Χριστοῦ μερίδι τὸν τῶν ἁμαρτωλῶν κλῆρον. εἰ δὲ παραβῇ τις τὰ παρ' ἡμῶν ὁρισθέντα, ἀφοριζέσθω. εἰ δέ τινες ἔτι ἐν τῇ ἀπιστίᾳ τυγχάνοντες, καὶ οὕτω τῇ τῶν ὀρθοδόξων ἐγκαταλεγέντες ποίμνῃ ἀλλήλοις γαμῷ νομίμῳ ἡρμόσθησαν· εἶτα ὁ μὲν τὸ καλὸν ἐκλεξάμενος τῷ φωτὶ τῆς ἀληθείας προσέδραμεν, ὁ δὲ ὑπὸ τοῦ τῆς πλάνης κατεσχέθη δεσμοῦ, μὴ πρὸς τὰς θείας ἀτενίσαι ἀκτῖνας ἑλόμενος· εὐδοκεῖ δὲ τῷ πιστῷ ἡ ἄπιστος συνοικεῖν, ἢ τὸ ἔμπαλιν ὁ ἄπιστος τῇ πιστῇ, μὴ χωριζέσθωσαν κατὰ τὸν θεῖον ἀπόστολον. ἡγίασται γὰρ ὁ ἄπιστος ἀνὴρ ἐν τῇ γυναικὶ, καὶ ἡγίασται ἡ ἄπιστος γυνὴ ἐν τῷ ἀνδρί.

Λαοδ. 31.

1. Κορίν. 3.

ογ'.

Τοῦ ζωοποιοῦ σταυροῦ δείξαντος ἡμῖν τὸ σωτήριον, πᾶσαν σπουδὴν ἡμᾶς τιθέναι χρὴ τοῦ τιμὴν τὴν ἀξίαν ἀποδιδόναι τῷ, δι' οὗ σεσώσμεθα τοῦ παλαιοῦ πτώματος· ὅθεν καὶ νῷ καὶ λόγῳ καὶ αἰσθήσει τὴν προσκύνησιν αὐτῷ ἀπονέμοντες, τοὺς ἐν τῷ ἐδάφει τοῦ σταυροῦ τύπους ὑπό τινων κατασκευαζομένους ἐξαφανίζεσθαι παντοίως προστάττομεν. ὡς ἂν μὴ τῇ τῶν βαδιζόντων καταπατήσει τὸ τῆς νίκης ἡμῖν τρόπαιον ἐξυβρίζοιτο τοὺς οὖν ἀπὸ τοῦ νῦν τοῦ σταυροῦ τύπον ἐπὶ τῷ ἐδάφει κατασκευάζοντας ὁρίζομεν ἀφορίζεσθαι.

οδ'.

Ὅτι οὐ δεῖ ἐν τοῖς κυριακοῖς ἢ ἐν ταῖς ἐκκλησίαις τὰς λεγομένας ἀγάπας ποιεῖν, καὶ ἔνδον ἐν τῷ οἴκῳ ἐσθίειν, καὶ ἀκκούβιτα στρωννύειν· οἱ δὲ τοῦτο ποιεῖν τολλμῶντες ἢ παυσάθωσαν, ἢ ἀφοριζέσθωσαν.

Λαοδ. 28.

οε'.

Τοὺς ἐπὶ τῷ ψάλλειν ἐν ταῖς ἐκκλησίαις παραγενομένους βουλόμεθα μήτε βοαῖς ἀτάκτοις κεχρῆσθαι, καὶ τὴν φύσιν πρὸς κραυγὴν ἐκβιάζεσθαι, μήτε τι ἐπιλέγειν τῶν μὴ τῇ ἐκσίᾳ ἁρμοδίων τε καὶ οἰκείων· ἀλλὰ μετὰ πολλῆς προσοχῆς τε καὶ κατανύξεως τὰς ψαλμῳδίας προσάγειν τῷ τῶν κρυπτῶν ἐφόρῳ Θεῷ. εὐλαβεῖς γὰρ ἔσεσθαι τοὺς υἱοὺς Ισραὴλ, τὸ ἱερὸν ἐδίδαξε λόγιον.

οϛ'.

Ὅτι οὐ χρὴ ἔνδον τῶν ἱερῶν περιβόλων καπηλεῖον, ἢ τὰ διὰ βρωμάτων εἴδη προτιθέναι, ἢ ἑτέρας πράσεις ποιεῖσθαι, τὸ σεβάσμιον ταῖς ἐκκλησίαις φυλάττοντας· ὁ γὰρ σωτὴρ ἡμῶν καὶ Θεὸς διὰ τῆς ἐν σαρκὶ πολιτείας παιδαγωγῶν ἡμᾶς, μὴ ποιεῖν τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ἐμπορίου οἶκον παρεκελεύετο· ὃς καὶ τῶν κολλυβιστῶν τὸ κέρμα ἐξέχεε, καὶ τοὺς τὸ ἱερὸν κοινοποιοῦντας ἀπήλασεν. εἴ τις οὖν ἐπὶ τῷ προκειμένῳ ἁλῷ πλημμελήματι, ἀφοριζέσθω.

Ἰωαν. 2. Ματθ. 21

οζ'.

Ὅτι οὐ δεῖ ἱερατικοὺς, ἢ κληρικοὺς, ἢ ἀσκητὰς ἐν βαλανείῳ μετὰ γυναικῶν ἀπολούεσθαι, μηδὲ πάντα Χριστιανὸν, ἢ λαϊκόν. αὕτη γὰρ πρώτη κατάγνωσις παρὰ τοῖς ἔθνεσιν. εἰ δέ τις ἐπὶ τούτῳ φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Λαοδ. καν. 30

οη'.

Ὅτι δεῖ τοὺς φωτιζομένους τὴν πίστιν ἐκμανθάνειν, καὶ τῇ πέμπτῃ τῆς ἑβδομάδος ἀπαγγέλλειν τῷ ἐπισκόπῳ, ἢ τοῖς πρεσβυτέροις.

Λαοδ. καν. 46

οθ'.

Αλόχευτον τὸν ἐκ τῆς παρθένου θεῖον τόκον ὁμολογοῦντες ὡς καὶ ἀσπόρως συστάντα, καὶ παντὶ τῷ ποιμνίῳ κηρύττοντες, τοὺς ἐξ ἀγνοίας πράττοντάς τι τῶν οὐ δεόντων διορθώσει καθυποβάλλομεν. ὅθεν ἐπειδή τινες μετὰ τὴν ἡμέραν τῆς ἁγίας τοῦ Θεοῦ ἡμῶν γεννήσεως δείκνυνται σεμίδαλιν ἕψοντες, καὶ ταύτην ἀλλήλοις μεταδιδόντες, προφάσει τιμῆς δῆθεν λοχειῶν τῆς ἀχράντου παρθενομήτορος. ὁρίζομεν μηδὲν τοιοῦτον ὑπὸ τῶν πιστῶν τελεῖσθαι. οὐ γὰρ τιμήγε τοῦτο τῇ παρθένῳ, τῇ ὑπὲρ νοῦν καὶ λόγον τὸν ἀχώρητον τεκούσῃ λόγον σαρκὶ, ἐκ τῶν κοινῶν τε καὶ καθ' ἡμᾶς τὰ κατὰ τὸν ἄφραστον αὐτῆς τόκον ὁρίζειν καὶ ὑπογράφειν· εἴ τις οὖν ἀπὸ τοῦ νῦν πράττων τοιοῦτόν τι φωραθείη, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω. εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

π'.

Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ τῶν ἐν κλήρῳ καταλεγομένων, ἢ
Σαρδ. καν 11. λαϊκὸς, εἰ μηδεμίαν ἀνάγκην βαρυτέραν ἔχοι, ἢ πρᾶγμα δυσχερὲς, ὥστε ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς αὐτοῦ ἐκκλησίας, ἀλλ' ἐν πόλει διάγων τρεῖς κυριακὰς ἡμέρας ἐν τρισὶν ἑβδομάσι μὴ συνέρχοιτο, εἰ μὴ κληρικὸς εἴη, καθαιρείσθω. εἰ δὲ λαϊκὸς, ἀποκινείσθω τῆς κοινωνίας.

πά.

Ἐπειδήπερ ἔν τισι χώραις μεμαθήκαμεν ἐν τῷ τρισαγίῳ ὕμνῳ ἐν προσθήκης μέρει ἐκφωνεῖσθαι μετὰ τὸ, ἅγιος ἀθάνατος, τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ἐλέησον ἡμᾶς· τοῦτο δὲ ὑπὸ τῶν παλαιῶν ἁγίων πατέρων, ὡς τῆς εὐσεβείας ἀλλότριον ἐκ τοῦ τοιούτου ἀπηλάθη ὕμνου, σὺν τῷ τὴν τοιαύτην φωνὴν καινουργήσαντι παρανόμῳ αἱρετικῷ· καὶ ἡμεῖς κυροῦντες τὰ παρὰ τῶν ἁγίων πατέρων ἡμῶν πρὶν εὐσεβῶς θεσμοθετηθέντα, ἀναθεματίζομεν τοὺς ἔτι μετὰ τὸν παρόντα ὅρον παραδεχομένους τὴν τοιαύτην φωνὴν ἐπ' ἐκκλησίαις, ἢ ἄλλως πως τῷ τρισαγίῳ ὕμνῳ συνάπτοντας· καὶ εἰ μὲν ἱερατικός ἐστιν ὁ παραβάτης τῶν ὁρισθέντων, ἀπογυμνοῦσθαι τοῦτον τῆς ἱερατικῆς ἀξίας προστάσσομεν· εἰ δὲ λαϊκὸς, ἢ μοναχὸς, ἀφορίζεσθαι.

πβ'.

Ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ τοῦ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα παραδεδομένους τῇ ἐκκλησίᾳ κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως.

πγ'.

Καρθ. καν 18. Ματθ. 26. Μηδεὶς τοῖς σώμασι τῶν τελευτώντων τῆς εὐχαριστίας μεταδιδότω· γέγραπται γάρ· λάβετε, φάγετε· τὰ δὲ τῶν νεκρῶν σώματα οὐδὲ λαβεῖν δύνανται, οὐδὲ φαγεῖν.

πδ'.

Τοῖς κανονικοῖς τῶν πατέρων θεσμοῖς κατακολουθοῦντες, ὁρίζομεν καὶ περὶ τῶν νηπίων ὁσάκις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες, οἱ ταῦτα ἀναμφιβόλως βαπτισθέντα εἶναι λέγοντες· καὶ οὐδὲ ταῦτα διὰ τὴν κεῖραν περὶ τῆς παραδοθείσης αὐτοῖς μυσταγωγίας ἀποκρίνασθαι ἐπιτηδείως ἔχουσι· χωρίστινος προσκόμματος ὀφείλειν ταῦτα βαπτίζεσθαι. μήποτε ὁ τοιοῦτος δισταγμὸς ἀποστερήσῃ αὐτὰ τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρσεως.

πέ.

Ἐπὶ δύο ἢ τριῶν μαρτύρων βεβαιοῦσθαι πᾶν ῥῆμα γραφικῶς παρελάβομεν. τοὺς οὖν ὑπὸ τῶν οἰκείων δεσποτῶν ἐλευθερουμένους δούλους ἐπὶ τρισὶ μάρτυσι τῆς τοιαύτης τιμῆς ἀπολαύειν διοριζόμεθα, οἳ τὸ κῦρος παρόντες τῇ ἐλευθερίᾳ προσοίσουσι, καὶ τὸ πιστὸν ἐξ ἑαυτῶν τοῖς γινομένοις παρέξουσιν. Δευτερ. 17.

πϛ'.

Τοὺς ἐπὶ ψυχῶν ὀλίσθω πόρνας ἐπισυνάγοντας καὶ ἐκτρέφοντας, εἰ μὲν κληρικοὶ εἶεν, ἀφορίζεσθαι καὶ καθαιρεῖσθαι ὁρίζομεν· εἰ δὲ λαϊκοὶ, ἀφορίζεσθαι.

πζ'.

Ἡ τὸν ἄνδρα καταλιποῦσα μοιχαλίς ἐστιν, εἰ ἐπ' ἄλλον ἦλθε, κατὰ τὸν ἱερὸν καὶ θεῖον Βασίλειον, ἐκ τῆς Ἱερεμίου προφητείας ἄριστα τοῦτο ἀναλεξάμενον· ὅτι ἐὰν γένηται γυνὴ ἀνδρὶ ἑτέρῳ, οὐκ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, ἀλλὰ μιαινομένη μιανθήσεται. καὶ πάλιν· ὁ ἔχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. εἰ οὖν φανῇ τοῦ ἀνδρὸς ἀλόγως ἀναχωρήσασα, ὁ μὲν συγγνώμης ἐστὶν ἄξιος, ἡ δὲ ἐπιτιμίων· ἡ δὲ συγγνώμη τούτῳ πρὸς τὸ κοινωνεῖν τῇ ἐκκλησίᾳ δοθήσεται. ὁ μέντοι καταλιμπάνων τὴν νομίμως αὐτῷ συναφθεῖσαν γυναῖκα, καὶ ἑτέραν ἀγόμενος κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν τῷ τῆς μοιχείας ὑπόκειται κρίματι. κεκανόνισται γὰρ παρὰ τῶν πατέρων ἡμῶν, τοὺς τοιούτους ἐνιαυτὸν προσκλαίειν, διετίαν ἐπακροᾶσθαι, τριετίαν ὑποπίπτειν, καὶ τῷ ἑβδόμῳ συνίστασθαι τοῖς πιστοῖς, καὶ οὕτω τῆς προσφορᾶς καταξιοῦσθαι. Βασιλ. κα. 9. 21. Ἱερ. 3. Παροι. 18. Ματθ. 5. Βασιλ. καν 57.

πη'.

Μηδεὶς ἔνδον τοῦ ἱεροῦ ναοῦ κτῆνος τὸ οἱονοῦν εἰσαγαγέτω, ἐκτὸς εἰ μή τις ὁδοιπορῶν μεγίστης καταλαβούσης ἀνάγκης οἰκίσκου, καὶ κατα-

γω-

μὴν αὐτὸς μὴ τὸ ἐμφυσᾶν ξίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα· καὶ ὕπω κατηχῆμὴν αὐτὸς, καὶ ποιῆμὴν χρονίζειν ἐν τῇ ἐκκλησίᾳ, καὶ ἀκροᾶσθαι τῆς γραφῆς, καὶ τότε αὐτὸς βαπτίζομὴν. καὶ τὸς Μανιχαίους δὲ, καὶ τὸς Οὐαλεντίνους, καὶ Μαρκιωνιστὰς, καὶ τὸς ἐκ τῆς ὁμοίων αἱρέσεων χρὴ ποιεῖν λιβέλλους, ἐν ἀναθεματίζειν τινὶ αἵρεσιν, καὶ Νεσόριον, καὶ Εὐτυχέα, καὶ Διόσκορον, καὶ Σεβῆρον, καὶ τὸς λοιπὸς ἀρχηγὸς τῆς τοιούτων αἱρέσεων, καὶ τὸς φρονοῦντας τὰ αὐτῆς, καὶ πάσας τὰς προαναφερομένας αἱρέσεις· καὶ ὕπω μεταλαμβάνειν τῆς ἁγίας κοινωνίας.

οε'.

Οἱ τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνδυσάμενοι τὸν ἐν σαρκὶ αὐτοῦ πολιτείαν μιμεῖσθαι καθωμολόγησαν. τὸς δὲ τὰς ἐν τῇ κεφαλῇ ξίκας πρὸς λύμην τῆς ὁρώντων ἐν ἐπινοίαις ἐμπλοκῆς ἀθετίζοντας, καὶ διασκεδάζοντας, καὶ δέλεαρ προτιθέντας ἐντεῦθεν ταῖς ἀσηρίκτοις ψυχαῖς, ἐπιτιμίῳ προσφόρῳ πατρικῶς θεραπεύομὴν, παιδαγωγοῦντες αὐτὸς καὶ σωφρόνως ζῆν ἐκδιδάσκοντες, πρὸς τὸ ἀφέντας τινὶ ἐκ τῆς ὕλης ἀπάτην καὶ ματαιότητα, πρὸς τὴν ἀνώλεθρον καὶ μακαρίαν ζωὴν τὸν νοῦν μετάγειν διηνεκῶς, καὶ ἐν φόβῳ ἀγνὴν ἔχειν ἀναστροφὴν, καὶ Θεῷ πλησιάζειν κατὰ τὸ ἐφικτὸν διὰ τῆς ἐν βίῳ καθάρσεως, καὶ τὸν εἶδον ἢ τὸν ἔξω ἄνθρωπον μᾶλλον κοσμεῖν ἀρεταῖς, καὶ χρηστοῖς καὶ ἀμώμοις τοῖς ἤθεσιν, ὥστε μηδὲν λεῖψανον φέρειν ἐν ἑαυτοῖς τῆς τοῦ ἐναντίου σημότητος. εἰ δέ τις παρὰ τὸν παρόντα κανόνα διαγίνοιτο, ἀφοριζέσθω.

οζ'.

Τὸς ἢ γαμετῇ συνοικοῦντας ἢ ἄλλως ἀδιαλείπτως τὸς ἱερὸς τόπους κοινοποιοῦντας, καὶ καταφρονητικῶς περὶ αὐτὸς ἔχοντας, καὶ ὕπως ἐν αὐτοῖς κατιμῶντας, καὶ ἐκ τῆς ἐν τοῖς σεβασμίοις ναοῖς * κατηχημῶν ἐξωθεῖσθαι προσάσσομὴν. εἰ δέ τις μὴ τοῦτο παραφυλάξοι, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

f κατηχυμενίαν.

οη'.

Ὁ ἑτέρῳ μνησθεῖσαν γυναῖκα, ἔτι τοῦ μνησθέντος ζῶντος, πρὸς γάμου κοινωνίαν ἀνόμου, τῷ τῆς μοιχείας ὑποκείσθω ἐγκλήματι.

οθ'.

Καὶ τοῦτο δὲ ἐν τῇ χώρᾳ τῆς Ἀρμενίων γίνεσθαι μεμαθήκαμὴν, ὡς τινες εἶδον ἐν τοῖς ἱεροῖς θυσιαστηρίοις μέλη κρεῶν ἕψοντες προσάγουσιν, ἀφαιρέματα τοῖς ἱερεῦσιν Ἰουδαϊκῶς ἀπονέμοντες· ὅθεν τὸ τῆς ἐκκλησίας φυλάττοντες ἀκηλίδωτον, ὁρίζομὴν, μὴ ἐξεῖναί τινα τῆς ἱερέων ἀφωρισμένα κρεῶν μέλη παρὰ τῆς προσαγόντων λαμβάνειν· ἀλλ' οἷς ἀρεσθῇ ὁ προσάγων, τούτοις ἀρκείσθωσαν, ἔξω τῆς ἐκκλησίας τῆς τοιαύτης γινομένης προσαγωγῆς· εἰ δέ τις μὴ τοῦτο ὕπω ποιεῖ, ἀφοριζέσθω.

Βασιλ. κανων. 22. καὶ 58.

ρ'.

Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, καὶ πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, ἡ σοφία διακελεύεται· ῥᾳδίως γὰρ τὰ ἑαυτῆς ἐπὶ τὴν ψυχὴν αἱ τοῦ σώματος αἰσθήσεις εἰσκείνουσι. τὰς οὖν τὴν ὅρασιν κατιγοητεύσας γραφὰς, εἴτε ἐν πίναξιν, εἴτε ἄλλως πως ἀνατεθειμένας, καὶ τὸν νοῦν διαφθείρούσας, καὶ κινούσας πρὸς τὰ τῆς αἰσχρῶν ἡδονῶν ὑπεκκαύματα, ἐδαμῶς ἀπὸ τοῦ νῦν οἱῳδήποτε τρόπῳ προσάσσομὴν ἐγχαράττεσθαι. εἰ δέ τις τοῦτο πράττειν ἐπιχειροίη, ἀφοριζέσθω. Παροι. 4.

ρα'.

Σῶμα Χριστοῦ καὶ ναὸν τὸν κατ' εἰκόνα Θεοῦ κτισθέντα ἄνθρωπον ὁ μέγας καὶ θεῖος ἀπόστολος Παῦλος μεγαλοφώνως ἀποκαλεῖ. πάσης οὖν αἰσθητῆς κτίσεως ὑπερκείμὴνος ὁ τῷ σωτηρίῳ πάθει τοῦ ὑρανίου τυχὼν ἀξιώματος, ἐσθίων ἢ πίνων Χριστὸν πρὸς ζωὴν διὰ παντὸς μεθαρμόζεται τὴν ἀΐδιον, καὶ ψυχῇ καὶ σώματι μετέχει τῆς θείας ἁγιαζόμὴνος χάριτος. ὥστε εἴτις τοῦ ἀχράντου σώματος μετασχεῖν ἐν τῷ τῆς σωτήρίας βουληθείη καιρῷ, καὶ ἔμπροσθεν αὐτοῦ τῇ μετουσίᾳ γνήσεσθαι, τὰς χεῖρας σχηματίζων εἰς τύπον σταυροῦ, οὕτω προσίτω, καὶ δεχέσθω τὴν κοινωνίαν τῆς χάριτος. τὰς γὰρ ἐκ χρυσίου ἢ ἄλλης ὕλης ἀντὶ χειρός τινα δοχεῖα κατασκευάζοντας πρὸς τὴν τοῦ θείου δώρου ὑποδοχὴν, καὶ δι' αὐτῆς τῆς ἀχράντου κοινωνίας ἀξιουμένους, οὐδαμῶς προσιέμεθα, ὡς προτιμῶντας τῆς τοῦ Θεοῦ εἰκόνος τὴν ἄψυχον ὕλην καὶ ὑποχείριον. εἰ δέ τις ἀλλῷ τῆς ἀχράντου κοινωνίας μεταδιδοὺς τοῖς τοιαῦτα δοχεῖα προσφέρουσιν, καὶ αὐτὸς ἀφοριζέσθω, καὶ ὁ ταῦτα ἐπιφερόμὴνος.

ρβ'.

Δεῖ δὲ τοὺς ἐξουσίαν λύειν καὶ δεσμεῖν παρὰ Θεοῦ λαβόντας, σκοπεῖν τὴν τῆς ἁμαρτίας ποιότητα, καὶ τὴν τοῦ ἡμαρτηκότος πρὸς ἐπιστροφὴν ἑτοιμότητα, καὶ οὕτω καταλλήλον τὴν θεραπείαν προσάγειν τῷ ἀῤῥωστήματι· ἵνα μὴ τῇ ἀμετρίᾳ καθ' ἑκάτερον χρώμὴνος, ἀποσφαλείη πρὸς τὴν σωτηρίαν τοῦ κάμνοντος. οὐ γὰρ ἁπλῆ τῆς ἁμαρτίας ἡ νόσος, ἀλλὰ ποικίλη καὶ πολυειδὴς, καὶ πολλὰς τῆς βλάβης τὰς παραφυάδας βλαστάνουσα· ἐξ ὧν τὸ κακὸν ἐπιπολὺ διαχεῖται, καὶ πρόσω βαίνει, μέχρις ἂν σαίῃ τῇ Βασιλ. καὶ 3. 74. 84. τῷ Νύσσ 8.

γωγῆς ἀπορῶν ἐν τῷ τοιούτῳ καταλύσῃ ναῷ. διὰ γὰρ τοῦ μὴ τὸ κτῆνος ἔνδον εἰσενεχθῆναι, αὐτὸ μέν ἐστιν ὅτε διαφθαρήσεται· ὁ δὲ τῇ τοῦ ὑποζυγίου ἀποβολῇ, καὶ τῷ ἐντεῦθεν ἀπόρως ἔχειν τῆς ἐπὶ τὴν ὁδοιπορίαν ὁρμῆς, θανάτου κινδύνῳ παραδοθήσεται. τὸ γὰρ σάββατον διὰ τὸν ἄνθρωπον γενέσθαι ἐκδιδασκόμεθα. ὥστε διὰ πάντων προτιμητέαν ἡγεῖσθαι τὴν τοῦ ἀνθρώπου σωτηρίαν τε καὶ ἀπάθειαν. εἰ δέ τις φωραθοίη χωρὶς ἀνάγκης, ὡς εἴρηται, κτῆνος εἰσάγων ἐν τῷ ἱερῷ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Μάρκ. 2.

πθ'.

Τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐν νηστείᾳ καὶ προσευχῇ καὶ κατανύξει καρδίας ἐπιτελοῦντας, χρὴ τοὺς πιστοὺς περὶ μέσας τῆς περὶ τὸ μέγα σάββατον νυκτὸς ὥρας ἀπονηστίζεσθαι. τῶν θείων εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ, τοῦ μὲν διὰ τοῦ ὀψὲ σαββάτων ῥήματος, τοῦ δὲ διὰ ὄρθρου βαθέος, τὴν βραδυτῆτα τῆς νυκτὸς ἡμῖν ὑπογράψαντος.

Διονυσ. Α'λεξ. καν. 1.

ι'.

Ταῖς κυριακαῖς μὴ γόνυ κλίνειν ἐκ τῶν θεοφόρων ἡμῶν πατέρων κανονικῶς παρελάβομεν, τὴν τοῦ Χριστοῦ τιμῶντες ἀνάστασιν. ὡς ἂν οὖν μὴ ἀγνοῶμεν τὸ σαφὲς τῆς ἐπὶ τοῦτο παρατηρήσεως, δῆλον τοῖς πιστοῖς καθιστῶμεν, ὥστε μετὰ τὴν ἐν τῷ σαββάτῳ ἑσπερινὴν τῶν ἱερωμένων πρὸς τὸ θυσιαστήριον εἴσοδον, κατὰ τὸ κρατοῦν ἔθος, μηδένα γόνυ κλίνειν μέχρι τῆς ἐφεξῆς κατὰ τὴν κυριακὴν ἑσπέρας, καθ' ἣν κατὰ τὴν ἐν τῷ λυχνικῷ εἴσοδον αὖθις τὰ γόνατα κάμπτοντες, οὕτω τὰς εὐχὰς τῷ κυρίῳ προσάγομεν. τῆς γὰρ τοῦ σωτῆρος ἡμῶν ἐγέρσεως πρόδρομον τὴν μετὰ τὸ σάββατον νύκτα παραλαμβάνοντες, τῶν ὕμνων ἐντεῦθεν πνευματικῶς ἀπαρχόμεθα, εἰς φῶς ἐκ σκότους τὴν ἑορτὴν καταληγοντες· ὡς ἐν ὁλοκλήρῳ ἐντεῦθεν νυχθημέρῳ πανηγυρίζειν ἡμᾶς τὴν ἀνάστασιν.

Νικ. καν. 20.

Πετρ. Α'λεξ. κα. 15.

ια'.

Τὰς τὰ ἀμβλωθρίδια διδούσας φάρμακα, καὶ τὰς δεχομένας τὰ ἐμβρυοκτόνα δηλητήρια, τὰ τοῦ φονέως ἐπιτιμίῳ καθυποβάλλομεν.

Αγκ. καν. 21. Βασιλ. καν. 2. κ' 8.

ιβ'.

Τοὺς ἁρπάζοντας γυναῖκας ἐπὶ ὀνόματι συνοικεσίου, ἢ συμπράττοντας, ἢ συναιρουμένους τοῖς ἁρπάζουσιν, ὥρισεν ἡ ἁγία σύνοδος, εἰ μὲν κληρικοὶ εἶεν, ἐκπίπτειν τοῦ οἰκείου βαθμοῦ· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι.

Βασιλ. καν 30 Χαλκ. 27.

ιγ'.

Ἡ ἀναχωρήσαντος τοῦ ἀνδρὸς καὶ ἀφανοῦς ὄντος πρὸ τοῦ πεισθῆναι περὶ τοῦ θανάτου αὐτοῦ ἑτέρῳ συνοικοῦσα, μοιχᾶται· ὡσαύτως καὶ αἱ στρατιώτιδες, αἱ τῶν ἀνδρῶν ἀφανῶν ὄντων γαμηθεῖσαι, τῷ αὐτῷ ὑπόκεινται λόγῳ, ὥσπερ καὶ αἱ διὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς μὴ ἀναμείνασαι τὴν ἐπάνοδον. πλὴν ἔχει τινὰ συγγνώμην τὸ πρᾶγμα ἐνταῦθα διὰ τὸ μᾶλλον πρὸς θάνατον εἶναι τὴν ὑπόνοιαν. ἡ δὲ τῷ καταληφθέντι πρὸς καιρὸν παρὰ τῆς γυναικὸς κατὰ ἄγνοιαν γημαμένη, εἶτα ἀφεθεῖσα διὰ τὸ ἐπανελθεῖν πρὸς αὐτὸν τὴν προτέραν, ἐπόρνευσε μὲν, ἐν ἀγνοίᾳ δέ· γάμου οὖν οὐκ εἰρχθήσεται· κάλλιον δὲ ἐὰν μείνῃ οὕτως. εἰ δέ γε ὁ στρατιώτης ἐπανέλθοι χρόνῳ ποτὲ, οὗ ἡ γυνὴ διὰ τὴν ἐπιπολὺ ἐκοίνου ἀπόλειψιν ἑτέρῳ συνήφθη ἀνδρὶ, οὗτος εἰ προαιρεῖται, τὴν οἰκείαν αὖθις ἀναλαμβανέτω γυναῖκα, συγγνώμης αὐτῇ ἐπὶ τῇ ἀγνοίᾳ δεδομένης, καὶ τῷ ταύτην εἰσοικισαμένῳ κατὰ δεύτερον γάμον ἀνδρί.

Βασιλ. καν. 31. 36. 46.

ιδ'.

Τοὺς ὀμνύοντας ὅρκους Ἑλληνικοὺς ὁ κανὼν ἐπιτιμίοις καθυποβάλλει· καὶ ἡμεῖς τούτοις ἀφορισμὸν ὁρίζομεν.

Βασιλ. καν. 81

ιε'.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀπολουθίαν τε καὶ συνήθειαν· Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς Καθαροὺς, καὶ Ἀριστεροὺς, καὶ Τεσσαρεσκαιδεκατίτας, ἤγουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ Θεοῦ καὶ ἀποστολικὴ ἐκκλησία, σφραγιζομένους ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τὸ μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα, καὶ σφραγίζοντες αὐτοὺς λέγομεν. σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. περὶ δὲ τῶν Παυλιανιστῶν τῇ καθολικῇ ἐκκλησίᾳ ὅρος ἐκτέθειται, ἀναβαπτίζεσθαι αὐτοὺς ἐξ ἅπαντος. Εὐνομιανοὺς μέντοι τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας· καὶ Σαβελλιανοὺς, τοὺς υἱοπατορίαν δοξάζοντας, καὶ ἕτερά τινα χαλεπὰ ποιοῦντας, καὶ πάσας τὰς ἄλλας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας ἐρχόμενοι, πάντας τοὺς ἀπ' αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα· καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς Χριστιανούς· τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν

τῇ δυνάμει τοῦ θεραπεύοντος· ὥστε τὸν τὴν ἰατρικὴν ἐν πνεύματι ἐπιστήμην ἐπιδεικνύμενον, πρότερον χρὴ τὴν τοῦ ἡμαρτηκότος διάθεσιν ἐπισκέπτεσθαι· καὶ εἴτε πρὸς τὴν ὑγίειαν νεύει, ἢ τοὐναντίον, διὰ τῶν οἰκείων τρόπων προσκαλεῖται καθ' ἑαυτοῦ τὸ ἀῤῥώστημα, ἐφορᾶν· ὅπως τε τῇ ἐν τῷ μεταξὺ προνοεῖται ἀναστροφῇ· καὶ εἰ μὴ τῷ τεχνίτῃ ἀντιπαλαίει, καὶ τὸ τῆς ψυχῆς ἕλκος διὰ τῆς τῶν ἐπιτιθεμένων φαρμάκων αὐξάνει προσαγωγῆς· καὶ οὕτω τὸν ἔλεον κατ' ἀξίαν ἐπιμετρεῖν, πᾶς γὰρ λόγος Θεῷ, καὶ τῷ τὴν ποιμαντικὴν ἐγχειρισθέντι ἡγεμονίαν, τὸ πλανώμενον πρόβατον ἐπαναγαγεῖν, καὶ τρωθὲν ὑπὸ τοῦ ὄφεως ἐξιάσασθαι· καὶ μήτε κατὰ κρημνῶν ὠθῆσαι τῆς ἀπογνώσεως, μήτε τὸν χαλινὸν ἐπιδοῦναι πρὸς τὴν τοῦ βίου ἔκλυσίν τε καὶ καταφρόνησιν. ἀλλ' ἐνί γε τρόπῳ πάντως, εἴτε διὰ τῶν αὐστηροτέρων καὶ στυφόντων, εἴτε διὰ τῶν ἁπαλωτέρων καὶ πραοτέρων φαρμάκων κατὰ τοῦ πάθους στῆναι, καὶ πρὸς συνούλωσιν τοῦ ἕλκους ἀνταγωνίσασθαι, τοὺς τῆς μετανοίας καρποὺς δοκιμάζοντι, καὶ οἰκονομοῦντι σοφῶς τὸν πρὸς τὴν ἄνω λαμπροφορίαν καλούμενον ἄνθρωπον. ἀμφότερα τοίνυν εἰδέναι ἡμᾶς χρὴ, καὶ τὰ τῆς ἀκριβείας, καὶ τὰ τῆς συνηθείας· ἕπεσθαι δὲ ἐπὶ τῶν μὴ καταδεξαμένων τὴν ἀκρότητα τῷ παραδοθέντι τύπῳ, καθὼς ὁ ἱερὸς ἡμᾶς ἐκδιδάσκει Βασίλειος.

ΥΠΟΓΡΑΦΑΙ.

Ὁ βασιλεὺς διὰ κινναβάρεως.

Φλάβιος Ἰουστινιανὸς πιστὸς ἐν Χριστῷ Ἰησοῦ τῷ Θεῷ βασιλεὺς Ῥωμαίων στοιχήσας ἅπασι τοῖς ὁρισθεῖσι, καὶ ἐμμένων ὑπέγραψα.

Τόπος τοῦ ἁγιωτάτου πάπα Ῥώμης.

Παῦλος ἀνάξιος ἐπίσκ. Κωνσταντινουπόλεως νέας Ῥώμης ὁρίσας ὑπέγ.

Πέτρος ἀνάξιος ἐπίσκ. τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ὁρίσας ὑπέγραψα.

Ἀναστάσιος ἐλάχιστος ἐπίσκ. τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ ὁρίσας ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκ. Ἀντιοχείας ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἀνάξιος ἐπίσκ. νέας Ἰουστινιανουπόλεως ὁρίσας ὑπέγ.

Τόπος τοῦ Θεσσαλονίκης.

Κυριακὸς ἀνάξιος ἐπίσκ. τῆς Καισαρέων μητροπόλεως τῆς πρώτης τῶν Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκ. τῆς Καισαρέων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Τόπος τοῦ Ἡρακλείας.

Τοῦ Σαρδινίας.

Τοῦ Ῥαβέννης.

Τοῦ Κορίνθου.

Βασίλειος ἐπίσκ. τῆς Γορτυνίων μητροπόλεως τῆς φιλοχρίστου Κρήτης νήσου, καὶ τὸν τόπον ἐπέχων πάσης τῆς συνόδου τῆς ἁγίας ἐκκλησίας Ῥώμης ὁρίσας ὑπέγ.

Στέφανος ἐλάχιστος ἐπίσκ. τῆς Ἀγκυρανῶν φιλοχρίστου μητροπόλεως τῆς τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Σισίννιος χάριτι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐπίσκ. Δυῤῥαχηνῶν μητροπόλεως ὁρίσας ὑπέγραψα.

Πέτρος ἀνάξιος ἐπίσκ. τῆς Νικομηδέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γεώργιος ἀνάξιος ἐπίσκ. τῆς Νικαέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς Χαλκηδονέων μητροπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς Σιδῶν μητροπόλεως τῆς Παμφυλίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Λεόντιος ἀνάξιος ἐπίσκ. Σεβαστείας τῆς δευτέρας τῶν Ἀρμενίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰωάννης ἀνάξιος ἐπίσκ. τῆς Ἀμασέων μητροπόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Πομπηϊουπόλεως τῆς τῶν Κιλίκων πρώτης ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰσίδωρος ἐλέῳ θεοῦ ἐπίσκ. μητροπόλεως Ἀναζαρβῶν τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Μακρόβιος ἐλάχιστος ἐπίσκ. τῆς Σελευκέων μητροπόλεως Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἰουστινιανὸς ἀνάξιος ἐπίσκ. τῆς Τυανέων μητροπόλεως δευτέρας τῶν Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Σέργιος ἐλάχιστος ἐπίσκ. τῆς Γαγγρηνῶν ἐπαρχίας Παφλαγονίας ὁρίσας ὑπέγ.

Κυπριανὸς χάριτι Χριστοῦ τοῦ θεοῦ ἐπίσκ. Κλαυδιουπόλεως Ὀνωρεατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Κωνσταντῖνος ἀνάξιος ἐπίσκ. Πισσινουντίων τῆς δευτέρας τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Σισίννιος ἐλάχιστος ἐπίσκ. τῆς Σταυροπολιτῶν μητροπόλεως τῆς Καρῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἠλίας ἐλάχιστος ἐπίσκ. τῆς Ἰκονιέων μητροπόλεως τῆς Λυκαόνων ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέ-

Στέφανος ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἀντιοχέων μητροπόλεως τῆς Πισιδίας ὁρίσας ὑπέγ.

Γ'ωάννης ἐλάχιστος ἐπίσκ. Πέργης Παμφυλίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόπεμπτος ἐλάχιστος ἐπίσκ. τῆς Γ'ερμιανουπολιτῶν, ἤτοι Μωκισσωνῶν μητροπόλεως τῆς δευτέρας Καππαδοκῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἀνάξιος ἐπίσκ. τοῦ Φασίτου Λαζῶν χώρας ὁρίσας ὑπέγ.

Τιβέριος ἀνάξιος Τραϊανουπολιτῶν μητροπόλεως τῆς Φρυγῶν Πακατιανῶν ὁρίσας ὑπέγραψα.

Η'λίας ἐλάχιστος ἐπίσκ. Δασίμων μητροπόλεως τῆς δευτέρας Γ'ουστινιανῆς ὁρίσας ὑπέγραψα.

Γεώργιος ἐλάχιστος ἐπίσκ. Οὐζούσης τῆς Θρᾳκῶν χώρας ὁρίσας ὑπέγ.

Θεόγνωστος ἀνάξιος ἐπίσκ. τῆς Πομπηϊουπόλεως τῆς Παφλαγόνων ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκ. τῆς Σμυρναίων μητροπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ζαχαρίας ἐλέῳ Θεοῦ ἐπίσκ. Λεοντοπόλεως Γ'σαυρίας ὁρίσας ὑπέγ.

Θεόπεμπτος ἐπίσκ. τῆς Ἀπαμέων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Μωϋσῆς ἀνάξιος ἐπίσκ. τῆς Θεοδωριαδῶν ἤτοι Γερμιαδῶν τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Σισίννιος ἀνάξιος ἐπίσκ. πόλεως Μιτυλήνης τῆς Λεσβίων νήσου ὁρίσας ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκ. τῆς Σηλυβρίας πόλεως τῆς Εὐρωπαίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γεώργιος ἐλάχιστος ἐπίσκ. τῆς Μιλησίων πόλεως Καρῶν ὁρίσας ὑπέγ.

Θεοφύλακτος ἐλάχιστος ἐπίσκ. τῆς Μηθυμναίων ὁρίσας ὑπέγ.

Γ'ωάννης χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἐπίσκ. τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γεώργιος ἀνάξιος Χερσῶνος τῆς Δόραντος ὁρίσας ὑπέγ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. Κοζάδων τῆς Γ'σαύρων χώρας ὁρίσας ὑπέγ.

Ἐπιφάνιος ἀνάξιος ἐπίσκ. Εὐχαΐτων Ἑλευθερουπόλεως ὁρίσας ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. τῆς Αἴνου πόλεως Θρᾳκῶν χώρας ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλέῳ Θεοῦ ἐπίσκ. Καμυλιανῶν πόλεως ὁρίσας ὑπέγ.

Μάμαλος ἀνάξιος ἐπίσκ. τῆς Μεσυμβρινῶν πόλεως τῆς Αἰμιμοντίων ὁρίσας ὑπέγ.

Παῦλος ἀνάξιος ἐπίσκ. τῆς Τερμιωῶν πόλεως τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γ'ωάννης ἀνάξιος ἐπίσκ. Ἀβύδου τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἀνδρέας ἀνάξιος ἐπίσκοπος τῆς Μιλητουπολιτῶν Ἑλλησπουλίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Σταυράκιος ἐλάχιστος ἐπίσκ. Ἀδρανείας τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἀνδρέας ἁμαρτωλὸς ἐπίσκ. Φιλίππου ὁρίσας ὑπέγ.

Σιλουανὸς ἁμαρτωλὸς ἐπίσκ. πόλεως Λήμνου ὁρίσας ὑπέγ.

Ἀνδρέας ἁμαρτωλὸς ἐπίσκ. Ἀμφιπόλεως ὁρίσας ὑπέγ.

Γ'σίδωρος ἐλάχιστος ἐπίσκ. Ἐδεσσιωῶν πόλεως ὁρίσας ὑπέγ.

Μαργαρίτης ἁμαρτωλὸς ἐπίσκ. Σποβῶν ὁρίσας ὑπέγ.

Παῦλος ἁμαρτωλὸς ἐπίσκ. πόλεως Νύσσης τῆς δευτέρας τῶν Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. πόλεως Θερμῶν τῆς δευτέρας τῶν Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Πλάτων ἐλάχιστος ἐπίσκ. πόλεως Κισκίσσης τῆς πρώτης τῶν Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Γεώργιος ἐπίσκ. Καμάχης τῆς μεγάλης τῶν Ἀρμενίων χώρας ὁρίσας ὑπέγ.

Μάμας ἐλέῳ Θεοῦ ἐπίσκ. Τιβεριάδος ὁρίσας ὑπέγ.

Ζώητος ἀνάξιος ἐπίσκ. Χερσῶνος, ἤτοι Διὸς ἱεροῦ, τῶν Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Παῦλος ἀνάξιος ἐπίσκ. Πεινέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Παζίκιος ἀνάξιος ἐπίσκ. Μαγνητῶν Πρωτομαιανδρουπόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἀντώνιος ἀνάξιος ἐπίσκ. Υ'παίπων τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Γ'ωάννης ἀνάξιος ἐπίσκ. Ἀνέων τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Γεώργιος ἐπίσκ. τῆς Παλαιουπολιτῶν πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Σισίννιος ἀνάξιος ἐπίσκοπος τῆς Νυσσαέων πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γ'ωάννης ἀνάξιος ἐπίσκ. πόλεως Φωκαίων τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Γ'ωάννης ἀνάξιος ἐπίσκ. πόλεως Σιῶν τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ζωτικὸς ἀνάξιος ἐπίσκ. Βαρεπῶν τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Μύρων ἐλάχιστος ἐπίσκ. τῆς Τραλλέων πόλεως Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Γρηγόριος ἀνάξιος ἐπίσκ. τῆς Καλαντῶν πόλεως τῆς Ἀσιανῶν ἐπαρχίας ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκ. τῆς Μαγνησίας τῆς Αἰμιλίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Γρηγόριος ἀνάξιος ἐπίσκ. πόλεως Εὐαζῶν τῆς Ἀσιανῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Νικήτας ἁμαρτωλὸς ἐπίσκοπος τῆς Κυδωνέων

νέων πόλεως τῆς νήσου Κρήτης ὁρίσας ὑπέγραψα.

Σισίννιος ἀνάξιος ἐπίσκ. Χερρονήσου τῆς Κρητῶν νήσου ὁρίσας ὑπέγ.

Θεόπεμπτος ἀνάξιος ἐπίσκ. Κισσάμου τῆς Κρητῶν νήσου ὁρίσας ὑπέγ.

Γρηγόριος ἀνάξιος ἐπίσκοπος πόλεως Ταβίας τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκοπος Ἰλιουπόλεως τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Μιχαὴλ ἀνάξιος ἐπίσκοπος πόλεως Ἀσπόνης τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπεγ.

Ἀνδρέας ἐλέῳ θεοῦ ἐπίσκοπος τῆς Μνιζηνῶν πόλεως πρώτης Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκοπος Βηρινοπόλεως τῆς πρώτης τῶν Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Σεστῶν πόλεως τῆς Λυδῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἀναστάσιος ἀνάξιος ἐπίσκ. τῆς Μαιονιτοπόλεως τῆς Λυδῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόδοτος ἐλέῳ θεοῦ ἐπίσκ. Αὐρηλιουπόλεως τῆς Λυδῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. πόλεως Δυσκολίας τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Σισίννιος ἀνάξιος ἐπίσκ. Βασιλινουπόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. πόλεως Καδοσέων τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἐλάχιστος ἐπίσκοπος τῆς Ἐλενουπολιτῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Νεοκαισαρέων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Σιμεὼν ἀνάξιος ἐπίσκοπος τῆς Θεοτοκιανῶν πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Κοσμᾶς ἀνάξιος ἐπίσκοπος τῆς Πραινετίων πόλεως τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἀνάξιος ἐπίσκ. πόλεως νέας Ἰουστινιανῆς δευτέρας τῶν Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἰσίδωρος ἀνάξιος ἐπίσκ. Γορδοσέρβων τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἀναστάσιος ἐπίσκ. Λινόης τῆς Βιθυνῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Τάτης ἐλάχιστος ἐπίσκοπος πόλεως Κολυβροσοῦ τῆς Παμφύλων ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόδωρος ἐλάχιστος ἐπίσκοπος . . . . . πόλεως ἐρουμνῶν τῆς Παμφύλων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Κόνων ἐλέῳ θεοῦ ἐπίσκ. Κορακησίου τῆς Παμφύλων ἐπαρχίας ὁρίσας ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκοπος πόλεως Συδρέων τῆς Παμφύλων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Καλλίνικος χάριτι θεοῦ ἐπίσκ. τῆς Κολωνειατῶν πόλεως τῆς μεγάλης τῶν Ἀρμενίων χώρας ὁρίσας ὑπέγ.

Φώτιος χάριτι Θεοῦ ἐπίσκ. τῆς Νικοπολιτῶν φιλοχρίστου πόλεως τῆς μεγάλης τῶν Ἀρμενίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Γρηγόριος χάριτι Θεοῦ ἐπίσκ. τῆς Ἰουταλέων πόλεως τῆς μεγάλης τῶν Ἀρμενίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Φώτιος ἀνάξιος ἐπίσκ. Σεβαστουπόλεως ὁρίσας ὑπέγ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. πόλεως τῆς Ἀμασέων τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Σέργιος ἐλάχιστος ἐπίσκ. Ἀνδραπῶν ὁρίσας ὑπέγ.

Φώτιος ἀνάξιος ἐπίσκ. πόλεως Ἰβόρων τῆς Ἑλλησποντίων ἐπαρχίας ὁρίσας ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. πόλεως Ζηλῶν ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. πόλεως Κουρουκουτῆς τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Πέτρος ἀνάξιος ἐπίσκ. πόλεως τοῦ Ζεφυρίου τῆς πρώτης τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπεγ.

Βασίλειος ἁμαρτωλὸς ἐπίσκ. πόλεως Ἐπιφανείας τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Παῦλος ἀνάξιος ἐπίσκ. Εἰρηνουπόλεως τῆς δευτέρας τῶν Κιλίκων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἐλάχιστος ἐπίσκ. πόλεως τῶν Κασταυλῶν ὁρίσας ὑπέγ.

Σισίννιος ἀνάξιος ἐπίσκ. Κιτιδιουπόλεως ὁρίσας ὑπέγ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. πόλεως Ὄλβης τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Παῦλος ἐλάχιστος ἐπίσκ. . . . . τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Σισίννιος ἐλάχιστος ἐπίσκοπος πόλεως τῆς Σιλουανῶν τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Κοσμᾶς ἐλάχιστος ἐπίσκ. πόλεως Δαλισανδοῦ τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. Εἰρηνουπόλεως τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Ζαχαρίας ἐλάχιστος ἐπίσκ. πόλεως Ἀντιόχου ὁρίσας ὑπέγ.

Στέφανος ἐλάχ. ἐπίσκ. πόλεως Ἀδρασοῦ τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Πέτρος ἀνάξιος ἐπίσκ. Κελενδέρεως τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Κοσμᾶς ἐλέῳ θεοῦ ἐπίσκ. Δομετιοπόλεως ὁρίσας ὑπέγ.

Βασίλειος ἐλέῳ θεοῦ ἐπίσκ. Ἰββιδιγγῆς τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Μάρκος ἐλάχ. ἐπίσκ. Ζηνοπόλεως τῆς Ἰσαύρων ἐπαρχίας ὁρίσας ὑπέγ.

Δο-

Δομέτιος ἐλάχ. ἐπίσκ. Τιτυπόλεως τῆς Ἰσαύρων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Γεώργιος ἐπίσκ. Ἀβραμιασσῦ τῆς πρώτης τῆς Ἁρμβυίων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Κυκασσῦ τῆς πρώτης τῶν Ἁρμβυίων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Ἰωάννης ἀναξιος ἐπίσκ. Φασσινοπόλεως τῆς δευτέρας τῶν Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκ. Σασίμων τῆς Καππαδοκῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Γεώργιος ἐλέῳ Θεῦ διάκονος τῆς ἁγίας ἐκκλησίας πόλεως Ἀμάσεως ἐπαρχ. Παφλαγονίας, καὶ τὸν τόπον ἀποπληρῶν Ζωΐλου τοῦ ἁγιωτάτου μου ἐπισκόπου ὁρίσας ὑπέγραψα.

Γεώργιος ἐλέῳ Θεῦ ἐπίσκ. Ἰουνοπόλεως τῆς Παφλαγόνων ἐπαρχ, ὁρίσ. ὑπέγ.

Φωκᾶς ἀνάξιος ἐπίσκ. πόλεως Δαδύβρων ὁρίσας ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. πόλεως Σωρῶν τῆς Παφλαγόνων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκ. Κρατίας ὁρίσας ὑπέγ.

Στέφανος ἐλάχ. ἐπίσκ. κατὰ Ὀνωρεατῶν πόλεως Ἡρακλείας ὁρίσ. ὑπέγ.

Νάρσης ἀνάξιος ἐπίσκ. Κερασοῦντος ὁρίσας ὑπέγ.

Δομέτιος ἐλάχ. ἐπίσκ. πόλεως Πολεμωνίου ὁρίσας ὑπέγ,

Σολομὼν ἀνάξιος ἐπίσκ. Κελαινῶν δευτέρας τῆς Γαλατῶν ἐπαρχ. ὁρίσ, ὑπέγ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. Ἀμωρίου τῆς δευτέρας τῆς Γαλατῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. Τροχναδῶν τῆς δευτέρας τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Σηγερμᾶς ἐλάχιστος ἐπίσκοπος Ὀρκοσετῶ τῆς δευτέρας τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Γεώργιος ἐλάχιστος ἐπίσκ. πόλεως Σωνάδων τῆς δευτέρας τῆς Γαλατῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Ἐλπίδιος ἐλάχιστος ἐπίσκ. τῆς Θερμῶν τῶ ἁγίω Ἀγαπίω τῆς δευτέρας τῶν Γαλατῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Σήμαρχος ἐπίσκ. πόλεως Σιδύμων ἐπαρχ. Λυκαονίας ὁρίσ. ὑπέγ.

Γεώργιος ἐπίσκ. Γινανδῶ ἐπαρχίας ὁρίσας ὑπέγ.

Θεόδωρος ἐπίσκ. πόλεως Ἀραζῶν ἐπαρχ. Λυκίας ὁρίσ. ὑπέγ.

Ἰωάννης ἐπίσκ. Τλάττης ἐπαρχ. Λυκίας ὁρίσ. ὑπέγ.

Ζωσᾶς ἐλάχ. ἐπίσκ. πόλεως Πιναρίω ἐπαρχ. Λυκίας ὁρίσ. ὑπέγ.

Γεώργιος ἐλάχιστος ἐπίσκ. Ξάνθω ὁρίσας ὑπέγραψα.

Θεόπεμπτος ἐπίσκ. πόλεως Τροπολυκείας ἐπαρχ. Καρίας ὁρίσ. ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. πόλεως Ὑλαρίμων ἐπαρχ. Καρίας ὁρίσ. ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. πόλεως Ἀντιοχείας ἐπαρχ. Καρίας ὁρίσ. ὑπέγ.

Θεόδωρος ἐλάχιστος ἐπίσκ. πόλεως Ἡρακλείας Λάτμω ἐπαρχ. Καρίας ὁρίσ. ὑπέγ.

Μάγνος ἀνάξιος ἐπίσκ. πόλεως Ἐριζῶν τῆς Καρῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Εὐγένιος ἐπίσκ. πόλεως Τραπεζῶν Πακατιανῆς ὁρίσ. ὑπέγ.

Ἀνδρέας ἐπίσκ. Λερυγαπῶν Πακατιανῆς ὁρίσ. ὑπέγ.

Κύριλλος ἀνάξιος ἐπίσκ. πόλεως Ἀγκύρας Πακατιανῆς ὁρίσ. ὑπέγ.

Πλάτων ἐπίσκ. πόλεως Σεβαστῆς Πακατιανῆς ὁρίσ. ὑπέγ.

Φίλιππος ἀνάξιος ἐπίσκ. πόλεως Κάδων Πακατιανῆς ὁρίσ. ὑπέγ.

Θεόδωρος ἐπίσκ. πόλεως Πέμπων Πακατιανῆς ὁρίσ. ὑπέγ.

Βασίλειος ἐπίσκ. Κολωνείας Πακατιανῆς ὁρίσας ὑπέγ.

Ἀνασάσιος ἐπίσκ. Τιβεριουπόλεως Πακατιανῆς ὁρίσ. ὑπέγ.

Κοσμᾶς ἐπίσκ. πόλεως Κολασσαῆς Πακατιανῆς ὁρίσας ὑπέγ.

Γρηγόριος ἀνάξιος ἐπίσκ. πόλεως Αἰζιανῶν Πακατιανῆς ὁρίσ. ὑπέγ.

Ἰωάννης ἀνάξιος ἐπίσκοπος Σομβῶ ὁρίσας ὑπέγραψα.

Ἰωάννης πρεσβύτερος τῆς ἁγίας τῶ Θεῶ ἐκκλησίας πόλεως τῶ Ἀνεμουρίου, ὁ καὶ τὸν τόπον ἀποπληρῶν Μάμαντος τῶ ἁγιωτάτου μου ἐπισκόπου ὁρίσ. ὑπέγ.

Λεόντιος ἀνάξιος ἐπίσκοπος πόλεως Δορυλαίου τῆς Σαλουταρίων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Ἀλέξανδρος ἀνάξιος ἐπίσκοπος τῆς Νακωλέων πόλεως τῆς Σαλουταρίων ἐπαρχ. ὁρίσας ὑπέγραψα.

Παξίκιος ἐλάχιστος ἐπίσκ. τῆς Πρυμνησέων τῆς Φρυγῶν Σαλουταρίων ἐπαρχ. ὁρίσας ὑπέγ.

Θεόδωρος ἐπίσκ. πόλεως Μιδανῶ Σαλουταρίων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Ἀγαπητὸς ἐλάχιστος ἐπίσκοπος πόλεως . . . . . τῆς Σαλουταρίων ὁρίσας ὑπέγραψα.

Ἰωάννης διάκονος τῆς ἁγίας ἐκκλησίας τῆς Κοττυαίων πόλεως, τὸν τόπον ἀποπληρῶν τῶ ἁγιωτάτου μου ἐπισκόπου ὁρίσ. ὑπέγ.

Κωνσταντῖνος ἐλάχιστος ἐπίσκοπος πόλεως Βαρίτης τῆς Λυκαόνων ἐπαρχίας ὁρίσας ὑπέγραψα.

Εὐσάθιος ἀνάξιος ἐπίσκ. πόλεως Ἀμιλάνδων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Κόνων ἀνάξιος ἐπίσκ. πόλεως Ἀασαδῶν ἐπαρχ. Λυκαονίας ὁρίσ. ὑπέγ.

Θεοδόσιος ἐλάχ. ἐπίσκ. τῆς Βερίων πόλεως Λυκαόνων ὁρίσ. ὑπέγ.

Λογγῖνος ἐλάχ. ἐπίσκ. Μισιανῶν πόλεως Λυκαονίας ὁρίσας ὑπέγ.

Κίρικος ἐλάχ. ἐπίσκ. Δέρβης πόλεως τῆς Λυκαόνων ἐπαρχ. ὁρίσας ὑπέγ.

Ἀλέξανδρος ἐλάχ. ἐπίσκ. πόλεως Σεμανδῶν τῆς Λυκαόνων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Παῦλος ἐλάχ. ἐπίσκ. Ἰῆς Σωζοπολιτῶν πόλεως τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Θεόδωρος ἐλάχ. ἐπίσκ. πόλεως τοῦ Βενδέων τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Μαρῖνος ἐλάχ. ἐπίσκ. πόλεως τοῦ Φιλομηλίου τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Σισίννιος ἀνάξιος ἐπίσκ. Ἰῆς Μανοπόλεως τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Γεώργιος ἐλάχ. ἐπίσκ. πόλεως Γαλαῶν τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Κωνσαντῖνος ἀνάξιος ἐπίσκ. τῆς Μαμβιαδέων ὁρίσ. ὑπέγ.

Κόγων ἐλάχ. ἐπίσκ. Λαοδικείας τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέΓ.

Ἰωάννης ἐλέῳ Θεοῦ ἐπίσκ. τῆς Ἀδαδέων πόλεως τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέΓ.

Πατρίκιος ἐλάχ. ἐπίσκ. πόλεως Λυμναίων τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέΓ.

Κόνων ἐλάχ. ἐπίσκ. πόλεως Σινιανδῶν τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Στέφανος ἐλάχ. ἐπίσκ. τῆς Τυασέων πόλεως τῆς Πισιδῶν ἐπαρχ. ὁρίσ. ὑπέγ.

Πέτρος ἐλάχ. ἐπίσκ. Σελβικείας . . . ἐπαρχ. τῆς . . . . ὁρίσ. ὑπέγ.

Πλάτων ἐλάχ. ἐπίσκ. τῆς Μανδέων πόλεως τῆς Παμφύλων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Ζαχαρίας ἐλάχ. ἐπίσκ. πόλεως Λαγιωῶν τῆς Παμφύλων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Γεώργιος ἐλάχ. ἐπίσκ. τῆς Κοδρυλέων πόλεως τῆς Παμφύλων ἐπαρχ. ὁρίσας ὑπέΓ.

Παῦλος ἐλάχ. ἐπίσκ. πόλεως τοῦ Συλαίου τῆς Παμφύλων ἐπαρχ. ὁρίσ. ὑπέγ.

Κωνσαντῖνος ἐλάχ. ἐπίσκ. πόλεως Εὐδοκιάδος τῆς Παμφυλίας ὁρίσ. ὑπέγ.

Ἰωάννης ἐλάχ. ἐπίσκ. πόλεως Ἀδριανῆς τῆς Παμφυλίας ὁρίσ. ὑπέγ.

Θεόδωρος ἐλάχ. ἐπίσκ. πόλεως Δοαριωῶν τῆς δευτέρας τῆς Καππαδόκων ἐπαρχ. ὁρίσας ὑπέγ.

Κόνων ἐλάχ. ἐπίσκ. πόλεως Κολωνείας τῆς δευτέρας τῆς Καππαδόκων ἐπαρχίας ὁρίσας ὑπέγ.

Εὐσέβιος ἐλάχ. ἐπίσκ. πόλεως Παρνασσοῦ τῆς δευτέρας τῆς Καππαδόκων ἐπαρχ. ὁρίσ. ὑπέΓ.

Μιχαὴλ ἀνάξιος ἐπίσκοπος Ναζιανζοῦ τῆς δευτέρας τῆς Καππαδόκων ἐπαρχ. ὁρίσας ὑπέΓ.

Φαυστῖνος ἀνάξιος ἐπίσκ. Γιγανῶν χώρας ὁρίσ. ὑπέΓ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. πόλεως Πετρῶν τῆς Λαζῶν χώρας ὁρίσας ὑπέγ.

Στέφανος ἀνάξιος ἐπίσκ. πόλεως Παρίου ὁρίσ. ὑπέγ.

Γεώργιος ἀνάξιος ἐπίσκ. Θεωρινῆς ὁρίσας ὑπέγραψα.

Ἰσίδωρος ἐλάχ. ἐπίσκ. Σάμου ὁρίσας ὑπέγ.

Ἰωάννης ἐπίσκ. τῆς Μοσιωέων πόλεως Φρυγῶν ἐπαρχ. ὁρίσ. ὑπέΓ.

Στέφανος ἐλάχιστος ἐπίσκοπος πόλεως Ἀττάδου τῆς Φρυγῶν ἐπαρχίας ὁρίσας ὑπέγ.

Μαριανὸς ἀνάξιος ἐπίσκοπος Κιθαρίζων τῆς πρώτης τῆς Ἀρμενίων ἐπαρχίας ὁρίσ. ὑπέγ.

Ἡ ἕκτη Οἰκουμενικὴ Σύνοδος

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

Ἐπὶ Λέοντος βασιλ. υἱοῦ Κωνσαντ. Πωγωνάτου.

Ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ὍΝπερ ὁ φιλόχριστος αὐτοκράτωρ Λέων ἀναδεξάμενος, ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην ἐν Κωνσαντινουπόλει συγκροτηθῆναι προσέταξε σύνοδον. Ἧς ἐξῆρχον προκαθεζόμενοι, τοποτηροῦντι τοῦ πάπα Ῥώμης Ἀγάθωνος, Θεόδωρος καὶ Γεώργιος πρεσβύτεροι, καὶ Ἰωάννης διάκονος. καὶ ὁ Κωνσαντινουπόλεως πατριάρχης Γεώργιος, Πέτρου δεδεξάμενος· Θεοφάνης, Ἀντιοχείας τῆς Συρίας ἀρχιεπίσκοπος. τῆς Ἀλεξανδρέων τοποτηρητὴς, Πέτρος μοναχὸς καὶ πρεσβύτερος, ὑπὲρ τὸ χηρεῦσαν πατριαρχῶν τῆς ἐκ τῶν Ἀγαρηνῶν ἐπικρατείας, αὐτοῦ, καὶ τὰ Ἱεροσόλυμα· κατὰ Θεοδώρου, τῆς Φαρὰν ἐπισκόπου. Ὁνωρίου, Ῥώμης· Κύρου, Ἀλεξανδρείας· Σεργίου, Πύῤῥου, Παύλου, καὶ Πέτρου, προέδρων γηρωμένων τῆς Κωνσαντινουπόλεως· Θεοδώρου Αἰγύπτου, Μακαρίου τοῦ ὀνομαθέντος Ἀντιοχείας, Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ Πολυχρονίου τοῦ νηπιόφρονος γέροντος· ὃς καθελοῦσα ἀνεθεμάτισεν. Ὅρον δὲ θεῖον κατὰ τὰς ἑσπερίους συνόδους ἐξέθετον δύο φύσεις δύο θελήσεις καὶ ἐνεργείας τοῦ υἱοῦ Χριστοῦ Ἰησοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν καταγγέλοντα. Γεωργίου δὲ πρὸς κύριον ἐκδημήσαντος τοῦ παμμακαρίου, Θεόδωρος αὐτὸν διεδέξατο ὁ πανσέβαστος· κἀκεῖνον ὁ ἀπὸ ἀσκητηρίου Παῦλος ὁ πάντιμος· καὶ αὐτὸν ὁ ἱερομάκαρ ὄντως Καλλίνικος.

ἔτος ἀπὸ Χριστοῦ 680.

Ἑτέρα Σύνοδος

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

Ἐπὶ Ἰουστινιανοῦ ἐκ τοῦ βίβλ. τοῦ Συνοδικοῦ.

Ἰουστινιανὸς τοίνυν βασιλεὺς τὸ πατρῶα δεξάμενος, θείαν καὶ ἱερὰν ἐν Κωνσαντινουπόλει

πόλει διακοσίων τεσσαράκοντα θεοφόρων πατέρων σωτήριον ἐπεδήμησε σωτόδον. ἣ τὸς παραληθέντας τῇ ἁγίᾳ πέμπτῃ καὶ ἕκτῃ συνόδῳ κανόνας ἐξέθετο. καὶ πάσης Ἑλληνικῆς τε καὶ Ἰουδαϊκῆς ἀλλάγης καὶ τῆς αἱρετικῆς παραδόσεως, τὰς ἐκκλησίας ἐκάθηρε. Λεοντίου δὲ τῇ βασιλείᾳ ἐπιθεμένου, καὶ ῥινότμητον Ἰουστινιανὸν ἐν Χερσῶνι πεμφθέντος, Ἀρτέμιος, ὁ καὶ Ἀνάσασιος, τὸν Λεόντιον διεδέξατο· καὶ Ἰουστινιανὸς πάλιν τὴν βασιλείαν παρέλαβε. καὶ τὸν ἀρχιεράρχην Καλλίνικον ἀπόμματον ποιήσας, τῷ σημείῳ τῆς Χώρας παρέπεμψε· καὶ Κῦρον, τὸν Ἀμάσειδος τῆς νήσου ἔγκλειστον γεγονότα, καὶ τῆς ἑτέρας βασιλείας τὴν κατοχὴν ὡσῴ διαγγελισάμενον, τῷ Βυζαντίων πατριάρχῃ ἀντὶ Καλλινίκου ὁ θηριόξοπος ἀποκατέστησεν.

Η' αὐτὴ, ἕκτη οἰκουμενικὴ Σωόδος

ΕΚ ΤΟΥ ΦΩΤΙΟΥ

Περὶ Σωνόδων· ὅτι ἐπιστολὴ πρὸς μιχαὴλ Βουλγαρίας, ἄρχοντα.

Η' Δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σωόδος ἐν τῇ βασιλίδι τῇ πόλεων, καὶ αὐτὴ τῇ μυστικῶν τῆς ἐκκλησίας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θεάτρον. ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένη λαμπρῶς νικῶσαν ἀπεδείκνυε τὴν ἀσέβειαν. ταύτης ἀρχηγοὶ καὶ τῆς ἄλλων φρονεμάτων ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ὢν τῆς βασιλίδος πόλεως ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος· καὶ Θεόδωρος καὶ Γεώργιος ἐν πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα δυσκόλῳ Ἰωάννῃ, οἳ ἀντὶ Ἀγάθωνος τοῦ ἁγιωτάτου πάπα Ῥώμης εἰς τὴν τῆς ὑπάρχων τάξιν ἠξιώθησαν, καὶ τοῦ τῆς Ἀλεξάνδρου μεγαλοπόλεως θρόνου Πέτρος μοναχὸς τὸν τόπον ἀνεπλήρου· μεθ' ὧν καὶ Γεώργιος μοναχὸς καὶ πρεσβύτερος εἰς τὸν βαθμὸν τῆς ἀρχιερατικῆς τῆς Ἱεροσολύμων παρήγγελλε καθέδρας. ὅτι δὴ σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις πᾶσι Σέργιον, Πύρρον, Παῦλον Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὀνώριον τὸν Ῥώμης, Κῦρόν τε τῆς Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν, τὴν ἀληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντας, ὑμεῖς ἀλλὰ καὶ Μακάριον τῆς Ἀντιοχείας ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τοῦνομα Πολυχρονίῳ ἐπιπλακέντας αὐτοῖς, καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο, ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήματι, ἐτόλμησαν ἀποφήνασθαι. μηδὲ τοῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσυνέτοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς ὑκ ἔστι τῆς αὐτῆς ἐνεργείας χωλὸν κατ' ἐξουσίαν ὀρθῶσαι, καὶ κόπους ὁδοιπορείας μετέρχεσθαι, οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γλωσσῶν δακτύλων ἔργοις σιέλῳ φυράσαι, καὶ πηλὸν ποιῆσαι, καὶ ἐπιβαλεῖν τοῖς ὄμμασι, οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι. ὁ μὲν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως παραιτεῖσθαι τὸ ποτήριον τοῦ θανάτου, καὶ δόξαν αὐτὸ καλεῖν πάλιν, καὶ βούλεσθαι τὸ ἀθέλητον. ἀλλὰ πῶς οὐχὶ σωφρόνουν διὰ τούτων καὶ τῆς φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι. πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιαχίζονται. καὶ εἰ κατὰ τὸν ἐν αὐτοῖς πλάνην ἡ ἐνέργεια καὶ ἡ θέλησις μία, ἡ φύσις πάντως ἐξ ἧς ταῦτα, μία. εἰδὲ δύο αἱ φύσεις, (ὅπου γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῆς καταρξάντων καὶ ἀπώλειαν) πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν. ἀλλὰ καὶ ὅτοι μὴν τῆς ἰδίας αὐτῆς καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ τῷ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι. δύο δὲ θελήσεις φυσικὰς, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τῆς θεοφόρων πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχοῦ ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν ὥσπερ τῆς φύσεων, οὕτω καὶ τῆς ἐνεργειῶν καὶ θελήσεων ὀρθοδόξως παραδεδώκασι. Κωνσταντῖνος δὲ τιμηκὼς ὁ ἀπόγονος τοῦ Ἡρακλείου τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδεγμένος, τά τε ἄλλα συμφρόττων τῇ σωόδῳ, καὶ τὸ ὀρθὸν τῆς ἐκκλησίας φρόνημα πρεσβεύων. ἀλλ' ἐν τούτῳ μὲν καὶ ἡ ἕκτη.

Η' αὐτὴ ἕκτη σύνοδος

ΕΚΤΟΥ ΝΕΙΛΟΥ.

Η' Ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, συναθροισθεῖσα ὑπὸ ἑκατὸν ἑβδομήκοντα ἁγίων πατέρων, ὧν ἡγοῦντο Ἀγάθων Ῥώμης, Γεώργιος Κωνσταντινουπόλεως, Πέτρος μοναχὸς τοποτηρητὴς τῆς Ἀλεξανδρείας, Θεοφάνης Ἀντιοχείας, κατὰ Ὀνωρίου πάπα Ῥώμης, Κύρου Ἀλεξανδρείας, Σεργίου τε καὶ Πύῤῥου καὶ Παύλου καὶ Πέτρου ἐπισκόπων Κωνσταντινουπόλεως. ἀπὸ δὲ κτίσεως κόσμου ἔτη ,ϛροθ'. ἀπὸ δὲ Χριστοῦ ψιθ. ἀπὸ ἕκτης ἕως ἑβδόμης ἔτη ἑκατὸν ἐννέα.

Η' αὐτὴ ἕκτη σύνοδος

ΕΚ ΤΟΥ ΑΝΩΝΥΜΟΥ

Απέχει ἡ ς'. ἀπὸ τῆς έ. ἔτη ρξζ'.

Η' Δὲ ς'. ἁγία οἰκουμενικὴ συνόδος γέγονεν ἐν Κωνσταντινουπόλει ἐπὶ Κωνσταντίνου βασιλέως παχὺς Ιουστινιανοῦ, καὶ ἐπὶ Αγάθωνος πάπα Ρώμης, καὶ Γεωργίου πατριάρχου Κωνσταντινουπόλεως. ὑπῆρχον δὲ ρό. ἅγιοι πατέρες. συνηθροίσθησαν δὲ κατὰ τῶν ἡμωτομησάντων αἵρεσιν ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ· λέγω δὴ Θεοδώρου τοῦ τῆς Φαράν ἐπισκόπου, Ονωρίου Ρώμης, Κύρου Αλεξανδρείας, Σεργίου, καὶ Πύρρου, Πέτρου, καὶ Παύλου Κωνσταντινουπόλεως ἐπισκόπων. ἔτι δὲ καὶ τῶν ἀναθεματισάντων τὴν αἵρεσιν τούτων τῶν προγεγραμμένων αἱρετικῶν ἐν ταύτῃ τῇ ἁγίᾳ συνόδῳ, τοῦ τε Μακαρίου τοῦ ὀνομαζομένου Αντιοχείας προέδρου, καὶ Στεφάνου τοῦ μαθητοῦ αὐτοῦ, καὶ κατὰ τῶν ἐκείνων. ἔτοι γὰρ οἱ προλεχθέντες αἱρετικοὶ Θεόδωρος καὶ οἱ σὺν αὐτῷ ματαιόφρονες δυσσεβεῖς ἀπετόλμησαν εἰπεῖν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔχειν τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν, καὶ μὴ τὴν σάρκωσιν σωδεσμὸν τῆς ὀρθοδοξίας διαλῦσαι θελήσαντες. τούτου χάριν ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ ἕκτη συνόδος τοὺς προγεγραμμένους αἱρετικοὺς, ὡς θεομάχους ἀνεθεμάτισε, καὶ πάντα αὐτῇ τὰ βλάσφημα δόγματα, καὶ πάντας τοὺς τὰ αὐτὰ τούτων φρονοῦντας, καὶ φρονεῖν μέλλοντας, καὶ ἀμετανοήτους διαμένοντας. σὺν αὐτοῖς δὲ καὶ Πολυχρόνιον, τὸν νηπιόφρονα γέροντα τὸν νεκρὸν ἐγείρειν ἐν τῇ τοιαύτῃ πλάνῃ τῆς αἱρέσεως μεγαλορρημονήσαντα ἀδείας τε τυχόντα, καὶ ἐν τῷ μὴ ἐγεῖραι μειζόνως τὴν βλασφημίαν τῆς τοιαύτης αἱρέσεως θριαμβεύσαντα, τῆς ὀρθοδοξίας δὲ τὰ δόγματα ξανώτερον ἡ τοιαύτη ἁγία σύνοδος ἐμφανίσασα, δύο θελήματα φυσικὰ ἤγουν θελήσεις καὶ δύο φυσικὰς ἐνεργείας ἐβεβαίωσεν ἔχειν μὴ τὴν σάρκωσιν τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν, ἐκ ἐν διαιρέσει προσώπων (μὴ γένοιτο) ἀλλὰ τὸ μηδεμίαν φύσιν τῆς ἐπὶ Χριστοῦ, τοῦτ' ἔστι τῆς δύο, ἀνθέλητον ὑπάρχον ἢ ἀνενέργητον. οἱ γὰρ τὰ τοιαῦτα τῆς φύσεων ἀναιροῦντες ἰδιώματα, ἐνεργείας τε καὶ θελήματα, καὶ τὰς φύσεις συναναιροῦσιν, ὥνπερ εἰσὶν ἰδιώματα. Ο' μὲν πατέρες.

ΣΥΝΟΔΟΣ

Ἐν Κωνσταντινουπόλει

ΕΠΙ ΦΙΛΙΠΠΙΚΟΥ

Ἔτος ἀπὸ Χριστοῦ 712.

Τοῦ καὶ Βαρδάνου αὐτοκράτορος δυσσεβοῦς καὶ Ιωάννου πατριάρχου μονοθελήτου.

Ἐκ τῆς βιβλίου τῆς συνοδικῆς

Αλλα Φιλιππικὸς ὁ καὶ Βαρδάνης, ἀπὸ Χερσῶνος ἅμα τῷ στόλῳ παραλαβὼν τὰ βασίλεια, καὶ Ιουστινιανὸν ἐν τῷ Δαματρίῳ ἀποκτείνας τοῖς ξίφεσιν, ἐν Κωνσταντινουπόλει συνέδριον μιαρὸν ποιησάμενος, τῆς Μονοθελητῆς ἀνεκαίνισε τιμὴν ἀσέβειαν. καὶ τὸν ἀρχιεπίσκοπον Κῦρον ἐξέωσεν, ἐν τῇ μονῇ τῆς Χώρας ποιήσας αὐτὸν ἔγκλειστον· καὶ ἀντ' αὐτοῦ Ιωάννην χειροτόνησε.

ΕΠΙΛΟΓΟΣ

Τοῦ τὴν παροῦσαν βίβλον ἰδιοχείρως ἀπογραψαμένου. ἐν ᾧ καὶ περὶ τῆς ὑπὸ Βαρδάνου τοῦ τυράννου καὶ παράφρονος, κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου πολεμησάντων.

Ο Αμαρτωλὸς ἐγὼ, καὶ πάντων ἐλάχιστος Αγγέλων ἀνάξιος διάκονος καὶ χαρτοφύλαξ τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, καὶ τοῦ Δαγοῦς πατριαρχικοῦ σεκρέτου πρωτονοτάριος καὶ καγκελλάριος δεύτερος, πρὸ τοῦ τῆς ξιάκοντα δύο μικρῷ πλέον ἢ ἔλασσον χρόνων, ἔτι νέαν ἄγων τὴν ἡλικίαν, ἐν τῷ τοῦ ἀναγνώστου βαθμῷ κατηξιωμένος ὢν καὶ ἀχρεῖος νοτάριος, καθυπέργησα τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ ἕκτῃ συνόδῳ, πᾶσι τοῖς ἐν αὐτῇ κεκινημένοις παρηκολουθηκὼς ἐφεξῆς, ἅμα Παύλῳ τῷ ἐν ἁγίοις ἀρχιεπισκόπῳ γνωμένῳ τῆς ἐνταῦθα καὶ πατριάρχῃ, ἐν λαϊκοῖς ἔτι τελοῦντι, καὶ βασιλικῷ ἀσεκρέτης τυγχάνοντι ἅμα καὶ ἑτέροις τισίν. ἅπαντας δὲ τοὺς ἐν αὐτῇ πεπραγμένων τοὺς τόμους ἐν καθαρῷ δι' ἐκκλησιαστικῶν γραμμάτων οἰκείᾳ ἔγραψα χειρί. οἵτινες καὶ ἐν τῷ βασιλικῷ παλατίῳ σφραγισθέντες κατησφαλίσθησαν καὶ ἀπεκείντο, σὺν καὶ τῷ ἐκφωνηθέντι ἐνυπογράφῳ τῆς πίστεως ὅρῳ ὑπὸ τῆς αὐτῆς ἁγίας συνόδου. ἀλλὰ μὴν καὶ τοὺς ἐκδοθέντας τοῖς πάντε πατριαρχικοῖς θρόνοις ἰσοτύπως ἐνυπογράφους τοῦ αὐτοῦ ὅρου τόμους, κατὰ τὸν ὅμοιον τρόπον ἔγραψα, κελευσθεὶς ὕστερον παρὰ τοῦ ἐν ἁγίοις τῇ μνήμῃ Κωνσταντίνου τοῦ βασιλέως, τοῦτο προσάξαντος ὕστερον γενέσθαι,

διὰ

διὰ τὸ ἀνεπιβούλευτον τῆς ὀρθοδοξίας, ἀνόθευτόν τε καὶ γνήσιον. τοῦ δὲ φιλανθρώπου καὶ μόνου ἀγαθοῦ, καὶ ἐλεήμονος Θεοῦ σπλαγνισθέντος ἐπ' ἐμοὶ τῷ εὐτελεῖ καὶ ἀχρείῳ, καὶ τὸ ζῆν χαρισαμένου, καὶ συγχωρήσαντος μέχρι καὶ νῦν, εἰκότως καὶ τὴν παροῦσαν βίβλον ἰδιοχείρως γράψαι προεθυμήθην τε καὶ συνεῖδον, καὶ μάλιστα διὰ τὸν ἑξῆς λεχθησόμενον τρόπον. Τῆς εἰρήνης τῆς Θεοῦ ἐκκλησιῶν καὶ ὁμονοίας αὐτῆς, καὶ τῆς οἰκουμενικῆς καταστάσεως ἐν τοῖς τοσούτοις χρόνοις ἐπικρατούσης, καὶ μηδεμιᾶς ἐν αὐταῖς ἀναφανείσης ἀντιλογίας καὶ ἔριδος, ἢ διχονοίας, καὶ ἀντιστάσεως, τοῦτο βλέπειν μὴ φέρων ὁ πονηρὸς καὶ ἀρχέκακος δαίμων διάβολος, πρόφασιν ἐμηχανήσατο καὶ ἐξηῦρεν ἀξίαν τῆς οἰκείας αὐτοῦ κακοβουλίας τε καὶ σκαιότητος.

Τῶν γὰρ ἐξ ἡμετέρων ἁμαρτιῶν ἐπισυμβάντων ἐν τοῖς προλαβοῦσιν ἔμπροσθεν χρόνοις δεινῶν καὶ ἀλλεπαλλήλως κινουμένων πραγμάτων, οὐ μόνον ἐν τῷ κοινῷ τῆς Φιλοχρίστου πολιτείας μείωσιν καὶ κατάλυσιν μεγίστην ἐργασαμένων. ἀλλ' ἤδη καὶ εἰς αὐτὴν φθασάντων τῆς βασιλείας τὴν κορυφὴν, ὡς ταῖς ἐπισυχνοῦ τῆς ἐν αὐτῇ κρατούντων ὑπαλλαγαῖς ἐκ τυραννίδος ἐπαναστάσεσι, τέλειον τὰ κατ' αὐτὴν περιφρονηθῆναι, καὶ εἰς ἐξουδένωμα γενέσθαι. τῷ μάλιστα τὸν τοιαύτην βασιλείαν διαδεξάμενον μετὰ τελευτὴν τοῦ οἰκείου πατρὸς Κωνσταντίνου Ιουστινιανὸν, μὴ μόνον εἰς ἅπαξ διὰ τὴν κακίστην αὐτοῦ ἐξ ἀρχῆς καὶ μιαιφόνον προαίρεσιν, τῆς βασιλείας ἐκπεσεῖν καὶ ἀπορρίπτεσθαι, ἀλλὰ καὶ δὶς μετὰ Λεόντιον καὶ Τιβέριον τοὺς ἐν μέσῳ τῆς βασιλείας κρατήσαντας, τοῦτο ὑπομεμενηκότα, ἐν τῷ ἐσχάτῳ καὶ ὑπὸ τοῦ ξίφους, ἐν τῷ Δαματικῷ λεγομένῳ τόπῳ τῆς Βιθυνῶν ἐπαρχίας, καρατομηθῆναι. τοῦ ὑπ' αὐτοῦ ἐν διαφόροις ταξειδίοις ἀποσταλέντος διὰ θαλάσσης πλείστου στρατοῦ ἐπὶ τῇ καταστροφῇ καὶ ἁλώσει Χερσῶνος τῆς πόλεως, καὶ τοῦ ἐν αὐτῇ κατοικοῦντος λαοῦ κατασφαγῇ καὶ ἀφανισμῷ, ἐκεῖθεν ἐπαναστάντος αὐτῷ καὶ ἀνασοβήσαντος κατ' αὐτοῦ, καὶ φύρδην ἐνθέως ὡς ἔτυχε τινὸς ἐννόμου δωκιμασίας τε καὶ ψηφίσματος εἰς βασιλέα προστησαμένου καὶ ἀναγορεύσαντος, ἐξόριστον ἐκεῖσε τὸν τηνικαῦτα· διὰ πρόφασιν τυραννίδος γενόμενον Βαρδάνην τοὔνομα, υἱὸν γεγονότα Νικηφόρου τὸ γένος Περγαμηνοῦ τυγχάνοντα.

Ὅστις ἑαυτὸν Φιλιππικὸν τῷ δοκεῖν μετονομάσας, ἐκεῖθεν ἀπροσδοκήτως αἰφνίδιον ἐπιστὰς τῇ βασιλίδι ταύτῃ πόλει μετὰ πλοΐμου τῆς ἑπομένης αὐτῷ καὶ συντρεχούσης στρατιωτικῆς ἐνόπλου δυνάμεως τῆς αὐτὸν εἰς βασιλέα προστησαμένων, ἔμφυτον ἔκπαλαι κεκτημένος, οὐ μόνον ἐκ προλαβούσης γονικῆς, ὡς ἔλεγε, διδαχῆν τε καὶ παραδόσεως, ἀλλὰ καὶ διά τινος ἐπεισάκτου κακοδιδασκαλίας, τὴν ἐναντίαν ταύτης τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου παμβέβηλον αἵρεσιν, ὡς οἷα μαθητευθεὶς καὶ φοιτήσας παιδόθεν κατὰ καιροὺς Στεφάνῳ τῷ ἀββᾷ μαθητῇ Μακαρίου, εὐθὺ καὶ παραχρῆμα βασιλικῇ ἐξουσίᾳ καὶ αὐθεντίᾳ χρησάμενος, πρὸ τῆς οἰκείας εἰσόδου, τὴν μὲν ἀπὸ χρόνων ἤδη ἀνατεθεῖσαν εἰκόνα τῆς αὐτῆς ἁγίας ἕκτης συνόδου, πλησίον καὶ μεταξὺ τῆς τετάρτης καὶ ἕκτης σχολῆς ἐν τοῖς προαυλίοις τοῦ βασιλικοῦ παλατίου, κατενεχθῆναι προσέταξε· μὴ ἄλλως, φήσας, ἐν τοῖς οὐκ οὖσιν αὐτοῦ βασιλείοις, εἰσέρχεσθαι καταδέχεσθαι, πρὶν ἢ μὴ τοῦτο γενήσεται. θεσπίσας ἐξουσιαστικῶς καὶ τοῦτο, ὥστε τὴν προσηγορίαν Σεργίου τε καὶ Ονωρίου, καὶ τῆς λοιπῶν σὺν αὐτοῖς ὑπὸ τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἐκβληθέντων καὶ ἀναθεματισθέντων, ἐν τοῖς ἱεροῖς τῆς ἁγιωτάτων ἐκκλησιῶν διπτύχοις ἀνακηρύττεσθαι, καὶ τὰς αὐτῆς ἀνασηλοῦσθαι κατὰ τόπον εἰκόνας. μετὰ δὲ χρόνον βραχύτατον, εὑρηκὼς καὶ τοὺς εἰρημένους, καὶ ἐν τῷ βασιλικῷ παλατίῳ ἀποκειμένους ἰδιοχείρους μου τόμους τῆς πεπραγμένων τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τούτους ἐκβαλὼν καὶ δημοσιεύσας ἐπὶ σεκρέτου πυρὶ παρέδωκε καὶ ἠφάνισε, πλείστων εὐσεβῶν καὶ ὀρθοδόξων ἀνδρῶν διωγμὸν ποιησάμενος, καὶ τινὰς αὐτῆς παραπέμψας ἐν ἐξορίᾳ· καὶ μάλιστα, τοὺς μὴ ἑλομένους ἐν τῷ κατ' ἐπιταγὴν αὐτοῦ συνταγέντι καὶ ὑπαγορευθέντι, περὶ πίστεως δῆθεν καὶ ὡσανεὶ τόμῳ ἐπ' ἀθέτησει τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, καθυπογράψαι.

Τούτων δὲ οὕτως ὑπ' αὐτοῦ ἐπὶ δυετῆ χρόνον ἅμα τῆς συνεπομένων καὶ ὁμοφρονούντων τῇ ἐκείνου κακοδοξίᾳ τελουμένων βιαίως, θᾶττον αὐτὸν ἐπαξίως τῆς πραττομένων ἡ θεία δίκη μετῆλθε καὶ κατεστρέψατο· μάλιστα καὶ διὰ τὰς ἐξ αὐτοῦ γινομένας μετὰ πάσης ἀναισχυντίας ἐπισυχνοῦ ἐν τοῖς εὐαγέσι γυναικείοις μοναστηρίοις, καὶ ἑτέροις τῆς καθυπουργούντων αὐτῷ προσωπων ἀθεμίτους ἐγχειρήσεις καὶ αἰσχρευργίας, πλεῖστον ἐπὶ τούτοις καὶ ἄφατον σκορπισμόν τε καὶ μείωσιν τῶν ἐπισυναχθέντων ὑπὸ Ιουστινιανοῦ, καὶ ἀποκειμένων ἐν τῷ παλατίῳ χρημάτων ποιήσαντος. κατὰ γὰρ τὴν ἡμέραν τοῦ σαββάτου τῆς ἁγίας Πεντηκοστῆς ἰνδικτιῶνος ιά. ἄφνω περὶ δειλινὴν ὄψιαν ἐπανάστασεως αὐτῷ γενομένης ἀπροσδοκήτως ἐκ τοῦ ἐπισορευθέντος ἐν τῇ Θρᾴκῃ στρατοῦ, διὰ τὴν προσεχῶς τότε, καὶ ἐξ αἰτίας αὐτοῦ καὶ παραβασείας τῶν συγκειμένων πάκτων, γεγονυῖαν ἔφοδον τοῦ Γειτνιάζοντος ἔθνους τῆς Οὐννογούρων Βουλγάρων, μετὰ πλείστης αἰχμαλωσίας τε καὶ σφαγῆς τῆς ἐν τῇ Θρᾴκῃ καταμενόντων Χριστιανῶν· συλληφθεὶς ὁ αὐτὸς μιξοβάρβαρος τύραννος, καὶ τῆς βασιλείας ἀπωσθεὶς καὶ ἐκβεβλημένος, πηροῦται παραχρῆμα τὰς ὄψεις, ἐν σκότει τὸ λοιπὸν τῆς ἑαυτοῦ ἀσυνέτου καρδίας τὸν χρόνον τῆς ἑαυτοῦ ζωῆς κατὰ τὸ ψαλμικὸν διαπορευόμενος λόγιον.

Ανακηρυττεθαι δὲ τῇ ἑξῆς κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἁγίας πεντηκοστῆς, τῇ ἐπιφοιτήσει καὶ χάριτι τῆς ἐπιδημίας τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, βασιλεὺς εὐσεβὴς καὶ ὀρθόδο-

ξος Φιλαρτέμιος τοὔνομα, ὁ καὶ μετακληθεὶς Ἀνασάσιος, τῆς τῶν ἀσηκρητίων σχολῆς πρότερον γενόμενος ἐναρίθμιος, ψήφῳ τινὶ καὶ δοκιμασίᾳ τῆς τε ἱερᾶς συγκλήτου, καὶ παντὸς τοῦ ἱερατικοῦ καταλόγου, τῶν τε ἐπιδημούντων φιλοχρίστων ἐκστρατευμάτων, καὶ τοῦ πολιτικοῦ δήμου παντὸς, ἀναγορευθεὶς πρῶτον ἐν τῇ ἁγιωτάτῃ τοῦ Θεοῦ καθολικῇ καὶ ἀποστολικῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ στεφθεὶς ὑπὸ τοῦ ἀρχιερέως καὶ πατριάρχου Ἰωάννου ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ θυσιαστηρίῳ, συνανακηρυχθείσης αὐτῷ καὶ συναναγορευθείσης ἀναφανδὸν, καὶ διαπρυσίως ὑπὸ πάντων τῶν ἐπιδημούντων ὁσιωτάτων ἀρχιερέων, καὶ τοῦ εὐαγοῦς κλήρου, τῆς εἰρημένης ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τῆς εἰρήνης καὶ ὁμονοίας τῶν ἁπανταχοῦ τοῦ Θεοῦ ἁγιωτάτων ἐκκλησιῶν φροντίδα καὶ πρόνοιαν μεγίστην ποιουμένων, οὕτω τε μετὰ βραχὺ συνευδοκήσαντος αὐτοῦ καὶ συνεπινεύσαντος παραυτίκα, καὶ πρόσφορα γεγόνασιν ἀκολούθως ἀπολογίας ἐχόμενα γράμματα ὑπὸ τοῦ τῶν ἐνταῦθα ἁγιωτάτου ἀρχιερέως Ἰωάννου πρὸς Κωνσταντῖνον τὸν ἁγιώτατον καὶ μακαριώτατον πάπαν τῆς πρεσβυτέρας Ῥώμης· ἅτινα καὶ μετὰ τῶν ἐξ ἔθους συνοδικῶν γραμμάτων ἐξαπεστάλησαν, τὴν πρέπουσαν καθηκόντως πληροφορίαν περὶ τῶν προγεγραμμένων ἁπάντων ἐμπεριέχοντα.

Ἐπειδὴ δὲ μετὰ τὴν κατένεξιν τῆς ἀνωτέρω δηλουμένης συνοδικῆς τελείας εἰκόνος, ὁ ταύτην ἀθέσμως προστάξας κατενεχθῆναι Βαρδάνης ὁ ἀλιτήριος καὶ παράφορος, ἐν τῇ οὕτῳ λεγομένῃ τοῦ Μηλίου καμέρᾳ, τὰς ἁγίας καὶ οἰκουμενικὰς πέντε συνόδους * καὶ μόνον, ἐπὶ τῆς εἰκόνος ἀναστηλωθῆναι προσέταξεν ἑαυτὸν ἐν τῷ μέσῳ ταύτης ἅμα τῷ Σεργίῳ στηλογραφήσας ὀρθόστατον, ἀναγκαίως πάνυ καὶ ἄγαν ἁρμοδίως, τῶν αὐτῶν δύο προσώπων ἐξ ἐκείνης κατενηνεγμένων· ἡ τῆς αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀναζωγράφησις, σὺν ταῖς ἄλλαις πέντε γεγένηται· κοινῆς ἑορτῆς καὶ εὐφροσύνης καὶ πνευματικῆς ἐν Χριστῷ ἀγαλλιάσεως παντὶ γεγονυίας τῷ τῆς ἁγίας ἐκκλησίας φιλοθέῳ πληρώματι, ἐπὶ τῇ καταστάσει καὶ εἰρήνῃ τῶν ἁγιωτάτων ἐκκλησιῶν.

Πρὸς μέντοι περισσοτέραν τῶν ὑπ' ἐμοῦ ἐνταῦθα προγεγραμμένων πίστωσιν καὶ ἀσφάλειαν, καὶ τῶν ἐντυγχάνειν μελλόντων φιλοπονώτερον τῇ παρούσῃ βίβλῳ πληροφορίαν τε καὶ βεβαίωσιν, τὸ ἰσότυπον ἀπαραλείπτως τῆς ἀνωτέρω δηλουμένης, καὶ πρὸς τὸν ἁγιώτατον πάπαν Ῥώμης Κωνσταντῖνον ἐκπεμφθείσης ἐπὶ τοῦ παρόντος ἐπιστολῆς παρὰ τοῦ ἁγιωτάτου τῶν ἐνταῦθα πατριάρχου Ἰωάννου, τῇ παρούσῃ βίβλῳ συνεῖδον καθυποτάξαι καὶ παρακαλῶν ἐξαιτῶ πάντας τοὺς ἐντυγχάνειν μέλλοντας ἐν αὐτῇ, τὸν μόνον εὐδιάλλακτον καὶ φιλάνθρωπον ἐξιλεοῦσθαι καὶ καθικετεύειν Θεόν. προτοτύπως μὲν, τὴν εἰρήνην καὶ ὁμόνοιαν τῶν ἁγίων αὐτοῦ ἐκκλησιῶν μέχρι τέλους φυλάττειν ἀκλόνητον καὶ παντίως ἀσάλευτον. οὕτω τε κἀμοὶ τῷ ἁμαρτωλῷ καὶ ἐλαχίστῳ καὶ πάσης ἀπολογίας ἐστερημένῳ ἱλασμόν τε καὶ ἄφεσιν τῶν πολλῶν ἀνεικάστων μου δωρηθῆναι παραπτωμάτων ἐν τῇ μεγάλῃ καὶ φοβερᾷ τῆς δευτέρας παρουσίας αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ ἡμέρᾳ, καὶ τῆς δικαίας τῶν ἑκάστῳ βεβιωμένων ἀνταποδόσεως.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ

Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Ἰωάννου, πρὸς Κωνσταντῖνον τὸν ἁγιώτατον πάπαν Ῥώμης, ἀπολογετικὴ ἕνεκεν τῶν ἐπὶ τῶν χρόνων τῆς τυραννίδος * Βάνδα κεκινημένων, κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου.

* Βαρδάνου

Τῷ τὰ πάντα ἁγιωτάτῳ καὶ μακαρίῳ ἀδελφῷ καὶ συλλειτουργῷ κυρῷ Κωνσταντίνῳ, Ἰωάννης ἐπίσκοπος ἐν κυρίῳ χαίρειν.

ἰδὲ Δοσίθ. βίβλ. 6. καν. 19. Παραγ. 3.

Ὁ Τῆς ἑαυτοῦ θεότητος καὶ δυνάμεως μήνυμα, τὴν ἐν τοῖς ὁρωμένοις μεγαλουργίαν τεκτηνάμενος Θεὸς, ἐξαιρέτως ἐν τῷ τιμιωτάτῳ τῆς αἰσθητῆς κτίσεως, τῷ ἡμετέρῳ φημὶ πλαστουργήματι, τὰ τῆς οἰκείας δόξης τε καὶ σοφίας ἐπεδείξατο. καθὸ δὴ καὶ τεθαυμαστῶσθαι ἐξ ἑαυτοῦ τὴν θείαν γνῶσιν ὁ προφήτης ἀνεβόησεν. αὐτὸς ὁ τῆς φύσεως ἡμῶν δημιουργός, τοῦ ὅλου σώματος προβεβλῆσθαι φιλοτεχνήσας τὴν κεφαλὴν, ἐν αὐτῇ τὰ καιριώτατα τῶν αἰσθητηρίων ἀποθέμενος, πᾶσαν ἐκεῖθεν τὴν τῶν λοιπῶν μελῶν κίνησιν καὶ ἀρτιότητα, γίνεσθαί τε καὶ συντηρεῖσθαι πεποίηκεν· κἂν τε τούτων προσπταῖσαι συμβαίῃ, ἢ ἄλλως πῶς κεκακῶσθαι, οὐκ ἀπροσποίητον τὴν τούτων ἐπιμέλειαν τίθεται· ἀλλὰ καὶ πρὸς τὰ τῶν μελῶν ἔσχατα τὴν φυσικὴν δεικνῦσα συμπάθειαν, διὰ τῆς τῶν χειρῶν ὑπουργίας, τῇ ὁδηγίᾳ τοῦ ὀφθαλμοῦ θεραπεύει τὸ πεπονηκὸς, οὐκ ἀτιμάζουσα καὶ ἀποπεμπομένη τὴν τούτων συνέργειαν ὡς ἄχρηστον. τούτοις δὴ τὰ κατὰ τὴν ὑμετέραν ἀποστολικὴν προεδρίαν ἔχομεν παραβάλλειν, ἁγιώτατοι, καὶ κεφαλὴν τῆς κατὰ Χριστὸν ἱερωσύνης κανονικῶς ὑμᾶς λογιζόμενοι, εἰκότως δι' ὑμῶν ἐπιζητοῦμεν τῆς ἐπισυμβάσης ἀθυμίας τῷ καθ' ἡμᾶς ἐκκλησιαστικῷ σώματι ἐκ τῆς λοιμώδους καὶ νοσοποιοῦ τῶν ψυχῶν τυραννικῆς ἐξουσίας, παραμυθίαν κομίσασθαι. πάντως γὰρ καὶ ὑμεῖς, τῷ τῆς κεφαλῆς ἰδιώματι, ἀβουλήτως νενοσηκότας ἡμᾶς οὐ περιόψεσθε, οὐδὲ τῆς ἑαυτῶν συμφυείας ἡμᾶς ἀποπέμψοισθε· ἀλλὰ μᾶλλον τοῖς τραύμασιν ἡμῶν ἐπιστυγνάζοντες· πάσχοντος γὰρ ἑνὸς μέλους, συμπάσχειν εἰκὸς πάντα τὰ μέλη, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν· νῦν τῇ πρὸς τὸ ὑγιὲς ἐπαναδρομῇ, καὶ πρὸς τὸ ἀρτίον ἀποκαταστάσει ἡμῶν, συγχαρήσεσθε δικαιότατα. καὶ μάλιστα, ὁπηνίκα τὸ ἀῤῥώστημα, οὐκ ἐκ τῆς αἰτίας τοῦ σώματος τὴν σύστασιν εἴληφεν, ἀλλ' ἔξωθεν βεβιασμένης καὶ ἀδοκήτου συμφορᾶς γέγονεν ἀπο-

Ψαλ. 128.

1. Κορίν. 2.

ἀποτέλεσμα· περὶ ἧς ἀναγκαίως ὑμῖν, ἀδελφοὶ θεοτίμητοι, τὸ παρὸν τῆς πληροφορίας ἀπεστείλαμεν γράμμα, οἷον ἀπογυμνοῦντες ὑμῖν δι' αὐτοῦ, καὶ δεικνύντες τὸ τῆς πληγῆς δυσαχθές. διὸ καὶ μέχρι τοῦ νῦν, πρὸς τὴν ὑμῶν ἁγιωσύνην τῷ συνήθει τῆς συνοδικῆς προσφωνήσεως καταντῆσαι διεκωλύθημεν τυραννικῶς κατεχόμενοι. οὐ γὰρ ἄλλως ἦν ἡμᾶς πρὸς ὑμᾶς γράφειν καθαρῶς τε καὶ ἀνεπιθολώτως ἐκτιθεμένους τῆς εὐσεβείας δόγματα. καταλαβὼν γὰρ τὴν θεοφύλακτον ταύτην πόλιν μετὰ τῆς ἔξωθεν δυναστείας· οὐ γὰρ ἂν φαίην ἀληθῶς βασιλείας· ὁ τὸ ἕλκος ἡμῖν ληστρικῶς, καὶ οἷον ἐξ ἐνέδρας ἐπαγαγὼν καθ' οὓς οἶδε λόγους κυβερνητικὴ πρόνοια τῶν ἁπάντων. καὶ γὰρ οὐχ ἡμῶν ἐστι τῶν θείων κριμάτων τὸν βυθὸν ἐρευνᾶν. θεμέλιον καὶ ὑπόβαθρον τοῦ κράτους, τὸ βίαιον καὶ οὐκ ἔννομον προβαλλόμενος· καθεῖλε μὲν, καὶ πρὸ τῆς ἑαυτοῦ εἰσόδου τὴν ἀνατεθεῖσαν ἐν τοῖς προαυλίοις τῶν βασιλικῶν εἰκόνα τῆς ἁγίας ἕκτης συνόδου.

Ἐγκαταστῆσαι δὲ βουληθεὶς εἰς τὸν τῆς ἀρχιερωσύνης θρόνον, ἄνδρα οὐκ ἐκ τοῦ ἐκκλησιαστικοῦ ἡμῶν συλλόγου τυγχάνοντα· τῆς δὲ οἰκείας ἐνδιαστρόφου γνώμης ὁμόφρονα· ὅμως τῇ τοῦ καθ' ἡμᾶς εὐαγοῦς κλήρου ὁρμῇ καὶ ἐνστάσει βιασθεὶς, προήγαγεν ἡμᾶς οὐ προσδοκῶντας, οὐ βουλομένους, οὐκ ἀπαθῶς τε καὶ ἀβαρῶς καὶ δίχα παντὸς ὀδυρμοῦ τὸ τοιοῦτον ὑπομείναντας, πρὸς τὴν τῆς ἀρχιερωσύνης ἤχθημεν ἀξίαν καὶ κορυφήν· τίς γὰρ ἀναπείρως ἔχων πάντῃ τοῦ πλέειν τὴν θάλασσαν, νηὸς ἐπιβαίνῃ, καὶ πόρθμον διαπεραιοῦσθαι ἀνάσχοιτο; πολὺ γὰρ εἰπεῖν, τὴν διὰ μακροῦ πελάγους στέλλεσθαι ἀποδημίαν· αὐτὸς μέλλων μόνος τῆς ὁλκάδος ἐγχειρισθῆναι τοὺς οἴακας, ἑαυτοῦ τε καὶ τῶν συμπλεόντων ἀναδεχομένος τὴν κυβέρνησιν. ὅπερ καὶ ἐφ' ἡμῖν πᾶς τις καθορῶν. οὐ γὰρ τῶν ἐν ἱεράρχαις πρεπωδεστάτων καὶ ἁρμοδίων ἐν μελέτῃ ἦμεν ποτέ. ἢ τὸ περιφανὲς ἐν ταῖς ἐκκλησιαστικαῖς κεκτημένοι ἀξίαις, μονῇ τῇ ὑπηρεσίᾳ τῶν μυστηρίων ἀδιαλειπτῶς σχολάζοντες. οὐκ ἄπιστον ἡγήσεται τὸ περὶ τούτου τῆς ἡμετέρας γνώμης ἀθέλητον, αὐτὸ τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅπερ καύχημα ἑαυτοῦ ὁ θεῖος ἀπόστολος διωρίσατο, προβαλλομένων ἡμῶν εἰς παράστασιν ἀληθείας τῶν ἐξ ἡμῶν λεγομένων· οὗτος τοίνυν ὁ κόσμον οἰκεῖον τὴν ἀκοσμίαν τῆς ἐκκλησίας τιθέμενος, ὤδινε μὲν καὶ ἐσπούδαζε τῆς ἀσεβείας ἀποκυῆσαι τὸν βασιλίσκον τὸ τοῦ ἀρχεκάκου ὄφεως γένημα· ὥστε δημοσία ἐπ' ἐκκλησίαις καὶ ἐν ταῖς ὁμολογίαις τῶν ἐπισκόπων, ἀναθέματι ὑποβάλλεσθαι τὴν εἰρημένην ἁγίαν ἕκτην σύνοδον, καὶ τοὺς τοῦ καθ' ὑμᾶς ἀποστολικοῦ καὶ σεβασμίου θρόνου προπατέρας, ὅσοι τὸ εὐαγὲς τῆς ἀληθείας διεπρέσβευσαν δόγμα· κοινῇ δὲ συνομολογεῖσθαι λέξεσιν ἀπεμφαινούσαις, καὶ μηδεμίαν ἐχούσαις συγγένειαν πρὸς τὰς γνωριστικὰς τῆς τελειότητος τοῦ κατὰ Χριστὸν μυστηρίου ἐννοίας. αὐτὸ δὴ τὸ θεῖον τῆς ἐνανθρωπήσεως τοῦ λόγου μυστήριον. ὡς οὐ πόρρω τυγχάνειν, μᾶλλον δὲ ἤδη τινὰς καὶ ὑπ' ὀδόντας γρύζειν, τοῦ καὶ αὐτὴν τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον ἀθετεῖσθαι, ὡς ἐκείνῃ συνηρτημένης κατὰ τὴν τῶν δογμάτων οἰκειότητα, καὶ οἷον εἰπεῖν, αὐτὴν ἐχούσης ῥίζαν τε καὶ βεβαίωσιν τῆς εἰρημένης ἁγίας ἕκτης συνόδου.

1. Κορ. 1.

Ἐῶ γὰρ λέγειν ὅσας ἡμῖν ὀχλήσεις ὡς ἐπὶ τῆς ἀληθείας προσήγαγε, πρὸς τὸ γράμμασιν ἡμᾶς χρήσασθαι κατὰ τὸν τῆς ἐκείνου παροινίας σκοπὸν, πρὸς τὴν ὑμετέραν ἀδελφικὴν μακαριότητα· πρὸς ταῦτα, ὅπως ἡμεῖς τῷ κατ' οἰκονομίαν ἐχρησάμεθα λόγῳ, ὥστε διακρούσασθαι μὲν τὴν τυραννικὴν καὶ ἀνένδοτον ἔνστασιν πρὸς τὸ μετριώτερον δὲ, τὰ τῆς ἀτοπίας συστεῖλαι, τὴν ὡς ἐν κακοῖς διαφορὰν εἰδότες οὐ πάντη ἀπόβλητον, ὅτε μὴ αὐτὸ τὸ καλὸν καθαρῶς κατὰ πρώτην ἔνεστι τάξιν κρατεῖν, αὕτη ἡμῖν μαρτυρήσει ἡ τῶν ἐν καρδίᾳ βουλευμάτων ἔφορος δύναμις· καὶ ἐν ἀνθρώποις δὲ, ὁ τῆς καθ' ὑμᾶς ἱερωτάτης καθέδρας ἐνδημῶν ἐνταῦθα θεοφιλὴς ἀποκρισιάριος, ὃν ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ καιροῦ, ἐνομώτως μετὰ τῆς ἀληθείας ἐπληροφορήσαμεν, καθαρὰν αὐτῷ τὴν ἐνυπάρχουσαν ἡμῖν περὶ τὴν ὀρθόδοξον διάθεσιν φανερώσαντες. οἴδατε γὰρ καὶ ὑμεῖς τῇ πείρᾳ σαφῶς μεμαθηκότες, ἁγιώτατοι, ὡς οὐ λίαν * ἀντιτόπως καὶ σκληρῶς ἔχειν πρὸς τὴν τῆς ἐξουσίας ἀνάγκην ἐν τοῖς τοιούτοις, ἄνευ τινὸς τέχνης καὶ περινοίας καθέστηκεν εὐμαρές. ἐπεὶ καὶ Νάθαν ὁ προφήτης, οὐκ ἀπερικάλυπτον τὸν ἔλεγχον τὸν περὶ τῆς μοιχείας τε καὶ τοῦ φόνου προσήγαγε τῷ Δαβίδ. καίτοι καὶ αὐτοῦ τοῦ Δαβὶδ προφητικῷ τετιμημένου χαρίσματι. κατὰ τοῦτο καὶ ἡμεῖς, ὅπερ φησὶν ὁ μέγας Βασίλειος, ἐνδιδοναι μικρὸν τῷ ἤθει τοῦ ἀνδρὸς κατεδεξάμεθα, ὥστε τὴν ἐν τοῖς καιρίοις τῆς πίστεως ὁμολογίαν, εἰ καὶ μὴ λέξεσιν, ἀλλά γε ταῖς ἐννοίαις φυλάττεσθαι ἀπαράβατον. οὐ γὰρ ἐν λέξεσιν ἡμῖν, ἀλλ' ἐν πράγμασιν ἡ ἀλήθεια, ὁ θεῖος Γρηγόριος βοᾷ· καὶ πάλιν, ἱκανῶς ἄτοπον καὶ λίαν αἰσχρὸν διορίζεται, τὸ περὶ τὸν ἦχον σμικρολογεῖσθαι· καὶ ὁ ἀποστολικὸς Διονύσιος ὁ Ἀρεοπαγίτης, ἄλογον ὁμοῦ καὶ σκαιὸν ἀποφαίνεται, τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ ταῦτα οὐκ ἔστι τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον, φησὶν, ἀλλὰ τῶν ἤχους ψιλοὺς καταδεχομένων, καὶ τούτους ἄχρι τῶν ὤτων ἀδιαβάτους ἔξωθεν συνεχόντων, καὶ οὐκ ἐθελόντων εἰδέναι, τί μὲν ἡ τοιάδε λέξις σημαίνει· πῶς δὲ ταύτην χρὴ, καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντικωτέρων λέξεων διασαφῆσαι. ταῦτα δὲ λέγομεν, οὐχ ὡς ἀναστρέπειν βουλόμενοι τὰς ἤδη συνοδικῶς ὁρισθείσας φωνὰς, καὶ πρὸ πάσης τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐπὶ συχνὸν οὕτως ὁμολογηθείσας τὸν χρόνον· τουτέστι, τὸ λέγειν ἐπὶ τοῦ κατὰ Χριστὸν τῆς σαρκώσεως μυστηρίου, κατὰ τὴν εὐσεβῆ τε καὶ τοῖς ἁγίοις πατράσι γνώριμον ἔννοιαν, δύο φυσικὰ θελήματα, καὶ δύο φοσικὰς ἐνεργείας·

2. Βασιλ. 22

ἀλλὰ

ἀλλὰ πρὸς μόνην ὁρῶντες τὴν τυράννου τιὼ πεισ-
Γαλ. 5. μονὴν, ὡς ὁ ἀπόστολος ὀνομάζει, καὶ τὸ ταύ-
την δι' ἐπινοίας εἰς τὸ ἐναντίον περιβαπίζαι,
ὥστε μὴ ἀλλόκοτα δόγματα ἀναφανδὸν ἐπεισα-
χθῆναι τῇ ἐκκλησίᾳ, καὶ τέλεον ὀλισθῆναι
καὶ τὰ καλῶς πεπηγότα καὶ ἀκράδαντα μένοντα
περὶ τὸ προκείμενον τῆς εὐσεβείας θεσπίσμα-
τα· καὶ ἅμα μέγα τιθέμενοι, τὸ καὶ παρὰ τῶν
πολεμίων τῆς διονομαθείσης ἁγίας συνόδου,
τιμὴ κατ' ἔννοιαν αὐτῆς ὁμολογεῖσθαι διδασκα-
λίαν. ὅθεν μὴ ἀναβοπιῶ, ἀλλὰ βεβαίωσιν
μᾶλλον ἐκείνης σαφῶς ἀποδείκνυσθαι παράγε
τοῖς ὑγιείσι καὶ ἀπροσκλινεῖ τῆς τῶν προαγ-
μάτων καταινοήσεως ὀφθαλμῷ τὰ τοιαῦτα εἰδό-
σι σκοπεῖν, αὐτὰ δὴ τὰ κατὰ τῆς συνόδου τῷ
τυράννῳ κεκινωρημένα· τὸ γὰρ θελητικόν τε καὶ
ἐνεργητικὸν καθ' ἑκατέραν φύσιν λέγειν τὸν Χρι-
στὸν, ὅδε ἕτερόν ἐστι, ἢ δύο φυσικὰ θελήμα-
τα, καὶ δύο φυσικὰς ἐνεργείας, νοεῖν. κατὰ
ταύτην γὰρ ῥητῶς τιὼ διάνοιαν τὰς τοιαύτας νοεῖ-
σθαι φωνὰς, ἐν τῷ ἐκφωνηθέντι παραὐτῆς ὅ-
ρῳ προεθέσπισεν, ἡ ἐν τῇ καθ' ὑμᾶς μεγα-
λοπόλει Ῥώμῃ συναχθεῖσα συνόδος ἱερὰ ἐ-
πὶ τῇ τῆς σεβασμίας μνήμης Μαρτίνου, τῇ
τῆς ὑμετέρας προεδρίσαντος ἐκκλησίας· ὡς ἐ-
κεῖνα σαφῶς καὶ ἐπὶ ἡμῶν τῶν ἁμαρτωλῶν καὶ
ἐλαχίστων, τιὼ τῇ Θεῇ σοφίαν οἰκονομῆσαι,
τῇ δρασσομένῃ τῶν σοφῶν ἐν τῇ πανουργίᾳ
αὐτῶν, ἅπερ ὁ θεολόγος Γρηγόριος ἐν τῷ
εἰς τὸν μέγαν Βασίλειον τίθησιν ἐπιταφίῳ λό-
γῳ, ἔνθα ἐκεῖνον εἰσάγει συμβάλλῳ τῷ θείῳ
Ψαλ. ΡΙΒ. Δαβὶδ κεχρημένον καὶ οἰκονομοῦντα τοὺς λόγους
αὐτῷ ἐν χρίσει· παρησυχάσαι μὲν τιὼ κυρίαν
ἐπὶ τῷ ἁγίῳ πνεύματος φωνιὼ, ἑτέραις δὲ φω-
ναῖς ταυτὸν δυναμέναις τὸ εὐσεβὲς κρατύνειν τῆς
πίστεως κήρυγμα· καίτοι τὸ διάφορον ὅσον ἑκα-
τέρας ὑποθέσεως, τῆς τε περὶ αὐτιὼ φημὶ τιὼ
τῆς θεότητος πίστιν τε καὶ ὁμολογίαν, καὶ τῶν
περὶ τῆς θείας σαρκώσεως, ὡς ὁ αὐτὸς ἐν ἁ-
γίοις θεολόγος Γρηγόριος, φροντισμάτων,
ὅσα ἡ λεπτομερὴς ἀναγκαίως ἐπιζητεῖ θεωρία
πρὸς ἔνδειξιν τῆς καθ' ἑκατέραν φύσιν τελειό-
τητος, ὅσα ἂν οἶμαι ἀγνοεῖν ἔχ ὡς τῶν
περὶ τῆς θείας φύσεως, ἤγουν τῆς ζωοποιοῦ
Τριάδος λόγων τε καὶ δογμάτων, μᾶλλον τὸ προσ-
κύμβουν ἐχόντων, ὑπερανεσηκότε καὶ προτιμότε-
ρον· ὕτω γὰρ καὶ τὰ κατ' Εὐνομιανῶν περὶ θεο-
λογίας λόγῳ εἰρημένα τῷ αὐτῷ σοφῷ θεολό-
γῳ ἐκδεξόμεθα, ἐν οἷς τοιάδε φησί· φιλοσό-
φει μοι περὶ κόσμου, περὶ ὕλης, περὶ ψυχῆς,
περὶ λογικῶν φύσεων βελτιόνων τε καὶ χειρόνων,
περὶ ἀναστάσεως, κρίσεως, ἀνταποδόσεως, Χρι-
στοῦ παθημάτων· ἐν τούτοις γὰρ, καὶ τὸ ἐπιτυ-
χάνειν, ἔχ ἅχρηστον· καὶ τὸ ἁμαρτάνειν, ἀκίνδυ-
νον. ἔχ ἁπλῶς γὰρ ταῦτα καὶ ἀπολύτως τέθει-
κεν ὁ διδάσκαλος, ἀλλὰ τῷ κατὰ ἀντιπαρά-
θεσιν λόγῳ, πρὸς τὰ περὶ τῆς θείας Τριάδος
λεγόμενά τε, καὶ δογματιζόμενα. κατὰ τοῦτον δὴ
τὸν τῆς οἰκονομικῆς καὶ κατὰ περίστασιν συμβά-
σεως τρόπον, καὶ τὰ λοιπὰ τῇ Γεγραμμένων προελ-
θεῖν πειθόμενοι, ἁγιώτατοι, μὴ ἀσύγνωστον ἡμῖν
τὸ ἐπὶ τούτοις ἔγκλημα προσαγαγεῖν καταδέξη-
σθαι· ἀλλὰ κἂν τί τῆς ἀκριβείας ἡμῖν ἡμαρτῆσθαι
δοκοῦντι, τῇ παραθέσει τῆς ἐκτῆς ἁγίων πατέρ-
ων οἰκονομικῶς προελθόντων, ἀπολυέσθω ἀνέγ-
κλητον, καὶ πάσης ἐλεύθερον κατακρίσεως. ἐπεὶ καὶ
Κύριλλος ὁ σοφώτατος, μὴ ῥητῶς ἀποκηρύττεσθαι
τὸν Μοψουεστίας Θεόδωρον παρεγγυᾷ δι' οἰκονομίαν,
χαιρόμενος τοῖς ἔτι ἀθρόον ἐσπερον περὶ τοῦτο δυσ-
κεμμένοις, καίτοι ἀρχηγὸν καὶ πατέρα τῆς Νεστορίου
κακοδοξίας ἐκεῖνον εἰδώς. καὶ τοῦτο δηλοῖ τὰ περὶ
τούτου γραφόμενα παρ' αὐτοῦ πρὸς τὸν ἐν ἁγίοις
Πρόκλον, τὸν τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλη-
σίας προεδρεύσαντα. καὶ ὁ μὲν ἀνωτέρω δηλω-
θεὶς τῆς πίστεως τύραννος, κεκαυτηριασμένος
ἔχων τιὼ ἰδίαν συνείδησιν, καθὼς φησιν ὁ ἱε-
ρώτατος Παῦλος. κατακαῦσαι τετόλμηκε τὰς
τόμους τῆς πεπραγμένων τῆς διονομαθείσης ἁ-
γίας ἕκτης συνόδου, τὰς ἐν τῷ παλατίῳ ἀπο-
κειμένας, οἰόμενος, κατάγε τὸ αὐτοῦ δοκεῖν,
συνεξαφανίζειν τούτοις τῆς ἀληθείας τὸν λόγον
ἡμεῖς δὲ τοῦτο εἰάσαντες τῇ ἑαυτοῦ ἀναπαύσθαι
οἰήσει. καὶ ὡς ἐπὶ μεγάλῳ τινὶ κατορθώματι
τῇ οἰκείᾳ συγκαυχᾶσθαι αἰσχύνῃ, ἐπιμελῶς
παρεφυλάξαμεν τὰς παρ' ἡμῖν ἀποκειμένας τῆς
πεπραγμένων τόμους τῆς διονομαθείσης ἁγίας
ἕκτης συνόδου, ἐν οἷς καὶ αἱ τῆς συνελθόντων
ἁπάντων ἐπισκόπων ἐν τῇ τοιαύτῃ ἁγίᾳ συνό-
δῳ ὑπογραφαὶ μετὰ τῆς βασιλικῆς ὑποσημειώ-
σεως ἐν τῷ παραὐτῆς ἐκτεθέντι ὅρῳ ἐμφέρων-
ται. καὶ ἕτερος δὲ, ἐν τῷ καθ' ἡμᾶς χρόνῳ,
τὸ ἀδιάπτωτα φυλαχθῆναι τὰ πεπραγμένα τῆς
αὐτῆς ἁγίας συνόδου φιλοπονώτερον διεσπούδα-
σεν, καθὸ καὶ βιβλίον ἰδιόγραφον Παύλου τοῦ
τῆς ἁγίας μνήμης προέδρου γεγονότος τῆς
καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας, χάριτι Θεοῦ
σώζεται παρ' ἡμῖν, ὃς ἀσεκρήτις ὑπάρχων, ἐν
τῇ τοιαύτῃ συνόδῳ καθυπέρθυσεν. ὡς ἐκ τού-
του τὸ ἀσφαλὲς καὶ ἐν τοῖς μετὰ ταῦτα τῇ τοῦ
Θεοῦ ἐκκλησίᾳ προσεῖναι, τὸ μήτινα τῆς πάν-
των κακονοίᾳ τινὶ, οἷα πολλὰ ἡμινοτομεῖν εἴω-
θεν ἐν τοῖς ἀνθρώποις ὁ χρόνος, ὑπονοη-
θῆναι ἀποτολμᾶν τὰ, ὡς προλέλεκται, συνε-
χῶς πεπραγμένα τῆς ἁγίας ἕκτης συνόδου, ἢ
κακοβόπως ἑτέροις τὰ τοιαῦτα ἐπιφημίζειν δύ-
νασθαι. τὸ γὰρ ἀπαράγραπτόν τε καὶ γνήσιον τῆς
ἀληθείας, καὶ ἐκ τοῦ τοιούτου βιβλίου πᾶσι δει-
χθήσεται φανερώτερον. ἐπειδὴ ὁ ἀληθὴς ἡμῶν
ἐπίσκοπος καὶ σωτὴρ ὁ κύριος Ἰησοῦς Χριστὸς
ἐπὶ πολὺ τῇ ἐν τούτοις ἀνοχῇ ὑπνῶν ἔκ λυέ-
χεται· διανασὰς, τῇ οἰκείᾳ ἀγαθότητι καὶ δυ-
νάμει, ἐπετίμησε καὶ νεῷ τῷ κλύδωνι, ἐ τοῦ ὕ-
δατος, ἀλλὰ τοῦ ἀθέσμου ἐγχειρήματος· καὶ
τὸν μὲν χειμῶνα τῆς τῆς ἐκκλησιῶν ζάλης κα-
τέπαυσε. ἐδωρήσατο δὲ ἡμῖν τιὼ μεγάλιω τῆς
προαγμάτων Γαλιλαίᾳ, εὐσεβῆ βασιλέα καὶ κα-
τὰ πάντα ἐνάρετον, ἐφαμιλλόν τε καὶ ἄξιον τοῦ
ὕψους τῆς βασιλείας, κεκτημένον τῆς ὀρθοδο-
ξίας τὸν ζῆλον, καὶ τῆς τρόπων τὸ κόσμιον,
φερωνύμως ἀνασήσαντα ἡμῖν τιὼ ἐκκλησιαστικὴν

εἰρή-

εἰρήνην τε καὶ ὁμόνοιαν· πεποίθαμεν δὲ τῷ ταύτην ἡμῖν χαρισαμένῳ, ὅτι καὶ τῆς τῆς πολιτείας πραγμάτων τὴν ἀνέγερσιν ἡμῖν ἐπωνυμικῶς προοιμιάζεται.

Ὑμεῖς οὖν, ὦ ἱερὰ κεφαλὴ, τῇ ἐν ὑμῖν διορατικωτάτῳ δυνάμει τοῦ πνεύματος, τὴν χεῖρα τῆς εὐμενοῦς ἡμῖν ἐκτείνοντες ἐπικλήσεως πραείᾳ ἐπαφῇ ἀμοιβαίων γραμμάτων κατὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν, ἤγουν τῇ τῆς ἀντισυνοδικῶν ἀποστολῇ, τὸ τῆς ἀγάπης προσάγοντες φάρμακον, τὸ λυποῦν ἐν ἡμῖν καὶ ὑποσφύζον, θεραπεῦσαι σπουδάσατε. οὐ γάρ ἐστι ποτὲ ἄνεσις τῇ ψυχῇ, ἢ τοῖς ὀφθαλμοῖς ἐπιβήσεται ὕπνος, καὶ ἀνάπαυσις τοῖς κροτάφοις, ἢ τοῖς βλεφάροις ἡμῶν νυσταγμὸς, ἕως ἂν τὴν καθόλου θεασώμεθα τοῦ Θεοῦ ἐκκλησίαν, τὴν ἑνότητα τοῦ πνεύματος καὶ αὖθις ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης διασώζουσαν. καὶ γὰρ ἐκείνου ὄντες μαθηταὶ καὶ διάδοχοι, τοῦ παρὰ τοῦ κυρίου ἀκούσαντος, Σίμων, Σίμων· ἰδοὺ ὁ σατανᾶς ἐξη-
Λουκ. 22. τήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περί σου, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας, στήριξον τοὺς ἀδελφούς σου· ὀφειλέται ἔστε, θεοτίμητοι, τὰ μὲν, τοῦ πρὸς ἐπανόρθωσιν στηριγμοῦ ἐπάγειν ἐπιμελῶς· τὰ δὲ, τῆς συμπαθοῦς γνώμης προχειρότερον μᾶλλον χαρίζεσθαι. ἐπεὶ καὶ τὸν κορυφαῖον αὐτὸν, ἐκ τοῦ καθ' ἑαυτὸν προτρέπει ὁ κύριος, συνειδέναι μὲν τῆς σαρκὸς τὴν ἀσθένειαν· τοὺς δὲ κατ' ἐπήρειαν τῆς ἐκτὸς, ὀλίσθου τροπὴν ὑπομείναντας, καθὸ δὴ πέπονθεν καὶ αὐτὸς ἐν τῷ τοῦ σωτηρίου πάθους καιρῷ, μὴ ἀποστερῆσθαι τῆς κατ' ἐπανόρθωσιν πρὸς τὴν προτέραν ἀπάθειαν ἀποκαταστάσεως.

Καὶ τοῦτο δὲ, τὴν ἱερὰν ὑμῶν μνήμην μὴ διαφευγέτω, ὥστινες τῆς καθελόντων τὸν ἀσεβῆ Εὐτυχέα ἐπὶ τοῦ τῆς ἁγίας μνήμης Φλαυιανοῦ, ἐν τῇ μετὰ ταῦτα ἐπὶ Διοσκόρου ἐν Ἐφέσῳ συνόδῳ, τὸν ἐνδίκως κατακριθέντα δικαιώσαντες, τὴν ἀδικωτάτην ἐπήρτησαν Φλαυιανῷ τῷ μακαριωτάτῳ κατάκρισιν· καὶ ὅμως ἐν τῇ κατὰ Χαλκηδόνα ἁγίᾳ συνόδῳ ἤρκεσε τούτοις πρὸς τελείαν ἀποτροπὴν τοῦ ἐγκλήματος ἡ τῆς ὑγιοῦς ὁμολογίας σύνθεσις. καὶ οὐ πολλῶν περὶ τούτου ἐδέησαν πόνων καὶ λόγων. οἶδε γὰρ ἀδελφικὴ στοργὴ, μὴ ἐπιπολὺ ἀναβάλλεσθαι τὸ πρὸς τοῦ πέλας προσηνὲς καὶ μειλίχιον. ταῦτα γὰρ τοῖς ἐν αὐτῇ τῇ ἐν Χαλκηδόνι συνειλεγμένοις πατράσι Λέων ὁ ἁγιώτατος διεστείλατο, ὁ τῆς καθ' ὑμᾶς ἀποστολικῆς καθέδρας, μᾶλλον δὲ τῆς οἰκουμένης ἁπάσης φανώτατος λαμπτήρ, τοιάδε γεγραφώς· ἀλλ' ἐπεὶ πολλὰ συμβαίνει πολλάκις τὰ δυνάμενα μετάνοιαν ἐμποιεῖν, καὶ ὁ ἔλεος τοῦ Θεοῦ νικᾷ τῆς ἁμαρτανόντων τὰ πλημμελήματα, διὰ τοῦτο τὰ τῆς τιμωρίας ἐν ἀναρτίσει καθίσταται, ὅπως ἂν χώραν ἔχειν ἡ διόρθωσις δυνηθείη· ἔτι μὴν καὶ Πουλχερία τῇ τῆς εὐσεβοῦς λήξεως γράφων ἐν ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, τὴν θεοφιλῆ τῆς ὑμετέρας φιλανθρωπίας φροντίδα, ἣν τῇ καθολικῇ πίστει ἀδιάλειπτον ἀπονέμετε, τοιάδε φησὶν ὁ ἀρχικώτατος τοῦ Λέοντος νοῦς· δαθάπερ γὰρ ἐξ ἀρχῆς ταύτης τῆς ὑποθέσεως συχνώτατα γέγραφα, ταύτην μεταξὺ τῆς τε διχονοουσῶν διανοιῶν, καὶ τῆς σαρκικῶν ζηλοτυπιῶν τὴν ἐπιείκειαν βούλομαι φυλαχθῆναι· ὥστε τῇ μὲν τελειότητι τῆς πίστεως μηδὲν ἐξεῖναι προστεθεῖναι, μήτε μὴν ἀφαιρεθῆναι, τοῖς δὲ πρὸς τὴν ἑνότητα καὶ τὴν εἰρήνην ἐπανιοῦσι, τὸ τῆς συγγώμης ἴαμα παρασχεθῆναι, ἐπειδὴ τότε τὰ ἔργα τοῦ διαβόλου δυνατώτερον καθαιροῦνται, ὅταν πρὸς τὴν τοῦ Θεοῦ καὶ τοῦ πλησίον ἀγάπην, αἱ τῆς ἀνθρώπων ἀνακαλῶνται καρδίαι.

Αὐτὸ δὲ τοῦτο πολὺ πρότερον καὶ Κύριλλος ὁ ἀκριβὴς περὶ τὰ θεῖα πεποιηκέναι εὑρίσκεται ἐπὶ τῇ τῆς ἀνατολικῶν ἐπισκόπων πρὸς αὐτὸν διενέξει τε καὶ ἀντιστάσει. ἀπολύειν γὰρ κατακρίσεως ἐκεῖνοι βουλόμενοι τὸν Νεστόριον, καὶ τὴν ἐπ' αὐτῷ ψῆφον ἀκυροῦν σπεύδοντες, οὐ φορητὰ τετολμήκασιν, ἀλλὰ μέγιστον εἰργάσαντο πλημμέλημα. αὐτὸν γὰρ τὸν μακάριον Κύριλλον, καὶ τὴν κατ' αὐτὸν ἀνεθεμάτισαν σύνοδον· ἀλλὰ κἀκεῖνος ταχεῖαν καὶ οὐκ ἐργώδη προσηγάγετο τὴν ἀνάκτησιν· αὐτὸ μόνον τὸ συνθέσθαι αὐτοὺς τοῖς συνοδικῶς δεδεγμένοις, καὶ εὐσεβῶς διορισθεῖσι, καὶ τοῦ ἀσεβοῦς κυρῶσαι τὴν καταδίκην, ἐκείνας ἐπὶ τούτοις τὰς πάσης περιχαρείας ἐπιμέστους φωνὰς ἐκβοήσαντος τοῦ αὐτοῦ θεοφόρου πατρὸς, ἃς ὑπονοήσειέ τις ἐρρῆσθαι ὡς αὐτοῦ μᾶλλον πταίσματος συγχώρησιν δεξαμένου, καὶ οὐ τοῖς πταίσασι συγχωρήσαντος· εὐφραινέσθωσαν γάρ φησιν, οἱ οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ διχονοίας ἁπάσης ἀνήρηται τρόπος, τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύσαντος.

Ἔχετε τοίνυν καὶ ὑμεῖς, ὦ θεόληπτοι, τὴν ἀναιρετικὴν τοῦ κατ' ἐπήρειαν σφάλματος, ἀπολογίαν ἰσχυράν τε καὶ ἔννομον, καὶ οὐδαμῶς δυναμένην παρακρουσθῆναι, τὴν καθαρὰν καὶ πεπαρρησιασμένην τῆς ὀρθοδοξίας ὁμολογίαν. μὴ οὖν βραδεῖς τε καὶ ὀκνηροὶ πρὸς τὸ συνηρμοσμένον ὑμῖν καὶ ἀδιάτμητον ἐν πνευματικῇ συμπνοίᾳ καὶ ὁμονοίᾳ γένησθε, ὦ μακάριοι, μήτε τοῖς κατὰ βίαν γεγενημένοις προσέχοντες, τοὺς βιασθέντας ἡμᾶς, τῆς ἑαυτῆς ἀγάπης ἀπώσασθε· μηδὲ ὡς ἐχθροὺς ἡγεῖσθε, ὥς φησιν ὁ θεῖος ἀπόστολος, ἀλλὰ παρακαλεῖτε ὡς ἀδελφοὺς, τὸ θεομίμητον ἐνδεικνύμενοι. 2. Θεσ. 3.

Πάντως γὰρ λογιεῖσθε, ἁγιώτατοι, ἐκ τῆς κατὰ τὸν Ἀαρὼν τὸν ἅγιον κυρίου, ὡς τὸ θεῖον αὐτὸν ἀνεκήρυξε πνεῦμα, γραφικῆς ἱστορίας ὑπεξαιρουμένης τοῦ τῆς παντελοῦς ἀρνήσεως λόγου, καὶ τῆς πρὸς τὴν τελείαν ἀθεότητα ὑπαγωγῆς· ὡς τοῖς βεβιασμένως καὶ οὐ κατὰ γνώμης ἐνδιάθετον πονηρίαν γινομένοις, ἕπεταί τις συγχώρησις ἔνδικος. ὁ γὰρ Ἀαρὼν ἐκεῖνος, τῇ ὁρμῇ τοῦ πάλαι λαοῦ καθυφεὶς, καὶ ὑπουργήσας αὐ-

ΣΥ'ΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

ΚΩΝΣΤΑΝΤΙ'ΝΟΥ ΤΟΥ' ΚΟΠΡΟΝΥ'ΜΟΥ

Αἱρετική.

Ε'τος ἀπὸ Χριστοῦ 754.

ΛΕ'οντος οὖν τελευτήσαντος, Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ γεγονὼς τῆς βασιλείας διάδοχος, Ε'λλήνων καὶ Ἰουδαίων χεῖρον τὴν Χριστοῦ ἐκκλησίαν ἐδίωξεν. Συγκαθεσθεὶς γὰρ Κωνσταντίνῳ διαδόχῳ Α'νασασίου, σὺν τοῖς ἐπισκόποις τοῖς ματαιόφροσιν, ἄθεον ἐποιήσατο σύνοδον· ἐν ᾗ Χριστοῦ καὶ ἁπάντων τῶν ἁγίων τὰς σεβασμίας εἰκόνας ἀπεκάλεσεν εἴδωλα, τὰς πρεσβείας ἠρνήσατο, καὶ τὰ θεοτίμητα πυρὶ παρέδωκε λείψανα. Ο' γὰρ Κωνσταντῖνος οὗτος τῆς Παμφυλίας γεγονὼς ἦν ἐπίσκοπος, καὶ διὰ αἰχροπραγματείας τινὰς, ὑπὸ τῶν ὁμοθρήσκων αὐτοῦ, εἰς τελετὴν τὴν καθαίρεσιν. Σχολάζων δὲ πολυτρόπως ἐφιλιώθη τῷ αὐτοκράτορι, καὶ συντέκνος αὐτοῦ ἐχρημάτισε τῷ τοῦ Βυζαντίου ἀρχιεπισκόπῳ. Ο'μως οὖν τῶν βλασφημιῶν αὐτοῦ, ἄξιον μισθὸν ἀνταπέβαλεν· ὑπὸ τοῦ συντέκνου αὐτοῦ καρατομηθεὶς προφανῶς εἰς τὸ κυνήγιον· καὶ Νικήτας τὸν θρόνον αὐτοῦ διεδέξατο, κἀκεῖνος Παῦλος ὁ Κύπριος Σαλαμίνιος ἐκληρώσατο.

ΣΥΝ'ΟΔΟΣ Ε'Ν Α'ΝΤΙΟΧΕΙ'Α,

ΠΕΡΙ' ΤΩ'Ν ΘΕΙ'ΩΝ ΕΙ'ΚΟ'ΝΩΝ.

Ταύτης τῆς συνόδου οὐδὲν ἕτερον εὑρίσκεται, εἰμὴ τοῦτο τὸ θραῦσμα ὅπερ περιγράφει Θεόδωρος ὁ Στουδίτης.

Τῆς ἐν Α'ντιοχείᾳ συνόδου ἐπὶ Θεοδωρίτου Πατριάρχου.

Χρόν. Χριστοῦ 781.

ΟΥ'χ ὡς ἕτερον τῇ μορφῇ, ἀλλ' ὡς αὐτὸν ἕνα κύριον ἐν μιᾷ μορφῇ ὄντα· καθ' ὃν καὶ χαρακτὴρ εἷς πεφυκὼς τῆς τοῦ πατρὸς ὑποστάσεως, καὶ πρὸ σαρκὸς ἀσώματος εἷς τε ἦν, καὶ ἐν σαρκὶ εἷς ἐστι· καὶ ἐν εἰκόνι ὁ αὐτὸς εἷς ὑπάρχει. μὴ διαιρούμενος εἰς δύο χαρακτῆρας, μήτε δὲ σχιζόμενος εἰς δύο δόξας, ἀλλ' εἰς μίαν συναγόμενος. καὶ μεθ' ἕτερα. ἀλλ' ὥσπερ αὐτὸς εἷς ἐστιν ἐκ δύο τῶν ἐναντίων, καὶ εἰς ἓν συνάγεται πρόσωπον· οὕτω καὶ ἡ εἰκὼν αὐτοῦ μία τέ ἐστι, καὶ τοῦ αὐτοῦ ἑνὸς Χριστοῦ· καὶ οὐχ ἕτερον χαρακτῆρα ἐροῦμεν τὸν κατὰ σάρκα ἐπιφανέντα ἡμῖν, καὶ ἕτερον τὸν κατ' εἰκόνα σχηματιζόμενον χαρακτῆρα ἐν εἴδει μορφῆς αὐτοῦ, ἀλλὰ τὸν αὐτὸν ἕνα. ἐπεὶ μήτε καθὸ σῶμα ὁ χαρακτὴρ εἴρηται, ἀλλὰ καθὸ ἀσώματον. καὶ τοῦτο μᾶλλον διὰ τοῦ θείου Χρυσοστόμου διευκρινηθήσεται, τὸν χαρακτῆρα οὐράνιον λέγοντος, ἐπείπερ καὶ ἐξ οὐρανοῦ, οὐ καθὸ σῶμα, ἀλλὰ καθὸ ἀσώματον, ὁ μονογενὴς Θεὸς κατελθὼν ἐκ τῶν οὐρανῶν ἐσαρκώθη, καὶ ἐπεφάνη σῶμα περιθέμενος τὸ ἡμέτερον. καὶ μετ' ὀλίγα. Οὐκοῦν ἐπεὶ κατὰ ἀναφορὰν αὐτὸν δείκνυσι τὸν χαρακτῆρα, αὐτὸν Χριστὸν προσκυνοῦμεν, καὶ οὐ τὴν ὕλην τεχνικῶς σχηματιζομένην ἐν τῇ εἰκόνι.

Α'λλὰ καὶ Θεοδώριτος ὁ Α'ντιοχείας ἀρχιεπίσκοπος, ἐν τῷ κατ' αὐτὸν συνοδικῷ, τὰ αὐτὰ φθέγγεται. Πρὸς δὲ τοὺς αἱρετικῶς ἀντεξαγομένους, καὶ λέγοντας ὡς οὐ δεῖ προσκυνεῖν τῶν ἁγίων τὰς εἰκόνας χειροποιήτους οὔσας· εἴδωλά τε ἀνοήτως, μᾶλλον δὲ δυσσεβῶς, ἀποκαλοῦντας· ἴσωσαν οἱ τοιοῦτοι, ὡς τὰ Χερουβὶμ, καὶ τὸ ἱλαστήριον, ἡ κίβωτός τε καὶ ἡ ῥάβδος, καὶ ἡ τράπεζα, ἃ Μωσῆς ὁ θεσπέσιος κατεσκεύασε, χειροποίητα ἦσαν, καὶ προσεκυνοῦντο. Κατηγορεῖ δὲ ἡ θεία γραφὴ τῶν προσκυνούντων τοῖς γλυπτοῖς.



Οἱ Ἅγ. Θεόδωρος ὁ Στουδίτης καί Νικηφόρος Κων/πόλεως διαλέγονται μετά τοῦ Λέοντος V.

Ἐξοδ. 32. αὐτοῖς πρὸς τὴν τῆς εἰδωλοποιΐας τελείωσιν, ἐνεκαλεῖτο μὴν ὑπὸ τοῦ ἀδελφοῦ, τὴν δὲ ἀναγκαστικὴν βίαν ἐν ἀπολογίᾳ προβαλλόμενος, οὐδὲ μίαν παρὰ Θεοῦ ἐπιτίμησιν δέχεται, οὐδὲ τοῦ τῆς ἀρχιερωσύνης ἀπόκληρος γέγονεν ἀξιώματος· πάντως πρὸς τὸ ἐν διαθέσει περὶ τὸ θεῖον σέβας γνήσιον ἀποβλέψαντος τοῦ πλάσαντος καταμόνας τὰς καρδίας ἡμῶν, ὥς φησιν
Ψαλ. 72. ὁ μέγας Δαβὶδ, καὶ οὐ πρὸς τὴν ἔξωθεν περιπέτειαν. δεικνυμένης τοίνυν τῆς περὶ τὸν ὀρθὸν λόγον τοῦ ἡμετέρου φρονήματος ὑγείας τε καὶ συμφυείας, τῇ ἀνυπερθέτῳ ἑτοιμότητι τοῦ κατακεῖναι μὴν τὰ ἀτόπως γεγενημένα· συστῆσαι δὲ τῇ βεβαιώσει τῆς εἰρημένης ἁγίας ἕκτης συνόδου τῆς εὐσεβείας τὰ δόγματα, περιπτύξασθε ἡμᾶς, ἀδελφοὶ τιμιώτατοι. ἀλλήλων γὰρ τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ, μεγαλοφωνότατα ἡμῖν ἐκβοᾷ ὁ θεῖος ἀπόστολος· ὡς ἂν ὁ-
Γαλ. 2. μοθυμαδὸν ἐν ἑνὶ πνεύματι δοξάζομεν τὸν Θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΥΠΟΓΡΑΦΗ.

Ἐῤῥωμένος ἐν κυρίῳ, ὑπερεύχου ἡμῶν ἁγιώτατε καὶ μακαριώτατε ἀδελφέ.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

ΕΠΙ ΓΕΡΜΑΝΟΥ

Πατριάρχου Ὀρθόδοξος.

Ἐκ τοῦ βιβλ. τοῦ Συνοδικοῦ.

ΦΙλιππικοῦ δὲ ὑπὸ Ἀψιμάρου ἀναιρεθέντος, Γερμανὸς ὁ πανόσιος Κυζίκου ἐπίσκοπος τῷ θρόνῳ Κωνσταντινουπόλεως ἀνατίθεται· καὶ Θεοδοσίου τοῦ ἀπὸ Δυτικῶν ἐπιθεμένου τῇ βασιλείᾳ, καὶ τὸν Ἀψίμαρον διώξαντος, Γερμανὸς ὁ μακάριος σύνοδον ἑκατὸν ἀρχιερέων θείαν καὶ ἱερὰν ποιησάμενος, Σέργιον, Κῦρον, Πύῤῥον, Πέτρον, Παῦλον, καὶ Ἰωάννην ἀναθεμάτισε, καὶ Χριστοῦ Ἰησοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν δύο φύσεις καὶ θελήσεις καὶ ἐνεργείας ἐτράνωσε.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

ΕΠΙ ΛΕΟΝΤΟΣ ΙΣΑΥΡΟΥ

Βασιλέως Εἰκονομάχου.

Ἐκ τοῦ βιβλ. τοῦ συνοδικοῦ.

ΛΕων τοίνυν, ὁ καὶ Κόνων ἐπιλεγόμενος, τὸ γένος Ἴσαυρος, τὴν βασιλείαν Θεοδοσίου διαδεξάμενος, καὶ τῇ πλάνῃ Κωνσταντίνου ἐπισκόπου Νακωλείας, καὶ Βίσηρ πατρικίου σαρακηνόφρονος, τῶν αἱρεσιαρχῶν χραινόμενος, μιαρὰν ἐν τῷ παλατίῳ κατὰ τῶν ἁγίων εἰκόνων ποιησάμενος σύνοδον. Γερμανὸν τὸν μακάριον τὴν αὐτῶν ἠνάγκαζεν ἐκφωνῆσαι κατένεξιν. Ὁ δὲ τοῦ Θεοῦ ἱεράρχης τὸ ὠμοφόριον ἐξῄει τοῦ συνεδρίου ἀποδυσάμενος, ὅν τινα μὴν ὁ θηριώνυμος τύραννος, ἐν τῷ οἴκῳ αὐτοῦ περιώρισε. μετὰ μικρὸν δὲ ἐν τῷ σεμνείῳ τῆς Χώρας, σὺν τῷ ἀρχιδιακόνῳ αὐτοῦ Ἀνθίμῳ, ἀγχόνῃ αὐτὸν ἐθανάτωσεν. Ἀνασάσιον δὲ τὸν ἀντίθεον, τῷ θρόνῳ ἀναβιβάσας, τὰ ὑστερήματα Ἑλλήνων καὶ Ἰουδαίων, ἐν τῇ Χριστοῦ ἐκκλησίᾳ δεινῶς ἀνεπλήρωσεν.

Ἔτος ἀπὸ Χριστοῦ 722. ἢ 730.

ΣΥΝΟΔΟΣ ΕΝ ΡΩΜΗ

ΕΠΙ ΓΡΗΓΟΡΙΟΥ ΠΑΠΑ

ΔΕΥΤΕΡΟΥ

Ἐκ τοῦ αὐτοῦ βιβλίου.

ΟΠερ μαθὼν ὁ θεόληπτος πάπας Ῥώμης Γρηγόριος, θείαν καὶ ἱερὰν συστησάμενος σύνοδον· τοὺς εἰκονομάχους γενναίως ἀναθέματι καθυπέβαλεν· ἐλέγχοις πολλοῖς καὶ σφοδροῖς πρὸς τὸν βασιλέα χρησάμενος Λεόντα.

χρόν. Χριστοῦ 730.

ΣΥΝΟΔΟΣ ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

ΕΠΙ ΘΕΟΔΩΡΟΥ

Ἐκ τοῦ αὐτοῦ βιβλίου.

ΟΜΟΙΩΣ τε καὶ Θεόδωρος, ὁ τῶν Ἱεροσολύμων ἐπίσκοπος, ἀθροίσας θεοσύλλεκτον σύνοδον· τὰς ἁγίας ἓξ οἰκουμενικὰς συνόδους, ἀριθμῷ καὶ δυπτύχοις ἐκήρυξε· τὴν ἀναφυεῖσαν τῶν ἁγιοκαύστων αἵρεσιν ἀναθέματι καθυπέβαλεν.

ἐν τῷ αὐτῷ ρόνῳ χ.

ΣΥ-



Μεγ. Λαύρα. Ὁ Σταυρός «ΕΝ ΤΟΥΤΩ ΝΙΚΑ» τοῦ Μεγ. Κων/τίνου.


Ἡ ΣΚΗΝΗ ΤΟΥ
ΜΑΡΤΥΡΙΟΥ

ΤΟΥ͂ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩ͂Ν

ΓΡΗΓΟΡΙΟΥ ΠΑΠΑ ΡΩΜΗΣ

ΠΕΡΙ ΤΩ͂Ν ΑΓΙΩΝ ΕΙΚΟΝΩΝ

ΠΡΟΣ ΛΕΟΝΤΑ ΒΑΣΙΛΕΑ ΤΟΝ ΙΣΑΥΡΟΝ.

Πρώτη ἐπιστολή.

ΤΑ γράμματα τῆς ὑμετέρας θεοφρουρήτου βασιλείας καὶ ἀδελφότητος ἐδεξάμεθα διὰ αὐγουσταλίου τοῦ Σπαθαροκανδιδάτου, βασιλεύσαντός σου εἰς τὴν τεσσαρεσκαιδεκάτην ἐπινέμησιν, αὐτῆς τε τῆς ιδ'. καὶ ιέ. καὶ ά. καὶ β'. καὶ γ'. καὶ δ'. καὶ έ. καὶ ς'. καὶ ζ'. καὶ ή. καὶ θ'. τῶν ἐπινεμήσεων δεξάμενοι τὰς ἐπιστολάς σου, ἀσφαλῶς διακατέχομεν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ ἀποκειμένας εἰς τὸ πρόσποδον τῆς κοιμήσεως τοῦ ἁγίου καὶ ἐνδόξου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου· ὅπου εἰσὶ καὶ αἱ τῶν καὶ πρὸ σοῦ βασιλευσάντων εὐσεβῶς φιλοχρίστων. καὶ εἰς τὰς δέκα συλλαβὰς καλῶς καὶ εὐσεβῶς, καὶ ὡς πρέπει βασιλεῖ Χριστιανῶν, οὕτως ὡμολόγησας τηρεῖν, καὶ φυλάττειν ἀνελλιπῶς πάσας τὰς παραινέσεις τῶν ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων. καὶ τέως πρῶτον καὶ ἐξαίρετον, ὅτι σὰ τὰ γράμματα, καὶ οὐκ ἀλλότρια, ταῖς βασιλικαῖς σφραγῖσιν ἐσφραγισμένα ἀσφαλῶς, καὶ ἔσωθεν ἀσφαλεῖς ὑπογραφαὶ διὰ κινναβάρεως ἰδιόχειροί σου, ὡς εἴθισται τοῖς βασιλεῦσιν ὑπογράφειν. καὶ ὡμολόγησας πάνυ καλῶς καὶ εὐσεβῶς περὶ τῆς ἀμωμήτου ἡμῶν καὶ ὀρθοδόξου πίστεως· ἀλλὰ καὶ ἔγραψας· ὁ λύων καὶ καταλύων τὰ ὅρια τῶν πατέρων, ἐπικατάρατος. καὶ ταῦτα δεξάμενοι εὐχαριστηρίους ὕμνους ἀνεπέμπομεν πρὸς τὸν Θεὸν, ὅτι πάντως καὶ τὸ βασίλειον ἐκ Θεοῦ σοι δεδώρηται, καὶ καλῶς σου τρέχοντος, τίς διεκωδώνισέ σου τὰ ὦτα, καὶ τὴν καρδίαν διέστρεψεν ὡς τόξον στρεβλὸν, καὶ εἰς τὰ ὀπίσω ἀπέβλεψας; τοὺς δέκα ἐνιαυτοὺς χάριτι Θεοῦ καλῶς περιεπάτησας, καὶ εἰς μνείαν τὰς ἁγίας εἰκόνας οὐκ ἤγαγες· νῦν δὲ λέγεις, ὅτι εἰδώλων τόπον ἀναπληροῦσι, καὶ ὅτι οἱ προσκυνοῦντες αὐτὰς, εἰδωλολάτραι; καὶ ἐπέτρεψας ἀφανίσαι αὐτὰς, καὶ τελείως ἀφάντους γενέσθαι· καὶ οὐκ ἐφοβήθης τὸ κρίμα τοῦ Θεοῦ, τὰ σκάνδαλα ἐλθεῖν εἰς τὰς καρδίας τῶν ἀνθρώπων οὐ μόνον πιστῶν, ἀλλὰ καὶ ἀπίστων. παραγγέλλει δέ σοι ὁ Χριστὸς, μὴ σκανδαλίζειν ἕνα τῶν μικρῶν, καὶ διὰ τοῦ μικροῦ σκανδάλου εἰς τὸ πῦρ τὸ αἰώνιον ἀπέρχεσθαι· καὶ σὺ ὅλον τὸν κόσμον ἐσκανδάλισας, ὡς μὴ βουλόμενος θάνατον ὑποστῆναι, καὶ κακὴν ἀπολογίαν δοῦναι; καὶ ἔγραψας, ὅτι οὐ δεῖ προσκυνεῖν χειροποίητα, καὶ πᾶν εἶδος καθ' ὁμοίωμα, καθὼς εἶπεν ὁ Θεός, μήτε ἐν οὐρανῷ, μήτε ἐπὶ τῆς γῆς· καὶ ὅτι πληροφόρησόν με, τίς ἡμῖν παρέδωκε σέβεσθαι καὶ προσκυνεῖν χειροποίητα· κἀγὼ ὁμολογῶ, ὅτι Θεοῦ νομοθεσία ἐστί. καὶ διὰ τί, ὡς βασιλεὺς καὶ κεφαλὴ τῶν Χριστιανῶν, οὐκ ἠρώτησας γνωστικοὺς ἔχοντας πεῖραν· καὶ παρ' αὐτῶν πληροφορηθῆναι εἶχες, δι' ἃ ἔλεγεν ὁ Θεὸς χειροποίητα. πρὶν ἢ συνφῦραι, καὶ συγχύσαι, καὶ συνταράξαι τοὺς ταπεινοὺς λαούς; ὅμως σὺ ἀπώσω, καὶ ἠρνήσω, καὶ ἐξέβαλες ἔξω τοὺς ἁγίους ἡμῶν πατέρας καὶ διδασκάλους, οἷς ἰδιοχείρως καὶ ἐγγράφως ὡμολόγησας πείθεσθαι καὶ ἀκολουθεῖν. ἡ γραφὴ ἡμῶν, καὶ τὸ φῶς, καὶ ἡ σωτηρία ἡμῶν, οἱ ἅγιοι καὶ θεοφόροι πατέρες καὶ διδάσκαλοι ἡμῶν τυγχάνουσι, καὶ αἱ ἐν Χριστῷ ἓξ σύνοδοι παρέδωκαν ἡμῖν, καὶ οὐ παραδέχῃ αὐτῶν τὰς μαρτυρίας· ἀνάγκην ἔχομεν γράψαι σοι παχέα καὶ ἀπαίδευτα, ὥσπερ εἶ ἀπαίδευτος καὶ παχὺς· ἀλλ' ὄντως δύναμιν καὶ ἀλήθειαν Θεοῦ ἔχουσι. παρακαλοῦμέν σε διὰ τὸν Θεὸν, ἀπορρίψασθαι τὴν ὑψηλοφροσύνην, καὶ ὑπερηφανίαν τὴν περικειμένην σοι, καὶ μετὰ πολλῆς ταπεινώσεως χαρίσασθαι ἡμῖν γνησίως τὴν ἀκρόασίν σου· καὶ πείθοι σε ὁ Θεὸς εἰς τὴν ἀλήθειαν, δι' ὧν ἐλάλησε. διὰ γὰρ τοὺς εἰδωλολάτρας διελέγετο, τοὺς ἐγκαθεζομένους εἰς τὴν γῆν τῆς ἐπαγγελίας· οἵπερ προσεκύνουν ζῶα χρυσᾶ, καὶ ἀργυρᾶ, καὶ ξύλινα, καὶ πᾶσαν τὴν κτίσιν προσεκύνουν, καὶ πάντα τὰ πετόμενα ὄρνεα· καὶ ἔλεγον. οὗτοί εἰσιν οἱ θεοὶ ἡμῶν, καὶ ἄλλος Θεὸς οὐκ ἔστι. διὰ ταῦτα τὰ χειροποίητα τοῦ διαβόλου, τὰ ἐπιβλαβῆ καὶ ἐπικατάρατα, ἔλεγεν ὁ Θεὸς μὴ προσκυνεῖσθαι. ἐπειδὴ γάρ εἰσι χειροποίητα εἰς ὑπηρεσίαν καὶ εἰς δόξαν Θεοῦ, ὡς βουλόμενος τὸν οἰκιακὸν αὐτοῦ λαὸν τὸν ἡγιασμένον τῶν Ἑβραίων εἰσαγαγεῖν, καθὼς προεπηγγείλατο ὁ Θεὸς τῷ Αβραὰμ, καὶ Ισαὰκ, καὶ Ιακὼβ, δοῦναι αὐτοῖς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ποιῆσαι τοὺς Ισραηλίτας κτήτορας καὶ κληρονόμους τῶν κτημάτων τῶν εἰδωλολατρῶν, καὶ συντρίψαι, καὶ τελείως ἐξαλεῖψαι τὰς γενεὰς ἐκείνας, ὅτι ἐμίαναν τὴν γῆν καὶ τὸν ἀέρα ἐκ τῆς παρανομίας ὧν ἔπραττον, προέλεγεν ὁ Θεὸς,

Λουκ. 17.

Ἐξοδ. 20.

καὶ

Ἔξοδ. 33. καὶ προησφαλίζετο τὸν λαὸν αὐτοῦ, ἵνα μὴ ἐμπέσωσιν εἰς τὰ προσκυνήματα αὐτῶν. εἰς τὸν Ισραηλίτην λαὸν δυο ἄνδρας ἐξελέξατο ὁ Θεὸς, καὶ εὐλόγησεν αὐτοὺς καὶ ἡγίασεν, ἵνα ἔργα χειροποίητα ἐργάζωνται, ἀλλ' εἰς δόξαν καὶ ὑπηρεσίαν Θεοῦ, εἰς μνημόσυνον τῶν γενεῶν αὐτῶν· τὸν Βεσελεὴλ λέγω, καὶ τὸν Ελιὰβ τῆς πρώτης φυλῆς τοῦ Δάν. λέγει ὁ Θεὸς τῷ Μωϋσῇ. λάξευσον πλάκας
Ἔξοδ. 34. δύο λιθῖνας, καὶ φέρε μοι. καὶ λαξεύσας ἤγαγε· καὶ ἔγραψεν ὁ Θεὸς τῷ ἰδίῳ δακτύλῳ τοὺς δέκα καὶ ζωοποιοὺς καὶ ἀθανάτους λόγους. εἶτα λέγει ὁ Θεός· ποίησον χερουβὶμ καὶ σεραφὶμ, καὶ ποίησον τράπεζαν,
Ἔξοδ. 25. καὶ περιχρύσωσον ἔσωθεν καὶ ἔξωθεν· καὶ ποίησον κιβωτὸν ἀπὸ ξύλων ἀσήπτων, καὶ ἔμβαλλε τὰ μαρτύρια σου εἰς τὴν κιβωτὸν, εἰς μνημόσυνον τῶν γενεῶν ὑμῶν. τουτέστι, τὰς πλάκας, τὴν στάμνον, τὴν ῥάβδον, τὸ μάννα. ἆρά εἰσι ταῦτα καὶ εἴδη καὶ ὁμοιώματα χειροποίητα, ἢ οὐχί; ἀλλὰ εἰς δόξαν καὶ ὑπηρεσίαν Θεοῦ. ὁ Μωϋσῆς ἐκεῖνος ὁ μέγας φόβῳ συνεχόμενος, θέλων ἰδεῖν εἶδος καὶ ὁμοίωμα, μήπως πλανηθῇ, παρεκάλει τὸν Θεὸν, λέγων. κύριε, δεῖξόν μοι σεαυτὸν γνωστῶς, ὡς ἴδωσε. καὶ ὁ Θεὸς ἀπεκρίνατο. ἐὰν ἴδης με, ἀποθνήσκεις. ἀλλὰ διά-
Ἔξοδ. 31. βηθι διὰ τῆς ὀπῆς τῆς πέτρας, καὶ ὄψει τὰ ὀπίσθιά μου. ἔδειξεν αὐτῷ ὁ Θεὸς ἐν ὁράματι τὸ ἀποκεκρυμένον μυστήριον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν. ἀλλ' ἐπὶ τῶν ἡμετέρων γενεῶν ἐν τοῖς ἐσχάτοις καιροῖς ἔδειξεν ἡμῖν ἑαυτὸν φανερὸν, καὶ τὰ ὀπίσθια καὶ τὰ ἔμπροσθεν, ὁλοτελῶς. ὅτε δὲ εἶδεν ὁ Θεὸς τὸ γένος τῶν ἀνθρώπων εἰς τέλος ἀπολλύμενον σπλαγχνισθεὶς εἰ τὸ ἴδιον πλάσμα, ἐξαπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν πρὸ αἰώνων γεγεννημένον. καὶ κατελθὼν ἐκ τῶν οὐρανῶν, εἰσῆλθεν εἰς τὴν κοιλίαν τῆς ἁγίας παρθένου Μαρίας, ἐκλάμψας τὸ φῶς τὸ ἀληθινὸν ἐν τῇ μήτρᾳ αὐτῆς, καὶ τὸ φῶς ἀντὶ σπόρου σὰρξ ἐγένετο· καὶ ἐβαπτίσθη εἰς τὸν Ιορδάνην ποταμὸν, καὶ ἐβάπτισε καὶ ἡμᾶς. ἤρξατο δοῦναι ἡμῖν ἐνέχυρα γνωρισμάτων, ἵνα μὴ πλανώμεθα. καὶ εἰσελθὼν εἰς τὰ Ιεροσόλυμα, εἰς τὸ ὑπερῷον τῆς ἁγίας καὶ ἐνδόξου Σιὼν, εἰς τὸν μυστικὸν δεῖπνον παρέλαβεν ἡμῖν τὸ ἅγιον αὐτοῦ σῶμα, καὶ ἐπότισεν ἡμᾶς τὸ τίμιον αὐτοῦ αἷμα. ἐκεῖ καὶ τοὺς πόδας ἡμῶν ἔνιψε, καὶ συνεπίομεν καὶ συνεφάγομεν αὐτῷ, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν αὐτὸν, καὶ γνώριμος ἡμῶν ἐγένετο· καὶ ἐφανερώθη ἡμῖν ἡ ἀλήθεια, καὶ ἡ πλάνη καὶ ἡ ἀχλὺς ἡ περικειμένη ἡμῖν ἐξέφυγε καὶ ἀφανὴς ἐγένετο· καὶ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. ἤρξαντο ἀπὸ ὅλου τοῦ κόσμου οἱ ἄνθρωποι πετόμενοι, ὡς ἀετοὶ εἰς τὰ Ιεροσόλυμα παραγίνεσθαι, καθὼς εἶπεν ὁ
Ματθ. 42. κύριος ἐν τοῖς εὐαγγελίοις· ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί. ὁ Χριστὸς δὲ τὸ πτῶμα, ἀετοὶ ὑψηλοπετεῖς οἱ θεοσεβεῖς καὶ φιλόχριστοι ἄνθρωποι. ἰδόντες τὸν κύριον, καθὼς εἶδον, ἱστορήσαντες ἐζωγράφησαν. ἰδόντες Ιάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου, καθὼς εἶδον, αὐτὸν ἱστορήσαντες ἐζωγράφησαν. ἰδόντες τὸν πρωτομάρτυρα Στέφανον, καθὼς εἶδον, αὐτὸν ἱστορήσαντες ἐζωγράφησαν. καὶ κατ' ἔπος, ἰδόντες τὰ πρόσωπα τῶν μαρτύρων τῶν ἐκχυσάντων τὸ αἷμα ὑπὲρ Χριστοῦ, ἐζωγράφησαν. καὶ θεωρήσαντες λοιπὸν ἐν ὅλῳ τῷ κόσμῳ οἱ ἄνθρωποι, ἀφέντες τὰς προσκυνήσεις τοῦ διαβόλου, ταύτας προσεκύνησαν οὐ λατρευτικῶς, ἀλλὰ σχετικῶς. ποῖόν σοι φαίνεται, βασιλεῦ, δίκαιον, ταύτας τὰς εἰκόνας προσκυνεῖσθαι, ἢ τὰς τῆς πλάνης τοῦ διαβόλου; ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ εἰς τὰ Ιεροσόλυμα, Αὔγαρος ὁ τότε κρατῶν καὶ βασιλεύων εἰς τὴν πόλιν τῶν Εδεσηνῶν, ἀκούων τὰς θαυματουργίας τοῦ Χριστοῦ, ἔγραψε τῷ Χριστῷ ἐπιστολήν· καὶ ὁ Χριστὸς ἀπέστειλεν ἰδιοχείρως ἀντίγραφον, καὶ τὸ ἅγιον καὶ ἔνδοξον αὐτοῦ πρόσωπον. καὶ εἰς ἐκείνην τὴν ἀχειροποίητον πέμψον, καὶ ἴδε. πλήθη λαῶν τῆς ἀνατολῆς ἐκεῖ συναθροίζονται, καὶ προσεύχονται. καὶ ἄλλα πολλὰ χειροποίητα τοιαῦτά εἰσιν, ἅπερ διακατέχουσι τὰ φιλόχριστα ἐκστρατεύματα τῶν * θεαμάτων, ἅπερ καθ' ἡμέραν * προσκυνεῖς, καὶ περιφρονεῖς; διὰ τί τὸν πατέρα τοῦ κυρίου Ιησοῦ Χριστοῦ οὐχ ἱστοροῦμεν καὶ ζωγραφοῦμεν; ἐπειδὴ οὐκ οἴδαμεν, τίς ἐστιν, καὶ Θεοῦ φύσιν ἀδύνατον ἱστορῆσαι καὶ ζωγραφῆσαι. καὶ εἰ ἐθεασάμεθα καὶ ἐγνωρίσαμεν, κωθὼς τὸν υἱὸν αὐτοῦ, κἀκεῖνον ἂν εἴχομεν ἱστορῆσαι καὶ ζωγραφῆσαι, καὶ ἵνα κἀκείνου τὸν χαρακτῆρα εἴδωλον ἀποκαλῇς. μαρτυρόμεθά σοι ὡς ἀδελφοὶ ἐν Χριστῷ, εἴσελθε πάλιν εἰς τὴν ἀλήθειαν, ὅθεν ἐξῆλθες. ἀπόρριψον τὴν ὑψηλοφροσύνην, καὶ τὸ πεῖσμά σου κατάργησον, καὶ γράψον παντὶ καὶ πανταχοῦ, καὶ διανάστησον οὓς ἐσκανδάλισας καὶ ἀπετύφλωσας· κἂν εἰς οὐδὲν αὐτὸ ἔχῃς, διὰ τὴν πολλήν σου ἀναισθησίαν. οἶδεν ἡ ἀγάπη τοῦ Χριστοῦ, ὅτε εἰσέλθωμεν εἰς τὸν ναὸν τοῦ ἁγίου κορυφαίου Πέτρου, καὶ θεωρήσωμεν τὴν ζωγραφίαν τοῦ ἁγίου, εἰς κατάνοιξιν ἐρχόμεθα, καὶ ὥσπερ ὑετὸς ἐκ τῆς τοῦ ἀέρος βροχῆς, οὕτω τὰ δάκρυα ἡμῶν καταχέονται. ὁ Χριστὸς τοὺς τυφλοὺς ἀνέβλεψε, σὺ τοὺς καλῶς βλέποντας ἀπετύφλωσας, καὶ ἐνεμπόδισας, κἂν εἰς οὐδὲν αὐτὸ ἔχῃς· καὶ ἀπαιδεύτους ἐποίησας, καὶ τὸν καλὸν δρόμον τῶν ἀνθρώπων ἐνέκοψας, καὶ τῶν εὐχῶν αὐτοὺς ἀπεστέρησας, καὶ ἀντὶ ἀγρυπνιῶν καὶ προσεδρείας καὶ σπουδῆς τῆς πρὸν Θεὸν, εἰς ὕπνους καὶ νυσταγμοὺς καὶ ἀμελείας τοὺς ταπεινοὺς λαοὺς κατέρραξας καὶ ἀπεκεφάλισας. καὶ λέγεις, ὅτι πέτρας καὶ τοίχους καὶ σανίδια προσκυνοῦμεν. οὐχ ὡς λέγεις, ἐστὶ, βασιλεῦ, ἀλλ' εἰς ὑπόμνησιν ἡμῶν, καὶ εἰς διέγερσιν, τὸν νοῦν ἡμῶν τὸν σκαιὸν καὶ ἀπαίδευτον καὶ παχὺν ἄνω ἀναφέροντα, δι' ὧν τὰ ὀνόματα, καὶ δι' ὧν ἡ ἐπίκλησις, καὶ δι' ὧν οἱ χαρακτῆρες. καὶ οὐχ ὡς Θεοὺς, ὡς λέγεις σύ. μὴ γένοιτο· οὐ γὰρ ἔχομεν τὰς ἐλπίδας εἰς αὐτά. καὶ εἰ μέν ἐστιν εἰκὼν τοῦ κυρίου, λέγομεν· κύριε Ιησοῦ Χριστὲ, υἱὲ τοῦ Θεοῦ, βοήθησον καὶ σῶσον ἡμᾶς. εἰ δὲ τῆς ἁγίας αὐτοῦ μητρὸς, λέγομεν· ἁγία θεοτόκε μῆτερ τοῦ

* ἴσ. θεμάτων ἴσ. προσεκυνεις,

τῷ κυρίῳ, προέσβλεψον εἰς τὸ υἱόν σου τὸν ἀληθινὸν Θεὸν ἡμῶν, εἰς τὸ σῶσαι τὰς ψυχὰς ἡμῶν. εἰδὲ μάρτυρος. ἅγιε Στέφανε, ὁ ἐκχύσας τὸ αἷμά σου ὑπὲρ Χριστοῦ, ἔχων παῤῥησίαν ὡς πρωτομάρτυς, πρέσβευε ὑπὲρ ἡμῶν. καὶ ἐπὶ παντὸς μάρτυρος μαρτυρήσαντος ἔτι λέγομεν. τοιαύτας δεήσεις ἀποπέμπομεν δι' αὐτῆς· οὐκ ἔστιν, ὡς λέγεις, βασιλεῦ, Θεοὺς τοὺς μάρτυρας ὀνομάζοντες. ἀποστρεψον τὰς ἐννοίας σου τὰς κακάς· μαρτύρομαί σοι· καὶ ῥῦσαι τοῦ ὀχλοῦ σου ἀπὸ τῆς σκανδάλων καὶ ἀπὸ καταρῶν ψυχῶν λαμβάνεις ἀπὸ ὅλου τοῦ κόσμου· ὅτι καὶ τὰ μικρὰ παιδία καταπαίζουσί σου. γύρωσον εἰς τὰς διατυπώσεις τῆς στοιχείων, καὶ εἰπέ· ὅτι ἐγώ εἰμι ὁ καταλύτης καὶ διώκτης τῆς εἰκόνων· καὶ δῆθεν τὰς πινακίδας αὐτῆς εἰς τοῦ κεφαλοῦ σου ῥίψασι, καὶ ὅπερ ἂν ἐπαιδεύθης ὑπὸ τῆς φρονίμων, παιδευθήσῃ ὑπὸ τῆς ἀφρόνων. ἔγραψας, ὅτι Ὀζίας 4. Βασιλ. 18.
ὁ βασιλεὺς τῶν Ἰουδαίων μετὰ ὀκτακοσίους ἐνιαυτοὺς ἐξήγαγε τὸν χαλκοῦν ὄφιν ἐκ τοῦ ναοῦ, κἀγὼ μετὰ ὀκτακοσίους ἐνιαυτοὺς ἐξήγαγον τὰ εἴδωλα ἐκ τῶν ἐκκλησιῶν. ἀληθῶς καὶ Ὀζίας ἀδελφός σου ἦν, καὶ τὸ σὸν πεῖσμα εἶχε, καὶ τοὺς τότε ἱερεῖς ἐτυράννησεν ὥσπερ σύ· ἐκεῖνον γὰρ 2. Παραλ. 26. 16. 17. 18
τὸν ὄφιν ὁ ἡγιασμένος Δαβὶδ εἰσήγαγεν εἰς τὸν ναὸν μετὰ τῆς ἁγίας κιβωτοῦ, τί γὰρ ἦν ἐκεῖνο, εἰ μὴ χάλκωμα ἡγιασμένον ὑπὸ τοῦ Θεοῦ διὰ τοὺς τότε ἁῤῥωστοῦντας καὶ δακνομένους ὑπὸ τῆς ὄφεων, ἵνα δειχθῇ τοῖς λαοῖς ὁ ὑποβαλὼν τοῦ ἁμαρτίαν εἰς τὸ πρῶτον πλάσμα τὸ πλανηθὲν ὑπὸ τοῦ Θεοῦ, τὸν Ἀδὰμ καὶ τοῦ Εὔαν, αὐτὸ τῆς ἁμαρτωλῶν εἰς ἴασιν κατέσησε· σὺ δέ, καθὼς ἐγκαυχᾷ, εἰς τοὺς ὀκτακοσίους χρόνους ἐξέβαλες ἐκ τῆς ἐκκλησιῶν τοῦ δόλογίαν καὶ τὸν ἁγιασμὸν τῆς μαρτύρων, καὶ ὡσεὶ καλῶς ὡμολόγησας τὰ πρῶτα, προθέσει, καὶ οὐκ ἐξ τινος ἀνάγκης, ὕστερον δὲ ἰδιοχείρως ὑπογράψας, ἔθηκας ἐπὶ τοῦ κεφαλοῦ σου τοῦ καταράν αὐτῆς. ἠθελήσαμεν καὶ ἡμεῖς ὡς ἔχοντες τὸ κῦρος τοῦ ἐξουσίαν καὶ τοῦ αὐθεντίαν ἐκ τοῦ ἁγίου Πέτρου τοῦ κορυφαίου δοῦναί σοι ἐπιτίμια. ἀλλ' οὗτα ἑαυτῷ τοῦ κατάραν δέδωκας, μᾶλλον ἔχων αὐτοῦ μετὰ τῆς συμβαλλόντων σοι, ὃς περιπλέκῃ. ἆρα ποίαν οἰκοδομοῦ καὶ δρόμον τῶν καλῶς δραμόντων ἐνέκοψας; οἶδεν ἡ ἀγάπη τοῦ Χριστοῦ. ἡμεῖς αὐτοὶ εἰσερχόμενοι εἰς τοῦ ἐκκλησίαν, καὶ θεωροῦντες τὰς ἰσορίας τῶν θαυματουργιῶν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἁγίας αὐτοῦ μηδὸς, ἐχύσης εἰς τὰς ἀγκάλας τὸν κύριον καὶ Θεὸν ἡμῶν γαληχοῦντα, καὶ τοὺς ἀγγέλους κύκλῳ ἱσαμοῦντας καὶ βοῶντας τὸν τρισάγιον ὕμνον, ὃ χωρὶς καταινύξεως ἐξερχόμεθα. καὶ τίς γὰρ ὁ καταινύσσεται, καὶ κλαίει ὁμοίως, καὶ τοὺς βαπτισῆρας, καὶ τοὺς ἱερεῖς κύκλῳ περιεστῶτας, καὶ τὸν μυστικὸν δεῖπνον, καὶ τῶν τυφλῶν τοῦ ἀνάβλεψιν, καὶ Λαζάρου τοῦ ἔγερσιν, καὶ τοῦ λεπροῦ καὶ παραλυτικοῦ τοῦ ἴασιν, ἐπὶ τοῦ χόρτου τοὺς ἀνακλίσεις, τοὺς κοφίνους, καὶ τοὺς σπυρίδας, καὶ τὰ περισσεύματα, τοῦ Θαβωρίου ὄρους τοῦ μεταμόρφωσιν, τοῦ σαύρωσιν τοῦ κυρίου, τοῦ ταφοῦ αὐτοῦ καὶ τοῦ ἀνάστασιν, τοῦ ἁγίαν ἀνάληψιν, καὶ τοῦ τοῦ ἁγίου πνεύματος κάθοδον; τίς ὁρῶν τοῦ ἱστορίαν τοῦ Ἀβραὰμ, ἐπικειμένου τοῦ μάχαιραν εἰς τὸν ῥάχηλον τοῦ παιδίου, οὐ κατανύσσεται καὶ δακρύει; καὶ ἁπλῶς πάντα τὰ παθήματα τοῦ κυρίου; σωτέφερέ σοι, βασιλεῦ, τῶν δύο προκειμένων, αἱρετικόν σε ὀνομάζεσθαι, ἢ διώκτου καὶ καταλύτου τῶν ἱερῶν καὶ ζωγραφιῶν τῶν εἰκόνων καὶ παθημάτων τοῦ κυρίου. ἀλλὰ κακὸν, καὶ οὐ πρόσφορον τὸ αἱρετικόν σε ὀνομάζεσθαι. ἀλλ' ἐγώ σοι λέγω, διατί. ὁ αἱρετικὸς γνωστὸς λέγεται, ἐπειδὴ ὀλίγοις ἐστὶ γνωστὸς, καὶ οὐ πολλοῖς· καὶ τὰ σκάνδαλα δύσκολα, καὶ ἐμπεπλεγμένα τὰ νοήματα καὶ δυσδιάκριτα. καὶ οἱ δογματίζοντες, καὶ μὴ ἔχοντες ταπείνωσιν, ἐκ τῆς ἀγνωσίας καὶ ἐκ τῆς σκοτώσεως αὐτῶν, δῆθεν πίπτουσι· καὶ οὐ τοσοῦτον ἡ κατάκρισις αὐτῶν, ὥσπερ τὸ σόν. σὺ τὰ θεωρούμενα καὶ βλεπόμενα ὡς φῶς, φανερῶς ἐδίωξας, καὶ ἐγύμνωσας τὰς ἐκκλησίας τοῦ Θεοῦ. ὥσπερ οἱ ἅγιοι πατέρες ἐνέδυσαν καὶ ἐκόσμησαν, σὺ ἐξέδυσας καὶ ἀπεγύμνωσας. καίτοι γε τοιοῦτον ἔχων ἀρχιερέα, τὸν κύριον Γερμανὸν λέγω τὸν ἀδελφὸν ἡμῶν καὶ συλλειτουργόν. τούτῳ ὤφειλες ὡς πατρὶ καὶ διδασκάλῳ συμβουλεύεσθαι, καὶ ὡς παλαιῷ καὶ ἔχοντι πεῖραν καὶ τῆς ἐκκλησιαστικῶν, ἀλλὰ καὶ τῆς πολιτικῶν πραγμάτων. ἄγει γὰρ ὁ ἀνὴρ σήμερον συνενήκοντα πόλεις ἐνιαυτοὺς, ὑπουργῶν ἑκάστῳ πατριάρχῃ καὶ βασιλεῖ· ἀδιάδοχος δὲ ἐγένετο διὰ τοῦ χρησιμότητα τῆς ἀμφοτέρων πραγμάτων. ἐάσας αὐτὸν ἔχειν εἰς πλευράν σου, ἐκείνου ἤκουσας τοῦ παρανόμου μώρου Ἐφέσου τοῦ υἱοῦ Ἀψιμάρου, καὶ τῆς ὁμοίων αὐτῷ. ὁ γὰρ κύριος Γερμανὸς, καὶ ὁ τότε πατριάρχης κύριος Γεώργιος, πληροφορήσαντες καὶ πείσαντες Κωνσταντῖνον υἱὸν Κώνσταντος, πατέρα Ἰουστινιανοῦ γράψαι πρὸς ἡμᾶς ἐν Ῥώμῃ, ἔγραψεν ἡμῖν ἐνωμότως, καὶ λόγον ἡμῖν ἔδωκεν ἀποστεῖλαι ἡμᾶς χρησίμους ἀνθρώπους, ἵνα γένηται οἰκουμενικὴ συνόδος· καὶ ὅτι δὲ μὴ συγκαθεσθῶ αὐτοῖς ὡς βασιλεὺς, καὶ ἐξουσιαστικῶς λαλήσω, ἀλλ' ὡς εἷς ἐξ αὐτῆς· καὶ καθὼς συμβιβάζονται οἱ ἀρχιερεῖς, ἐκβιβάσω, καὶ τοὺς καλῶς λέγοντας δεξόμεθα, καὶ τοὺς κακῶς λέγοντας ἐκδιώξομεν, καὶ ἐξουσίαις παραπέμψομεν. ἐὰν ὁ πατὴρ ὁ ἐμὸς διέστρεψέ τι τῆς ἀμωμήτου πίστεως, καὶ καθαρᾶς, ἐγὼ πρῶτος αὐτὸν ἀναθεματίζω. καὶ Θεοῦ χάριτι ἀπεστείλαμεν· καὶ μετ' εἰρήνης ἐγένετο ἡ ἕκτη συνόδος. οἶδας, βασιλεῦ, ὅτι τὰ δόγματα τῆς ἁγίας ἐκκλησίας οὐχὶ βασιλέων εἰσὶν, ἀλλὰ τῆς ἀρχιερέων, καὶ ἀσφαλῶς θέλουσι δογματίζεσθαι. διὰ τοῦτο οἱ ἀρχιερεῖς προετάχθησαν εἰς τὰς ἐκκλησίας, ἀπέχοντες τῆς δημοσίων πραγμάτων. καὶ οἱ βασιλεῖς ὁμοίως ἀπέχεσθαι τῆς ἐκκλησιαστικῶν, καὶ ἔχεσθαι τῆς ἐγχειρισμένων αὐτοῖς.

τοῖς. ἡ συμβουλία δὲ τῶν φιλοχρίστων βασιλέων καὶ τῶν εὐσεβῶν ἀρχιερέων μία δύναμίς ἐστιν, ὅταν μετ' εἰρήνης καὶ ἀγάπης τὰ πράγματα διοικῶνται. ἔγραψας, ἵνα οἰκουμενικὴ σύνοδος γένηται· καὶ ἡμῖν ἀπρόσφορον ἐφάνη περὶ τούτου. σὺ εἶ ὁ διώκτης τῶν εἰκόνων καὶ ὑβριστὴς καὶ καταλύτης. ἔνδος, καὶ τὴν σιωπήν σου χάρισαι ἡμῖν· καὶ ὁ κόσμος εἰρηνεύσει, καὶ τὰ σκάνδαλα παύσονται. σύνθου ὅτι ἐπηκούσαμέν σου, καὶ συνηθροίσθησαν ἀπὸ πάσης τῆς οἰκουμένης οἱ ἀρχιερεῖς, καὶ ἡ σύγκλητος καὶ ἡ βουλὴ ἐκάθισε· ποῦ ὁ βασιλεὺς ὁ φιλόχριστος καὶ εὐσεβὴς, ὁ πρὸς συνήθειαν ὀφείλων καθίσαι εἰς τὴν βουλὴν, καὶ τοὺς καλῶς λέγοντας φιλοτιμήσασθαι, καὶ τοὺς ἔξω τῆς ἀληθείας ἀποδιώξαι, σοῦ τοῦ βασιλέως ἀστατοῦντος καὶ βαρβαρίζοντος; οὐκ οἶδας, ὅτι τὸ ἐγχείρημα, ὅπερ εἰργάσω τῶν ἁγίων εἰκόνων, ἀκαταστασίας καὶ ἀλαζωνείας καὶ ὑπερηφανίας ἐστί; τῶν ἐκκλησιῶν τοῦ Θεοῦ βαθεῖαν εἰρήνην ἐχουσῶν, σὺ τὰς μάχας καὶ τὰς ἔχθρας καὶ τὰ σκάνδαλα συνέθηκας. παῦσον καὶ ἡσύχασον, καὶ συνόδου χρεία οὐκ ἔστι. γράψον παντὶ καὶ πανταχοῦ εἰς τὴν οἰκουμένην, οὓς ἐσκανδάλισας, ὅτι Γερμανὸς ὁ πατριάρχης Κωνσταντινουπόλεως ἥμαρτεν εἰς τὰς εἰκόνας, καὶ Γρηγόριος ὁ πάπας Ῥώμης. καὶ ἡμεῖς ἀμέριμνόν σε ποιήσομεν περὶ τῆς ἁμαρτίας τοῦ σφάλματός σου, ὡς λαβόντες τὴν ἐξουσίαν ἀπὸ Θεοῦ λύειν τὰ οὐράνια καὶ τὰ ἐπίγεια. μάρτυς ἐστὶν ὁ Θεὸς, ὅσας ἔγραψας ἡμῖν ἐπιστολὰς εἰς τὰ ὦτα καὶ εἰς τὰς καρδίας τῶν βασιλευόντων τῆς δύσεως συνεθήκαμεν, εἰρηνεύοντες αὐτοὺς πρὸς τὴν ψυχήν σου, καὶ ἐπαινοῦντες καὶ μεγαλυνόντες σε, καθὼς ἐθεωροῦμέν σε πολιτευόμενον τὸ πρώτερον. διὰ τοῦτο καὶ τὰ λαυράτα σου κατεδέξαντο, καθὼς πρέπει βασιλεῦσι τιμᾶν, καὶ ταῦτα οὔπω τὴν κακὴν ἐγχείρησιν τῶν εἰκόνων, ἣν ἐποίησας, ἀκηκοότες. ὅτε δὲ ἔμαθον καὶ ἐπληροφορήθησαν, ὅτι ἀπέστειλας τὸν Ἰουβῖνον τὸν σπαθαροκανδιδάτον εἰς τὰ Χαλκοπρατεῖα εἰς τὸν σωτῆρα καταλῦσαι καὶ κατακλάσαι τὸν λεγόμενον τοῦ Ἀντιφωνητοῦ, ὅπου καὶ πολλὰ θαύματα γεγόνασιν, εὑρέθησαν ἐκεῖ γυναῖκες ζηλώτριαι καὶ μυροφόροι, παρακαλοῦσαι τὸν σπαθαροκανδιδάτον· μὴ καὶ μὴ, λέγουσαι, ποίησον ταῦτα. καὶ μὴ δεξάμενος τὴν παράκλησιν αὐτῶν, στῆσας τὴν κλίμακα ἀνῆλθε, καὶ τρὶς τύψας μετὰ τῆς ἀξίνης εἰς τὸ πρόσωπον τοῦ χαρακτῆρος τοῦ σωτῆρος, ἰδοῦσαι αἱ γυναῖκες, καὶ μὴ φέρουσαι τὴν παρανομίαν, σύρασαι τὴν κλίμακα, καὶ ἀποτυμπανίσασαι αὐτὸν, ἐκεῖ τὸν τάφον αὐτοῦ ἐποιήσαντο. σὺ δὲ ὁ ζηλωτὴς τοῦ κακοῦ, πέμψας, οὐκ οἶδα πόσας γυναῖκας ἐφόνευσας ἐκεῖσε, παρισταμένων ἀνθρώπων χρησίμων ἀπὸ Ῥώμης, ἀπὸ Φραγκίας, ἀπὸ Οὐανδαλῶν, ἀπὸ Μαυριτανίας, ἀπὸ Γοτθίας, καὶ περιεκτικῶς εἰπεῖν, ἀπὸ πάσης τῆς ἐσωτέρας δύσεως. ὅταν δὲ ἦλθον καὶ ἐξηγήσαντο ἕκαστος πρὸς τὴν ἰδίαν χώραν τὰ νεωτερικά σου καὶ παιδικὰ ἔργα, τότε ῥίψαντες τὰ λαυράτα σου κατεπάτησαν, καὶ ἀνασκαφὴν τοῦ προσώπου σου ἐποιήσαντο· καὶ στρατολογήσαντες οἱ Λονγιβάρδοι, καὶ οἱ Σαρμάται, καὶ οἱ λοιποὶ τῶν ἐκεῖσε, οἱ κατὰ τὸν Βορρᾶν, κατέδραμον τὴν ἐλεεινὴν Δεκάπολιν, καὶ αὐτὴν τὴν μητρόπολιν Ῥαβέννης παρέλαβον, καὶ τοὺς ἄρχοντάς σου ἐδίωξαν, καὶ ἰδίους ἄρχοντας κατέστησαν. καὶ βούλονται καὶ τὰ προσπαρακείμενα ἡμῖν βασίλεια, καὶ τὴν Ῥώμην οὕτω ποιῆσαι, σοῦ μὴ δυναμένου ἡμᾶς ἐκδικῆσαι. καὶ ταῦτα ἀπὸ ἀνεικασίας καὶ ἀφροσύνης ὑπέστης· ἐκφοβεῖς δὲ ἡμᾶς, καὶ λέγεις· ὅτι ἀποστελῶ ἐν Ῥώμῃ, καὶ τοῦ ἁγίου Πέτρου τὴν εἰκόνα κατακλάσω· ἀλλὰ καὶ Γρηγόριον τὸν ἐκεῖσε ἀρχιερέα δεδεμένον ἀνακομίσω, καθὼς Κωνσταντῖνος Μαρτῖνον ἐποίησε. καὶ ὀφείλεις γνῶναι καὶ πληροφορηθῆναι, ὅτι οἱ ἀρχιερεῖς, οἱ κατὰ καιρὸν ἐν Ῥώμῃ διὰ τὴν εἰρήνην καθέζονται, τῆς ἀνατολῆς καὶ τῆς δύσεως μεσότοιχον καὶ μεσόφραγμα τυγχάνοντες, τὴν εἰρήνην βράβευουσι· καὶ οἱ πρὸ σοῦ βασιλεῖς τοῦτον εἶχον τὸν ἀγῶνα τῆς εἰρήνης. ἐὰν γὰρ σοβαρεύη, καθὼς λέγεις, καὶ ἀπειλὰς ἡμῖν ὑποβάλλῃς, οὐκ ἔχομεν ἀνάγκην μετὰ σοῦ παλαίειν. εἰκοσιτέσσαρα στάδια ὑποχηρήσει ὁ ἀρχιερεὺς Ῥώμης εἰς τὴν χώραν Καμπανίας· καὶ ὕπαγε, δίωξον τοὺς ἀνέμους. ὁ πρὸ ἡμῶν ἀρχιερεὺς Μαρτῖνος διὰ τὴν εἰρήνην ἐκαθέζετο παρακαλῶν· διατοῦτο ὁ κακόφρων ἐκεῖνος Κωνσταντῖνος ὁ βεβλαμμένος εἰς τὰ δόγματα τῆς ἁγίας τριάδος, καὶ συμπαρελθὼν τοῖς τότε αἱρετικοῖς ἀρχιερεῦσι τοῖς προγεγραμμένοις, Σεργίῳ, καὶ Παύλῳ, καὶ Πύῤῥῳ, πέμψας καὶ ἁρπάσας, τυραννῶν ἀνῆγεν αὐτὸν εἰς τὸ Βυζάντιον, καὶ πολλοῖς περιστοιχοίσας αὐτὸν κακοῖς ἐξώρισεν. ἀλλὰ καὶ εἰς Μάξιμον τὸν μονάζοντα, καὶ τὸν τούτου μαθητὴν Ἀναστάσιον πολλὰ κακὰ ἐνεδείξατο, καὶ εἰς ἐξορίας ἔπεμψεν ἐν Λαζικῇ· καὶ Κωνσταντῖνος ὁ ἐξορίσας αὐτοὺς ἐνεκρώθη, καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀπέθανε. Νεζεύξιος γὰρ ὁ τότε κόμης τῆς πομπῆς αὐτοῦ, πληροφορηθεὶς ἐκ τῶν Σικελίας ἐπισκόπων, ὅτι αἱρετικός ἐστιν, ἔσω εἰς τὸ ἱερὸν τὸν τάφον αὐτοῦ ἐποιήσατο, καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἐτελειώθη. τὸν δὲ μακάριον Μαρτῖνον μαρτυρεῖ ἡ πόλις, ἐν ᾗ ἐξωρίσθη, Χερσῶνος καὶ Βοσπόρου, καὶ ὅλος ὁ Βορρᾶς, καὶ οἱ οἰκήτορες τοῦ Βορρᾶ, εἰς τὸ μνῆμα αὐτοῦ κατατρέχοντες, καὶ τὰς ἰάσεις λαμβάνοντες. ἀξιοῖ καὶ ἡμᾶς κύριος τὴν ὁδὸν Μαρτίνου πορευθῆναι· ἀλλὰ διὰ τὴν τῶν πολλῶν ὠφέλειαν θέλομεν ζῆσαι καὶ ἐπιζῆσαι, ὅτι πᾶσα ἡ δύσις εἰς τὴν ἡμετέραν

ραν ἀποβλέπει ταπείνωσιν. εἰ οὐχ ἡμεῖς τοιοῦτοι, ἀλλ' ἐκεῖνοι μεγάλην πίστιν ἔχουσιν εἰς ἡμᾶς, καὶ εἰς ὃν ἐπαγγέλλῃ καταλῦσαι καὶ ἀφανέσαι τὸν χαρακτῆρα τοῦ ἁγίου Πέτρου, ὃν αἱ πᾶσαι βασιλεῖαι τῆς δύσεως Θεὸν ἐπίγειον ἔχουσι. καὶ εἰ τοῦτο τολμήσεις δοκιμάσαι, ὄντως ἐκδικῆσαι ἔχουσιν οἱ τῆς δύσεως καὶ τοὺς ἀνατολικοὺς, οὓς ἠδίκησας. ἀλλὰ παρακαλοῦμέν σε διὰ τὸν κύριον, ἐπίστρεψον ἐκ τῶν νεωτερικῶν σου καὶ παιδικῶν ἔργων. οἶδας ὅτι τὴν Ῥώμην τὸ βασίλειόν σου ἀμύνασθαι οὐ δύνασαι, εἰ μὴ μόνον τὴν πόλιν, διὰ τὴν προσπαρακειμένην αὐτῇ θάλασσαν καὶ τὰ πλοῖα. ὡς προείπομεν γὰρ, εἰ εἰκοσιτέσσαρα στάδια ἐξέλθῃ ὁ πάπας ἀπὸ Ῥώμης, οὐδὲν προτιμᾶ σε. ἐν θλιβόμεθα, ὅτι οἱ ἄγριοι καὶ βάρβαροι, ἥμεροι ἐγένοντο· καὶ σὺ ὁ ἥμερος, ἄγριος καὶ ἀνήμερος. πᾶσα ἡ δύσις καρποφορίας πίστει προσφέρει τῷ ἁγίῳ κορυφαίῳ. καὶ εἰ πέμψῃς τινὰς ἐπὶ καταλύσει τῆς εἰκόνος τοῦ ἁγίου Πέτρου, βλέπε, προμαρτυρόμεθά σοι, ἀθῷοι ἡμεῖς τῶν αἱμάτων ἐσμὲν, ὧν μέλλουσιν ἐκχέειν· εἰς δὲ τὸν τράχηλόν σου, καὶ εἰς τὴν κεφαλήν σου ταῦτα. ἀρτίως γὰρ ἐδεξάμεθα καὶ παράκλησιν ἀπὸ τῆς ἐσωτέρας δύσεως τοῦ λεγομένου Σεπτέτου, ποθοῦντος τὸ πρόσωπον ἡμῶν χάριτι Θεοῦ, ἐπὶ τῷ δοῦναι τὸ ἅγιον βάπτισμα, τὰ ἐκεῖ πορευθῆναι. καὶ ἵνα μὴ τῆς ἀμελείας καὶ τῆς ῥᾳθυμίας ἡμῶν λόγον μέλλωμεν ἀπαιτεῖσθαι, ἐπὶ τὴν ὁδὸν παρασκευαζόμεθα. ὁ δὲ Θεὸς βάλῃ εἰς τὴν καρδίαν σου τὸν φόβον αὐτοῦ, καὶ ἐπιστρέψῃ σε εἰς τὴν ἀλήθειαν ἐξ ὧν περ κακῶς ἐπήνεγκας εἰς τὸν κόσμον· καὶ δέξωμαί σου τὰ γράμματα παρ' αὐτὰ, τὴν τῆς ἐπιστροφῆς σου ἡμῖν ὑπογράφοντα δήλωσιν. ὁ δὲ Θεὸς ὁ κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ εἰσελθὼν εἰς τὴν κοιλίαν τῆς ἁγίας παρθένου τῆς θεοτόκου διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἐνοικήσῃ ἐν τῇ καρδίᾳ σου, καὶ ἀποδιώξῃ ἐν τάχει τοὺς ἐνοικοῦντάς σοι, καὶ τὰ σκάνδαλα ἐνθέντας· καὶ τὴν εἰρήνην δωρήσηται τῇ πάντων Χριστιανῶν ἐκκλησίᾳ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ ΠΑΠΑ ΡΩΜΗΣ

Περὶ τῶν ἁγίων εἰκόνων, πρὸς Λέοντα βασιλέα τὸν Ἴσαυρον.

Ἐπιστολὴ δευτέρα.

ΤΑ γράμματα τῆς ὑμετέρας θεοφρουρήτου βασιλείας, καὶ ἐν Χριστῷ ἀδελφότητος ἐδεξάμεθα διὰ Ῥουφίνου τοῦ πρέσβεως ὑμῶν, καὶ πάνυ ἀπέγνων τῆς ἐμῆς ζωῆς, ὅτι οὐ μετέγνως, ἀλλὰ τοῖς αὐτοῖς κακοῖς ἐπιμένεις, μὴ φρονῶν τὰ τοῦ Χριστοῦ, καὶ ἀκόλουθον καὶ μιμητὴν γενέσθαι σε τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν ἡμῶν πατέρων καὶ διδασκάλων. καὶ ἁπλῶς μὴ προφέρω ξένους διδασκάλους, εἰ μὴ τοὺς τῆς πόλεώς σου, καὶ τῆς χώρας σου. ἆρα φρονιμώτεροί εἰσι Γρηγορίου τοῦ θαυματουργοῦ, καὶ Γρηγορίου Νυσσαέως, καὶ Γρηγορίου τοῦ θεολόγου, καὶ Βασιλείου Καππαδοκίας, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου; ἵνα μὴ γράψω τῶν μυρίων μυριάδων τῶν ὁμοίων ἐκείνοις ἁγίων καὶ θεοφόρων πατέρων ἡμῶν καὶ διδασκάλων. ἀλλ' ἐξηκολούθησας τῷ πείσματι, καὶ τοῖς ἐνοίκοις σου πάθεσι, καὶ ἔγραψας· ὅτι βασιλεὺς καὶ ἱερεύς εἰμι. καὶ τοῦτο οἱ πρὸ σοῦ βασιλεῖς ἔδειξαν ἔργῳ καὶ λόγῳ, οἰκτισάμενοι, καὶ φροντίσαντες τῶν ἐκκλησιῶν, ἅμα τοῖς ἀρχιερεῦσιν ἐκζητήσαντες πόθῳ καὶ ζήλῳ τῆς ὀρθοδοξίας τὴν ἀλήθειαν, Κωνσταντῖνος ὁ μέγας, καὶ Θεοδόσιος ὁ μέγας, καὶ Οὐαλεντινιανὸς ὁ μέγας, καὶ Κωνσταντῖνος ὁ Ἰουστινιανοῦ πατὴρ, ὁ τῆς ἕκτης συνόδου. οὗτοι οἱ βασιλεῖς θεοπρεπῶς ἐβασίλευσαν, μετὰ τῶν ἀρχιερέων μιᾷ βουλῇ καὶ γνώμῃ τὰς συνόδους συναθροίσαντες, καὶ τὴν ἀλήθειαν τῶν δογμάτων ἐκζητήσαντες, τὰς ἁγίας ἐκκλησίας συνεστήσαντο καὶ κατεκόσμησαν. οὗτοί εἰσιν ἱερεῖς καὶ βασιλεῖς, οἵτινες καὶ τῷ ἔργῳ ἐπεδείξαντο. σὺ δὲ ἀφ' οὗ ἐπελάβου τὸ βασίλειον, οὐκ ἐφύλαξας εἰς τέλος τοὺς ὅρους τῶν πατέρων, ἀλλ' εὑρὼν τὰς ἁγίας ἐκκλησίας ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένας, πεποικιλμένας, ἀπεκόσμησας καὶ ἠρήμωσας. τί γάρ εἰσιν αἱ ἐκκλησίαι ἡμῶν; οὐχὶ χειροποίητα, λίθοι, ξύλα, καὶ ἄχυρα, καὶ πηλὸς, καὶ ἄσβεστος; ἀλλ' ἐκοσμήθησαν διὰ τὰς ζωγραφίας καὶ ἱστορίας τῶν θαυμάτων τῶν ἁγίων, καὶ παθημάτων τοῦ κυρίου, καὶ τῆς ἁγίας ἐνδόξου αὐτοῦ μητρὸς, καὶ τῶν ἁγίων ἀποστόλων. εἰς τὰς ἱστορίας καὶ ζωγραφίας καταναλίσκουσιν οἱ ἄνθρωποι τὰς οὐσίας αὐτῶν· καὶ διακατέχοντες οἱ ἄνδρες καὶ γυναῖκες εἰς τὰς ἀγκάλας αὐτῶν τὰ νεοφώτιστα μικρὰ παιδία, καὶ τοὺς ἐν ἡλικίᾳ νέους, καὶ τοὺς ἐλθόντας ἐκ τῶν ἐθνῶν, δακτύλῳ δεικνύοντες τὰς ἱστορίας, οὕτως αὐτοὺς οἰκοδομοῦσι, καὶ τὸν νοῦν καὶ τὰς καρδίας ἄνω πρὸς τὸν Θεὸν ἀναφέρουσι. σὺ δὲ παύσας ἐκ τούτων τοὺς ταπεινοὺς λαοὺς, ἠσχόλησας αὐτοὺς εἰς ἀργολογίας, καὶ ὕθλους, καὶ κιθάρας, καὶ κροτάλιά τε καὶ αὐλοὺς, καὶ λήρους, καὶ ἀντὶ εὐχαριστίας καὶ δοξολογίας εἰς μύθους αὐτοὺς ἐνέβαλες. ἔχε τὴν κληρονομίαν μετ' αὐτῶν, καὶ μετὰ τῶν ἀργολογούντων καὶ ἀπαιδευσίας λαλούντων. ἄκουσον τῆς ταπεινώσεως ἡμῶν, βασιλεῦ, καὶ παῦσον, ἀκολούθησον τῇ ἁγίᾳ ἐκκλησίᾳ, καθὼς εὗρες καὶ παρέλαβες. οὐκ εἰσὶ τὰ δόγματα τῶν βασιλέων, ἀλλὰ τῶν ἀρχιερέων· ὅτι ἡμεῖς νοῦν Χριστοῦ ἔχομεν. ἄλλη παίδευσις ἐπὶ τῶν ἐκκλησιαστικῶν διαταγμάτων, καὶ ἄλλος νοῦς τῶν κοσμικῶν. εἰς τὰς διοι-

2. Κορυ.

κήσεις τῷ κόσμῳ τὸν πολεμικὸν καὶ σκληρὸν νοῦν ὃν ἔχεις, καὶ παχύν, εἰς τὰς πνευματικὰς τῶν δογμάτων διοικήσεις ἔχειν δύνασαι. καὶ γράφωσοι τὰς διαφορὰς τοῦ παλατίου καὶ τῶν ἐκκλησιῶν, τῶν βασιλέων καὶ ἀρχιερέων· καὶ ἐπίγνωθι, καὶ σώθητι, καὶ μὴ φιλονείκει. ἐάντις ἄρῃ ἐκ σοῦ τὰς βασιλικὰς ἐνδύσεις, τὴν πορφύραν, τὸ διάδημα τῆς κεφαλῆς, τὴν ἀλουργίδα, τὰς τάξεις τῶν πομπῶν ὄντως μέλλεις θεωρεῖσθαι παρὰ τῶν ἀνθρώπων ἄχημος, καὶ ἄμορφος, καὶ ἀδαμινὸς, καθὼς κατέσησας τὰς ἐκκλησίας. ὅπερ γὰρ οὐκ ἔχεις σὺ, τὰς ἁγίας ἐκκλησίας ἀπεκόσμησας, καὶ ἀμόρφως κατέσησας. ὥσπερ γὰρ οὐκ ἔχει ἐξουσίαν ὁ ἀρχιερεὺς ἐγκύψαι εἰς τὸ παλάτιον, καὶ προσκαλέσθαι ἀξίας βασιλικάς· ὕπως, ὅτε ὁ βασιλεὺς ἐγκύψαι εἰς τὰς ἐκκλησίας καὶ ψήφους ποιήσασθαι εἰς τὸν κλῆρον, ὅτε ἁγιάζειν ἢ χειρίζειν τὰ σύμβολα τῶν ἁγίων μυστηρίων, ἀλλ' ὅτε μεταλαμβάνειν χωρεῖς ἱερέως. ἀλλ' ἕκαστος ἡμῶν ἐν ᾗ κλήσει ἐκλήθη ὑπὸ Θεοῦ, ἐν ταύτῃ μενέτω. βλέπεις βασιλεῦ τὰς διαφορὰς τῶν ἀρχιερέων καὶ βασιλέων; ἐάντις ἁμαρτήσῃ σοι βασιλεῦ, δημόσιος τὸν οἶκον αὐτοῦ καὶ γυμνοῖς, ἐάσας ἔχειν τὴν ψυχὴν, καὶ τέλος κἀκεῖνον ἢ ἀπάγχεις, ἢ ἀποκεφαλίζεις, ἢ ἐξορίζεις, καὶ ἀλλοδαπῇ αὐτὸν ποιεῖς τῶν τέκνων καὶ πάντων τῶν συγγενῶν καὶ φίλων αὐτοῦ. οἱ ἀρχιερεῖς οὐχ οὕτως· ἀλλ' ὅταν ἁμάρτῃτις, καὶ ἐξομολογήσηται, ἀντὶ τῆς ἀγχόνης καὶ τοῦ ἀποκεφαλισμοῦ, περιτιθέασιν εἰς τὸν ἔξωθεν αὐτοῦ τὸ διαγγέλιον ἢ τὸν σαυρὸν, καὶ φυλακίζουσιν αὐτὸν εἰς τὰ κεμηλιαρχεῖα, καὶ εἰς τὰ δικανία τῆς ἐκκλησίας ἐξορίζουσιν αὐτὸν, καὶ εἰς τὰ κατηχούμενα, καὶ νησείαν εἰς τὰ ὕπερα, καὶ εἰς τοὺς ὀφθαλμοὺς ἀγρυπνίαν, καὶ δοξολογίαν ἐν τῷ σώματι αὐτοῦ ἐμποιοῦσι. καὶ ὅτε καλῶς παιδεύσωσι, καὶ καλῶς λιμαγχονήσωσι, παραβάλλουσιν αὐτῷ τὸ τίμιον σῶμα τοῦ κυρίου, καὶ τὸ ἅγιον αἷμα ποτίζουσιν αὐτόν· καὶ ἀποκαταστήσαντες αὐτὸν σκευος ἐκ λογῆς καὶ ἀναμάρτητον, οὕτως αὐτὸν προπέμπουσι καθαρὸν καὶ ἄμωμον πρὸς κύριον. βλέπεις, βασιλεῦ, τὰς διαφορὰς τῶν ἐκκλησιῶν καὶ τῶν βασιλειῶν; οἱ βασιλεῖς οἱ εὐσεβῶς καὶ ἐν Χριστῷ ζήσαντες, τοὺς ἀρχιερεῖς τῶν ἐκκλησιῶν ὅτε παρήκουσαν, ὅτε ἔθλιψαν· σὺ βασιλεῦ παραβαίνεις, καὶ διαστρέφας, καὶ ἰδιοχείρως γράψας, καὶ προσκαλῶν αὐτὸν, καὶ ὁμολογήσας ὅτι ὁ καταλύων θεία πατέρων ἐπικατάρατος. ἔνθα αὐτοκατάκειτος γέγονας, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀπεχώρησας ἀπὸ σοῦ, τὰ μωρεῖς καὶ τυραννεῖς ἡμᾶς στρατιωτικῇ καὶ σαρκικῇ χειρί. ἡμεῖς ὅπλοι καὶ γυμνοὶ, μὴ ἔχοντες στρατόπεδα ἐπίγεια σαρκικὰ, ἐπικαλούμεθα τὸν ἀρχιστράτηγον πάσης κτίσεως, τὸν ἐν οὐρανοῖς καθήμενον Χριστὸν, τὸν ἐπάνω πάσης στρατιῶν τῶν ἄνω δυνάμεων ἵνα πέμψῃ σοι δαίμονα, καθὼς λέγει ὁ ἀπόστολος· παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ. βλέπεις βασιλεῦ, εἰς ποίαν ἀναίδειαν καὶ ἀπανθρωπίαν ἐξήλασας σεαυτόν; τὴν ψυχήν σε εἰς βάραθρα καὶ χρημνοὺς ὑπέβαλες, διὰ τὸ μὴ θέλειν σε ταπεινωθῆναι, καὶ ὑποκλῖναι τὸν σκληρόν σε τράχηλον. ὅταν γὰρ οἱ ἀρχιερεῖς τοὺς βασιλεῖς διὰ νουθεσίας καλῆς καὶ διδασκαλίας τῷ Θεῷ παραστήσωσιν ἀμέμπτους καὶ καθαροὺς τῶν ἁμαρτημάτων καὶ πταισμάτων, μέγαν ἔπαινον καὶ δόξαν ἔχουσι παρ' αὐτῷ εἰς τὴν ἁγίαν μεγάλην ἀνάστασιν, ὅταν μέλλῃ ὁ Θεὸς τὰ κρυπτὰ ἡμῶν ἔργα φανερῶσαι εἰς αἰσχύνην ἡμῶν ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ. ἡμεῖς οἱ ταπεινοὶ μέλλομεν αἰσχύνεσθαι ὅτι διὰ τῆς παρακοῆς σου οὐκ ἐκερδήσαμέν σε· ὅτι οἱ πρὸ ἡμῶν ἀρχιερεῖς οἱ κατὰ τοὺς ἰδίους καιροὺς τοὺς βασιλεύσαντας προσφέρουσι τῷ Θεῷ εἰς αἰσχύνην τῶν ταπεινῶν, ὅτι οὐ προσφέρομεν ἐπὶ τῶν ἡμετέρων καιρῶν βασιλέα ἔντιμον καὶ ἔνδοξον, ἀλλ' ἄτιμον καὶ παραχαράξιμον. ἰδοὺ καὶ νῦν παρακαλοῦμέν σε, μετανόησον καὶ ἀπόστρεψον, καὶ εἴσελθε εἰς τὴν ἀλήθειαν, καὶ καθὼς εὗρες καὶ παρέλαβες, φύλαξον· καὶ τίμησον καὶ δόξασον τοὺς ἁγίους καὶ ἐνδόξους πατέρας ἡμῶν καὶ διδασκάλους, οἵτινες μὴ Θεοῦ τὰς τυφλώσεις τῶν καρδιῶν καὶ τῶν ὀφθαλμῶν ὑμῶν διλιόιξαν, καὶ ἀνέβλεψαν. ἔγραψας δὲ, ὅτι διὰ τί εἰς τὰς ἔξω σιωόδους ὁδὸν ἐρρέθη περὶ τῶν εἰκόνων; ἀληθῶς, βασιλεῦ, ὅτε περὶ ἄρτου καὶ ὕδατος ὁδὸν ἐρρέθη, φαγεῖν ἢ μὴ φαγεῖν, πιεῖν ἢ μὴ πιεῖν· ὅτι ταῦτα ἔχεις ἄνωθεν καὶ ἐξ ἀρχῆς παραδεδομένα εἰς ζωὴν τῶν ἀνθρώπων· ὕπου καὶ αἱ εἰκόνες παραδεδομέναι ἦσαν, καὶ αὐτοὶ εἰς τὰς σιωόδους οἱ ἀρχιερεῖς ἐπεφέροντο τὰς εἰκόνας· καὶ ὁδεῖς φιλόχειρος καὶ φιλόθεος ὁδοιπορῶν, χωρεὶς εἰκόνων τὰς πορείας ἐποιοῦντο, ὡς ἀνάρετοι καὶ καλοὶ τῷ Θεῷ. παρακαλοῦμέν σε, γενοῦ ἀρχιερεὺς καὶ βασιλεὺς, καθὼς προέγραψας. ἐὰν τοῦτο ἐρυθριᾷς ὡς βασιλεὺς αἰτιολογῆσαι ἑαυτὸν, γράψον εἰς πάσας τὰς χώρας, ἃς ἐσκανδάλισας, ὅτι Γρηγόριος ὁ πάπας Ῥώμης ἔσφαλλε περὶ τῶν εἰκόνων, καὶ Γερμανὸς, ὁ πατριάρχης Κωνσταντινουπόλεως· καὶ ἡμεῖς ἀναδεχόμεθα τὸ σφάλμα τῆς ἁμαρτίας, ὡς λαβόντες παρὰ κυρίου τὴν ἐξουσίαν καὶ αὐθεντίαν λύειν καὶ δεσμεῖν τὰ ἐπίγεια καὶ τὰ ἐπουράνια. καί σε ἀμέμπτον ποιήσομεν. οὐκ ἠθέλησας, καὶ οὐ θέλεις· ἡμεῖς ὡς λόγον ἀποδώσοντες τῷ δεσπότῃ Χριστῷ, τὰς νουθεσίας καὶ διδασκαλίας παρεθέμεθά σοι, καθὼς καὶ ἐδιδάχθημεν ὑπὸ τοῦ κυρίου. καὶ ἀπέφυγες, καὶ παρήκουες ἡμῶν τῶν ταπεινῶν, καὶ Γερμανοῦ τοῦ προέδρου, καὶ τῶν ἁγίων καὶ ἐνδόξων θαυματουργῶν καὶ διδασκάλων πατέρων ἡμῶν, καὶ ἠκολούθησας διεσκαμμένοις καὶ σαθροῖς, τῶν δογμάτων τῆς ἀληθείας σφαλλομένοις. ἔχε τὴν μερίδα μετ' αὐτῶν. ἡμεῖς καθὼς προεγράψαμέν σοι, ἐπέ-

x Κορινθ. 7.

x. Κορινθ. 5.



Μεγ. Λαύρα. Ἅγ. Μανδήλιον, 16ου αἰ.

Ι΄ Σ Τ Ο Ρ Ι΄ Α

ΤΗ̃Σ Ε΄Ν ΝΙΚΑΙ΄Α

ΤΗ̃Σ ΒΙΘΥΝΙ΄ΑΣ ΤΟ΄ ΔΕΥ΄ΤΕΡΟΝ

Ε΄ΒΔΟ΄ΜΗΣ ΟΙ΄ΚΟΥΜΕΝΙΚΗ̃Σ

Α΄ Γ Ι΄ Α Σ Σ Υ Ν Ο΄ Δ Ο Υ.

Θεοδοσίȣ τȣ̃ ἀπὸ Τελώνȣ παραίτησιν τȣ̃ βασιλικȣ̃ θρόνȣ ποιησαμένȣ, τῷ ἔτει ἑπτακοσιοστῷ δεκάτῳ ἕκτῳ, καὶ ἅμα τῷ υἱῷ αὐτοῦ ἐκκλησιαστικοῦ Γενομένου, ἦλθεν ὁ Ἴσαυρος Λέων, ⲥ ἐβασίλευσεν εἰς τὸ Βυζάντιον. ἐστέφθη βασιλεὺς ὑπὸ τȣ̃ Πατριάρχȣ Γερμανȣ̃, καὶ ἐποίησε τὴν ὁμολογίαν τῆς πίστεως αὐτȣ̃, ἧς τὸ ἴσον μετὰ τῶν εἰκόνων αὐτȣ̃ ἀπέστειλε καὶ εἰς τὸν Ῥώμης. Κατὰ δὲ τὸ τέταρτον ἔτος τῆς βασιλείας αὐτȣ̃ ἐγεννήθη Κωνσταντῖνος ὁ υἱὸς τȣ, ὁ ῥηθεὶς πρόδρομος τȣ̃ Ἀντιχρίστȣ, ὁ κοπρίσας τὴν ἁγίαν κολυμβήθραν ὅτε ὑπὸ τȣ̃ Πατριάρχȣ Γερμανȣ̃ ἐβαπτίζετο. τȣ̃το θεωρῶν ὁ Γερμανὸς, προεφήτευσεν εἰπὼν εἶναι τεκμήριον πολλῆς μελλούσης ἐν τῇ ἐκκλησίᾳ κακοπραγίας, καθὼς καὶ ἐγένετο· ἔτι δὲ βρέφος ὤντα τὸν Κοπρώνυμον ἔστεψεν ὁ Λέων εἰς Καίσαρα, ᾧ τὸ διάδημα ἀκουσίως δέδωκε κατὰ τὸ πάσχα ὁ ἅγιος Γερμανός. Οὗτος ὁ Λέων ἔγινεν εἰκονομάχος δι' αἰτίαν τοιαύτην καθὰ σημειοῖ ὁ μοναχὸς Ἰωάννης ὁ Ἱεροσολυμίτης, ὅτι ἀποθανόντος τȣ̃ τῶν Ἀράβων ἀρχηγȣ̃ Σουλεϊμᾶν, διαδέχεται τοῦτον ὁ ὦμερ, τοῦτον δὲ διαδέχεται ὁ Ἔζιδος, ἤτοι Γιεζίτης. ἡ δὲ εἰς τὴν Τιβεριάδα εἶς τις φαρμακομάντις Ἑβραῖος ἐπονομαζόμενος Σαραντάπηχος, λίαν ἐχθρὸς τῶν Χριστιανῶν, ὃς μαθὼν τὴν Γιεζίτου κουφότητα, καὶ τὸν ἄσωτον καὶ ἐκτεθηλυμένον βίον, ἀπῆλθεν εἰς αὐτὸν, καὶ ἐπειδὴ ἐνομίσθη μάντις, ἐρωτηθεὶς ὑπὸ τȣ̃ Γιεζίτου περὶ τῶν χρόνων τῆς ζωῆς αὐτοῦ, εἶπεν ὅτι τριάκοντα χρόνους (ἄλλοι δὲ λέγȣσι τεσσαράκοντα, καὶ ἄλλοι ἑβδομήκοντα) ἐξουσιάσει, ἐὰν μόνον ποιήσῃ πρόσταγμα κοινὸν ἀφανίζον πᾶσαν εἰκονικὴν διαζωγράφησιν τῶν Χριστιανῶν, κἄν τε εἰς τοίχους καὶ σανίδας ᾖ, καὶ ἱερὰ σκεύη καὶ ὀθόνας, κἄν τε εἰς τὰς ἀγορὰς πρὸς διακόσμησιν. ὁ δὲ ἀποστείλας ἠφάνισε τὰς εἰς τὴν ἐξουσίαν αὐτοῦ τῶν Χριστιανῶν εἰκόνας· ἐπεὶ δὲ οἱ Χριστιανοὶ ἀπέφευγον τοῦ συντρίψαι τὰς ἁγίας εἰκόνας, Σαρακηνοὶ τὸ ἔργον ἐπλήρȣν, καὶ δὴ καὶ τοὺς τοίχους τῶν ἐκκλησιῶν οὓς μὲν κατέξεον, οὓς δὲ ἤλειφον βορβόρῳ. ἀλλὰ καὶ τὶς Ἐπίσκοπος Νακωλείας καί τινες τῶν περὶ αὐτὸν Ἐζίδῳ μιμησάμενοι, τὰ ὅμοια ἐποίȣν ταῖς Ἐκκλησίαις κακά· θνήσκει ὅμως μετὰ δύο καὶ ἥμισυ ἔτη ὁ Ἔζιδος, ὃν φαρμακεῦσαι ὁ Ἑβραῖος ἐνομίσθη, ὅθεν Οὔλιδος ὁ υἱὸς αὐτȣ̃ ἀπέκτεινε τὸν Ἑβραῖον τῷ ὁμοίῳ τοῦ πατρὸς αὐτοῦ θανάτῳ, καὶ πάλιν αἱ Ἐκκλησίαι ἀπέλαβον τὸν στολισμὸν αὐτῶν. ἐκ τούτου ὅμως τοῦ ἀκούσματος, καὶ ἔκτινων Ἑβραίων τῶν προμηνυσάντων τῷ Λέοντι Ἰσαύρῳ τὴν βασιλείαν, καὶ ἀπότινος βερσῆ τοῦ ἀρνησαμένου ἐν τῇ Συρίᾳ τὸν Χριστὸν, καὶ ἀνατραφέντος μὲν εἰς τοὺς Σαρακηνοὺς, ἐλθόντος δὲ εἰς Κωνσταντινούπολιν, ὃν ἔχων σύμβουλον αὐτοῦ (καίτοι γε ὁ Κοπρώνυμος αὐτὸν ὕστερον ἀπέκτεινεν ὡς κακότροπον) ὁ Ἴσαυρος οὗτος Λέων, παρεκινήθη κατὰ τῶν ἁγίων εἰκόνων, καὶ ἐχρημάτισεν Αἱρεσιάρχης. ὅθεν ἐκέλευσε κατὰ τὸ ἔνατον τῆς βασιλείας αὐτȣ̃ ἔτος μὴ προσκυνεῖσθαι τὰς ἁγίας εἰκόνας. Ἐπειδὴ γȣ̃ν Γέγονε πολλὺ σύγχυσις εἰς τὸν λαὸν τῆς Κωνσταντινȣπόλεως διὰ τὸ ἄθεον ἐκεῖνο πρόσταγμα κατὰ τῶν θείων εἰκόνων, προελέγξαντος τὸν Ἴσαυρον καὶ τȣ̃ ἁγίȣ Γερμανȣ̃, ⲥ τȣ̃ πάπα Γρηγορίȣ δευτέρȣ γράψαντος πρὸς αὐτὸν, ὅτι ȣ̓δεῖ τὸν βασιλέα διακρίνειν περὶ πίστεως, καὶ καινοτομεῖν

χρόν. Χριστȣ̃ 726.

πιστημεν χάριτι Θεοῦ τῷ ὁδὸν ἐπὶ τὴν ἐσωτέραν χώραν τῆς δύσεως τοῖς τὸ ἅγιον βάπτισμα ἐπιζητοῦσι. καὶ γὰρ ἀποστείλαντός μου ἐκεῖσε ἐπισκόπους, καὶ τῆς ἁγίας ἡμῶν ἐκκλησίας κληρικοὺς, οὕτω κατεδέξαντο ἐπικλῖναι τὰς κεφαλὰς καὶ φωτισθῆναι οἱ ἀρχηγοὶ αὐτῶν, ἐμὲ ἐπιζητοῦντες γενέσθαι αὐτῶν ἀνάδοχον. ἐπὶ τούτῳ ἐπέστημεν Θεοῦ χάριτι τῷ ὁδὸν, ἵνα μὴ τῆς κατοκείσεως καὶ τῆς ἀμελείας ἡμῶν λόγον ἀποδῶμεν. ὁ Θεὸς δῴη σοι σώσειν καὶ μετάνοιαν εἰς ἐπίγνωσιν τῆς ἀληθείας, ὅθεν ἐξέφυγες, καὶ ἀποκατιστήσοι πάλιν τοῖς ταπεινοῖς λαοῖς εἰς ἕνα ποιμνίον τὸν Χριστὸν, καὶ εἰς μίαν ποίμνιον τῶν ὀρθοδόξων ἐκκλησιῶν καὶ ἱερέων· καὶ τῷ ἐρημίῳ ὁ κύριος Θεὸς ἡμῶν παράσχοι πάσῃ τῇ οἰκουμένῃ καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Μεγ. Λαύρα. Ἅγ. Θεόδωρος ὁ Γραπτός, 16ου αἰ.



Ἅγ. Θεόδωρος ὁ Στουδίτης. Σύγχρονον ἔργον.



Μεγ. Λαύρα. Ἅγ. Θεοφάνης ὁ Γραπτός, 16ου αἰ.



Μεγ. Λαύρα. Ἅγ. Στέφανος ὁ Νέος, 16ου αἰ.



Ὅσιος Νικήτας ὁ Ὁμολογητής.

μεῖν εἰς τὰ ἀρχαῖα δόγματα, ἅπερ οἱ ἅγιοι πατέρες ἐδογμάτισαν, στρέψας εὐθὺς ὁ Ἰσαυρος τὸ τοῦ Γύγου δακτυλίδιον κατὰ τὴν παροιμίαν εἶπεν, ὅτι οὐκ ἦν ἡ γνώμη μου ἵνα ἐκβάλλω τελείως τὰς εἰκόνας, ἀλλ' ἵνα μόνον ὑψοῦ τεθῶσι καὶ μὴ μιαίνωνται ὑπὸ τῶν στομάτων ἡμῶν, αὐτὰς καταφιλούντων. ποιεῖν δὲ ἔλεγε τοῦτο, ἵνα μὴ συχνάκις αὐτὰς ὁρῶντες, κατὰ μικρὸν αὐτῶν ἐπιλαθώμεθα. τὸ γὰρ μὴ βλεπόμενον ταχέως παραδίδοται λήθῃ, τὸ δὲ λίαν ἀγαπώμενον πρόσωπον, πάντοτε βουλόμεθα βλέπειν, καὶ πρὸ ὀφθαλμῶν ἡμῶν ἔχειν. Τῷ οὖν δεκάτῳ τρίτῳ ἔτει αὐτοῦ ἐξέβαλεν ὁ Κόνων τοῦ θρόνου τὸν Γερμανὸν Πατριάρχην, καὶ ἔβαλεν ἀντ' ἐκείνου τὸν σύγκελλον Ἀναστάσιον, τὸν νέον προδότην Ἰούδαν, τὸν συμφωνήσαντα τῷ Κόνωνι καὶ ἐπιβουλεύσαντα τῷ Γέροντι αὐτοῦ. ὁ δὲ ἅγιος Γερμανὸς ἐξοριζόμενος λαβὼν εἰκόνα τοῦ σωτῆρος ἐν σανίδι διὰ ψηφίδων, ἔγραψε χάρτην ἰδίᾳ χειρὶ, καὶ εἶπε, διδάσκαλε σῶσον σεαυτὸν καὶ ἡμᾶς, καὶ ἐκόλλησε τὸν χάρτην εἰς τὸ πρόσωπον τῆς εἰκόνος, εἶτα ἀφῆκεν αὐτὴν ὄρθιον εἰς τὴν θάλασσαν, καὶ διὰ τεσσάρων ἡμερῶν εὑρέθη εἰς τὴν Ῥώμην, καὶ ἐγνώσθη τῷ πάπα δι' ἀποκαλύψεως. μετὰ τὸν ἅγιον Γερμανὸν τὸν πρῶτον, καὶ διάπυρον κορυφαῖον κατὰ τῶν εἰκονομάχων, ἐξωρίσθη ὑπὸ τοῦ Λέοντος, καὶ Θεόδωρος ὁ μανσὺρ εἰς τὴν ἔρημον, ὁ ψάλτης καὶ ἐπίσκοπος, ὁ ὁμόχρονος Κοσμᾶ τοῦ μελῳδοῦ, καὶ Ἰωάννου τοῦ Δαμασκηνοῦ τοῦ χαριτωνύμου, ἀλλὰ καὶ κατὰ τοῦ Παύλου καὶ θεοστηρίκτου τῶν σοφῶν καὶ ἁγίων ἀνδρῶν ἠγριώθη ὁ θηριώνυμος αὐτοκράτωρ, ναὶ δὴ καὶ κατὰ τοῦ μοναχοῦ θεοφίλου διὰ μόνην αὐτὴν τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν. μετὰ τὸν θάνατον Λέοντος τοῦ Ἰσαύρου, Κωνσταντῖνος ὁ ἀνοσιουργὸς ὁ υἱὸς αὐτοῦ ὁ Κοπρώνυμος ἤθροισεν εἰς Κωνσταντινούπολιν μίαν ψευδοσύνοδον, καὶ οἰκουμενικὴν ὠνόμασεν αὐτήν. εἰς ἣν λέγεται εὑρεθῆναι τριακοσίους τριάκοντα καὶ ὀκτὼ ψευδεπισκόπους, ἐν ἔτει ἑπτακοσιστῷ πεντηκοστῷ τετάρτῳ· οὐκ ἄλλο σε δὲ συνήχθησαν, ἀλλ' ἢ μόνον εἰς τὸν σεβασμιώτατον ναὸν τὸν ἐν βλαχέρναις, ὄντα ὡραιοτάταις ἱστορημένον εἰκόσιν, ἃς ἐποίησε φθαρῆναι πάσας ὁ ἀσύνετος βασιλεὺς, βλασφημῶν αὐτὰς, εἴδωλα καὶ ἀγάλματα εἶναι λέγων, καὶ εἰδωλολάτρας τοὺς ὅσοι αὐτὰς προσεκύνουν. προεξῆρχε δὲ τῆς συνόδου ὁ Ἐφέσου Θεοδόσιος υἱὸς Ἀψιμάρου, καὶ Πασιλλὰς ὁ Πέργης· ἤρξατο δὲ ἀπὸ δωδεκάτης Φεβρουαρίου, καὶ ἤρκεσεν ἕως ὀγδόης Αὐγούστου. ἀνῆλθε δὲ ὁ Κοπρώνυμος εἰς τὸν ἄμβωνα κρατῶν τῆς χειρὸς καὶ Κωνσταντῖνον Πατριάρχην καὶ τὰ τίμια ξύλα, καὶ, ὡς εἴρηται, ἀνεθεμάτισε τοὺς προσκυνοῦντας τὰς ἁγίας εἰκόνας, καὶ δὴ ἀνεθεμάτισε καὶ τὸν ἅγιον Γερμανὸν, καὶ τὸν Δαμασκηνὸν Ἰωάννην, καὶ Γεώργιον τὸν Κύπριον, ὡς ὑπερμάχους τῶν ἁγίων εἰκόνων, ἀποκαλῶν αὐτοὺς ξυλοπίστους, καὶ δαιμονολάτρας, διορισάμενος ὁμοῦ καὶ τοὺς ἁγίους μάρτυρας τοὺς ἀκριβεῖς μαργαρίτας τοῦ Χριστοῦ μὴ ὀνομάζεσθαι ἁγίους καθότι ἅγιος δῆθεν εἷς καὶ μόνος ὁ Θεός. ἀντέστισαν ταύτῃ τῇ συνόδῳ οἱ ἅγιοι Γερμανὸς καὶ Δαμασκηνὸς καὶ ἕτεροι πολλοί. καὶ ὁ μὲν Δαμασκηνὸς Ἰωάννης μετὰ τῶν ἐπισκόπων τῆς ἀνατολῆς ἀνεθεμάτισε τὸν Ἰσαυρον, ὕστερον δὲ ἔγραψεν ἐγκύκλιον ἐπιστολὴν πρός τε τὸν Κοπρώνυμον καὶ τοὺς περὶ αὐτῶν εἰκονομάχους περὶ τῶν ἁγίων εἰκόνων. ἔντισιν ὅμως ἀντιγράφοις ἐπιγράφεται εἶναι τὴν ἐπιστολὴν Ἰωάννου τοῦ Πατριάρχου Ἱεροσολύμων. ἐν ταύτῃ τῇ ἐπιστολῇ δείκνυσι τὴν σύνοδον ταύτην μὴ εἶναι οἰκουμενικήν. καὶ γὰρ (φησὶν) ἀκέφαλος ἐστὶν ἡ σύνοδος τοῦ Κοπρωνύμου καὶ θεομίσητος. ποῖος γάρ (εἰπέ μοι) πατριάρχης ἐν αὐτῇ τῇ ἀκεφάλῳ συνόδῳ εὑρέθη; ὁ Ῥώμης οὐ κατεδέξατο ἐλθεῖν, ὁ Ἀλεξανδρείας, οὐδὲ ὅλως, ὁ Ἀντιοχείας, οὐδὲ τὸ σύνολον, ὁ Ἱεροσολύμων, οὐδὲ ἅπαξ. λοιπὸν ποταπὴ ἐστὶν αὕτη ἡ σύνοδος Πατριάρχην μὴ ἔχουσα; σύνοδος οἰκουμενικὴ ἐστὶν, ὅταν τὰ πέντε πατριαρχεῖα θεσπίσωσι μίαν πίστιν καὶ ἕνα λόγον. εἰδὲ ἐκ τούτων κἂν εἷς ἀπολείψῃ, εἰμὴ ὑποκύψειε τῇ συνόδῳ, αὕτη σύνοδος οὐκ ἔστιν, ἀλλὰ συναγωγὴ καὶ συνέδριον ματαιότητος, καὶ ἀλαζονείας· ἀλλὰ δὴ καὶ ὁ ἅγιος Γερμανὸς ἔλεγε τῷ Ἰσαύρῳ, εἰ ἐγὼ εἰμὶ Ἰωνᾶς, βάλλετέ με εἰς τὴν θάλασσαν, χωρὶς γὰρ οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν, ἀδυνατόν μοι ὦ βασιλεῦ· ἢ ὡς λέγει ὁ ἐν ἁγίοις Νικηφόρος ἐν τῷ χρονικῷ, ἄνευ οἰκουμενικῆς συνόδου ἔγγραφον πίστιν οὐ κατατίθεμαι· τούτοις συνᾴδει καὶ ὁ θεοφάνης λέγων, εἰς τὸ δέκατον τρίτον ἔτος τοῦ Κοπρωνύμου ἤθροισεν αὐτὸς ὁ δυσσεβὴς βασιλεὺς Κοπρώνυμος παράνομον συνέδριον κατὰ τῶν ἁγίων εἰκόνων, οἳ καθ' ἑαυτοὺς τὰ δόξαντα ἐδογμάτισαν, μηδενὸς παρόντος τῶν καθολικῶν θρόνων, Ῥώμης φημὶ, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων. δῆλον οὖν κἀντεῦθεν, ὅτι ἀναγκαία ἡ παρουσία τῶν πέντε πατριαρχῶν, ἵνα συσταθῇ οἰκουμενικὴ σύνοδος. τοῦτο αὐτὸ δείκνυται καὶ ἐν τῇ παρούσῃ συνόδῳ, ἐν μὲν τῇ συνοπτικῇ δηλώσει τῶν περὶ τῆς συνόδου λέγεται· ὅτι καὶ ἀναγνωσθέντων τινῶν συνοδικῶν τῶν διαγορευόντων μὴ δεῖν γενέσθαί ποτε σύνοδον οἰκουμενικὴν παρεκτὸς συμφωνίας τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν, ἐν δὲ τῇ ἕκτῃ πράξει ἀναγινώσκοντος τοῦ Νεοκαισαρείας Γρηγορίου, καὶ εἰπόντος τὴν ἐπὶ τοῦ Καβαλλίνου σύνοδον οἰκουμενικὴν, Ἐπιφάνιος διάκονος ἀνέγνω ἐκ μέρους τῆς ἁγίας συνόδου εἰπών. πῶς δ' ἂν μεγάλῃ καὶ οἰκουμενικὴ, ἣν οὔτε ἐδέξαντο, οὔτε συνεφώνησαν οἱ τῶν λοιπῶν Ἐκκλησιῶν πρόεδροι, ἀλλὰ ἀναθέματι ταύτην παρέπεμψαν; οὐκ ἔχε συνεργὸν τὸν τηνικαῦτα τῶν Ῥωμαίων πάπαν, ἢ τοὺς περὶ αὐτὸν ἱερεῖς, οὔτε διὰ τοποτηρητῶν αὐτοῦ, οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς καθὼς νόμος ἐστὶ ταῖς συνόδοις, ἀλλ' οὔτε συνφρονοῦντας αὐτῇ τοὺς πατριάρχας τῆς ἕω Ἀλεξανδρείας, Ἀντιο-

χρόν. Χριστοῦ 754.

τιοχείας, καὶ τῆς ἁγίας πόλεως, ἢ τὸς σὺν αὐτοῖς μύσας καὶ ἀρχιερεῖς. ὄντως καπνὸς ἀχλύος πλήρης σκοτίζων ὀφθαλμὸς ἀφρόνων ὁ λόγος αὐτῆς, καὶ ἐχὶ λύχνος πεθεὶς ἐπὶ τὴν λυχνίαν τῦ φωτίζειν τὸς ἐν τῇ οἰκίᾳ, διότι τοπικῶς ὡς ἐν παραβύσῳ τὰ αὐτῆς ἐλαλήθη, καὶ ὐκ ἐπάνω τῦ τῆς ὀρθοδοξίας ὄρους, ὐδὲ εἰς πᾶσαν τὴν γῆν ἀποστολικῶς ἐξῆλθεν ὁ φθόγγος αὐτῆς, ἢ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῆς, ὥσπερ τῆς ἐξ ἁγίων οἰκουμενικῶν συνόδων. Ἀπέθανε δὲ ὁ Κωνσταντῖνος ὑπὸ τῦ ἀνθρακος τῦ καρβέντα ὁρμώμενος δηλονότι κατὰ τῆς Βουλγάρων, καὶ ἐν τῇ τῦ θανάτῳ αὐτῦ ἀγωνίᾳ ψυχορραγῶν εἰς τὸ χελάνδιον, ἔκραζεν, ὅτι διὰ τὴν μαγίαν παρεδόθη τῷ πυρὶ τῷ αἰωνίῳ. Λέων ὁ υἱὸς τῦ Κωνσταντίνου βασιλεύσας, ἔδοξεν ἀσεβὴς, καὶ τῆς θεονύμφα φίλος, ὅθεν καὶ μηδὲ πολίτας εἰς τὸς πρωτίστους θρόνους προεβάλετο ἐκ τῆς Ἀββάδων, ἐν τῇ μεσότητι ὅμως τῆς ἁγίων νησείων ῥίψας τὸ πρόσωπεῖον τῆς ὑποκρίσεως, πολλὸς ἀξιωματικὸς καὶ μοναχὸς ἐπόμπευσεν, ἀπέκλεισεν ἐξώρισε διὰ τὴν προσκύνησιν τῆς ἁγίων εἰκόνων. Λιθομανὴς δὲ ὢν, ἐπεθύμησε φορεῖν τὸ σέμμα τὸ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ (ὥπερ ἐν αὐτῇ Μαυρίκιος ὁ βασιλεὺς ἔθετο κατὰ τὸν Ζωναρᾶν) λαβόντος δὲ αὐτὸ καὶ φορέσαντος, ἐξῆλθον ἄνθρακες εἰς τὴν κεφαλὴν αὐτῦ, καὶ ληφθεὶς σφοδρῷ πυρετῷ, ἐτελεύτησεν. ἐπὶ τῦ Λέοντος τότε ἀπέθανεν ὁ ψαλτοπαξιάρχης Νικήτας, καὶ προεβλήθη Παῦλος ὁ Κύπριος, ὅς τις εἰς τὸν δεύτερον χρόνον Κωνσταντίνου καὶ εἰρήνης ἀθετήσας, ἀπῆλθεν εἰς τὴν μονὴν τῦ Φλώρου καὶ ἔλαβε τὸ σχῆμα, παρεγένετο δὲ καὶ ἡ βασιλὶς σὺν τῷ υἱῷ εἰς αὐτὸν λυπουμένη καὶ καταβοῶσα αὐτῦ διὰ τὴν παραίτησιν, ὁ δὲ θρηνῶν καὶ ὀδυρόμενος εἰπεν αὐτῇ, εἴθε μηδέποτε ἐκάθισα εἰς τὸν πατριαρχικὸν θρόνον τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, τυραννουμένης καὶ ἀπεσχισμένης τῆς λοιπῶν πατριαρχικῶν θρόνων, καὶ ἀναθεματιζομένης ὑπ' αὐτῆς. ἡ δὲ βασιλὶς προσκαλεσαμένη τὸς συγκλητικοὺς εἰς τὰ βασίλεια, ἀπέστειλεν αὐτὸς πρὸς ἐκεῖνον ἵνα ἀκούσωσιν αὐτῦ τί λέγει. εἶπεν αὐτοῖς λοιπὸν ὁ Παῦλος, ὅτι ἐὰν μὴ γένηται σύνοδος οἰκουμενικὴ, καὶ τὸ ἐν τῷ μέσῳ ὑμῶν σφάλμα διορθωθῇ, ὐκ ἔχετε σωτηρίαν. εἶπον δὲ αὐτῷ οἱ συγκλητικοὶ, καὶ διατί ὅτε ἐχειροτονήθης ὑπέγραψας ἵνα μὴ προσκυνῶνται αἱ εἰκόνες; ὁ δὲ ἀπεκρίθη, καὶ ἐγὼ διατῦτο θρηνῶ, καὶ ἔδραμον εἰς τὴν μετάνοιαν ἴσως καὶ εὕρω ἔλεος, καὶ ταῦτα εἰπὼν, ἐκοιμήθη. ἐν δὲ τῷ πέμπτῳ ἔτει τῆς αὐταρχίας ἡ εἰρήνη συναγαγῦσα τὴν μερισίαν εἰς τὴν μαγναῦραν, εἶπεν, εἰ μὴ ἦζη Παῦλος, εἰ καὶ ἐγεγόνει μοναχὸς, οὐκ ἂν ἀφήκαμεν αὐτὸν, καὶ εἶπε περὶ Ταρασίου, ὁ δὲ ὐκ ἤθελεν. ἐρωτηθεὶς δὲ διατὶ ὐ προσεδέχετο τὴν ψῆφον τῆς συγκλήτου καὶ τῦ λαῦ, ἀπεκρίθη πρῶτον, ὅτι μέγα τὸ ἀξίωμα τῆς ἀρχιερωσύνης, καὶ ὅτι αὐτὸς ἰδίᾳ κοσμικὸς καὶ ἐδεήθη· δεύτερον, ὅτι ἡ ἐκκλησία Κωνσταντινουπόλεως ἀναθεματίζεται ὑπὸ τῆς λοιπῶν ἐκκλησιῶν, καὶ ὅτι ἵνα γένηται σύνοδος, καὶ ἐσέρχθη. ὅθεν ἐχειροτονήθη ἐν ἔτει ἑξακισχιλιοστῷ διακοσιοστῷ ἐνενηκοστῷ ἕκτῳ, Δεκεμβρίῳ εἰκοστὴ πέμπτη, καὶ ἔγραψεν εἴς τε τὸν πάπαν Ἀδριανὸν, καὶ εἰς τὸς τῆς ἀνατολῆς πατριάρχας καὶ ἀρχιερεῖς. ἀντέγραψαν πρὸς τὸν Κωνσταντινουπόλεως Ταράσιον οἱ πατέρες, καὶ οἱ ἡγούμενοι τῆς Ἱερουσαλὴμ, καὶ οἱ ἁγιώτατοι πατριάρχαι Ἀλεξανδρείας καὶ Ἀντιοχείας, καὶ τὴν ἐπισολὴν ἐκόμισαν Ἰωάννης, καὶ Θωμᾶς ἱερομόναχοι καὶ ἀποκρισιάριοι τῶν ἁγίων πατριαρχικῶν θρόνων, πλείονες γὰρ τόπων ὐκ ἠδυνήθησαν ἐλθεῖν διὰ τὸς ἐκεῖσε τοπάρχας ἀγαρηνὸς πρὸς τὴν θεάρεσον σύνοδον, καὶ εἰς τῦτο ζητῦσι συγγνώμην. ἀπὸ δὲ τῦ ἀποστολικῦ θρόνου τῆς Ῥώμης ἦλθον τοποτηρηταὶ Πέτρος καὶ Πέτρος πρεσβύτεροι, καὶ συνόντων αὐτοῖς τῦτε Ταρασίου καὶ τῆς ὑφ' αὐτῷ ἐπισκόπων τῆς οἰκουμένης ἐλθεῖν εἰς τὴν σύνοδον, ὠρίσθη ὑπὸ τῆς βασιλέων ἵνα γένηται ἡ σύνοδος ἐν τῷ ναῷ τῆς ἁγίων Ἀποστόλων δωδεκάτῃ, ἥτις ἕκτῳ ἔτει τῆς ὑπατείας αὐτῆς. ἀλλὰ τινὲς οἰκονομάχοι ἐπίσκοποι, καὶ ἕτεροι τινὲς τῆς ἐγκείτων λαϊκῶν συνεισθισμένοι εἰς τὴν οἰκονομαχίαν ἔπεισαν ὄχλον πολὺν τῆς στρατιωτῆς, καὶ πεποίηκασιν ἐχυρὰν κρᾶσιν ἵνα ἐμποδίσωσι τὴν ἄθροισιν τῆς συνόδου. οἱ βασιλεῖς ὅμως ἀντέστησαν καὶ ὥρισαν ἵνα γένηται ἡ σύνοδος ἀπαραίτητος, ἧς πάλιν συνελθούσης ἐν τῷ αὐτῷ ναῷ, καὶ ἀναγινωσκομένων τινῶν συνοδικῶν τῆς διαγορευόντων μὴ δεῖν γένεσθαι σύνοδον οἰκουμενικὴν παρεκτὸς συμφωνίας τῶν λοιπῶν πατριαρχῶν, καὶ καθεζομένων τῶν βασιλέων ἐν τοῖς κατηχουμένοις καὶ ἀκροωμένων, ὄχλος πάλιν ἐκινήθη πολὺς τῶν στρατιωμένων ὡσαύτως τῶν αὐτῶν οἰκονομάχων, καὶ ἑῴων, ἀρκεῖ ἡ γνωμένη, ἤτοι ἡ ἐπὶ τῦ Κωνσταντίνου σύνοδος. ἠπείλησε δὲ ἵνα ἀποκτείνωσι τόν τε Ταράσιον, καὶ τὸς λοιπὸς ὀρθοδόξους ἐπισκόπους, καὶ μοναχούς. φυγόντων δὲ τῦτε πατριάρχου, καὶ τῶν ἐπισκόπων εἰς τὸ ἅγιον βῆμα, οἱ παράφρονες ἐξῆλθον λέγοντες, νενικήκαμεν, καὶ ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια. ἡ δὲ βασιλὶς πλασαμένη καταδρομὴν δῆθεν στρατιᾶς ἀγαρηνῶν, ἐκβάλλει τὸς στρατιώτας τῆς πόλεως καὶ γνωμένης εἰρήνης μετὰ ὀλίγα χρόνον διορίζεται ἡ σύνοδος εἰς τὴν Νίκαιαν. ἦσαν δὲ πατριάρχαι (καθὰ καὶ ἐν τῇ προθεωρίᾳ ταύτης τῆς συλλογῆς τῶν συνόδων ἔφην) τῆς μὲν Ῥώμης Ἀδριανὸς ὁ πάπας, Κωνσταντινουπόλεως δὲ ὡς εἴρηται ὁ Ταράσιος, Ἀλεξανδρείας δὲ Ἀπολλινάριος, Ἀντιοχείας Θεοδώρετος, καὶ Ἱεροσολύμων Ἠλίας. πατέρες δὲ ὡς βεβαιοῖ ὁ ψελλὸς ἦσαν τριακόσιοι πεντήκοντα, εἰ καὶ τὸ μηνολόγιον τῦ βασιλέως βασιλείου γράφει, ὅτι διρέθησαν εἰς τὴν σύνοδον τριακόσιοι ἑξήκοντα ἑπτὰ, ἐστὶν ὅμως τῦτο βέβαιον ὅτι ἦσαν ἑξακόσιοι πεντήκοντα, οἱ δὲ λοιποὶ ἦσαν εἰκονομάχοι, ἦγεν οἱ δεκαεπτὰ, οἵτινες

μ̄ τῶν κοσμικῶν εἰκονομάχων ἀντέλεγον καὶ ἐμάχοντο τῇ ἁγίᾳ συνόδῳ, μ̄ ταῦτα δὲ συμφρονήσαντες, προσεδέχθησαν, ὥστε ἦσαν ὅλοι τριακόσιοι ἑξήκοντα ἑπτά· εἶχον δὲ εἰς τὴν σύνοδον πολλὴν ἰσχὺν καὶ οἱ μοναχοί, καθότι ἦσαν Ἀρχιμανδρῖται ἑκατὸν τριάκοντα ἕξ. ἔχει δὲ αὕτη ἡ σύνοδος πράξεις ὀκτώ. ὧν ἐν μιᾷ τῇ ὀγδόῃ καὶ τελευταίᾳ καλοῦνται οἱ πατέρες εἰς Κωνσταντινούπολιν, καὶ προκαθεζομένων τῶν βασιλέων, καὶ τῆς συνόδου συγκαθεζομένης, ἐρωτῶνται οἱ πατέρες εἰ ἐκουσίᾳ τῇ γνώμῃ ἐκβεβοήκασι τὸν ὅρον, καὶ καταφάσκουσι. γράφει ἡ σύνοδος προσφωνητικὸν πρὸς τοὺς βασιλεῖς, καὶ ἐγκύκλιον εἰς πάσας τὰς ἐκκλησίας, ἐπαινεῖται ὁ βασιλεύς, καὶ ἀναθεματίζονται οἱ εἰκονομάχοι, καὶ πάντες οἱ αἱρετικοί, καὶ ἐκφωνοῦσιν οἱ πατέρες κανόνας εἰκοσιδύο, καὶ γίνεται τέλος τῇ ὀγδόῃ ἔτει τῆς αὐτοκρατορίας τῶν βασιλέων. καὶ ἔδειξεν ὁ Θεὸς τὴν ἑβδόμην σύνοδον ἀνάπαυλαν τῶν ζητουμένων καὶ διοριζομένων περὶ τῆς ὀρθοδόξου πίστεως, καθάπερ καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε. καὶ οἱ ἱερεῖς τῇ ἑβδόμῃ ἡμέρᾳ σαλπίζοντες περὶ τὴν Ἱεριχώ, κατέσεψαν αὐτήν. καθότι καὶ οἱ ἅγιοι πατέρες μ̄ τῶν ἑπτὰ τούτων ἁγίων οἰκουμενικῶν συνόδων κατέσεψαν πᾶσαν κατὰ τῆς ἐκκλησίας ἐπίνοιάν τε καὶ ἐπήρειαν τοῦ Σατανᾶ, καὶ τῶν ὀπαδῶν αὐτοῦ, καὶ ἐκήρυξαν τελείως, καὶ πᾶσι βόσοις πάντῃ τε πάντως ἀνελλιπῶς πᾶσαν τῆς εὐσεβείας τὴν ἀναγκαίαν γνῶσιν, ἣν καί τοι τελείως ὁ Κύριος ἀπεκάλυψεν, ἀλλὰ τυφλωττόντων τῶν αἱρετικῶν περὶ αὐτήν, οἱ πατέρες ἡρμήνευσαν πᾶν ὅπερ ἀναγκαῖον ἦν πρὸς γνῶσιν αὐτῆς.

Σ. Ι. Μ.



Decani. Ἅγ. Θεόδωρος ὁ Στουδίτης, 14ου αἰ.



Μ. Σινᾶ. Ὁ Ἄβγαρος μέ τό Ἅγ. Μανδήλιον, 9ου αἰ.



Decani. Ἅγ. Ταράσιος Κων/πόλεως, 14ου αἰ.



Μ. Δοχειαρίου. Ἡ Ζ΄ Οἰκουμενική Σύνοδος, 16ου αἰ.



Ἅγ. Κλήμης, Ὀχρίδος. Ἅγ. Γερμανός Κων/πόλεως, 14ου αἰ.



Ἅγ. Κλήμης, Ὀχρίδος. Ἅγ. Ταράσιος Κων/πόλεως, 14ου αἰ.



Nagoricino. Ἅγ. Μεθόδιος Κων/πόλεως, 14ου αἰ.

Ἔτος ἀπὸ Χριστοῦ 783.

Η' Α' Γ Ι' Α
ΚΑΙ' ΟΙ'ΚΟΥΜΕΝΙΚΗ'
Ε'ΒΔΟ'ΜΗ ΣΥ'ΝΟΔΟΣ
ΣΥΝΑΘΡΟΙΣΘΕΙ'ΣΑ Ε'Ν ΝΙΚΑΙ'Α
ΤΟ' ΔΕΥ'ΤΕΡΟΝ.

ΠΡΑΚΤΙΚΑ'

Τῆς ἑβδόμης συνόδου.

Ἀπολογητικὸς πρὸς τὸν λαὸν σχεδιασθεὶς ἐν τῇ ἡμέρᾳ, ᾗ ἐδήλωσαν οἱ βασιλεύοντες τοῖς λαοῖς τοῦ γενέσθαι πατριάρχην, παρὰ Ταρασίου τοῦ καὶ προχειρισθέντος εἰς ἰνδικτιῶνα ὀγδόην, ἔτους ἀπὸ κτίσεως κόσμου ϛσυγ'.

Οἱ τῆς ἀμωμήτου ἡμῶν πίστεως τῶν Χριστιανῶν φύλακες, καὶ ζηλωταὶ τῶν εἰς δόξαν Θεοῦ γινομένων πιστοὶ βασιλεῖς ἡμῶν, ὡς πάντων εἰς ἀρέσκειαν αὐτοῦ, καὶ εἰς συμφέρον ἡμῶν τῶν Χριστιανῶν τὴν φροντίδα ποιούμενοι, μάλιστα δὲ τῶν ἐκκλησιαστικῶν καὶ νῦν ἐπιμελῶς διαμεριμνήσαντες, καὶ διανοηθέντες τοῦ ἀρχιερέα προχειρισθῆναι ἐν ταύτῃ τῇ βασιλίδι αὐτῶν πόλει, ἐπὶ τὸν εὐσεβῆ αὐτῶν νοῦν με ἀνέλαβον. καὶ φανερῶς μοι ἐξειπεῖν τὸ βεβουλευμένον αὐτοῖς ἐκέλευσαν. ἐμοῦ δὲ πρὸς τοῦτο ἀνάξιον ἐμαυτὸν εἶναι ἀποφηναμένου, καὶ μηδεμίαν συγκατάθεσιν ποιησαμένου, ὡς τὸν ζυγὸν τοῦ φορτίου μὴ δυναμένου βαστάσαι ἢ ὑπενεγκεῖν, ἐκέλευσάν με προαγάγαι κατὰ πρόσωπον ὑμῶν, διότι καὶ σύμψηφοι γεγόνατε τῇ βουλῇ ταύτῃ. καὶ νῦν οὖν ἄνδρες φοβούμενοι τὸν Θεὸν, καὶ ἔχοντες αὐτὸν ἀεὶ ἐν ταῖς καρδίας ὑμῶν, οἱ τῇ Χριστοῦ κλήσει τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ὀνομαζόμενοι, Χριστιανοὶ λέγω, ἀκούσατε βραχὺν λόγον ἀπολογίας παρὰ τῆς ἡμετέρας εὐτελείας καὶ οὐθενότητος. ἐγὼ μὲν εἴτι τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι καὶ κατὰ πάντα ὀρθοδόξοις ἀπελογησάμην, καὶ ἐνώπιον ὑμῶν προσαπολογοῦμαι. ὅτι φόβῳ συνέχομαι καταθέσθαι ἐπὶ τῇ ψήφῳ ταύτῃ, καὶ εὐλαβοῦμαι ἀπὸ προσώπου τοῦ Θεοῦ προσδραμεῖν οὕτως εὐκόλως, καὶ ὡς ἔτυχεν ἀπερικσέπτως, ἵνα μὴ ὑποπέσω φοβερῷ κατακρίματι. εἰ γὰρ ὁ Θεοῦ φωνῶν ἀκροασάμενος, οὐρανόν τε ἐσχηκὼς παιδευτήριον, καὶ παραδείσου θεωρὸς γενόμενος, ἀκούσας τε ἄῤῥητα ῥήματα, καὶ βαστάσας τὸ ὄνομα τοῦ Θεοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων, Παῦλος ὁ θεῖος ἀπόστολος Κορινθίοις γράφων ἔλεγε· μή πως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι. πῶς ἐγὼ ὁ τῷ κόσμῳ συναναστρεφόμενος, καὶ μετὰ λαϊκῶν ἠριθμημένος, καὶ στρατευόμενος ἐν ταῖς βασιλικαῖς

1. Κορινθ. 9.



Μεγ. Λαύρα. Ἡ ἀναστήλωσις τῶν Ἁγίων Εἰκόνων, 16ου αἰ.

καῖς ὑπηρεσίαις, οὕτω χωρὶς ἀνακρίσεως καὶ περισκέψεως δύναμαι εἰσπηδῆσαι εἰς τὸ τῆς ἱερωσύνης μέγεθος; φοβερὸν τὸ ἐγχείρημα πρὸς τὴν ἐμὴν σμικρότητα, θρασὺ τὸ ἐπιτήδευμα· ἡ δὲ αἰτία μάλιστα τοῦ φόβου καὶ τῆς ἐμῆς παραιτήσεώς ἐστιν αὕτη· ὁρῶ καὶ βλέπω τὴν ἐπὶ τὴν πέτραν Χριστὸν τὸν Θεὸν ἡμῶν τεθεμελιωμένην ἐκκλησίαν αὐτοῦ διεχισμένην νῦν καὶ διῃρημένην, καὶ ἡμᾶς ἄλλοτε ἄλλως λαλοῦντας, καὶ τοὺς ἀνατολῆς ὁμοπίστους ἡμῶν Χριστιανοὺς ἑτέρως. καὶ συμφωνοῦντασμὲν αὐτοῖς τοὺς τῆς δύσεως, ἠλλοτριωμένους δὲ ἡμᾶς ἐκείνων ἁπάντων, καὶ καθ' ἑκάστην ὑπ' αὐτῶν ἀναθεματιζομένους. δεινόν ἐστι τὸ ἀνάθεμα, πόῤῥω τοῦ Θεοῦ βάλλει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐκδιώκει, ἀπάγον εἰς τὸ σκότος τὸ ἐξώτερον. οὐκ οἶδεν ὁ τῆς ἐκκλησίας νόμος καὶ ὅρος ἔριν ἢ φιλονεικίαν, ἀλλ' ὥσπερ οἶδεν ὁμολογεῖν εὐσεβῶς ἓν βάπτισμα, μίαν πίστιν, οὕτω καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς ἐκκλησιαστικοῦ πράγματος. οὐδὲν γὰρ οὕτως ἐστὶν ἐνώπιον τοῦ Θεοῦ εὐαπόδεκτον καὶ εὐάρεστον, ὡς τὸ ἐνωθῆναι ἡμᾶς, καὶ γενέσθαι μίαν καθολικὴν ἐκκλησίαν, καθὰ καὶ ἐν τῷ συμβόλῳ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως ὁμολογοῦμεν. καὶ αἰτοῦμαι, ἀδελφοί. οἶμαι δὲ καὶ ὑμεῖς, ἐπειδὴ γινώσκω τὸν φόβον τοῦ Θεοῦ ἔχειν ὑμᾶς. παρὰ τῶν εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων ἡμῶν, σύνοδον οἰκουμενικὴν συναθροισθῆναι, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς Θεοῦ ἕν. καὶ οἱ τῆς τριάδος, ἡνωμένοι καὶ ὁμόψυχοι καὶ ὁμότιμοι. οἱ τῆς κεφαλῆς ἡμῶν Χριστοῦ, σῶμα ἓν συναρμολογούμενον καὶ συμβιβαζόμενον. οἱ τοῦ ἁγίου πνεύματος οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις· οἱ τῆς ἀληθείας, τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, καὶ μὴ ᾖ ἔρις καὶ διχοστασία ἐν ἡμῖν. ὅπως ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσῃ πάντας ἡμᾶς. καὶ εἰ μὲν οὖν κελεύουσιν οἱ τῆς ὀρθοδοξίας πρόμαχοι βασιλεῖς ἡμῶν ἐπὶ τῇ ἐμῇ εὐλόγῳ αἰτήσει ἐπινεῦσαι, συγκατατίθημι κἀγὼ, καὶ τὴν κέλευσιν αὐτῶν ἐκπληρῶ; καὶ ὑμῶν τὴν ψῆφον ἀσπάζομαι. εἰ δὲ μήγε; ἀδυνάτως ἔχω τοῦτο ποιῆσαι ἵνα μὴ ὑποβληθῶ τῷ ἀναθέματι, καὶ εὑρεθῶ καταδεδικασμένος ἐν τῇ ἡμέρᾳ τοῦ κριτοῦ τῶν ὅλων καὶ τῆς δικαιοσύνης· ἔνθα οὔτε βασιλεῖς, οὔτε ἱερεῖς, οὔτε ἄρχοντες, οὔτε πλῆθος ἀνθρώπων δύναταί με ἐξελέσθαι. καὶ εἴτι ἄριστον καὶ ἀρεστὸν ὑμῖν, ἀδελφοὶ, δότε τῆς ἐμῆς ἀπολογίας, φράσαι δὲ μᾶλλον αἰτήσεως τὴν ἀπόκρισιν. ἀσμένως δὲ ἠκροάσαντο πάντες τῶν λαληθέντων, συμφωνήσαντες τοῦ γενέσθαι σύνοδον. τινὲς δὲ ὀλίγοι τῶν ἀφρόνων ἀνεβάλλοντο. ὁ δὲ ἀσηκρῆτις πάλιν πρὸς τὸν λαὸν διαλεγόμενος ἀπεκρίνατο· ὅτι ὁ κύριος Λέων ὁ βασιλεὺς κατέστρεψε τὰς εἰκόνας, καὶ ἡ σύνοδος, ὅτε ἐγένετο, κατεστραμμένας αὐτὰς εὗρε. καὶ διότι ἀπὸ βασιλικῆς χειρὸς κατεστράφησαν, πάλιν συζήτησιν ἔχει τὸ κεφάλαιον, ὅτι ἀρχαίαν συνήθειαν παραδεδομένην ἐν τῇ ἐκκλησίᾳ κατετόλμησαν, ὡς ἔδοξεν αὐτοῖς, ἀφανίσαι. ἀλλ' ἡ ἀλήθεια τοῦ Θεοῦ οὐ δέδεται. προχειρισθεὶς δὲ ἔγραψε συνοδικὰ τοῖς πατριάρχαις, Ῥώμης, Ἀλεξανδρείας, Αἰτιοχείας, καὶ τῆς ἁγίας πόλεως. ἅπερ εὑρήσεις ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ πράξει μετὰ καὶ τῶν ἀντιγράφων παρ' αὐτῶν.

Συγγραφὴ σύντομος δηλωτικὴ τῶν πραχθέντων πρὸ τῆς συνόδου.

Ἐλθόντων ἀπὸ Ῥώμης, Πέτρου καὶ Πέτρου τῶν θεοφιλεστάτων πρεσβυτέρων, καὶ ἀποκομισάντων τὰ προαναφερόμενα γράμματα. ἐκ δὲ τῆς ἀνατολῆς, Ἰωάννου καὶ Θωμᾶ τῶν εὐλαβεστάτων πρεσβυτέρων καὶ μοναχῶν καὶ συγκέλλων γενομένων τῶν ἐκεῖσε πατριαρχῶν, καὶ αὐτῶν ὁμοίως ἀγαγόντων τὰ προδηλούμενα γράμματα, προσέταξαν οἱ τὸ βασίλειον πρυτανεύοντες συναθροισθῆναι τοὺς ἐπισκόπους. αὐτῶν δὲ ἀφικομένων ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, ἐν τῇ Θρᾴκῃ τὰς διατριβὰς ἐποιοῦντο οἱ αὐτοὶ κράτιστοι βασιλεῖς. οἱ δὲ πλείους τῶν ἐπισκόπων αἱρέσει τῶν χριστιανοκατηγόρων ἐγκαλινδούμενοι ἐτύρευον μετὰ λαϊκῶν τινων πολλῶν τὸν ἀριθμὸν, μὴ καταδέχεσθαι γενέσθαι σύνοδον, ἀλλὰ στοιχεῖν τῇ κατενέξει καὶ τῇ ὕβρει τῶν σεπτῶν εἰκόνων. καὶ φρατρίας οὐκ ὀλίγας καὶ ψιθυρισμοὺς κατὰ τοῦ πατριάρχου κινοῦντες, ὥστε καὶ παρασυναγωγὰς ἐποιοῦντο. ταῦτα οὖν βουλευομένων αὐτῶν, οὐκ ἔλαθε τὰς ἀκοὰς τοῦ πατριάρχου, ἀλλ' ἔτι τὰς παρασυναγωγὰς αὐτῶν ποιουμένων, ἐδήλωσεν αὐτοῖς, ὅτι ἡ Κωνσταντινούπολις ἐπίσκοπον ἔχει· ἐκτὸς εἰδήσεως αὐτοῦ οὐκ ἔστιν ὑμῖν ἄδεια ποιεῖν παρασυναγωγάς. ἐπεὶ κατὰ τοὺς κανόνας τῇ καθαιρέσει ὑποβάλλεσθε. καὶ ἀκούσαντες οἱ ἐπίσκοποι ἑαυτοὺς συνέστειλαν φόβῳ τινὶ συχεθέντες. εἰσελθόντων οὖν τῶν βασιλέων, τοῦ λαοῦ τῶν ταγμάτων, χολαρίαν, * ἐξκουβιταρίων τε καὶ τῶν λοιπῶν στρατευμάτων τῶν στρατευομένων ἐν τῇ βασιλίδι πόλει, ὁρίζεται γενέσθαι ἡ σύνοδος ἐν τῷ σεπτῷ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων. τῇ πρὸ μιᾶς οὖν τῆς τακτῆς ἡμέρας κατὰ τὸ δειλινὸν ἐκινήθησαν οἱ στρατευόμενοι θυμῷ ζέοντες, καὶ μανίαν πνέοντες· καὶ ἐλθόντες ἐν τῷ λουτῆρι τῆς ἁγίας καθολικῆς ἐκκλησίας, ἄλλος τις ἄλλο ἔκραζε. πάντων δὲ ἡ φωνὴ εἰς ἓν κατέληγε, μὴ καταδέχεσθαι γενέσθαι σύνοδον. τοῦ τοίνυν πατριάρχου ἀναγαγόντος τὴν ὑπόθεσιν τοῖς βασιλεῦσιν, οὐδαμῶς ἀπεκωλύθη τὸ γενέσθαι τὴν συνάθροισιν τῶν ἐπισκόπων ἐν τῷ προειρημένῳ σεπτῷ ναῷ· ἀλλὰ τῇ ἐπαύριον γίνεται ἡ συναγωγὴ τῶν ἐπισκόπων ἐν αὐτῷ. καὶ γενομένων τινῶν διαλαλιῶν παρά τε τοῦ ἁγιωτάτου πατριάρχου, καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων, καὶ ἀναγνωσθέντων τινῶν συνοδικῶν τῶν διαγορευόντων μὴ δεῖν γενέσθαι ποτὲ σύνοδον οἰκουμενικὴν παρεκτὸς συμφωνίας τῶν λοιπῶν ἁγιωτάτων πατριαρχῶν· καὶ τούτων ἀναγινωσκομένων, ὄχλος ἐκινήθη πολὺς τῶν στρατευομένων.

καὶ

καὶ πρὸ τῆς πυλῶν τὸ σεπτὸν ναὸν σάσιν καὶ κραυγὴν ἐποιοῦντο, ἐξ ὑποβολῆς τινων τῆς ἐν τῇ σωσόδῳ κακοφρόνων ἐπισκόπων εἰς τοῦτο κινηθέντες. ὧν γινομένων, ἡ βασιλεία ἐκέλευσε δι' ἀκριβείας πάσῃ τῇ σωσόδῳ προσιπεῖν· τέως ὑποχωρήσατε ἵνα μὴ τὸ λαὸν ἅπαντον φορὰν ἐκφύγωμεν, καὶ μὴ τοῦτο τὸ θέλημα τοῦ κυρίου γενήσεται. ὅπως γε τῆς ἐπισκόπων ἐκ τοῦ ναοῦ ἐξελθόντων, τινὲς αὐτῆς ἀντιτιασόμενοι τῇ ἀληθείᾳ, τῷ ὄχλῳ σωαπήχθησαν, καὶ δυσεβῶς ἀνάρρησιν ἐποιοῦντο τοῦ ψευδοσυλλόγου, ἑβδόμῳ ταύτῃ σωόδου ἀφημασάντες. ὅπως δὴ τῆς πονηρᾶς βουλῆς κραυγὴ ἀφιείσης, καὶ ὥρας ὄσης ὡσεὶ ἕκτης, γενόμενοι προσπεινοι οἴκαδε ἐπορεύοντο. καὶ ὅπως ἡ τῆς σάσεως κίνησις εἰς σιγὴν καθέστηκε. τηνικάδε οἱ βασιλεῖς ἐκέλευσαν τοὺς στρατευομένους ἐξελθεῖν, προφάσει μὴ παρατάξεως ἐχθεικῆς, δόντες φήμην, ὅτι τὸ ἔθνος τῶν Αγαρηνῶν φωασατικῶς ἐξέρχεται. τῇ δὲ ἀληθείᾳ ἔξω τῆς βασιλεύσης αὐτοὺς ἐξήλαυνον πόλεως. τούτων δὴ τὴν ὁδὸν ποιησάντων ἕως καὶ Μαλαχίνων, διὰ κελεύσεως αὐτῶν ἅπαντας ἐξώθουν καὶ ἀπεβάλλοντο, τοῦ μὴ χρείαν αὐτῶν ποιεῖσθαι, κελεύσαντες ἕκαστον ἀπελθεῖν εἰς τὴν ἰδίαν παροικίδα. τούτων οὕτως πραχθέντων διέμενεν ἡ ἐκκλησία ἐνιαυτὸν ὅλον ἐν ἡσυχίᾳ, καὶ μόνον ὁ πατριάρχης τὸν τῆς ἀληθείας λόγον πᾶσιν ἐκήρυττε. καὶ δὴ τοῦ ἐνιαυτοῦ παρελθόντος, αὖθις προσέταξαν οἱ εὐσεβεῖς βασιλεῖς τοῦ γενέσθαι σωόδου ἐν τῇ Νικαίων μητροπόλει. καὶ ἡ πρόσαξις εἰς πέρας κατέλυτο, τῶν ἐπισκόπων δεῦρο συναθροισθέντων. ὡσαύτως καὶ ὁ πατριάρχης μετὰ τῶν τοποτηρητῶν τῆς ἀνατολῆς καὶ τῆς δύσεως παρεγένετο ἐν τῇ αὐτῇ πόλει. καὶ γέγονεν ἡ σωόδος εὐδοκίᾳ Θεοῦ κατὰ τὰς ἐπιφερομένας πράξεις.

Ὑπόμνημα τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον.

ΠΡΑΞΙΣ Α'.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, βασιλείας τῆς εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς, ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ ὀκτὼ καλανδῶν Οκτωβρίων, ἰνδικτιῶνος ἑνδεκάτης.

Συνελθόντος τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θείαν χάριν καὶ εὐσεβὲς θέσπισμα τῶν αὐτῆς θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τουτέστι, Πέτρου τοῦ εὐλαβεστάτου πρώτου πρεσβυτέρου τῆς κατὰ τὴν Ρώμην ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Πέτρου, καὶ Πέτρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, μοναχοῦ καὶ ἡγουμένου τῆς κατὰ τὴν Ρώμην ἁγίας Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ρώμης Αδριανοῦ. Ταρασίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, Ιωάννου καὶ Θωμᾶ τῆς εὐλαβεστάτων πρεσβυτέρων, μοναχῶν καὶ τοποτηρητῶν τῆς ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως, Αγαπίου ἐπισκόπου Καισρείας Καππαδοκίας, Ιωάννου ἐπισκόπου Εφέσου, Κωνσταντίνου ἐπισκ. Κωνσταντείας τῆς Κυπρίων νήσου, Νικολάου ἐπισκόπου Κυζίκου, Εὐθυμίου ἐπισκ. Σάρδης, Πέτρου ἐπισκόπου Νικομηδείας, Σταυρακίου ἐπισκόπου Χαλκηδόνος, Ηλία ἐπισκόπου Κρήτης, Επιφανίου διακόνου τῆς ἐκκλησίας Κατάνης, καὶ τὸν τόπον ἐπέχοντος Θωμᾶ ἀρχιεπισκόπου Σαρδινίας, Ιωάννου μοναχοῦ καὶ τὸν τόπον ἐπέχοντος Νικηφόρου ἐπισκόπου Δυρραχίου, Δανιὴλ ἐπισκόπου Αμασείας, Νικολάου μοναχοῦ καὶ ἡγουμένου μονῆς ἐπιλεγομένης Α"πρου, καὶ τὸν τόπον ἐπέχοντος τοῦ μητροπολίτου Τυάνων. Κωνσταντίνου ἐπισκόπου Γαγγρῶν, Νικήτα ἐπισκόπου Κλαυδιουπόλεως. Θεοφυλάκτου διακόνου καὶ τοποτηρητοῦ τῆς Σταυρουπολιτῶν μητροπόλεως, Εὐσταθίου ἐπισκόπου Λαοδικείας, Μιχαὴλ ἐπισκόπου Συνάδων, Κωνσταντίνου ἐπισκόπου Πέργης, Ανασασίου ἐπισκόπου Νικοπόλεως τῆς παλαιᾶς Ηπείρου, Χριστοφόρου ἐπισκόπου Φασιδίδος, Θεοδώρου ἐπισκόπου Σελευκείας, Βασιλείου ἐπισκόπου Συλαίου, Νικολάου μοναχοῦ καὶ τοποτηρητοῦ τῆς μητροπόλεως Μυκιασοῦ, Μανουὴλ ἐπισκόπου Αδριανουπόλεως Θρᾴκης, Κωνσταντίνου ἐπισκόπου τοῦ Ρηγίου, Κυρίλλου μοναχοῦ καὶ τὸν τόπον ἐπέχοντος Νικήτα ἐπισκόπου Γοτθίας, Θεοδώρου ἐπισκόπου Κατάνης, Ιωάννου ἐπισκόπου Ταυρομενείας, Γαυδιώσου ἐπισκόπου Μεσσήνης, Θεοδώρου ἐπισκόπου Πανόρμου, Στεφάνου ἐπισκόπου Βιζόνων, Κωνσταντίνου ἐπισκόπου Λεοντίνης, Θεοδώρου ἐπισκόπου Ταυρομενίων, Χριστοφόρου ἐπισκόπου τῆς ἁγίας Κυριακῆς, * Θεοτίμου ἐπισκόπου Κροτώνης, Βασιλείου τῆς Νησίων, Κωνσταντίνου ἐπισκόπου Καρίνης, Ιωάννου ἐπισκόπου Τροκάλεως, Θεοφάνους ἐπισκόπου Λιλυβαίου, Θεοδώρου ἐπισκόπου Τροπαίων, Σεργίου ἐπισκ. Νικοτερῶν. Γαλάτων πρεσβυτέρου καὶ τὸν τόπον ἐπέχοντος * Στεφάνου ἐπισκ. Κυρακουσίων, Θεοδώρου ἐπισκ. Βιζύης, Μαυριανοῦ ἐπισκ. Πομπηϊουπόλεως, Γρηγορίου πρεσβυτέρου καὶ τὸν τόπον ἐπέχοντος τοῦ ἐπισκ. Σμύρνης, ... ἐπισκ. Λεοντοπόλεως, Εὐστρατίου ἐπισκ. * Απαμείας, Πέτρου ἐπισκόπου Γερμίων, Ιωάννου ἐπισκ. Αρκαδιουπόλεως, Σισιννίου ἐπισκόπου τοῦ Παρίου, Ἐπιφανίου ἐπισκόπου Μιλήτου, Γρηγορίου πρεσβυτέρου καὶ τοποτηρητοῦ τῆς ἐπισκοπῆς Νικοπόλεως, Νικήτα ἐπισκ. Προικοννήσου, Εὐσταθίου ἐπισκόπου Μεθύμνης, Λέοντος ἐπισκόπου Κίου, Ιωάννου ἐπισκόπου Α"πρου, Θεοφυλάκτου ἐπισκόπου Κυψάλλων. * Θεοφάνους ἐπισκ. Σωγδάων, Λέοντος ἐπισκ. * Στεφάνου Μεσημβρίας, Ιωάννου ἐπισκ. Νύσσης, Γεωργίου

* Θεοδώρου

* Χριστοφόρου

* Αμασείας,

γίȣ ἐπισκ. τῆς βασιλικῶν Θερμῶν, Γεωργίου
* Καβȣλιανῶν, ἐπισκόπου * Καμȣλιανῶν, Σωτηρίχου ἐπισκό-
πȣ Κισκισσῶν, Κωνσαντίνου ἐπισκ. Μασαύ-
* Κριȣ́λων, * Θεοδώρȣ ρων, Γεωργίου ἐπισκόπȣ * Βριȣ́λων, * Θεοδο-
σίου ἐπισκ. Νύσσης, Θεοφυλάκτου ἐπισκόπου
Τράλλης, Βασιλείου ἐπισκ. Μαγνησίας τῆς
Ανηλίου, Ιγνατίου ἐπισκ. Πρίνης, Σάββα
ἐπισκόπου Ανέων, Βασιλείου ἐπισκόπου Μα-
γνησίας τῆς Μαιάνδρου, Γρηγορίȣ ἐπισκ. Πα-
* Λεόντος λαιᾶς πόλεως, Θεοφάνους ἐπισκ. Καλόης, *
* Εὐγάζων Λεοντίου ἐπισκόπου Αλγίζων, Νικοδήμȣ ἐπι-
σκόπου * Εὐάζων, Λυκάστου ἐπισκ. Βαρέτων,
Θεοφυλάκτȣ ἐπισκ. Υπαίπων, Εὐσταθίȣ ἐπισ.
* Θεοφυλάκτȣ Ερυθρῶν, * Θεοφάνους ἐπισκ. Λεβέδων, Στρα-
τονίκου ἐπισκ. Κύμης, Θεοφίλου ἐπισκ. Τύμ-
νων, Κοσμᾶ ἐπισκόπου Μυῤῥίνης, Ολβιανοῦ
ἐπισκόπου Ελαίας, Πάρδου ἐπισκ. Πιτάνης,
Βασιλείου ἐπίσκ. Περγάμου, Βασιλείου ἐπι-
σκόπȣ Αξαμμυτείου, * Μαρίνου ἐπισκ. Ατάν-
* Μαριανȣ̃ ἐπισκόπȣ Ἀτάνδρων, δρου, Ιωάννου ἐπισκ. Ασσοῦ, Λέοντος ἐπισκ.
Φωκείας, Νικηφόρου διακόνου καὶ τοποτηρητοῦ
Γαργάρων, Κωνσαντίνȣ διακόνου καὶ τοποτηρη-
τȣ̃ Αγάης, Θεόγνιδος τοποτηρητȣ̃ * Σιὼν πό-
* Οσίαν * Τέȣ, λεως, Θεοφυλάκτȣ τοποτηρητοῦ * Τίων, Ιωάν-
νου ἐπισκόπου Ραιδεστȣ̃, Ιωάννου ἐπισκόπου Πα-
νίȣ, Μελχισεδὲκ ἐπισκόπου Καλλιȣπόλεως,
Λέοντος ἐπισκόπου Μαδύτων, Σισιννίου ἐπισ.
Τζουρουλȣ̃, Θεοφυλάκτου ἐπισ. Χαριȣπόλεως,
* Δαοντίȣ, Θωμᾶ ἐπισκ. * Ταονίȣ, Γρηγορίου ἐπισκόπου
* Χαλκηδόνος τῆς Θρᾴκης Θεοδωρȣπόλεως, Σισιννίȣ ἐπισκόπου * Χαλκί-
δος, Ιωάννου ἐπισκ. Βρύσεως, Βενιαμὶν ἐπι-
σκόπου Λιζίκȣ, Κωνσαντίνου ἐπισκόπȣ Ιȣλιȣ-
πόλεως, Πέτρου ἐπισκόπου Ασπόνης, Συνεσίȣ
ἐπισκόπου Κίννης, Θεοφίλου ἐπισ. Ἀναστα-
σιουπόλεως, Λέοντος ἐπισκ. Μίνζȣ, Ανθίμȣ
ἐπισκόπου Βερινουπόλεως, Σπυρίδωνος ἐπισκ.
Κύθων, Εὐσταθίου ἐπισκόπου Σόλων, Θεο-
δώρου ἐπισκ. Κυτίου, Γεωργίου ἐπισκόπου
Τριμιθοῦντος, Αλεξάνδρου ἐπισ. Αμαθοῦν-
τος, Μιχαὴλ ἐπισκ. Μελετιουπόλεως, Θεο-
δώρου ἐπισκ. Γέρμης, Βασιλείου ἐπισκ. Αδρα-
* Πομανινῶς νȣθύρων, Λέοντος ἐπισκόπου * Ποιμανηνῶν,
Συμεὼν ἐπισκ. Ὤκης, Στρατηγίου ἐπισκόπου
Δαρδάνων, Ιωάννου ἐπισκόπου Λαμψάκου,
Θεοδότου ἐπισκόπου Παλαιῶν, Νικήτα ἐπισκό-
που τοῦ Ιλέου, Λέοντος ἐπισκόπου Τρωάδων,
Θεοδώρου ἐπισκόπου Αβύδου, Αναστασίου ἐπι-
σκόπου Τριπόλεως, Λέοντος ἐπισκόπου Τρα-
κȣ́λων, Στεφάνου ἐπισκόπου Σάλων, Ιωάννου
ἐπισκόπου Ταβάλων, Στεφάνου ἐπισκόπου *
* ἰσ. Σιλώνδȣ Σιλάγγου, Ιωάννου ἐπισκ. Σέτων, Θεοφάνους
ἐπισκόπου Μυωνίας, Λυκάστου ἐπισκόπου Φι-
λαδελφείας, Μιχαὴλ ἐπισκόπου Τράλλης,
Γρηγορίου ἐπισ. Γόρδων, Ιωάννου ἐπισκ. Δάλ-
δης, Εὐσταθίου ἐπισκόπου Ορκάνης, Θεοπί-
στου ἐπισκόπου Ερμοκαπηλίας, Δαβὶδ ἐπισκό-
που Ελενουπόλεως, Κυρίωνος ἐπισκόπου τȣ̃
Λόφου, Θεοφυλάκτου ἐπισκόπου Απολλωνιά-
δος, Κωνσαντίνου ἐπισ. Καισαρείας Βιθυ-
νίας, Γεωργίου ἐπισκόπου Βασινουπόλεως,
Λέοντος ἐπισκόπου Αρίστης, Νικηφόρου ἐπι-
σκόπȣ Αδρανȣ̃ς, Βασιλείȣ πρεσβυτέρου καὶ το-
ποτηρητȣ̃ Δασκυλίȣ, Νικήτα ἐπισκόπου Με-
λῆς, Νεοφύτȣ ἐπισκόπου Γορδοσέρβων, Λεον-
τίου ἐπισκόπου Λινόης, Λέοντος ἐπισκ. Ασ-
πένδων, Ιωάννου ἐπισκ. Ετένων, Λέοντος ἐπι-
σκόπȣ Αμίνσȣ, Κωνσαντίνȣ ἐπισκ. Ζήλων,
Μαριανȣ̃ τοποτηρητȣ̃ Ζαλίχȣ, Γρηγορίȣ ἐπι-
σκόπου Σινώπης, Γεωργίȣ ἐπισκ. Νικοπόλεως
ἄνω, Κωνσαντίνου ἐπισκόπȣ Σασίμων, * Γρηγο- * Γεωργίȣ
ρίȣ ἐπισκόπου Αμάστρης, Ηρακλείου ἐπισκ.
Ιουνοπόλεως, Νικήτα ἐπισκόπου Δαδύβρων,
Θεοφάνους ἐπισκόπου Σόρων, Θεοφίλου ἐπισ-
κόπȣ Πρȣσιάδος, Κωνσαντίνȣ ἐπισκόπου Κρα-
τείας, Νικήτα ἐπισκόπου Αδριανȣπόλεως,
Ιωάννȣ ἐπισκ. Ηρακλείας Πόντου, Θεοδώρου
ἐπισκ. Κομάνων, Νικήτα ἐπισκ. * Ροιζαίȣ, * Βρυζαίȣ
Νικηφόρου ἐπισκ. Κλανέων, Λέοντος ἐπισκ.
Τροκνάδων, Λέοντος ἐπισ. Κορυδάλων, Ανα-
στασίου ἐπισκόπου Πατάρων, Γεωργίȣ ἐπίσκ.
Νισσᾶ, Στεφάνου ἐπισκ. Αράξων, Θεοδώρου
ἐπισκ. Πιννάρων, Νικοδήμȣ ἐπισ. Σιδύμων,
Γεωργίου ἐπισκ. * Ουνιάνδου, Κωνσαντίνου * Οννιώνδȣ,
ἐπισκ. Κανδήβων. Σταυρακίου ἐπισκ. Ζηνω-
νοπόλεως, Λεοντίου ἐπισκόπου Λιμύρων, Στε-
φάνȣ ἐπισκ. Καύνων, Κωνσταντίνου ἐπισκόπου
τῆς Τλῶν, Κωνσαντίνου ἐπισκόπȣ Κόμβων,
Πέτρȣ διακόνȣ καὶ τοποτηρητȣ̃ Ορικάνδων, Ιωάν-
νȣ διακόνȣ καὶ τοποτηρητȣ̃ Φασήλιδος, Θεοφυ-
λάκτου διακόνȣ καὶ τοποτηρητȣ̃ Καρίας, Γρη-
γορίȣ ἐπισκόπȣ Κιβύρης, Βασιλείου ἐπισ. Τά-
βων, Δωροθέȣ ἐπισκόπου Νεαπόλεως, Κων-
σαντίνου ἐπισκόπου Αλαβάνδων, Γρηγορίου
ἐπισκόπȣ Ηρακλείας, Δαβὶδ ἐπισ. Ιασσοῦ,
Γρηγορίου ἐπισκόπου * Μυλάβων, Σεργίου * ἰσ. Μυλάαων,
ἐπισκόπȣ Βεγυλίων, Ιωάννου ἐπισκ. Μίνδου,
Σταυρακίου ἐπισ. Σταδίας, Γρηγορίου ἐπισκ.
Στρατονικείας, Ανθίμου ἐπισκόπου Υλαρίμων,
Θεοφυλάκτου τοποτηρητοῦ Αμυζόνος, Νική-
τα τοποτηρητȣ̃ Αλικαρνασσοῦ, Μαυριανȣ̃ τοπο-
τηρητοῦ Κεράμων, Θεοδοσίου ἐπισκόπου Χώ-
νων, Μιχαὴλ ἐπισκόπου Χαιρετόπων, Παν-
τολέοντος ἐπισκόπου Οὐελεντίας, Γεωρ-
γίου ἐπισ. Πέλτων, Χριστοφόρου ἐπισκό-
που Ατανασȣ̃, Λέοντος ἐπισκόπου Εὐμενείας,
Παύλȣ ἐπισκόπου Ακμωνείας, Γρηγορίου ἐπι-
σκόπου Τιμενουθήρων, Λεόντος ἐπισκόπου
Τραϊανουπόλεως, Λέοντος ἐπισκόπου Αλέους,
Νικηφόρου ἐπισκόπου Λουνδων, Γεωργίου
ἐπισκόπου Αππίας, Κωνσαντίνου ἐπισ. Εὐ-
καρπίας, Μιχαὴλ ἐπισ. Ιεραπόλεως, Νική-
τα ἐπισκ. Νακωλείας, Χριστοφόρου ἐπισκόπου
Προβυσσȣ̃, Νικολάου ἐπισ. Φυτείας, Θεοφυ-
λάκτȣ ἐπισκ. Κινναβώρȣ, Νικήτα ἐπισκ. Αὐ-
γȣστȣπόλεως, Κωνσαντίνου ἐπισκ. Κοττυαείȣ,
Γεωργίου ἐπισκόπου Μηδιαίου, Θεοφυλάκτου
οἰκονόμου καὶ τοποτηρητοῦ Υψου, Στεφάνου
ὑποψηφίου Οξων, Ιωάννου ὑποψηφίου Εκ-
τορίου, Κωνσαντίνου ἐπισκόπου * Αμβλά-
δων, Επιφανίου ἐπισκόπου Πέρτων, Σισιννίȣ
ἐπι-

ἐπισκ. τοῦ Φιλομηλίου, Μιχαὴλ ἐπισκόπου Πάππων, Θεοδοσίου ἐπισκόπου * Σαγαλλάου, Σισιννίου ἐπισκόπου Απαμείας τῆς Κιβωτοῦ, Κωνσταντίνου ἐπισκόπου Κονάνης, Νικηφόρου ἐπισκόπου Αδάδων, Πέτρου ἐπισκόπου Τυασοῦ, Λέοντος ἐπισκόπου Βάρης, Πέτρου ἐπισκόπου Σελευκείας τῆς Πισιδίας, Λεοντίου οἰκονόμου καὶ τοποτηρητοῦ Σωζοπόλεως, Μαριανοῦ ἐπισ. Μαγύδων, Παύλου ἐπισκόπου Ατταλίας, Νικηφόρου ἐπισ. φλόγγων, * Λεοντίου ἐπισκόπου Σιβύλλων, Μάνζωνος ἐπισκόπου Πρακάνων, Θεοδώρου ἐπισκόπου Γερμανικοπόλεως, Εὐσταθίου ἐπισ. * Βελενδέρεως, Σισιννίου ἐπισκόπου Συκῆς, Ζαχαρίου ἐπισκόπου Καρδαβουνδων, Σισιννίου ἐπισ. Μουσβάδων, Εὐσταθίου ἐπισκόπου Λάμων, Θεοφυλάκτου ἐπισκόπου Ζηνουπόλεως, Κωνσταντίνου ἐπισκόπου Δαλισανδοῦ, Αναστασίου ἐπισκόπου Λαυζάνδων, Μακαρίου ἐπισκόπου Αρκάνδων.

* Σαγαλασσοῦ. 11.

* Λέοντος

* Καλινδούρεως

Καθεσθέντων τε πρὸ τοῦ ἱερωτάτου ἄμβωνος τοῦ ναοῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμου Σοφίας, συμπαρόντων καὶ ἀκροωμένων τῶν ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων ἀρχόντων, τουτέστι Πετρωνᾶ τοῦ πανευφήμου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ θεοφυλάκτου βασιλικοῦ ὀψικίου, καὶ Ιωάννου βασιλικοῦ ὁσιαρίου καὶ λογοθέτου τοῦ στρατιωτικοῦ λογοθεσίου, καὶ εὐλαβεστάτων ἀρχιμανδριτῶν, ἡγουμένων τε καὶ μοναχῶν· καὶ προκειμένων τῶν ἀχράντων καὶ ἁγίων τοῦ Θεοῦ εὐαγγελίων.

Οἱ εὐλαβέστατοι ἐπίσκοποι Σικελίας τῆς νήσου εἶπον. Αξιον ἡγούμεθα, καὶ κατὰ πάντα προσῆκον τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, πρὸς ἔναρξιν τῶν μελλόντων ἐκζητεῖσθαι κεφαλαίων προοιμιάσασθαι, καὶ θύραν τῶν λόγων ἀνοῖξαι τὸν προκαθεζόμενον τῆς βασιλευούσης Κωνσταντινουπόλεως νέας Ρώμης ὁσιώτατον ἀρχιεπίσκοπον καὶ προκατάρχοντα προσφωνῆσαι τὰ εἰκότα.

Η' ἁγία σύνοδος εἶπε. γενέσθω κατὰ τὴν αἴτησιν τῶν ὁσιωτάτων ἐπισκόπων.

Ταράσιος ὁ ἁγιώτατος καὶ μακαριώτατος πατριάρχης Κωνσταντινουπόλεως εἶπεν. εὔκαιρον νῦν ἐστιν εἰπεῖν τὴν προφητικὴν ἐκείνην φωνὴν, ἣν πολλάκις ἠκούσαμεν διὰ τοῦ εὐαγγελίου κηρυττομένην. ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. ὅταν γάρ τι θεὸς ποιήσῃ, πᾶσα ἐν τοῖς πραττομένοις ἕπεται εὐκολία. ὅτι τῷ βουλήματι αὐτοῦ ἀνθέστηκεν οὐδείς. εἰ γὰρ καὶ ἐκ τῆς τοῦ ἀρχεκάκου ἐχθροῦ προβολῆς, τοῦ θέλοντος * ἀνασοβεῖν καὶ ταράττειν τὴν ἁγίαν καθολικὴν ἐκκλησίαν, τῷ περυσινῷ χρόνῳ κατὰ τὰς καλάνδας τοῦ Αὐγούστου μηνὸς ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, προκαθεζομένων ἡμῶν ἐν τῷ σεπτῷ ναῷ τῶν σαλπίγγων τοῦ πνεύματος, ἁγίων καὶ πανευφήμων ἀποστόλων, ἐκεινήθη πολύανδρος ὄχλος θυμοῦ καὶ πικρίας γέμων, χεῖρας ἡμῖν ἐπιβαλεῖν· ἐξ οὗ χειρὶ θεοῦ ἐῤῥύσθημεν, ἔχοντες εἰς συμμαχίαν καὶ τινας εὐαριθμήτους ἐπισκόπους, ὧν τὰ ὀνόματα ἑκὼν ὑπερβήσομαι, ὡς παρὰ πάντων γινωσκόμενα· καὶ πρὸς βραχὺ ἔδοξαν κωλύσαι τοῦ λαληθῆναι καὶ βεβαιωθῆναι τὸν τῆς ἀληθείας εὐσεβῆ λόγον. ἀλλ' οὖν οἱ παρὰ τοῦ θεοῦ ὁδηγούμενοι πρᾳότατοι ἡμῶν βασιλεῖς, ὡς ὄντες τῆς μὲν ὀρθοδοξίας ὑπέρμαχοι, τῆς δὲ κακοδοξίας ἀντίμαχοι, οὐκ ἔδωκαν, οὐδὲ δώσουσιν ὕπνον τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῖς βλεφάροις νυσταγμὸν, ἕως ἂν τὸ σκήνωμα τοῦ Θεοῦ, ἤτοι τὴν ἐκκλησίαν αὐτοῦ εἰς ἓν ἀποκαταστήσαιεν, καὶ εἰρηνικὴν δίαιταν ταύτῃ παράσχοιεν. διὸ βουλῇ τε καὶ εὐδοκίᾳ τοῦ θεοῦ πάλιν ἐπὶ τὸ αὐτὸ συνήγαγον ἡμᾶς. ἀλλὰ τὰς ὑπὲρ τούτων τῶν ἀγαθῶν ἀμοιβὰς λήψοιντο παρὰ τοῦ ταύτας πολλαπλασίως ἀντιμετρεῖν δυναμένου Χριστοῦ τοῦ παμβασιλέως ἡμῶν. ἡμεῖς οὖν, ἱεροὶ ἄνδρες, αὐτὸν ἀρωγὸν ἐπικαλεσάμενοι καὶ τὸν φόβον αὐτοῦ ἐνστερνισάμενοι, τήν τε μέλλουσαν κρίσιν ἐν νῷ λαμβάνοντες, ἀναζωσώμεθα τὰς ὀσφὺας τῆς διανοίας ἡμῶν ἐν ἀληθείᾳ, καὶ νήφοντες ἐν πᾶσιν ἀποστολικῶς, τὸ ἰσόῤῥοπον κρίνωμεν. ἵνα πᾶσαν καινοφωνίαν, ὕφεσίν τε καὶ πλεονασμὸν, ὡς ζιζάνια τῷ καθαρῷ σίτῳ ἐπισπαρέντα, ἀναβολῆς πάσης ἐκτὸς ἐκτίλλωμεν, ὡς τῆς ἀληθείας ἀντίθετα, καὶ τῆς ἐκκλησίας ἀντίμαχα. τὰ γὰρ ἐν αὐτῇ παραδοθέντα οὐκ εἰσὶ ναὶ καὶ οὐ, ἀλλὰ ναὶ εἰσιν ἐν ἀληθείᾳ, καὶ μένουσιν ἀῤῥαγῆ καὶ ἀκράδαντα εἰς τὸν αἰῶνος χρόνον. ἀψευδὴς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος. πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, καὶ εἰ πληροφορούμεθα ἀρεστὸν εἶναι ἐνώπιον τοῦ Θεοῦ, παραγενέσθωσαν οἱ κατὰ τὸν πέρυσι χρόνον ἀντιταχθέντες τῇ ἀληθείᾳ. καὶ εἴτις ἐστὶν αὐτοῖς λόγος εἴτε ἀντιλογίας, ἢ καὶ ἀπολογίας, λαλείτωσαν. οὕτω γὰρ πᾶσα ἐξέτασις φανερὰ γενήσεται.

2. Κορίν.

Ματθ. 16

Κωνσταντῖνος ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνστατείας τῆς Κυπρίων νήσου εἶπεν. εἰ δοκεῖ ταύτᾳ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, κατὰ τὰ λαληθέντα παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Ταρασίου, εἰλελθέτωσαν οἱ ὁσιώτατοι ἐπίσκοποι, οἱ ἐν τούτῳ τῷ μέρει ἐγκληθέντες, ἐνώπιον τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου.

Η' ἁγία σύνοδος εἶπεν. εἰσελθέτωσαν καὶ εἰσῆλθον οἱ προειρημένοι ἐπίσκοποι. καὶ εἰσελθόντων αὐτῶν, οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. οἱ δεσπόται ἡμῶν οἱ ἀγαθοὶ τιμίαν σάκραν καὶ προσκυνουμένην ἐκέλευσαν ἀποστεῖλαι πρὸς πᾶσαν τὴν ἱερὰν ὑμῶν σύνοδον. καὶ ἀκούσατε.

Η' ἁγία σύνοδος εἶπε. στερεώσοι ὁ Θεὸς τὴν βασιλείαν τῶν δεσποτῶν ἡμῶν τῶν ἀγαθῶν. καὶ ἀναγαγὼν ἐπὶ χεῖρας ὁ ἐνδοξότατος ἀσηκρῆτις Λέοντιος τὴν αὐτὴν εὐσεβῆ σάκραν ἀνέγνω.

Σάκρα. Κωνσταντῖνος καὶ Εἰρήνη πιστοὶ βασιλεῖς Ρωμαίων, τοῖς εὐδοκίᾳ καὶ χάριτι Θεοῦ, καὶ κελεύσει τῆς ἡμετέρας εὐσεβοῦς βασιλείας συναθροισθεῖσιν ἁγιωτάτοις ἐπισκόποις ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ.

Λουκ. 3. Η'σαΐ. 40.

* ἀεὶ σοβεῖν

Η'

Ἡ ὄντως κατὰ φύσιν τοῦ Θεοῦ καὶ πατρὸς σοφία ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ ἀληθινὸς Θεὸς ἡμῶν, διὰ τῆς ἐν σαρκὶ θειοτάτης αὐτοῦ καὶ μεγάλης οἰκονομίας ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, τὴν ἡμετέραν περιζωσάμενος ἐκαινούργησε φύσιν συνεργίᾳ τοῦ συμφυοῦς αὐτοῦ πνεύματος· καὶ πρῶτος ἀρχιερεὺς γεγονὼς, ταύτης ὑμᾶς ἠξίωσε τῆς προσηγορίας, ὦ ἱεροὶ ἄνδρες. αὐτὸς οὖν ὁ ποιμὴν ὁ καλὸς, ὁ τὸ πεπλανημένον πρόβατον ἐπὶ τῶν ὤμων βαστάσας, τὸν ἐκπεσόντα ἄνθρωπον τῇ ἰδίᾳ ποίμνῃ συγκαταμίξας, ταῖς ἀγγελικαῖς καὶ λειτουργικαῖς αὐτοῦ δυνάμεσι, κατήλλαξεν ἡμᾶς ἐν ἑαυτῷ, τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, εἰρηναίαν διαγωγὴν ἡμῖν χαρισάμενος. διὸ καὶ εὐαγγελικῶς πᾶσι κηρύττων ἔλεγε· μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι υἱοὶ Θεοῦ κληθήσονται. ταύτης οὖν τῆς μακαριότητος τῆς χαριζομένης ἡμῖν τὴν εὐγένειαν τῆς υἱοθεσίας, ἐντὸς γενέσθαι προαιρουμένη ἡ ἡμετέρα εὐσεβὴς βασιλεία, πρὸς εἰρήνην καὶ ὁμόνοιαν πᾶσαν τὴν Ῥωμαϊκὴν ἡμῶν πολιτείαν διευθύνειν σπεύδομεν. ἐξαιρέτως δὲ τῆς τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν εὐταξίας φροντίζειν βουλόμεθα, καὶ τὴν τῶν ἱερέων ἕνωσιν διὰ παντὸς ἐμπορεύεσθαι προαιρούμεθα, ἀνατολῆς, ἄρκτου, δύσεώς τε καὶ μεσημβρίας· καὶ πάρεισι Θεοῦ εὐδοκήσαντος διὰ τῶν αὐτῶν τοποτηρητῶν μετὰ καὶ ἀντιγράφων τῶν ἀποσταλέντων συνοδικῶν γραμμάτων παρὰ τοῦ ἁγιωτάτου πατριάρχου. οὗτος γάρ ἐστιν ἀρχῆθεν νόμος συνοδικὸς τῆς καθολικῆς ἐκκλησίας τῆς ἀπὸ περάτων εἰς πέρατα δεξαμένης τὸ εὐαγγέλιον. τοιγαροῦν εὐδοκία καὶ ἐπινεύσει αὐτοῦ συνηγάγομεν ὑμᾶς τοὺς ὁσιωτάτους αὐτοῦ ἱερεῖς, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπιθυσίαις ἀναιμάκτοις, ἵνα τοῖς ὅροις τῶν ὀρθῶς δογματισασῶν συνόδων ἡ κρίσις ὑμῶν ἐφάμιλλος γένηται, καὶ πᾶσιν ἡ αἴγλη τοῦ πνεύματος καταλάμψῃ. οὐδεὶς γὰρ ἅψας λύχνον, τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, κατὰ τὴν τοῦ κυρίου φωνὴν, ἀλλ' ἐπὶ τὴν λυχνίαν, ὅπως λάμψῃ πᾶσι τοῖς ἐν τῇ οἰκείᾳ. οὕτω γὰρ καὶ ταῖς ἄνωθεν παρὰ τῶν πατέρων ἡμῶν εὐσεβῶς παραδοθείσαις ἡμῖν θεσμοθεσίαις ἐξακολουθήσετε, καὶ αἱ ἅγιαι τοῦ Θεοῦ ἐκκλησίαι ἐν εἰρηναίᾳ τάξει διαμενοῦσιν. τοσοῦτον γὰρ ὑπερμαχοῦμεν τῆς ἀληθείας, καὶ πρὸς τὴν εὐσέβειαν συντεινόμεθα, καὶ τῆς ἐκκλησιαστικῆς φροντίζομεν καταστάσεως, τὴν ἀρχῆθεν θεσμοθεσίαν κρατῦναι θέλοντες, ὥστε καὶ στρατιωτικοῖς βουλεύμασι κατεχόμενοι, καὶ πολιτικαῖς μερίμναις ἐναχολούμενοι, πρῶτον ἔργον ἔχοντες τὴν εἰρηνικὴν δίαιταν τῆς καθολικῆς ἐκκλησίας, καὶ ἐν δευτέρῳ ταῦτα τιθέμενοι, τὴν πανίερον ὑμῶν συναθροῖσαι οὐκ ἀπεκάμομεν σύνοδον· διδόντες ἑκάστῳ ἄδειαν, ἵνα δίχα πάσης ὑποστολῆς λαλήσῃ τὰ βεβουλευμένα αὐτῷ, πρὸς τὸ ἀκριβῆ ἐξέτασιν γενέσθαι, καὶ πλέον παρρησιασθῆναι τὴν ἀλήθειαν· ἵνα καὶ ἐκποδὼν ἐλαθῇ ἡ τῶν ἐκκλησιῶν διάστασις, καὶ ὁ τῆς εἰρήνης πᾶσιν ἡμῖν ἁρμοσθῇ σύνδεσμος. καὶ ἐπειδήπερ Παῦλος ὁ ἁγιώτατος πατριάρχης μέλλων κατὰ βούλησιν θεϊκὴν τοῦ ἐντεῦθεν δεσμοῦ λύεσθαι, καὶ καταλιμπάνειν ταύτην τὴν παροικίαν, καὶ πρὸς τὴν ἐκεῖ κατοικίαν ἐνδημεῖν, μᾶλλον δὲ πρὸς τὸν δεσπότην Χριστὸν, τῇ ἐπισκοπῇ ἐπετάξατο, τὸν μοναχικὸν αἱρετισάμενος βίον· ἡμῶν δὲ ἐρωτησάντων αὐτὸν, τίνος ἕνεκεν τοῦτο πεποίηκας; ἀπεκρίνατο ἡμῖν, ὅτι εἰ τῷ θανάτῳ καταληφθῶ ἐν τῇ ἐπισκοπῇ ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως, τὸ ἀνάθεμα ἔξω ἀπὸ πάσης τῆς καθολικῆς ἐκκλησίας, ὃ ἀπάγει εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. διότι σύνοδόν τινα λέγουσι γενέσθαι ἐνταῦθα καταστρέψασαν τὰς εἰκονικὰς ἀναζωγραφήσεις, ἃς ἡ καθολικὴ ἐκκλησία κρατεῖ καὶ ἀσπάζεται, καὶ πρὸς ὑπόμνησιν τῶν πρωτοτύπων ἀποδέχεται. τοῦτόμου τὴν ψυχὴν ταράττει· τοῦτόμε εἰς ὑπόμνησιν φέρει, πῶς ἐκφεύξομαι τὸ κρίμα τοῦ Θεοῦ, διότι τοιούτοις ἀνδράσι συνανεστράφην καὶ συνηριθμήθην. ταῦτα καί τισι τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων ἐλάλησε, καὶ οὕτως τὸν βίον κατέλιπε. ταύτην οὖν τὴν ἀπόφασιν ἐννοήσασα ἡ ἡμετέρα εὐσεβὴς βασιλεία φοβερὰν οὖσαν· καίτοιγε καὶ πρὸ τούτου ἐκ πολλῶν ἀκηκοότες τὴν τοιαύτην ἀμφισβήτησιν· βουλὴν εἰς ἑαυτοὺς ἐβουλευόμεθα, τί ἄρα ὀφείλει γενέσθαι.

Καὶ ἀπεδώκαμεν τὴν βουλὴν ἡμῶν, ὅτι προχειριζομένου πατριάρχου, τέλος τῶν λαληθέντων γίνεται. προσκαλεσάμενοι οὖν ἄνδρας τοὺς τῶν ἐκκλησιαστικῶν πραγμάτων πεπειραμένους, Χριστὸν δὲ τὸν Θεὸν ἡμῶν ἐπικαλεσάμενοι, καὶ βουλὴν μετ' αὐτῶν ποιησάμενοι, τίς ἄρα ἄξιος ἐστι τοῦ προχειρισθῆναι εἰς τὴν τῆς ἱερωσύνης καθέδραν ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως ἡμῶν, ὁμογνωμόνων δὲ καὶ ὁμοψύχων πάντων γεγονότων, εἰς Ταράσιον τὸν νυνὶ προκαθεζόμενον ἐπὶ τῷ ἀρχιερατικῷ ἀξιώματι ἀπέδιδοτο ἡ ψῆφος. τοῦτον οὖν προσκαλεσάμενοι, τὰ λαληθέντα καὶ ψηφισθέντα ἐπ' αὐτῷ προσείπομεν. ὁ δὲ οὐδαμῶς ἐπινεῦσαι ἠβουλήθη, οὐδὲ συγκατάθεσιν τοῖς ψηφισθεῖσιν ἠξίου γενέσθαι. ἡμῶν δὲ κελευσάντων αὐτὸν, ἕνεκεν τίνος οὐκ ἀνέχῃ ὑπακοῦσαι; τὰ πρῶτα μὲν ἀπεκρίνατο προφασιζόμενος ὑπὲρ αὐτὸν εἶναι τὸν ζυγὸν τῆς ἀρχιερωσύνης. ἡμεῖς δὲ νοησάμενοι, ὅτι πρόφασίν τινα πεποίηται μὴ προαιρούμενος ὑπακοῦσαι, οὐκ ἀπέστημεν ἐκ τοῦ ἀνδρὸς, ἀλλ' ἐπεμείναμεν πεῖσαι τοῦ δέξασθαι αὐτὸν τὴν τῆς ἀρχιερωσύνης ἀξίαν. αὐτὸς οὖν συνειδὼς τὴν ἔνστασιν ἡμῶν, τὴν αἰτίαν τῆς παραιτήσεως διήγγελλεν· ὅτι ὁρῶ καὶ βλέπω τὴν ἐπὶ τὴν πέτραν Χριστὸν τὸν Θεὸν ἡμῶν τεθεμελιωμένην ἐκκλησίαν αὐτοῦ διεσχισμένην νῦν καὶ διερρηγμένην, καὶ ἡμᾶς ἄλλοτε ἄλλως λαλοῦντας, καὶ τοὺς τῆς ἀνατολῆς ὁμοπίστους ἡμῶν Χριστιανοὺς ἑτέρως, καὶ συμφωνοῦντας αὐτοῖς τοὺς τῆς δό-

Ματθ 5.

Ματθ 5.

δύσεως, καὶ ἠλλοτριωμένους ἡμᾶς ἐκείνων ἁπάντων, καὶ καθ' ἑκάστην ὑπὸ πάντων ἀναθεματιζομένους· καὶ ὅτι σύνοδον οἰκουμενικὴν αἰτοῦμαι γενέσθαι, τοποτηρητῶν εὑρισκομένων ἔκτε τοῦ πάπα Ῥώμης, καὶ τῶν τῆς ἀνατολῆς ἀρχιερέων. ταῦτα ἐνωτισάμενοι ἡμεῖς κατὰ πρόσωπον τῶν τότε παρόντων ἐνταῦθα ἱερέων, καὶ τῶν ἐνδοξοτάτων ἡμῶν ἀρχόντων, καὶ παντὸς τοῦ φιλοχρίστου ἡμῶν λαοῦ, τὸν ἄνδρα ἐξηγάγομεν· καὶ ἐπὶ παρουσίᾳ αὐτῶν, εἴτι ἡμῖν ἀπελογήσατο, καὶ αὐτοῖς ἀπεφήνατο. αὐτοὶ δὲ πάντες ἀκηκοότες ἀσμένως ἐδέξαντο, αἰτησάμενοι τὴν ἡμετέραν εἰρηνοποιὸν καὶ εὐσεβῆ βασιλείαν τοῦ γενέσθαι οἰκουμενικὴν σύνοδον. ταύτῃ οὖν τῇ αἰτήσει ἐπενεύσαμεν. τ' ἀληθὲς δὲ εἰπεῖν, τοῦ Θεοῦ εὐδοκήσαντος καὶ ἡμᾶς ὁδηγήσαντος, συναθροῖσαι ὑμᾶς. καὶ ἐπειδήπερ ἀπὸ πάσης τῆς οἰκουμένης ὁ Θεὸς συνήγαγεν ὑμᾶς, βουλὴν τὴν οἰκείαν στῆσαι θέλων, * ἤδη προκειμένων τῶν ἁγίων εὐαγγελίων, καὶ νοητῶς βοώντων· δικαίως κρίνατε· στῆτε * ἑδραῖοι τῆς εὐσεβείας ὑπέρμαχοι, καὶ πᾶσαν καινοφωνίαν καὶ νεοφανῆ εἰσήγησιν ἐκτεμεῖν προθυμήθητε· καὶ καθὰ Πέτρος ὁ πρώταρχος τῆς ἀποστολικῆς ὁμηγύρεως τὴν ἀνδραποδώδη ἀπόνοιαν πατάξας, τὸ τῆς Ἰουδαϊκῆς ἀκροάσεως αἰσθητήριον τῇ μαχαίρᾳ ἀφείλετο, ἀνατείνατε τὴν ἀξίνην τοῦ πνεύματος, καὶ πᾶν δένδρον ποιοῦν καρπὸν ἐρεχελίας καὶ διχονοίας καὶ ἐπεισάκτου καινοτομίας, ἢ ταῖς διδασκαλικαῖς ὑμῶν φωναῖς μεταφυτεύσατε, ἢ κανονικαῖς ἐπιτιμήσεσι συγκόψατε, καὶ εἰς τὸ πῦρ τῆς μελλούσης γεέννης παραπέμψατε. ἵνα ὁλόκληρον τῆς ἐκκλησίας τὸ σῶμα ἁρμολογούμενον καὶ συμβιβαζόμενον, καὶ τῇ πατρικῇ παραδόσει κραταιούμενον ἡ εἰρήνη τοῦ πνεύματος διαφυλάξῃ, καὶ ἡ τῆς ὅλης Ῥωμαϊκῆς ἡμῶν πολιτείας κατάστασις συγγαληνιᾷ τῇ γαλήνῃ τῆς πίστεως. γράμματα δὲ ἐδεξάμεθα ἀποσταλέντα παρὰ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης διὰ τῶν αὐτοῦ τοποτηρητῶν, Πέτρου τοῦ θεοφιλεστάτου πρώτου πρεσβυτέρου, καὶ Πέτρου τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἡγουμένου, τῶν καὶ συνεδρευόντων ὑμῖν· καὶ κελεύομεν κατὰ τὸν συνοδικὸν θεσμὸν εἰς ἐπήκοον πάντων ἀναγνωσθῆναι. καὶ μετὰ τῆς δεούσης σιγῆς τούτων ἀκούοντες μετὰ καὶ τῶν ἀποσταλεισῶν κεραιῶν ἐν δυσὶ τετραδίοις παρὰ τῶν ἀρχιερέων καὶ ἱερέων τῆς ἀνατολικῆς διοικήσεως, διὰ Ἰωάννου τοῦ εὐλαβεβεστάτου μοναχοῦ καὶ συγκέλλου γενομένου τοῦ πατριαρχικοῦ θρόνου Ἀντιοχείας, καὶ Θωμᾶ πρεσβυτέρου καὶ ἡγουμένου, ἤδη καὶ αὐτῶν συμπαρόντων ὑμῖν· δι' αὐτῶν γνώσεσθε, ὁποῖόν ἐστι τῆς καθολικῆς ἐκκλησίας τὸ φρόνημα.

Τούτων ἀναγνωσθέντων ἡ ἁγία σύνοδος εἶπε· Φυλάξει ὁ Θεὸς τὴν βασιλείαν αὐτῶν· μακρυνεῖ ὁ Θεὸς τοὺς χρόνους αὐτῶν. ἐπὶ πλεῖστον ὁ Θεὸς χαροποιήσει αὐτούς.

Τούτων οὕτω πραχθέντων, παρήχθη Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας, καὶ Θεόδωρος ὁ Μύρων, καὶ Θεοδόσιος ὁ τοῦ Ἀμμορίου. καὶ στάντων αὐτῶν ἐν τῷ μέσῳ τῆς ἁγίας συνόδου, Βασίλειος ἐπίσκοπος Ἀγκύρας εἶπεν· ὅσον ἦν εἰς δύναμίν μου, δεσπόται, ἐξήτασα τὴν ὑπόθεσιν, καὶ πᾶσαν πληροφορίαν δεξάμενος, προσῆλθον τῇ καθολικῇ ἐκκλησίᾳ ἐγὼ ὁ ἔσχατος ὑμῶν δοῦλος. Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· δόξα τῷ Θεῷ τῷ θέλοντι πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

Βασίλειος ἐπίσκοπος Ἀγκύρας ἀπὸ λιβέλλου ἀνέγνω οὕτως· θεσμοθεσία ἐστὶν ἐκκλησιαστικὴ κανονικῶς παραδεδομένη ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔκτε τῶν ἁγίων ἀποστόλων, καὶ τῶν αὐτῶν διαδόχων ἁγίων πατέρων ἡμῶν καὶ διδασκάλων· ἀλλά γε καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἓξ συνόδων, καὶ τῶν τοπικῶν ὀρθοδόξως ἀθροισθεισῶν συνόδων, ὥστε τοὺς ἀπὸ αἱρέσεως οἱασδηποτοῦν ἐπιστρέφοντας πρὸς τὴν ὀρθόδοξον ὁμολογίαν καὶ παράδοσιν τῆς καθολικῆς ἐκκλησίας, ἐγγράφως τὴν οἰκείαν ἐξαρνεῖσθαι αἵρεσιν, καὶ τὴν ὀρθόδοξον ὁμολογεῖν πίστιν. ὅθεν καὶ ἐγὼ Βασίλειος ἐπίσκοπος Ἀγκύρας τῆς πόλεως, προαιρούμενος ἑνωθῆναι τῇ καθολικῇ ἐκκλησίᾳ, Ἀδριανῷ τε τῷ ἁγιωτάτῳ πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ Ταρασίῳ τῷ μακαριωτάτῳ πατριάρχῃ, τοῖς τε ἁγιωτάτοις ἀποστολικοῖς θρόνοις, λέγω δὲ Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ τῆς ἁγίας πόλεως, ἀλλὰ μὴν καὶ πᾶσι τοῖς ὀρθοδόξοις ἀρχιερεῦσί τε καὶ ἱερεῦσι, ταύτην τὴν παροῦσαν ἔγγραφόν μου ὁμολογίαν ποιοῦμαι, καὶ προσάγω ὑμῖν τοῖς ἐξ ἀποστολικῆς αὐθεντίας λαβοῦσι τὴν ἐξουσίαν. ἐν ταυτῷ δὲ καὶ συγγνώμην ἐξαιτοῦμαι παρὰ τῆς θεοσυλλέκτου ὑμῶν μακαριότητος ὑπὲρ ταύτης μου τῆς βραδυτῆτος. δέον γὰρ ἦν μὴ ὑστερηκέναι με πρὸς τὴν τῆς ὀρθοδοξίας ὁμολογίαν· ἀλλὰ τῆς ἄκρας μου ἀμαθίας καὶ νωθρείας καὶ ἠμελημένης διανοίας ἐστὶ τοῦτο. ὅθεν καὶ μᾶλλον αἰτῶ τὴν μακαριότητα ὑμῶν ἐξαιτῆσαι καὶ παρὰ Θεοῦ σύγχωρησίν μοι παραχεθῆναι.

Πιστεύω τοινυν καὶ ὁμολογῶ εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, καὶ εἰς τὸ ἅγιον πνεῦμα τὸ κύριον καὶ ζωοποιόν. τριάδα ὁμούσιον καὶ ὁμόθρονον, ἐν μιᾷ θεότητι καὶ δυνάμει καὶ ἐξουσίᾳ προσκυνουμένην τε καὶ δοξαζομένην. ὁμολογῶ καὶ πάντα τὰ τῆς οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας τριάδος, κυρίου δὲ καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὼς αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι παραδεδώκασι. καὶ πᾶσαν αἱρετικὴν ἀθυροστομίαν ἀποβαλλόμενος ἀναθεματίζω, καθὼς καὶ αὐταὶ ἀνεθεμάτισαν· ἐξαιτούμενος καὶ τὰς πρεσβείας τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου τῆς ἁγίας, τῶν τε ἁγίων καὶ ἐπουρανίων δυνάμεων, καὶ πάντων τῶν ἁγίων· καὶ τὰ ἅγια καὶ τίμια λείψανα αὐτῶν μετὰ πάσης τιμῆς ἀποδεχόμενος ἀσπάζομαι, καὶ τι-

* ἰδοὺ
Ἰωάν. 1.
* ἀλ. παγίως
Ἰωάν 18.
1 Τιμοθ. 1

μητικῶς προσκυνῶ, πίστιν ἔχων μετέχειν παρ' αὐτῶν ἁγιασμοῦ. ὡσαύτως καὶ τὰς σεπτὰς εἰκόνας τῆς τε οἰκονομίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὸ ἄνθρωπος γέγονε διὰ τὴν ἡμετέραν σωτηρίαν, καὶ τῆς ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου, τῶν τε θεοειδῶν ἀγγέλων, καὶ τῶν ἁγίων ἀποστόλων, προφητῶν, μαρτύρων τε, καὶ πάντων τῶν ἁγίων, ἀσπάζομαι καὶ περιπτύσσομαι, καὶ τὴν κατὰ τιμὴν προσκύνησιν ἀπονέμω, ἀποβαλλόμενος καὶ ἀναθεματίζων ἐξ ὅλης ψυχῆς καὶ διανοίας τὴν ἐξ ἀπροσεξίας καὶ ἀπονοίας συναθροισθεῖσαν καὶ ὀνομασθεῖσαν ἑβδόμην σύνοδον, παρὰ δὲ τῶν ὀρθῶς φρονούντων * ψευδοσύνοδον ἐνθέσμως καὶ κανονικῶς καλουμένην, ὡς πάσης ἀληθείας καὶ εὐσεβείας ἀλλοτρίαν, καὶ κατὰ τῆς θεοπαραδότου ἐκκλησιαστικῆς θεσμοσίας τολμηρῶς καὶ θρασέως, ναὶ μὴν καὶ ἀθέως ὑλακτήσασαν, καὶ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας καθυβρίσασαν, καὶ προστάξασαν ταύτας περιαιρεθῆναι ἐκ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν· ἧς ἐξῆρχε Θεοδόσιος ὁ ψευδώνυμος Ἐφέσου, Σισίννιος ὁ Πέργης ὁ ἐπίκλην Πασιλλᾶς, Βασίλειος Πισιδίας ὁ κακέμφατος * τρικάκκαβος· οἷς ἐματαιώθη ἐξακολουθήσας ὁ ἐλεεινὸς Κωνσταντῖνος ὁ γενόμενος πατριάρχης. ταῦτα οὕτως ὁμολογῶ, καὶ τούτοις συγκατατίθεμαι. διὸ καὶ ἁπλότητι καρδίας καὶ ὀρθῇ γνώμῃ, μαρτυροῦντός μοι τοῦ Θεοῦ, τοὺς ὑποκειμένους ἀναθεματισμοὺς πεποίημαι ἐνταῦθα. τοῖς χριστιανοκατηγόροις, ἤγουν εἰκονοκλάσταις ἀνάθεμα. τοῖς λαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς μὴ ἀσπαζομένοις τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς ταῖς εἰκόσιν οἱ Χριστιανοὶ προσέρχονται, ἀνάθεμα. τοῖς ἀποκαλοῦσι τὰς ἱερὰς εἰκόνας εἴδωλα, ἀνάθεμα. τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι πλὴν τοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλος ἐρρύσατο ἡμᾶς ἐκ τῶν εἰδώλων, ἀνάθεμα. τοῖς ἀθετοῦσι τὰς διδασκαλίας τῶν ἁγίων πατέρων * κατὰ τὴν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας, προφασιζομένοις καὶ ἀναλαμβάνουσι τὰς φωνὰς τοῦ Ἀρείου, Νεστορίου, Εὐτυχοῦς καὶ Διοσκόρου, ὡς εἰ μὴ ἐκ τῆς παλαιᾶς καὶ καινῆς διαθήκης ἀσφαλῶς διδαχθῶμεν, οὐχ ἑπόμεθα ταῖς διδασκαλίαις τῶν ἁγίων πατέρων, καὶ τῶν ἁγίων οἰκουμενικῶν συνόδων, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ἀνάθεμα. τοῖς τολμῶσι λέγειν τὴν καθολικὴν ἐκκλησίαν εἴδωλά ποτε δεδέχθαι, ἀνάθεμα. τοῖς λέγουσι διαβολικῆς μεθοδείας ἐφεύρεμα τὴν τῶν εἰκόνων ποίησιν, καὶ μὴ τῶν ἁγίων πατέρων ἡμῶν παράδοσιν, ἀνάθεμα. ταῦτα μὲν οὕτως ὁμολογῶ, καὶ τούτοις συγκατατίθεμαι, καὶ ἐξ ὅλης καρδίας καὶ ψυχῆς καὶ διανοίας ἀποφαίνομαι. ἐὰν δὲ, ὅπερ ἀπέστω, ἐκ διαβολικῆς προσβολῆς ἐν οἱῳδήποτε χρόνῳ ἑκουσίως ἢ ἀκουσίως διαστραφῶ ἐκ τῶν ὑπ' ἐμοῦ τούτων προωμολογημένων, ἀνάθεμα ἔσομαι ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τῆς καθολικῆς ἐκκλησίας, καὶ παντὸς ἱερατικοῦ τάγματος ἀλλότριος. φυλάξω δὲ κατὰ τοὺς θείους κανόνας τῶν τε ἁγίων ἀποστόλων καὶ τῶν θεσπεσίων πατέρων ἡμῶν, ἑαυτὸν ἀπὸ πάσης δοσοληψίας καὶ αἰσχροκερδείας.

* ψευδοσύλλογον

* τρίκακος

* καὶ τὴν L.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· πᾶσα ἡ ἱερατικὴ ὁμήγυρις αὕτη τῷ Θεῷ δόξαν καὶ εὐχαριστίαν ἀναπέμπει ἐπὶ ταύτῃ σου τῇ ὁμολογίᾳ, ἣν προσήγαγες τῇ καθολικῇ ἐκκλησίᾳ.

Ἡ ἁγία σύνοδος εἶπε· δόξα τῷ Θεῷ τῷ ἑνώσαντι τὰ διεστῶτα. καὶ προήχθη Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Μύρων τῆς Λυκίας, καὶ εἶπε· κἀγὼ ὁ ἁμαρτωλὸς καὶ ἀνάξιος πολλὰ ψηλαφήσας καὶ ἐρευνήσας, καὶ τὸ κρεῖττον ἐπιλεξάμενος, δέομαι τοῦ Θεοῦ καὶ τῆς ὑμετέρας ἁγιωσύνης, ἵνα μετὰ πάντων κἀγὼ ὁ ἁμαρτωλὸς ἑνωθῶ τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε φίλον τῷ δεσπότῃ Χριστῷ καὶ φιλάνθρωπον, * τὸ προσδεδέχεσθαι τοὺς μετανοοῦντας.

* διὸ προσδέχεσθε.

Ὁ θεοφιλέστατος Θεόδωρος ἐπίσκοπος Μύρων τὸ ἴσον τοῦ πρώτου λιβέλλου ἀνέγνω, τὸ· Θεσμοθεσία ἐστὶν ἐκκλησιαστικὴ κανονικῶς παραδεδομένη· καὶ ἑξῆς ὡς προτέτακται. ἀναγνόντος δὲ αὐτοῦ, Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ ἐπὶ τῷ εὐλαβεστάτῳ Θεοδώρῳ ἐπισκόπῳ Μύρων εὐχαριστίαν προσάγομεν Χριστῷ τῷ Θεῷ ἡμῶν. Εὐθύμιος ὁ ὁσιώτατος ἐπίσκοπος Σάρδης εἶπεν· εὐλογητὸς ὁ Θεὸς ὁ ἑνώσας αὐτὸν τῇ καθολικῇ ἐκκλησίᾳ.

Καὶ προσήχθη Θεοδόσιος ὁ ἐπίσκοπος τοῦ Ἀμμορίου, καὶ εἶπε.

Πανίεροι καὶ θεοτίμητοί μου δεσπόται, καὶ πᾶσα ἡ ἱερὰ σύνοδος αὕτη, κἀγὼ ὁ ἁμαρτωλὸς καὶ ἐλεεινὸς καὶ πεπλανημένος, ὁ πολλὰ κακὰ λαλήσας κατὰ τῶν σεπτῶν εἰκόνων, συνεὶς τὴν ἀλήθειαν, ἐπέγνων, καὶ κατέγνων ἑαυτοῦ, καὶ ἀνεθεμάτισα σαφῶς, καὶ ἀναθεματίζω ἃ κακῶς ἐλάλησα καὶ ἐδίδαξα ἐν τῷ κόσμῳ τούτῳ. καὶ δέομαι, καὶ παρακαλῶ τὴν ἁγίαν ὑμῶν σύνοδον, ἵνα μετὰ πάντων τῶν Χριστιανῶν δέξησθε κἀμὲ τὸν ἀνάξιον ὑμῶν δοῦλον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· πολὺν συντριμμὸν καρδίας ἐνεδείξατο ὁ εὐλαβέστατος Θεοδόσιος, καὶ ἄξιός ἐστι δοχῆς.

Ἡ ἁγία σύνοδος εἶπεν· ἄξιός ἐστι κατὰ τοὺς ἱεροὺς κανόνας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ οὐδὲν ἕτερόν ἐστι κανονικὸν τὸ κωλύον αὐτὸν, ἄξιός ἐστι, καὶ ἀνέγνω οὗτος ὁ Θεοδόσιος Ἀμμορίου τὸν οἰκεῖον λίβελλον ἔχοντα οὕτως.

Τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ Θεοδόσιος ὁ ἐλάχιστος Χριστιανός. ὁμολογῶ, καὶ συντίθεμαι, καὶ δέχομαι, καὶ ἀσπάζομαι, καὶ προσκυνῶ

κυνῶ πρωτοτύπως τὴν ἄχραντον εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ τὴν ἁγίαν εἰκόνα τῆς ἀσπόρως αὐτὸν τεκούσης τῆς ἁγίας θεοτόκου. καὶ τὴν βοήθειαν καὶ τὴν σκέπην αὐτῆς, καὶ τὰς πρεσβείας αὐτῆς ἑκάστης ἡμέρας καὶ νυκτὸς ἐπικαλοῦμαι ὡς ἁμαρτωλὸς εἰς βοήθειάν μου, ὡς παῤῥησίαν ἐχούσης πρὸς τὸν ἐξ αὐτῆς τεχθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν· ὁμοίως καὶ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, προφητῶν, καὶ μαρτύρων, καὶ πατέρων, καὶ ἀσκητῶν τῆς ἐρήμου τὰς εἰκόνας δέχομαι καὶ προσκυνῶ, οὐχ ὡς Θεούς, μὴ γένοιτο. ἀλλὰ τὴν σχέσιν καὶ τὸν πόθον τῆς ψυχῆς μου, ὃν εἶχον πρὸς αὐτοὺς τὸ πρῶτον, καὶ ἀρτίως ἐνδεικνύμενος, παρακαλῶ πάντας αὐτοὺς ὁλοψύχως πρεσβεύειν ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεὸν, ὅπως δώῃ μοι διὰ τῶν πρεσβειῶν αὐτῶν εὑρεῖν ἔλεος παρ' αὐτῷ τῇ ἡμέρᾳ τῆς κρίσεως. ὁμοίως καὶ τὰ λείψανα τῶν ἁγίων προσκυνῶ καὶ τιμῶ καὶ ἀσπάζομαι, ὡς ἀθλησάντων ὑπὲρ τοῦ Χριστοῦ, καὶ λαβόντων χάριν παρ' αὐτοῦ ἰάσεις ἐπιτελεῖν, καὶ νόσους θεραπεύειν, καὶ δαίμονας ἐκβάλλειν· καθὼς ἡ ἐκκλησία τῶν Χριστιανῶν παρέλαβεν ἐκ τῶν ἁγίων ἀποστόλων καὶ πατέρων, καὶ ἕως ἡμῶν. ἀνιστορεῖσθαι δὲ εὐδοκῶ καὶ ἐν ταῖς ἐκκλησίαις τῶν ἁγίων πρωτοτύπως τὴν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἁγίας θεοτόκου, ἐκ παντοίας ὕλης, χρυσοῦ, καὶ ἀργύρου, καὶ πάσης χρωματουργίας· ἵνα γνωρίζηται πᾶσιν ἡ ἔνσαρκος αὐτοῦ οἰκονομία. ὁμοίως ἀνιστορεῖσθαι τὰς πολιτείας τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, προφητῶν τε καὶ μαρτύρων, ἵνα γνωρίζωνται οἱ ἄθλοι καὶ οἱ ἀγῶνες αὐτῶν εἰς σύντομον γραφὴν καὶ διέγερσιν καὶ διδασκαλίαν τῶν λαῶν, μάλιστα τῶν ἁπλουστέρων. εἰ γὰρ βασιλέων λαυράτοις καὶ εἰκόσιν ἀποστελλομένοις ἐν πόλεσι καὶ χώραις ἀπαντῶσι λαοὶ μετὰ κηρῶν καὶ θημιαμάτων, οὐ τὴν κηρόχυτον σανίδα τιμῶντες, ἀλλὰ τὸν βασιλέα· πόσῳ μᾶλλον χρὴ ἐν ταῖς ἐκκλησίαις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀνιστορεῖσθαι τὴν εἰκόνα τοῦ σωτῆρος ἡμῶν Θεοῦ, καὶ τῆς ἀχράντου αὐτοῦ μητρὸς, καὶ τῶν ἁγίων πάντων καὶ μακαρίων πατέρων καὶ ἀσκητῶν; καθὼς καὶ ὁ ἅγιος Βασίλειος λέγει· ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι καὶ ζωγράφοι πολλάκις διασημαίνουσιν· οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες· καὶ πολλοὺς διήγειραν εἰς ἀνδρίαν ἑκάτεροι. καὶ πάλιν ὁ αὐτός. πόσα ἂν ἔκαμες ἄνθρωπε, ἵνα εὕρης ἕνα ἐκ τῶν ἁγίων δυσωποῦντα τὸν κύριον; καὶ ὁ Χρυσόστομος λέγει. ἡ γὰρ τῶν ἁγίων χάρις οὐ διακόπτεται θανάτῳ, οὐκ ἀμβλύνεται τελευτῇ, ἀλλὰ καὶ μετὰ τὸ θανεῖν τῶν ζώντων εἰσὶ δυνατώτεροι. καὶ ἄλλα πολλὰ ἄμετρα. καὶ διὰ τοῦτο παρακαλῶ ὑμᾶς ἅγιοι τοῦ Θεοῦ, καὶ βοῶ· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιον ὑμῶν· δέξασθέ με, ὡς ἐδέξατο ὁ Θεὸς τὸν ἄσωτον, καὶ τὴν πόρνην, καὶ τὸν λῃστήν. ζητήσατέ με, καθὼς ἐζήτησεν ὁ Χριστὸς τὸ ἀπολωλὸς πρόβατον, ὃ ἀνέλαβεν ἐπὶ τῶν ὤμων· ὅπως γένηται χαρὰ ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀγγέλων αὐτοῦ ἐπὶ τῇ ἐμῇ σωτηρίᾳ καὶ μετανοίᾳ, διὰ τῆς τῶν παναγίων ὑμῶν δεσποτῶν μεσιτείας. τοῖς μὴ προσκυνοῦσι τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς βλασφημοῦσιν εἰς τὰς τιμίας καὶ σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς τολμῶσι διαβάλλειν καὶ βλασφημεῖν τὰς σεπτὰς εἰκόνας, ἢ ἀποκαλεῖν αὐτὰς εἴδωλα, ἀνάθεμα. τοῖς χριστιανοκατηγόροις, ἤγουν εἰκονοκλάσταις, ἀνάθεμα. τοῖς μὴ διδάσκουσιν ἐπιμελῶς πάντα τὸν φιλόχριστον λαὸν προσκυνεῖν καὶ ἀσπάζεσθαι τὰς σεπτὰς καὶ ἱερὰς καὶ τιμίας εἰκόνας πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος τῷ Θεῷ εὐαρεστησάντων, ἀνάθεμα. τοῖς ἀμφίβολον ἔχουσι τὴν διάνοιαν, καὶ μὴ ἐκ ψυχῆς ὁμολογοῦσι προσκυνεῖν τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα.

Λουκ. 15.

Σάββας ὁ εὐλαβέστατος ἡγούμενος μονῆς τῶν Στουδίων εἶπε. κατὰ τὰς ἀποστολικὰς διατάξεις, καὶ οἰκουμενικὰς συνόδους, ἄξιός ἐστιν ἀποδοχῆς.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οἵποτε κατήγοροι τῆς ὀρθοδοξίας, νυνὶ συνήγοροι τῆς ἀληθείας ἐγένοντο.

Κωνσταντῖνος ὁ θεοφιλέστατος ἐπίσκ. Κωνσταντίας Κύπρου εἶπε· πολὺ ἡμῖν δάκρυον ἐκένωσεν ὁ λίβελλος τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀμμορίου.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. δοκεῖ ὑμῖν τοὺς θρόνους αὐτῶν ἀπολαμβάνειν;

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· καθὼς ἐδέξαντο αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας, καὶ ἡμεῖς δεχόμεθα.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀρέσκει πᾶσιν ἡμῖν. καὶ ἐκελεύσθησαν ὅ, τε εὐλαβέστατος Βασίλειος ἐπίσκοπος Ἀγκύρας, καὶ Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Μύρων, καὶ Θεοδόσιος ὁ εὐλαβέστατος ἐπίσκοπος τοῦ Ἀμμορίου, καθίσαι εἰς τοὺς βαθμοὺς καὶ εἰς τὰς καθέδρας αὐτῶν.

Τούτου οὖν γενομένου, Εὐθύμιος ὁ θεοφιλέστατος ἐπίσκ. Σάρδης εἶπε· τὸν ὀρθόδοξον ὁ Θεὸς καλῶς ἤνεγκεν.

Ἡ ἁγία σύνοδος εἶπεν· ὁ ὀρθόδοξος τῇ συνόδῳ· ὁ πατὴρ τοῖς πατράσι· τοὺς ὀρθοδόξους ὁ Θεὸς καλῶς ἤνεγκε. μετὰ τούτους δὲ προήχθησαν Ὑπάτιος ὁ θεοφιλέστατος ἐπίσκοπος Νικαίας, καὶ Λέων ὁ εὐλαβέστατος ἐπίσκοπος Ῥόδου, καὶ Γρηγόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Πισινοῦντος, καὶ Λέων ὁ εὐλαβέστατος ἐπίσκοπος τοῦ Ἰκονίου, καὶ Γεώργιος ὁ εὐλαβέστατος ἐπίσκοπος Πισιδίας, καὶ Νικόλαος ὁ εὐλαβέστατος ἐπίσκ. Ἱεραπόλεως, καὶ Λέων ὁ εὐλαβέστατος ἐπίσκ. Καρπάθου.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. οὐκ οἶδα πόθεν εἰπεῖν ὁρμηθέντες, βουλὴν βαθεῖαν ἐβουλεύσασθε, καὶ οὐ διὰ κυρίου. καὶ συνθήκας πεποιήκατε, καὶ οὐ διὰ τοῦ πνεύματος αὐτοῦ. παρασυνάγοντες ἑαυτοὺς κρύβδην καὶ λα-

θραίως

θραίως τῷ περυσινῷ χρόνῳ παρώσασθαι βουλευσάμενοι τὴν ἀλήθειαν. καὶ εἰ μὲν ἀλόγως πεποιήκατε, δότε λόγον τῆς ἀγνοίας ὑμῶν· εἰ δὲ καὶ μετὰ λόγου ψευδοῦς, προσαγέσθω ὁ αὐτὸς λόγος ὑμῶν, καὶ ἀκουστὸν γενέσθω ἐπὶ πᾶσιν
4. Ἐσδρ. 4. ἡμῖν· καὶ τὰς συμπλοκὰς καὶ ἀντιῤῥήσεις ὑμῶν σύμμαχον ἔχουσα τὴν μὴ νικωμένην ἀλήθειαν· ἡ ἱερὰ ὁμήγυρις αὕτη διαῤῥήσσουσα διαῤῥήξει, καὶ διαλύουσα διαλύσει ὡς συνδέσμους ψευδοῦς, καὶ μηδεμίαν ἐχούσας ἀληθείας ὑπόθεσίν τε καὶ ὑπόστασιν.

Λέων ὁ θεοφιλέστατος ἐπίσκοπος Ῥόδου εἶπεν· ἡμάρτομεν ἐνώπιον τοῦ Θεοῦ, καὶ ἐνώπιον τῆς ἐκκλησίας καὶ τῆς ἁγίας συνόδου ταύτης. ἐξ ἀμαθείας γὰρ ἐξεπέσαμεν, καὶ οὐκ ἔχομεν ἀπολογίαν.

Γρηγόριος ὁ εὐλαβέστατος ἐπίσκ. Πισινοῦντος εἶπε. κατὰ τὴν παραδοθεῖσαν πίστιν ἀπό τε τῶν ἁγίων ἀποστόλων καὶ πατέρων, οὕτως καὶ ὁμολογοῦμεν καὶ κρατοῦμεν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ ἔστι λόγος ἐν ὑμῖν, καθὼς ἐλαλήθη ὑμῖν, προαγέσθω.

Ὑπάτιος καὶ οἱ σὺν αὐτῷ ἐπίσκοποι εἶπον. οὐκ ἔχομεν, πανίερε δέσποτα, τί λαλῆσαι· κατὰ ἄγνοιαν καὶ ἀφροσύνην ἐλαλήσαμεν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. ποῖος λόγος ὑμᾶς ἔστρεψεν εἰς τὴν ἀλήθειαν;

Ὑπάτιος καὶ οἱ σὺν αὐτῷ ἐπίσκοποι εἶπον· τῶν ἁγίων ἀποστόλων καὶ πατέρων ἡ διδασκαλία.

Γρηγόριος ἐπίσκ. Πισινοῦντος εἶπεν· ἐν τῇ κατὰ Ἀντιόχειαν συνόδῳ τῶν ἁγίων ἀποστόλων εἴρηται, τοῦ μηκέτι πλανᾶσθαι εἰς τὰ εἴδωλα τοὺς σωζομένους, ἀλλ' ἀντεικονίζειν τὴν θεανδρικὴν ἄχραντον στήλην τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἀλλὰ καὶ ὁ μακάριος Ἰσίδωρος ὁ Πηλουσιώτης λέγει· ὅτι ναοῦ λόγος οὐδεὶς, ὃν οὐ στέφει ἄγαλμα.

Λέων ὁ εὐλαβέστατος ἐπίσκ. Ῥόδου εἶπε· πάντα ἃ εὐσεβῆ καὶ ἀληθῆ λέγομεν, εἰ καὶ ἀνάξιοι καὶ ἁμαρτωλοί ἐσμεν, ἐψηλαφήσαμεν· καὶ ἐκ νομικῆς, καὶ ἐκ προφητικῆς, καὶ ἐξ ἀποστολικῆς, καὶ ἐκ πατρικῆς φωνῆς ἐπληροφορήθημεν, ὅτι ἡ ἀλήθεια καὶ ἡ εὐσέβεια οὕτως ἐστὶ, τοῦ εἶναι τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἐν τῇ ἐκκλησίᾳ κατὰ τὴν παραδοθεῖσαν ἔκπαλαι τῶν χρόνων συνήθειαν ἀπὸ τῶν ἁγίων ἀποστόλων· κἀκεῖθεν ἐπείσθημεν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. καὶ πῶς ἔτι ἔχων ἕως τῶν ὀκτὼ ἢ καὶ δέκα ἐπίσκοπος ἕως τοῦ νῦν οὐκ ἐπείσθης;

Λέων ὁ εὐλαβέστατος ἐπίσκ. Ῥόδου εἶπεν. ἐπειδὴ ἐχρόνισε τὸ κακὸν, καὶ ἡ κακὴ διδασκαλία· καὶ ἐν τῷ χρονίσαι αὐτὴν, ἐξ ἁμαρτιῶν ἡμῶν ἐπλάνησεν ἡμᾶς, καὶ ἐξέκλινεν ἐκ τῆς ἀληθείας· ἀλλ' ἐλπίζομεν εἰς τὸν Θεὸν σωθῆναι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τὰ χρονιώτερα τῶν παθῶν δυχερέστερά πως ἐστὶ πρὸς τὸ θεραπεύεσθαι. οὕτω ψυχὴ ἐν σκοτομήνῃ αἱρέσεως οὖσα, τὸ φῶς τῆς ὀρθοδοξίας δυχερῶς ἐπιγινώσκει.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κύπρου εἶπεν· ἔδει ὑμᾶς ἐπισκόπους ὄντας μὴ διδασκαλίας δεῖσθαι, ἀλλὰ διδασκάλους εἶναι ἑτέρων.

Λέων ὁ εὐλαβέστατος ἐπίσκ. Ῥόδου εἶπεν· εἰ μὴ ἐπέτειναν οἱ ἐν νόμῳ τὴν ἁμαρτίαν, οὐκ ἦν χρεία τῆς χάριτος.

Σταυράκιος ὁ ὁσιώτατος ἐπίσκ. Χαλκηδόνος εἶπεν· ἀλλ' ἡμεῖς ἀδελφοὶ οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

Ὑπάτιος καὶ οἱ σὺν αὐτῷ ἐπίσκοποι εἶπον· ἐκ κακῶν διδασκάλων μαθήματα κακὰ παρελάβομεν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐπειδήπερ εἴπατε κακῶν διδασκάλων κακὰ τὰ μαθήματα, ἡ ἐκκλησία ἐκ κακῶν διδασκάλων ἱερεῖς δέχεσθαι οὐ προσίεται.

Ὑπάτιος ὁ εὐλαβέστατος ἐπίσκ. Νικαίας εἶπεν. οὕτως ἐκράτησεν ἡ συνήθεια.

Γρηγόριος ὁ εὐλαβέστατος ἐπίσκ. Πισινοῦντος εἶπεν· ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος λέγει· ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφὴν εὐσεβείας πεπληρωμένην.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος τῶν Στουδίων εἶπεν· Εὐλογητὸς ὁ Θεὸς ὁ ὁδηγήσας ὑμᾶς εἰς τὴν ἀλήθειαν.

Ὁμοίως Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τὸν λόγον καὶ τὴν ἀπολογίαν αὐτῶν ἤδη ἠκούσαμεν.

Ἡ ἁγία σύνοδος εἶπε· ναὶ δέσποτα.

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς καὶ πρεσβύτερος, καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου Ἀντιοχείας, εἶπε· διαθρυλλεῖται πανάγιε πάτερ παρὰ πολλῶν, πῶς δεῖ τοὺς ἀπὸ αἱρέσεων προσερχομένους δέχεσθαι. καὶ παρακαλοῦμεν τὴν ἁγίαν καὶ ἱερὰν σύνοδον, ὅπως ἔλθωσιν αἱ βίβλοι τῶν ἁγίων πατέρων, καὶ θεωρῶμεν καὶ ἀνακρίνωμεν, κἀκεῖθεν λάβωμεν τὴν ἀκριβῆ ἀσφάλειαν, ὅπως χρὴ δέχεσθαι αὐτούς. ἀποροῦμεν γὰρ ἡμεῖς.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἐξαιτοῦμεν τὴν σὴν μακαριότητα δέσποτα, ἐλθέτωσαν τὰ προλεχθέντα βιβλία, ὅπως πληροφορηθέντες τάξιν ἀρίστην ταύτην ποιησώμεθα.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· κατὰ τὴν αἴτησιν τῶν θεοφιλεστάτων ἀνδρῶν καὶ τοποτηρητῶν, καὶ τῶν ὁσιωτάτων ἐπισκόπων, δεῖ τὰς βίβλους προκομισθῆναι.

Κωνσταντῖνος ὁ θεοφιλέστατος νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιότητος πάρεσμεν ἐπιφερόμενοι τὰς ἱερὰς βίβλους, ἅσπερ ἠγάγομεν ἐκ τῶν ἀποκειμένων ἐν τῇ βιβλιοθήκῃ τοῦ εὐαγοῦς πατριαρχείου Κωνσταντινουπόλεως, τῶν τε

κα-

κανόνων τῶν ἁγίων ἀποστόλων, καὶ τῶν ἁγίων συνόδων, καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, καὶ ἑτέρων ἁγίων πατέρων.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀναγνωσθήτω ἐν πρώτοις ἡ βίβλος τῶν κανονικῶν διατάξεων.

Ἡ ἁγία σύνοδος εἶπεν. ἀναγνωσθήτω.

Ὁ αὐτὸς Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

Τῶν ἁγίων ἀποστόλων κανὼν πεντηκοστὸς τρίτος. Ἔτις πρεσβύτερος τὸν ἐπιστρέφοντα ἀπὸ ἁμαρτίας οὐ προσδέχεται, ἀλλ' ἀποβάλλεται, καθαιρείσθω, ὅτι λυπεῖ τὸν Χριστὸν τὸν εἰπόντα. ὅτι χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι,

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ οἱ σὺν αὐτῷ εἶπον. τοῦτο εὔδηλον, καὶ παρὰ πᾶσιν ἀποδεδεγμένον, ὅτι ἕκαστον τῶν μετανοούντων ἡ ἐκκλησία προσδέχεται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἔστι δὲ ἕτερος κανὼν περὶ τούτου, ὃν ὁ αὐτὸς θεοφιλέστατος νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

Τῆς ἐν Νικαίᾳ συνόδου κανὼν ὄγδοος. Περὶ τῶν ὀνομασάντων μὲν ἑαυτοὺς Καθαρούς ποτε, προσερχομένων δὲ κοινῇ τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, ἔδοξε τῇ ἁγίᾳ μεγάλῃ συνόδῳ, ὥστε χειροτονουμένους οὕτω μένειν ἐν τῷ κλήρῳ. πρὸ πάντων δὲ τοῦτο ὁμολογῆσαι αὐτοὺς ἐγγράφως προσήκει, ὅτι συνθήσονται καὶ ἀκολουθήσουσι τοῖς τῆς καθολικῆς ἐκκλησίας δόγμασι· τουτέστι καὶ διγάμοις κοινωνεῖν, καὶ τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσιν· ἐφ' οἷς καὶ χρόνος τέτακται, δὲ καιρὸς ὥρισται· ὥστε αὐτοὺς ἀκολουθεῖν ἐν πᾶσι τοῖς δόγμασι τῆς ἀποστολικῆς ἐκκλησίας. ἔνθα μὲν οὖν ἅπαντες χειροτονηθέντες εἴτε ἐν κώμαις, εἴτε ἐν πόλεσιν αὐτοὶ μόνοι εὑρίσκοιντο, οἱ εὑρικόμενοι ἐν τῷ κλήρῳ, ἔσονται ἐν τῷ αὐτῷ σχήματι· καὶ τὰ ἑξῆς.

Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κατάνης τῆς τῶν Σικελῶν ἐκκλησίας εἶπε. πρὸς τὴν αἵρεσιν ταύτην οὐδὲν ἔχει ὁ ἀναγνωσθεὶς κανών.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἀλλὰ καὶ περὶ πάσης αἱρέσεώς ἐστιν.

Επιφάνιος ὁ εὐλαβέστατος διάκονος τῆς ἐκκλησίας Κατάνης, καὶ τὸν τόπον ἐπέχων Θωμᾶ ἀρχιεπισκόπου Σαρδινίας. εἶπεν. οὗτος ὁ κανὼν τότε περὶ τῶν Καθαρῶν ἐῤῥέθη.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀρτίως οὖν καὶ ἡμεῖς κατὰ τὸν καιρὸν τοῦτον τὴν ἀναφυεῖσαν αἵρεσιν πῶς ὀφείλομεν δέξασθαι;

Ιωάννης ὁ θεοφιλέστατος τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου τῆς ἀνατολῆς εἶπεν. ἡ αἵρεσις χωρίζει ἀπὸ τῆς ἐκκλησίας πάντα ἄνθρωπον.

Ἡ ἁγία σύνοδος εἶπε· τοῦτο εὔδηλόν ἐστιν.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον. χειροθετουμένους εἶπεν ὁ κανὼν δεχθῆναι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. καὶ πῶς νοεῖται τὸ χειροθετούμενον.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· δεόμεθα δέσποτα διδασκαλίας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· μήπως ἐπ' εὐλογίας ἐνταῦθα τὴν χειροθεσίαν λέγει, καὶ οὐχὶ ἐπὶ χειροτονίας.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον. ἐὰν ἄλλο τὸ κωλύον οὐκ ἔστιν, ἕνεκεν ταύτης τῆς μετανοίας αὐτῶν δεχθήσονται κατὰ τοὺς κανόνας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐρευνῶμεν καὶ ἄλλους κανόνας περὶ λοιπῶν αἱρέσεων,

Ἡ ἁγία σύνοδος εἶπε. καὶ τοῦτο ἀξιοῦμεν, ἐλθέτωσαν οἱ κανόνες.

Ὁ αὐτὸς θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω. τῆς ἐν Εφέσῳ συνόδου κανὼν τρίτος.

Εἴ τινες τῶν ἐν ἑκάστῃ πόλει κληρικῶν ὑπὸ Νεστορίου καὶ τῶν σὺν αὐτῷ ὄντων ἐκωλύθησαν τῆς ἱερωσύνης διὰ τὸ ὀρθῶς φρονεῖν, καὶ τούτους τὸν ἴδιον ἀπολαμβάνειν βαθμὸν ἐδικαιώσαμεν. κοινῶς δὲ τοὺς τῇ οἰκουμενικῇ καὶ ὀρθοδόξῳ συνόδῳ συμφρονοῦντας ἢ δὲ συμφρονήσοντας, ἢ νῦν ἢ μετὰ ταῦτα κληρικοὺς ἐν οἱῳδήποτε χρόνῳ, τοῖς ἀποστατήσασιν ἢ ἀφισταμένοις, ἢ παραβαίνουσιν ἐπισκόποις τούς τε ἁγίους κανόνας καὶ τὴν ὀρθόδοξον πίστιν, κελεύομεν μηδόλως ὑποκεῖσθαι κατὰ μηδένα τρόπον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· σαφέστερος κανὼν περὶ τοῦ ζητουμένου κεφαλαίου.

Ἀναγνωσθήτωσαν δὲ καὶ οἱ λοιποὶ κανόνες.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς καὶ βιβλιοφύλαξ τοῦ εὐαγοῦς πατριαρχείου εἶπεν· ἔτι μετὰ χεῖρας ἔχομεν ἐπιστολὰς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου περὶ τῆς προῤῥηθείσης ὑποθέσεως, εἰ δεκτοί εἰσιν εἰς τὴν ἱρωσύνην οἱ ἐκ τῆς αἱρέσεως ἐπιστρέφοντες. καὶ εἰ κελεύετε, αὗται ἀναγνωσθήτωσαν.

Ἡ ἁγία σύνοδος εἶπεν. ἀναγνωσθήτωσαν.

Στέφανος μοναχὸς καὶ βιβλιοφύλαξ ἀνέγνω ἐκ τῆς πρὸς Αμφιλόχιον κανονικῆς πρώτης ἐπιστολῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου.

Τὸ δὲ τῶν Εγκρατητῶν κακούργημα νοῆσαι ἡμᾶς δεῖ, ὅτι ἵνα ἀπροσδέκτους αὐτοὺς ποιήσωσι τῇ ἐκκλησίᾳ, ἐπεχείρησαν λοιπὸν ἰδίῳ προκαταλαμβάνειν βαπτίσματι· ὅθεν καὶ τὴν συνήθειαν τὴν ἑαυτῶν παρεχάραξαν. νομίζω τοίνυν, ὅτι ἐπειδὴ οὐδὲν ἐστι περὶ αὐτῶν φανερῶς διηγορευμένον, ἡμᾶς προσῆκεν ἀθετεῖν αὐτῶν τὸ βάπτισμα· κἂν τις ᾖ παρ' αὐτῶν εἰληφὼς, προσιόντα τῇ ἐκκλησίᾳ βαπτίζειν· ἐὰν μέντοι μέλλῃ τῇ καθολικῇ ἐκκλησίᾳ ἡ οἰκονομία ἐμπόδιον ἔσεσθαι, τούτῳ πάλιν τῷ ἔθει χρηστέον, καὶ τοῖς οἰκονομήσασι τὰ καθ' ἡμᾶς πατρᾶσιν ἀκολουθητέον. ὑφορῶμαι γὰρ, μήποτε ὡς βουλόμεθα ὀκνηροὺς αὐτοὺς περὶ τὸ βαπτίζειν ποιῆσαι,

σαι, ἐμποδίσωμεν τοῖς σωζωμένοις διὰ τὸ τῆς προτάσεως αὐστηρόν. εἰ δὲ ἐκεῖνοι φυλάσσουσι τὸ ἡμέτερον βάπτισμα, τοῦτο ἡμᾶς μὴ δυσωπείτω. οὐ γὰρ ἀντιδιδόναι αὐτοῖς ὑπεύθυνοι χάριν ἐσμέν, ἀλλὰ δουλεύειν ἀκριβείᾳ κανόνων.

Παντὶ δὲ λόγῳ τυπωθήτω, τοὺς ἐπὶ τῷ βαπτισμῷ ἐκείνων προσερχομένους χρίεσθαι, ἐπὶ τῶν πιστῶν δηλονότι, καὶ οὕτως προσιέναι τοῖς μυστηρίοις. οἶδα δὲ, ὅτι τοὺς ἀδελφοὺς τοὺς περὶ * Ἴζοιν καὶ Σατορνῖνον ἀπ' ἐκείνης ὄντας τῆς τάξεως προσεδεξάμεθα εἰς τὴν καθέδραν τῶν ἐπισκόπων. ὥστε τοὺς τῷ τάγματι ἐκείνων συνημμένους οὐκ ἔτι δυνάμεθα διακρίνειν ἀπὸ τῆς ἐκκλησίας, οἷον κανόνα τινὰ τῆς πρὸς αὐτοὺς κοινωνίας ἐκθέμενοι διὰ τῆς τῶν ἐπισκόπων παραδοχῆς.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον. αἰτούμεθα, ἵνα κομισθῇ τοῦ ἁγίου Αθανασίου ἡ πρὸς Ρουφινιανὸν ἐπιστολή.

Ἡ ἁγία σύνοδος εἶπε. γενέσθω κατὰ τὴν αἴτησιν τῶν εὐλαβεστάτων μοναχῶν.

Εν δὲ τῷ μεταξὺ Λεόντιος ὁ ἐνδοξότατος ἀσηκρῆτις εἶπεν· ἐν τῷ τέως ἀναγνωσθήτωσαν αἱ λοιπαὶ τοῦ ἁγίου Βασιλείου ἐπιστολαί.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς καὶ βιβλιοφύλαξ ἀνέγνω. Τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου ἐκ τῆς πρὸς Εὐαϊσηνοὺς ἐπιστολῆς· οὓς δὲ πέρυσιν ἐκ τῆς Γαλατῶν μετεστείλαντο, ὡς δι' αὐτῶν δυνάμενοι τὴν παῤῥησίαν τῆς ἐπισκοπῆς ἀπολαβεῖν, τοιοῦτοί εἰσιν, οἵους ἴσασι μὲν, οἱ πρὸς ὀλίγον συγγεγονότες αὐτοῖς. καὶ μετ' ὀλίγα· εἰ δὲ λέγουσιν, ὅτι μετενόησαν, δειξάτωσαν αὐτῶν ἔγγραφον τὴν μετάνοιαν, καὶ ἀναθεματισμὸν τῆς ἐν Κωνσταντινουπόλει πίστεως, καὶ χωρισμὸν τῶν αἱρετικῶν. καὶ μὴ ἐξαπατάτωσαν τοὺς ἁπλουστέρους. Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς δυτικοὺς ἐπιστολῆς. Ἐστὶ τοίνυν εἷς τῶν πολλὴν ἡμῖν κατασκευαζόντων λύπην Εὐστάθιος ὁ ἐκ τῆς Σεβαστείας τῆς κατὰ τὴν μικρὰν Αρμένιαν, ὃς πάλαι μαθητευθεὶς τῷ Αρείῳ, ὅτε ἤκμαζεν ἐπὶ τῆς Αλεξανδρείας, τὰς πονηρὰς κατὰ τοῦ μονογενοῦς συνθεὶς βλασφημίας, ἀκολουθῶν ἐκείνῳ, καὶ τοῖς γνησιωτάτοις αὐτοῦ τῶν μαθητῶν ἐναριθμούμενος, ἐπειδὴ ἐπανῆλθεν εἰς τὴν ἑαυτοῦ, τῷ μακαριωτάτῳ ἐπισκόπῳ Ερμογένει τῷ Καισαρείας, κρίνοντι αὐτὸν ἐπὶ τῇ κακοδοξίᾳ, ὁμολογίαν ἔδωκεν πίστεως ὑγιοῦς. καὶ οὕτω τὴν χειροτονίαν ὑπ' αὐτοῦ δεξάμενος Εὐστάθιος, μετὰ τὴν ἐκείνου κοίμησιν εὐθὺς πρὸς τὸν ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως Εὐσέβιον ἔδραμε, οὐδενὸς ἔλαττον καὶ αὐτὸν τὸ δυσσεβὲς δόγμα τοῦ Αρείου πρεσβεύοντα. εἶτα ἐκεῖθεν δι' οἱασδήποτε αἰτίας ἀπελαθεὶς, ἐλθὼν τοῖς ἐπὶ τῆς πατρίδος ἀπελογήσατο πάλιν, τὸ μὲν δυσσεβὲς ἐπικρυπτόμενος φρόνημα, ῥημάτια δέ τινα ὀρθότητος προβαλλόμενος. καὶ τυχὼν τῆς ἐπισκοπῆς ὡς ἔτυχεν, εὐθὺς φαίνεται γράψας ἀναθεματισμὸν τοῦ ὁμουσίου ἐν τῷ κατὰ Αγκύραν γενομένῳ αὐτοῖς συλλόγῳ. κἀκεῖθεν ἐπὶ τὴν Σελεύκειαν ἐλθὼν, ἔγραψε μετὰ τῶν αὐτοῦ ὁμοδόξων, ἃ πάντες ἴσασιν. ἐν δὲ τῇ Κωνσταντινουπόλει συνέθετο πάλιν τοῖς ἀπὸ τῶν αἱρετικῶν προτεθεῖσι. καὶ οὕτως ἀπελαθεὶς τῆς ἐπισκοπῆς διὰ τὸ ἐν τῇ Μελιτηνῇ προκαθηρῆσθαι, ὁδὸν ἑαυτῷ τῆς ἀποκαταστάσεως ἐπενόησε τὴν ὡς ὑμᾶς ἄφιξιν. Ὃ τίνα μὲν ἐστιν ἃ προετάθη αὐτῷ παρὰ τοῦ μακαριωτάτου ἐπισκόπου Λιβερίου, καὶ τίνα ἃ αὐτὸς συνέθετο, ἀγνοοῦμεν. πλὴν ὅτι ἐπιστολὴν ἐκόμισεν ἀποκαθιστῶσαν αὐτὸν, ἣν ἐπιδείξας τῇ κατὰ Τύανα συνόδῳ, ἀποκατέστη τῷ τόπῳ.

Ανεγνώσθη δὲ καὶ ἡ πρὸς Τερέντιον κόμητα τοῦ αὐτοῦ πατρὸς ἐπιστολὴ, ἐν ᾗ ἐσήμενεν ὁ πατὴρ τὴν πρὸς Εὐστάθιον κοινωνίαν καὶ ἀποδοχὴν ἐκ τῆς αἱρέσεως ἐπιστρέφοντα.

Στέφανος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

Ἐκ τοῦ ὄρου τῆς ἁγίας τρίτης συνόδου κατὰ τῶν δυσσεβῶν Μασσαλιανῶν, ἤγουν Εὐχιτῶν.

Ηρεσεν ἅπασιν ἡμῖν, καὶ τοῖς θεοφιλεστάτοις ἐπισκόποις Οὐαλεριανῷ καὶ Αμφιλοχίῳ, καὶ πᾶσι τοῖς τῶν Παμφύλων καὶ Λυκαόνων ἐπαρχιῶν εὐλαβεστάτοις ἐπισκόποις, τὰ ἐν τῷ συνοδικῷ χαρτίῳ τυπωθέντα κρατεῖν ἅπαντα, καὶ κατὰ μηδένα τρόπον παραβαίνεσθαι αὐτὰ, βεβαίων ὄντων αὐτῶν δηλαδὴ, καὶ τῶν πεπραγμένων ἐν Αλεξανδρείᾳ· ὥστε τοὺς ὄντας κατὰ πᾶσαν ἐπαρχίαν τῆς Μασσαλιανῶν, ἤγουν ἐνθουσιαστῶν αἱρέσεως, ἢ καὶ ἐν ὑποψίαις τῆς τοιαύτης νόσου γεγενημένους, εἴτε κληρικοὶ εἶεν, εἴτε λαϊκοὶ, μεθοδεύεσθαι. καὶ ἀναθεματίζοντας κατὰ τὰ ἐν τῷ μνημονευθέντι συνοδικῷ διηγορευμένα ἐγγράφως, μένειν τοὺς μὲν κληρικοὺς ἐν τῷ κλήρῳ, τοὺς δὲ λαϊκοὺς ἐν τῇ κοινωνίᾳ τῆς ἐκκλησίας.

Πέτρος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχικοῦ σεκρέτου ἔχων ἐπὶ χεῖρας ἀνέγνω.

Τοῦ ἁγίου πατρὸς ἡμῶν Κυρίλλου ἀρχιεπισκόπου Αλεξανδρείας Μαξίμῳ διακόνῳ Αντιοχείας ὑπομνηστικόν.

Εμαθον παρὰ τοῦ ἀγαπητοῦ μονάζοντος Παύλου, ὅτι παραιτεῖται ἡ σὴ θεοσέβεια μέχρι σήμερον τὴν κοινωνίαν τὴν πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ιωάννην, διά τινας ἐν τῇ Αντιοχέων ἐκκλησίᾳ ἢ φρονοῦντας ἔτι τὰ τοῦ Νεστορίου, ἢ πεφρονηκότας μὲν, ἀποσχομένους δὲ ἴσως. δοκιμασάτω τοίνυν τὸ σὸν ἐπιεικὲς, πότερόν ποτε οἱ λεγόμενοι συνάγεσθαι, γυμνῶς καὶ ἀναισχύντως * τῷ Νεστορίῳ καὶ φρονοῦσι καὶ λαλοῦσιν ἑτέρως· ἢ κεκαυτηριασμένην μὲν ἐσχήκασί ποτε τὴν συνείδησιν, συνάγονται δὲ νῦν μεταμεληθέντες ἐφ' οἷς συνηρπάγησαν, αἰσχυνόμενοι δὲ ἴσως ὁμολογεῖν τὸ πταῖσμα. συμβαίνει γάρ τινα τοιαῦτα περὶ τοὺς ἀπατηθέντας γίνεσθαι. κἂν ἴδῃς συντρέχοντας τῇ ὀρθῇ πίστει, ἀμνησικάκει περὶ τῶν παρελθόντων. βουλόμεθα γὰρ μᾶλλον ἀρνουμένους αὐτοὺς ὁρᾶν, ἢ ἀναισχύντῳ γνώμῃ συνηγοροῦντας ταῖς Νεστορίου κακίαις. ἵνα

τὰ Νεστορίου καὶ φρ. καὶ λαλ. ἑτέροις.

δὲ

δὲ μὴ δοκώμεν τιμᾶν τὸ φιλόνεικον, ἀσπασώμεθα τὴν πρὸς τὸν εὐλαβέστατον ἐπίσκοπον Ἰωάννην κοινωνίαν, συγχωροῦντες αὐτῷ, καὶ οἰκονομίας ἕνεκα μὴ ἀκριβολογεῖσθαι σφόδρα περὶ τοὺς μεταγινώσκοντας. οἰκονομίας γὰρ, ὡς ἔφην, δεῖται τὸ πρᾶγμα πολλῆς.

Τοῦ αὐτοῦ πατρὸς πρὸς Γεννάδιον πρεσβύτερον καὶ ἀρχιμανδρίτην.

Τὸ μὲν ἔντονον εἰς εὐλάβειαν τῆς σῆς θεοσεβείας οὐ νῦν ἔγνων, ἀλλ' ᾔδειν ἔκπαλαι. καὶ ἐπαινῶ γε σφόδρα μετὰ * τοιαύτης ἀκριβείας θέλουσαν ζῆν. ἀλλ' οἰκονομίαι πραγμάτων ἔσθ' ὅτε παραβιάζονται βραχὺ τοῦ δέοντος ἔξω φέρεσθαί τινας, ἵνα τι μεῖζον κερδάνωσιν. ὥσπερ γὰρ οἱ τὴν θάλασσαν ναυτιλλόμενοι χειμῶνος ἐπικειμένου, καὶ κινδυνευούσης τῆς νεὼς, ἀλύοντες ἀποφορτίζονταί τινα τοῦ σῶσαι τὰ λοιπά· οὕτω καὶ ἡμεῖς ἐν τοῖς πράγμασιν, ὅταν μὴ ἐξῇ τὸ λίαν ἀκριβὲς ἀποσώζειν, παρορῶμέν τινα, ἵνα μὴ τοῦ παντὸς πάθωμεν ζημίαν. καὶ ταῦτα γράφω μαθὼν, ὅτι ἡ σὴ θεοσέβεια λελύπηται εἰς τὸν ὁσιώτατον καὶ θεοφιλέστατον ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν ἐπίσκοπον Πρόκλον, ὡς λαβόντα πρὸς κοινωνίαν τὸν τῆς Αἰλιέων· ὃν οἱ μὲν τῆς ἐκκλησίας θεσμοὶ τῆς Παλαιστίνης ἡγούμενον οὐκ ἴσασιν, ἐγείρει δὲ πρὸς ἀχάλινον τοῦ πράγματος ἐπιθυμίαν φιλοδοξία διάκενος πικρὸν ἔχουσα τὸ τέλος. μὴ ἀποφευγέτω τοίνυν ἡ σὴ θεοσέβεια τὴν πρὸς τὸν ὁσιώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον Πρόκλον κοινωνίαν. μία γὰρ γέγονεν ἡ φροντὶς ἐμοί τε καὶ τῇ ὁσιότητι αὐτοῦ· καὶ ὁ τῆς οἰκονομίας τρόπος οὐδενὶ τῶν συνετῶν ἀπήρεσεν.

Τούτων ἀναγνωσθέντων. οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· εἰ κελεύει ἡ ἁγία σύνοδος, κομισθήτω ἡ πρὸς Ῥουφινιανὸν τοῦ ἁγίου Ἀθανασίου ἐπιστολή, καὶ ἀναγνωσθήτω.

Ἡ ἁγία σύνοδος εἶπεν. γενέθω ἡ αἴτησις τῶν εὐλαβεστάτων μοναχῶν.

Στέφανος ὁ προειρημένος μοναχὸς ἔχων μετὰ χεῖρας τὴν βίβλον ἀνέγνω.

Τοῦ ἁγίου Ἀθανασίου πρὸς Ῥουφινιανόν.

Κυρίῳ ἀγαπητῷ καὶ ποθεινοτάτῳ συλλειτουργῷ Ῥουφινιανῷ Ἀθανάσιος ἐν κυρίῳ χαίρειν.

Καὶ μετ' ὀλίγα.

Ἐπειδὴ φιλοκάλως καὶ ἐκκλησιαστικῶς· τοῦτο γὰρ πάλιν πρέπει τῇ σῇ εὐλαβείᾳ. ἠρώτησας περὶ τῶν δι' ἀνάγκην ὑποσυρέντων, μὴ φθαρέντων δὲ ἐν τῇ κακοπιστίᾳ. καὶ ἠθέλησας γράψαιμε τὰ δόξαντα ἐν ταῖς σύνοδοις καὶ πανταχοῦ περὶ αὐτῶν. γίνωσκε κύριέ μου ποθεινότατε, ὅτι ἐν ἀρχῇ μὲν παυσαμένης τῆς γεγενημένης βίας, γέγονε σύνοδος παρόντων καὶ τῶν ἀπὸ τῶν ἔξω μερῶν ἐπισκόπων, γέγονε δὲ καὶ παρὰ τοῖς τὴν Ἑλλάδα κατοικοῦσι συλλειτουργοῖς, οὐδὲν δὲ ἧττον καὶ τοῖς ἐν Ἱσπανίᾳ καὶ Γαλλίᾳ· καὶ ἤρεσεν ὅπερ ὧδε, καὶ πανταχοῦ· ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς ἔτι τόπον κλήρου. τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας ὑποσυρεῖσι δὲ διὰ ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ καὶ τὸν τόπον τοῦ κλήρου, μάλιστα δὲ ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο. καὶ ἔδοξε τοῦτόπως οἰκονομικῶς γεγενῆσθαι. διεβεβαιώσαντο γὰρ μεταβεβλῆσθαι μὲν εἰς ἀσέβειαν, ἵνα δὲ μὴ καταστασθέντες τινὲς ἀσεβέστατοι διαφθείρωσι τὰς ἐκκλησίας, εἵλοντο μᾶλλον συνδραμεῖν τῇ βίᾳ, καὶ βαστάσαι τὸ βάρος, ἢ λαοὺς ἀπολέσθαι. τοῦτο δὲ λέγοντες, ἔδοξαν καὶ ἡμῖν πιθανῶς λέγειν, διὰ τὸ καὶ προφασίζεσθαι αὐτοὺς τὸν Ἀαρὼν τὸν Μωϋσέως ἀδελφὸν ἐν τῇ ἐρήμῳ συνδραμεῖν μὲν τῇ τοῦ λαοῦ παραβάσει, ἀπολογίαν δὲ ἐσχηκέναι, ἵνα μὴ ὁ λαὸς ὑποστρέψας εἰς Αἴγυπτον ἐπιμείνῃ τῇ εἰδωλολατρείᾳ. καὶ γὰρ ἦν φαινόμενον εὔλογον, ὅτι μένοντες ἐν τῇ ἐρήμῳ δύνανται παύσασθαι τῆς ἀσεβείας, εἰσελθόντες δὲ εἰς Αἴγυπτον ἐπετρίβοντο, καὶ ηὔξανον ἐν ἑαυτοῖς τὴν ἀσέβειαν. τούτου τοίνυν ἕνεκα συγγνωστὸν πρὸς τὸν κλῆρον γέγονε. τοῖς δὲ ἀπατηθεῖσι καὶ βίαν παθοῦσι συγγνώμην διδόναι. ταῦτα καὶ ἐν Ῥώμῃ ἐγράφη, καὶ ἀπεδέξατο ἡ Ῥωμαίων ἐκκλησίᾳ. ταῦτα καὶ τῇ σῇ εὐλαβείᾳ δειλῶ θαρρῶν, ὅτι τὰ δόξαντα ἀποδέξεταί σου ἡ θεοσέβεια.

Τούτων ἀναγνωσθέντων, Σάββας ὁ εὐλαβέστατος καὶ οἱ σὺν αὐτῷ μοναχοὶ εἶπον. οὐκ ἔστιν αὕτη ἡ φωνὴ τοῦ ἁγίου Ἀθανασίου μόνον, ἀλλὰ καὶ συνόδων, διὰ τὸ λέγειν τὸν αὐτὸν πατέρα, ὅτι καὶ οἱ Ῥαμαῖοι, καὶ οἱ τῆς Ἑλλάδος ἀπεδέξαντο. καὶ ὁρίζει τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας δέχεσθαι μὲν εἰς μετάνοιαν, τὴν ἱερωσύνην δὲ μὴ ἀπολαμβάνειν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. οὐ περὶ παντὸς αἱρετικοῦ ἐπιστρέφοντος ἀποφαίνεται ὁ πατὴρ μὴ δεχθῆναι, ἀλλὰ περὶ τῶν πρωτάρχων τῆς αἱρέσεως, καὶ τῶν ἐμπαθῶς ἐγκειμένων· καὶ ῥήμασι μὲν σχηματιζομένων τὴν ἀλήθειαν ἐπὶ παρουσίᾳ ὀρθοδόξων, περὶ δὲ τὸν νοῦν κακουργούντων. ὅμως καὶ αὖθις ἀναγνωσθήτω ἡ αὐτὴ πρὸς Ῥουφινιανὸν ἐπιστολὴ τοῦ αὐτοῦ πατρός. Ἀναγινωσκομένου δὲ τοῦ χωρίου τοῦ λέγοντος· ὥστε τοῖς μὲν καταπεπτωκόσι καὶ προϊσταμένοις τῆς ἀσεβείας συγγινώσκειν μὲν μετανοοῦσι, μὴ διδόναι δὲ αὐτοῖς ἔτι τόπον κλήρου. τοῖς δὲ μὴ αὐθεντοῦσι μὲν τῆς ἀσεβείας, ὑποσυρεῖσι δὲ δι' ἀνάγκην καὶ βίαν, ἔδοξε δίδοσθαι μὲν συγγνώμην, ἔχειν δὲ τὸν τόπον τοῦ κλήρου. μάλιστα δὲ ὅτι ἀπολογίαν πιθανὴν ἐπορίσαντο.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον. ἰδοὺ καθὼς προέφημεν, ὁ πατὴρ οὐ δέχεται εἰς ἱερωσύνην τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. οὐκ ἔστιν οὕτως, καθὼς νοεῖτε. ὁ μὲν γὰρ πατὴρ τοὺς μὴ αὐθεντήσαντας τῆς αἱρέσεως, ἀλλ' ὑποσυρέντας καὶ βίαν παθόντας ἀποδέχεται εἰς ἱερωσύνην. μόνους δὲ τοὺς προϊσταμένους ἢ γενήτορας τῶν αἱρέσεων, αὐτοὺς εἰς ἱερωσύνην οὐ προσεδέξατο, εὖγε καὶ καλῶς καὶ δικαίως τοῦτο ἀποφαινόμενος.

καὶ

* Ζώϊον

Ἔξοδ. 32.

καὶ αὖθις, πένταθλον οἶδε τὸν ἅγιον Ἀθανάσιον ἡ ἐκκλησία, ὡς διωχθέντα εἰς Ῥώμην διαφόρως, καὶ ἀτίμῳ φυγῇ ἐξελαθέντα ὑπὸ τῶν προϊσταμένων τῆς Ἀρειανῆς αἱρέσεως. ὑποστρέφοντος δὲ αὐτοῦ καὶ περιγενομένου τῶν ἐκκλησιῶν, οἱ ἀντίπαλοι αὐτῷ ἐπεκολλῶντο κατὰ τοὺς καιροὺς μεταβαλλόμενοι. ὅτε δὲ παῤῥησίαν ἐλάμβανον ἐκείνου ἀναχωροῦντος, εἰς τὴν προτέραν αἵρεσιν ἐπανήρχοντο, καὶ διωγμὸν κατὰ τῶν εὐσεβῶν ἐκίνουν. διὰ τοῦτο οἶμαι τὸν πατέρα λέγειν, μὴ δέχεσθαι τοὺς τοιούτους εἰς ἱερωσύνην, ὡς ὑπομείναντα αὐτόν τε καὶ τοὺς ὀρθοδόξους ὑπ' αὐτῶν τὰ χαλεπά.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς εἶπεν. ἀμνησίκακός ἐστιν ὁ πατήρ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· πρόδηλον τοῦτο· οὐδὲ γὰρ κακὸν ἀντὶ κακοῦ ἀπεδίδου τινί· διὰ δὲ τὸν τοῦ Θεοῦ ζῆλον καὶ ἀσφάλειαν τῆς ἐκκλησίας, ἀπαίδευτον χρηστότητα οὐκ ἠδύνατο κτᾶσθαι, ἀλλὰ τὰ πρὸς ἐκδίκησιν τοῦ Θεοῦ προετιμᾶτο.

Ἰωάννης ὁ εὐλαβέστατος μοναχός τε καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· καλῶς ἀνεγνώσθη ὁ ὅρος οὗτος εἰς ἀσφάλειαν τῶν ἀκουόντων.

Οἱ μοναχοὶ ἀναλαβόντες εἶπον. ἀλλὰ τοὺς παρασυρέντας καὶ βίαν παθόντας ὁ πατὴρ προσίεται. εἰπάτωσαν οὖν, εἰ παρεσύρησαν, ἢ βίαν ὑπέμειναν, ὅτι ἀπέστησαν τῆς ἀληθείας.

Ὑπάτιος καὶ οἱ σὺν αὐτῷ ἐπίσκοποι εἶπον· ὅτι ἡμεῖς οὔτε βίαν ὑπεμείναμεν, οὐδὲ παρεσύρημεν, ἀλλ' ἐν ταύτῃ τῇ αἱρέσει ἡμῶν γεννηθέντες ἀνεθραφημεν καὶ ηὐξήθημεν.

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκ. Κατάνης, καὶ οἱ σὺν αὐτῷ ὁσιώτατοι ἐπίσκοποι Σικελίας, μετὰ Ἐπιφανίου διακόνου Κατάνης τὸν τόπον ἐπέχοντος Θωμᾶ ἐπισκόπου Σαρδινίας, εἶπον· ὅτι οἱ ἀναγνωσθέντες κανόνες τῶν ἁγίων πατέρων περί τε Ναυατιανῶν, καὶ Ἐγκρατιτῶν, καὶ Ἀρειανῶν εἴρηνται. ταύτης δὲ τῆς αἱρέσεως τοὺς ἡγήτορας μετὰ τίνων τάξομεν;

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· εὑρίσκομεν καὶ Μανιχαίους μὴ δεξαμένους εἰκόνας, καὶ Μαρκιωνιστὰς, καὶ τοὺς συγχυτικοὺς τῶν Χριστοῦ φύσεων· ὧν Πέτρος ὁ Κναφεὺς, καὶ Ξεναΐας ὁ Ἱεραπόλεως οἱ αἱρετικοὶ, ἀλλὰ καὶ Σεβῆρος.

Ἐπιφάνιος διάκονος τῆς ἐκκλησίας Κατάνης, καὶ τοποτηρητὴς Θωμᾶ ἐπισκόπου Σαρδινίας, εἶπεν· ἐλάττων ἐστὶ τῶν προγεγενημένων αἱρέσεων ἡ νυνὶ καινοτομηθεῖσα, ἢ ὑπερτέρα;

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τὸ κακὸν ἤδη κακόν ἐστι, καὶ μάλιστα ἐκκλησιαστικῶν πραγμάτων. τὸ γὰρ ἐπὶ δόγμασιν εἴτε μικροῖς εἴτε μεγάλοις ἁμαρτάνειν, ταυτόν ἐστιν· ἐξ ἀμφοτέρων γὰρ ὁ νόμος τοῦ Θεοῦ ἀθετεῖται.

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· ἡ αἵρεσις αὕτη χεῖρον πάντων τῶν αἱρέσεων κακόν· οὐαὶ τοῖς εἰκονομάχοις· καὶ * κακὴ, ὡς τὴν οἰκονομίαν τοῦ σωτῆρος ἀναστρέπουσα.

* L. κακῶν κακιστη.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ὁδηγεῖ ἡμᾶς τὸ ῥητὸν τοῦ πατρὸς ἡμῶν Ἀθανασίου, ὅτι ἐὰν ἄλλη αἰτία τις οὐκ ἐγένετο τῶν εὐλαβεστάτων ἐπισκόπων, ἵνα δεχθῶσιν.

Ἡ ἁγία σύνοδος εἶπε· ἀναγνωσθήτω καὶ τὰ λοιπὰ τῶν κανονικῶν χρήσεων.

Ἔτι Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω ἐκ τῶν πεπραγμένων τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου τῆς ἐν Χαλκηδόνι.

Οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

Καὶ αὖθις Θαλάσσιος, Εὐσέβιος καὶ Εὐστάθιος οἱ εὐλαβέστατοι ἐπίσκ. εἶπον· πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν. καὶ μεθ' ἕτερα.

Καὶ ἀναστὰς ὁ εὐλαβέστατος ἐπίσκ. Ἰουβενάλιος ἅμα αὐτοῖς μετῆλθεν εἰς τὸ ἄλλο μέρος· καὶ ἀνεβόησαν οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι· ὁ Θεὸς καλῶς ἤνεγκέσε ὀρθόδοξε, καλῶς ἦλθες. καὶ μεθ' ἕτερα πλεῖστα.

Οἱ Ἰλλυρικιανοὶ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· πάντες ἐσφάλημεν, πάντες συγγνώμην αἰτοῦμεν.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος μονῆς τῶν Στουδίων εἶπεν· εἰ δοκεῖ τῇ ἁγίᾳ συνόδῳ, ἴδωμεν τὰς χειροτονίας τῶν δεχθέντων, εἰ ἀπὸ αἱρετικῶν ἦσαν, ἢ οὔ.

Ἡ ἁγία σύνοδος εἶπε· ζητεῖτε ἐν τοῖς ἑξῆς καὶ περὶ τῆς χειροτονίας.

Ἀντώνιος ὁ εὐλαβέστατος μοναχὸς ἀνέγνω.

Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Ῥουφίνου πρεσβυτέρου Ῥώμης.

Εὐσέβιος ἐν Ἀλεξανδρείᾳ γενόμενος εὑρίσκει σύνοδον κροτουμένην περὶ τῆς αὐτῆς ὑποθέσεως, ὀλίγων μὲν ὄντων τῶν συνελθόντων, χάριτι δὲ τῆς ὑπὲρ Χριστοῦ ὁμολογίας τὰ μέγιστα πράττειν καὶ λέγειν δυναμένων. ἔνιοι γοῦν ζήλῳ τῆς εὐσεβείας ἔλεγον, μὴ θέμις τοῖς δεξαμένοις Ἄρειον κοινωνεῖν. ἔνιοι δὲ ἐβουλεύοντο πάντας δέχεσθαι μετανοοῦντας καὶ ἀναθεματίζοντας, ἵνα μὴ πολλὰ πλήθη ἀνθρώπων ἀπόλωνται· λέγοντες, ὅτι οὐκ ὀφείλομεν τὰ ἑαυτῶν ζητεῖν, ἀλλὰ τὸ πολλοῖς συμφέρον, καθὼς καὶ ὁ Χριστὸς ποιεῖ σταυρωθεὶς ὑπὲρ ἡμῶν, ἵνα σώσῃ τῶν ἀνθρώπων τὸ γένος. οὔτε γὰρ μόνοις ἡμῖν τὴν βασιλείαν τῶν οὐρανῶν πρεσβεύειν ὀφείλομεν, ἀλλὰ καὶ ἑτέροις πολλοῖς· ὅπου καὶ τὸν υἱὸν τὸν ἐν ἀσωτίᾳ βιώσαντα, μετανοήσαντα ὁ πατὴρ προσεδέξατο. καὶ συλλήβδην εἰπεῖν, τῆς ἱερω-

Λουκ. 15.

ἱερωσύνης αὐτῷ μετεῖναι τὸ ἀξίωμα βουλόμενος, τὴν σφραγῖδα ἐν τῷ δακτύλῳ δίδωσι, καὶ τὴν στολὴν περιθέσθαι ποιεῖ. ἐκράτησε γοῦν αὐτὸς ὁ κανὼν ἐκ τῆς εὐαγγελικῆς αὐθεντίας συνεσφιγμένος, καὶ τυποῦσιν Ἀστέριον μὲν ἐν ταῖς κατὰ τὴν ἀνατολὴν ἐκκλησίαις περὶ τούτου πρεσβεύειν, Εὐσέβιον δὲ ταῖς ἐπὶ τῆς δύσεως. προσετέθη δὲ κατὰ τήνδε τὴν σύνοδον καὶ τὰ περὶ τοῦ ἁγίου πνεύματος, διὰ τὸ ἀναφυῆναι πάλιν τοὺς χωρίζοντας αὐτὸ τῆς δοξολογίας.

Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Σωκράτους.

Φωτεινὸς ὁ τοῦ Σιρμίου γενόμενος ἐπίσκοπος μαθητὴς ἦν Μαρκέλλου τοῦ Ἀγκύρας, καὶ αὐτὸς ψιλὸν ἄνθρωπον τὸν κύριον ἔλεγεν, ὡς ὁ Μάρκελλος.

Καὶ αὖθις ὁ αὐτὸς ἀνέγνω ἐκ τῆς αὐτῆς ἱστορίας· οἱ ἐν τῇ Σαρδικῇ ἐρήμην αὐτῶν κατεδιήτησαν, ὅρον δὲ πίστεως τῶν ἐν Νικαίᾳ ἐκύρωσαν, καὶ τὸν ἀνόμοιον ἐκβάλλουσι καὶ ἀναθεματίζουσιν. ἀποδιδόασι δὲ τοὺς θρόνους Παύλῳ καὶ Ἀθανασίῳ, ἔτι γε μὴν καὶ Μαρκέλλῳ τῷ Ἀγκύρας ἀπολογουμένῳ καὶ λέγοντι, ὡς οὐκ ἐνοήθησαν ἅπερ ἐν βίβλοις ἐξέθετο· ἐπεὶ καὶ αὐτὸς τοὺς λέγοντας ψιλὸν ἄνθρωπον τὸν κύριον ἀποστρέφεται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἤδη πλεῖσαι κανονικαὶ βίβλοι, καὶ συνοδικαὶ, καὶ πατρικαὶ ἀνεγνώσθησαν· καὶ τοὺς ἐξ αἱρέσεως ἐπιστρέφοντας ἐδίδαξαν ἡμᾶς δέχεσθαι, ἐάν τις αἰτία πονηρὰ οὐκ ἔστιν ἐν αὐτοῖς.

Ἡ ἁγία σύνοδος εἶπε· καλῶς ἐποίησας δέσποτα, διά τε ἐπιστολῶν καὶ συνοδικῶν συγγραμμάτων διδάξας ἡμᾶς τὴν τῶν αἱρετικῶν ἀποδοχὴν ἐπιγινώσκειν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τοῦ ἁγίου Ἀθανασίου τὸ ἀναγνωσθὲν καὶ πάλιν ἀναγνωσθήτω.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω κατὰ τὴν κέλευσιν τοῦ ἁγίου πατρὸς ἡμῶν.

Ταράσιος ὁ ἁγιώτατος πατριάχης εἶπεν· ἐξ αἰτήσεως τῶν εὐλαβεστάτων μοναχῶν ἀναγνωσθήτω.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς καὶ βιβλιοφύλαξ ἀνέγνω τοῦ ἁγίου Ἀθανασίου πρὸς Ῥουφινιανὸν, ὡς προγέγραπται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καθὼς προειρήκαμεν, οὕτως ἐστὶν ὁ νοῦς τοῦ πατρὸς ἡμῶν.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· ἡμεῖς καὶ πρώην εἴπομεν οἱ ἀνάξιοι δοῦλοι τῆς ἁγιωσύνης ὑμῶν, ὅτι εἴ τινα δέχονται αἱ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι, εἰ μή τί ἐστι τὸ ἀντιπράττον, δεχόμεθα.

Πέτρος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τὸν τόπον ἐπέχων τῆς ἀποστολικῆς καθέδρας, Ἀδριανοῦ πάπα Ῥώμης εἶπε· τοῦτο εὔδηλόν ἐστι. καὶ γὰρ ἐν Ῥώμῃ ἐξόριστος ἦν Μακάριος ὁ αἱρετικὸς ὑπὸ τῆς ἁγίας ἕκτης συνόδου· καὶ τεσσαράκοντα ἡμερῶν ἔδωκεν αὐτῷ διωρίαν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν πάπας Βενέδικτος, καὶ καθ' ἡμέραν ἀπέλυε πρὸς αὐτὸν Βονιφάτιον τὸν κονσιλιάριον αὐτοῦ, καὶ νουθετικοῖς ῥήμασιν ἐδίδασκεν αὐτὸν ἐκ τῆς θείας γραφῆς· καὶ οὐδέποτε ἠθέλησε διορθώσασθαι. τοῦτο δὲ ἐποίει πρὸς τὸ πεῖσαι αὐτὸν καὶ δέξασθαι.

Ἡ ἁγία σύνοδος εἶπε· εἰ μὲν ὁλοψύχως κατάθοιντο οἱ ἐξεταζόμενοι ἐπίσκοποι, χάρις τῷ Θεῷ καὶ αὐτοῖς. εἰ δὲ ὑπουλότητα ἔχουσι, κρινεῖ ἐπ' αὐτοὺς ὁ Θεὸς, ὡς ἐπὶ Ἀρείου καὶ Νεστορίου, καὶ τῶν ὁμοίων αὐτοῖς.

Οἱ ἐξεταζόμενοι ἐπίσκοποι ἀνεθεμάτισαν ἑαυτοὺς λέγοντες ὅτι οὐκ ἐσμὲν ἐν ὑπουλότητι· ἀλλ' ἐὰν μὴ ὁμολογῶμεν καθὼς ἡ καθολικὴ ἐκκλησία, ἀνάθεμα ἔχωμεν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· ἐχώμεθα τῶν προκειμένων.

Πέτρος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα Ῥώμης, εἶπεν· ὥσπερ φασὶν οἱ ἱστορικοὶ, ὁ ἅγιος Μελέτιος ὑπὸ τῶν Ἀρειανῶν ἐχειροτονήθη, καὶ ἀνῆλθεν ἐπὶ τοῦ ἄμβωνος, καὶ ἐκήρυξε τὸ ὁμοούσιον· ἡ δὲ χειροτονία οὐκ ἀπεδοκιμάσθη.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Κατάνης, καὶ οἱ σὺν αὐτῷ ἐπίσκ. Σικελίας εἶπον. ἀληθῶς εἴρηκεν ὁ πρωτοπρεσβύτερος τῆς ἀποστολικῆς καθέδρας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. κατ' οὐδὲν τοὺς πατέρας εὐρίσκομεν διαφωνοῦντας, ἀλλ' ὡς τοῦ αὐτοῦ πνεύματος ὄντες πάντες τὸ αὐτὸ κηρύττουσι καὶ διδάσκουσιν. ἀλλ' ὡς οἰκονομίαν τινα ἐπινοῶν ὁ πατὴρ ἡμῶν Ἀθανάσιος, οὕτως ἐξέθετο ὅθεν ἔκρινεν αὐτοὺς δέχεσθαι εἰς τὸν κλῆρον, ὅσοι οὐκ εἰσὶ διδάσκαλοι τῆς αἱρέσεως.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· * εἴ τι ἐκρίθη ἀναμέσον τῆς ἁγίας ὑμῶν συνόδου, δεχόμεθα.

* ὅ τε

Ἡ ἁγία σύνοδος εἶπεν· ἐλπίζομεν, ὅτι μετὰ τὴν σύνοδον οὐδεὶς διαστραφήσεται, καθότι ἐν ταῖς καταθέσεσιν αὐτῶν ἑαυτοὺς οἱ ἐπίσκ. ἀνεθεμάτισαν· ὅτι ἐὰν ἐπιστρέψωμεν ἐπὶ τὴν προτέραν αἵρεσιν, ἀναθεματισμένοι καὶ καθῃρημένοι ἐσμέν.

Κωνσταντῖνος ὁ θεοφιλέστατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπε· πανίερε δέσποτα, εἰ μὲν ἐπιφέρονται λιβέλλους, ἐπιδότωσαν. εἰ δὲ μὴ, ποιήτωσαν. καὶ εἶθ' οὕτως κρινεῖ ἡ ἁγία σύνοδος ἐπ' αὐτοῖς.

Οἱ δὲ ἔφασαν· ἔχομεν τοὺς λιβέλλους ἑτοίμους, καὶ δώσομεν αὐτούς.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἔχουσι τοὺς λιβέλλους αὐτῆς μετὰ χεῖρας, καὶ ἕτοιμοί εἰσι τὸ ἐπιδοῦναι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐν τῷ τέως τὰ ὑπόλοιπα περὶ τῆς προκειμένης ζητήσεως τῆς κανόνων ἀναγνωσθήτω.

Κοσμᾶς ὁ διάκονος καὶ νοτάριος καὶ χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ τῶν ἱερῶν σκευῶν ἐπόπτης καὶ οἰκονόμος καὶ σύγκελλος καὶ ἀρχιμανδρίτης καὶ ἡγούμενος τῆς μονῆς τῶν Ἀκοιμήτων καὶ ἐξαρχος τῶν ἱερῶν μονῶν καὶ ἀσκητηρίων καὶ ἀρχιερεὺς τῆς ἁγίας

πὸ Διοσκόρυ τῦ δυσεβῦς κεχειροτόνητο, παρόντος κ Εὐτυχῦς. κ ἡμεῖς γῦν δεχώμεθα τὺς ἀπὸ αἱρετικῶν χειροτονηθέντας, ὡς κ Ἀνατολίῳ ἐδέχθη. κ αὖθις ἀληθῶς φωνὴ Θεῦ ἐστιν, ὅτι οὐκ ἀποθανοῦνται τέκνα ὑπὲρ πατέρων, ἀλλ' ἕκας τῇ ἰδίᾳ ἁμαρτίᾳ ἀποθανεῖται. κ ὅτι ἐκ τῦ Θεῦ ἐστιν ἡ χειροτονία. ἐπειδὴ δέ τινες τυχὸν ἀμφιβάλλυσι περὶ Ἀνατολίυ, ἀναγνωσθήτω τὰ περὶ αὐτῦ.

Ezek. 18.

Κοσμᾶς μοναχός, διάκονος κ χαρτοκλείστης τῆ ἁγίᾳ παξιαρχείᾳ, ἀνέγνω.

Προοίμιον τῆς ἐν Χαλκηδόνι ἁγίας κ οἰκυμενικῆς συνόδυ.

Συνελθύσης δὲ κ τῆς ἁγίας κ οἰκυμενικῆς συνόδυ τῆς κατὰ θεῖον θέσπισμα ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης. τυπέσι Παχασίνυ κ Λυκίυσίυ τῶν ἁγιωτάτων ἐπισκόπων, κ Βονιφατίυ τῦ ἁγιωτάτυ πρεσβυτέρυ, ἐπεχόντων τὸν τόπον τῦ ὁσιωτάτυ ἀρχιεπισκόπυ τῆς πρεσβυτέρας Ῥώμης Λέοντος· κ Ἀνατολίυ τοῦ ὁσιωτάτυ ἀρχιεπισκόπυ τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης.

Οἱ ἁγιώτατοι μοναχοὶ εἶπον· κ τῦτο δεχόμεθα.

Ἔτι Κωνσταντῖνος διάκονος κ νοτάριος ἀνέγνω.

Ἐκ τοῦ βίυ τοῦ ὁσίυ παξὸς ἡμῶν Σάββα.

Φλαυιανῦ τοίνυν κ Ἡλίᾳ τῇ παξιάρχῃ ἐν Σιδῶνι, ὡς εἴρηται, γενομένοις, κ γράμμασι κολακικοῖς τε κ οἰκονομικοῖς πρὸς βασιλέα χρησαμένοις, κ τῇ ἐν Σιδῶνι κατὰ τῆς ὀρθῆς πίστεως συναθροιζομένῃ συνόδῳ ἁλυσάντων, κ εἰς τὺς οἰκείυς θρόνυς ἐπανελθόντων, ἀγανακτήσαντες οἱ περὶ Σωτήριχον κ Φιλόξενον, εἰς ὀργὴν ἄγειν ἐκίνησαν τὸν βασιλέα, ὡς ἀπατηθέντα ὑπὸ τῆς τῇ παξιάρχῃ πανυργίας κ προσποιήσεως· κ λαβόντες παρ' ἐκείνυ ἐξυσίαν, κ χρυσίον ἱκανὸν τῷ Ἀντιοχείας δήμῳ διαδιδόντες, κ πολυτρόπως θλίψαντες τὸν Φλαυιανόν, κ ξύλον τινὰ ἀποπνίξαντες, κ καταναγκάσαντες τῇ ἐν Χαλκηδόνι συνόδῳ ἀναθεματίσαι, ὅπως αὐτὸν τῆς ἐπισκοπῆς ἐξεώσαντες, ὑπεροψίᾳ κατεδίκασαν. κ γνὺς ὁ βασιλεὺς, κ περιχαρὴς γενόμενος, Σεβῆρον τὸν τὴν Ἀκεφάλων ἔξαρχον ἐπίσκοπον Ἀντιοχείας ἀπέστειλεν. ὅστις Σεβῆρος τῇ παξιαρχείαν δεξάμενος, πολλὰ μὲν δεινὰ τοῖς μὴ κοινωνῦσιν αὐτῷ ἐπεδείκνυτο, ἀποστέλλει δὲ τὰ ἑαυτῦ συνοδικὰ τῷ ἀρχιεπισκόπῳ Ἡλίᾳ· κ μὴ δεχθεὶς, κινεῖ εἰς ὀργὴν τὸν βασιλέα. κ πάλιν ἀποστέλλει τὰ συνοδικὰ αὐτὰ εἰς Ἱεροσόλυμα τῷ Μαΐῳ μηνὶ τῆς ἕκτης ἰνδικτιῶνος, μετά τινων κληρικῶν, κ δυνάμεως βασιλικῆς. Ⓒ τῦτο γνὺς ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Σάββας, ἀνελθὼν ἐν τῇ ἁγίᾳ πόλει μετὰ τῶν ἄλλων τῆς ἐρήμου ἡγουμένων, τὺς μὲν ἐλθόντας μετὰ τῶν συνοδικῶν Σεβήρυ τῆς ἁγίας ἀνεδίωξε πόλεως, τὸ δὲ πλῆθος τῶν μοναχῶν πάντοθεν συναίξας, ἔμπροσθεν τοῦ ἁγίυ χρανίυ μετὰ τῶν Ἱεροσολυμιτῶν ἔκραζον λέγοντες· ἀνάθεμα Σεβήρῳ κ τοῖς κοινωνῦσιν αὐτῷ· παρόντων ἔτι κ ἀχυόντων τῶν τε μαγιστριανῶν, κ ἀρχόντων, κ στρατιωτῶν ὑπὸ τῦ βασιλέως ἀποσταλέντων. ὕτος γὰρ ὁ Σεβῆρος ἀλαζονείᾳ δεινῇ κρατηθείς, κ βασιλικῇ δυνασείᾳ ἐπερειδόμενος, τὴν ἐν Χαλκηδόνι σύνοδον μυρίοις καθυπέβαλλεν ἀναθέμασι, κ τὴν Εὐτυχῦς ἑτεροδοξίαν κρατῦναι φιλονεικῶν, μίαν τῦ δεσπότυ Χριστῦ τῦ υἱῦ τῦ Θεῦ μετὰ τὴν ἐκ παρθένυ σάρκωσίν τε κ ἐνανθρώπησιν ἐκήρυττε φύσιν φθαρτήν· κ φιλοτάραχος ὢν, πολλὰς κατατομίας ἀνεπλάσατο κατὰ τῆς ὀρθῆς τῆς ἐκκλησίας δογμάτων τε κ θεσμῶν. τὴν γὰρ ἀσεβεστάτην τε κ λυσσιχωτάτην ἐν Ἐφέσῳ δευτέραν συνόδον ἀποδέχεται, κ ὁμοίαν εἶναι λέγει ταύτην τῇ πρότερον ἐν τῇ Ἐφέσῳ συνελθύσῃ· κ ἴσως ἐν διδασκάλοις ἀποφαίνεται Κύριλλόν τε τὸν θεοφόρον τῆς Ἀλεξανδρέων ἀρχιεπίσκοπον, κ Διόσκορον τὸν εἰς κοινωνίαν δεξάμενον Εὐτυχῆ τὸν αἱρετικὸν ὡς ὁμόφρονα, κ τὸν ἁγιώτατον κ ὀρθοδοξότατον Φλαυιανὸν τὸν τῆς Βασιλίδος πόλεως ἀρχιεπίσκοπον καθελόντα κ κατακτείναντα. κ οὕτω τῇ ἀσεβείᾳ προκόπτων ὁ αὐτὸς Σεβῆρος ἠκόνησεν εἰς βλασφημίαν Θεῦ τὴν ἑαυτῦ γλῶσσαν, κ διεῖλεν ἐν τοῖς ἑαυτῦ λόγοις τὴν ἐν τριάδι μίαν κ ἀδιαίρετον θεότητα. λέγων γὰρ κ ὁμολογούμενος εἶναι τὴν ὑπόστασιν φύσιν, κ τὴν φύσιν ὑπόστασιν, κ μηδεμίαν διαφορὰν ἐν τούτοις γινώσκων τοῖς ὀνόμασι, τὴν ἁγίαν κ προσκυνητὴν κ ὁμοούσιον τριάδα τῆς θείων ὑποστάσεων, τριάδα φύσεων κ θεοτήτων κ Θεῶν λέγειν τετόλμηκε. τὸν τοιοῦτον τοίνυν ψυχοφθόρον κ λυμεῶνα ὁ βασιλεὺς Ἀνασάσιος ἠνάγκασε τὸν ἀρχιεπίσκοπον Ἡλίαν κοινωνικὸν εἰσδέξασθαι. τῶν δὲ μηδόλως τῦτο πρᾶξαι καταδεξαμένου, ὑπερζέσας τῷ θυμῷ ὁ βασιλεὺς ἀπέστειλεν Ὀλύμπιόν τινα Καισαρέα τὸ δεκάτον ἔχοντι Παλαιστίνης, συναποστείλας αὐτῷ καὶ ἀπὸ Σιδῶνος γραφεῖσαν οἰκονομικὴν ἐπιστολὴν, καθομολογοῦσαν μὴ προσίεσθαι τὴν ἐν Χαλκηδόνι συνόδον, πρὸς τὸ πᾶσι τρόποις τὸν Ἡλίαν τῆς ἐπισκοπῆς ἐξεῶσαι. ὅστις Ὀλύμπιος μετὰ δυνάμεως βασιλικῆς παραγενόμενος, κ πολλοῖς τρόποις κ μηχανήμασι χρησάμενος, κ τὴν εἰρημένην ἐπιστολὴν ἐμφανίσας, Ἡλίαν μὲν τῆς ἐπισκοπῆς ἐξέωσε, κ εἰς τὸν Ἀϊλαν περιώρισεν· Ἰωάννην δὲ τὸν Μαρκιανῦ υἱὸν, συνθέμενον τόν τε Σεβῆρον κοινωνικὸν εἰσδέξασθαι, κ τὴν σύνοδον Χαλκηδόνος ἀναθεματίσαι, ἐπίσκοπον Ἱεροσολύμων πεποίηκε τῇ τρίτῃ τοῦ Σεπτεμβρίυ μηνὸς, ἀρχῇ τῆς ἑνδεκάτης ἰνδικτιῶνος. Γνὺς δὲ ὅτε ἠγιασμένος

Σάβ-

Σάββας, καὶ οἱ λοιποὶ τῆς ἐρήμου πατέρες, ταῦτα συνθέμενον τὸν Ἰωάννην, συναχθέντες διεμαρτύραντο αὐτῷ, Σεβῆρον εἰς κοινωνίαν μὴ δέξασθαι, ἀλλ' ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου προκινδυνεύειν, ἔχοντα πάντας συμμαχοῦντας καὶ οὕτως ὁ Ἰωάννης ὅσα ὑπέσχετο τῷ δουκὶ ποιεῖν, παρέβη, τοὺς πατέρας ὑφορώμενος. Ἀναστάσιος δὲ ὁ βασιλεὺς γνοὺς τὸν Ἰωάννην τὰς συνθήκας ἠθετηκότα, καὶ ἀπομανεὶς, τοῦ Ὀλυμπίου ἐκποδὼν γεγονότος, ἀποστέλλει Ἀναστάσιον τὸν Παμφίλου τὸ δουκάτον ἔχοντα Παλαιστίνης, ἐπὶ τῷ παρασεύασαι τὸν Ἰωάννην, Σεβῆρον εἰς κοινωνίαν δέξασθαι, καὶ τὴν σύνοδον Χαλκηδόνος ἀναθεματίσαι, ἢ τῆς ἐπισκοπῆς αὐτὸν ἐξεῶσαι. ὅστις ἐλθὼν εἰς Ἱεροσόλυμα, αἰφνιδιάζει τὸν ἀρχιεπίσκοπον, καὶ βάλλει αὐτὸν εἰς τὴν δημοσίαν πρόοδον, ὅπου ἦν φυλακή. πάντες δὲ οἱ τῆς ἁγίας πόλεως οἰκήτορες ἐπεχάρησαν, διὰ τὸ γενέσθαι αὐτὸν ἐπίβουλον καὶ προδότην τοῦ ἀρχιεπισκόπου Ἠλία. Ζαχαρίας δέ τις τὴν τῆς Καισαρέων ἀρχὴν διέπων, λαθραίως εἰς τὴν φρουρὰν εἰσελθὼν, συμβουλεύει τῷ Ἰωάννῃ λέγων· εἰ θέλεις καλῶς πρᾶξαι, καὶ τῆς ἐπισκοπῆς μὴ στερηθῆναι, μηδείς σε πείσῃ Σεβῆρον εἰς κοινωνίαν δέξασθαι· ἀλλὰ δόξον συντίθεσθαι τῷ δουκὶ, καὶ λέγειν, ὡς ὅτι καὶ ἐνταῦθα μὲν τὰ προτεινόμενα ποιεῖν οὐκ ἀναβάλλομαι. ἀλλ' ἵνα μὴ λέγωσί τινες κατὰ ἀνάγκην καὶ βίαν πεπραχέναι με, ἀπολυθῶ ἐντεῦθεν, καὶ κατὰ δύο ἡμέρας κυριακῆς οὔσης πράξω προθύμως τὰ παρ' ὑμῶν μοι κελευόμενα, καὶ τοῖς τοιούτοις λόγοις πιστωθεὶς ὁ δοὺξ ἀποκαθίστησιν αὐτὸν τῇ ἐκκλησίᾳ. ὁ οὖν ἀρχιεπίσκοπος ἀπολυθεὶς διὰ τῆς νυκτὸς, ἅπαν τὸ μοναχικὸν εἰς τὴν ἁγίαν μετεπέμψατο πόλιν, τοῦ το πάντοθεν ἐπισυνάξας. ὡς δέ τινες ἀριθμήσαντες τὸ πλῆθος ἀπήγγειλαν, ὅτι εἶχε τὸ ἄθροισμα δέκα χιλιάδας μοναχῶν, καὶ ἐπειδὴ πᾶσα ἡ ἐκκλησίᾳ τὸν τοσοῦτον οὐκ ἐχώρει λαὸν, ἔδοξε συνελθεῖν ἅπαντας κατὰ τὴν κυριακὴν εἰς τὸν οἶκον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, ἱκανὸν ὄντα εἰς ὑποδοχὴν πλήθους· ἅμα δὲ καὶ ὑπαντῆσαι βουλόμενοι Ὑπατίῳ τῷ ἀνεψιῷ τοῦ βασιλέως, τότε ἀπὸ τῆς Βιταλιανοῦ ἀπολυθέντι αἰχμαλωσίας, καὶ εἰς Ἱεροσόλυμα εὐχῆς ἕνεκεν ἐλθόντι. ἐλθόντων οὖν ἁπάντων τῶν τε μοναχῶν καὶ τῶν πολιτῶν ἐν τῷ μνημονευθέντι σεβασμίῳ οἴκῳ, συνῆλθεν ὅ, τε Ἀναστάσιος ὁ δοὺξ, καὶ Ζαχαρίας ὁ ὑπατικός. παραγενομένου δὲ τοῦ Ὑπατίου, καὶ μετὰ τοῦ πλήθους εἰς τὸν τοῦ πρωτομάρτυρος ναὸν εἰσεληλυθότος, προσδοκῶντος τοῦ δουκὸς τὸ θέλημα τοῦ βασιλέως γενήσεσθαι, ἀπέρχεται ἐπ' ἄμβωνος ὁ ἀρχιεπίσκοπος, ἔχων μεθ' ἑαυτοῦ Θεοδόσιον καὶ Σάββαν τοὺς τῶν μοναχῶν κορυφαίους καὶ ἡγεμόνας· καὶ πᾶς ὁ λαὸς ἐπὶ πολλὰς τὰ ὥρας ἔκραζε λέγων· τοὺς αἱρετικοὺς ἀναθεμάτισον, καὶ τὴν σύνοδον βεβαίωσον. ἀμελητὶ οὖν οἱ τρεῖς ἐκ συμφώνου ἀναθεματίζουσι Νεστόριον καὶ Εὐτυχέα, Σεβῆρον καὶ Σωτήριχον τὸν Καισαρείας Καππαδοκίας, καὶ πάντα τὸν μὴ δεχόμενον τὴν σύνοδον Χαλκηδόνος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. τὴν ἀκρόασιν ἐποιησάμεθα τῶν πατρικῶν ἐνταλμάτων. τί οὖν δεῖ; δέχεσθαι τοὺς ἐξ αἱρετικῶν χειροτονηθέντας;

Ἡ ἁγία σύνοδος εἶπεν. ναὶ δέσποτα ἠκροασάμεθα, καὶ δέον δέχεσθαι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀλλὰ μὴν καὶ οἱ πλείους τῶν ἐν τῇ ἕκτῃ ἁγίᾳ συνόδῳ συνεδρευσάντων, ὑπὸ Σεργίου, Πύῤῥου, Παύλου, Πέτρου ἐκεχειροτόνηντο, τῶν καθηγητῶν τῆς αἱρέσεως τῶν Μονοθελητῶν, ἐπειδὴ ἀμοιβαδὸν οὗτοι τὸν Κωνσταντινουπόλεως θρόνον ἐκληρώσαντο. καὶ ἀπὸ τοῦ ἐσχάτου αὐτῶν καθηγησαμένου τοῦ θρόνου Κωνσταντινουπόλεως Πέτρου ἕως τῆς ἕκτης συνόδου, ἔτη οὐ πλέον διῆλθον ἢ δεκαπέντε. καὶ αὐτοὶ οἱ ἐν τῷ μεταξὺ χρόνῳ γενόμενοι, Θωμᾶς, καὶ Ἰωάννης, καὶ Κωνσταντῖνος ἀρχιερεῖς ἐν τῷ προδηλωθέντι χρόνῳ, τῆς χειροτονίας τῶν ὀνομασθέντων αἱρετικῶν γεγόνασι, καὶ ἕνεκεν τούτου οὐκ ἀπεδοκιμάσθησαν· ἐπὶ πεντήκοντα γὰρ ἐνιαυτοὺς τὸ τηνικαῦτα ἡ αἵρεσις διήρκεσεν. ἀλλ' οἱ τῆς ἕκτης συνόδου πατέρες αὐτοὺς τοὺς τέσσαρας ἀνεθεμάτισαν, καί περ χειροτονία αὐτῶν ὄντες.

Ἡ ἁγία σύνοδος εἶπε. πρόδηλον τοῦτο.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἀποδέδεικται ἱκανῶς τιμιώτατοι ἀδελφοὶ καὶ περὶ τούτου, ὅτι οἱ ἐξ αἱρετικῶν προερχόμενοι δεκτοί εἰσιν. ἐὰν δέ τις ἐπίτηδες πρὸς αἱρετικὸν * προχωρήσῃ, καὶ λάβῃ χειροτονίαν, ἄδεκτος ἔστω.

* ἄλ. πορευθεῖ

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· ἔχομεν καὶ περὶ τούτου τοῦ ἁγίου Βασιλείου ἐπιστολὴν πρὸς Νικοπολίτας, καὶ δεόμεθα ἀναγνωσθῆναι αὐτήν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀναγνωσθήτω.

Κωνσταντῖνος διάκονος καὶ νοτάριος ἀνέγνω.

Ἐκ τῆς επιστολῆς τοῦ ἁγίου Βασιλείου πρὸς Νικοπολίτας.

Οὐκ οἶδα ἐπίσκοπον, μηδὲ ἀριθμήσαιμι ἐν ἱερεῦσι Χριστοῦ τὸν παρὰ τῶν βεβήλων χειρῶν ἐπὶ καταλύσει τῆς πίστεως εἰς προστασίαν προβεβλημένον. αὕτη ἐστὶν ἡ ἐμὴ κρίσις. ὑμεῖς δὲ εἴ τινα ἔχετε μεθ' ἡμῶν μερίδα, ταύτα ἡμῖν φρονήσετε δηλονότι· εἰ δὲ ἐφ' ἑαυτῶν βουλεύεσθε, τῆς ἰδίας γνώμης ἕκαστός ἐστι κύριος. ἡμεῖς ἀθῶοι ἀπὸ τοῦ αἵματος τούτου. ταῦτα δὲ ἔγραψα, οὐχ ὑμῖν ἀπιστῶν, ἀλλὰ τότινων ἀμφίβολον στηρίζων, ἐκ τοῦ γνωρίσαι τὴν ἐμαυτοῦ γνώμην, ὡς μὴ προληφθῆναί τινας εἰς κοινωνίαν, μηδὲ τῆς χειρὸς αὐτῶν ἐπιβολὴν δεξαμένους, μετὰ ταῦτα εἰρήνης γενομένης βιάζεσθαι ἑαυτοὺς ἐναριθμεῖν τῷ ἱερατικῷ πληρώματι.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον. ἰδοὺ ὁ πατὴρ ἀποτρέπεται τὴν τῶν αἱρετικῶν χειροτονίαν,

ἐν τῷ

ἐν τῷ λέγειν· μηδὲ ἀειθμήσαιμι ἐν ἱερεῦσι Χριστοῦ τὸν παρὰ τῆς βεβήλων χειρῶν ἐπὶ καταλύσει τῆς πίστεως εἰς προσασίαν προβεβλημμένον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· κἀγὼ ἀποδέχομαι τοὺς διὰ τοιαύτην αἰτίαν, ἤτοι τῆς πίστεως κατάλυσιν, χειροτονημένους· καὶ μάλιστα ὀρθοδόξων ἐπισκόπων παρόντων, ὑφ' ὧν ἠδύναντο χειροτονεῖσθαι. οὕτω γὰρ ἐστὶν ἡ πατρικὴ σύνοια. ἐὰν δὲ συνοδικὴ ἐκφώνησις γένηται, καὶ ὁμόνοια τῆς ἐκκλησίας ἐπὶ ὀρθοδοξίᾳ; ὁ τολμῶν ἀπὸ τῆς βεβήλων αἱρετικῶν χειροτονεῖσθαι, τῇ καθαιρέσει * ὑποπεσεῖται.

* ἄλ. ὑποκεῖται.

Ἡ ἁγία συνόδος εἶπεν· αὕτη δικαία κρίσις.

Οἱ ἁγιώτατοι μοναχοὶ εἶπον. καὶ πῶς ἐν τῷ τέλει τῆς ἐπιστολῆς γέγραπται· μὴ ταῦτα εἰρήνης γενομένης βιάζεσθαι ἑαυτὸς συναθροίζειν τῷ ἱερατικῷ πληρώματι. ἰδὲ γὰρ ἐκ μὴ τῆς εἰρήνης οἱ χειροτονήμενοι ἄδεκτοι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οὐκ ἔφησεν ὁ πατὴρ ἀδέκτους εἶναι. ἀλλὰ μήπως εἰς ὕβριν τοὺς ἁγιωτάτους συνέσθαι τῷ κλήρῳ τῶν ὀρθοδόξων. καὶ γὰρ ὡς ἀληθῶς οὐκ ἔξω ἀνάγκης ἐκ δυσχερείας τοῦτο γένηται. ὅμως οὖν ὁ θεσπέσιος πατὴρ κατὰ τὸν καιρὸν ἐκεῖνον, πλείστων ὄντων ὀρθοδόξων ἐπισκόπων, ἀπηγόρευε τοῖς ξοφίμοις τῆς ἐκκλησίας τῶν Ἀρειανῶν χειροτονίᾳ κεχρῆσθαι. εὐδεμία γὰρ προσλῆ ἀπολογία. ὅτι δὲ τοῦτο ἀληθές, * οὐκ ἀγνοοῦντες τῷ γνώμῃ τοῦ παπᾶ οἱ μετ' ἐκεῖνον τῆς ἐκκλησίας διάδοχοι, τοὺς ὑπὲρ αἱρετικῶν χειροτονηθέντας, εἶτα βελτιωθέντας ἐδέξαντο, ὡς μεμαθήκαμεν διὰ τῆς προαναγνωσθέντων. πανταχοῦ γὰρ οἱ πατέρες ἀλλήλοις σύμφωνοι εἰσιν, ἐναντίωσις δὲ εὐδεμία ἔνεστιν αὐτοῖς· ἀλλ' ἐναντίωνται αὐτοῖς οἱ τὰς οἰκονομίας ἐκ τὸν σκοπὸν αὐτῆς μὴ ἐπισάμενοι.

* ἄλ. οὐκ ἀγνόουν ὅ τ'

Οἱ ἁγιώτατοι μοναχοὶ εἶπον· προσφορὰ τὰ ἐπιλυθέντα.

Ἡ ἁγία συνόδος εἶπεν· ἀναγνώτωσαν οἱ προϊσάμενοι ἐπίσκοποι τοὺς οἰκείους λιβέλλους, ὡς νῦν προσελθόντες τῇ καθολικῇ ἐκκλησίᾳ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἀναγνώτωσαν, ἐπειδὴ ἡ τῆς ζητουμένων δύο κεφαλαίων ἀκριβῶς * ἐξετασθῇ ὑπόθεσις περί τε τῆς προσερχομένων ἐξ αἱρέσεως τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ, καὶ τῆς ὑπὸ αἱρετικῶν χειροτονηθέντων.

* ἄλ. ἐξετασθῇ ὑπόθεσις.

Γράτιος ὁ ἐπίσκοπος Νικομήδειας ἀνέγνω τὸν ἑαυτοῦ λίβελλον. ὧν δὲ ὁ αὐτὸς λίβελλος, ὃν καὶ Βασίλειος ὁ ἁγιώτατος Ἀγκύρας ἐποιήσατο.

Λέων ἐπίσκοπος Ῥόδου, Νικόλαος ἐπίσκοπος Ἱεραπόλεως, Γρηγόριος ἐπίσκοπος Πισινοῦντος, Γεώργιος ἐπίσκοπος Ἀντιοχείας Πισιδίας, καὶ Λέων ἐπίσκοπος Καρπάθου ἀνέγνων τὰ ἴσα τοῦ αὐτοῦ λιβέλλου.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. τὰς ὁμολογίας γνόντες διὰ τῆς ἀναγνώσεως τῆς λιβέλλων, ἐν ἑτέρᾳ συνελεύσει ἡ αὐτῆς ἀποδοχὴ γένηται, εἰ ἐκ ἔστιν ἕτερον αὐτοῖς τὸ κωλύον.

Ἡ ἁγία συνόδος εἶπε. γενέσθω ὡς ἐκέλευσας πανάγιε πάτερ.

Καὶ ἐν τούτοις ἐξανασᾶσα ἡ ἁγία συνόδος ἐφώνησεν ὕστερον.

Πολλὰ τὰ ἔτη τῆς βασιλέως.

Εἰρήνης καὶ Κωνσταντίνου μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη.

Ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη.

Τὸν καθαιρέτας τῆς γενομένης ἁρμονοφωνίας κύριε κράτυνον. ἀσεβῆ κύριε ζωλωτὰ αὐτοῖς δός.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. εἰρήνη τοῦ Θεοῦ ἔστω μετὰ πάντων ἡμῶν.

ΠΡΑΞΙΣ Β'.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, βασιλείας τῆς ἀσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς, ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ ὀκτὼ καλανδῶν Ὀκτωβρίων, ἰνδικτιῶνος ἐνδεκάτης.

Συνελθόντες τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θείαν χάριν καὶ ἀσεβὲς θέσπισμα τῶν αὐτῆς θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τυτέστι, Πέτρου τοῦ ἀποστολικοῦ πρώτου πρεσβυτέρου τῆς κατὰ τὴν Ῥώμην ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Πέτρου, καὶ Πέτρου τοῦ ἀποστολικοῦ πρεσβυτέρου, μοναχοῦ καὶ ἡγουμένου τῆς κατὰ τὴν Ῥώμην ἁγίας Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ. Ταρασίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, Ἰωάννου καὶ Θωμᾶ τῆς ἀποστολικῶν πρεσβυτέρων, μοναχῶν καὶ τοποτηρητῶν τῆς ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως· καθεζομένων τε πρὸ τοῦ ἱερωτάτου ἄμβωνος τοῦ ναοῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμου Σοφίας, συμπαρόντων καὶ ἀκροωμένων τῆς ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων ἀρχόντων, τυτέστι Πετρωνᾶ τοῦ παυσφήμου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ θεοφυλάκτου βασιλικοῦ ὀψικίου, καὶ Ἰωάννου βασιλικοῦ ὁσιαρίου καὶ λογοθέτου τοῦ στρατιωτικοῦ λογοθεσίου, καὶ πάσης τῆς ἁγίας συνόδου κατὰ τάξιν τῶν προταχθείσαν ἐν τῇ πρώτῃ πράξει. παρόντων καὶ τῆς θεοφιλεστάτων ἀρχιμανδριτῶν τε καὶ ἡγουμένων, καὶ παντὸς τοῦ μοναχικοῦ πληρώματος, προκειμένων τῆς ἁγίων καὶ ἁχράντων τοῦ Θεοῦ εὐαγγελίων.

Νικηφόρος ὁ θεοφιλέστατος διάκονος καὶ χαρτοφύλαξ τοῦ εὐαγοῦς πατριαρχείου ἔφη. βασιλικὸς ἄνθρωπος πρὸ τῶν πυλῶν τοῦδε τοῦ σεπτοῦ ναοῦ ἔστηκεν, ἐπιφερόμενος μεθ' ἑαυτοῦ τὸν ἐπίσκοπον Νεοκαισαρείας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. εἰσελθέτωσαν.

Ὁ λαμπρότατος βασιλικὸς μανδάτωρ εἰσελθὼν ἔφη· ἀπεστάλην παρὰ τῶν δεσποτῶν τῶν ἀγαθῶν, ἐνέγκω τὸν εὐλαβέστατον ἐπίσκοπον Νεοκαισαρείας πρὸς τὴν θεοσεβῆ καὶ ἁγίαν ὑμῶν σύνοδον, ὃν καὶ παρέστησα.

Ἡ ἁγία σύνοδος εἶπεν. ὁ Θεὸς φυλάξοι τοὺς εὐλαβεῖς βασιλεῖς ἡμῶν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης τῷ ἐπισκόπῳ Νεοκαισαρείας εἶπεν· ὡς ἄγνωστός σοι παρῆλθεν ἡ ἀλήθεια ἕως τοῦ νῦν; ἢ ὡς ἐγνωσμένης κατεφρόνησας; καὶ ἐὰν ὡς ἄγνωστός σοι παρῆλθε, μὴ αἰδεσθῇς τὸν ὀρθὸν λόγον μαθεῖν, ὥσπερ οὐκ ᾐσχύνθης τὸν διεστραμμένον.

Γρηγόριος ἐπίσκοπος Νεοκαισκρείας εἶπε. πίστευσον δέσποτα, ὡς ἄγνωστος· αἰτῶ δὲ μαθεῖν, καὶ ὡς κελεύει ὁ δεσπότης καὶ ἡ ἁγία σύνοδος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. λέγε τί θέλεις μαθεῖν;

Γρηγόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Νεοκαισαρείας εἶπεν. ἡνίκα πᾶσα ἡ ὁμήγυρις αὕτη τὸ ἓν λαλεῖ καὶ φρονεῖ, ἔμαθον καὶ ἐπληροφορήθην, ὅτι ἡ ἀλήθεια αὕτη ἐστὶν, ἡ νυνὶ ζητουμένη καὶ κηρυσσομένη. καὶ διὰ τοῦτο κἀγὼ αἰτῶ συγγνώμην τῶν πρώην μου κακῶν, καὶ θέλω μετὰ * πάντων καὶ φωτισθῆναι καὶ διδαχθῆναι. τὰ γὰρ πλημμελήματα καὶ τὰ ἁμαρτήματά μου ἄμετρά ἐστι. καὶ ὡς ὁ θεὸς κατανύξει τὴν ἱερὰν σύνοδον καὶ τὸν πανάγιον δεσπότην.

* ἀλ. πάντως

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. μήπως ὡς παραπετάσματι πανούργῳ τὸ σὸν φρόνημα συσκιάσαι θέλων, ῥήμασι χηματίζῃ τὴν ἀλήθειαν, περὶ δὲ τὸν νοῦν κακουργεῖς;

Γρηγόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Νεοκαισαρείας εἶπε· μὴ γένοιτο. τὴν ἀλήθειαν ὁμολογῶ, καὶ οὐ μὴ ψεύσωμαι, οὐδὲ μὴ ῥᾳδιουργήσω τὸν λόγον μου.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ὤφειλες ἐκ τῶν ἀνέκαθεν χρόνων ἀνοῖξαί σου τὰ ὦτα, καὶ Παύλου τοῦ θείου ἀποστόλου ἀκοῦσαι λέγοντος· κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. καὶ πάλιν Τιμοθέῳ καὶ Τίτῳ γράφοντος. τὰς βεβήλους καινοφωνίας παραιτεῖσθαι. τί βεβηλότερον, ἢ τί καινοφωνότερον τοῦ λέγειν Χριστιανοὺς εἰδωλολατρῆσαι;

1. Θεσσαλ. 2.

1. Τιμοθ. 6 Τίτῳ 3.

Γρηγόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Νεοκαισαρείας εἶπεν. κακὸν ἦν, καὶ ὁμολογοῦμεν, κακὸν ἦν. ἀλλ' οὕτως ἐπράχθη, καὶ οὕτως ἐπράξαμεν. καὶ διὰ τοῦτο αἰτοῦμεν συγγνώμην τῶν πλημμελημάτων ἡμῶν. ὁμολογῶ δέσποτα ἔμπροσθεν τῆς τιμιωτάτης ἁγιωσύνης ὑμῶν, καὶ πάντων τῶν ἀδελφῶν τῆς ἁγίας συνόδου, ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν, καὶ κακῶς ἐπράξαμεν· καὶ συγνώμην αἰτοῦμεν περὶ τούτου.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. λέγομεν, ἵνα τῇ ἑξῆς ἀκροάσει μετὰ λιβέλλου πάλιν τὰ κατ' αὐτὸν γνώμεν.

Ἡ ἁγία σύνοδος εἶπεν. ὡς κελεύει ἡ ἁγιωσύνησου, ὁ προεστὼς ἐπίσκοπος μετὰ λιβέλλου ἐλθέτω ἐν τῇ ἑξῆς πράξει· καὶ κατὰ τὸ παριστάμενον πραχθήσεται.

Λέοντιος ὁ εὐκλέεστατος βασιλικὸς ἀσηκρῆτις εἶπε· μέμνηται ἡ πανίερος καὶ θεοσύλλεκτος σύνοδος, ὡς τῇ προγενομένῃ συνελεύσει θεῖα γράμματα ἀνεγνώσθησαν τῶν θεοφυλάκτων μεγάλων βασιλέων ἡμῶν· ἐν οἷς ἐνεφέρετο μνήμη τῶν συνοδικῶς ἀποσταλέντων γραμμάτων παρὰ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης, καὶ τῶν εὐαγεστάτων ἀρχιερέων τῆς ἀνατολῆς ἐν δυσὶ τετραδίοις· ὧν καὶ νυνὶ προκομισθέντων, ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Ἡ ἁγία σύνοδος εἶπεν. ἀναγνωσθήτωσαν οἱ λίβελλοι τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου πάπα Αδριανοῦ τῆς πρεσβυτέρας Ρώμης.

Καὶ ἀνέγνω Νικηφόρος ὁ εὐκλεέστατος βασιλικὸς ἀσηκρῆτις.

Ερμηνεία γραμμάτων Ρωμαϊκῶν Αδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης.

Δεσπόταις εὐσεβεστάτοις καὶ γαληνοτάτοις, νικηταῖς, τροπαιούχοις· τέκνοις ἠγαπημένοις * τῷ Θεῷ καὶ κυρίῳ ἡμῶν Ιησοῦ Χριστῷ, Κωνσταντίνῳ καὶ Εἰρήνῃ Αὐγούστοις Αδριανὸς δοῦλος τῶν δούλων τοῦ Θεοῦ.

* ἐν τῷ Θεῷ.

Ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὁ λυτρωσάμενος ἡμᾶς τῆς ἐξουσίας τοῦ σκότους, διὰ τῆς σαρκώσεως τοῦ υἱοῦ τοῦ ἀληθινοῦ φωτὸς, ἐν ᾧ εὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι, καὶ δι' αὐτοῦ πάντα ἀνακαινίσας, καὶ ἐν αὐτῷ εἰρηνεύσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ τὰ ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ ὄντα, διὰ τὸ πλῆθος τοῦ πλούτου τῆς ἀγαθότητος αὐτοῦ, ἐπιβλέψας εἰς τὸ πρόσωπον τῆς ἐκκλησίας αὐτοῦ, τὴν ὑμετέραν εὐσέβειαν καὶ προωρισμένην γαληνότητα τῆς βασιλικῆς ἐπιεικείας εἰς τὴν τελειότητα τῆς πίστεως καλέσαι κατηξίωσεν· ἵνα πᾶσαν τὴν φαυλότητα τοῦ ψεύδους δι' ὑμῶν καλύψῃ, καὶ φανερώσῃ τὴν ἀλήθειαν. μαθόντες γὰρ τὰ παρὰ τῆς ὑμετέρας γαληνότητος καὶ εὐσεβείας καταπεμφθέντα ἡμῖν γράμματα, λίαν ηὐφράνθη ἡ καρδία ἡμῶν, καὶ τοσαύτης ἀγαλλιάσεως καὶ χαρᾶς ἐνεπλήσθημεν, ὅσην ἀνθρωπίνη γλῶσσα εἰπεῖν οὐκ εὐπορεῖ. τοιαύτη γὰρ χαρὰ ἡμῖν ἀνέτειλε διὰ τῆς ὑμετέρας κελεύσεως, οἵαν περὶ τῶν πρώην σχισμάτων τῆς αἱρέσεως πλῆξιν εἴχομεν.

2. Κορινθ. 49

Κολασ. 1.

μεν. περὶ δὲ τῆς ἐν τῇ εὐσεβεῖ ὑμῶν κελεύσει ἐμφερομένων τῆς πρώην γενομένων ἐν τῇ ὑμετέρᾳ βασιλίδι πόλει ἕνεκεν τῆς σεβασμίων εἰκόνων, τὸ ὅπως οἱ προβεβασιλευκότες ὑμῶν κατέστρεψαν, καὶ ἐν ἀτιμίᾳ καὶ ὕβρει κατέθηκαν ἑαυτοὺς καὶ αὐτάς· εἴθε μὴ λογισθείη αὐτοῖς ἡ ἁμαρτία ἐκείνη· κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐμβαλεῖν χεῖρας αὐτῆς εἰς τὴν ἐκκλησίαν· ὅτι πᾶς ὁ λαὸς ὁ ὢν ἐν τοῖς ἀνατολικοῖς μέρεσιν ἐπλανήθησαν, καὶ ἐν τῇ ἰδίᾳ βουλήσει, ὡς ἔδοξεν ἑκάστῳ, ἐχρήσαντο αὐταῖς, ἕως οὗ ὁ Θεὸς ἤγειρεν ὑμᾶς βασιλεύειν, τοὺς ἐν ἀληθείᾳ ζητοῦντας τὴν δόξαν αὐτοῦ, καὶ τὰ παραδοθέντα παρὰ τῆς ἁγίων ἀποστόλων καὶ πάντων διδασκάλων κρατεῖν, καὶ τιμᾷν τὰς σεβασμίας εἰκόνας, τὰς διὰ τῆς ἀνοίας τῆς αἱρετικῶν κατενεχθείσας. ἀρτίως δὲ διὰ εὐσεβοῦς ὑμῶν κελεύσεως εὑρόντες τὸ θέλημα ὑμῶν ἐν τούτοις, τῷ παντοδυνάμῳ θεῷ ὑπερευξάμενοι ὑπὲρ τοῦ ὑμετέρου κράτους, δόξαν καὶ εὐχαριστίαν ἀνεπέμψαμεν. τοῦτο δὲ ἐν πληροφορίᾳ καὶ πάσῃ βεβαιώσει ἔστω εἰδυῖα ἡ θεοπρόβλητος ὑμῶν βασιλεία, ὅτι τὸ μέγα ἔργον τοῦτο, ὃ ἐπεχειρήσατε, εἰ τελειωθῇ διὰ τῆς μεσιτείας ὑμῶν, καὶ ἀποκατασταθῇ ἡ ἀρχαία ὀρθοδοξία ἐν τοῖς μέρεσιν αὐτοῖς, καὶ σταθῶσιν αἱ σεβάσμιαι εἰκόνες ἐν τῇ ἀρχαίᾳ αὐτῆς ἀποκαταστάσει, μέτοχοι γενήσεσθε τοῦ ἐν θείᾳ τῇ λήξει πάλαι βασιλέως κυροῦ Κωνσταντίνου, καὶ τῆς κυρᾶς Ελένης, τῆς τὴν ὀρθόδοξον πίστιν τρανωσάντων καὶ βεβαιωσάντων, καὶ ἐπὶ πλέον τὴν ἁγίαν μητέρα ὑμῶν καθολικὴν καὶ Ρωμαϊκὴν καὶ πνευματικὴν ἐκκλησίαν ὑψωσάντων, καὶ μετ' ἐκείνους πάλιν τῆς ὀρθοδόξως προβεβασιλευκότων ὑμῶν καὶ κρατησάντων. καὶ οὕτως ἀναδειχθήσεται καὶ τὸ ὑμέτερον εὐσεβέστατον καὶ θεοδώρητον ὄνομα νέου Κωνσταντίνου καὶ νέας Ελένης, ἐν πάσῃ τῇ οἰκουμένῃ ἐπαινετῶς διαφημιζόμενον, δι' ὧν ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία ἀνακαινίζεται· καὶ μάλιστα ἐὰν τῇ παραδόσει τῆς ὀρθοδόξου πέστεως τῆς ἐκκλησίας τοῦ ἁγίου Πέτρου καὶ Παύλου τῆς κορυφαίων ἀποστόλων ἐξακολουθήσῃ, καὶ ἐναγκαλίσηται τὸν βικάριον αὐτῆς, καθὼς καὶ οἱ ἐξ ἀρχῆς προηγησάμενοι βασιλεῖς καὶ ἐτίμησαν τὸν βικάριον αὐτῆς, καὶ ἠγάπησαν ἐξ ὅλης τῆς καρδίας αὐτῆς. τιμήσῃ δὲ τὸ ὑμέτερον θεοδώρητον κράτος τὴν Ρωμαϊκὴν ἁγιωτάτην ἐκκλησίαν τῆς κορυφαίων ἀποστόλων, οἷς ἐδόθη ἐξουσία παρ' αὐτοῦ τοῦ Θεοῦ λόγου λύειν τε καὶ δεσμεῖν ἁμαρτίας ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. καὶ γὰρ αὐτοὶ ὑπερασπισταὶ γενήσονται τοῦ ὑμετέρου κράτους, καὶ πάντα τὰ βάρβαρα ἔθνη τοῖς ἴχνεσιν ὑμῶν ὑποταγήσεται· καὶ ὅπου ἂν πορευθῆτε, νικητὰς ὑμᾶς ἀναδείξουσιν. αὐτοὶ γὰρ οἱ ἅγιοι καὶ κορυφαῖοι τῆς ἀποστόλων, οἱ τὴν καθολικὴν καὶ ὀρθόδοξον πίστιν ἐναρξάμενοι, ἐγγράφως ἐθεσμοθετησαν τὴν αὐτῆς πίστιν κρατεῖν πάντας τοὺς μετ' αὐτοὺς διαδόχους μέλλοντας γίνεσθαι τῆς θρόνων αὐτῆς, ἐν αὐτῇ διαμένειν ἕως τῆς συντελείας. καὶ οὕτως κρατεῖ ἡ ἡμετέρα ἐκκλησία, καὶ τιμᾷ τοὺς ἁγίους χαρακτῆρας αὐτῆς. ὅθεν καὶ ἕως τῆς σήμερόν εἰσι περικεκοσμημέναι καὶ κεκαλλωπισμέναι αἱ ἐκκλησίαι ἡμῶν ἐκ τῶν σεβασμίων εἰκόνων αὐτῶν, καθὼς καὶ ὁ μακαριώτατος καὶ ἁγιώτατος πάπας Σίλβεστρος μαρτυρεῖ ἐν ἀρχῇ τῆς ὀρθοδοξίας ἡμῶν τῶν Χριστιανῶν. ὅτε ὁ ἐν θείᾳ τῇ λήξει πάλαι Κωνσταντῖνος ὁ βασιλεὺς εἰς τὴν πίστιν ἐπέστρεψεν. ἡμέρας γὰρ παρελθούσης, καὶ νυκτὸς ἤδη γενομένης, ἐπέτρεψε σιωπὴν γενέσθαι· καὶ κοιμωμένου αὐτοῦ, ἰδοὺ παρέστησαν αὐτῷ οἱ ἅγιοι ἀπόστολοι, ὅ, τε Πέτρος καὶ Παῦλος λέγοντες· ἐπειδὴ * ἐπέτρεψας βασιλεῦ νηπίων αἱματεκχυσίαν γενέσθαι περὶ τοῦ νοσήματος οὗ ἔχεις, ἰδοὺ ἀπεστάλημεν παρὰ Χριστοῦ δοῦναί σοι σωτηρίαν· ἄκουσον γοῦν τῆς νουθεσίας ἡμῶν, καὶ ποίησον πάντα ὅσα ἐντελλόμεθά σοι. καὶ πέμψας μετακάλεσον Σίλβεστρον τὸν ἐπίσκοπον τὸν ἐκφυγόντα ἐκ σοῦ διὰ τὸν διωγμὸν ὃν ἔχεις, καὶ σήμερον ὄντα ἐν τῷ ὄρει Σωράκτει κεκρυμμένον ἐν σπηλαίοις πετρῶν μετὰ τοῦ κλήρου αὐτοῦ. αὐτός σοι παρασκευάσει κολυμβήθραν εὐσεβείας, ἐν ᾗ βαπτίσεισε, καὶ γενήσεται ἐν σοὶ ἴασις τῆς λέπρας καὶ πάντων τῶν νοσημάτων σου, καὶ τούτου τοῦ ἀγαθοῦ γενομένου εἰς σὲ, εὐθέως ἐπίτρεψον κατὰ παντὸς τόπου τῶν Ρωμαίων ἐκκλησίας ἀνακαινισθῆναι. σὺ δὲ ἑαυτὸν καθάρισον, ἀποθέμενος πᾶσαν τὴν τῶν εἰδώλων λατρείαν, καὶ Θεῷ μόνῳ τῷ ἀληθινῷ προσκύνησον, καὶ κατὰ τὸ θέλημα αὐτοῦ πορεύου. διεγερθεὶς δὲ ἐκ τοῦ ὕπνου παραχρῆμα συνῆξε πάντας τοὺς τοῦ παλατίου αὐτοῦ, καὶ τὸν σκοπὸν τοῦ ἐνυπνίου αὐτοῦ ἐξηγήσατο αὐτοῖς, καὶ εὐθέως ἀπέστειλεν ἐν τῷ ὄρει Σωράκτει, ἐν ᾧ ἦν ὁ ἅγιος Σίλβεστρος κεκρυμμένος μετὰ τοῦ κλήρου αὐτοῦ, σχολάζων ἐν ἀναγνώσει βίβλων. καὶ ἰδὼν κύκλωθεν στρατὸν ἐπιστάντα, εἶπε τῷ κλήρῳ αὐτοῦ. ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. καὶ ἐξελθόντι ἐρρέθη αὐτῷ παρὰ τῶν στρατιωτῶν, περὶ οὗ ζητεῖται κεφαλαίου. καὶ ἐλθὼν πρὸς τὸν βασιλέα μετὰ τριῶν πρεσβυτέρων καὶ δύο διακόνων, καὶ ἰδὼν αὐτὸν εἶπεν. εἰρήνη σοι ὦ βασιλεῦ ἐκ τοῦ οὐρανοῦ ἄνωθεν, καὶ νίκη. ὁ οὖν βασιλεὺς ἱλαρῷ ὄμματι καὶ ἁπλῇ τῇ καρδίᾳ δεξάμενος τοὺς λόγους αὐτοῦ, πάντα ὅσα ἀπεκαλίφθησαν αὐτῷ, ἐξηγήσατο τῷ ἁγίῳ Σιλβέστρῳ. μετὰ γοῦν τὴν ἐξήγησιν ἠρώτησεν αὐτὸν ὁ βασιλεὺς λέγων· οὓς εἶδον Πέτρον καὶ Παῦλον, ποῖοι θεοί εἰσιν; ὁ δὲ ἁγιώτατος Σίλβεστρος ἀποκριθεὶς, εἶπεν αὐτῷ. οὗτοι μὲν θεοὶ οὐκ εἰσὶ, δοῦλοι δὲ καὶ μαθηταὶ τυγχάνουσι τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, οὓς ἐξελέξατο εἰς τὸ ἐπιστρέψαι πάντα τὰ ἔθνη πιστεύειν εἰς αὐτόν· ὁ δὲ ἀκούσας ταῦτα, πάλιν ἠρώτησεν αὐτὸν, εἰ ἄρα εἰσί πῦ ποτε αἱ ἱστορίαι αὐτῶν· τότε ὁ ἅγιος Σίλβεστρος ἀποστείλας διάκονον, ἐπέτρεψεν αὐτῷ ἐνέγκαι τὰς τῶν ἁγίων ἀποστόλων εἰκόνας· ἃς ἰδὼν ὁ βασιλεὺς μεγάλως ἐκραύγασεν· οὗτοί εἰσιν οὓς εἶδον ἐν ὁράματι, καὶ οὐκέτι δυσπιστῷ. γενέσθω κολυμβή-

L. μακαρίας

βήθρα τῆς σωτηρίας μου. καὶ γενομένης κολυμβήθρας, ἐβαπτίσθη, καὶ παραχρῆμα ἰάθη. καὶ ἀναμνησθεὶς τοῦ ἀγαθοῦ, οὗ ἔπαθεν, ἀπήρξατο κἀκεῖνος ποιεῖν ἐκκλησίας, ἀναστηλῶν ἐν αὐταῖς τὰς αὐτὰς σεβασμίας εἰκόνας, εἰς σέβας καὶ ἀνάμνησιν τοῦ ἐνανθρωπήσαντος κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ πάντων τῶν ἁγίων· ὥστε ἐπιστρέψαι * τὸν χριστιανισμὸν εἰς φῶς καὶ ἀλήθειαν καὶ πόθον τοῦ θείκοῦ σεβάσματος, καὶ ἀπαλλαγῆναι πάντας ἐκ τῆς τῶν ἐθνῶν εἰδωλολατρείας καὶ δαιμόνων πλάνης· καθὼς ὁ ἅγιος Γρηγόριος ὁ διάδοχος τῶν ἀποστόλων ἐκήρυξε, τοῦ πάντας ἀνθρώπους ἀγγραμματίστους καὶ μὴ δυναμένους ἀναγνῶναι, θεωρεῖν τὰς εὐαγγελικὰς ἱστορίας, καὶ δι' αὐτῶν ἀνάγεσθαι πρὸς δόξαν καὶ ἀνάμνησιν τῆς ἐνσάρκου οἰκονομίας τοῦ κυρίου καὶ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ πάντες οἱ ὀρθόδοξοι καὶ χριστιανικώτατοι βασιλεῖς σὺν πᾶσι τοῖς ἱερεῦσι καὶ ἐντίμοις ἀνδράσι τοῖς θεραπεύουσι τὸν Θεὸν ἅμα παντὶ τῷ χριστιανικωτάτῳ λαῷ, κατὰ τὴν ἀρχαίαν παράδοσιν τῶν ἁγίων πατέρων καὶ ἐδέξαντο, καὶ ἐκράτησαν, καὶ ἔχουσι τὰς αὐτὰς σεβασμίας εἰκόνας εἰς ἀνάμνησιν καὶ κατάνυξιν καρδίας, καὶ μέχρι τοῦ παρόντος σέβονται αὐτὰς, καὶ ἐν τοῖς μέρεσι δὲ αὐτοῖς ἕως τοῦ προπάππου ὑμῶν ὀρθοδόξως ἐσεβάσθησαν. ἀλλ' αὐτὸς ὁ πρόπαππος ὑμῶν ἐξ ὑποβολῆς τινων ἀσεβῶν κατηνέγκεν ἐν τοῖς αὐτόθι τὰς ἱερὰς εἰκόνας· καὶ ἔκτοτε πλάνη μεγάλη ἐν τοῖς αὐτοῖς μέρεσι τῆς Γραικίας ηὐξήθη, καὶ μέγα σκάνδαλον ἐν ὅλῳ τῷ κόσμῳ γέγονε. ἀλλ' οὐαὶ ἐκείνοις, δι' οὓς τὰ σκάνδαλα εἰς τὸν κόσμον εἰσῆλθε, καθὼς αὐτὸς, ἡ ἀλήθεια, μαρτυρεῖ. ὅθεν ἐν μεγάλῃ θλίψει γεγόνασι Γρηγόριος καὶ Γρηγόριος οἱ μακαριώτατοι ἀρχιερεῖς τοῦ καθ' ἡμᾶς Ῥωμαϊκοῦ θρόνου, οἵτινες ἐν τοῖς καιροῖς ἐκείνοις ἦσαν, καὶ πολλάκις τὸν πρόπαππον τῆς ὑμετέρας εὐσεβοῦς γαλήνης ἐδυσώπησαν, ἵνα αἱ αὐταὶ σεβάσμιαι εἰκόνες ἐν τῇ ἰδίᾳ στάσει ἀποκατασταθῶσιν· ἀλλ' οὐδαμῶς εἰς τὰς αὐτῶν σωτηριώδους * δεήσεις ἐκλίθη. καὶ μετὰ ταῦτα ὁ κύριος Ζαχαρίας, καὶ Στέφανος, καὶ Παῦλος, καὶ ἕτερος Στέφανος, οἱ προηγησάμενοι ἡμῶν ἁγιώτατοι ἀρχιερεῖς, τὸν πάππον καὶ τὸν πατέρα τῆς ὑμετέρας εὐσεβοῦς βασιλείας περὶ τῆς ἀποκαταστάσεως τῶν αὐτῶν ἱερῶν εἰκόνων ἐδυσώπησαν, ὁμοίως δὲ καὶ ἡ ἡμετέρα εὐτέλεια μετὰ μεγάλης ταπεινοφροσύνης τὴν ὑμετέραν βασιλείαν δυσωπεῖ, ἵνα καθὼς ἐκ τῶν ἁγιωτάτων τῶν προηγησαμένων ἡμῶν καὶ δοκιμωτάτων ἀρχιερέων ἐδεξάμεθα, ἐν ταῖς ἐκκλησίαις διὰ μνήμην τὰς ἱστορίας ἀναστηλώσωμεν, καὶ τὴν ἱερὰν εἰκόνα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν σάρκωσιν τῆς αὐτοῦ ἀνθρωπομορφίας ἐν τῇ αὐλῇ τοῦ Θεοῦ καταστήσωμεν, ἅμα καὶ τῆς ἁγίας αὐτοῦ μητρὸς, καὶ τῶν ἁγίων καὶ μακαρίων ἀποστόλων, προφητῶν τε καὶ μαρτύρων, καὶ ὁμολογητῶν, καὶ διὰ τὸν πόθον σεβώμεθα. λοιπὸν οὖν καὶ ἡ ὑμετέρα ἐπιεικεστάτη βασιλεία δυναστείαν ἐν τοῖς μέρεσι τῆς αὐτῆς Γραικίας ποιῆσαι κελεύσῃ, καὶ τὴν ὀρθόδοξον πίστιν ἐξισώσῃ· ἵνα, καθὼς γέγραπται, γένηται μία ποίμνη καὶ εἷς ποιμήν· ἐπειδὴ ἐν ὅλῳ τῷ κόσμῳ, ὅπου ἐστὶν ὁ χριστιανισμός, αἱ αὐταὶ σεβάσμιαι εἰκόνες παρὰ πάντων τῶν πιστοτάτων τιμῶνται· ὅπως διὰ τοῦ ὁρατοῦ χαρακτῆρος εἰς τὴν ἀόρατον θεότητα τῆς μεγαλειότητος αὐτοῦ ἡ διάνοια ἡμῶν ἁρπαγῇ πνευματικῇ τάξει κατὰ τὴν σάρκα, ἣν ὁ υἱὸς τοῦ Θεοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν δέξασθαι κατηξίωσε· καὶ τὸν λυτρωτὴν ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς ὑπάρχοντα προσκυνῶμεν, καὶ ἐν τῷ πνεύματι δοξάζοντες αἰνῶμεν· ὅτι καθὼς γέγραπται, ὁ Θεὸς πνεῦμά ἐστι· καὶ κατὰ τοῦτο δοξάζοντες πνευματικῶς προσκυνοῦμεν τὴν αὐτοῦ θειότητα· ἐπεὶ μὴ γένοιτο ἡμῖν, ἵνα τὰς αὐτὰς εἰκόνας, καθὼς φλυαροῦσί τινες, θεοποιήσωμεν. ὁ γὰρ μόχθος καὶ ὁ πόθος ἡμῶν, ὃν ἔχομεν, εἰς τὸν πόθον τοῦ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἐστι· καὶ καθὼς ἡ θεία γραφὴ ἡμῶν ἔχει, τὰς αὐτὰς εἰκόνας εἰς μνημόσυνον τοῦ σεβάσματος ἡμῶν ἔχομεν, φυλάττοντες τὴν καθαρότητα τῆς πίστεως ἡμῶν. ἐπεὶ ὁ πλάστης καὶ δημιουργὸς ἡμῶν κύριος ὁ Θεὸς, ὁ κατὰ τὴν ἰδίαν εἰκόνα καὶ ὁμοιότητα ἐκ τῆς ὕλης τῆς γῆς πλάσας τὸν ἄνθρωπον, καὶ φωτίσας αὐτὸν, αὐτεξούσιον κατέστησεν αὐτόν· καὶ αὐτὸς ὁ πρῶτος ἄνθρωπος αὐτεξούσιος ὑπάρχων, θείᾳ ἐπινεύσει πάντα τὰ ἔμψυχα καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ κτήνη τῆς γῆς ἰδίοις ὀνόμασιν ἐκάλεσεν. ὁ δὲ Ἄβελ ἐκ τῶν πρωτοτόκων τῆς ποίμνης αὐτοῦ δῶρα προσήγαγεν ἰδίᾳ βουλήσει κυρίῳ τῷ Θεῷ· περὶ οὗ ἀναγινώσκομεν, ὅτι ἐπέβλεψε κύριος ἐπὶ Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. εἶτα καὶ ὁ Νῶε μετὰ τὸν κατακλυσμὸν ἰδίᾳ βουλήσει κατασκευάσας θυσιαστήριον ἔκτισε, καὶ ἐκ πάντων τῶν κτηνῶν καὶ πετεινῶν καθαρὰ δῶρα ἐπὶ τὸ αὐτὸ θυσιαστήριον τῷ Θεῷ προσήγαγεν. ὁμοίως καὶ Ἀβραὰμ, καθὼς γέγραπται, ἰδίᾳ βουλήσει θυσιαστήριον ἔκτισε πρὸς τιμὴν καὶ δόξαν τοῦ Θεοῦ, καθὼς ἐνεφανίσθη. καὶ ὁ Ἰακὼβ δὲ φυγὼν ἐκ προσώπου τοῦ ἀδελφοῦ αὐτοῦ, ἐν ὕπνοις τοὺς ἀγγέλους τοῦ Θεοῦ εἶδεν ἀναβαίνοντας καὶ καταβαίνοντας διὰ κλίμακος, καὶ ἐπ' αὐτῆς τὸν κύριον λαλοῦντα πρὸς αὐτόν· καὶ ἀναστὰς, ἰδίᾳ βουλούσει ἐπῆρε τὸν λίθον, ὃν εἶχε πρὸς τὴν κεφαλὴν αὐτοῦ· καὶ στήσας αὐτὸν, καὶ ἐκχέας ἔλαιον ἐπάνω αὐτοῦ, ἐκάλεσε τὸν τόπον Βαιθὴλ, λέγων· οὐκ ἔστιν ἕτερόν τι, εἰ μὴ οἶκος Θεοῦ. περὶ οὗ οὐδαμῶς ὁ Θεὸς ὠργίσθη αὐτῷ, διότι τὸν λίθον ἔστησεν ἰδίᾳ βουλήσει. διὸ μετὰ μικρόν τι τῆς ἱστορίας εἶπεν· ἐγώ εἰμι Θεὸς Βαιθὴλ, οὗ ἔχρισας τὸν λίθον, καὶ ηὔξω μοι εὐχήν. καὶ γὰρ γαληνότατα τέκνα, μεγάλοι ἀρχηγοὶ καὶ ὀρθόδοξοι βασιλεῖς, πάντα ὅσα εἰς τὴν ἀνθρωπίνην κατανόησιν πρὸς δόξαν Θεοῦ ἀνήκοντά εἰσιν, ἀρεστὰ γίνονται τῷ Θεῷ. καὶ πάλιν ὁ αὐτὸς Ἰακὼβ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ προσεκύνησε,

* L εἰς τὸν χριστιαν. καὶ εἰς φῶς, &c. lat.

Ματθ. 18.

* ἀλλ' αἰτήσεις,

Ἰωάν. 4.

Γεν. 2.

Γεν. 4.

Γεν. 8

σε, πίσει τῆς ἀγαπήσεως τοῦτο ποιήσας. περὶ ἧς καὶ ὁ μακάριος Παῦλος ὁ ἀπόστολος
Ἑβρ. 11. ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ φησιν, ὅτι οὐ τῷ ῥάβδον, ἀλλὰ τὸν κρατοῦντα αὐτῷ, σύνδειξιν ἀγαπήσεως ποιησάμενος, προσεκύνησεν. ὅπως τε καὶ ἡμεῖς κατὰ πόθον καὶ ἀγάπησιν ἰῶμεν πρὸς τὸν κύριον καὶ τὰς ἁγίας ἔχομεν, τὰς χαρακτῆρας ἐν εἰκόσιν ἱσορῶμεν. οὐκ ἐν σανίδι καὶ χρώμασι τιμὴ τιμιεῖ ἔχοντες, ἀλλ' ἐν αὐτοῖς, ὧν τῷ ὀνομασίαν αἱ εἰκόνες φέρουσι. πάλιν δὲ ἀναγινώσκομεν πρόσταγμα τῷ Μωσεῖ γενέσθαι παρὰ κυρίου λέγοντος· ποιήσεις ἱλαστήριον ἐκ χρυσίου καθαροῦ δίο πήχεων * τὸ μῆκος, ἓν μιᾶς ἡμίσεος πήχεως τὸ πλάτος·
* L. δ. τ. ἡμίσεως.
Ἔξοδ. 37. καὶ δύο Χερουβὶμ χρυσᾶ ἐλατά, ἐξ ἀμφοτέρων τῶν μερῶν ὁρῶντα. καὶ μὴ μικρόν. ἐπιθήσεις τὸ μαρτύριον, ὃ δώσω σοι, πρὸς τὸ καλύψαι τὸ κιβωτόν· καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου·
Ἔξοδ. 25. Ἔξοδ. 40. τετάρτι μέσον τῶν Χερουβὶμ τῶν δύο, τῶν ὄντων ἐπάνω τοῦ κιβωτοῦ τοῦ μαρτυρίου. ἀλλὰ καὶ ἐν βήλοις, καὶ ἐν τῷ σκεπάσματι τοῦ σκιώματος τῶν Χερουβὶμ, ἔργον ὑφαντὸν ἐκ διαφόρων χρωμάτων γενέσθαι προσέταξε. καταπονῆσαι δέ ἐστι, γαλιωτατοι δεσπόται καὶ τέκνα, μεγάλοι ἀρχηγοί, ὅτι περ ὁ παντοδύναμος κύριος καὶ Θεὸς ἡμῶν μέσον τῶν Χερουβὶμ χειροποιήτων τυγχανόντων, ὑπὲρ σωτηρίας τοῦ λαοῦ λαλῆσαι κατηξίωσε. διὸ ἀδίσακτόν ἐστι, πάντα τὰ ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ πρὸς ἔπαινον καὶ δόξαν τοῦ οἴκου αὐτοῦ συσταθέντα, ἅγια καὶ σεβάσμια εἶναι νινόσκεσθαι. προσθεῖναι δέ ἐστι καὶ τοῦτο, γαλιωτατοι δεσπόται, πρὸς τὴν τῶν ἀπίστων πληροφορίαν, καὶ διόρθωσιν τῆς πεπλανημένων, ὅπερ ὁ Θεὸς τῷ θεράποντι αὐτοῦ Μωσεῖ προσέταξε, καθὼς ἐν τῇ βίβλῳ τῶν ἀριθμῶν ἀναγινώσκεται, δι' ὃν τὸν λοιμὸν τὸν ἐπελθόντα αὐτοῖς, λέγων· ποίησον ὄφιν, καὶ θὲς αὐτὸν εἰς σημεῖον· καὶ ὃς ἂν πρωθῇ, καὶ ἴδῃ αὐτὸν ζήσεται. ἐποίησεν οὖν Μωσῆς ὄφιν χαλκοῦν, καὶ ἔθετο αὐτὸν εἰς σημεῖον· καὶ
Ἀριθμ. 21. πάντες οἱ πρωτόμυοι καὶ θεωροῦντες αὐτὸν, ἐζῶντο. ὦ τῆς ἀνοίας τῶν φρυαττομένων κατὰ τῆς πίστεως καὶ θρησκείας τῶν Χετταίων· ὅτι σωφρονίσθησαν μὴ σέβεσθαι τὰς σεβασμίους εἰκόνας, ἐν αἷς ἰσορᾶται εἰσὶ τοῦ σωτῆρος ἡμῶν, καὶ τῆς χρηστότητος αὐτοῦ, καὶ πάντων τῶν ἁγίων, ὧν ἡ δυνάμις σωτηρίας καὶ σώζει τὸ ἀνθρώπινον γένος. ἐὰν γὰρ τὸν Ἰσραηλίτην λαὸν πιστεύομεν διὰ τῆς ὁράσεως τοῦ χαλκοῦ ὄφεως σώζεσθαι, μὴ γένοιτο ἡμῖν δισάσαι, μηδὲ ἀποσῆναι ἐκ τῆς παραδόσεως τῶν ἁγίων πατέρων, μηδὲ
5. βασιλ. 6 ἐκ τῆς διδαχῆς αὐτῶν ἐκκλῖναι. καὶ Σολομὼν δὲ ὁ βασιλεὺς ἐν τῷ ναῷ ᾧ ἔκτισε τῷ Θεῷ, Χερουβὶμ εἰς δόξαν Θεοῦ ἐποίησε, καὶ ἐκ διαφόρων χρωμάτων
L. ἄλ. κατεκόσμησεν * κατεσκίασεν αὐτόν. λοιπὸν δὲ καὶ ἡμεῖς καὶ πάντες οἱ ὀρθόδοξοι τὴν ὁμολογίαν τῆς πίστεως ἡμῶν, καὶ τὴν ὡραιότητα τοῦ οἴκου τοῦ Θεοῦ ἐκ διαφόρων χρωμάτων ἢ κοσμήσεως ζωγράφων ποιοῦμεν, ἐπεὶ καὶ Ἡσαΐας ὁ
Ἡσαΐ. 19. προφήτης εἶπεν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Θεῷ ἐν μέσῳ τῆς γῆς Αἰγύπτου, καὶ στήλη ἐχόμενα τῶν ὁρίων αὐτῆς· καὶ ἔσται εἰς σημεῖον καὶ εἰς μαρτύριον κυρίῳ τῷ Θεῷ ἐν γῇ Αἰγύπτου. βοήσουσι δὲ πρὸς κύριον ἀπὸ προσώπου θλιβόντων, καὶ ἀποστελεῖ αὐτοῖς σωτῆρα καὶ ὑπέρμαχον τὸν λυτρούμενον αὐτούς. καὶ ὁ ψαλμῳδὸς δὲ Δαβὶδ ὑμνεῖ λέγων. ἐξομολογήσεως καὶ ὡραιότης ἐνώπιον αὐτοῦ. καὶ πάλιν ὁ αὐτός· κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. καὶ πάλιν τῷ ἐλθεῖν καὶ τῷ σάρκωσιν τοῦ υἱοῦ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν εὐαγγελιζόμενος ὁ αὐτός, μεγάλως τὸ πρόσωπον αὐτοῦ κατὰ τῷ σύσαρκον αὐτοῦ οἰκονομίαν προσκυνεῖσθαι ἐνεθέτησε, λέγων· ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου κύριε ζητήσω. καὶ πάλιν. τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. καὶ πάλιν· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε· ὅθεν ὁ ἅγιος Αὐγουστῖνος ὁ μέγας διδάσκαλος ἐν ταῖς ὑποθεσίαις αὐτοῦ ἔφη· τί ἐστιν εἰκὼν Θεοῦ, εἰ μὴ πρόσωπον Θεοῦ, ἐν ᾧ ἐσημειώθη ὁ λαὸς τοῦ Θεοῦ; ἐν τῷ μεταξὺ ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης ἐπίσκοπος περὶ τοῦ Ἀβραὰμ λόγον σωφρονήσατο, λέγων· εἶδον πλειστάκις τῷ ἐπιγραφῷ τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ παρῆλθον ἔργον τέχνης εἰς προσωπον προσαχθὲν ἱστορίας, καὶ τὰ λοιπὰ ἐκ τῆς ἑρμηνείας αὐτοῦ τῆς εἰς τὰ ἀσματα τῶν ἀσμάτων, καθὼς ἡ γεγραμμένη διδαχὴ λέγει· ὕλη τίς ἐστι παντελῶς ἐν διαφόροις βαφαῖς ἀναπληρωθεῖσα τῷ τῆς * ψυχῆς μίμησιν. ὁ γὰρ
* L. τοῦ ἀμ ψύχου
πρὸς τὴν εἰκόνα θεωρῶν τὴν ἐκ τῆς τέχνης διὰ χρωμάτων ἀναπληρουμένην σανίδα, οὐκ ἐκ τῆς βαφῆς τῷ ὁμοιότητα φέρει, ἀλλὰ πρὸς τὴν θεωρίαν τοῦ πρωτοτύπου ἀνάγεται. ἐπεὶ καὶ ἐν τῇ ἐπιστολῇ τοῦ ἁγίου Βασιλείου τῇ πρὸς Ἰουλιανὸν τὸν παραβάτην ἐμφέρεται. καθὼς ἐκληρονομήσαμεν ἐκ τοῦ Θεοῦ τὴν ἡμετέραν ἀμέμπτον πίστιν τῶν Χριστιανῶν, ὁμολογῶ, καὶ ἕπομαι, καὶ πιστεύω εἰς ἕνα Θεὸν παντοκράτορα, Θεὸν τὸν πατέρα, Θεὸν τὸν υἱὸν, Θεὸν τὸ πνεῦμα τὸ ἅγιον· ἕνα Θεὸν ταῦτα τὰ ξία προσκυνῶ καὶ δοξάζω. ὁμολογῶ δὲ καὶ τὴν τοῦ υἱοῦ σύσαρκον οἰκονομίαν· εἶτα καὶ τὴν ἁγίαν Μαρίαν τὴν κατὰ σάρκα τεκοῦσαν αὐτὸν, Θεοτόκον ὁμολογῶ· δέχομαι δὲ τοὺς ἁγίους ἀποστόλους, προφήτας τε καὶ μάρτυρας, τοὺς πρὸς τὸν Θεὸν λιτανεύοντας, ὅτι διὰ τῆς μεσιτείας αὐτῶν ἵλεώς μοι γένεται ὁ φιλάνθρωπος Θεὸς, καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν δωρεῖται· διὸ καὶ τὰς ἰσορίας τῶν εἰκόνων αὐτῶν τιμῶ καὶ προσκυνῶ φανερῶς. τοῦτο γὰρ παρεδόθη ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ οὐ κωλυτέον· ἀλλ' ἐν πάσαις ταῖς ἐκκλησίαις ἡμῶν τοῦ αὐτοῦ ἀνασηλοῦμεν ἱστορίαν. πάλιν δὲ ἐκ τοῦ αὐτοῦ ἁγίου, ἐκ τοῦ λόγου τοῦ εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας· ἐπεὶ καὶ πολέμων τροπαῖα καὶ νίκας καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν· οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες· καὶ πολλοὺς πρὸς ἀνδρα-

δραγαθίαν διήγειραν ἑκάτεροι. ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας ὑπέγραψε, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι. πάλιν δὲ ἐκ τοῦ λόγου τοῦ ἁγίου Ἰωάννου ἐπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, τοῦ εἰς τὴν παραβολὴν τοῦ σπόρου· ἔνδυμα βασιλικὸν ἐὰν ὑβρίσης, οὐχὶ τὸν ἐνδυόμενον αὐτὸν ὑβρίζεις; * οὐκ οἶδας, ὅτι ὅστις τὴν εἰκόνα τὴν ἐκ ξύλου καὶ χρωμάτων λοιδορεῖ, οὐχ ὡς πρὸς ἄψυχον τολμήσας κρίνεται, ἀλλὰ κατὰ τοῦ βασιλέως; δισσῶς γὰρ τῷ βασιλεῖ προσφέρει τὴν ὕβριν. καὶ πάλιν ἐκ τοῦ λόγου τοῦ αὐτοῦ παρτὸς, τοῦ εἰς τὴν ἁγίαν πέμπτην τῆς πασχαλίας· πάντα ἐγένοντο εἰς δόξαν Θεοῦ, εἰς χρῆσιν δὲ ἡμετέραν· νέφη πρὸς τὴν τοῦ ὑετοῦ διακονίαν, ἡ γῆ πρὸς καρποφορίαν πλήθους, θάλασσα τῶν πλεόντων ἄφθονος· πάντα δουλεύουσι * Θεῷ, μᾶλλον δὲ τῇ εἰκόνι τοῦ Θεοῦ. οὐδὲ γὰρ ὅτε βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες ἐν ταῖς πόλεσιν εἰσφέρονται, καὶ ἀπαντῶσιν ἄρχοντες καὶ λαοὶ μετὰ ἐπαίνων, τὴν σανίδα τιμῶσιν, ἢ τὴν κηρόχυτον γραφὴν, ἀλλὰ τὴν ἱστορίαν τὴν βασιλικήν· οὕτως καὶ ἡ κτίσις οὐ τὸ ἐπίγειον εἶδος τιμᾷ, ἀλλὰ τὴν οὐράνιον ἱστορίαν εὐλαβεῖται. Ὁμοίως δὲ καὶ τοῦ μακαρίου Κυρίλλου ἐκ τῆς εἰς τὸ κατὰ Ματθαῖον ἅγιον εὐαγγέλιον ἑρμηνείας προφέρομεν * λέγοντες· ζωγραφεῖ γὰρ ἡ πίστις τὸν ἐν μορφῇ τοῦ Θεοῦ ὑπάρχοντα λόγον, ὡς καὶ ἡ τῆς ζωῆς ἡμῶν λύτρωσις προσηνέχθη τῷ Θεῷ, τὴν καθ' ἡμᾶς ὁμοίωσιν ὑποδὺς, καὶ γενόμενος ἄνθρωπος. καὶ πάλιν ὁ αὐτὸς μετὰ μικρόν· εἰκόνων ἡμῖν ἀποπληροῦσι χρείαν αἱ παραβολαὶ, τῶν σημαινομένων τὴν δύναμιν οἱονείπως καὶ ὀφθαλμῶν παραθέσει, καὶ ἀφῇ χειρὸς ὑποβάλλουσαι, καὶ τὰ ἐν ἰσχναῖς ἐννοίαις ἀφανῶς ἔχοντα τὴν θεωρίαν. πάλιν τοῦ ἁγίου Ἀθανασίου ἐπισκόπου Ἀλεξανδρείας περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, οὗ ἡ ἀρχή· ἱκανῶς μὲν ἐκ πολλῶν ὀλίγα λαβόντες ἐγράψαμεν· ἔπειτα· καὶ αὐτὰ τὰ ἐν ξύλοις γραφόμενα, μορφῆς παρελθούσης ἐκ τοῦ ἔξω ῥύπου, πάλιν ἀναγκαῖον τὸν αὐτὸν ἀναλαβέσθαι καὶ * ἐνῶσαι, οὗ τινός ἐστιν ἡ μορφὴ, τοῦ ἀνακαινίσαι δυνηθῆναι εἰκόνα ἐν τῇ αὐτῇ ὕλῃ καὶ στοιχείῳ. διὰ γὰρ τὴν αὐτοῦ μορφὴν καὶ ἡ ὕλη, ὅπου καὶ γράφεται, οὐ καταβάλλεται, ἀλλ' ἐν αὐτῇ συνιστορεῖται· καὶ ἕτερον πάλιν τοῦ μακαρίου Ἀμβροσίου πρὸς Γρατιανὸν τὸν βασιλέα, ἐκ τοῦ τρίτου βιβλίου, κεφαλαίου ἐννάτου· τί γάρ; μή ποτε καὶ τὴν θεότητα καὶ τὴν σάρκα αὐτοῦ προσκυνοῦντες, μερίζομεν τὸν Χριστόν; ἢ ὅτε ἐν αὐτῷ τὴν θείαν εἰκόνα καὶ τὸν σταυρὸν προσκυνοῦμεν, μερίζομεν αὐτόν; μὴ γένοιτο. πάλιν τοῦ ἁγίου Ἐπιφανίου Κωνσταντίας τῆς Κύπρου· μὴ γὰρ εἰ βασιλεὺς ἔχει εἰκόνα, δύο εἰσὶ βασιλεῖς; οὔμενοιν· ὁ βασιλεὺς εἷς ἐστὶ καὶ μετὰ τῆς εἰκόνος. πάλιν τοῦ ἁγίου Στεφάνου ἐπισκόπου Βόστρων· οἵ τινες δὴ περὶ τῶν εἰκόνων τῶν ἁγίων ὁμολογοῦμεν, ὅτι πᾶν ἔργον τὸ γινόμενον ἐν ὀνόματι τοῦ Θεοῦ, ἀγαθόν ἐστι καὶ ἅγιον. ἄλλο γάρ ἐστιν εἰκὼν, καὶ ἄλλο ἄγαλμα, τουτέστι ζώδιον· ὅτε γὰρ ὁ Θεὸς τὸν Ἀδὰμ ἔπλασε, τουτέστιν ἐδημιούργησεν, ἔλεγε. ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμῶν. καὶ ἐποίησεν ἄνθρωπον ἐν εἰκόνι Θεοῦ. τί γάρ; ὅτι εἰκὼν Θεοῦ ἐστιν ἄνθρωπος, ἄγαλμά ἐστι, τουτέστιν εἰδωλολατρεία καὶ ἀσέβεια; μηδαμῶς γένοιτο. εἰ ὁ Ἀδὰμ εἰκὼν δαιμόνων ἦν, ἐκβεβλημένος ἦν καὶ ἀπρόσδεκτος· ἀλλ' ὅτι εἰκὼν Θεοῦ ἐστι, τετιμημένος ἐστὶ καὶ εὐπρόσδεκτος. πᾶσα γὰρ εἰκὼν ἐν ὀνόματι κυρίου, ἢ τῶν ἀγγέλων, ἢ προφητῶν, ἢ ἀποστόλων, ἢ μαρτύρων, ἢ δικαίων γινομένη, ἁγία ἐστίν. οὐ γὰρ τὸ ξύλον προσκυνεῖται, ἀλλ' αὐτὸ τὸ ἐν τῷ ξύλῳ θεωρούμενον καὶ μνημονευόμενον τιμᾶται. πάντες γὰρ ἡμεῖς προσκυνοῦμεν τοὺς ἄρχοντας, καὶ ἀσπαζόμεθα, εἰ καὶ ἁμαρτωλοί εἰσι· διὰ τί λοιπὸν οὐκ ὀφείλομεν προσκυνῆσαι τοὺς ἁγίους τοῦ Θεοῦ δούλους, καὶ εἰς μνημόσυνον αὐτῶν συστῆσαι καὶ ἐγεῖραι τὰς εἰκόνας αὐτῶν, ἵνα μὴ ληθαργηθῶσιν; ἀλλὰ λέγεις, ὅτι αὐτὸς ὁ Θεὸς προσκυνεῖσθαι χειροποίητα ἀπηγόρευσεν. εἰπὲ ὦ Ἰουδαῖε, τί ἐστι τὸ ἐπάνω τῆς γῆς μὴ οὐ χειροποίητον μετὰ τὸ ποιηθῆναι ὑπὸ τοῦ Θεοῦ; τί λοιπόν; ἡ κιβωτὸς τοῦ Θεοῦ ἡ ἐκ τῆς ὕλης Σεθεὶμ κτισθεῖσα καὶ κατασκευασθεῖσα, οὐκ ἔστι χειροποίητος; καὶ τὸ θυσιαστήριον, καὶ τὸ ἱλαστήριον, καὶ ἡ στάμνος ὅπου ἦν τὸ μάννα, καὶ ἡ τράπεζα, καὶ ἡ λυχνία, καὶ τὸ σκήνωμα τὸ ἐνδότερον καὶ τὸ ἐξώτερον, οὐκ εἰσὶν ἐξ ἔργων χειρῶν ἀνθρώπων, ἅπερ Σολομὼν ἐποίησε; καὶ ἵνα τί ἅγια τῶν ἁγίων καλοῦνται, ὑπάρχοντα χειροποίητα; τί γάρ; τὰ Χερουβὶμ, καὶ τὰ ἑξαπτέρυγα κύκλῳ τοῦ θυσιαστηρίου οὐκ ἦσαν ζῶα καὶ εἰκόνες τῶν ἀγγέλων, ἔργα χειρῶν ἀνθρώπων; καὶ πῶς οὐκ ἐκβέβληται; ὅτι διὰ προστάγματος Θεοῦ εἰκόνες ἐγένοντο τῶν ἀγγέλων, ἅγιαί εἰσι, καὶ ταῦτα ζῶα ἦσαν. καὶ γὰρ τὰ εἴδωλα τῶν ἐθνῶν, ὅτι εἰκόνες δαιμόνων ἦσαν, ὁ Θεὸς κατέβαλε καὶ κατέκρινεν αὐτά. ἡμεῖς δὲ πρὸς μνημόσυνον τῶν ἁγίων εἰκόνας ποιοῦμεν, ἤγουν Ἀβραὰμ, Μωσέως, Ἠλιοῦ, Ἡσαΐου, Ζαχαρίου, καὶ τῶν λοιπῶν προφητῶν, ἀποστόλων, καὶ μαρτύρων ἁγίων τῶν διὰ τὸν κύριον συντριβέντων. ἵνα πᾶς ὁ θεωρῶν αὐτοὺς ἐν εἰκόνι μιμνήσκηται αὐτῶν, καὶ δοξάζῃ τὸν κύριον τὸν δοξάσαντα αὐτούς. πρέπει γὰρ αὐτοῖς τιμὴ καὶ προσκύνησις, καὶ ἀνατίθεσθαι τὰ ἡμέτερα πρὸς αὐτοὺς κατὰ τὴν δικαιοσύνην αὐτῶν· ἵνα πάντες οἱ θεωροῦντες αὐτοὺς σπεύσωσι καὶ αὐτοὶ μιμηταὶ γενέσθαι τῆς πράξεως αὐτῶν. ποία γάρ ἐστιν ἡ τῆς προσκυνήσεως τιμὴ, εἰ μὴ μόνον καθὼς καὶ ἡμεῖς οἱ ἁμαρτωλοὶ προσκυνοῦμεν καὶ ἀσπαζόμεθα ἀλλήλους κατὰ τιμὴν καὶ ἀγάπησιν; οὕτω γὰρ τὸν κύριον ἡμῶν οὐκ ἄλλως προσκυνοῦμεν, δοξάζον-

* οὐκ οἶδας, ὅτε ὅστις τῇ εἰκόνι τοῦ βασιλέως ὕβριν προσάγει, πρὸς αὐτὸν τὸν βασιλέα, ἤγουν τὸ πρωτότυπον καὶ τῶν ἀξίαν αὐτοῦ ἐπιφέρει τῶν ὕβριν

* L. τῷ ἀνθρώπῳ,

* ἴσ. λέγοντος

* ἴσ. ἀνανεῶσαι,

Γενέσ. 2.

ζοντες μέντοι καὶ τρέμομεν. εἰκὼν δέ ἐστιν ὁμοιώσεως αὐτοῦ, ὅτι ἐν αὐτῇ ἐγράφη ἀσεβεῖς δὲ οἱ τὸ ἀγαθὸν μὴ πράττοντες, μήτε τῶν ἁγίων μνημονεύοντες, μὴ κωλυέτωσαν τοὺς καλοποιοῦντας, μηδὲ σκανδαλιζέτωσαν τοὺς τιμῶντας τοὺς ἁγίους καὶ δούλους τοῦ θεοῦ, καὶ μνημονεύοντας αὐτῶν μισθὸν γὰρ ἀγαθὸν τῆς καλῆς πράξεως λήψονται οἱ δὲ ἀσεβεῖς, καθὼς διελογίσαντο, ἕξουσι τὴν κατάλυσιν τῆς ἀτιμίας, καθὼς τοῦ δικαίου ἠμέλησαν, ἀποστάντες ἀπὸ τοῦ Θεοῦ διὰ δὲ τὸ μνημόσυνον τῶν ἁγίων εἰκόνες γράφονται, καὶ τιμῶνται, καὶ προσκυνοῦνται, ὡς δούλων τοῦ Θεοῦ, καὶ ὑπὲρ ἡμῶν τὴν θεότητα λιτανευόντων καὶ δυσωπούντων. ἄξιον δέ ἐστι μνημονεύειν τῶν ἡγουμένων ἡμῶν, καὶ εὐχαριστίας προσφέρειν τῷ Θεῷ. Ἐκ τοῦ λόγου τοῦ μακαρίου Ἱερωνύμου πρεσβυτέρου Ἱεροσολύμων· καὶ γὰρ ὡς συνεχώρησεν ὁ Θεὸς προσκυνεῖν πᾶν ἔθνος τὰ χειροποίητα, Ἰουδαίοις δὲ τὰς πλάκας ἐκείνας εὐδόκησεν, ἃς ἐλατόμησεν ὁ Μωϋσῆς, καὶ τὰ δύο χερουβὶμ τὰ χρυσᾶ οὕτως καὶ ἡμῖν τοῖς Χριστιανοῖς ἐδωρήσατο τὸν σταυρὸν καὶ τῶν ἀγαθῶν ἔργων τὰς εἰκόνας γράφειν καὶ προσκυνεῖν, καὶ δεῖξαι τὸ ἔργον ἡμῶν. λοιπὸν ταύτας αὐτὰς, εὐσεβέστατοι καὶ γαληνότατοι δεσπόται καὶ τέκνα, τὰς προειρημένας χρήσεις τῶν ἁγίων πατέρων περιήλθομεν βραχέως ἀλλὰ καὶ τῆς θείας γραφῆς τῆς παλαιᾶς καὶ νέας διαθήκης ἡ ἱστορία μαρτυρεῖ περὶ τῆς παραφυλακῆς τοῦ θείου σεβάσματος, ὅτι τὰ πρὸς ἔπαινον τοῦ Θεοῦ ἐν ταῖς ἐκκλησίαις εἰς μνημόσυνον τῆς εὐσεβοῦς ἐργασίας τῇ τοῦ θεοῦ ἐπινεύσει καθιστάμενα, εἰσὶ κατὰ τὴν παράδοσιν τῶν ἁγίων πατέρων * περὶ συστάσεως τῶν ἱερῶν εἰκόνων, καὶ τῆς θείας γραφῆς ἐν ζωγραφίᾳ ὑπαρχούσης, καθὼς ἐν αὐτῇ τῇ ἀποστολικῇ ἀναφορᾷ τῇ θεοκυρώτῳ γαληνῇ τῆς ὑμετέρας δυναστείας μετὰ πάσης ταπεινώσεως καὶ εἰλικρινοῦς καρδίας ἐπετηδεύσαμεν ἀναγαγεῖν· ὅθεν καὶ τὰς ἐκ διαφόρων καὶ εὐδοκιμωτάτων πατέρων λεπτομερῶς μαρτυρίας, τῶν τὰς αὐτὰς ἱερὰς εἰκόνας συστησάντων, τηρητέον ἐστὶ, καθὼς ἐν ταῖς βίβλοις αὐτῶν εὑρίσκομεν, καὶ τῇ ὑμετέρᾳ ἐπιεικεστάτῃ βασιλείᾳ ἐπετηδεύσαμεν ἀναγαγεῖν. δυσωπῶ δὲ μετὰ μεγάλου πόθου καρδίας τὴν ὑμετέραν πραότητα, καὶ ὡς παρὼν γονυπετῶν, καὶ τοῖς ὑμετέροις ἴχνεσι κυλινδούμενος ἱκετεύω, καὶ ἐνώπιον τοῦ Θεοῦ παρακαλῶ καὶ ὁρκίζω, τὰς αὐτὰς ἱερὰς εἰκόνας ἐν αὐτῇ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ ἐν τοῖς ἀμφοτέροις μέρεσι τῆς Γραικίας, εἰς τὴν ἀρχαίαν βάσιν συστῆσαι καὶ στηρίξαι κελεύσατε, φυλάττοντες τὴν παράδοσιν ταύτης τῆς ἡμετέρας ἱερωτάτης καὶ ἁγιωτάτης ἐκκλησίας, καὶ ἀποῤῥίπτοντες καὶ βδελυσσόμενοι τῶν ἀσεβῶν αἱρετικῶν τὴν δεινότητα * ἵνα ταύτην τὴν ὑμετέραν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν Ῥωμαϊκὴν ἐκκλησίαν τὴν * ἀκατάληπτον ἐναγκαλίσησθε.

L. περὶ τῆς συστάσ. τ. ε. εἰ καὶ παρὰ τῆς θείας.

L. ἵνα ὑμᾶς αὕτη ἡ ἡμετέρα ἁγία καθολ. καὶ ἀποστ. Ῥωμαϊκὴ ἐκκλησία ἡ ἀνεπίληπτος ἀναγκαλίσηται.

L. ἀνεπίληπτον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν αὐτοὶ ὑμεῖς λαβόντες παρὰ τοῦ ἁγιωτάτου πάπα τὰ γράμματα ταῦτα, ἀπεκομίσατε πρὸς τοὺς εὐσεβεῖς βασιλεῖς ἡμῶν;

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα Ῥώμης εἶπον· ἡμεῖς αὐτοὶ λαβόντες παρὰ τοῦ ἀποστολικοῦ ἡμῶν πατρὸς τὰ τοιαῦτα γράμματα ἠγάγομεν πρὸς τοὺς εὐσεβεῖς δεσπότας.

Ἰωάννης ὁ μεγαλοπρεπέστατος λογοθέτης εἶπε ταῦτα ἴσασι καὶ οἱ τιμιώτατοι Σικελοὶ ὅ,τε θεοφιλέστατος Θεόδωρος ὁ Κατανέων ἐπίσκοπος, καὶ ὁ σὺν αὐτῷ εὐλαβέστατος διάκονος Ἐπιφάνιος, ὁ τὸν τόπον ἐπέχων τοῦ ἀρχιεπισκόπου Σαρδινίας ἀμφότεροι γὰρ κατὰ κέλευσιν τῶν εὐσεβῶν βασιλέων ἡμῶν ἀφίκοντο εἰς Ῥώμην σὺν τῷ εὐλαβεστάτῳ ἀποκρισιαρίῳ τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου.

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Κατάνης στὰς μέσον εἶπεν τῆς εὐσεβοῦς βασιλείας κελευσάσης διὰ τιμίας κελεύσεως αὐτῆς, ἀποσταλῆναι τὸν σὺν ἐμοὶ δοῦλον τῆς ὑμετέρας ἁγιωσύνης Λέοντα τὸν θεοφιλέστατον πρεσβύτερον μετὰ καὶ τιμίου γράμματος τοῦ πανιέρου μου δεσπότου· ὁ σέβων τὴν ἁγιωσύνην ὑμῶν, ὁ τῆς κατ' ἐμὲ Σικελῶν ἐπαρχίας στρατηγὸς ἀπέστειλέ με εἰς Ῥώμην μετὰ εὐσεβοῦς κελεύσεως τῶν ὀρθοδόξων βασιλέων ἡμῶν καὶ ἀπελθόντων ἡμῶν τὴν πίστιν τῆς εὐσεβοῦς βασιλείας αὐτῶν καὶ ὀρθοδοξίαν ἀνηγγείλαμεν.

Καὶ ὁ μακαριώτατος πάπας ἀκούσας εἶπεν ὅτι ἐπὶ τῶν ἡμερῶν τῆς βασιλείας αὐτῶν εἰ γένηται, τοῦτο, μεγαλῦναι ἔχει ὁ Θεὸς τὴν εὐσεβῆ βασιλείαν αὐτῶν ὑπὲρ τὰς ἔμπροσθεν βασιλείας. ἐντεῦθεν καὶ τὴν ἀναγνωσθεῖσαν ἀναφορὰν ἐξαπέστειλε πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς ἡμῶν μετὰ τῶν γραμμάτων πρὸς τὴν ὑμετέραν ἁγιότητα, καὶ τῶν προκαθεζομένων αὐτοῦ τοποτηρητῶν.

Κοσμᾶς διάκονος, νοτάριος καὶ κουβουκλείσιος εἶπε· καὶ ἕτερα ἀπεστάλησαν γράμματα παρὰ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης πρὸς Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν ἡμῶν πατριάρχην. καὶ ὡς κελεύει ἡ ἁγία ὁμήγυρις ὑμῶν καὶ περὶ τούτων.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγινωσκέσθω.

Κοσμᾶς ὁ προειρημένος διάκονος, νοτάριος καὶ κουβουκλείσιος ἀνέγνω.

Ἐπιστολὴ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, ἑρμηνευθεῖσα ἐκ τῆς τῶν Ῥωμιάων διαλέκτου εἰς τὴν ἑλλάδα φωνήν.

Τῷ ἠγαπημένῳ ἀδελφῷ Ταρασίῳ πατριάρχῃ, Ἀδριανὸς δοῦλος τῶν δούλων τοῦ Θεοῦ.

ΠΟιμαντικαῖς φροντίσιν, ἐν αἷς ἁρμόζει ποιμαίνειν τὸν λαὸν τοῦ Θεοῦ, καὶ λεπτοτάτῳ λογισμῷ κατανοοῦντες, ὃν τρόπον ἡ τοῦ κηρύγματος φωνὴ ὑγιὴς ὑπὸ κήρυκος ἐν παντὶ

καὶ-

καιρῷ ὀφείλει κηρύττεσθαι, καὶ ὁποῖος ὁ ποιμὴν ἐν συμπαθείᾳ, καὶ ὁποῖος ἐν ἀναστροφῇ ὀφείλει εἶναι, ἵνα τοῖς πᾶσι πλησίον τῇ συμπαθείᾳ γένηται, καὶ τοῖς ὅλοις τῇ ἀναστροφῇ ἐπίσημος· καὶ ὅπως ἂν πρὸς ἑαυτὸν διὰ τῆς εὐσεβοῦς εὐσπλαχνίας τὰς τῶν ἁπάντων ἀῤῥωστίας μετενέγκῃ, ἢ καὶ διὰ τῆς ὑψηλοτάτης ἐπιβλέψεως* ἑαυτοῦ αἰτούμενος εἰς τὰ θεῖα πάντας μεταβιβάσῃ· περὶ τούτων πάντων συνείδομεν τῇ ὑμετέρᾳ ἠγαπημένῃ ἁγιωσύνῃ καὶ ἱερατικῇ ὁμονοίᾳ προσφθέγξασθαι, καὶ λεπτομερῶς τὸν λόγον φανερῶσαι. ἐν τοῖς συνοδικοῖς τῆς ὁμολογίας τῆς πίστεως ὑμῶν, τοῖς τῷ ἀποστολικῷ ἡμῶν θρόνῳ σταλεῖσι διὰ Λέοντος τοῦ εὐλαβεστάτου πρεσβυτέρου ὑμῶν, εὕρομεν ἐν αὐτοῖς ἐν τῇ ἀρχῇ τοῦ πρώτου σελιδίου, τὴν ὑμετέραν εὐλάβειαν ἐκ λαϊκῆς τάξεως καὶ βασιλικῆς ὑπηρεσίας εἰς τὸν ἱερατικὸν βαθμὸν ἀνυψωθεῖσαν· καὶ λίαν ἐν τούτοις ἡ ἡμετέρα ψυχὴ ἠγάσθη. καὶ εἰ μὴ τὴν ὑμετέραν εἰλικρινῆ καὶ ὀρθόδοξον πίστιν εἰς τὰ προειρημένα συνοδικὰ τοῦ ἱεροῦ συμβόλου κατὰ τὸν θεσμὸν τῶν ἁγίων ἓξ οἰκουμενικῶν συνόδων, καὶ περὶ τῶν σεπτῶν εἰκόνων εὕρομεν καλῶς ἔχουσαν, οὐδαμῶς ἂν ἐτολμήσαμεν τῶν τοιούτων ὑπακοῦσαι συνοδικῶν. ἀλλ' ὅσον ἡ καρδία ἡμῶν ἐλυπεῖτο περὶ τῆς * ἀναρμόστου παλαιᾶς ἐξ ἡμῶν διαστάσεως, τοσοῦτον εὑρούσα τὴν ὑμετέραν ὁμολογίαν καὶ τὴν ὀρθὴν πίστιν, ηὐφράνθη ἡ ἡμετέρα ψυχή. εὕρομεν δὲ ἐν τῇ προειρημένῃ συνοδικῇ ἐπιστολῇ τῆς ὑμετέρας ἁγιωσύνης, μετὰ τὸ πλήρωμα τῆς πίστεως καὶ τῆς ὁμολογίας τοῦ ἱεροῦ συμβόλου, καὶ πασῶν τῶν ἁγίων ἓξ συνόδων, καὶ περὶ τῶν ἱερῶν καὶ σεπτῶν χαρακτήρων θαῦμα αἰνέσεως καὶ περιπτύξεως ἄξιον, περιέχον, ὅτι * τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης συνόδου δέχομαι μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειωδῶς ἐκφωνηθέντων παρ' αὐτῆς κανόνων, ἐν οἷς ἐμφέρεται· ἔντισι τῶν σεπτῶν εἰκόνων Γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ τοῦ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ * παραδεδομένα κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον, καὶ ἐν ταῖς χρωματουργίαις, ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. ταύτῃ τῇ μαρτυρίᾳ τῆς ὀρθοδόξου πίστεως τὴν τῶν πονηρῶν περιεργίαν καὶ ἀδολεσχίαν τῶν αἱρετικῶν ἀφορίζουσα, ἀπώσατο ἡ ὑμετέρα ἀδελφικὴ ἱερωσύνη· καθὼς καὶ ἡ αὐτῶν πονηρὰ σπουδὴ παρ' ἡμῶν οὐκ ἐδέχθη, οὐδὲ ὑπὸ τῆς θείας χάριτος, ἀλλ' ἀβέβαιος ἐλογίσθη ἐν τοῖς τοιούτοις. περιεζωσμένη γὰρ τὴν ὀσφὺν τῆς διανοίας ἡμῶν ὁμολογεῖ καὶ ἡ ἡμετέρα καθολικὴ καὶ ἀποστολικὴ Ῥωμαϊκὴ ἐκκλησία, ὁμονοοῦσα καὶ συμφωνοῦσα ἐξ ἐναντίας τῆς τῶν αἱρετικῶν ἀνοίας, ὑφ' ὧν πολεμουμένη καὶ συντιθεμένη πεφανέρωται. ὅθεν ἐπεὶ τὰς σεπτὰς εἰκόνας, τόν τε κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ καθ' ἡμᾶς καὶ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν σαρκωθέντος, καὶ τῆς ἁγίας ἀχράντου καὶ ἀληθῶς θεογεννήτορος, λοιπὸν δὲ καὶ τῶν ἁγίων αὐτοῦ, ἡ ὑμετέρα ἠγαπημένῃ ἁγιωσύνη σέβειν καὶ προσκυνεῖν συνέθετο, τὴν αὐτῆς ὀρθόδοξον προαίρεσιν· ἐὰν καθὼς ἀπήρξατο, παραμείνῃ· παντελῶς ἐπαινοῦμεν, καὶ ὡς ποιμαντικῇ μερίμνῃ φροντίζοντες συμβουλεύομεν, ἵνα τὴν ὀρθόδοξον πίστιν, ἥνπερ ἅπαξ ὡμολόγησεν, ἀμετάθετον διατηρήσῃ κηρύττουσα. θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ιησοῦς Χριστός. τίς οὖν τῆς ἀγαπήσεως τοῦ Χριστοῦ καὶ τοῦ πλησίον, τῆς ἐν Χριστῷ οὔσης, τὸ στήριγμα κρατῶν, τὸν αὐτὸν Ιησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ καὶ ἀνθρώπου υἱὸν παρ' ἑαυτῷ οὐκ ἔθετο θεμέλιον; ὁμολογούμενον γάρ ἐστιν, ὅτι ὅπου ὁ Χριστὸς θεμέλιός ἐστι, τῶν ἀγαθῶν ἔργων ἐξακολουθεῖ ἡ οἰκοδομή. αὐτὴ γοῦν δι' ἑαυτῆς ἡ ἀλήθεια λέγει. ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὸ ποίμνιον· ἀλλ' εἰσερχόμενος ἄλλοθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής. ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. καθὼς ὁ αὐτὸς σωτὴρ ἔφη λέγων. ἐγώ εἰμι ἡ θύρα. ἐκεῖνος οὖν εἰς τὸ ποίμνιον εἰσέρχεται, ὁ διὰ τῆς θύρας εἰσερχόμενος. καὶ ὁ εἰσερχόμενος διὰ τῆς θύρας, διὰ Χριστοῦ εἰσέρχεται, ὅστις * ἐκ τοῦ αὐτοῦ δημιουργοῦ καὶ λυτρωτοῦ τοῦ ἀνθρωπίνου γένους τὴν ἀλήθειαν συνιείς, διαφυλάττει καὶ τηρεῖ τὸν βαθμὸν τῆς ποιμαντικῆς ἀξίας, καὶ βαστάζειν τὸ βάρος ἀνέχεται, οὐ πρὸς τὴν δόξαν καὶ τὴν τιμὴν τὴν παρερχομένην ἀποβλέπων. ἀλλ' ὡς ἀναδεξάμενος τὸ ποίμνιον, ἐπιμελῶς ἀγρυπνεῖ, ἵνα μὴ τὰ πρόβατα τοῦ Θεοῦ εἴτε διὰ διεστραμμένων ἀνθρώπων καὶ σκόλια λαλούντων, εἴτε κακῷ πνεύματι πειθόμενα παραφθαρῶσιν. ἀληθῶς δὲ καὶ ὁ μακάριος Ιακὼβ, ὅστις διὰ γυναῖκας πολλὰ ἔτη δουλεύσας Λάβαν τῷ πενθερῷ αὐτοῦ φαίνεται λέγων. εἴκοσι ἔτη ἐγώ εἰμι μετὰ σοῦ. τὰ πρόβατα καὶ αἱ αἶγές σου οὐκ * ἠτεκνώθησαν, κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον, θηριάλωτον οὐκ ἐνηνοχά σοι. ἐγὼ ἀπετίννυον ἀπ' ἐμαυτοῦ τὰ κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός. ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι, καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. ἐὰν οὕτως * ποιεῖ καὶ ἀγρυπνεῖ ὁ ποιμαίνων τὰ πρόβατα Λάβαν, πόσους καμάτους, πόσας ἀγρυπνίας ὀφείλει ὑποφέρειν ὁ ποιμαίνων τὰ πρόβατα τοῦ Χριστοῦ; ἀλλ' ἐν πᾶσι

* L. ἑαυτοῦ ἐπὶ τὰ θεῖα διαβαίνῃ

* L. ἀθεμίτου ὑμῶν χειροτονίας, καὶ τῆς ἀναρμόστου, &c.

* καὶ τὰς αὐτὰς ἁγίας ἓξ συνόδους δέχομαι μετὰ πάντων τῶν κανόνων τῶν ἐνθ. καὶ θείω. ἐκφ. παρ' αὐτῶν.

* ἄλ. παραδεδομένους

Ἰωάν. 1.

1. Κορίν 7.

Ἰωάν. 10.

* L. περὶ τ

* ἄλ. νωσαν.

* ἄλ. κάμνω Γενέσ. 31.

σι τούτοις αὐτὸς ὑμᾶς στηρίξῃ καὶ διδάξῃ, ὃς δὶ ἡμᾶς ἄνθρωπος ἐγένετο, καταξιώσας γενέσθαι ὃ ἐποίησεν, αὐτὸς τὴν ἀγάπην τοῦ ἁγίου αὐτοῦ πνεύματος καὶ τὸν πόθον ἐκχέῃ εἰς ὑμᾶς, καὶ ἐκ πάσης μερίμνης διατηρήσῃ, καὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν ἀνοίξῃ· ἵνα διὰ τοῦ μόχθου καὶ τοῦ ἀγῶνος τῆς ὑμετέρας ἀγάπης, καὶ τοῦ δρόμου, τὴν ἡμετέραν μιμουμένης ἀποστολικὴν τῆς πάλαι ὀρθοδόξου πίστεως παράδοσιν, ἐν τοῖς μέρεσι τοῖς τῶν εὐσεβῶν βασιλέων ἡμῶν αἱ ἱεραὶ καὶ σεπταὶ εἰκόνες κατὰ τὴν ἀρχαίαν τάξιν σταθῶσιν, ὅπως ἐν τούτῳ τὸ ὑμέτερον σταθηρὸν διαμείνῃ ἱερατεῖον. μετὰ γὰρ τὴν ὁμολογίαν τῆς πίστεως ὑμῶν ἐγνώσθη ἡμῖν, ὅτι ἡ ὑμετέρα σεπτὴ ὁσιότης ἠξίωσε τοὺς εὐσεβεστάτους καὶ ὀρθοδοξοτάτους καὶ ζηλωτὰς, τοὺς γενομένους εἰς δόξαν Θεοῦ πιστοὺς βασιλεῖς ἡμῶν, τοὺς ὑπερμάχους τῆς ἀληθείας, περὶ τοῦ γενέσθαι σύνοδον οἰκουμενικήν· καὶ συνέθεντο ἐνώπιον παντὸς τοῦ φιλοχρίστου αὐτῶν λαοῦ, τῇ ὑμετέρᾳ ἱκεσίᾳ εὐσεβῶς ἐπινεύσαντες, καὶ τὴν σύνοδον ὥρισαν ἐν τῇ βασιλίδι αὐτῶν πόλει γενέσθαι. ἡμεῖς δὲ σὺν μεγάλῳ πόθῳ, καθὼς ἐνεφέρετο ἐν τῇ αὐτῶν θείᾳ κελεύσει, γνησίους καὶ δοκίμους καὶ φρονίμους ἱερεῖς περὶ τῆς συστάσεως τῶν ἱερῶν εἰκόνων, ἵνα ἐν τῇ ἀρχαίᾳ τάξει ἐν τοῖς μέρεσιν ἐκείνοις καταστάθῶσι, μετὰ μεγίστης χαρᾶς ἐπέμψαμεν. ἀλλ' ἡ ὑμετέρα ὁσιότης τοῖς αὐτοῖς εὐσεβεστάτοις καὶ τροπαιούχοις βασιλεῦσι προθύμως ἀναγάγοι, ἵνα ἐν πρώτοις ὁ ψευδοσύλλογος ἐκεῖνος, ὁ γενόμενος χωρὶς τοῦ ἀποστολικοῦ θρόνου ἀτάκτως καὶ ἀσυλλογίστως ἐξ ἐναντίας τῆς τῶν σεπτοτάτων πατέρων παραδόσεως κατὰ τῶν θείων εἰκόνων, ἀναθεματισθῇ παρόντων τῶν ἀποκρισιαρίων ἡμῶν. καὶ πᾶν ζιζάνιον ἐκριζωθῇ ἀπὸ τῆς ἐκκλησίας, καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ λόγος πληρωθῇ, ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ πάλιν. σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῆς πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν. καί σοι δώσω τὰς κλεῖς τῆς βαλείας τῶν οὐρανῶν. καὶ ὅσα ἂν δύσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. οὗ ὁ θρόνος εἰς πᾶσαν τὴν οἰκουμένην πρωτεύων διαλάμπει, καὶ κεφαλὴ πασῶν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ὑπάρχει. ὅθεν ὁ αὐτὸς μακάριος Πέτρος ὁ ἀπόστολος τῷ τοῦ κυρίου προστάγματι ποιμαίνων τὴν ἐκκλησίαν, οὐδὲν * παραλέλοιπεν, ἀλλ' ἐκράτησε πάντοτε καὶ κρατεῖ τὴν ἀρχήν. δι' οὗπερ ἐὰν προσκολληθῇ ἡ ὑμετέρα ὁσιότης τῷ ἡμετέρῳ ἀποστολικῷ θρόνῳ, ὅστις ἐστὶ κεφαλὴ πασῶν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, καὶ τὸν αὐτῆς ἱερὸν καὶ ὀρθόδοξον τύπον ἀφθάρτως καὶ ἀμολύντως ἐκ βάθους καρδίας καὶ εἰλικρινοῦς διανοίας φυλάξαι ἐπιτηδεύσῃ, ὡς ἀληθῶς ὀρθόδοξος καὶ θεοσεβὴς τυγχάνουσα, ταύτην πρώτην θυσίαν τῷ παντοδυνάμῳ κυρίῳ προσοίσει· καὶ ὡς ἐκ προσώπου ἡμῶν, τῶν εὐσεβεστάτων καὶ θεοστέπτων μεγάλων βασιλέων ἡμῶν ὑπερέχουσιν ἴχνεσι κειμένη δυσωπήσει, καὶ ἐνώπιον τοῦ Θεοῦ καὶ τῆς φοβερᾶς κρίσεως αὐτοὺς κατακριματίσει, ἵνα τὰς ἱερὰς εἰκόνας ἐν αὐτῇ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, τῇ καὶ ἐν παντὶ τόπῳ, εἰς τὴν ἀρχαίαν στάσιν καταστῆσαι καὶ κηρύξαι κελεύσωσι, φυλάττοντες τὴν παράδοσιν ταύτης τῆς ἱερᾶς καὶ ἁγιωτάτης ἡμῶν Ρωμαϊκῆς ἐκκκλησίας· ἀποδιώξωσι δὲ βδελυσσόμενοι τὴν τῶν πονηρῶν καὶ αἱρετικῶν πλάνην διὰ τοῦ ὑμετέρου ἀγῶνος καὶ πιστοτάτου μόχθου. εἰ δὲ τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας ἐν τοῖς μέρεσι τῶν αὐτόθι οὐ καταστήσωσι τὴν ὑμετέραν χειροτονίαν κατὰ πάντα τρόπον οὐ τολμῶμεν δέξασθαι· καὶ μάλιστα ἐὰν ἐπακολουθήσης τοῖς ἀπειθοῦσι τῇ ἀληθείᾳ. τούτου ἕνεκεν μετὰ ἀκροτάτου μόχθου καὶ πόθου τῆς πίστεως καὶ ἀγῶνος ἐν τούτοις πᾶσι ἀδιστάκτως τὴν ὑμετέραν σεπτοτάτην ἁγιωσύνην ἁρμόζει τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἁγίας αὐτοῦ γεννητρίας καὶ ἀειπαρθένου Μαρίας, καὶ τῶν ἁγίων ἀποστόλων, καὶ πάντων τῶν ἁγίων προφητῶν τε καὶ μαρτύρων, ἅμα ὁμολογητῶν, ἐν τοῖς μέρεσι τῶν αὐτόθι ἐν τῇ ἀρχαίᾳ τάξει ἀναστῆσαι, ὅπως ἐν ὁμονοίᾳ ἀξίως τὴν προφητικὴν ἀνυμνήσωμεν ᾠδὴν, λέγοντες. κύριε σῶσον τοὺς εὐσεβεστάτους βασιλεῖς ἡμῶν, καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε· ὅτι ἠγάπησαν τὴν εὐπρέπειαν τοῦ οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. τοὺς δὲ ἀποσταλέντας παρ' ἡμῶν Πέτρον τὸν ἠγαπημένον ἡμῶν πρωτοπρεσβύτερον τῆς ἁγίας Ρωμαϊκῆς ἐκκλησίας, καὶ Πέτρον τὸν ἀββᾶν, πρεσβύτερον καὶ ἡγούμενον, πρὸς τὰ ἴχνη τῶν γαληνοτάτων καὶ εὐσεβῶν βασιλέων, δυσωποῦμεν, ἵνα διὰ τὸν πόθον τοῦ ἁγίου Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων, καὶ δι' ἡμᾶς ἐν πάσῃ ἀντιλήψει καὶ εὐμενείᾳ ἀνθρωπίνῃ διάγειν καταξιώσωσιν, ὅπως καὶ ἐν τούτῳ μεγάλας ἰσχύσωμεν εὐχαριστίας προσάγειν. ὁ παντοδύναμος Θεὸς τῇ ὑμετέρᾳ ἀγάπῃ, ἐὰν σταθηρῶς διαμείνῃ, ἐπινεύσοι, καὶ συνέλθοι ὑμῖν, καὶ διαφυλάξοι, καὶ τὸν ἐγκαταπιστευθέντα σοι καρπὸν ὑπὲρ μέτρον πλεονασμοῦ πλεονάσοι. καὶ εἰς τὴν αἰωνίαν χαρὰν μετενεγκεῖν κελεύσοι. ὁ Θεὸς ὑγιᾶ σε διαφυλάξοι, ἠγαπημένε ἀδελφέ.

Ψαλ. 19. Ψαλ. 35.

Πέτρος καὶ Πέτρος οἱ εὐλαβέστατοι πρεσβύτερον καὶ τοποτηρηταὶ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης εἶπον· εἰπάτω ἡμῖν ὁ ἁγιώτατος πατριάρχης Ταράσιος τῆς βασιλευούσης πόλεως, εἰ στοιχεῖ γράμμασι τοῦ ἁγιώτατου πάπα τῆς πρεσβυτέρας Ρώμης, ἢ οὔ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὁ περιαστραφθεὶς τῷ φωτὶ τοῦ Χριστοῦ, καὶ γεννήσας ἡμᾶς διὰ τοῦ εὐαγγελίου, Παῦλος ὁ θεῖος ἀπόστολος Ρωμαίοις γράφων, ἀποδεχόμενος τὸ σπουδαῖον τῆς πρὸς Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν εἰλικρινοῦς αὐτῶν πίστεως, οὕτως ἔφη· ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. ταύτῃ τῇ μαρτυρίᾳ ἕπεσθαι ἀναγκαῖόν ἐστι, καὶ ἄβουλον ἡγεῖσθαι τὸ ἀντιτάσσεσθαι, ὅθεν Ἀδριανὸς τῆς πρεσβυτέρας Ρω-

Ρωμ. 1.

μης προεδρ☩, τῆ μαρτυρηθεντων ὑπάρχων μέτοχ☩, γεγράφηκε ξαφῶς καὶ ἀληθῶς τοῖς δυσεβέσιν ἡμῶν βασιλεῦσι, καὶ πρὸς τὴν ἡμετέραν μεξιότατα, βεβαιούμῃ☩ δὲ καὶ καλῶς ἔχειν τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας. καὶ αὐτοὶ δὲ ἡμεῖς γραφικῶς καὶ ἐρμηνητικῶς, καὶ συλλογιστικῶς, καὶ ἀποδεικτικῶς ἐξετάσαντες, καὶ ταῖς παξιαῖς διδασκαλίαις μαθητευθέντες, ὅτω καὶ ὁμολογήσαμῃ καὶ ὁμολογοῦμῃ καὶ ὁμολογήσομῃ, καὶ σιχοῦμῃ καὶ ἐμμένομῃ, καὶ βεβαιούμεθα τῇ τῶν ἀναγνωσθέντων γραμμάτων ἐμφάσει, τὰς εἰκονικὰς ἀναζωγραφήσεις ἀποδεχόμῃοι κατὰ τὴν ἀρχαίαν τῶν ἁγίων πατέρων ἡμῶν παράδοσιν· καὶ ταύτας σχετικῷ πόθῳ προσκυνοῦμῃ, ὡς εἰς ὄνομα Χριστοῦ τοῦ Θεοῦ καὶ τῆς ἀχράντου δεσπίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου, τῶν τε ἁγίων ἀγγέλων καὶ πάντων τῶν ἁγίων γενομένης, προδήλον εἰς ὃν μόνον Θεὸν ἀληθινὸν τὴν λατρείαν καὶ τὴν πίστιν ἡμῶν ἀνατιθέμῃοι.

Ἡ ἁγία συνοδ☩ εἶπε· πᾶσα ἡ ἱερὰ σύνοδ☩ ὕτως δογματίζει.

Πέτρ☩ καὶ Πέτρος οἱ θεοφιλέσατοι πρεσβύτεροι καὶ πρεσβευταὶ τῆς ἀποστολικῆς καθέδρας εἶπον· λεγέτω ἡμῖν ἡ ἁγία σύνοδος, εἰ παραδέχεται τὰ γράμματα τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης,

Ἡ ἁγία σύνοδος εἶπεν· ἑπόμεθα, καὶ δεχόμεθα, καὶ προσιέμεθα.

Ἰωάννης ὁ θεοφιλέστατ☩ πρεσβύτερ☩ καὶ πρεσβευτὴς τῆς ἀνατολικῆς διοικήσεως εἶπεν.

Εὔκαιρον ἐστι καὶ ἐπὶ τοῦ παρόντ☩ ψαλμικῶς μελῳδῆσαι. ἔλε☩ καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη ☧ εἰρήνη κατεφίλησαν· ἔλε☩ καὶ ἀλήθεια οἴδαμῃ ὅτι ὁ κύρι☩ ἡμῶν Ἰησοῦς Χριστός ἐστιν. ἐν μετοχῇ δὲ ☧ οἱ ἁγιώτατοι πατριάρχαι καὶ τῆς οἰκουμένης ποιμένες ὑπάρχουσι καὶ λέγονται. καὶ γὰρ ἔλε☩ καὶ ἀλήθεια συνήντησαν, Ἀδριανὸς ὁ ἁγιώτατος πάπας τῆς πρεσβυτέρας Ρ῾ώμης, καὶ Ταράσι☩ ὁ μακαριωτάτος πατριάρχης τῆς βασιλευούσης Κωνσταντινουπόλεως, τὸ ὃν φρονοῦντες καὶ ὁμολογοῦντες. δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. ἡ γὰρ φερώνυμ☩ Εἰρήνη, καὶ ψήφῳ Θεοῦ βασιλεύσασα καὶ κραταιοῦσα, θειοδῶς κινουμένη, καὶ τὴν ἀπορρέπειαν τῆς ἐκκλησίας ποθοῦσα καὶ θέλουσα, γράμμασι χρησαμένη, τῷ διδασκαλείῳ τῷ φερώνυμον, τῷ ἁγιωτάτῳ ἐκκλησίαν Ρ῾ώμης κατεφίλησε, καὶ κεκίνηκεν εἰς μέσον παρελθεῖν, καὶ τὴν παροῦσαν ἁγίαν ὁμήγυριν διαφάναι, καὶ τὴν ὀρθόδοξον πίστιν φανερῶσαι. καὶ νῦν χαρὰ μεγάλη γέγονεν ἐπὶ τῇ ἀναγνώσει τῶν ἱερῶν γραμμάτων τοῦ ἁγιωτάτου πάπα Ἀδριανοῦ πρός τε τοὺς θεοφυλάκτους καὶ γαληνιωτάτους ἡμῶν βασιλεῖς, καὶ πρὸς τὸν ἁγιώτατον καὶ ἰσαποστόλων παξιάρχην Ταράσιον. καὶ ὁμολογοῦμῃ χάριν μεγάλην τῷ Θεῷ ὃν τούτῳ, ὅτι τοιαύτης ἠξιώμεθα χαρᾶς καὶ διαφροσύνης. καὶ δόλογητὸς ὁ Θεὸς ὁ ἀναστήσας ἡμῖν βασιλείαν τοιαύτην, μεμνῆσθαι καὶ διεγείρασαν τὰς λαὸς πάντας πρὸς μίαν σύμπνοιαν καὶ ὁμοψυχίαν, καὶ πρὸς φυλακὴν τῶν θείων κανόνων καὶ παραδόσεων τῆς ἁγιωτάτης ἐκκλησίας. ἀλλὰ Χριστὸς ὁ Θεὸς διὰ τῆς τεκούσης αὐτὸν παναγίας Θεοτόκου, καὶ πάντων τῶν ἁγίων, καὶ ὑμῶν τῶν ἱερέων αὐτοῦ τῶν ὀρθοφρονούντων, καὶ δόλον ἐν ταῖς καρδίαις μὴ ἐχόντων, ἀλλὰ σπουδαζόντων τὰ γεγραμμένα πληρῶσαι, τὰς ἐπαγγελίας ὑμῶν ἀληθεῖς ἀποδεῖξαι, καὶ πολυχρονίους φυλάξαι τοὺς δεσπότας ἡμῶν τοὺς ἀγαθούς, καὶ δοξάσαι αὐτούς, καὶ ὑψῶσαι τὸ κέρας αὐτῶν, καὶ ὑποτάξαι τοὺς ἐχθροὺς αὐτῶν ὑπὸ τοὺς πόδας αὐτῶν, καὶ ἀξιώσαι αὐτοὺς καὶ ἐν τῷ μέλλοντι αἰῶνι μετὰ τῶν ἁγίων βασιλέων καταριθμηθῆναι, καὶ φυλάξοι τὴν ἱερὰν ταύτην σωοδον τὸ ὀρθοφρονοῦσαν.

Ἀγάπι☩ ὁ ὁσιώτατ☩ ἐπίσκοπ☩ Καισαρείας Καππαδοκίας εἶπεν. γέγραπται ἐν ταῖς παρ ἡμῖν θείαις γραφαῖς, ὅτι διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. ἰδοὺ γὰρ ἀποσάσης τῆς σκοτεινῆς τῶν κακοδόξων ἀνδρῶν αἱρέσεως, τὸ φῶς πᾶσι τῆς ὀρθοδοξίας κατηύγασεν. ᾧ κἀγὼ ἑπόμῃος, ἀποδέχομαί τε καὶ ἀσπάζομαι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας, καὶ τοὺς μὴ ὕτω φρονοῦντας τῷ ἀναθέματι παραπέμπω.

Ἰωάννης ἐπίσκοπος Ἐφέσου εἶπε. καθὼς τὰ τίμια γράμματα τοῦ ἁγιωτάτου πάπα Ρώμης περιέχουσιν, ὕτως πιστεύω, καὶ ὕτως ὁμολογῶ χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Κωνσταντῖνος ὁ θεοφιλέσατος ἐπίσκοπος Κωνσαντίας τῆς Κύπρου εἶπε· κατὰ πάντα τρόπον τῇ ἀναγνωσθείσῃ ἀναφορᾷ τῇ σαλείσῃ πρὸς τοὺς δεσπότας ἡμῶν τοὺς ἀγαθοὺς παρὰ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα Ρ῾ώμης, καὶ τῇ πρὸς τὸν ἁγιώτατον πατριάρχην ἐπιστολῇ σωτίθεμαι, καὶ ὕτως ὁμολογῶ, καὶ μετὰ ταύτης τῆς πίστεως ἀπελεύσομαι ἐπὶ τὸ βῆμα Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Βασίλειος ὁ θεοφιλέσατος ἐπίσκοπος Ἀγκύρας εἶπε· καθὼς περιέχουσι τὰ γράμματα τοῦ ἁγιωτάτου Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ρώμης, καὶ τὸ φρόνημα τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου ὕτως φρονῶ, ☧ ὕτως κραπῶ, καὶ ὕτως διδάξω, καὶ μετὰ τοῦτο μὲ τοῦ φρονήματος καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἀπελεύσομαι.

Νικόλαος ὁ θεοφιλέσατος ἐπίσκοπος Κυζίκου εἶπε. κατὰ τὰ γράμματα τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης Ἀδριανοῦ, καὶ τὴν ἔνθεσιν τῆς ὁμολογίας τοῦ ἁγιωτάτου ἡμῶν παξιάρχου Ταρασίου, ὕτως φρονῶ καὶ φρονήσω, καὶ εἰς τὸν ἐκεῖ κόσμον ἀπενεχθήσομαι μετὰ ταύτης μου τῆς ὁμολογίας.

Εὐθύμιος ὁ ὁσιώτατος ἐπίσκοπος Σάρδης εἶπε. κἀγὼ τοῖς προαναγνωσθεῖσι γράμμασι τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης, ☧ τῇ ἐκθέσει τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Ταρασίου εἰλικρινῶς καὶ ἀδιστάκτως ἑπόμῃος συντίθημι, ☧ καθομολογῶ ὕτως φρονήσαι περί τε τῆς ὀρθοδόξου πί-

Ψαλμ. 84.

πίστεως καὶ περὶ τῶν ἱερῶν εἰκόνων· οὐχ ὥστι νέον δόγμα παραδεξάμενος, ἢ καινὸν ἐφεύρεμα, ἀλλ' ὡς ἀκριβῶς ἐπιστάμενος τὴν περὶ αὐτῶν παράδοσιν ἔκτε τῶν ἁγίων ἀποστόλων καὶ θείων διδασκάλων τῶν ταύτας καταλελοιπότων ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ ὑπάρχουσαν. διὸ ὁλοψύχως ἀποδέχομαι τὰς τοιαύτας σεπτὰς εἰκόνας μετὰ τῆς προσηκούσης τιμῆς καὶ ἀσπαστικῆς προσκυνήσεως. τοὺς δὲ ἑτέρως ἢ ἐναντίως φρονοῦντας ἢ δογματιζοντας κατὰ τῶν ἁγίων εἰκόνων, ἀλλοτρίους, τῆς καθολικῆς ἐκκλησίας ἡγούμενος, ἀποκηρύσσω, καὶ αἱρετικοὺς καταγγέλλω.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Νικομηδείας εἶπε· κατὰ τὰ ἀναγνωσθέντα γράμματα τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ οὕτως ὁμολογῶ, καὶ κρατῶ τῶν τιμίων καὶ ἱερῶν εἰκόνων, μὴ μετατεθείς ποτε· προσκυνῶ δὲ καὶ τιμῶ αὐτὰς ὡς μέλλων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως διδόναι λόγον τῷ κριτῇ καὶ Θεῷ ἡμῶν.

Ἡλίας ὁ θεοφιλέστατος ἐπίσκοπος Κρήτης εἶπε κατὰ τὰ τίμια γράμματα τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ οὕτως ὁμολογῶ, καὶ κρατῶ τῶν τιμίων καὶ ἱερῶν εἰκόνων, μὴ μετατεθείς ποτε· οὐδὲ γὰρ ἀρτίως μόνον προσκυνῶ αὐτάς· τοὺς δὲ μὴ οὕτως ὁμολογοῦντας ἀνάθεματίζω.

Σταυράκιος ὁ ὁσιώτατος ἐπίσκοπος Χαλκηδόνος εἶπε· κατὰ τὴν ἐπιστολὴν Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης, τὴν πρὸς τὸν ἁγιώτατον ἡμῶν πατριάρχην Ταράσιον ἀποσταλεῖσαν, οὕτως κἀγὼ δέχομαι καὶ ἀσπάζομαι καὶ περιπτύσσομαι τὰς ἱερὰς εἰκόνας, ὡς ἀῤῥαβῶνα τῆς σωτηρίας μου οὔσας· τοὺς δὲ μὴ οὕτως φρονοῦντας ἀναθεματίζω.

Νικηφόρος ὁ θεοφιλέστατος ἐπίσκοπος τοῦ Δυῤῥαχίου εἶπε· κατὰ τὴν σταλεῖσαν ἀναφορὰν παρὰ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης πρὸς τοὺς εὐσεβεῖς βασιλεῖς ἡμῶν, καὶ τὴν πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην Ταράσιον, καὶ αὐτοῦ τοῦ ἁγιωτάτου Ταρασίου ἀρχιεπισκόπου διδασκαλίαν καὶ πίστιν καὶ ὁμολογίαν, φρονῶ καὶ κρατῶ καὶ διδάσκω· καὶ μετὰ ταύτης μου τῆς ὁμολογίας τὸν βραχὺν χρόνον τῆς ζωῆς μου τελέσω, καὶ τῷ φοβερῷ βήματι τοῦ Χριστοῦ παραστήσομαι.

Ἐπιφάνιος διάκονος τῆς ἐκκλησίας Κατάνης, τὸν τόπον ἐπέχων Θωμᾶ ἀρχιεπισκόπου Σαρδινίας, εἶπε. Λευκότατον τῆς ὀρθοδοξίας τὸν ὄρον, καὶ τὴν τῶν ἁγίων ἀποστόλων παράδοσιν ἡ πεμφθεῖσα ἀναφορὰ πρὸς τοὺς εὐσεβεῖς καὶ φιλοχρίστους ἡμῶν βασιλεῖς παρὰ τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ παρεστήσατο διὰ τῆς ἀναγνώσεως· καὶ μέντοι καὶ ἡ ἀποσταλεῖσα αὐτοῦ ἐπιστολὴ πρὸς Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην· ὅθεν κἀγὼ κατὰ πάντα τούτοις ὁμογνωμονῶν, ἐθυφρόνως τιμῶ καὶ προσκυνῶ καὶ ἀποδέχομαι τὰς ἀνέκαθεν ἐν τῇ ἐκκλησίᾳ παραδοθείσας σεπτὰς καὶ ἱερὰς εἰκόνας· καὶ τὸν τούτοις μὴ στοιχοῦντα ὡς αἱρετικῆς συμμορίας μέτοχον ἀποστρέφομαι, καὶ τοῖς ἀναθεματισμοῖς ἀποπέμπομαι.

Λέων πρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως, καὶ τὸν τόπον ἐπέχων τῆς μητροπόλεως Σίδης, εἶπε. κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης καὶ τὴν διδασκαλίαν τοῦ ἁγιωτάτου πατριάρχου Ταρασίου, ἀποδέχομαι τὰς σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· καὶ τοὺς μὴ οὕτως ἔχοντας ἀναθεματίζω.

Νικόλαος ἡγούμενος τοῦ Ἄπρου, καὶ τὸν τόπον ἐπέχων τῆς Τυανέων μητροπόλεως, εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ ἀποδέχομαι τὰς σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν. καὶ τοὺς μὴ οὕτως ἔχοντας ἀναθιματίζω.

Κωνσταντῖνος ὁ θεοφιλέστατος ἐπίσκοπος Γαγγρῶν εἶπε. κατὰ τὰς ἀναγνωσθείσας ἀναφορὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ ἀποδέχομαι τὰς σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· καὶ τοὺς μὴ οὕτως φρονοῦντας τῷ ἀναθέματι παραπέμπω.

Νικήτας ὁ ὁσιώτατος ἐπίσκοπος Κλαυδιουπόλεως εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ ἀποδέχομαι τὰς σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· καὶ τοὺς μὴ οὕτως φρονοῦντας τῷ ἀναθέματι παραπέμπω.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Μύρων τῆς Λυκίας εἶπε. κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ οὕτως πιστεύω, καὶ οὕτως ὁμολογῶ, καὶ ἀσπάζομαι τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας· καὶ τοὺς μὴ οὕτως φρονοῦντας ἀναθεματίζω καὶ ἀποστρέφομαι.

Θεοφύλακτος διάκονος καὶ ἔξαρχος, τὸν τόπον ἐπέχων τῆς μητροπόλεως Καρίας, εἶπε. τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ οὕτως ὁμολογῶ. καὶ τοὺς μὴ οὕτω φρονοῦντας ἀναθέματι καθυποβάλλω.

Μιχαὴλ ὁ ὁσιώτατος ἐπίσκοπος Συνάδων εἶπε· κατὰ τὰς ἀναπεμφθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ οὕτως ὁμολογῶ, καὶ ἀποδέχομαι κατὰ τὴν ἀρχαίαν παράδοσιν τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας· καὶ τοὺς μὴ οὕτω φρονοῦντας ἀναθέματι καθυποβάλλω.

Εὐστάθιος ὁ θεοφιλέστατος ἐπίσκοπος Λαοδικείας εἶπε. κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ οὕτως ὁμολογῶ, καὶ ἀποδέχομαι τὰς τιμίας καὶ ἱερὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν. καὶ τοὺς μὴ οὕτω φρονοῦντας ἀναθέματι ὑποβάλλω.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Πέργης εἶπε. κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτου πάπα τῆς πρεσβυ-

βυτέρας Ρ'ώμης Α'δριανȣ̃ ȣ̃τως ὁμολογῶ, κ̀ ἀποδέχομαι τὰς τιμίας κ̀ ἱερὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· κ̀ τȣ̀ς μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθέματι ὑποβάλλω.

Α'ναστάσιος ὁ θεοφιλέστατος ἐπίσκ, Νικοπόλεως Η'πείρȣ εἶπε. κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τȣ̃ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανȣ̃ ȣ̃τως ὁμολογῶ, κ̀ ἀποδέχομαι, καὶ προσκυνῶ τὰς ἁγίας καὶ ἱερὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· τȣ̀ς δὲ μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθεματίζω.

Χριστοφόρος ὁ θεοφιλέστατος ἐπίσκοπος τοῦ Φάσιδος εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τοῦ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανοῦ οὕτως ὁμολογῶ, καὶ ἀποδέχομαι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· τοὺς δὲ μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθεματίζω.

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκ. Σελευκείας εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τȣ̃ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανȣ̃ ȣ̃τως ὁμολογῶ, κ̀ ἀποδέχομαι τὰς ἱερὰς κ̀ σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· τȣ̀ς δὲ μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθεματίζω.

Γρηγόριος πρεσβύτερος Κωνσταντινȣπόλεως τῶν ἁγίων ἀποστόλων, κ̀ τὸν τόπον ἐπέχων τῆς μητροπόλεως Μωκισȣ̃, εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τȣ̃ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανοῦ οὕτως ὁμολογῶ, κ̀ ἀποδέχομαι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· τοὺς δὲ μὴ οὕτως φρονοῦντας ἀναθεματίζω.

Βασίλειος ὁ θεοφιλέστατος ἐπίσκ. τȣ̃ Συλαίȣ εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τȣ̃ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανȣ̃ ȣ̃τως ὁμολογῶ, κ̀ ἀποδέχομαι κ̀ προσκυνῶ τὰς ἱερὰς κ̀ σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν· κ̀ τȣ̀ς μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθεματίζω.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Κατάνης εἶπε· πάσης ὀρθοδοξίας ἔμπλεον τὴν ἀποσταλεῖσαν ἀναφορὰν παρὰ τȣ̃ ὁσιωτάτȣ πάπα Α'δριανȣ̃ τῆς πρεσβυτέρας Ρ'ώμης πρὸς τȣ̀ς εὐσεβεῖς κ̀ φιλοχρίστȣς βασιλεῖς ἡμῶν, ναὶ μὴν κ̀ Ταράσιον τὸν ὁσιώτατον κ̀ ἁγιώτατον οἰκουμενικὸν πατριάρχην, διὰ τῆς ἀναγνώσεως ἔγνων. ὅθεν κἀγὼ τȣ́τοις συντίθημι, κ̀ κατὰ πάντα τρόπον προσκυνῶ κ̀ ἀσπάζομαι κ̀ ἀποδέχομαι τὰς ἱερὰς εἰκόνας· κ̀ τȣ̀ς μὴ οὕτως φρονοῦντας τοῖς ἀναθεματισμοῖς ἀποπέμπομαι, ὡς ἀλλοτρίους τῆς καθολικῆς ἐκκλησίας.

Μανȣὴλ ὁ ὁσιώτατος ἐπίσκ. Α'δριανȣπόλεως εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τȣ̃ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανοῦ οὕτως ὁμολογῶ, καὶ ἀποδέχομαι τὰς ἁγίας σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας· τȣ̀ς δὲ μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθεματίζω.

* Μαριανὸς ὁ θεοφιλέστατος ἐπίσκ. Πομπηϊȣπόλεως εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τȣ̃ μακαριωτάτȣ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης Α'δριανȣ̃ ȣ̃τως ὁμολογῶ, κ̀ ἀποδέχομαι, κ̀ προσκυνῶ τὰς ἱερὰς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας. τȣ̀ς δὲ μὴ ȣ̃τως φρονȣ̃ντας ἀναθεματίζω. * ἄλ. Μανριανὸς

Ι'ωάννης ὁ ὁσιώτατος ἐπίσκ. Ταυρομενίας εἶπεν· ὡς θεῖον ὅρον ὀρθοδοξίας ὑπάρχοντα τὰ ἀποσταλέντα γράμματα παρὰ Α'δριανȣ̃ πάπα τῆς πρεσβυτέρας Ρ'ώμης πρὸς τȣ̀ς εὐσεβεῖς βασιλεῖς ἡμῶν, ἔτι γε μὴν κ̀ πρὸς Ταράσιον τὸν ἁγιώτατον κ̀ οἰκουμενικὸν ἡμῶν πατριάρχην, ȣ̃τως ὁμολογῶ, ἀποδεχόμενος τὰς ἱερὰς κ̀ σεβασμίȣς εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς κ̀ ἀποστολικῆς ἐκκλησίας· τȣ̀ς δὲ μὴ ȣ̃τως φρονȣ̃ντας τοῖς ἀναθέμασιν ὑποβάλλω.

Κύριλλος ἐπίσκοπος Γοτθίας ἐξεφώνησεν ὁμοίως.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Βιζύης ἐξεφώνησεν ὁμοίως.

Γρηγόριος πρεσβυτ. κ̀ τὸν τόπον ἐπέχων τῆς ἐπισκοπῆς Σμύρνης, ἐξεφώνησεν ὁμοίως.

* Γαύδιος ὁ ὁσιώτατος ἐπίσκ. Μεσσήνης ἐξεφώνησεν ὁμοίως. * Γαυδιῶσιος

Εὐστράτιος ὁ ὁσιώτατος ἐπίσκ. Α'παμείας ἐξεφώνησεν ὁμοίως.

Ι'ωάννης διάκ. κ̀ τὸν τόπον ἐπέχων Α'ποστολίας ἐξεφώνησεν ὁμοίως.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκ. Γερμίων ἐξεφώνησεν ὁμοίως.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Πανόρμȣ ἐξεφώνησεν ὁμοίως.

Ι'ωάννης ὁ ὁσιώτατος ἐπίσκ. Α'ρκαδιȣπόλεως ἐξεφώνησεν ὁμ.

Στέφανος ὁ ὁσιώτατος ἐπίσκ. * Λιβόντων ἐξεφώνησεν ὁμ. * L Βικόνων

. . . . . ὁ εὐλαβέστ. τοποτηρητὴς Λεοντοπόλεως ἐξεφώνησεν ὁμ.

Σισίννιος ὁ ὁσιώτατος ἐπίσκ. Παρίȣ ἐξεφώνησεν ὁμ.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Λεοντίνης ἐξεφώνησεν ὁμ.

Ε'πιφάνιος ὁ ὁσιώτ. ἐπίσκ. * Μίτων ἐξεφώνησεν ὁμ. * L Μιλήτȣ

Θεόδωρος ὁ ὁσιώτ. ἐπίσκ. Ταυριανῆς ἐξεφώνησεν ὁμοίως.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Προικοννήσȣ ἐξεφώνησεν ὁμ.

Χριστοφόρος ὁ ὁσιώτ. ἐπίσκ. τῆς ἁγίας Κυριακῆς ἐξεφώνησεν ὁμ.

Εὐστράτιος ὁ ὁσιώτατος ἐπίσκ. Μεθύμνης ὁμοίως.

Θεότιμος ὁ ὁσιώτατος ἐπίσκοπος Κροτώνων ὁμοίως.

Θεό-

Θεόφιλος ὁ ὁσιώτατος ἐπίσκ. Χίου ὑξεφώνησεν ὁμοίως.

Λέων ὁ ὁσιώτατος ἐπίσκ. Κίου ὑξεφώνησεν ὁμοίως.

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. τῆς Νησίων ὑξεφώνησεν ὁμ.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. τῆ Α"πρυ ὑξεφώνησεν ὁμ.

Γ'ηνάτιος ὁ ὁσιώτ. ἐπίσκ. Πεμήνης ὑξεφώνησεν ὁμοίως.

Θεοφύλακτος ὁ ὁσιώτ. ἐπίσκ. Κυψέλλων ὑξεφώνησεν ὁμ.

Θεόδωρος ὁ ὁσιώτ. ἐπίσκ. Τροπαίων ὑξεφώνησεν ὁμ.

Στέφανος ὁ ὁσιώτ. ἐπίσκ. Σαγδαίων ὑξεφώνησεν ὁμ.

Σέργιος ὁ ὁσιώτ, ἐπίσκ. Νικοτέρων ὑξεφώνησεν ὁμοίως.

Γρηγόριος πρεσβύτερος καὶ τὸν τόπον ἐπέχων τῆ ὁσιωτάτη ἐπισκόπη Νικοπόλεως, ὑξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Μεσημβρίας ὑξεφώνησεν ὁμ.

Θεοδόσιος ὁ ὁσιώτ. ἐπίσκ. τῆ Α'μωρίυ ὑξεφώνησεν ὁμ.

Κυριακὸς ὁ ὁσιώτ. ἐπίσκ. Δερκιπάρων ὑξεφώνησεν ὁμ.

Γαλάτιος πρεσβύτερος, ὢν ἐκ προσώπυ τῆ ὁσιωτάτη ἐπισκόπη τῆ Ρ'ηγίυ, ὑξεφώνησεν ὁμοίως.

Θεοδόσιος ὁ ὁσιώτ. ἐπίσκ. Νύσσης ὑξεφώνησεν ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Καμυλιανῶν ὑξεφώνησεν ὁμ.

Σωτήριχος ὁ ὁσιώτ. ἐπίσκ. Κισκισσῶν ὑξεφώνησεν ὁμ.

Κωνσαντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Μασσαλίων ὑξεφώνησεν ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Βελέλλων ὑξεφώνησεν ὁμ.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. Νύσσης ὑξεφώνησεν ὁμοίως.

Θεοφύλακτος ὁ ὁσιώτ. ἐπίσκ. Τράλλης ὑξεφώνησεν ὁμ.

. . . . . .

Σάββας ὁ ὁσιώτ. ἐπίσκ. Α'νέων ὑξεφώνησεν ὁμοίως.

Γρηγόριος ὁ ἐσιώτ. ἐπίσκ. Παλαιᾶς πόλεως ὑξεφώνησεν.

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. Μαγνησίας τῆς Μαιάνδρυ ὑξεφώνησεν ὁμ.

Θεοφάνιος ὁ ὁσιώτ. ἐπίσκ. Κάλπης ὑξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Α'λγίζων ὑξεφώνησεν ὁμοίως.

Νικόδημος ὁ ὁσιώτ. ἐπίσκ. Ευ'άζων ὑξεφώνησεν ὁμ.

Λύκασος ὁ ὁσιώτ. ἐπίσκ. Βαρέτων ὑξεφώνησεν ὁμοίως.

Θεοφύλακτος ὁ ὁσιώτ. ἐπίσκ. Υ'παίπων ὑξεφώνησεν ὁμ.

Θεοφάνης ὁ ὁσιώτ. ἐπίσκ. Λεβέδων ὑξεφώνησεν ὁμ.

Σξατόνικος ὁ ὁσιώτατος ἐπίσκ. Κύμης ὑξεφώνησεν ὁμ.

Κοσμᾶς ὁ ὁσιώτ. ἐπίσκ. * Μυσίνης ὑξεφώνησεν ὁμ. *ἄλ. Μύρνης

Ο'λβιάνος ὁ ὁσιώτ. ἐπίσκ. Ε'λαίας ὑξεφώνησεν ὁμ.

* Σάρδος ὁ ὁσιώτ. ἐπίσκ. Πιττάνης ὑξεφώνησεν ὁμ. *ἄλ Πάρδος

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. Περγάμυ ὑξεφώνησεν ὁμ.

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. Α'ξαμμυτῆ ὑξεφώνησεν ὁμ.

Μαξῖνος ὁ ὁσιώτ. ἐπίσκ. Α'τάνδρυ ὑξεφώνησεν ὁμ.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. Α'σσῆ ὑξεφώνησεν ὁμοίως.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. Α'ρκαδιυπόλεως ὑξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Φωκίας ὑξεφώνησεν ὁμοίως.

Νικηφόρος διάκονος καὶ τοποτηρητὴς Γαργάρων ὑξεφώνησεν ὁμ.

Κωνσαντῖνος διάκονος καὶ τοποτηρητὴς Α'ζάνης ὑξεφώνησεν ὁμ.

Θεόγνις . . . . καὶ τοποτηρητὴς Σιῶν ὑξεφώνησεν ὁμ.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. Ρ'αιδεστῆ ὑξεφώνησεν ὁμοίως.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. Πανίυ ὑξεφώνησεν ὁμοίως.

Μελχισεδὲκ ὁ ὁσιώτ. ἐπίσκ. Καλλιυπόλεως ὑξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Μαδύτων ὑξεφώνησεν ὁμοίως.

Θεοφύλακτος ὁ ὁσιώτ. ἐπίσκ. Χαριυπόλεως ὑξεφώνησεν ὁμ.

Θωμᾶς ὁ ὁσιώτ. ἐπίσκ. Δαονίυ ὑξεφώνησεν ὁμοίως.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Θεοδωριυπόλεως ὑξεφώνησεν ὁμ.

Σισίννιος ὁ ὁσιώτ. ἐπίσκ. Χαλκίδος ὑξεφώνησεν ὁμ.

Γ'ωάννης ὁ ὁσιώτ. ἐπίσκ. Βρύσεως ὑξεφώνησεν ὁμοίως.

Βενιαμὶν ὁ ὁσιώτ. ἐπίσκ. Λιζίκως ὑξεφώνησεν ὁμοίως.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Α'μάσειδος ὑξεφώνησεν ὁμ.

Θεοφάνης ὁ ὁσιώτ. ἐπίσκ. * Σαρδῶν ὑξεφώνησεν ὁμ.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Δέρκων ὑξεφώνησεν ὁμοίως.

Η'ράκλειος ὁ ὁσιώτ. ἐπίσκ. Γ'ιυνοπόλεως ὑξεφώνησεν ὁμ.

Κωνσαντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Γ'υλιυπόλεως ὑξεφώνησεν ὁμ.

Ἀντώνιος ὁ ὁσιώτ. ἐπίσκ. Τροιζῶνος ἐξεφώνησεν ὁμ.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Ναχωλείας ἐξεφώνησεν ὁμ.

Πέτρος ὁ ὁσιώτ. ἐπίσκ. Ἀσσώνης ἐξεφώνησεν ὁμοίως.

Σωσέσιος ὁ ὁσιώτ. ἐπίσκ. Κίννης ἐξεφώνησεν ὁμοίως.

Σωσέσιος ὁ ὁσιώτ. ἐπίσκ. Ἀνασασιυπόλεως ἐξεφώνησεν ὁμ.

Εὐσάθιος ὁ ὁσιώτ. ἐπίσκ. Σόλων ἐξεφώνησεν ὁμοίως.

Θεόδωρος ὁ ὁσιώτ. ἐπίσκ. τῆ Κιτίυ ἐξεφώνησεν ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Τεμιθῆνος ἐξεφώνησεν ὁμ.

Ἀλέξανδρος ὁ ὁσιώτ. ἐπίσκ. Ἀμαθοῦντος ἐξεφώνησεν ὁμ.

Ἰωάννης Σισίνιος * ὁ ὁσιώτ. ἐπίσκ. Ἀδρανείας ἐξεφώνησεν ὁμ.

Μιχαὴλ ὁ ὁσιώτ. ἐπίσκ. Μελιτυπόλεως ἐξεφώνησεν ὁμ.

Θεοδόσιος ὁ ὁσιώτ. ἐπίσκ. Γέρμης ἐξεφώνησεν ὁμοίως.

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. Ἀδραυθύρων ἐξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Ποιμανινῆ ἐξεφώνησεν ὁμοίως.

Συμεὼν ὁ ὁσιώτ. ἐπίσκ. Ὤχης ἐξεφώνησεν ὁμοίως.

Ἰωάννης ὁ ὁσιώτ. ἐπίσκ. Λαμψάκυ ἐξεφώνησεν ὁμ.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. τῆ Ἰλεῆ ἐξεφώνησεν ὁμοίως.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Τρωάδων ἐξεφώνησεν ὁμοίως.

Θεοδόσιος ὁ ὁσιώτ. ἐπίσκ. Ἀβύδυ ἐξεφώνησεν ὁμοίως.

Ἀνασάσιος ὁ ὁσιώτ. ἐπίσκ. Τεμπόλεως ἐξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Τρακύλων ἐξεφώνησεν ὁμοίως.

Στέφανος ὁ ὁσιώτ. ἐπίσκ. Σάλων ἐξεφώνησεν ὁμοίως.

Ἰωάννης ὁ ὁσιώτ. ἐπίσκ. Ταβάλλων ἐξεφώνησεν ὁμ.

Στέφανος ὁ ὁσιώτ. ἐπίσκ. Σιλανδῆ ἐξεφώνησεν ὁμοίως.

Νικόλαος ὁ ὁσιώτ. ἐπίσκ. τῆ Περικόμματος ἐξεφώνησεν ὁμ.

Ἰωάννης ὁ ὁσιώτ. ἐπίσκ. Σέτων ἐξεφώνησεν ὁμοίως.

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. Λίστρων ἐξεφώνησεν ὁμ.

Θεοφάνης ὁ ὁσιώτ. ἐπίσκ. Μαιωνείας ἐξεφώνησεν ὁμ.

Μιχαὴλ ὁ ὁσιώτ. ἐπίσκ. Ξεροπονικείας ἐξεφώνησεν ὁμοίως.

Λύκαστος ὁ ὁσιώτ. ἐπίσκ. Φιλαδελφείας ἐξεφώνησεν ὁμ.

Μιχαὴλ ὁ ὁσιώτ. ἐπίσκ. Τράλλης ἐξεφών. ὁμοίως.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Γόρδων ἐξεφώνησεν ὁμοίως.

Ἰωάννης ὁ ὁσιώτ. ἐπίσκ. Δάλδης ἐξεφώνησεν ὁμοίως.

Εὐσάθιος ὁ ὁσιώτ. ἐπίσκ. Ὀρκάνης ἐξεφώνησεν ὁμ.

Ἰωσὴφ ὁ ὁσιώτ. ἐπίσκ. Ἀττταλείας ἐξεφώνησεν ὁμ.

Ζαχαρίας ὁ ὁσιώτ. ἐπίσκ. Ἱεροκαισαρείας ἐξεφώνησεν ὁμ.

Δαβὶδ ὁ ὁσιώτ. ἐπίσκ. Ἐλευθερουπόλεως ἐξεφώνησεν ὁμ.

Κυρίων ὁ ὁσιώτ. ἐπίσκ. τῆ Λόφυ ἐξεφώνησεν ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Καισαρείας Βιθυνίας ἐξεφών. ὁμ.

Θεοφύλακτος ὁ ὁσιώτ. ἐπίσκ. Ἀπολλωνιάδος ἐξεφών. ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Βασιλευπόλεως ἐξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτατος ἐπίσκ. Ἀγίσης ἐξεφώνησεν ὁμοίως.

Νικηφόρος ὁ ὁσιώτ. ἐπίσκ. Ἀδρανῆ ἐξεφών. ὁμοίως.

Βασίλειος τοποτηρητὴς τῆ Δασκυλίυ ἐξεφών. ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Καρίνης ἐξεφών. ὁμοίως.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Μέλης ἐξεφών. ὁμοίως.

Νεόφυτος ὁ ὁσιώτ. ἐπίσκ. Γορδοσέρβων ἐξεφών. ὁμοίως.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Λινόης ἐξεφώνησεν ὁμοίως.

Ἰωάννης ὁ ὁσιώτατος ἐπίσκοπος Ἐτένων ἐξεφών. ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Ζήλων ἐξεφών. ὁμοίως.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Σινώπης εἶπε· καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται γενόμενοι τῆ λόγυ, καὶ οἱ παραδοθέντες διδαχθέντες ἅγιοι καὶ μακάριοι ἡμῶν πατέρες, ὕτως πληροφορηθεὶς περιέχειν τὰ νυνὶ ἀποσαλέντα γράμματα παρὰ Ἀδριανῆ τῆ μακαριωτάτυ πάπα τῆς πρεσβυτέρας Ῥώμης, τὰ πρὸς τὺς εὐσεβεῖς καὶ φιλοχρίστυς ἡμῶν βασιλεῖς, καὶ πρὸς Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην, ὕτως πιστεύω καὶ προσκυνῶ καὶ ὕτως ὁμολογῶ, καὶ ὕτως κρατῶ καὶ κρατήσω μέχρις ἐσχάτης μου ἀναπνοῆς, σεβόμενος καὶ προσκυνῶν τὰς τιμίας καὶ ἱερὰς καὶ σεπτὰς εἰκόνας. τὺς δὲ μὴ ὕτως φρονῦντας ἀναθεματίζω καὶ ἀποβάλλομαι. Πράξ. 1.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Σασίμων εἶπε· κατὰ τὰς ἀναγνωσθείσας συνοδικὰς ἐπιστολὰς τῆ μακαριωτάτυ πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανῆ, ὕτως ὁμολογῶ, καὶ προσκυνῶ, καὶ ἀποδέχομαι τὰς ἱερὰς καὶ σεβασμίους εἰκό-

εἰκόνας κατὰ τὴν ἀρχαίαν παράδοσιν τῆς ἐκκλησίας. Τοὺς δὲ μὴ ὕτως φρονοῦντας ἀναθεματίζω.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Δαδύβρων ὑξεφώνησεν ὁμ.

Θεόφιλος ὁ ὁσιώτ. ἐπίσκ. Δρουσιάδος ὑξεφών. ὁμ.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Ἀδριανουπόλεως ὑξεφών. ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Ἡρακλείας Πόντου ὑξεφών. ὁμ.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Κρατείας ὑξεφών. ὁμ.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Ῥυζαίου ὑξεφώνησεν ὁμοίως.

Νικηφόρος ὁ ὁσιώτ. ἐπίσκ. Κλαυδίων ὑξεφών. ὁμοίως.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Τρωκνάδων ὑξεφώνησεν ὁμοίως.

Ἀναστάσιος ὁ ὁσιώτ. ἐπίσκ. Πατάρων ὑξεφών. ὁμοίως.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Νύσσης ὑξεφώνησεν ὁμ.

Θεοδόσιος ὁ ὁσιώτ. ἐπίσκ. Πινάρων ὑξεφώνησεν ὁμ.

Νικόδημος ὁ ὁσιώτ. ἐπίσκ. Σιδύμου ὑξεφών. ὁμοίως.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Οὐνιάνδων ὑξεφών. ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Κανδίβων ὑξεφών. ὁμ.

Σταυράκιος ὁ ὁσιώτ. ἐπίσκ. Ζιωπόλεως ὑξεφών. ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Λιμύρων ὑξεφώνησεν ὁμοίως.

Στέφανος ὁ ὁσιώτ. ἐπίσκ. Καώνων ὑξεφώνησεν ὁμ.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Τλῶν ὑξεφών. ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Κόμβρων ὑξεφών. ὁμ.

Πέτρος διάκονος καὶ τοποτηρητὴς Γέρκανων ἐξεφών. ὁμ.

Γωάννης διάκονος καὶ τοποτηρητὴς Φασήλιδος ὑξεφών. ὁμ.

Σάββας . . . . . καὶ τοποτηρητὴς Τίου ὑξεφών. ὁμοίως.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Κιβύρης ὑξεφών. ὁμοίως.

Βασίλειος ὁ ὁσιώτ. ἐπίσκ. Τάβων ὑξεφώνησεν ὁμοίως.

Δωρόθεος ὁ ὁσιώτ. ἐπίσκ. Νεαπόλεως ὑξεφών. ὁμ.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Ἡρακλείας ὑξεφών. ὁμ.

Δαβὶδ ὁ ὁσιώτ. ἐπίσκ. Γάσσου ὑξεφών. ὁμ.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Μυλάσσου ὑξεφών. ὁμοίως.

Σέργιος ὁ ὁσιώτ. ἐπίσκ. Μεγυλίων ὑξεφών. ὁμοίως.

Γωάννης ὁ ὁσιώτ. ἐπίσκ. Μύδδου ὑξεφώνησεν ὁμοίως.

Σταυράκιος ὁ ὁσιώτ. ἐπίσκ. Σταδείας ὑξεφών. ὁμ.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Σταυνικείας ὑξεφών. ὁμ.

Θεοδόσιος ὁ ὁσιώτ. ἐπίσκ. Χώνων ὑξεφώνησεν ὁμοίως.

Μιχαὴλ ὁ ὁσιώτ. ἐπίσκ. Χαιρεπόπων ὑξεφών. ὁμοίως.

Παυταλέων ὁ ὁσιώτ. ἐπίσκ. Οὐαλεντίας ὑξεφών. ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Πέλτων ὑξεφώνησεν ὁμοίως.

Χρυσοφόρος ὁ ὁσιώτ. ἐπίσκ. τοῦ Ἀταναστοῦ ἐξεφών. ὁμ.

Λέοντιος ὁ ὁσιώτ. ἐπίσκ. Εὐμυνείας ὑξεφώνησεν ὁμ.

Παῦλος ὁ ὁσιώτ. ἐπίσκ. Ἀκμονείας ὑξεφώνησεν ὁμ.

Γρηγόριος ὁ ὁσιώτ. ἐπίσκ. Τιμοθήρων ὑξεφών. ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Τραϊανουπόλεως ὑξεφών. ὁμοίως.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. Ἀλέους ὑξεφώνησεν ὁμοίως.

Νικηφόρος ὁ ὁσιώτ. ἐπίσκ. Λύνδων ὑξεφώνησεν ὁμοίως.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Ἀπείας ὑξεφώνησεν ὁμ.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Εὐχαρπίας ὑξεφών. ὁμ.

Μιχαὴλ ὁ ὁσιώτ. ἐπίσκ. Ἱεραπόλεως ὑξεφών. ὁμοίως.

Χρυσοφόρος ὁ ὁσιώτ. ἐπήσκ. Προμισοῦ ὑξεφώνησεν ὁμ.

Νικόλαος ὁ ὁσιώτ. ἐπίσκ. Φυτείας ὑξεφώνησεν ὁμ.

Θεοφύλακτος ὁ ὁσιώτ. ἐπίσκ. Κιναβόρου ὑξεφών. ὁμ.

Νικήτας ὁ ὁσιώτ. ἐπίσκ. Αὐγουστοπόλεως ὑξεφών. ὁμ.

Κωνσταντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Κοττυαίου ὑξεφώνησεν ὁμ.

Γεώργιος ὁ ὁσιώτ. ἐπίσκ. Μηδαείου ὑξεφώνησεν ὁμ.

Λέων ὁ ὁσιώτ. ἐπίσκ. τοῦ Δοκιμείου ὑξεφώνησεν ὁμ.

Δαμιανὸς ὁ ὁσιώτ. ἐπίσκ. τοῦ Μήρου ὑξεφών. ὁμοίως.

Θεοφύλακτος οἰκονόμος καὶ τοποτηρητὴς τοῦ Ἀψου ἐξεφών. ὁμ.

Στέφανος ὑψηφίος Ὄβου ὑξεφώνησεν ὁμοίως.

Γωάννης ὑψηφίος τοῦ Ἑκτοῦ ἐξεφώνησεν ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Ἀμαλάνδων ἐξεφών. ὁμ.

Ἐπιφάνιος ὁ ὁσιώτ. ἐπίσκ. Περτεῶν ἐξεφώνησεν ὁμ.

Σι-

Σισίννι@ ὁ ὁσιώτ. ἐπίσκ. Φιλομηλίου ἐξεφώνησεν ὁμ.
Ιωάννης ὁ ὁσιώτ. ἐπίσκ. Σιβλείας ἐξεφώνησεν ὁμοίως.
Μιχαὴλ ὁ ὁσιώτατ. ἐπίσκ. Πάπων ἐξεφώνησεν ὁμ.
Θεόδωρ@ ὁ ὁσιώτ. ἐπίσκ. Σαγαλλείου ἐξεφώνησεν ὁμ.
Σισίνν@ ὁ ὁσιώτ. ἐπίσκ. Απαμείας τῆς Κιβωτοῦ ἐξεφών. ὁμ.
Κωνσαντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Καναύνης ἐξεφών. ὁμοίως.
Λέων οἰκονόμ@ καὶ τοποτηρητὴς Σωζοπόλεως ἐξεφών. ὁμ.
Μαριανὸς ὁ ὁσιώτ. ἐπίσκ. Μαγύδων ἐξεφών. ὁμοίως.
Νικηφόρος ὁ ὁσιώτ. ἐπίσκ. Φλόγων ἐξεφών. ὁμοίως.
Λέων ὁ ὁσιώτατος ἐπίσκοπ@ Ανδίδων ἐξεφών. ὁμοίως.
Μάνζων ὁ ὁσιώτ. ἐπίσκ. Πρακάνων ἐξεφών. ὁμοίως.
Θεοδόσιος ὁ ὁσιώτατ. ἐπίσκ. Γερμανικοπόλεως ἐξεφών. ὁμ.
Εὐσάθιος ὁ ὁσιώτ. ἐπίσκ. Κελενδέρεως ἐξεφ. ὁμοίως.
Ζαχαρίας ὁ ὁσιώτ. ἐπίσκ. Τραπεζοπόλεως ἐξεφώνησεν ὁμ.
Σισίννιος ὁ ὁσιώτ. ἐπίσκ. Συκῆς ἐξεφώνησεν ὁμοίως.
Ζαχαρίας ὁ ὁσιώτ. ἐπίσκ. Καρδαβάνδων ἐξεφώνησεν ὁμ.
Σισίννιος ὁ ὁσιώτ. ἐπίσκ. Μυρβάδων ἐξεφών. ὁμοίως.
Εὐσάθιος ὁ ὁσιώτ ἐπίσκ. Λάμων ἐξεφώνησεν ὁμοίως.
Στέφανος ὁ ὁσιώτ. ἐπίσκ. Φιλαδελφείας ἐξεφώνησεν ὁμ.
Λέων ὁ ὁσιώτ. ἐπίσκ. Σιβίλλων ἐξεφώνησεν ὁμοίως.
Θεώδωρος ὁ ὁσιώτ. ἐπίσκ. Κάδης ἐξεφώνησεν ὁμοίως.
Μιχαὴλ ὁ ὁσιώτατος ἐπίσκ. Τιβεριουπόλεως ἐξεφών. ὁμοίως.
Ιωάννης ὁ ὁσιώτατος ἐπίσκ. Αζάνων ἐξεφών. ὁμοίως.
Βασίλειος ὁ ὁσιώτατ. ἐπίσκ. Διονυσιουπόλεως ἐξεφών. ὁμ.
. . . . . καὶ τοποτηρητὴς Νικοπόλεως ἐξεφών. ὁμοίως.
. . . . . καὶ ἐκ προσώπου Κολωνίας ἐξεφών. ὁμοίως.
Εὐστράτιος ὁ ὁσιώτατ. ἐπίσκοπος Δεβελτοῦ ἐξεφών. ὁμοίως.
Λέων οἰκονόμος καὶ τοποτηρητὴς * Ζωροπόλεως ὁμοίως.
Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπ. Βυλγαροφύγου ἐξεφών. ὁμ.
Γεώργι@ ὁ ὁσιώτ. ἐπίσκ. Πλωτινουπόλεως ἐξεφών. ὁμ.
Βασίλει@ ὁ ὁσιώτατ. ἐπίσκ. Περβέρεως ἐξεφών. ὁμ.
Μιχαὴλ ὁ ὁσιώτ. ἐπίσκ. τοῦ Παμφύλου ἐξεφών. ὁμοίως.
Ρουβὶμ ὁ ὁσιώτ. ἐπίσκ. Σκοπέλεως ἐξεφών. ὁμοίως.
Σισίννι@ ὁ ὁσιώτ. ἐπίσκ. Γαριάδου ἐξεφών. ὁμοίως.
Πέτρ@ ὁ ὁσιώτ. ἐπίσκ. Μονεμβασίας ἐξεφών. ὁμ.
Γαβριὴλ ὁ ὁσιώτ. ἐπίσκ. Εγρίνης ἐξεφώνησεν ὁμοίως.
Λέων ὁ ὁσιώτ. ἐπίσκ. Πόρθμου ἐξεφώνησεν ὁμοίως.
Βαρδάνι@ ὁ ὁσιώτ. ἐπίσκ. Δοάρων ἐξεφών. ὁμοίως.
Ανδρόνικος πρεσβυτέρος, καὶ ἐκ προσώπου Λεοντοπόλεως, ἤτοι Ζαλίχου, ἐξεφών. ὁμ.
Λέων ὁ ὁσιώτατ. ἐπίσκ. Σεβαστῆς ἐξεφώνησεν ὁμοίως.
Νικήτας διάκονος ἐκ προσώπου Αλικαρνασσοῦ ἐξεφών. ὁμ.
Λέων ὁ ὁσιώτ. ἐπίσκ. Κορυδάλλων ἐξεφώνησεν ὁμοίως.
Θεόδωρος ὁ ὁσιώτ. ἐπίσκ. Κρημνῶν ἐξεφών. ὁμοίως.
Κωνσαντῖνος ὁ ὁσιώτ. ἐπίσκ. Αδριανῆς ἐξεφών. ὁμοίως.

Η ἁγία συνοδος εἶπε· δίκαιόν ἐστιν, ἵνα καὶ οἱ ἁγιοταβέσατοι μοναχοὶ ἐκφωνήσωσιν.

Οἱ ἁγιοταβέσατοι μοναχοὶ εἶπον· εἰ ἔστι τάξις αὕτη, ἵνα καὶ οἱ μοναχοὶ ἐκφωνήσωμεν, ὡς κελεύετε.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἡ τάξις ἐστὶν ἑκάστῳ τῶν ἁγιοσυμβούλων εἰς συνοδον, ἐκφωνεῖν τινὰ ἑαυτοῦ ὁμολογίαν.

Σάββας ὁ ἁγιοταβέσατος μοναχὸς καὶ ἡγούμενος τῶν Στουδίου εἶπε· κατὰ τινὰ ἀρχαίαν καὶ ἔκπαλαι τῶν χρόνων παραδοθεῖσαν ἡμῖν ἀμώμητον πίστιν ἔκ τε τῶν ἁγίων ἀποστόλων, προφητῶν καὶ διδασκάλων ἐν τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, κρατοῦμεν καὶ τινὰ σαλεύσαν συλλαβὼν παρὰ τοῦ βασιλεύσαντος καὶ ἀποστολικοῦ πάπα Αδριανοῦ πρὸς τὸν ἀσεβῆ καὶ φιλοχείσαντα ἡμῶν βασιλέα, καὶ Ταράσιον τὸν οἰκουμενικὸν πατριάρχην, ὡς καταυγάσαν καὶ φωτίσαν τὰς διανοίας ἡμῶν, μετὰ πίστεως ἀκηκόαμεν. καὶ οὕτως ὁμολογῶ καὶ πιστεύω, καὶ προσκυνῶ τὰς ἁγίας εἰκόνας. τοὺς δὲ μὴ οὕτω φρονοῦντας ἀναθεματίζω.

Γρηγόριος ὁ ἁγιοταβέσατος μοναχὸς καὶ ἡγούμενος τοῦ ἁγίου Σεργίου εἶπε· κατὰ τινὰ ἀρχαίαν καὶ ἔκπαλαι τῶν χρόνων θεσμοθεσίαν, τινὰ παραδοθεῖσαν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ μεγάλῃ ἐκκλησίᾳ ἐκ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων, καὶ φυλαχθεῖσαν ὑπὸ τῶν ἁγίων καὶ πανιέρων ἡμῶν πατέρων καὶ διδασκάλων, ἤτοι τῶν ἁγίων ἓξ οἰκουμενικῶν συνόδων, κρατοῦμεν. καὶ τὰ ὀρθόδοξα γράμματα τὰ σταλέντα παρὰ Αδριανοῦ τοῦ πρεσβυτέρας Ρώμης τοῦ

τȣ̃ ἁγιωτάτȣ κ̀ ἀποςολικȣ̃ πάπα πρὸς τȣ̀ς εὐσεβεῖς κ̀ φιλοχρίςȣς ἡμῶν βασιλεῖς, ⲥ̀ Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκȣμενικὸν πατριάρχην, τὰ καταυγάσαντα κ̀ φωτίσαντα τὰς διανοίας ἡμῶν, μ̅τ̅ πόθȣ καρδίας μȣ δεξάμενος, ȣ̃τως ὁμολογῶ κ̀ ȣ̃τως κηρύσσω· κ̀ πιςεύω ὅτι διὰ ταύτης μȣ τῆς ἀληθινῆς ὁμολογίας συγχώρησιν λήψομαι τῶν ἡμαρτημένων μοι μ̅τ̅ τῆς καλῆς πράξεως.

Ἰωάννης ὁ εὐλαβέςατος ἡγȣ́μενος τῶν Παγȣρίȣ ἐξεφών. ὁμ,

Εὐςάθιος ὁ εὐλαβέςατος ἡγȣ́μενος τῶν Μαξιμίνȣ ἐξεφών. ὁμ.

Συμεὼν ὁ εὐλαβέςατος ἡγȣ́μενος τῆς Χώρας ἐξεφών. ὁμ.

Γεώργιος ὁ εὐλαβέςατος ἡγȣ́μενος τῆς Πηγῆς ἐξεφών. ὁμ.

Συμεὼν ἡγȣ́μενος τῶν Ἀβραμιτῶν ἐξεφώνησεν ὁμοίως.

Ἰωσὴφ ἡγȣ́μενος τοῦ Ἡρακλείου ἐξεφώνησεν ὁμοίως.

Πλάτων ἡγούμενος Σακουδεῶνος ἐξεφώνησεν ὁμοίως.

Γρηγόριος ἡγȣ́μενος τῶν Ὑακίνθου ἐξεφώνησεν ὁμοίως.

Καὶ καθεξῆς πάντες οἱ μοναχοὶ ἐξεφώνησαν ὁμοίως.

ΠΡΑ̃ΞΙΣ Γ'.

ΕΝ ὀνόματι τȣ̃ κυρίȣ κ̀ δεσπότȣ Ιησȣ̃ Χριςȣ̃ τȣ̃ ἀληθινȣ̃ θεȣ̃ ἡμῶν, βασιλείας τῶν εὐσεβεςάτων ⲥ̀ φιλοχρίςων ἡμῶν δεσποτῶν Κωνσταντίνȣ κ̀ Εἰρήνης τῆς αὐτοῦ θεοςέπτȣ μητρὸς, ἔτȣς ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ τεσσάρων καλανδῶν Οκτωβρίων, ἰνδικτιῶνος ἑνδεκάτης.

Συνελθȣ́σης τῆς ἁγίας κ̀ οἰκȣμενικῆς συνόδȣ, τῆς κατὰ θείαν χάριν κ̀ εὐσεβὲς θέσπισμα τῶν αὐτῶν θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τȣτέςι, Πέτρȣ τȣ̃ εὐλαβεςάτȣ πρώτȣ πρεσβυτέρȣ τῆς κατὰ τὴν Ρώμην ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίȣ ἀποςόλȣ Πέτρȣ, κ̀ Πέτρȣ τȣ̃ εὐλαβεςάτȣ πρεσβυτέρȣ, μοναχȣ̃ κ̀ ἡγȣμένȣ τῆς κατὰ Ρώμην εὐαγȣ̃ς μονῆς τȣ̃ ἁγίȣ Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποςολικῆς καθέδρας τȣ̃ ὁσιωτάτȣ ⲥ̀ ἁγιωτάτȣ ἀρχιεπισκόπȣ τῆς πρεσβυτέρας Ρώμης Αδριανȣ̃. κ̀ Ταρασίȣ τȣ̃ ὁσιωτάτȣ κ̀ ἁγιωτάτȣ ἀρχιεπισκόπȣ τῆς μεγαλωνύμȣ Κωνςαντινȣπόλεως νέας Ρώμης, κ̀ Ιωάννȣ κ̀ Θωμᾶ τῶν εὐλαβεςάτων πρεσβυτέρων, μοναχῶν κ̀ τοποτηρητῶν τῶν ἀποςολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως.

Καθεσθέντων τε αὐτῶν πρὸ τȣ̃ ἱερωτάτȣ ἄμβωνος τȣ̃ ναȣ̃ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμȣ Σοφίας, συμπαρόντων κ̀ ἀκροωμένων τῶν ἐνδοξοτάτων κ̀ μεγαλοπρεπεςάτων ἀρχόντων, τȣτέςι Πετρωνᾶ τȣ̃ πανευφήμȣ ἀπὸ ὑπάτων πατρικίȣ, κ̀ κόμητος τȣ̃ θεοφυλάκτου βασιλικȣ̃ ὀψικίου, ⲥ̀ Ιωάννου βασιλικȣ̃ ὁςιαρίου κ̀ λογοθέτου τȣ̃ ςρατιωτικȣ̃ λογοθεσίȣ, κ̀ πάσης τῆς ἁγίας συνόδȣ κατὰ τάξιν τὴν προταχθεῖσαν ἐν τῇ πρώτῃ πράξει· παρόντων κ̀ τῶν θεοφιλεςάτων ἀρχιμανδριτῶν τε κ̀ ἡγȣμένων, κ̀ παντὸς τȣ̃ μοναχικȣ̃ πληρώματος, προκειμένων τῶν ἁγίων καὶ ἀχράντων τȣ̃ Θεοῦ εὐαγγελίων.

Δημήτριος ὁ θεοφιλέςατος διάκονος κ̀ σκευοφύλαξ τῆς κατὰ Κωνςαντινȣ́πολιν ἁγιωτάτης μεγάλης ἐκκλησίας εἶπεν.

Ἐπειδήπερ τῇ προτεραίᾳ ἔδοξε τῇ ἁγίᾳ μεγάλῃ καὶ οἰκȣμενικῇ συνόδῳ, ἀκολȣθησάσῃ τοῖς πατρικοῖς κ̀ ἐκκλησιαςικοῖς θεσμοῖς, δέχεσθαι τȣ̀ς ἐξ αἱρέσεων ἐπιςρέφοντας, ἔτι μὴν κ̀ τȣ̀ς ἀπὸ αἱρετικῶν χειροτονηθέντας ὀρθοδοξȣ̃ντας προσλαμβάνεσθαι· πάρεισι πρὸ τῶν πυλῶν τȣ̀ς λιβέλλȣς αὐτῶν ἤδη ὀρθοδόξως ἀνεγνωκότες ἐπίσκοποι, κ̀ ἀξιȣ̃σιν εἰσιέναι, κ̀ κριθῆναι κατὰ τὸ ὑμῖν παριςάμενον.

Ἡ ἁγία σύνοδος εἶπε· παραγενέσθωσαν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ὁ νεωςὶ παραγενόμενος θεοφιλέςατος ἐπίσκοπος Νεοκαισαρείας ἀποδότω τὸν λόγον αὐτȣ̃ διὰ λιβέλλȣ.

Γρηγόριος ὁ Νεοκαισαρείας ἔφη· ςερεώσαι ὁ Θεὸς τὴν βασιλείαν τῶν δεσποτῶν ἡμῶν τῶν ἀγαθῶν. εὐφράναι αὐτȣ̀ς ὁ Θεὸς εἰς τὸν ἅγιον θρόνον αὐτῶν. τὸν πανάγιον ἡμῶν δεσπότην ὁ Θεὸς συναρχιεραλεύσοι. κ̀ τὴν ἁγίαν σύνοδον ὁ Θεὸς ςηρίξοι. εὔχεσθε ὑπὲρ τῆς πτωχείας μȣ· κ̀ προσενέγκας τὸν ἑαυτȣ̃ λίβελλον ἀνέγνω, περιέχοντα τὰ ἴσα τῶν προγεγραμμένων λιβέλλων ἐν τῇ πρώτῃ πράξει.

Καὶ μ̅τ̅ τὸ ἀναγνωσθῆναι τὸν λίβελλον, Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. ταῦτα ἁπλότητι καρδίας ὁμολογεῖς;

Γρηγόριος ὁ θεοφιλέςατος ἐπίσκοπος Νεοκαισαρείας εἶπεν· ἐν ὀνόματι τȣ̃ Θεȣ̃ κ̀ διὰ τῆς ἁγίας σȣ εὐχῆς κ̀ τῶν ἁγίων πατέρων, ἐν καθαρᾷ συνειδήσει κ̀ πάσῃ ἁπλότητι ὁμολογῶ, κ̀ αἰτῶ τὴν μακαριότητα ὑμῶν, κ̀ πᾶσαν τὴν ἁγίαν ταύτην κ̀ ἱερὰν σύνοδον εὔχεσθαι ὑπὲρ ἐμȣ̃ τȣ̃ ἁμαρτωλȣ̃.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· τί πρὸς ταῦτα ἀποφαινόμεθα;

Οἱ ὁσιώτατοι ἐπίσκοποι Σικελίας εἴπον· ὃ ἐν τοῖς ἄλλοις γέγονε, γενέσθαι ⲥ̀ ἐπὶ τȣ́τοις.

Ἡ ἁγία σύνοδος εἶπε· γενέσθω ȣ̃τως.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· ἀλλὰ λόγος τις περιθρυλλεῖται, ὅτι ἐν τῷ καιρῷ τȣ̃ διωγμȣ̃ τινες τῶν ἐπισκόπων ἀφόρητον διωγμὸν ἐπήγαγον εὐσεβέσιν ἀνδράσιν· οἷς λόγοις ἐπιφερομένοις ȣ̀ σφόδρα πιςεύομεν χωρὶς ἀποδείξεως, γνωρίζει δὲ πᾶσα ἡ ἁγία σύνοδος

δος αὕτη, ὅτι ὁ κανὼν τῶν ἁγίων ἀποστόλων ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον τύπτοντα πιστὸς ἁμαρτάνοντας, ἢ ἀπίστους ἀδικήσαντας, καὶ διὰ τῶν τοιούτων φοβεῖν ἐθέλοντα, καθαιρεῖσθαι προστάσσει.

Ἡ ἁγία σύνοδος εἶπεν. οὕτως διαγορεύουσι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. καὶ εἰ τοῦτο οὕτως ἐστὶ, τί δοκεῖ ὑμῖν;

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Κατάνης εἶπε. κατὰ τοὺς ἱεροὺς κανόνας τῆς καθολικῆς ἐκκλησίας, οὕτως ὁρίζει ἡ ἁγία σύνοδος αὕτη.

Ὁ ἁγιώτατος πατριάρχης Ταράσιος εἶπεν. εἰ ἐπηνέγκεν ἐπίσκοπος οἱασδήποτε πληγὰς καὶ βασάνους ἀνδράσι φοβουμένοις τὸν κύριον, τοῖς τότε διωκομένοις, οὐκ ἔστιν ἄξιος ἐπισκοπῆς.

Ἡ ἁγία σύνοδος εἶπεν. οὐκ ἔστιν ἄξιος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἐπεὶ καὶ ὡς διώκτης αἰκισμοὺς ἐπήγαγεν.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Κατάνης, καὶ οἱ μετ' αὐτοῦ θεοφιλέστατοι ἐπίσκοποι Σικελίας εἶπον. ἡ τετάρτη σύνοδος εὐθέως προκαθεσθεῖσα ἐν πρώτοις ἐξεβόησε. τὸν Διόσκορον ἔξω βάλλε, τὸν φονέα ἔξω βάλλε. διότι εἰς τὴν λῃστρικὴν σύνοδον χεῖρας ἐπέβαλεν ἐπὶ ἀθῴους ἄνδρας.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τὸν τόπον ἐπέχων τῆς ἀνατολικῆς διοικήσεως εἶπεν. ἐκ πνεύματος ἁγίου ἐμπνευσθεῖσα ἡ ἁγία σύνοδος τὸν ὁρισμὸν τοῦτον ἐξέθετο.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. καθὼς καὶ προείπομεν, λόγοις περιφερομένοις οὐ πιστεύομεν.

Ἡ ἁγία σύνοδος εἶπεν. ἐν καιρῷ ἰδίῳ εἴτις περὶ τούτου ἔχει ἔγκλησιν, ἐγκαλείτω παρὰ τῇ ἁγίᾳ συνόδῳ ταύτῃ, ἢ καὶ τῇ ὑμῶν ἁγιωσύνῃ. καὶ ἀποδεικνυμένης τῆς ἀληθείας, ὡς ὡρίσθη παρὰ τῇ ἁγίᾳ συνόδῳ ταύτῃ, ἐπεξέλευσις γινέσθω.

Γρηγόριος ὁ θεοφιλέστατος ἐπίσκοπος Νεοκαισαρείας εἶπεν. οὐ μὴ ἄνθρωπος κατηγορήσῃ μου, ὅτι ἔτυψα ἢ ἔδειρά τινα.

Ἡ ἁγία σύνοδος εἶπεν. ἐν τούτοις καὶ ἡμεῖς χαίρομεν.

Γρηγόριος ὁ θεοφιλέστατος ἐπίσκοπος Νεοκαισαρείας εἶπεν. οὐδὲ ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, οὐδὲ ἐν τῇ χώρᾳ τῇ ἐμῇ ἄνθρωπος ἐξ ἐμοῦ ἄμυναν ἔπαθεν,

Ἡ ἁγία σύνοδος εἶπεν. εἰ τοῦτό ἐστι, δεχέσθω εἰς τὸν τόπον αὐτοῦ.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος τῶν Στουδίων εἶπεν. ἔξαρχον τῆς αἱρέσεως αὐτὸν ὡμολόγησαν οἱ ἀρχιερεῖς εἶναι, καὶ ὡς κελεύετε. ἐπειδὴ ὁ ἅγιος πατὴρ ἡμῶν Ἀθανάσιος πρὸς Ῥουφινιανὸν λέγει. ὅτι οἱ ἐξάρχοντες τῆς αἱρέσεως ἀρκείσθωσαν εἰς μετάνοιαν δεχθῆναι μόνον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. ἀλλ' εἶπεν, ὅτι οὐκ ἔδειρεν, οὐδὲ ἐδίωξεν.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν. Ἰουβενάλιος καὶ οἱ περὶ αὐτὸν ἔξαρχοι τῆς λῃστρικῆς συνόδου ἦσαν, ἀλλ' ἐν τῇ τετάρτῃ συνόδῳ ἐδέχθησαν.

Ἰωάννης ὁ μεγαλοπρεπέστατος λογοθέτης εἶπεν. ἀρκεῖ τῇ συνόδῳ ὑμῶν τῇ θεόθεν συναθροισθείσῃ, ὅτι Γρηγόριος ὁ Νεοκαισαρείας, καὶ ἔξαρχος τῆς παρελθούσης ἀσεβοῦς συνόδου, ἐφυλάχθη μέχρι τῆς σήμερον, τοῦ τὴν ἰδίαν αἵρεσιν καὶ διδασκαλίαν κατακρῖναι.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τὸν τόπον ἐπέχων τῆς ἀνατολικῆς διοικήσεως εἶπε. χάριν ὁμολογοῦμεν τῷ Θεῷ, ὅτι ὑπελείφθησαν ἄνδρες ἐκ τῆς κακοσυλλέκτου συνόδου, ἐλέγχοντες καὶ καταστρέφοντες τὰ παρ' αὐτῶν κακῶς πραχθέντα, καὶ τὴν ἰδίαν αἰσχύνην στηλιτεύοντες.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἴσμεν πάντες τὸν Ἰουβενάλιον πατριάρχην γεγονότα Ἱεροσολύμων. καὶ κατὰ τὴν ἀξίαν αὐτοῦ πάντως ἔξαρχος τῆς συνόδου ἐγένετο. καὶ οὗτος μετὰ τὴν παρανομίαν αὐτοῦ μετανοήσας ἐδέχθη.

Ἐπιφάνιος ὁ εὐλαβέστατος διάκονος τῆς ἐκκλησίας Κατάνης, καὶ τὸν τόπον ἐπέχων Θωμᾶ ἐπισκόπου Σαρδινίας εἶπεν. ἀλλ' οὐδένα ἐδίωξεν Ἰουβενάλιος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. καὶ οὗτος ἀπεκρίθη, ὅτι οὐδένα ἐδίωξεν.

Εὐστάθιος οὖν ὁ Σεβαστείας ἔξαρχος ἦν τῆς αἱρέσεως τῶν Μακεδονιανῶν. ἀλλὰ μετὰ λιβέλλου ὁ ἅγιος Βασίλειος καὶ πατὴρ ἡμῶν προσεδέξατο αὐτόν.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον. ἀληθές. ἀλλὰ διότι σιωπῶν ἔμεινεν Ἰουβενάλιος, τούτου ἕνεκεν ἀπεκρίθημεν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. ἐπαινοῦμεν ὑμᾶς ὡς ζηλωτὰς τῶν κανονικῶν καὶ εὐαγγελικῶν διατάξεων.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος τῶν Στουδίων εἶπε. φυλάξαι ὁ Θεὸς τοὺς δεσπότας ἡμῶν τοὺς ἀγαθοὺς τοὺς καταξιώσαντας γενέσθαι καὶ συναθροισθῆναι ταύτην τὴν ἁγίαν σύνοδον πρὸς ἕνωσιν τῆς ἐκκλησίας καὶ ὁμόνοιαν.

Ἡ ἁγία σύνοδος εἶπε. εὐχαριστία τῷ Θεῷ καὶ αἶνος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. προλαβοῦσα ἡ ἁγία σύνοδος αὕτη ἀπεφήνατο, ὅτι τοὺς προσερχομένους ἐκ τῆς αἱρέσεως, ἀκολουθοῦσα τοῖς ἁγίοις πατράσιν ἡμῶν, προσδέχεσθαι χρὴ, ἐὰν ἑτέρα αἰτία οὐκ ἐκβάλλῃ τοὺς τοιούτους ἐκ τῆς ἱερατικῆς τάξεως. τὸ αὐτὸ οὖν καὶ πάλιν λέγομεν.

Ἡ ἁγία σύνοδος εἶπε. πάντες τὸ αὐτὸ λέγομεν.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ μονα-

ναχὸς, καὶ τὸν τόπον ἐπέχων τῆς ἀνατολικῆς διοικήσεως, εἶπε· τὰ καλὰ διαφόρως λεγόμενα, ὅσια καὶ ὠφέλιμα.

Πέτρος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, καὶ Ἰωάννης, καὶ Θωμᾶς οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τοποτηρηταὶ τῆς ἀνατολικῆς διοικήσεως εἶπον· ἀπολαβέτωσαν τοὺς θρόνους αὐτῆς.

Ἡ ἁγία σύνοδος εἶπεν· τὸ αὐτὸ λέγομεν, καὶ συντιθέμεθα πάντες.

Καὶ ἀνῆλθον εἰς τὰς ἁρμοζούσας αὐτοῖς καθέδρας οἱ εὐλαβέστατοι ἐπίσκοποι, ὅ, τε Νικαίας, καὶ ὁ Νεοκαισαρείας, ὁ τῆς Ῥόδου, καὶ ὁ τοῦ Ἰκονίου, ὁ Ἱεραπόλεως, καὶ ὁ Πισινοῦντος, καὶ ὁ Καρπάθου.

Ἡ ἁγία σύνοδος εἶπεν· ὁ Θεὸς καλῶς ἤγαγε τοὺς ὀρθοδόξους.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἐπειδὴ ἐν τῇ προτέρᾳ καθέδρᾳ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου πανευσεβῆ σάκραν τῆς θεοστέπτων ἡμῶν βασιλέων κατηξιώθημεν διὰ βασιλικοῦ ἀσηκρῆτις δεξασθαι· ἐνεφέρετο δὲ ἐν τῇ αὐτῇ σάκρᾳ, ὡς γράμματα ἀπὸ τοῦ τῆς πρεσβυτέρας Ῥώμης προέδρου ἐπέμφθησαν πρὸς τὸ αὐτῆς γαληνότατον κράτος, καὶ δύο τετράδια πρὸς τὸν ἁγιώτατον πατριάρχην ἀπὸ τῆς ἀνατολικῶν ἀρχιερέων· καὶ τῆς μὲν γραμμάτων τοῦ πάπα Ῥώμης ἠκούσαμεν, καὶ τὰ ἐν αὐτοῖς ἐμφερόμενα ἔγνωμεν. ἀξιοῦμεν οὖν τὴν ὑμετέραν εὐκλειαν, ὑπερφυέστατοι πατρίκιοι, ὅπως τὰ ἐκ τῆς ἀνατολῆς πεμφθέντα ἀναγνωσθῶσι τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, ἵνα γνῶμεν, εἰ τὰ αὐτὰ φρονοῦσι, καὶ τὰ αὐτὰ δοξάζουσιν ὅ, τε τῆς πρεσβυτέρας Ῥώμης πάπας, καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης Ταράσιος, ὁ καὶ προκαθεζόμενος τῆς βασιλίδος πόλεως, τοῖς τῆς ἀνατολῆς ἐπισκόποις.

Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· γενέσθω κατὰ τὴν αἴτησιν ὑμῶν.

Ἰωάννης καὶ Θωμᾶς οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες τῆς ἀνατολικῶν πατριαρχῶν, εἶπον· εἰ δοκεῖ ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, τὰ γράμματα τοῦ ἁγιωτάτου πατριάρχου Ταρασίου, τὰ σταλέντα πρὸς τοὺς ἁγιωτάτους ἀρχιερεῖς τῆς ἑῴας, ἀξιοῦμεν πρότερον ἀναγνωσθῆναι, καὶ εἶθ' οὕτως τὰ ἀντίγραφα αὐτῆς.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτωσαν.

Καὶ ἀνέγνω Στέφανος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχικοῦ σεκρέτου.

Ἴσον γράμμασιν ἀποσταλεῖσι πρὸς τοὺς ἀρχιερεῖς καὶ ἱερεῖς Ἀντιοχείας, καὶ Ἀλεξανδρείας, καὶ τῆς ἁγίας πόλεως, παρὰ Ταρασίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ πατριάρχου Κωνσταντινουπόλεως.

Πολλαῖς καὶ μεγάλαις προνοίαις κύριος ὁ Θεὸς τοὺς τῆς ἀνθρώπων βίους διευθύνων τε καὶ διεξάγων, καὶ τὴν ἔκβασιν τῆς ἑκάστου ζωῆς κηδεμονικῶς ὁδηγῶν· χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδὲν, ὅτι καὶ αἱ τρίχες τῆς κεφαλῆς ἡμῶν ἠριθμημέναι εἰσὶν αὐτῷ· κἀμὲ ἐν τῷ τῆς λαϊκῶν τάγματι ἕως τοῦ νῦν ἠριθμημένον, καὶ ταῖς βασιλικαῖς ὑπηρεσίαις ἐντεταγμένον, οὐκ οἶδα οἷς κρίμασιν αὐτὸς γινώσκει· εἰς θῶκον ἀρχιερατικὸν ἀνεβίβασε, προτροπῆς βιαίας παρὰ τῆς τῆς ἀληθείας προμάχων εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων ἡμῶν, καὶ ἁγιωτάτων ἐπισκόπων τε καὶ κληρικῶν, εἰς ἐμὲ γενομένης. διὸ ἀναγκαστικῶς ὑποκύψας ὑπένευσα, καὶ τὸν τῆς ὑπακοῆς καρπὸν δρέψασθαι τούτοις ἀπέδωκα. καὶ παρακαλῶ τοὺς πανιέρους ὑμᾶς, ὡς μὴ πατέρας μικροψυχοῦντα βακτηρία δυνάμεως, ταῖς πατρικαῖς ὑμῶν διδασκαλίαις ὑποστηρίξαι· ὡς δὲ ἀδελφοὺς ταῖς καθαραῖς ὑμῶν εὐχαῖς βοηθεῖν ἡμῖν, τῇ τοῦ Θεοῦ πανοπλίᾳ πρὸς τὰς μεθοδείας τοῦ ἀντικειμένου, καὶ κύμασιν ἀλλεπαλλήλοις ἐνθαλαττεύοντά με διακυβερνηθῆναι, ὅπως καθορμίσαιμι ἐπὶ λιμένα θελήματος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ἔστι γάρ ἐστιν ὄντως ἐν τοῖς καθ' ἡμᾶς πόλεμός τις ἀσίδηρος, λόγοι βάλλοντές τε καὶ βαλλόμενοι. ἀλλὰ τρόπαιον νικητήριον ἔχομεν τὴν μὴ νικωμένην ἀλήθειαν. εἶτά τε καὶ καταιγίδων σφοδρῶν εἰσπνεουσῶν συνασπιστὰς ὑμᾶς λαβόμενοι, τὴν τούτων μικρὸν ὑπενέγκαντες ζάλην, εὑρήσομεν αὐταῖς Χριστὸν ἐπιτιμῶντα, καὶ γαληνίως τὸν βίον ἡμῖν ὑπεξάγοντα. καὶ τούτων μὲν ἀρκούντως ἐν προοιμίοις ἡμῖν εἰρημένων, ἐν τοῖς ἑξῆς σαφῶς ἡ ἀκριβὴς περὶ αὐτῆς γνῶσις διαγγελθήσεται. νῦν δὲ ἐφ' ἕτερον σκόπον λέξεων ἔρχομαι. ἐπειδὴ γὰρ ἀρχαία τις, τἀληθὲς δὲ φράσαι, ἀποστολικὴ παράδοσις ἐν πάσαις ταῖς ἐκκλησίαις διῆκε, τοὺς πρὸς ἱεραρχίαν ἀγομένους τοῖς πρὸ αὐτῆς τὰς ἱεραρχίας ἐγχειρίζουσιν, ὡς ἂν ἔχοι τὰ τῆς αὐτῆς πίστεως, ἀνατίθεσθαι· ἔδοξε κἀμοὶ τούτοις ἑπομένῳ ὑποκλῖναι ἐμαυτὸν ὑμῖν, καὶ ἀριδήλως τὴν κατ' ἐμὲ ὁμολογίαν ἐξαγορεῦσαι, καθὼς ὑπὸ τῆς σαλπίγγων τοῦ πνεύματος· ὧν ὁ φθόγγος εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα. καὶ παρὰ τῆς αὐτῆς θρεμμάτων τε καὶ προβλημάτων θείων πατέρων ἡμῶν ἐξ ἁπαλῶν ὀνύχων ἀνατραφεὶς μεμάθηκα.

Ἰωάν. 2.

Ματθ. 10

1. Ἔσδρ. 4

Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ

καὶ

καὶ θεὸν ἡμῶν, γεννηθέντα ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀϊδίως· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιοῦν, τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν ὄντε καὶ γνωριζόμενον· τριάδα ὁμούσιον, ὁμότιμόν τε καὶ ὁμόθρονον, ἀΐδιον, ἄκτιστον, τῶν πάντων κτισμάτων δημιουργόν· μίαν ἀρχὴν, μίαν θεότητα καὶ κυριότητα, μίαν βασιλείαν καὶ δύναμιν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἀδιαιρέτως διαιρουμένην, καὶ ἡνωμένην διαιρετῶς· μὴ ἐξ ἀτελῶν τριῶν ἕν τι τέλειον, ἀλλ' ἐκ τριῶν τελείων ἓν ὑπερτελὲς καὶ προτέλειον, ὡς ὁ μέγας ἔφη Διονύσιος· ὥστε κατὰ μὲν τὴν ἰδιότητα τῶν προσώπων τρία τὰ προκυνούμενα, κατὰ δὲ τὸ κοινὸν τῆς φύσεως εἷς Θεὸς πάντων ποιητὴς ὁρατῶν τε καὶ ἀοράτων, πάντων προνοητής. ὁμολογῶ δὲ καὶ τὴν διὰ τὴν ἡμετέραν σωτηρίαν ἐπ' ἐσχάτων τῶν ἡμερῶν κατὰ σάρκα γένησιν τοῦ ἑνὸς τῆς ἁγίας τριάδος τοῦ υἱοῦ τοῦ Θεοῦ, κυρίου, δὲ ἡμῶν Ιησοῦ Χριστοῦ καὶ Θεοῦ, ἐκ τῆς ἀληθῶς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· οὐσιωθέντος μὲν ἡμῖν ὁλικῶς χωρὶς ἁμαρτίας, μὴ ἐκστάντος δὲ οὗπερ ἦν, καὶ ὡς τῶν δύο φύσεων ἀσυγχύτων μεμενηκυιῶν μετὰ καὶ τῶν ἐν αὐταῖς δύο θελημάτων τε καὶ ἐνεργειῶν· σταυρωθέντος τε ὑπὲρ ἡμῶν σαρκὶ. καὶ ταφέντος, καὶ ἀναστάντος, εἰς οὐρανούς τε ἀνεληλυθότος, καὶ ἥξοντος κρῖναι ζῶντας καὶ νεκρούς. ἐπὶ τούτοις δὲ προσδοκῶ ἀνάστασιν νεκρῶν, καὶ ἑκάστου τῶν πραχθέντων αἰωνίαν ἀντίδοσιν ἀγαθῶν τε καὶ τῶν ἐναντίων. ἐξαιτοῦμαι δὲ καὶ τὰς πρεσβείας τῆς τε παναγίας ἀχράντου καὶ ἀειπαρθένου Μαρίας, τῶν τε ἁγίων ἀγγέλων, καὶ τῶν ἁγίων ἐνδόξων ἀποστόλων, προφητῶν, μαρτύρων, ὁμολογητῶν τε καὶ διδασκάλων. καὶ ἀσπάζομαι τὰς σεπτὰς αὐτῶν εἰκόνας. καὶ πᾶσαν αἱρετικὴν ἐρεσχελίαν βδελύσσομαι καὶ τοὺς αὐτῶν ἡγήτορας τε καὶ προβολέας, λέγω δὴ Σίμωνα, Μαρκίωνα, Μάνεντα, Παῦλόν τε τὸν Σαμοσατέα, καὶ Σαβέλλιον τὸν Λίβυν, καὶ τὰ αὐτῶν ἐναγῆ δόγματα. ἀποδέχομαι δὲ καὶ καὶ τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους, καὶ τὰ αὐτῶν θεῖα δόγματά τε καὶ διδάγματα, ὡς θείᾳ ἐμπνεύσει ἡμῖν παραδοθέντα. καὶ τῆς μὲν πρώτης ὁμούσιον καὶ συνάναρχον εἶναι κηρυττούσης τῷ πατρὶ τὸν υἱὸν, ἀναθεματίζω τὸν δυσσεβῆ Αρειον, Αέτιον, Εὐδόξιον, Δημόφιλον· μεθ' οὓς καὶ τοὺς ἐνδίκως λεγομένους Ανομοίους τε καὶ Ημιαρείους, καὶ πᾶσαν τὴν μεμιασμένην ὁμήγυριν αὐτῶν. τῆς δὲ δευτέρας Θεὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιοῦν, ἀποβάλλομαι Μακεδόνιον καὶ πάντας τοὺς ὁμόφρονας αὐτῷ σὺν τούτοις δὲ καὶ τὸν θεοστυγῆ Απολλινάριον, τὸν ἀνοήτως φρονήσαντα. τῆς δὲ τρίτης ἕνα τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἐκ τοῦ πατρὸς γεννηθέντα, αὐτόν τε ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τὸν ἀνθρωπολάτρην Νεστόριον καὶ τὴν ἀμφ' αὐτὸν ξυνωρίδα, φημὶ δὴ Διόδωρον, καὶ τοὺς τὴν αὐτῶν τερατομυθίαν πρεσβεύσαντας, ὡς νοήσαντας ἐπὶ Χριστοῦ τὴν προσωπικὴν δυάδα, πόρρω τῆς ἐμῆς ὁμολογίας ἐκδιώκω. τῆς δὲ τετάρτης ἐκ δύο φύσεων εἶναι τὸν ἕνα τῆς ἁγίας τριάδος Χριστὸν τὸν Θεὸν ἡμῶν σαρκὶ ἐπιδημήσαντα, ἀναθεματίζω Εὐτυχέα, Διόσκορον, καὶ πᾶσαν τὴν ἀκέφαλον αὐτῶν πληθὺν, μετὰ καὶ Σεβήρου τοῦ θεηλάτου, καὶ τοῦ ἀθεμίτου Ιουλιανοῦ τοῦ Αλικαρνασσέως, τοῦ μυθευσαμένου ἄφθαρτον σῶμα τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν ἀναλαβέσθαι. τῆς δὲ πέμπτης, ὡς ἡ τοῦ πνεύματος μάχαιρα τὰς ἐξ ἄνωθεν τῶν χρόνων ἐπιπολαζούσας ἀθέσμους αἱρέσεις ἐξέτεμε, καὶ τοὺς ἐφευρετὰς αὐτῶν ἐθριάμβευσεν, Ωριγένην, Δίδυμόν τε καὶ Εὐάγριον, κἀγὼ ἐξωθοῦμαι ὡς αἱρετικῶν * τερετισμάτων μυθεύματα. τῆς δὲ ἕκτης, ὥσπερ ἐκ δύο φύσεων τὸν Χριστὸν ἐξ ὧν ἐστιν, οὕτως καὶ τὰς δύο φυσικὰς θελήσεις τε καὶ ἐνεργείας ἐν ἑκατέρᾳ φύσει πεπίστευκα, ἀνθρωπίνῃ τε καὶ θεϊκῇ· καὶ ὑποβάλλω τῷ ἀναθέματι Κῦρον, Σέργιον, Ονώριον, Πύῤῥον, Παῦλον, καὶ πάντας τοὺς ὁμοδόξους αὐτοῖς, καὶ τὰ αὐτῶν δόγματα ὡς Σοδομίνην ἄμπελον καὶ Γομοῤῥηνὴν κληματίδα ἔχουσαν βότρυν πικρίας μεμίσηκα. τῆς δὲ αὐτῆς ἁγίας ἕκτης συνόδου, μετὰ πάντων τῶν ἐν θέσμως καὶ θειωδῶς ἐκφωνηθέντων δογμάτων παρ' αὐτῆς καὶ τοὺς ἐκδοθέντας κανόνας ἀποδέχομαι, ἐν οἷς ἐμφέρεται· ἔν τισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα, τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμώμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν οὖν τὸ τέλειον καὶ ἐν ταῖς χρωματουργίαις ἐν ταῖς πάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν κατὰ τὸν ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν· δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. τὰ δὲ περιττὰ θρυλλήματά τε καὶ βατταρίσματα μετὰ ταῦτα ἀβούλως ἐκφωνηθέντα, ὡς παρ' ὑμῖν μὴ ἀποδεχθέντα, μηδὲ κατὰ θείαν χάριν λαληθέντα, ἀβέβαια ἡγοῦμαι· καὶ χαίρειν τούτοις εἰπόντες, καὶ ἐκ ποδὼν ποιησάμενοι, διαζωννύμεθα τὰς ὀσφύας ἡμῶν τῆς διανοίας ἐν ἀληθείᾳ, καὶ διανιστάμεθα ἅμα τοῖς εὐσεβέσι προμάχοις τῆς ἀληθείας πιστοῖς βασιλεῦσιν ἡμῶν πρὸς ἕνωσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας· οὓς καὶ σύνοδον γενέσθαι οἰκουμενικὴν ᾐτησάμεθα ἐπὶ παρουσίᾳ παντὸς τοῦ φιλοχρίστου αὐτῶν λαοῦ· καὶ

τῇ

* ἄλ. τερατεν-μάτων

τῆς ἐν τρύλλῳ κανών 82

τῇ ἡμετέρᾳ αἰτήσει εὐσεβῶς ἐπένευσαν. ὅθεν ὑμᾶς τοὺς ἐποικοδομηθέντας ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, καθὼς ἐν τοῖς πρόσθεν εἴρηται, συμμάχους καὶ συνοπαδοὺς καὶ συνασπιστὰς λαβόμενοι, πεποίθησιν τοιαύτην ἔχομεν πρὸς τὸν Θεόν· οὐχ ὅτι ἱκανοί
2. Κορίν. 3. ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ ἐστιν· ὅτι τὰ διεῤῥωγότα μέλη καὶ ἀποσχισθέντα εἰς ἓν σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον τὴν αὔξησιν ποιήσεται, ἐν οἷς κεφαλή ἐστιν ὁ Χριστός· καὶ μηκέτι εἴη διεσκορπισμένα. καὶ λοιπὸν αἰτοῦμαι τὴν ὑμετέραν ἁγιότητα, ἕως τῶν δύο τοποτηρητῶν ἀποστεῖλαι μετὰ θεηγόρου γραμματίου ὑμῶν, καὶ εἴ τί ἐστιν ὑμῖν ἐκ τοῦ Θεοῦ ἐνηχούμενον περὶ τῆς ὑποθέσεως ταύτης, φανερώσατε ἡμῖν. ὡς ὀφειλόντων καὶ τῶν τοποτηρητῶν ὑμῶν, καὶ τῶν γραμμάτων ὑμῶν συνοδικῶς ἐπὶ πᾶσι, τῶν μὲν λαλῆσαι, τῶν δὲ ἀναγνωσθῆναι, ὅπως ἑνωθῇ τὰ διεσχισμένα. αὐτὸ γὰρ τοῦτο καὶ παρὰ τοῦ προέδρου τῆς πρεσβυτέρας Ῥώμης ᾐτησάμεθα. καὶ παρακαλῶ ὑμᾶς ἀδελφικῶς τὴν ἀποστολικὴν ὑμῖν προσφθεγγόμενος φωνὴν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ὑμῶν, πάντα ἐρευνῶντες κατὰ τὸν
Μαλαχ. 2. ἔνθεον σκοπὸν ὑμῶν, φανερώσατε ἡμῖν. γέγραπται γάρ· χείλη ἱερέων φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτῶν· πεπείσμεθα γὰρ, ὅτι τὰ σπέρματα τῆς ἀληθείας ἐν ἑαυτοῖς διασώζετε. καὶ οἱ εὐσεβεῖς δὲ ἡμῶν βασιλεῖς καὶ κατὰ πάντα ὀρθόδοξοι τῆς ἀληθείας βεβαίωσιν ἐπισπῶνται καὶ κύριον τὸν Θεὸν ἱκετεύουσι κατὰ τὸν τῆς θεολογίας ἐπώνυμον Γρηγόριον, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς Θεοῦ ἓν, καὶ οἱ τῆς τριάδος, ἡνωμένοι καὶ ὁμότιμοι καὶ ὁμόψυχοι· οἱ τοῦ ἁγίου πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις. οἱ τῆς ἀληθείας τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, καὶ μὴ εἴη ἔρις καὶ διχοστασία ἐν ἡμῖν· ἀλλ' ὥσπερ ἔχομεν ἓν βάπτισμα, μίαν πίστιν, οὕτως καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς ἐκκλησιαστικοῦ πράγματος. καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, εἰς ἓν συναγάγοι ἡμᾶς, καὶ τὰ διῃρημένα ἑνώσειε, καὶ τὸ χρόνιον ἕλκος ἰάσαιτο, καὶ ἐν εὐρωστίᾳ πίστεως ἀκραιφνοῦς καὶ ἀληθοῦς ὁμολογίας καὶ συμφωνίας στηρίξειε πάντας, καὶ φρουρήσειε τὴν ἁγίαν αὐτοῦ ἐκκλησίαν, καὶ παύσειε τὰ κατ' αὐτῆς ἐπικείμενα σκάνδαλα. πρεσβείαις τῆς ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ πάντων τῶν ἁγίων γένοιτο. ἀμήν.

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες τοῦ μακαριωτάτου πάπα Ἀδριανοῦ τῆς πρεσβυτέρας Ῥώμης, εἶπον· τοιαῦτα γράμματα δεξάμενος καὶ ὁ ἁγιώτατος ἡμῶν πάπας τούτου ἕνεκεν ἀπέστειλεν ἡμᾶς μετὰ τῶν ἀντιγράφων τῶν ἤδη ἀναγνωσθέντων.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος, καὶ τὸν τόπον ἐπέχων τῶν ἀνατολικῶν ἀρχιερέων, εἶπεν. ταῦτα τὰ ἱερὰ γράμματα. καὶ ἡ εὐσέβεια τῆς βασιλείας παρεσκεύασιν ἡμᾶς τοῦ παραγενέσθαι ἐνταῦθα, καὶ διαφυγεῖν τῶν παρανόμων ἐκείνων καὶ ἐχθρῶν τῆς ἐκκλησίας τὰς χεῖρας.

Ἡ ἁγία σύνοδος εἶπεν· ὁ Θεὸς καλῶς ὑμᾶς ἤνεγκεν.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος εἶπεν· ἐπὶ χεῖρας ἔχω τὰς μνημονευθείσας τετράδας τὰς ἀποσταλείσας ἐκ τῆς ἀνατολῆς. καὶ εἰ κελεύετε, ἀναγνώσομαι.

Τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ κυρίῳ καὶ δεσπότῃ Ταρασίῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, καὶ οἰκουμενικῷ πατριάρχῃ, οἱ τῆς ἑῴας ἀρχιερεῖς ἐν κυρίῳ χαίρειν.

ΤΟΪΣ πανιέροις καὶ ἐκ θείας ἐπιπνοίας ὑπαγορευθεῖσι λιβέλλοις τῆς ὑμετέρας ἐντετυχηκότες ἀποστολικῆς τε καὶ πατρικῆς ἁγιωσύνης, μακαριώτατοι, ἡμεῖς οἱ ταπεινοὶ, καὶ τῶν τὴν ἔρημον παροικεῖν ἐφιεμένων ἔσχατοι, τρόμῳ καὶ χαρᾷ συνεσχέθημεν· τρόμῳ μὲν, διὰ τὸν φόβον τῶν οἷς δουλεύειν διὰ τὰς ἁμαρτίας ἡμῶν κατεκρίθημεν, τῶν ὄντως ἀσεβῶν, καὶ κύκλῳ κατὰ τὸ γεγραμμένον περιπατούντων, καὶ προφάσεις καθ' ἑκάστην, ὡς ἔπος εἰπεῖν, ἡμέραν ἐπιζητούντων τοῦ θανατῶσαι καὶ Ψαλ. 11.
ἀπολέσαι ἡμᾶς· χαρᾷ δὲ, διὰ τὴν ἐκλάμπουσαν * ἐν ὑμῖν ἀκτίνων δίκην ἡλιακῶν τῆς ὀρθοδόξου πίστεως ἀκρίβειαν. καὶ τῶν ἀποστολικῶν * ἄλ. ἐν αὐτοῖς
τε καὶ πατρικῶν δογμάτων διαφανεστάτην ἐξάπλωσιν. περὶ ὧν εὐκαίρως τῆς τοῦ προφήτου Ζαχαρίου καὶ τῆς τοῦ λόγου φωνῆς γενήτορος εἰς μνήμην ᾠδῆς ἐληλυθότες, μεγαλοφώνως βοῶμεν· ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ παμφαὴς ἐξ ὕψους θεωρητικῆς τε καὶ θεοφρονεστά- Λουκ. 1.
της διανοίας, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου, κακοτρόπου πλάνης, ἤτοι Ἀραβικῆς δυσσεβείας, καθημένοις ἡμῖν, τοῦ κατευθῦναι τοὺς νοηματικοὺς ἡμῶν πόδας εἰς ὁδὸν καὶ τρίβους εἰρηνικῆς καταστάσεως. τὶς λαλήσει τὰς δυναστείας κυρίου; συμψαλλέτω Δαβὶδ ἡμῖν ὁ θεοπάτωρ· ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; ὅτι ἠλέησεν ὁ Θεὸς τὸν ἀπεγνωσμένον λαὸν Ψαλ. 105.
αὐτοῦ, καὶ τὰ διεστῶτα πρὸς μίαν συνῆψε πί- Λουκ. 1.
στεως ἁρμονίαν. ὅτι ἤγειρε κέρας σωτηρίας ἡμῖν καὶ ἀνορθώσεως ἐν οἴκῳ καὶ θεοδόχῳ ναῷ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, κυρίου δὲ καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οἵ τινές ἐστε ὑμεῖς ἁγιώτατοι, καὶ οἱ τὰ δεύτερα κατὰ θεσμὸν καὶ τάξιν ἐκκλησίας φέροντες ὑμῶν θεοστεφεῖς τροπαιοῦχοι καὶ θεοψήφιστοι βασιλεῖς ἡμῶν καὶ δεσπόται τῆς οἰκουμένης· ἱερωσύνη γὰρ βασιλείας ἁγιασμός ἐστι καὶ ἀναστοιχείωσις, καὶ βασιλεία ἱερωσύνης ἰσχὺς καὶ κραταίωμα. περὶ ὧν σοφός τις ἄναξ καὶ ἐν βασιλεῦσιν ἁγίοις ἔφη μακαριστότατος· μέγιστον δῶρον Θεὸς ἀνθρώποις παρέσχεν ἱερωσύνην καὶ βασιλείαν· τὴν μὲν τὰ οὐράνια κατακοσμοῦσαν καὶ διέπουσαν, τὴν δὲ

δὲ οἰακίζουσαν θεσμοῖς δικαίοις τὰ ἐπίγεια. νῦν ἀληθῶς τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται, καὶ συμφωνία κατάρχει διαφωνίας, καὶ ὑποκόπτει ἑνώσει διαίρεσις, καὶ φροῦδος κατέστη διάστασις· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φαιδρῶς πομπεύει τῷ προσώπῳ, καὶ παῤῥησιαστικῶς πολιτεύεται· νῦν οἱ γενηθέντες ἡμεῖς ὄνειδος τοῖς γείτοσι καὶ συνομόροις ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν, κἀκ τούτου πρὸς γῆν κεχηνότες, εἰς οὐρανοὺς ἐκθύμως συναναν εύομεν· καὶ ψαλμικῶς ἐν
Ψαλ. 40. ἀγαλλιάσει ἀνακράζομεν· ἐν τούτῳ ἔγνων, ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί· κἀμοῦ δὲ διὰ τὴν ἀκακίαν καὶ ἁπλότητα πλάνῃ περιτραπέντος ἀντελάβου, καὶ διασώσας με ἀνέστησας, καὶ ἐπὶ τὴν πέτραν τῆς ἀποστολικῆς πίστεως τοὺς χωλάναντάς μου πόδας κατέπηξας. ταῦτα καὶ τὰ τούτοις γράφειν ἡμᾶς συνῳδὰ παρεσκεύασαν αἱ θεοχάρακτοι δέλτοι ὑμῶν, ἃς κανονικῷ κινούμενοι νόμῳ, καὶ πατροπαραδότῳ εὐταξίᾳ ποδυγούμενοι, τοῖς τοὺς ἀποστολικοὺς θρόνους διέπειν λαχοῦσι διὰ ξυνωρίδος ἁγίας καὶ εὐλαβοῦς καὶ θεοδηγήτου πεπόμφατε· οἵ τινες ἀφικόμενοι, καὶ κατὰ Θεοῦ βούλησίν τε καὶ ἐπίνευσιν ὑπηντηκότες τοῖς εὐσεβεστάτοις ἀδελφοῖς ἡμῶν ἀνδράσιν ἁγίοις καὶ δεδωκόσι τὰ ψυχὰς αὐτῶν ὑπὲρ τῆς τῶν ἐκκλησιῶν διορθώσεως, ἀναγνωρισθέντες ἐκ παλαιᾶς καὶ ἀρχαίας ἀναστροφῆς, λίαν ἐχάρησαν· καὶ μάλιστα εὑρηκότες ἄμφω ἐν ἑνὶ διατρίβοντας τόπῳ, καὶ τὸν θεοφιλῆ τρόπον διώκοντας. καὶ ἀνακαλύψαντες ἑαυτοὺς, ὑπέδειξαν αὐτοῖς τοὺς τῆς ὀρθοδοξίας ὑμῶν θεοπρεπεῖς καὶ ἀξιαγάστους λιβέλλους, διηγησάμενοι κατ' ἔπος τῆς θεαρέστου γνώμης τῆς σῆς ἁγιότητος, καὶ τῶν θεοφυλάκτων δεσποτῶν ἡμῶν τὴν εὐβουλίαν, καὶ τῆς κοινῆς τῶν ὅλων σωτηρίας τὴν προσδοκίαν, καὶ πρὸς θεὸν ἀκαταίσχυντον ἐλπίδα. οἱ δὲ ὥσπερ μίαν ψυχὴν ἐν δυσὶ σώμασιν ἔχοντες, καὶ τὸ ἓν ἀποστολικῶς φρονοῦντες, καὶ ὑπὸ τοῦ θείου κινούμενοι πνεύματος, μυστικῶς ἅμα καὶ συνετῶς τοὺς ἀδελφοὺς περιστείλαντές τε καὶ κατακρύψντες διὰ τὸ περιστοιχοῦν δέος τῶν ἐχθρῶν τοῦ σταυροῦ, οὐ κατεθάῤῥησαν, καίπερ σοφοὶ ὄντες, ἢ καταπιστεῦσαι τῆς σφῶν αὐτῶν θεωρίας, ἢ τῆς ὑποθέσεως ἐνεργῆσαι τὴν διέξοδον, δεδεημένης καὶ μάλιστα διεσμιλευμένης καὶ πεπυκνωμένης βουλῆς τε καὶ σκέψεως. βουλὴ
Παροι. 2. γὰρ, φησὶ, καλὴ φυλάξει σε. ἔννοια δὲ ἀγαθὴ τηρήσει σε· καὶ δὴ λαθόντες οὓς ἐν ἀσφαλείᾳ παραφυλακῆς ἀπέθεντο, ἔδραμον ὡς ἡμᾶς, καὶ ἐπὶ τὸ αὐτὸ ἠθροικότες ἀψοφητὶ τὴν ἡμετέραν ταπείνωσιν, πρῶτον μὲν κατακρίσει φρικωδεστάτῃ συνδήσαντες ἡμᾶς, φυλάξαι ἀνεξαγόρευτα τὰ πρὸς αὐτῶν λεχθησόμενα, καὶ τοῦτον τὸν τρόπον ἑαυτοῖς ἐπισεσωρεύκοτες τὸ ἀσφαλὲς, ἀπεκάλυψαν ἡμῖν πᾶσαν τὴν περιπέτειαν. καταπλαγέντες δὲ καὶ κατανυγέντες τὴν καρδίαν, δάκρυσί τε συσχεθέντες θερμοῖς ἐπὶ τῷ τοιούτῳ τῆς διηγήσεως θαύματι, καὶ τῷ παραδόξῳ τῆς τοιαύτης μεταβολῆς, ἔστημεν εἰς προσευχὴν ὡς ἁμαρτωλοὶ μετὰ φόβου καὶ τρόμου. καὶ τῷ ποιοῦντι πάντα καὶ μετασκευάζοντι πρὸς τὸ βέλτιον προσαγηοχότες τὴν πρέπουσαν αἴνεσιν, ᾐτησάμεθα τὴν αὐτοῦ ἐκτενῶς ἀγαθότητα τῶν ἐλαχίστων ἡμῶν γενέσθαι ἐν μέσῳ, καὶ διὰ πνεύματος ἁγίου ἐπιλάμψαι φῶς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν, καὶ κοινωφελοῦς βουλῆς χαρίσασθαι δύναμιν, καὶ ἐννοίας ἀγαθὰς πρὸς περαίωσιν τῆς ἀρίστης ὑμῶν προθέσεως. ὃ δὴ καὶ ἐποίησεν ἀγαθὸς ὢν καὶ φιλάνθρωπος. συνείδομεν τοιγαροῦν ἁγιώτατοι, τοῦ μιαροῦ γινώσκοντες ἔθνους τὴν ὡς ἡμᾶς ἀπέχθειαν, ἐπιχεῖν τοὺς ἀποσταλέντας, καὶ κωλύσαι προσεγγίσαι τοῖς πρὸς οὓς ἀπεστάλησαν, ἀγαγόντες αὐτοὺς μέσον ἡμῶν, καὶ νουθετήσαντες πλεῖστα μὴ ἐπαγαγεῖν τάραχον, μᾶλλον δὲ εἰπεῖν ὄλεθρον οἰκειότερον ἠρεμούσαις καὶ Θεοῦ χάριτι εἰρηνευούσαις ἐκκλησίαις, καὶ λαῷ ταλαιπωροῦντι δουλείας ζυγῷ, καὶ δυσεκτίτων φόρων πιεζομένῳ ἐπαγωγῇ· οἱ δὲ δυσαναχετοῦντες ἔλεγον, ὡς εἰς τοῦτο ἀπεστάλλημεν, παραδοῦναι τὰς ἑαυτῶν εἰς θάνατον ψυχὰς ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὴν πρόθεσιν τοῦ ἁγιωτάτου πατριάρχου καὶ τῶν εὐσεβῶν βασιλέων εἰς πέρας ἀγαγεῖν. ἀλλ' εἰ μὲν εἰς τὰς ὑμετέρας καὶ μόνον ψυχὰς, ἔφημεν πρὸς αὐτοὺς, συνηντλεῖτο ὁ κίνδυνος, εἶχεν ἂν ὁ λόγος ὑμῶν τὸ βέβαιον· ἐπεὶ δὲ κατὰ κοινοῦ τοῦ τῆς ἐκκλησίας προέρχεται σώματος, ποία ἔσται ὄνησις; μᾶλλον δὲ ποῖον οὐκ ἔσται βλάβος, κτίσαι οἰκοδομὴν ἐπίσαθρον, καὶ στεῤῥοῦ θεμελίου χηρεύουσαν; καὶ πῶς, ἔλεγον, ἢ ποίῳ προσώπῳ πρὸς τοὺς ἀπεσταλκότας ἡμᾶς ἐπανήξομεν, ἐπιφερόμενοι μηδὲν τῶν κατὰ γνώμην αὐτοῖς ἐλπιζομένων; πρὸς ταῦτα ἠπορηκότες ἡμεῖς, γινώσκοντές τε τοὺς θεοφιλεῖς ἀδελφοὺς ἡμῶν Ἰωάννην καὶ Θωμᾶν ζήλῳ θείῳ τῆς ὀρθοδόξου κεκοσμημένους πίστεως, δύο ἁγίων καὶ μεγάλων πατριαρχῶν ὁμοψύχους συγκέλλους γενομένους, οὐ μὴν ἀλλὰ καὶ τῆς ἁγιοποιοῦ ἡσυχίας ὄντας ἐραστὰς, ἔφημεν πρὸς αὐτούς· ἴδε καιρὸς ἀδελφοὶ πρόσφορος σωτηρίας, καὶ ἡσυχίας μᾶλλον ὑψηλότερος. πορεύεσθε σὺν τοῖς ἀνδράσι τούτοις, καὶ τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ἀναδέξασθε· καὶ διηγήσασθε ζώσῃ φωνῇ, ἃ διὰ γραμμάτων γνωρίσαι τοῖς δεσπόταις ἡμῶν παρέλκον ἡγούμεθα. οἴδατε, ὅπως διὰ βραχυτάτης κατηγορίας ἐξόριστος γέγονεν ἀπὸ διχιλίων σημείων ὁ τὸν θρόνον λαχὼν διέπειν τοῦ ἀδελφοθέου Ἰακώβου. ὁπηνίκα δὲ τὸ τοῦ Θεοῦ ἔργον πληρώσητε, καὶ τὴν κρατοῦσαν ἀποστολικὴν παράδοσιν ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ταῖς κατ' Αἴγυπτον καὶ Συρίαν τοῖς δεσπόταις ἡμῶν γνωρίσητε, τηνικαῦτα τὸ ποθούμενον ὑμῖν ἀσπάσασθε. καὶ πῶς ἡμεῖς, ἀπεκρίναντο, ἰδιῶται καὶ ἀγνῶτες ὄντες, καὶ πρὸς τὴν ὑπόθεσιν ἀσθενῶς καὶ ἀμαθῶς ἔχοντες, κατατολμήσομεν χρήματος

τὴν

τὴν ἡμετέραν ὑπερβάλλοντος δύναμιν; ἀλλ' ὁ δι' ἐτελῶν καὶ ἰδιωτῶν, ἀντέφημεν, ἐνεργήσας, τῶν ἁγίων ἀποστόλων φημὶ, καὶ δι' αὐτῶν ζωγρήσας τὴν οἰκουμένην πᾶσαν πρὸς ὑπακοὴν τοῦ λόγου τῆς αὐτοῦ οἰκονομίας, Χριστὸς ὁ Θεὸς ἡμῶν, δυνατός ἐστι δοῦναι ὑμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ὑμῶν, πρὸς τὸ ἀναπληρῶσαι τὸν σκοπὸν καὶ τὸ φρόνημα τῶν μήτε γράμματα δυναμένων δέξασθαι, μηδ' αὖ τολμώντων γράψαι ἢ γρύξαι τι περὶ τῶν τοιούτων. οἱ δὲ θεοφιλεῖς ὄντες, καὶ ὑπακοῆς υἱοὶ πεφηνότες, ἐπείσθησαν τῷ λόγῳ ἡμῶν, καὶ εἶξαν τῇ παρακλήσει. οὓς μετ' ἐκτενοῦς προσπεπομφότες εὐχῆς, καὶ χαρὰν οὐ τὴν τυχοῦσαν τοῖς ἀποσταλεῖσι προεξενηκότες, οὕτω διεσπάσθημεν ἀπ' ἀλλήλων μετὰ πολλῆς δακρύων χύσεως. ἀλλ' ὦ ἁγιώτατοι καὶ μακαριώτατοι, ὡς πρέπον ἐστὶ τῇ πατρικῇ δεσποτείᾳ ὑμῶν, ἀσμένως τοὺς ἀδελφοὺς ἡμῶν ὑποδέξασθε, καὶ τοῖς δεσπόταις τῆς οἰκουμένης ἅτερ συστολῆς καὶ ἀνθρωπίνου φόβου παραστήσατε. ἕξετε γὰρ αὐτοὺς ἐπισταμένους ἀκριβῶς τῶν τριῶν ἀποστολικῶν θρόνων τὴν ὁμονοητικήν τε καὶ σύμφωνον ὀρθοδοξίαν· οἵ τινες τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους ὁμοφώνως κηρύττουσιν, ἑτέραν πρὸς ταύταις, ἢν καὶ ἑβδόμην τινὲς θρυλλοῦσιν, οὐ προσιέμενοι, ἀλλὰ πάμπαν ἀποβαλλόμενοι, ὡς ἐπὶ καθαιρέσει τῶν ἀποστολικῶν τε καὶ διδασκαλικῶν παραδόσεων συναθροισθεῖσαν, καὶ τῶν θείων καὶ σεπτῶν εἰκόνων ἀναιρέσει καὶ ἐξαλείψει· ὑμεῖς δὲ ἁγιώτατοι, πεπυρσευμένοι θείῳ ζήλῳ ὑπάρχοντες, σύμφρωνάς τε τοὺς δικαίᾳ ψήφῳ Θεοῦ βασιλεύειν ὑμῶν προκριθέντας θεοφυλάκτους δεσπότας ἔχοντες, ἅμα δὲ καὶ τὴν θεοσκεπῆ καὶ θεοτείχιστον σύγκλητον, ἰσχύσατε καὶ ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πᾶσαν παρακοὴν ἀποστολικῶς διεκδικοῦντες, καὶ εἰς τὴν τοῦ Χριστοῦ ὑπακοὴν μεθαρμόζοντες. ἐκεῖνο δὲ ὑπομιμνήσκομεν, ὡς ἀναγκαῖον τὴν ἱεραρχικὴν ὑμῶν κορυφὴν, εἴγε εὐδοκίᾳ τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τῶν αὐτῷ συμβασιλεύειν ἠξιωμένων θεοσεβεστάτων καὶ τροπαιούχων δεσποτῶν ἡμῶν, βουληθείητε συγκροτῆσαι σύνοδον, μὴ ἐπαχθὴς ὑμῖν φανείη τῶν τριῶν ἀποστολικῶν θρόνων τῶν ἁγιωτάτων πατριαρχῶν, καὶ τῶν ὑπ' αὐτοὺς ὁσιωτάτων ἐπισκόπων ἡ ἀπόλειψις. οὐ γὰρ ἐξ οἰκείας αὐτῶν τὸ ἐμποδὼν προθέσεως, ἀλλὰ τῆς τῶν κρατούντων καὶ κυριεύοντων αὐτῶν φρικωδεστάτης ἐπαπειλήσεως καὶ θανατηφόρου ἐπιτιμήσεως. τοῦτο δέ ἐστιν ἀκριβέστερον συνιδεῖν καὶ ἀπὸ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, ἐν ᾗ οὐδεὶς τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν τούτοις ἐπισκοπούντων τοῖς μέρεσι συναχθεὶς εὕρηται διὰ τὴν τῶν μιαρῶν ἐπικράτειαν· ἀλλ' οὐδὲ ἐκ τούτου τῇ ἁγίᾳ συνόδῳ πρόκριμα συνεπλάκη, οὐδ' αὖ παρωμάρτησε κώλυσίς τις συστήσασθαι, καὶ κατάδηλα πᾶσι ποιῆσαι τὰ ὀρθὰ τῆς εὐσεβείας δόγματα· μάλιστα τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάπα Ῥώμης συμφωνήσαντος αὐτῇ καὶ συνευρεθέντος διὰ τῶν οἰκείων ἀποκρισιαρίων. καὶ ἀρτίως, ἁγιώτατοι, τοῦτο γένοιτο σὺν Θεῷ. καὶ ὃν τρόπον τηνικαῦτα ἐκείνης ἡ πίστις εἰς τὰ τῆς οἰκουμένης ἐξήχηται πέρατα, οὕτω καὶ τῆς νυνὶ ἀθροισθησομένης Χριστοῦ χάριτι συνόδου διὰ μεσιτείας ὑμῶν καὶ τοῦ τὸν ἀποστολικὸν θρόνον τοῦ κορυφαίου διέποντος, κηρυχθήσεται ἐν ὅλῃ τῇ ὑφ' ἡλίῳ· δηλαδὴ τὰ Τυραννικῶς καταστραφέντα ἀνορθούσης, καὶ εἰς τὸ ἀρχαῖον ἀποκαθιστώσης κατὰ τὴν ἀποστολικὴν παράδοσιν. πρὸς δὲ ὀχύρωσιν τῶν μετρίων ἡμῶν γραμμάτων, πληροφορίαν τε τῆς ὑμετέρας δεσποτικῆς μακαριότητος, καὶ τῶν νικητῶν καὶ τροπαιούχων ἡμῶν βασιλέων, συνείδομεν καὶ τὸ ἴσον τῆς συνοδικῆς Θεοδώρου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ πατριάρχου Γεροσολύμων ὑποτάξαι τοῖς ὑφ' ἡμῶν γραφεῖσι. τοῦτον δὲ τὸν λίβελλον κατὰ τὸν συνήθη θεσμὸν τῆς ἐκκλησίας ὁ αὐτὸς ἐν ἁγίᾳ τῇ λήξει γεγράφηκε τοῖς μακαρίοις καὶ ἐν ὁσίᾳ τῇ λήξει ἁγιωτάτοις πατριάρχαις, Κοσμᾶ φαμεν τῷ Ἀλεξανδρείας, καὶ Θεοδώρῳ τῷ Ἀντιοχείας Θεουπόλεως, ὃς καὶ τὰ ἀντισυνοδικὰ αὐτῶν ἔτι ζῶν ἐδέξατο. ἐῤῥωμένους ὑμᾶς καὶ ἡμῖν εὐχομένους ὁ κύριος διαφυλάξειεν, ἁγιώτατοι καὶ θεοτίμητοι.

Ἴσον συνοδικοῦ Θεοδώρου τοῦ ἁγιωτάτου πατριάρχου Γεροσολύλων.

Πιστεύομεν τοίνυν, μακαριώτατοι, καθάπερ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς πεπιστεύκαμεν, εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ἄναρχον παντελῶς καὶ ἀΐδιον, πάντων ὁρατῶν καὶ ἀοράτων ποιητήν. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἀϊδίως καὶ ἀπαθῶς ἐξ αὐτοῦ γενηθέντα τοῦ Θεοῦ καὶ πατρὸς, καὶ οὐκ ἄλλην ἀρχὴν ἢ τὸν πατέρα γινώσκοντα, καὶ ἐξ αὐτοῦ τὴν ὑπόστασιν ἔχοντα, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· καὶ εἰς ἓν πνεῦμα ἅγιον τὸ ἀϊδίως ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ φῶς καὶ Θεὸν καὶ αὐτὸ γνωριζόμενον, καὶ ὃν ἀληθῶς πατρὶ καὶ υἱῷ συναΐδιον, ὁμοούσιόν τε καὶ ὁμόφυλον, καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως, ὡσαύτως δὲ καὶ θεότητος. τριάδα ὁμοούσιόν τε καὶ ὁμότιμον καὶ ὁμόθρονον, εἰς μίαν συγκεφαλαιουμένην θεότητα, καὶ εἰς μίαν συναγομένην καὶ κοινὴν κυριότητα, ἄνευ προσωπικῆς τε καὶ ὑποστατικῆς ἀναχύσεώς τε καὶ συναιρέσεως. τριάδα γὰρ ἐν μονάδι πιστεύομεν, καὶ μονάδα ἐν τριάδι δοξάζομεν. τριάδα μὲν ταῖς τρισὶν ὑποστάσεσι, μονάδα δὲ τῷ μοναδικῷ τῆς θεότητος. *οὔτε γὰρ τὸ ἓν ἴδιον συγκεχυμένον ἔχει, οὐδ' αὖ τὸ τρισσὸν διαμπὰξ διαιρούμενον, ἐν θατέρῳ δὲ μᾶλλον συντηρούμενον θάτερον. διαιρουμένη γὰρ ταῖς ἀριθμηταῖς ὑποστάσεσι, καὶ ἀριθμουμένη ταῖς προσωπικαῖς ἑτερότησι, τῷ ταυτῷ τῆς οὐσίας καὶ τῆς φύσεως ἥνωται, καὶ παντελῆ μερισμὸν οὐ προσίεται. εἷς γὰρ Θεός ἐστιν, ὅτι καὶ θεότης μία διαπρυσίως κηρύττεται, καὶ ἐν τριάδι προσώπων γνωρίζεται· καὶ οὔτε καθὸ εἷς Θεὸς ὁ Θεὸς καὶ

*ἴσ. οὔτε τὸ ἐνιαῖον συγκέχ.

μία

μία θεότης ἐστὶ, διαιρεῖται, καὶ εἰς τρεῖς Θεοὺς μερίζεται. Αρειανῶν γὰρ τὸ δυσσέβημα· οὔτε καθὸ τρεῖς ὁ εἷς Θεός ἐστι καὶ γνωρίζεται, καὶ ὑποστάσεις τρεῖς καταγγέλλεται, καὶ πατὴρ καὶ υἱὸς καὶ πνεῦμα πανάγιον λέγεται, συστελλόμενος ἢ συντιθέμενος, καὶ εἰς μίαν ἑαυτὸν συναλείφων ὑπόστασιν· ὅτι Σαβελλιανῶν τὸ ἀνόμημα. καὶ διὰ τοῦτο καλῶς τοῖς θεολόγοις τεθέσπισται, μονάδα μὲν ἡμᾶς φρονεῖν ἐν μιᾷ καὶ ἐνιαίᾳ θεότητι, τριάδα δὲ ταῖς ἀσυγχύτοις τρισὶν ὑποστάσεσιν. οὐκ ἄλλον δὲ τὸν ἕνα Θεὸν παρὰ τὰ τρία γινώσκομεν πρόσωπα· οὔτε τὰ τρία τῆς τριάδος ὁμοούσια πρόσωπα, ἅπερ ἐστὶν ὁ πατὴρ, ὁ υἱὸς, τὸ πνεῦμα τὸ ἅγιον, ἕτερα παρὰ τὸν ἕνα Θεὸν ἐπιστάμεθα. καὶ διὰ τοῦτο ἓν τὰ τρία τὰ, ἐν οἷς ἡ θεότης, κηρύττομεν· καὶ τὰ τρία ἓν, ὧν ἡ θεότης ἐστὶν, ἐξαγγέλλομεν· ἢ τόγε ἀληθέστερον εἰπεῖν, ἃ ἡ θεότης ἐστὶ καὶ γινώσκεται.

Πιστεύομεν δὲ καὶ εἰς τὸν ἕνα τῆς αὐτῆς ἁγίας καὶ ὁμοουσίου τριάδος κύριον ἡμῶν Ιησοῦν Χριστόν. ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, φησὶν ὁ ἀπόστολος, τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. τῷ πατρὶ γὰρ ὢν ὁμοούσιός τε καὶ σύνθρονος, ἐπ' ἐσχάτων τῶν χρόνων οὐκ ἀπηξίωσε τεχθῆναι ἐκ τῆς ἁγίας καὶ παναχράντου δεσποίνης ἡμῶν θεοτόκου, σάρκα λαβὼν ἐξ αὐτῆς ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ, ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος, οὐ σπερματικῶς, ἀλλὰ δημιουργικῶς διὰ τοῦ ἁγίου πνεύματος. καὶ οὕτω προῆλθεν εἷς ἐκ δύο τῶν ἐναντίων. ὁ Θεὸς λόγος, τέλειος φύσει Θεὸς ὤν, γέγονε φύσει τέλειος ἄνθρωπος ὁ αὐτὸς, οὐ τραπεὶς τὴν φύσιν, οὐδὲ φαντάσας τὴν οἰκονομίαν, ἀλλὰ τῇ ἐκ τῆς ἁγίας παρθένου ληφθείσῃ λογικῶς τε καὶ νοερῶς ἐψυχωμένῃ σαρκὶ, καὶ ἐν αὐτῷ τὸ εἶναι λαχούσῃ ἑνωθεὶς καθ' ὑπόστασιν ἀσυγχύτως, καὶ ἀδιαιρέτως· μὴ μεταβαλὼν τὴν τῆς θεότητος αὐτοῦ φύσιν εἰς τὴν τῆς σαρκὸς οὐσίαν, μήτε μὴν τὴν οὐσίαν τῆς σαρκὸς αὐτοῦ εἰς τὴν φύσιν τῆς αὐτοῦ θεότητος. δύο τοιγαροῦν φύσεις ἀτρέπτως ἀλλήλαις ἑνωθεῖσαι ἐν μιᾷ τῇ τοῦ Θεοῦ λόγου ὑποστάσει, ἕνα υἱὸν καὶ κύριον ἡμῖν ἐγνώρισαν ὁρατὸν, καὶ ἀόρατον θνητὸν καὶ ἀθάνατον, περιγραπτὸν τὸν αὐτὸν καὶ ἀπεριγραπτὸν, Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον, ἐν δύο φύσεσι γνωριζόμενον, καὶ ἐν δυσὶν αὐτεξουσίοις ἐνεργείαις προσκυνούμενον καὶ θελήσεσιν. οὐ γὰρ ἂν ἐνήργησε θεϊκῶς οὐκ ὢν φύσει Θεός· οὐδ' αὖ πάλιν ἀνθρωπίνως, εἰ μὴ φύσει γέγονεν ἄνθρωπος. τοῦτον ὁμολογοῦμεν τὸν ὄντως ὄντα Θεόν τε καὶ ἄνθρωπον διὰ τὴν ἡμετέραν σωτηρίαν σταυρωθῆναι, καὶ θανάτου γεύσασθαι σαρκὶ, ταφήν τε τριήμερον καταδέξασθαι καὶ ἀναστῆναι ἐκ νεκρῶν τῆς οἰκείας δυνάμει θεότητος, τὸν ᾅδην σκυλεύσαντα, καὶ τοὺς ἀπ' αἰῶνος δεσμίους ἐλευθερώσαντα, καὶ εἰς οὐρανοὺς ἀναληφθῆναι, καὶ ἐν δεξιᾷ κακαθικέναι τοῦ πατρὸς, καὶ ἥξοντα κατὰ τὴν φωνὴν τῶν ἀσωμάτων πρὸς τοὺς ἀποστόλους, ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ κρῖναι ζῶντας καὶ νεκρούς. ὁμολογοῦμεν δὲ καὶ τὴν τῶν νεκρῶν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ διὰ φωνῆς ἀρχαγγελικῆς σάλπιγγος ἐξανάστασιν, καὶ τὴν τῶν βεβιωμένων ἡμῖν εὖ ἢ ἑτέρως ἐχόντων, κρίσει δικαίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἀνταπόδοσιν, καὶ τοῦ μέλλοντος αἰῶνος ζωὴν τέλος οὐκ ἔχουσαν.

Φιλιππ. 2.

Πράξ. 1.

Δεχόμεθα δὲ καὶ στέργομεν, καὶ ἐκθύμως ἀσπαζόμεθα τὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ συνόδους, τὰς διὰ πνεύματος ἁγίου κατὰ πάσης συναθροισθείσας αἱρέσεως ἐν διαφόροις τόποις καὶ χρόνοις· ἃς καὶ αἱ καθ' ὅλης τῆς ὑφ' ἡλίου τῶν ὀρθοδόξων ἐκκλησίαι διαπρυσίως κηρύττουσαι, τοῖς ὀρθοῖς καὶ θεοπνεύστοις αὐτῶν ἐπιστηρίζονται δόγμασι, δεχόμεναι οὓς ἀποδέχονται, καὶ ἀποβαλλόμεναι οὓς ἀποβάλλοντοι. καὶ πρώτη μὲν ἡ ἐν Νικαίᾳ συναγερθεῖσα τῶν τιη. ἁγίων πατέρων σύνοδος ἐπὶ καθαιρέσει Ἀρείου τοῦ τῆς μανίας ἐπωνύμου, καὶ τῶν αὐτοῦ ψυχοφθόρων βλασφημιῶν. ὃν ὡς διαιρέτην, καὶ τῆς μιᾶς καὶ ἀσυγχύτου κατατομέα θεότητος, καὶ τὸν υἱὸν τοῦ πατρὸς κτίσμα βαττολογοῦντα, τὸν δι' οὗ τὰ πάντα ἔκτισται, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήχθη, ἀνεθεμάτισε, καὶ τοὺς αὐτῷ ὁμόφρονας, καὶ πόῤῥω τῶν θείων ἀνακτόρων ἀπεσφενδόνησε, θεσπίσασα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τῆς τοῦ πατρὸς οὐσίας καὶ ὑποστάσεως ἀχρόνως, ἀῤῥεύστως γεννηθέντα, καὶ ὁμοούσιον τῷ πατρὶ πεφηνότα καὶ τῷ ἁγίῳ πνεύματι· καὶ διὰ συμβόλου, ἤτοι πίστεως ὀρθῆς ὁμολογίας, πᾶν τὸ τῆς κατὰ Χριστὸν οἰκονομίας τρανῶς ἐκδιδάξασα μυστήριον. ἡ δευτέρα δὲ ἡ ἐν Κωνσταντινουπόλει συναχθεῖσα τῶν ρν. πατέρων σύνοδος κατὰ τοῦ πνευματομάχου Μακεδονίου, καὶ τῶν ἀμφ' αὐτὸν θεοσυγῶν Ἡμιαρείων. ἥτις ἁγία σύνοδος τὸ αὐτὸ πνεῦμα τὸ ἅγιον ὁδηγὸν καὶ διδάσκαλον ἔχουσα, ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀϊδίως τὴν ἐκπόρευσιν ἐδογμάτισεν ἔχον, καὶ ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ, συμπροσκυνούμενόν τε καὶ συνδοξαζόμενον· τοὺς δὲ βλασφημήσαντας ἀσυγχώρητα εἰς αὐτὸν τὸν παράκλητον ἀναθέμασιν ἀσιγήτοις καθυπέβαλε, μετὰ καὶ τοῦ παράφρονος Ἀπολλιναρίου, ὃς τὸν κατὰ τὸν σωτῆρα ἄνθρωπον ἄνουν ὁ ἄνους ἐφληνάφησε. καὶ τρίτη ἡ ἐν Ἐφέσῳ τὸ πρότερον τῶν διακοσίων ἁγίων πατέρων διαλάμψασα σύνοδος ἐπὶ καταλύσει καὶ ἀποβολῇ τοῦ ἀνθρωπολάτρου Νεστορίου καὶ τῶν ὁμοφρόνων αὐτῷ· ὃς ἐκ τῶν οἰκείων ἐβδελυγμένων ἐνθυμιῶν πλανώμενος, ἄλλον τὸν προαιώνιον Θεὸν λόγον, καὶ ἄλλον τὸν ἐκ παρθένου διὰ σωτηρίαν ἡμῶν σαρκωθέντα πεφλυάρηκε τέταρτον καὶ μὴ βουλόμενος· ὁ ἀνόσιος πρόσωπον τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ συνεπεισάγων τριάδι· οὐ μόνον διαιρῶν τὰς ἡνωμένας δύο τοῦ Χριστοῦ φύσεις εἰς δύο ὑποστάσεις, ἀλλὰ καὶ τὴν θεοτόκος, φωνὴν ὁ κατάρατος ἐξομνύμενος, καὶ Χριστοτόκον καλεῖσθαι νομοθετῶν ὁ παράνομος τὴν ὄντως θεομήτορα, καὶ πρὸ τοῦ τόκου

καὶ μητέρα τόκου παρθενίου, καὶ πάσης νοητῆς τε καὶ αἰσθητῆς ὑπερτέραν δοξητε καὶ λαμπρότητι δεδημιουργημένου φύσεως. τοῦτον τοίνυν ἡ αὐτὴ ἁγία τῆς ὀγδοηκοσίων πατέρων ἀνεθεμάτισε σύνοδος, καὶ τὰ ψυχοβλαβῆ αὐτοῦ ληρήματα, σὺν υἱὸν τὸν ἐκ πατρὸς πρὸ αἰώνων ἐκλάμψαντα, καὶ τὸν αὐτὸν ἐπ' ἐσχάτων τῆς ἡμερῶν ἐκ τῆς ἀχράντου γενηθέντα παρθένου καὶ θεοτόκου Μαρίας, τελείαν ἡμετέραν φύσιν ἀμφιασάμενον διδάξασα, καὶ Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν υἱὸν τοῦ Θεοῦ καταγγείλασα, γνῶτε σὺν υἱὸν καὶ Χριστὸν καὶ κύριον, καὶ ἁπλῶς μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην· ὅπερ σημαίνει τελεῖν τῆς δύο φύσεων καθ' ὑπόστασιν σύνοσιν· Θεοτόκον δὲ κυρίως καὶ κατ' ἀλήθειαν τὴν ἁγίαν Μαρίαν νενομοθέτηκεν ὀνομάζεσθαι. δικαιοπρότατα δὲ καὶ ἡ ἐν Χαλκηδόνι θεοσύλλεκτος ἀνατέταλκε συνόδου τῆς χλ'. ἁγίων πατέρων, ἐπὶ καθαιρέσει τῆς συγχυτικῆς τῆς Χριστοῦ φύσεων πεπλανημένης αἱρέσεως· ἣν πρῶτος ὁ παράφρων Εὐτυχὴς ἐξ ἀφροσύνης συνεκρότησατο, τὰς ἐν τῷ σωτῆρι Χριστῷ δύο φύσεις ἀδιαιρέτως ἰδιωμάτων ἀπαρνούμενος, καὶ μίαν φύσιν ἐκ τῆς δύο γεγονέναι τερατολογούμενος σύνθετον. ὃς καὶ Διόσκορον τὸν ἀλιτήριον συναποστολὴν καὶ διάδικον ἔχων, τῆς ὀρθῶν δογμάτων κατήγορος, καὶ τῆς ἀληθείας ἀντίπαλος εὑρηται. ἀλλὰ τούτους ἅμφω ἡ ἁγία καταλέλυκε σύνοδος, καὶ τὰς λήρους * κενοφωνίας αὐτῆς αὐτηροῖς ἀναθέμασι σὺν αὐτοῖς καθυπέβαλε, κηρύξασα τὰς τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν Θεοῦ δύο φύσεις ἀσυγχύτως, ἀδιαιρέτως, ἀμεταβλήτως σωθείσας ἐν τῇ μιᾷ αὐτοῦ ὑποστάσει· τέλειόν τε τὸν αὐτὸν ἐν θεότητι ὑπάρχειν καὶ ἀνθρωπότητι, ἐκ δύο τε καὶ ἐν δυσὶ γνωριζόμενον φύσεσι. πρὸς τούτοις δὲ καὶ τοῦ μυσαροῦ Νεστορίου διαίρεσιν, καὶ αὐτὸν ἐκεῖνον σὺν τοῖς αὐτῷ σύμφροσιν ἀπεκήρυξε. καθεξῆς δὲ καὶ ἡ πέμπτη συγκεκροτῆται σύνοδος ἐν τῇ δεσποζούσῃ τῆς πόλεων, ρξδ'. ἁγίων πατέρων ἀριθμὸν ἀποσώζουσα· ἥτις ὑπὸ τοῦ αὐτοῦ ἁγίου πνεύματος ποδηγουμένη, τὰς πρὸ αὐτῆς ἀγωνιζομένας ἁγίας τέσσαρας συνόδους ἐπεκύρωσε, καὶ τούτων τοῖς ὀρθοῖς ἐπηκολούθησε δόγμασιν, ἀναθεματίσασα Νεστόριον, Εὐτυχέα, Θεόδωρον τὸν Μοψουεστίας σὺν ταῖς βλασφημίαις αὐτῶν· ἔτι τε Ὠριγένην, καὶ Εὐάγριον, Δίδυμον, καὶ πάσας τὰς μυθώδεις καὶ ἑλληνικὰς αὐτῶν τερατολογίας, τήν τε λεγομένην Ἴβα ἐπιστολὴν πρὸς Μάριν τὸν Πέρσην, καὶ τὰ συγγράμματα Θεοδωρήτου, ἃ κατὰ τῆς ὀρθῶν δώδεκα κεφαλαίων τοῦ ἐν ἁγίοις Κυρίλλου συνεγράψατο.

Μεθ' ἣν ἡ ἁγία ἕκτη συνόδων ὥσπερ ἄλλος ἐξήραυγεν ἥλιος, τῆς σπθ'. ἁγίων πατέρων, τελοῦν βασιλίδα πόλιν λαχοῦσα καταπαυσιν. ἐν ᾗ προτεθεῖσα, τὰς τὰς δύο αὐτεξουσίους θελήσεις καὶ ἐνεργείας ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀπαρνουμένους, καὶ μίαν θέλησιν καὶ μίαν τερατευομένους ἐνέργειαν τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θεότητός τε καὶ ἀνθρωπότητος, ἀνεθεμάτισε· τετέσι Σέργιον, Πύρρον, Πέτρον, Κῦρον, Ὀνώριον, Θεόδωρον τὸν τῆς Φαρὰν, καὶ Πολυχρόνιον τὸν ληρήσαντα γέροντα, καὶ πάντας τοὺς θεματίσαντας, ἢ θεματίζοντας, ἢ θεματίζειν τολμόντας μίαν θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν δύο τοῦ Χριστοῦ φύσεων· εἰ γάρ, ὥς πού τις ἔφησοφός, ἀθέλητόν τε καὶ ἀνενέργητον τὴν ἀνθρωπίνην τοῦ κυρίου φύσιν παρήσομεν, πῶς τὸ τέλειον ἐν ἀνθρωπότητι σέσωσαι; δύο τοίνυν θελήσεις καὶ δύο ἐνεργείας καταλλήλους ταῖς δυσὶ Χριστοῦ φύσεσιν, ὡς φυσικὰς αὐτῆς προσαρμόσαντες ἰδιώματα, οὕτω τὸ μέγα τῆς σωτηρίου οἰκονομίας μυστήριον σαφέστατα διεξάνωσαν, καὶ τῇ ὀρθόδοξον πίστιν πασῶν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ἀνεπηρέαστόν τε καὶ ἀναμφίβολον διεσώσαντο τοῖς ὀρθόφροσιν. ταύτας τὰς ἁγίας ἓξ συνόδους καὶ μόνας ὅσας οἰκουμενικὰς ἐπισάμεθα, ἄλλως μετὰ ταύτας ἀποσιέμενοι σύνοδον. οὐδὲ γὰρ ὑπολελειπταί τι τῶν ἀποστολικῶν παραδόσεων, ἢ πατρικῶν ἐννόμων ἐκδόσεων, δεόμενον διορθώσεως, ἢ τῆς οἱασδήποτε ἐπιχοσμήσεως οἱοσδήποτε τρόπου. πάντας τοιγαροῦν τοὺς κακόφρονας αἱρετικοὺς, ὡς τοῦ σπορέως τῆς ζιζανίων σατανοφοιτητὰς καὶ ψυχοφθόρους μύσας, ἀπὸ τῆς τούτων κακῆς κορυφῆς, Σίμωνός φημι τοῦ μάγου, μέχρι τῆς βδελυρωτάτης αὐτῶν ὑράς, συλλήβδην καθεξῆς ἐξ ὅλης ἀναθεματίζομεν ψυχῆς καὶ διανοίας, καὶ μάλιστα ὅσους αἱ προτεταγμέναι ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι ἀνεθεμάτισαν· μεθ' ὧν καὶ Σεβῆρον τὸν τῆς Ἀκεφάλων μονοφυσιτῶν ἔξαρχον, σὺν αὐτοῖς ἐκείνοις. ἔτι τε καὶ Πέτρον ἀποκηρύττομεν τὸν Κναφέα, τὸν ἐν τῷ τρισαγίῳ ὕμνῳ τὴν προσθήκην ἐνθεῖναι πολμήσαντα, καὶ πάθει τῇ ἀπαθεῖ θεότητι προσείψαι θρασυνθέντα· καὶ πάντας τοὺς παρεπομένους τῇ βλασφημίᾳ αὐτοῦ· οὐκ ἀποτρεπόμεθα δὲ, ἀλλὰ μᾶλλον σέβομεν καὶ ἀποδεχόμεθα καὶ τὰς τοπικὰς ἁγίας συνόδους, καὶ τὰ θεῖα ἐπιπνοίᾳ ἐκφωνηθέντα αὐτοῖς κανονικὰ κατορθώματα, καὶ ψυχωφελῆ νομοθετήματα· τὰς δὲ ἀποστολικὰς τῆς ἐκκλησίας παραδόσεις, δι' ὧν τιμᾷν καὶ προσκυνεῖν τοὺς ἁγίους καὶ ἁγιάζεσθαι δεδιδάγμεθα, ἀποδεχόμεθά τε καὶ περιπτυσόμεθα, τιμῶντες ὡς θεράποντας καὶ φίλους καὶ υἱοὺς Θεοῦ χρηματίσαντας. ἡ γὰρ πρὸς τοὺς δυνώμονας τῶν ὁμοδύλων τιμὴ ἀπόδειξιν ἔχει τῆς εἰς τὸν κοινὸν δεσπότην διανοίας· ὅτοι γὰρ αὐτοὶ ταμεῖα Θεοῦ καὶ καθαρὰ καταγώγια γεγόνασι, καὶ τοῦ ἁγίου πνεύματος ἀκηλίδωτα ἔσοπτρα· ἀλλὰ καὶ αἱ ψυχαὶ αὐτῶν ἐν χειρὶ Θεοῦ πεφήνασιν, ὡς γέγραπται. ζωὴ γὰρ ὢν ὁ Θεὸς καὶ φῶς, καὶ οἱ ἐν χειρὶ θεοῦ ὄντες ἅγιοι, ἐν ζωῇ καὶ φωτὶ ὑπάρχουσι, καὶ διὰ τοῦτο τιμῆς ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ· ὅτοι ζῶντες ἐν παῤῥησίᾳ τῷ Θεῷ παρεστήκασι. πηγὰς σωτηρίου ὁ δεσπότης Χριστὸς τὰ τῶν ἁγίων ἡμῖν παρέσχετο λείψανα, πολυτρόπους τὰς ἐνεργεσίας τοῖς ἀθενοῦσι πηγάζοντα, μύρον ἰώδιας βρύοντα, καὶ δαίμονας ἀπε-

λαύ-

* καινοφωνίας L.

Σοφ. 3.

ψαλ 118.

λαυνοντα· καὶ ὥς φησιν ὁ μέγας διδάσκαλος καὶ τῆς ἀθανασίας ἐπώνυμος, τὰ τῶν μαρτύρων ὁσᾶ νόσους φυγαδεύουσιν, ἀσθενεῖς θεραπεύουσι, τυφλοῖς τὸ βλέπειν χαρίζονται, λεπρὺς καθαίρουσι, πειρασμὺς καὶ ἀνίας διαλύουσι. καὶ ταῦτα διὰ Χριστοῦ τοῦ ἐν αὐτοῖς ἐνοικήσαντος. ἐφ' ᾧ δὴ καὶ καλῶς ὁ ψαλμῳδὸς ἐκελάδησε· θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. καὶ αὖθις· τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάσωσεν ὁ κύριος πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. σὺν τούτοις δὲ καὶ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας προσκυνοῦντες περιπτυσσόμεθα, τουτέστι τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ λόγου, κυρίου δὲ ἡμῶν καὶ σω-
Φιλιπ. 2. τῆρος Ιησοῦ Χριστοῦ, καὶ μορφὴν δούλου λαβόντος. οὗ ἡ εἰκὼν καὶ τὸ ἐκτύπωμα οὐ τῆς θεότητος τῆς ἀδιασπάστως ἑνωθείσης τῇ ἀχράντῳ αὐτοῦ σαρκὶ φέρει τὸν χαρακτῆρα· ἀόρατος γὰρ καὶ ἀπερίγραπτος ἡ θεία φύσις, καὶ ἀσχη-
Ιωάν. 1. μάτιστος· θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε· αὐτὸς ὁ μονογενῆς ἐξηγήσατο· ἀλλὰ τῆς ἀνθρωπότητος αὐτοῦ χρωματουργοῦντες τὴν εἰκόνα προσκυνοῦμεν. ἐφάνη γὰρ Θεὸς ὢν καὶ ἀόρατος ἐπὶ τῆς γῆς. καὶ ὡράθη τοῖς ἀνθρώποις συναναστραφεὶς, καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, νόμῳ τῆς ἡμετέρας, ἣν ἠμπέσχετο, φύσεως. προσκυνοῦμεν Χριστοῦ τὴν εἰκόνα, τουτέστι τοῦ ὁραθέντος τοῖς ἀνθρώποις προσώπου, οὐ κεχωρισμένου τῆς ἀοράτου αὐτοῦ θεότητος· ἄπαγε· ἀλλ' ἡνωμένου ταύτῃ ἐξ ἄκρας συλλή-
Ιωάν. 8. ψεως. εἰ γὰρ καὶ λέγει τοῖς Ιουδαίοις· τί θέλετέ με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν; οὐκ ἦν ἄνθρωπος μό-
Ιωάν. 10. νον, ἀλλὰ καὶ Θεός· καὶ λέγων, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, οὐκ ἀπαρνεῖται τὴν ἡμετέραν φύσιν, τῷ γὰρ ἀνθρωπίνῳ στόματι καὶ τῇ ὀργανικῇ ταῦτα διαλέγεται γλώσσῃ. τιμῶμεν δὲ καὶ προσκυνοῦμεν καὶ τὴν τῆς αὐτὸν ἀφράστως γεννησάσης ἀχράντου αὐτοῦ μητρὸς, τῆς ἁγίας θεοτόκου καὶ παναμώμου δεσποίνης ἡμῶν τὴν εἰκόνα. τιμητέον δὲ καὶ τῶν ἁγίων ἀποστόλων, προφητῶν τε καὶ καλλινίκων μαρτύρων, ὁσίων τε καὶ δικαίων, ὡς φίλων Θεοῦ, τὰς εἰκόνας· οὐ τῇ ὕλῃ καὶ τοῖς χρώμασι τὸ σέβας προσάγοντες, ἀλλὰ διὰ ταύτης τοῖς νοεροῖς ὄμμασι πρὸς τὸ πρωτότυπον ποδηγούμενοι, ἐκείνω τὴν τιμὴν ἀπονέμοντες προσφέρομεν. εἰδότες κατὰ τὸν μέγαν
πρὸς ἀμφιλ. περὶ πνευματος ἁγίου. Βασίλειον, ὡς ἡ τῆς εἰκόνος. τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. πρὸς δὲ τοὺς ἐριστικῶς ἀντεξαγομένους καὶ λέγοντας, ὡς οὐ δεῖ τῶν ἁγίων προσκυνεῖν τὰς εἰκόνας χειροποιήτους οὔσας, εἴδωλά τε ἀνοήτως, μᾶλλον δὲ δυσσεβῶς ἀποκαλοῦντας αὐτὰς, λέγομεν· ἴσωσαν οἱ τοιοῦτοι, ὡς τὰ χερουβὶμ, καὶ τὸ ἱλαστήριον, καὶ ἡ κιβωτὸς,
Ψαλ. 69. καὶ ἡ τράπεζα, ἃ Μωσῆς ὁ θεσπέσιος κατε-
Ησαΐ. 42. σκεύασε θείω προσάγματι, χειροποίητα ἦσαν καὶ προσεκυνοῦντο. κατηγορεῖ δὲ ἡ θεία γραφὴ τῶν προσκυνούντων τοῖς γλυπτοῖς, ἀλλὰ καὶ τῶν θυόντων τοῖς δαίμοσιν· καὶ ἀπόβλητος μὲν
* εἰδώλων ἡ τῶν *Ελλήνων θυσία ἦν, ἡ δὲ τῶν δικαίων εὐπρόσδεκτος· παχυτέρας οὖν γραφῆς οὐσῶν τῶν σεπτῶν εἰκόνων, δεῖ τιμᾶν αὐτὰς διὰ τὰ πρωτότυπα. τούτοις οὖν τοῖς συνοδικοῖς ἡμῶν εὐμενῶς ἐντυγχάνοντες, ἁγιώτατοι, εἴ τι εὑρέθῃ ἐν αὐτοῖς δεόμενον ἐπιδιορθώσεως, μετάδοτε ἀφθόνως ἡμῖν τῆς ἐνθέου διδαχῆς ὑμῶν, καὶ ἀντεπιστεῖλαι παρακλήθητε· ἵνα συμφώνως ἐκ τούτου πιστευόντων εὑρεθέντων ἀμφοῖν ὑμῶν τε καὶ ἡμῶν, δοξάζηται ὁ πατήρ τε καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Καὶ μετὰ τὴν ἀνάγνωσιν Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι, καὶ τὸν τόπον ἐπέχοντες Αδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ρώμης, εἶπον. πειθόμεθα, ὅτι κατὰ τὴν ὀρθῶς ὁμολογηθεῖσαν πίστιν παρὰ Ταρασίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου Κωνσταντινουπόλεως καὶ ὁ καθ' ἡμᾶς ἀποστολικὸς πάπας Αδριανὸς δεξάμενος, καὶ πᾶσα ἡ κατ' αὐτὸν ἁγία σύνοδος ἐστοίχησε, καὶ τῶν ὑπ' αὐτοῦ ὁμολογηθέντων τὴν κοινωνίαν ἠσπάσατο. καὶ εὐλογητὸς ὁ θεὸς, ὅτι καὶ οἱ τῆς ἀνατολῆς ἁγιώτατοι ἀρχιερεῖς σύμφωνοι ἐν τῇ ὀρθοδόξῳ πίστει καὶ τῇ προσκυνήσει τῶν σεπτῶν εἰκόνων τοῖς ἁγιωτάτοις Αδριανῷ πάπᾳ Ρώμης, καὶ Ταρασίῳ πατριάρχῃ τῆς νέας Ρώμης, εὑρέθησαν. καὶ τοῖς μὴ οὕτως ὁμολογοῦσιν, ἀνάθεμα ἔστω ἀπὸ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων τῶν ἐνταῦθα προαθροισθέντων.

Η ἁγία σύνοδος εἶπε· γένοιτο, γένοιτο, γένοιτο.

Αγάπιος ὁ ὁσιώτατος ἐπίσκοπος Καισαρείας εἶπε· τοῖς σταλεῖσι παρὰ τῶν τῆς ἀνατολῆς ὁσιωτάτων ἀρχιερέων πανιέροις γράμμασι πρὸς Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην, ὡς στήλην εὐσεβείας ἀποδεξάμενος, κατὰ πάντα τρόπον στοιχῶ, καὶ τὴν κοινωνίαν ἀποδέχομαι· καὶ τοὺς μὴ οὕτω φρονοῦντας τῷ ἀναθέματι καθυποβάλλω.

Ιωάννης ὁ ὁσιώτατος ἐπίσκοπος Εφέσου εἶπε· τοῖς σταλεῖσιν ἀπὸ τῆς ἀνατολῆς παρὰ τῶν αὐτόθι ἀρχιερέων ὀρθοδόξοις γράμμασι πρὸς τὸν ἁγιώτατον καὶ τρισμακάριστον οἰκουμενικὸν πατριάρχην Ταράσιον συντιθέμεθα, καὶ τὴν αὐτῶν κοινωνίαν ἀσπαζόμεθα. τοὺς δὲ μὴ οὕτως ὁμολογοῦντας, μήτε προσκυνοῦντας, μήτε ἀποδεχομένους τὰς ἁγίας καὶ ἱερὰς καὶ σεπτὰς εἰκόνας, ἀλλοτρίους ἡγοῦμαι τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ τῷ ἀναθέματι αὐτοὺς παραπέμπω.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἐν μηδεμιᾷ ἐννοίᾳ παραλλάττοντα καὶ τὰ νῦν ἀναγνωσθέντα γράμματα τὰ ἐκ τῆς ἀνατολῆς πεμφθέντα πρὸς Ταράσιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον καὶ οἰκουμενικὸν πατριάρχην τοῦ ὑπ' αὐτοῦ προομολογηθέντος ὅρου τῆς πίστεως εὑρὼν κἀγὼ ὁ ἀνάξιος, τούτοις συντίθημι, καὶ ὁμόφρων γίνομαι, δεχόμενος καὶ ἀσπαζόμενος τιμητικῶς τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας· καὶ τὴν κατὰ λατρεῖαν προσκύ-

σκύνησιν μόνῃ τῇ ὑπερσίῳ καὶ ζωαρχικῇ τριάδι ἀναπέμπω. καὶ τοὺς μὴ ὕπω φρονοῦντας, μήτε δοξάζοντας τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας ἐχχωρίζω, καὶ τῷ ἀναθέματι ὑποβάλλω, καὶ τῇ μερίδι τῶν ἀρνουμένων τὴν ἔνσαρκον καὶ σωματικὴν οἰκονομίαν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν παραπέμπω.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπε· τοῖς σαλεῖσι γράμμασιν ἀπὸ τῆς ἀνατολῆς παρὰ τῶν αὐτόθι ἁγιωτάτων ἀρχιερέων πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον καὶ οἰκουμενικὸν πατριάρχην σοιχῶ καὶ ἐμμένω, καὶ τὰ παρ' αὐτῶν ὁμολογηθέντα ἀποδέχομαι μετὰ πάσης δόμυείας καὶ προαιρέσεως· καὶ τοὺς μὴ ὕπω φρονοῦντας ἀναθέματι ὑποβάλλω.

Νικόλαος ὁ ὁσιώτατος ἐπίσκοπος Κυζίκου εἶπε· τοῖς ἀναγνωσθεῖσι γράμμασι τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τοῖς ἀντιπεμφθεῖσιν ἀπὸ τῆς ἀνατολῆς ὀρθοδόξων ἀρχιερέων λιβέλλοις συντίθεμαι περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων, καὶ τὴν κοινωνίαν αὐτῶν ἀποδέχομαι· καὶ τοὺς μὴ ὕπω φρονοῦντας τῷ ἀναθέματι παραπέμπω,

Εὐθύμιος ὁ ὁσιώτατος ἐπίσκοπος Σάρδης εἶπεν· ὡς ἐν πᾶσι τῇ ἀληθείᾳ ἑξακολουθῶν, καὶ ταῖς παραδόσεσι τῶν θείων ἀποστόλων καὶ πατέρων ἐντεθραμμένος, συναινῶ καὶ τοῖς ἀρτίως ἀναγνωσθεῖσι χαράγμασι Ταρασίου τοῦ ἁγιωτάτου καὶ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τοῖς ἀναπεμφθεῖσι παρὰ τῶν τῆς ἀνατολῆς πατριαρχῶν· καὶ τὸ αὐτῶν καὶ ἐμὸν φρόνημα περί τε τῶν ἱερῶν δογμάτων, καὶ περὶ τῶν σεπτῶν εἰκόνων, ἓν καὶ ἀπαράλλακτον ἡγοῦμαι. τοὺς δὲ παρὰ ταῦτα κινολογοῦντας ἢ φλυαροῦντας κατὰ τῶν ἁγίων εἰκόνων, καὶ μὴ σοιχοῦντας τοῖς ἁγιωτάτοις πατριάρχαις, αἱρετικοὺς καὶ διεγραμμένους γινώσκω, καὶ τῆς αὐτῶν κοινωνίας μακρὰν ἐμαυτὸν τίθημι.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Νικομηδείας εἶπε· κατὰ τὰ σαλέντα γράμματα παρὰ τῶν ἀρχιερέων τῆς ἀνατολικῆς διοικήσεως πρὸς τὸν ἁγιώτατον καὶ τρισμακάριστον ἀρχιεπίσκοπον καὶ οἰκουμενικὸν πατριάρχην Ταράσιον, ἀσπασίως ἀποδέχομαι, καὶ σέβομαι, καὶ προσκυνῶ τὰς τιμίας καὶ ἱερὰς εἰκόνας· καὶ τοὺς μὴ ὕπω φρονοῦντας ἀναθεματίζω.

Ὑπάτιος ὁ ὁσιώτατος ἐπίσκοπος Νικαίας εἶπε· τοῖς σαλεῖσιν ἀπὸ τῆς ἀνατολῆς παρὰ τῶν αὐτόθι ἀρχιερέων ὀρθοδόξοις γράμμασι πρὸς τὸν ἁγιώτατον καὶ τρισμακάριστον οἰκουμενικὸν πατριάρχην Ταράσιον σοιχῶ, καὶ τὰ παρ' αὐτῶν ὁμολογηθέντα ἀποδέχομαι· καὶ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας τιμῶ, καὶ προσκυνῶ, καὶ ἀσπάζομαι· καὶ πάντας τοὺς μὴ ἑπομένους τῇ ὁμολογίᾳ ταύτῃ, ἀλλοτρίους ἡγοῦμαι τῆς καθολικῆς ἐκκλησίας, καὶ τῷ ἀναθέματι ὑποβάλλω.

Ἠλίας ὁ ὁσιώτατος ἐπίσκ. Κρήτης εἶπε. τοῖς σαλεῖσι γράμμασιν ἀπὸ τῆς ἀνατολῆς ἀκολουθῶν σοιχῶ καὶ συντίθημι.

Σταυράκιος ὁ ὁσιώτατος ἐπίσκ. Χαλκηδόνος εἶπε· τὰ ἀναγνωσθέντα γράμματα Ταρασίου τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τὰ ἀπὸ τῆς ἀνατολικῆς διοικήσεως παρὰ τῶν αὐτόθι ἀρχιερέων, τοιαύτην οἰκειότητα ἔχειν πρὸς τὰ τοῦ αὐτοῦ ἡγοῦμαι ἀρχιερέως Κωνσταντινουπόλεως, ὥστε μηδεμίαν ἑτερότητα ἐν αὐτοῖς εἶναι, ἀλλὰ τελείαν ταυτότητα· ὡς οὖ καὶ τὸ αὐτὸ τὰ ἄμφω εἶναι, ἦγουν πεπληρωμένα πάσης ὀρθοδοξίας. διὸ κἀγὼ ὕπως ὁμολογῶ, καὶ ἀλλοτρίους ἡγοῦμαι τοὺς μὴ ὕπω φρονοῦντας.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκοπος τοῦ Δυρραχίου εἶπε· τοῖς σαλεῖσιν ἀπὸ τῆς ἀνατολῆς παρὰ τῶν αὐτόθι ἀρχιερέων ὀρθοδόξοις γράμμασι πρὸς Ταράσιον τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην σοιχῶ καὶ συντίθημι, καὶ τῇ ὑπ' αὐτῶν ὁμολογηθέντων τὴν ἔκθεσιν ἀποδέχομαι· καὶ τοὺς μὴ οὕτω φρονοῦντας ἀναθεματίζω.

Ἐπιφάνιος ὁ θεοφιλέστατος διάκονος τῆς ἐκκλησίας Κατάνης, καὶ τὸν τόπον ἐπέχων Θωμᾶ τοῦ ὁσιωτάτου ἐπισκόπου Σαρδινίας, εἶπεν· ἀληθές, ὅτι κηρὸς μέλιτος λόγοι καλοί· γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς, ὡς γέγραπται. Παροι. 16. ἰδοὺ τοίνυν καὶ τὰ ἀρτίως ἀναγνωσθέντα συνοδικὰ γράμματα τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου τῆς βασιλευούσης Κωνσταντινουπόλεως ἀρχιεπισκόπου νέας Ῥώμης, ἃ πρὸς τοὺς τῆς ἀνατολῆς ὀρθοδοξοτάτους ἀρχιερεῖς ἐξαπέστειλε· καὶ μοῦ τοι καὶ τὰ παρ' αὐτῶν πρὸς αὐτὸν ἀνταποσταλέντα, γλυκεῖτε καὶ διόσμῳ κηρῷ τῆς τῶν ἁγίων πατέρων ὀρθοδόξου πίστεως περιανθιζόμενα, τὰς πάντων ἡμῶν νοερὰς αἰσθήσεις τῇ εὐωδίᾳ κατήρδευσαν, καὶ τοὺς κατὰ ψυχὴν ἐν τῇ πίστει χωλεύοντας τῇ ῥωσικῇ δυνάμει τῆς ὀρθοδόξου διδασκαλίας ἐξιάσαντο. διὸ δὴ κἀγὼ τούτοις τὰ ἴσα φρονῶν, ἀποδέχομαι καὶ περιπτύσσομαι τὰς σεπτὰς εἰκόνας κατὰ τὴν ἀρχῆθεν παράδοσιν, δηλαδὴ τὴν ἀποστολικήν. ἐκεῖνο δὲ τὸ συνέδριον, ὅτινες καὶ ἑβδόμην ἀθέσμως παρελήρησαν σύνοδον, καὶ τοὺς τὰ αὐτὰ αὐτῷ φρονοῦντας τοῖς φοβεροῖς ἀποπέμπομαι ἀναθέμασιν.

Λέων ὁ ὁσιώτατος * ἐπίσκοπος καὶ τὸν τόπον ἐπέχων τῆς μητροπόλεως Σίδης εἶπε· χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῖς σαλεῖσι γράμμασι παρὰ τῆς τῶν ἀνατολῆς ἀρχιερέων πρὸς Ταράσιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον καὶ οἰκουμενικὸν πατριάρχην σοιχῶ καὶ ἐμμένω· καὶ τοὺς μὴ ὕπω φρονοῦντας ἀναθέματι παραπέμπω. * L. πραιτο-σιτος.

Νικόλαος ὁ διαβέσατος μοναχὸς καὶ ἡγούμενος τοῦ Ἄπρου, καὶ τὸν τόπον ἐπέχων τῆς μητροπόλεως Τυάνων, ἐξεφώνησεν ὁμοίως.

Γρηγόριος ὁ ὁσιώτατος ἐπίσκοπος Νεοκαισαρείας εἶπε· τοῖς σαλεῖσι γράμμασιν ἀπὸ τῆς ἀνατολῆς παρὰ τῶν αὐτόθι ἀρχιερέων πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν πατριάρχην, σοιχῶ καὶ ἀποδέχομαι, καὶ ἀσπάζομαι τὰς ἁγίας

καὶ

καὶ σεπτὰς εἰκόνας· καὶ τοὺς μὴ οὕτω φρονοῦντας ἀναθέματι ὑποβάλλω.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Κατάνης εἶπε. οἷς ὁ τῆς εὐσεβείας μεμελέτηται τρόπος, τούτοις δήπου πάντως καὶ ὁ τῆς ὀρθοξίας διαλάμπεται λόγος. εἰκότως τοίνυν καὶ ἡ ἐμὴ βραχύτης τοῖς ἀναγνωσθεῖσιν ἱεροῖς καὶ συνοδικοῖς γράμμασι τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου τῆς βασιλευούσης τῶν πόλεων ἀρχιπροέδρου Ταρασίου, ἃ πρὸς τοὺς τῆς ἑῴας ἐξαπέστειλεν· ἔτιγε μὴν καὶ τοῖς παρ' αὐτῶν πρὸς αὐτὸν ἀποσταλεῖσι νουνεχῶς τὸ τῆς διανοίας ἐνερείσασα ὄμμα, κατὰ πάντα τῇ τῶν ἁγίων πατέρων συμφωνοῦντα ὀρθοδόξῳ πίστει διὰ τῆς ἀναγνώσεως ἔγνω. διὸ τὰ αὐτὰ αὐτοῖς φρονῶν, ἀποδέχομαι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας. προδήλως τε τὴν γεγονυῖαν καινοτομίαν τῆς θρυλλουμένης ἑβδόμης ψευδοσυνόδου, καὶ τοὺς τὰ αὐτὰ αὐτῇ φρονοῦντας τοῖς ἀναθεματισμοῖς ἀποπέμπομαι.

Αναστάσιος ὁ ὁσιώτατος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ηπείρου εἶπε. σύμφωνα ὁρῶν τὰ συνοδικὰ γράμματα Ταρασίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τὰ ἀντίγραφα αὐτῶν τὰ ἀπὸ τῶν τῆς ἀνατολῆς ἀρχιερέων, συντίθεμαι αὐτοῖς, καὶ ὁμολογῶ οὕτω φρονεῖν, καὶ μέχρι τέλους ἄτρωτος διαμένειν· καὶ ἀποδέχομαι καὶ ἀσπάζομαι τὰς σεπτὰς καὶ ἱερὰς εἰκόνας, καὶ τοὺς μὴ οὕτω φρονοῦντας τῷ ἀναθέματι ὑποβάλλω.

Ιωάννης ὁ ὁσιώτατος ἐπίσκοπος Ταυρομένιου εἶπεν· ὥσπερ ἐν φρονοῦντες ἐληλύθαμεν, οὕτως καὶ ἐν λέγειν ἐδιδάχθημεν. συμφώνων τοίνυν οὐσῶν τῶν ὑπαναγνωσθεισῶν συνοδικῶν κεραιῶν Ταρασίου τοῦ ὁσιωτάτου οἰκουμενικοῦ πατριάρχου, τῶν σταλεισῶν παρ' αὐτοῦ πρὸς τοὺς τῆς ἑῴας ἁγιωτάτους ἀρχιερεῖς, καὶ τῶν ἀντιγράφων τῶν παρ' αὐτῶν πρὸς αὐτὸν πεμφθέντων περὶ τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως τῶν ἓξ οἰκουμενικῶν συνόδων, οὕτως κἀγὼ πιστεύω, ἀποδεχόμενος καὶ προσκυνῶν τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας καὶ ἐν ταύτῃ τῇ ὀρθοδόξῳ πίστει εὔχομαι ζήσας παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ μετὰ παῤῥησίας· καὶ τοὺς μὴ οὕτω φρονοῦντας ἀναθέματι ὑποβάλλω.

Γρηγόριος ὁ ὁσιώτατος ἐπίσκοπος Πισινουῶντος ὁμοίως.

Νικήτας ὁ ὁσιώτατ. ἐπίσκοπος Κλαυδιουπόλεως ὁμοίως.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Συλαίου ὁμοίως.

Μιχαὴλ ὁ ὁσιώτατος ἐπίσκοπος Συνάδων ὁμοίως.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Μύρων ὁμοίως.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Ικονίου ὁμοίως.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Ρόδου ὁμοίως.

Γεώργιος ὁ ὁσιώτατος ἐπίσκοπος Πισιδίας ὁμοίως.

Εὐστάθιος ὁ ὁσιώτατος ἐπίσκοπος Λαοδικείας ὁμοίως.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Πέργης ὁμ.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Σελευκίας ὁμοίως.

Θεοφύλακτος διάκονος καὶ τοποτηρητὴς τῆς Σταυροπολιτῶν μητροπόλεως ὁμοίως.

Νικόλαος ὁ ὁσιώτατος ἐπίσκοπος Ιεραπόλεως ὁμοίως.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Καρπάθου ὁμοίως.

Θεοδόσιος ὁ ὁσιώτατος ἐπίσκοπος τοῦ Αμορίου ὁμοίως.

Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος Φάσιδος ὁμοίως.

Κύριλλος μοναχὸς καὶ τοποτηρητὴς Νικήτα ἐπισκόπου Γοτθίας ὁμοίως.

Οἱ λοιποὶ ὁσιώτατοι ἐπίσκοποι ἐξεφώνησαν.

Πᾶσα ἡ κατὰ χάριν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ φιλευσεβὲς θέσπισμα τῶν γαληνοτώτων ἡμῶν καὶ ὀρθοδόξων βασιλέων συναθροισθεῖσα ἁγία σύνοδος τὴν γενομένην ἀναφορὰν παρὰ Αδριανοῦ τοῦ πάπα τῆς πρεσβυτέρας Ρώμης πρὸς τοὺς ὀρθοδόξους ἡμῶν βασιλεῖς, καὶ τὸν νυνὶ ἀναγνωσθέντα χάρτην, ὅρον ὀρθοδοξίας τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ πατριάρχου Ταρασίου ὄντα, καὶ τὰ ἀπὸ τῆς ἀνατολῆς ἀναπεμφθέντα πρὸς τὴν αὐτοῦ μακαριότητα παρὰ τῶν ἀρχιερέων γράμματα ἀποδεχόμενοι στοιχοῦμεν, καὶ ἀσπαζόμεθα, καὶ τιμητικῶς προσκυνοῦμεν τὰς ἱερὰς καὶ σεβασμίους εἰκόνας· καὶ τὸν κατ' αὐτῶν γενόμενον ψευδοσύλλογον ἐπὶ καθαιρέσει τούτων ἀνασκάπτοντες, τῷ ἀναθέματι παραπέμπομεν· ἀλλ' ὁ Θεὸς φυλάξοι τοὺς δεσπότας ἡμῶν τοὺς ἀγαθοὺς, καὶ τὸν ἁγιώτατον πατριάρχην.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· ἡ φιλονεικία πέπαυται, καὶ τὸ μεσότοιχον ἤρθη τῆς ἔχθρας· ἀνατολὴ γὰρ, δύσις, ἄρκτος, καὶ μεσημβρία, ὑπὸ ζυγὸν ἕνα καὶ μίαν συμφωνίαν γεγόναμεν.

Ἡ ἁγία σύνοδος εἶπε· δόξα σοι ὁ Θεὸς ὁ ἑνώσας ἡμᾶς.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· χάρις τῷ εἰρηνοποιῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

Η ἁγία σύνοδος εὐφήμησε.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Κωνσταντίνου καὶ Εἰρήνης μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη.

Ορθοδόξων βασιλέων πολλὰ τὰ ἔτη.

Τοὺς φύλακας τῆς πίστεως κύριε φύλαξον.

Τοὺς ὑπερασπιστὰς τῆς ἐκκλησίας κύριε κράτυνον.

Νέου

Νέᾳ Κωνσαντίνᾳ καὶ νέας Ελένης αἰωνία ἡ μνήμη.

Εἰρηναίαν κύριε ζωὴν αὐτοῖς.

Τῶν πανσεβάστων πολλὰ τὰ ἔτη.

Τῆς ἱερᾶς συγκλήτου πολλὰ τὰ ἔτη.

ΠΡΑΞΙΣ Δ'.

ΕΝ ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, βασιλείας τῆς εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ θεοστέπτου μήκους, ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, καλανδίαις Ὀκτωβρίαις, ἰνδικτιῶνος ἑνδεκάτης.

Συνελθόντης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θείαν χάριν καὶ εὐσεβῆ θέσπισμα τῶν αὐτῆς θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τουτέστι, Πέτρου τοῦ εὐλαβεστάτου πρωτοπρεσβυτέρου τῆς κατὰ Ρώμην ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Πέτρου, καὶ Πέτρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, μοναχοῦ καὶ ἡγουμένου τῆς κατὰ Ρώμην εὐαγοῦς μονῆς τοῦ ἁγίου Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ρώμης Ἀδριανοῦ. Ταρασίου τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ρώμης, καὶ Ἰωάννου καὶ Θωμᾶ τῶν εὐλαβεστάτων πρεσβυτέρων, μοναχῶν καὶ τοποτηρητῶν τῆς ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως.

Καθεσθέντων τε πρὸ τοῦ ἱερωτάτου ἄμβωνος τοῦ ναοῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμου Σοφίας, συμπαρόντων καὶ ἀκροωμένων τῆς ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων ἀρχόντων, τουτέστι Πετρωνᾶ τοῦ παυσαφήμου ἀπὸ ὑπάτων πατρικίου, καὶ κόμητος τοῦ θεοφυλάκτου βασιλικοῦ ὀψικίου, καὶ Ἰωάννου βασιλικοῦ ὁσιαρίου καὶ λογοθέτου τοῦ στρατιωτικοῦ λογοθεσίου, καὶ πάσης τῆς ἁγίας συνόδου κατὰ τάξιν τῶν προταχθεῖσαν ἐν τῇ πρώτῃ πράξει· παρόντων καὶ τῶν θεοφιλεστάτων ἀρχιμανδριτῶν τε καὶ ἡγουμένων, καὶ πάντος τοῦ μοναχικοῦ πληρώματος, προκειμένων τῶν ἁγίων καὶ ἀχράντων τοῦ Θεοῦ εὐαγγελίων.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· κατὰ τὰς διελθούσας προσεχῶς πράξεις, πνοῆς κυρίου παντοκράτορος διδαξάσης ἡμᾶς παροιμιακῶς, ἀληθειαν ἐμελέτησεν ὁ λάρυγξ ἡμῶν, ὅτι τοῖς ἀναγνωσθεῖσι γράμμασι τῶν ἁγιωτάτων ἀνδρῶν ἀνατολῆς καὶ δύσεως σύμφωνοι γεγόναμεν. ἀλλ' ἐπειδὴ προφητικὸς λόγος ἐντέλλεται ἡμῖν· ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών, κήρυσσον ἐν ἰσχύϊ, τῷ φωνῷ σου ὕψωσον ὁ εὐαγγελιζόμενος Ἰερουσαλήμ· κηρύξατε, μὴ φοβεῖσθε. ταύτην οὖν τὴν προφητικὴν διαταγὴν ἑπόμενοι, ἱερεῖς ἄνδρες, κηρύξωμεν, τὰς φωνὰς ἡμῶν ὑψώσωμεν, εἰρηνεύσωμεν προσφθεγγόμενοι τῇ καθολικῇ ἐκκλησίᾳ, ἥτις ἐστὶν ἀληθὴς Σιὼν καὶ πόλις τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. γνώσεται δὲ τοῦτο πῶς; προσαγάγωσαν εἰς μέσον ἡμῖν πρὸς ἀκρόασιν τῆς περιδόξων ἁγίων πατέρων αἱ βίβλοι· καὶ ἐξ αὐτῆς ἀρυόμενοι, ποτίσωμεν ἕκαστος ἡμῶν τὸ καθ' ἡμᾶς ποίμνιον· ὅπου γὰρ καὶ εἰς πᾶσαν τὴν γῆν ἐξελεύσεται ὁ ἦχος τῶν ἡμετέρων φθόγγος, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα ἡμῶν ἡ δύναμις. διότι ἃ μετατίθεμεν ὅρια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, ἀλλ' ἀποστολικῶς διδαχθέντες κρατοῦμεν τὰς παραδόσεις, ἃς παρελάβομεν. Ψαλ. 18.

Κωνσαντῖνος ὁ ὁσιώτατος * Κωνσαντίας Κύριε εἶπε· κατὰ τὴν ὁμαλαλιὰν Ταρασίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἀνέθωσαν εἰς μέσον αἱ βίβλοι καὶ αἱ ῥήσεις τῶν μακαρίων πατέρων, καὶ ὁμαρρήδην τῇ ἁγίᾳ ταύτῃ συνόδῳ ἀναγνωσθήτωσαν.

Λεόντιος ὁ εὐλαβέστατος ἀσηκρῆτις εἶπε· τῇ ὀνησιφόρῳ καὶ σωτηριώδει κελεύσει τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πατριάρχου πειθαρχοῦντες, καὶ τῇ συναινέσει τῆς οἰκουμενικῆς ταύτης συνόδου, ταύτην ποιούμενοι προθυμίαν, προσαγηόχαμεν καὶ παρεστήσαμεν τὰς ἁγιωτάτας καὶ ἱερὰς βίβλους· ὧν πρώτη ἡ θεόλεκτος καὶ θεόγραπτος βίβλος, ἣν καὶ νῦν προηγουμένως ἀναγνώσομαι· πάντες τιγαρῦν νηνεχῶς καὶ ἐμφρόνως ἀκούσωμεν, καὶ τῆς λεγομένων τὴν δύναμιν ἀκριβῶς ἐπιγνῶμεν, ὅπως ὁλόκληρον τὴν ὠφέλειαν καρπωσώμεθα.

Ο αὐτὸς ἀνέγνω.

Ἐκ τῆς Ἐξόδου τῶν υἱῶν Ἰσραήλ.

Καὶ εἶπε κύριος πρὸς Μωσῆν· ποιήσεις ἱλαστήριον ἐπίθεμα χρυσίου καθαροῦ, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεος καὶ ἡμίσους τὸ πλάτος· καὶ ποιήσεις δύο χερουβὶμ χρυσᾶ τορευτὰ, καὶ ἐπιθήσεις αὐτὰ ἐξ ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου. ποιηθήσονται χερουβὶμ εἷς ἐκ τοῦ κλίτους τοῦδε, καὶ χερουβὶμ εἷς ἐκ τοῦ κλίτους τοῦ δευτέρου τοῦ ἱλαστηρίου. καὶ ποιήσεις τοὺς δύο χερουβὶμ ἐπὶ τὰ δύο κλίτη. ἔσονται οἱ χερουβὶμ ἐκτείνοντες τὰς πτέρυγας ἐπάνωθεν, συσκιάζοντες ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τοῦ ἱλαστηρίου. καὶ τὰ πρόσωπα αὐτῶν εἰς ἄλληλα, εἰς τὸ ἱλαστήριον ἔσονται τὰ πρόσωπα τῶν χερουβὶμ. καὶ ἐπιθήσεις τὸ ἱλαστήριον ἐπὶ τοῦ κιβωτοῦ ἄνωθεν· καὶ εἰς τὴν κιβωτὸν ἐμβαλεῖς τὰ μαρτύρια, ἃ ἂν δῶ σοι· καὶ γνωθήσομαί σοι ἐκεῖθεν, καὶ λαλήσω σοι ἄνωθεν τοῦ θυσιαστηρίου ἀναμέσον τῶν δύο χερουβὶμ τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου. κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι πρὸς τοὺς υἱοὺς Ἰσραήλ. Ἔξοδ. 25.

Τῶν Ἀριθμῶν.

Αὕτη ἡ ἐγκαίνισις τοῦ θυσιαστηρίου μετὰ τὸ χρισθῆναι αὐτό, καὶ τὰ σκεύη αὐτοῦ πάντα, καὶ τὸν κρατῆρα καὶ τὸν θυμιατήριον· καὶ ἐπιθεῖναι τὰ ἱμάτια τῆς λειτουργίας καὶ ποιῆσαι πάντα τὰ ἅγια τοῦ θυσιαστηρίου· καὶ ἐὰν εἰσέλθωσιν οἱ υἱοὶ Ἀαρὼν καὶ ἐπιθήσουσιν ἕκαστος ἐπὶ τὴν λειτουργίαν αὐτοῦ καὶ ἐπὶ τὸ βάστασμα αὐτοῦ· καὶ οὐκ ἐπιθήσουσιν ἔτι τὰ ἅγια, καὶ οὐκ ἀποθανοῦνται. Ἀριθμ. 7.

πληρῶσαι τὰς χεῖρας αὐτοῦ, καὶ μετὰ τὸ χρίσαι αὐτὸ ἐν τῷ εἰσπορεύεσθαι Μωσῆν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λαλῆσαι αὐτῷ. καὶ ἤκουσε τὴν φωνὴν κυρίου λαλοῦντος πρὸς αὐτὸν ἄνωθεν τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου ἀνὰ μέσον τῶν δύο χερουβὶμ, καὶ ἐλάλει πρὸς αὐτόν.

Ἰεζεκιὴλ τοῦ προφήτου.

Ἰεζεκ. 41. Καὶ εἰσήγαγέ με εἰς τὸν ναόν. ὡς διεμέτρησε τὸ αἰλὰμ πίχεων ἓξ τὸ πλάτος ἔνθεν, καὶ πήχεων ἓξ τὸν εὖρος τοῦ αἰλάμ. καὶ μεθ' ἕτερα. καὶ ὁ οἶκος, καὶ τὰ πλησίον ἐξυλωμένα κύκλῳ, καὶ τὸ ἔδαφος· καὶ ἐκ τοῦ ἐδάφους ἕως τῶν θυρίδων· καὶ θυρίδες ἀναπτυσσόμεναι τρισσῶς εἰς τὸ διακύπτειν, καὶ ἕως πλησίον τῆς ἐσωτέρας, καὶ ἕως τῆς ἐξωτέρας, καὶ ἐφ' ὅλον τὸν τοῖχον κύκλοθεν ἐν τῷ ἔσωθεν καὶ ἐν τῷ ἔξωθεν, γεγλυμμένα χερουβὶμ καὶ φοίνικες· καὶ φοίνιξ ἀνὰ μέσον χερουβὶμ καὶ χερουβὶμ· δύο πρόσωπα τῷ χερουβὶμ· πρόσωπον ἀνθρώπου πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν, καὶ πρόσωπον λέοντος πρὸς τὸν φοίνικα ἔνθεν καὶ ἔνθεν, διαγεγλυμμένος ὅλος ὁ οἶκος κυκλόθεν. ἐκ τοῦ ἐδάφους ἕως τοῦ φατνώματος τὰ χερουβὶμ.

Ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου Παύλου.

Ἑβρ. 9 Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν. σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων ἥ τις λέγεται ἁγία. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. ὑπεράνω δὲ * αὐτῶν χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον·

αὐτῆς

Ὁ ὁσιώτατος πατριάρχης εἶπεν· σκοπήσωμεν ἱεροὶ ἄνδρες, ὅτι ἡ παλαιὰ εἶχε θεῖα σύμβολα, χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· καὶ ἐκ ταύτης παρέλαβεν ἡ νέα.

Ἡ ἁγία σύνοδος εἶπε· ναὶ δέσποτα, ἀλήθεια.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἐὰν ἡ παλαιὰ εἶχε χερουβὶμ κατασκιάζοντα τὸ ἱλαστήριον, καὶ ἡμεῖς εἰκόνας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἁγίας θεοτόκου, καὶ τῶν ἁγίων αὐτοῦ ἔξομεν, κατασκιαζούσας τὸ ἱλαστήριον.

Οἱ μεγαλοπρεπέστατοι ἄρχοντες εἶπον· ἀληθῶς Θεοῦ διαταγή ἐστιν.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· καθὼς ἀνεγνώσθη, πρόσωπον ἀνθρώπου εἶχε τὸ χερουβὶμ. καὶ πῶς τινες λέγουσιν, ὅτι τίς εἶδε πρόσωπον χερουβίμ; καίτοιγε εἶπε γλυπτὸν πρόσωπον.

Ὁ ἁγιώτατος πατριάρχης εἶπε· πάντες οἱ ἅγιοι οἱ ἀξιωθέντες ἰδεῖν ἀγγέλους, ἀνθρωπομόρφους αὐτοὺς ἀθεάσαντο, καθὼς διαφόρως ἐν τῇ γραφῇ ἀνέγνωμεν. διὸ καὶ περὶ τῶν χερουβὶμ ὁ Θεὸς Μωσεῖ ἐχρημάτιζε λέγων· ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει. κἀντεῦθεν ὁ θεράπων Μωσῆς, ὁποίους τύπους ἐθεάσατο, τοιούτους καὶ πεποίηκε· μεθ' ὧν καὶ τὰ χερουβὶμ. Ἐξοδ. 25.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ὅτε δὲ ἐκινεῖτο ὁ λαὸς πρὸς εἰδωλολατρείαν, τηνικαῦτα ὁ Θεὸς εἶπε τῷ Μωσεῖ. οὐ ποιήσεις πᾶν ὁμοίωμα πρὸς τὸ λατρεῦσαι αὐτοῖς.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολῆς εἶπεν· ὑψηλότερον τούτων, ὅτι καὶ Ἰακὼβ στήλην ἤγειρε τῷ Θεῷ. ὅθεν καὶ εὐλόγησεν αὐτὸν, ἐπαγγειλάμενος τὰς ὑπὲρ λόγον δωρεάς· καὶ ἑτέρωθι ἀνθρωποειδῶς ἐπάλαισε μετ' αὐτοῦ, καὶ προσηγόρευσεν αὐτὸν Ἰσραὴλ, ὅ ἐστι μεθερμηνευόμενον, νοῦς ὁρῶν τὸν Θεόν. αὐτὸς δέ φησιν. εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. καὶ ἰδοὺ οὐ μόνον αἱ νοεραὶ δυνάμεις ὤφθησαν, ἀλλὰ καὶ αὐτὸς ὁ φύσει ἀόρατος Θεὸς καὶ ἀσώματος, ὡς δέδεικται ἐν τῇ ἡμετέρᾳ ἰδέᾳ. Γενέσ. 250 Γενέσ. 324.

Δημήτριος ὁ εὐλαβέστατος διάκονος καὶ σκευοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως ἀνέγνω.

Τοῦ ἁγίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ εἰς Μελέτιον ἐγκωμίου, οὗ ἡ ἀρχή.

Πανταχοῦ τῆς ἱερᾶς ταύτης ἀγέλης περιφέρων τοὺς ὀφθαλμοὺς, καὶ τὴν πόλιν ἅπασαν ἐνταῦθα παροῦσαν βλέπων, οὐκ ἔχω τίνα μακαρίσω. καὶ μεθ' ἕτερα. καὶ ἦν εὐλαβείας διδασκαλία τὸ γινόμενον. συνεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι, καὶ τὸν ἅγιον ἐκεῖνον ἔχειν ἐπὶ ψυχῆς, παντὸς ἀλόγου πάθους καὶ λογισμοῦ φυγαδευτήριον εἶχον τὸ ὄνομα. καὶ οὕτω πολὺ γέγονε τοῦτο, ὡς πανταχοῦ, καὶ ἐν ἀμφόδοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἀγροῖς, καὶ ἐν ὁδοῖς τούτῳ πάντοθεν περιηχεῖσθαι τῷ ὀνόματι· οὐ πρὸς τὸ ὄνομα δὲ τοσοῦτον ἐπάθετε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τοῦ σώματος τὸν τύπον· ὅπερ γοῦν ἐν ὀνόμασιν ἐποιήσατε, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἐπράξατε τῆς ἐκείνου· καὶ γὰρ ἐν δακτυλίων σφενδόνας, καὶ ἐν ἐκπώμασι καὶ φιάλαις, καὶ ἐν θαλάμων τοίχοις, καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην διεχάραξαν πολλοί· ὡς μὴ μόνον ἀκούειν τῆς ἁγίας προσηγορίας ἐκείνης, ἀλλὰ καὶ ὁρᾷν αὐτοῦ πανταχοῦ τοῦ σώματος τὸν τύπον, καὶ διπλῆν τινα τῆς ἀποδημίας ἔχειν παραμυθίαν.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Νικομηδείας εἶπεν· εἰ Ἰωάννης ὁ Χρυσόστομος τοιαῦτα λέγει

γει περὶ τῆς εἰκόνων, τίς ἔτι τολμᾷ εἰπεῖν κατ' αὐτόν τι;

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκ. Ἀγκύρας εἶπεν· ἀπεδέξατο αὐτὰς ἀληθῶς· καὶ τοιοῦτον πόθον εἶχον οἱ τότε δεσεβεῖς εἰς τιμὴν εἰκόνα αὐτοῦ, ὥσε πανταχοῦ ἐξετύπων τιμὴ εἰκόνα τοῦ ἁγίου Μελετίου. ὅθεν καὶ ὁ πατὴρ ὑπερβαλλόντως αὐτὸν ἐπαινεῖ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ ἡμεῖς ἐκ τῆς πατέρων ἡμῶν παρειληφότες τὰς διδασκαλίας, λέγομεν αὐτὰς καὶ σεπτὰς, καὶ ἁγίας, καὶ ἱερὰς.

Θεοδόσιος ὁ δίλαβέστατος ἡγούμενος μονῆς τοῦ ἁγίου Ἀνδρέου τοῦ Νησίου προσηύξατο βίβλον τοῦ αὐτοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, αἰτούμενος ἀναγνωσθῆναι. ᾧ λαβὼν Ἀντώνιος μοναχὸς ἀνέγνω.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου λόγος· ὅτι παλαιᾶς καὶ καινῆς διαθήκης εἷς ὁ νομοθέτης. Καὶ εἰς τὸ σύνδυμα τοῦ ἱερέως, ἧς ἡ ἀρχή.

Τῆς Χριστοῦ βασιλείας τὸ εὐαγγέλιον προκηρύττουσι μὲν προφῆται. καὶ μεθ' ἕτερα. ἐγὼ καὶ τιμὴ κηρύχτον ἠγάπησα γραφὴν εὐσεβείας πεπληρωμένην. εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων νέφη· εἶδον πατούμενα βαρβάρων φῦλα, καὶ τὸν Δαβὶδ ἀληθεύοντα· κύριε ἐν τῇ πόλει σου τιμὴ εἰκόνα αὐτῶν ἐξευδοκώσεις.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ ὁ χρυσοῦ τιμαλφέστερον ἔχων τὸ σῶμα τοιοῦτον λόγον ἐφώνησεν· ἐγὼ καὶ τιμὴ κηρύχτον ἠγάπησα γραφήν· τί λέγομεν περὶ τῶν μισούντων; Ψαλ. 72.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκ. Ἀγκύρας εἶπεν· ἐκείνου λέγοντος, ὅτι ἐγὼ ἠγάπησα, τίς τολμᾷ φάναι τὸ ἐναντίον;

Ἰωάννης ὁ δίλαβέστατος μοναχὸς καὶ πρεσβύτερος, καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν ἀρχιερέων, εἶπε. τίς ἐστιν οὗτος ὁ ἄγγελος, εἰ μὴ περὶ οὗ γέγραπται· ὅτι ἄγγελος κυρίου ἐπάταξεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῆς Ἀσσυρίων ἐν μιᾷ νυκτὶ περὶ τὴν Ἱερουσαλὴμ ἐστρατοπεδευκότων; Βασίλ. 19

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκ. τῆς Δυρραχίου εἶπεν· ἀλλ' ἵλεως ἡμῖν γένοιτο κύριος ἐπὶ τοῖς παραπτώμασιν οἷς ἐποιήσαμεν περὶ τὰς ἱερὰς εἰκόνας.

Γρηγόριος διάκονος καὶ νοτάριος ἀνέγνω.

Ἐκ τοῦ λόγου τοῦ ἁγίου Γρηγορίου Νύσσης, λεχθέντος ἐν Κωνσταντινουπόλει περὶ θεότητος υἱοῦ καὶ πνεύματος, καὶ εἰς τὸν Ἀβραάμ· ἧς ἡ ἀρχή.

Οἵοντι πάσχουσι πρὸς τοὺς πολυανθεῖς τῆς λειμώνας. καὶ μεθ' ἕτερα· εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργὴς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν. λοιπὸν προκειται ὁ Ἰσαὰκ τῷ πατρὶ παρ' αὐτῷ τῷ θυσιαστηρίῳ ὀκλάσας ἐπὶ τὸ γόνυ, καὶ περιημμένος ἔχων εἰς τὰ ὀπίσω τὰς χεῖρας. ὁ δὲ ἐπιεβηκὼς κατόπιν τῷ ποδὶ τῆς ἀγκύλης, καὶ τῇ λαιᾷ χειρὶ τὴν κεφαλὴν τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ προσώπῳ ἐλεεινὸς πρὸς αὐτὸν ἀναβλέποντι· καὶ τὴν δεξιὰν καθοπλισμένῳ τῷ ξίφει πρὸς τὸν σφαγὴν κατευθύνει· καὶ ἅπτεται ἤδη τοῦ σώματος τῇ τοῦ ξίφους ἀκμῇ· καὶ τότε αὐτῷ γίνεται θεόθεν φωνὴ τὸ ἔργον κωλύουσα. Γενέσ. 22.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἴδε πῶς * ἠδύνηθη ὁ πατὴρ ἡμῶν εἰς τὴν ἱστορίαν, ὥσε καὶ ἐδάκρυσεν. * ὠδυνήθη

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκ. Ἀγκύρας εἶπε· πολλάκις ὁ πατὴρ ἀνέγνω τὴν ἱστορίαν, ἀλλὰ τυχὸν οὐκ ἐδάκρυσεν· ἀλλ' ὀπτικὴ τὴν ζωγραφίαν κατεῖδεν, ἐδάκρυσεν.

Ἰωάννης ὁ δίλαβέστατος μοναχὸς καὶ πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν ἀρχιερέων εἶπεν· εἰ τοιοῦτο διδασκάλου ἡ ἱστορία παρέχει ὠφέλειαν καὶ δάκρυα, πόσῳ γε μᾶλλον τοῖς ἀμαθέσι καὶ ἰδιώταις παρέξει κατάνυξιν καὶ ὠφέλειαν;

Ἡ ἁγία σύνοδος εἶπεν. ἐν διαφόροις τόποις ἐθεασάμεθα τὴν τοῦ Ἀβραὰμ ἱστορίαν, καθὼς ὁ πατὴρ φησι.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Κατάνης εἶπεν· εἰ ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος εἰς τὰ θεῖα νοήματα, τὴν Ἀβραὰμ τὴν ἱστορίαν θεασάμενος ἐδάκρυσε, πόσῳ μᾶλλον ἡ ἐζωγραφημένη σύναρχος οἰκονομία τοῦ δεσπότου ἡμῶν Χριστοῦ, τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος, τοὺς ὁρῶντας πρὸς ὠφέλειαν καὶ δακρύων χύσιν προτρέψεται;

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ εἴδομεν εἰκόνα ἐσταυρωμένου ἐπιδεικνῦσαν τὸν κύριον, οὐκ ἂν καὶ ἡμεῖς ἐδακρύσαμεν;

Ἡ ἁγία σύνοδος εἶπε· μεγάλως· ἐν αὐτῇ γὰρ ἀκριβῶς καταυγάζεται τὸ τῆς ταπεινώσεως ὕψος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ.

Στέφανος ὁ δίλαβέστατος διάκονος καὶ νοτάριος καὶ ῥεφερενδάριος ἀνέγνω.

Τοῦ ἁγίου Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας, ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἀκάκιον ἐπίσκοπον Σκυθοπόλεως, περὶ τοῦ ἀποπομπαίου· ἧς ἡ ἀρχή.

Τοῖς παρὰ τῆς σῆς ὁσιότητος ἀρτίως ἐπεσαλμένοις ἐντυχὼν, ἥδιον ἄγαν. καὶ μεθ' ἕτερα· φαμὲν ἓν, ὅτι σκιὰ καὶ τύπος ὁ νόμος, καὶ οἱονεὶ γραφὴ παρατεθεῖσα πρὸς θέαν τοῖς ὁρῶσι τὰ πράγματα. αἱ δὲ σκιαὶ τῆς γραφούσης ἐν πίναξι τέχνης τὰ πρῶτα τῶν χαραγμάτων εἰσίν· αἷς εἴπερ ἐπενεχθεῖεν τῆς χρωμάτων τὰ ἄνθη, τότε δὴ τότε τῆς γραφῆς ἀπά-

Θωμᾶς ὁ εὐλαβέστατος μοναχὸς μονῆς τοῦ Χηνολάκκου εἶπε. βίβλον τοῦ μακαρίου Ἀστερίου ἐπιφέρομαι, καὶ προσφέρω τῇ ἁγίᾳ συνόδῳ· καὶ ὡς κελεύετε.

Η ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω.

Καὶ λαβὼν Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Τοῦ μακαρίου Ἀστερίου ἐπισκόπου Ἀμασείας ἔκφρασις εἰς Εὐφημίαν τὴν μάρτυρα.

Πρώην, ὦ ἄνδρες, Δημοσθένην εἶχον ἐν χερσὶ τὸν δεινὸν, καὶ Δημοσθένους ἐκεῖνα, ἔνθα δὴ τὸν Αἰσχίνην πικροῖς βάλλει τοῖς ἐνθυμήμασιν. ἐγχρονίσας δὲ τῷ λόγῳ, καὶ πυκνωθεὶς τὴν διάνοιαν, ἀνέσεως ἐδεόμην καὶ περιπάτου, ὥστε μοι λυθῆναι μικρὸν τῆς ψυχῆς τὸ πονούμενον. προελθὼν δὲ τοῦ δωματίου, καὶ ὀλίγα τοῖς γνωρίμοις συμβαδίσας ἐπ' ἀγορᾶς, ἐκεῖθεν εἰς τὸ τοῦ Θεοῦ τέμενος ἀφικόμην εὐξόμενος ἐν σχολῇ. ὡς δὲ καὶ τούτου τυχὼν ἔνα δὴ * τῶν ὑποστέγων δρόμον ἐβάδιζον, εἶδον ἐκεῖ γραφήν τινα, καί με κατ' ἄκρας εἷλεν ἡ θέα. Εὐφράνορος ἂν εἶπες εἶναι φιλοτέχνημα, ἤ τινος ἐκείνων τῶν παλαιῶν, οἳ τὴν γραφικὴν ἦραν εἰς μέγα, ἐμψύχους ἐλίγου δέοντος ἐργασάμενοι πίνακας. δεῦρο δ' εἰ βούλει· καὶ γὰρ σχολὴ νῦν διηγήματος· φράσω σοι τὴν γραφήν. οὐδὲ γὰρ φαυλότερα πάντως τῶν ζωγράφων οἱ μουσῶν παῖδες ἔχομεν φάρμακα. γυνή τις ἱερὰ παρθένος ἀκήρατος Θεῷ τὴν σωφροσύνην καθιερώσασα, Εὐφημίαν καλοῦσιν αὐτὴν, τυράννου δέ ποτε τοὺς εὐσεβοῦντας ἐλαύνοντος, μάλα προθύμως τὸν ἐπὶ θανάτῳ εἵλετο κίνδυνον. οἱ δὲ δὴ πολῖται καὶ κοινωνοὶ τῆς θρησκείας, ὑπὲρ ἧς ἐτελεύτησεν, ὡς ἀνδρείαν ὁμοῦ καὶ ἱερὰν τὴν παρθένον θαυμάσαντες, πλησίον τοῦ ἱεροῦ τὴν θήκην δειμάμενοι, καταθέμενοί τε τὴν λάρνακα, τιμὰς τελοῦσιν αὐτῇ καὶ ἐτήσιον ἑορτὴν, κοινὴν καὶ πάνδημον ποιοῦντες πανήγυριν. οἱ μὲν οὖν τῶν τοῦ Θεοῦ μυστηρίων ἱεροφάνται καὶ λόγῳ τιμῶσι τὴν μνήμην ἀεὶ, καὶ ὅπως ἐξετέλεσε τὸν τῆς καρτερίας ἀγῶνα, ἐπιμελῶς τοὺς συνιόντας λαοὺς ἐκδιδάσκουσιν. ὁ δὲ δὴ ζωγράφος εὐσεβὼς καὶ αὐτὸς διὰ τῆς τέχνης κατὰ δύναμιν πᾶσαν τὴν ἱστορίαν ἐν σινδόνι χαράξας, αὐτοῦ που περὶ τὴν θήκην ἱερὸν ἀνέθηκε θέαμα. ἔχει δὲ ὧδε τὸ φιλοτέχνημα. ὑψηλὸς ἐπὶ θρόνου καθίδρυται δικαστὴς, πικρὸν καὶ δυσμενὲς βλέπων εἰς τὴν παρθένον. ὀργίζεται γὰρ ὅταν ἐθέλῃ κἂν ταῖς ἀψύχοις ὕλαις ἡ τέχνη. δορυφόροι δὲ τῆς ἀρχῆς καὶ στρατιῶται πολλοί· οἱ μὲν τῶν ὑπομνημάτων ὑπογραφεῖς δέλτους φέροντες καὶ γραφίδας· ὧν θάτερος ἀναρτήσας ἀπὸ τοῦ κηροῦ τὴν χεῖρα, βλέπει πρὸς τὴν κρινομένην σφοδρῶς, ὅλον ἐκκλίνας τὸ πρόσωπον, ὥσπερ παρακελευόμενος γεγωνότερον λαλεῖν, ἵνα μὴ κάμνων περὶ τὴν ἀκοὴν, ἐσφαλμένα γράφη καὶ ἐπιλήψιμα. ἔστηκε δὲ ἡ παρθένος ἐν φαιῷ χιτῶνι ἱματίῳ τὴν φιλοσοφίαν σημαίνουσα· ὡς μὲν ἔδοξε τῷ γραφεῖ, καὶ τὴν ὄψιν ἀστείᾳ. ὡς δέ μοι δοκεῖ, τὴν ψυχὴν κεκαλλωπισμένη ταῖς ἀρεταῖς. ἄγουσι δὲ αὐτὴν πρὸς τὸν ἄρχοντα δύο στρατιῶται, ὁ μὲν ἕλκων ἐπὶ τὸ πρόσω, ὁ δὲ κατόπιν ἐπείγων κεκραμένον τῆς παρθένου τὸ ἦθος αἰδοῖ καὶ στερρότητι. νεύει μὲν γὰρ εἰς γῆν, ὥσπερ ἐρυθριῶσα τὰς ὄψεις τῶν ἀρρένων. ἔστηκε δὲ ἀκατάπληκτος, οὐδὲν πάσχουσα πρὸς τὸν ἀγῶνα δειλόν· ὡς ἔγωγε τοὺς ἄλλους τέως ἐπήνουν ζωγράφους, ὅτε ἐθεασάμην τῆς γυναικὸς ἐκείνης τῆς Κολχίδος τὸ δρᾶμα· ὅπως μέλλουσα τοῖς τέκνοις ἐπιφέρειν τὸ ξίφος, ἐλέῳ καὶ θυμῷ μερίζει τὸ πρόσωπον. καὶ θάτερος μὲν τῶν ὀφθαλμῶν τὴν ὀργὴν ἐμφανίζει, θάτερος δὲ τὴν μητέρα μηνύει φειδομένην καὶ φρίττουσαν. νῦν δὲ τὸ θαῦμα ἀπ' ἐκείνης τῆς ἐννοίας πρὸς ταύτην μετατέθεικα τὴν γραφήν· καὶ σφόδρα γε ἄγαμαι τοῦ τεχνίτου, ὅτι μᾶλλον ἔμιξε τῶν χρωμάτων τὸ ἦθος, αἰδώ τε ὁμοῦ καὶ ἀνδρίαν κεράσας, πάθη κατὰ φύσιν μαχόμενα. προβαινούσης δὲ εἰς τὸ πρόσω τῆς μιμήσεως, δήμιοί τινες ἐν χιτωνίσκοις γυμνοὶ ἤδη ἤρχοντο τοῦ ἔργου. καὶ ὁ μὲν δραξάμενος τῆς κεφαλῆς, καὶ ἀνακλίνας εἰς τὸ κατόπιν, παρεῖχε τῷ ἑτέρῳ εὐπρεπὲς εἰς τιμωρίαν τῆς παρθένου τὸ πρόσωπον· ὁ δὲ παραστὰς ἐξέκοπτε τῶν ὁδόντων. σφύρα δὲ καὶ τέρετρον φαίνεται τῆς τιμωρίας τὰ ὄργανα. δακρύω δὲ τὸ ἐντεῦθεν, καί μοι τὸ πάθος ἐπικόπτει τὸν λόγον. τὰς γὰρ τοῦ αἵματος σταγόνας οὕτως ἐναργῶς ἐπέχρωσεν ὁ ζωγράφος, ὥστε εἴποις ἂν προχεῖσθαι τῶν χειλέων ἀληθῶς, καὶ θρηνήσας ἀπέλθοις. δεσμωτήριον μετὰ ταῦτα, καὶ πάλιν ἡ παρθένος σεμνὴ ἐν τοῖς φαιοῖς ἱματίοις κάθηται μόνη ἐκτείνουσα τὼ χεῖρε πρὸς οὐρανὸν, καὶ καλοῦσα Θεὸν ἐπίκουρον τῶν δεινῶν. εὐχομένη δὲ ταύτῃ φαίνεται ὑπὲρ κεφαλῆς τὸ σημεῖον, ὃ δὴ νόμος Χριστιανοῖς προσκυνεῖν τε καὶ ἐπιγράφεσθαι, σύμβολον οἶμαι τοῦ πάθους, ὅπερ αὐτὴν ἐξεδέχετο. εὐθὺς γοῦν καὶ μετ' ὀλίγον πῦρ ἀλλαχοῦ σφοδρὸν ὁ ζωγράφος ἀνῆψεν, ἐρυθρῷ χρώματι ἔνθεν καὶ ἔνθεν ἐπιλαμφθέντι σωματοποιήσας τὴν φλόγα. ἵστησι δὲ μέσην αὐτὴν, τὰς μὲν χεῖρας πρὸς οὐρανὸν διαπλώσασαν, ἀχθηδόνα δὲ οὐδεμίαν ἐπιφαίνουσαν τῷ προσώπῳ, ἀλλὰ τοὐναντίον γεγηθυῖαν, ὅτι πρὸς τὴν ἀσώματον καὶ μακαρίαν ἐξεδήμει ζωήν. μέχρι τούτου καὶ ὁ ζωγράφος ἔστησε τὴν χεῖρα, κἀγὼ τὸν λόγον. ὥρα δέ σοι καὶ αὐτὴν, εἰ βούλει, τελέσαι τὴν γραφὴν, ἵνα κατίδης ἀκριβῶς, εἰ μὴ πολὺ κατόπιν τῆς ἐξηγήσεως ἤλθομεν.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· εὐσεβὴς τοιγαροῦν ἐστιν ἡ τέχνη τοῦ ζωγράφου, καὶ οὐ καθὼς αὐτήν τινες ἀφρόνως σκώπτουσιν· αὐτὸς γὰρ ὁ πατὴρ τὸν ζωγράφον εὐσεβοῦντα παρατίθεται.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταν-

ἴσ. ἐν ἑνὶ ῥόμῳ

παστράψει τὸ κάλλος. ὡς μετὰ βραχέα. γέγραπται τοίνυν ἐν τῇ τῆς κοσμοποιΐας βίβλῳ· Γενέσ. 22.
καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραὰμ, ὡς εἶπε πρὸς αὐτόν· Ἀβραὰμ, Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδὺ ἐγώ. καὶ εἶπε. λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, καὶ πορεύθητι εἰς γῆν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. ἀναστὰς δὲ τὸ πρωΐ, ἐπέσαξε τὴν ὄνον αὐτοῦ. παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας, καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ. καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη, καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς, τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν. καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ. καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου· ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε· καὶ προσκυνήσαντες, ἀναστρέψομεν πρὸς ὑμᾶς. ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως, καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας τὸ πῦρ καὶ τὴν μάχαιραν. καὶ ἐπορεύθησαν οἱ δύο ἅμα. καὶ μεθ' ἕτερα· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον, καὶ ἐπέθηκε τὰ ξύλα· καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων. καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ, ἆρ' οὖν εἴπέρ τις τῶν καθ' ἡμᾶς ἐπεθύμησεν ἰδεῖν καταγεγραμμένην ἐν πίνακι τὴν ἐπί γε τῷ Ἀβραὰμ ἱστορίαν, πῶς ἂν αὐτὸν ἐχάραξεν ὁ ζωγράφος; ἆρ' ἐνενὶ πάντα δρῶντα τὰ εἰρημένα, ἢ ἀνὰ μέρος καὶ ἑτεροίως, ἤγουν ἑτεροειδῶς πλεισταχοῦ τὸν αὐτόν; οἷόν τι φημί. ποτὲ μὲν ἐφιζήσαντα τῇ ὄνῳ, συμπαραληφθέντος τοῦ παιδαρίου καὶ ἑπομένων τῶν οἰκετῶν· ποτὲ δὲ αὖ πάλιν ἀπομεινάσης τῆς ὄνου κάτω τοῖς οἰκέταις ὁμοῦ, καταφορτίσαντα μὲν τοῖς ξύλοις τὸν Ἰσαὰκ, ἔχοντα δὲ μετὰ χεῖρας τὴν μάχαιραν ὡς τὸ πῦρ. καὶ μὴν ὡς ἑτέρωθι τὸν αὐτὸν ἐν εἴδει πάλιν ἑτέρῳ, συμποδίσαντα μὲν τὸ μειράκιον ἐπὶ τὰ ξύλα, ὁπλίσαντα δὲ τῇ μαχαίρᾳ τὴν δεξιὰν, ἵν' ἐπάγοι τὴν σφαγήν. ἀλλ' ἦν οὐχ ἕτερος Ἀβραὰμ πλεισταχοῦ τῆς γραφῆς ὁρώμενος ἑτεροίως, ἀλλ' ὁ αὐτὸς πανταχοῦ. ταῖς τῶν πραγμάτων χρείαις συγκαθισταμένης ἀεὶ τῆς τοῦ γράφοντος τέχνης. οὐ γὰρ ἦν εἰκὸς, ἤγουν τῶν ἐνδεχομένων, ἐν ἑνὶ κατιδεῖν αὐτὸν πάντα δρῶντα τὰ εἰρημένα.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἰδὺ καὶ ὁ ἐν ἁγίοις Κύριλλος σύμφωνα τῷ ἁγίῳ Γρηγορίῳ τῷ Νύσσης λέγει.

Κοσμᾶς διάκονος. νοτάριος καὶ κουβουκλείσιος ἀνέγνω.

Τοῦ ἁγίου Γρηγορίου τοῦ θεολόγου ἐκ τῶν ἐπῶν, ἐκ τοῦ περὶ ἀρετῆς λόγου· οὗ ἡ ἀρχή.

Θεὸν τὸν πάντων αἴτιον πρῶτον καλῶ.
Καὶ μεθ' ἕτερα.
Οὐδ' ὁ Πολέμων ἔμοιγε σιγηθήσεται.
Καὶ γὰρ τὸ θαῦμα τῶν ἄγαν λαλουμένων.
Ἦν μὲν οὖν τὸ πρόσθεν οὗτος οὐκ ἐν σώφροσι,
Καὶ σφόδρα γ' αἰσχρὸς ἡδονῶν ὑπηρέτης.
Ἐπεὶ δ' ἔρωτι τοῦ καλοῦ κατεσχέθη.
Σύμβουλον εὑρών· οὐκ ἔχω δ' εἰπεῖν τίνα·
Εἴτ' οὖν σοφόν τιν', εἴθ' ἑαυτὸν ἀθρόως
Τοσοῦτον ὤφθη τῶν παθῶν ἀνώτερος,
Ὥσθ' ἕν τι θήσω τῶν ἐκείνου θαυμάτων.
Ἑταιρί δ' εἰσκαλεῖταί τις ἀκρατὴς νέος·
Ἥδ' ὡς πυλῶνος ἦλθε, φασὶ, πλησίον·
Τῆς δ' ἦν ὑπερκύπτων Πολέμων ἐν εἰκόνι.
Ταύτην ἰδοῦσα· καὶ γὰρ ἦν σεβασμία·
Ἀπῆλθεν εὐθὺς, καὶ θέας ἡττημένη.
Ὡς ζῶντ' ἐπαισχυνθεῖσα τὸν γεγραμμένον.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπε· καὶ ὁ ἅγιος Γρηγόριος ὁ θεηγόρος πατὴρ θαυμαστὴν ἡγήσατο τὴν εἰκόνα τοῦ Πολέμωνος.

Ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ γὰρ σωφροσύνη ἐξ αὐτῆς ἀπετελέσθη. εἰ μὴ γὰρ εἶδε τὴν εἰκόνα ἡ ἑταιρὶς τοῦ Πολέμωνος, οὐκ ἂν τῆς ἀσελγείας ἀπέστη.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκ. τοῦ Δυῤῥαχίου εἶπε· θαυμαστὴ ἡ εἰκὼν καὶ ἀξιάγαστος, ὅτι ἠδυνήθη τὸ γύναιον ῥύσασθαι ἐκ τῆς βδελυρᾶς αἰσχρουργίας.

Γεώργιος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

Ἀντιπάτρου ἐπισκόπου Βόστρων, ἐκ τοῦ λόγου τοῦ εἰς τὴν αἱμόῤῥουν· οὗ ἡ ἀρχή.

Ὅτι μὲν πρώτη Ἰουδαίων κλῆσις, ἐδίδαξεν ἡ γραφή. καὶ μεθ' ἕτερα.

Ταῦτα τοῦ σωτηρίου κρασπέδου λαβομένη ἔλεγεν ἡ αἱμόῤῥους, ὡς βασιλέα τῆς φύσεως κρατοῦσα τὸν κύριον, καὶ τοῦ πάθους τὴν τυραννίδα διδάσκουσα. καὶ τυχοῦσα τῆς δωρεᾶς, ἀνδριάντα ἤγειρε τῷ Χριστῷ, τόν μὲν πλοῦτον ἰατροῖς ἀναλώσασα, τοῦ δὲ πλούτου τὰ λειπόμενα προσενέγκασα τῷ Χριστῷ.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὥστε καὶ εἰκόνα ὁ στηλογραφῶν, τῷ Θεῷ αὐτὴν προσφέρει, ὃν τρόπον καὶ ἡ αἱμόῤῥους τὸν ἀνδριάντα.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκ. Ἀγκύρας εἶπε· κυρίως εἰπεῖν, κελεύει, καὶ ἀποδέχεται κατὰ πλάτος τοὺς ποιοῦντας εἰκόνας.

Θω-

σαντιας τῆς Κύπρου εἶπεν· ἀλλὰ μὴν καὶ ἱερὸν ἀνάθημα αὐτὸ ἀποκαλεῖ· ὁ μέντοι Θεολόγος σεβασμίαν τὴν εἰκόνα, καὶ ὁ Χρυσόστομος ἁγίαν, ὁ δὲ ἀναγνωσθεὶς πατὴρ ἱεράν. καὶ τί ἔτι πρὸς ταῦτα δύναταί τις ἀντιλέξαι;

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Μύρων εἶπεν· ἀκούοντες ἅπαντες τὰς τῶν πατέρων ἡμῶν διδασκαλίας, τὴν ψυχὴν κατενύγημεν, καὶ τὰ παρεληλυθότα ἔτη ἀποδυρόμεθα. ἀλλ' εὐχαριστοῦμεν τῷ Θεῷ, ὅτι διὰ τῶν διδασκαλιῶν τῶν ἁγίων πατέρων ἤλθομεν εἰς ἐπίγνωσιν ἀληθείας.

Θεοδόσιος ὁ ὁσιώτατος ἐπίσκ. τοῦ Ἀμορίου εἶπε· πανίερε καὶ θεοτίμητε δέσποτα, ἡμεῖς καὶ πᾶσα ἡ ἁγία σύνοδος ἀκούσαντες τὰς τῶν ἁγίων πατέρων ἡμῶν διδασκαλίας περὶ τῶν ἱερῶν εἰκόνων, πιστούμεθα, καὶ ὁμολογοῦμεν, καὶ ἱερὰς καὶ ἁγίας αὐτὰς ἀποκαλοῦμεν· καὶ ὁ μὴ οὕτως λέγων ἔστω ἀνάθεμα.

Ἡ ἁγία σύνοδος εἶπεν· ἔστω ἀνάθεμα.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκ. τοῦ Δυῤῥαχίου εἶπεν· ἀεὶ ὁ καλὸς ζωγράφος διὰ τῆς τέχνης παριστᾷ τὰ πράγματα, καθὼς καὶ ὁ τὴν τῆς μάρτυρος Εὐφημίας εἰκόνα χαράξας. διὸ καὶ ἐν τούτοις ὁ διδάσκαλος τὴν γραφικὴν τέχνην ἐπαινεῖ.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· εἰκότως ἐν τῷ λέγειν· ἐπήνουν μὲν ἐγὼ πρότερον τὰ τῆς Κολχίδος, ἕως οὗ μετῆλθον ἐπὶ τὴν εἰκόνα τῆς μάρτυρος.

Ἡ ἁγία σύνοδος εἶπε· καὶ ταῦτα καθορῶν, καὶ κατανυττόμενος.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκ. Ἀγκύρας εἶπε· καὶ ὁ ἀναγνωσθεὶς πατὴρ τὰ αὐτὰ ἔπαθε τῷ ὁσιωτάτῳ Γρηγορίῳ· ἀμφότεροι γὰρ ἐπὶ ταῖς εἰκόσι δακρυώδεις ἐγένοντο.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. προστάττει ὁ πατὴρ, καὶ ἄδειαν δίδωσιν ἐν τῷ τέλει τοῦ λόγου τῷ θέλοντι ἀναζωγραφεῖν τῶν ἀθλητικῶν μαρτύρων τὴν ἐξήγησιν. ἔφη γάρ· ὥρα δέ σοι καὶ αὐτὴν, εἰ βούλει, τελέσαι τὴν γραφήν· ἵνα κατίδῃς ἀκριβῶς, εἰ μὴ πολὺ κατόπιν τῆς ἐξηγήσεως αὐτοῦ ἤλθομεν·

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος, καὶ τὸν τόπον ἐπέχων τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολῆς, εἶπεν· ὥστε μείζων ἡ εἰκὼν τοῦ λόγου. καὶ τοῦτο Θεοῦ προνοίᾳ γέγονε διὰ τοὺς ἰδιώτας ἀνθρώπους.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· εἰ τοῖς ἁγίοις ἀνδράσι τοιαύτην κατάνυξιν ἐποίησαν αἱ ἱεραὶ εἰκόνες, πόσῳ γε μᾶλλον ἡμῖν;

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Μύρων εἶπεν· τῶν πατέρων ἡμῶν τοιαῦτα λεγόντων, οὐκ ἔχομεν τι εἰπεῖν.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος, καὶ τὸν τόπον ἐπέχων τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολῆς, εἶπεν· οὐκ ἐναντιοῦνται οἱ ζωγράφοι ταῖς γραφαῖς, ἀλλ' εἴ τι ἡ γραφὴ λέγει, ταῦτα παριστῶσι. ὥστε συνήγοροί εἰσι τῶν γεγραμμένων.

Θεοδόσιος ὁ ὁσιώτατος ἐπίσκοπος τοῦ Ἀμορίου εἶπεν· ὁ θεῖος ἀπόστολος διδάσκει λέγων. ὅσα προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη. αὗται οὖν αἱ ἅγιαι καὶ σεβάσμιαι εἰκόνες, καὶ ζωγραφίαι, καὶ ὑλογραφίαι, καὶ διὰ μουσείων, εἰς ἡμετέραν διδασκαλίαν καὶ ζῆλον καὶ τύπον εἰσὶ καὶ ἐγράφησαν, ἵνα καὶ ἡμεῖς τὸν αὐτὸν τύπον καὶ ἀγῶνα ἐπιδειξώμεθα πρὸς τὸν Θεόν· ὅπως καὶ ἡμᾶς ἀξιώσῃ τῆς στάσεως καὶ τῆς μερίδος αὐτῶν, καὶ συγκληρονόμους ποιήσῃ τῆς βασιλείας αὐτοῦ. Ρ'ωμ. 15.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Κατάνης εἶπεν· ὁ μακάριος καὶ θεοφόρος διδάσκαλος Ἀστέριος, ὡς ἀστὴρ φαεινὸς, πάντων ἡμῶν τὰς καρδίας κατηύγασεν. ὥστε οὐκ ἔξω τοῦ εἰκότος ἡ καθολικὴ ἐκκλησία παρέλαβε τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας, ἀλλ' ἁρμοδίως ταῖς τῶν ἁγίων πατέρων ἡμῶν διδασκαλίαις ἐξακολουθοῦσα.

Γρηγόριος ὁ θεοφιλέστατος διάκονος τῆς ἁγίας μεγάλης ἐκκλησίας τῶν πανευφήμων ἀποστόλων ἀνέγνω.

Ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου μάρτυρος Ἀναστασίου τοῦ Πέρσου, οὗ ἡ ἀρχή.

Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ, δι' οὗ τὰ πάντα ἐγένετο. καὶ μεθ' ἕτερα· ὡς δὲ ἐπλεόνασεν αὐτῷ ὁ πόθος τοῦ φωτισθῆναι, παρεκάλει πολλὰ τὸν προειρημένον ἄνδρα, ὥστε ἀξιωθῆναι τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος. ὁ δὲ ὑφορώμενος διὰ τὸν τῶν Περσῶν φόβον μὴ κινδυνεύσῃ ἐκ τούτου, ὑπερετίθετο αὐτό. ὅμως σὺν αὐτῷ ἀπῄει εἰς τὰς ἐκκλησίας, καὶ ηὔχετο, καὶ τὰς ἱστορίας τῶν ἁγίων μαρτύρων ἑώρα, καὶ ἐπυνθάνετο παρ' αὐτοῦ τὸ, τί ἂν εἴη ταῦτα. καὶ ἀκούων παρ' αὐτοῦ τῶν ἁγίων τὰ θαύματα, καὶ τὰς ἀφορήτους βασάνους τὰς παρὰ τῶν τυράννων ἐπαχθείσας αὐτοῖς, καὶ τὴν ὑπὲρ ἄνθρωπον αὐτῶν ὑπομονὴν, ἐθαύμαζέ τε καὶ ἐξίστατο. μείνας οὖν χρόνον ὀλίγον παρὰ τῷ εἰρημένῳ φιλοχρίστῳ ἀνδρὶ, ἀρίστην ἐπιθυμίαν εἰσδέχεται τῇ ψυχῇ, εἰς Ἱεροσόλυμα παραγενέσθαι, κἀκεῖσε τοῦ ἁγίου ἀξιωθῆναι βαπτίσματος.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Μύρων εἶπε· φαίνεται, ὅτι ἡ τῶν σεπτῶν εἰκόνων παράδοσις ἔνθεσμός ἐστιν.

Εὐθύμιος ὁ εὐλαβέστατος διάκονος καὶ μοναχὸς, νοτάριος τοῦ εὐλαβεστάτου ἐπισκόπου Γοτθίας, ἀνέγνω.

Ἐκ

Ἐκ τῶν θαυμάτων τοῦ ἁγίου μάρτυρος Ἀναστασίου· ὧν ἡ ἀρχή.

Θαυμάτων διήγησιν προβαλέσθαι βούλομαι. καὶ μετ' ὀλίγα· φέρε δὴ καὶ τὰ ἐν Καισαρείᾳ τῆς Παλαιστίνης γενόμενα ὑπὸ τοῦ ἁγίου κατὰ τὸ δυνατὸν ἱστορήσομεν. πλησιάσαντος ἐν τῇ ἁγίᾳ πόλει τοῦ ἁγίου λειψάνου, γνωστὸν γέγονε πάσῃ τῇ πόλει. καὶ εὐφροσύνης μεγάλης πλησθέντες ἅπαντες, ἀναστάντες, τά τε ἱερὰ ξύλα σημάναντες· συνηθροίσθησαν ἅπαντες ἐν τῷ πανσέπτῳ ναῷ τῆς θεοτόκου, ἐπιλεγομένῳ τῆς Νέας. κἀκεῖθεν μετὰ σταυρῶν καὶ λιτῆς ὑπήντησαν τῷ ἁγίῳ λειψάνῳ, μετὰ δοξολογίας χαίροντες καὶ ἀγαλλιώμενοι. καὶ ὥσπερ ἀναθήλαντες, μᾶλλον δὲ ἀναζωπυρήσαντες ἐπὶ τῇ παρουσίᾳ τοῦ μάρτυρος ἐκ τῆς περικειμένης αὐτοῖς τῆς τε ὀλιγοπιστίας καὶ ἑτέρων δεινῶν νεκρώσεως, μεγάλην ἔλαβον παραψυχήν. προσευχομένων δὲ αὐτῶν, καὶ κατασπαζομένων, καὶ περιειλισσομένων τῇ σορῷ, καὶ τὸ ὀφειλόμενον γέρας ἀπονεμόντων τῷ λειψάνῳ καὶ τῇ μνήμῃ τοῦ ἁγίου τούτου, γυνή τις τῶν δῆθεν ἐπιφανῶν τῆς Καισαρέων· εἰ οὕτως δέον εἰπεῖν, καὶ μὴ μᾶλλον ὡς ἑτέρως, ὡς αὐτὰ ἐδήλωσε τὰ πράγματα· ᾗ ὄνομα μὲν Ἀρετὴ, τρόπος δὲ ἀντίθετος ἀρετῆς, πρὸς δυσπιστίαν τραπεῖσα ἔλεγεν· ἐγὼ λείψανον ἀπὸ Περσίδος ἐρχόμενον οὐ προσκυνῶ. ὦ τῆς ἀθλίας καὶ ἀγνώμονος ψυχῆς. οὐκ ἤκουσεν ἡ τάλαινα αὕτη τοῦ ἱεροψάλτου Δαβὶδ ἐπιτιμῶντος τῇ τῶν ἀκολάστων αὐθαδείᾳ, καὶ λέγοντος· παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. τί οὖν ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν Θεὸς ποιεῖ ἐπ' αὐτῇ, ἀκολούθως ἐγὼ ἐρῶ. εἰσελθόντος ἐν τῇ πόλει τοῦ ἁγίου λειψάνου, κοινῇ βουλευσάμενοι οἱ τῆς αὐτῆς πόλεως, ἀπήρξαντο κτίζειν εὐκτήριον τῷ ἁγίῳ πλησίον τοῦ Τετραπύλου τοῦ ἐν τῷ μέσῳ τῆς πόλεως· ἔστησαν δὲ καὶ εἰκόνα αὐτοῦ ἐκεῖ. ἔτι δὲ κτιζομένου αὐτοῦ· ἐπιστὰς ὁ μάρτυς τῇ δυστυνοτάτῃ κατ' ὄναρ ἐν σχήματι μοναχοῦ, φησίν αὐτῇ· τὰς * ψύας σου πονεῖς; ἡ δὲ πρὸς αὐτόν· οὐχὶ δέσποτα, οὐδὲν κακὸν ἔχω, ὑγιής εἰμι· ἅμα τε τῷ λόγῳ διϋπνίσασα, καὶ αἰσθομένη διεμπεσοῦσαν αὐτῇ σφοδρῶς τὴν ἀλγηδόνα, ἤρξατο βοᾶν, καὶ στενάζειν, καὶ συνέχεσθαι, ὥστε μὴ δύνασθαι αὐτὴν μηδόλως ἀναπνεῦσαι ἀφόρητα πάσχουσαν· ὅπως σχολὴν ἄγουσα ἀναλογίσηται καὶ ζητήσῃ ἐν ἑαυτῇ, τίς ἡ αἰφνίδιος αὕτη ὀδύνη, καὶ ἐκ ποίου αἰτίου. ἀλλ' ἐν τούτοις διετέλεσεν ἡμέρας τέσσαρας· πέμπτης δὲ ἡμέρας ἐπιφωσκούσης, ὁρᾷ ἐπιστάντα αὐτῇ τὸν ἅγιον, καὶ λέγοντα· κάτελθε εἰς τὸ Τετράπυλον, καὶ παρακάλεσον τὸν ἅγιον Ἀναστάσιον, καὶ ὑγιαίνεις. ἀναστᾶσα δὲ αὕτη, καὶ εἰς μνήμην ἐλθοῦσα τῶν δυσφήμων αὐτῆς ῥημάτων ὧν ἐλάλησε κατὰ τῆς ἰδίας κεφαλῆς, προσκαλεσαμένη τοὺς παῖδας αὐτῆς, λέγει αὐτοῖς· ἄρατέ με, ἄρατέ με ἀπέλθωμεν ἐν τῷ Τετραπύλῳ τοῦ ἁγίου Ἀναστασίου. οἶδα γὰρ νῦν διδαχθεῖσα καὶ ἀπὸ Περσίδος ἐρχόμενον λείψανον προσκυνεῖν καὶ τιμᾷν, καὶ ἃ ὁ Θεὸς ἐκαθάρισε, μὴ κοινοῦσθαι. ἀναλαβόμενοι οὖν αὐτὴν οἱ παῖδες αὐτῆς ἐπὶ φορείου, ἀπήρχοντο. ὡς δὲ ἐπλησίαζον τῷ τόπῳ, αὕτη ἐκ μήκους ἄρασα τὸ ὄμμα, καὶ θεασαμένη τὴν εἰκόνα τοῦ ἁγίου, ἤρξατο μεγαλοφώνως σὺν ἐκχύσει δακρύων βοᾶν· οὗτός ἐστιν ἀληθῶς, ὃν εἶδον ἐν ὕπνοις προλέγοντά μοι περὶ τῶν συνεχόντων με δεινῶν. καὶ ῥίψασα ἑαυτὴν ἐπὶ τοῦ ἐδάφους, καὶ κλαύσασα ἱκανῶς, καὶ ἐξιλεωσαμένη τὸν ἅγιον, τότε ἀνέστη ὑγιαίνουσα. καὶ ἡ πρὸ ὀλίγου ὑπὸ ἑτέρων βασταχθεῖσα, καὶ περὶ τὰ ἔσχατα κινδυνεύουσα, οἰκείοις ποσὶ περιπατήσασα ἀπῆλθεν εἰς τὸν οἶκον αὐτῆς, συμφώνως τοῖς λοιποῖς αἰνοῦσα καὶ δοξάζουσα τὸν Θεὸν, καὶ μεγαλαυχοῦσα τὸν μάρτυρα.

Ψαλ. 33.

* ἑ. ὀσφύαν

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τοποτηρηταὶ Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης εἶπον. αὕτη ἡ εἰκὼν τοῦ ἁγίου Ἀναστασίου ἕως τῆς σήμερον ἡμέρας ἐν Ῥώμῃ ἐστὶν εἰς μοναστήριον σὺν τῇ τιμίᾳ αὐτοῦ κεφαλῇ.

Ἰωάννης ὁ εὐλαβέστατος ἐπίσκ. * Ταυρομενίου εἶπεν· ἀληθῶς εἰρήκασιν οἱ τιμιώτατοι τοποτηρηταὶ, ἐπειδὴ καὶ ἐν Σικελίᾳ ἐχρημάτιζε γυνή τις δαιμονιῶσα· καὶ ἐν Ῥώμῃ γενομένη, διὰ τῆς προειρημένης ἱερωτάτης εἰκόνος ἐξιάθη.

* ἄλ. Ταυρομενίας.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος, καὶ μοναχὸς, καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· πρὸς τοῖς εἰρημένοις ἀπεδείχθη ἐκ τῶν ἀναγνωσθέντων, ὅτι καὶ αἱ εἰκόνες τῶν ἁγίων θαυματουργοῦσι, καὶ ἰάσεις ἀποτελοῦσιν.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκ. Νικομηδείας εἶπε. βίβλον ἐπιφέρομαι τοῦ ἁγίου Ἀθανασίου, καὶ τῇ ἁγίᾳ συνόδῳ προσάγω πρὸς τὸ ἀναγνωσθῆναι.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω.

Καὶ λαβὼν Στέφανος διάκονος ἀνέγνω.

Λόγος τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου περὶ τῆς εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, γενομένου θαύματος ἐν Βηρυτῷ τῇ πόλει.

Ἄρατε τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑμῶν, καὶ ἴδετε τὸ καινὸν θέαμα τοῦτο, ὅπερ γέγονε νῦν. ἐμβλέψατε εἰς τὸ θαῦμα τὸ ἄπειρον τοῦ Θεοῦ καὶ δότε αὐτῷ δόξαν. κατανοήσατε εἰς τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν, καὶ τὸ μέγεθος τῆς αὐτοῦ οἰκονομίας· καὶ θρῆνον μετ' εὐφροσύνης ἀναλάβετε. ἐπὶ μὲν Θεοῦ οὐδὲν ξένον. Θεὸς γὰρ ὢν πάντα δύναται. ὅτι δὲ ἐν ταῖς ἡμέραις ἡμῶν καὶ ἐφ' ἡμῶν, ἐκστήσεται πᾶσα καρδία τῶν ἀκουόντων. ὄντως ἐξέστη ὁ οὐρανὸς ἐπὶ τῷ τετολμημένῳ. ἐταράχθησαν * πάλιν ἄβυσσοι, καὶ ὁ ἥλιος

* πᾶσαι.

ὁ ἥλιος ἐσκοτίσθη, καὶ ἡ σελήνη, καὶ οἱ ἀστέρες ὁμοίως ἐπὶ τῷ γεγονότι. ἀλλὰ πάλιν κυφράνθησαν ἐπὶ τῷ οἰκονομηθέντι ὑπὸ κυρίου πᾶσαι αἱ τῆς οὐρανῶν δυνάμεις. ἀκούσατε, καὶ ἔκστητε, ὃ γέγονεν ἐν ταῖς ἡμέραις ἡμῶν· σωισθέντες σωθέντε, καὶ τὸ ἓν ὑμῶν κλίνατε, τροπὸν τὸ ἔξω τὸ τῆς καρδίας, καὶ ἀκούσατε. πόλις ἐστὶ Βηρυτὸς καλουμένη, ἐν μεθορίοις Τύρου καὶ Σιδῶνος κειμένη, τελοῦσα δὲ ὑπὸ Αντιόχειαν· ἐν ταύτῃ τῇ πόλει Βηρυτῷ πλήθη πολλὰ ἀπὸ τῆς Ιουδαίων· πλησίον δὲ τῆς συναγωγῆς αὐτῆς μεγάλης οὔσης σφόδρα Χριστιανός τις ἔλαβεν ἐνοικίῳ κελλίον παράτυπος, ἐν ᾧ κατοικῶν, ἀντικρὺ τοῦ ἀκουβίτου αὐτοῦ ἔπηξεν εἰκόνα τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ. ἐν σανίσι μὲν λιτῇ ἐζωγραφημένη, ὁλόσαρκον δὲ ἔχουσα τὸν κύριον ἡμῶν Ιησοῦν Χριστόν. Χρόνου δὲ ὀλίγου διελθόντος, ἐπεζήτησε μιτάτον μεῖζον ὁ Χριστιανός, ὡς χρῄζων. τοῦτο δὲ ἡ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ ᾠκονόμησε χάρις, ὥστε ἐγὼ πείθομαι, τοῦ θέλοντος πάντας σωθῆναι ἀνθρώπους, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, δεικνύοντος τὰ θαυμάσια αὐτοῦ τοῖς σέβουσι καὶ πᾶσι τοῖς εἰς αὐτὸν πιστεύουσιν, εἰς ἔλεγχον μὲν τῆς ἀσεβῶν, σημεῖον δὲ τῆς πιστῶν. ἐζήτει οὖν ὁ Χριστιανός, ὡς ἔφην, μείζονα οἶκον, καὶ εὗρεν ἐν τόπῳ τινὶ τῆς πόλεως, καὶ μετῆρεν ἐκεῖσε ἀπὸ τοῦ οἴκου τοῦ πλησίον τῆς συναγωγῆς τῆς Ιουδαίων. καὶ μεπάρας πάντα τὰ αὐτοῦ κατὰ λήθην· οἰκονομία δὲ ἦν Θεοῦ· τὴν εἰκόνα τοῦ κυρίου ἀφῆκε λησμονήσας, καθὼς ἔφην. Ιουδαῖος δέ τις λαμβάνει ἐνοικίῳ τὸν οἶκον ἐκεῖνον, ἔνθα ἡ εἰκὼν τοῦ δεσπότου ἵστατο. εἰσαγαγὼν δὲ πάντα τὰ αὐτοῦ, κατέμεινεν ἐν τῷ οἴκῳ, μὴ θεωρήσας τὴν εἰκόνα τοῦ κυρίου, ὅτι ἵσταται ἐκεῖ. οὐδὲ γὰρ κατενόησε τὸν τόπον ἐκεῖνον, ἀλλ' εἰσελθὼν κατέμεινεν. ἐν μιᾷ δὲ τῆς ἡμερῶν ἐκάλεσεν ὁ αὐτὸς Ιουδαῖος συνέθνον αὐτοῦ ἐπὶ ἀρίστῳ· καὶ ἐν τῷ ἀριστᾶν αὐτοὺς ἐπάρας τὸς ὀφθαλμὸς ὁ κληθεὶς Ιουδαῖος εἶδε τὴν εἰκόνα τοῦ δεσπότου ἡμῶν Ιησοῦ Χριστοῦ, καὶ λέγει τῷ κεκλημότι αὐτόν· σὺ Ιουδαῖος ὢν πῶς τὴν εἰκόνα τοῦ τοιούτου ἔχεις; ὕβρεις τε παμπόλλας καὶ ἀθεμίτους ἀφῆκε κατὰ τοῦ δεσπότου. ἂς ὁ πολλῶ, μὴ γένοιτο, γράψαι, ἄσπερ εἶπε κατὰ τοῦ σωτῆρος ἡμῶν ὁ κληθείς· τότε ὁ καλέσας ἰδὼν, τὴν εἰκόνα τοῦ δεσπότου, ἐπληροφόρησεν αὐτὸν τὸν κληθέντα ὑπ' αὐτοῦ Ιουδαῖον, λέγων, ὅτι μέχρι τοῦ παρόντος οὐκ εἶδον τὴν εἰκόνα ταύτην. καὶ ἐσιώπησεν ὁ κληθείς. ἀπῆλθε δὲ πρὸς τοὺς ἀρχιερεῖς αὐτοῦ, καὶ βλασφημεῖ τὸν Ιουδαῖον, τὸν ἐν τῷ οἴκῳ, ἔνθα ἡ εἰκὼν τοῦ κυρίου, λέγων· ὅτι ὁ δεῖνα Ιουδαῖος ἔχει εἰκόνα τοῦ Ναζωραίου ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ ἀκούσαντες ἔφησαν. εἰ δύνασαι τοῦτο ἀποδεῖξαι. ἐκεῖνος δὲ ἐβεβαιώσατο, ὅτι ἐγὼ τοῦτο ἀποδείξω ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ ἐπλήσθησαν θυμοῦ· καὶ τὴν μὲν ἑσπέραν ἐκείνην ἡσύχασαν. πρωΐας δὲ γενομένης παραλαμβάνουσιν οἱ ἀρχιερεῖς αὐτοῦ, καὶ οἱ πρεσβύτεροι αὐτοῦ, τὸν βλασφήμοντα Ιουδαῖον, καὶ ὄχλον πολὺν τοῦ ἔθνους αὐτοῦ, καὶ ἀπέρχονται ἐν τῷ οἴκῳ τοῦ Ιουδαίου, ἔνθα ἡ εἰκὼν τοῦ κυρίου ἵστατο. γνόμενοι δὲ ἐπὶ τοῦ τόπου εἰσεπήδησαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι σὺν τῷ καταμωμένῳ, καὶ ὁρῶσι τὴν τοῦ κυρίου εἰκόνα ἰσαμμένην. τότε θυμωθέντες σφόδρα, τὸν μὲν Ιουδαῖον τὸν οἰκοῦντα ἐν τῷ οἴκῳ ἐκείνῳ ἀποσυνάγωγον ποιήσαντες ἤλασαν, τὴν δὲ εἰκόνα τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ καταγαγόντες, ἔφησαν· ὅτι καθὼς καὶ οἱ πατέρας ἡμῶν ἐνέπαιξαν αὐτῷ ποτε, οὕτως καὶ ἡμεῖς ἐμπαίζωμεν αὐτῷ. τότε ἤρξαντο ἐμπτύειν εἰς τὸ πρόσωπον τῆς ἁγίας εἰκόνος τοῦ κυρίου, καὶ ἐῤῥάπισαν αὐτὴν κατὰ πρόσωπον τῶν συνελθόντων· ἔνθεν κἀκεῖθεν ἐῤῥάπιζον τὴν εἰκόνα τοῦ κυρίου, λέγοντες· ὅσα ἐποίησαν αὐτῷ οἱ πατέρες ἡμῶν, πάντα ποιήσωμεν καὶ ἡμεῖς τῇ εἰκόνι αὐτοῦ· καὶ λέγουσιν· ἠκούσαμεν, ὅτι ἐνέπαιξαν αὐτῷ· καὶ ἡμεῖς τὸ αὐτὸ ποιήσωμεν· ἐμπαιγμοῖς ἓν ἀπείροις ἐνέπαιξαν τῇ εἰκόνι τοῦ κυρίου, ἅπερ οὐδὲ λέγειν ἡμῖν τετόλμηται· εἶτα λέγουσιν· ἠκούσαμεν, ὅτι ἤλωσαν αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας· τοῦτο καὶ ἡμεῖς ποιήσωμεν αὐτῷ· τότε κατὰ τὰς χεῖρας καὶ τοὺς πόδας τῆς τοῦ κυρίου εἰκόνος ἔπηξαν ἥλους. πάλιν λέγουσι μεμνημότες· ἠκούσαμεν, ὅτι ὄξος καὶ χολὴν ἐπότισαν αὐτὸν μετὰ σπόγγου· ποιήσωμεν αὐτῷ καὶ ἡμεῖς. καὶ ἐποίησαν, προσθέντες εἰς τὸ στόμα τοῦ κυρίου τῆς εἰκόνος τὸν σπόγγον τοῦ ὄξους πεπληρωμένον. πάλιν λέγουσι· μεμαθήκαμεν, ὅτι καλάμῳ ἔτυπτον τὴν κεφαλὴν αὐτοῦ οἱ πατέρες ἡμῶν· τὸ αὐτὸ καὶ ἡμεῖς ποιήσωμεν. καὶ λαβόντες κάλαμον, ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ τοῦ δεσπότου. τέλος λοιπὸν λέγουσιν· ὡς ἀκριβῶς μανθάνομεν, ὅτι λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἔνυξαν, μηδὲν παραλείψωμεν, ἀλλὰ ποιήσωμεν καὶ τοῦτο. καὶ προσάξαντες κομιθῆναι λόγχην, ἐπέξεψάν τινι αὐτῶν ἅραι τὴν λόγχην, καὶ κρύσαι κατὰ τῆς πλευρᾶς τῆς εἰκόνος τοῦ κυρίου. ἀληθέως ἓν ἀνέβλυσε πλῆθος αἵματος καὶ ὕδατος ἀπ' αὐτῆς. Χριστὲ, δόξα σοι· ἀκατάληπτε, δόξα σοι. τίς ὡς σὺ δέσποτα; τίς πλὴν σοῦ Θεὸς ποιῶν φοβερὰ καὶ ἐξαίσια; ὦ τοῦ θαύματος τῆς τοῦ σωτῆρος ἡμῶν μεγαλειότητος; ἔφριξαν ἀληθῶς καὶ νῦν αἱ ἀνώτεραι ἅγιαι δυνάμεις σου ἐπὶ τούτῳ· ὦ πόσος ἐν δέσποτα εἰς φιλανθρωπίαν· ὦ πόσος εἰς μακροθυμίαν· ὦ πόσος ἐν ἐλέει. πρωΐως γὰρ δι' ἡμᾶς καὶ δι' τὴν ἡμετέραν σωτηρίαν σαρκωθεὶς ὁ ἄσαρκος ἐκ παρθένου Μαρίας, ἐσαυρώθης. ἐν ἐκείνῃ τῇ σαρκὶ, ἀπαθὴς ὢν αὐτὸς θεότητι· νῦν δὲ πάλιν ἐν τῇ εἰκόνι ἀνεσαυρώθης, ὦ δέσποτα, εἰς ἔλεγχον μὲν τῆς πάντων ἀσεβῶν καὶ τῆς ἀπίστων, σημεῖον δὲ τῆς ἐν ἀληθείᾳ, εἰς σὲ πιστευόντων. ἀλλὰ δόξα σοι δέσποτα, τῷ μόνῳ τὰ πάντα δυναμένῳ, ἅμα τῷ ἀλογήτῳ Θεῷ ἡμῶν καὶ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι. ἀμήν· ὑμεῖς δὲ ὦ τέκνα ἀκούσατε τὰ λοιπὰ, ἅπερ οἰκονομήθη ὑπ' αὐτοῦ τοῦ κυ-

ρίου. αὐτοῦ γὰρ ἡ συγχώρησις. μετὰ γὰρ τὸ κρουσθῆναι τῇ λόγχῃ τὴν πλευρὰν τῆς εἰκόνος αὐτοῦ τοῦ κυρίου, καὶ ἀναβλύσαι τὸ αἷμα καὶ τὸ ὕδωρ, ὡς εἴρηται ἀνωτέρω, λέγουσιν οἱ ἀρχιερεῖς τῶν Ιουδαίων, καὶ οἱ πρεσβύτεροι· ἐπειδὴ θρυλλοῦσιν οἱ σεβόμενοι αὐτὸν, ὅτι ἰάσεις πολλὰς ἐποίησε, λάβωμεν νῦν τοῦτο τὸ αἷμα καὶ τὸ ὕδωρ, καὶ ἀπαγάγωμεν εἰς τὴν συναγωγὴν, καὶ συνάξωμεν πάντας τοὺς κακῶς ἔχοντας τοῦ λαοῦ, καὶ χρίσωμεν αὐτοὺς ἀπ' αὐτοῦ, καὶ ἴδωμεν, εἰ ἀληθεῖ εἰσι τὰ λεγόμενα. τότε προσενέγκαντες τῇ πλευρᾷ τῆς εἰκόνος τοῦ κυρίου βῆσσαν κατὰ τὸν τόπον τῆς εἰκόνος τῆς σφαγῆς τῆς λόγχης, ὅθεν ἐξῄει τὸ αἷμα καὶ τὸ ὕδωρ, ἔπλησαν τὴν βῆσσαν κατὰ τὸν τόπον τῆς σφαγῆς τῆς λόγχης· καὶ ἀπήγαγον ἐμπαίζοντες, ἵνα, ὡς ἐνόμιζον, ὑβρίσωσιν ἐπὶ πάντων τὸν ἁπάντων κύριον. καὶ συνάξαντες πάντας τοὺς κακῶς ἔχοντας, πρῶτον πάντων παράλυτον ἐκ γενετῆς, ὃν ᾔδεισαν, προσαγαγόντες, ἔχρισαν αὐτόν· καὶ παραχρῆμα ἀνεπήδησε, καὶ ἥλατο ὑγιασθεὶς καθόλου ὁ ἄνθρωπος. εἶτα ὀφθαλμιῶντας ἤγαγον. κἀκεῖνοι ὁμοίως χρισθέντες ἀνέβλεψαν. δαιμονῶντες δὲ ἀναρίθμητοι εὐθέως ἐκαθαρίσθησαν. ταραχή τε μεγάλη καὶ ἄπειρος κατὰ πᾶσαν τὴν πόλιν γεγένηται πάντων ἐπιῤῥεόντων διὰ τὰ ἄπειρα θαύματα· ἐκινήθη τε πάντα τὰ πλήθη τῶν Ιουδαίων. οἱ γὰρ πλεῖστοι ὅσοι ᾤκουν τὴν πόλιν, κατέτρεχον πάντες φέροντες τοὺς ἐν τοῖς οἴκοις αὐτῶν, ὅσοι εἶχον νοσοῦντας ἢ παραλυτικοὺς, ἢ χωλοὺς, ἢ κυλλοὺς, ἢ ξηροὺς, ἢ λεπροὺς, πάντες κατέτρεχον· ὡς μηκέτι μήτε τὴν συναγωγὴν αὐτῶν μεγίστην οὖσαν, χωρεῖν, μήτε τὸν τόπον, πλήθους ἀπείρου λαοῦ συνδραμόντος διὰ τὰ ἄπειρα θαύματα· πάντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι, καὶ ὁ λαὸς τῶν Ιουδαίων, ἀνδρῶν τε καὶ παίδων καὶ γυναικῶν, ἐπίστευσαν ἐπὶ τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν, κράζοντες· δόξα σοι Χριστὲ, ὃν οἱ πατέρες ἡμῶν ἐσταύρωσαν, ὁ καὶ ὑφ' ἡμῶν νῦν σταυρωθεὶς ἐν τῇ εἰκόνι σου. δόξα σοι υἱὲ τοῦ θεοῦ, ὁ τοσαῦτα ποιήσας θαυμάσια. σοὶ πιστεύομεν· ἵλεως ἡμῖν γενοῦ, καὶ δέξαι ἡμᾶς· ταῦτα ἐβόων πενθοῦντες ἅπαντες, καὶ αἱ βοαὶ ἀνεπέμποντο, καὶ τὰ θαύματα ἐτελοῦντο, τῶν ἀρχιερέων χριόντων, καὶ τῶν νοσούντων θεραπευομένων καὶ ζωοποιουμένων. μετὰ δὲ τὸ πάντας ἰαθῆναι αὖθις πρὸς τὸν ἐπίσκοπον τῆς ἐκεῖσε ἁγιωτάτης ἐκκλησίας, ἤδη μεμαθηκότα τὰ γενόμενα πλήθη κατέδραμον, κράζοντα· εἷς ὁ Θεὸς ὁ πατὴρ, εἷς υἱός. αὐτὸς ὁ μονογενής· εἷς Χριστὸς, ὃν οἱ πατέρες ἡμῶν ἐσταύρωσαν· αὐτὸν Θεὸν οἴδαμεν· τούτῳ ἡμεῖς πιστεύομεν. πολλαῖς οὖν εὐφημίαις δοξάσαντες τὸν Θεὸν, τήν τε εἰκόνα τῷ ἐπισκόπῳ ἐπιδείξαντες, καὶ ἀπαγγείλαντες ἃ ἐποίησαν τῇ τοῦ κυρίου εἰκόνι· τό, τε αἷμα καὶ τὸ ὕδωρ ὁμοίως, ὅπως ἐξέβλυσεν ἐκ τῆς πλευρᾶς τῆς εἰκόνος. τῶν τε ἀπείρων θαυμάτων τὰ γεγονότα· οὕτως παμπληθεὶ ἅπαντες τοῦ ἁγίου βαπτίσματος ἀξιωθῆναι ἱκέτευον· οὓς λαβὼν ὁ ἐπίσκοπος ἅμα τῷ αὐτοῦ κλήρῳ, κατηχήσας ἐπὶ πολλὰς τὰς ἡμέρας, ἐβάπτισε, τήν τε συναγωγὴν ἐκκλησίαν τοῦ σωτῆρος ἡμῶν Χριστοῦ ἀφιέρωσεν. ἐκείνων δὲ παρακαλεσάντων, καὶ τὰς λοιπὰς συναγωγὰς αὐτῶν μαρτύρια πεποίηκε. καὶ οὕτως χαρὰ μεγάλη γέγονεν ἐν τῇ πόλει ἐκείνῃ, οὐ μόνον σωμάτων ἰαθέντων καὶ ζωοποιηθέντων, ἀλλὰ καὶ τοσούτων ψυχῶν ἐκ νεκρῶν εἰς ζωὴν αἰώνιον ἐπελθόντων. ταῦτα γνοὺς ἐγὼ ἐσπούδασα δηλῶσαι ὑμῖν, προσφιλέστατοι ἀδελφοὶ, εἰς ὠφέλειαν τῶν ψυχῶν ὑμῶν· ἵνα γνόντες καὶ ἐπὶ τούτῳ τοῦ ἡμετέρου Θεοῦ καὶ σωτῆρος τὴν δύναμιν τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, πλέον τῇ εἰς αὐτὸν στερεωθῆτε πίστει, καὶ ἀγαλλιασθῆτε ἐπὶ τοῖς μεγαλείοις αὐτοῦ, τοῖς καὶ νῦν γεγενημένοις. δότε οὖν αὐτῷ δόξαν μετ' εὐφροσύνης ἐν κατανύξει καὶ θρήνῳ, χαίροντες καὶ εὐχαριστοῦντες, ὅτι τῆς αὐτοῦ πίστεως ἡμᾶς κατηξίωσε, καὶ τῆς αὐτοῦ ἐπιγνώσεως· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἰδοὺ καὶ ὁ τῆς ἀθανασίας ἐπώνυμος πᾶσαν τὴν ἁγίαν σύνοδον ταύτην παρεσκεύασε κατανυγῆναι καὶ δακρύσαι, ἐπειδὴ οὐ μόνον σεπτὰς αὐτὰς ἐγνώρισεν, ἀλλὰ καὶ ἰάσης ἀποτελούσας.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀλλὰ μή τις εἴπῃ, τίνος ἕνεκεν αἱ παρ' ἡμῖν εἰκόνες οὐ θαυματουργοῦσι; πρὸς ὃν ἀποκρινούμεθα, ὅτι καθὼς ὁ ἀπόστολος εἴρηκεν, ὅτι τὰ σημεῖα τοῖς ἀπίστοις, οὐ τοῖς πιστεύουσιν· οἱ οὖν προσελθόντες τῇ εἰκόνι, ἄπιστοι ἦσαν· τούτου ἕνεκεν σημεῖον ἐποίησεν ὁ Θεὸς διὰ τῆς εἰκόνος, ἵνα αὐτοὺς ἑλκύσῃ πρὸς τὴν πίστιν ἡμῶν τῶν Χριστιανῶν. γενεὰ γὰρ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ· 1. Κορίν. 24. Ματθ. 12

Θεόδωρος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Επιστολὴ τοῦ μακαρίου Νείλου πρὸς Ηλιόδωρον σιλεντιάριον.

Διὰ τῶν κατὰ τόπον καὶ τόπον ἐν διαφόροις χρόνοις ἑκάστοτε γινομένων θαυμάτων ὁ κύριος τοὺς μὲν ὀλιγοπίστους καὶ τοὺς ἀπίστους πρὸς πίστιν βεβαίαν ἐκκαλεῖται. τῶν δὲ πιστῶν τὴν πίστιν μᾶλλον καὶ τὴν ἐλπίδα αὔξει, καὶ στιβαρὸν καὶ ἀσάλευτον ἐκφαίνει τὸ φρόνημα. καὶ βούλομαί σοι ἓν ἐκ μυρίων Πλάτωνος τοῦ ἡμετέρου τροπαιοφόρου μάρτυρος νυνὶ διηγήσασθαι, οὐ μόνον ἐν τῇ πατρίδι ἡμῶν, ἀλλὰ καὶ ἐν πάσῃ πόλει καὶ χώρᾳ τοῖς δι' αὐτοῦ τὸν Θεὸν ἐξαιτοῦσιν ἑτοιμότατα δωρουμένου τὴν χάριν, καὶ τὴν παράδοξον ἐνδεικνυμένου ἰσχύν. ἐν γὰρ τῷ ὄρει τῷ καλουμένῳ Σινᾷ, ἔνθα Μωσῆς παρὰ Θεοῦ τὸν νόμον ἐδέξατο, μοναχῶν κατοικούντων καὶ ἐντοπίων καὶ ξένων, εἷς τις ἀνὴρ Γαλάτης τὸ γένος ὑπάρχων, ἅμα τῷ ἰδίῳ υἱῷ τὸν μονήρη ἀσπασάμενος βίον, διέ-

διετριβεν ἐκεῖ, ἐξανύων τὰς τῆς ἀσκήσεως ἄθλους ἱκανὸν χρόνον ἐπὶ τῆς ἐρημίας· καὶ δή τινι ἡμέρᾳ αἰφνίδιον ἐπιῤῥίψαντες τῷ εἰρημένῳ ὄρει βάρβαροί τινες Ἕλληνες τὴν θρησκείαν, καὶ ἀπηγορευμένοι, συλλαμβάνουσι τοὺς ἑτοίμως εὑρεθέντας ἐκ τοῦ προχείρου μονάζοντας σὺν τῷ υἱῷ τοῦ γέροντος Γαλάτου, καὶ αἰχμαλωτίζουσιν. ὥσπερ καὶ συνδήσαντες ὀπισθάγκωνα, πολλὰς μονὰς ὑπερβαίνουσιν ἐρήμους, νήστεις καὶ γυμνοὺς ἐλαύνοντες, μὴ ὑποδεδεμένους παντοῖον ὑπόδημα, κατὰ τῶν ἀπαραμυθήτων ἐκείνων καὶ ἀνύδρων καὶ τραχυτάτων τόπων, τῇ βίᾳ καὶ τῇ ἀνάγκῃ τροχάζοντας, καὶ τῷ ἀπείρῳ φόβῳ τρυχομένους. μόνος δὲ ἔν τινι ἀποκρύφω σπηλαίῳ κατακρυβεὶς ὁ πρέσβυς, τῷ πένθει ἐτρύχετο, μὴ φέρων τὴν στέρησιν τοῦ θεοφιλοῦς υἱοῦ· καὶ τὸν δεσπότην κατεδυσώπει Χριστὸν διὰ Πλάτωνος τοῦ πατριώτου μάρτυρος, καμφθῆναι πρὸς οἰκτιρμούς. τὸ δὲ αὐτὸ καὶ ὁ υἱὸς διὰ τοῦ αὐτοῦ παναγίου μάρτυρος τὸν Θεὸν παρεκάλει, ἐν τῇ αἰχμαλωσίᾳ δεδεμένος, κατελεῆσαι αὐτὸν, καὶ ἐκτελέσαι θαῦμα. ἀμφοτέρων δὲ ἐπακουσθέντων, τοῦ τε πατρὸς ἐν τῷ σπηλαίῳ τοῦ ὄρους, καὶ τοῦ υἱοῦ ἐν τῇ αἰχμαλωσίᾳ, ἰδοὺ ἐξαίφνης ὁ ἡμέτερος μάρτυς Πλάτων ἐπιστὰς ἔφιππος φαινόμενος, ἕλκων τε καὶ ἄλλον ἵππον εὔκαιρον, ἐμφανίζεται τῷ παιδὶ διαγρηγοροῦντι καὶ γνωρίζοντι τοῦτο ἐκ τοῦ πολλάκις τὸν χαρακτῆρα τοῦ ἁγίου ἐπὶ τῶν εἰκόνων τεθεᾶσθαι· καὶ εὐθέως κελεύει αὐτὸν ἐκ μέσου πάντων ἐξαναστάντα λαβεῖν τὸν ἵππον, καὶ ἐπικαθεσθῆναι, καὶ δῆτα παραυτίκα δίκην ἀράχνης τὰ δεσμὰ διελύθη· καὶ μόνος αὐτὸς λυτρωθεὶς διὰ τῆς ἐπικλήσεως, τῷ νεύματι τοῦ Θεοῦ ἀναστὰς, τῷ ἵππῳ ἐποχεῖται, καὶ ἕπεται ὁδηγοῦντι τῷ ὁσίῳ μάρτυρι θαῤῥαλέος καὶ χαίρων. συντόμως δὲ καὶ ὀξέως ἀμφότεροι ὅ, τε ἅγιος Πλάτων καὶ ὁ νέος μοναχὸς, καθάπερ ὑπόπτεροι φθάνουσι τὴν τοῦ γέροντος οἴκησιν εὐχομένου καὶ κλαίοντος· καὶ ἀποσώσας ὁ καλλίνικος μάρτυς τῷ τὴν καρδίαν ἀλγοῦντι πατρὶ τὸν ποθητὸν υἱὸν, ἀφανὴς γεγένηται. ὥστε οὖν ἐν πατὶ τόπῳ τοῖς δι' αὐτῶν τὸν Θεὸν ἐπιβοωμένοις πᾶν πρᾶγμα θαυμαστὸν καὶ παράδοξον οἱ τοῦ δεσπότου Χριστοῦ ἀοίδιμοι καὶ εὐκλεεῖς ἀθληταὶ ἰσχύουσιν ἐκτελεῖν. ταῦτα δέ σοι γεγράφηκα φιλομάρτυρι ὄντι, καὶ μηδέ ποτε κόρον τῆς μνήμης τῶν τρισμακαρίστων μαρτύρων λαμβάνοντι·

Ἡ ἁγία σύνοδος εἶπε· δέδεικται, ὅτι διὰ τῆς προεγνωσμένης αὐτῷ εἰκόνος τοῦ μάρτυρος ἐπέγνω αὐτὸν ἐπιστάντα, ὁπηνίκα, σῶσαι αὐτὸν παρεγένετο.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Μύρων εἶπεν· ὅτι κἀγὼ τῇ προδηλωθείσῃ ἱστορίᾳ τὰ παρόμοια πέπονθα· ἀδικουμένου γάρ μου ὑπό τινων ἀρχοντικῶν χειρῶν, λέγει μοι ὁ ἀρχιδιάκονός μου, ἀνὴρ εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν· ὅτι εἶδον τὸν πατριάρχην ἐν ὁράματι εἰπόντα· ὅτι ἀνελθέτω πρὸς ἡμᾶς ὁ μητροπολίτης, καὶ πάντα τὰ πράγματα αὐτοῦ διοικοῦνται, ὡς συμφέρει αὐτῷ· ἠρώτησα γοῦν ἐγὼ τὸν ἀριχδιάκονον· ὅτι ποία μορφῇ καὶ ἰδέᾳ σοι ἐφάνη ὁ πατριάρχης; καὶ ἀπεκρίθη μοι, ὅτι ἐρυθρὸς τῷ προσώπῳ, γηραλέος τὴν κόμην. λέγω αὐτοῦ ἐγὼ, ὅτι ὁ πατριάρχης οὐκ ἔστι τοιαύτης ἰδέας. ἀλλ' ἡ ἐνδυτὴ ἔχει τοῦ ἁγίου Νικολάου τὴν εἰκόνα· καὶ καθὰ ἐξηγῆσαι, τοιαύτης μορφῆς ἐστιν, ὃν εἶδες. καὶ ἀπεκρίθη μοι ἐκεῖνος· ὅτι ναὶ, ὄντως τοιαύτης μορφῆς εἶδον ἄνδρα τὸν λαλήσαντά μοι ταῦτα· ἐκ τούτου γοῦν ἐπέγνων, ὅτι ὁ ἅγιος Νικόλαος αὐτῷ ἐφάνη, διὰ τῆς πρὸς τὴν εἰκόνα ὁμοιώσεως. εὐθέως οὖν πιστεύσας τῷ λόγῳ ἀνῆλθον ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει· καὶ πάντα τὰ πράγματά μου γεγόνασιν εὔθετα συμβαλλόμενα τῷ ἐπισκοπείῳ μου.

Θωμᾶς ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν εἶπεν· θρυλλοῦσί τινες περὶ τοῦ ἁγίου Νείλου, ὡς κατὰ τῶν εἰκόνων συγγεγραφότος· ἐπὶ χεῖρας οὖν ἔχομεν βίβλον τοῦ αὐτοῦ πατρός· καὶ εἰ κελεύετε, ἀναγνωσθήτω.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω·

Κοσμᾶς ὁ θεοφιλέστατος διάκονος καὶ κουβουκλείσιος λαβὼν ἀνέγνω.

Τοῦ ἁγίου πατρὸς ἡμῶν Νείλου πρὸς Ολυμπιόδωρον ἔπαρχον,

Γράφεις μοι, εἰ ἄρα πρεπωδέστατον εἴη μέλλοντί σοι κατασκευάζειν σηκὸν μέγιστον πρὸς τιμὴν τῶν ἁγίων μαρτύρων, καὶ τοῦ ὑπ' αὐτῶν διὰ μαρτυρικῶν ἄθλων καὶ πόνων καὶ ἱδρώτων μαρτυρηθέντος Χριστοῦ εἰκόνας τε ἀναθεῖναι ἐν τῷ ἱερείῳ, καὶ θῆρας ζώων παντοίας τοὺς τοίχους πλῆσαι, τούς τε ἐκ δεξιῶν, τούς τε ἐξ εὐωνύμων· ὥστε βλέπεσθαι κατὰ μὲν τὴν χέρσον ἐκτεινόμενα λίνα, καὶ λαγωοὺς, καὶ δορκάδας, καὶ τὰ ἑξῆς φεύγοντα ζῶα, τοὺς δὲ θηράσαι σπεύδοντας σὺν τοῖς κυνιδίοις ἐκθύμως διώκοντας. κατὰ δὲ τὴν θάλατταν χαλώμενα δίκτυα, καὶ πᾶν γένος ἰχθύων ἁλιευόμενα, καὶ εἰς τὴν ξηρὰν ἐξαγόμενα χερσὶν ἁλιευτικαῖς· καὶ προσέτι γυψοπλασίας πᾶν εἶδος ἐκφᾶναι, δεικνύμενον πρὸς ἡδονὴν ὀφθαλμῶν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ κοινῷ οἴκῳ χιλίους σταυροὺς πήξασθαι, καὶ ἱστορίας πτηνῶν, καὶ κτηνῶν, καὶ ἑρπετῶν, καὶ βλαστημάτων παντοδαπῶν· ἐγὼ δὲ πρὸς τὰ γραφέντα λέξαιμι, ὅτι περ νηπιώδες ἂν εἴη καὶ βρεφοπρεπὲς, τὸ τοῖς προλεχθεῖσι περιπλανῆσαι τὸν ὀφθαλμὸν τῶν πιστῶν· στεῤῥοῦ δὲ καὶ ἀνδρώδους φρονήματος οἰκεῖον, τὸ ἐν τῷ ἱερατείῳ μὲν κατὰ ἀνατολὰς τοῦ θειοτάτου τεμένους ἕνα καὶ μόνον τυπῶσαι σταυρόν. δι' ἑνὸς γὰρ σωτηριώδους σταυροῦ τὸ τῶν ἀνθρώπων διασώζεται γένος, καὶ τοῖς ἀπηλπισμένοις ἐλπὶς πανταχοῦ κηρύσσεται. ἱστοριῶν δὲ παλαιᾶς καὶ νέας διαθήκης πληρῶσαι ἔνθεν καὶ ἔνθεν χειρὶ καλλίστου ζωγράφου τὸν ναὸν τῶν ἁγίων· ὅπως ἂν οἱ μὴ εἰδότες γράμματα, μηδὲ δυνάμενοι τὰς

θείας

θείας ἀναγινώσκει γραφὰς, τῇ θεωρίᾳ τῆς ζωγραφίας μνήμην τε λαμβάνωσι τῆς τῶν Γνησίως τῷ ἀληθινῷ Θεῷ δεδουλευκότων ἀνδραγαθίας, καὶ πρὸς ἅμιλλαν διαγείρωνται τῶν εὐκλεῶν καὶ ἀοιδίμων ἀριστευμάτων, δι' ὧν τῆς γῆς τὸν οὐρανὸν ἀντηλλάξαντο, τῶν βλεπομένων τὰ μὴ ὁρώμενα προτιμήσαντες. ἐν δὲ τῷ κοινῷ οἴκῳ πολλοῖς καὶ διαφόροις οἰκίσκοις διειλημμένῳ, ἀρκεῖσθαι ἕκαστον οἰκίσκον πεπηγμένῳ τιμίῳ σταυρῷ. τὰ δὲ περιττὰ καταλιμπάνειν ἀναγκαῖον νομίζω· εὐχαῖς δὲ ἐκτενέσι καὶ ἀδιστάκτῳ πίστει καὶ ἐλεημοσύναις διαρκεῖν, καὶ ταπεινοφροσύναις, καὶ ἐλπίσι πρὸς Θεὸν ἀενάοις, καὶ θείων λόγων μελέταις, καὶ συμπαθείᾳ πρὸς τὸ ὁμόφυλον, καὶ τῇ πρὸς τοὺς οἰκέτας φιλανθρωπίᾳ, καὶ πᾶσι τοῖς ἐντάλμασι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ περιτειχίζειν ἑαυτόν τε καὶ τὴν ἑαυτοῦ σύμβιον καὶ τέκνα, καὶ πᾶσαν τὴν ὕπαρξιν περισκέπειν καὶ κοσμεῖν καὶ ἐξασφαλίζεσθαι παραινῶ καὶ παρακαλῶ.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Μύρων εἶπεν· ἡ ἐπιστολὴ αὕτη ἡ ἀναγνωσθεῖσα, πρώην φαλσευθεῖσα ἀπώλεσε, καὶ ἐπλάνησεν ἡμᾶς· ἐδοκοῦμεν γὰρ ἀκεραίαν αὐτὴν εἶναι ἀνεπιβούλευτον.

Οἱ ὁσιώτατοι ἐπίσκοποι εἶπον· εἰ ἠκούσαμεν τότε, ὅπερ λέγει ὁ πατὴρ, ὅτι ἔνθεν καὶ ἔνθεν ζωγράφησον τὸν οἶκον παλαιαῖς καὶ νέαις ἐξηγήσεσιν, οὐκ ἂν ματαιωθέντες ἐπιστεύσαμεν. ἐκεῖνοι γὰρ ἀντὶ τοῦ, ἔνθεν καὶ ἔνθεν ἱστόρησον, τὸ, λεύκανον τεθείκασιν· ὅπερ ἡμᾶς ἰσχυρῶς ἐπλάνησε.

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τοποτηρηταὶ Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης εἶπον· τοιοῦτόν τι καὶ ὁ ἐν θείᾳ τῇ λήξει Κωνσταντῖνος πάλαι πεποίηκεν. οἰκοδομήσας γὰρ ναὸν τοῦ σωτῆρος ἐν Ῥώμῃ, ἐν τοῖς δυσὶ τοίχοις τοῦ ναοῦ ἱστορίας παλαιὰς καὶ νέας ἐνετύπωσεν, ἐνταῦθα τὸν Ἀδὰμ τοῦ παραδείσου ἐξιόντα, ἐκεῖσε δὲ τὸν λῃστὴν εἰς τὸν παράδεισον εἰσιόντα· καὶ τὰ λοιπά.

Ταράσιος ὁ ὁσιώτατος πατριάρχης εἶπεν· εἰ ἀληθεῖς ἦσαν οἱ πάλαι τῶν χριστιανοκατηγόρων ὑπέρμαχοι, διὰ ποίαν αἰτίαν αὐτὴν τὴν βίβλον τοῦ ὁσίου Νείλου οὐ παρέστησαν ἐν τῷ συλλόγῳ αὐτῶν, εἰς πληροφορίαν πάντων; εἰπάτωσαν γοῦν οἱ εὐλαβέστατοι ἐπίσκοποι, Γρηγόριος ὁ Νεοκαισαρείας καὶ Θεοδόσιος ὁ τοῦ Ἀμορίου, εἰ προήχθησαν βιβλία τὸ τηνικαῦτα ἐν τῇ συνόδῳ.

Γρηγόριος καὶ Θεοδόσιος οἱ ὁσιώτατοι ἐπίσκ. εἶπον· οὐδαμῶς δέσποτα· ἀλλὰ ἀντὶ βίβλων πιττάκια ἡμῖν ἐπεδείκνυον, καὶ ἐξ αὐτῶν ἐξηπάτων ἡμᾶς.

Εὐθύμιος ὁ ὁσιώτατος ἐπίσκοπος Σάρδης εἶπεν· καὶ πῶς ὑμεῖς ἀρχιερεῖς ὄντες οὐκ ἐπεζητήσατε ὁλοκλήρους τὰς χρήσεις ἀπὸ τῶν βιβλίων;

Γρηγόριος ὁ ὁσιώτατος ἐπίσκ. Νεοκαισαρείας εἶπε· πίστευσον ἀδελφὲ, οὐκ ἔμελεν ἡμῖν, οὐδὲ ἐπόνησεν· ἀλλ' ὡς γέγραπται, ἐσκοτίσθη ἡ ἀσύνετος ἡμῶν καρδία· καὶ φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθημεν. Ῥωμ. 1.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Μύρων εἶπεν· ἀμέλει καὶ ἡμᾶς αὐτοὺς ἐκεῖνα τὰ πιττάκια ἀπώλεσαν, ἅπερ ὑμεῖς παρηγάγετε. οἶδε γὰρ ὁ Θεὸς ὅτι αὕτη ἡ χρῆσις τοῦ ὁσίου Νείλου παρὰ τὸ κείμενον * ἐκδιηγηθεῖσα ἐτύφλωσεν ἡμᾶς, ἐξαιρέτως δὲ ἐμὲ αὐτόν· ἀλλὰ νῦν ἀκεραία ἀναγνωσθεῖσα ἐπέστρεψε καὶ διώρθωσε, καὶ διέσωσεν. * ἐκδοθεῖσα.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἐπειδὴ πάρεστι καὶ ἄλλη βίβλος ἰσότυπος, ἀναγνωσθήτω.

Καὶ λαβὼν Κωνσταντῖνος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου, ἀνέγνω τὴν ἑτέραν βίβλον περιέχουσαν τὴν προγεγραμμένην ἐπιστολὴν τοῦ αὐτοῦ Νείλου.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἰδοὺ ἀποδέδεικται σαφῶς, ὅτε οὗτος ὁ ἅγιος καὶ θεσπέσιος πατὴρ Νεῖλος τὰς ἁγίας εἰκόνας ἀπεδέχετο· κατηγορήθη δὲ ὑπὸ τοῦ ψευδοσυλλόγου ἐκείνου, ὡς κατὰ τῶν εἰκόνων λαλήσας, ὅθεν οὐ μόνον χριστιανοκατήγοροί εἰσιν οἱ δείλαιοι, ἀλλὰ μὴν καὶ ἁγιοκατήγοροι καὶ πατραλοῖαι, συκοφαντοῦντες τοὺς θείους πατέρας ἐν τῷ ψεύδει.

Εὐθύμιος ὁ ὁσιώτατος ἐπίσκ. Σάρδης εἶπε· βίβλον τοῦ ἁγίου καὶ ὁμολογητοῦ Μαξίμου ἔχω μετὰ χεῖρας· καὶ προσφέρω αὐτὴν εἰς τὸ ἀναγνωσθῆναι.

Καὶ λαβὼν Κωνσταντῖνος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου, ἀνέγνω.

Ἐκ τῶν κινηθέντων δογμάτων μεταξὺ τοῦ ἐν ἁγίοις Μαξίμου καὶ Θεοδοσίου ἐπισκόπου Καισαρείας τῆς Βιθυνίας, καὶ τῶν σὺν αὐτῷ ὑπάτων· ὧν ἡ ἀρχή.

Τὰ κεκινημένα περὶ τῆς ἀμωμήτου ἡμῶν πίστεως τῶν Χριστιανῶν. καὶ μεθ' ἕτερα Μάξιμος εἶπε· δεσπόται, ἐπὰν ἔδοξε τοῦτο γενέσθαι, ἔκβασις γένοιτο τῶν δοξάντων· καὶ ὅπου κελεύετε, ἀκολουθῶ ὑμῖν. καὶ ἐπὶ τούτοις ἀνέστησαν πάντες μετὰ χαρᾶς καὶ δακρύων, καὶ ἔβαλον μετάνοιαν, καὶ εὐχὴ γέγονε· καὶ ἕκαστος αὐτῶν τὰ ἅγια εὐαγγέλια, καὶ τὸν τίμιον σταυρὸν, καὶ τὴν εἰκόνα τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς δεσποίνης ἡμῶν τῆς αὐτὸν τεκούσης παναγίας θεοτόκου ἠσπάσαντο, τεθεικότες καὶ τὰς ἰδίας χεῖρας ἐπὶ βεβαιώσει τῶν λαληθέντων. καὶ μετὰ βραχέα. σταφεὶς τοίνυν ὁ ἀββᾶς Μάξιμος πρὸς τὸν ἐπίσκοπον, μετὰ δακρύων εἶπεν αὐτῷ· κῦρι ὁ μέγας, ἡμέραν κρίσεως ἐκδεχόμεθα πάντες. οἶδας τὰ τυπωθέντα καὶ δόξαντα ἐπὶ τῶν ἁγίων εὐαγγελίων, καὶ τοῦ ζωοποιοῦ σταυροῦ, καὶ τῆς εἰκόνος τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν, καὶ τῆς αὐτὸν τεκούσης παναγίας ἀειπαρθένου μητρός.

Κων-

Λέων ὁ ὁσιώτατος ἐπίσκ. Ῥόδου εἶπεν· ἰδοὺ δέδεικται ἐκ τῶν ἁγίων γραφῶν, ὅτι ἡ ἐκκλησία ἡμῶν τοσαῦτα ἔτη ἐπολεμήθη καὶ ἐσυλήθη. ἀλλ' εὐχαριστοῦμεν Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ ἐγείραντι τὸν πανίερον ἡμῶν δεσπότην ἐπὶ κατορθώσει αὐτῆς.

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τοποτηρηταὶ, ἐπέχοντες τὸν τόπον Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, εἶπον· βίβλον ἔχομεν ἐπὶ χεῖρας τοῦ μακαρίου Λεοντίου ἐπισκ. Νεαπόλεως τῆς Κύπρου, καὶ ἀξιοῦμεν ἀναγνωσθῆναι αὐτήν.

Καὶ λαβὼν Στέφανος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος, ἀνέγνω.

Λεοντίου ἐπισκόπου Νεαπόλεως τῆς Κύπρου, ἐκ τοῦ πέμπτου λόγου ὑπὲρ τῆς Χριστιανῶν ἀπολογίας κατὰ Ἰουδαίων, καὶ περὶ εἰκόνων τῶν ἁγίων.

Φέρε δὴ λοιπὸν περὶ τῶν σεπτογράφων εἰκόνων ἀπολογίαν ποιήσωμεν, ὅπως ἐμφραγῶσι στόματα λαλούντων ἀδικίαν. νομικὴ γὰρ καὶ αὐτὴ ἡ παράδοσις. καὶ ἄκουσον τοῦ Θεοῦ λέγον-
Ἔξοδ. 26 τος πρὸς Μωσῆν· εἰκόνας δύο Χερουβὶμ χρυσογλύπτων κατασκεύασαι, κατασκιαζόντων τὸ ἱλαστήριον. καὶ πάλιν κατὰ τὸν ναὸν, ὃν ἔδει-
Ἰεζεκ. 41. ξεν ὁ Θεὸς τῷ Ἰεζεκιήλ· πρόσωπα, εἶπε, φοινίκων, καὶ λεόντων, καὶ ἀνθρώπων, καὶ χερουβὶμ ἀπὸ ἐδάφους αὐτοῦ ἕως τοῦ φατνώματος τῆς
Ἔξοδ. 20. στέγης. ὄντως φοβερὸς ὁ λόγος ὁ ἐντειλάμενος τῷ Ἰσραὴλ μὴ ποιῆσαι παντοῖον γλυπτὸν, μηδὲ εἰκόνα, μηδὲ ὁμοίωμα, ὅσα ἐστὶν ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐστὶν ἐπὶ τῆς γῆς· καὶ αὐτὸς
Ἔξοδ. 24. προστάσσει τῷ Μωϋσεῖ ποιῆσαι γλυπτὰ ζώδια, χερουβὶμ, ὃς καὶ τῷ Ἰεζεκιὴλ πλήρη εἰκόνων καὶ ὁμοιωμάτων γλυπτῶν, λεόντων, φοινίκων, καὶ ἀνθρώπων δείκνυσι τὸν ναόν. ὅθεν καὶ ὁ Σο-
3. βασιλ. 6. καὶ 7. λομὼν ἐκ νόμου λαβὼν τὸν τύπον, πλήρη πεποίηκε τὸν ναὸν χαλκῶν, καὶ γλυπτῶν, καὶ χωνευτῶν λεόντων, καὶ βοῶν, καὶ φοινίκων, καὶ ἀνθρώπων· καὶ οὐ κατεγνώσθη ἐν αὐτῷ ὑπὸ Θεοῦ. εἰ τοίνυν ἐμοῦ καταγινώσκειν θέλεις περὶ εἰκόνων, κατάγνωθι τοῦ Θεοῦ τοῦ ταῦτα ποιεῖν κελεύσαντος εἰς ὑπόμνησιν αὐτοῦ εἶναι παρ' ὑμῖν. ὁ Ἰουδαῖος ἔφη. ἀλλ' οὐ προσεκυνοῦντο ἐκεῖνα ὡς θεοὶ τὰ ὁμοιώματα, ἀλλ' ὑπομνήσεως μόνης χάριν ἐγένοντο. ὁ Χριστιανὸς ἔφη· καλῶς εἶπας, οὐδὲ παρ' ἡμῖν ὡς θεοὶ προσκυνοῦνται οἱ τῶν ἁγίων χαρακτῆρες, καὶ εἰκόνες, καὶ τύποι. εἰ γὰρ ὡς Θεὸν προσεκύνουν τὸ ξύλον τῆς εἰκόνος, ἔμελλον πάντως καὶ τὰ λοιπὰ ξύλα προσκυνεῖν. εἰ γὰρ ὡς θεὸν προσεκύνουν τὸ ξύλον τῆς εἰκόνος, οὐκ ἂν πάντως λειανθέντος τοῦ χαρακτῆρος τὴν εἰκόνα κατέκαιον. καὶ πάλιν, ἕως μὲν ἐστι συμπεπεδημένα τὰ δύο ξύλα τοῦ σταυροῦ, προσκυνῶ τὸν τύπον διὰ Χριστὸν τὸν ἐν αὐτῷ σταυρωθέντα. ἐπὰν δὲ διαιρεθῶσιν ἐξ ἀλλήλων, ῥίπτω αὐτὰ καὶ κατακαίω. καὶ ὥσπερ ὁ κέλευσιν βασιλέως δεξάμενος, καὶ ἀσπασάμενος τὴν σφραγῖδα, οὐ τὸν πηλὸν ἐτίμησεν, ἢ τὸν χάρτην, ἢ τὸν μόλυβδον, ἀλλὰ τῷ βασιλεῖ τὴν προσκύνησιν καὶ τὸ σέβας ἀπένειμεν· οὕτω καὶ Χριστιανῶν παῖδες τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦντες, οὐ τὴν φύσιν τοῦ ξύλου τιμῶμεν, ἀλλὰ σφραγῖδα καὶ δακτύλιον καὶ χαρακτῆρα Χριστοῦ αὐτὸν βλέποντες, δι' αὐτοῦ τὸν ἐν αὐτῷ σταυρωθέντα ἀσπαζόμεθα καὶ προσκυνοῦμεν. καὶ ὥσπερ παῖδες γνήσιοι πατέρος τινὸς ἀποδημήσαντος πρὸς καιρὸν ἀπ' αὐτῶν, πολλῇ τῇ στοργῇ πρὸς αὐτὸν ἐκ ψυχῆς διακείμενοι, κἂν τὴν ῥάβδον αὐτοῦ ἐν τῷ οἴκῳ θεάσωνται, κἂν τὸν θρόνον, κἂν τὴν χλαμύδα, ταῦτα μετὰ δακρύων καταφιλοῦντες ἀσπάζονται· καὶ οὐκ ἐκεῖνα τιμῶντες, ἀλλὰ τὸν πατέρα ποθοῦντες καὶ τιμῶντες· οὕτως καὶ ἡμεῖς οἱ πιστοὶ ἅπαντες ὡς μὲν ῥάβδον Χριστοῦ τὸν σταυρὸν προσκυνοῦμεν, ὡς δὲ θρόνον καὶ κοίτην αὐτοῦ τὸ πανάγιον μνῆμα, ὡς δὲ οἶκον τὴν φάτνην καὶ τὴν Βηθλεὲμ, καὶ τὰ λοιπὰ ἅγια αὐτοῦ σκηνώματα· ὡς δὲ φίλους αὐτοῦ, τοὺς ἀποστόλους αὐτοῦ, καὶ τοὺς ἁγίους μάρτυρας καὶ λοιποὺς ἁγίους· ὡς δὲ πόλιν αὐτοῦ σεβόμεθα τὴν Σιών, ὡς δὲ χώραν αὐτοῦ τὴν Ναζαρὲτ ἀσπαζόμεθα, καὶ ὡς θεῖον αὐτοῦ λουτρὸν τὸν Ἰορδάνην περιπτυσσόμεθα. τῇ γὰρ πολλῇ καὶ ἀφάτῳ πρὸς αὐτὸν στοργῇ ἔνθα ἐπέβη, ἢ κεκάθικεν, ἢ ἐπέφανεν, ἢ ἥψατο, ἢ ὅλως ἐπεσκίασε, σεβόμεθα, καὶ προσκυνοῦμεν ὡς τόπον Θεοῦ· οὐ τὸν τόπον, οὐδὲ τὸν οἶκον, οὐδὲ τὴν χώραν, ἢ τὴν πόλιν, ἢ τοὺς λίθους τιμῶντες· ἀλλὰ τὸν ἐν αὐτοῖς ἀναστραφέντα καὶ ἐπιφανέντα καὶ γνωρισθέντα σαρκὶ, καὶ ἡμᾶς τῆς πλάνης ἐλευθερώσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν· καὶ διὰ τὸν Χριστὸν καὶ τὰ Χριστοῦ πάθη ἐν ἐκκλησίαις, καὶ οἴκοις, καὶ ἀγοραῖς, καὶ ἐν σινδόσι, καὶ ἐν ταμείοις, καὶ ἱματίοις, καὶ ἐν παντὶ τόπῳ ἐκτυποῦμεν. ἵνα διηνεκῶς ὁρῶντες ταῦτα ὑπομιμνησκώμεθα, καὶ μὴ ἐπιλανθανώμεθα, ὡς σὺ ἐπελάθου κυρίου τοῦ Θεοῦ σου. καὶ ὥσπερ σὺ προσκυνῶν τὸ βιβλίον τοῦ νόμου, οὐ τὴν φύσιν τῶν ἐν αὐτῷ δερμάτων καὶ τοῦ μέλανος προσκυνεῖς, ἀλλὰ τοὺς λόγους τοῦ Θεοῦ τοὺς ἐν αὐτῷ κειμένους· οὕτως κἀγὼ τὴν εἰκόνα τοῦ Θεοῦ προσκυνῶν, οὐ τὴν φύσιν τῶν ξύλων καὶ χρωμάτων προσκυνῶ· μὴ γένοιτο· ἀλλὰ τὸν ἄψυχον χαρακτῆρα Χριστοῦ κρατῶν, δι' αὐτοῦ Χριστὸν κρατεῖν δοκῶ καὶ προσκυνεῖν. καὶ ὥσπερ ὁ Ἰακὼβ δεξάμενος παρὰ τῶν υἱῶν αὐτοῦ χιτῶνα ποικίλον ἡμαγμένον τοῦ Ἰωσὴφ, κατεφίλησε μετὰ δακρύων, καὶ τοῖς ἰδίοις ὀφθαλμοῖς τοῦτον περιέθηκεν, καὶ οὐ τὸ ἱμάτιον ἀγαπῶν ἢ τιμῶν, τοῦτο ἐποίησεν, ἀλλὰ δι' αὐτοῦ νομίζων τὸν Ἰωσὴφ καταφιλεῖν, καὶ ἐν χερσὶν αὐτὸν κατέχειν· οὕτω καὶ Χριστιανοὶ πάντες εἰκόνα Χρι- Γεν. 37.
στοῦ, ἢ ἀποστόλου, ἢ μάρτυρος κρατοῦντες καὶ ἀσπαζόμενοι τῇ σαρκὶ, τῇ ψυχῇ αὐτὸν τὸν Χριστὸν νομίζομεν ἢ τὸν μάρτυρα αὐτοῦ κατέχειν. εἰπέ μοι σὺ ὁ νομίζων χειροποίητον μηδὲν, ἢ ὅλως κτιστὸν προσκυνεῖν, ἆρα οὐ πολλάκις γυναικὸς σῆς ἢ τέκνων τελευτησάντων χιτῶνα ἢ κοσμίδιον ἰδὼν ἐν τῷ σῷ ταμιείῳ, κρατήσας ἐφί-

Κωνσαντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσαντίας τῆς Κύπρου εἶπεν· τὸ, ἠσπάσαντο, ὧδε ἐπὶ προσκυνήσεως ἔλαβεν ὁ πατὴρ, ἐπειδὴ τὸ ἅγιον εὐαγγέλιον καὶ τὸν ζωοποιὸν σταυρὸν προσεκύνησε· μεθ' ὧν καὶ τὰς σεβασμίας εἰκόνας τοῦ σωτῆρος, καὶ τῆς αὐτοῦ πανάγνου μητρός.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· συνηρίθμηνται τοῖς ἁγίοις σκεύεσιν αἱ τίμιαι εἰκόνες.

Ἡ ἁγία σύνοδος εἶπεν· εὔδηλον.

Οἱ ὁσιώτατοι ἐπίσκοποι Σικελίας τῆς νήσου εἶπον· ὡς ἅγια μετὰ τῶν ἁγίων συναριθμοῦνται.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκ. Νικομηδείας εἶπεν· ἔχομεν καὶ ἡμεῖς τὴν αὐτὴν βίβλον τοῦ ἁγίου Μαξίμου, καὶ εἰ ἀξιοῦτε ἀναγνωσθῆναι τὰ προειρημένα.

Κοσμᾶς διάκονος καὶ κουβουκλείσιος λαβὼν ἀνέγνω τὴν προγεγραμμένην τοῦ ἁγίου Μαξίμου χρῆσιν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· σκοπήσωμεν ἀδελφοὶ, ὅπως εἴρηκεν, ὅτι ἠσπάσαντο· ὅπερ καὶ ἡμεῖς τιμητικῇ διαθέσει ποιεῖν ὀφείλομεν. ἡ γὰρ λατρεία ἡμῶν πρὸς τὸν ἕνα Θεὸν ἀνάγεται.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολῆς εἶπεν· εἰ μὴ ἦσαν ἀναγκαῖαι αἱ εἰκόνες, οὐκ ἂν ἐπ' ἀσφαλείᾳ αὐτὰς κατησπάσαντο. ὥστε ἰσοδυναμοῦσιν αἱ τίμιαι εἰκόνες τῷ εὐαγγελίῳ καὶ τῷ τιμίῳ σταυρῷ.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Νικομηδείας εἶπεν· καὶ τοῦτο οὐχ ὁ τυχὼν ἀνὴρ, ἀλλὰ Μάξιμος ὁ θεόσοφος καὶ τοῖς πατράσιν ἐφάμιλλος, ἔτι μὴν καὶ ὁμολογητὴς, καὶ τῆς ἀληθείας ὑπέρμαχος. ἀρκετὸν οὖν καὶ ἡμᾶς μιμεῖσθαι αὐτὸν ἐν τῷ ἀσπάζεσθαι τὰς ἱερὰς εἰκόνας.

Ἠλίας ὁ εὐλαβέστατος πρατοπρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας τῆς δεσποίνης ἡμῶν θεοτόκου τῶν Βλαχερνῶν, ἀνέγνω ἀπὸ χάρτου περιέχοντος τοὺς ὅρους τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου.

Κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ϛ'. συνόδου.

Ἔντισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τοῦ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεχόμενοι. ὡς ἂν οὖν τὸ τέλειον καὶ ἐν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου ἀμνοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρίζομεν· δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. καὶ μετὰ τὸ ἀναγνῶναι αὐτὸν, σταφεὶς εἶπε πρὸς τὴν ἁγίαν σύνοδον· τίμιοι πατέρες καὶ ἅγιοι, τὸν διωγμὸν τῆς ἐκκλησίας πλέον ἐμοῦ οὐδεὶς ἠρετήσατο ἐξ ἁμαρτιῶν μου. ἀλλὰ θεῖον ἄγκιστρον γέγονέ μοι ὁ παρὼν χάρτης, ἐν ᾧ ὑπέγραψαν οἱ πατέρες τῆς ἕκτης συνόδου, καὶ εἵλκυσάς με εἰς τὴν τῆς ὀρθοδοξίας πίστιν. οὐ μόνον δὲ, ἀλλὰ καὶ ὁ ἁγιώτατος πατριάρχης, ᾧ παράσχοι ὁ Θεὸς τὸν ὑπὲρ ἐμοῦ μισθόν.

Καν. πβ. τῆς ἐν τρύλ.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς εἶπε· τίνος χάριν ἐν τῷ χάρτῃ ἀνέγνω, καὶ οὐκ ἐν βίβλῳ;

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὅτι αὐτὸς ὁ πρωτότυπος χάρτης ἐστὶν, ἐν ᾧ ὑπέγραψαν οἱ ἅγιοι πατέρες.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκ. Νικομηδείας εἶπε· καὶ ἑτέραν βίβλον ἔχω περιέχουσαν τοὺς αὐτοὺς κανόνας τῆς ἱερᾶς ἕκτης συνόδου.

Ἦν λαβὼν Νικήτας ὁ εὐλαβέστατος νοτάριος καὶ διάκονος, ἀνέγνω τὸν αὐτὸν κανόνα.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τινὲς ἄγνοιαν νοσοῦντες, εἰς τοὺς κανόνας τούτους σκανδαλίζονται, φάσκοντες· ἆρά γε τῆς ἕκτης συνόδου εἰσίν; γινωσκέτωσαν δὲ οἱ τοιοῦτοι, ὡς ὅτι ἡ ἁγία μεγάλη ἕκτη σύνοδος ἐπὶ Κωνσταντίνου συνεκροτήθη κατὰ τῶν μίαν λεγόντων ἐνέργειαν καὶ θέλησιν ἐπὶ Χριστοῦ· οἵτινες τοὺς αἱρετικοὺς ἀνεθεμάτισαν, καὶ τὴν ὀρθόδοξον διατρανώσαντες πίστιν, οἴκαδε ἀνεχώρησαν κατὰ τὸ τεσσαρεσκαιδέκατον ἔτος Κωνσταντίνου. μετὰ γοῦν τέσσαρα ἢ πέντε ἔτη οἱ αὐτοὶ πατέρες συναθροισθέντες ἐπὶ Ἰουστινιανοῦ υἱοῦ Κωνσταντίνου, τοὺς προδεδηλωμένους κανόνας ἐκτεθείκασι· καὶ μηδεὶς ἀμφιβαλλέτω περὶ αὐτῶν· οἱ γὰρ ὑπογράψαντες ἐπὶ Κωνσταντίνου, οἱ αὐτοὶ καὶ ἐπὶ Ἰουστινιανοῦ τῷ παρόντι χάρτη ὑπέγραψαν, ὡς δῆλον καθίσταται ἐκ τῆς αὐτῶν ἰδιοχείρου ἀπαραλλάκτου ὁμοιότητος. ἔδει γὰρ αὐτοὺς σύνοδον οἰκουμενικὴν ἀποφήναντας, καὶ κανόνας ἐκκλησιαστικοὺς ἐκθέσθαι· πρὸς ἀνάμνησιν δὲ τῆς ἐν σαρκὶ πολιτείας αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου, χειραγωγεῖσθαι ἡμᾶς ἔφησαν ἐκ τῶν σεπτῶν εἰκόνων. καὶ ἐὰν δι' αὐτῶν χειραγωγούμεθα εἰς τὴν οἰκονομίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τίνας ἔχομεν λογίσασθαι τοὺς καταστρέψαντας τὰς σεπτὰς εἰκόνας.

Ἡ ἁγία σύνοδος εἶπεν· ὡς ἀθέους, καὶ Ἑβραίους, καὶ τῆς ἀληθείας ἐχθρούς.

Ταράσιος ὁ ἁγιώτ. πατριάρχης εἶπεν. ἀλλ' ἀγαθός ἐστι κύριος ὁ Θεὸς ἡμῶν προσδέξεσθαι πάντας ἡμᾶς, οὐ γὰρ ἀφῆκε τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. Ψαλ. 124.

Λέων

λησας, καὶ δάκρυσιν αὐτὸ κατέβρεξας, καὶ οὐκ ἐν τούτῳ κατεκείθης; ὁ γὰρ ὡς Θεὸν τὰ ἱμάτια προσεκυνήσας, ἀλλὰ τὸν πόθον πρὸς τὸν ποτε αὐτὸ περιβεβλημένον· δι' οὗ τοῦ φιλήματος ἔδειξας· ἐπεὶ καὶ αὐτὰ ἡμῶν τὰ τέκνα καὶ τοὺς πατέρας κτίσιν ὄντας καὶ ἁμαρτωλοὺς πολλάκις ἀσπαζόμεθα, καὶ οὐκ ἐν τούτῳ κατακεινόμεθα. οὐ γὰρ ὡς Θεοὺς αὐτοὺς ἀσπαζόμεθα, ἀλλὰ τῇ συγγενείᾳ ἡμῶν τῆς φύσεως τῇ πρὸς αὐτοὺς διὰ τοῦ φιλήματος ἐνδεικνύμεθα. ὡς γοῦν πολλάκις εἶπον, ὁ σκοπὸς ἐξετάζεται ἐπὶ παντὸς ἀσπασμοῦ, καὶ ἐπὶ πάσης προσκυνήσεως. εἰ δὲ ἐγκαλεῖς μοι, ὅτι ὡς Θεὸν προσκυνῶ τὸ ξύλον τοῦ σωροῦ, διὰ τί οὐκ ἐγκαλεῖς τῷ Ἰακὼβ προσκυνήσαντι ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσήφ; ἀλλὰ προδήλων, ὅτι οὐ τὸ ξύλον ἰδὼν προσεκύνησεν, ἀλλὰ διὰ τοῦ ξύλου τὸν Ἰωσήφ, ὥσπερ ἡμεῖς διὰ τοῦ σωροῦ τὸν Χριστόν· ἐπεὶ καὶ τοῖς πωλήσασι τὸν τάφον ἀσεβέσιν ἀνθρώποις ὁ Ἀβραὰμ προσεκύνησε, καὶ γόνυ ἔκαμψεν ἐπὶ τῇ γῇ· ἀλλ' οὐχ ὡς Θεοὺς αὐτοὺς προσεκύνησε. καὶ πάλιν ὁ Ἰακὼβ τὸν Φαραὼ ἐυλόγησεν ἀσεβῆ καὶ εἰδωλολάτρην ὄντα, ἀλλ' οὐχ ὡς Θεὸν αὐτὸν ἐυλόγησε. καὶ πάλιν τὸν Ἠσαῦ πεσὼν προσεκύνησεν, ἀλλ' οὐχ ὡς Θεόν. εἶδες πόσους ἀσπασμοὺς καὶ προσκυνήσεις ἀπεδείξαμόσοι γραφικὰς, καὶ μὴ ἐχόσας κατάγνωσιν; καὶ σὺ μοὶ τῇ σῇ σύμβιον ἴσως καὶ ἄσεμνον οὖσαν ἐμπαθῆ καθ' ἑκάστην ἀσπαζόμενον, οὐ καταγνωσὸς εἶ. καίπερ οὐδαμοῦ σοι τοῦ Θεοῦ σωματικὸν ἀσπασμὸν γυναικὸς ἐντειλαμένου. ἐμὲ δὲ ἐπὰν ἴδῃς εἰκόνας τοῦ Χριστοῦ, ἢ τῆς παναμώμου αὐτοῦ μητρὸς, ἢ ἄλλου τινὸς δικαίου ἀσπαζόμενον, ἀγανακτεῖς, καὶ ἐυθέως ἐλασφημῶν ἀποπηδᾷς, ἐξ εἰδωλολάτρας ἡμᾶς ἀποκαλεῖς. εἶτα οὐκ αἰσχύνῃ, εἰπέ μοι; οὐ φείσεις, οὐ ξέμεις, οὐκ ἐρυθριᾷς, ὁρῶν με καθ' ἡμέραν ἐν πάσῃ τῇ οἰκουμένῃ ναοὺς εἰδώλων καταλύοντα, καὶ ναοὺς μαρτύρων οἰκοδομοῦντα; εἰ τὰ εἴδωλα προσεκυνοῦμεν, διὰ τί λοιπὸν τιμῶ τοὺς μάρτυρας, τοὺς τὰ εἴδωλα καταλύσαντας; εἰ τὰ ξύλα ὡς Θεοὺς τιμῶ καὶ δοξάζω, πῶς τιμῶ καὶ δοξάζω τοὺς μάρτυρας, τοὺς τὰ ξύλινα ξόανα καταλύοντας; εἰ τοὺς λίθους ὡς Θεοὺς δοξάζω, πῶς τιμῶ καὶ προσκυνῶ τοὺς μάρτυρας καὶ ἀποστόλους, τοὺς συνδήσαντας καὶ ἀπολέσαντας τὰ λίθινα ζώδια; πῶς τιμῶ, καὶ ἐπαινῶ, καὶ ναοὺς ἐγείρω, καὶ ἑορτὰς ἐπιτελῶ τοῖς ξισὶ παισὶ, τοῖς ἐν Βαβυλῶνι τῇ εἰκόνι τῇ χρυσῇ μὴ προσκυνήσασιν; ὄντως πολλὴ τῆς ἀνόμων ἡ πώρωσις, ἀληθῶς πολλὴ τῆς Ἰουδαίων ἡ τύφλωσις, πολλὴ ἡ ἀσέβεια. ἀδικεῖται ὑπ' αὐτῆς ἡ ἀλήθεια. Θεὸς ὑβρίζεται ὑπὸ γλώσσης ἀχαρίστων Ἰουδαίων. ἐκ λειψάνων πολλάκις μαρτύρων καὶ εἰκόνων ἐλαύνονται δαίμονες. καὶ ταῦτα ἐνυβρίζοντες ἄνθρωποι μιαροὶ ὀνομάζουσι, καὶ ὀνομαίζουσι, καὶ ὀνομαγελῶσι. πόσαι, εἰπέ μοι, ἐπισκιάσεις, πόσαι ἀναβλύσεις, πολλάκις δὲ καὶ αἱμάτων ῥύσεις ἐκ εἰκόνων καὶ λειψάνων μαρτύρων γεγόνασι; καὶ οἱ ἀσύνετοι τῇ καρδίᾳ ὁρῶντες καὶ πείθονται, ἀλλὰ μύθους ταῦτα καὶ λήρους λογίζονται. ὁρῶντες οὕτως τὸ καθ' ἡμέραν ἐν πάσῃ τῇ οἰκουμένῃ χεδὸν ἄνδρας ἀσεβεῖς καὶ παρανόμους, εἰδωλολάτρας, καὶ φονεῖς, πόρνους, καὶ λῃστὰς ἐξαίφνης ὀνομαζομένους τὸν Χριστὸν καὶ τὸν σωρὸν αὐτοῦ κατανυσσομένους καὶ κόσμου παντὸς ἀποτασσομένους, καὶ πᾶσαν ἀρετὴν ἐργαζομένους. εἰπέ μοι, πῶς ἐσμὲν εἰδωλολάτραι, οἱ καὶ αὐτὰ τὰ ὀστᾶ, καὶ τὴν κόνιν, καὶ τὰ ῥάκη, καὶ τὸ αἷμα, καὶ τὴν σορὸν τῶν μαρτύρων προσκυνοῦντες καὶ τιμῶντες, διὰ τὸ μὴ θύσαι αὐτοὺς τοῖς εἰδώλοις; ὁ Ἰουδαῖος ἔφη· καὶ πῶς διὰ πάσης τῆς γραφῆς παραγγέλλει ὁ Θεὸς μὴ προσκυνῆσαι παντὶ κτίσματι; ὁ Χριστιανὸς ἔφη· εἰπέ μοι, ἡ Γῆ καὶ τὰ ὄρη κτίσματά εἰσι τοῦ Θεοῦ; ὁ δὲ ἔφη· δηλονότι. ὁ Χριστιανός. πῶς οὖν διδάσκει· ὑψοῦτε κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῆς ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι; καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ. καὶ πάλιν αὐτός φησιν· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῆς ποδῶν μου. ὁ Ἰουδαῖος ἔφη· ἀλλ' οὐκ ὡς Θεὸς, ἀλλὰ * δι' αὐτὸν τὸν ποιήσαντα προσκυνεῖς· ὁ Χριστιανὸς ἔφη· πιστὸς ὁ λόγος. οὐκοῦν γνῶθι, ὅτι κἀγὼ δι' οὐρανοῦ, καὶ γῆς, καὶ θαλάσσης, καὶ ξύλων, καὶ λίθων καὶ λειψάνων, καὶ ναῶν, καὶ σωροῦ, καὶ δι' ἀγγέλων, καὶ ἀνθρώπων, καὶ διὰ πάσης κτίσεως ὁρατῆς τε καὶ ἀοράτου, τῷ πάντων δημιουργῷ καὶ δεσπότῃ καὶ ποιητῇ μόνῳ τὴν προσκύνησιν καὶ τὸ σέβας προσάγω. οὐ γὰρ δι' ἑαυτῆς ἀμέσως ἡ κλίσις τῷ ποιητῇ προσκυνεῖ, ἀλλὰ δι' ἐμοῦ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, δι' ἐμοῦ προσκυνεῖ Θεὸν ἡ σελήνη, δι' ἐμοῦ δοξάζει Θεὸν τὰ ἄστρα, δι' ἐμοῦ ὕδατα, ὄμβροι, δρόσοι, καὶ πᾶσα κτίσις δι' ἐμοῦ προσκυνεῖ καὶ δοξάζει Θεόν. καὶ ὥσπερ βασιλέως τινὸς ἀγαθοῦ σέφανον ποικίλον καὶ πολύτιμον ἑαυτῷ διοχείρως κατασκευάσαντος, πάντες οἱ γνησίως προσκείμενοι τῷ βασιλεῖ, ἀσπάζονται καὶ τιμῶσι τὸν σέφανον· οὐ τὸν χρυσὸν ἢ τὸν μαργαρίτην τιμῶντες, ἀλλὰ τὴν κορυφὴν τοῦ βασιλέως ἐκείνου τιμῶντες, καὶ τὰς πανσόφους αὐτοῦ χεῖρας τὰς τὸν σέφανον κατασκευασάσας· οὕτως ὦ ἄνθρωπε, οἱ Χριστιανῶν λαοὶ ὅσους ἐὰν τύπους σωροῦ καὶ εἰκόνων ἀσπάζονται, οὐκ αὐτοῖς τὸ σέβας τοῖς ξύλοις ἢ τοῖς λίθοις προσάγουσιν, ἢ τῷ χρυσῷ, ἢ τῇ φθαρτῇ εἰκόνι, ἢ τῷ λάρνακι, ἢ τοῖς λειψάνοις, ἀλλὰ δι' αὐτῆς τῷ Θεῷ τῷ καὶ αὐτῆς καὶ πάντων ποιητῇ τὴν δόξαν καὶ τὸν ἀσπασμὸν καὶ τὸ σέβας προσφέρουσιν. ἡ γὰρ εἰς τοὺς ἁγίους αὐτοῦ τιμὴ, εἰς αὐτὸν ἀναβέχει. πολλάκις τινὲς εἰκόνας βασιλικὰς ἀφανίσαντες καὶ ἐνυβρίσαντες, ἐσχάτῃ τιμωρίᾳ κατεδικάσθησαν, ὡς αὐτὸν τὸν βασιλέα ἐνυβρίσαντες, καὶ οὐ τὴν σανίδα; εἰκὼν τοῦ Θεοῦ ἐστιν ὁ κατ' εἰκόνα τοῦ Θεοῦ γενόμενος ἄνθρωπος, καὶ μάλιστα ἐκ πνεύματος ἁγίου ἐνοικήσιν δεξάμενος. δικαίως οὖν τὴν εἰκόνα τῆς τοῦ Θεοῦ δούλων τιμῶ καὶ προσκυνῶ, καὶ τὸν οἶκον τοῦ ἁγίου πνεύματος δοξάζω. ἐνοικήσω γὰρ ἐν αὐτοῖς, φησὶ, καὶ ἐμ-

Εβρ. 11.

Γενέσ. 47.

Γενέσ. 33.

Δανιὴλ 3.

Ψαλ. 98.

Ησαΐ. 66.

Ψαλ. 18.

Λευιτ. 26.

2. Κορινθ. 8. ἐμπεριπατήσω· αἰχμωτεύθωσαν οἱ Ιουδαῖοι, οἱ βασιλεῦσιν ἰδίοις τε καὶ ἀλλοτρίοις προσκυνήσαντες, ὅπερ Χριστιανὸς καταγγέλλουσιν εἰδωλολάτρας. ἡμεῖς δὲ οἱ Χριστιανοὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν, καὶ κατὰ πάσας ἡμέρας καὶ ὥρας, κατὰ τῆς εἰδώλων ὁπλιζόμεθα, κατὰ εἰδώλων ψάλλομεν, κατὰ εἰδώλων συγγράφομεν κατὰ εἰδώλων καὶ δαιμόνων δίχομεθα. καὶ πῶς εἰδωλολάτρας ἡμᾶς καλοῦσιν οἱ Ιουδαῖοι; ποῦ νῦν εἰσιν αἱ προσαγόμεναι τοῖς εἰδώλοις ὑπ' αὐτῆς θυσίαι τῆς προβάτων, καὶ βοῶν, καὶ τέκνων; πᾶ αἱ κνίσαι, πᾶ οἱ βωμοὶ καὶ προχύσεις τῆς αἱμάτων; ἡμεῖς δὲ οἱ Χριστιανοί, ὅτε βωμόν, ὅτε θυσίαν πῶς ἢ τί ἐστιν, ἐπισάμεθα. οἱ μὲν γὰρ Ελληνες μοιχοῖς ἀνθρώποις καὶ φονεῦσι καὶ ἀκαθάρτοις καὶ μιαροῖς τοὺς ναοὺς ὠνόμαζον καὶ τὰ εἴδωλα, καὶ αὐτοὺς ἐθεοποίουν· ὁ μέντοι γε προφητῆς ἢ ἁγίων μαρτύρων ναὸν ἢ βωμὸν ὠνόμασαν. ὥσπερ γὰρ οἱ ἐν Βαβυλῶνι Ισραηλῖται εἶχον ὄργανα καὶ κιθάρας καὶ ἕτερά τινα, καθὼς καὶ οἱ Βαβυλώνιοι· καὶ τὰ μὲν εἰς δόξαν Θεοῦ, τὰ δὲ εἰς θεραπείαν δαιμόνων· οὕτω καὶ ἐπὶ εἰκόνων Ελληνικῶν καὶ Χριστιανικῶν νοήσωμεν, ὅτι ἐκεῖνοι μὲν εἰς λατρείαν τοῦ διαβόλου, ἡμεῖς δὲ εἰς δόξαν Θεοῦ καὶ ὑπόμνησιν. πολλὰ καὶ πολλὰ θαυμάσια ὁ Θεὸς διὰ ξύλου ἀνέδειξε πεποίηκε, ξύλον ζωῆς, ξύλον γνώ-

Γενέσ. 2. σεως ὀνομάσας· καὶ ἄλλο φυτὸν ὀνομάσας Σα-

Εξοδ. 14. βὲκ, συγχωρήσεως τίθησιν. εἶτα ῥάβδῳ τὸν Φαραὼ ἐκάλυψε, θάλασσαν ἔχισεν, ὕδωρ ἐγλύκανεν, ὅφιν ὕψωσε, πέτραν διέῤῥηξεν,

Σοφί. 14. ὕδωρ ἐξήγαγε, ξύλον βλασήσαν τῇ σκιωῇ τιμᾷ Ααρὼν ἱερωσύνῃ ἐκύρωσεν. οὕτω καὶ Σολομὼν φησιν· εὐλογεῖτε ξύλον, δι' οὗ γίνεται

4. Βασιλ. 6. δικαιοσύνη. οὕτω καὶ Ελισαῖος ξύλον ἀπορρίψας ἐν Ιορδάνῃ, τὸν εἰς τύφον τῆς Αδὰμ σίδηρον ὡς ἐξ ἄδου ἀνήγαγε. οὕτω προσάσει τῷ

4. Βασιλ. 4. ἑαυτοῦ παιδὶ διά τῆς ῥάβδου ἀνασῆσαι τὸν παῖδα τῆς Σωμανίτιδος· ὁ οὖν διὰ τοσούτων ξύλων θαυματουργήσας Θεὸς οὐ δύναται, εἰπέ μοι, θαυματουργεῖν καὶ διὰ τοῦ τιμίου ξύλου τοῦ ἁγίου σαρκός; εἰ ἀσεβές ἐστι τιμᾶν τὰ ὀστᾶ, πῶς μὴ

Γενέσ. 50. πάσης τιμῆς μετεκομίσαντο τὰ ὀστὰ Ιωσὴφ ἐξ

Εξοδ. 13. Αἰγύπτου; πῶς νεκρὸς ἄνθρωπος καὶ τῆς ὀστέων Ε-

4. Βασιλ. 13. λισαίου ἁψάμενος ἀνέστη; εἰ δὲ δι' ὀστέων θαυματουργεῖ Θεὸς, δῆλον ὅτι δυάτιτι καὶ δι' εἰκόνων, καὶ διὰ λίθων, καὶ δι' ἑτέρων πολλῶν·

Γενέσ. 23. ἐπεὶ καὶ Αβραὰμ οὐ κατεδέξατο θάψαι τὸ σῶ-

Γενέσ. 28. μα Σάῤῥας ἐνμνήματι ἀλλοτρίῳ, ἀλλ' ἐν ἰδίῳ τάφῳ τιμῆς χάριν. ἐπεὶ καὶ Ιακὼβ τιμᾷ διὰ λίθου Θεοῦ, στήσας καὶ χρίσας αὐτὸν εἰς τύπον

Γενέσ. 31. Χριστοῦ τοῦ ἀκρογωνιαίου λίθου. καὶ πάλιν βυνὸν

Γενεσ. 4. λίθων ἐπὶ τοῦ Λάβαν ὠνόμασε μάρτυρα. μάρτυρεῖ καὶ Ιησοῦς ὁ τοῦ Ναυῆ, δώδεκα λίθους στήσας εἰς Θεοῦ ἀνάμνησιν. εἰ γὰρ ἦσάν σοι ὧδε Ιουδαῖε ἐν τῷ σῷ ναῷ τὰ δύο χερουβὶμ ἐκεῖνα τὰ κατασκιάζοντα τὸ ἱλαστήριον, τὰ γλυπτὰ, εἰσῆλθε δέ τις Ελλην εἰδωλολάτρης ἐν τῷ ναῷ σου, καὶ θεασάμενος τοῦτο ἐμέμψατο τοῖς Ιουδαίοις, ὡς καὶ αὐτῆς εἰδώλοις προσκυνοῦντας, τί ἂν εἶχες, εἰπέ μοι, ἀπολογήσασθαι αὐτῷ περὶ τῆς δύο χερουβὶμ τῆς χωνευτῆς, καὶ τῆς βοῶν, καὶ φοινίκων, καὶ λεόντων τῆς ὄντων τότε ἐν τῷ ναῷ γλυπτῶν; ἢ δέον εἶχες πρὸς αὐτὸν ἀληθὲς λέγειν, εἰ μὴ τοῦτο· ὅτι οὐχ ὡς Θεοὺς ἔχομεν αὐτὰ ἐν τῷ ναῷ, ἀλλ' εἰς ἀνάμνησιν Θεοῦ καὶ δόξαν τὰ χερουβὶμ ταῦτα ἔχομεν ἐν τῷ ναῷ. εἰ δὲ ἦν τοῦτο ὅπως, πῶς ἐμοὶ περὶ εἰκόνων ἐγκαλεῖς; ἀλλ' ἐρεῖς μοι, ὅτι ὁ Θεὸς τῷ Μωϋσῇ προσέταξε ποιῆσαι ἐν τῷ ναῷ τὰ γλυ- Εξοδ. 25. πτά. κἀγὼ τοῦτο λέγω. ἀλλ' ὁ Σολομὼν ἐκεῖθεν ὁδηγηθεὶς καὶ πλείονα ἐν τῷ ναῷ κατεσκεύασεν, ἅπερ οὐδὲ ὁ Θεὸς αὐτῷ προσέταξεν, οὐδὲ ἡ σκηνὴ τοῦ μαρτυρίου ἔχεν, ὅτε ὁ ναὸς οὔ 3. Βασιλ. 6 Ιεζεκιὴλ ἐκ Θεοῦ ἑώρακε· καὶ οὐ κατεγνώσθη ἐν Ezech. 41. τούτῳ Σολομών. εἰς δόξαν γὰρ Θεοῦ μορφὰς κατεσκεύασεν, ὥσπερ καὶ ἡμεῖς. εἶχες δὲ σὺ ὦ Ιουδαῖε καὶ ἕτερά τινα εἰς μνήμην καὶ δόξαν Θεοῦ, τὴν ῥάβδον Μωσέως, τὰς θεοτεύκτους πλάκας, τὴν ἄφλεκτον βάτον, τὴν ξηρένυδρον πέτραν, τὴν μαννοφόρον σάμνον, τὴν κιβωτὸν, τὸ θυσιαστήριον, τὸ θεώνυμον πέταλον, τὸ θεόδηλον ἐφὼδ, τὴν θεόσκηνον σκηνήν. εἶθε καὶ σὺ τοιούτοις ἐχόλαζες προσκυνῶν, καὶ ἐπικαλούμενος τὸν ἐπὶ πάντων Θεὸν, καὶ αὐτοῦ ἐμνημόνευες διὰ τῶν μικρῶν τούτων εἰκόνων καὶ τύπων, καὶ μὴ τὸν μόχον καὶ τὰς μυίας κατεῖχες ὑπὲρ τὰς θεοτεύκτους πλάκας. εἶθε καὶ τὸ ἅγιον χρυσοῦν θυσιαστήριον ἐπόθεις καὶ σὺ, καὶ μὴ τὰς δαμάλεις τῆς Σαμαρείας. εἶθε καὶ τὴν βλασήσασαν ῥάβδον, καὶ μὴ τὴν Ασάρτην ἐρημώσασάν σε τὴν πόλιν. εἶθε τὴν ὀμβρόθεον ἡσπάσω πέτραν, καὶ μὴ Βαὰλ τὸν Θεόν σου. ἀλλὰ διὰ τοῦτο αὐτὴ πάντα ὁ προσκυνεῖς ὁ πάλαι Ισραὴλ, ἐπειδὴ οὐκ ἠγάπησας τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας σου· ὁ γὰρ ἀγαπῶν τὸν ἑαυτοῦ φίλον, ἢ βασιλέα, καὶ μάλιστα διεργέτην, κἂν υἱὸν αὐτοῦ θεάσηται, κἂν ῥάβδον, κἂν θρόνον, κἂν σέφανον, κἂν οἶκον, κἂν δοῦλον, κρα- Ιερεμ. 2. τεῖ, ἀσπάζεται, καὶ τιμᾷ διὰ τούτων τὸν διεργετῆ, καὶ μάλιστα τὸν Θεόν. ὅταν οὖν ἴδῃς Χριστιανὸς προσκυνοῦντας τὸν σαυρὸν, γνῶθι ὅτι τῷ σαυρωθέντι Χριστῷ τὴν προσκύνησιν προσάγουσι, καὶ ὁ τῷ ξύλῳ. ἐπεὶ εἰ τὴν φύσιν τοῦ ξύλου ἔσεβον, πάντως ἂν καὶ τὰ δένδρα καὶ τὰ ἄλση προσεκύνουν, ὥσπερ καὶ σύ ποτε ὁ Ισραὴλ προσεκύνεις τούτοις, λέγων τῷ δένδρῳ καὶ τῷ ξύλῳ· σύ μου εἶ Θεός, καὶ σύ με ἐγέννησας. πάλιν δὲ οὐχ ὅτως λέγομεν ἡμεῖς τῷ σαυρῷ, οὐδὲ τοῖς μορφαῖς τῆς ἁγίων· θεοὶ ἡμῶν ἐστέ· οὐ γὰρ εἰσι θεοὶ ἡμῶν, ἀλλ' ὁμοιώματι εἰκόνες Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ, πρὸς ἀνάμνησιν, καὶ τιμὴν, καὶ ὠφέλειαν ἐκκλησιῶν προκείμενα καὶ προσκυνούμενα· ὁ γὰρ τιμῶν τὸν μάρτυρα, τὸν Θεὸν τιμᾷ· καὶ ὁ τῇ μητρὶ αὐτοῦ προσκυνῶν, αὐτῷ τὴν τιμὴν προσάγει. καὶ ὁ τὸν ἀπόστολον τιμῶν, τὸν ἀποστείλαντα τιμᾷ· εἶθε καὶ σὺ Μωσαϊκὰς εἰκόνας ἐποίεις καὶ προφητικὰς, καὶ καθ' ἑκάστην ἡμέραν δι' αὐτῶν προσεκύνεις τῷ Θεῷ καὶ δεσπότῃ αὐτῶν

τῶν, καὶ μὴ τῇ εἰκόνι τῇ χρυσῇ Ναβουχοδονόσορ· καὶ πῶς οὐκ αἰσχύνη κατ' ἐμοῦ κινούμενος, καὶ κατεσαιρόμενος κατὰ τῶν εἰκόνων καὶ τοῦ σωροῦ ἐγκαλῶν, εἰ Ἀβραὰμ τοῖς εἰδωλολάτραις προσεκύνησεν, εἰ Μωσῆς τὸν Ἰοθὸρ εἰδωλολάτρῃ προσεκύνησεν, ἢ Ἰακὼβ τὸν Φαραὼ, καὶ Δανιὴλ τὸν Ναβουχοδονόσορ; εἰ ὅτι προφῆται καὶ δίκαιοι ὄντες, διά τινας ἀνθρωπίνας προσεκύνουν αὐτοῖς ἐπὶ τῇ γῇ εἰδωλολάτραις οὖσιν, ἐμοῦ κατεπαίρη προσκυνοῦντος σωρῷ καὶ χαρακτῆρσιν ἁγίων, ἐξ ὧν μυρία ἀγαθὰ παρὰ Θεοῦ δι' αὐτῆς κομίζομαι; ὁ γὰρ τὸν βασιλέα φοβούμενος, οὐκ ἀτιμάζει τὸν υἱὸν αὐτοῦ· καὶ ὁ Θεὸν φοβούμενος, τιμᾷ πάντως καὶ σέβει καὶ προσκυνεῖ ὡς υἱὸν Θεοῦ Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ τὸν τύπον τοῦ σωροῦ αὐτοῦ, καὶ τοὺς χαρακτῆρας τῆς ἁγίων αὐτοῦ. ὅτι αὐτῷ πρέπει δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Κωνσαντῖνος ἐπίσκοπος Κωνσαντίας τῆς Κύπρου εἶπεν· οὗτος ὁ ἀναγνωσθεὶς πατὴρ ἐν μιᾷ τῶν πόλεων τῆς Κύπρου ἱεροπρεπῶς διέπρεψε. καὶ πολλὰ ἐγκώμια καὶ πανηγυρικοὺς λόγους αὐτοῦ ἔχομεν, μεθ' ὧν καὶ εἰς τὴν μεταμόρφωσιν τοῦ σωτῆρος ἡμῶν. συνεγράψατο δὲ καὶ τὸν βίον τοῦ ἁγίου Ἰωάννου ἀρχιεπισκόπου Ἀλεξανδρείας τοῦ Ἐλεήμονος. ἔτι μὴν καὶ τοῦ ὁσίου Συμεὼν τοῦ σαλοῦ, καὶ ἑτέρα τινα· καὶ ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ ὀρθόδοξος γνωρίζεται. ἤκμαζε δὲ κατὰ τοὺς χρόνους Μαυρικίου τοῦ βασιλέως.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου τῆς ἀνατολῆς εἶπεν· ὅτι δὲ ταῦτα οὕτως ἔχει δόξαν τοῦ προειρημένου πατρός, δῆλον· οἱ γὰρ τοποτηρηταὶ τοῦ ἁγιωτάτου πάπα προσελίεγκαν τῷ αὐτῷ βίβλον τῇ ἁγίᾳ συνόδῳ. καὶ μάλιστα ὅτι πλατυτέρως ἀπέδειξε τῇ τῶν ἱερῶν εἰκόνων ἀποδοχῇ καὶ προσκυνήσιν.

Ἔτι Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου τῆς ἀνατολῆς, ἐπιδείξας τῇ ἁγίᾳ συνόδῳ εἶπε. τὸ βιβλίον τοῦτο τίμιοι πατέρες, ἐν τῇ βασιλίδι πόλει ἥρηκα παρὰ τῷ κυρῷ Προκοπίῳ τῷ σιλεντιαρίῳ. καὶ ἀρὼν αὐτό, λίαν ἐχάρην, ἐπειδὴ τὸ ἴσον αὐτοῦ ἔχομεν ἐν τῇ ἀνατολῇ ἀπαράλλακτον· διδάσκει δὲ ἐν αὐτῷ ὁ μακάριος Ἀνασάσιος περὶ ἐμφορᾶς προσκυνήσεως· καὶ εἰ κελεύει ἡ ἁγία συνόδος, ἀναγνωσθήτω.

Ἡ ἁγία συνόδος εἶπεν. ἀναγνωσθήτω.

Καὶ λαβὼν Στέφανος ὁ διάκονος καὶ νοτάριος ἀνέγνω·

Τοῦ ἁγίου Ἀνασασίου ἐπισκόπου Θεουπόλεως ἐπιστολὴ πρός τινα σχολαστικόν, δι' ἧς ἀπεκρίνατο πρὸς αὐτὸν περὶ τοῦ ἐνεχθεῖσαν αὐτῷ παρ' αὐτοῦ ἀπορίαν· ἧς ἡ ἀρχή.

Εἰ τῷ μόνον ἐπερωτήσαντι σοφίαν σοφία λογισθήσεται. καὶ μεθ' ἕτερα· καὶ μηδεὶς προσκοπτέτω τῇ τῆς προσκυνήσεως σημασίᾳ· προσκυνοῦμεν γὰρ καὶ ἀνθρώπους, καὶ ἀγγέλους ἁγίους, οὐ μὴν λατρεύομεν αὐτοῖς. κύριον γάρ, φησὶ Μωϋσῆς, προσκυνήσεις τὸν Θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις· καὶ ὅρα, πῶς ἐπὶ μὲν τοῦ, λατρεύσεις, προσέθηκε τὸ, μόνον· ἐπὶ δὲ τοῦ, προσκυνήσεις, οὐδαμῶς. ὥστε προσκυνεῖν μὲν ἔξεστι, τιμῆς γὰρ ἔμφασίς ἐστιν ἡ προσκύνησις· λατρεύειν δὲ οὐδαμῶς· οὐκοῦν οὐδὲ προσεύχεσθαι. ταῦτα μὲν ἐρεῖ τις τέως πρὸς τὸν πρῶτον· ὁ δὲ δεύτερος ταῖς τῶν πολλῶν δόξαις ὑπάγεται, μήπω τῆς ὄψεως ἀναγνώσεως πεῖραν εἰληφώς. Δευτερ. 6. Ματθ. 4.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἴδωμεν περὶ τῆς προσκυνήσεως τί λέγει ὁ πατήρ.

Ἡ ἁγία συνόδος εἶπε· διαφορὰν προσκυνήσεως παρέσησεν. εἶπε γὰρ, ὅτι κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ἐπὶ τῷ λατρεύσεις ἔθηκε τό, μόνῳ· ἐπὶ δὲ τῆς προσκυνήσεως, οὐκέτι· ἡ δὲ ψευδοσυνόδος ἐκείνη παρέλαβε τὸ χωρίον τοῦτο εἰς δικαίωμα· πρόδηλον δέ, ὡς ἀσεβῶς αὐτὸ ἐκλαμβάνουσα.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· ἀλλ' ἴδε, ὁ πάνσοφος πατὴρ πῶς αὐτὸ ἑρμηνεύει. ὅπερ δὲ ἐν τῷ μέσῳ τέθηκε, λίαν πάντας ἡμᾶς καὶ τοὺς ἐρισικῶς ἀντιτιθεμένους εἰς τὴν τῶν εἰκόνων ἀποδοχὴν καὶ προσκύνησιν πάντες ἴσμεν οἱ τὰς ἱερὰς εἰκόνας ὁμολογοῦντες τιμᾶν καὶ δὲ προσκύνησιν παραιτούμενοι, ἐλεγχθήσονται ὑπὸ τοῦ ἁγίου πατρὸς, ὡς ἂν ὑποκρίσει λέγοντες. τῷ ὄντι γὰρ τὴν προσκύνησιν μὴ ἀποδεχόμενοι, ὅπερ ἐστὶ τιμῆς σύμβολον, τὸ ἐναντίον ἐπιδεικνύνται ποιοῦντες, ὅπερ ἐστὶν ἀτιμία.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Φωκίας εἶπεν· ἀκμηρόν ἐστι προφητικῶς εἰπεῖν. ἔσρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. ἔσρεψαν γὰρ αἱ θεῖαι γραφαὶ τοὺς νόας ἡμῶν ἀπὸ πάσης ἀσεβείας, καὶ ἐνέπλησαν ἡμᾶς θείας ἐπιγνώσεως καὶ ἐπιστήμης.

Κωνσαντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσαντίας τῆς Κύπρου βίβλον ἐπέδωκε τοῦ ἁγίου Ἀνασασίου ἐπισκόπου Θεουπόλεως· ἣν δεξάμενος Στέφανος ὁ διάκονος καὶ νοτάριος ἀνέγνω.

Τȣ̃ ὁσίου πατρὸς ἡμῶν Αναστασίου πρὸς Συμεὼν ἐπίσκοπον Βόστρης λόγος περὶ σαββάτȣ, ȣ̃ ἡ ἀρχή.

Εἰ πατέρας δεῖ κατὰ τὸ λόγιον, καὶ ὡς σὺ φῄς, ἐπερωτᾶν, ἔτι γε μὴν καὶ πρεσβυτέρȣς. καὶ μετ' ὀλίγα· ὥσπερ γὰρ ἀπόντος μὲν βασιλέως, ἡ εἰκὼν αὐτȣ̃ ἀντ' αὐτȣ̃ προσκυνεῖται· παρόντος δὲ λοιπὸν αὐτȣ̃, περιττὸν καταλιπόντα τὸ πρωτότυπον, προσκυνεῖν τὴν εἰκόνα· οὐ μὴν ἐπεὶ μὴ προσκυνεῖται, διὰ τὸ παρεῖναι τὸν, δι' ὃν προσκυνεῖται, ἀτιμάζεσθαι αὐτὴν ἔδει. καὶ μετ' ὀλίγα· ὥσπερ ὁ παροινῶν εἰκόνι βασιλέως, τιμωρίαν δικαίαν ὑφίσταται, ὡς αὐτόχρημα βασιλέα ἀτιμάσας· καί τοι τῆς εἰκόνος ȣ̓δὲν ἕτερον οὔσης, ἢ ξύλον ἐς χρώματα κυρῷ μεμιγμένα καὶ κεκραμένα. τὸν αὐτὸν τρόπον ὁ τὸν τύπον τȣ̃ δέ τινος ἀτιμάζων, εἰς αὐτὸν ἐκεῖνον, ȣ̃ ὁ τύπος ἐστὶ, ἀναφέρει τὴν ὕβριν.

Ιωάννης ὁ αὐλαβέστατος μοναχὸς, πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν ἀρχιερέων εἶπε. παρηστησεν ὁ πατὴρ, ὡς μὴ παρόντος βασιλέως ἡ εἰκὼν αὐτȣ̃ τιμᾶται, οὐ μὴν παρόντος ἀτιμάζεται. ὥστε καὶ ἀρτίως τοῦ δεσπότȣ τῶν ὅλων Ιησοῦ Χριστοῦ αἰσθητῶς ἡμῖν μὴ παρόντος· ἀθέατος γάρ ἐστι τοῖς τῆς σαρκὸς ἡμῶν ὀφθαλμοῖς, ὡς δὲ Θεὸς πάντων πάρεστι. τιμητέον τὴν αὐτοῦ εἰκόνα, καθὼς ἐπὶ τȣ̃ βασιλέως ὁ πατὴρ ὑπέβαλεν.

Γρηγόριος ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος μονῆς τῆς Ορμίσδου, προσηνέγκε βίβλον τȣ̃ ἁγίου Σωφρονίȣ· ἣν λαβὼν Στέφανος ὁ εὐλαβέστατος μοναχὸς ἀνέγνω.

Τοῦ ὁσίου πατρὸς ἡμῶν Σωφρονίου ἀρχιεπισκόπου Ιεροσολύμων ἐγκώμιον εἰς τοὺς ἁγίους Κῦρον καὶ Ιωάννην.

Αλλοι μὲν ἄλλως τȣ̀ς ἁγίȣς τιμάτωσαν, πολυμερῶς αὐτῆς τὰς δωρεὰς θριαμβεύοντες, καὶ τὰς εὐεργεσίας πολυτρόπως κηρύττοντες· οἱ μὲν νεῶν ὑψηλῶν ἀναστήμασιν, οἱ δὲ ποικίλων μαρμάρων κοσμήσεσιν· ἄλλοι χρυσαυγῶν ψηφίδων συνθέσεσιν· ἕτεροι φαιδροῖς ζωγράφων τεχνήμασι καὶ χρυσοῖς· ἄλλοι καὶ ἀργυροῖς ἀναθήμασιν· ἕτεροι δὲ τοῖς ἐκ σηρικῶν καὶ βομβύκων ὑφάσμασι· καὶ ἁπαξαπλῶς ἅπαντες ἐπὶ τὴν τῆς μαρτύρων τιμὴν ἁμιλλάσθωσαν, ὡς ἕκαστος εὐπορίας ἔχει καὶ βȣλήσεως. καὶ ἀλλήλους ἐν τȣ́τοις νικᾷν ἐφιέσθωσαν, τὴν πρὸς τȣ̀ς ἁγίους ἐνοῦσαν αὐτοῖς στοργὴν ἐνδεικνύμενοι, καὶ κομιούμενοι ἀντὶ μὲν τῆς φθαρτῆς τὰ ἀμάραντα, ἀντὶ δὲ τῶν προσκαίρων τὰ τέλος οὐκ ἔχοντα. τοιούτοις γὰρ αὐτῆς οἱ θεσπέσιοι τοὺς ἐραστὰς ἀμείβεσθαι τοῖς δώροις εἰώθασιν.

Εκ τῆς αὐτῆς συγγαρφῆς τȣ̃ αὐτȣ̃ πατρὸς, τῆς αὐτῆς ἁγίων θαῦμα *. οὗ ἡ ἀρχή.

Αλεξάνδρειαν Αἰγύπτȣ καὶ Λιβύων ἀκούω μητρόπολιν. καὶ μεθ' ἕτερα. ἐλθόντες ȣ̃ν εἰς νέων τινα τέλειον, τῷ μὲν εἴδει φοβερὸν καὶ ὑπέρλαμπρον, τῷ δὲ ὕψει τῆς οὐρανῶν αὐτῆς ἐφαπτόμενον. καὶ εἴσω τȣ́τȣ γενόμενοι, μεγίστην εἰκόνα καὶ θαυμασίαν ἐβλέπομεν, μέσον μὲν τὸν δεσπότην Χριστὸν γεγραμμένον χρώμασιν ἔχȣσαν, Χριστȣ̃ δὲ τὴν μητέρα καὶ δέσποιναν ἡμῶν τὴν θεοτόκον καὶ ἀειπάρθενον Μαριὰμ εὐώνημον, καὶ ἐκ δεξιῶν Ιωάννην τὸν βαπτιστὴν αὐτȣ̃ τȣ̃ σωτῆρος καὶ πρόδρομον, τὸν ἐγκοιλίοις σκιρτήμασιν αὐτὸν προμηνύσαντα, ἐπεὶ καὶ λαλῶν ἔνδον ὢν οὐκ ἀκȣ́ετο· καί τινας τȣ̃ τῆς ἀποστόλων ἐς προφητῆς ἐνδόξȣ χορȣ̃ καὶ τῆς μαρτυρικῆς ὁμηγύρεως· μεθ' ὧν ἐτύγχανον ἐς αὐτοὶ Κῦρος καὶ Ιωάννης οἱ μάρτυρες· οἳ πρὸ τῆς εἰκόνος ἱστάμενοι, τῷ δεσπότῃ προσέπιπτον, τὰ γόνατα κάμπτοντες, καὶ τὰς κεφαλὰς εἰς ἔδαφος φέροντες, καὶ περὶ τῆς τȣ̃ νέȣ θεραπείας πρεσβεύοντες. καὶ μεθ' ἕτερα. καὶ πρὸς τὴν εἰκόνα τὸ τρίτον γενόμενοι, τοῖς προλαβȣ̃σι τρόποις ἐχρῶντο καὶ ῥήμασι, καὶ ὡς ὥραν πολλὴν ἐδεήθησαν, καὶ κάτω κείμενοι τὸ, εἰ κελεύεις δέσποτα, μόνον ἀνέκραζον· ὁ Χριστὸς σπλαγχνισθεὶς, ὡς οἰκτίρμων ἐπένευσε· καὶ δότε αὐτῷ * πρὸς τῆς εἰκόνος, ἐφθέγξατο. καὶ χαμόθεν ἀναστάντες οἱ μάρτυρες, πρῶτον μὲν εὐχαρίστουν Χριστῷ τῷ θεῷ ἡμῶν, ὡς τῆς δεήσεως αὐτῆς ἐπακȣ́σαντι· ἔπειτα δὲ χαίροντες καὶ χαννύμενοι, ἰδȣ̀, φασὶ, * πρὸς ἐμὲ τὴν χάριν ὁ Θεὸς ἐδωρήσατο, εἴσελθε γοῦν εἰς Αλεξάνδρειαν, καὶ ἐν τῷ μεγάλῳ Τετραπύλῳ νῆστις καθεύδησον· καὶ μικρὸν τȣ̃ τῆς κανδήλας ἐλαίȣ, τῆς ἄνω πρὸ τῆς τȣ̃ σωτῆρος εἰκόνος ἁπτομένης, λαβὼν εἰς ληκύθιον, πάλιν ἄγευστος τὰ ἐνθάδε κατάλαβε· καὶ τȣ́τῳ τοὺς πόδας ἀλειψάμενος, τῆς ὑγείας ἕξεις τὸ δώρημα. καὶ μεθ' ἕτερα. αὐτὸς δὲ ἀναστὰς μετὰ τὴν κοίμησιν τῆς κανδήλας λαμβάνει τὸ ἔλαιον, πρὸς τὸ τῆς ἁγίων ἔρχεται τέμενος· ἔνθα γενόμενος, ὡς ἐθεσπίσθη, τὰς χεῖρας καὶ τȣ̀ς πόδας ἠλείψατο· καὶ παραχρῆμα τὴν νόσον ἀπέθετο, καὶ τὴν ῥῶσιν ἀνέλαβε.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. πάντα τὰ ἀποδεδειγμένα λέγει, καὶ τὰ τῆς ζωγράφων καὶ τῆς λοιπῶν τεχνῶν ἀναθήματα πρὸς εὐπρέπειαν τῆς ἱερῶν οἴκων.

Θωμᾶς ὁ εὐλαβέστατος μοναχὸς ἐς πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολῆς εἶπεν· αὕτη ἡ εἰκὼν, τίμιοι πατέρες, ἐν Αλεξανδρείᾳ ἐν τῷ Τετραπύλῳ ἑστῶσα ὑπάρχει ἕως τȣ̃ νῦν, καὶ παντοίας νόσȣς ἐξιᾶται.

Η ἁγία σύοδος εἶπε, δόξα σοι τῷ Θεῷ καὶ διὰ τῆς ἱερῶν εἰκόνων θαυματȣργίας ἐπιτελοῦντι.

Εὐστάθιος ὁ εὐλαβέστατος μοναχὸς πρεσβύτε-

παραπεμπομένου τῷ σώματι ποτοῦ ἐκεῖθεν ἀπορρέοντος, τῶν τε ἰατρῶν εἰρηκότων κεκυριεῦσθαι αὐτὸν ὑπ' αὐτοῦ, καὶ μὴ εὐρίσκεσθαι ἀνθρώπου χεῖρα δυναμένην βοηθῆσαι τῷ πάθει· ἀπέγνω λοιπὸν ἑαυτοῦ ὁ ἀνὴρ, καὶ συνεβουλεύθη παρὰ πολλῶν καταλαβεῖν τὸν τῶν ἁγίων τοῦ Θεοῦ θεραπόντων Κοσμᾶ καὶ Δαμιανοῦ ἡγιασμένον οἶκον, καὶ τοῦτο ποιῆσαι βουλόμενος· πολύβουλος γὰρ ἡ ἀνάγκη· θεωρεῖ τοὺς ἁγίους καθ' ὕπνον λέγοντας αὐτῷ· δεῦρο πρὸς ἡμᾶς, καὶ ἰαθήσῃ. θαρσήσας τοίνυν τῇ προτροπῇ τῶν ἁγίων, καταλαμβάνει τὸν ἔνδοξον αὐτῶν οἶκον. καὶ καθ' ἑκάστην δυσωπῶν αὐτοὺς οὐκ ἐνεδίδου ἀπαλλαγῆναι τοῦ πάθους. ὡς δὲ ἐπέμενε χρόνον, καὶ οὐδεμιᾶς ἐτύγχανεν ἐπισκέψεως, τέλος ἐξελθὼν ἐν τῷ ὑπερθύρῳ τῷ προσπαρακειμένῳ τῷ οἴκῳ τῶν ἁγίων, καὶ βλέψας εἰς τὴν εἰκόνα τοῦ σωτῆρος τὴν ἀνακειμένην ἐν τῇ κατὰ τὸ δεξιὸν στοᾷ· γέγραπται δὲ ἐν αὐτῇ ἥτε ἁγία Μαρία ἡ θεοτόκος, καὶ οἱ ἅγιοι θεράποντες τοῦ Χριστοῦ Κοσμᾶς καὶ Δαμιανὸς, καί τις τῶν μεγάλων ἀνδρῶν Λεόντιος τοὔνομα· δεήσεις ἐκτενεῖς ποιησάμενος, καὶ κλαύσας πικρῶς ἐπὶ ὥρας πολλὰς, καὶ δυσωπήσας τοὺς ἁγίους, ἀπῆλθεν ἐν τῷ τόπῳ τῆς κοίτης αὐτοῦ. καὶ θεωρεῖ διὰ τῆς νυκτὸς ἐρχομένους πρὸς αὐτὸν τοὺς θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανὸν, μέσην ἔχοντας τὴν κεχαριτωμένην παρθένον καὶ λέγουσαν αὐτοῖς. ἴδε οὗτός ἐστι, βοηθήσατε αὐτῷ διὰ τάχους.

Ἔτι ὁ αὐτὸς ἀνέγνω ἐκ τῶν αὐτῶν θαυμάτων. περὶ τῆς γυναικὸς Κωνσταντίνου τοῦ ἐν Λαοδικείᾳ.

Συνέβη τινὰ ἄνδρα ἐν στρατείᾳ ἐξεταζόμενον, ὀνόματι Κωνσταντῖνον, πιστότατον, καὶ μὴ ἀπολιμπανόμενον τῆς τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ προσεδρείας, ἐκδεδημηκέναι ταύτης τῆς φιλοχρίστου καὶ βασιλίδος πόλεως, τῆς προσούσης αὐτῷ στρατείας χάριν. ὅστις ἐν ἑκάστῃ αὐτοῦ ξενιτείᾳ κατὰ πίστιν ἐπέφερε τὸ ἐκτύπωμα τῶν ἁγίων ἐν εἰκονιδίῳ πρὸς ἀσφάλειαν ἰδίαν. ἐπιστὰς δὲ τῇ Λαοδικέων πόλει, ἥτις ἐπωνομάσθη ἡ * Τριμιταρία, ἐν αὐτῇ τε διατρίψας προφάσει τοῦ ἐγκεχειρισμένου αὐτῷ προστάγματος φανερὸν χρόνον, γάμῳ νομίμῳ προσωμίλησεν· ὀλίγων δὲ ἡμερῶν διαγενομένων, ἡ συναφθεῖσα τούτῳ πρὸς γάμον γυνὴ ἠσθένησεν ἐν τῇ σιαγόνι αὐτῆς τῇ ἐξ εὐωνύμων, ἀπόστημα ἐκβαλοῦσα· καὶ ὑπὸ τῶν ἀλγηδόνων δεινῶς ἀνιωμένη, τῷ ἀνδρὶ οὐ μετρίους κόπους ἐνεποίει. ὅστις παραμυθούμενος τὴν ἰδίαν γυναῖκα, καὶ πολλὴν πεῖραν τῶν ἁγίων ἔχων, ἐπιλαθόμενος δὲ, ὅτι κατὰ τὸ εἰωθὸς αὐτοῦ τούτους ἐπεφέρετο, ἔλεγεν αὐτῇ· τί σοι ποιήσω; ἐπὶ ξένης εἰμί. εἰ γὰρ ἤμην ἐν τῇ πόλει μου, ἐλάμβανον τῆς κηρωτῆς τῶν δεσποτῶν μου τῶν ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ, καὶ εὐθὺς τοὺς πόνους σου ἔπαυον, καὶ τὸ νόσημα ἐθεράπευον. ἡ δὲ πιστὴ ὑπάρχουσα, καὶ θαυμάσασα πρὸς τὸ συντόμον τῆς τῶν ἁγίων ἰάσεως, καὶ εὐξαμένη ἀξιωθῆναι μετὰ τὴν ἐπάνοδον αὐτῶν τῆς ἐν τῷ ἐνδόξῳ αὐτῶν καὶ περιβοήτῳ ναῷ τούτων προσκυνήσεως, καὶ τρωθεῖσα ἐκ μόνης τῆς ἀκοῆς τῷ πρὸς τοὺς ἁγίους πόθῳ, ἡσύχασε. καὶ ὕπνῳ κατενεχθεῖσα τῇ ἐπιούσῃ νυκτὶ ὁρᾷ τοὺς μεγάλους τούτους καὶ φοβεροὺς ἰατροὺς καὶ θεράποντας τοῦ Χριστοῦ Κοσμᾶν καὶ Δαμιανὸν ἐν ᾧ ἐκτυποῦνται σχήματι, ἑστῶτας πρὸς τῇ κλίνῃ αὐτῆς, καὶ λέγοντας αὐτῇ. τί ἔχεις; τί ἀγωνιᾶς; τί θλίψεις προσάγεις τῷ ἀνδρίσου; ὧδέ ἐσμεν μεθ' ὑμῶν, μηδενὸς φροντίσῃς, ταῦτα εἰπόντες αὐτῇ ἀπέστησαν. ἡ δὲ διϋπνισθεῖσα ἠρώτα τὸν ἴδιον ὁμόζυγον, πυθέσθαι παρ' αὐτοῦ βουλομένη τὰ σχήματα τῶν ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ, ὅπως ἱστοροῦνται, καὶ ἐν ποίᾳ τάξει ἡ αὐτῶν πρὸς τοὺς ἀσθενεῖς γίνεται παράστασις. τοῦ δὲ ἀνδρὸς ἀπαγγείλαντος μὲν αὐτῇ τὸ σχῆμα, διηγησαμένου δὲ καὶ τὰ αὐτῶν χαρίσματα, συνετίθετο μὲν τῷ συμβίῳ πρὸς τὰ σχήματα, ἔλεγε δὲ αὐτῷ τὰ λοιπὰ τὰ ῥηθέντα αὐτῇ ἐν ὀπτασίᾳ ὑπὸ τῶν ἁγίων. λοιπὸν καὶ ὁ ἀνὴρ εἰς ἀνάμνησιν ἐλθὼν ἐκ τοῦ διηγήματος, ὅτι εἶχεν ἐν τῷ ὑπομασχάλῳ αὐτοῦ τὸ τῶν ἁγίων ἐν εἰκονιδίῳ ἐκτύπωμα, ἐκβαλὼν τοῦτο παρευθὺς ἔδειξε τῇ γυναικί. ἡ δὲ θεασαμένη προσεκύνησε, καὶ ἔγνω, ὅτι ὄντως σὺν αὐτοῖς ἐκεῖσε διῆγον οἱ ἅγιοι κατὰ τὴν αὐτῶν φωνήν· καὶ εὐθέως ἀπηλλάγη ἡ γυνὴ τοῦ νοσήματος.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος, μοναχὸς καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· ἀπεδείχθη σαφῶς ἡμῖν, ὅτι καὶ διὰ τῶν εἰκόνων φαίνονται οἱ ἅγιοι θαυματουργοῦντες. διὰ γὰρ τῆς εἰκόνος ἐφανερώθησαν τῇ γυναικὶ, ἰώμενοι αὐτήν.

Μάνζων ὁ ὁσιώτατος ἐπίσκ. Πρακάνων εἶπε· μετὰ τὸ ἀναχωρῆσαι πέρυσι ἐκ τῆς βασιλευούσης πόλεως, καὶ ἀπελθεῖν εἰς τὴν κατ' ἐμὲ δουλικὴν ὑμῶν πόλιν, ἀσθενείᾳ περιέπεσον χαλεπωτάτῃ, ὥστε με καὶ τοὺς ἰδίους περισυνάξαι πρὸς τὸ ποιῆσαι διαθήκην· καὶ ἐν τούτοις τῆς νόσου κατεχούσης, ἤνεγκα τὴν σεβασμίαν εἰκόνα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἶπον· ὅτι, κύριε ὁδοὺς τὴν χάριν τοῖς ἁγίοις σου, ἐπίσκεψαί με. καὶ ἅμα τῷ ἐπιθεῖναί με τὴν αὐτὴν σεβασμίαν εἰκόνα εἰς τὸ πάσχον μέλος, παραυτίκα ἀπηλάθη τὸ νώσημα, καὶ ὑγιὴς κατέστην.

Καὶ ἀναστὰς Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Σελευκείας εἶπε· καὶ ἡμῖν διεγνώσθη τοῦτο. πλησίον γὰρ ἡμῶν ἐστιν.

Ἔτι Θεοδόσιος διάκονος μοναχὸς καὶ σκευοφύλαξ τῶν εὐαγῶν πατριαρχικῶν εὐκτηρίων, ἀνέγνω.

Ἐκ τῶν αὐτῶν θαυμάτων, περὶ τῆς γυναικὸς τῆς ἐχούσης τοὺς στρόφους.

Καλῶς ὁ σοφώτατος Παῦλος, ὁ στύλος καὶ διδάσκαλος τῆς ἐκκλησίας, βοᾷ, ὅτι ἡ ἐλπὶς

* Τριμιτανία

βύτερος καὶ ἡγούμενος μονῆς τῆς Μαξιμίνου εἶπε. κἀγὼ ἅγιοι πατέρες βίβλον ἐκφέρομαι τοῦ αὐτοῦ πατρὸς, συγγραφὴν περιέχουσαν βίους πολλῶν ἀνδρῶν. καὶ ὡς παρίσταται τῇ ὑμῶν ὁμηγύρει.

Η ἁγία σύνοδος εἶπεν· ἀναγνωθήτω.

Καὶ λαβὼν Στέφανος ὁ εὐλαβέστατος μοναχὸς ἀνέγνω.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σωφρονίου ἐκ τοῦ λειμωναρίου.

Ελεγεν ὁ ἀββᾶς Θεόδωρος ὁ Αἰλιώτης, ὅτι ἦν τις ἔγκλειστος εἰς τὸ ὄρος τῆς ἐλαιῶν, ἀγωνιστὴς πάνυ. ἐπολέμει δὲ αὐτὸν ὁ δαίμων τῆς πορνείας. ἐν μιᾷ οὖν ὡς ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι, καὶ λέγειν τῷ δαίμονι· ἕως πότε οὐκ ἐνδίδως μοι; ἀπόστα λοιπὸν ἀπ' ἐμοῦ, συνεγήρασας μοι. φαίνεται αὐτῷ ὁ δαίμων ὀφθαλμοφανῶς, λέγων· ὄμοσόν μοι, ὅτι οὐδενὶ λέγεις, ὃ μέλλω λέγειν σοι. καὶ οὐκέτι σε πολεμῶ. καὶ ὤμοσεν αὐτῷ ὁ γέρων, ὅτι μὰ τὸν ἐνοικοῦντα ἐν τοῖς ὑψίστοις οὐκ εἴπω τινὶ, ἅπερ λέγεις μοι. τότε λέγει αὐτῷ ὁ δαίμων· μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι, καὶ οὐκ ἔτι σε πολεμῷ. εἶχε δὲ ἐκτύπωμα ἡ εἰκὼν τὴν δέσποιναν ἡμῶν τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον βαστάζουσαν τὸν κύριον ἡμῶν Ιησοῦν Χριστόν. λέγει ὁ ἔγκλειστος τῷ δαίμονι· ἄφες σκέψωμαι. τῇ οὖν ἐπαύριον δηλοῖ τῷ ἀββᾷ Θεοδώρῳ τῷ Αἰλιώτῃ οἰκοῦντι τότε ἐν τῇ λαύρᾳ Φαρῶν· καὶ ἦλθε, καὶ διηγήσατο πάντα. ὁ δὲ γέρων λέγει τῷ ἐγκλείστῳ· ὄντως ἀββᾶ ἐνεπαίχθης, ὅτι ὤμοσας τῷ δαίμονι. πλὴν καλῶς ἐποίησας ἐξειπών. συμφέρει δέ σοι μὴ καταλιπεῖν εἰς τὴν πόλιν ταύτην πορνεῖον, εἰς ὃ μὴ εἰσέλθῃς, ἢ ἵνα ἀρνήσῃ τὸ προσκυνεῖν τὸν κύριον ἡμῶν καὶ Θεὸν Ιησοῦν Χριστὸν μετὰ τῆς ἰδίας αὐτοῦ μητρὸς ἐν εἰκόνι. στηρίξας οὖν αὐτὸν καὶ ἐνδυναμώσας πλείοσι λόγοις, ἀπῆλθεν εἰς τὸν ἴδιον αὐτοῦ τόπον. φαίνεται οὖν πάλιν ὁ δαίμων τῷ ἐγκλείστῳ, καὶ λέγει αὐτῷ· τί ἐνι κακόγερε; οὐκ ὤμοσάς μοι, ὅτι αὐδενὶ λέγεις; καὶ πῶς πάντα ἐξεῖπες τῷ ἐλθόντι πρὸς σέ; λέγω σοι κακόγερε, ὡς ἐπίορκος ἔχεις κριθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ἀπεκρίθη αὐτῷ ὁ ἔγκλειστος, λέγων. ὅ, τι μὲν ὤμοσα, ὤμοσα· καὶ ὅτι ἐπιώρκησα, οἶδα. πλὴν τὸν ἐμὸν δεσπότην καὶ ποιητὴν ἐπιώρκησα. σοῦ δὲ οὐκ ἀκούω.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· ὥσπερ ὁρμίσκοι χρυσοῖ, οὕτως εἰσὶν οἱ θεοφόροι ἡμῶν πατέρες, συμφωνοῦντες εἰς τὴν προσκύνησιν τῆς ἱερῶν εἰκόνων.

Ἰωάννης ὁ θεοφιλέστατος μοναχὸς, πρεσβύτερος, καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· καὶ ἕτερον σημαίνει ὁ λόγος τοῦ πατρὸς ἡμῶν Σωφρονίου, ὅτι συμφέρει ὀμόσαντα ἐπιορκῆσαι, ἢ ὅλως φυλάξαι ὅρκον ἐπὶ τῇ καταλύσει τῶν σεπτῶν εἰκόνων. τοῦτο δὲ λέγομεν, ἐπειδὴ τινες σήμερον ἐπαφορμίζονται ὅρκῳ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. ἐπειδὴ ἐγίνωσκε τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὅτι μετανοοῦντας προσδέχεται, τούτου ἕνεκεν διετάξατο παραβῆναι τὸν ἀσεβῆ ὅρκον· καὶ τανῦν οἱ ἐν τῇ αἱρέσει ταύτῃ ὁμωμοκότες, εἰ μὲν ἄλλην ἁμαρτίαν οὐ πεποιήκασιν, εὔλογος αὐτοῖς ἡ πρόφασις, καὶ οὐκ ἔχουσί τι λέγειν. ἐπεὶ δὲ καὶ ἄλλαις ἁμαρτίαις περιπίπτουσιν, ὤφειλον τὸν Θεὸν ἐξιλεώσασθαι, καὶ ἐκδωσωπῆσαι περὶ τῆς ἀφέσεως τοῦ ἀθεμίτου ὅρκου.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος * Συβρίτων εἶπεν· ὁ κορυφαῖος τῆς ἀποστόλων Πέτρος ἠρνήσατο, ἀλλὰ μετανοήσας ἐδέχθη. * Συμιτῶν Ματθ. 26.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὁ Ηρώδης εὐώρκησεν, ἀλλ' ἀπώλετο. ὁ δὲ Πέτρος ἀρνησάμενος μεθ' ὅρκου, εἶτα ἐξελθὼν καὶ δακρύσας. ἐσώθη. πᾶσαν γὰρ ἁμαρτίαν ὁ Θεὸς συγχωρεῖ. ἐάν τις ἐξ ὅλης τῆς ψυχῆς μετανοήσῃ.

Η' ἁγία σύνοδος εἶπε· ναὶ δέσποτα, οὕτως ἡμᾶς ἡ ἁγία γραφὴ διδάσκει.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὁ πρωταρχος τῆς θεολογίας Ιωάννης ἔφη· ἡμεῖς τεκνία, ἐὰν λέγομεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ψεῦσαι ἐσμέν. ἐὰν οὖν παρακαλῶμεν ἀεὶ τὸν Θεὸν ὑπὲρ τῆς ἁμαρτιῶν ἡμῶν, ἵλεως ἡμῖν γίνεται, καὶ παροράᾳ τὰ πλημμελήματα ἡμῶν. 1. Ἰωάν. 1.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκ. τοῦ Δυῤῥαχίου εἶπε· δέει πολλῷ συνεχόμεθα δέσποτα, ὅτι πλεῖστα κακὰ διεπράξαμεν, καὶ * συντόμου μετανοίας καὶ ἐξαγορεύσεως δεόμεθα. * ἄλλ. πολ-

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Φωκίας εἶπε. γέγραπται, ὅτι ὅρκον ψευδῆ μὴ ἀγαπήσητε. καὶ τούτου χάριν ὁ ψευδὴς ἡμῶν ὅρκος παρασταλήσεται, ὡς μηδεμίαν ἰσχὺν ἔχων. Ζαχαρ. 8.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν ἀρχιερέων εἶπεν· εἰ κελεύετε, τανῦν τὰ περὶ τοῦ ὅρκου ζητείσθω.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· ἤδη τὰ περὶ αὐτοῦ ἐῤῥέθη. εἴ τι δὲ πλέον, ἐν ἑτέρα ἐξετάσει ζητείσθω. νῦν δὲ ἐχώμεθα τῆς προκειμένων.

* Θεόδωρος ὁ θεοφιλέστατος διάκονος, μοναχὸς καὶ νοτάριος ἀνέγνω. * Θεοδόσιος

Εκ τῆς θαυμάτων τῆς ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ.

Ετερός τις ἀνὴρ ἐπιεικὴς σφόδρα, σύριγγα ἐσχηκὼς ἐν τῇ κοτύλῃ, καὶ πολλαῖς χρησάμενος θεραπείαις τῆς ἰατρῶν, ὑποβαλὼν δὲ ἑαυτὸν καὶ τοῖς ξίφεσι τῆς ἰατρῶν, ἐπὶ ἐνιαυτούς τε δεκαπέντε ταλαιπωρήσας ἐν τῷ πάθει, καὶ νικηθεὶς ὑπ' αὐτοῦ, πλέον ηὔξησε τὸ νόσημα, τετραστόμου τούτου γενομένου, καὶ ἀφιέντος τὸ ἐναποκείμενον ῥεῦμα. πολλάκις δὲ καὶ τοῦ πα-

Ρωμ. 5. πὶς ὐ καταισχύνει, τῆς ἀγάπης τȣ̃ Θεȣ̃ ἐκκεχυμένης ἐν ταῖς καρδίαις ἡμῶν. ταύτην τὴν ἐλπίδα κεκτημένη μία πιστὴ γυνὴ, ὡς χαλεπῶν ἀσθενειῶν ῥυσθεῖσα διαφόρως διὰ τῆς ἐνδόξων ἁγίων Κοσμᾶ καὶ Δαμιανȣ̃, ἀνεπίληστον τὴν μνήμην τῆς πρὸς αὐτȣ̀ς εὐχαριστίας ἐποιεῖτο, συχνότερον ἐν τῷ θαυμαστῷ αὐτῆς τȣ́τῳ οἴκῳ παραγινομένη, καὶ τὸ χρέος τῆς τιμῆς αὐτοῖς ἀποτιννύȣσα· καὶ ἁπλῶς, καθ' ἑκάστην τοὺς μεγάλȣς καὶ θαυμαστȣ̀ς ἁγίȣς Κοσμᾶν καὶ Δαμιανὸν ἔχȣσα ἐν τῇ διανοίᾳ ȣ̀κ ἐκορέννυτο, ἀλλὰ καὶ εἰς πάντα τὸν τοῖχον τȣ̃ οἴκȣ αὐτῆς τȣ́τȣς ἀνέγραψεν, ἀκόρεστος τῆς θέας αὐτῆς ὑπάρχȣσα· ὅθεν ἐκ τȣ̃ ὑπερβάλλοντος αὐτῆς πόθȣ τȣ̃το πέπραχε· καὶ μηδεὶς ὑπολάβοι τȣ̃το ἄπιστον· ȣ̀δὲ γὰρ ἀκατηγόρητον ἐπ' ὠφελείᾳ ψυχῆς πανταχȣ̃ τὸ ἄπιστον κρίνεται· ταύτην συνέβη ὑπὸ τῆς ἔσωθεν ἀσθενήσασαν πόνοις ἀνενδότοις ἐν τῷ ἰδίῳ οἴκῳ συνέχεσθαι, κυλιομένην τε ἐν τῷ κραββάτῳ ἄπαυστον ἔχειν τὴν ὀδύνην· καὶ ȣ̀δεμία ἀνοχὴ τῆς ἀλγηδόνων ἦν ἐν αὐτῇ. ȣ̃τω δὲ συμβάντος μόνην ἔλαχε ταύτην πρὸς ὀλίγον εὑρεθῆναι. ὡς δὲ εἶδεν ἑαυτὴν κινδυνεύȣσαν, συρομένη κατῆλθεν ἐκ τῆς κλύνης· καὶ φθάσασα τὸν τόπον, ἐν ᾧ ἐν τῷ τοίχῳ ἦσαν γεγραμμένοι οἱ πάνσοφοι ȣ̃τοι ἅγιοι, τῇ πίστει αὐτῆς ἀντὶ βακτηρίας χρησαμένη καὶ ἀνορθώσασα ἑαυτὴν, τοῖς ὄνυξί τε αὐτῆς τῆς χειρῶν καταξέσασα τȣ̃ χρίσματος καὶ βαλȣ̃σα ἐν ὕδατι, ἔπιεν εὔκρατον· καὶ παρεὐθὺ ὑγιὴς γέγονε, τῆς ȣ̀σῶν ἐν αὐτῇ ἀλγηδόνων παυσαμένων τῇ τῆς ἁγίων ἐπιφοιτήσει· ἥτις μετὰ τὸ ὑγιᾶναι ἦλθεν ἐν τῷ μεγάλῳ τȣ́τῳ οἴκῳ εὐχαριστȣ̃σα τῷ δεσπότῃ Θεῷ τῷ δεδωκότι τοσαῦτα χαρίσματα τοῖς ἁγίοις αὐτȣ̃. καὶ διηγήσατο πᾶσι τὴν διὰ τῆς ἁγίων προσγενομένην αὐτῇ ἐν τῷ τοιούτῳ σχήματι θεραπείαν.

Συμεὼν ὁ εὐλαβέστατος μοναχὸς, πρεσβύτερος καὶ ἡγȣ́μενος τῆς χώρας, ἐπέδωκε βίβλον· ἣν δεξάμενος Νικήτας ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος τȣ̃ εὐαγȣ̃ς πατριαρχικȣ̃ σεκρέτȣ, ἀνέγνω.

Τȣ̃ ἁγίȣ πατρὸς ἡμῶν Ἰωάννȣ τȣ̃ Χρυσοστόμȣ, εἰς τὸν νιπτῆρα.

Πάντα ἐγένοντο διὰ δόξαν Θεȣ̃, χρῆσιν δὲ ἡμετέραν. νεφέλη εἰς τὴν τῆς ὄμβρων διακονίαν, γῆ εἰς τὴν τῆς καρπῶν εὐθυνίαν, θάλαττα εἰς τὴν τῆς ἐμπόρων ἀφθονίαν· πάντα σοι λειτȣργεῖ τῷ ἀνθρώπῳ, μᾶλλον δὲ τῇ εἰκόνι τȣ̃ δεσπότȣ. ὥσπερ γὰρ ὅτε βασιλικοὶ χαρακτῆρες καὶ εἰκόνες εἰς πόλιν εἰσφέρονται, καὶ ὑπαντῶσιν αὐταῖς ἄρχοντες καὶ δῆμοι μετ' εὐφημίας, ȣ̀ σανίδα τιμῶσιν, ȣ̀δὲ τὴν κηρόχυτον γραφὴν, ἀλλὰ τὸν χαρακτῆρα τȣ̃ βασιλέως· ȣ̃τω καὶ ἡ κτίσις ȣ̀ τὸ γήϊνον σχῆμα τιμᾷ, ἀλλὰ τὸν ȣ̀ράνιον χαρακτῆρα αἰδεῖται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· αἱ βίβλοι αἱ ἀναγνωσθεῖσαι ἐκ τȣ̃ ναȣ̃ τῆς ἁγίων Ἀναργύρων εἰσὶ, τȣ̃ ὄντος ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει. οἱ δὲ κληρικοὶ τῆς ἐκεῖσε ὄντων ἐκόμισαν αὐτὰς πρὸς ἡμᾶς, καὶ κατέκριναν, ἵνα ἀναγνῶμεν αὐτὰς ἐν τῇ ἁγίᾳ συνόδῳ.

Ἡ ἁγία σύνοδος εἶπεν· καὶ δέον ἦν δέσποτα ἀναγνωσθῆναι αὐτάς. εἰς γὰρ ὠφέλειαν πάντων ἡμῶν παρήχθησαν.

Πέτρος ὁ εὐλαβέστατος ἀναγνώστης καὶ νοτάριος τȣ̃ εὐαγȣ̃ς πατριαρχείȣ ἀνέγνω.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ κατὰ Ἀρειανῶν λόγου τετάρτου, ȣ̃ ἡ ἀρχή.

Οἱ Ἀρειομανῖται, ὡς ἔοικε, κρίναντες ἅπαξ ἀποστᾶται γενέσθαι. καὶ μεθ' ἕτερα. τȣ̃το καὶ ἀπὸ τȣ̃ παραδείγματος τῆς εἰκόνος τȣ̃ βασιλέως προσεχέστερόν τις κατανοεῖν δυνήσεται. ἐν γὰρ τῇ εἰκόνι τȣ̃ βασιλέως τὸ εἶδος καὶ ἡ μορφή ἐστι· καὶ ἐν τῷ βασιλεῖ δὲ τὸ ἐν τῇ εἰκόνι εἶδός ἐστιν. ἀπαράλλακτος δέ ἐστιν ἡ ἐν τῇ εἰκόνι τȣ̃ βασιλέως ὁμοιότης· ὥστε τὸν ἐνορῶντα τὴν εἰκόνα, ὁρᾷν ἐν αὐτῇ τὸν βασιλέα. καὶ πάλιν τὸν ὁρῶντα τὸν βασιλέα ἐπιγινώσκειν ὅτι ȣ̃τός ἐστιν ὁ ἐν τῇ εἰκόνι. ἐκ δὲ τȣ̃ μὴ διαλλάττειν τὴν ὁμοιότητα, τῷ θέλοντι μετὰ τὴν εἰκόνα θεωρῆσαι τὸν βασιλέα εἴποι ἂν ἡ εἰκών· ἐγὼ καὶ ὁ βασιλεὺς ἕν ἐσμεν· ἐγὼ γὰρ ἐν ἐκείνῳ εἰμὶ, κἀκεῖνος ἐν ἐμοί· καὶ ὃ ὁρᾷς ἐν ἐμοὶ, τȣ̃το ἐν ἐκείνῳ βλέπεις. ὡς ὃ ἑώρακας ἐν ἐκείνῳ, τȣ̃το βλέπεις ἐν ἐμοί. ὁ γȣ̃ν προσκυνῶν τὴν εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα· ἡ γὰρ ἐκείνȣ μορφὴ καὶ τὸ εἶδός ἐστιν ἡ εἰκών.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· αὐτὴ ἡ φύσις τῶν πραγμάτων διδάσκει, ὅτι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ὡσαύτως δὲ καὶ ἡ ἀτιμία. ὁ δὲ πατὴρ νῦν ἐπὶ ὑποδείγματος ἔλαβε τὰ ἀναγνωσθέντα.

Ἐπιφάνιος ὁ θεοφιλέστατος διάκονος τῆς ἐκκλησίας Κατάνης, καὶ τὸν τόπον ἐπέχων Θωμᾶ τȣ̃ εὐλαβεστάτȣ ἐπισκόπȣ Σαρδινίας, εἶπε. τὰ παραδείγματα ἐπὶ τῶν ὁμολογȣμένων λαμβάνονται, οἷά περ καὶ ὁ θεηγόρος ȣ̃τος πατὴρ τὴν τȣ̃ βασιλέως εἰκόνα.

Νικήτας ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Τȣ̃ ἁγίȣ Βασιλείȣ ἐκ τῶν πρὸς Ἀμφιλόχιον τριάκοντα κεφαλαίων περὶ τȣ̃ ἁγίȣ πνεύματος, ἀπὸ κεφαλαίου ιζ'.

Ὅτι βασιλεὺς λέγεται καὶ ἡ τȣ̃ βασιλέως εἰκὼν, καὶ οὐ δύο βασιλεῖς. ȣ̃τε γὰρ τὸ κράτος σχίζεται, ȣ̃τε ἡ δόξα μερίζεται. ὡς γὰρ ἡ κρατȣ̃σα ἡμῶν ἀρχὴ καὶ ἐξȣσία μία, ȣ̃τως καὶ ἡ παρ'

ἡ παρ' ἡμῶν δοξολογία μία, καὶ ὑ πολλαί· διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει.

Ἰωάννης ὁ ἁγιώτατος πρεσβύτερος καὶ τὸν τόπον ἐπέχων τῶν ἀνατολικῶν ἀρχιερέων, εἶπε. τὴν βίβλον ταύτην, ἣν ἐπὶ χεῖρας ἔχομεν, μεθ' ἡμῶν ἠγάγομεν ἀπὸ τῆς ἀνατολῆς· καὶ ἀξιοῦμεν ἀναγνωσθῆναι.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ λόγου τοῦ κατὰ Σαβελλιανῶν, καὶ Ἀρείου, καὶ τῶν Ἀνομοίων· οὗ ἡ ἀρχή.

Μάχεται Ἰουδαϊσμὸς ἑλληνισμῷ, καὶ ἀμφότεροι Χριστιανισμῷ. καὶ μεθ' ἕτερα. ἀλλ' ὁ τῆς ἀληθείας λόγος ἑκατέρωθεν τὰ ἐναντιώματα διαπέφευγεν. ὅπου γὰρ μία μὲν ἡ ἀρχὴ, οὐ δὲ τὸ ἐξ αὐτῆς· καὶ οὐ μὲν τὸ ἀρχέτυπον, μία δὲ ἡ εἰκὼν, ὁ τῆς ὁμοτίμου λόγος οὐ διαφθείρεται· διότι γνήσιος ὑπάρχων ἐκ τοῦ πατρὸς ὁ υἱὸς, καὶ φυσικῶς ἐκτυπῶν ἐν ἑαυτῷ τὸν πατέρα, ὡς μὲν εἰκὼν τὸ ἀπαράλλακτον ἔχει· ὡς δὲ γνήσιος, τὸ ὁμοούσιον διασώζει. οὐδὲ γὰρ ὁ κατὰ τὴν ἀγορὰν τῇ βασιλικῇ εἰκόνι ἐναντενίζων, καὶ βασιλέα λέγων τὸν ἐν τῷ πίνακι, δύο βασιλέας ὁμολογεῖ, τήν τε εἰκόνα, καὶ τὸν οὗ ἐστιν ἡ εἰκών· οὔτε ἐὰν δείκνυς τὸν ἐν τῷ πίνακι γεγραμμένον, εἴπῃ, οὗτός ἐστιν ὁ βασιλεύς, ἀπέστρεψε τὸν πρωτότυπον τῆς τοῦ βασιλέως προσηγορίας· μᾶλλον μὲν οὖν ἐκείνῳ τὴν τιμὴν ἐβεβαίωσε διὰ τῆς τούτου ὁμολογίας.

Ἰωάννης ὁ θεοφιλέστατος μοναχὸς καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· τὸ ψευδοσύλλογον ἐκεῖνο ἐθρύλλησεν, ὅτι ὁ προσκυνῶν τῇ εἰκόνι, διαιρεῖ τὸν Χριστὸν εἰς δύο. καὶ ὅτι ὁ θεωρῶν τὴν εἰκόνα, καὶ λέγων ἢ ἐπιγράφων, ὅτι οὗτός ἐστιν ὁ Χριστὸς, διαιρεῖ τὸν Χριστόν. ὅπερ ἀνόητόν ἐστι. ὁ γὰρ θεοφόρος Βασίλειος, ἅτε φωστὴρ καὶ διδάσκαλος ὢν τῆς ἐκκλησίας τοῦ Θεοῦ, καὶ πνεύματι ἁγίῳ μεμυημένος τὰ θεῖα, εἶπεν· ὅτι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει· καὶ ὁ τῇ εἰκόνι τοῦ βασιλέως ἀσπαζόμενος, ὁρᾷ ἐν αὐτῇ τὸν βασιλέα· καὶ ὁ προσκυνῶν αὐτῇ, οὐ δύο βασιλεῖς προσκυνεῖ, οὐδὲ ὁρᾷ, ἀλλ' ἕνα βασιλέα. ἔφη γὰρ ὁ πατὴρ τηλαυγῶς· ὅτι βασιλεὺς λέγεται καὶ ἡ τοῦ βασιλέως εἰκών, καὶ οὐ δύο βασιλεῖς. ὥστε ὁ προσκυνῶν τὴν εἰκόνα, καὶ λέγων, ὅτι οὗτός ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, οὐχ ἁμαρτάνει. δῆλον δὲ, ὅτι ὁ Χριστός ἐστιν ὁ τοῦ Θεοῦ ἀληθὴς υἱὸς, καὶ σύνθρονος τῷ πατρὶ ἐν τοῖς οὐρανοῖς καὶ μετὰ τοῦ ἰδίου σώματος ἐστιν· ἀλλὰ διὰ τῆς εἰκόνος τῆς ἐκ χρωμάτων φαινομένης προσκυνεῖται τὸ κράτος αὐτοῦ, καὶ δοξάζεται, καὶ εἰς ἀνάμνησιν ἐρχόμεθα τῆς αὐτοῦ ἐπὶ γῆς παρουσίας. ὅθεν καὶ ὁ πατὴρ ἀπέδειξεν οὐ δύο προσκυνήσεις, ἀλλὰ μίαν εἶναι καὶ τῆς εἰκόνος καὶ τοῦ ἀρχετύπου, οὗ ἐστιν ἡ εἰκών.

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τοποτηρηταὶ Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, προσήγαγον βίβλον. ἣν δεξάμενος Δημήτριος ὁ θεοφιλέστατος διάκονος καὶ σκευοφύλαξ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, ἀνέγνω.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἐκ τῆς ἐπιστολῆς αὐτοῦ πρὸς Ἰουλιανὸν τὸν παραβάτην.

Κατὰ τὴν θεόθεν ἐπικεκληρωμένην ἡμῖν ἀμώμητον πίστιν τῆς Χριστιανῶν ὁμολογῶ καὶ συντίθημι πιστεύειν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα. Θεὸν τὸν πατέρα, Θεὸν τὸν υἱὸν, Θεὸν τὸ πνεῦμα τὸ ἅγιον. ἕνα Θεὸν τὰ ἅγια προσκυνῶ καὶ δοξάζω. ὁμολογῶ δὲ καὶ τὴν τοῦ υἱοῦ ἐνσάρκον οἰκονομίαν, καὶ Θεοτόκον τὴν κατὰ σάρκα τεκοῦσαν αὐτὸν ἁγίαν Μαρίαν. δέχομαι δὲ καὶ τοὺς ἁγίους ἀποστόλους, προφήτας καὶ μάρτυρας, καὶ εἰς τὸν πρὸς Θεὸν ἱκεσίαν τούτους ἐπικαλοῦμαι, τοῦ δι' αὐτῆς, ἤγουν διὰ τῆς μεσιτείας αὐτῆς, ἵλεόν μοι γένεσθαι τὸν φιλάνθρωπον Θεὸν, καὶ λύσιν μοι τῆς πταισμάτων γενέσθαι καὶ δοθῆναι. ὅθεν καὶ τοὺς χαρακτῆρας τῆς εἰκόνων αὐτῆς τιμῶ καὶ προσκυνῶ· κατ' ἐξαίρετον τούτων παραδεδομένων ἐκ τῶν ἁγίων ἀποστόλων, καὶ οὐκ ἀπηγορευμένων, ἀλλ' ἐν πάσαις ταῖς ἐκκλησίαις ἡμῶν τούτων ἀνιστορουμένων.

Γρηγόριος ὁ θεοφιλέστατος διάκονος τῆς ἁγίων καὶ πανευφήμων ἀποστόλων ἀνέγνω.

Θεοδωρίτου ἐπισκόπου Κύρου ἐκ τοῦ βίου Συμεὼν τοῦ Στυλίτου, οὗ ἡ ἀρχή.

Συμεῶνα τὸν πάνυ, τὸ μέγα θαῦμα τῆς οἰκουμένης. καὶ μεθ' ἕτερα· φασὶ γὰρ ὅπως ἐν Ῥώμῃ τῇ μεγίστῃ πολυθρύλλητον γενέσθαι τὸν ἄνδρα. ὡς ἐν ἅπασι τοῖς τῆς ἐργασηρίων προπυλαίοις εἰκόνας αὐτῆς βραχείας ἀνασῆσαι, φυλακτήριά τινα ἑαυτοῖς καὶ ἀσφάλειαν ἐντεῦθεν ποιεζομένους.

Ἰωσὴφ ὁ θεοφιλέστατος μοναχὸς καὶ ἡγούμενος μονῆς τῆς Ἡρακλείας εἶπε· κἀγὼ ὁ ἁμαρτωλὸς βίβλον ἐπιφέρομαι περιέχουσαν τὸν βίον τοῦ ἁγίου Συμεὼν, τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. καὶ ὡς κελεύετε.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω.

Καὶ λαβὼν Κοσμᾶς ὁ θεοφιλέστατος διάκονος καὶ χαρτοφύλαξ ἀνέγνω.

Ἐκ τοῦ βίου τοῦ ἁγίου πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει, κεφαλ. ριή.

Περὶ τῆς γυναικὸς τῆς ἐν Ῥωσοπόλει ἀτέκνου οὔσης. ἐν βιαίῳ κατεχομένης δαίμονι· ἥτις ἰαθεῖσα καὶ παιδοποιήσασα, εἰκόνα τοῦ δικαίου ἀνέθετο ἐν τῷ οἴκῳ αὐτῆς, ἥτις μεγάλως ἐθαυματούργει.

Γυνή τις ἦν ἐν Ῥωσοπόλει τῆς Κιλικίας, Θεοτέκνα λεγομένη, ἥτις οἰκήσασα μετὰ ἀνδρὸς ἔτη εἴκοσι, τέκνον οὐκ ἔσχε. συνέβη δὲ αὐτὴν ὑπὸ δαίμονος ἐκ παιδὸς καταῤῥήγνυσθαι μασσωμένην τὴν γλῶσσαν. ὁ δὲ ἀνὴρ αὐτῆς μηκέτι δυνάμενος ὑπενεγκεῖν τῆς θλίψεως αὐτῆς τὴν περίστασιν, ἀπέλυσεν αὐτὴν τοῦ οἴκου αὐτοῦ, μὴ ὁμιλήσας ἑτέρᾳ γυναικὶ ἐπὶ χρόνους τέσσαρας· εὐραμένη οὖν ἐκείνη συνοδίαν, κατέφυγε πρὸς τὸν δίκαιον. ὡς δὲ εἶδεν αὐτὸν ὁ δαίμων, εὐθέως ἔβρυχε, καὶ ἐβασανίζετο ἔμπροσθεν αὐτοῦ, θεωρῶν σὺν τῇ γυναικὶ τὴν πνευματικὴν αὐτοῦ εἰκόνα λέγουσαν ἀνθρωπίνῃ φωνῇ· χωρίσω σε ἀπ' αὐτῆς, πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, καὶ ἐπιστρέψει πρὸς τὸν ἄνδρα αὐτῆς, καὶ γενήσεται αὐτῇ ἐν τῷ ἐνιαυτῷ τῷ ἐπιόντι παιδίον. καὶ ἠλάλαξε τὸ δαιμόνιον ἀγρίως ταρασσόμενον· ὦ βίας * κατὰ σοῦ. οὐκ ἔστι σόν ἀνδρολυσίας ποιεῖν, διὰ τί δὲ καὶ τέκνον αὐτοῖς δίδως, ἀπ' ἐμοῦ τέκνον μὴ ποιησάσης αὐτῆς; τί κακὸν ἐποίησάσοι; τί δὲ καὶ ἥμαρτον ἐνώπιόν σου, ὅτι χωρίζεις με τῆς γυναικός μου; εἰ δοῦλόν με ἠγόρασας, εἶχες τάχα καὶ εἰς δουλείαν με ἐκδοῦναι ἀνθρώποις. ἔφη δὲ Συμεών· ὅτι κακὸς ὑπάρχεις δοῦλος, ἐπίγνωθι σεαυτὸν παγκάκιστε, καὶ ἀπόστρεχε ἐν φλογὶ πυρὸς καιόμενος, καὶ κόμισον ὕδωρ, καὶ σύλλεξον ξύλα. καὶ παραχρῆμα ὥσπερ ἄνεμος δρομαῖος καίων σφόδρα ὁ δαίμων, ἀράμενος ἐν τῇ γυναικὶ τὸ κεράμιον τοῦ ὕδατος ἐλαύνετο. καὶ πλήσας αὐτὸ, συλλέξας δὲ καὶ ἐκ τῆς ὕλης ξύλα, ἤνεγκεν ἀλαλάζων καὶ λέγων· οὐαί μοι, οὐαί μοι τῷ κακῷ δούλῳ, καὶ ἐφευρετῇ τῶν κακῶν. Τί πέπονθα; τῆς γὰρ γυναικός μου χωρίζει με ὁ ἅγιος Συμεών. καὶ τί ποιήσω ὁ δύστηνος ἐγὼ, οὐκ οἶδα. ταῦτα δὲ αὐτοῦ λέγοντος ἐνώπιον τοῦ συνελθόντος λαοῦ, μετὰ τὸ πληρῶσαι αὐτὸν τὴν προσταχθεῖσαν ὑπηρεσίαν, ἀνέκραγε μέγα λέγων· ἐν βλέπων * κατ' αὐτοῦ φερομένην ἀστραπὴν πυρὸς, ἔτρεχεν ἐν τῇ γυναικὶ κύκλῳ τῆς στάσεως αὐτῆς, μεγάλως καὶ ἐπωδύνως βασανιζόμενος· καὶ οὕτως ἐξῆλθε παραχρῆμα, καὶ ἡ γυνὴ γέγονεν ἐν καταστάσει, καὶ ἀπέλυσεν αὐτὴν Συμεὼν ὑγιῆ, εἰρηκὼς πρὸς αὐτήν· ἄπελθε γύναι ἐν τῷ οἴκῳ σου, καὶ συνοίκει τῷ ἀνδρί σου. ἰδοὺ γὰρ κατεύθυνεν ὁ Θεὸς τὴν καρδίαν αὐτοῦ, τοῦ δέξασθαί σε μετὰ χαρᾶς μεγάλης. γέγονε δὲ οὕτως. καὶ ὑποστρεψάσης αὐτῆς, εὐθέως ηὐθύνθη ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς τοῦ ἀγαπῆσαι αὐτήν. ἐν προσῆλθεν αὐτῇ, καὶ παραχρῆμα συνείληφεν ἐν γαστρί. καὶ πληρωθέντος τοῦ ἐνιαυτοῦ, ἤγαγον πρὸς τὸν δοῦλον τοῦ Θεοῦ τὸ παιδίον, αἰνοῦντες καὶ δοξάζοντες τὸν Θεόν. μετὰ δὲ τὸ πληρῶσαι αὐτοὺς τὴν εὐχὴν αὐτῶν, καὶ ἐπαναλῦσαι εἰς τὰ ἴδια, ἀνέστησεν ἡ γυνὴ πίστει φερομένη τὴν εἰκόνα τοῦ ἁγίου ἐν τῷ ἐνδοτέρῳ αὐτῆς οἴκῳ. καὶ ἐθαυματούργει, ἐπισκιάζοντος αὐτῇ τοῦ ἐνοικοῦντος αὐτῷ πνεύματος ἁγίου. καὶ δαιμονιῶντες ἐκαθαρίζοντο ἐκεῖ, καὶ ἐκ ποικίλων παθῶν ἀσθενοῦντες ἐθεραπεύοντο. ἐν οἷς καὶ μία γυνὴ αἱμοῤῥοοῦσα ἀπαύστως ἐπὶ δεκαπέντε χρόνους, προσελθοῦσα ἐν πίστει, ἀπῆλθε τοῦ ἰδεῖν τὴν εἰκόνα· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις. εἶπε γὰρ ἐν ἑαυτῇ· ὅτι ἐὰν μόνον θεάσωμαι τὴν ὁμοίωσιν αὐτοῦ, σωθήσομαι. ἰδοῦσα δὲ, ὅτι ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, ἔδραμεν εὐθέως πρὸς τὸν ἄθρωπον τοῦ Θεοῦ, προσκυνοῦσα ἐνώπιον αὐτοῦ, ὑμνοῦσά τε καὶ δοξάζουσα τὸν Θεὸν, καὶ ἀπαγγέλλουσα τὸ γεγονὸς εἰς αὐτὴν παράδοξον.

* τῆς κατ' ἐμοῦ

Ὁ αὐτὸς ἀνέγνω ἕτερον θαῦμα τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεών.

Συνέβη δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἄνδρα τινὰ ἀγοραῖον τῆς πόλεως Ἀντιοχείας συνοχῇ δεινῇ κατέχεσθαι ὑπὸ δαίμονος πονηροῦ, καὶ στενοχωρεῖσθαι ἐπὶ χρόνους, ὥστε καταπνίγεσθαι αὐτὸν ὑπ' αὐτοῦ, σφιγγομένων τῶν πνοϊκῶν αὐτοῦ. οὗτος ἀνελθὼν πρὸς τὸν ἅγιον, καὶ τυχὼν ἰάσεως ταῖς αὐτοῦ πρεσβείαις, καὶ γενόμενος ὡς μηδὲν κακὸν πεπονθὼς, ἐν ἐπανελθὼν εἰς τὸν ἴδιον οἶκον, κατ' εὐχαριστίαν ἀνέστησεν αὐτῷ εἰκόνα ἐν δημοσίῳ καὶ ἐμφανεῖ τῆς πόλεως τόπῳ, ἐπάνω τῶν θυρῶν τοῦ ἐργαστηρίου αὐτοῦ. ἰδόντες δὲ αὐτήν τινες τῶν ἀπίστων οὕτως ἐντίμως μετὰ φώτων καὶ βήλων δοξαζομένην, καὶ πλησθέντες ζήλου, συνετάραξαν τοὺς ὁμοίους αὐτοῖς ἀτάκτους ἀθρώπους, ὥστε συνελθεῖν πλῆθος, καὶ ἐνταράχως κράζειν· αἶρε τοῦ ζῆν τὸν τοῦτον πεποιηκότα, καὶ ἡ εἰκὼν καταβληθήτω. συνέβη δὲ κατ' οἰκονομίαν Θεοῦ τὸν ἄδρα μὴ εὑρεθῆναι ἐν τῷ οἴκῳ αὐτοῦ. προεθυμοῦντο γὰρ διαχειρίσασθαι αὐτὸν, ἄλλων ἄλλα κραζόντων. ἡ γὰρ κακία αὐτῶν πολλὴ καὶ μεγάλη ἦν ἐνώπιον τοῦ Θεοῦ σφόδρα, καὶ ὁ φθόνος ἄμετρος· καὶ ἐνεργούμενοι εἰς τοῦτο συνεληλύθεισαν, καιρὸν νομίσαντες εὑρεῖν καταστασιάσαι, καὶ καθυβρίσαι τὸν ἅγιον, ὡς πολλάκις ἐξελέγξαντα τὴν κακοπιστίαν καὶ πλάνην τῶν ἐν αὐτοῖς ἑλληνιζόντων. ὡς οὖν οὐκ ἠδύναντο φέρειν τὴν τοσαύτην μανίαν, ἐπέτρεψαν ἐνὶ τῶν στρατιωτῶν ἀνελθεῖν ἐν ἀναβαθμοῖς, καὶ ῥίψαι τὴν εἰκόνα. ἀνελθὼν δὲ ἐκεῖνος καὶ ἐκτείνας τὰς χεῖρας ποιῆσαι τὸ προσταχθὲν, εὐθέως ἀπεῤῥάγη ἄνωθεν κάτω, καταπεσὼν ἐπὶ τὴν γῆν. καὶ ἐγένετο θόρυβος μέγας εἰς τὸν ὄχλον. καὶ προσέθεντο ἐξαφθέντες ἄλλον ἀναγαγεῖν. ἐν ἐκτείνας κἀκεῖνος τὰς χεῖρας αὐτοῦ, ὡσαύτως ἀπεῤῥάγη ἐπὶ τὴν γῆν. καὶ τούτου γενο-

γενομένου, φοβηθέντες πάντες ἤρξαντο τὴν σφραγῖδα τοῦ σταυροῦ περιάπτειν ἑαυτοῖς. ἐπὶ πλέον δὲ μεμηνότες οἱ ἄπιστοι ἐκεῖνοι, προσέθεντο καὶ τρίτον ἀνενέγκαι ἐπὶ τούτῳ. καὶ ὡς ἐξέτεινε καὶ αὐτὸς τὰ χεῖρας τοῦ ῥίψαι τὴν εἰκόνα, ὁμοίως καὶ αὐτὸς κατερράγη ἐπὶ τὴν γῆν. τότε φόβος μέγας ἐπῆλθεν ἐπὶ πάντας τοὺς περιεστῶτας πιστούς· οἳ καὶ ἐκπληττόμενοι ἐπὶ τῇ πωρώσει καὶ τόλμῃ τῶν ἀπίστων καὶ ἀνοσίων ἐκείνων ἀνδρῶν, καὶ προσκυνοῦντες μετὰ προσευχῆς τῇ εἰκόνι, ἀνεχώρουν.

Κωνσταντῖνος ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπε. ταῦτα μὲν, τίμιοι πατέρες, ἐκ τῶν ἀναγνωσθέντων ἀκηκόαμεν, καὶ πιστεύομεν. κἀγὼ δὲ ὁ μέτριος, ἅπερ γινώσκω γεγονότα σημεῖα παρόμοια, διηγήσομαι. ἀνήρτις Κύπριος ἐν Κωνσταντίᾳ τῇ πόλει, ἐλαύνων τὸ ζεῦγος αὐτοῦ, καὶ ἀπιὼν ἐπὶ ἔργῳ αὐτοῦ, εἰσῆλθε τοῦ εὔξασθαι εἰς εὐκτήριον οἶκον τῆς ἁγίας θεοτόκου. καὶ ἐν τῷ εὔχεσθαι αὐτὸν, ἀναβλέψας βλέπει τὴν εἰκόνα τῆς ἁγίας θεοτόκου ἀπὸ χρωμάτων ἐν τῷ τοίχῳ, καὶ λέγει· τοῦτο τί ποιεῖ ὧδε; καὶ ἐπάρας τὸ βούκεντρον αὐτοῦ, ἐξώρυξε τὸν ὀφθαλμὸν τῆς εἰκόνος τὸν δεξιόν· καὶ ἐξελθὼν ἐκ τοῦ ναοῦ, ἔνυξε τὸ ζευγάριον αὐτοῦ τῷ βουκέντρῳ. κλασθέντος δὲ τοῦ βουκέντρου, ἐπανῆλθου τὸ κλάσμα τοῦ βεκέντρου εἰς τὸν δεξιὸν ὀφθαλμὸν τοῦ ἀνθρώπου, καὶ τετύφλωκεν αὐτὸν τοῦτον, τὸν ἄνδρα ἐγὼ οἶδον, καὶ ἐπίσταμαι ἑτερόφθαλμον γεγονότα. ἕτερος ἄνθρωπος ἐν τῇ πόλει λεγομένῃ Κιτίῳ, τῇ ἡμέρᾳ τῆς ἁγίας θεοτόκου, πεντεκαιδεκάτῃ τοῦ Αὐγούστου, εἰσῆλθεν εἰς τὸν ναὸν, τοῦ κοσμῆσαι αὐτὸν βήλοις. καὶ λαβὼν ἧλον, ἔπηξεν αὐτὸν ἐν τῷ τοίχῳ εἰς αὐτὸ τὸ μέτωπον τῆς εἰκόνος τοῦ ἁγίου Πέτρου. σχοινίον οὖν δήσαντος, καὶ ἁπλώσαντος τὸ βῆλον, ἐν αὐτῇ τῇ ὥρᾳ ὀδύνη ἐπέλαβεν αὐτὸν ἐν τῇ κεφαλῇ καὶ τῷ μετώπῳ ἀφόρητος· καὶ διέμεινε τὰς δύο ἡμέρας τῆς ἑορτῆς κείμενος καὶ βασανιζόμενος· γνοὺς δὲ ὁ ἐπίσκοπος τοῦ Κιτίου ἐμέμψατο, καὶ ἐκέλευσεν αὐτῷ ἀπελθόντι ἐκβαλεῖν τὸν ἧλον ἀπὸ τῆς εἰκόνος. ἀπελθὼν δὲ καὶ τοῦτο δράσας, σὺν τῷ ἐκβαλεῖν τὸν ἧλον ἐκουφίσθη τῆς ὀδύνης. ἐρωτηθεὶς οὖν ὁ ἐπίσκοπος τοῦ Κιτίου, μεθ' ὅρκου κατέθετο ταῦτα οὕτως ἔχειν ἐπὶ συνόδου. πρὸ δύο ἐτῶν κατέπλευσαν ἄνδρες Κιτιεῖς ἐν δυσὶ πλοίοις εἰς πόλιν τῆς Συρίας καλουμένην Γάβαλα. ὄντων δὲ αὐτῶν ἐν Γαβάλοις κατὰ τὸ σύνηθες, ταξάτοι τῶν Αγαρηνῶν κατῆλθον εἰς τὴν παραθαλασσίαν, καὶ ἐλθόντες τινὲς αὐτῶν εἰς Γάβαλα, ἠπλήκευσαν εἴς τινα ναὸν τῆς πόλεως· εἷς δὲ τῶν Αγαρηνῶν ἰδὼν εἰκόνα ἐκ ψηφίδων ἐν τῷ τοίχῳ, ἠρώτησέ τινα Χριστιανὸν παρόντα, τί ὠφελεῖ ἡ εἰκὼν αὕτη; πρὸν ὃν ὁ Χριστινιανός φησιν, ὅτι τοὺς μὲν τιμῶντας αὐτὴν ὠφελεῖ, τοὺς δὲ ἀτιμάζοντας βλάπτει. καὶ ὁ Σαρρακηνὸς λέγει. ἰδοὺ ἐγὼ ἐξορύττω τὸν ὀφθαλμὸν αὐτῆς, καὶ ἴδω τί με βλάπτει. ταῦτα εἴρηκε, καὶ ἀνατείνας τὸν κοντὸν αὐτοῦ, τὸν ἐν τῇ εἰκόνι δεξιὸν ὀφθαλμὸν ἐξώρυξε. παραχρῆμα οὖν καὶ αὐτοῦ ὁ δεξιὸς ὀφθαλμὸς εἰς γῆν ἐξεπήδησεν, αὐτός τε κατεσχέθη διακαεῖ πυρετῷ· οἱ δὲ συνόντες αὐτῷ ὡς ὀξέως ἔχοντα ἀνέλαβον, καὶ ἐπὶ τὴν πόλιν αὐτῶν ἀπήγαγον· ταῦτα ἡμῖν διηγήσαντο ἐπανελθόντες εἰς τὴν Κύπρον οἱ ἄνδρες, τριάκοντα δύο ὑπάρχοντες τὸν ἀριθμόν.

Θεοδόσιος ὁ ὁσιώτατος ἐπίσκοπος Κατάνης ἐπέδωκε βίβλον· ἣν λαβὼν Γρηγόριος ὁ θεοφιλέστατος διάκονος τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων ἀνέγνω.

Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὸν μακάριον Βαρλαὰμ τὸν μάρτυρα· οὗ ἡ ἀρχή.

Πρότερον μὲν τῶν ἁγίων οἱ θάνατοι. καὶ μεθ' ἕτερα. ἀνάστητέ μοι νῦν ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι, καὶ τὴν τοῦ στρατιώτου κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις. ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῆς τῶν ἀριστευμάτων τοῦ μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ· χαίρω τῇ τοιαύτῃ τῆς ὑμετέρας ἰσχύος σήμερον ἡττώμενος νίκῃ. ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην. ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν γεγραμμένον εἰκόνος. κλαυσάτωσαν δαίμονες καὶ νῦν ταῖς τοῦ μάρτυρος ἀριστείαις πληττόμενοι. φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω. ἐγγραφέσθω τῷ πίνακι καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος καὶ νοτάριος ἀνέγνω.

Φωτεινοῦ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκκλησιεκδίκου τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας Κωσταντινουπόλεως.

Εκ τοῦ βίου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ιωάννου τοῦ Νηστευτοῦ ἐπισκόπου γενομένου τῆς αὐτῆς πόλεως.

Ετι μηδὲ τοῦτο διαλάθῃ τὸ θαῦμα, μηδὲ συγχωρῶμεν τῷ θεσπεσίῳ πατρὶ, τοῦτο δὴ μάλιστα συνεπικρύψαι σπουδάζοντι. νὺξ μὲν γὰρ ἦν, καὶ διεπορευόμεθα σὺν τάχει πολλῷ, ὡς δὴ κατὰ τὴν ἀντίπεραν γῆν Μαυρίκιον τὸν βασιλέα καταληψόμενοι· Μαυρίκιον τὸν πάλαι μὲν δικαιότατον καὶ πρᾳότατον, νῦν δὲ ἤδη καὶ μάρτυρα. τοῦτο γὰρ ὁ βύθιος αὐτῷ δράκων ὁ τύραννος καὶ μὴ βουλόμενος ἐχαρίσατο. καὶ τοίνυν σπουδῇ ἐβαδίζομεν. γυνὴ δέ τις ὡραία σφόδρα καὶ τὴν ἐσθῆτα καὶ τὴν ὄψιν καὶ τὴν ψυχὴν, καὶ πλουσία λίαν οὖσα μὲν, οὐ δοκοῦσα δὲ διὰ τὴν συνοικοῦσαν αὐτῇ συμφορὰν, πόρρωθεν ἑωρᾶτό μοι συναναφυρομένη τῷ πλή-

πλήθη τῶν ἀδελφῶν ἡμῶν τῶν πτωχῶν· διωκομένη δὲ παρὰ τῶν ἐπὶ τούτοις τεταγμένων, οὐδαμῶς ἐνεδίδου, ἀλλά τοι μετὰ δακρύων αἰδουμένη διὰ τὴν φύσιν, διὰ τὴν ἀνάγκην ἀναιδῶς παρηνώχλει. ταῦτα ὁρῶν, τὴν τάξιν ἣν ἐτετάγμην, καταλιμπάνω, καὶ καταλαμβάνω τὴν ἄνθρωπον· καὶ ὅ, τι βούλοιτο ἂν, ἐπυνθανόμην. ἡ δέ, ἄνδρα ἔχω, φησὶ, καὶ δαιμόνιον ἔχει τρίτον ἔτος ἤδη τοῦτό γε· καὶ μυρίοις, ὡς εἰπεῖν, εὐαγέσι τόποις καὶ εὐλαβέσιν ἀνθρώποις προσαγαγοῦσα τὸν ἄθλιον, ἴσχυσα πλέον οὐδέν. τὸ δὴ οὖν τελευταῖον ἀπὸ τῆς ἐρήμου νῦν παραγέγονα· τῶν ἁγίων γὰρ τῶν κατὰ ταύτην ὁ παρὰ πάντων σχεδὸν τῶν ἐκεῖσέ θαυματουργῶν ἐπὶ τῷ θαυματουργεῖν μαρτυρούμενος, πρὸς τὴν ἰατρείαν καὶ αὐτὸς ἀπειπὼν, ἀπελεύσῃ, ἔφη, πρὸς Ἰωάννην τὸν πατριάρχην τὸν μέγαν, ἐκεῖθέν τε κομιῇ μετ' εὐλογίας ἀρχιερέως Θεοῦ παντοκράτορος εἰκόνα τῆς παρθένου μητρὸς τοῦ Θεοῦ, καὶ ἀποίσεις, καὶ ἀποκομιεῖς τὴν εἰκόνα εἰς οἶκον, ὃν κατεσκηνώκας ἐν γῇ σῇ. ἰδοὺ γὰρ ἀποστελεῖς ἤδη τὸν ἄνδρα τὸν σὸν, καὶ κατοικιεῖς γε αὐτὸν ἐν αὐλαῖς οἴκουσου· καὶ οὐ μὴ ὄψηται τὴν πόλιν τοῦ βασιλέως, οὗ ἀπελεύσῃ νῦν, τὴν μεγάλην· καὶ ὑψώσεις, καὶ ἀναθήσεις τὸ ὁμοίωμα, καὶ γενήσεται *ἅγιον οἴκῳ σῷ· καὶ ἔσται, πᾶς ὃς ἂν κατασκηνώσῃ ἐν αὐτῷ, εὐλογία εὐλογηθήσεται· καὶ ἰδοὺ φυλῇ φεύξεται, καὶ ἀπηλλοτριωμένον ἔσται τὸ πνεῦμα, καὶ οὐκέτι οὐ μὴ ἐγγιεῖ, διότι κύριος ἐγγὺς, καὶ εἰς τὸν αἰῶνα ἡ δόξα αὐτοῦ. ἀμήν. ταῦτα εἰποῦσα προσάγω τῷ πατριάρχῃ κατὰ τὴν ἡμέραν τὴν ἐφεξῆς, τὴν ἐν ταῖς παρασκευαῖς εἰωθυῖαν ἐν τῷ ναῷ τῆς θεοτόκου τῷ πλησίον εἴσοδον ποιουμένῳ· καὶ ἀναφέρω τὴν τοῦ πράγματος περιπέτειαν, νῦν μὲν μάλα δῆθεν νεανικῶς ὁμοῦ καὶ ῥητορικῶς, νῦν δέ γε ὑφειμένως καὶ γοερῶς. καὶ ἔχαιρον ὡς δῆθεν πείσων, ἐλπίζων ἅμα ἐπαινεθήσεσθαι, καθότι τὰς οὕτως εὐσεβεῖς αἱροῦμαι τῶν ὑποθέσεων. ἔτι δέ μοι διδάσκοντι, καὶ λέγοντι κατὰ ἄδειαν, ὅτι ὁ ἐρημίτης, ὦ δέσποτα, εἶπεν ὑπὸ Θεοῦ κινηθεὶς, ὡς ἄρα *ὑμεῖς ὀκνηροὶ ἀποδιώκειν μέλλῃ· διακόπτει τέ μοι τὸν λόγον, καὶ τῷ θυμῷ ζέσας· ναὶ κῦρι, ναὶ δέσποτα, τὴν φωνὴν ἄρας ἐρημίτης ἐβόα· ναὶ, ἵνα ἐγὼ ὁ κῦρις ἐκβάλλω τὸν δαίμονα· ἵνα εἴπω, σοὶ λέγω τῷ ἀκαθάρτῳ, ἔξελθε ἀπὸ τοῦ πλάσματος, καὶ ὕπαγε ὧδε καὶ ἐκεῖ εἰς τὸ ἄφαντον. τοιαῦτα κελεύεις ἵνα φλυαρῶ ἄνθρωπος ῥυπαρὸς καὶ ἁμαρτωλός. εἰ ἐστὲ θαυματουργοὶ, τὸ ἐμὸν ἐκβάλετε πνεῦμα. εὐχῶν χρήζης πολλῶν, ἀδελφὲ Φωτεινὲ, μὰ τὰς τῶν ἁγίων εὐχάς. οὕτω παρ' ἐλπίδας ἀτιμωθεὶς, ἀνεχώρουν ἐρυθριῶν· καὶ ἠρέμα ὑπεκδραμὼν, ἐφερόμην ὅπῃ καὶ τύχοι, τοῖς ἀπαντῶσιν ἐμπίπτων, ὡς δὴ κεκραιπαληκώς· καὶ καταλαμβάνω τινὰ τοῦ ἱερατείου μόλις ἐσχατιάν. καὶ θυμῷ θυμωθεὶς· τῆς γὰρ δὴ λύπης ἤδη τὸ πλεῖστον εἰς θυμὸν ἀπενήνεκτο, καθότι οὐχ εὕρισκον χάριν ἐνώπιον τοῦ ἀρχιερέως τοῦ Θεοῦ τοῦ μεγάλου· πολλὰ σιωπῇ κατεβόων ἐπ' ἐμαυτοῦ, καὶ ὅτι οὐκ εἴη τὸ ἀπὸ τοῦ δεελπίσαι οὐδὲν ἀγαθὸν οὐδενὶ τῶν προβάτων, τοῦ ποιμένος ἡμῖν αὐτοῦ πρὸς λύκου φύσιν ἐκβάντος καὶ ἐκδεδιητημένου. ἐν τούτοις ὄντι μοι καὶ ἀπορουμένῳ, βουλὴ γίνεται. καὶ στείλας οἴκαδε τῶν ἑπομένων τινὰ, κομίζω τῶν ἀνατεθειμένων ἐκεῖσε πάνυ δὴ πάνυ περικαλλῆ τῆς δεσποίνης εἰκόνα. καὶ κατασχηματισάμενος εὖ μάλα καὶ ὡς οἷόν τε ἦν πρὸς τὸ πιθανῶς ὀφθῆναί τε καὶ νομισθῆναι, ὅτι δὴ παρὰ τοῦ μεγίστου πατρὸς, ὡς δὴ τὸ λοιπὸν ἐπικαμφθέντος, λαβὼν τὴν εἰκόνα κατέχοιμι, ἐπιδοὺς τῇ γυναικὶ τὴν εἰκόνα, εὔχεσθαί τε ὑπὲρ ἡμῶν, τῷ τε πατριάρχῃ χάριτας πλείστας ὁμολογεῖν, ἀπιέναι μετὰ χαρᾶς ἐνεκελευόμην· ἡ δὲ ἀπηλλάττετο μικροῦ καὶ σκιρτῶσα, καὶ οὐκ ἔχουσα ἥτις καὶ γένοιτο. ἦν δὲ ὥσπερ ἐξ ἡμισείας ἀμφοτέρων ἡ χαρά. ἐγὼ μὲν γὰρ ἐδόκουν μὲν, οὐκ ἔχαιρον δέ· ἡ δὲ καὶ ἐδόκει, καὶ ἔχαιρεν· ἀλλ' ὁ σκοπὸς καὶ τὸ τοῦ πράγματος τέλος οὐκ εἶχεν ἀρχήν. τότε μὲν οὖν τὴν κατασχοῦσαν ἡμᾶς ἀθυμίαν παραμυθεῖσθαί πως οἰηθεὶς, προσεκτησάμην ἑτέραν, ἀναθεωρῶν τε καὶ ἀναλογιζόμενος, τίνα, καὶ πότε, καὶ πῦ, καὶ ἐπὶ τίνι, καὶ ὅπως, καὶ τίνος ἡμῖν μεσιτευούσης εἴην ἐξηπατηκώς τε καὶ σοφισάμενος γυναῖον ἄθλιον, καὶ οὕτως ἐλεεινὸν, καὶ τηλικαύτας ἐλπίδας ἡμῖν παρακαταθέμενον. μάλιστα δὲ ἠνιώμην, ὡς δὴ καὶ προσαφῃρημένος τὴν ἄνθρωπον τὴν τῶν ἀμεινόνων προστασίαν, καὶ τὸ δι' ἑτέρου τά γε τοιαῦτα σοφοῦ πατρὸς, ἅπερ ἐδεῖτο, διακεκονῆσθαι. ἐπὶ τούτοις αὖ καὶ οἷα ταύτης ἕνεκα τῆς ἐξαπάτης φωνεῖν, ἐρεῖν τε καὶ προσυλακτήσειν τὸ πνεῦμα προσανελογιζόμην· καὶ ὅτι αὐτὸς ἐγὼ τοὐναντίον βεβαιώσω τε καὶ ἐμπεδώσω τὴν πρὸς τὸν ἄνθρωπον τῷ δαίμονι προσεδρίαν. καὶ ὅτι γενοίμην αὐτῷ καὶ ὕλη καὶ πρόφασις κατηγορημάτων δικαίων, οὔπω λέγω κατ' ἐμαυτοῦ γε μόνου, κατὰ πάντων μὲν οὖν ἐφεξῆς τῶν Χριστιανῶν, καὶ κατὰ τῶν ἱερέων γε πρῶτον· καθότι τὴν γαμετὴν ὁ πρεσβύτερος ἑτέρῳ τύφῳ, φασὶν, ἑτέρῳ δαίμονι τῷ τοῦ ψεύδους ἠδίκηκεν· ὅπερ ἐστὶν οὐδὲν ἕτερον, ἢ τοῦτο ἐκεῖνο σαφῶς, ἐν Βεελζεβοὺλ ἐθέλειν ἐκβάλλειν δαιμόνια. ταῦτα μὲν δή μοι καὶ τὰ τοιαῦτα συνέχεε τὴν ψυχὴν, εἰσιόντα δεινῶς, ἐπετάρατ τέ τε καὶ συνεπεθόλου, καὶ μέγαλα ἐλπίζειν ἐδίδου κακὰ καὶ πρὸς ἀνθρώπων, καὶ πρὸς αὐτοῦ τοῦ Θεοῦ. πλὴν ἀντεπενόουν τε καὶ ἀντεισῆγον ἐμαυτῷ σκῆψιν, καί τινα δῆθεν παραψυχῆς φαντασίαν τὸ παρὸν ἐτίθουν, λέγων ἐπ' ἐμαυτοῦ· τῷ γὰρ Θεῷ μελήσει τοῦ μέλλοντος. ἐν γὰρ τούτῳ τῷ χρόνῳ τῷ μεταξὺ τεθνήξοιτό που ἴσως ἡμῖν ἢ τὸ γύναιον, ἢ καὶ αὐτὸς ὁ ἀνὴρ, ἢ καί τις ἄλλος· ἀποθάνοιμι δὲ πολλάκις ἐγὼ, καὶ πεπαύσεται τὸ λυποῦν. ἐπὶ τούτοις μὲν δὴ τότε τῶν περὶ τὴν ἀθλίαν γυναῖκα δυσκόλων, ὥς γε ὤμην, ἀπαλλαγεὶς, ὤμην

ὄχλου

* ἁγίας

* ἴσ. ὑμεῖς τὸ πονηρὸν ἀποδιώκειν μέλλετε.

ὄχλῳ ἀπηλλάχθαι. μὴ δὲ χρόνος οἶμαί πω ξεῖς εἰσήκειν μοι πρὸς αὐταῖς δήπου ταῖς ἱεραῖς πύλαις τοῦ μεγάλου ναοῦ καὶ ἰδοὺ γυνὴ ἐπάρασα τὰς ὀφρῦς, καὶ σφοδρὸν ἅμα καὶ σωφρονοῦν φθεγξαμένη καὶ ἀναπνεύσασα, βλέψασα εἰς ἐμέ, τῷ πέλας ἠρώτα· ὅτος ἆρα ἐστίν; ἢ τί; καὶ προσφθεγξαμένη· ναὶ αὐτός ἐστιν ἀληθῶς· δρόμῳ ἴεται, καὶ προσπίπτει μοι πρὸς τὰ γόνατα· καὶ κατενεχθεῖσα προσρήγνυταί μοι τοῖς ἀσραγάλοις, καὶ κατεφίλει περιλαβοῦσα, κειμένη πρὸς τὸ ἔδαφος. ἐγὼ μὲν οὖν ἠνειχόμην τέως καὶ ἔχαιρον, καὶ τῆδε κἀκεῖσε πρὸς τὸν ὄχλον διέβλεπον θρυπτόμενος, καὶ τοῖς περιεσηκόσι κειμένη θεάσασθαι δεδὺς, καὶ ἐνδεικνύμενος, ὅτι ἄρα καὶ πω καὶ αὐτὸς τῆ πολλὰ δυναμένων. ἡ δὲ τά τε ἄλλα, ὁπόσα τῆ δεομένων ἦν, προσειποῦσα, καὶ τὸ, προσκυνῶ τὸν κύριον, προσεπειποῦσα πολλάκις· ἦν γὰρ ἐκεῖσε· εἶτα μή τοι καὶ προσεπισφίγγουσα λίαν ἡμᾶς, ἐπικαταβάλλει τῇ βίᾳ τοῖς νώτοις τοῖς ἐαυτῆς· καὶ πεσὼν ἐκείμην, γέλως ἐντεῦθεν τῆ περιεσηκότων πολύς· καὶ μόλις ὑπὸ τοῦ κατηυθειακέναι δυνασάς προσερράπισα, καὶ δεκανὸς ἐκάλυν, καὶ πρὸς τὸ δικανικὸν ἁρπάζεσθαι τὴν ἀνοσίαν ἐκέλευον. ἐπεὶ δὲ τῷ προσώπῳ ἐνατενίσας εἰκάζειν ἠρξάμην, ταύτην ἐκείνην εἶναι τὴν πάλαι· προσετίθει γάρ τοι καὶ τὸ, ὅτι ὁ Θεὸς τὸν μισθὸν τοῦ οἴκου μου δῴη σοι δέσποτα· τότε δηπότε ἀνεθεώρουν τὸ πᾶν, καὶ ἅμα χαίρων τε καὶ ἀγωνιῶν, τοῦτο καὶ μόνον ἠρώτων· ἰάθης; ἢ πῶς ἰάθης; ἔφην. καὶ δραλαβοῦσα ἐπὶ σχολῆς διηγήσατο τὴν ἄφιξιν τὴν εἰς τὴν χώραν, καὶ εἰς τὸν οἶκον τὸν ἑαυτῆς ἀποκομιδὴν τῆς εἰκόνος· καὶ ὅτι πρὸς ὕψος ἦρται, καὶ προσανατέθειται τοῦ δωματίου τοῖς τοίχοις ἱεροπρεπῶς ἅμα καὶ ἐκπρεπέσατα· ὅπως δὲ καὶ χρόνον ὑποσυχνὸν τῇ εἰκόνι προσυλακτήσαν τε καὶ κατορχησάμενον, καὶ μικρὰ σπαράξαν τὸ πλάσμα, τὸ πνεῦμα τέλος οἰχήσοιτο. καὶ γέγονεν ἡμῖν ἀξεῖον, ἔφη, τὸ πάσχειν ὄντως τὰ πάλαι. τὰς γὰρ τὰ παραπλήσια πάσχοντας ὁ τόπος, ὁ τύπος δὲ μᾶλλον τῆς παρθένου μητρὸς ἐξιᾶται. τοῦτο μὲν οὖν τὸ πέρας τῆς ὑποθέσεως.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Φωκίας εἶπε· γέγραπται, ὅτι ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα. καὶ σήμερον παρέσησαν ἡμῖν πλεῖσαι ἱεραὶ βίβλοι, αἵτινες τὰς νόας ἡμῶν ἤρδευσαν, καὶ ἐπληροφόρησαν περὶ τὴν ἀποκατασάσεως τῆς ἁγίων εἰκόνων.

Καὶ ἀνέγνω Πέτρος ὁ ἀναγνώστης.

Ἐκ τοῦ βίου τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, ὃ ἡ ἀρχή.

Μυστήριον βασιλέως κρύπτειν, καλόν· τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν, ἔνδοξον. καὶ μεθ' ἕτερα. τοὺς μὲν ἄλλους ὁ ναὸς εἶχε, μηδενὸς ἐμποδίζοντος. ἐμὲ δὲ μόνην τὴν πάλαιναν οὐκ ἐδέχετο, ὥσπερ τινὸς στρατιωτικῆς πληθύος τεταγμένης εἰς τοῦτο, τῆς ἐμοὶ προσαχθείσης ἀποκλεῖσαι τὴν εἴσοδον. ὅπου μέ τις ἀθρόα διεκώλυε δυνάμις· καὶ πάλιν ἦσαν εἰς τὰ προαύλια. τοῦτο δίς τε καὶ τρίς παθοῦσά τε καὶ ποιήσασα, ἀποκαμοῦσα λοιπόν, ἡμὴ μηκέτι ὠθεῖν καὶ ἀντωθεῖσθαι ἰσχύουσα· ἐγεγόνει γάρ μοι καὶ τὸ σῶμα ἐκ τῆς βίας κατάκοπον. ἐνδοῦσα λοιπὸν ἀνεχώρησα, καὶ ἔστην ἔν τινι γωνίᾳ τῆς αὐλῆς τοῦ ναοῦ. καὶ μόλις ποτὲ ἐν σωσαιθήσει τῆς αἰτίας τῆς κωλυούσης με ἰδεῖν τὸ ζωοποιὸν ξύλον γεγόνημαι. ἤψατο γάρ μου τῶν ὀφθαλμῶν τῆς καρδίας λόγος σωτήριος, ὑποδεικνύς μοι, ὅτι ὁ βόρβορος ἦν τῷ ἔργων με ὁ τὴν εἴσοδον κλείων μοι. ἠρξάμην τοίνυν κλαίειν καὶ ἀποδύρεσθαι, καὶ τὸ στῆθος ἔτυπτον, σταγμὰς ἐκ βάθους τῆς καρδίας ἀνάγουσα. κλαίουσα δὲ ὁρῶ τὸν τόπον, ἐν ᾧ ἑστάμην, ἐπάνω εἰκόνα τῆς παναγίας Θεοτόκου ἑστῶσαν· καὶ φημι πρὸς αὐτὴν ἀκλινῶς ἀτενίσασα· παρθένε δέσποινα ἡ τὸν Θεὸν λόγον κατὰ σάρκα γεννήσασα, οἶδα μὲν, οἶδα, ὡς οὐκ ἔστιν ἁρπρεπές, οὐδὲ ἄλλογον, τ' ὄντως ῥυπαρὰν ἐμὲ, τὴν ὕπνου πανάσωτον, εἰκόνα καθορᾶν σου τῆς ἀειπαρθένου, τῆς ἁγνῆς, τῆς σῶμα καὶ ψυχὴν ἐχούσης καθαρὰν καὶ ἀμόλυντον. δίκαιον γάρ ἐστι τὴν ἄσωτον ἐμὲ ὑπὸ τ' σῆς καθαρότητος μισεῖσθαί τε καὶ βδελύσσεσθαι. πλὴν ἐπείπερ, ὡς ἤκουσα, διὰ τοῦτο γέγονεν ὁ Θεός ὃν ἐγέννησας, ἄνθρωπος, ὅπως καλέσῃ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· βοήθησόν μοι τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ τινὰ εἰς βοήθειαν. ἐπίταξον καὶ μοὶ συγχωρηθῆναι τ' ἐκκλησίας τὴν εἴσοδον· μὴ σε ρήσης με τὸ ξύλον ἰδεῖν, ἐν ᾧ κατὰ σάρκα προσπαγεὶς ὁ Θεός, ὃν ἐγέννησας, τὸ αἷμα τὸ ἴδιον ὑπὲρ ἐμοῦ εἰς ἀντίλυτρον δέδωκεν. ἐπίταξον καὶ μοὶ ὦ δέσποινα, τὴν θύραν ἀνοιχθῆναι τῆς θείας τοῦ σωροῦ προσκυνήσεως. καὶ σε δίδωμι τῷ ἐκ σοῦ τεχθέντι Θεῷ ἐγγυητὴν ἀξιόχρεων, ὡς ἐκέτι τὴν σάρκα ταύτην συμβείσω δι' αἰσχρᾶς οἱασδήποτε μίξεως· ἀλλ' ἡνίκα τὸ ξύλον τοῦ σωροῦ τοῦ υἱοῦ σου θεάσωμαι, κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν ἀθυς ἀποτάττομαι, καὶ αὐτίκα ἐξέρχομαι, ὅπου ἂν αὐτὴ ὡς ἐγγυητὴς σωτῆρος ὑπόθῃ καὶ ὁδηγήσῃς με. ταῦτα εἰποῦσα, καὶ ὥσπερ τινα πληροφορίαν λαβοῦσα τὸ τῆς πίστεως ἔμπυρον, τῇ ἀσπλαγχνίᾳ τῆς Θεοτόκου θαρρήσασα, κινοῦμαι ἐμαυτὴν ἐξ ἐκείνου τοῦ τόπου, ἐν ᾧ ἑστῶσα ἐποιούμην τὴν δέησιν· καὶ ἔρχομαι πάλιν, καὶ τοῖς εἰσιοῦσιν ἐαυτὴν ἐγκατέμιξα. καὶ οὐκέτι ἦν ὑδεὶς ὠθῶν με καὶ ἀντωθούμενος, ὑδεὶς ὁ κωλύων τοῦ πλησίον γενέσθαι με τῆς θύρας, δι' ἧς τὸν οἶκον εἰσήεσαν· ἔλαβέ με ἣν φέρει καὶ ἔκστασις, καὶ ὅλη διόλου ἐκλονούμην καὶ ἔτρεμον. εἶτα φθασάσης μου εἰς τὴν θύραν τὴν ἕως τότε ἠσφαλισμένην μοι, ὡς εἰ πᾶσα ἡ δύναμις ἡ πρότερόν με κωλύσα, ναὶ ἐμοὶ προωδοποίει τὴν εἴσοδον, ὅτως εἰσῆλθον ἀπόνως. ὅτως ὄντος τοῦ ναοῦ τῆς ἁγίων γεγένημαι. τῆς τε γὰρ ζωοποιοῦ θέας τοῦ σωροῦ κατηξίωμαι, καὶ εἶδον τοῦ Θεοῦ τὰ μυστήρια, καὶ οἷός ἐστιν ἕτοιμος τοῦ δέχεσθαι τὴν μετά-

Matth. 9.

μετάνοιαν· ῥίψασα τοίνυν ἐμαυτὴν ἐπὶ τῆς γῆς, καὶ τὸ ἅγιον ἐκεῖνο προσκυνήσασα ἔδαφος, ἔτρεχον ἐξιοῦσα, πρὸς τὴν ἐγγυησαμένην γενέσθαι σπουδάζουσα. γίνομαι τοίνυν ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ ὁ τὸ τῆς ἐγγύης ὑπεγράφη χειρόγραφον. καὶ γόνυ κλίνασα ἔμπροσθεν τῆς παναγίας παρθένου θεοτόκου, τούτοις ἐχρήμην τοῖς ῥήμασι· σὺ μὲν ὦ φιλάγαθε δέσποινα, τὸ σὸν ἐν ἐμοὶ ἐπεδείξω φιλάνθρωπον· σὺ τῆς ἀναξίας οὐκ ἐβδελύξω τὴν δέησιν. εἶδον δόξαν, ἣν δικαίως οὐχ ὁρῶμεν οἱ ἄσωτοι. δόξα τῷ Θεῷ, τῷ διὰ σοῦ δεχομένῳ τῶν ἁμαρτωλῶν τὴν μετάνοιαν. τί γὰρ ἔχω πλέον ἡ ἁμαρτωλὸς ἐννοῆσαι, ἢ φθέγξασθαι; καιρός ἐστι δέσποινα πληρωθῆναι λοιπὸν τῆς ἐγγύης, ἧς ἐνεγγυήσω, τὰ σύμφωνα. νῦν ὅπου κελεύεις, ὁδήγησον· νῦν γενοῦ μοι μᾶλλον σωτηρίας διδάσκαλος, χειραγωγοῦσα πρὸς τὴν ὁδὸν τὴν εἰς μετάνοιαν ἄγουσαν. καὶ ταῦτα ἔτι λέγουσα, ἤκουσά τινος πόῤῥωθεν κράζοντος. ἐὰν τὴν Ιορδάνην διέλθῃς, καλὴν εὑρήσεις ἀνάπαυσιν. ἐγὼ δὲ τῆς φωνῆς ταύτης ἀκούσασα, καὶ ταύτην δι' ἐμὲ γενέσθαι πιστεύσασα, δακρύουσα ἔκραξα, καὶ τῇ θεοτόκῳ ἐβόησα· θεοτόκε δέσποινα μὴ ἐγκαταλίπῃς με. καὶ ταῦτα εἰποῦσα ἔξειμι τῆς αὐλῆς τοῦ ναοῦ, καὶ σωτόνως ἐβάδιζον.

Ιωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπε· τὴν τοιαύτην εἰκόνα ἡμεῖς ἐθεασάμεθα ἐν τῇ ἁγίᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλει, καὶ πλειστάκις αὐτὴν ἠσπασάμεθα.

Στέφανος ὁ θεοφιλέστατος διάκονος, νοτάριος καὶ ῥεφερενδάριος τοῦ εὐαγοῦς σεκρέτου, ἀνέγνω.

Εκ τοῦ μαρτυρίου τοῦ ἁγίου μάρτυρος Πρόκοπίου, οὗ ἡ ἀρχή.

Κατὰ τοὺς καιροὺς ἐκείνους ἐβασίλευσε Διοκλητιανὸς ὁ τύραννος. καὶ μεθ' ἕτερα· ὁ δὲ νεανίας χαρὰν μεγάλην λαβὼν καὶ πίστιν ἐθαρσοποιήθη· ὁμοίως καὶ πάντες οἱ σὺν αὐτῷ. καὶ ἐν αὐτῇ τῇ ὥρᾳ τῆς νυκτὸς ὑπέστρεψε μετὰ τῶν στρατιωτῶν, καὶ ἦλθεν ἐν τῇ Σκυθοπόλει. καὶ προσκαλεσάμενος κρυφίως πᾶσαν τὴν συντεχνίαν τῶν χρυσοχόων καὶ ἀργυροπλαστῶν, ἠρώτα αὐτοὺς λέγων· δύνασθέ μοι ποιῆσαι σκεῦος, ὃ ἐγὼ ἐκδίδωμι ὑμῖν; οἱ δὲ φοβηθέντες τὸ αὐστηρὸν τοῦ ἀνδρὸς, συμβούλιον ποιήσαντες, ἔστησαν ἔμπροσθεν αὐτοῦ ἕνα τὸν μείζονα αὐτῶν τεγνίτην ὀνόματι Μάρκον, εἰπόντες· οὗτος ποιήσει κύριε τὸ θέλημά σου. καὶ μετ' ὀλίγα· ὁ δὲ Μάρκος οὐκ ἐπείθετο αὐτῷ. ὁ δὲ νεανίας ἔπεισεν αὐτὸν, λέγων. ὅτι ἕως θανάτου οὐ μὴ ἀπαγγείλω τῷ βασιλεῖ τὸ μυστήριον. ὁ δὲ πεισθεὶς, διὰ τῆς νυκτὸς ἐν μυστηρίῳ κατὰ μόνας εἰργάσατο τὸν σταυρὸν δι' ἀργυρίου καὶ χρυσίου. καὶ ἐγένετο, ἐν τῷ πληρωθῆναι τὸν σταυρὸν, καὶ ἀνορθοῦσθαι, ὤφθησαν ἐν αὐτῷ τρεῖς εἰκόνες· καὶ ἐπεγέγραπτο τῇ Εβραΐδι διαλέκτῳ ἄνω ἐν τῇ ἀρχῇ, Εμμανουήλ· καὶ ἐν ταῖς ἑκατέρωθεν ἀρχαῖς· Μιχαὴλ καὶ Γαβριήλ. ἠβουλήθη οὖν ὑφοραθεὶς ὁ Μάρκος ἀπαλεῖψαι τὰς εἰκόνας, καὶ οὐκ ἠδυνήθη· ἡ γὰρ χεὶρ αὐτοῦ ἔμεινεν ὡσεὶ ξηρά. ἀλεκτρυόνος δὲ φωνήσαντος, ἦλθεν ὁ δοὺξ ὁ λεγόμενος Νεανίας εἰς τὸν οἶκον Μάρκου, τοῦ ἆραι τὸν σταυρόν. καὶ ἰδὼν αὐτὸν, προσεκύνησεν αὐτόν. καὶ λέγει τῷ Μάρκῳ· τί ἐστι ταῦτα τὰ πρόσωπα, καὶ τίς ἡ ἐπιγραφή; λέγει αὐτῷ· κύριε ἐν ᾗ ὥρᾳ ἐτελέσθη τὸ ἔργον, ἀνέτειλαν αἱ εἰκόνες αὗται· καὶ οὐ γινώσκω τίνος, ἢ τίς ἡ ἐπιγραφή. ὁ δὲ Νεανίας ἔγνω τινὰ δύναμιν ἐν αὐτῷ εἶναι. καὶ προσκυνήσας τὸν σταυρὸν, εἴλυσεν ἐν πορφύρα, καὶ ἐπορεύθη τὴν ὁδὸν αὐτοῦ χαίρων. δεδωκὼς τῷ τεχνίτῃ Μάρκῳ τιμὰς πλείους· καὶ εἰσῆλθε μετὰ τῶν δύο νουμέρων ἐν τῇ πόλει αὐτοῦ.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς καὶ βιβλιοφύλαξ τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

Εκ τοῦ βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἀρχιμανδρίτου Σικέων. οὗ ἡ ἀρχή.

Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ. καὶ μεθ' ἕτερα. ὄντος δὲ αὐτοῦ ὡς ἐτῶν δώδεκα, ἐγένετο θανατικὸν ἐκ τοῦ βουβῶνος ἐν τῷ χωρίῳ ἐκείνῳ, ὥστε καὶ αὐτὸν ἀῤῥωστῆσαι παραπλήσιον θανάτου. ἀπήγαγον δὲ αὐτὸν ἐν τῷ εὐκτηρίῳ οἴκῳ τοῦ ἁγίου Ιωάννου τοῦ Βαπτιστοῦ, τῷ ὄντι πλησίον τοῦ χωρίου, καὶ ἀνέκλιναν πρὸς τὰ * εἴσοδα τοῦ θυσιαστηρίου. ἐπάνοθεν δὲ αὐτοῦ ἐν τῷ σταυροδόχῳ ἵστατο εἰκὼν τοῦ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ. ὀδυνωμένου τοίνυν αὐτοῦ ἐκ τοῦ βουβῶνος ἄφνω ἐκ τῆς εἰκόνος ἐπέσταξαν αὐτῷ σταγόνες δρόσου· καὶ εὐθέως τῇ χάριτι τοῦ Θεοῦ κουφισθεὶς τοῦ πόνου, ὑγιὴς ἐγένετο, καὶ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ μετὰ βραχέα. μιμεῖσθαι τοίνυν θέλων τὸν Δαβὶδ ἐν τῇ θεοπρεπεῖ ὑμνῳδίᾳ, ἤρξατο μανθάνειν τὸ ψαλτήριον. δυσκόλως δὲ μετὰ πολλοῦ κόπου μαθόντος αὐτοῦ ἕως ἑκκαιδεκάτου, τὴν ἐπιόντα ἑπτακαιδέκατον ψαλμὸν οὐκ ἠδύνατο ἀποστηθίσαι. μελετῶν γοῦν ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου μάρτυρος Χριστοφόρου, τῷ ὄντι ἐκ τοῦ πλησίον τοῦ χωρίου, καὶ μὴ δυνάμενος μαθεῖν, ῥίψας αὐτὸν ἐπὶ πρόσωπον, ἐδέετο τοῦ Θεοῦ, ὅπως εὐμαθῆ αὐτὸν ποιήσῃ εἰς τὴν τῶν ψαλμῶν μελέτην. ὁ δὲ φιλάνθρωπος Θεὸς ὁ εἰπών, αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. ἔδωκεν αὐτῷ τὴν αἴτησιν αὐτοῦ. ἀναστάντι γοῦν ἐκ τοῦ ἐδάφους καὶ τῇ εἰκόνι τοῦ σωτῆρος προσέχοντι καὶ δεομένῳ, ᾔσθετο γλυκύτητος ἡδύτερον μέλιτος ἐνεχθείσης ἐν τῷ στόματι αὐτοῦ. ὁ δὲ γνοὺς τὴν χάριν τοῦ Θεοῦ, καὶ μεταλαβὼν τῆς γλυκύτητος, καὶ εὐχαριστήσας τῷ Θεῷ, ἀπὸ τῆς ὥρας ἐκείνης εὐκόλως καὶ εὐμαθῶς ἀπεστήθισε τὸ ψαλτήριον.

Κοσμᾶς ὁ θεοφιλέστατος διάκονος καὶ κουβουκλείσιος ἀνέγνω.

2. Κορίν. 1.

* εἰσόδια.

Ματθ. 7.

ΕΠΙ-

Ε'ΠΙΣΤΟΛΗ' ΓΡΗΓΟΡΙ'ΟΥ

τȣ̃ ἁγιωτάτου πάπα Ρώμης, πρὸς Γερμανὸν τὸν ἁγιώτατον πατριάρχην Κωνσταντινȣπόλεως.

ΠΟῖα καὶ τίς θυμηδία τὴν ἐμὴν ȣ̃τως οἶδεν εὐφραίνειν ψυχὴν, ὡς ἡ περὶ σὲ τὸ σεμνὸν ὄντως ἐμοὶ καὶ ὑπερφυὲς ὄνομα καὶ καλλώπισμα, ἡγιασμένε καὶ θεοδήγητε, χαροποιὸς ἐπαγγελία; ταύτῃ γὰρ ὡς ἀρτίως ἐγὼ τοῖς τιμίοις σȣ γράμμασιν εὐαγγελισθεὶς ἀνεσκίρτησα, καὶ ὑπὸ τῆς ἄγαν χαρᾶς τῷ πνεύματι ἀνεζωπύρησα. εἶτα εἰς ȣ̓ρανὸν ἀνατείνας τὸ ὄμμα, εὐχαριστίας ἀνέπεμψα τῷ πανηγεμόνι τῶν ὅλων Θεῷ, τῷ ȣ̃τω καὶ νῦν εὐδοκήσαντι, καὶ μέχρι τέλȣς ὑμῖν συνεργȣ̃ντι, καὶ πάντα εἰς φῶς ἄγοντι τὰ ὑμέτερα. τοῦτο γὰρ καὶ δι' εὐχῆς ἐστί μοι νύκτωρ τε καὶ μεθ' ἡμέραν· καὶ ȣ̃ποτε ταύτης ἀφέξομαι τῆς ἐφέσεως, εἰς Χριστὸν θαῤῥῶν ἀποφαίνομαι. μαρτυρεῖ δέ μοι τῷ λόγῳ ὡς ἡ κατὰ πάσαν ὥραν τῆς ὑμετέρας, ὦ πανεύφημε καὶ Θεῷ πεφιλημένε, καλοκἀγαθίας ἀνάμνησις. ἣν τινα ἔναυλον ἔχων, τοῖς χείλεσι τὴν ὠδῖνα τȣ̃ λόγȣ φέρειν ἀδυνατῶν, αὖθις πρὸς τῆς δίᾳ γράμματος ἐχώρησα πρόσρησιν. ἔστι γὰρ χρέος ἐμοὶ, καὶ χρεῶν ἁπάντων ἐπισημότατον, τόσε τὴν ἐμὸν ἀδελφὸν, τὸν τῆς ἐκκλησίας πρόμαχον προσαγορεῦσαι καὶ προσειπεῖν, καὶ τῶν σῶν παλαισμάτων ἐξυμνῆσαι τὰ αἴτια. εἰ καί τις ἐρεῖ καὶ μάλα εἰκότως. βοάτο μᾶλλον αὐτὰ ὁ νῦν πεπονθὼς, καὶ τῇ εὐπραξίᾳ τὴν δυσπραξίαν τοῖς σοῖς ἀνταλλαξάμενος εὐτυχήμασι, τῆς ἀσεβείας ὁ πρόδρομος· ἐπεὶ γὰρ ᾤετο κατὰ τὸν ἄνωθεν πεσόντα καταφρυάξασθαι ἅμα ὡς κατισχύσαι τῆς εὐσεβείας, συμποδίζεται ἄνωθεν, τῆς ἐλπίδος διαψευσθείς. ὡς ἤκȣε μὲν παρὰ τῆς ἐκκλησίας, ἅπερ ὡς Φαραὼ τὸ πρότερον ὁ Αἰγύπτιος τύραννος Μωϋσέως αὐτῷ κατεπᾴδοντος· εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μȣ. * ἐπεφωνεῖτο δὲ ἅπερ αὐτὸς ὁ διάβολος, τῆς προφητικῆς αὐτῷ ὑποφωνȣ́σης κατάρας. διὰ τȣ̃το ὁ Θεὸς καθελεῖ σε εἰς τέλος· ἐκτίλαι σε ὡς μεταναστεύσαισε διὰ σκηνώματός σȣ, καὶ τὸ ῥίζωμά σȣ ἐκ γῆς ζώντων. ȣ̃τως ἐκεῖνος παρ' ἐλπίδα τῶν κατ' ἐλπίδα διαψευσθεὶς ἐγχειρήσεων ὥλετο, τῇ τῆς ἄνωθεν ὑμῶν ἐπιμαχίας στεῤῥότητι τῆς κάτω θεομαχίας ἐκνευρισθείσης τοῦ ἀποστάτȣ, καὶ πρὸς ἐσχάτην ἐληλαμένȣ πανωλεθρίαν μικρȣ̃ δεῖν τοῦ χριστομάχȣ φρυάγματος· ὡς ἐπ' αὐτῷ τὸ τῆς γραφῆς ἐπαληθεῦσαι ῥητόν· τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενȣ̃ντες περιεζώσαντο δύναμιν. διότι ȣ̓δὲν πρὸς τὸ ἀσθενὲς τȣ̃ Θεȣ̃ τὸ ἰσχυρὸν τῆς τῶν θεομάχων βδελυρίας καθέστηκε. ὡς συνεκπολεμεῖν τῷ Θεῷ τὸν κόσμον ἐπὶ τȣ̀ς παράφρονας εἴρηται. * πῶς ȣ̓κ ἂν μετὰ Θεȣ̃ πολεμȣ́μενος ὁ ἡγιασμένος σὺ κατὰ Θεȣ̃ τῶν ἀθέων ἡ κίνησις εὑρηκότων τὴν ἀφανῶς πολεμȣ́μενον, καὶ συμπολεμȣ̃ντα δὲ μᾶλλον εἰπεῖν ἀληθέστερον, ὡς τȣ̀ς πολεμίȣς τροπȣ́μενον, ἡνίκα ȣ̃τως ἀπήρξω τῆς παρατάξεως, ὡς ὁ θεὸς αὐτός σοι παρέδειξεν; ἡγεῖσθαι προστάξας ἐν τῇ παρεμβολῇ τῆς Χριστοῦ * βασιλείας τὸ ἔνδοξον ὄντως καὶ ἐπίσημον λάβαρον, τὸν ζωοποιὸν λέγω σταυρὸν, τὸ μέγα κατὰ τȣ̃ θανάτȣ τῆς αὐτȣ̃ μεγαλειότητος τρόπαιον· ἐν ᾧ τοῦ κόσμȣ τετραμερῶς τὰ πέρατα διεγράψατο ἐγκαταστίξας προσγράμμασιν. εἶτα καὶ τὴν ἁγίαν εἰκόνα τῆς πάντων δεσποίνης καὶ ὄντως ἁγνῆς θεομήτορος, ἧς τὸ πρόσωπον οἱ πλȣ́σιοι τȣ̃ λαȣ̃ λιτανεύσȣσι. καὶ γὰρ ἁγία, καθὼς τοῖς πατράσι δοκεῖ, ἥτις ȣ̃τω παρ' ὑμῶν εὐσεβῶς τιμηθεῖσα παρέσχε τὰς ἀμοιβάς. ἐπεὶ ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει κατὰ τὸν μέγαν Βασίλειον. καὶ εὐσεβείας ἀνάμεστος ἡ τῶν σεπτῶν εἰκόνων ὑπόθεσις, καθώς φησιν ὁ Χρυσόστομος· ἐγὼ καὶ τῆς κηρόχυτον ἠγάπησα γραφὴν εὐσεβείας πεπληρωμένην. εἶδον γὰρ ἐν εἰκόνι ἄγγελον στίφη βαρβάρων διώκοντα, καὶ τὴν Δαβὶδ ἀληθεύοντα· κύριε ἐν τῇ πόλει σȣ τῆς εἰκόνα αὐτῶν ἐξȣδενώσεις. καὶ ȣ̓δαμῶς ἡ ἐκκλησία παρέσφαλεν, εἰ καὶ ȣ̃τως λελόγισται. συγχωρήσοι ὁ Θεὸς, ȣ̃τε κατ' ἐθνικὴν ἡ παράδοσις ἀκολȣθίαν, μὴ γένοιτο· * εἰ καὶ ὁ σκοπὸς τȣ̃ πράγματος κατά τι δοκιμάζεαι, καὶ οὐδαμῶς σκοπεῖται τὰ εἰποτελȣ́μενα. ἐπεὶ ȣ̓δ' ἐν Πανεάδι τῇ πόλει παρὰ τῆς αἱμοῤῥοȣ́σης εὐσεβῶς κινηθείσης εἰς ἀνάμνησιν τȣ̃ περὶ αὐτὴν θαύματος γενομένȣ ἀπεπέμπετο, ἡνίκα τῆς ἀναφυείσης βοτάνης πρὸς τοῖς ποσὶ τȣ̃ εἰς ὄνομα τȣ̃ κυρίȣ ἡμῶν ἀναστηλωθέντος παρὰ ταύτης ἀνδριάντος, καὶ ξένης τῷ εἴδει καὶ ȣ̓ γνωρίμȣ προκειμένης τοῖς πᾶσι, παντοίων νοσημάτων ἀλεξητήριον ἦν, συγκαταβάσει καὶ ἀγαθότητι αὐτȣ̃ τȣ̃ Θεȣ̃ καὶ σωτῆρος ἡμῶν. νομικὴ μᾶλλον εἰπεῖν ἡ τοιαύτη ἔνθεος ἀναστήλωσις, εἰ καὶ τῶν τύπων ἐκτυπωτέρα, καὶ τῆς σκιᾶς προτιμοτέρα ἡ χάρις καὶ ἡ ἀλήθεια. διὸ μεγίστην σωτηρίας ὑπόθεσιν ἡ τῶν ἁγίων ὁμήγυρις θεοβȣ́λως τῇ ἐκκλησίᾳ τȣ̃το τὸ κεφάλαιον παραδέδωκεν, ὥστε ἐν ταῖς ἁπάντων ὄψεσι, καὶ ἐν ταῖς χρωματȣργίαις τὸν σεπτὸν καὶ ἅγιον χαρακτῆρα κατὰ τὸ ἀνθρώπινον τȣ̃ αἴροντος τὴν ἁμαρτίαν τȣ̃ κόσμȣ ἀναστηλȣ̃σθαι· δι' αὐτȣ̃ τὸ τῆς ταπεινώσεως ὕψος τȣ̃ Θεȣ̃ λόγȣ κατανοȣ̃ντες, ὡς πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τȣ̃ τε πάθȣς αὐτȣ̃, καὶ τȣ̃ σωτηρίȣ θανάτȣ χειραγωγȣ́μενοι, καὶ τῆς ἐντεῦθεν γενομένης τῷ κόσμῳ ἀπολυτρώσεως. καὶ ȣ̓δὲν ἐντεῦθεν τῶν θείων ἀσύμφωνον. εἰ γὰρ αἱ προφητικαὶ ἀνάῤῥήσεις ȣ̓κ εἰλήφασι τὴν περαίωσιν, μὴ γραφέσθω τὰ πράγματα πρὸς ἔνδειξιν τῶν μήπω γεγενημένων. τȣτέστιν, εἰ μὴ ἐσαρκώθη ὁ κύριος, μὴ τυπȣ́σθω ἡ κατὰ σάρκα ἁγία εἰκὼν αὐτȣ̃. εἰ μὴ ἐτέχθη ἐν Βηθλεὲμ ἐκ τῆς ὑπερενδόξȣ παρθένȣ θεοτόκȣ, καὶ οἱ μάγοι τὰ δῶρα προσήγαγον, καὶ ποιμέσιν ἐπέστη ὁ ἄγγελος, καὶ πλῆθος ȣ̓ρανίȣ στρατιᾶς τῷ τεχθέντι τὸν ὕμνον προσέφερεν. εἰ μὴ ἐν ἀγκάλαις

Ἐξοδ. 25.

* Ex L. ἐπηκροᾶτο δε' καὶ ἅπερ αὐτ'.

Ψαλ. 51.

1. Βασιλ. 2.

Σοφ. 5.

ἴσ. πως ȣ̓ν ȣ̓κ ἂν μετὰ Θεȣ̃ πολεμοίης ὁ ἡγιασμένος; ȣ̃πȣ κατὰ Θεȣ̃ τῶν [illegible]

* ἄλ' ἐκκλησίας.

Ψαλ. 72.

* ἴσ. εἴπερ.

Ματθ. 2.

Λȣκ. 2.

λαις τῆς τεκούσης ὡς βρέφος ἐφέρετο ὁ βαστάζων τὰ σύμπαντα, καὶ γαλακτοτροφίας ἠνέσχετο ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· μηδὲ τοῦτο τυπούσθω. εἰ μὴ ὑπὸ πρεσβύτου ὑπεδέχετο ὁ κατάρχων τῆς ζωῆς καὶ τοῦ θανάτου, καὶ τῶν ὅλων κύριος δι' αὐτοῦ γνωριζόμενος, ἅμα καὶ κηρυττόμενος, καὶ τὴν ἀπόλυσιν παρ' αὐτοῦ δυσωπούμενος. εἰ μὴ ἐν Αἰγύπτῳ οἰκονομίᾳ ἐπορεύετο ἐπὶ νεφέλης κούφης, τῆς ὁλοφώτου μητρὸς καὶ ἐρρωμένης τῇ ἀγαθότητι καὶ ἁγιότητι, ὁ εἰς ὕψος καθήμενος· καὶ παλινδρομεῖ ἐξ Αἰγύπτου, καὶ οἰκεῖ τὴν Ναζαρέτ· μὴ τυπούσθωσαν χρώμασιν. εἰ μὴ νεκροὺς ἤγειρε, καὶ ἐξανέστησε παραλύτους, καὶ λεπροῖς παρέσχε τὴν κάθαρσιν, καὶ ἀπομμάτους ὠμμάτωσεν, εἶτα καὶ τραχὴν ἐποίησε γλῶσσαν μογιλάλων, καὶ βάσεις χωλῶν ἐστερέωσε, καὶ ἀπήλασε δαιμόνια· εἰ μὴ διηνοίξεν ὦτα κωφῶν, καὶ πάντα εἰργάσατο τὰ παράδοξα καὶ τὰς θεοσημείας ἐτέλεσε μὴ γραφέσθωσαν εἰ μὴ τὸ πάθος ἑκουσίως ἐδέξατο, καὶ τὸν ᾅδην ἐσκύλευσε, καὶ ἀναστὰς εἰς οὐρανοὺς ἀνελήλυθεν ὁ μέλλων ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς, μὴ γραφέσθωσαν, μηδὲ τυπούσθωσαν αἱ ταῦτα διηγούμεναι καὶ διὰ γραμμάτων καὶ διὰ χρωμάτων γραφαὶ καὶ ἱστορίαι. εἰ δὲ ταῦτα πάντα γεγόνασι, καὶ μέγα τὸ τῆς εὐσεβείας μυστήριον, εἴθε ἦν δυνατὸν καὶ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, τὰ ζῶα πάντα καὶ τὰ φυτὰ, καὶ εἴτι ἄλλο ἐκδιηγεῖσθαι αὐτὰ καὶ διὰ φωνῶν, καὶ διὰ γραμμάτων, καὶ ἱστοριῶν. τῶν γὰρ μὴ ὄντων ἡ τύπωσις εἰδωλικὴ γραφὴ ὀνομάζεται, ἃ καὶ Ἑλληνικὴ μυθοποιΐα ἀνέπλαττε, τῶν μὴ γεγονότων ἐν τῇ ὑπάρξει ληρῳδοῦσα τὴν ποίησιν. καὶ οὐδεμία συγκατάθεσις τῇ ἐκκλησίᾳ Χριστοῦ μετὰ εἰδώλων· μὴ γένοιτο. οὐδὲ γὰρ δαμάλεις προσεκυνήσαμεν, οὐδὲ μόσχον ἐν Χωρὴβ ἐχαλκεύσαμεν, οὔτε Θεὸς ἡμῖν ἡ κτίσις λελόγισται· οὔτ' αὖ πάλιν τῷ γλυπτῷ ὑπεπέσομεν, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθημεν, οὐδὲ τεκνοφόνους τελετὰς ἢ κρύφια μυστήρια ἐτελέσαμεν, οὐδὲ τοὺς υἱοὺς ἡμῶν καὶ τὰς θυγατέρας ἐθύσαμεν δαιμονίοις ποτὲ, ὡς ἂν εἰς ἡ-
3. Βασιλ. 11. μᾶς τὰ παρὰ Σολομῶντος τοῖς εἰδωλολάτραις λεγόμενα ἐκλαμβάνεσθαι· μὴ γὰρ ὑφ' ἡμῶν ἐφοινίχθη ἡγῆ ἐν τοῖς αἵμασιν; ἢ εἰκόνα εἰς τὸν ναὸν ἐποιήσαμεν τετράμορφον ἔχουσαν εἴδωλον, καὶ ταύτῃ προσεκυνήσαμεν; μὴ βδέλυγμα ἑρπετῶν καὶ κτηνῶν ἐπὶ τῷ τοίχῳ τοῦ ναοῦ κατεγράψαμεν, ἢ πάλιν ἡμᾶς Ἰεζεκιὴλ ἐθεά-
Ἰεζεκ. 8. σατο θρηνοῦντας τὸν Ἄδωνιν, καὶ θυμιῶντας
Ῥωμ. 1. τῷ ἡλίῳ; περὶ ὧν φησιν ὁ ἀπόστολος· ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. μὴ ἄρα ἐστήσαμεν εἰκόνας τῶν δύο πορνῶν ἐν Αἰ-
Ἰεζεκ. 33. γύπτῳ, τῆς Ὀλοδὰμ, καὶ τῆς Ὀλίβας, καὶ ταύτας προσεκυνήσαμεν; ἢ αὖθις θυσίαι παρ'
Δανιήλ. 14. ἡμῶν τῷ Βὴλ ἐν Βαβυλῶνι, καὶ τῷ Δαγὼν ἐν Παλαιστίνῃ προσηνέχθησαν; ἢ τοῖς ἄλλοις θεοῖς τῶν ἐθνῶν ὑπεπέσομεν; οὐκ ἔστι ταῦτα,
* ἐν μηδενὶ οὐκ ἔστι. κατηγορείτω μηδεὶς, ὅτι * μηδὲν τῶν ὄντων καὶ γενομένων τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ὁ λαὸς τοῦ Χριστοῦ μέχρι τήμερον, πλὴν τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος ἐσεβάσθη, ἢ ἐλάτρευσε· μὴ γένοιτο. ὁ μὲν γὰρ τρόπος τῆς τῶν εἰδώλων λατρείας πρόδηλος· Χριστιανοῖς δὲ θεοσεβέσιν ὁ τῶν ἁπάντων δεσπότης τὸ προσκυνούμενον. εἰ δὲ καί τις Ἰουδαϊκῶς κινούμενος πρὸς τὴν ἔγκλησιν, τὰ πάλαι τοῖς εἰδωλομανοῦσι καταβοώμενα ἐπιφημίζει, καὶ εἰδωλολατρείαν ἐπιγράφει τῇ ἐκκλησίᾳ ἡμῶν ἐκ τῆς τῶν σεβασμίων εἰκόνων ἐνθέου καὶ θαυμαστῆς πρὸς τὰ κρείττονα ὁδηγήσεως, ἡγείσθω μὲν οὐδὲν ἄλλο, ἢ κύων καθυλακτῶν· καὶ ὡς ἐν σφενδόνῃ πόρρω ἀποβαλλόμενος ἀκουέτω ὡς Ἰουδαῖος· εἴθε ἦν καὶ τὸν Ἰσραὴλ διὰ τῶν ὁρωμένων, ὧν προσετάγη, προσάγειν τῷ θεῷ τὴν προσκύνησιν, καὶ διὰ τῶν τυπικῶν μνημονεύειν τοῦ κτίσαντος, καὶ μὴ τὸν μόσχον κατέχειν, καὶ τὰς μυίας ὑπὲρ τὰς πλάκας τῆς διαθήκης. εἴθε τὸ ἅγιον θυσιαστήριον ἐπόθη μᾶλλον, καὶ μὴ τὰς δαμάλεις τῆς Σαμαρείας. εἴθε ἦν αὐτῷ προσέχειν τῇ ῥάβδῳ τοῦ Ἀαρὼν, καὶ μὴ τῇ Ἀστάρτῃ. καλὸν ἦν αὐτῷ ἅμα καὶ δίκαιον, τὴν ὀμβρόθεον πέτραν ἀσπάζεσθαι, καὶ μὴ τὸν Βάαλ. εἴθε ἦν αὐτῷ πρὸς τὴν ῥάβδον Μωσέως μᾶλλον ὁρᾶν, καὶ τὴν στάμνον τὴν χρυσῆν, καὶ τὴν κιβωτὸν, τὸ ἱλαστήριον, τὸ πέταλον, τὸ ἐφοὺδ, τὴν τράπεζαν, τὴν σκηνὴν τὴν ἐσωτέραν καὶ τὴν ἐξωτέραν· ἅπερ πάντα εἰς δόξαν γενόμενα τοῦ Θεοῦ, εἰ καὶ χειροποίητα, ἀλλ' οὖν ἅγια ἁγίων ἐλέγοντο. εἶτα καὶ τὰ χερουβὶμ τὰ γλυπτὰ, ὧν μνήμην ποιούμενος ὁ ἀ-
πόστολος φησί· χερουβὶμ δόξης κατασκιάζοντα Ἑβρ. 5.
τὸ ἱλαστήριον· οἷς καὶ τὴν θείαν ἐποχεῖσθαι δόξαν παρὰ τῆς γραφῆς διδασκόμεθα. εἰ τούτοις προσεῖχεν, οὐκ ἂν τοῖς εἰδώλοις ὑπέπεσε. πᾶν γὰρ ἔργον ἐν ὀνόματι κυρίου γενόμενον, τίμιον καὶ ἅγιον πέφυκε. καὶ τί δεῖ τὸ γράμμα εἰς μῆκος ἐκτείνεσθαι; καὶ μάλιστα πρὸς ἄνδρα θεάρεστον, καὶ σκεῦος ἐκλελεγμένον Θεῷ, καὶ τὴν χάριν εἰληφότα τοῦ πνεύματος, καὶ παρακύπτειν εἰς τὰ βάθη τῶν θείων δογμάτων δυνάμενον, καὶ θεοδηγήτως κατανοεῖν εἰς ἄκρον τὸ ὕψος τῆς γνώσεως; ἀλλ' εἰς μέχρι τοῦδε, καὶ εἰς τὸ προκείμενον ἐπανέλθωμεν, τῆς ὑπερμάχουσου ἡγιασμένε, καὶ πάντων τῶν Χριστιανῶν δεσποίνης ἀποθαυμάζοντες τὰ μεγαλουργήματα. καὶ οἷον αὐτὸς μὲν ὑπ' αὐτῆς ἀνεδείχθης ἐν ἅπασιν ὁδηγούμενος καὶ διασωζόμενος, καὶ κατὰ τῶν ἐχθρῶν κραταιούμενος. ἐκεῖνοι δὲ οἱ ἐκ πολλοῦ κατ' αὐτῆς παροινήσαντες τοσοῦτον εὗρον ἀντίμαχον, ὅσον εἶχον ἀντίδικον. καὶ τοῦτο οὐ θαυμαστόν. εἰ γὰρ Βετουλούα διὰ χειρὸς Ἰουδὴθ γυναικὸς Ἰσραηλίτιδος διεσώζε- Ἰουδιθ. 13
το, ἧς ἔργον ἡ Ὀλοφέρνου ἀναίρεσις, ἦν * σωτηρίαν τοῦ Ἰσραὴλ οἱ κατὰ τὸν καιρὸν ἐκήρυξαν· πῶς οὐκ ἂν ἔδει πλέον τὴν σὴν ὑπερφυᾶ ἁγιότητα τοιαύτῃ συμμάχῳ κεχρημένην κατάρξαι τῶν πολεμίων τῆς πίστεως; καὶ νίκῃ στεφανῶσαι τοὺς ὑπὸ χεῖρα; ἀλλὰ ταῖς αὐτῆς ἱκεσίαις καὶ τῶν ἁγίων ἁπάν-

* ἄλ. σωτηρίων

των

των ὁ κραταιὸς ἐν πολέμοις Θεὸς ἡμῶν, ὁ ἰσχυρὸς καὶ μακρόθυμος, ὁ ὁδηγήσας σε ὑπὲρ τὸν Ἰωσὴφ ὡσεὶ πρόβατον, φυλάξοι σε ἡγιασμένε εἰς χρόνους ἐπιμήκεις, ἅπαν τὸ Χριστιανικὸν εὐεργετοῦντα πολίτευμα, καὶ τῷ θείῳ κανόνι πάντας στοιχεῖν ὁδηγοῦντα ἅμα καὶ παροτρύνοντα, καὶ φυλάσσειν τὴν παρακαταθήκην· ἣν παρὰ τῶν πατέρων εἰλήφαμεν, ἐπιστρέφοντα τοὺς πρὸς ὀλίγον ἀγνωμονήσαντας· ἡ δεξιαρκὴς ἡμῶν χαρὰ καὶ κοινὸν ὄφελος καὶ ἀπόλαυσις, ἁγιώτατε, καὶ πᾶσι τοῖς Χριστιανοῖς ποθητέ.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· Πέτρον τὸν θεῖον ἀπόστολον ζηλώσας ἐσάλπησεν ἡμῖν ἐκ Ῥώμης τὴν ἀλήθειαν καὶ ὁ μακάριος οὗτος πατήρ.

Θεοδόσιος ὁ εὐλαβέστατος μοναχὸς καὶ νοτάριος ἀνέγνω.

Ε'ΠΙΣΤΟΛΗ' ΓΕΡΜΑΝΟΥ

τοῦ μακαριωτάτου πατριάρχου γενομένου Κωνσταντινουπόλεως πρὸς Ἰωάννην ἐπίσκοπον Συνάδων.

Ε'Πιστολὴν τῆς ὑμετέρας θεοφιλίας ἀποδέδωκεν ἡμῖν Ταράσιος ὁ πανεύφημος πατρίκιος, ἐν ᾗ περιείχετο περὶ τοῦ θεοφιλοῦς ἐπισκόπου Νακωλείας. σημαίνομεν οὖν αὐτῇ, ὡς καὶ πρὸ τοῦ δέξασθαι ἡμᾶς τὰ γράμματα τῆς ὑμετέρας θεοφιλίας, καταλαβόντος ἐνταῦθα τοῦ αὐτοῦ θεοφιλοῦς ἐπισκόπου, εἰς λόγους ἤλθομεν πρὸς αὐτὸν, ἀνακρίνοντες τὸ φρόνημα αὐτοῦ, ὁποίας ἔχεται γνώμης περὶ τῶν ἀκουσθέντων ἡμῖν περὶ αὐτοῦ· καὶ ταύτην ἡμῖν προεβάλετο τὴν ἀπολογίαν· δέον γὰρ λεπτομερῶς πάντα σημάναι τῇ ὑμετέρᾳ θεοφιλίᾳ· ὅτι ἀκούσας τῆς θείας γραφῆς λεγούσης· οὐ ποιήσεις πᾶν ὁμοίωμα, προσκυνεῖν αὐτῷ, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐπὶ τῆς γῆς. κατὰ τοῦτο εἶπον, ὅτι οὐ χρὴ χειροποιήτοις προσκυνεῖν, ἤγουν τοῖς ὑπὸ ἀνθρώπων κατεσκευασμένοις. ἐπεὶ τοὺς ἁγίους τοῦ Χριστοῦ μάρτυρας, τοὺς ἀληθεῖς μαργαρίτας τῆς πίστεως, πάσης τιμῆς ἀξίους ἡγούμεθα, καὶ τὰς πρεσβείας αὐτῶν ἐπικαλούμεθα. πρὸς ταῦτα τοίνυν ἡμεῖς ἀπεκρινάμεθα αὐτῷ· ὅτι τῶν Χριστιανῶν ἡ πίστις καὶ τὸ σέβας καὶ ἡ προσκύνησις εἰς τὸν ἕνα καὶ μόνον Θεὸν ὑπάρχει, καθὼς γέγραπται· ὅτι κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ ἡ δοξολογία ἡμῶν, καὶ ἡ λατρεία ἡμῶν αὐτῷ μόνῳ προσάγεται παρά τε τῶν ἐν οὐρανοῖς ἁγίων καὶ νοερῶν ἀσωμάτων δυνάμεων, καὶ παρὰ τῶν ἐπὶ γῆς ἐγνωκότων τὴν ὁδὸν τῆς ἀληθείας, καθὼς καὶ ἐν ταῖς ἁπάντων ἐκκλησίαις τοῦ Χριστοῦ ἡ ἁγία ἀνυμνεῖται καὶ δοξάζεται τριὰς ἐν μονάδι καὶ κυριότητι καὶ θεότητι καθὸ καὶ εἷς Θεὸς παρ' ἡμῖν ὁμολογεῖται, καὶ οὐκ ἔστι πάρεξ αὐτοῦ ὁ δεσπόζων ἐν τῇ δυναστείᾳ αὐτοῦ, τοῦ αἰῶνος, καὶ ἐκ μὴ ὄντων τὰ πάντα εἰς τὸ εἶναι παραγαγὼν, ὅσα τε ὁρατὰ, καὶ ὅσα ἀόρατα· τουτέστιν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν ἁγίαν ὁμοούσιον καὶ ζωοποιὸν τριάδα. εἰς ἣν καὶ πιστεύσαντες, καὶ ἣν ὁμολογήσαντες ἐβαπτίσθημεν, καθὼς παραδέδωκεν ὁ αὐτὸς Θεὸς λόγος ὁ ἐνανθρωπήσας, ὁ εἷς αὐτῆς τῆς ἁγίας καὶ ἀκαταλήπτου θείας τριάδος, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ οὐ κτίσμασι προσκυνοῦμεν, μὴ γένοιτο· οὐδὲ τὸ τῇ θεϊκῇ δεσποτείᾳ ὀφειλόμενον σέβας εἰς ὁμοδούλους κατάγομεν. οὐδὲ γὰρ βασιλεῖς ἢ ἄρχοντας κατὰ γῆς προσκυνοῦντες, τὴν ἴσην ὡς πρὸς τὸν Θεὸν προσκύνησιν ποιοῦντες φαινόμεθα. καὶ γὰρ ὁ προφήτης Νάθαν φαίνεται ἐπὶ τῆς γῆς προσκυνήσας τὸν Δαβὶδ ἄνθρωπον ὄντα καὶ βασιλέα· ἀλλ' οὐ παρὰ τοῦτο ἐγκληθήσεται ὡς ἄνθρωπον σεβασθεὶς παρὰ τὸν ὄντα Θεόν. οὐδὲ τὴν τῶν εἰκόνων ποίησιν τῶν διὰ κηροῦ καὶ χρωμάτων ἐκτυπουμένων, εἰς παρατροπὴν τῆς περὶ τὸ θεῖον σέβας τελειότητος δεχόμεθα. οὐδὲ γὰρ τῆς ἀοράτου θεότητος εἰκόνα, ἢ ὁμοίωμα, ἢ σχῆμα, ἢ μορφήν τινα ἀποτυποῦμεν· ἣν οὐδὲ αὐτῶν τῶν ἁγίων ἀγγέλων αἱ ὑπερέχουσαι τάξεις οὔτε κατανοεῖν, οὔτε ἐξιχνιάσαι ὅλως ἰσχύουσιν. ἀλλ' ἐπείπερ ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἀνακαλούμενος τὸ ἴδιον πλάσμα ἐκ τῆς τοῦ θανάτου κατακρίσεως, εὐδοκίᾳ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος, ἄνθρωπος γενέσθαι ἠξίωσε, παραπλησίως ἡμῖν μετασχὼν αἵματος καὶ σαρκὸς, ὡς ὁ μέγας ἔφη ἀπόστολος, κατὰ πάντα ὅμοιος ἡμῖν γενόμενος χωρὶς ἁμαρτίας, τοῦ ἀνθρωπείου αὐτοῦ χαρακτῆρος, καὶ τῆς κατὰ σάρκα αὐτοῦ ἀνθρωπίνης ἰδέας τὴν εἰκόνα τυποῦντες, καὶ οὐ τῆς ἀκαταλήπτου αὐτοῦ καὶ ἀθεάτου θεότητος, ἐντεῦθεν τὰ τῆς πίστεως παριστᾶν ἐπειγόμεθα, δεικνύντες, ὡς οὐχὶ κατὰ φαντασίαν καὶ σκιωδῶς τὴν ἡμετέραν φύσιν ἠνώσεν ἑαυτῷ, καθώς τινες τῶν ἀρχαίων αἱρετικῶν πλανηθέντες ἐδογμάτισαν· ἀλλ' ὅτι αὐτῷ πράγματι καὶ ἀληθείᾳ ἄνθρωπος γέγονε τέλειος κατὰ πάντα, δίχα μόνης τῆς ἐπισπαρείσης ἡμῖν ἐκ τοῦ ἐχθροῦ ἁμαρτίας. καὶ ταύτῃ τῇ ἐννοίᾳ τῆς περὶ αὐτοῦ ἀσφαλοῦς πίστεως τὸν τῆς ἁγίας αὐτοῦ σαρκὸς χαρακτῆρα ἐν ταῖς εἰκόσιν ἀποτυποῦντες ἀσπαζόμεθα, καὶ σεβασμοῦ παντὸς, καὶ τιμῆς τῆς πρεπούσης ἀξιοῦμεν, εἰς ἀνάμνησιν ἐντεῦθεν ἐρχόμενοι τῆς θείας αὐτοῦ καὶ ζωοποιοῦ καὶ ἀῤῥήτου ἐνανθρωπήσεως. ὁμοίως καὶ τῆς κατὰ σάρκα ἀχράντου αὐτοῦ μητρὸς τῆς ἁγίας θεοτόκου κατὰ τὸν αὐτὸν τρόπον τὴν ὁμοίωσιν ἀνιστοροῦμεν· δεικνύντες, ὅτι γυνὴ τὴν φύσιν ὑπάρχουσα, καὶ οὐκ ἀλλοτρία τοῦ ἡμετέρου φυράματος γενομένη, τὸν Θεὸν τὸν ἀόρατον, καὶ τὰ πάντα τῇ χειρὶ περιέποντα, ὑπὲρ πᾶσαν ἔννοιαν καὶ ἀγγέλων καὶ ἀνθρώπων ἐν τῇ ἑαυτῆς συνέλαβε γαστρὶ, καὶ ἐξ αὐτῆς σαρκωθέντα ἀπεκύησε. καὶ γὰρ ὡς κυρίως καὶ ἀληθῶς μητέρα Θεοῦ τοῦ ἀληθινοῦ σέβομεν αὐτὴν, καὶ μεγαλυνόμεν, καὶ πάσης ὁρατῆς καὶ ἀορά-

Ε'ξοδ. 20.

Δευτερ. 6.

Ματθ. 28.

3. Βασιλ. 1.

Ε'βρ. 4.

ἀορατε κτίσεως ὑπερτέραν λογιζόμεθα. καὶ τὰς ἁγίας δὲ μάρτυρας τῦ Χριστῦ, ἀποστόλους τε καὶ προφήτας, ὁσίους, καὶ λοιπὰς τῆς ἁγίων, σωσβύλους δὲ ἡμῶν καὶ ἀληθεῖς θεράποντας Θεῦ γενομβύους, πράξεσί τε ἀγαθαῖς, καὶ τῷ κηρύγματι τῆς ἀληθείας, καὶ ὑπομονῇ τῆς ὑπὲρ αὐτῦ τῦ Θεῦ παθημάτων ἀξιοκίμους καὶ φίλους Θεῦ ἀποδειχθέντας, καὶ πολλὴν παῤῥησίαν πρὸς αὐτὸν εἰληφότας ἀποθαυμάζομβυ καὶ μακαρίζομβυ, καὶ πρὸς ἀνάμνησιν τῆς ἀνδρείας αὐτῆς καὶ γνησίας περὶ τὸν Θεὸν δβλείας, τὰ ὁμοιώματα αὐτῆς ἀναγράφομβυ. οὐχ ὡς τῆς θείας φύσεως κοινωνὰς αὐτὰς ἀποφαίνοντες, τιμὴ ὀφειλομβύλη τῇ θείᾳ δόξῃ τε καὶ ἐξουσίᾳ τιμὴν καὶ προσκύνησιν αὐτοῖς ἀπονέμομβυ, ἀλλὰ τὸν πόθον ἡμῶν τὸν περὶ αὐτὰς δι᾽ τοῦτο ἐνδεικνύμβυοι, ἅπερ δι᾽ τῆς ἀκοῆς ἀληθῆ πεπιστεύκαμβυ, ταῦτα καὶ δι᾽ γραφικῆς μιμήσεως πρὸς βεβαιοτέραν ἡμῶν πληροφορίαν σωιζεσθαι νομίζομβυ. καὶ γὰρ σαρκὶ καὶ αἵματι συμπεπολεγμβύοι, καὶ δι᾽ ὁράσεως τὰ τῆς κατὰ ψυχὴν ἡμῶν πληροφορίας βεβαιῦν ἐπειγόμεθα. ἐπεὶ καὶ αὐτοὶ οἱ ἅγιοι τῦ Θεῦ εἰς τὸν ἑαυτῶν ἐκ μόνον τιμὴν λαξεύοντε καὶ δοξολογίαν καὶ προσκύνησιν παραφυλάττοντες, καὶ πρὸς τῦτο ἅπαντας προσκαλβύμβυοί τε καὶ διδάσκοντες, τὰ ἑαυτῆς ἐξέχεαν αἵματα, καὶ τῆς ἀληθῦς ὁμολογίας τὸν στέφανον ἀνεδήσαντο. ὅτός ἐστιν ὁ ζόμος τῆς τῆς εἰκόνων ποιήσεως, οὐχ ὡς τιμὴ προπούσαν τῇ ἀκαταλήπτῳ καὶ ἀπροσίτῳ θεότητι ἐν πνβύματι καὶ ἀληθείᾳ προσκύνησιν μεταιτθέντων ἡμῶν εἰς χειροποιήτους εἰκόνας, ἢ τέχνης ἔργα χειρῶν ἀνθρώπων, ἢ ὅλως εἰς τὰ ὑπὸ τοῦ Θεοῦ γβυόμενα κτίσματα εἴτε ἐν ὁρατοῖς, εἴτε ἐν ἀοράτοις· ἀλλ᾽ ὡς τιμὴ ἀγάπιν ἡμῶν, ἵν᾽ δικαίως κεκτήμεθα πρὸς τοὺς ἀληθεῖς δβλους τῦ Θεῦ ἡμῶν, δι᾽ τῆς τοιύτων ζόπων δεικνύοντες. καὶ δι᾽ τῆς ἐκείνων τιμῆς εἰς τὸν ὑπ᾽αὐτῆς δοξαθέντα Θεὸν καὶ δοξάσαντα αὐτὰς ἐν τῇ ὁμολογίᾳ τῆς δεσποτείας αὐτῦ, τιμὴ δοξολογίαν καὶ τὸ σέβας ἀναφέρομβυ· ὥστε καὶ ἡμᾶς μιμητὰς τῆς ἀνδρείας αὐτῆς, καὶ τῆς πρὸς Θεὸν ἀγάπης, διὰ τῶν ἀγαθῶν ἔργων καὶ τῆς κατὰ τῆς παθῶν ἀντικατασάσεως ἀποδειχθῆναι. κατὰ τῦτον δὴ τὸν ζόπον τιμὴ τῆς εἰκόνων ποίησιν ἐν τῇ ἐκκλησίᾳ τῦ Χριστῦ πολιτεύεσθαι ἕκασος πληροφορείσθω, καὶ μὴ ἐτέρωθεν ἡμᾶς τὰ τῆς σωτηρίας ἐκδέχεσθαι κατά τε τὸν ὁρώμβυον κόσμον, καὶ τὸν μέλλοντα αἰῶνα, εἰ μὴ παρὰ μόνυ τῦ μονογβυῦς υἱῦ τῦ Θεῦ ἅμα τῷ παζρὶ καὶ τῷ ἁγίῳ πνβύματι τὰς θείας δωρεὰς χορηγῦντος. ὑδὲ γὰρ ὄνομα ἕτερόν ἐστι τὸ δεδομβύον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. εἰ δὲ καὶ τῦ κυρίυ καὶ σωτῆρος ἡμῶν, ἐκ τῆς ἀχράντυ αὐτῦ μητρὸς τῆς ἀληθῶς θεοτόκυ, καὶ τῆς ἁγίων αὐτῦ τὰς εἰκόνας ἀσπαζόμεθα, ἀλλ᾽ ὁ κατὰ τιμὴ αὐτιμὴ διάθεσιν καὶ τιμὴ περὶ αὐτῆς πίστιν ἔχομβυ· ἀλλὰ τὸν μβὺ ἐπισάμεθα Θεὸν ἄναρχον καὶ ἀτελβύτητον, ἐν τῇ χειρὶ τὰ πάντα περιέχοντα, ποιητιὼ τε ἡμῶν καὶ πάσης κτίσεως, καὶ ἀληθῶς σωτῆρα Θεὸν, ἔχοντα ἐξουσίαν ἐν ὐρανῷ καὶ ἐπὶ γῆς, ὑπὲρ γβύς ἀνθρώπων ἀληθῶς ἐνανθρωπήσαντα· τιμὴ δὲ δβύλιν καὶ μητέρα αὐτῦ κυρίως ὑπάρχυσαν, ἣ προσβείαν δυνατωτάτιμὴ τῦ γένυς ἡμῶν. τὸν μβὺ ὡς δεσπότιμὴ τὰ τῆς σωτηρίας ἡμῶν νέμοντα, τιμὴ δὲ μεξικῶς τὰ ὑπὲρ ἡμῶν αἰτυμβύμιμὴ· καὶ τὰς ἁγίυς δὲ πάντας, ὡς σωσβύλυς μβὺ ἡμῶν, καὶ τῆς αὐτῆς ἡμῖν φύσεως ὑπάρχοντας, ἀαρέσυς δὲ τῷ Θεῷ γβυομβύυς. καθὼς προείρηται, καὶ τῆς ἀνωτάτω παῤῥησίας καὶ μακαριότητος παῤ αὐτῷ τετυχηκότας, καὶ χάριν εἰληφότας παρὰ Θεῦ δυσωπεῖν ἡμῖν τὰς παραὐτῦ ἐνεργεσίας, ἰάσεις τε παθημάτων, καὶ κινδυύων ἀπολυτρώσεις ἐν τῇ δι᾽ τῆς μνήμης αὐτῆς ἐπικλήσει τοῦ Θεοῦ ἡμῶν, τῆς κατὰ τὸ δυνατὸν ἡμῖν ἀξιοῦμβυ τιμῆς, καὶ τῆς ἐν ὑμνῳδίαις μακαρισμῶν· μνήμη γὰρ δικαίων μετ᾽ ἐγκωμίων. Παροι. 10. ταῦτα πάντα παρεθέμεθα τῷ λεχθέντι θεοφιλεῖ Ναχωλείας ἐπισκόπῳ. ἅπερ καὶ ἐδέξατο, καὶ καθωμολόγησεν ὡς ἐπὶ τοῦ Θεοῦ τῆς ὅλων οὕτως κρατεῖν, καὶ μηδέν τι λέγειν ἢ πράττειν πρὸς τὸ σκανδαλίσαι τοὺς λαούς, ἢ ταραχῆς αὐτοῖς αἰτίαν παρασχεῖν· τοῦτο οὐ ἐπισαμβύη ἡ ὑμετέρα θεοφιλία, μήτε τιμὴ θεοφιλῆ αὐτῆς σωόδον σκυλιῦσαι ποιήσῃ, μήτε αὐτὴ ἐν σκανδάλῳ τινὶ ἐν τούτῳ γινέσθω· ἀλλὰ δὴ μεταστελλομβύη αὐτὸν, καὶ τὰ παρόντα ἡμῶν γράμματα ὑπαναγινώσκουσα τῆς ἐν τούτοις συγκαταθέσεως αὐτῦ πληροφορίαν λαμβάνουσα, ὑπερθυμείσθω τῆς τε τῆς κρατίσων ἡμῶν δεσποτῆς καὶ βασιλέων πολυχρονίυ διζωίας καὶ νίκης, αἰτειέσθω δὲ καὶ τῆς τῆς Χερσιανῶν λαῷ τιμὴ ὑπερέχυσαν πάντα νῦν εἰρήνιμὴ τῦ Θεῦ. Φιλιππ. 4.

Παράσιος ὁ ἁγιώτατος παζιάρχης εἶπε. ὁ πατὴρ ἡμῶν ὁ ἅγιος Γερμανὸς συμφωνεῖ τοῖς πρὸ αὐτῦ ἁγιωτάτοις παζάσιν.

Ἡ ἁγία σωόδος εἶπεν· ἀληθῶς δέσποτα ἐν πᾶσι συμφωνεῖ.

Παράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. ταῦτα τὰ γράμματα λαβὼν ὁ Ναχωλείας ἀπέκρυψε, καὶ οὐκ ἔδωκεν αὐτὰ τῷ μητροπολίτῃ αὐτοῦ. πρὸς ταῦτα λοιπὸν πάλιν γράφει τῷ Ναχωλείας ὁ μακάριος Γερμανός. ἡ γὰρ ἀρχὴ τῆς αἱρέσεως ἐξ αὐτοῦ ἐγένετο.

* Θεοδόσιος ὁ θεοφιλέστατος μοναχὸς, διάκονος καὶ νοτάριος καὶ σκβοφύλαξ τῆς Δαγῶν παζιαρχικῶν Κτημείων, ἀνέγνω. * Θεόδωρος

Πράξ. 4.

Τῦ ἐν ἁγίοις παζὸς ἡμῶν Γερμανῦ πρὸς Κωνσταντῖνον ἐπίσκοπον Ναχωλείας,

Ἰωάννης ὁ θεοφιλέστατος τῆς Σωσαδέων μητροπολίτης γεγράφηκεν ἡμῖν, ὡς αὐτὸ ἀπέδωκεν αὐτῷ ἡ θεοφιλία σου τὰ ἡμέτερα γράμματα· ἐφ᾽ οἷς σὺ μεξίως ἐπὶ σοὶ ἐλυπή-

πήθημεν, ἐν δευτέρῳ θεμένῳ, ὡς ἔοικε, καὶ τὸν τοῦ Θεοῦ φόβον, καὶ τὴν ὀφειλομένην τοῖς μέλεσι τοῦ Χριστοῦ παρ' ἀλλήλων ἀγάπην τε καὶ τιμήν. τούτου χάριν διὰ τῆς παρόντων ἡμῶν γραμμάτων παραγγέλλομεν τῇ θεοφιλίᾳ σου, παρευθὺ δι' ἑαυτῆς ἀποδοῦναι τὴν προλεχθεῖσαν ἡμῶν ἐπιστολὴν τῷ εἰρημένῳ θεοφιλεῖ αὐτῆς μητροπολίτῃ, καὶ πᾶσαν αὐτῷ τιμὴν ἀπονέμειν, καὶ ὑπείκειν αὐτῷ κατὰ τὴν πρέπουσαν ἱερεῦσι τάξιν καὶ καθὼς τοὺς ἡμετέρους λόγους ἐδέξατο ἡ θεοφιλία σου, καὶ τούτοις ἐξακολουθεῖν ὡμολόγησεν, ἐμμεινάτω, μὴ τῷ ἰδίῳ νοὶ πληροφορουμένη. οὐκ ἀγνοεῖ γὰρ, οὔτε μὴν ἐπελάθετο, ὥς γε λογιζόμεθα, ὅτι καὶ ἀποτάξασθαι τῆς οἰκείας ἐπισκοπῆς παρεκάλεσεν ἡμᾶς, προτείνουσα ἐπανάστασιν μελετᾶσθαι κατ' αὐτῆς, ἐφ' οἷς, ὡς ἔλεγεν αὐτὴ, οὐ συνηπίστατο· διαβεβαιουμένη μηδὲν πρὸς ὕβριν τοῦ κυρίου, ἢ τῆς ἁγίων αὐτοῦ, ἕνεκεν τῆς τούτων εἰκόνος εἰπεῖν ἢ διαπράξασθαι, ἀλλ' ἢ μόνον τὴν γραφικὴν προτείνειν διδασκαλίαν περὶ τοῦ μηδὲν τῆς ἐν κτίσμασι τῆς θείας ἀξιοῦν τιμῆς. ἥν τινα καὶ ἡμεῖς ἐδιδάχθημεν οὕτως ἔχειν, καὶ βεβαίως κρατοῦμεν, καὶ ὁμολογοῦμεν. καὶ τὰ γραφέντα δὲ παρ' ἡμῶν πρὸς τὸν μνημονευθέντα θεοφιλῆ μητροπολίτην αὐτῆς ὑπανέγνωμεν αὐτῇ, καὶ τούτοις ἐμμένειν καθωμολόγησε, καὶ τὰ ἴσα τῆς τοιαύτης ἐπιστολῆς παρέχομεν αὐτῇ. μὴ οὖν θελήσῃς σκάνδαλον γενέσθαι λαῷ ἀπειροκάκῳ, μεμνημένος τοῦ φοβεροῦ * βήματος τοῦ κυρίου, ὅπερ καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίζουσιν ἐπάγειν ἠπείλησε. τοῦτο δὲ γινωσκέτω, ὡς μέχρις ἂν τὴν ἡμετέραν ἐπιστολὴν ἀποδῷ τῷ θεοφιλεστάτω αὐτῆς μητροπολίτῃ, ἐξ ἐπιτιμίων τῆς ἁγίας καὶ ὁμουσίου τριάδος οὐκ ἔχει ἐξουσίαν οἱασδήποτε ἐφάψασθαι λειτουργίας ἱερατικῆς. δεῖ γὰρ ἡμᾶς μᾶλλον αὐστηρότερον αὐτῇ προσαχθῆναι, ἤπερ ἀνουθέτησον αὐτὴν καταλιπεῖν, τῇ παρὰ τοῦ Θεοῦ κατακρίσει ἐσομένην ὑπεύθυνον.

* Ι. κρίματος. Ματθ. 18 Μάρκ. 9. Λουκ. 27.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὡς καὶ προέφην, τίμιοι ἀδελφοὶ, ἡ εἰσαγωγὴ τῆς ἐπεισάκτου καινοτομίας ταύτης γέγονεν ἐκ τοῦ προειρημένου ἀνδρὸς ἐπισκόπου Νακωλείας.

Κωνσταντῖνος ὁ θεοφιλέστατος διάκονος, καὶ νοτάριος ἀνέγνω.

ΕΠΙΣΤΟΛΗ ΓΕΡΜΑΝΟΥ
Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως πρὸς Θωμᾶν ἐπίσκοπον Κλαυδιουπόλεως.

Παροι. 18.

Εἴρηκέπου τῶν ἑαυτοῦ λόγων ὁ σοφὸς Σολομών· ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ὥσπερ μεμοχλευμένον βασίλειον. ἐγὼ δὲ οὐ τῶν βοηθεῖν δυναμένων ἑαυτὸν λογιζόμενος, ἀλλὰ μᾶλλον τῶν βοηθεῖσθαι δεομένων, τὸ παρὸν ἐγχαράξαι γράμμα πρὸς τὴν ὑμετέραν ὡρμήθην θεοφιλίαν, τῶν λογισμῶν μὴ φέρων τὴν ὄχλησιν. τινὰ γάρ μοι ἠκούσθη πεπραχέναι αὐτὴν, ἅπερ εἰ μὲν ψευδῆ, κατὰ τὸν θεολόγον Γρηγόριον εἰπεῖν, αὖραι φερέτωσαν· εἰ δὲ ἀληθῆ, πανταχόθεν μου τὴν διάνοιαν ἀπορία περιέλαβεν, ἆρα γὰρ καὶ αὐτῇ κατὰ τὴν τῶν πλειόνων ῥαθυμίαν τὸ τῆς ἀγάπης τερπνὸν χείλεσι μόνον περικέχρωσται, καὶ οὐκ εἰς τὸ βάθος κατέδυ τῆς διανοίας, δηλονότι λογιζομένης αὐτῆς, οὐκ ἐν εἰλικρινεῖ ἀγάπῃ διακεῖσθαι ἡμᾶς πρὸς αὐτήν; ἢ τοῦτο μὲν οὐδαμῶς, τὸ δὲ ἀμαθὲς ἡμῶν, καὶ περὶ τὰ τῷ Θεῷ ἀρέσκοντα ὀκνηρότερόν τε καὶ ἠμελημένον διέπτυσεν, ὡς οὐ πολλῆς φροντίδος ἀξιουμένης τῆς ἐρεύνης τοῦ θείου θελήματος κατὰ τὴν παραδοθεῖσαν ἡμῖν διὰ τῶν ἱερῶν γραφῶν ἁγίαν ἐντολήν; ἢ καὶ τούτων μὲν οὐκ εὔστοχος ἡ ὑπόνοια, ἐκεῖνο δὲ ἴσως ὑπολαμβάνειν ἐστὶν, ὡς κρείττονος αὐτῇ ἀποκαλύψεως γενομένης· ὀκνῶ γὰρ εἰπεῖν οἰήσεώς τινος καὶ φρονήματος· ἡ γὰρ ἀγάπη τὸ κακὸν οὐ λογίζεται, λέγει ὁ θεῖος ἀπόστολος· εἰς τοιαύτην ἤλασε πληροφορίαν, ἣν φανερῶσαι ἡμῖν ἐξ ἀναγκαίου ὀφείλει. γέγονε δὲ ἡμῖν τῶν τοιούτων ὑπονοιῶν οὐκ ἀνεύλογος ἀφορμή· ὅτι χρόνῳ πολλῷ γενομένη παρ' ἡμῖν ἡ ὑμετέρα θεοφιλία, συναυλιζομένη τε, καὶ γραφικῶν ἐσθ' ὅτε λόγων τε καὶ ζητημάτων ἐρωτήσεις προβαλλομένη, οὐδένα λόγον κεκίνηκεν ἡμῖν ποτε περὶ εἰκόνων, εἴτε ἁγίων ἀνδρῶν, ἢ καὶ αὐτοῦ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς κατὰ σάρκα αὐτοῦ ἁγίας καὶ ἀληθῶς θεοτόκου μητρός· οὔτε ὡς συζητοῦσα καὶ τὸ ἀκριβὲς εὑρεῖν βουλομένη, ἤγουν ἐρωτῶσα, ὁποῖον ἡμῖν περὶ τούτου τὸ φρόνημα· καὶ εἰ κατὰ λόγον ἐστὶ τὸ ἐν τούτοις γινόμενον, οὐδεμίαν φέρον κατάκρισιν παρὰ Θεῷ τοῖς ποιοῦσιν. ἀλλ' οὔτε ὡς βεβαίᾳ πληροφορίᾳ ἀποβολῆς καὶ ἀναιρέσεως ἄξιον τὸ τοιοῦτον τιθεμένη, πρὸς τὸ συβουλεύειν ἡμῖν ἐπιδέδωκεν ἑαυτὴν, ὥστε καὶ ἡμᾶς τῆς ὁμοίας ἔχεσθαι γνώμης· ἀλλὰ πάντῃ τὰ περὶ τούτου ἐν τελείᾳ σιωπῇ παρ' ἡμῖν ποιησαμένη, ἐν τῇ κατ' αὐτὴν πόλει γεγενημένη, ὡς ἀπὸ δόγματος κοινοῦ καὶ ἀναντιρρήτου τινὸς διασκέψεως τὴν τῶν εἰκόνων καθαίρεσιν, ὡς μεμαθήκαμεν, ἐποίησατο, εἰ τὸ ἀληθὲς οὕτως ἔχει, πάλιν ἐροῦμεν. καὶ γὰρ οὐκ εὔδρομος ἡμῖν ἡ ψυχὴ πρὸς τὸ πιστεύειν ἀπεριμερίμνως τοῖς πρὸς τὸ διασύρειν τοὺς πλησίον λεγομένοις πολλάκις. ἀλλ' ἡμεῖς ἀναγκαῖον τιθέμενοι, ὡς ἐν διασκέψει καὶ ἀδελφικῇ δοκιμασίᾳ τὰ τοῦ φρονήματος ἡμῶν φανερῶσαι, λεπτομερῶς τὰ περὶ τούτου συνείδομεν διεξελθεῖν· ἐκεῖνο πρότερον ὑπομιμνήσκοντες, ὡς ἐξ ἅπαντος φυλάττεσθαι ἡμᾶς χρὴ τὰς τῶν πραγμάτων καινοτομίας· καὶ μάλιστα ὅπου τοῖς ἐν τῇ πίστει τοῦ Χριστοῦ λαοῖς θόρυβός τις καὶ σκανδάλων ὑπόθεσις παρακολου-

1. Κορινθ. 13.

λυθεῖ, ἔπειτα καὶ χρόνυ μακροῦ ἔθος ἐν ταῖς
Παρο. 31. ἐκκλησίαις ἐκράτησεν. οἱ γὰρ μετὰ βυλῆς οἰνο-
ποτεῖν ἡ Γραφὴ διατάσσεται, πολλῷ μᾶλλον ἡμᾶς
χρὴ πλείονι συζητήσει τοῖς καιριωτέροις ἐγχει-
ρεῖν, ἵνα μὴ ὑπόδικοι τῷ φοβερῷ γενώμεθα
Ματθ. 18. κρίματι, τῷ καὶ ἕνα τῶν μικρῶν σκανδαλίζοντι
ἐπηρτημένῳ παρὰ Θεοῦ. καὶ ἄλλως τῶν πρὸς
ὕβριν τῆς τοῦ Χριστοῦ ἐκκλησίας παρὰ τῶν ἀπί-
στων συναγομένων ῥημάτων ἢ πραγμάτων τὴν
ἀνατροπὴν ποιεῖσθαι ὀφείλοντες, καὶ τὸ ταύτης
σεμνόν τε καὶ ἔνθεον δεικνύειν ἀσάλευτον. τοῦτο
τοίνυν ἐν πρώτοις γινώσκειν χρεὼν, ὡς οὐ νῦν
μόνον, ἀλλὰ καὶ πολλάκις καὶ Ιουδαῖοι, τὰ τοιαῦ-
τα ἡμῖν προσήγαγον εἰς ὀνειδισμὸν, καὶ οἱ τῆς
ὄντως εἰδωλολατρείας θεραπευταὶ, αἰσχραίνειν
μόνον ἐπιχειροῦντες τὸ τῆς πίστεως ἡμῶν ἄχραν-
τόν τε καὶ ἔνθεον, καὶ οὐχὶ τὸ χειροποιήτοις προσέ-
χειν ἀναιρεῖν ἐπειγόμενοι. ὅπου γε αὐτοῖς ἡ πᾶ-
σα σπουδὴ καὶ τὸ σέβας περὶ τοῦτο καταγίνεται,
μηδὲν τῶν ὁρωμένων καὶ αἰσθητῶν ὑψηλότερον
τίθεσθαι, ἀλλὰ τὴν θείαν φύσιν παντοίως
ταπεινοῦν, ἢ τόπῳ τινὶ περικλείοντας τὴν τοῦ
παντὸς ἐποπτικὴν αὐτῆς πρόνοιαν, ἢ σωματι-
καῖς εἰδοποιοῦντας μορφώσεσιν. οὓς οὐκ ἀγνυνῶς
μὲν τῶν ἡμετέρων προγενέστεροί τινες ὡς κύνας
ἐνεοὺς, Γραφικῶς εἰπεῖν, μάτην καθυλακτοῦν-
τας τῆς ποίμνης τοῦ Χριστοῦ ἀπεώσαντο, ὧν οὐκ
ἐν χερσὶν ἡμῖν τὰ πονήματα. οὐ μὴν δὲ ἀλλὰ
καὶ ἐκ τῶν οἰκείων ἀσεβῶν ἐπιτηδευμάτων ὁ τῆς
ἀληθείας λόγος τούτους ἐπιστομίζει. τῶν μὲν
στηλιτεύων τῶν Ελληνικῶν τελετῶν καὶ μύθων τὸ
αἰσχρὸν καὶ ἀπόπτυστον· Ιουδαίους δὲ ἐντρέπων, οὐ
μόνον τὴν τῶν πατέρων πρὸς τὰ εἴδωλα προσχώρησιν
αὐτοῖς ὀνειδίζων, ἀλλὰ καὶ τὴν πρὸς τὸν θεῖον νόμον,
ὃν ἐκεῖνοι αὐχοῦσι κρατεῖν, ἐναντίωσιν· εἴγε
ἐκείνου ἐν τόπῳ τινὶ διωρισμένῳ τὰ τῶν τυ-
πικῶν θυσιῶν προσάγειν θεσπίζοντος, οὗτοι
ἐν παντὶ τόπῳ τῆς οἰκουμένης τοῦτο πράττειν
οὐ παραιτοῦνται, συνήθως τὸ πρὸς τὸ ἅγιον πνεῦ-
μα ἀπειθὲς πατρικῇ ἀκολουθίᾳ ἐπιτηδεύοντες,
καὶ ταύτῃ θύοντες δαιμονίοις καὶ οὐ Θεῷ· ἡ γὰρ
ἀληθὴς πρὸς τὸν ἀληθινὸν Θεὸν λατρεία τε καὶ
προσκύνησις ἐν τῇ τηρήσει τῆς ἁγίας περὶ αὐ-
τὸν ὁμολογίας, καὶ τῶν παρ' αὐτοῦ δεδομένων
συνεκτικῶν τε καὶ κεφαλαιωδεστέρων μυστηρίων καὶ
* ἄλ. Ἀγαρηνοῖς νόμων φύλακῇ ἀκριβῶς κατορθοῦται. * Σαρρα-
κηνοῖς δὲ, ἐπεὶ καὶ αὐτοὶ τὸ τοιοῦτον ἐπισκήπτειν
δοκοῦσιν, ἀρκετὸν εἰς αἰσχύνην καὶ ἐντροπὴν,
προσαγαγεῖν τὴν μέχρι τοῦ νῦν ἐν τῇ ἐρήμῳ
τελουμένην παρ' αὐτῶν λίθῳ ἀψύχῳ προσφώ-
νησιν, τήν τε τοῦ λεγομένου Χοβὰρ ἐπίκλησιν,
καὶ τὰ λοιπὰ τῆς ματαίας αὐτῶν πατροπαραδότου
ἐκεῖσε ἀναστροφῆς ὡς ἐν ἐπισήμῳ ἑορτῇ παι-
γνιώδη μυστήρια· Χριστιανῶν δὲ πάντων καθ'
ὅλης τῆς οἰκουμένης ὑπὸ ζυγὸν ἕνα, τὸν τοῦ
εὐαγγελίου δηλαδὴ, ὡς ὁ προφήτης φησὶ, δου-
λεύοντων Θεῷ χαρακτὴρ ἰδικώτατος, ἡ εἰς ἕνα
Θεὸν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦ-
μα, τριάδα ἄκτιστον, ἀΐδιον, ἀκατάληπτον,
ἀόρατον, ὁμοούσιόν τε καὶ ὁμόθρονον, πίστις τε καὶ
ὁμολογία· συνομολογουμένης καὶ τῆς τοῦ υἱοῦ τοῦ
Θεοῦ τελείας ἐνανθρωπήσεως, καὶ τῶν ἄλλων κα-
τὰ τὴν δύναμιν τοῦ ἱεροῦ συμβόλου, ὅπερ ὁ
λαὸς τοῦ Χριστοῦ ὁμοφρόνως πρὸ τῆς μυστικῆς
καὶ ἁγίας ἀναφορᾶς προσάγει Θεῷ· ἥ τε εἰς
τὸ ὄνομα τούτων δὴ τῶν τριῶν θεαρχικῶν ὑπο-
στάσεων τελουμένη διὰ τοῦ θείου βαπτίσμα-
τος πνευματικὴ ἀναγέννησις, καὶ τῶν ζωοποιῶν
τῆς ἀναιμάκτου θυσίας συμβόλων ἡ θεουργικὴ
μετάληψις καὶ κοινωνία· δι' ὧν ὁ τῆς ἀληθείας
ἀναλάμπει φωτισμὸς, καὶ τὸ τῆς ἀσεβείας ἀπε-
λαύνεται σκότος ἔχον καὶ αὐτὸ τῆς οἰκείας
πλάνης ἐμφανέστατον γνώρισμα τὴν τῆς πολυ-
θείας ἀθεότητα. ταῦτα δὲ οὕτως ἀλλήλοις ἀν-
τίκειται, ἀποστολικῶς εἰπεῖν, ὃν τρόπον τὸ κα-
ταρχὰς διεχώρισεν ὁ θεὸς ἀναμέσον τοῦ φωτὸς
καὶ ἀναμέσον τοῦ σκότους. λεγέτω τοίνυν μεθ' ἡ- 1. Ιωάν. 5.
μῶν ὁ μακάριος εὐαγγελιστὴς Ιωάννης· αὕτη
ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις Ματθ. 16.
ἡμῶν. προστεθήτω δὲ καὶ παρ' ἡμῶν, καὶ λεγέσθω. αὕ-
τη ἐστὶν ἡ πέτρα, ἐφ' ᾗ Χριστὸς τὴν αὐτοῦ
ᾠκοδόμησεν ἐκκλησίαν, πύλαις ᾅδου, ἤγουν προ-
σβολαῖς τῶν ἐναντίων δυνάμεων, ἀκατάσειστόν
τε καὶ ἀπερίτρεπτον. ἐντεῦθεν τὸ καινὸν ἐκληρω- Ἡσαΐ. 64.
σάμεθα ὄνομα, ὅπερ, Ησαΐας φησὶν, εὐλογη-
θήσεται. λέγει γὰρ οὕτως· εὐλογήσουσι τὸν θεὸν
τὸν ἀληθινὸν, τὸ ὑπεράγνωστόν τε καὶ ἀνεξιχνίαστον
τῆς ἀρρήτου αὐτοῦ φύσεως διαγγέλλοντες· ἀόρα-
τόν τε αὐτὴν καὶ ἀπερίγραπτον, καὶ πάντῃ ἀναλλοίωτον
ἐν ἀδιστάκτῳ πληροφορίᾳ κηρύττοντες, καὶ τὴν
ἀΐδιον αὐτῆς δύναμιν καὶ θειότητα ἀπὸ κτίσεως
κόσμου, κατὰ τὸν ἱερώτατον Παῦλον, τοῖς ποιή- Ρωμ. 1.
μασι νουμένην καθορῶντες. οὕτω δουλεύειν Θεῷ ζῶντι
καὶ ἀληθινῷ ἠξιώμεθα, καὶ τῇ ἐλευθερίᾳ, ᾗ Χρι- Γαλάτ. 4.
στὸς ἡμᾶς ἠλευθέρωσε, τετιμήμεθά τε καὶ δεδο-
ξάσμεθα, πάσης ἀπαλλαγέντες εἰδωλικῆς πλάνης
τε καὶ ἀσεβείας· ἧς τὸ ἐξαίρετον γνώρισμα,
λέγειν τῷ λίθῳ, σύ με ἐγέννησας· καὶ τῷ ξύ-
λῳ, σύ με ἐποίησας, κατὰ τὴν τοῦ προφήτου
φωνήν· καὶ μὴ ἀναβλέπειν εἰς τὸν οὐρανὸν, ὡς Ἡσαΐ. 25.
Ησαΐας βοᾷ, καὶ λογίζεσθαι, τίς ὁ καταδείξας
ταῦτα πάντα, ὁ ἐξάγων κατὰ ἀριθμὸν τὸν κό-
σμον αὐτοῦ, πάντα ἐπ' ὀνόματι * καλεῖ ἀπὸ πολ- * ἄλ. καλέσει
λῆς δόξης, καὶ ἐν πλήθει ἰσχύος· οὗ αἱ χεῖρες
ἔπλασαν πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, ὡς ἕτε-
ρός τις εἶπε τῶν προφητῶν. ἢ τὴν λοιπὴν τῆς
κτίσεως πάσης ἐναρμόνιον εὐταξίαν ὁρῶντας, δι'
αὐτῆς τῷ νοερῷ τῆς ψυχῆς ἀναλόγως τὸν γενε-
σιουργὸν αὐτῆς λόγον ἐννοεῖν, καὶ δι' αὐτοῦ τὸν
πατέρα καὶ ὄντως ὄντα Θεὸν προσκυνεῖν, καθὼς καὶ
ὁ μακάριος Αθανάσιος τὸν κατὰ εἰδώλων συν-
τάττων λόγον ἐκδιδάσκει σαφέστατα· ὡς οὖν οὐδε-
μία κοινωνία φωτὶ πρὸς σκότος, ἢ συμφώνη-
σις Χριστῷ πρὸς Βελίαρ· οὕτως οὐδὲν κοινὸν Χρι- 3. Κορ. 6.
στιανοῖς ἕνα Θεὸν ἐν ἀπροσίτῳ δόξῃ τε καὶ δυνά-
μει προκυνούμενον σέβουσι, πρὸς τοὺς πλάτ-
τοντας Θεὸν, καὶ ταύτῃ παρὰ τοῦ προφήτου τα-
λανιζομένους δικαίως. ἐκείνοις μὲν γὰρ σπο-
δὸς ἡ καρδία, ὡς γέγραπται· ὧν οἱ μὲν τῇ
ποιήσει τοῦ παρ' αὐτῶν γινομένου εἰδώλου, κτί-
ζε-

αὐτοῖς Θεὸν πρόσφατον ἐκ τοῦ μὴ ὄντος νομίζουσι· καὶ διαπίπτοντος τούτου ἐξ ὑποιασοῦν αἰτίας,
Ἐξοδ. 51. καὶ ἀφανιζομένου, βεβαίως κρατοῦσι μὴ εἶναι αὐτοῖς ὅλως Θεὸν, εἰ μή τοι γε ἕτερον ὁμοίως δημιουργήσωσι. καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ θεία διδάσκει γραφὴ ἐπὶ τῆς κατὰ τὴν ἔρημον μοσκοποιΐας τῶν Ισραηλιτῶν, ὅτε καταστασιάσαντες τοῦ Ααρὼν ἔλεγον· ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. ἐμφαίνοντες διὰ τούτου λογίζεσθαι αὐτοὺς, καθόλου μὴ εἶναι Θεὸν, μήτε ἀληθινόν, μήτε ψευδώνυμον, εἰ μή τι ἄρα εἴδωλον αὐτοῖς τεχνουργηθείη τὸ ἐπιζητούμενον· ᾧ τινι μετὰ τοῦτο τὴν ἐξ Αἰγύπτου αὐτῶν ἔξοδον ἀνετίθεσαν, τῆς ἀσεβείας αὐτῶν καὶ ἀνοίας δεικνύοντες τὴν ὑπερβολήν. οἱ δὲ μετέπειτα τὴν τῆς Ἑλληνικῆς δεισιδαιμονίας μετιόντες αἰσχύνην, καὶ ταύτην περιέπειν σπουδάζοντες ἐπ' ὀνόματι τῶν παρ' αὐτοῖς θρησκευομένων Θεῶν, τὰς τῶν ξοάνων κατασκευὰς ἐφιλοπόνουν, τοῦ τε Διός, ὃν καὶ πατέρα καὶ ὕπατον, ἤγουν ἐξοχώτατον Θεῶν καὶ ἀνθρώπων ὠνόμαζον, καὶ τῶν λοιπῶν, ὧν οὐκ ἄδηλος ἡ ὀνομασία τοῖς πλείοσιν· ὧν τὰ σεμνολογήματα καὶ αἱ κατὰ τὰς τελουμένας αὐτοῖς θυσίας τιμαὶ, πορνεῖαί τε καὶ ἀσέλγειαι, καὶ πάσης ἀκαθαρσίας ἐπίδειξις, μικρὸν γὰρ εἰπεῖν, αἰσχροῤῥημοσύναι τε καὶ βλασφημίαι. ὅπου γε παρ' αὐτοῖς ἀνδροκτονίαι τὸ πρὸς τιμὴν Θεοῦ σπουδαζόμενον ἦν, καὶ τὸ ἐμπομπεύειν ταῖς αἰσχρουργίαις αὐτῶν ἐτετίμητο, εἰς τιμὴν τῶν προσκυνουμένων λαμβανόμενον, ὡς ταῦτα πεπραχότων ἐκείνων, καὶ τούτοις γινομένοις ἐφηδομένων αἱ δὲ παρὰ Χριστιανοῖς ἁγίων ἀνδρῶν εἰκόνες τῶν τε μέχρις αἵματος ἀντιστάντων τῇ ἁμαρτίᾳ
Ἑβρ. 12. κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν, καὶ τῶν τῷ λόγῳ τῆς ἀληθείας διακονησαμένων, προφητῶντε λέγω καὶ ἀποστόλων, εἴτε καὶ ἐν εὐσεβεῖ βίῳ καὶ κατορθώσει ἔργων ἀγαθῶν ἀληθῶς Θεοῦ δούλων ἀναδειχθέντων, οὐδὲν ἕτερόν εἰσιν, ἢ ἀνδρείας ὑπογραμμὸς, πολιτείας τε εὐαγοῦς καὶ ἀρετῶν ὑποτύπωσις, καὶ τοῦ δοξάζειν Θεὸν, ὦ κατὰ τὴν παροῦσαν ζωὴν εὐηρέστησαν, ὑπονυγμὸς καὶ διέγερσις. λόγος μὲν γὰρ τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις διεξιὼν ὠφελεῖ τοὺς ἀκούοντας, καὶ πρὸς ζῆλον μιμήσεως προσκαλεῖται πολλάκις. τοῦτο δ' ἂν καὶ διὰ τοῦ προσέχειν τῇ εἰκόνι κατὰ τὸν τοῦ εἰκότος λόγον γενήσεται. ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι, Βασίλειος ὁ μέγας βοᾷ, ἐξ ἑκατέρου τούτων πρὸς ἀνδρείαν διεγείρεσθαι τοὺς προσέχοντας λέγων. σύντομος γὰρ, ὡς ἂν τις εἴποι, καὶ κεφαλαιώδης ὑφήγησις τῶν πεπραγμένων τῷ γραφέντι ἐν τῇ εἰκόνι, γίνεται τοῖς ὁρῶσιν ἡμῖν μιμητὴ τῆς ἰδέας αὐτοῦ ἡ μόρφωσις, ὥσπερ οὖν καὶ τοῖς εἰδώλοις τῶν ψευδωνύμων Θεῶν αἱ μιαραὶ αὐτῶν συναναφαίνονται πράξεις. καὶ τὸν μὲν ἐξ ἀκοῆς τὰ κατὰ τοὺς ἁγίους ἄνδρας παρειληφότα εἰς ἀνάμνησιν τῶν ἀκουσθέντων ἡ τοαύτη θεωρία συνωθεῖ, τὸν δὲ ἀγνοοῦντα φιλοπευστεῖν παρασκευάζει, καὶ τὰ κατ' ἐκεῖνον διδασκόμενον, εἰς πόθον τε αὐτοῦ καὶ αἶνον Θεοῦ θερμῶς ἐγείρει· ὥστε δι' ἑκατέρου τούτων τοὺς ὁρῶντας τῶν ἁγίων τὰ καλὰ ἔργα δοξάζειν Ματθ. 5.
τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν. * καὶ εἰ δὴ κατὰ Μωσέα νομοθεσία παραγγέλλει τῷ λαῷ κλῶσμα ὑακίνθινον εἰς τὰ κράσπεδα τὰ Ἀριθμ. 15.
ἐν τοῖς ἄκροις τῶν ἱματίων τιθέναι πρὸς ἀνάμνησιν τῶν διατεταγμένων καὶ φυλακὴν, πολλῷ μᾶλλον ἡμᾶς ἐστι διὰ τῆς ὁμοιωματικῆς ἀναζωγραφήσεως τῶν ἁγίων ἀνδρῶν ἀναθεωρεῖν τὴν ἔκβασιν τῆς ἀναστροφῆς αὐτῶν, καὶ τούτων μιμεῖσθαι τὴν πίστιν κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν. Ἑβρ. 13.
τὸ δὲ τοῦ κυρίου τῆς κατὰ σάρκα ἰδέας ἐν εἰκόσι τυποῦσθαι τὸν χαρακτῆρα, εἰς ἔλεγχον μὲν ἐστι τῶν φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ ἄνθρωπον αὐτὸν γενέσθαι ληρῳδούντων αἱρετικῶν, χειραγωγίαν δέ τινα τῶν μὴ πάντῃ εἰς τὸ ὑψηλὸν ἀνάγεσθαι τῆς πνευματικῆς θεωρίας ἐξισχυόντων, ἀλλὰ δεομένων καί τινος σωματικῆς κατανοήσεως πρὸς τὴν τῶν ἀκουσθέντων βεβαίωσιν, ὅσον ἐπωφελέστερόν τε καὶ περισπουδαστότερον. τὸ γὰρ μυστήριον τὸ καὶ τοὺς οὐρανοὺς καλύψαν τῇ ἀρετῇ, ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι, μὴ μόνον ἐξ ἀκοῆς τὴν πίστιν ἔχειν· ἡ γὰρ πίστις ἐξ ἀκοῆς, Ῥωμ. 10.
φησίν, ὁ ἀπόστολος· ἀλλ' ἤδη καὶ δι' ὁράσεως ἐντυποῦσθαι τῶν ὁρώντων ταῖς διανοίαις, καὶ δυνάμει ἐκεῖνο βοᾷν, ὅτι ὁ Θεὸς ἐφανερώθη ἐν σαρκὶ, καὶ ἐπιστεύθη ἐν κόσμῳ, πάντων μάλιστα ἁγιαστικώτερόν τε καὶ σωτηριωδέστερον εὑρεθήσεται· ὥστε τὰ διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων περὶ τῆς κατὰ σάρκα αὐτοῦ ἐπὶ γῆς μετὰ ἀνθρώπων πολιτείας ἀναγεγραμμένα, ταῖς τῶν λαῶν πρὸς τὸ ἀνεξάλειπτον ἐγγράφεσθαι μνήμαις, καὶ τὸ σέβας τῆς δόξης αὐτοῦ καὶ περὶ ἡμᾶς ἀγαθότητος ἐναργέστερον κηρύττεσθαι καὶ προσκυνεῖσθαι. οὐ γὰρ τῶν ξύλων καὶ τῶν χρωμάτων προσκυνεῖται ἡ μίξις, ἀλλ' ὁ ἀόρατος Θεὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος τὴν προσκύνησιν δέχεται ἐν πνεύματι καὶ ἀληθείᾳ, δι' ἑαυτοῦ τὴν πρὸς τὸν πατέρα ἡμῖν προσαγωγὴν χαριζόμενος, καὶ σὺν αὐτῷ προσκυνούμενος. ἐπεὶ καὶ Ἰακὼβ προσκυνῆσαι λέγεται ἐπὶ τὸ ἄκρον τῆς Ἰωάν. 4.
ῥάβδου τοῦ Ἰωσὴφ, οὐ τῷ ξύλῳ τὸ σέβας προσαγαγὼν, ἀλλὰ τὴν πρὸς τὸν κατέχοντα αὐτὸ τιμὴν ἐνδεικνύμενος. οὕτω τοίνυν καὶ τῆς ἁγίας τοῦ κυρίου, καὶ ὑπερενδόξου αὐτοῦ μητρὸς τὸ ἀπεικόνισμα ἐπινενόηται τῷ τοῦ Χριστοῦ λαῷ, καὶ τετίμηται. οὕτω τοῖς ἀνέκαθεν τῶν ἁγιωτάτων ἐκκλησιῶν προεστῶσι τὰ τοιαῦτα παρεδέχθησαν, καὶ οὐδεμιᾶς κωλύσεως ἔτυχον· καί τοι μετὰ τὰς τῶν διωγμῶν παρελεύσεις, καὶ τὴν ἐν παῤῥησίᾳ τῆς πίστεως πανταχοῦ ἐπικράτειαν, καὶ συνόδων οἰκουμενικῶν μέχρι καὶ τῆς ἡμετέρας γενεᾶς γενομένων, καὶ περὶ πλειόνων κεφαλαίων πολὺ τοῦ περὶ τῶν εἰκόνων λόγου καταδεεστέρων κανόνας ἐκθεμένων· οὓς οὐκ ἦν εἰκὸς ἀνεξέταστον περὶ τούτου καὶ συγκεχωρημένον καταλιπεῖν, εἴπερ κατὰ τὴν τινων ὑπόνοιαν ταῖς περὶ τῶν εἰδώ-

λων μορφαῖς, καὶ ἀπαγορεύσεσι ταῖς φερομέναις ἐν ταῖς θείαις γραφαῖς ἡ παρ' ἡμῖν ἐκ παλαιοῦ κρατήσασα αὕτη συνήθεια συνυπάγεται, καὶ πρὸς τὴν τοῦ Θεοῦ ἀλλοτρίωσιν φέρει. ὁ γὰρ τοῖς ἀποστόλοις συνέσεσθαι εἰπὼν μέχρι τῆς συντελείας τοῦ αἰῶνος, δηλονότι τοῦτο καὶ τοῖς μετ' αὐτοὺς τὴν ἐκκλησίαν αὐτοῦ ἐπισκοποῦσιν ἐπαγγέλλεται. οὐ γὰρ δὴ ἐκείνοις σωματικῶς παραμένειν ἤμελλεν ἕως τῆς τοῦ ἐνεστῶτος αἰῶνος παρελεύσεως. ἔτι μὴν καὶ τοῖς ἐπὶ τῷ ὀνόματι αὐτοῦ δύο ἢ τρισὶ συνηγμένοις συνεῖναι εἰπὼν, οὐκ ἂν τοσαῦτα πλήθη ζήλῳ συνηγμένα τῆς εἰς αὐτὸν εὐσεβείας, ἀμέτοχα τῆς θείας αὐτοῦ ἐπιπνοίας τε καὶ ὁδηγίας κατέλιπε, τοῦ μὴ πρὸς καταρτισμὸν τελειότητος τῆς αὐτοῦ ἐκκλησίας ἰδεῖν, ἣν παραστῆσαι ἑαυτῷ πεπιστεύκαμεν μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤτι τῶν τοιούτων· καί τοι οὐκ ἐν ὀλίγαις ἢ ἀσήμοις τῶν πόλεων τοῦ τοιούτου ἔθους κρατήσαντος, ἀλλὰ σχεδὸν μὲν εἰπεῖν ἐν πάσαις ταῖς χώραις, καὶ ἐν ταῖς περιφανεστέραις καὶ πρωτευούσας τῶν ἐκκλησιῶν. ὅτι δὲ ἀρχαῖόν ἐστι τὰς ἱστορικὰς διηγήσεις τῶν γραφῶν πολλάκις ἐν εἰκόσι τυποῦσθαι, παρίστησι τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ Νύσσης λόγος, εἰς τὸν Αβραὰμ ἔχων τὴν ἐπιγραφὴν, ἐν ᾧ τὴν περὶ τῆς θυσίας τοῦ Ισαὰκ ἱστορίαν ἀνειλῆφθαι ἐν ζωγραφίαις διδάσκει. εἰ δὲ τὰ κατ' ἐκείνους οὕτως, πολλῷ μᾶλλον τὰ τῆς δεσποτικῆς οἰκονομίας θαύματά τε καὶ παθήματα τοιαύτης ἔτυχον ἀναδείξεως, ὥσπερ καὶ τῶν ἁγίων μαρτύρων αἱ ἀθλητικαὶ ἀνδραγαθίαι πρὸς ζῆλον ἀγαθὸν φέρουσαι τοὺς ὁρῶντας· ὅπερ ἐναργῶς γεγονέναι ἀποδείκνυται καὶ ἐπὶ τῆς τοῦ γενναίου καὶ θαυμαστοῦ μάρτυρος τῆς ἀληθείας Αναστασίου ἀθλήσεως. ἀλλ' ἐκεῖνο ἴσως ἂν εἴποι τις, ὅτι εὐλαβεῖσθαι ἡμᾶς ἀναγκαῖον τῆς ἁγίας γραφῆς τὰ παραγγέλματα. οἷον· οὐ ποιήσεις σεαυτῷ εἴδωλον,
Ἐξοδ 5. οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑπωκάτω τῆς γῆς, οὐ ποιήσεις οὐδὲ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς. καὶ πάλιν· οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ Θεοῦ σου ἐπὶ
Δευτ. 5. ματαίῳ. καὶ ἐν τῷ Δευτερονομίῳ· μὴ ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν ὁμοίωμα, καὶ τὰ σὺν αὐτοῖς. ἀλλὰ ταῦτα πάντα φανερὸν ἔχει τὸν νοῦν, τὸ τὴν θείαν φύσιν ἀνείδεόν τε εἶναι καὶ ἀκατάληπτον, καὶ μηδενὶ ὁμοίαν ἡγεῖσθαι τῶν ὁρωμένων, στοχασμοῖς καὶ ὑπονοίαις ἀγομένους πρὸς σωματικὰς ὑπολήψεις. προειπὼν γὰρ, ὅτι ὁμοίωμα οὐκ εἴδετε ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός. ταῦτα προειπὼν, ἐπήγαγεν εὐθύς· μὴ ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν, καὶ τὰ σὺν αὐτοῖς. τοῦτο μὲν ἀναμιμνήσκων τῆς γενομένης τοῦ μόσχου κατασκευῆς, τοῦτο δὲ καὶ ἀσφαλιζόμενος, ὥστε μὴ καὶ αὐτοὺς κατὰ τὴν τῶν Αἰγυπτίων συνήθειαν, ἣν
Δευτ. 5. ἐγίνωσκον, πρὸς τὴν τοιαύτην κατολισθῆσαι ἀσέβειαν, καὶ τὸν θεῖον ἡγεῖσθαι τούτοις ὅμοιον.

τοῦτο γὰρ καὶ ὁ μέγας ἀπόστολος ἐν τῇ πρὸς Αθηναίους δημηγορίᾳ φησί· γένος οὖν ὑπάρ- Πράξ. 1
χοντες τοῦ Θεοῦ οὐκ ὀφείλομεν νομίζειν, χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸν θεῖον εἶναι ὅμοιον. τῆς δὲ αὐτῆς ἐννοίας ἔχεται καὶ τό· οὐ λύψῃ τὸ ὄνο- Ἐξοδ 20
μα κυρίου τοῦ Θεοῦ ἐπὶ ματαίῳ. τουτέστιν, οὐ καλέσεις καὶ ἡγήσῃ Θεὸν, ὅπερ οὐκ ἀληθῶς τούτου ὑπάρχει, ἀλλὰ μάτην ὑπονοίας καὶ ἐπωνυμίας τοιαύτης ἠξίωται. ἀλλ' ἡμῖν, ὡς ὁ μέγας διδάσκει ἀπόστολος, εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ
πάντα· καὶ εἷς κύριος Ιησοῦς Χριστὸς, δι' οὗ τὰ 1. Κορίν.
πάντα· καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα· οὐ φυσικῆς ἑτερότητος διὰ τῆς τῶν προθέσεων ἐναλλαγῆς εἰσαγομένης· μὴ γένοιτο· τὰ γὰρ τρία εἷς Θεὸς μετ' ἀλλήλων νοούμενα, ὡς διδάσκει Γρηγόριος ὁ σοφός. οὐδενὶ οὖν τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἢ τὸ σέβας, ἢ τὴν λατρείαν ὁ λαὸς τοῦ Χριστοῦ μέχρι καὶ σήμερον, πλὴν τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος, προσήγαγε· μὴ γένοιτο. πάντως γὰρ ἅμα τὸ λατρεύειν τοῖς τοιούτοις προστιθεῖσα ἡ θεία γραφὴ, τὸ ἄλλοτριον ἡμῶν καὶ πάντῃ ἀμέτοχον πρὸς τὴν τοιαύτην πλάνην παρίστησιν· πρόδηλος μὲν γὰρ τῆς τῶν εἰδώλων λατρείας ὁ τρόπος. παρ' ἡμῖν δὲ ὥσπερ εἷς θεὸς τὸ προσκυνούμενον, μία τε καὶ ἡ εἰς αὐτὸν πίστις, καὶ ἓν τὸ σωτήριον βάπτισμα· οὕτω μία καὶ ἡ προσαγομένη αὐτῷ λατρεία παρ' ἡμῶν, καθὼς παραδέδοται ἐκ τῶν ἱερῶν ἀποστόλων,
καὶ πεφύλακται· ἥ τε τῆς αἰνέσεως θυσία, ἣν Ἑβρ. 13.
διὰ Χριστοῦ ἀναφέρεσθαι τῷ Θεῷ καὶ πατρὶ ὁ θεῖος ἔφη ἀπόστολος, τουτέστιν ὁ τῶν χειλέων καρπὸς ὁμολογούντων τῷ * ὀνόματι αὐτοῦ. καὶ ἡ * τὸ ὄνομα Μαλαχ.
ἐν τοῖς ζωοποιοῖς μυστηρίοις θειοτάτη παράδοσις, ἣν προεμήνυσε Μαλαχίας ὁ προφήτης ὡς ἐκ προσώπου φήσας τοῦ Θεοῦ· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου, καὶ μέχρι δυσμῶν, δεδόξασται τὸν ὄνομά μου ἐν τοῖς ἔθνεσι, ἐν παντὶ τόπῳ θυμύαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθα- 1. Τιμ. 3
ρά. οὐδεμία τοίνυν συγκατάθεσις ναῷ Θεοῦ, ἤγουν τῇ αὐτοῦ ἐκκλησίᾳ μετὰ εἰδώλων· μὴ γένοιτο. αὕτη μὲν γὰρ στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας ἀποστολικῶς κατωνόμασται· τῶν δὲ εἰδώλων τὰ ὀνόματα ἐξολοθρευθήσεσθαι ἀπὸ Ζαχ. 13
τῆς γῆς ὁ προφήτης Ζαχαρίας βοᾷ· ὅτε πᾶς τόπος τῷ οἴκῳ Δαβὶδ, τουτέστι τῇ ἐκκλησίᾳ Χριστοῦ, οὗ ὁ οἶκός ἐσμεν ἡμεῖς, τῇ παραδοχῇ τῆς πίστεως αὐτοῦ διανοιχθήσεται. τούτοις πάντως προστεθήσεται τά τε ἐν τῇ λεγο- Σοφ. 14.
μένῃ Σολομῶντος σοφία, καὶ τὰ παρὰ τῷ μεγαλοφώνῳ κείμενα Ησαΐᾳ. ἐκεῖ μὲν γὰρ λέ- Ἡσαΐα.
γεται. ἀρχὴ πορνείας ἐπίνοια εἰδώλων· * ἔφεσις * ἐφεύρεσις
δὲ αὐτῶν φθορὰ ζωῆς. οὔτε γὰρ ἦν ἀπ' ἀρχῆς, οὔτε εἰς τὸν αἰῶνα ἔσται. κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς τὸν κόσμον· καὶ διὰ τοῦτο σύντομον αὐτῶν τὸ τέλος ἐπενοήθη· καὶ τὰ ἑξῆς. παρὰ δὲ τῷ προφήτῃ· αἰσχυνθήσονται οἱ πλάσσοντες Θεὸν, καὶ γλύφοντες· καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν, καὶ κωφοὶ ἀπὸ ἀνθρώπων ἐγένοντο, καὶ τὰ σὺν αὐτοῖς, τέκτονος ξυλουργικῆς τέχνης ἐπίνοια, καὶ ξύ-

λων

λων τῆς εἰς ὑπηρεσίαν ἀνθρώποις μεταποίησις εἰς ἀνδρὸς μόρφωσιν, καὶ θείαμβος τῆς ἀνοίας τῆς προσκυνούντων αὐτοῖς. οἷς ἐπιφέρεται· ἴδετε, οὐκ ἐρεῖτε, ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου. ὅπερ τῆς προγεγραμμένης ἀσεβείας ὡς ἀναβεπτικὸν ἐπήγαγον. ἡμεῖς οὖν εἰδότες καὶ πιστεύοντες εἰς τὸν υἱὸν τοῦ Θεοῦ, ὅς ἐστιν ἀλήθεια καὶ δεξιὰ τοῦ πατρός, ἀλλόξιοι τῆς εἰρημένης τοῦ προφήτου δεικνύμεθα κατοχείσεως. καὶ κατὰ τοῦτο δίκαιρως τὸ προφητικὸν ῥῆμα ἐρῶ· τί τὰ ἄχυρα πρὸς τὸν σῖτον; τίς οἰκειότης τῆς ῥιπιζομένης ὑπὸ τῆς πνοῆς τῶν πονηρίας ἀνυποστάτου κουφότητος πρὸς τὸν λαξεύοντα τῇ κτίσει παρὰ τὸν κτίσαντα, πρὸς τὸν τῆς ἀληθοῦς θεογνωσίας ξόφιμον λόγον, τὸν ἐν παντὶ τῷ λαῷ τοῦ Χριστοῦ διεισκόμενον; ἐκεῖνοι μὲν γὰρ, περὶ ὧν ταῦτα ὁ Ἡσαΐας φησὶν, ἐπὶ τὰς κορυφὰς τῆς ὀρέων ἐθυσίαζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον, ὑποκάτω δρυὸς καὶ λεύκης καὶ δενδρου συσκιάζοντος· ὅτι καλὸν σκέπη, ὡς ἕτερός τις προφήτης σύγχρονος τῷ Ἡσαΐᾳ φησίν. ὁ δὲ λαὸς τοῦ Χριστοῦ τῷ βασιλεῖ τῆς αἰώνων ἀφθάρτῳ, ἀοράτῳ μόνῳ σοφῷ Θεῷ προσκυνεῖ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ, τουτέστιν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν ποιούμενος, πᾶσάν τε αἴνεσιν καὶ δοξολογίαν τῇ ζωοποιῷ ξιάδι προσφέρων διηνεκῶς. τὸ δὲ παρὰ τῇ σοφίᾳ διηγορευμένον τῆς εἰδώλων σωτόμον τέλος, ἦγουν ὁ τύπων ἀφανισμὸς, ἵν' τὸ μὴ εἰσαεὶ αὐτὰ διαμεῖναι, οὐκ ἄλλοθεν ἢ ἐκ τῆς ἐπιφανείας γέγονε τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ ἐκκλησία αὐτοῦ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης τῷ αἵματι αὐτοῦ περιποιηθεῖσα, διὰ παντὸς ἐν εὐσεβείᾳ ὁμολογεῖ καὶ δοξάζει. ὧδεν ἦν τῆς ἐν ἐκείνοις γεγραμμένης τῆς εἰδώλων καταγνώσεως ὁ γνήσιος καὶ ἀληθὴς τῆς ξιάδος προσκυνητὴς λαὸς τοῦ Χριστοῦ εἰς ἑαυτὸν ἐπισύρεται, ἐκ τοῦ τῆς ἁγίων ἀνδρῶν εἰκόνας ἔχειν πρὸς ἀνάμνησιν τῆς αὐτῆς ἀρετῆς· ὥσπερ οὐδὲ τῷ μακαρίῳ ἀποστόλῳ Παύλῳ τῷ ἐν σαρκὶ ἀπαγορεύοντι περιτομὴν, καὶ τοῖς κατὰ νόμον διημοῦσθαι βουλομένοις, ἐπιτιμῶντι, τὸ περιτέμνειν τὸν Τιμόθεον, νομικῶς τε περικείρασθαι, καὶ θυσίαν ἐν τῷ ναῷ προσαγαγεῖν, μορφὴν ἐπάγει τινὰ καὶ κατάκρισιν. οὐ γὰρ ἁπλῶς τὰ ἀποτελούμενα σκοπεῖν χρὴ, ἀλλὰ πανταχοῦ ὁ σκοπὸς τῆς πραττόντων δοκιμάζεται· καὶ ἢ αἰτίας ἀφίησι τὸν ποιοῦντα, ἢ τἀναντίον καταδικάζει. εἰ γὰρ μὴ τοῦτο ἀκριβῶς παραφυλάττοιτο, τάχα οὐδὲ αὐτοῦ τοῦ Θεοῦ τὸ πρόσαγμα ἀκατηγόρητον παρὰ τοῖς ἀπίστοις γένοιτο· εἴγε γλυπτὸν, ἢ γῆν χωνευτὸν ἀπαγορεύοντος τοῦ νόμου, τὰ κατασκιάζοντα τὸ ἱλαστήριον ἐπὶ τῆς κιβωτοῦ χερουβὶμ δόξης, ὡς ὁ ἀπόστολος ὀνομάζει, τοιαύτης ὑπῆρχον κατασκευῆς· οἷς καὶ τὴν θείαν ἐποχεῖσθαι δόξαν οὐ μόνον ἐκ τῆς γραφῆς διδασκόμεθα, ἀλλὰ καὶ ὁ μακάριος Ἀθανάσιος τὸ ψαλμικὸν ἑρμηνεύων ῥητὸν, ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, τοιούτῳ περὶ αὐτῆς παραδίδωσιν σημείῳ. καί τοι ἐκείνων τῶν χερουβὶμ τὰ ἀρχέτυπα ἄγνωστα τῇ φύσιν ἀνθρώποις παντάπασιν ὄντα. πνεῦμα γὰρ ὁ πῦρ ὑπάρχουσι, καὶ πάσης σωματικῆς σχηματοθεσίας ἀλλόξια κατὰ φύσεως. τὰ γὰρ περὶ αὐτῆς σωματικώτερον τῆς προφήτης λεγόμενα, συμβολικῶς καὶ ἀνεπιτηδεύτως τῷ σημαινομένῳ τοῦ σημείου ἔχει, ἑτέρως νοεῖσθαι κατὰ τὸν διαγῆ καὶ τοῖς ἀσωμάτοις πρέποντα μὴ δυνάμενα λόγον· καθὸ δὲ εἰπεῖν ἀναγκαῖον, ὅτι ἀδαμῶς Χριστιανοὶ τῆς κατὰ σάρκα προσγενῶν ἢ γνωρίμων καὶ φίλων τὸ εἶδος ἀναγράφοντες σέβουσιν, ἢ τιμῆς τινος ἀξιοῦσιν. ἀλλ' ὑπὲρ δὲ βασιλικῶν προσαγμάτων ὑποκύψαντες ἐξουσίᾳ, τὰ τοιαῦτα ὑπονόησαν, ἅπερ δικαίως ἐγκαλοῦνται ἐκεῖνοι, οἳ φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ εἰς ὁμοίωμα εἰκόνος φθαρτοῦ ἀνθρώπου, ὡς φησιν ὁ ἀπόστολος. ὥστε καὶ ἐκ τούτου δείκνυσθαι τοῦ ξόπου σαφῶς, τὸ πρὸς ἡμᾶς ἀνάρμοστον εἶναι τῷ προκειμένῳ τῆς γραφῆς κατηγορίαν· εἰ μὴ ἂν τὰς περὶ τοῦ θείου δυσεβεῖς ὑπολήψεις πρὸς τὸ σωματικώτερον μεταθέμενοι, ἢ τὰ τῆς θεοπρεπῆς δόξης τε καὶ λαξείας καταλιπόντες, ἢ κατά τι γῆν ὅλως σμικρύνοντες ἐκ τῆς τοιαύτης δεικνύμεθα ὑποθέσεως, καλῶς ἂν εἶχε περιαιρεῖσθαι τὰ ἀπασχολοῦντα ἡμᾶς καὶ ἀφέλκοντα τῆς πρὸς τὸν σὸν καὶ ἀληθινὸν Θεὸν σεβασμιότητος καὶ προσευδρείας. νῦν δὲ τἀναντίον ὁρῶμεν γινόμενον. προσβλέπων γάρ τις μετ' ἐπιστήμης εἰκόνι τινὸς τῆς ἁγίου, ὡς τὸ εἰκὸς, δόξασοι ὁ Θεὸς, λέγει, τὸ ἅγιόν σου ὄνομα προσιδεῖς. ὥστε καὶ δόξα τοῦ ξόπου τούτου πληροῦσθαι τὸ ἐν τῇ ἀρχῇ λεγόμενον παρ' ἡμῶν, ἵνα καὶ δι' ὁρωμένων καὶ δι' ἀοράτων δοξάζηται τὸ πανάγιον ὄνομα τοῦ Χριστοῦ. ἀλλ' οὐδὲ Θεόν τινα τῆς ἁγίων ἀνδρῶν καλεῖν ἀνεχόμεθα. καί τοι τοῦ κυρίως καὶ μόνου ὄντος Θεοῦ τῆς τοιαύτης προσωνυμίας τοῖς βουλομένοις μεταδιδόντος, ὡς ἐν τῇ ἱερᾷ τῆς ψαλμῳδῶν ἀναγέγραπται βίβλῳ. οὔτε πάλιν ὡς ἱκανὸν ἔχειν νομίζοντες θεογνωσίας βεβαίωσιν τὰς τοιαύτας εἰκόνας καταφρονοῦμεν τῆς ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ σωδρομῆς, καὶ τοῦ ἐν αὐταῖς ἡμέρας καὶ νυκτὸς, ψαλμικῶς δὲ μᾶλλον εἰπεῖν, ἑσπέρας καὶ πρωΐ καὶ μεσημβρίας ὑμνεῖν τὸν Θεὸν, καθὼς φησιν ὁ Δαβὶδ, καὶ μάλιστα ἐν τῇ ἡμέρᾳ τῆς θείας μυσταγωγίας καὶ λειτουργίας· ἀλλ' ὡς ἀσφαλῶς ἐπισάμενοι οὐκ ἄλλοθεν ἡμῖν τὴν ἐλπίδα περιγίνεσθαι τῆς σωτηρίας, ἢ ἐκ τῆς πρὸς τὸν μόνον ἀληθινὸν Θεὸν τὸν ἐν ξιάδι προσκυνούμενον εὐσεβοῦς πίστεως καὶ ὁμολογίας, τῆς μὲν ἐν καρδίᾳ συνισαμένης, τῆς δὲ διὰ στόματος προφερομένης· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· διὰ παντὸς τὴν αἴνεσιν αὐτοῦ τοῦ ποιήσαντος ἡμᾶς Θεοῦ ἐν τῷ στόματι ἔχοντες, καὶ τὰς ὑψώσεις αὐτοῦ ἐν τῇ λαρυγγι φέροντες, πᾶς ὁ λαὸς τοῦ Χριστοῦ ἐπὶ τὴν μεταλῆψιν τοῦ παναγίου αὐτοῦ σώματος καὶ αἵματος, δι' ὧν τὴν μνήμην τοῦ θανάτου αὐτοῦ καὶ τῆς ἀναστάσεως κατὰ τὴν αὐτοῦ τελουμένου παράδοσιν,

Ἱερεμ. 23.
Ἡσαΐ. 65.
Ὡσηέ 4.
1. Τιμ. 2.
Ἐβρ. 9.
Ψαλ. 82.
Ψαλ. 54.
Ρωμ. 1.
Ρωμ. 6.
Ψαλ. 149.
Γαλ. 79.

σιν, ἀκορέστῳ ἐπιθυμίᾳ καὶ θεοκινήτῳ σπουδῇ κατεπείγονται μᾶλλον, ἢ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων ἡ ἔλαφος. ἀλλὰ μηδ' ἐκεῖνο σκανδαλιζέτω τινὰς, τὸ ἔμπροσθεν τῶν εἰκόνων τῶν ἁγίων φωταγωγίαν γίνεσθαι καὶ εὐώδη θυμίασιν. συμβολικῶς γὰρ τελεῖσθαι τὰ τοιαῦτα πρὸς τιμὴν ἐκείνων ἐπενοήθη, ὧν μετὰ Χριστοῦ ἡ ἀνάπαυσις, ὧν καὶ ἡ τιμὴ εἰς αὐτὸν ἀναστρέχει· τοῦτο λέγοντος Βασιλείου τοῦ σοφοῦ, ὅτι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν δεσπότην εὐνοίας. σύμβολον μὲν τὰ αἰσθητὰ φῶτα τῆς ἀΰλου καὶ θείας φωτοδοσίας. ἡ δὲ τῶν ἀρωμάτων ἀναθυμίασις τῆς ἀκραιφνοῦς καὶ ὅλης τοῦ ἁγίου πνεύματος περιπνοίας τε καὶ πληρώσεως. καὶ ταῦτα μὲν ὡς πρὸς τὰς ὑφορμώσας ἀντιθέσεις καὶ τὰς ἐκ τῶν γραφῶν δῆθεν προτεινομένας ἀντιλογίας γράψαι συνείδομεν, παρακαλοῦντες τὸ ἀσκανδάλιστον τοῖς λαοῖς καὶ ἀτάραχον παντὶ τρόπῳ μεταδιώκειν ὑμᾶς, ὁπότε καὶ τῶν μικρῶν ἑνὸς μὴ καταφρονεῖν παραγγέλλει ὁ κύριος· ὁμοίως δὲ καὶ τὸ σκανδαλίζειν ἀφόρητον καὶ φοβερὰν τοῖς τοῦτο πράττουσιν ἐπάγει κατάκρισιν. νῦν δὲ πόλεις ὅλαι καὶ τὰ πλήθη τῶν λαῶν οὐκ ἐν ὀλίγῳ περὶ τούτου θορύβῳ τυγχάνουσιν· οὗ ἡμεῖς μὴ αἴτιοι φανῆναι διὰ πάσης ποιησώμεθα σπουδῆς. ὑπὲρ ἅπαντα δὲ προνοητέον ἡμῖν, ὅπερ μου κατασείει τὴν διάνοιαν, τοῦ μὴ ἀφορμὴν ἐπάρσεως ἐντεῦθεν λαβεῖν τοὺς κατὰ τῆς πίστεως ἡμῶν, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ· ὥστε καὶ λέγειν αὐτοὺς, ὅτι μέχρι τοῦ νῦν οἱ Χριστιανοὶ ἐπλανῶντο. εἰ μὴ γὰρ εἰδωλολατρείαν ἤδεισαν τὸ τοιοῦτον, οὐκ ἂν ἀρτίως τὴν τῶν χειροποιήτων ἀποβολὴν ἐποιήσαντο. ὅπερ πόσην ὕβριν καὶ καθαίρεσιν προστρίβεται τῇ εἰς Χριστὸν πίστει, πᾶς τις ὁμολογήσειε. πάντως γὰρ καὶ τοῦτο κατὰ τὸ εἰκὸς λέγειν αὐτοῖς ἔσται, ὅτι τοῖς ἅπαξ πλανωμένοις οὐκ ἔστιν ὅλως πείθεσθαι, ὡς τῆς ἀληθείας οὐκ οὔσης παρ' αὐτοῖς. τί δὲ, ὅτι καὶ αὐτοὶ οἱ τὰ πάντα εὐσεβέστατοι καὶ φιλόχριστοι ἡμῶν βασιλεῖς στήλην ἀληθῶς τῆς οἰκείας φιλοθείας, τὴν πρὸ τῶν βασιλείων λέγω εἰκόνα ἐγείραντες, ἐν ᾗ τῶν ἀποστόλων καὶ προφητῶν ἀναθέμενοι τὰς ἰδέας, καὶ τὰς τούτων περὶ τοῦ κυρίου ἐγγράψαντες φωνὰς, τῆς ἑαυτῶν πεποιθήσεως τὸ καύχημα τὸν σωτήριον σταυρὸν ἀνεκήρυξαν; κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις τὸ, εἰς εἰκόνας διαφόρους τὸν Θεὸν θαυματουργῆσαι, περὶ ὧν πολλοὶ πολλὰ ἱστορεῖν βούλονται· οἷον ἀῤῥωστούντων θεραπείας, ὧν καὶ ἡμεῖς αὐτοὶ ἐν πείρᾳ γεγόναμεν. περιεργιῶν ἀναλύσεις, αἱ καθ' ὕπνους πολλάκις τῶν γεγραμμένων ἐπιφάνειαι· τὸ δὲ πάντων μάλιστα ἐμφανέστατον, μηδεμιᾶς ἀντιῤῥήσεως, ἢ ἀμφιβολίας τινὸς ἀνεχόμενον, ἡ ἐν Σωζοπόλει τῆς Πισιδίας τὸ πρὶν ὑπάρχουσα εἰκὼν τῆς παναχράντου θεοτόκου, ἐκ τῆς γεγραμμένης παλάμης αὐτῆς τὴν τοῦ μύρου βλύσιν προχέουσα· οὗ τινος θαύματος μάρτυρες πολλοί. εἰ δὲ καὶ νῦν οὐχ ὁρᾶται ἡ τοιαύτη τῆς εἰκόνος γινομένη θαυματουργία, οὐ παρὰ τοῦτο τὰ πρώην ἀπιστηθήσεται· ἵνα μὴ ὁμοίως ἄπιστα κρίνωνται τὰ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἱστορούμενα ἐν ἀρχῇ τοῦ κηρύγματος σημεῖα, καὶ χαρίσματα διάφορα τοῦ πνεύματος, τανῦν οὐδαμῶς ἐνεργούμενα· τοῦ φιλανθρώπου Θεοῦ διὰ τῆς τοιαύτης συγκαταβάσεως τοὺς ἀσθενέστερον διακειμένους βεβαιοτέρους εἰς τὴν περὶ αὐτοῦ πίστιν ἐργαζομένου, καὶ ἅμα τὰ τῆς οἰκείας δυνάμεως καὶ διὰ τούτων δεικνύοντος, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων ἐγίνετο. ποτὲ μὲν γὰρ ἡ τούτων σκιὰ, ποτὲ δὲ τὸ τῶν ἱματίων ἀπηρτημένον σουδάριον τὰς ἰάσεις παρεῖχον. ὥσπερ οὖν ἐν ἐκείνοις οὐ παντὸς σώματος σκιὰ, ἀλλὰ τοῦ Πέτρου μόνου τὴν θεραπείαν ἐδίδου τοῖς κάμνουσιν· ὡσαύτως καὶ τὰ σουδάρια οὐ παντὸς ἱματίου, ἀλλὰ τῶν τοῦ Παύλου καὶ μόνων ἰῶντο τοὺς ἀσθενοῦντας, εἰς πληροφορίαν πίστεως τοῦ ὑπ' αὐτῶν κηρυττομένου Θεοῦ, ὡσαύτως τὴν οἰκείαν χάριν καὶ διὰ τῶν ἀψύχων ἀποδεικνύντος· οὕτως καὶ ἐπὶ τῶν εἰκόνων πολλάκις ηὐδόκησε γίνεσθαι, οὐκ ἐπὶ πάσης εἰκόνος ἢ γραφῆς τοῦ τοιούτου εἴδους τῆς εὐεργεσίας ἐν τοῖς πιστεύουσι γινομένου, ἀλλ' ἐν μόναις ταῖς τῶν ἁγίων, ἢ καὶ αὐτοῦ τοῦ κυρίου· ὥστε μὴ ἐκ ταυτομάτου ὑπονοεῖν τὰς ἰάσεις συμβαίνειν, ἀλλ' ἐκ μόνης τῆς τοῦ Θεοῦ ἡμῶν χάριτος· ἄξιον δὲ, ὡς οἶμαι, μηδὲ ἐκεῖνο ἀπαρασήμαντον καταλιπεῖν, ὅπερ ὁ Παμφίλου Εὐσέβιος ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ τέθεικεν ἱστορία· ὅτι ἐν Πανεάδι τῇ πόλει, ἣν τινα Καισάρειαν τὴν Φιλίππου τὸ εὐαγγέλιον ὀνομάζει, λέγεται ὁ οἶκος εἶναι τῆς αἱμοῤῥοούσης γυναικὸς, ἥτις τῷ κρασπέδῳ τοῦ σωτῆρος ἰάθη, ὡς γέγραπται ἐν τοῖς εὐαγγελίοις. οὗ τινος οἴκου πρὸς ταῖς πύλαις ἀνδριάντα φησὶν ἐκ χαλκοῦ πεποιημένον ἑστάναι, εἰκόνα φέροντα τοῦ κυρίου· ἀντικρὺ δὲ ἐκτύπωμα γυναικὸς ἐπὶ γόνυ κεκλιμένης ὑπάρχειν τεταμέναις ἐπὶ τὸ πρόσθεν ταῖς χερσὶν, ἱκετευούσῃ ἐοικὸς, εἰς ἀνάμνησιν τοῦ περὶ αὐτὴν θαύματος τούτου αὐτῇ σπουδασθέντος. καὶ ὡς πρὸς τοῖς ποσὶ τοῦ εἰς ὄνομα τοῦ κυρίου γενομένου ἀνδριάντος βοτάνη τις ἀναφύεται ξένη τὸ εἶδος, καὶ οὐ γνωρίμη, ἥτις παντοίων νοσημάτων ἰατρεῖον γίνεται· ὅπερ καὶ αὐτοψεὶ παραλαβεῖν ὁ αὐτὸς Εὐσέβιος ἔφη· προδήλως τοῦ σωτῆρος τὰ τῆς οἰκείας χάριτος ἐν συγκαταβάσει ποιουμένου πρὸς τὴν πίστιν τοῦ γυναίου, δεικνύοντος ὅπερ ἡμῖν ἀνωτέρω δεδήλωται, ὅτι οὐχ ἁπλῶς τὰ ἀποτελούμενα σκοπεῖται, ἀλλὰ ὁ σκοπὸς τοῦ πράττοντος δοκιμάζεται. λέγει δὲ ἐν ταύτῳ ὁ αὐτὸς Εὐσέβιος, ὅτι καὶ τῶν ἀποστόλων τὰς εἰκόνας Πέτρου καὶ Παύλου, καὶ αὐτοῦ δὲ τοῦ Χριστοῦ, διὰ χρωμάτων ἐν γραφαῖς σωζομένας ἱστόρηκεν. οὐ τοῦτο δὲ λέγομεν ἡμεῖς, ὥστε τὰς ἐκ χαλκοῦ στήλας ἐπιτηδεύειν ἡμᾶς, ἀλλ' ἢ μόνον δηλῶσαι, ὅτι καὶ τὸ κατ' ἐθνικὴν συνήθειαν μὴ ἀποποιησαμένου τοῦ κυρίου, ἀλλ' εὐδοκήσαντος ἐν αὐτῷ ἐπιδείκνυσθαι ἐφ' ἱκανὸν χρόνον τῆς αὐτοῦ ἀγαθότητος τὴν θαυματουργίαν, τὸ παρ' ἡμῖν εὐαγέστερόν πως κρατῆσαν ἔθος κακίζειν οὐχ ὅσιον ἐν

Ὁμιλ. εἰς τοὺς τεσσαράκ. μάρτ.

Ματθ. 18.

Πράξ. 5.

Ματθ. 9

ἐν τούτοις μὲν οὖν ὁ ἡμέτερος πληρούσθω τῆς ὑπομνήσεως λόγος. ὁ δὲ τῆς ἀληθείας Θεὸς ὁ ὁδηγήσας ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ πᾶσαν διχονοίας ἀφορμὴν καὶ ὑπόθεσιν ταραχῆς τῶν ἡμετέρων ἀπελαύνων ψυχῶν, ὁμοθυμαδὸν ἐν ἑνὶ πνεύματι δοξάζοντας αὐτὸν τῆς ἐπουρανίου βασιλείας καταξιώσῃ.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐβόησαν οἱ φύλακες τῆς καθολικῆς ἐκκλησίας ἅγιοι πατέρες ἡμῶν, οἱ διὰ παντὸς ὑπεράνω τῶν νοητῶν αὐτῆς ἀγρυπνοῦντες ἐπάλξεων. πᾶσαν παράταξιν καὶ μάταιον λόγον ἀπώσαντο· καὶ ταύτην ἀσπάρακτον τηρήσαντες, παντοίαν φάλαγγα τῶν ἐναντίων ἐξεδίωξαν, καὶ ἅμα ταῖς παλαιαῖς αἱρέσεσι καὶ τὴν πλάνην τῆς καινῆς φαυλότητος τῶν Χριστιανοκατηγόρων ἐξεκέντησαν τῇ μαχαίρᾳ τοῦ πνεύματος. εἴπωμεν οὖν ἅπαντες μιᾷ φωνῇ μετὰ τοῦ ἡμῶν διδασκάλου Παύλου τοῦ θείου ἀποστόλου. Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. αὐτῷ πρέπει δόξα, τιμὴ καὶ
Ἐφεσ. 2. προσκύνησις σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Αμήν.

Ἡ ἁγία σύνοδος ἐξεβόησε· τῶν θεοφθόγγων πατέρων αἱ διδασκαλίαι ἡμᾶς διωρθώσαντο. ἐξ αὐτῶν ἀρυσάμενοι τὴν ἀλήθειαν ἐποτίσθημεν. αὐτοῖς κατακολουθήσαντες, τὸ ψεῦδος ἐδιώξαμεν. παρ' αὐτῶν διδαχθέντες, τὰς σεπτὰς εἰκόνας ἀσπαζόμεθα. πατέρες κηρύττουσι, τέκνα ὑπακοῆς ἐσμεν, καὶ ἐγκαυχώμεθα ἐν προσώπῳ μητρὸς τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας. πιστεύοντες εἰς ἕνα Θεὸν τὸν ἐν τριάδι ἀνυμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα. οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν. οἱ μὴ οὕτως φρονοῦντες πόρρω τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν. ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν. ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν. ἡμεῖς τοὺς προστιθέντας τί, ἢ ἀφαιροῦντας ἐκ τῆς καθολικῆς ἐκκλησίας, ἀναθεματίζομεν. ἡμεῖς τὴν ἐπείσακτον καινοτομίαν τῶν Χριστιανοκατηγόρων ἀναθεματίζομεν. ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀσπαζόμεθα. ἡμεῖς τοὺς μὴ οὕτως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν. τοῖς Χριστιανοκατηγόροις, ἤτοι τοῖς εἰκονοκλάσταις ἀνάθεμα. τοῖς ἐκλαμβάνουσι τὰς τῆς θείας γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς μὴ ἀσπαζομένοις τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἀνάθεμα. τοῖς ἀποκαλοῦσι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας εἴδωλα, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς οἱ Χριστιανοὶ ταῖς εἰκόσι προσέρχονται, ἀνάθεμα. τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλος ἐῤῥύσατο ἡμᾶς ἐκ τῶν εἰδώλων, ἀνάθεμα. τοῖς τολμῶσι λέγειν τὴν καθολικὴν ἐκκλησίαν εἴδωλάποτε δεδέχθαι, ἀνάθεμα.

Καὶ μετὰ τὸ ἐκφωνηθῆναι τοὺς προαναφερομένους ἀναθεματισμοὺς διὰ χάρτου, ἡ ἁγία σύνοδος, ἀναγνόντος Εὐθυμίου ἐπισκόπου Σάρδεων, ἐξεφώνησε τὰ ὑποτεταγμένα.

Τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ ἐκπληροῦντες θείαν πρόσταξιν οἱ ἅγιοι πατέρες ἡμῶν, τὸν παρ' αὐτοῦ δοθέντα αὐτοῖς λύχνον τῆς θείας γνώσεως οὐχ ὑπὸ τὸν μόδιον ἔκρυψαν, ἀλλ' ἐπὶ τὴν λυχνίαν ἀνέθηκαν τῆς ὠ- Ματθ. 5.
φελιμωτάτης διδασκαλίας· ἵνα λάμψῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, τουτέστι τοῖς ἐν τῇ καθολικῇ Μάρκ. 4.
ἐκκλησίᾳ γεννηθεῖσι, διὰ τὸ μήποτε προσκόψαι Λουκ. 8.
τινὰ πρὸς λίθον τὸν πόδα τῆς αἱρετικῆς κακοδοξίας τῶν εὐσεβῶς ὁμολογούντων τὸν κύριον· αὐτοὶ γὰρ πᾶσαν πλάνην αἱρετικῶν ἐξωθοῦσι, καὶ τὸ σεσηπὸς μέλος, εἴ πως ἀνίατα νοσεῖ, ἐκκόπτουσι. καὶ τὸ πτύον κατέχοντες, τὴν ἅλωνα καθαίρουσι. καὶ τὸν μὲν σῖτον, ἤτοι τὸν τρόφιμον λόγον, τὸν στηρίζοντα καρδίαν ἀνθρώπου ἀποκλείουσιν ἐν τῇ ἀποθήκῃ τῆς καθολικῆς ἐκκλησίας, τὸ δὲ ἄχυρον τῆς αἱρετικῆς κακοδοξίας ἔξω ῥίψαντες, κατακαίουσι πυρὶ ἀσβέστῳ. διὸ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος, ἡ εὐδοκίᾳ θεοῦ καὶ ἐπινεύσει τῶν εὐσεβῶν καὶ πιστοτάτων ἡμῶν βασιλέων, Εἰρήνης τῆς νέας Ελένης, καὶ νέου Κωνσταντίνου τοῦ ταύτης θεοφυλάκτου βλαστοῦ συναθροισθεῖσα ἐν ταύτῃ τῇ Νικαέων λαμπρᾷ μητροπόλει τὸ δεύτερον, διὰ τῆς ἀναγνώσεως κατανοήσασα τῶν ἀοιδίμων καὶ μακαρίων πατέρων ἡμῶν τὰ δόγματα, αὐτὸν μὲν τὸν Θεὸν δοξάζει, παρ' οὗ ἐδόθη ἐκοίνοις λόγος πρὸς ἡμετέραν διδασκαλίαν, καὶ πρὸς καταρτισμὸν τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. * τοὺς δὲ μὴ τὰ ἐκείνων φρονοῦντας, ἀλλὰ συσκιάσαι μηχανωμένους τὴν ὄντως ἀλήθειαν διὰ τῆς αὐτῶν καινοτομίας, τὴν ψαλμικὴν κατεπᾴδουσι φωνήν· ὅσα ἐπονηρεύσαντο οἱ ἐχθροὶ ἐν τῷ ἁγίῳ σου, καὶ ἐνεκαυχήσαντο λέγοντες, ὅτι οὐκ ἔστι διδάσκαλος, καὶ ἡμᾶς οὐγνώσεται δολοῦντας τὸν λόγον τῆς ἀληθείας. ἡμεῖς δὲ κατὰ πάντα τῶν αὐτῶν θεοφόρων πατέρων ἡμῶν τὰ δόγματα καὶ * πράγματα κρατοῦντες, κηρύσσομεν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, μηδὲν προστιθέντες, μηδὲν ἀφαιροῦντες τῶν ἐξ αὐτῶν παραδοθέντων ἡμῖν· ἀλλὰ τούτοις βεβαιούμεθα, τούτοις στηριζόμεθα. οὕτως ὁμολογοῦμεν, οὕτως διδάσκομεν, καθὼς αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι ὅρισαν καὶ ἐβεβαίωσαν. καὶ πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ποιητὴν ὁρατῶν τε καὶ ἀοράτων· καὶ εἰς ἕνα κύριον Ιησοῦν Χριστὸν τὸν μονογενῆ υἱὸν καὶ λόγον αὐτοῦ, δι' οὗ τὰ πάντα γέγονε· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιὸν, ὁμούσιόν τε καὶ συναΐδιον αὐτῷ τε τῷ πατρὶ καὶ τῷ συνανάρχῳ αὐτοῦ υἱῷ. τριάδα ἄκτιστον, ἀμέριστον, ἀκατάληπτον, ἀπερίγραπτον· τὴν αὐτὴν ὅλην καὶ μόνην λατρευτήν τε καὶ προσκυνητὴν καὶ σεβάσμιον. μίαν θεότητα, μίαν κυριότητα, μίαν ἐξουσίαν, μίαν βασιλείαν καὶ δύναμιν, ἥτις ταῖς ὑποστάσεσι διαιρεῖται ἀδιαιρέτως. καὶ τῇ οὐσίᾳ συνάπτεται διηρημένως. ὁμολογοῦμεν δὲ καὶ τὸν ἕνα τῆς αὐτῆς ἁγίας καὶ ὁμουσίου τριάδος, τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν

* ἴσ. τοῖς δὲ μὴ τὰ ἐκ. φρονοῦσιν, &

Ψαλ. 78.

* L. προσταγματα.

σωτηρίαν σαρκωθέντα, καὶ ἀνανθρωπήσαντα, καὶ σώσαντα διὰ τῆς σωτηριώδους αὐτοῦ οἰκονομίας, τοῦ τε πάθους καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, τὸ καθ' ἡμῶν, καὶ ἀπαλλάξαντα ἡμᾶς τῆς πλάνης τῆς εἰδώλων· καὶ ὡς φησιν ὁ προφήτης· οὐ πρέσβυς, οὐκ ἄγγελος, Ησαΐ. 33. ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς. ᾧ καὶ ἡμεῖς ἐπόμενοι, καὶ τὴν τούτου φωνὴν οἰκειούμενοι, μεγαλοφώνως βοῶμεν. οὐ σύνοδος, οὐ βασιλέων κράτος, οὐ σωματοσίαι θεοσεγεῖς τῆς τῶν εἰδώλων πλάνης τὴν ἐκκλησίαν ἠλευθέρωσαν, καθὼς ἐληρώθησε τὸ Ἰουδαϊκὸν συνέδριον, τὸ κατὰ τῶν σεπτῶν εἰκόνων φρυαχθέν· ἀλλ' αὐτὸς ὁ τῆς δόξης κύριος ἀνανθρωπήσας Θεὸς καὶ ἔσωσε, καὶ τῆς εἰδωλικῆς ἀπάτης ἀπήλλαξεν. αὐτῷ τοίνυν δόξα, αὐτῷ χάρις, αὐτῷ εὐχαριστία, αὐτῷ αἶνος, αὐτῷ μεγαλοπρέπεια, αὐτῷ ἡ ἀπολύτρωσις, αὐτῷ ἡ σωτηρία τῷ μόνου σώζειν εἰς τὸ παντελὲς δυναμένῳ, καὶ οὐχ ἑτέρων τῶν χαμαὶ ἐρχομένων ἀνθρώπων. αὐτὸς τὰς εἰς ἡμᾶς, ἐφ' οὓς τὰ τέλη τῶν αἰώνων κατέλυτησαν, διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας προκατηγγελθείσας διὰ τῶν προφητῶν αὐτοῦ ῥήσεις ἐπεραίωσεν, ἐνοικήσας ἐν ἡμῖν, καὶ ἐμπεριπατήσας, καὶ ἐξαλείψας τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς Γῆς, καθὼς ἤδη γέγραπται. ἀσπαζόμεθα δὲ καὶ τὰς κυριακὰς καὶ ἀποστολικὰς, καὶ προφητικὰς φωνὰς, δι' ὧν τιμᾶν καὶ μεγαλύνειν ἐδιδάχθημεν, πρῶτα μὲν τὸν κύριον καὶ ἀληθῶς θεοτόκον, τὸν ἀνωτέραν πασῶν τῶν οὐρανίων δυνάμεων· τάς τε ἁγίας καὶ ἀγγελικὰς δυνάμεις, τούς τε μακαρίους καὶ πανευφήμους ἀποστόλους, προφήτας τε τοὺς ἐνδόξους, καὶ τοὺς καλλινίκους καὶ ὑπὲρ Χριστοῦ ἀθλήσαντας μάρτυρας, καὶ τοὺς ἁγίους καὶ θεοφόρους διδασκάλους, καὶ πάντας τοὺς ὁσίους ἄνδρας· καὶ ἐξαιτεῖσθαι τὰς τούτων πρεσβείας, ὡς δυναμένας ἡμᾶς οἰκειῶσαι τῷ παμβασιλεῖ τῶν ὅλων Θεῷ, φυλάττοντας δηλαδὴ τὰς αὐτοῦ ἐντολὰς, καὶ εὐαρέστως βιοῦν προαιρουμένους. ἔτι γε μὴν ἀσπαζόμεθα καὶ τὸν τύπον τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ τὰ ἅγια λείψανα τῶν ἁγίων, καὶ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἀποδεχόμεθα, καὶ ἀσπαζόμεθα, καὶ περιπτυσσόμεθα κατὰ τὴν ἀρχῆθεν παράδοσιν τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας, ἔτιγε τῶν ἁγίων πατέρων ἡμῶν, τῶν ταύτας καὶ δεξαμένων καὶ κυρωσάντων εἶναι ἐν πάσαις ταῖς ἁγιωτάταις τοῦ Θεοῦ ἐκκλησίαις, καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. ταύτας δὲ τὰς τιμίας καὶ σεπτὰς εἰκόνας, καθὼς προείρηται, τιμῶμεν καὶ ἀσπαζόμεθα, καὶ τιμητικῶς προσκυνοῦμεν· τυπικῶς τὴν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνανθρωπήσεως εἰκόνα, καὶ τῆς ἀχράντου δεσποίνης ἡμῶν καὶ παναγίας θεοτόκου, ἐξ ἧς αὐτὸς ηὐδόκησε σαρκωθῆναι, καὶ σῶσαι, καὶ ἀπαλλάξαι ἡμᾶς πάσης δυσσεβοῦς εἰδωλομανίας. τῶν τε ἁγίων καὶ ἀσωμάτων ἀγγέλων· ὡς ἂν ἄνθρωποι γὰρ τοῖς δικαίοις ἐνεφανίσθησαν. ὁμοίως δὲ καὶ τῶν θείων καὶ πανευφήμων ἀποστόλων, τῶν θεηγόρων προφητῶν, καὶ ἀθλοφόρων μαρτύρων, καὶ ὁσίων ἀνδρῶν τὰς μορφὰς καὶ τὰ εἰκονίσματα· ὡς διὰ τῆς αὐτῶν ἀναζωγραφήσεως εἰς ὑπόμνησιν καὶ μνήμην ἀναγεσθαι δύνασθαι πρὸς τὸ πρωτότυπον, καὶ ἐν μεθέξει γίνεσθαί τινος ἁγιασμοῦ. ταῦτα οὕτω φρονεῖν ἐδιδάχθημεν, καὶ ἐβεβαιώθημεν παράτε τῶν ἁγίων πατέρων ἡμῶν, καὶ τῆς αὐτῶν θεοπαραδότου διδασκαλίας. καὶ χάρις τῷ Θεῷ διὰ τὴν ἀνεκδιήγητον αὐτοῦ δωρεὰν, ὅτι οὐκ εἰς τέλος ἡμᾶς ἐγκατέλιπεν, οὐδ' ἀφῆκε τὴν ῥάβδον τῶν Ψαλ. 124. ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ἵνα μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν, εἴτουν τὰς πρακτικὰς αὐτῶν ἐνεργείας· ἀλλ' ἀγαθύναντι τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ, καθὼς ὁ ὑμνογράφος Δαβὶδ ἐμελῴδησε· μεθ' οὗ καὶ τὸ ἐξῆς συνυποψάλλομεν. τοὺς τὸ λοιπὸν ἐκκλίναντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν· καὶ εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

Ἑρμηνεία ὑπογραφῆς Ῥωμαίων.

ΕΝ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Πέτρος ἐλέῳ Θεοῦ ἀρχιπρεσβύτερος τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ τὸν τόπον ἀναπληρῶν Ἀδριανοῦ τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, πάντως προσδεξάμενος τοὺς ἐπιστρέψαντας ἐκ τῆς δυσσεβοῦς αἱρέσεως τῶν ἀθετούντων τὰς σεπτὰς εἰκόνας, κατὰ τὴν διδασκαλίαν καὶ παράδοσιν τῶν ἁγίων πατέρων ἡμῶν, πᾶσι τοῖς προαναφερομένοις ἀρεσθεὶς καὶ στοιχήσας, ὑπέγραψα.

Πέτρος ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου Σάββα, καὶ τὸν τόπον ἀναπληρῶν Ἀδριανοῦ τοῦ ἁγιωτάτου καὶ ἀποστολικοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, πάντως προσδεξάμενος τοὺς ἐπιστρέψαντας ἐκ τῆς δυσσεβοῦς αἱρέσεως τῶν ἀθετούντων τὰς σεπτὰς εἰκόνας, κατὰ τὴν διδασκαλίαν καὶ παράδοσιν τῶν ἁγίων πατέρων ἡμῶν, πᾶσι τοῖς προαναφερομένοις ἀρεσθεὶς καὶ στοιχήσας, ὑπέγραψα.

Γαράσιος ἐλέῳ θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, βεβαιούμενος οὕτως ἔχειν τὴν ἀλήθειαν, ἐπὶ πᾶσι τοῖς προαναφερομένοις ἀσμενίσας, τούτοις ὑπέγραψα.

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβύτερος καὶ σακελλαρικὸς σύγκελλος, τὸν τόπον ἐπέχων τῶν ἁγίων ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, πᾶσι τοῖς ἀναφερομένοις ἐν τῷδε τῷ ὕφει συνετέθημι, καὶ στοιχήσας ὑπέγραψα. χειρὶ ἐμῇ.

Θωμᾶς ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ ἡγούμενος μονῆς τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀρσενίου τῆς διακειμένης ἐν Αἰγύπτῳ, τὸν τόπον ἐπέχων τῶν τρισῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, πᾶσι τοῖς προαναφερομένοις τῷδε

δε τῷ ὕφει σωτιθημι, καὶ στοιχήσας ὑπέγραψα.

Αγάπιος ἀνάξι⊙ ἐπίσκ. Καισαρείας Καππαδοκίας, ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγρ.

Ιωάννης ἐπίσκοπ⊙ Εφέσου ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγραψα.

Κωνσαντῖν⊙ ἐπίσκοπος Κωνσαντίας τῆς Κυπρίων Νήσου κατὰ τὴν προαναφερομένην καὶ ὑφ' ἡμῶν ὁμολογηθεῖσαν ὀρθόδοξον πίστιν δέχομαι καὶ ἀσπάζομαι τὰς ἱερὰς καὶ σεπτὰς εἰκόνας, καὶ τιμητικῶς προσκυνῶν ὑπέγραψα χειρὶ ἐμῇ.

Θεόφιλ⊙ ἀνάξιος ἐπίσκ. Θεσσαλονίκης ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγρ.

Βασίλει⊙ ἀνάξ. ἐπίσκ. Αγκύρας τῆς Γαλατίας ἀσμένως πάντα τὰ προτεγρ. δεξάμενος ὑπέγρ.

Λέων ἐπίσκοπος Ηρακλείας Θράκης ὁμοίως ὑπέγρ.

Νικόλαος ἀνάξι⊙ ἐπίσκοπ⊙ Κυζίκου ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγρ.

Εὐθύμι⊙ ἀνάξι⊙ ἐπίσκ. Σάρδεων ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγ.

Πέτ⊙ ἀνάξι⊙ ἐπίσκ. Νικομηδείας ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγ.

Ηλίας ἁμαρτωλὸς, ἐπίσκ. τῆς Κρητικῆς νήσου, ἀσμένως πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγ.

Τπάτι⊙ ἀνάξ. ἐπίσκ. Νικαίας τῆς Βιθυνῶν ἐπαρχίας ἀσμ. πάντα τὰ προτεγρ. δεξάμ. ὑπέγ.

Σταυράκι⊙ ἁμαρτωλὸς ἐπίσκ. Χηλκηδόνος, ἀσμένως πάντα τὰ προτεγρ. δεξάμεν⊙, ὑπέγρ.

Λέων χάριτι Χριστοῦ πρεσβύτερ⊙ τῆς ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς μεγάλης ἐκκλησίας, καὶ ἄρχων τῆς μοναστηρίων, καὶ ἔκδικος τῆς ἁγιωτάτης τοῦ Θεοῦ ἐκκλησίας, ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγραψα.

Επιφάνι⊙ ἁμαρτωλὸς, διάκονος τῆς ἁγιωτάτης ἐκκλησίας Κατάνης τῆς Σικελῶν ἐπαρχίας, καὶ τοποτηρητὴς Θωμᾶ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Σαρδινίας· ἔπεσθαι πως φιλεῖ τὰ λογικὰ θρέμματα ταῖς τῆς ποιμένων φωναῖς, καθὼς φησιν ὁ κύρι⊙, ὅτι τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει. ὑκοῦν κἀγὼ ταῖς τῆς ποιμένων ὀρθαῖς φωναῖς ἑπόμεν⊙, κατ' ἴχνος αὐτῆς βαδίζειν προαιρῶμαι· οἷς καὶ στοιχῶν ἐν πάσαις ταῖς ἀναγνωσθείσαις αὐτῆς χρήσεσιν ὑπέγ.

Νικηφόρ⊙ ἀνάξι⊙ ἐπίσκοπ⊙ τῆς Δυρραχιανῶν χώρας τῆς Ιλλυρικῶν ἐπαρχίας, ἀσμένως πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγ.

Νικόλαος μοναχὸς ἡγούμενος, καὶ ἐκ προσώπου τοῦ θρόνου Τυάνων, ἀσμένως πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγ.

Δανιὴλ ἁμαρτωλὸς, ἐπίσκ. Αμασείας ἀσμένως πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγραψα.

Γεώργιος ἀνάξιος πρεσβύτερος, καὶ ἐκ προσώπου τοῦ θρόνου Ναζιανζοῦ, ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγ.

* Κώνσας ἐπίσκοπ⊙ Γαγγρῶν, ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγραψα.

Νικήτας ἁμαρτωλὸς ἐπίσκ. Κλαυδιουπόλεως, ἀσμένως πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγρα.

Γρηγόριος ἐλάχιστος ἐπίσκ. Νεοκαισαρείας ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγ.

Γρηγόριος ἀνάξιος ἐπίσκ. Πισινοῦντος ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγρ.

Θεόδωρος ἀνάξι⊙ ἐπίσκ. Μύρων τῆς Λυκίας ἀσμ. πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγ.

Εὐσάθιος ἀνάξ. ἐπίσκ. Λαοδικείας τῆς Φρυγῶν ἐπαρχίας ἀσμ. πάντα τὰ προτεγρ. δεξάμεν⊙, ὑπέγ.

Μιχαὴλ ἀνάξιος ἐπίσκοπ⊙ Συνάδων ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμεν⊙, ὑπέγρ.

Γεώργιος ἀναξ. ἐπίσκ. Αντιοχείας Πισιδίας ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγ.

Θεοφύλακτος ἀνάξ. διάκον⊙, ἔξαρχος, καὶ ἐκ προσώπου τῆς λαμπρᾶς μητροπόλεως Καισαρείας, ἀσμ. πάντα τὰ προτεγραμμ. δεξάμενος, ὑπέγ.

Λέων ἀνάξιος ἐπίσκοπος τοῦ Ικονίου ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγ.

Ανασάσιος ἐπίσκοπος Νικοπόλεως παλαιᾶς Ηπείρου ἀσμ. πάντα τὰ προτεγρ. δεξάμενος, ὑπέγρ.

Κωνσαντῖνος ἀνάξιος ἐπίσκοπος Πέργης ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγ.

Γρηγόριος ἁμαρτωλὸς, πρεσβύτερος, καὶ ἐκ προσώπου τοῦ θρόνου Τραϊανουπόλεως τῆς Θρᾳκῶν χώρας ἀσμ. πάντα τὰ προτεγρ. δεξάμενος, ὑπέγ.

Λέων ἀνάξιος ἐπίσκοπος Ρόδου ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγραψα.

Χρισοφόρος ἀνάξιος ἐπίσκ. τοῦ Φάσιδος, ἤτοι Τραπεζοῦντος, ἀσμ. πάντα τὰ προτεγρ. δεξάμενος ὑπέγ.

Μανουὴλ ἀνάξ. ἐπίσκ. Αδριανουπόλεως, ἀσμένως πάντα τὰ προτεγραμμένα δεξάμενος, ὑπέγ.

Νικόλαος ἀνάξιος ἐπίσκοπος Ιεραπόλεως τῆς Φρυ-

Φρυγῶν ἐπαρχίας, ἀσμβύως πάντα τὰ προγεγραμμβύα δεξάμβυος, ὑπέγ.

Βασίλειος ἀνάξιος ἐπίσκοπος πόλεως τῆ Συλαίᾳ, ἀσμενῶς πάντα τὰ προγεγρ. δεξάμενος, ὑπέγ.

Γαλάτων ἐλάχιστος πρεσβύτερος, καὶ ἐκ προσώπυ ἀρχιεπισκόπου Σικελίας, ἀσμβύως πάντα τὰ προγεγραμμβύα δεξάμβυος, ὑπέγραψα.

Θεοφύλακτος ἀνάξ. ἐπίσκ. Εὐχαΐτων, ἀσμβύως πάντα τὰ προγεγραμμενα δεξάμβυος, ὑπέγρ.

Κύριλλος μοναχὸς, καὶ ἐκ προσώπυ Ἰωάννου ἐπισκόπυ Γότθων, ἐντραφεὶς τοῖς ἀποστολικοῖς κηρύγμασι καὶ τῆ πατέρων παραδόσεσι, καὶ τὰ νυῦ προγεγραμμενα δεξάμβυος, ὑπέγραψα.

Θεόδωρος ἀνάξ. ἐπίσκ. Σελβκείας, ἀσμενῶς πάντα τὰ προγεγραμμενα δεξάμβυος, ὑπέγρ.

Στέφανος ἀνάξ. ἐπίσκ. πόλεως Σαγδάων ἀσμένως πάντα τὰ προγγραμμενα δεξάμβυος ὑπέγ.

Αντώνιος ἀνάξ. μοναχὸς, καὶ ἐκ προσώπυ τῦ θρόνυ Σμύρνης, ἀσμ. πάντα τὰ προγεγρ. δεξάμβυος, ὑπέΓ.

* Κωνσαντίνυ

* Κώνσας ὁ ἀνάξιος ἐπίσκ. τῦ Ρηγίου, ἀσμένως πάντα τὰ προγεγραμμενα δεξάμβυος, ὑπέΓ.

Ἰωάννης ταλαίπορος καὶ ἁμαρτωλὸς μοναχὸς, τόπον ποιύμβυος Προκοπίυ τῦ βλαβεσάτυ ἐπισκόπυ, σύμφωνα κατὰ πάντα τοῖς παξάσι φρονῶν, ὑπέΓρ.

Θεόδωρος ἀνάξιος ἐπίσκ. Κατάνης φιλῶν ἀείπως τοῖς ἐρασαῖς τῆς ἀληθείας, καὶ ταῖς τῆ ἁγίων πατέρων κατ' ἴχνος βαίνειν διδασκαλίαις καὶ ταῖς ὀρθαῖς αὐτῆ κατακαλλυέσθαι δόξαις, οἷς κἀγὼ τετύχθαι σπεδάζων, σοιχῶν πᾶσι τοῖς αὐτῆ δεδογμενοις ἓ προγεγραμμ. ὑπέγρ.

* ταυρομενίας

Ἰωάννης ἐπίσκ. * Ταυρομβυέως συμφώνως κατὰ πάντα ταῖς τῆ ἁγίων πατέρων διδασκαλίαις, καὶ ταῖς προαναγνωσθείσαις αὐτῆ χρήσεσιν ἐπόμβυος, ὑπέγ.

Γαυδιῶσος ἀνάξ. ἐπίσκ. Μεσλιώης, συμφώνως κατὰ πάντα ταῖς τῆ ἁγίων πατέρων διδασκαλίαις, καὶ ταῖς προαναγνωσθείσαις αὐτῆ χρήσεσιν ἐπόμβυος, ὑπέγρ.

. . . . . .
. . . . . .
. . . .
. . . . . .
. . . . . .
. . .

Στέφανος ἀνάξ. ἐπίσκ. Βιβώνων συμφώνως κατὰ πάντα ταῖς τῆ ἁγίων πατέρων διδασκαλίαις, καὶ ταῖς προαναγνωσθείσαις αὐτῶν χρήσεσιν ἐπόμβυος, ὑπέγρ.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Τρεοκάλεως ὁρίσας ὑπέγραψα.

Θεόδωρος ἀνάξιος ἐπίσκοπος Ταυριανῆς συμφώνως κατὰ πάντα ταῖς προαναγνωσθείσαις χρήσεσι τῶν ἁγίων ἡμῶν πατέρων ἑπόμενος, ὑπέγραψα.

Χερσοφόρυ ἀνάξιος ἐπίσκοπος τῆς ἁγίας Κυριακῆς συμφώνως κατὰ πάντα ταῖς τῶν ἁγίων πατέρων διδασκαλίαις, καὶ ταῖς προαναγνωσθείσαις αὐτῆ χρήσεσιν ἐπόμβυος, ὑπέγραψα.

Βασίλειος ἀνάξιος ἐπίσκοπος τῆς Λιπαρῶν νήσυ ταῖς προαναφερομενάις τῶν ἁγίων πατέρων διδασκαλίαις σοιχῶν ἐν πᾶσιν, ὑπέγρ.

Θεότιμος ἐπίσκοπος Κροτώνων ταῖς προαναφερομβυάις τῶν ἁγίων πατέρων χρήσεσι σοιχῶν ἐν πᾶσιν, ὑπέγραψα.

Κωνσαντῖνος ἀνάξ. ἐπίσκ. Καρένης ταῖς προαναφερομενάις τῶν ἁγίων πατέρων χρήσεσι σοιχῶν ἐν πᾶσιν, ὑπέΓραψα.

Θεοφάνης ἐπίσκ. τῦ Λιλυβαίυ ὁμ.

Θεόδωρος ἐπίσκ. Τροπαίων ὁμ.

Σέργιος ἐπίσκ. Νικοτέρων ὁμ.

Θεόδωρος ἐπίσκ. Βιζύης ὁμοίως.

Μαυριανὸς ἐπίσκοπος Πομπηϊουπόλεως ὁμοίως.

Ἰωάννης ἐπίσκοπος τῆς ἁγίας Σαλονιωτιανῆς ὁμοίως.

Εὐσράτιος ἐπίσκοπος τῆς Βιθυνῶν ἐπαρχίας ὁμοίως.

Πέβος ἐπίσκ. τῶν Γερμίων ὁμοίως.

Ἰωάννης ἐπίσκ. Αρκαδιυπόλεως ὁμ.

Κωνσαντῖνος πρεσβύτερος, καὶ ἐκ προσώπυ τῦ θρόνυ Σεβασυπόλεως, ὁμ.

Γρηγόριος πρεσβύτερος, καὶ ἐκ προσώπυ Νικήτα ἐπισκόπυ Κολωνείας, ὁμοίως.

Σισύννιος ἐπίσκ. τῦ Παείυ ὁμ.

Επιφάνιος ἐπίσκ. Μιλήτυ ὁμοίως.

Νικήτας ἐπίσκ. προικοννήσυ ὁμ.

Ἰωάννης πρεσβύτερος, καὶ ἐκ προσώπυ Νικήτα ἐπίσκοπυ Κολωνείας, ὁμ.

Οὖρσος ἐπίσκ. τῆς ἁγίας Ασαειτιανῶν ἐκκλησίας ὁμ.

Εὐσράτιος ἐπίσκ. Μεθύμνης ὁμοίως.

Λέων ἐπίσκ. τῆς Κίυ ὁμ.

Ἰωάννης ἐπίσκ. τῦ Αστυ ὁμ.

Θεοφύλακτος ἐπίσκ. Κυψέλλων ὁμ.

Λαυρέντιος ἐπίσκ. τῆς ἁγίας Αψαρητιανῶν ἐκκλησίας, ὁμ.

Λέων ἐπίσκ. Καρπάθυ ὁμ.

Εὐσάθιος ἐπίσκ. Κροτάδων ὁμ.

Κυριακὸς ἐπίσκ. Ζυπάρων ὁμοίως.

Λέων ἐπίσκ. Μεσημβρίας ὁμ.

Γρηγόριος ἐπίσκ. Δέρκων ὁμ.

Θεοδόσιος ἐπίσκ. τῦ Αμορίυ ὁμ.

Ἰωάννης ἐπίσκ. Νύσης ὁμ.

Γεώργιος ἐπίσκοπος τῶν βασιλικῶν Θερμῶν ὁμοίως.

Γεώργιος ἐπίσκοπος Καμυλιάνων ὁμ.

Σωτήριχος ἐπίσκ. Κισκισσῶν ὁμοίως.

. . . . . .

Θεο-

Θεοφύλακτος ἐπίσκ. Τράλλης ὁμ.
Κωνσαντῖνος ἐπίσκ. Μασαύρων ὁμ.
Γεώργιος ἐπίσκ. Βειθλων ὁμ.
Ιγνάτιος ἐπίσκ. Πείνης ὁμ.
Κώνσας πρεσβύτερος, καὶ ἐκ προσώπου τοῦ θρόνου Αγάης, ὁμ.
Θεοδόσιος ἐπίσκ. Νύσσης ὁμ.
Βασίλειος ἐπίσκ. Μαγνησίας ὁμ.
Βασίλειος ἐπίσκοπος Μαγνησίας τῆς Μαιάνδρου ὁμοίως.
Σάββας ἐπίσκ. Ανέων ὁμ.
Νικηφόρος πρεσβύτερος, καὶ ἐκ προσώπου Γαργάρων, ὁμ.
Γρηγορίου ἐπίσκ. Παλαιασπόλεως ὁμ.
Θεοφάνης ἐπίσκ. Καλόης ὁμ.
Λέων ἐπίσκ. Αλγίζων ὁμ.
Νικόδημος ἐπίσκ. Εὐάζων ὁμ.
Λύκασος ἐπίσκ. Βαρέτων ὁμοίως.
Θεόγνιος πρεσβύτερος, καὶ ἐκ προσώπου Φιλίππου ἐπισκόπου Σιῶν, ὁμ.
Θεοφάνης ἐπίσκ. Λεβισύδου ὁμ.
Σξατόνικος ἐπίσκ. Κύμης ὁμ.
Εὐσάθιος ἐπίσκ. Ερυθρῶν ὁμ.
Θεόφιλος ἐπίσκ. Τύμνου ὁμ.
Κοσμᾶς ἐπίσκ. Μυείνης ὁμ.
Ολβιανὸς ἐπίσκ. Ελαίας ὁμ.
Πάρδος ἐπίσκ. Πιτάνης ὁμ.
Βασίλειος ἐπίσκ. Περγάμου ὁμ.
Βασίλειος ἐπίσκ. Αξαμμυτέου ὁμ.
Μαεῖνος ἐπίσκ. Ατάνδρου ὁμ.
Ιωάννης ἐπίσκ. Ασσοῦ ὁμ.
Λέων ἐπίσκ. Φωκίας ὁμ.
Ιωάννης ἐπίσκ. Ραιδεστοῦ ὁμοίως.
Ιωάννης ἐπίσκ. Πανίου ὁμ.
Μελχισεδὲκ ἐπίσκοπος Καλλιουπόλεως ὁμοίως.
Θεοφύλακτος ἐπίσκ. Χαριουπόλεως ὁμ.
Λεωνίδης ἐπίσκοπος Μαδύτου, ἤτοι Κόλης, ὁμοίως.
Σισίννιος ἐπίσκ. Τζυρυλλοῦ ὁμ.
Θωμᾶς ἐπίσκ. τοῦ Δαονίου ὁμ.
Γρηγόριος ἐπίσκ. Θεοδωρουπόλεως ὁμ.
Σισίννιος ἐπίσκ. Χαλκίδος ὁμ.
Βενιαμὶν ἐπίσκ. Λιζύκων ὁμ.
Ιωάννης ἐπίσκ. τῆς Βρύσεως ὁμ.
Σωυείδων ἐπίσκοπος Παλαιᾶς Κύθρων ὁμοίως.
Εὐσάθιος ἐπίσκ. Γόλων ὁμ.
Θεόδωρος ἐπίσκ. τοῦ Κιτίου ὁμ.
Γεώργιος ἐπίσκ. Τειμιθοῦντος ὁμ.
Αλέξανδρος ἐπίσκ. Αμαθοῦντος ὁμ.
Κωνσαντῖνος ἐπίσκ. Ιλιουπόλεως ὁμ.
Σωσίσιος ἐπίσκ. Νήσου ὁμ.
Θεόφιλος ἐπίσκ. Ανασασιουπόλεως ὁμοίως.
Λέων ἐπίσκ. Μίνζου ὁμ.
Πέξος ἐπίσκ. Ασπόνων ὁμ.
Ανθιμος ἐπίσκ. Βερινουπόλεως ὁμ.
Μιχαὴλ ἐπίσκ. Μελιτουπόλεως ὁμ.
Σισίννιος ἐπίσκ. Αδρανίας ὁμοίως.
Θεόδωρος ἐπίσκ. Γέρμης ὁμ.

Βασίλειος ἐπίσκ. Αδρανουθύρων ὁμ.
Λέων ἐπίσκ. Ποιμανινῶν ὁμ.
Συμεὼν ἐπίσκ. Ωχης ὁμ.
Σξατήγιος ἐπίσκ. Δαρδάνου ὁμοίως.
Ιωάννης ἐπίσκ. Λαμψάκου ὁμ.
Θεόδοτος ἐπίσκ. Παλαιβῆ ὁμ.
Λέων ἐπίσκ. Τρωάδων ὁμ.
Νικήτας ἐπίσκ. τοῦ Υλαίου ὁμ.
Θεόδωρος ἐπίσκ. Αβύδου ὁμ.
Λέων ἐπίσκ. Τρακυάλων ὁμ.
Ανασάσιος ἐπίσκ. Τειπόλεως ὁμ.
Ιωάννης ἐπίσκ. Ταβάλων ὁμ.
Στέφανος ἐπίσκ. Σάλων ὁμ.
Στέφανος ἐπίσκ. Σιλάνδρου ὁμ.
Νικόλαος ἐπίσκοπος τοῦ Περικόμματος ὁμοίως.
Ισώης πρεσβύτερος, καὶ ἐκ προσώπου τοῦ Θρόνου Θυατήρων, ὁμ.
Ιωάννης ἐπίσκ. Σέπων ὁμ.
Κωνσαντῖνος ἐπίσκ. Ακρασοῦ ὁμ.
Θεοφάνης ἐπίσκ. Λυμαίων ὁμ.
Μιχαὴλ ἐπίσκ. Σξατονικείας ὁμ.
Λύκασος ἐπίσκ. Φιλαδελφείας ὁμ.
Μιχαὴλ ἐπίσκ. Στάλλης ὁμ.
Γρηγόριος ἐπίσκ. Γόρδου ὁμ.
Ιωάννης ἐπίσκ. Δάλδης ὁμ.
Εὐσάθιος ἐπίσκ. Υρκανῆς ὁμ.
Ιωσὴφ ἐπίσκ. Ατταλείας ὁμ.
Θεόπις ἐπίσκ. Ερμοκαπηλίας ὁμ.
Ζαχαρίας ἐπίσκ. Ιεροκησαρείας ὁμ.
Μιχαὴλ ἐπίσκ. Κερασέων ὁμ.
Δαβὶδ ἐπίσκ. Ελουπόλεως ὁμ.
Κυρίων ἐπίσκ. τοῦ Λόφου ὁμοίως.
Βασίλειος πρεσβύτερος, καὶ ἐκ προσώπου τοῦ Δασκυλίου. ὁμ.
Θεοφύλακτος ἐπίσκοπος Απολλωνιάδος ὁμοίως.
Κωνσαντῖνος ἐπίσκοπος Καισαρείας Βιθυνίας ὁμοίως.
Γεώργιος ἐπίσκ. Βασιλινουπόλεως ὁμ.
Λέων ἐπίσκοπος Νεοκησαρείας, ἤτοι Αείσης, ὁμοίως.
Νικηφόρος ἐπίσκ. Αδρανοῦς ὁμ.
Θεόδωρος ἐπίσκ. Προύσης ὁμ.
Επιφάνιος ἐπίσκ. Λάμπης ὁμ.
Θεόδωρος ἐπίσκοπος Ηρακλειουπόλεως ὁμοίως.
Ανασάσιος ἐπίσκ. Κνωσσοῦ ὁμ.
Μελίτων ἐπίσκ, Κυδωνίας ὁμ.
Λέων ἐπίσκοπος Κισάμου ὁμοίως.
Θεόδωρος ἐπίσκ, Συβρίτων ὁμ.
Λέων ἐπίσκ. Φοίνικος ὁμ.
Ιωάννης ἐπίσκ. Αρκαδίας ὁμ.
Επιφάνιος ἐπίσκ. Ελευθέρνης ὁμ.
Φωτεινὸς ἐπίσκ. Καντάνου ὁμ.
Σισίννιος ἐπίσκ. χερσονήσου ὁμ.
Γεώργιος πρεσβ. καὶ ἐκ προσώπου τοῦ θρόνου Κεφαλληνίας ὁμ.
Φίλιππος ἐπίσκ. Κερκυραίων ὁμ.
Αντώνιος ἐπίσκ. Τροιζηνίων ὁμοίως.

Πέτρος ἐπίσκ. Μονεμβασίας ὁμ.
Γαβριὴλ ἐπίσκ. Αἰγίνης ὁμ.
Λέων ἐπίσκ. Πόρθμης ὁμ.
Φίλιππος ἐπίσκ. Ὠρεοῦ ὁμ.
Λέων ἐπίσκ. Ζακυνθου ὁμ.
Λέων ἐπίσκ. Λιμένος ὁμ.
Νικήτας ἐπίσκ. Μέλλης ὁμ.
Νεόφυτος ἐπίσκ. * Δοσέρβων ὁμ.
Ἰωάννης ἐπίσκ. * Στένων ὁμ.
Λέων ἐπίσκ. Ἀσπονδου ὁμ.
* Κώνσας ἐπίσκ. Ζάλων ὁμ.
Γρηγόριος ἐπίσκ. Σινώπης ὁμ.
Μακάριος διάκονος, καὶ ἐκ προσώπου Θεοδώρου ἐπισκόπου Ἀνδράπων, ὁμ.
Ἀνδρόνικος πρεσβύτ. καὶ ἐκ προσώπου Ἰωάννου ἐπισκ. Ζαλήχων, ὁμ.
* Κώνσας ἐπίσκ. Σασίμων ὁμ.
Γρηγόριος ἐπίσκ. Ἀμάσρης ὁμ.
Ἡράκλειος ἐπίσκ. Ἰουνοπόλεως ὁμ.
Νικήτας ἐπίσκ. Δαδύβρων ὁμ.
Θεοφάνης ἐπίσκ. Σόρων ὁμ.
Ἰωάννης ἐπίσκ. Ἡρακλείας ὁμ.
Θεόφιλος ἐπίσκ. Προυσιάδος ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Κραλείας ὁμ.
Νικήτας ἐπίσκ. τῆς Ῥιζαίου ὁμ.
Κωνσταντῖνος ἐπίσκ. τῆς Πολεμωνίου ὁμ.
Θεόδωρος ἐπίσκ. Κομάνων ὁμ.
Ἰωάννης ἐπίσκ. Κερασοῦντος ὁμ.
* Νικηφόρος ἐπίσκ. Κλανέου ὁμ.
Λέων ἐπίσκ. Τροκνάδων ὁμ.
Ἰωάννης διάκονος, καὶ ἐκ προσώπου τοῦ Θρόνου Φασηλιδος, ὁμ.
Θεόδωρος ἐπίσκ. Πινναρων ὁμ.
Στέφανος ἐπίσκ. Κανέας ὁμ.
Ἀνασάσιος ἐπίσκ. Πάξων ὁμ.
Γεώργιος ἐπίσκ. Νάσας ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Καυδίκων ὁμ.
Λέων ἐπίσκ. Κορυδάλων ὁμ.
Νικόδημος ἐπίσκ. Σιδύμων ὁμ.
Λέων ἐπίσκ. Λιμύρων ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Τλων ὁμ.
Πέτρος διάκονος, καὶ ἐκ προσώπου τοῦ Θρόνου Οἰκανδης ὁμ.
Στέφανος ἐπίσκ. Ἀράξου ὁμ.
Γεώργιος ἐπίσκ. Οἰνιάνδων ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Κόμβων ὁμ.
Σταυράκιος ἐπίσκ. Ζιωπόλεως ὁμ.
Γρηγόριος ἐπίσκ. Κιβύρης ὁμ.
Βασίλειος ἐπίσκ. Τάβων ὁμ.
Δωρόθεος ἐπίσκ. Νεαπόλεως ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Ἀλαβάνδων ὁμ.
Δαβὶδ ἐπίσκ. Ἰασοῦ ὁμ.
. . . . .
Σέργιος ἐπίσκ. Βαργυλίων ὁμ.
Γρηγόριος ἐπίσκ. Ἡρακλείας τῶν Λατόμου ὁμ.
Ἰωάννης ἐπίσκ. Μύβδων ὁμ.
Σταυράκιος ἐπίσκ. Σταδίας ὁμ.
Γρηγόριος ἐπίσκ. Ξερονικείας ὁμ.
Νικήτας διάκονος, καὶ ἐκ προσώπου τοῦ Θρόνου Ἀλικαρνασσοῦ.

Μιχαὴλ ἐπίσκ. Χαιρετόπων ὁμ.
Παυταλέων ἐπίσκ. Οὐαλεντίας ὁμ.
Γεώργιος ἐπίσκ. Πέλτων ὁμ.
Χριστοφόρος ἐπίσκ. Ἀντιανασσοῦ ὁμ.
Λέων ἐπίσκ. Εὐμενείας ὁμ.
Φίλιππος ἐπίσκ. Τραυσπόλεως ὁμ.
Λέων ἐπίσκ. Ἀλέων ὁμ.
. . . . . .
. . . . .
. . . . . .
Νικηφόρος ἐπίσκ. Λυίδων ὁμ.
Γεώργιος ἐπίσκ. Ἀπτίας ὁμ.
Ἰωάννης ἐπίσκ. Σύβεως ὁμ.
Ζαχαρίας ἐπίσκ. Τραπεζουπόλεως ὁμ.
Λέων ἐπίσκ. Σεβαστείας ὁμ.
Θεοφύλακτος πρεσβυτέρος, καὶ ἐκ προσώπου τοῦ Θρόνου Γεωργίου ἐπισκ. Ὑψου, ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Εὐκαρπίας ὁμ.
Ἀνδρέας ἐπίσκ. Κηδισσοῦ ὁμ.
Δοσίθεος ἐπίσκ. Ψονθντος, ἤτοι Κολασσαέων, ὁμοίως.
Κωνσταντῖνος ἐπίσκ. τῆς Κοττυαείου ὁμ.
Νικήτας ἐπίσκ. Ναχωλείας ὁμ.
Λέων ἐπίσκ. τῆς Δοκιμίου ὁμ.
Ἰωάννης πρεσβύτ. καὶ ἐκ προσώπου τοῦ Θρόνου Ἐκτορείου ὁμ.
Μιχαὴλ ἐπίσκ. Ἱεραπόλεως ὁμ.
Νικόλαος ἐπίσκ. Φυτείας ὁμ.
Θεοφύλακτος ἐπίσκ. Κιννα[illegible]όρεως ὁμ.
Δαμιανὸς ἐπίσκ. Μύρων ὁμ.
Χριστοφόρος ἐπίσκ. Πρυμισσοῦ ὁμ.
Νικήτας ἐπίσκ. Αὐγουσπόλεως ὁμ.
Γεώργιος ἐπίσκ. τῆς Μιδαείου ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Ἀμβλάδων ὁμ.
Στέφανος πρεσβύτερος, καὶ ἐκ προσώπου τοῦ Θρόνου Ὄσρου, ὁμ.
Γρηγόριος πρεσβύτ. καὶ ἐκ προσώπου τοῦ Θρόνου * Πολυβότου πόλεως * Πολυβάτου, ὁμ.
Σισίννιος ἐπίσκ. τοῦ Φιλομηλίου ὁμ.
Μιχαὴλ ἐπίσκ. Πάπων ὁμ.
Σισίννιος ἐπίσκ. Ἀπαμείας τῆς Κιβωτοῦ ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Κωμάνης ὁμ.
Νικηφόρος ἐπίσκ. Ἀδάδων ὁμ.
Πέτρος ἐπίσκ. Τοτιάσσου ὁμ.
Θεοδόσιος ἐπίσκ. Συγαλασσοῦ ὁμ.
Λέων ἐπίσκ. Βάρης ὁμ.
Πέτρος ἐπίσκ. Σελβικείας ὁμ.
Νικηφόρος ἐπίσκ. Φλόγων ὁμ.
Μακάριος ἐπίσκ. Μαγύδων ὁμ.
Λέων ἐπίσκ. Ἀνδίδων ὁμ.
Στέφανος ἐπίσκ. Παρνασσοῦ ὁμ.
* Σαρδάνης ἐπίσκ. Δοάρων ὁμ. * Βαρδάνη
Εὐστράτιος ἐπίσκ. Δεβελτοῦ ὁμ.
Εὐθύμιος ἐπίσκ. Σωζοπόλεως ὁμ.
Θεοδόσιος ἐπίσκ. Βυλγαροφύγου ὁμ.
Γεώργιος ἐπίσκ. Πλωτινουπόλεως ὁμ.
Βασίλειος ἐπίσκ. Περβεραίου ὁμ.
Μιχαὴλ ἐπίσκ. τοῦ Παμφίλου ὁμ.
Ῥουβὶμ ἐπίσκ. τοῦ Σκοπέλου ὁμ.
Σισίννιος ἐπίσκ. Γαρέλλων ὁμ.

* L. Γορδοσέρβον
* ἄλ. Τέννων
* ἄλ. Κωνσαντῖνος
* ἄλ. Κωνσαντῖνος
* ἄλ Ἐπιφάνιος

Κάλλιστος ἐπίσκ. πόλεως Εὐδοκιάδος ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Λιγωύων ὁμ.
Ἰωάννης ἐπίσκ. Κυδρύλων ὁμ.
Θεόδωρος ἐπίσκ. Κρημνῶν ὁμ.
Κωνσταντῖνος ἐπίσκ. Ἀδριανῆς ὁμ.
Θεόφιλος ἐπίσκ. τῆς Χίυ ὁμ.
Γαλάτιος ἐπίσκ. τῆς Μήλυ ὁμ.
Σέργιος ἐπίσκ. τῆς Λέρυ ὁμ.
Μάνζων ἐπίσκ. Διοικησαρείας ὁμ.
* ἴσ. Κελευδέρεας. Εὐσάθιος ἐπίσκ. * Κελεντέρεως ὁμ.
Ζαχαρίας ἐπίσκ. πόλεως Καρδαβύνθυ ὁμ.
Σισίννιος ἐπίσκ. Μοσβάδων ὁμ.
Εὐσάθιος ἐπίσκ, Λάμυ ὁμ.
Θεόδωρος ἐπίσκ. Γερμανικοπόλεως ὁμ.
Σισίννιος ἐπίσκ. Συκῆς ὁμ.
Κωνσαντῖνος ἐπίσκ. Δαλισανδῶ ὁμ.
Λέων ἐπίσκ. Σιβήλων ὁμ.
Στέφανος ἐπίσκ. πόλεως Φιλαδελφείας ὁμ.
Εὐδόξιος πρεσβύτ. μοναχὸς, καὶ ἐκ προσώπου τῦ θρόνυ τῦ Μετέλλυ πόλεως, ὁμ.
Κωνσαντῖνος ἐπίσκ. τῆς Ἀνδρυ ὁμ.
Εὐσάθι- ἐπίσκ. τῆς Τλώυ ὁμ.
Θεόδωρ- ἐπίσκ. Κάδων ὁμ.
Μιχαὴλ ἐπίσκ. Τιβεριυπόλεως ὁμ.
Κωνσαντῖνος ἐπίσκ. Ἀγκύρας ὁμ.
Ἰωάννης ἐπίσκ. Ἀζάνων ὁμ.
Θεοφύλακτος ἐπίσκ. Μωσλιώων ὁμ.
Βασίλειος ἐπίσκ. Διονυσυπόλεως ὁμ.
Στέφαν- ἐπίσκ. Σωνάυ ὁμ.
Σάββας ἀρχιμανδείτης καὶ ἡγύμυ- μονῆς τῆ Στυδίων ὁμ.
Γρηγόρι- ἡγύμυος τῆ Ὀρμίσδυ ὁμ.
Συμεὼν ἡγύμυος τῆς Χώρας ὁμ.
Ἰωάννης ἡγύμ. τῦ Παγυρίυ ὁμ.
Εὐσάθιος ἡγύμ. τῆ Μαξιμίνυ ὁμ.
Ἰωσὴφ ἡγύμυ- καὶ ἀρχιμανδείτης τῦ Ἡρακλείυ ὁμ.
Θωμᾶς μοναχὸς, καὶ ἐκ προσώπυ Ἰωάννυ ἡγυμύυ τῦ Χιωλάκκυ ὁμ.
* ἴσ Σακκουδεῶνος Πλάτων ἡγ. καὶ ἀρχιμανδείτης * Σακκουδεῶν ὁμοίως.
Θεόδωρ- ἡγ. καὶ ἀρχιμανδείτης τῦ Πάνδου ὁμοίως.
Μάκαρις ἡγύμυ- καὶ ἀρχιμανδείτης Βαρδα' ὁμοίως.
Σχατήγιος μοναχὸς τῆς ἁγίας Σιὼν ὁμ.
Γρηγόρι- ἡγ. τῆ Γακίνθυ ὁμ.
Ἰωσὴφ ἡγ. τῆ Ἀκοιμήτων ὁμ.
Μιχαὴλ ἡγ. τῦ ἁγίυ Πέτρυ ὁμ.
Θεόδωρ- ἡγ. καὶ ἀρχιμανδείτης τῆς Βωδοῦς ὁμοίως.
Θεοφύλακτος μοναχὸς τῆ Καθῶν ὁμ.
Κωνσαντῖνος ἡγ. Καλαυρῶν ὁμ.
Ἀντώνιος ἡγ. τῆς Δίυ ὁμ.
Ἰλαρίων ἡγ. τῆ Φλώρων ὁμ.
Νικήτας ἡγύμυος τῦ ἁγίου Ἀλεξάνδρου ὁμοίως.
Θεόδωρος ἡγ. τῦ Ξηροκήπυ ὁμ.
Νικήτας ἡγ. τῆ Γυδίλα ὁμ.
Νικήτας ἡγ. τῦ ἁγίυ Ἡλία ὁμ.
Θεόκτιστος ἡγ. τῦ Αὐλητῦ ὁμ.
Κώνσας ἡγ. τῦ ἁγίυ Κυρίκυ ὁμ.
Στέφανος ἡγύμυος τῦ Καρεῶνος καὶ ἀρχιμανδείτης, ὁμ.
Νικηφόρος ἡγ. τῆς ἁγίας Θεοτόκυ ὁμ.
Θεοφύλακτος ἡγούμυος τῦ ἁγίου Ἡλία ὁμοίως.
Ἰωάννης ἡΓ. τῦ Χιωλάκκυ ὁμ.
Παῦλος ἡγ. τῦ Βισίλυ ὁμ.
Στέφανος ἡγ. τῦ ἁγίυ Κηρύκυ ὁμ.
Λάζαρος ἡΓ. τῦ ἁγίυ Αὐτονόμυ ὁμ.
Ἰγνάτιος ἡγ. τῦ Συκέως ὁμ.
Γρηγόριος ἡγ. τῦ Καλλισράτυ ὁμ.
Γρηγόριος ἡγ. τῦ Μονάγρυ ὁμ.
Σισίννιος ἡγ. Ἀείτας ὁμ.
Ἀνασάσιος ἡγ. * Καμ. ὁμ. * L. Καρνέων
Βαάνης ἡγ. καὶ ἀρχιμανδείτης τῆ Θερμῶν ὁμοίως.
Πέτρος ἡγ. τῆ Ὀμηρίκων ὁμ.
Στέφανος ἡγ. τῆ Θερμιζῶν ὁμ.
Θωμᾶς ἡγ. τῆ Ἱεραγάθης ὁμ.
Θεοφύλακτος ἡγ. τῆ Καθόδυ ὁμ.
Νικηφόρος ἡΓ. τῦ ἁγίυ Ἀνδρέυ ὁμ.
Δαβὶδ ἡγ. τῦ ἁγίυ Θύρσυ ὁμ.
Λέων ἡΓ. τῦ ἁγίυ Γεωργίυ τῆ Κελλίων ὁμοίως.
Ἰωάννης ἡγ. τῆ Λάκκων ὁμ.
Λέων ἡγ. τῦ Λιμνῦ ὕδατος ὁμ.
Γρηγόριος ἡγ. Ἀγαύρυ ὁμ.
Ἰσίδωρος ἡγ. τῦ Λάτρυ ὁμ.
Δοσίθεος ἡγ. Μνημοσυώων ὁμ.
Νικηφόρος ἡγ. τῦ ἁγίυ Σεργίυ τῦ Μιδικιώνος ὁμ.
Θεόδωρος ἡγ. τῦ Ἀμορίυ ὁμ.
Θεόδωρος ἡγ. Ἀξάκτων ὁμ.
Κωνσαντῖνος ἡΓούμυος τῆ ἁγίων ξιῶν Παίδων ὁμοίως.
Ἰωάννης ἡγ. τῆ Κοιλάδων ὁμ.
Ἀντώνιος ἡγ. τῦ * Δωδεκάθυ ὁμ. * L. Δωδεκαθρόνυ
Παῦλος ἡγ. τῶν Ἀγνύων ὁμ.
Παῦλος ἡγ. τῦ ἁγίυ Πέτρυ πόλεως Ποιμανηνῶν ὁμ.
Εὐχήμων ἡγ. Κρίζων ὁμ.
Μάκαρις ἡγ. Ψαρόδυ ὁμ.
Ἐπιφάνιος ἡγ. Τῦ Παρανάνδυ ὁμ.
Ἀντώνιος ἡγ. τῦ Περιστερεῶνος ὁμ.
Δαβὶδ ἡΓ. τῦ ἁγίυ Γεωργίυ Πετιέτ. ὁμ.
Ἰωάννης ἡγ. τῦ ἁγίυ Ζωτικῦ ὁμ.
Ἀγάπιος ἡγ. τῦ ἁγίυ Θύρσυ ὁμ.
Δανιὴλ ἡγ. τῶν ἁγίων ἀποστόλων Μαγνησίας ὁμοίως.
Θεοδόσιος ἡγ. τῆς ἁγίας Θεοτόκου Περιζέτων ὁμοίως.
Κάλλιστος ἡγ. διαφόρων μοναστηρίων Κύπρου ὁμοίως.
Θεοφύλακτος ἡγ. Βορδῦ ὁμ.
Θεόδωρος ἡγ. Λιμβῦ ὁμ.
Κώνσας ἡΓ. τῦ Ἵππυ ὁμ.
Γεώργιος ἡγ. Δομνίκων ὁμ.
Εὐθύμιος ἡγ. Ὀξυβετῶν ὁμ.

Ἀν-

τῶν τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως.

Καθεσθέντων τε πρὸ τοῦ ἱερωτάτου ἄμβωνος τοῦ ναοῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμου Σοφίας, συμπαρόντων καὶ ἀκροωμένων τῶν ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων ἀρχόντων, τουτέστι Πετρωνᾶ τοῦ πανευφήμου ἀπὸ ὑπάτων πατρικίου καὶ κόμητος τοῦ θεοφυλάκτου βασιλικοῦ ὀψικίου, καὶ Ἰωάννου βασιλικοῦ ὀστιαρίου καὶ λογοθέτου τοῦ στρατιωτικοῦ λογοθεσίου, καὶ πάσης τῆς ἁγίας συνόδου κατὰ τάξιν τὴν προταχθεῖσαν ἐν τῇ πρώτῃ πράξει· παρόντων καὶ τῶν θεοφιλεστάτων ἀρχιμανδριτῶν τε καὶ ἡγουμένων, καὶ παντὸς τοῦ μοναχικοῦ πληρώματος· προκειμένων τῶν ἁγίων καὶ ἀχράντων τοῦ Θεοῦ εὐαγγελίων.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὁ τὴν δήλωσιν τῶν μελλόντων διὰ τῶν προφητῶν αὐτοῦ προκαταγγείλας Θεὸς ἔφη διὰ Ἱερεμίου τοῦ προφήτου περὶ τῶν τὰς καινοτομίας εἰσαγόντων ἐν τῇ καθολικῇ ἐκκλησίᾳ. ὅτι δύο καὶ πονηρὰ πεποιήκασιν· ἐμὲ ἐγκατέλιπον πηγὴν
Ἱερεμ. 2. ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. λάκκος οὖν συντετριμμένος ἐστὶν αἱρετικῶν λόγος,
Ἀββακ. 2. ἐξ οὗ ἤντλησαν οἱ τῆς Χριστιανοκατηγορικῆς αἱρέσεως εἰσηγηταὶ, καὶ ἐπότισαν τοὺς ἁπλουστέρους ἀναστροπὴν θολεράν· οἷς τὸ οὐαὶ ἐπιπέμπεται διὰ φωνῆς προφητικῆς. Εβραίους γὰρ καὶ Σαρρακηνοὺς, Ἑλληνάς τε καὶ Σαμαρείτας, ἔτι γε μὴν Μανιχαίους καὶ Φαντασιαστὰς, εἴτουν Θεοπασχίτας μιμησάμενοι, ἠθέλησαν ἀφανίσαι τὴν τῶν σεπτῶν εἰκόνων θέαν, τὴν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ ἐκκλησίᾳ παραδοθεῖσαν ἐκ τῶν ἀρχῆθεν χρόνων, ὡς δειχθήσεται ἐν τῇ ἀναγνώσει τῶν προκειμένων βίβλων.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἀναγνωσθήτωσαν εἰς ἔλεγχον καὶ θρίαμβον τῆς Χριστιανοκατηγόρου καὶ ψευδοσυλλόγου ἐκείνης συνελεύσεως.

Λεόντιος ὁ καθωσιωμένος βασιλικὸς ἀσηκρῆτις εἶπε· κατὰ τὴν κέλευσιν τῆς ἁγίας συνόδου πάρεισιν αἱ θεῖαι βίβλοι αἱ ἀναγνωσθῆναι ὀφείλουσαι. οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν κακωνύμων αἱρετικῶν, τῶν ἐκ παλαιοῦ τὰς τιμίας εἰκόνας διαβεβληκότων.

Η ἁγία σύνοδος εἶπεν. ἀναγνωσθήτωσαν.

Κοσμᾶς διάκονος καὶ κουβουκλείσιος ἀνέγνω.

Τοῦ ἁγίου Κυρίλλου ἀρχιεπισκόπου Ἱεροσολύμων κατήχησις δευτέρα, ἧς ἡ ἀρχή.

Δεινὸν ἡ ἁμαρτία, καὶ νόσος χαλεπωτάτη ψυχῆς ἡ παρανομία. καὶ μεθ' ἕτερα· τίνα γὰρ ὑπόνοιαν ἔχεις περὶ Ναβουχοδονόσορ; οὐκ ἤκουσας ἀπὸ τῶν γραφῶν, ὅτι δυσσεβέστατος ἦν, ἀγριώτατος τὸν τρόπον, καὶ λεοντώδη τὴν προαίρεσιν ἔχων; οὐκ ἤκουσας, ὅτι τὰ ὀστᾶ τῶν βασιλέων ἐξηνέγκεν εἰς τὸ φῶς; οὐκ ἔγνως, ὅτι τοὺς ὀφθαλμοὺς τοῦ βασιλέως ἐξετύφλωσε, προδείξας αὐτῷ τὰ τέκνα σφαττόμενα; οὐκ ἤκουσας, ὅτι τὰ χερουβὶμ ἥρπασεν; οὐ λέγω τὰ νοητὰ καὶ ἐπουράνια, ἀλλὰ τὰ ἐν τῷ ναῷ κατεσκευασμένα, τὰ ἐπὶ τὸ ἱλαστήριον τῆς κιβωτοῦ, ὧν ἀναμέσον ἐλάλει ὁ κύριος.

Ο ἁγιώτατος πατριάρχης εἶπεν· ἐννοήσομεν, ὅπως ἐμέμφθη ὁ Ναβουχοδονόσορ, καταστρέψας τὰ χερουβὶμ ἐκεῖνα, καὶ ποῖον ἐπιτίμιον πέπονθεν.

Η ἁγία σύνοδος εἶπε· μετὰ τὸ σφάλμα καὶ ἡ κατάκρισις.

Ο ἁγιώτατος πατριάρχης εἶπεν· οὐκοῦν ἕκαστος ὁ ἱερὸν ἐκβάλλων ἐκ τῆς ἐκκλησίας καὶ καταστρέφων, τῷ αὐτῷ ὑποπίπτει ἐπιτιμίῳ.

Πετρωνᾶς ὁ ἐνδοξότατος πατρίκιος εἶπε· μέγα ἐπιτίμιον τοῦ Ναβουχοδονόσορ, ὅτι ἐξηλάθη τῆς βασιλείας, καὶ ἑπτὰ ἔτη διέμεινεν ἐν ταῖς ἐρήμοις, ὥσπερ βοῦς ἐσθίων τὰς βοτάνας. Δανιήλ. 4.

Κοσμᾶς διάκονος, νοτάριος καὶ κουβουκλείσιος, ἀνέγνω.

Τοῦ ἁγίου Συμεὼν τοῦ Στυλίτου, τοῦ εἰς τὸ θαυμαστὸν ὄρος, ἐπιστολὴ πέμπτη πρὸς τὸν βασιλέα Ἰουστῖνον τὸν νέον.

Τίς δώσει, ἀεισέβαστε καὶ ἀγαθὲ δέσποτα, τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων ἐπὶ τῷ πενθῆσαι καὶ κλαῦσαι πικρῶς καὶ ἀφορήτως ἐν ὅλαις ταῖς ἡμέραις τῆς ἐλεεινῆς μου ζωῆς; ὅτι περ ἐπὶ τοῦ θείου ζήλου τῆς ὑμετέρας θεοστεφοῦς καὶ Χριστιανικωτάτης βασιλείας τοιαῦτα ὑπὲρ πάντα λόγον ἀσεβείας τετόλμηται πεπρᾶχθαι παρὰ τῶν ἀθέων καὶ ὑπὲρ πᾶσαν ἀκαθαρσίαν ἀκαθάρτων καὶ βδελυκτῶν Σαμαρειτῶν, τῶν τὰ λεγόμενα Κάστρα οἰκούντων πλησίον τῆς πόλεως Πορφυρεῶνος, εἰς τὸν σεπτὸν οἶκον, ὃν τὸ θεάρεστον ὑμῶν κράτος ἐκέλευσε κτίζεσθαι ἐκεῖ. ἅπερ κατὰ λεπτοῦ γνώσεται ἡ ὑμετέρα θεοφύλακτος γαληνότης ἐκ τῶν σημανθέντων τῇ ἡμῶν ταπεινώσει παρὰ Παύλου τοῦ ὁσιωτάτου ἐπισκόπου τῆς αὐτῆς Πορφυρεῶνος, ἐκπεμφθέντων ἡμῖν παρὰ τοῦ μακαριωτάτου τῆς ἑώας πατριάρχου, καὶ αὐτοῦ ἐπὶ τούτῳ σφοδρῶς ἀλγήσαντος. πῶς γὰρ οὐχὶ ἡμερώτατοι αὐτοκράτορες; διότι καὶ ἀψύχους λίθους ἱκανὰ ἦν παρασκευάσαι ἐκβοῆσαι τὰ τοιαῦτα ἀσεβήματα, ἅτινα αὐτοψὶ ἐθεάσατο ὁ εἰρημένος ὁσιώτατος ἀρχιερεύς. ὑπὲρ γὰρ θάνατον καὶ ἀπώλειαν λελόγισται τῇ ἡμῶν ταπεινώσει τὸ ὅλως εἰς ἀκοὰς ἡμῶν ἐλθεῖν τοιαύτην ἀσεβείᾳ ὑπερβάλλουσαν βλάσφημον πρᾶξιν, τετολμημένην εἰς αὐτὸν τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα θεὸν λόγον, καὶ εἰς τὴν παναγίαν ἔνδοξον θεομήτορα, καὶ τὸν πάνσεπτον καὶ τίμιον σταυρὸν, καὶ εἰς τοὺς ἁγίους αὐτοῦ. διὸ ὑπομιμνήσκοντες ἀναφέρομεν ἐπὶ τὰς θείας ὑμῶν ἀκοὰς, ὅτι οἱ πανευσεβεῖς τῶν καλλινίκων ὑμῶν νόμοι παρακελεύονται, εἰκόνος βασιλέως ἐνυβριζομένης, Ἱερεμ. 9.

Ἀντώνιος ἡγ. Οὐζίας ὁμ.
Βασίλειος ἡγ. τῆ ἁγίᾳ Ἀνδρέᾳ ὁμ.
Φίλιππος ἡγ. Βεόμων ὁμ.
Βασίλειος ἡγ. τῆς ἁγίας Θεοτόκυ Ὀρτυχιδίων ὁμοίως.
Ἀκάκιος μοναχὸς τῆ ἁγίᾳ Ὀρέσᾳ ὁμ.
Ἰωάννης ἡΓ. τῆ Σωτῆρος ὁμ.
Πέτρος μοναχὸς, καὶ ἐκ προσώπυ Κελλαρίων, ὁμοίως.
Ζαχαρίας ἡγ. τῶν Σωδεῶν ὁμ.
Θεόφιλος μοναχὸς, καὶ ἐκ προσώπυ τῆ ἡγεμόνου τῆς ἁγίας Θεοτόκυ Φωτνῶν ὁμ.
Κήρυκος ἡγ. Δολοκόμης ὁμ.
Σέργιος ἡγ. τῶν Γερμίων ὁμ.
Ἰωάννης πρεσβύτερος τῆ ἁγίᾳ Σεργίᾳ τῶν Γερμίων ὁμ.
Νικήτας ἡΓ. Ὀκτάων ὁμ.
Ἀντώνιος ἡγ. Ἀκραβόρων ὁμ,
Πέτρος ἡγ. Πλατανίᾳ ὁμ.
Μάρκος ἡγ. Τῆ ἁγίᾳ Ἰωάννυ τῆ Θεολόγυ ὁμοίως.
Λέων ἡγ. τῆς ἁγίας Θεοτόκου Σαλδάλων ὁμοίως.
Κωνσαντῖνος ἡΓ. τῆ ἁγίᾳ Στεφάνυ τῆ Ἀντιψιλίᾳ ὁμ.
Θεόδωρος μοναχὸς, καὶ ἐκ προσώπυ Θεοδότου ἡγεμόνυ τῆς ἁγίας Θεοτόκυ Καλοκετῶν ὁμοίως.
Εὐτυχιανὸς μοναχὸς τῶν Καλλιστράτου ὁμοίως.
Θεόδοτος μοναχὸς τῆς ἁγίας Θεοτόκυ Ἐπικαντζῆ ὁμ.
Ἰωάννης μοναχὸς, καὶ ἐκ προσώπυ Στεφάνυ ἡγεμόνυ Βονισῶν ὁμ.
Κάλλιστος μοναχὸς τῆ αὐτῆ μοναστηρίᾳ Βονισῶν ὁμοίως.
Νικήτας ἡγ. τῆς ἁγίας Θεοτόκυ μονῆς τῆ Κάστρυ τῆς Τίᾳ ὁμ.
Σαμυὴλ μοναχὸς τῦ ἀρχαγγέλου Γαβριὴλ ὁμ.
Θεοδόσιος ἡγούμενος τῆς ἁγίας Τριάδος ὁμοίως.
Ἰωάννης μοναχὸς, καὶ ἐκ προσώπυ Στρατηγίου ἡγεμόνυ τῆς ἁγίας Θεοτόκυ ὁμ.
Ἰλαρίων μοναχὸς τῆς ἁγίας Θεοτόκου τῶν Κελλίων ὁμ.
Θεοδόσιος μοναχὸς τῆ ἁγίου Θεοδώρου τῆς Σικάνδας ὁμ.
Παῦλος ἡγ. τῆς ἁγίας Θεοτόκου Τημπ. ὁμοίως.
Λέων ἡγ. τῆ ἁγίου Κυριακῆ ὁμ.
Ἐπιφάνιος ἡγ. τῆς ἁγίας Θεοτόκου Λίμνας ὁμοίως.
Γεώργιος ἡγούμενος τῆς ἁγίας Θεοτόκου ὁμοίως.
Κοσμᾶς ἡγ. τῆς ἁγίας Θεοτόκου τῆ Παραδεισίου ὁμ.
Εὐχήμων μοναχὸς τῆ σωτῆρος πλησίον τῆ Βυραϊκῆ ὁμ.
Βάρδας ἡγ. καὶ ἀρχιμανδρίτης Προυσιάδος ὁμ.
Πέτρος ἡγ. τῶν ἁγίων ἀποστόλων Καστροπωτίλου ὁμ.
Βασίλειος μοναχὸς τῆ Ἀμορίου τῆς ἁγίας Θεοτόκου ὁμ.
Βασίλειος πρεσβύτερος μονῆς τῆ Ὀξυπέτρᾳ ὁμοίως.
Φίλιππος ἡΓ. Εὐμυείας ὁμ.
Βασίλειος ἡγ. τῆ ἁγίου Λουκιανῆ ὁμ.
Θεοφύλακτος ἡγ. τῆ Πηγαδίου ὁμ.
Ἄνθιμος μοναχὸς Ψαμάθου ὁμ.
Μιχαὴλ ἡγ. τῆ ἁγίου μάρτυρος Γεωργίᾳ ὁμ.
Χερσοφόρος ἡΓ. τῶν Καυδήλων ὁμ.
Νικόλαος ἡγ. τῶν Καινουργῶν ὁμ.
Σισίννιος ἡγ. τῆ Λιθίνᾳ ὁμ.
Θωμᾶς μοναχὸς Μοσιωῶν ὁμ.
Μιχαὴλ μοναχὸς, καὶ ἐκ προσώπυ τῆ ἡγεμόνυ μονῆς ἁγίας Θεοτόκυ τῆ Πύργυ ὁμ.
Γρηγόριος ἡγ. τῆς ἁγίας Θεοτόκου Συμβόλων ὁμοίως.
Ἰωάννης ἡγ. τῆς ἁγίας Θεοτόκυ Ῥώδων ὁμ. * ἀλ. μῶν
* Κώνσας ἡγ. τῆ ἁγίᾳ Πέτρᾳ Ὑδρούντων ὁμοίως.
Συμεὼν ἡγ. τῆς ἁγίας Θεοτόκυ τῆς Ἀβραμιτῆς ὁμ.
Γρηγόριος ἡγ. τῆ ἁγίᾳ Κλήμεντος ὁμ.
Θέογνις ἡγ. τῆ ἁγίᾳ ἀποστόλυ Τιμοθέᾳ τῆς Κρητῶν νήσυ ὁμ.
Ἰωάννης ἡγ. τῆ ἁγίου μάρτυρος Θεοδώρου ὁμοίως.
Θεοδόσιος ἡγ. τῆς ἁγίας Θεοτόκυ ὁμ.
Πέτρος ἡγ. τῆ ἁγίου Ἰωάννου τῆ Θεολόγου τῆς Κρητῆς νήσου ὁμ.

ΠΡΑΞΙΣ Ε΄.

ΕΝ ὀνόματι τῆ κυρίυ καὶ δεσπότυ Ἰησῆ Χριστῆ τῆ ἀληθινῆ Θεῆ ἡμῶν, βασιλείας τῆς Ἀσεβεσάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῆς Κωνσαντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ Θεοστέπτου μητρὸς, ἔτους ὀγδόου τῆς αὐτῶν βασιλείας, πρὸ τεσσάρων νόννων Ὀκτωβρίων, ἰνδικτιῶνος ιά.

Σωτηρίθεσης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θείαν χάριν καὶ Ἀσεβὲς θέσπισμα τῶν αὐτῶν θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῆ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τουτέστι Πέτρου τῆ Ἀλαβεσάτου πρωτοπρεσβυτέρου τῆς κατὰ Ῥώμην ἁγιωτάτης ἐκκλησίας τῆ ἁγίου ἀποστόλου Πέτρου, καὶ Πέτρου τῆ Ἀλαβεσάτου πρεσβυτέρου, μοναχῆ καὶ ἡγουμένου τῆς κατὰ Ῥώμην Ἀγρᾶς μονῆς τῆ ἁγίου Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τῆ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκ. τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανῆ· Ταρασίυ τε τῆ ὁσιωτάτυ καὶ ἁγιωτάτου ἀρχιεπισκ. τῆς μεγαλωνύμου Κωνσαντινουπόλεως νέας Ῥώμης, καὶ Ἰωάννου καὶ Θωμᾶ τῶν Ἀλαβεσάτων πρεσβυτέρων, μοναχῶν καὶ τ στηρητῶν

θανάτῳ ἐξαισίῳ καὶ πανολεθρίῳ παραδίδοσθαι τοὺς τοῦτο ἐπιχειρεῖν τολμῶντας, πόσης ἄρα ἄξιοί εἰσι καταδίκης εἰς ἀπώλειαν, οἱ εἰς τὴν εἰκόνα τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ τῆς παναγίας ἐνδόξου θεοτόκου, μετὰ πάσης ἀλέκτου ἀναιδείας καὶ ἀσεβείας, καὶ διὰ τὸ ὑπερβάλλον κακὸν οὐκ ἔχω τι εἰπεῖν τοιαῦτα τετολμηκότες; μηδεμιᾶς εἰς * αὐτοὺς γενομένης φιλανθρωπίας, ὅθεν δυσωποῦμεν τὸ καλλίνικον ὑμῶν κράτος, μὴ ποιῆσαι ἔλεος εἰς τοὺς τοῦτο τετολμηκότας, μήτε φείσασθαι αὐτῶν, μήτε τὴν οἱανοῦν παράκλησιν ἢ ἀπολογίαν δέξασθαι περὶ αὐτῶν, ἵνα μὴ καὶ εἰς ἄλλότε τραπῶσι, καθὼς ἤδη θεωρίαν ἑωρακὼς ἤμην δηλώσας τῷ Αὐγούστῳ μηνὶ τῷ ἁγιωτάτῳ καὶ θεοτιμήτῳ πατριάρχῃ, σημάνας ἐν τῷ τέως παρ' ἑαυτῷ ἔχειν. οὐ γὰρ ἔκρυψεν ἀφ' ἡμῶν ὁ θεὸς τὰ διαβούλια αὐτῶν. ὅθεν πεπληροφόρημαι, ἀεισέβαστοι αὐτοκράτορες, ὅτι οὐχ ὑπενέγκοι βαστάσαι ἡ ὑπὸ τῆς μεγαλειότητος αὐτοῦ ἐλλαμπομένη θεοστήρικτος ὑμῶν καρδία τὴν τοσαύτην τῆς ἀτιμίας ἀτοπίαν, ἣν οὐδέποτε μέχρι τοῦ νῦν ἀκηκόαμεν, τάχα δὲ οὔτε ἄλλος Χριστιανός. ἀλλ' ἐνορκῶ ὑμᾶς δέσποτα κατὰ τοῦ Ἐμμανουὴλ θεοῦ ὑψίστου, μὴ ἀναμεῖναι μήτε πρὸς μικρὸν τοῦ γενέσθαι τὴν πρέπουσαν ἐκδίκησιν· κελεῦσαι δὲ ἐκζητηθῆναι καὶ τὰ ἐν τῷ φρέατι γεγονότα παρὰ τῆς ὑπερβαλλούσης αὐτῶν παγκακίστου πονηρίας, κατὰ τὴν ὑφὴν τῆς πρὸς τὴν ἡμῶν μετριότητα ἐπιστολῆς· μὴ προσδεχομένης τῆς ἡμερωτάτης ὑμῶν δεσποτείας, εἰ ἴσως δόξουσί τινες ὑποσπείρειν ἀκαίρους λόγους, ὡς δεσποινιακῶν αὐτῶν ὄντων, τοῦ Θεοῦ τοῦ δεδωκότος ὑμῖν τὸ κράτος οὕτως ὑπὲρ πᾶσαν ἀσέβειαν ἐνυβρισθέντος· ὅπως καὶ οἱ λοιποὶ αὐτῶν φόβον ἔχωσι πάσας τὰς ἡμέρας τῆς ἐπαράτου καὶ ἀφωρισμένης αὐτῶν βιώσεως· οὓς καὶ ἀποδέξεται τὸ συγγενὲς αὐτῶν σκότος εἰς τὴν καταδίκην τοῦ μέλλοντος αὐτοὺς κατεσθίειν ἀσβέστου καὶ ἀφεγγοῦς πυρός· καὶ καταθεματίσει αὐτοὺς εἰς τὰ καταχθόνια τῆς ἀβύσσου αὐτὸ τὸ πανάγιον καὶ παντοδύναμον πνεῦμα Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τοῦ ἀπολέσθαι αὐτοὺς εἰς ἀπέραντον ἀπώλειαν. τοῦτον γὰρ τὸν ζῆλον ἐνδεικνύμενοι σπουδαίως, θεοφύλακτοι τροπαιοῦχοι, εἰς αὐτὸν τὸν συμβασιλεύοντα τῇ εὐσεβείᾳ ὑμῶν μονογενῆ Θεὸν, ὑπὲρ τὴν τοῦ Ἀβραὰμ θυσίαν ἀποδεχθήσεσθε παρὰ τῆς αὐτοῦ παντεπόπτου θεότητος· καὶ ἔσται ἐπὶ πλείῳ εὐλογημένη καὶ μεγαλυνομένη τῷ κράτει τῆς ἰσχύος αὐτοῦ ἡ φιλόχριστος ὑμῶν βασιλεία ὑπὲρ πάσας τὰς ἔμπροσθεν βασιλείας· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

* ἴσ. αὐτὰς

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οἴδατε, ποίαν ἀπόφασιν ὁ πατὴρ παρέστησεν;

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπε· καὶ συγχωρήσεως ἀναξίους αὐτοὺς ἔκρινεν.

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· εὔδηλόν ἐστι πᾶσιν, ὅτι οἱ Σαμαρεῖται χείρονες τῶν ἄλλων αἱρετικῶν εἰσι, καὶ ἡ αἵρεσις αὐτῶν λίαν ἀπόβλητος καὶ κιβδήλη ἐστὶ, καὶ μακρὰν τῆς χάριτος. ὥστε ἀπέδειξεν ὁ λόγος, ὅτι οἱ τὰς σεπτὰς εἰκόνας καταστρέφοντες χείρους εἰσὶ τούτων. ἱκανὸν δέ ἐστιν ὀνομάσαι αὐτοὺς Σαμαρείτας.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκ. Κωνσταντίας τῆς Κύπρου εἶπεν· ἐγὼ μὲν τοὺς εἰκονοκλάστας χείρους τῶν Σαμαρειτῶν ἡγοῦμαι, ὅσον ἐκεῖνοι καὶ ἀγνοίᾳ διεπράξαντο, ἀλλότριοι ὄντες τοῦ Χριστιανισμοῦ· οὗτοι δὲ ἐν γνώσει πεποιήκασι, καὶ ἀνάξιοί εἰσιν ἀπολογίας. ὡς γὰρ γέγραπται· ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν, δαρήσεται πολλάς. Λουκ. 2.

Νικόλαος ὁ ὁσιώτατος ἐπίσκ. Κυζίκου εἶπε. κἀγὼ ὁ ἐλάχιστος τῆς ὑμῶν ὁσιότητος βίβλον ἐπάγομαι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης, καὶ ἀξιῶ ἀναγνωσθῆναι.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω.

Καὶ λαβὼν Δημήτριος ὁ εὐλαβέστατος διάκονος καὶ σκευοφύλαξ ἀνέγνω.

Ἰωάννου ἐπισκόπου Θεσσαλονίκης ἐκ τοῦ λόγου, οὗ ἡ ἀρχή.

Μέχρι τότε πειράζων τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν. καὶ μετ' ὀλίγα· ὁ Ἕλλην εἶπεν· ὑμεῖς οὖν ἐν ταῖς ἐκκλησίαις εἰκόνας οὐ γράφετε τοῖς ἁγίοις ὑμῶν, καὶ προσκυνεῖτε αὐτούς; καὶ οὐ μόνον τοῖς ἁγίοις, ἀλλὰ καὶ αὐτῷ τῷ Θεῷ ὑμῶν· οὕτως οὖν νόμιζε καὶ ἡμᾶς τὰ βρέτη περιθάλποντας οὐκ αὐτὰ προσκυνεῖν, ἀλλὰ τὰς δι' αὐτῶν θεραπευομένας ἀσωμάτους δυνάμεις. ὁ ἅγιος εἶπεν· ἀλλ' ἡμεῖς εἰκόνας ἀνθρώπων γεγενημένων, τῶν ἁγίων δούλων τοῦ Θεοῦ καὶ σωματοφόρων, ποιοῦμεν εἰς τὸ μεμνῆσθαι αὐτῶν καὶ τιμᾶν αὐτοὺς, καὶ οὐδὲν ἀπεικὸς ἐργαζόμεθα γράφοντες αὐτοὺς, οἷοι καὶ γεγόνασιν. οὐδὲ γὰρ πλαττόμεθα καθ' ὑμᾶς, οὐδὲ ἀσωμάτων τινῶν σωματικοὺς χαρακτῆρας δεικνύομεν· ἀλλὰ καὶ προσκυνοῦντες, οὐ τὰς εἰκόνας, ὡς καὶ σὺ προεῖπες, ἀλλὰ τοὺς διὰ τῆς γραφῆς δηλουμένους δοξάζομεν. καὶ τούτους οὐχ ὡς θεούς· μὴ γένοιτο· ἀλλ' ὡς γνησίους δούλους καὶ φίλους Θεοῦ, καὶ παῤῥησίαν ἔχοντας πρεσβεύειν ὑπὲρ ἡμῶν. τοῦ δὲ Θεοῦ εἰκόνας ποιοῦμεν, λέγω δὴ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὼς ὤφθη ἐπὶ τῆς γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, τοῦτον γράφοντες, καὶ οὐχ ὡς νοεῖται φύσει θεός. ποία γὰρ ὁμοίωσις, ἢ ποῖον σχῆμα τοῦ ἀσωμάτου καὶ ἀσχηματίστου λόγου τοῦ πατρός; πνεῦμα γὰρ ὁ Θεὸς, ὡς γέγραπται, τουτέστιν ἡ τῆς ἁγίας καὶ ὁμουσίου τριάδος φύσις. Ἰωάν. 4.
ἀλλ' ἐπεὶ εὐδοκία τοῦ θεοῦ καὶ υἱὸς καὶ πατρὸς κατελθὼν ὁ μονογενὴς αὐτοῦ καὶ θεὸς λόγος ἐξ οὐρανῶν, ἐσαρκώθη διὰ τὴν ἡμῶν σωτηρίαν ἐκ πνεύ-

πνεύματος ἁγίου καὶ τῆς ἀχράντου παρθένου καὶ θεοτόκου Μαρίας, τὴν ἀνθρωπότητα αὐτοῦ γράφομεν, οὐχὶ τὴν ἀσώματον θεότητα. ὁ Ἕλλην εἶπεν· ἔστω, τὸν θεὸν λόγον ὡς ἐνανθρωπήσαντα εἰκονογραφεῖτε· τί περὶ τῶν ἀγγέλων φατέ; ὅτι καὶ αὐτοὺς ζωγραφεῖτε ὡς ἀνθρώπους, καὶ προσκυνεῖτε, καί τοι μὴ ὄντας ἀνθρώπους, ἀλλὰ νοεροὺς καὶ ἀσωμάτους λεγομένους τε καὶ ὑπάρχοντας. οὕτω νόμιζε καὶ τοὺς παρ' ἡμῖν τιμωμένους θεοὺς διὰ τῶν ἀγαλμάτων θεραπεύεσθαι, μηδὲν ἄτοπον ἡμῶν διαπραττομένων, ὥσπερ οὐδὲ ὑμῶν ἐπὶ τῶν γραφομένων ἀγγέλων. ὁ ἅγιος εἶπε. περὶ τῶν ἀγγέλων καὶ ἀρχαγγέλων, καὶ τῶν ὑπὲρ τούτους ἁγίων δυνάμεων, προσθήσω δὲ καὶ τὰς ἡμετέρας ψυχὰς τῶν ἀνθρώπων, νοεροὺς μὲν αὐτοὺς ἡ καθολικὴ ἐκκλησία γινώσκει, οὐ μὴν ἀσωμάτους πάντῃ καὶ ἀοράτους, ὡς ὑμεῖς οἱ Ἕλληνες φατέ· λεπτοσωμάτους δὲ καὶ ἀερώδεις ἢ πυρώδεις κατὰ τὸ γεγραμμένον· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. καὶ τοῦτο πολλοὺς τῶν ἁγίων ἡμῶν πατέρων φρονήσαντας εὑρίσκομεν. ὧν ἐστι Βασίλειος ὁ μέγας, καὶ ὁ ἐν ἁγίοις Ἀθανάσιος, καὶ ὁ μέγας Μεθόδιος, καὶ οἱ ἀμφ' αὐτούς. μόνον γὰρ ὡς ἀληθῶς τὸ θεῖον ἀσώματον καὶ ἀπερίγραπτον, τὰ δὲ νοερὰ κτίσματα οὐ πάντῃ ἀσώματα καὶ ἀόρατα, ὡς τὸ θεῖον. διὸ καὶ ἐν τόπῳ εἰσὶ, καὶ ἐμπερίγραφα τυγχάνουσιν. εἰ δέ που εὕροις ἀσωμάτους καλουμένους τοὺς ἀγγέλους, ἢ δαίμονας, ἢ ψυχὰς, ὡς μὴ ὄντας ἐκ τῆς συμμίξεως τῶν ὑλικῶν τεσσάρων στοιχείων, καὶ τοιαῦτα σώματα παχέα καὶ ἀντίτυπα, οἷα ἡμεῖς περικείμεθα, οὕτως αὐτοὺς προσηγόρευσαν. τῷ ὄντι γὰρ ὡς πρὸς ἡμᾶς ἀόρατοί εἰσιν, ὡς ὁραθέντες δὲ παρὰ πλειόνων αἰσθητῶς πλεονάκις τῷ εἴδει τῶν οἰκείων αὐτῶν σωμάτων· ὡράθησαν δὲ ὑφ' ὧν ἤνοιξεν ὁ θεὸς τοὺς ὀφθαλμούς· καὶ τόπῳ περιγραφόμενοι, δείκνυνται μὴ ὄντες πάντῃ ἀσώματοι, ὡς ἡ θεία φύσις. ἡμεῖς οὖν οὐχ ὡς θεοὺς, ἀλλ' ὡς κτίσματα νοερὰ, καὶ λειτουργοὺς θεοῦ, καὶ μὴ κυρίως ὄντας ἀσωμάτους, οὐχ ἁμαρτάνομεν γράφοντες τοὺς ἀγγέλους, καὶ τιμῶντες. τὸ δὲ ἀνθρωποειδεῖς γράφειν αὐτοὺς, ἐκ τοῦ κατὰ συνέχειαν οὕτως αὐτοὺς ὀφθῆναι τοῖς ἐφ' οὓς ἀπεστάλησαν ὑπὸ τοῦ μόνου θεοῦ, γεγένηται.

Ψαλ. 103. καὶ Ἑβρ. 1.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐνωτισώμεθα τὸ ῥητὸν τοῦ πατρὸς, ὅτι ἐκεῖ μὲν Σαμαρεῖται τὰς εἰκόνας τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν καὶ τῆς ἀχράντου μητρὸς κατέστρεψαν, ἐνταῦθα δὲ Ἕλληνες, ὡς μεμαθήκαμεν. ἀπέδειξε δὲ ὁ πατὴρ, ὅτι καὶ τοὺς ἀγγέλους δεῖ γράφεσθαι, ἐπειδὴ περιγραπτοί εἰσι, καὶ ὡς ἄνθρωποι ἐνεφανίσθησαν πολλοῖς.

Ἡ ἁγία σύνοδος εἶπε· ναὶ δέσποτα.

Στέφανος μοναχὸς ἀνέγνω.

Ἐκ τῆς διαλέξεως Ἰουδαίου καὶ Χριστιανοῦ.

Ὁ Ἰουδαῖος λέγει· ἐπείσθην εἰς πάντα, καὶ πιστεύω τῷ ἐσταυρωμένῳ Ἰησοῦ Χριστῷ, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. σκανδαλίζομαι δὲ εἰς ὑμᾶς ὦ Χριστιανοὶ, ὅτι ταῖς εἰκόσι προσκυνεῖτε. ἡ γραφὴ γὰρ πάντως παραγγέλλει μὴ ποιεῖν ἑαυτοῖς γλυπτὸν, ἢ πᾶν ὁμοίωμα. ὁ Χριστιανὸς ἔφη. Θεῷ προσφάτῳ παραγγέλλουσί σε μὴ προσκυνεῖν αἱ γραφαὶ, καὶ πᾶσαν ὁμοίωσιν μὴ προσκυνεῖν ὡς Θεόν. αἱ γὰρ εἰκόνες ἃς θεωρεῖς, πρὸς ὑπόμνησιν τῆς φιλανθρώπου σωτηρίας γράφονται τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς ἐνανθρωπήσεως αὐτοῦ σημαίνουσαι τὸ πρόσωπον. αἱ δὲ τῶν ἁγίων εἰκόνες ὡσαύτως ἑκάστου αὐτῶν τοὺς ἀγῶνας σημαίνουσαι τοὺς κατὰ τοῦ διαβόλου, καὶ τὰς νίκας αὐτῶν καὶ τοὺς στεφάνους. οὐ γὰρ, ὡς σὺ νοεῖς, θεοποιοῦντες αὐτὰς προσκυνοῦσιν οἱ Χριστιανοὶ, ἀλλὰ ζύλῳ πυρούμενοι καὶ πίστει τὰς τῶν ἁγίων θεωροῦσιν εἰκόνας, μνήμην φέροντες τῆς τούτων θεοσεβείας. καὶ προσκυνοῦντες τὸν τῶν ἁγίων ἐκκαλοῦνται Θεὸν, λέγοντες· εὐλογητὸς εἶ ὁ Θεὸς τοῦδε τοῦ ἁγίου καὶ πάντων τῶν ἁγίων, ὁδοὺς αὐτοῖς ὑπομονὴν, καὶ ἀξιῶν τῆς σῆς βασιλείας μετόχους ἡμᾶς ποίησον αὐτῶν, καὶ εὐχαῖς αὐτῶν διάσωσον ἡμᾶς. τὴν δὲ τοῦ σωτῆρος εἰκόνα θεωροῦντες καὶ προσκυνοῦντες, πνευματικοῖς ὀφθαλμοῖς καὶ καρδίας ὄμμασι Θεῷ τῷ τῶν ὅλων δεσπότῃ εὐχαριστοῦμεν, τῷ καταδεξαμένῳ ἐν μορφῇ δούλου τὸν ἄνθρωπον λαβεῖν, καὶ σῶσαι τὸν κόσμον, καὶ ὁμοιωθῆναι ἡμῖν χωρὶς πάσης ἁμαρτίας κατὰ πάντα· οὔκουν τῇ ξυλίνῃ εἰκόνι ἢ τῇ γραφίδι προσκυνοῦμεν ἢ σέβομεν, ἀλλὰ τὸν τῶν ὅλων δεσπότην Χριστὸν τὸν Θεὸν δοξολογοῦμεν. πλὴν ἀδελφὲ δείξω σοι, ὅτι καὶ Μωσῆς ὁ ταῦτά σοι νομοθετήσας ἐκελεύθη, καθὼς γέγραπται, καὶ γλυπτὰ δύο Σεραφὶμ ἐποίησεν ἐπάνω ἱπτάμενα τῆς σκηνῆς τοῦ μαρτυρίου ἐντεῦθεν καὶ ἐντεῦθεν, ἔνθα οὐκ ἐξὸν ἦν τινι εἰσπορεύεσθαι, εἰ μὴ μόνῳ τῷ ἀρχιερεῖ ἅπαξ τοῦ ἐνιαυτοῦ, καὶ τὰ ἅγια τῶν ἁγίων θυμιᾷν. ὁμοίως δὲ καὶ τὸν ὄφιν τὸν χαλκοῦν χαλκούργημα χωνευτὸν δημιουργήσας, καὶ κρεμάσας μέσον τῆς παρεμβολῆς, ἔλεγεν· ὡς ἂν δηχθῇ ὑπὸ ὄφεως, ἀτενιζέτω τῷ χαλκῷ ὄφει τούτῳ, καὶ πιστευέτω, ὅτι ἐστὶν ὄφις οὗτος δυνατὸς ἰάσασθαι αὐτὸν, καὶ ἰαθήσεται. ὁρᾷς, πῶς ὁ παραγγέλλων Μωσῆς ὁμοίωμα μὴ ποιῆσαι, ὁμοίωμα ἐποίησεν;

Ἐξοδ. 25 καὶ 7.

Ἀριθμ. 1

Ἰωάννης ὁ εὐλαβέστατος μοναχὸς, πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· ἰδοὺ προφανῶς οἱ ἱερώτατοι ἡμῶν πατέρες τοὺς ἀρνουμένους τὴν ἔνσαρκον οἰκονομίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν λέγουσιν ἀποβαλέσθαι τὰς ἁγίας εἰκόνας, Ἑβραίους φαμὲν καὶ Σαμαρείτας· ὥστε οἱ ἀποβαλλόμενοι αὐτὰς, τούτοις ὅμοιοι εἰσίν.

Ἡ ἁγία σύνοδος εἶπεν· ὅμοιοι εἰσίν.

Ἐπιφάνιος διάκονος, καὶ τὸν τόπον ἐπέχων Θωμᾶ ἐπισκόπου Σαρδινίας, ἀνέγνω.

Ἐκ

Ἐκ τῆς ψευδεπιγράφων περιόδων τῶν ἁγίων ἀποστόλων.

Ὁ ἁγ ζωγράφος τῇ πρώτῃ ἡμέρα σκιαγραφήσας αὐτὸν, ἀπηλλάγη. τῇ δὲ ἑξῆς κ τοῖς χρώμασιν αὐτὸν κατεκέρασε, κ ὕπως τῷ Λυκομήδει χαίροντι τὴν εἰκόνα ἀπέδωκεν. ἣν ἀναθεὶς εἰς τὸν ἑαυτοῦ κοιτῶνα, ἔσεφεν· ὡς ὕστερον γνόντι τὸν Ἰωάννην εἰπεῖν αὐτῷ· ἀγαπητόν μου τέκνον, τί διαπράττῃ ἀπὸ βαλανείου εἰσερχόμενος εἰς τὸν κοιτῶνα σου μόνος; οὐχὶ σὺν σοὶ ἐγὼ κ τοῖς λοιποῖς ἀδελφοῖς δέχομαι; ἢ ἡμᾶς κρύπτεις; κ ταῦτα λέγων καὶ παίζων, μετ' αὐτὸν εἰσεισιν εἰς τὸν κοιτῶνα. ὁρᾷ εἰκόνα περιεσεμμένην πρεσβύτου, καὶ παρακεκυφότος λύχνους, κ βωμὸν ἑστῶτα· κ φωνήσας αὐτὸν εἶπε· Λυκόμηδες, τί βούλεταί σοι τὸ τῆς εἰκόνος ταύτης; τίς τῶν θεῶν σου τυγχάνει ὁ γεγραμμένος; ὁρῶ γάρ σε ἔτι ἐθνικῶς ζῶντα. ὁ Λυκομήδης αὐτῷ ἀπεκρίνατο· ὁ θεός μου μοί ἐστιν ἐκεῖνος μόνος, ὁ ἐμὲ ἐγείρας ἐκ τοῦ θανάτου μετὰ τῆς συμβίου μου. εἰ δὲ κ μετὰ τὸν Θεὸν τοὺς ἱερέτας ἡμῶν ἀνθρώπους θεοὺς χρὴ καλεῖσθαι, σὺ εἶ ὁ ἐν τῇ εἰκόνι γεγραμμένος, ὃν σέβω κ φιλῶ κ σέβομαι ὁδηγὸν ἀγαθόν μοι γεγονότα. καὶ ὁ Ἰωάννης μηδέπω τὸ ἑαυτοῦ πρόσωπον θεασάμενος, εἶπεν αὐτῷ· παίζεις με τεκνίον· τοιοῦτός εἰμι μορφῇ ὑπὲρ τὸν κύριόν σου; πῶς με πείθεις, ὅτι μοι ἡ εἰκὼν ὁμοία ὑπάρχει; κ ὁ Λυκομήδης αὐτῷ προσήγαγε κάτοπτρον. κ ἰδὼν ἑαυτὸν ἐν τῷ κατόπτρῳ, κ ἀτενίσας τῇ εἰκόνι, εἶπε· ζῇ κύριος Ἰησοῦς Χριστός, ὁμοία μοι ἡ εἰκών· κακῶς δὲ ἅπαν διεπράξω.

Ἔτι ὁ αὐτὸς ἀνέγνω ἐκ τῆς αὐτῆς βίβλου, ἧς ἡ ἀρχή.

Ποτέ βουλόμενον τὸν Ἰησοῦν κρατῆσαι· καὶ μεθ' ἕτερα. ἐν ὑλώδει κ παχεῖ σώματι προσέβαλλον· ἄλλοτε δὲ πάλιν ψηλαφῶντός μου αὐτὸν, ἄϋλον ἦν κ ἀσώματον τὸ ὑποκείμενον, κ ὡς μηδὲ ὅλως ὄν. εἰ δέ ποτε ὑπό τινος τῶν φαρισαίων κληθεὶς εἰς κλῆσιν ἐπορεύετο, σωματούμενόν αὐτῷ, κ ἕκαστος ἡμῶν ἐλάμβανε τακτὸν ἄρτον ἕνα ὑπὸ τῆς κεκλικότος· ἐν οἷς κ αὐτὸς ἐλάμβανεν ἕνα. τὸν δὲ αὐτοῦ ἄλογον διεμέριζεν ἡμῖν· κ ἐκ τοῦ βραχέος ἕκαστος ἡμῶν ἐχορτάζετο. κ οἱ ἡμῶν ἄρτοι ὁλόκληροι ἐφυλάσσοντο, ὥστε ἐκπλήττεσθαι τοὺς καλοῦντας αὐτόν. ἐβουλόμην δὲ πολλάκις σὺν αὐτῷ βαδίζων ἰδεῖν, εἰ ἴχνος αὐτοῦ ἐπὶ τῆς γῆς φαίνεται. ἐώρων γὰρ αὐτὸν ἀπὸ τῆς γῆς ἑαυτὸν ἐπαίροντα, κ οὐδέποτε εἶδον. κ ταῦτα ὑμῖν ἔτι ὥσπερ προβοπῆς ἕνεκεν, ἀδελφοί, τῆς ἐπ' αὐτὸν πίστεως ὁμιλῶ. τὰ γὰρ μεγαλεῖα αὐτοῦ κ τὰ θαυμάσια τὸ νῦν σεσιγήσθω, ἄῤῥητα ὄντα, κ τάχα οὐ δυνάμενα ὅτε λέγεσθαι, ὅτε ἀκούεσθαι. πρὶν δὲ συλληφθῆναι αὐτὸν ὑπὸ τῶν ἀνόμων, κ ὑπὸ ἀνόμου ὄφεως νομοθετουμένων Ἰουδαίων, σωσαγαγὼν πάντας ἡμᾶς, ἔφη· πρίν με ἐκείνοις παραδοθῆναι, ὑμνήσωμεν τὸν πατέρα, ὅπως ἐξέλθωμεν ἐπὶ τὸ προκείμενον. κελεύσας οὖν ἡμῖν χῶρον ποιῆσαι ἀποχρατούντων τὰς ἀλλήλων χεῖρας, ἐν μέσῳ δὲ αὐτὸς χορεύων ἔλεγε τό· ἀμήν, ἐπακούετέ μου. ἤρξατο οὖν ὑμνεῖν κ λέγειν· δόξα σοι πάτερ. κ ἡμεῖς κυκλεύοντες * ἐπηκούομεν αὐτῷ τὸ, ἀμήν. δόξα σοι λόγε, δόξα σοι χάρις, ἀμήν. δόξα σοι τὸ πνεῦμα, δόξα σοι ἅγιε, δόξα σου τῇ δόξῃ, ἀμήν. αἰνοῦμέν σε πάτερ, εὐχαριστοῦμέν σοι. φῶς, ἐν ᾧ σκότος οὐκ οἰκεῖ, ἀμήν. ἐφ' ᾧ δὲ εὐχαριστοῦμεν, * λέγω, σωθῆναι θέλω, κ σῶσαι θέλω. ἀμήν. λυθῆναι θέλω, καὶ λῦσαι θέλω, ἀμήν. τρωθῆναι θέλω, κ ξῶσαι θέλω, ἀμήν. φαγεῖν θέλω, κ βρωθῆναι θέλω, ἀμήν, ἀκοῦσαι θέλω, κ ἀκούεσθαι θέλω, ἀμήν. νοηθῆναι θέλω, νοῦς ὢν ὅλος, ἀμήν. λοῦσασθαι θέλω, κ λοῦσαι θέλω, ἀμήν. ἡ χάρις χορεύει, αὐλῆσαι θέλω, ὀρχήσασθε πάντες, ἀμήν. θρηνῆσαι θέλω, κόψασθε πάντες, ἀμήν. κ μεθ' ἕτερα. ταῦτα ἀγαπητοί, χορεύσας μεθ' ἡμῶν ὁ κύριος ἐξῆλθε· κ ἡμεῖς ὥσπερ πλανηθέντες, ἢ κ ἀποκοιμηθέντες, ἄλλος ἀλλαχόσε πεφεύγαμεν. ἐγὼ μὲν ἰδὼν αὐτὸν φάσχοντα, οὐδὲ προσέμενα αὐτοῦ τὸ πάθος, ἀλλ' ἔφυγον ἐπὶ τὸ ὄρος τῆς ἐλαιῶν, κλαίων ἐπὶ τῷ συμβεβηκότι. κ ὅτε τὸ, ἄρον, ἐβοᾶτο, ἀπεκρεμάσθη ὥρας ἕκτης ἡμέρας, κ σκότος ἐφ' ὅλης τῆς γῆς ἐγένετο. κ σὰς ὁ κύριός μου ἐν μέσῳ τοῦ σπηλαίου, κ φωτίσας με εἶπεν· Ἰωάννη, τῷ κάτω ὄχλῳ ἐν Ἱεροσολύμοις σαυρῶμαι, κ λόγχαις νύσσομαι, κ καλάμοις· ὄξος τε κ χολὴν ποτίζομαι. σοὶ δὲ λαλῶ, κ ὃ λαλῶ, ἄκουσον. ἐγώ σοι ὑπέβαλον ἀνελθεῖν εἰς τοῦτο τὸ ὄρος, ὅπως ἀκούσῃς ἃ δεῖ μαθητὴν παρὰ διδασκάλου μανθάνειν, κ ἄνθρωπον παρὰ Θεοῦ. κ εἰπὼν ταῦτα, ἔδειξέ μοι σαρκὸν φωτὸς πεπηγμένον, κ περὶ τὸν σαρκὸν ὄχλον πολὺν, μίαν μορφὴν μὴ ἔχοντα. κ ἐν αὐτῷ ἓν μορφὴ μία, κ ἰδέα ὁμοία. αὐτὸν δὲ τὸν κύριον ἐπάνω τοῦ σαρκὸς ἑώρων σχῆμα μὴ ἔχοντα, ἀλλά τινα φωνὴν μόνον· φωνὴν δὲ, ἣ ταύτην τὴν ἡμῖν σωτηρίαν, ἀλλά τινα ἡδεῖαν κ χρηστὴν, κ ἀληθῶς Θεοῦ, λέγουσαν πρός με· Ἰωάννη, ἕνα δεῖ παρ' ἐμοῦ ταῦτα ἀκοῦσαι· ἑνὸς γὰρ χρήζω τοῦ μέλλοντος ἀκούειν. ὁ σαρκὸς ὁ τοῦ φωτὸς, ποτὲ μὲν λόγος καλεῖται ὑπ' ἐμοῦ δι' ὑμᾶς, ποτὲ δὲ νοῦς, ποτὲ δὲ Χριστός, ποτὲ θύρα, ποτὲ ὁδός, ποτὲ ἄρτος, ποτὲ σπόρος, ποτὲ ἀνάστασις, ποτὲ Ἰησοῦς, ποτὲ πατὴρ, ποτὲ πνεῦμα, ποτὲ ζωὴ, ποτὲ ἀλήθεια, ποτὲ πίστις, ποτὲ χάρις.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. θεωρήσωμεν ὅλον τὸ σύγγραμμα τοῦτο, ἐναντίον ἐστὶ τῷ εὐαγγελίῳ.

Ἡ ἁγία σύνοδος εἶπε· ναὶ δέσποτα· καὶ δόκησιν τὴν ἀνθρώπησιν λέγει.

* L. ἀπεκρινόμεθα.

* Sic. λέγε

Μάρκ. 15. Ματθ. 27 Λουκ. 23. Ἰωάν. 19.

Τα-

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἐν ταῖς περιόδοις ταύταις ἐγράφη, ὅτι οὔτε ἤθιεν, οὔτε ἔπινεν, ὅτε ποσὶ τὴν γῆν ἐπάτει, τὰ παρόμοια τῆς Φαντασιάσεως. ἀλλ' ἐν τῷ Εὐαγγελίῳ γέγραπται περὶ τοῦ Χριστοῦ, ὅτι καὶ ἔφαγε, καὶ ἔπιε, καὶ οἱ Ἰουδαῖοι περὶ αὐτοῦ ἔλεγον· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης. καὶ εἰκαθὼς ἐμυθίσαντο, ὅτι τὴν γῆν οὐκ ἐπάτει, πῶς γέγραπται ἐν τῷ Εὐαγγελίῳ, ὁ Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκάθισε παρὰ τὸ φρέαρ;

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· αὕτη ἡ βίβλος ἐστὶν ἡ σωισῶσα τὸν ψαλτοσύλλογον ἐκεῖνον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· γέλωτος ἄξια εἰσὶ ταῦτα.

Θεόδωρος ὁ θεοφιλέστατος ἐπίσκοπος Κατάνης εἶπεν· ἴδε ἡ κατασρέψασα τὸν σολισμὸν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας.

Εὐθύμιος ὁ ὁσιώτατος ἐπίσκοπος Σάρδεων εἶπεν. ἔπρεπε τῇ παρασωαγωγῇ ἐκείνῃ ἔχειν τὴν βίβλον ταύτην εἰς μαρτυρίαν.

Κωνσταντῖνος ὁ ὁσιώτατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπεν· ὢ τῆς βλασφημίας, ὅτι ἐνταῦθα τὸν Ἰωάννην τὸν ἀπόστολον ἐν τῷ ὄρει τῆς ἐλαιῶν λέγει πεφυγέναι εἰς τὸ σπήλαιον κατὰ τὸν καιρὸν τοῦ σαυροῦ. τὸ δὲ Εὐαγγέλιον μαρτυρεῖ, ὅτι σωεισῆλθεν αὐτῷ εἰς τὴν αὐλὴν τοῦ Καϊάφα, καὶ ὅτι παρειστήκει τῷ σαυρῷ τοῦ Χριστοῦ μετὰ τῆς ἁγίας αὐτοῦ μητρός.

Ἡ ἁγία σύνοδος εἶπε. πᾶσα αἵρεσις ἐν τῇ βίβλῳ ταύτῃ ἀποκρέμαται.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· αἱ αἱ, ἀπὸ ποίων βίβλων αἱρετικῶν τὴν αἵρεσιν αὐτῆς σωισάνεσιν.

Γρηγόριος ὁ ὁσιώτατος ἐπίσκοπος Νεοκαισαρείας εἶπε. τοῦτο τὸ βιβλίον παντὸς μιασμοῦ καὶ ἀτιμίας ἐστὶν ἄξιον. καὶ προλέγεσθαι ἐξ αὐτοῦ μαρτυρίαν κατὰ τῆς εἰκόνων τὰ περὶ τοῦ Λυκομήδους γεγραμμένα.

Ἰωάννης ὁ θεοβέστατος μοναχὸς καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν ἀρχιερέων εἶπεν. εἰσφέρει τὸν Λυκομήδην στεφανοῦντα τὴν εἰκόνα τοῦ ἀποστόλου, ὥσπερ καὶ οἱ Ἕλληνες τὰ εἴδωλα.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Ἀγκύρας εἶπε· μὴ γένοιτο, ὅτι ὁ ἅγιος Ἰωάννης ὁ θεολόγος ἐναντίον τῷ Εὐαγγελίῳ αὐτοῦ ἐφθέγξατο.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. αἱ προαναγνωσθεῖσαι σύνοιαί εἰσι τοῦ Εὐαγγελίου;

Ἡ ἁγία σύνοδος εἶπε· μὴ γένοιτο· ὅτε τὰ προαναγνωσθέντα δεχόμεθα, ὅτε τὰ ἔξαρτα τοῦ Λυκομήδους.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ὁ δεχόμενος τὰ δεύτερα τὰ περὶ τοῦ Λυκομήδους, δέχεται καὶ τὰ πρῶτα, καθ' ὃν τρόπον καὶ τὸ ψαλτοσύλλογον ἐκεῖνο.

Ἡ ἁγία συνόδος εἶπεν· ἀνάθεμα αὐτῷ ἐκ τοῦ πρώτου γράμματος ἕως τοῦ ἐσχάτου.

Ἰωάννης ὁ θεοβέστατος μοναχὸς, πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν πατριαρχῶν εἶπεν. ἰδοὺ μακάριοι πατέρες, ἀποδέδεικται σαφῶς, ὅτι οἱ προσάται τῆς χειρισανοκατηγορικῆς αἱρέσεως ἀληθῶς κοινωνοὶ καὶ μέτοχοί εἰσι Ναβυχοδονόσορ, ἔτι μὴν καὶ τῆς Σαμαρειτῆς, ἔτι λοιπὸν Ἰουδαίων τε καὶ Ἑλλήνων· πρόσται τούτοις καὶ τῆς ἀθέων καὶ ἐπαράτων Μανιχαίων, ὧν τὴν μαρτυρίαν προήγαγον. τῆς γὰρ φαντασίαν δοκούντων τὴν σύνσαρκον οἰκονομίαν τοῦ Θεοῦ λόγου εἶσι ταῦτα. ἀλλ' εἴη αὐτοῖς ἀνάθεμα σὺν τοῖς γράμμασιν αὐτῆς.

Ἡ ἁγία συνόδος εἶπεν. ἀνάθεμα.

Πέτρωνας ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· εἰκελθέτω δέσποτα, ἐρωτήσωμεν τὸν τοῦ Ἀμορίου καὶ τὸν Νεοκαισαρείας, εἰ ἀνεγνώσθησαν τὰ βιβλία εἰς τὸν ψαλτοσύλλογον ἐκεῖνον.

Γρηγόριος ὁ Νεοκαισαρείας καὶ Θεοδόσιος τοῦ Ἀμορίου ἐρωτηθέντες εἶπον· μὴ ὁ Θεός. ἐκεῖβίβλος οὐκ ἐφάνη, ἀλλὰ ὀκτὼ ψαλτοπιττακίων ἑξηπάτων ἡμᾶς.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. τῷ οἰκείῳ λογισμῷ πεισθέντες ἐξέθεντο ἃ ἐβούλοντο.

Πέτρωνας ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν, ἀλλὰ καὶ κατὰ βασιλικὴν ἐπικρίσιν πάντα ἐποίησεν.

Γρηγόριος ὁ ὁσιώτατος ἐπίσκοπος Νεοκαισαρείας εἶπε· πολλάκις δέσποτα εἶπον, καὶ πάλιν λέγω, ὅτι βίβλος ἐν μέσῳ ἡμῶν ἡ σύγγραμμα πατρικὸν οὐκ ἐφάνη, εἰ μὴ τὰ ψαλτοπιττάκια προεκόμιζον, τοῦτο δὲ τὸ τοῦ Λυκομήδους καὶ τὰς ἀκοὰς ἡμῶν ἐμίανεν.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος, μοναχὸς καὶ τοποτηρητὴς τῆς ἀνατολικῶν ἀρχιερέων εἶπεν. εἰπαίσατε τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, γένοιτο ἀπόφασις; τοῦ μηκέτι ἀπογράφεσθαί τινας τὸ μιαρὸν τοῦτο βιβλίον.

Ἡ ἁγία συνόδος εἶπεν· μηδεὶς ἀπογραφέσθω. μὴ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ περὶ αὐτὸ ἄξιον κρίνομεν ἀποδίδοσθαι.

Πέτρος ὁ θεοβέστατος ἀναγνώστης ἀνέγνω.

Τοῦ ἁγίου Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου περὶ τῆς ψευδεπιγράφων τῆς παρὰ αἱρετικοῖς· ὃ ἡ ἀρχή.

Δίκαιον δὲ ἡγησάμεθα πᾶσαν αὐτῆς γυμνῶσαι τὴν ἀσέβειαν, καὶ δημοσιεῦσαι αὐτῆς τὴν πλάνην· ἐπειδὴ καὶ βιβλία τινὰ προβάλλονται ἐπιγραφὰς ἔχοντα τῆς ἀποστόλων, δι' ὧν ἁπλουστέρους ἐξαπατῶσι. καὶ μετ' ὀλίγα. δείξομεν γὰρ τὰ βιβλία ταῦτα, ἃ προφέρουσιν ἡμῖν οἱ ἀποσάται τῆς ἐκκλησίας, οὐχὶ τῆς ἀποστόλων πράξεις, ἀλλὰ δαιμόνων συγγράμματα. καὶ μεθ' ἕτερα. ταῦτα μὴν ὁ ἀπόστολος Ἰωάννης οὐκ ἀνεῖπεν, ὁ γράψας ἐν τῇ Εὐαγγελίῳ, ὅτι ὁ κύριος

ἀπὸ τοῦ σαυροῦ λέγει. ἰδοὺ ὁ υἱός σου· ὡς καὶ ἀπὸ τῆς ἡμέρας ἐκείνης λαβεῖν τὸν ἅγιον Ιωάννην τὴν Μαρίαν εἰς τὰ ἴδια. πῶς ἐνταῦθα λέγει μὴ παρεῖναι; ἀλλ' οὐδὲν ξένον. ὥσπερ γὰρ ὁ κύριος ἀλήθειά ἐστιν, οὕτως ὁ διάβολος ψεύστης τυγχάνει. ἐκεῖνος γὰρ ψεύστης ἐστὶ καὶ πατὴρ αὐτοῦ. καὶ ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ. καὶ ταῦτα μὲν περὶ τοῦ ψεύδους.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὁ πατὴρ ἡμῶν ὁ ἅγιος Αμφιλόχιος μέγας ἐστὶ, καὶ ἀκούσωμεν τί λέγει περὶ τῶν περιόδων τούτων τῶν ψευδωνύμων. διὸ οὐ δεῖ πείθεσθαι ἡμᾶς τῇ ἐπιγραφῇ αὐτῶν.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκοπος Αγκύρας εἶπε· πλεῖον τούτου τοῦ ἀσεβοῦς συγγράμματος ἄλλό τι τῷ ἁγίῳ εὐαγγελίῳ οὐ μάχεται. εἰκότως οὖν καὶ περὶ τῶν εἰκόνων τὴν ἐναντίαν δόξαν ἔχει.

Ο ἁγιώτατος πατριάρχης εἶπε. * σαφῶς ὁ πατὴρ θριαμβεύει τὴν αἰσχύνην καὶ τὴν φλυαρίαν τῆς δε τῆς βίβλου.

Η ἁγία σύνοδος εἶπε. ναὶ δέσποτα.

Νικηφόρος ὁ ὁσιώτατος ἐπίσκοπος τοῦ Δυῤῥαχίου εἶπεν. ἔδει δέσποτα τοῦτο ἀναγνωσθῆναι πρὸς πληροφορίαν πάντων, καὶ μὴ ἐκεῖνο. ἐμόλυνε γὰρ τὰ ὦτα ἡμῶν.

Η ἁγία σύνοδος εἶπεν. ἀλλὰ πρὸς ἀσφάλειαν καλὴν ἐγένετο, ὅτι ἀνεγνώσθη.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· Εὐσέβιον προήγαγον εἰς μαρτυρίαν οἱ κατὰ τῶν σεπτῶν εἰκόνων φλυαρήσαντες, ἐν τῇ ἐπιστολῇ αὐτοῦ τῇ πρὸς Κωνσταντίαν τὴν τοῦ Λικιννίου γυναῖκα γραφείσῃ. καὶ ἴδωμεν ποίας δόξης ἐστὶν ὁ Εὐσέβιος.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς ἀνέγνω.

Εὐσεβίου τοῦ Παμφίλου πρὸς Εὐφρατίωνα. οὗ ἡ ἀρχή.

Τῷ δεσπότῃ μου κατὰ πάντα ὁμολογῶ· καὶ μεθ' ἕτερα. οὐ γὰρ συνυπάρχειν φαμὲν τὸν υἱὸν τῷ πατρὶ, προϋπάρχειν δὲ τὸν πατέρα τοῦ υἱοῦ. ἐὰν γὰρ συνϋπάρχωσι, πῶς ἔσται ὁ πατὴρ πατὴρ, καὶ ὁ υἱὸς υἱός; ἢ πῶς ὁ μὲν πρῶτος, ὁ δὲ δεύτερος; καὶ ὁ μὲν ἀγέννητος, ὁ δὲ γεννητός; δύο γὰρ ἐξ ἴσου ὁμοίως ἀλλήλοις συνϋπάρχοντα, ἰσότιμα ἂν νοοῖντο. καὶ ἤτοι ἄμφω, ὡς ἔφην, ἀγέννητα, ἢ ἑκάτερα γεννητά. ἀλλ' οὐδέτερον τούτων ἀληθές· οὔτε γὰρ τὸ ἀγέννητον, οὔτε τὸ γεννητὸν ἂν εἴη· ἀλλὰ τὸ μὲν πρῶτον καὶ κρεῖττον καὶ τάξει καὶ τιμῇ τοῦ δευτέρου ἡγεῖται, ὡς ἂν καὶ τοῦ εἶναι τοῦ τοιῶσδε εἶναι τῷ δευτέρῳ αἴτιον γεγενημένον.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης κατ' ἐρώτησιν εἶπε. δεχόμεθα τοῦτον;

Η ἁγία σύνοδος εἶπε. μὴ γένοιτο δέσποτα· οὗτος πλεῖον ἐκείνων μισείσθω.

Βασίλος ὁ ὁσιώτατος ἐπίσκοπος Αγκύρας εἶπε· μὴ γένοιτο Χριστιανῷ ἀνθρώπῳ τοῦτο λέγειν. καὶ ἀνεγνώσθη ἐκ τῆς αὐτῆς ἐπιστολῆς. τὸν αὐτὸν δὲ καὶ μόνον ἀληθινὸν εἶναι διδάσκει δι' ὧν φησιν· ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν. οὐχὶ ὡς ἑνὸς ὄντος μόνου τοῦ Θεοῦ, ἀλλ' ὡς ἑνὸς ὄντος μόνου ἀληθινοῦ Θεοῦ, μετὰ προσθήκης ἀναγκαιοτάτης τοῦ, ἀληθινοῦ. ἐπεὶ καὶ αὐτὸς Θεὸς μὲν ὁ υἱὸς, ἀλλ' οὐκ ἀληθινὸς Θεός. εἷς γάρ ἐστι καὶ μόνος ἀληθινὸς Θεὸς, διὰ τὸ μὴ ἔχειν πρὸ αὐτοῦ τινά. εἰ δὲ καὶ αὐτὸς ὁ υἱὸς ἀληθινὸς, ἀλλ' ὡς εἰκὼν τοῦ ἀληθινοῦ Θεοῦ εἴη ἂν καὶ Θεός. ἐπεὶ καὶ Θεὸς ἦν ὁ λόγος, οὐ μὴν ὡς ὁ μόνος ἀληθινὸς Θεός.

Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκοπος τῆς ἁγίας Κυριακῆς εἶπε. πανάγιε δέσποτα καὶ πᾶσα ἡ ἁγία καὶ ἱερὰ σύνοδος, ὥσπερ ἡμεῖς ἔχομεν τὰ θεόγραφα βιβλία ἀποστόλων καὶ προφητῶν καὶ τῶν λοιπῶν ἁγίων, οὕτως ἔπρεπε καὶ τῷ ψευδοσυλλόγῳ ἐκείνῳ ἔχειν τοιαῦτα βιβλία εἰς μαρτυρίαν καὶ δύναμιν.

Η ἁγία σύνοδος εἶπεν. ἀνάθεμα ταῖς βίβλοις ἐκείναις, καὶ τοῖς χρησαμένοις αὐταῖς.

Πέτρος καὶ Πέτρος οἱ θεοφιλέστατοι πρεσβύτεροι καὶ τοποτηρηταὶ Αδριανοῦ πάπα τῆς πρεσβύτερας Ρώμης εἶπον· ἔδειξεν αὐτὴ ἡ ἀνάγνωσις, ὅτι Αρειανῶν εἶχε φρόνημα. εἶχε δὲ ἡ προαχθεῖσα βίβλος Εὐσεβίου καὶ ἑτέρας βλασφημίας, ὧν ἡ σύνοδος ἐπακοῦσαι οὐκ ἠνέσχετο.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. τὰ συγγράμματα αὐτοῦ ἀποβάλλομεθα.

Η ἁγία σύνοδος εἶπε· καὶ ἀποβαλλόμεθα, καὶ ἀναθεματίζομεν.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς ἀνέγνω.

Αντιπάτρου ἐπισκόπου Βόστρης ἀντίῤῥησις τῆς Εὐσεβίου ἐπισκόπου Καισαρείας ὑπὲρ τῆς Ωριγένους ἀπολογίας, λόγος πρῶτος, οὗ ἡ ἀρχή.

Εγὼ μὲν ἀρκούντως ἐνόμιζον γεγραφηκέναι, καὶ τὸ ἱκανὸν τοῖς παρὰ τῆς σῆς ὁσιότητος ἐπιταχθεῖσι ποιῆσαι, τὰ πάντα θεοφιλέστατε καὶ ὁσιώτατε πάτερ Ιωάννη. καὶ μετ' ὀλίγα. ἐπειδὴ γὰρ πολυΐστωρ ὁ ἀνὴρ γέγονε, πάσας τὰς τῶν ἀρχαιοτέρων βίβλους τε καὶ συγγράμματα ἐξερευνήσας καὶ ἀνιχνεύσας, καὶ τὰς πάντων μικροῦ δεῖν δόξας ἐκθέμενος, καὶ πλεῖστα συγγράμματα καταλείψας τῷ βίῳ· ὧν ἔνια καὶ πάσης ἀποδοχῆς ἄξια τυγχάνει· τῇ τοιαύτῃ τοῦ ἀνδρὸς ἐπολήψει χρώμενοι, συναρπάζειν ἐπιχειροῦσιν ἐνίους, ὡς ὅτι, φησὶν, οὐκ ἂν εἵλετο Εὐσέβιος ἐπὶ τοῦτο ἰδεῖν, εἰ μὴ πάσας ἀκριβῶς ἠπίστατο τῶν παλαιῶν τὰς δόξας τοῦτο βουλομένας. ἐγὼ δὲ, ὅτι μὲν πολυΐστωρ ὁ ἀνήρ, καὶ οὐδέν τι τῶν παλαιοτέρων συγγραμμάτων τὴν ἐκείνου διέλαθε γνῶσιν, σύμφημι καὶ ὁμολογῶ. βασιλικῇ γὰρ συνεργίᾳ χρώμενος, ῥαδίως τὰ πανταχοῦ πρὸς ἑαυτὸν συνάγειν ἠδύνατο· οὐκέτι δὲ πρὸς τὴν τῶν δογμάτων ἀκρίβειαν φθάσαι φημὶ τὸν ἄνδρα. ὅθεν πολυμαθείας μὲν παραχωρητέον αὐτῷ, δογμάτων δὲ γνῶσιν οὐκέτι. ἀλλὰ καὶ πάνυ κατόπιν τοῦτον τῆς τοιαύ-

της

της ἀκριβείας γενόμενον ἐπιστάμεθα. καὶ μετὰ βραχέα. ὥστε δὴ, ἵνα μὴ δόξωμεν ἐπεμβαίνειν τῷ ἀνδρὶ, περὶ ὧν οὐ πρόκειται ἡμῖν ἐπὶ τοῦ παρόντος λέγειν, ἵνα βασανίζοντες πρὸς ἀκρίβειαν τὴν γενομένην ἀπολογίαν, αἱρετικοὺς ἀποδείξωμεν τοὺς ἀμφοτέρους, αὐτόν τε τὸν ἀπολογησάμενον, καὶ τὸν ὑπὲρ ὅτου τὴν ἀπολογίαν συνέταξε. καὶ μεθ' ἕτερα. δεῖξον τρανὸν καὶ ἀναμφίβολόν τινα τῶν τῆς ἐκκλησίας διαφανῶν διδασκάλων, ὅτι προϋπάρχουσιν αἱ τῶν ἀνθρώπων ψυχαὶ, δογματίσαντα καὶ μὴ παραλογισμούς τινας προφέρειν πειρῶ εἰς ἀπόδειξιν. τὸ γὰρ δεικνύναι σε σπεύδειν, τὴν τοῦ υἱοῦ πρὸς τὸν πατέρα ὑπόβασιν ὁμοίως αὐτῷ τινας εἰρηκότας, πρῶτον μὲν οὐ ξενισθῶμεν σοῦ γὰρ καὶ τῶν περὶ σὲ ἡ τοιαύτη δόξα. ὅθεν περὶ τούτου ἐπὶ τοῦ παρόντος λόγος ἡμῖν οὐδεὶς, πάλαι μὲν οἰκουμενικῇ ζητήσει ὑποβληθέντος καὶ ἀποκηρυχθέντος· * μὴ πείθεσθαι δὲ ἐν τούτῳ, μηδὲ δι' οὓς ταῦτα ἡμῖν πρόκειται, βασανίζειν· τὸ δὲ ψιλὴν τὴν περὶ ἀρχῶν φωνὴν διαβάλλειν, οὐδαμῶς παρά τινος μέχρι τοῦ νῦν ἀκήκοας ὦ δεινὲ συνήγορε τοῖς Ὠριγένους ἀτοπήμασιν.

* ἴσ. μήτε πείθεσθαι δέον τούτῳ

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀπεδείχθησαν τὰ συγγράμματα τοῦ Εὐσεβίου καὶ διὰ πατρικῆς φωνῆς ἀλλότρια εἶναι τῆς καθολικῆς ἐκκλησίας.

Δημήτριος ὁ εὐλαβέστατος διάκονος καὶ σκευοφύλαξ ἀνέγνω.

Θεοδώρου ἀναγνώστου ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας.

Πέρσης τις Ξεναΐας ἐπικληθεὶς, ὃν ἐν τοῖς αὐτοῦ ἱερατικοῖς χρόνοις ὁ Καλενδίων εὑρηκὼς τὰ ἐκκλησιαστικὰ νοθεύοντα δόγματα, καὶ τὰς κώμας ἀναστατοῦντα, ἀπελαύνει τῆς χώρας. περὶ τούτου, ἃ πολλὰ παρὰ διαφόρων ἀκηκοὼς ἠκρίβωσα, ἀπὸ μέρους λέξω. ἀπὸ γὰρ τῆς τῶν Περσῶν χώρας οἰκεῖον δεσπότην πεφευγώς. καὶ μετ' ὀλίγα. τοῦτον ὁ Πέτρος ἀντὶ Κύρου τῇ Ἱεραπολιτῶν ἐκκλησίᾳ ἐπίσκοπον ἐκπέμπει· ὃν μετ' οὐ πολὺ ἐπίσκοποι ἐκ τῆς Περσικῆς παραγενόμενοι οἰκότριβα ἤλεγχον, καὶ τοῦ θείου βαπτίσματος ἀμέτοχον. ὅπερ μεμαθηκὼς ὁ Πέτρος, τί δέοι γενέσθαι μὴ φροντίσας, ἔφησεν ἀρκεῖν αὐτῷ τὴν τοῦ ἐπισκόπου χειροτονίαν πρὸς ἀναπλήρωσιν τῆς θείας μυήσεως.

Στέφανος διάκονος καὶ νοτάριος τοῦ εὐαγοῦς πατριαρχείου ἀνέγνω.

Ἰωάννου τοῦ διακρινομένου ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας.

Μὴ γὰρ εἶναι θεμιτὸν ἔλεγεν ὁ Ξεναΐας, ἀσωμάτους ὄντας ἀγγέλους σωματοποιεῖν, καὶ ὡς ἐν μορφαῖς ἀνθρωπίναις ὑπάρχοντας ἐνσωμάτους τυποῦν. ἀλλὰ μὴν μηδὲ κἀκεῖνο νομίζειν, τιμὴν ἢ δόξαν ἐκνέμειν τῷ Χριστῷ τὴν διὰ γραφῆς αὐτῷ τεχνιτευομένην εἰκόνα· εἶναι δὲ μόνην αὐτῷ προσδεκτὴν εἰδέναι τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν. καὶ μεθ' ἕτερα. εἰδέναι δὲ λέγει κἀκεῖνο, νηπιώδους εἶναι φρενὸς τὸ πλαστουργεῖν ἐν περιστερᾶς εἰδώλῳ τὸ πανάγιον καὶ προσκυνητὸν πνεῦμα· καί τοι τῶν εὐαγγελικῶν οὐδαμῶς παραδεδωκότων γραμμάτων, ὅτι γέγονε περιστερὰ τὸ ἅγιον πνεῦμα, ἀλλ' ὅτι ἐν εἴδει περιστερᾶς ὤφθη ποτέ· τὸ δὲ οἰκονομικῶς, ἀλλ' οὐκ οὐσιωδῶς οὕτω πῶς ἐφάπαξ φανὲν οὐδαμῶς ἁρμόδιον τοῖς εὐσεβοῦσι σώματος εἴδωλον ποιεῖν. ταῦτα Φιλόξενος διδάσκων, ὁμοῦ τῇ διδασκαλίᾳ καὶ τοὔργον ἐπέφερε. πολλαχόθεν γοῦν ἀγγέλων μὲν εἰκόνας καταφέρων ἐξήλειφε, τὰς δὲ τὸν Χριστὸν τυπούσας εἰς ἀδύτους ἐταμίευε τόπους.

Ἰωάν. 4.
Ματθ. 3.
Μάρκ. 1.
Λουκ. 4.
Ρ'ωμ. 1.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀκούσωμεν ἱεροὶ ἄνδρες, τίνες οὐκ ἐδέξαντο τὰς σεπτὰς εἰκόνας, ἀβάπτιστοι, Μανιχαῖοι, οἱ φαντασίας πρεσβεύοντες ἐπὶ τῆς τοῦ Χριστοῦ οἰκονομίας, καὶ ἐκ τῶν μιασμάτων αὐτῶν οἱ τῆς χριστιανοκατηγορικῆς αἱρέσεως εἰσηγηταὶ ἔλαβον τὰς ἀφορμάς.

Σάββας ὁ εὐλαβέστατος ἡγούμενος μονῆς τῶν Στουδίου εἶπεν· εὐχαριστοῦμεν τῷ Θεῷ καὶ τῇ ἀγαπητικῇ προαιρέσει τῶν δεσποτῶν ἡμῶν τῶν ἀγαθῶν, ὅτι οἱ ψευδοφύλακες τῆς ψευδοσυνόδου ἐκείνης ἐθριαμβεύθησαν μετὰ καὶ τῶν συνηγορούντων αὐτοῖς αἱρετικῶν.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀνάθεμα αὐτοῖς.

Κωνσταντῖνος ὁ εὐλαβέστατος ἀναγνώστης τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας ἀνέγνω.

Ἐκ τοῦ βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα.

Φλαυιανοῦ τοίνυν καὶ Ἠλία τῶν πατριαρχῶν ἐν Σιδῶνι, ὡς εἴρηται, γεγονότων, καὶ γράμμασι κολακευτικοῖς τε καὶ οἰκονομικοῖς πρὸς βασιλέα χρησαμένων, καὶ τὴν ἐν Σιδῶνι κατὰ τῆς ὀρθῆς πίστεως συναθροιζομένην σύνοδον καταλυσάντων, καὶ εἰς τοὺς οἰκείους θρόνους ἐπανελθόντων, ἀγανακτήσαντες οἱ περὶ Σωτήριχον καὶ Φιλόξενον, εἰς ὀργὴν ἄσχετον ἐκίνησαν τὸν βασιλέα, ὡς ἀπατηθέντα ὑπὸ τῆς τῶν πατριαρχῶν πανουργίας καὶ προσποιήσεως, καὶ λαβόντες ἣν ἤθελον ἐξουσίαν. καὶ χρυσίον ἱκανὸν τῷ Ἀντιοχείας δήμῳ διαδώσαντες, καὶ πολυτρόπως θλίψαντες τὸν Φλαυιανὸν, καὶ τρόπον τινὰ ἀποπνίξαντες, καὶ καταναγκάσαντες τὴν ἐν Χαλκηδόνι σύνοδον ἀναθεματίσαι, οὕτως αὐτὸν τῆς ἐπισκοπῆς ἐξεώσαντες, ὑπερορίᾳ κατεδίκασαν. καὶ γνοὺς ὁ βασιλεὺς, καὶ περιχαρὴς γενόμενος, Σεβῆρον τὸν τῶν Ἀκεφάλων ἔξαρχον ἐπίσκοπον Ἀντιοχείας ἀπέστειλεν.

Ἀντώνιος ὁ εὐλαβέστατος μοναχὸς ἀνέγνω.

Ἐκ

Σύνοδ. ἐπὶ Μηνᾶ.

Ἐκ τῆς δεήσεως τῆς ἐπιδοθήσης τῇ ἁγίᾳ συνόδῳ τῇ συνελθούσῃ ἐν ταύτῃ τῇ βασιλίδι πόλει κατὰ Σεβήρου τοῦ αἱρετικοῦ καὶ ἀκεφάλου παρὰ τῶν κληρικῶν καὶ μοναχῶν τῆς Ἀντιοχέων μεγαλοπόλεως ἁγίας τοῦ Θεοῦ ἐκκλησίας· ἧς ἡ ἀρχή.

Νῦν εἴπερ ποτε καιρὸς, ὦ μακαριώτατοι. καὶ μετ' ὀλίγα. ἃ δὲ ὁσιώτατοι, καὶ ἃ περὶ τὰς ἐν Δάφνῃ πηγὰς πρᾶξαι τετόλμηκε, μαγείαις τε χρώμενος αὐτόθι, καὶ θυμιάμασι μυσαροῖς θεραπεύων τοὺς δαίμονας, καὶ τοῦτο πᾶσα ἐκείνη ᾄδει ἡ πόλις. οὐ μὴν οὐδὲ αὐτῶν ἐφείσατο τῶν ἁγίων θυσιαστηρίων, οὔτε τῶν ἱερῶν σκευῶν, τὰ μὲν ξέων ὡς ἐναγῆ, τὰ δὲ χωνεύων καὶ ῥογεύων τοῖς ὁμοτρόποις. τετόλμηται δὲ αὐτῷ καὶ τοῦτο ᾧ μακαριώτατοι. τὰς γὰρ εἰς τύπον τοῦ ἁγίου πνεύματος χρυσᾶς τε καὶ ἀργυρᾶς περιστερὰς κρεμαμένας ὑπεράνω τῶν θείων κολυμβηθρῶν καὶ θησιαστηρίων, μετὰ τῶν ἄλλων ἐσφετερίσατο, λέγων, οὐ χρῆναι ἐν εἴδει περιστερᾶς ὀνομάζεσθαι τὸ ἅγιον πνεῦμα.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. εἰ τὰς ἐπ' ὀνόματι τοῦ ἁγίου πνεύματος ἀνατεθείσας περιστερὰς ἐδέξαντο οἱ πατέρες, πόσῳ μᾶλλον τοῦ σαρκωθέντος λόγου, καὶ ὀφθέντος ἐπὶ τῆς γῆς μετὰ σώματος; ἀλλὰ πιστεύσατε, ὅτι καὶ Ἀναστάσιος ὁ προηγησάμενος τῆς Κωνσταντινουπόλεως τὰς χρυσᾶς καὶ ἀργυρᾶς εἰκόνας ἐσφετερίσατο εἰς ἰδίαν χρείαν, καθὰ πεποίηκε Σεβῆρος.

Στέφανος ὁ θεοφιλέστατος διάκονος, νοτάριος καὶ ῥεφερενδάριος, ἀνέγνω.

Ἰωάννου ἐπισκόπου Γαβάλων εἰς τὸν βίον καὶ τὴν πολιτείαν Σεβήρου τοῦ αἱρεσιάρχου, οὗ ἡ ἀρχή.

Εἰ μὲν ἐβούλετο Σεβῆρος ἢ ζωῆς τῆς αὐτῆς. καὶ μετ' ὀλίγα. καὶ οὐδὲ τὴν ἀγγέλων τιμὴν ἀλώβητον εἴασε. πολὺν δὲ ἀεὶ λόγον ἐπὶ τοῦ βήματος ἐσὼς ἐποιεῖτο, καὶ τὸ πλῆθος ἐπειρᾶτο πείθειν ἐν αὐτῷ πολλάκις τῷ ἱερῷ τοῦ ἁγιωτάτου Μιχαὴλ, ὑπὲρ τοῦ μὴ ἄλουργα τοῖς ἀγγέλοις ἱμάτια προσήκειν, ἀλλὰ λευκά· οὐκ ἀγνοῶν, ὡς οὐδὲν ταῖς ἁγίαις δυνάμεσιν ἐσθῆτος μέλει, σπουδάζων δὲ καὶ ταύτῃ διαιρεῖν, καὶ ἐπ' ἀλλήλους κινεῖν οὕτως ἢ ἑτέρως ἔχοντας τοὺς πολλούς.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. σκοπήσωμεν ὅτι μετὰ τῶν λοιπῶν καὶ εἰς τοῦτο αὐτὸ ἐνεκλήθη, ἐπειδὴ ἔλεγεν, ὅτι οὐ προσήκει τοὺς ἀγγέλους ἱμάτια ἄλουργα, ἀλλὰ λευκὰ ἐνδεδύσθαι.

Δημήτριος ὁ θεοφιλέστατος διάκονος καὶ σκευοφύλαξ εἶπεν· ἐν τῇ ἁγίᾳ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως, ὅτε προεβλήθην σκευοφύλαξ, ἐψηλάφησα εἰς τὸ βρέβιον, καὶ εὗρον λείποντα δύο βιβλία ἠργυρομένα διὰ εἰκόνων. ἅπερ ζητήσας ἔγνων, ὅτι εἰς πῦρ βαλόντες ἔκαυσαν οἱ αἱρετικοί· εὗρον δὲ καὶ ἑτέραν βίβλον Κωνσταντίνου χαρτοφύλακος, περιέχουσαν περὶ τῶν σεπτῶν εἰκόνων καὶ ἀπέτεμον τὰ φύλλα, ἔνθα ἔκειτο τὰ περὶ εἰκόνων ῥήματα, οἱ δόλιοι. καὶ ἰδοὺ τὴν αὐτὴν βίβλον μετὰ χεῖρας ἔχων ἐπιδείκνυμι τῇ ἁγίᾳ συνόδῳ.

Καὶ ἀναπτύξας ὁ αὐτὸς Δημήτριος τὴν βίβλον, ὑπέδειξε πᾶσι τὴν τῶν φύλλων ἐκτομήν.

Λεόντιος ὁ καθωσιωμένος ἀσηκρῆτις εἶπε· καὶ ἄλλο, πατέρες, θαυμάσαι ἐστὶν ἐν τῇ βίβλῳ ταύτῃ. ὡς ὁρᾶτε γὰρ ἀργυρᾶς πτύχας ἔχει, καὶ ἑκατέρωθεν ταῖς εἰκόσι πάντων τῶν ἁγίων κεκόσμηται. καὶ τὸ πρᾶγμα αὐτὸ ἐάσαντες, ἤγουν τὰς εἰκόνας, τὰ περὶ τῶν εἰκόνων ἔσω γεγραμμένα ἀπέτεμον· ὅπερ ἐσχάτης ἐστὶν ἀνοίας.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀνάθεμα τοῖς τεμοῦσι καὶ ἐπιβουλεύσασι.

Λέων ὁ ὁσιώτατος ἐπίσκοπος Φωκίας εἶπε· τοῦτο μὲν τὸ βιβλίον τὰ φύλλα ἀπώλεσεν, ἐν δὲ τῇ πόλει ἐν ᾗ κατοικῶ, ἐπάνω τριάκοντα βιβλίων πυρὶ κατέκαυσαν.

Σάββας ἡγούμενος τῶν Στουδίου εἶπεν· ἔθος ἐστὶ, δεσπόται, τοῖς τυφλώττουσι μὴ βλέπειν τὸ φῶς. τούτου ἕνεκεν κἀκεῖνοι τυφλοὶ ὄντες τῇ ψυχῇ ἐσκοτίσθησαν.

Δημήτριος ὁ θεοφιλέστατος διάκονος καὶ σκευοφύλαξ ἀνέγνω.

Κωνσταντίνου διακόνου καὶ χαρτοφύλακος τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως εἰς πάντας τοὺς ἁγίους μάρτυρας, οὗ ἡ ἀρχή.

Αἱ μὲν Χριστοῦ πανηγύρεις· καὶ μεθ' ἕτερα. εἶτα οἴεσθε ὦ οὗτοι, ἔφησαν οἱ δικάζοντες, ὡς ἐν χαλκῷ καὶ λίθοις τὴν σωτηρίαν ποιούμεθα, οὐχὶ δὲ πρός τινα δύναμιν προνοητικήν τε καὶ συνεκτικὴν ἀποβλέπομεν, παρ' ἧς τὰ κάλλιστα ἡμῖν περιγίνεται; καὶ πῶς πλάσται καὶ λιθουργοὶ, οἱ μάρτυρες ἔφησαν ἀγαλμάτων πλῆθος κατασκευάζουσι, ποικίλαις μορφαῖς διαχηματίζοντες, καὶ τοῖς ναοῖς προσηλοῦσιν· ὑμεῖς δὲ θυσίαις ταῦτα γεραίρετε, τὴν τῶν ἀπόρων λύσιν παρ' αὐτῶν ἐξαιτούμενοι; τί δὲ καὶ παρ' ὑμῖν, οἱ τύραννοι διεξῆλθον, ὅφατε θεῖον, ἐν εἰκόσιν οὐκ ἐγχαράττετε; πῶς οὖν διαλοιδορεῖσθε ἡμῖν, δεισιδαιμονέστερον ἐφ' ὁμοίαις πράξεσι διακείμενοι; οὐκοῦν ἐπείπερ καὶ ἡμῖν, ὦ δικασταὶ, τοῖς ἀνεξελέγκτοις ψόγοις τὴν τῶν εἰκόνων γραφὴν παραρτύετε, φέρε τῆς περὶ τοῦτο πλάνης καὶ ἀμφιβολίας ὑμᾶς ἀπαλλάξωμεν, εἶπον αἱ μάρτυρες. οὐ γὰρ τὸ θεῖον ἁπλοῦν ὑπάρχον καὶ ἄληπτον μορφαῖς τισι καὶ σχήμασιν ἀπεικάζομεν, οὔτε κηρῷ καὶ ξύλοις τὴν ὑπερούσιον καὶ προάναρχον οὐσίαν τιμᾶν ἡμεῖς διεγνώκαμεν· ἀλλ' ἐπεὶ τοῦ πρώτου καταπαλαισθέντος διὰ τῆς παραβάσεως ἀνθρώπου, καὶ τῆς καθελούσης ἀποστατι-

ςατικῆς θρασυνομένης δυνάμεως, ἡ φύσις ἐδεῖτο τοῦ ἀναςήσοντος· οὐ γὰρ οἵατε ἦν ἐξ ἀρχῆς κάτω κειμένη ἢ τὴν ἧτταν ἀναπαλαῖσαί τε καὶ ἀνακαλέσασθαι, τοῦ ἐχθροῦ τῷ πτώματι ἐπιβαίνοντος, οὔτε μὴν εἰκὸς ὑπῆρχε μὴ ἐπὶ δευτέροις παλαίσμασι τῆς νίκης τὸν τύραννον ἐκτινάξασθαι. αὐτὸς ὁ δημιουργὸς τοῦ οἰκείου ποιήματος, ὁ τῆς τριάδος εἷς Θεὸς λόγος, ὥσπερ οὐ τῇ πλάσει πάλαι τῆς φύσεως ὑπουργόν τινα παρεςήσατο, οὕτως οὐδὲ νῦν τὴν εἰκόνα φθαρεῖσαν ἀνανεούμενος, ἄλλῳ τὴν ἀνάκτησιν ἐνεχείρησεν, ἀλλ' αὐτουργῷ δυνάμει χρησάμενος, τοὺς ὑπὲρ ἡμῶν ἀγῶνας ἀνθρωπικῶς ἀνεδέξατο. τοῦτο γὰρ ἦν πῶς οἰκεῖον καταλλήλως τῷ ἀγωνίσματι διαπράξασθαι. ἐπειδὴ δὲ πᾶς ὁ ἀγωνιζόμενος τρισὶ τρόποις, ἢ ἑνίγε τούτων ὑπερμάχεται τὸν ἀντίπαλον· ἢ γὰρ ἀπάτῃ, ἢ νόμῳ, ἢ τυραννίδι· τοὺς μὲν δύο παντελῶς διαφεὶς ὡς ἀχρήςους τε καὶ οὐκ οἰκείους, οὔτε μὴν τοῖς δι' οὓς ὁ ἀγὼν, λυσιτελεῖς τε καὶ ὠφελίμους, ὁ ἡμέτερος πρόμαχος· ἥτε γὰρ ἀπάτη διεψευσμένην ἔχει τὴν νίκην, φαύλως τὸν ἀγωνιστὴν ἀνατρέπουσα· ἥ τε τυραννὶς παραλόγω βίᾳ κρατεῖ, μὴ ἐξίσου ποιοῦσα τὴν συμπλοκήν· τῶν λοιπῶν μὴ ἐγκρίνας τὸν τρόπον, ἐπὶ τὴν κατὰ νόμον πάλην χωρεῖ· καὶ σάρκα λαβὼν ἐκ τοῦ πεσόντος φυράματος ἐψυχωμένην ψυχῇ τε καὶ * νοερᾷ, μείνας ὅπερ ἦν, καὶ τῶν ἑαυτοῦ μὴ ἐκςὰς, πάντα γίνεται πλὴν τῆς ἁμαρτίας, ὅσα καὶ ἐξ ὧν περ ὁ ἄνθρωπος, καὶ μὴ τῇ δοκήσει * τὸ σῶμα σχηματισάμενος. καὶ μετ' ὀλίγα. τοῦτον τοιγαροῦν, ἐν ᾗ περ ἐδείχθη μορφῇ, καὶ τοῖς ἀνθρώποις συνανεςράφη, τοῖς πίναξιν ἐπιγράφομεν, ὑπόμνησιν τῆς δι' αὐτοῦ σωτηρίας τὸν θεῖον τύπον ποιούμενοι, καὶ οὐ καθ' ὑμᾶς ποικίλας ἰδέας παράγοντες, καὶ σχήματα κατὰ τὸ δοκοῦν διαγλύφοντες.

* λογικῇ

* τὸ σάρξ παγῆναι σχηματισάμενος. ἄλλο. καὶ μὴ τὸ σάρξ φανῆναι σχηματισάμενος.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οἱ Ἕλληνες διὰ τὰ εἴδωλα τοὺς μάρτυρας κατεδίκαζον, καὶ ἔλεγον αὐτοῖς· τίνος χάριν ἀθλεῖτε, καὶ τὰ ἡμέτερα ὁμοιώματα παραιτεῖσθε, ἔχοντες καὶ αὐτοὶ ἰδίας εἰκόνας; οἱ ἅγιοι ἀπεκρίνοντο· ἀλλ' ἡμεῖς οὐκ ἰνδάλματα δαιμόνων ποιοῦμεν, ἀλλὰ τοῦ ἐνανθρωπήσαντος Θεοῦ λόγου ποιοῦμεν εἰκόνας, καὶ τῶν αὐτοῦ ἁγίων· οὐ μέν τοι θεοποιοῦμεν αὐτάς.

Κοσμᾶς ὁ θεοφιλέςατος διάκονος κουβουκλείων εἶπε· καὶ ταύτην τὴν βίβλον ἣν ἐπιφέρομαι, τῆς παλαιᾶς δέ ἐςι, μετὰ σχολίων ἐμπαραθέτων ἐν τῷ πατριαρχείῳ εὕρομεν· ἔχε δὲ σχόλιον εἰς ἀπολογίαν τῶν εἰκόνων· οἱ δὲ ἐπίβουλοι τῆς ἀληθείας ἀπήλειψαν τὸ σχόλιον· καὶ ἴδετε αὐτό. ὅμως δὲ ἀμυδρῶς φαίνεται· ἀλλὰ ἴδετε αὐτὸ τίμιοι πατέρες.

Ο αὐτὸς εὐλαβέςατος Κοσμᾶς ἀναπτύξας τὴν βίβλον, ἐπέδειξε πᾶσι τοῖς οὖσιν ἐν τῇ ἁγίᾳ συνόδῳ τὸν ἀπαλειφθέντα τόπον.

Ο αὐτὸς ἀνέγνω, ὑπεφαίνετο γάρ. οὐκ ἔσονταί σοι θεοί ἕτεροι πλὴν ἐμοῦ. οὐ ποιήσεις ἑαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὅμοιον, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσεις αὐτοῖς. σχόλιον. εἰ καὶ ποιοῦμεν ὁμοιώματα ἀνθρώπων θεοσεβῶν, οὐκ ἐπὶ τὸ προσκυνεῖν ὡς θεοῖς, ἀλλ' ἵνα ὁρῶντες αὐτοὺς, εἰς ζῆλον αὐτῶν ἔλθωμεν. εἰ δε ποιοῦμεν ὁμοίωμα τοῦ Χριςοῦ, οὐχ ἵνα τῷ ὁμοιώματι προσκυνῶμεν, ἀλλ' ἵνα ὁ νοῦς διὰ τοῦ ὁρᾶν ἀναπτερωθῇ. οὐ γὰρ εἰκόνι φθαρτῇ φθαρτοῦ ἀνθρώπου προσκυνοῦμεν· ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἠξίωσεν ἀτρέπτως γενέσθαι ἄνθρωπος, ποιοῦμεν αὐτοῦ τὴν εἰκόνα ὡς ἀνθρώπου, καί περ εἰδότες αὐτὸν φύσει Θεόν ὄντα, οὐκ αὐτὴν οὖν Θεὸν τὴν εἰκόνα λέγομεν, ἀλλὰ Θεὸν οἴδαμεν τὸν ἐν τῇ εἰκόνιγραφέντα, οὗ τὸ ὁμοίωμα ἔχει ἡ εἰκών· ἕλληνες δὲ πλανώμενοι τὰ ὁμοιώματα Θεοὺς δοξάζουσιν, οἷς καὶ θύουσιν. παρήχθη ἑτέρα βίβλος ἔχουσα ἑρμηνείαν τῆς γραγῆς, ἐν ᾗ ἔκειτο τὸ προγραφὲν σχόλιον· ἣν καὶ λαβὼν Γρηγόριος ὁ θεοφιλέςατος ἐπίσκ: Νεοκαισαρείας ἀνέγνω, παρακειμένης τῆς ἀπαλειφθείσης, καὶ ἀναγινωσκομένης.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε ταῦτα ἐποίησαν οἱ λεγόμενοι πατριάρχαι, Ανασάσιος, Κωνςαντῖνος καὶ Νικήτας οἱ αἱρετικοί.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Μύρων τῆς Λυκίας εἶπεν· εἰ ἦν ὁ θησαυρὸς οὗτος φανερὸς τότε, οὐκ ἂν ἄνθρωπος ἐβλάβη· ἀλλ' ὁ Θεὸς ἀποδῴη τοῖς κρύψασιν αὐτὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Κατάνης εἶπεν· ἄξιοί εἰσιν οὗτοι ἀναθέματος, ὅτι παραχαράκται ἐγένοντο τῆς ἀληθείας, καὶ ἐπίβουλοι τῶν πατέρων, καὶ οἱ παρ' αὐτῶν ἀναθεματισθέντες ἄξιοι εὐφημίας εἰσίν.

Η ἁγία σύνοδος εἶπεν· οὐαὶ ταῖς ψυχαῖς αὐτῶν, ὅτι τὴν ἀλήθειαν ἔκρυψαν.

Πέτρος ὁ ὁσιώτατος ἐπίσκοπος Γερμίων εἶπεν· ἐξαλειφθήτω τὰ ὀνόματα αὐτῶν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. Ψαλ. 68.

Κώνςας ὁ ὁσιώτατος ἐπίσκοπος Κωνςαντίας τῆς Κύπρου εἶπεν· εὐλογητὸς ὁ Θεὸς ὁ μετὰ τοσαύτην καῦσιν, τμῆσιν, καὶ ἐξάλειψιν, καταλείψας αὐτά.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκοπος Μύρων τῆς Λυκίας εἶπεν· οἱ ταῦτα ποιήσαντες, δέσποτα, ἔθηκαν τὸν λύχνον αὐτῶν ὑπὸ τὸν μόδιον. ἀλλ' εὐλογητὸς ὁ Θεὸς ὁ λάμψας τοῖς ἐν σκότει φῶς σωτηρίας.

Κοσμᾶς ὁ θεοφιλέςατος διάκονος καὶ κουβουκλεισίων εἶπεν· εὕρομεν καὶ τὴν βίβλον ταύτην ἐν τῷ σκευοφυλακίῳ τῶν εὐαγῶν εὐκτηρίων τοῦ πατριαρχείου, περιέχουσαν διαφόρων μαρτύρων ἄθλους· μετὰ τούτων δὲ καὶ περὶ τῆς ἀχειροποιήτου εἰκόνος * Καμουλιανῶν. ἀπέκοψαν δὲ τὰ φύλλα, οὗ ἦν τὰ περὶ τῆς εἰκόνος. καὶ ἰδοὺ πᾶσιν αὐτὴν δεικνύω.

* ἄλ. Καβουλιανῶν.

Μιχαὴλ ὁ ὁσιώτατος ἐπίσκοπος Συνάδων εἶπεν· ὁ Παςιλλᾶς ἔλεγε, πανάγιε δέσποτα τοὺς παρερμηνεύοντας καὶ ἐπιβούλους τῆς θείας γραφῆς ἀνάθεμα.

Ε'ξοδ. 20. Δευτερ. 5.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀλλ' ἐπέστρεψεν ὁ πόνος αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Ἰωάννης ὁ θεοφιλέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν· τ' ἀληθὲς εἰπεῖν, ἡ κακοτροπία τῶν βιβλιοκαυστῶν καὶ τῶν εἰκονοκλαστῶν τρανοτέραν ἀπέδειξε τὴν ἀλήθειαν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οὐ μόνον τὰς ἱερὰς εἰκόνας ἔξεσαν, ἀλλὰ καὶ εὐαγγέλια, καὶ ἄλλά τινα ἱερά. οὕτως γὰρ οἶδεν ἡ ἀλήθεια διωκομένη τρανοτέρως φαίνεσθαι.

Στέφανος μοναχὸς εἶπεν· ἔτι καὶ ἑτέραν βίβλον ἔχομεν ἐπιβουλευθεῖσαν ὑπὸ τῶν χριστιανοκατηγόρων. καὶ εἰ κελεύετε, ταύτην ἐπιδείξω πᾶσιν.

Ἡ ἁγία σύνοδος εἶπεν· δειχθήτω.

Καὶ ἐπὶ τῆς συνόδου ἁπάσης ἐδείχθη ἔχουσα ἐν δυσὶ καταβατοῖς ἀπαλοιφάς.

Γρηγόριος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἡγούμενος μονῆς τῶν Ὑακίνθου εἶπε· τὸ ἰσότυπον αὐτῷ ἔχω δεσπόται βιβλίον· καὶ εἰ κελεύετε ἀναγνωσθήτω.

Καὶ λαβὼν Στέφανος μοναχὸς καὶ βιβλιοφύλαξ ἀνέγνω.

Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐαγρίου, ἐκ τοῦ δ'. λόγου.

Μετὰ γὰρ τὸ προσλαβεῖν τῇ πόλει τὸν Χοσρόην, μυρίας τε ἐφόδους ἐργάσασθαι, χοῦν τε συναμήσασθαι πολὺν, ὥστε καὶ τὰ τείχη τῆς πόλεως ὑπερπηδῆσαι, ἑτέρας τε μυρίας μηχανὰς ῥάψαι, ἄπρακτον ἐποιεῖτο τὴν ἀποπόρευσιν. λέξω δὲ τὰ γενόμενα. ἐπήγγειλεν ὁ Χοσρόης ταῖς ἀμφ' αὐτὸν δυνάμεσι ξύλων ἀθροῖσαι μέγα τι χρῆμα πρὸς τὴν πολιορκίαν τῆς προσυχούσης ὕλης. ἅπερ ἐπειδὴ συνελέγη ὀξύτερον τῆς ἐπιτάξεως, κυκλοτερῶς περιθεὶς τὸν χοῦν εἰς μέσον ἐπέβαλε, καὶ ἀντιμέτωπος τῇ πόλει ᾔει. οὕτω τε κατὰ σμικρὸν ἐποικοδομῶν τοῖς ξύλοις τε καὶ τῷ χώματι, καὶ τῇ πόλει προσιὼν, τοσοῦτον εἰς ὕψος ᾖρε, καὶ τὸ τεῖχος ὑπερήλατο, ὡς ἐξ ὑπερδεξίων τὰ βέλη κατὰ τῶν προκινδυνευόντων ὑπὲρ τῆς πόλεως ἐν τῷ τείχει ῥίπτειν. ἐπειδὴ τοίνυν οἱ τῇ πολιορκίᾳ συνεχόμενοι τεθέαντο τὸ χῶμα πλησίον ὥσπερ ὄρος βαδίζον ἐγγίζειν τῇ πόλει, ἐπιδόξους τε εἶναι τοὺς πολεμίους πεζῇ τῆς πόλεως ἐπιβήσεσθαι, ἅμα ἕω μηχανῶνται ἀντικρὺ τοῦ χώματος, ὅπερ ἀγέστα πρὸς Ῥωμαίων κέκληται, διώρυγα ὑπὸ γῆν κατεργάσασθαι, ἔνθεν τε πῦρ ἀνεῖναι· ὡς ἂν τῇ φλογὶ τὰ ξύλα φθειρόμενα τὸν χοῦν εἰς γῆν καταγάγωσι. καὶ τὸ μὲν ἔργον ἐτετέλεστο. πυρὰς δὲ προσανάψαντες τοῦ σκοποῦ διημάρτανον, οὐκ ἔχοντος τοῦ πυρὸς διέξοδον, ὅθεν ἀέρος ἐπιλαμβανόμενον δύναιτο τῆς ὕλης περιδράξασθαι. ὡς δ' οὖν εἰς πᾶσαν ἀμηχανίαν ἦλθον, φέρουσι τὴν θεότευκτον εἰκόνα, ἣν ἀνθρώπων μὲν χεῖρες οὐκ εἰργάσαντο, Αὐγάρῳ δὲ Χριστὸς ὁ Θεὸς, ἐπεὶ αὐτὸν ἰδεῖν ἐπόθει, πέπομφε. ταύτην τοίνυν τὴν παναγίαν εἰκόνα κατὰ τὴν εἰργασμένην σφίσιν εἰσαγαγόντες διώρυγα, ὕδατί τε ἐπικλύσαντες, ἀπ' αὐτοῦ κατὰ τῆς πυρᾶς καὶ τῶν ξύλων ἀφῆκαν· καὶ παραυτίκα τῆς θείας δυνάμεως τῇ πίστει τῶν δεδρακότων ἐπιφοιτησάσης, ὅπερ ἦν ἐκείνοις πρώην ἀδύνατον, ἐξηνύετο. παραυτίκα γὰρ εἰσεδέξατο τὴν φλόγα τὰ ξύλα, καὶ λόγου θᾶττον ἀπανθρακωθέντα τοῖς ὑπερτέροις μετεδίδοσαν, ἅπαντα τοῦ πυρὸς ἀμφινεμομένου.

Λέων ὁ εὐλαβέστατος ἀναγνώστης τῆς μεγάλης ἐκκλησίας τῆς βασιλίδος Κωνσταντινουπόλεως εἶπε· κἀγὼ ὁ ἀνάξιος ὑμῶν δοῦλος, ἡνίκα κατέβην εἰς Συρίαν μετὰ τῶν βασιλικῶν ἀποκρισιαρίων, ἐγενόμην ἐν Ἐδέσσῃ, καὶ τὴν ἱερὰν καὶ ἀχειροποίητον εἰκόνα τεθέαμαι ὑπὸ πιστῶν τιμωμένην τε καὶ προσκυνουμένην.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· κατὰ τὴν χθὲς ἡμέραν ὁ εὐλαβέστατος ἡγούμενος τῶν Μαξιμίνου τὸ Λειμωνάριον ἐξηνέγκε, καὶ ἀνεγνώσθη· καὶ εὕρομεν καὶ ἡμεῖς ἐν τῇ βιβλιοθήκῃ τὸ ἴσον τῷ αὐτῷ Λειμωναρίῳ, τετμημένα ἔχον τὰ φύλλα, ἐν οἷς τὰ περὶ εἰκόνων ἔκειντο.

Χριστοφόρος ὁ ὁσιώτατος ἐπίσκ. τῆς ἁγίας κυριακῆς εἶπε· πανάγιε δέσποτα, ὁ ἀνάξιος δοῦλος τολμήσω λαλῆσαι ἐπὶ τῆς ἁγίας καὶ ἱερᾶς καὶ οἰκουμενικῆς ταύτης συνόδου. προφητικὸς λόγος ἐστὶ, ὅτι ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. ὃ γὰρ προσεδόκων καθ' ἡμῶν ποιεῖν ἐπὶ τῆς ψευδοσυλλόγου ἐκείνης σωρευθέντες, τοῦτο καθ' ἑαυτῶν γέγονε. καὶ τὰ μὲν ἔκοψαν, τὰ δὲ ἐφάλσευσαν· ἵνα τῆς ἀληθείας φανερουμένης ἐλεγχθῇ ἡ ἀσέβεια αὐτῶν. Ψαλ. 9.

Στέφανος μοναχὸς καὶ βιβλιοφύλαξ εἶπε· βίβλος ἐπιδοθεῖσα παρὰ τοῦ ἡγουμένου τῶν Μαξιμίνου, περιέχουσα τὸν λόγον τὸν φαλσευθέντα εἰς τὸ ἄλλο βιβλίον τὸ περὶ εἰκόνων.

Καὶ ἀνέγνω ὁ αὐτὸς Στέφανος.

Ἐκ τοῦ Λειμωναρίου.

Ἔλεγόν τινες τῶν γερόντων, ὅτι ἦν τις ἔγκλειστος εἰς τὸ ὄρος τῶν ἐλαιῶν ἀγωνιστὴς πάνυ. ἐπολέμει δὲ αὐτὸν δαίμων τῆς πορνείας. ἐν μιᾷ οὖν, ὡς ἐπέκειτο αὐτῷ σφοδρῶς, ἤρξατο ὁ γέρων ἀποδύρεσθαι, καὶ λέγειν τῷ δαίμονι· ἕως πότε οὐκ ἐνδίδως μοι; ἀπόστα λοιπὸν ἀπ' ἐμοῦ, συνεγήρασάς μοι; φαίνεται αὐτῷ ὁ δαίμων ὀφθαλμοφανῶς λέγων· ὄμοσόν μοι, ὅτι οὐδενὶ λέγεις ὃ μέλλω σοι εἰπεῖν, καὶ οὐκέτι σε πολεμῷ. ὤμοσεν αὐτῷ ὁ γέρων· ὅτι μὰ τὸν ἐνοικοῦντα ἐν τοῖς ὑψίστοις, οὐκ εἴπω τινὶ, ἅπερ εἴπῃς μοι. τότε λέγει αὐτῷ ὁ δαίμων·

μὴ

μὴ προσκυνήσῃς ταύτῃ τῇ εἰκόνι, καὶ ἐκέτισε πολεμῶ. εἶχε δὲ ἡ εἰκὼν ἐκτύπωμα τιὼ δέσποιναν ἡμῶν τιὼ ἁγίαν Μαρίαν τιὼ θεοτόκον, βασάζουσαν τὸν κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν. λέγει ὁ ἔγκλειστος τῷ δαίμονι· ἄφες σκέψωμαι. τῇ ὃν ἐπαύριον δηλοῖ τῷ ἀββᾶ Θεοδώρῳ τῷ Αἰλιώτῃ οἰκοῦντι τότε ἐν τῇ Λαύρᾳ Φαρῶν, καὶ διηγεῖται αὐτῷ ἅπαντα. ὁ δὲ γέρων λέγει τῷ ἐγκλείστῳ· οὕτως ἀββᾶ ἐνεπαίχθης, ὅτι ὤμοσας τῷ δαίμονι. πλιὼ καλῶς ἐποίησας ἐξεπών. συμφέρει δέσοι μὴ ἐᾶσαι ἐν τῇ πόλει ταύτῃ πορνεῖον, εἰς ὃ μὴ εἰσέρχῃ, ἢ ἵνα ἀρνήσῃ τὸ προσκυνεῖν τὸν κύριον ἡμῶν Θεὸν Ἰησοῦν τὸν Χριστὸν μ' τῆς αὐτοῦ μητρός. σπείξας ὃν αὐτὸν ἐνδυναμώσας πλείοσι λόγοις, ἀπῆλθεν εἰς τὸν ἴδιον τόπον αὐτοῦ. φαίνεται πάλιν ὁ δαίμων τῷ ἐγκλείστῳ, καὶ λέγει αὐτῷ· τί σοι κακόζερε; οὐκ ὤμοσάς μοι, ὅτι οὐδενὶ λέγεις; καὶ πῶς πάντα ἐξέπας τῷ ἐλθόντι πρὸς σέ; λέγωσοι κακόγερε; ὡς ἐπίορκος ἔχεις κριθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. ἀπεκρίθη αὐτῷ ὁ ἔγκλειστος· ὅτι μὴ ὤμοσα, ὤμοσα. καὶ ὅτι ἐπιώρκησα, οἶδα. πλιὼ τὸν δεσπότην καὶ ποιητὴν ἐπιώρκησα, σοῦ δὲ οὐ μὴ ἀκούσω.

Ἐκ τοῦ αὐτοῦ Λειμωναρίου.

Διηγήσαντο ἡμῖν οἱ αὐτοὶ πατέρες καὶ τοῦτο λέγοντες· ὅτι ἐν ταύταις ταῖς ἡμέραις γυνή τις φιλόχριστος εἰς τὰ μέρη Ἀπαμείας φρέαρ ὤρυσε· καὶ πολλὰ δαπανήσασα, καὶ εἰς βάθος πολὺ καταβᾶσα, οὐκ εὗρεν ὕδωρ· καὶ ἐν ἀθυμίᾳ πολλῇ ὑπῆρχεν ἡ γυνὴ καὶ ὀλιγ' τὸν κόπον καὶ ὀλιγ' τὰς δαπάνας· ἐν μιᾷ ὃν κατὰ τὸν ὕπνους θεωρεῖ ἡ γυνή τινα λέγοντα αὐτῇ· πέμψον φέρε τιὼ ὁμοίωσιν τοῦ ἀββᾶ Θεοδοσίου τοῦ εἰς τὸν Σκόπελον, καὶ τὸ ὕδωρ δι' αὐτοῦ ὁ Θεὸς παρέχει σοι. ἡ δὲ γυνὴ πέμψασα δύο ἀνθρώπους αὐτῆς, ἔλαβε τιὼ εἰκόνα τοῦ ἁγίου· καὶ χαλασάσης αὐτιὼ ἐν τῷ φρέατι, ὀθὺς καὶ παραχρῆμα τὸ ὕδωρ ἐξῆλθεν, ὥστε τὸ ἥμισυ τοῦ φρέατος πληρωθῆναι. ἔφερον ὃν ἡμῖν ἐκ τοῦ αὐτοῦ ὕδατος, καὶ ἐπίομεν, καὶ ἐδοξάσαμεν τὸν Θεὸν ἡμῶν.

Τοῦ αὐτοῦ.

Διηγήσατο ἡμῖν Διονύσιος ὁ πρεσβύτερος τῆς ἐκκλησίας Ἀσκάλωνος περὶ τοῦ ἀββᾶ Ἰωάννου τοῦ ἀναχωρητοῦ, λέγων· ὅτι ὕτος μέγας ἐν τῇ παρούσῃ γενεᾷ γέγονεν ἄνθρωπος· καὶ πρὸς σύστασιν τῆς αὐτοῦ πρὸς Θεὸν διαρεσήσεως τοῦτο περὶ αὐτοῦ τὸ θαῦμα. ἐν σπηλαίῳ, φησὶν, ὁ γέρων ἐκάθητο εἰς τὰ μέρη Σοκχοῦς τοῦ κτήματος ἀπὸ μιλίων μικρὸν πρὸς Ἱερουσόλυμα εἴκοσιν. εἰκόνα δὲ εἶχεν ὁ γέρων ἐν τῷ σπηλαίῳ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἔχουσαν ἐν ἀγκάλαις Χριστὸν τὸν Θεὸν ἡμῶν. καθότι ὃν ἐβάλετο πώποτε ἀπελθεῖν ἢ εἰς ἐρήμους μακράς, ἢ εἰς Ἱερουσόλυμα ἐπὶ τῷ προσκυνῆσαι τὸν ἅγιον σταυρὸν καὶ τοὺς ἁγίους τόπους, ἢ καὶ εἰς τὸ Σινᾶ ὄρος προσεύξασθαι, ἢ καὶ εἰς μάρτυρας ἀφεσῶτας Ἱερουσολύμων πολλοῖς ὀλιγοήμασιν· διὰ γὰρ ἄγαν φιλομάρτυς ὁ γέρων· καὶ νυὶ μὲν εἰς τὸν ἅγιον Ἰωάννην εἰς Ἔφεσον, νυὶ δὲ εἰς τὸν ἅγιον Θεόδωρον εἰς Εὐχαΐτα, ἢ εἰς τιὼ ἁγίαν Θέκλαν εἰς Σελεύκειαν, ἢ εἰς τὸν ἅγιον Σέργιον εἰς Ἄραφας· ἐσκεύαζε τιὼ καυδήλαν, καὶ ἦπτεν, ὡς εἶχε συνήθειαν. καὶ πρὸς ἱκετείαν τινὰς τιὼ πορείαν αὐτῷ κατευθῦναι, ἔλεγε πρὸς τιὼ δέσποιναν, εἰς τιὼ εἰκόνα αὐτῆς προσέχων· ἁγία δέσποινα θεοτόκε, ἐπειδὴ ὁδὸν ἔχω μακρὰν βαδίσαι, πολλῶν ἡμερῶν προθεσμίαν ἔχουσαν, τῆς καυδήλας σου φρόντισον, καὶ ἄσβεστον αὐτιὼ κατὰ τιὼ ἐμιὼ πρόθεσιν φύλαξον. ἐγὼ γὰρ τιὼ σιὼ βοήθειαν σιτοδοιπόρον ἔχων ἀπέρχομαι. καὶ ταῦτα πρὸς τιὼ εἰκόνα φήσας ἀπήρχετο. καὶ τιὼ προτεθεῖσαν πορείαν πληρῶν ὑπέστρεφε, ποτὲ μὲν ὀλιγοήμως, ποτὲ δὲ ὀλιγ' δύο καὶ τριῶν, ἔσι δὲ ὅτε καὶ ὀλιγ' πλήτε καὶ ἕξ. καὶ ὕπως εὕρισκε τιὼ καυδήλαν ἐσκοτασμένιὼ καὶ ἄπτουσαν, καθάπερ αὐτιὼ πρὸς ὁδοιπορίαν ἐξερχόμενος εἴασε· καὶ οὐδέποτε αὐτιὼ ἀφ' ἑαυτῆς σβεσθεῖσαν εὑράκει, ὅτε ἐξ ὕπνου ὀλιγοήμενος, ὅτε ἐξ ἐρήμου φοιτῶν εἰς τὸ σπήλαιον.

Βασίλειος ὁ ὁσιώτατος ἐπίσκ. Ἀγκύρας εἶπεν· ἀπεδείχθη, ὡς ἀρχαιοπαράδοτός ἐστιν ἡ τῶν ἱερῶν εἰκόνων σωτηρία.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἤδη ἐκορέσθημεν ἐκ τῶν πατρικῶν χρήσεων, καὶ ἐπέγνωμεν, ὅτι ἀρχαία παράδοσίς ἐστιν ἡ τῶν σεπτῶν εἰκόνων ἀνάστασις. ἀκόλουθοι ὃν ἐσμὲν ἁγίων πατέρων.

Ἡ ἁγία συνοδος εἶπεν· ἀκόλουθοι καὶ σύμφωνοι.

Στέφανος ὁ δαβέστατος μοναχὸς εἶπεν· καὶ ἑτέρας βίβλους ἔχομεν περὶ τῆς ὑποθέσεως τῶν ἱερῶν εἰκόνων ἕως τῶν δεκαπέντε· καὶ ὡς κελεύετε.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἀναγνωσθήμεν, καὶ ἱκανωθήμεν.

Ἡ ἁγία συνοδος εἶπεν· ἱκανωθήμεν.

Ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐπειδήπερ ἀπεδείχθη ἐν τῇ προλαβούσῃ ἀναγνώσει, ὅτι ὑπὸ Ἑβραίων, καὶ Ἑλλήνων, καὶ Σαμαρειτῶν, Μανιχαίων τε καὶ Φαντασιαστῶν ἀνῃρέθη ἡ ἐκκλησία ἕνεκεν τῶν σεπτῶν εἰκόνων, καὶ πάντες ἐπείσθημεν, δίκαιόν ἐστι καὶ τοῦ ἀδελφοῦ ἡμῶν καὶ ἀγαπητοῦ κυροῦ Ἰωάννου τοῦ τοποτηρητοῦ τῶν ἀποστολικῶν τῆς ἀνατολῆς θρόνων ἐπακοῦσαι· ἔχει γάρ τινα διήγησιν δηλοῦσαν, πόθεν ἤρξατο ἡ τῶν εἰκόνων καταστροφή.

Ἡ ἁγία συνοδος εἶπε· καὶ ζητῶμεν, δέσποτα, ἀκοῦσαι περὶ τούτου.

Ἰωάννης ὁ δαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων, ἀπὸ πιττακίου ἀνέγνω.

Βούλομαι ἐγὼ ὁ μέτριος καὶ πάντων ἔσχατος διηγήσασθαι μετὰ πάσης ἀληθείας ἐπὶ τῆς παρούσης ταύτης ἁγίας ὑμῶν καὶ ἱερᾶς συνόδου, ὅπως, καὶ πότε, καὶ ὅθεν ἔσχε τὴν ἀρχὴν ἡ κακίστη καὶ θεοστυγὴς αὕτη τῶν χριστιανοκατηγόρων καὶ Εἰκονοκλαστῶν αἵρεσις, συντομίᾳ δὲ χρήσασθαι λόγου προαιρούμενος, διὰ χάρτου ἔκρινα καλὸν ποιήσασθαι τὴν ἐξήγησιν, ὡς ἂν μηδέν με τῆς ἀληθείας λάθοι τοῦ τῶν ἀθέων Ἀράβων τεθνηκότος τυράννου, ἤτοι συμβούλου· Σελεμὰν ἦν οὗτος τοὔνομα· διεδέξατο τοῦτον Οὔμαρος. ὃς ἐπιβὰς τῆς ἀρχῆς, εὐθὺς μεταστειλάμενος ἀπέστρεψε τὸν ἀνάσκαφον Μασαλμᾶν ἀπὸ τῆς γῆς ταύτης πολέμιον ὄντα δυσμενῆ· ὃς τῇ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάριτι, καὶ τῆς αὐτὸν τεκούσης παναγίας θεοτόκου, μετ' αἰσχύνης καὶ ἀπωλείας τοῦ οἰκείου τῶν Σαῤῥακηνῶν στρατεύματος ὑπέστρεψεν εἰς Συρίαν, ἀνύσας ὧν ἤλπισεν οὐδέν. τελευτήσαντος δὲ τοῦ Οὐμάρου, τοῦτον διαδέχεται Ἔζιδος ἀνὴρ κοῦφός τις καὶ εὐπαράφορος. ἦν δέ τις ἐν τῇ Τιβεριάδι προηγέτης τῶν παρανόμων Ἑβραίων, φαρμακομάντις, δαιμόνων ψυχοβλαβῶν ὄργανον, ὀνομαζόμενος Τεσσαρακοντάπηχυς, δυσμενὴς ἐχθρὸς τῆς ἐκκλησίας τοῦ Θεοῦ. ὃς μεμαθηκὼς τὴν τοῦ κρατοῦντος Ἐζίδου κουφότητα, καὶ δὴ τούτῳ προσελθὼν ὁ παμπόνηρος οὗτος Ἑβραῖος, ἐπεχείρει μαντεύεσθαί τινα καὶ προλέγειν αὐτῷ. ὡς οὖν ἐκ τούτων εὐπαράδεκτος ἐγεγόνει καὶ εὐπαῤῥησίαστος τῷ τυράννῳ, ἔφη· θέλω πρωτοσύμβουλε, εὐνοίᾳ τῇ πρὸς σὲ διακείμενος, ὑποθέσθαι σοι τρόπον τινὰ εὐχερῶς καὶ ῥᾳδίως ἀνυσθησόμενον, δι' οὗ σοι προσεθήσεται ζωῆς μῆκος, καὶ διαμενεῖς χρόνους τριάκοντα ἐν τῇ δέσου τῇ ἀρχῇ, εἰ εἰς ἔργον ἀγάγοις τοὺς λόγους μου, ὁ δὲ ἄφρων ἐκεῖνος τύραννος κεπφωθεὶς τὸν νοῦν ἐφέσει μακροβιώσεως· ἦν γὰρ φιλοτρυφητὴς καὶ ἀκόλαστος· ἀπεκρίνατο, ὅτι γε ὅσα ἂν ὑπόθη μοι, ἑτοίμως ποιῶ. καὶ ἐὰν τύχω * πρακτέου, μεγίσταις ἀμείψομαί σε τιμαῖς. ὁ δὲ φαρμακομάντις Ἑβραῖός φησι πρὸς αὐτόν· κέλευσον εὐθέως πάσης ἅτερ ἀναβολῆς καὶ ὑπερθέσεως γράψαι κατὰ πᾶσάν σου τὴν ἀρχὴν ἐγκύκλιον ἐπιστολὴν, ὥστε πᾶσαν εἰκονικὴν διαζωγράφησιν εἴτε ἐν σανίσιν, εἴτε διὰ μουσείων ἐν τοίχοις, εἴτε ἐν σκεύεσιν ἱεροῖς καὶ ἐνδυτοῖς θυσιαστηρίων, καὶ ὅσα τοιαῦτα εὑρίσκεται ἐν πάσαις ταῖς τῶν Χριστιανῶν ἐκκλησίαις, ἀφανίσαι, καὶ τέλος καταλῦσαι· οὐ μὴν ἀλλὰ καὶ ὅσα ἐν ταῖς ἀγοραῖς πόλεων κατὰ κόσμον εἰσὶ καὶ εὐπρέπειαν οἱαδήποτε ὁμοιώματα. σατανικῷ δὲ κακουργήματι κινούμενος ὁ ψευδομάντις προσέθηκε, πᾶν ὁμοίωμα, ἀνυφόρατον δεῖξαι τὴν πρὸς ἡμᾶς ἔχθραν μηχανώμενος. ὁ δὲ ἀλιτήριος τύραννος τούτῳ κουφότατα πεισθεὶς, ἀποστείλας καθεῖλεν ἀπὸ πάσης ἐπαρχίας τῆς ὑπ' αὐτὸν τὰς ἁγίας εἰκόνας καὶ λοιπὰ ὁμοιώματα. καὶ τούτῳ τῷ τρόπῳ ἀπεκόσμησε τὰς ἐκκλησίας τοῦ Θεοῦ διὰ τοῦ φαρμακοῦ Ἑβραίου ἀφειδῶς τὰς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, πρὸ τοῦ φθάσαι ἐν τῇ γῇ ταύτῃ τὸ κακόν. φευγόντων δὲ τῶν θεοφιλεστάτων Χριστιανῶν, τοῦ μὴ ταῖς οἰκείαις χερσὶ καταστρέψαι τὰς ἁγίας εἰκόνας, Ἑβραίους θεοστυγεῖς, καὶ οἰκτροὺς Ἄραβας ἠγγάρευον οἱ εἰς τοῦτο ἀποσταλέντες Ἀμηραῖοι· καὶ οὕτως ἔκαιον τὰς σεπτὰς εἰκόνας, καὶ τοὺς οἴκους τῶν ἐκκλησιῶν πῇ μὲν κατέχριον, πῇ δὲ κατέξεον. τούτων ἀκηκοὼς ὁ ψευδεπίσκοπος Νακωλείας καὶ οἱ κατ' αὐτὸν, ἐμιμήσαντο τοὺς παρανόμους Ἰουδαίους καὶ τοὺς ἀσεβεῖς Ἄραβας, καὶ ἐνύβρισαν τὰς ἐκκλησίας τοῦ Θεοῦ. ἄξιον δὲ κρίνω τῆς ἱερᾶς ὑμῶν ἀκοῆς καὶ οἷον ἐδέξατο τέλος ὁ ἄθλιός τε καὶ δείλαιος ἐκεῖνος καὶ φαρμακὸς Ἑβραῖος. ὡς γὰρ τοῦτο δράσας ὁ σύμβουλος Ἔζιδος, οὐ πλείω τῶν δύο ἥμισυ χρόνων βιώσας ἀπέθανε, καὶ ἀπῆλθεν εἰς τὸ αἰώνιον πῦρ, αἱ μὲν εἰκόνες ἐν τῇ ἀρχαίᾳ ἱδρύσει καὶ τιμῇ κατέστησαν· ὁ δὲ τούτου υἱὸς Οὔλιδος τοὔνομα, ἀγανακτήσας, ὡς φονέα τοῦ ἰδίου πατρὸς τὸν φαρμακὸν αἰσχίστῳ θανάτῳ ἀναιρεθῆναι ἐκέλευσεν, ἄξια τἀπίχειρα τῆς ψευδομαντείας αὐτοῦ κομισάμενον.

Ὁ ἁγιώτατος ἐπίσκοπος Μεσσήνης εἶπε· κἀγὼ παιδίον ἤμην ἐν Συρίᾳ, ὁπηνίκα ὁ τῶν Σαῤῥακηνῶν σύμβουλος τὰς εἰκόνας κατέστρεφεν.

Σάββας ὁ εὐλαβέστατος μοναχὸς καὶ ἡγούμενος Στουδίου εἶπε· δέσποτα καὶ ἡμεῖς οἱ ἀνάξιοι δοῦλοι τῆς ἁγιωσύνης ὑμῶν ἐξαιτοῦμεν, ἵνα αἱ ἱεραὶ εἰκόνες κατασταθῶσιν ἐν τοῖς τόποις αὐτῶν κατὰ τὴν προτέραν συνήθειαν, καὶ ἵνα λιτανεύωσιν οἱ εὐσεβεῖς Χριστιανοὶ μετ' αὐτῶν.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τί λέγετε τίμιοι ἀδελφοί;

Ἡ ἁγία σύνοδος εἶπε· καὶ ἡμεῖς πάντες συναινοῦμεν.

Πέτρος ὁ ἁγιώτατος πρωτοπρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης ἀνέγνω ἀπὸ πιττακίου.

Ταρασίῳ τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικῷ πατριάρχῃ, καὶ πάσῃ τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ Πέτρος πρωτοπρεσβύτερος τῆς ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου καὶ πανευφήμου ἀποστόλου Πέτρου, καὶ Πέτρος πρεσβύτερος καὶ ἡγούμενος τῆς μονῆς τοῦ ἁγίου Σάββα, ἀμφότεροι τοποτηρηταὶ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης. Δίκαιον ἡγούμεθα, ἵνα κατὰ τὴν ἐκφώνησιν πάντων ἡμῶν, μᾶλλον δὲ κατὰ τὴν ἀρχαίαν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας, καθὼς πάντες οἱ ἅγιοι πατέρες διδάσκουσιν ἡμᾶς, ἔλθῃ ἐν μέσῳ ἡμῶν σεβασμία εἰκὼν, καὶ ταύτην ἀσπασώμεθα· καὶ ὡς παρίσταται ὑμῖν ἱερεῖς, ἐκφωνήσατε περὶ τούτου. καὶ ἕτερον δὲ κεφάλαιον ἀναφέρομεν, ἵνα πάντα τὰ συγγράμματα τὰ κατὰ τῶν σεπτῶν εἰκόνων γενόμενα, μετὰ ἀναθεματισμοῦ λειανθῶσιν, ἢ τῷ πυρὶ παραδοθῶσι.

* ἴσ. τοῦ εὐκταίου

σι. Ὃ περὶ τούτου αὐτοῦμεν ἐκφωνηθῆναι, ὡς δοκεῖ τῇ ἱερᾷ συνόδῳ.

Ἡ ἁγία σύνοδος εἶπεν. ἐλθέτω, γενέσθω.

Πέτρος ὁ θεοφιλέστατος πρωτοπρεσβύτερος καὶ τοποτηρητὴς τοῦ ἁγιωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· εἰ κελεύει ἡ ἁγία σύνοδος, τεθήτω ἀπὸ τῆς αὔριον σεπτὴ εἰκὼν, καὶ πάντες ἀσπασώμεθα αὐτήν.

Ἡ ἁγία σύνοδος εἶπε· γενέσθω, γενέσθω.

Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῶν ἀνατολικῶν ἀρχιερέων εἶπεν. εὐλογητὸς ὁ Θεὸς ὁ δοξάσας τὴν φιλόχριστον Νικαέων ταύτην πόλιν ἐν ταῖς ἡμέραις Κωνσταντίνου καὶ Εἰρήνης τῶν φιλοχρίστων ἡμῶν βασιλέων. εὐλογητὸς ὁ Θεὸς ὁ ἀναδείξας αὐτὴν διπλῆς χάριτος ἀξίαν. τὴν πίστιν πρῶτον ὧδε Χριστὸς ἐτράνωσε, νῦν δὲ διὰ τῆς ἁγίας συνόδου ταύτης τὰ τῆς οἰκονομίας αὐτοῦ σύμβολα πᾶσιν ἐφανέρωσεν. Ἀρειος ὁ δύσφημος ἐνταῦθα καθηρέθη· τῶν θεοστυγῶν εἰκονοκλαστῶν ἡ αἵρεσις ἐνταῦθα ἠφανίσθη. εὐλογητὸς ὁ Θεὸς ὁ λέγων διὰ τοῦ ἁγίου ἀποστόλου Ἰωάννου· ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ω μέγα. εὐλογητὸς ὁ Θεὸς ὁ κατ' ἀρχὰς ἐνταῦθα καὶ ἐν τῷ τέλει τὴν ὀρθόδοξον πίστιν κρατύνας.

Ἡ ἁγία σύνοδος ἐξεβόησε, κατὰ ἕνα ἕκαστον στίχον ἐκ τρίτου ἐκφωνοῦσα· τῶν θεοφθόγγων πατέρων αἱ διδασκαλίαι ἡμᾶς διωρθώσαντο. ἐξ αὐτῶν ἀρυσάμενοι τὴν ἀλήθειαν ἐποτίσθημεν. αὐτοῖς κατακολουθήσαντες τὸ ψεῦδος ἀπεδιώξαμεν. παρ' αὐτῶν διδαχθέντες τὰς σεπτὰς εἰκόνας ἀσπαζόμεθα. παρ' αὐτῶν ὁδηγηθέντες τὴν κατὰ τιμὴν προσκύνησιν αὐταῖς ἀπονέμομεν. πατέρες κηρύττουσι, τέκνα ὑπακοῆς ἐσμεν, καὶ ἐγκαυχώμεθα ἐν προσώπῳ μητρὸς τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας. πιστεύοντες εἰς ἕνα Θεὸν ἐν τριάδι ἀνυμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα. οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν. οἱ μὴ οὕτως φρονοῦντες πόρρω τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν· ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν. ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν. ἡμεῖς τοὺς προστιθέντας τι, ἢ ἀφαιροῦντας ἐκ τῆς ἁγίας ἐκκλησίας, ἀναθεματίζομεν. ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀποδεχόμεθα. ἡμεῖς τὴν ἐπείσακτον καινοτομείαν τῶν χριστιανοκατηγόρων ἀναθεματίζομεν. ἡμεῖς τοὺς μὴ οὕτως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν. τοῖς χριστιανοκατηγόροις, ἤτοι τοῖς εἰκονοκλάσταις ἀνάθεμα. τοῖς λαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς μὴ ἀσπαζομένοις τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας ἀνάθεμα. τοῖς ἀποκαλοῦσι τὰς ἱερὰς εἰκόνας εἴδωλα ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς ταῖς εἰκόσιν οἱ Χριστιανοὶ προσῆλθον, ἀνάθεμα. τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι καὶ ἀτιμάζουσι τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλος ἐρρύσατο ἡμᾶς ἐκ τῶν εἰδώλων, ἀνάθεμα. τοῖς τολμῶσι λέγειν, τὴν καθολικὴν ἐκκλησίαν εἴδωλά ποτε δεδέχθαι, ἀνάθεμα.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων.

Κωνσταντίνου καὶ Εἰρήνης μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη.

Εἰρηνοποιῶν βασιλέων πολλὰ τὰ ἔτη.

Τοὺς καθαιρέτας τῆς προγενομένης καινοφωνίας κύριε κράτυνον.

Εὐσεβῆ κύριε ζωὴν αὐτοῖς.

ΠΡΑ̃ΞΙΣ ϛ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, βασιλείας τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ θεοστέπτου μητρὸς, ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ δύο νόννων Ὀκτωβρίων, ἰνδικτιῶνος ιά.

Συνελθούσης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θείαν χάριν καὶ εὐσεβὲς θέσπισμα τῶν αὐτῶν θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τουτέστι Πέτρου τοῦ εὐλαβεστάτου πρωτοπρεσβυτέρου τῆς κατὰ Ῥώμην ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Πέτρου, καὶ Πέτρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου, μοναχοῦ καὶ ἡγουμένου τῆς κατὰ Ῥώμην εὐαγοῦς μονῆς τοῦ ἁγίου Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκ. τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ· Ταρασίου τε τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκ. τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Ἰωάννου καὶ Θωμᾶ τῶν εὐλαβεστάτων πρεσβυτέρων, μοναχῶν καὶ τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως.

Καθεσθέντων τε πρὸ τοῦ ἱερωτάτου ἄμβωνος τοῦ ναοῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμου Σοφίας, συμπαρόντων καὶ ἀκροωμένων τῶν ἐνδοξοτάτων καὶ μεγαλοπρεπεστάτων ἀρχόντων, τουτέστι Πετρωνᾶ τοῦ πανευφήμου ἀπὸ ὑπάτων πατρικίου καὶ κόμητος τοῦ θεοφυλάκτου βασιλικοῦ ὀψικίου, ὃ πάσης τῆς ἁγίας συνόδου κατὰ τάξιν τὴν προταχθεῖσαν ἐν τῇ πρώτῃ πράξει· παρόντων καὶ τῶν θεοφιλεστάτων ἀρχιμανδριτῶν τε καὶ ἡγουμένων, καὶ παντὸς τοῦ μοναχικοῦ πληρώματος· προκειμένων τῶν ἁγίων καὶ ἀχράντων τοῦ Θεοῦ εὐαγγελίων.

Λέων ὁ εὐκλεέστατος ἀσηκρῆτις εἶπεν. ἐπίσταται ἡ ἁγία καὶ μακαρία σύνοδος, ὡς τῇ προλαβούσῃ συνελεύσει διαφόρους ῥήσεις διεξήλθομεν τῶν θεηλάτων αἱρετικῶν, τῶν αἰτιασαμένων τὴν ἁγίαν καὶ ἀμώμητον τῶν Χριστιανῶν ἐκκλησίαν ἐπὶ τῇ ἀναστηλώσει τῶν ἱερῶν εἰκόνων. τήμερον δὲ μετὰ χεῖρας ἔχομεν αὐτῶν τῶν χριστιανοκατηγόρων τὴν ἔγγραφον βλασφημίαν, ἤγουν τὸ ἀλλόκοτον καὶ εὐανάτρεπτον καὶ αὐτέλεγκτον

τον ὅρον τοῦ ψευδοσυλλόγου, ἐν πᾶσι συνᾴδουσαν τῇ δυσφημίᾳ τῶν θεοστυγῶν αἱρετικῶν. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὴν ἔντεχνον καὶ δραστικωτάτην αὐτοῦ ἀναστροπὴν, ἣν τὸ πνεῦμα τὸ ἅγιον παρέσχετο· ἔδει γὰρ αὐτὸν θριαμβευθῆναι σοφαῖς ἀντίρρήσεσι, καὶ σπαραχθῆναι ἰσχυραῖς ἀναλύσεσιν. ἣν καὶ ὑποβάλλομεν πρὸς τὸ παριστάμενον.

Η ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω.

Ιωάννης διάκονος καὶ * σακελλάριος ἀνέγνω.

* L καγκελλάριος

ΑΝΑΣΚΕΥΗ ΤΟΥ ΚΑΤΤΥΘΕΝΤΟΣ

καὶ ψευδῶς ὀνομασθέντος ὅρου παρὰ τῆς ὀχλαγωγηθείσης πληθύος τῶν χριστιανοκατηγόρων.

ΤΟΜΟΣ Α'.

Φίλον ἀείπως τῷ μισανθρώπῳ δαίμονι χωρίζειν ἀπὸ Θεοῦ τὸν κατ' εἰκόνα Θεοῦ ἄνθρωπον, καὶ πολυσχιδέσιν ἀπάταις διασφάλλειν. καὶ οὐδὲν αὐτῷ περισπουδαστότερον, ἢ τῆς εὐσεβείας καταγωνίσασθαι, καὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης ἀνασοβεῖν τὴν κατάστασιν. ὃ δὴ καὶ ἐπὶ τῶν καθ' ἡμᾶς χρόνων ἐπεδείξατο διὰ συμμορίας τινὸς, ἐν ᾗ οἱ ἀθροισθέντες τῆς ὑποκειμένης ἐκθέσεως εἰσηγηταὶ γεγόνασι, καὶ ἑβδόμην σύνοδον ψευδῶς ἑαυτοῖς ἐπεφήμισαν, τὸ ἁπλοῦν καὶ ἐγνωσμένον πᾶσι τὸ κατὰ τῶν εἰδώλων μῖσος οἷόν τι ὡς ἐν ἀγκίστρῳ δέλεαρ προβαλλόμενοι, καὶ τὸ αὐτῶν μῦσος ἀντιπαραθέντες πρὸς τὰς εἰκονικὰς ἀνατυπώσεις, τοὺς ἁπλουστέρους συνήρπασαν. καὶ τὴν παλαιοτάτην καὶ διεφθαρμένην φωνὴν, τὴν εἰδωλολατρείαν λέγω, ἀναχαλκεύσαντες, δι' ἧς οἱ τῷ διαβόλῳ καὶ ταῖς πονηραῖς αὐτοῦ δυνάμεσι διὰ δαιμονικῶν ἀγαλμάτων, καὶ τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύσαντες, δικαίως εἰδωλολάτραι ὀνομάζεσθαι κατεδικάσθησαν. τὸ * βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον, τοῖς ἐνδεδυμένοις Χριστὸν, καὶ τῇ χάριτι αὐτοῦ ἀπαλλαγεῖσι τῶν εἰδώλων, καὶ τῆς πλάνης αὐτῶν ἀνασωθεῖσι προστρίψαι ἐπειράθησαν. εἴθε δίκην ἀμβλωθριδίων εὐθὺς τεχθέντα τὰ ῥήματα αὐτῶν διεφθάρησαν, ὡς ἐν τῇ ἐκκλησίᾳ γενόμενα μιάσματα. ἀλλ' ἐπειδὴ ληρῳδηθέντα ὑπότινων ἐγαλακτοτροφήθησαν, οὐ μὴν δὲ εἰς τελείαν ἡλικίαν κατήντησαν, ταῦτα ἀνελεῖν τῇ μαχαίρᾳ τοῦ πνεύματος ἀναγκαῖόν ἐστιν. ἀλλ' ἡγείσθω Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ φωτίζων πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ μόνος νοῦς τῶν εὐσεβῶς νοούντων καὶ νουμένων, καὶ λόγος τῶν λεγόντων καὶ λεγομένων, καὶ πᾶσι πάντα καὶ ὢν καὶ γινόμενος. ὁ διδοὺς γλῶσσαν παιδείας τοῦ γνῶναι, ἡνίκα δεῖ εἰπεῖν λόγον. ἡ δήλωσις γὰρ τῶν λόγων αὐτοῦ φωτιεῖ καὶ συνετιεῖ νηπίους. ὅπως τὸ ψεῦδος ἐξελαθείη, καὶ ἡ ἀλήθεια ἐπεισέλθη πᾶσι τηλαυγὼς καὶ φαιδρῶς διαλάμπουσα· ἣν οἱ εὐσεβείας ζηλωταὶ ἐπισπασάμενοι, μεμνημένοι τοῦ θείου ἀποστόλου εἰπόντος. οὐαί μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι· συνηγορεῖν καὶ ὑπερασπίζεσθαι ταύτης, καὶ ἀπελέγχειν τὸ ψεῦδος, καὶ λιθοβολεῖν τῇ σφενδόνῃ τοῦ πνεύματος ὀφειλέται εἰσίν. ὅθεν γραφικῶς καὶ πατρικῶς, ἐρευνητικῶς τε καὶ συλλογιστεκῶς ἐλθόντες εἰς ἐποψίαν τῶν φλυναφηθέντων, κατὰ τὸν Φινεὲς τῷ σειρομάστῃ τοῦ πνεύματος, τῇ μιᾷ πληγῇ τοῦ ἐλέγχου ῥᾳδίως τοὺς κατὰ τὴν ἀσέβειαν ταύτην ἀλλήλοις συμπεπλεγμένους συνεκκεντήσειαν, καὶ ψευδηγόρους δι' ἀποδείξεως ἐναργοῦς τὰς γλώσσας αὐτῶν πᾶσι γνωρίσειαν, ὡς ἐπαρθείσας κατὰ τῆς γνώσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, καὶ κατὰ τῆς ἐκκλησίας αὐτοῦ, καὶ ἀδικίαν εἰς τὸ ὕψος τῆς αὐτοῦ ἐνανθρωπήσεως λελαληκυίας. εἶτά τε διαῤῥήξαντες τοὺς δεσμοὺς αὐτῶν τῇ μαχαίρᾳ τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, καὶ διαλύσαντες τὸν τῆς ἀμαθίας αὐτῶν ζυγὸν, τῆς πανουργίας αὐτῶν τὰ προκαλύμματα ἐμφανῆ πᾶσι καταστήσειαν. διότι καὶ ὁ κύριος ἐκγεγέλακεν αὐτοὺς, καὶ ἐκμεμυκτήρικεν αὐτοὺς, καὶ λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, λέγων ἀπέλθετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς. περὶ ὧν καὶ διὰ τοῦ προφήτου Ιερεμίου ἀπεφήνατο· ψευδῆ οὗτοι προεφήτευσαν ἐπὶ τῷ ὀνόματί μου· οὐ γὰρ ἀπέστειλα αὐτοὺς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς· καὶ ὁράσεις ψευδεῖς καὶ μαντείας καὶ οἰωνίσματα καὶ προαιρέσεις καρδίας αὐτῶν λελαλήκασι. διὰ τοῦτο ἔσονται ἐῤῥιμμένοι ἐν ταῖς διόδοις Ιερουσαλὴμ, ἤτοι τῆς καθολικῆς ἐκκλησίας καὶ καταπάτημα πᾶσι τοῖς εὐσεβῶς ὁμολογοῦσι τὸν κύριον. παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται ῥήμασιν ἰδίου στόματος· ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ τῆς ἀσεβείας ὁ ἔλεγχος. ἐλέγξω σε γὰρ, φησὶ, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἵνα δὲ μὴ μακροτέροις ἐπεισοδίοις τὸν λόγον μηκυνώμεν, τῆς προκειμένης ὁδοῦ ἐχόμενοι, πρὸς τοὺς ἐλέγχους ἐξ αὐτῆς ἐπιγραφῆς τὸν λόγον ποιούμεθα. οὐδὲ γὰρ πῶς ἐστιν ἄλλως τὴν τούτων ἀποδεῖξαι ματαιολογίαν ἀδρανῆ καὶ λοιδορίας μεμεστωμένην, εἰ μὴ ἐλεγκτικῶς * μετὰ τῆς τοῦ κρείττονος ἐπιφροσύνης πρὸς αὐτοὺς ἀντιταξώμεθα, μίαν ἀσφάλειαν ἑαυτοῖς ποριζόμενοι, τὸ μὴ καινουργεῖσθαί τι παρ' ἡμῶν τῶν ἡκόντων εἰς θεοσέβειαν. πειθόμενοι δὲ μᾶλλον ἀποστολικαῖς καὶ πατρικαῖς διδασκαλίαις, καὶ ἐκκλησιαστικαῖς παραδόσεσι. παρακαλοῦμεν δὲ τοὺς ἐντυγχάνοντας τῷδε τῷ συντάγματι, ἐρευνητικῶς ἀναγινώσκειν, καὶ μὴ παροδευτικῶς· ἵνα σαφῶς καὶ τρανῶς ἐπιγνόντες τὸ ἀκριβὲς τῆς ἀντιθέσεως, τὰ νικητήρια τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ ἀποτίσωσιν. ἐχρήσαντο δὲ προοιμίοις τοιοῖσδε.

* ἴσ. τοῖς γενομένοις βασίλειον,

Ιωάν. 1.

Ψαλ. 118.

2. Κορίν. 9.

Ε'φεσ. 6.

Ματθ. 7.

Ιερ. 14. 23.

Ψαμ. 49.

* ἴσ. μετὰ τῆς ἀπὸ τοῦ κρείττοινος,

ΓΡΗ-

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΦΙΛΕΣΤΑΤΟΣ
ἐπίσκοπος Νεοκαισαρείας ἀνέγνω.

Ορος τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου.

ΙΩΑΝΝΗΣ ΔΙΑΚΟΝΟΣ
τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἀνέγνω.

Εκ ψεύδους ἀρξάμενοι, καὶ δι' ὅλης αὐτῶν ταύτης τῆς νεωτεροποιοῦ * κενοφωνίας τοῦτο εἰς συνασπισμὸν λαβόντες, εἰς ψεῦδος κατέληξαν οἱ χριστιανοκατήγοροι· πῶς γὰρ ἁγία ἡ μηδ' ὅ, τί ἐστιν ἅγιον, ἐν γνώσει λαβοῦσα; ἐναγὴς δὲ καὶ βέβηλος καὶ παρέγγραπος. οἱ γὰρ ἐν αὐτῇ ἀθροισθέντες, προφητικῶς φάναι, ἀναμέσον ἁγίου καὶ βεβήλου οὐδίεστειλαν, τὴν εἰκόνα τοῦ σαρκωθέντος Θεοῦ λόγου, κυρίου δὲ ἡμῶν Ιησοῦ Χριστοῦ, ὁμοίως τῇ εἰκόνι τοῦ σατανᾶ, εἴδωλον ἀποκαλέσαντες. πῶς δ' αὖ μεγάλη καὶ οἰκουμενικὴ, ἣν οὔτε ἐδέξαντο, οὔτε συνεφώνησαν οἱ τῶν λοιπῶν ἐκκλησιῶν πρόεδροι, ἀλλ' ἀναθέματι ταύτην παρέπεμψαν; οὐκ ἔχε συνεργὸν τὸν τηνικαῦτα τῆς Ρωμαίων πάπαν, ἢ τοὺς περὶ αὐτὸν ἱερεῖς, οὔτε διὰ τοποτηρητῶν αὐτοῦ, οὔτε δι' ἐγκυκλίου ἐπιστολῆς, καθὼς νόμος ἐστὶ ταῖς συνόδοις. ἀλλ' οὔτε συμφρονοῦντας αὐτῇ τοὺς πατριάρχας τῆς ἕω, Αλεξανδρείας, Αντιοχείας, καὶ τῆς ἁγίας πόλεως, ἢ τοὺς σὺν αὐτοῖς μύστας καὶ ἀρχιερεῖς. ὄντως καπνὸς ἀχλύος πλήρης, σκοτίζων ὀφθαλμοὺς ἀφρόνων, ὁ λόγος αὐτῶν, καὶ οὐχὶ λύχνος τεθεὶς ἐπὶ τὴν λυχνίαν τοῦ φωτίζειν τοὺς ἐν τῇ οἰκίᾳ. διότι τοπικῶς ὡς ἐν παραβύστῳ τὰ αὐτῶν ἐλαλήθη, καὶ οὐκ ἐπάνω τοῦ τῆς ὀρθοδοξίας ὄρους. οὐδὲ εἰς πᾶσαν τὴν γῆν ἀποστολικῶς ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, ἢ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν, ὥσπερ τῶν ἓξ ἁγίων οἰκουμενικῶν συνόδων. ἑβδόμη δὲ πάλιν πῶς, ἡ μὴ συμφωνήσασα ταῖς πρὸ αὐτῆς ἓξ ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις; πᾶν γὰρ ἕβδομον ταττόμενον, τῶν πρὸ αὐτοῦ ἀριθμήσει προκειμένων πραγμάτων ἀκόλουθον ὀφείλει εἶναι· ἐπεὶ τὸ μηδὲν τῶν συναριθμουμένων μετέχον οὐδὲ συναριθμεῖται. ὡς γὰρ εἴτις ἓξ χρυσίνους στοιχηδὸν καταθῇ, εἶτα τοῦτοις παραθῇ χαλκοῦν νοῦμμον, ἕβδομον οὐκ ἂν τοῦτον προσαγορεύσιε διὰ τὸ τῆς ὕλης ἑτεροούσιον· ὁ γὰρ χρυσὸς πολυτελὴς καὶ τίμιος, ὁ δὲ χαλκὸς εὐτελὴς καὶ ἄτιμος. οὕτως καὶ αὕτη χρυσοῦν μηδὲν ἢ τίμιον ἐν δόγμασιν ἔχουσα, ἀλλὰ πάντῃ ὑπόχαλκος οὖσα καὶ κίβδηλος, ἰοῦ θανατηφόρου γέμουσα, ταῖς ἓξ πανιέροις συνόδοις, καὶ χρυσέοις τοῦ πνεύματος ἔπεσιν ἐκλαμπούσαις συναριθμεῖσθαι οὐκ ἠξίωται. ἔχουσα δὲ τὴν ἔπαρσιν τοῦ εἰπόντος, θησω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν, ἐξηχεῖ τοιάδε.

* καινοφωνίας

Γερεμ. 22.

Ψαλ. 18.

Ἡσαΐ. 24.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Η ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἢ κατὰ Θεοῦ χάριν καὶ πανευσεβὲς θέσπισμα τῶν θεοστέπτων καὶ ὀρθοδόξων ἡμῶν βασιλέων Κωνσταντίνου καὶ Λέοντος συναχθεῖσα ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, ἐν τῷ σεβασμίῳ ναῷ τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῷ ἐπονομαζομένῳ Βλαχέρναις, ὥρισε τὰ ὑποτεταγμένα.

ΙΩΑΝΝΗΣ Ο ΘΕΟΦΙΛΕΣΤΑΤΟΣ
διάκονος ἀνέγνω.

Εἰ κατὰ θείαν χάριν ἡ ἄθροισις αὐτῶν γέγονε, τοῖς τῇ χάριτι τοῦ Θεοῦ λαληθεῖσι ῥήμασιν ἐκεκόσμητο ἂν, καὶ ἀληθείᾳ ἐφαιδρύνετο· ἐπειδὴ ἡ χάρις ταύτῃ συνέζευκται, ὡς σύζυγα δύο, καὶ ὁμοδίαιτα ταῦτα. καὶ μάρτυς Ιωάννης ὁ τῆς θεολογίας πρώταρχος, λέγων· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ιησοῦ ἐγένετο. αὐτοὶ οὖν τὴν ἀλήθειαν ἀφέντες, ἐν ᾗ ὁ παροιμιαστὴς αὐχεῖ λέγων· ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· καὶ τὸ ψεῦδος ἐπισπασάμενοι, δῆλον ὅτι τῆς χάριτος ἐκπεπτώκασιν. ὅθεν οὐδὲ ὁ λόγος αὐτῶν θείῳ ἅλατι ἐστιν ἠρτυμένος, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. τὸ δὲ ἐν τῷ πανσέπτῳ ναῷ τῆς δεσποίνης ἡμῶν θεοτόκου συναγηγέρθαι αὐτοὺς, οὐδὲν θαυμαστόν· ἐν τούτῳ γὰρ οὐκ ἐγκαλλωπισθήσονται· ὡς οὐδὲ Ανναν καὶ Καϊάφαν, καὶ τὸ αὐτῶν Ιουδαϊκὸν συνέδριον τὸ κατὰ τοῦ Χριστοῦ βουλευόμενον ὄνησεν ἡ ἐν τῷ ἱερῷ κατὰ Χριστοῦ γενομένη ἄθεσμος βουλή. διὰ τοῦτο γὰρ μᾶλλον κατάκριτοι ἐδείκνυντο, ὅτι ἐν τοῖς ἁγίοις τόποις τὰ ἐναγῆ καὶ ἐχθρὰ Θεῷ συνθήματα συνεσκεύασαν. εἴθε δὲ ὡς πατρικῇ φωνῇ προιμιασάμενοι Διονυσίου τοῦ θεοφάντορος, καὶ τὰς παραδόσεις αὐτοῦ τε καὶ πάντων τῶν ἁγίων πατέρων ἡμῶν ἀῤῥαγεῖς διεφύλαξαν. ἀλλ' οὐκ ἔστι τοῦτο ἐν αὐτοῖς, ὡς τὰ ἑξῆς διὰ πάσης τῆς ἐκθέσεως αὐτῶν δηλώσει. εἰ καὶ ἀκαταλλήλως, οἷα λύκοι κωδίω προκαλυπτόμενοι, ἐκ θεολογίας προοιμιάζονται, οὑτωσὶ φάσκοντες.

Ιωάν. 1.

Παροι. 8.

Κολοσ. 4

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
Νεοκαισαρείας ἀνέγνω.

Η πάντων αἰτία καὶ τελεσιουργὸς θεότης, ἡ τὰ ὅλα τῇ ἑαυτῆς ἀγαθότητι ἐκ μὴ ὄντων εἰς τὸ εἶναι ὑποστησαμένη, ταῦτα κοσμίως τε καὶ εὐτάκτως φέρεσθαι ὡρίσατο· ὅπως τῆς κατὰ χάριν δεδωρημένης αὐτοῖς εὐεξίας ἐχόμενα, ἀκλινῆ τὴν διαμονὴν καὶ ἀῤῥεπῆ τὴν πρὸς ἑκάτερα νεῦσιν τῆς ἀληθοῦς στάσεως διασώζοιεν.

ΕΠΙ-

σιν ημῶν ἀλαζονικῶς ἐγκαυχᾶσθαι δι' ἑαυτῆς πεποιηκέναι. καὶ ποικίλοις ῥήμασι τὴν ἑαυτῶν γνώμην συῤῥαψῳδήσαντες, τὴν ἐκκλησίαν τοῦ Θεοῦ ὡς ἐσφαλμένην κρίνουσιν, ἀναλύοντες τοὺς λόγους αὐτῶν ὑπὲρ ἔλαιον, γραφικά τινα φθεγγόμενοι. ἀλλὰ δόλια τὰ ῥήματα αὐτῶν, καὶ κολὶς τετρώκασα ἡ γλῶσσα αὐτῶν. λαλοῦσι γὰρ εἰρηνικὰ, ἐν ἑαυτοῖς δὲ ἔχουσι τὴν ἔχθραν. διὸ καὶ ἐπιφέρουσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ἀπέστησεν ἡμᾶς ἐκ τῆς φθοροποιοῦ τῶν δαιμόνων διδασκαλίας, ἤτοι τῆς τῶν εἰδώλων πλάνης τε καὶ λατρείας, καὶ τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν παραδέδωκεν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ καβκλείσιος ἀνέγνω.

Ἄκοντες, ὦ βέλτιστοι, πρὸς τὴν ἀλήθειαν ἔλκεσθε. πᾶσα γὰρ ἡ τῶν ἀποστόλων θεία ὁμήγυρις, καὶ ἡ ἁγία πληθὺς τῶν πατέρων ἡμῶν εἰς ἀνθρώπους ἐλθόντα τὸν τοῦ Θεοῦ πατρὸς υἱὸν καὶ λόγον κηρύττει ἀποσῶσαι ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων. ἀλλὰ καὶ προκατηγγελθείσας φωνὰς ἔχομεν διὰ τῶν προφητῶν ὕτω βοώσας· ἰδοὺ γὰρ, φησὶν, ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐξαλείψω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκ ἔσαι αὐτῶν μνεία. ὥστε καὶ ὑμεῖς ὁμολογεῖν μαχεῖσθε, ἀποσῆσαι ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων Χριστὸν τὸν Θεὸν ἡμῶν. καὶ εἰ ἀπέστησε, πῶς πάλιν εἰδωλολατρήσαν οἱ εἰς αὐτὸν πιστεύσαντες; ἄπαγε τῆς λυπρᾶς ὑμῶν φλυαρίας. Θεὸς λυτρᾶται σαρκωθείς, καὶ πάλιν αἰχμαλωτιζόμεθα; καὶ ὑπὸ τοῦ τυραννήσαντος ἡμᾶς πάλιν νυνὶ χειρούμεθα; ἀκούσατε τῆς θείας Γραφῆς λεγούσης· ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰς γενεῶν· καὶ βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου Σιὼν εἰς γενεὰν καὶ γενεάν. ὁμοίως, καθὼς οἱ ἐπὶ τῆς γῆς βασιλεῖς ποτὲ μὲν νικῶσι, καὶ αὖθις ἡττῶνται, οὕτως καὶ ὁ Θεός· ἀλλ' ἡ νίκη αὐτοῦ εἰς τὸν αἰῶνα μένει. οὐδὲ γὰρ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι, ὡς γέγραπται. τούτοις δὲ καὶ ὁ ἀπόστολος συμφωνεῖ· ἀμεταμέλητα γὰρ, φησὶ, τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ. τὰ αὐτὰ δὲ φθέγγονται, ἑαυτοὺς σεμνύειν δοκοῦντες. ἐπιφέρουσι γὰρ, ἑαυτοῖς μαχόμενοι.

Zαχαρ. 13.

Ψαλ. 144. καὶ 145.

Ρωμ. 11.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Καὶ εὐθὺς ὕτως μετὰ τὸ προσλήμματος εἰς οὐρανοὺς ἀνελήφθη, τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους, διδασκάλους τῆς τοιαύτης σωτηριώδους πίστεως καταλελοιπώς· οἳ τὴν ἡμῶν ἐκκλησίαν ὡς νύμφην αὐτοῦ τῆς ἀσεβείας ποικίλοις καὶ φωτοφαέσι δόγμασιν ὡραΐσαντες, πάγκαλον καὶ ὑπέρλαμπρον, ὡς οἷα χρυσωτοῖς χρυσοῖς περιβεβλημμένην καὶ πεποικιλμένην ἀνέδειξαν. ἧς τὴν ὡραιότητα παραλαβόντες οἱ κλεινοὶ ἡμῶν πατέρες καὶ διδάσκαλοι, καὶ αἱ ἓξ ἅγιαι καὶ οἰκουμενικαὶ σύνοδοι, ἀμείωτον διεφύλαξαν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ καβκλείσιος ἀνέγνω.

Ἀμαθεῖς καὶ ἀπαίδευτον φρόνημα ἔχοντες, οὐδὲ ἤθοντο οἱ τῆς νεωτεροποιοῦ κενοφωνίας θρυλλολέκται τῆς ἑαυτῶν παρεγγράπτου οἰήσεως· καὶ παραπετάσματι πανούργῳ ἐπισκιάσαι θέλοντες τὸ ἑαυτῶν φρόνημα, γελοιότατόν τι ἐξ ἀπροσεξίας πάσχουσιν, ἐπαινοῦντες πολλὰ καὶ μεγάλα τὴν ἐκκλησιαστικὴν θεσμοθεσίαν, καὶ ταύτην ἀμείωτον φυλάττειν τὰς ἁγίας ἓξ οἰκουμενικὰς συνόδους, κἂν μὴ θέλωσι, σωτίζονται. καὶ ῥήμασι μὲν σχηματίζονται τὴν ἀσέβειαν, περὶ δὲ τὸν νοῦν κακουργοῦσι. καὶ τοῖς χείλεσι ταύτην τιμῶσι, τῇ δὲ καρδίᾳ πόρρω ἀπέχουσιν ἀπ' αὐτῆς, μὴ προσιέμενοι δέχεσθαι τὴν ἐν παντὶ τῷ παρελθόντι χρόνῳ ὑπὸ τοσούτων ἁγίων κεκρατηκυῖαν παράδοσιν. ὄφελον ἠχύνοντο τὸ πλῆθος τῶν τε νῦν Χριστιανῶν, καὶ τῶν ὅσοι γεγόνασιν ἀφ' οὗ κατηγγέλη τὸ εὐαγγέλιον, ἀποβαλλόμενοι καὶ ἐξουθενοῦντες τὴν τούτου διὰ συλλογραφίας διήγησιν. μὴ γὰρ τὸ νομίσαι τὴν ἁγίαν οἰκουμενικὴν ἕκτην σύνοδον ἕως οὗ αὐτοὶ συνηθροίσθησαν κατὰ τῶν σεπτῶν εἰκόνων, οὐ πλείονα ἢ ἑβδομήκοντα ἔτη παρελήλυθεισαν. καὶ ὡς ὁμοίως ἐν τούτοις τοῖς ἔτεσιν αἱ τῶν εἰκόνων ἀναζωγραφήσεις παρεδόθησαν, πᾶσι κατάδηλόν ἐστιν, ἀλλ' ἐν τοῖς ἐπέκεινα χρόνοις τῆς ἕκτης συνόδου, εἰπεῖν δὲ πάνυ θες, ἀποστόλων κηρύξεως γεγόνασι, καθὼς ἐν παντὶ τόπῳ ἐξ αὐτῆς τῆς ὄψεως τῶν ἁγίων ναῶν διδασκόμεθα, καὶ πατέρες ἅγιοι μεμαρτυρήκασι, καὶ ἱστορίαν εἰσηγηταὶ διαγορεύουσι, καὶ σώζονται ἄχρι τοῦ νῦν τὰ αὐτῶν συγγράμματα. ἐν γὰρ τῷ πρώτῳ καὶ πεντακισχιλιοστῷ πεντακοσιοστῷ ἔτει Χριστὸς ὁ Θεὸς ἡμῶν εἰς ἀνθρώπους ἐλθὼν, καὶ τεσσαρακοντατρία ἔτη ἐπὶ μησὶ παρὰ μικρὸν πεντεκαιδεκάτοις μεθ' ἡμῶν, καὶ τὸ μέγα καὶ σωτήριον μυστήριον τῆς ἡμῶν ἀπολυτρώσεως ἐργασάμενος, τὴν εἰς οὐρανὸς πορείαν ἐποιήσατο, ἀνελθὼν δῆλον, ὅθεν κατῆλθεν, ἐντειλάμενος τοῖς ἀποστόλοις διδάσκειν πάντα τὰ παρ' αὐτοῦ αὐτοῖς διατεταχθέντα. ἀφ' οὗ δὴ τῶν χρόνων τούτων ἕως Κωνσταντίνου τοῦ βασιλέως, τοῦ πρώτου Χριστιανῶν βασιλεύσαντος, διῆλθον ἔτη ὡσεὶ τριακόσια, τὸ πρὶν Ἑλλήνων τυραννούντων· ὅτε λοιπὸν οἱ πλείους τῶν Χριστιανῶν τὸν καλὸν ἀγῶνα ἀγωνισάμενοι, μαρτυρικῶς τὸν βίον τοῦτον κατελίμπανον, κατὰ τῶν εἰδώλων ἀνθιστάμενοι. ἡ δὲ τῶν Χριστιανῶν πληθὺς ἐνθέῳ ζή-

Ησαΐ. 29.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ κουβουκλείσιος ἀνέγνω.

Ἡ μὲν ἅπασα κτίσις παρὰ Θεοῦ δημιουργηθεῖσα, καὶ λαβοῦσα τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑποστατικὴν δύναμιν, νῦν τῷ αὐτοῦ προστάγματι κινουμένη τε καὶ διευθυνομένη, γινώσκει τὴν τοῦ κτίσαντος φυλάττειν πρόσταξιν, ὡς παρ' αὐτοῦ καὶ προνοουμένη, κἂν ἄψυχός τις ᾖ, κἂν ἐψυχωμένη. αὐτοὶ δὲ τὴν δοθεῖσαν ἡμῖν παρὰ τοῦ Χριστοῦ ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ αὐτοῦ πρὸς ἀνάμνησιν τῆς σωτηριώδους οἰκονομίας αὐτοῦ παράδοσιν ἀναθεματίσαι τετολμήκασιν, ἀγνοοῦντες, ὡς οὐδὲν τῶν ἐν αὐτῇ χωρὶς αὐτοῦ γέγονε. καὶ ἀποδεικνῦναι τῶν ἀψύχων ἀναισθητότεροι, καὶ τῶν ἀλόγων ἀλογώτεροι. καὶ οὐ μόνον τοῦτο, ἀλλ' εὐδρομεῖν οἰόμενοι τὴν γλῶτταν ἐν τοῖς ἀτόποις λόγοις καὶ δόγμασι, ψευδηγοροῦσι τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν εἰδώλοις ἐγκαλλωπίζεσθαι. καὶ θέμενοι ψεῦδος τὴν ἐλπίδα αὐτῶν, πρὸς αὐτὴν ἀποφθέγγονται· ὁδοὺς σου εἰδέναι οὐ βουλόμεθα, οὐδὲ τῇ ἀρχῆθεν παραδόσει κατακολουθεῖν προαιρούμεθα. μενοῦνγε ἀκούσονται παρὰ τοῦ αὐτὴν θεμελιώσαντος Χριστοῦ· οὐκ οἶδα ὑμᾶς. χηματίζονται δὲ τὸν διάβολον θριαμβεύειν, λέγοντες οὕτως.

Γώβ. 21.

Ματθ. 7.25.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ἐπεὶ δὲ ὁ διὰ τὴν πρὶν λαμπρότητα Εωσφόρος τὴν οἰκείαν τάξιν περὶ Θεὸν ἱδρυμένην ἔχων, καὶ πρὸς ὕψος κατὰ τοῦ πεποιηκότος τὸ ἑαυτοῦ ἀνατείνας φρόνημα, σκότος ἐντεῦθεν μετὰ τῆς ἀποστατικῆς αὐτοῦ δυνάμεως γέγονεν· ἔκ τε τῆς ὑπερενδόξου, φωτοποιοῦ τε καὶ ὑπερφώτου θεαρχίας αὐθαιρέτως ἐκπεπτωκὼς, πάσης κακίας αὐτούργος, εὑρετὴς καὶ διδάσκαλος ἀποδειχθεὶς ἠμαυρώθη. μὴ φέρων εἰς ἣν κατετέτακτο δόξαν ἀντεισαχθέντα τὸν ὑπὸ Θεοῦ κτισθέντα ἄνθρωπον ὁρᾶν, πᾶσαν κατ' αὐτοῦ τὴν ἑαυτοῦ κακίαν ἐκένωσε, καὶ δι' ἀπάτης αὐτὸν τῆς τοῦ Θεοῦ δόξης τε καὶ λαμπρότητος ἠλλωτρίωσε, τῇ κτίσει παρὰ τὸν κτίσαντα προσκυνεῖν ὑποθέμενος.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ κουβουκλείσιος ἀνέγνω.

Εἰ μὲν κατὰ τῆς ἀπηγορευμένης καὶ ἐβδελυγμένης παρά τε τῶν ἐνδυσαμένων δύναμιν ἐξ ὕψους ἁγίων ἀποστόλων, καὶ τῶν ἐμπνεύσει τοῦ ἁγίου πνεύματος προαναφωνησάντων θείων προφητῶν, εἴ τά τε καὶ τῶν αὐτοῖς ἀκολούθων θεσπεσίων πατέρων ἡμῶν, εἰδωλολατρείας καὶ κτισματολατρείας ἦν ὁ λόγος αὐτῶν, πάντες ἂν οἱ τῆς ἐκκλησίας τρόφιμοι συνετίθεντο, καὶ εὔκαιρον ἦν αὐτοῖς ταῦτα γραφῇ παραδοῦναι. ἀλλ' ἐπειδὴ ταύτην ἀφέντες, τοῦ ψεύδους ὑπερασπίζονται, καὶ τὸν πατέρα τούτου διάβολον θριαμβεύειν ὑποκρινόμενοι, κατὰ τῆς ἀμωμήτου ἐκκλησίας τὴν γλῶσσαν ἐκθήγουσι, καὶ καπήλων δίκην τὸν οἶνον μίσγουσιν ὕδατι, καὶ ἀνατροπὴν θολερὰν τὸν πλησίον ποτίζειν οὐκ εὐλαβήθησαν, ἐνδίκως ἀκούουσι θείας φωνῆς ὡς πρὸς αὐτοὺς ἀποτεινομένης παρὰ τοῦ θεοφάντορος Δαβὶδ ψάλλοντος· ἱνατί ἐκδιηγεῖσθε τὰ δικαιώματα μου, καὶ ἀναλαμβάνετε τὴν διαθήκην μου διὰ στόματος ὑμῶν; ὑμεῖς δὲ ἐμισήσατε παιδείαν, καὶ ἐξεβάλετε τοὺς λόγους μου εἰς τὰ ὀπίσω, τὴν μερίδα ὑμῶν τεθεικότες μετὰ τῶν παραχαραξάντων τὰ δόγματα τῆς ἀληθείας. ἔνθεν ὑποκρινόμενοι τὴν ἀλήθειαν, φασίν.

Ψαλ. 49.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ὅθεν τὸ τῆς οἰκείας χειρὸς ἔργον ὁ πλάστης Θεὸς βλέπειν τέλεον εἰς ἀπώλειαν χωροῦν μὴ ἀνεχόμενος, μετὰ τὴν διὰ νόμου καὶ προφητῶν ἐπὶ σωτηρίᾳ τούτου γενομένην ἐπιμέλειαν, καὶ μή πω δυνηθέντος εἰς τὴν προτέραν ἐπανελθεῖν εὐγένειαν, κατηξίωτε τὸν ἑαυτοῦ υἱόν καὶ λόγον ἐν ἐσχάτοις καὶ προωρισμένοις καιροῖς ἐπὶ τῆς γῆς ἀποστεῖλαι. ὃς εὐδωκίᾳ πατρικῇ, καὶ συνεργίᾳ τοῦ ὁμοδυνάμου καὶ ζωαρχικοῦ πνεύματος ἐν μήτρᾳ οἰκήσας παρθενικῇ, καὶ ἐκ τῆς ἁγίας καὶ ἀμωμήτου σαρκὸς αὐτῆς ἐν τῇ ἰδίᾳ ὑπάρξει, ἤτοι ὑποστάσει, σάρκα λαβὼν τὴν ἡμῖν ὁμοούσιον, καὶ ταύτην διὰ μέσης ψηχῆς λογικῆς τε καὶ νοερᾶς συμπήξας τε καὶ διαμορφώσας, γεννηθείς τε ἐξ αὐτῆς ὑπὲρ λόγον καὶ παντὸς νοὸς διανόησιν, σταυρόν τε ὑπομείνας ἑκούσιον, καὶ θάνατον ἑλόμενος, καὶ τριήμερος ἐκ νεκρῶν ἀναστὰς, καὶ πᾶσαν τὴν σωστικὴν αὐτοῦ οἰκονομίαν πληρώσας.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ κουβουκλείσιος ἀνέγνω.

Φησὶν ἡ θεία γραφὴ ἐν τῇ κοσμοποιΐᾳ τὸν Θεὸν εἰρηκέναι, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. μέγα οὖν τὸ μέγεθος τῆς ἀξίας, ὅτι περγηγενὴς εἰκόνι Θεοῦ τετίμηται. ἀλλὰ τούτου ἐκπτωθέντος τῇ ἀπάτῃ, καὶ μὴ φυλάξαντος τὸ τῆς πρώτης πλάσεως ἀξίωμα, τὸ ἀνθρώπινον γένος εἰς εἰδωλολατρείαν κατωλίσθησε. τοῦτον ὁ Θεὸς καὶ λόγος τοῦ πατρὸς γενόμενος τέλειος ἄνθρωπος, μὴ τραπεὶς τὴν φύσιν, ἀνεκαλέσατο τῆς ἐκπτώσεως· καὶ ἀποστήσας αὐτὸν τῆς πλάνης τῶν εἰδώλων ἀναπλάττει εἰς ἀθανασίαν, παρασχόμενος αὐτῷ δωρεὰν ἀμεταμέλητον· αὕτη τοῦ προτέρου θεοειδεστέρα, καὶ κρείττων τῆς πλάσεως γίνεται ἡ ἀνάπλασις, καὶ τὸ χάρισμα αἰώνιον. τὰ οὖν μεγέθη ταῦτα τῶν δωρημάτων ἀμαυρῶσαι θέλοντες, ἑτέραν εἰδωλολατρείαν θρασυστομοῦσιν ἐπεισελθεῖν τὴν τῶν εἰκόνων ποίησιν, καὶ ἀπολύτρωσιν

Γεν. 1.

ζηλῳ κινούμενοι, καὶ ἀναδειμάμενοι, τινὲς μὲν εἰς ὄνομα Χριστοῦ, ἕτεροι δὲ εἰς τιμὴν ἁγίων, οἱ μὲν τὰ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ ἡμῶν ἐν αὐτοῖς ἀνεζωγράφησαν, οἱ δὲ τὰς ἀθλητικὰς τῶν μαρτύρων ἐξηγήσεις· ἄλλοι ἐν σανίσιν ἀεὶ τῷ μνήμῃ φέρειν θέλοντες ἐν ἑαυτοῖς, τοῦ ποθουμένου μάρτυρος τὴν εἰκόνα ἐσηλογράφησαν, ἢ καὶ αὐτὸν τὸν Χριστόν. ἀλλὰ καὶ ἐν ἱεραῖς ἐδάφεσι καὶ ἐν κειμηλίοις αἱ εἰκόνες παράκεινται τῶν ἁγίων πατέρων ἡμῶν καὶ θεοσεβῶν ἀνδρῶν ἀνεζωγραφῶσθαι, καὶ ἐν αὐτοῖς τὰς ἀναιμάκτους θυσίας ἐτέλουν· ὡς ἕως ἡμῶν ταῦτα πάντα ἐμφανῶς ἀναδείκνυσθαι, καὶ μάλιστα εἰς τὸν αἰῶνα. καὶ μήτοι αἱρέσεων ἐκφυσησῶν χολῆς καὶ πικρίας πεπληρωμένων κατὰ τῆς ἐκκλησίας, καὶ τῶν ἐξ σωσόδων τῶν οἰκουμενικῶν Θεοῦ ἐπινεύσει κατὰ διαφόρους χρόνους συναθροισθεισῶν ἐπὶ τῇ τούτων καταστροφῇ, πάντα τὰ παραδοθέντα ἐν τῇ καθολικῇ ἐκκλησίᾳ καὶ ἐγγράφως ὡς ἀγράφως ἐκ τῆς ἀρχῆθεν χρόνων αὗται καὶ ἐβεβαίωσαν καὶ ἐστήριξαν, μεθ' ὧν καὶ τὴν τῶν σεπτῶν εἰκόνων ἀνάθεσιν. ἡ δὲ ἁγία ἕκτη καὶ οἰκουμενικὴ σωσὸς μὴ τὸ ἐκφωνῆσαι τὸν ἑαυτῆς ὅρον κατὰ τὸ εὐθέλημα προσβαλόντων ἐπὶ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Κωνσταντίνου τοῦ τότε βασιλεύοντος, καὶ τῇ αὐτοῦ προσάξει δόξῃ Θεοῦ ταύτῃ συναθροίσαντος, μετ' ὀλὺ τὸν βίον ἀπολιπόντος, καὶ Ἰουστινιανοῦ τοῦ αὐτοῦ υἱοῦ τὸ βασίλειον εἰσπεποιημένου, αὐτοὶ ἐκεῖνοι οἱ ἐν αὐτῇ συναθροισθέντες, πάλιν θεία ἐπινεύσει ὁμοθυμαδὸν συνελθόντες μετὰ τέσσαρας ἢ πεντε χρόνους, κανόνας ἐξέδωκαν ἐπὶ καταρθώσει τῶν ἐκκλησιαστικῶν πραγμάτων ἕως τῶν δύο καὶ ἑκατόν· ἐν οἷς κανόσι καὶ περὶ τῶν εἰκόνων ἐν τῷ ὀγδοηκοστῷ δευτέρῳ κανόνι ἐξέθεντο οὕτως, Εὕντισι τῶν σεπτῶν εἰκόνων γραφαῖς ἀμνὸς δακτύλῳ τῷ προδρόμου δεικνύμενος ἐγχαράττεται, ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν διὰ νόμου προϋποφαίνων ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν. τὰς οὖν παλαιοὺς τύπους καὶ τὰς σκιὰς, ὡς τῆς ἀληθείας σύμβολα τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένους κατασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑποδεξάμενοι. ὡς ἂν ἓν τὸ τέλειον καὶ ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπογράφηται, τὸν τοῦ αἴροντος τὴν κόσμου τὴν ἁμαρτίαν ἀμνὸν Χριστὸν τὸν Θεὸν ἡμῶν κατὰ τὸ ἀνθρώπινον χαρακτῆρα ὡς ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀνασηλοῦσθαι ὁρίζομεν, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ τῆς ἐντεῦθεν χυομένης τῷ κόσμῳ ἀπολυτρώσεως. ὁρῶμεν ὧν πάντες καὶ συνίεμεν, ὅτι καὶ πρὸ τῆς ἁγίων συνόδων· καὶ μετὰ τὰς ἁγίας συνόδους αἱ τῶν εἰκόνων ἀναζωγραφήσεις ἐν τῇ ἐκκλησίᾳ παραδεδομέναι ἦσαν, ὥσπερ καὶ ἡ τοῦ εὐαγγελίου. καὶ γὰρ διὰ τῆς ἀναγνώσεως ἐν τοῖς ὠσὶ δεχόμενοι τὴν ταύτης ἀκρόασιν τῷ νοὶ παραπέμπομεν, καὶ τοῖς ὄμμασιν ὁρῶντες τὰς εἰκονικὰς ἀνατυπώσεις, ὡσαύτως νοερῶς αὐγαζόμεθα· καὶ διὰ δύο πραγμάτων ἀλλήλοις ἑπομένων, τῆς τε ἀναγνώσεως φημὶ, καὶ τῆς ἀναζωγραφήσεως, οἷς γνῶσιν λαμβάνομεν, τῷ εἰς μνήμην ἔρχεσθαι τῶν πεπραγμένων. ἔνθεν καὶ τῶν δύο γλυκυτάτων αἰσθήσεων ἐν τοῖς ἄσμασι τῶν ἁσμάτων ἐστὶν εὑρεῖν συνεργειαν, διὰ τοῦ λέγειν· δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν μοι τὴν φωνήν σου· ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία. οἷς συμφώνως καὶ ἡμεῖς ψαλμικῶς λέγομεν· καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν. τούτων οὕτως ἐχόντων, εὐημερόν ἐστιν εἰπεῖν πρὸς τοὺς κατὰ τῶν σεπτῶν εἰκόνων βατταρίσαντας· μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. ὧν ῥυσθείημεν τῇ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ χάριτι.

Ἄσμα 2.

Ψαλ. 47.

Ψαλ. 11.

ΤΟΜΟΣ Β'.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ κυβερνκλείσιος ἀνέγνω.

ΕΠιλαθόμενοι τῆς ἀψευδοῦς τοῦ κυρίου περὶ τῆς ἐκκλησίας αὐτοῦ ἐπαγγελίας· πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· γυμνῇ τῇ κεφαλῇ καὶ ἀπερικαλύπτῳ τῷ σώματι, ἔχοντες ἐναντιωτάτας δόξας, πολεμοῦσιν αὐτῇ. καὶ κεκλοφότες παρρησίας φωνὰς, ὡς οἰκείας προτίθενται, λέγοντες οὕτως.

Ματθ. 16.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Πάλιν δὲ ταύτης τὴν διάπρεπειαν βλέπειν μὴ φέρων ὁ προλεχθεὶς τῆς κακίας δημιουργὸς, οὐκ ἠπόρησε κατὰ διαφόρους καιροὺς καὶ τρόπους πονηρᾶς ἐπινοίας, ὥστε ὑπὸ χεῖρα δι' ἀπάτης ἑαυτῷ ποιῆσαι τὸ ἀνθρώπινον· ἀλλ' ἐν προχήματι Χριστιανισμοῦ τὴν εἰδωλολατρείαν κατὰ τὸ λεληθὸς ἐπανήγαγε, πείσας τοῖς ἰδίοις σοφίσμασι τοὺς πρὸς αὐτὸν ὁρῶντας μὴ ἀποστῆναι τῆς κτίσεως, ἀλλὰ ταύτην προσκυνεῖν, καὶ ταύτην σέβεσθαι, καὶ Θεὸν τὸ ποίημα οἴεσθαι τῇ τοῦ Χριστοῦ κλήσει ἐπονομαζόμενον.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ κυβερνκλείσιος ἀνέγνω.

Οἱ τὴν πνευματικὴν πολεμοῦντες Ἱερουσαλὴμ, ἤγουν τὴν καθολικὴν ἐκκλησίαν, συχνὰ ματίζονταί πως τοῖς τὴν γηΐνην πολεμήσασιν Ἱερουσαλήμ. καὶ σπουδάζουσι καὶ αὐτοὶ παρρησίᾳ χρήσασθαι λόγῳ, καθάπερ Ῥαψάκης ποτὲ τῇ Ἑβραΐδι διαλέκτῳ κατὰ τοῦ Ἰσραὴλ ἐχρήσατο. οὗτοι γὰρ οἱ αἱρετικοὶ τὴν παρρησίαν δια-

4. Βασιλ. 18.

δασκαλίαν καὶ τῷ ἐκκλησιαστικῷ φωνῇ κατὰ τῶν πατέρων καὶ τῆς καθολικῆς ἐκκλησίας ὁπλίζουσιν. ἀλλ' ἀπὸ τῶν καρπῶν αὐτῶν, φησὶν ὁ κύριος, ἐπιγνώσεσθε αὐτούς. παρεοίκασι γὰρ τάφοις κεκονιαμένοις, οἳ ἔξωθεν μὲν φαίνονται τοῖς ἀνθρώποις ὡραῖοι, καθὼς καὶ ἔστι οἱ χρυσιανοκατήγοροι, τοῖς πρώτοις δοκοῦσιν προκαλυπτόμενοι ῥήμασιν· ἔσωθεν δὲ γέμουσιν ὀστέων καὶ πάσης ἀκαθαρσίας, νεκρῶν φημι καὶ ὀδωδότων δογμάτων. ἡμεῖς δὲ τὸν αὐτῶν τάφον ἀνακαλύψαντες, εἰς φανέρωσιν ποιησώμεθα τῷ πᾶσαν αὐτῶν ἀκαθαρσίαν· ὅτι κατὰ τὰς ἰδίας ἐπιθυμίας στρεβλοῦσι τὰ ὑπὸ τῶν ἁγίων πατέρων ἐκδοθέντα ἐν τῇ καθολικῇ ἐκκλησίᾳ. καὶ φωναῖς μὲν ταῖς αὐταῖς κέχρηνται, ἀλλὰ πανούργως παραλλάσσοντες τῷ αὐτῶν διανοιαν. ἃ γὰρ κατὰ τῶν Ἀρειανῶν αὐτοὶ ἀπεφαίνοντο, ὅτι εἰς τῷ κατὰ τῶν σεπτῶν εἰκόνων συλογραφίαν ἀντηλλάξαντο. ὁ γὰρ ἀοίδιμος Γρηγόριος ὁ τῆς ἐκκλησίας Νυσαέων προέδρος ἐν τῷ εἰς τὸν ἅγιον Βασίλειον ἐπιταφίῳ λόγῳ, τὸν αὐτὸν σαρκὶ καὶ ὀνόματι ἀδελφόν, ὅπερ ῥητὸν αὐτοὶ κατὰ τῶν εἰκόνων ἐξελάβοντο, ὁ πατὴρ κατὰ Ἀρειανῶν ἐδογμάτισεν. ὡς ἐξ αὐτοῦ τοῦ προοιμίου τῆς αὐτῆς περιοχῆς ἔξεστιν ἰδεῖν, ἥτις ἐπὶ λέξεως ἔχει ὕπως· πάντως ὑδεὶς ἀγνοεῖ τὸν σκοπὸν τῆς κατὰ τὸν χρόνον τοῦ διδασκάλου ἡμῶν ἀναδείξεως. ἐπειδὴ γὰρ ἡ περὶ τὰ εἴδωλα τῶν ἀνθρώπων μανία τῷ κηρύγματι τοῦ Χριστοῦ κατεσβέσθη, καὶ πάντα ἤδη ἐν ἐρειπίοις καὶ ἀφανισμῷ τὶ τῶν ματαίων σεβάσματα, ὀλίγα πάσης σχεδὸν τῆς οἰκουμένης τοῦ κηρύγματος τῆς εὐσεβείας φοιτήσαντος, ὥστε τὸν ἐπικρατοῦντα τῆς ἀνθρωπίνης ἀπάτης ἀπανταχόθεν ἐξέρχεσθαι τῷ τοῦ Χριστοῦ ὀνόματι τῆς οἰκουμένης ἐξελαυνόμενον· σοφὸς μὲν εἰς κακίαν ὢν ὁ τῆς κακίας εὑρετὴς ἐκ ἠπόρησε πονηρᾶς ἐπινοίας, ὡς πάλιν ὑποχείριον ποιῆσαι δι' ἀπάτης ἑαυτῷ τὸ ἀνθρώπινον· ἀλλ' ἐν προχήματι Χριστιανισμοῦ τῷ εἰδωλολατρείαν κατὰ τὸ λεληθὸς ἐπανήγαγε, * τοῖς ἰδίοις σοφίσμασι τὸν πρὸς αὐτὸν ὁρῶντας μὴ ἀποστῆναι τῆς κτίσεως, ἀλλὰ ταύτῃ προσκυνεῖν, καὶ ταύτῃ σέβεσθαι, καὶ Θεὸν τὸ ποίημα * σέβεσθαι τῇ τοῦ υἱοῦ κλήσει ὀνομαζόμενον. εἰ δὲ ἐκ μὴ ὄντων ἐστὶν ἡ κτίσις, καὶ τῆς θείας οὐσίας κατὰ τῷ ἰδίαν ἠλλοτρίωται φύσιν, μηδενὸς ποιεῖσθαι τοῦτο λόγον· ἀλλὰ Χριστοῦ ὄνομα ἐπιθέντας τῇ κτίσει, ταύτῃ προσκυνεῖν, ταύτῃ λατρεύειν, ἐν αὐτῇ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, παρ' αὐτῆς ἀναμένειν τῷ κρίσιν. καὶ ὅλως ἐμπεσὼν ὁ ἀποστάτης ἀνθρώποις πᾶσαν αὐτοῦ τῷ κακίαν ἱκανοῖς χωρῆσαι, Ἀρείῳ τε λέγω, καὶ Ἀετίῳ, Εὐνομίῳ, Εὐδοξίῳ, καὶ πρὸς τούτοις καὶ πολλοῖς ἄλλοις, * δι' ὧν ἐκλείπουσαν ἤδη τῷ εἰδωλολατρείαν πάλιν, καθὼς εἴρηται, τῷ ὀνόματι τοῦ Χριστιανισμοῦ ἐπανήγαγε. καὶ κατεκράτει τῶν ἀνθρώπων ἡ νόσος τῆς τῇ κτίσει λατρευόντων παρὰ τῆς κτίσαντος· ὡς καὶ τῇ συμμαχίᾳ τῶν τότε βασιλέων τῷ ἀπάτῳ κρατυνέσθαι, καὶ πάσας τὰς ὑπερεχούσας ἀρχὰς τῆς τοιαύτης ὑπερμάχεσθαι νόσου. καὶ πάντων μικρῶν δεῶν ἀνθρώπων πρὸς τὸ ἐπικρατῶν μεταπεσόντων, τότε παρὰ τοῦ Θεοῦ ἀναδείκνυται ὁ μέγας Βασίλειος, καθάπερ Ἠλίας ἐπὶ τοῦ Ἀχαάβ. καὶ τῆς ἱερωσύνης ἤδη ζόπον τινὰ πεπτωκυίας ἀντιλαμβανόμενος, ὥσπέρ τινα λύχνον ἐκλελοιπότα τὸν τῆς πίστεως λόγον διὰ τῆς συνοικήσεως αὐτῷ χάριτος ἀναλάμψαι πάλιν ἐποίησε. σκοπήσωμεν τὰληθές, ὅτι πᾶσα ἡ σύνοια τοῦ παρόντος κατὰ τῆς Ἀρειομανίτης ἀποτείνεται. λέγει γὰρ ἀναδεδεῖχθαι τὸν ἅγιον Βασίλειον ἐν τοῖς χρόνοις ἐκείνοις, ἐν οἷς ὧν Ἄρειος, Εὐνόμιος, Εὐδόξιος, Μακεδόνιος, καὶ οἱ περὶ αὐτοὺς Ἀνόμοιοί τε καὶ Ἡμίαρειοι, κτίσμα τὸν υἱὸν καὶ λόγον τοῦ παρόντος καὶ Θεοῦ ἡμῶν λέγοντες. ὡς Θεῷ δὲ τῷ κτιστῷ λατρεύοντες, εἰδωλολάτραι δικαίως ὑπ' αὐτοῦ τε καὶ τῆς καθολικῆς ἐκκλησίας ὀνομάζονται· διότι, ᾧ λατρεύουσιν, ἐκ μὴ ὄντων εἰς τὸ εἶναι λέγουσι γεγονέναι, καθὼς πᾶσα ἡ τῶν δημιουργημάτων κτίσις. τὰς τοίνυν σεπτὰς εἰκόνας οἱ Χριστιανοὶ ὅτε θεὰς ὠνόμασαν, ὅτε ὡς θεοῖς ἐλάτρευσαν, ὅτε τὰς ἐλπίδας τῆς σωτηρίας αὐτῶν ἐν αὐταῖς ἔχον, ὅτε παρ' αὐτῶν ἐκδέχονται τῷ μέλλουσαν κρίσιν, εἰ μὴ εἰς ἀνάμνησιν καὶ ὑπόμνησιν, καὶ τοῦτο διακείμενοι πρὸς τὰ αὐτῶν πρωτότυπα, καὶ ἠσπάσαντο καὶ τιμητικῶς προσεκυνήσαν· ὁ μὲν δὲ ἐλάτρευσαν, ἢ τὸ θεῖον σέβας ταύταις ἀπένειμαν· ἄπαγε τῆς κατηγορίας. ἀλλ' ὁδὲ ἄλλοις τισὶ τῶν ἐν τοῖς κτίσμασιν ἠριθμημένων. Ἀρειανοὶ δὲ τῇ κτίσει συναριθμοῦντες τὸν τοῦ Θεοῦ υἱὸν καὶ λόγον, παρ' αὐτοῦ τὰς ἐλπίδας τῆς σωτηρίας αὐτῶν ἐδόξαζον ἔχειν, καὶ τῷ μέλλουσαν * γενήσεσθαι. κρίσιν δὲ αὐτῷ * γενήσεσθαι. Διὰ τοῦτο σύνεκεν καὶ ὁ θεσπέσιος πατὴρ ἐλέγχων αὐτοὺς ἔφη· ταύτῃ προσκυνεῖν, ἥνπερ τῇ κτίσει· ταύτῃ λατρεύειν· ἐν αὐτῇ τὰς ἐλπίδας τῆς σωτηρίας ἔχειν, παρ' αὐτῆς ἀναμένειν τῷ κρίσιν. ὅθεν ἀποδείκνυνται παραχαράκται τῆς ἀληθείας οἱ ταύτης τῆς κενοφωνίας πρόβολοι, κατὰ τὸν προφήτην κάπηλοι μίξαντες τὸν οἶνον ὕδατι. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ φαλσεύεται τῶν πατρικῶν ἐκδόσεων γεγόνασι. τοῦ γὰρ αὐτοῦ θεοφόρου πατρὸς εἰπόντος, τῇ τοῦ υἱοῦ κλήσει ὀνομαζόμενον, αὐτοὶ θέλοντες εἰς τῷ εἰκονικῷ ἐκτύπωσιν τῷ σύνοιαν μετενέγκαι, ἀντὶ, τῇ τοῦ υἱοῦ κλήσει, τῇ τοῦ Χριστοῦ κλήσει ἐψεύσαντο. πρόδηλον γὰρ εἰρηκότος αὐτοῦ, τῇ τοῦ υἱοῦ κλήσει ὀνομαζόμενον, ὅτι κατὰ Ἀρειανῶν ἀποφαίνεται, ὡς εἰς τῷ ἄνω καὶ ἄκτιστον θείαν γέννησιν τοῦ υἱοῦ βλασφημούντων. διὸ καὶ τοὺς ἐξάρχους τῆς αὐτῆς αἱρέσεως ἐσηλίτευσεν εἰπών, Ἀρείῳ τε λέγω, καὶ Εὐνομίῳ, Εὐδοξίῳ, καὶ Ἀετίῳ. αὐτοὶ δὲ ἀντὶ τοῦ υἱοῦ Χριστοῦ εἰπόντες, εἰς τῷ τῶν σεπτῶν εἰκόνων ἐκτύπωσιν ἐπειράθησαν τῷ βλασφημίαν προσάψαι. τοίνυν καὶ ἐν τούτῳ φαλσορρήμονές τινες καὶ ψευδολόγοι πεφανέρωνται· καὶ ἐπάγουσιν ἃ μὴ θέμις.

Ματθ. 7. Ματθ. 23.

Ἴσ. πίσας τοῖς

Ἴσ. οἴεσθαι

Ἴσ. δὲ αὐτῷ

3. Βασιλ. 17. 18. 19.

Ἡσαΐ. 1.

σίον Χριστȣ̃. καὶ μώμȣ παντὸς ἀπηλλάχθαι. πρὸς ἣν καὶ διὰ Ησαΐȣ φθέγγεται. ἐπὶ τῆς
Ἡσαΐ 49. χειρός μȣ ἐζωγράφησά σȣ τὰ τείχη, καὶ ἐνώπιόν μȣ εἶ διὰ παντός. καὶ πῶς ἡ ταύτας τὰς ἐπαγγελίας λαβȣ̃σα λήΐζεται ὑπὸ τῆς τῶν δαιμόνων ἀντικειμένης δυνάμεως; καὶ ἔνθα Χριστός ἐστι κεφαλὴ κατὰ τὸν θεῖον ἀπόστολον, τίς ὁ ταύτην
Ἐφεσ. 5. δυνάμενος εἰς προνομὴν λαβεῖν; αὐτὸς παρέστησεν αὐτὴν ἑαυτῷ μὴ ἔχȣσαν σπῖλον ἢ ῥυτίδα, καὶ πῶς πάλιν μολύνεται; φεῦ τῆς ὑπολήψεως ταύτης. πρόδηλον γάρ, ὅτι ἄρνησις τῆς αὐτȣ̃ οἰκονομίας μεσολαβεῖ τὴν ὑπόνοιαν ταύτην. ἀλλ' ἔσπευσαν ἐξȣδενῶσαι τὴν ἐκλησίαν. διὰ τȣ̃το ἐξȣδενώσει αὐτȣ̀ς κύριος, καὶ ἔσονται παρὰ πᾶσι τοῖς ἐν αὐτῇ γεννηθεῖσιν ἐξȣδενωμένοι καὶ ἀνατεθεματισμένοι. ἔμεινε γὰρ ἀλήϊστος καὶ ἀῤῥαγὴς καὶ ἀσάλευτος. ταῖς δὲ κολακείαις πληρώσαντες τὸ στόμα, ἐπὶ τὴν διήγησιν τῶν παρ' αὐτοῖς πραχθέντων τὸν λόγον ποιȣ̃νται σεμνυνόμενοι.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Πᾶσαν τὴν ἱρατικὴν συνεκαλέσαντο τῶν θεοφιλῶν ἐπισκόπων ὁμήγυριν, ὅπως συνοδικῶς ἐπὶ τὸ αὐτὸ γενομένη, γραφικήν τε συζήτησιν ποιησαμένη περὶ τῆς ἀπατηλῆς τῶν ὁμοιωμάτων χρωματȣργίας, τῆς κατασπώσης ἐκ τῆς ὑψηλῆς καὶ Θεῷ πρεπȣ́σης λατρείας εἰς τὴν χαμαίζηλον καὶ ὑλικὴν κτισματολατρείαν τὸν τῶν ἀνθρώπων νȣ̃ν, θεοκινήτως ἐκφωνήσῃ τὸ αὐτῇ δοκȣ̃ν. εἰδότες τὸ γεγραμμένον ἐν προφήταις, ὅτι
Μαλαχ. 2. χείλη ἱερέων φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσȣσιν ἐκ στόματος αὐτῶν, ὅτι ἄγγελοε κυρίȣ παντοκράτορος εἰσίν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Αμνημονήσαντες τὴν τȣ̃ Θεȣ̃ λόγȣ ἐκ παρθένȣ γέννησιν, καὶ τȣ́τȣ τὸ μέγα καὶ σωτήριον μυστήριον ὅπερ αὐτὸς σαρκὶ ἐπιδημήσας ἡμῖν ἐχάρισατο, ῥυσάμενος ἡμᾶς ἐκ τῆς τῶν εἰδώλων πλάνης, καὶ τῆς τȣ́των μανιώδȣς θρησκείας· αὐτοί τε ταύτην τὴν σωτηρίαν σφετερισάμενοι, δόξαν ἑαυτοῖς βȣλόμενοι περιθεῖναι, ἀδόξως παρὰ τῆς καθολικῆς ἐκκλησίας θριαμβεύονται. οἷς εἰκότως προσφθέγγεται Χριστὸς ὁ Θεὸς ἡμῶν
Ἰεζεκ. 22. διὰ τȣ̃ προφήτȣ· οἱ ἱερεῖς ἠθέτησαν νόμον μȣ, καὶ ἐβεβήλωσαν τὰ ἅγιά μȣ. ἀναμέσον ἁγίȣ καὶ βεβήλȣ ȣ̓ διέστειλαν, καὶ ἀναμέσον καθαρῶν καὶ ἀκαθάρτων ȣ̓ διέστειλαν. αὐτοὶ γὰρ τὰς εἰκόνας τȣ̃ κυρίȣ καὶ τῶν ἁγίων αὐτȣ̃ ȣ̓ διέστειλαν, τῇ τῶν δαιμόνων εἰκόνι αὐτὰς παραπλησίως εἴδωλα ὀνομάσαντες, καὶ κατηγορικῶς συκοφαντήσαντες τὴν ἐκκλησίαν, ἣν περιεποιήσατο Χριστὸς ὁ Θεὸν ἡμῶν τῷ ἰδίῳ αἵματι. ἀπατηλὴν δὲ χρωματȣργίαν τὴν τȣ̃ εὐαγγελίȣ διήγησιν ἐθρίλλησαν, ἣν σεπτὴν καὶ ἁγίαν οἱ πιστοὶ λέγȣσί τε καὶ ὀνομάζȣσιν, ȣ̓κ ἀποβλέποντες εἰς τὸ ὁρώμενον, ἀλλ' εἰς τὰ ἐν αὐτῷ ἐνσημαινόμενα. ἀκȣ́οντες γὰρ τοῖς ὠσὶ, δόξα σοι κύριε προσφθέγγονται. καὶ ὁρῶντες τοῖς ὄμμασι, πάντως τὴν αὐτὴν ἀναπέμπȣσι δοξολογίαν. εἰς γὰρ μνήμην ἐρχόμεθα τῆς ἐν ἀνθρώποις αὐτȣ̃ ἀναστροφῆς. εἴτι γὰρ ἡ ἐξήγησις ἐγγράφως ἡμῖν δηλοῖ, τȣ̃το καὶ ἡ ἀναζωγράφησις. οἷα δὲ ἀναίδην καὶ ἀλαζονικῶς πεφληναφήκασι, σκοπήσωμεν. τῆς κατασπώσης ἐκ τῆς ὑψηλῆς καὶ Θεῷ πρεπȣ́σης λατρείας εἰς τὴν χαμέζηλον καὶ ὑλικὴν κτισματολατρείαν. ὦ τῆς παραπληξίας. τὴν γλῶσσαν ὡς μάχαιραν ὀξεῖαν ἔχοντες καὶ τεθηγμένην τῷ ψεύδει τὴν ἀμώμητον πίστιν ἡμῶν τῶν χριστιανῶν εἰς τὴν τῶν εἰκόνων νομίζȣσι μετηλλάχθαι σεβασμιότητα· καὶ ὑβριστικῶς προσφθέγγονται, χαμαίζηλον καὶ ὑλικὴν κτισματολατρείαν ταύτην ἀποκαλοῦντες. ȣ̓δεὶς τῶν ὑπὸ τὸν ȣ̓ρανὸν Χριστιανῶν ἀνθρώπων εἰκόνι ἐλάτρευσεν. ἑλληνικὸν γὰρ τὸ μύθευμα, δαιμόνων ἐφεύρημα, πράξεως σατανικῆς τὸ ἐγχείρημα. ἀπόλωλε τοῦτο τῇ τοῦ Χριστȣ̃ ἐπιδημία. λατρεία νῦν ἐν πνεύματι καὶ ἀληθείᾳ Ἰωάν. 4.
ἐστί. διάφορα δὲ τῷ Θεῷ ἀνατεθειμένα πρὸς μνήμην αὐτȣ̃ τε καὶ τῶν ἁγίων αὐτȣ̃ ἔχει ἡ ἐκκλησίᾳ ἐναποκείμενα, ἐξ ὧν ἐστι καὶ ἡτῶν εἰκόνων ποίησις. αὐτοὶ δὲ ἑαυτȣ̀ς ἐλέγχȣσιν εἰπόντες, ἐκφωνήσῃ κατὰ τὸ αὐτῇ δοκȣ̃ν. λέλη-
θεν αὐτȣ̀ς τὸ γεγραμμένον παρὰ τȣ̃ κυριακȣ̃ Ἰωάν. 7.
στόματος. ὁ λαλῶν ἀφ' ἑαυτȣ̃, τὴν ἰδίαν δόξαν ζητεῖ. τοίνυν αὐτοὶ μαρτυρȣ̃σιν ἀφ' ἑαυτῶν φθέγγοθαι· καὶ ȣ̓ παρὰ τȣ̃ πνεύματος. τίς ἄρα τȣ́των ἀκȣ́σειεν; εἰ μήπω ȣ̓κ ἔστι τȣ̃ πνεύματος. εἶτα ἐγκαυχώμενοι, ȣ̓κ ἐν κυρίῳ, ἀλλὰ τῇ ἑαυτῶν γλώσσῃ, ȣ̓́τως φασίν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
Νεοκαισαρείας ἀνέγνω.

Καὶ δὴ τανῦν συναθροισθεῖσα ἡ καθ' ἡμᾶς ἱερὰ σύνοδος, ἧς τὸν ἀριθμὸν πληρȣ̃μεν τριακόσιοι τριάκοντα ὀκτὼ, ταῖς συνοδικαῖς ἑπόμενοι θεσμοθεσίαις. ἀσπασίως δεχόμεθα καὶ ἀνακηρύττομεν τὰ δόγματα καὶ τὰς παραδόσεις, ἃς αὐταὶ βεβαιώσασαι, ἀσφαλῶς κρατεῖν ἡμᾶς τεθεσπίκασιν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Πολύανδρον ἔχοντες τὴν ὁμήγυριν ἐναβρύνονται τῷ πλήθει ἐγκαυχώμενοι. ὀχλαγωγήσαντες γὰρ κατὰ τῆς ἐκκλησίας πεφλυαρήκασιν ἀθυροστομȣ̃ντες, ἃ μὴ θέμις, ἀδικίαν εἰς τὸ ὕψος λαλήσαντες. καὶ κατὰ τὸν τῶν Εβραίων λαὸν ηὐξήθησαν, καὶ χυδαῖοι ἐγένοντο. ἀλλ' ȣ̓κ εὐ-
δόκησεν ἐν αὐτοῖς ὁ κύριος. διατί; ὅτι τῆς Ἐξοδ. 1.
ἐκκλησίας ἑαυτȣ̀ς ἐξωθήσαντες ἐπλανήθησαν ἐν Ψαλ. 109.
τῇ ἐρήμῳ, ἐν ἀνύδρῳ, τὸν εὐφραίνοντα καρδίας ἀνθρώπων πνευματικὸν οἶνον μὴ ἔχοντες αὖ-

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Διὸ δὴ καθὼς πάλιν ὁ τῆς σωτηρίας ἡμῶν ἀρχηγὸς καὶ τελειωτὴς Ἰησοῦς τοὺς ἑαυτοῦ πανσόφους μαθητὰς καὶ ἀποστόλους τῇ τοῦ παναγιάτου πνεύματος δυνάμει ἐπὶ ἐκμειώσει τῆς τοιούτων κατὰ παντὸς ἐξαπέστειλεν, ἵνα καὶ νῦν τοὺς αὐτοῦ θεράποντας, καὶ τῶν ἀποστόλων ἑφαμίλλους πιστοὺς ἡμῶν βασιλεὺς ἐξανέστησε, τῇ τοῦ αὐτοῦ πνεύματος σοφισθέντας δυνάμει, πρὸς καταρτισμὸν μὲν ἡμῶν καὶ διδασκαλίαν, καθαίρεσιν δὲ δαιμονικῶν ὀχυρωμάτων ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ ἔλεγξιν διαβολικῆς μεθοδείας καὶ πλάνης.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
Καὶ κυβερνκλείσιος ἀνέγνω.

Τίς ἐλάλησεν ἀδικίαν τοιαύτην εἰς τὸ ὕψος ποτέ; τίς ἂν γένοιτο τῆς ἀσεβείας ταύτης χαλεπωτέρα; ὦ τῆς ἀναισχύντου καὶ πονηρᾶς βλασφημίας. ὦ τοῦ κεκρυμμένου δόλου, καὶ τῆς ποικίλης ῥᾳδιουργίας· ὡς ἐξ αὐτοῦ τοῦ διαβόλου τῆς μεθοδείας διδαχθέντες φθέγγονται, ὅτι τὸν σαφῶς καὶ ξανῶς ἡμᾶς πρὸς δόξαν Θεοῦ χειραγωγοῦσαν θέαν καὶ ὄψιν, δι' ἧς τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦμεν, καὶ πρὸς μνήμην τῆς ἐν σαρκὶ πολιτείας αὐτοῦ, τοῦτε πάθους αὐτοῦ καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμεθα, δαιμονικὰ ὀχυρώματα ἐπαιρόμενα κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ διαβολικὴν μεθοδείαν καὶ πλάνην ἐθρασυνόμενον ἀποκαλέσαι. ὄντως ἐνέλειπεν τὸ τόξον αὐτῶν, πρᾶγμα μικρόν, τοῦ καταπεξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. εἰ γὰρ ὡμολόγουν ἐπὶ καθαιρέσει τῆς εἰδώλων τοὺς ἐνδυσαμένους δύναμιν ἐξ ὕψους ἁγίους μαθητὰς, ἐπελθόντος αὐτοῖς τοῦ ἁγίου πνεύματος, ἀπεσάλθαι, οὐκ ἂν ἑτέρους ἔλεγον ἀνίσασθαι μὴ τὸ κεκρατηκέναι τὴν ἐκείνων παράδοσίν τε καὶ διδασκαλίαν χρόνους ὡσεὶ ὀκτακοσίους, καὶ πατέρας ἁγίους ταύτην ὡς ἄγκυραν ἀσφαλῆ κρατῶσαί τε καὶ βεβαιῶσαι. ἅπαξ γὰρ καθόλου λυθεσθέντες παρὰ Χριστοῦ ἐκ τῶν εἰδώλων, οὐ χρείαν ἔχομεν περὶ τῶν εἰδώλων ἐγκαλεῖσθαι. εἰ μήπου τολμήσουσι λέγειν, μεταποίησιν γεγονέναι ἐν τῇ ἐκκλησίᾳ, καὶ θεσμοὺς ἑτέρους καὶ τάξεις παραδεδόσθαι, παρεισφέροντες ἡμῖν προφάσεις ἀλόγους καὶ ἀρνήσεως μεσάς. τοῦτο γὰρ ἐθρύλλησαν οἱ χθὲς ἀνάδαι εἰπόντες, καθὼς πάλαι ὁ τῆς σωτηρίας ἡμῶν ἀρχηγὸς καὶ τελειωτὴς Ἰησοῦς. ἐντεῦθεν παρέπεται αὐτοῖς λέγειν. πᾶν παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ· καὶ ὅτι πεπαλαίωται ἡμῶν ἀποστόλων διδασκαλία, νέαν ἡμεῖς προαιρούμεθα ἐξανασῆσαι· ὅτι καὶ Μωσῆς καὶ Ἀαρὼν ἱερεῖς. ἀλλ' ὅτε ἡ χάρις ἀντεισῆλθεν, ὁ ἀπόστολος λέγει ἕτερον ἀνίσασθαι ἱερέα· οὐκοῦν καὶ νῦν ὤφειλον δουῦναι μείζονα τινὰ χάριν ὑπὲρ τῶν ἁγίων ἀποστόλων· ὅτε γὰρ καὶ λέγουσι· πρὸς καταρτισμὸν μὲν ἡμῶν καὶ διδασκαλίαν. καὶ ἐπίσκοποι ὄντες οἱ τῆς τοιαύτης σωτηρίας, πάντως τὴν τελειότητα τῶν ἀποστολικῶν διατάξεων ἔχοντες, καὶ ἄλλους ὤφειλον καταρτίζειν, οὐχὶ ὑπ' ἄλλων καταρτίζεσθαι· ὡς μᾶλλον ἀπηνύναντο μαθητείαν τῆς διδασκαλίας καὶ παραδόσεως τῶν ἁγίων ἀποστόλων, καὶ τῶν κλεινῶν ἡμῶν πατέρων. ὅθεν ἀμέτοχοι ἀπεδείχθησαν τῆς τούτων διδασκαλικῆς παιδεύσεως, ὡς μὴ σοιχοῦντες τῇ αὐτῶν παραδόσει. καὶ ἀποφαίνεται αὐτοῖς ὁ ψαλμῳδὸς Δαβὶδ λέγων. ἐξολοθρεύσει κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα. εἰπάτω δὲ ἡμῖν ψάλλων ὁ αὐτὸς Δαβὶδ ἀληθῶς, καὶ ἡμεῖς σὺν αὐτῷ. τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. πότε ἐξέλιπον τοῦ ἐχθροῦ αἱ ῥομφαῖαι καὶ αἱ πόλεις, ἤτοι τὰ ὀχυρώματα αὐτοῦ; οὐχὶ ἐπὶ τῆς τοῦ Χριστοῦ ἀνθρωπήσεως; περὶ οὗ καὶ γέγραπται, ὅτι τὴν ἰσχυρὸν μεμερισται σκῦλα. μὴ ἐπὶ τῆς ψευδοσυλλόγου καὶ τῆς συμμορίας αὐτῷ γέγραπται, ὅτι τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος; καὶ ἐὰν εἰς τέλος, καὶ παντάπασιν ἐξέλιπον αἱ ῥομφαῖαι τοῦ ἐχθροῦ, καὶ τῆς ἀσεβείας αἱ πόλεις καθηρέθησαν, πῶς ταῦτα πάλιν ἀνοικοδομεῖσθαι καὶ ἀνανεοῦσθαι πεφλυαρήκασιν; ἵνα ἑαυτοῖς ἐπιγράψωσι τὴν αὐτῷ καθαίρεσιν, καὶ τοῦ ἀνθρωπείου γένους τὴν ἐξ αὐτῷ ἀπολύτρωσιν; σμικρύνοντες τὸ μέγα τῆς σωτηρίας ἡμῶν μυστήριον, τὴν οἰκονομίαν Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ τοῦ ὄντος εὐλογημένου εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. εἶτα ταῖς κολακείαις πρὸς τοὺς κρατοῦντας χρώμενοι, ὕστερον φασίν.

Ψαλ. 11.

Ψαλ. 9.

Ησαΐ. 53.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Οἱ τῷ περιόντι αὐτοῖς θείῳ ζήλῳ κινούμενοι, τὴν τῆς πίστεως ἐκκλησίαν τῇ τῶν δαιμόνων λυμαινομένην ἀπάτῃ ὁρᾶν μὴ ἀνεχόμενοι.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
καὶ κυβερνκλείσιος ἀνέγνω.

Ταῦτα λέγοντες, ὅτε ἔγνωσαν τὰς ἐπαγγελίας, ἃς ἡ καθολικὴ ἐκκλησία παρὰ τοῦ αὐτοῦ θεμελιώσαντος Χριστοῦ ἔλαβεν, ὅτε διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν ὁμολογοῦσι σωθῆναι τὸ ἀνθρώπινον γένος. ὃς γὰρ Χριστὸς τῷ ἰδίῳ αἵματι ἐξωνήσατο, πάλιν τῷ διαβόλῳ πιπράσκουσιν· ὃς τῷ ἰδίῳ θανάτῳ ἐζωοποίησεν, αὐτοὶ τῷ δηλητηρίῳ τῶν αὐτῶν χειλέων θανατοῦσι, καὶ εἰς πέταυρον ᾅδου καταβιβάζουσιν. ἀκυσάτωσαν τῶν ῥασμάτων διαῤῥήδην ᾅδόντων πρὸς τὴν ἐκκλησίαν ὡς ἐκ προσώπου Χριστοῦ. ὅλη καλὴ εἶ πλησίον μου, ὅλη καλή, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. ἤδη ἤκουσαν ὅλως αὐτὴν καλὴν εἶναι καὶ πλησίον

Ἐβρ. 8.

Ἄσμα. 4

ταύταις ἀντίκεινται καὶ ἐναντιοῦνται. καὶ εἰ μὲν ἀγνωσίᾳ τοῦτο πεποίηκασιν, εὐηθείας καὶ ἀμαθίας ἀνάμεστον· εἰ δὲ ἐν γνώσει, ἀσεβείας καὶ πάσης ἀλλοκότου συνειδήσεως. ἢ γὰρ δείξωσιν ἡμῖν συνόδον ἀντικειμένην συνόδῳ, εἰ μήπου ἐκ των ἀλλοτρίων ὄντων τῆς καθολικῆς ἐκκλησίας καὶ ἀναθεματισθέντων, ὡς καὶ ἡ αὐτῶν· ἢ ταῖς ἁγίαις καὶ ἐγκρίτοις ἀκολουθήσωσι, καὶ ἅπερ εἴασαν ἐν τῇ ἐκκλησίᾳ καὶ οὗτοι δέξωνται. καὶ εἰ μὲν δέξωνται τὰς σεπτὰς εἰκόνας, τῇ καθολικῇ ἐκκλησίᾳ ἕπονται, ὡς παρὰ τῶν ἁγίων ἓξ οἰκουμενικῶν συνόδων δεδεγμένας. εἰ δὲ μὴ ἕπονται τῇ καθολικῇ ἐκκλησίᾳ, οὐδεὶς αὐτῶν ἀκούσει μὴ ἀκολουθούντων τῇ θεοπρεπεῖ παραδόσει ταύτης.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Ὡσαύτως καὶ ἡ ἐν χρόνοις Κωνσταντίνου τοῦ εὐσεβοῦς βασιλέως ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει ἑκατὸν ἑβδομήκοντα ἁγίων πατέρων· ἥτις ἀνεθεμάτισε καὶ ἐκκήρυκτον ἐποίησε Θεόδωρον τὸν τῆς Φαρὰν, Κῦρον τὸν Ἀλεξανδρείας, Ὀνώριον Ῥώμης, Σέργιον, Παῦλον, Πύῤῥον καὶ Πέτρον τοὺς ἐνταῦθα προεδρεύσαντας, Μακάριόν τε Ἀντιοχείας, καὶ Στέφανον τὸν αὐτοῦ μαθητὴν, διὰ τὸ λέγειν αὐτοὺς μίαν θέλησιν καὶ ἐνέργειαν ἐπὶ τῶν δύο τοῦ ἑνὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν φύσεων.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Τούτοις τοῖς λογιδρίοις οὐδεὶς λόγος ἀνασκευῆς, διὰ τὸ ἀνωτέρω ταῦτα ἀνεσκευάσθαι. σοφίσματι δὲ κιβδήλῳ τὰς ἁγίας συνόδους πάλιν εἰς μέσον ἄγουσιν οὑτωσὶ λέγοντες.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Αὗται τοίνυν αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἓξ σύνοδοι εὐσεβῶς τε καὶ θεαρέστως τὰ δόγματα τῆς καθ' ἡμᾶς ἀμωμήτου τῶν Χριστιανῶν πίστεως ἐκθέμεναι, ἐκ τῶν θεοπαραδότων εὐαγγελίων μυηθεῖσαι, μίαν ὑπόστασιν ἐνδυσὶ φύσεσι καὶ θελήμασι καὶ ἐνεργείαις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, κυρίου δὲ ἡμῶν καὶ Θεοῦ, παραδεδώκασι, καὶ ἑνὸς καὶ τοῦ αὐτοῦ τά τε θαύματα καὶ τὰ παθήματα ὑπάρχειν ἐδίδαξαν.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Ὦ τῆς οἰήσεως καὶ τοῦ ἀλαζονικοῦ φρονήματος. ὡς ἀμαθῆ τὴν ἐκκλησίαν, καὶ μηδέπω θείων δογμάτων ἐν γνώσει οὖσαν, διδάσκειν πειρῶνται· ἥτις μεμαρτύρηται πάσης σοφίας ἀνάπλεως οὖσα, καθὼς τῇ μεγαλοφωνίᾳ τοῦ πνεύματος ἐμβοᾷ ὁ ταύτης μυσταγωγὸς θεῖος ἀπόστολος, φάσκων περὶ αὐτῆς· ἵνα γνωρισθῇ ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ. οὐ τοίνυν ὀρθῶς κεκρίκασιν ἀλλὰ καὶ λίαν ἐπισφαλῶς τὰ μὴ ζητούμενα εἰς μέσον ἄγοντες. ὡς γὰρ ἄγκυραν ἀσφαλῆ ἡ καθολικὴ ἐκκλησία ταῦτα τὰ δόγματα καὶ ἀπεδέξατο καὶ ἐσφράγισε, καὶ τῆς διδασκαλίας τούτων ἀνενδεῶς ἔχει. ἀλλὰ καὶ μετὰ τῶν θείων αὐτῶν δογμάτων καὶ τὰς σεπτὰς εἰκόνας ἐδέξαντο, καὶ σεβασμοῦ τινος καὶ τιμῆς ταύτας οἱ πατέρες ἡμῶν ἠξίωσαν, καὶ ἀνεστηλογράφησαν ταύτας ἐν τοῖς σεπτοῖς ναοῖς τοῖς παρ' αὐτῶν δομηθεῖσιν· ἀλλὰ καὶ ἐν παντὶ τόπῳ τῷ δέοντι διεζωγράφησαν, καὶ ταύτας ἠσπάσαντο. αὐτοὶ δὲ πᾶσαν τὴν αὐτῶν θείαν ὁμήγυριν ὑπεραναβεβηκέναι τετολμήκασι, καὶ τὸν θρόνον αὐτῶν ἐξ ἐναντίας τούτων τεθείκασι, τραχηλιάσαντες κατὰ τὸν πατέρα τοῦ ψεύδους διάβολον· καὶ τὰ ἅγια ἔχραναν καὶ ἐνύβρισαν, καὶ πυρὶ παρέπεμψαν. ὦ τῆς ἐπιχειρήσεως· ὦ τῆς τολμηρᾶς ἀπονοίας. οἰχέσθω αὐτῶν τὸ φρόνημα, καὶ φείσεται τοῦ λαοῦ αὐτοῦ κύριος ἐκ τῆς φθοροποιοῦ ταύτης αὐτῶν κακίας· καὶ γένοιτο πάντας τῇ καθολικῇ κατακολουθεῖν ἐκκλησίᾳ, ἀποδέχεσθαι πάσας τὰς εὐαγγελικὰς ἀναζωγραφήσεις, καὶ τῶν μαρτυρικῶν ἄθλων τὰς ἐκτυπώσεις, καὶ ταύτας ἀσπάζεσθαι, καθὼς ἀρχῆθεν ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησίᾳ παρέλαβεν. ἔτι δὲ τῶν αὐτῶν ἔχονται τεχνασμάτων οὑτωσὶ ληρῳδοῦντες. Ε'φεσ. 3.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Ἃ μετὰ πολλῆς ἐπιμελείας καὶ διασκέψεως καὶ ἡμεῖς τῇ ἐπιπνοίᾳ τοῦ παναγίου πνεύματος ἐξετάσαντες, καὶ ἐπιγνόντες, εὕρομεν εἰς αὐτὸ τὸ καίριον δόγμα τῆς σωτηρίας ἡμῶν, ἤτοι εἰς τὴν κατὰ Χριστὸν οἰκονομίαν τὴν ἀθέμιτον τῶν ζωγράφων τέχνην βλασφημοῦσαν, καὶ ἀνατρέπουσαν μὲν τὰς αὐτὰς ἁγίας καὶ οἰκουμενικὰς ἓξ θεοσυλλέκτους συνόδους.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Ἔστιν ἐπιμέλεια καὶ διάσκεψις ἐπὶ κακῷ γινομένη, καθὼς ἐπιμελεῖτο καὶ διεσκέπτετο μετὰ τοῦ Ἀχιτόφελ κατὰ τοῦ ἰδίου πατρὸς ὁ Ἀβεσσαλὼμ, οἷα καὶ αὐτοὶ κατὰ τῶν ἁγίων πατέρων· 2. Βασιλ. 16. καὶ 17

αὖθις δὲ τὰ αὐτὰ περὶ τῆς αὐτῆς φθέγγονται, λόγῳ μὲν σχηματιζόμενοι ταῖς σωοδικαῖς ἀκολουθεῖν θεσμοθεσίαις, τοῖς δὲ ἔργοις ἀρνοῦνται, καὶ ἀπαρεθμοῦσι τὰς οἰκουμενικὰς σωόδους, λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Κατὰ μὲν πρῶτον λόγον ἡ ἁγία καὶ οἰκουμενικὴ ἐν Νικαίᾳ συγκροτηθεῖσα μεγάλη σύνοδος ἐπὶ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ μεγάλου βασιλέως· ἥτις τὸν δυσσεβέστατον Αρειον τῆς ἱερατικῆς καθεῖλεν ἀξίας, διὰ τὸ λέγειν κτίσμα εἶναι τὸν ἄκτιστον υἱὸν τοῦ Θεοῦ, τὸν ὁμοούσιον τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ κατὰ πάντα ὁμόδοξον καὶ ὁμότιμον· ἡ καὶ τὸ θεόλεκτον τῆς σωτηριώδους ἡμῶν πίστεως ἐξεφώνησε σύμβολον. εἶθ' ἕτως ἡ τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων τῶν συνελθόντων ἐν ταύτῃ τῇ βασιλίδι πόλει ἐπὶ Θεοδοσίου βασιλέως τοῦ μεγάλου· ἥτις Μακεδόνιον τὸν Πνευματομάχον κατέκρινεν, ὡς εἰς τὸ παναγιον καὶ ἄκτιστον βλασφημοῦντα πνεῦμα, καὶ μὴ εἶναι αὐτὸ ὁμοούσιον τῷ πατρὶ & τῷ υἱῷ ἀσεβῶς δογματίζοντα· αὐτότε τὸ τῆς σωτηριώδους ἡμῶν πίστεως σύμβολον πλατυτέρως ἐξέθηκε, Θεὸν καὶ τὸ ἅγιον καὶ παντοδυνάμον πνεῦμα κυρώσασα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ταύτας τὰς ἁγίας οἰκουμενικὰς δύο σωόδους καὶ Νεσόριος ὁ δυσσεβὴς ἐδέξατο, καὶ οἱ ἀμφ' αὐτὸν αἱρετικοί. ἕτως καὶ ἡ τῆς τούτων ὀχλαγωγίας σωόδος ταύτας δεχομένη, ἑτέραν αἵρεσιν παρεισήγαγε, ἀφ' ἧς οἱ αὐτῇ προσέχοντες χριστιανοκατήγοροι ὠνομάσθησαν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας, κατ' ὀδὸν διαφέροντες ἀνοήτων ἀνδρῶν τὸν ἥλιον ὁρώντων ὑπέργειον ὄντα, & πρὸς ἀλλήλους φασκόντων· τῇ λαμπρότητι τοῦ ἡλίου οἱ ἀστέρες κεκρυμμένοι εἰσὶ, καὶ ἡμέρα ἐστὶ & οὐχὶ νύξ. τὰ προφανῆ καὶ εὐδήλα ἀργολογίᾳ συλλογισάμενοι περαίνουσιν, εἶτα ἐπιφέρουσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Μετὰ ταύτας ἡ τῶν ἑξακοσίων ἁγίων πατέρων ἐν Εφέσῳ τὸ πρότερον συνελθοῦσα ἐπὶ Θεοδοσίου τοῦ νέου, ἥτις τὸν ἰδιαιτέρονα καὶ ἀνθρωπολάτρην Νεσόριον κατεδίκασε. διὰ τὸ δοξάζειν αὐτὸν Χριστὸν ἰδικῶς τὸν ἐκ Θεοῦ λόγον, καὶ Χριστὸν ἕτερον τὸν ἐκ γυναικὸς, ἀνὰ μέρος καὶ ἰδικῶς τιθέντα τὸν Θεὸν λόγον, καὶ ἀνὰ μέρος τὸν ἄνθρωπον. δύο ἐντεῦθεν ὑποστάσεις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ δογματίζοντα, καὶ ἀρνούμενον τῷ καθ' ὑπόστασιν ἑνώσει. καθ' ἣν οὐκ ὡς ἕτερος ἑτέρῳ συμπροσκυνεῖται, ἀλλ' εἷς νοεῖται Ιησοῦς Χριστὸς υἱὸς μονογενὴς, μιᾷ προσκυνήσει τιμώμενος μετὰ τῆς ἰδίας σαρκός.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ταύτῃ καὶ Εὐτυχὴς καὶ Διόσκορος, καὶ οἱ σὺν αὐτοῖς συγχυτικοὶ ἐδέξαντο· ἀλλ' αἱρετικοὶ μεμυήκασιν ἑτέραν αἵρεσιν εἰσαγαγόντες. ὑπὲρ τούτοις σωαριθμηθήσονται καὶ αὐτοὶ, ὡς νεωτεροποιὸν κακοφωνίαν παρεισενέγκαντες ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ οἷα παῖδες τὰ παρὰ τῶν ἰδίων πατέρων προφανῶς λεγόμενά τε καὶ γινόμενα χλιασικῶς ἀλλήλοις διηγούμενοι, ὅπως καὶ ὅτι τὰ παρὰ πάντων ἀριδήλως γινωσκόμενα, διδακτικῶς οἴονται προφέρεσθαι καὶ γραφῇ παραδοῦναι. ἀλλὰ καταγέλαστοι τοῖς πᾶσι γεγόνασι. καὶ ὥσθις τῇ ἑαυτῶν κακομυθίᾳ χρώμενοι λέγουσιν.

ΓΡΙΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἶτα ἡ ἐν Χαλκηδόνι μεγάλη καὶ πρεσβύτερος σωόδος, ἡ ἐπὶ Μαρκιανοῦ τοῦ θεοφιλοῦς βασιλέως σωδραμοῦσα. ἥτις Διόσκορον καὶ τὸν δυσυχῆ Εὐτυχέα ἀνεθεμάτισε, δογματίζοντας μὴ ἐν δυσὶ φύσεσι μετὰ τὴν ἕνωσιν καθ' ὑπόστασιν τοῦ Θεοῦ λόγου σῴζεσθαι τὸν αὐτὸν καὶ ἕνα Χριστὸν & κύριον μετὰ τῆς σαρκὸς, ἀλλ' ἐκ δύο μὲν γεγονέναι φύσεων τὴν ἕνωσιν, μίαν δὲ ἀποτελεσθεῖσαν πεφυρμένως τε καὶ συγκεχυμένως. πρός γε ταύταις ἡ ἐν Κωνσταντινουπόλει συνελθοῦσα τῇ ἑκατὸν ἑξήκοντα πέντε ἁγίων πατέρων ἐπὶ Ιουστινιανοῦ τοῦ τῆς θείας λήξεως· ἥτις ἀνεθεμάτισεν Ωριγένην τὸν & Αδαμάντιον, Εὐάγριον, Δίδυμον, μετὰ τῆς ἑλληνικῶν αὐτῆς συγγραμμάτων, Θεόδωρον τὸν Μοψουεστίας, καὶ * Θεόδωρον τὸν καθηγητὴν Νεσορίου, Σεβῆρον, Πέτρον, Ζωόραν, μετὰ τῆς ἀσεβῶν αὐτῆς δογμάτων, καὶ τῶν λεγομένων Ιβα ἐπιστολῶν γραφεῖσαν πρὸς Μάριν τὸν Πέρσην. τὰ τῆς ἁγίας καὶ μεγάλης τετάρτης σωόδου εὐσεβῆ ἐπικυρώσασα δόγματα.

* Διόδωρος

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ταύτας τὰς ἁγίας καὶ οἰκουμενικὰς συνόδους καὶ τὰς πρὸ αὐτῆς ἐδέξαντο Σέργιος ὁ Κωνσταντινουπόλεως, Κῦρος Αλεξανδρείας, Ονώριος Ῥώμης, καὶ οἱ περὶ αὐτὸν Μονοθελῆται λεγόμενοι· ἀλλ' ὡς αἱρετικοὶ ἀναθεματίζονται παρὰ τῆς καθολικῆς ἐκκλησίας, ὡς κοινὰ διὰ τῆς αὐτῆς αἱρέσεως λαρυγγίσαντες ἐν τῇ αὐτῇ ἐκκλησίᾳ· ἕτως καὶ ὅτοι ταύτας τὰς ἁγίας συνόδους δεξάμενοι, ἀλλ' ἓν διὰ τὴν ἑαυτῶν αἵρεσιν ἐκβέβληνται τῆς καθολικῆς ἐκκλησίας. καὶ μάταιος αὐτοῖς ὁ περὶ τούτου λόγος καὶ ἀργὸς, καὶ ὅδε ἀποκρίσεως ἄξιος, ὅτι ἐν προσηγορίᾳ τῶν ἁγίων συνόδων, ταύ-

ρων · καὶ ὡς ἐδόκει τῷ Ἀχαὰβ ἐκ θείας ἐπινοίας τὰς διὰ τῆς ψευδοπροφητικῆς προρρήσεις δέχεσθαι· ἀλλὰ καὶ ἔπος ἐψεύσθη τῆς ἐλπίδος. ἔφη δὲ καὶ ὁ παροιμιαστής · εἰσὶν ὁδοὶ δοκοῦσαι ἀνδρὶ ὀρθαὶ εἶναι, τὰ μέντοι τελευταῖα αὐτῆς καταγωγὴν εἰς πυθμένα ᾅδου. τοιαῦτα καὶ ἔστι πεπόνθασιν, ἅτε τῷ πάθει τῆς ἀνθρωπαρεσκείας ἡττημένοι, καὶ ἐκ τῆς ἰδίας κοιλίας φθεγγόμενοι, δοκοῦντες τὰς ὁδοὺς αὐτῆς ὀρθὰς εἶναι, αἱ δὲ εἰς πέταυρον ᾅδου τοὺς πεισθομένους αὐτοῖς καταγουσι. πῶς γὰρ εἰς αὐτὸ τὸ καίριον, ὥς φασι, τῆς οἰκονομίας τοῦ Χριστοῦ μυστήριον ἡ τῆς εἰκόνων ποίησις παρὰ τῆς ζωγράφων γινομένη βλασφήμως φέρεται; ἢ πῶς πάλιν τὰς ἁγίας ἐξ οἰκουμενικῆς συνόδου ἡ τῆς ζωγράφων τέχνη ἀθετεῖ, καὶ παρὰ γνώμιον αὐτῆς ἐν ταῖς ἐκκλησίαις αἱ εἰκόνες ἀνετέθησαν, ὁπόταν αὐτοὶ ἐκεῖνοι οἱ θεῖοι πατέρες ἡμῶν διδασκαλικῶς καὶ ἐθελουσίως ἔχοντες τὸ τῆς σωτηρίας τῆς ἡμετέρας μυστήριον, ἐν τοῖς σεπτοῖς ναοῖς ἀνετύπωσαν τῇ τῆς ζωγράφων τέχνῃ χρώμενοι, καὶ οὐχ ὡς ἔστι φασί; τίς τῆς θείων πατέρων ἡμῶν εἰς αὐτὸ τὸ καίριον δόγμα τῆς σωτηρίας ἡμῶν, ἦλθεν εἰς τιμὴ κατὰ Χριστὸν οἰκονομίαν ἀθέμιτον ἀπεφήνατο τιμὴ τῆς ζωγράφων τέχνης; ὃ γάρ τις ἀποδέχεται, τοῦτο φέγγειν οὐκ ἀνέχεται. τοιγαροῦν ληρωδεῖν γινώσκουσιν, ἀλλ' οὐκ ἀποδεικνύειν τὰ ληρωδούμενα. ὡς ἔθικεν, ὑπέλαβον, ὅτι οὐδεὶς αὐτοὺς γνώσεται δολοῦντας τὸν λόγον τῆς ἀληθείας. πᾶσαι μὲν ὅσαι αἱ βάναυσοι τέχναι τοῦ σκοποῦ τῆς ὑντολῆς τοῦ Θεοῦ ἐκκλίνουσαι, ἀποκήρυκτοί εἰσιν · αἱ δὲ μὴ ὅτως ἔχουσαι, ἀλλ' εἰς τὸν βίον ἡμῶν χρησιμεύουσαι, οὐδαμῶς τὸ ἀπρεπὲς ἔχουσιν, οὐδὲ παρὰ τῆς ἁγίων πατέρων ἡμῶν διεπτύσθησαν ἢ ἀπεβλήθησαν. καὶ τιμὴ ζωγραφικὴ τέχνῃ, εἰ μὲν εἰς ὄψιν αἰσχρότητος ταύτῃ χρήσαιτό τις, ἀπόπτυστός ἐστι καὶ ἐπιβλαβής · οἷον ἐὰν ζωγραφήσῃ τις σχήματα πορνικὰ καὶ θεάματα, λυγίσματά τε ὀρχηστικὰ, καὶ ἱπποδρομίων θέας · καὶ ἔτι ἕτερον τούτοις παραπλήσιον ὑπὸ τῆς τέχνης γένοιτο, αἰσχρὸν τὸ ἐπιτήδευμα. εἰ δὲ ἀναρέτων ἀνδρῶν βίους καὶ μαρτυρικῶν ἄθλων διηγήσεις, καὶ τὰ τούτων ἐξηγητικὰ παθήματα, καὶ τῆς τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν οἰκονομίας τὸ μυστήριον γράφειν ἐθέλωμεν, τιμιωτάτῃ τῇ τῆς ζωγράφων χρώμενοι τέχνῃ, διεσκόμεθα λίαν ὀρθῶς ἐργαζόμενοι. καὶ γὰρ καὶ σαφῶν ζωγράφος ἀνατυποῖ, καὶ οὐδεὶς τῶν εὖ φρονούντων τὸν γραφσύτα σαφῶν ἀποβάλλεται, οὐδὲ θείας τοῦτον γυμνοῖ χάριτος, κἂν ζωγράφος αὐτὸν ἐχρωματούργησε. τοὔμπαλιν καὶ ἐπὶ τῶν βιβλίων ὁμοίως ἐπιληπτέον. εἰ μὲν γὰρ αἰσχρὰ διηγήματα ἐν βίβλοις τις ἐγγράφει, αἰσχρὰ καὶ ἀπόβλητα, καὶ Χριστιανικῆς ἀκοῆς ἀλλόξια· εἰ δέγε θεοπνεύστα ῥήματά τε καὶ διηγήματα ὁδηγοῦντα πρὸς εὐσέβειαν, ἀξιεπαίνετα, καὶ ἀποδεκτὰ, καὶ τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐπάξια. τὸ αὐτὸ καὶ ἐπὶ τῆς εἰκόνος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ, ὡς

Παροι. 14.

φθάσαντες εἴπομεν, ἐννοεῖν ἀναγκαῖον. ἐπεὶ καὶ κιθάραν ἢ αὐλὸς τις ἐργαζόμενος, αἰσχρὸν τὸ αὐλοῦ ἐπιχείρημα · εἰ δέ τι τῶν ἱερῶν σκευῶν, ἀποδεκτόν· καὶ οὐδεὶς τῶν διφρονούντων τιμὴ τέχνην κακίζει, ἂν εἰς τὰ τοῦ βίου τούτου ἀναγκαῖα χρήσιμόν τι κατασκευάσῃ. διαγνοεῖσθαι γὰρ χρὴ τὸν σκοπὸν καὶ τὸν τρόπον, δι' οὗ τὸ ἀποτέλεσμα τῶν τεχνῶν γίνεται· καὶ εἰ μὲν πρὸς εὐσέβειαν, δεκτόν· εἰ δὲ πρός αἰσχρότητά τινα, συγκατάθετον καὶ ἐκβεβλημένον τῇ δὲ κατηγορίᾳ προσπηγνύμενοι καὶ ἐξῆς φασίν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Σωσισθσαν δὲ Νεστόριον τὸν διαιρέντα εἰς υἱῶν δυάδα τὸν δὲ ἡμᾶς ἀνανθρωπήσαντι εἷα υἱὸν καὶ λόγον τοῦ Θεοῦ.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Πάλιν, καθὼς φθάσαντες εἴπομεν, μόνον ἀποφαίνονται, καὶ οὐκ ἀποδεικνύσι. πῶς γὰρ σωσιεῖ Νεστόριον ὁ ἀναζωγραφῶν εἰκόνα τοῦ Χριστοῦ; ὁ Νεστόριος δύο υἱοὺς εἰσάγει, εἷα τὸν λόγον τοῦ πατρὸς, καὶ ἕτερον τὸν ἐκ τῆς παρθένου. οἱ δὲ ἀληθινοὶ Χριστιανοὶ εἷα καὶ τὸν αὐτὸν ὁμολογοῦσιν υἱὸν καὶ Χριστὸν καὶ κύριον, καὶ ἀναζωγραφοῦντες εἰκόνα καθὸ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἤγουν ἄνθρωπος τέλειος, λίαν ὀρθῶς ποιοῦσι. περιεγράφη γὰρ ὁ Θεὸς λόγος σαρκὶ εἰς ἡμᾶς ἐπιδημήσας · καὶ μιᾷ δὲ τινὶ θεότητα αὐτοῦ διενοήθητις ἀναζωγραφῆσαι. Θεὸν γὰρ, φησὶν, οὐδεὶς ἑώρακε πώποτε. ἀπερίγραπτος γὰρ καὶ ἀόρατος καὶ ἀκατάληπτος, ἀλλὰ περιγραπτὸς κατὰ τινὰ ἀνθρωπότητα, ἐκ δύο γὰρ φύσεων ἕνωμεν τὸν Χριστὸν, καὶ ἐν δύο φύσεσιν ἀδιαιρέτως, ἦσαν θεία καὶ ἀνθρωπίνη. ἡ μία ἦν ἀπερίγραπτος, καὶ ἡ μία περιγεγραμμένη ἐν τῷ ἑνὶ Χριστῷ θεωρεῖται. καὶ ἡ εἰκὼν οὐ κατὰ τινὰ οὐσίαν τῷ πρωτοτύπῳ ἔοικεν, ἢ μόνον κατὰ τὸ ὄνομα καὶ κατὰ τινὰ θέσιν τῶν χαρακτηριζομένων μελῶν. οὐδὲ γὰρ εἰκόνα τις ἀναζωγραφῶν ἀνθρώπου τινός, ψυχὴν ἐν τῇ εἰκόνι ζητεῖ, καίτοιγε τῆς διαφορᾶς ἀσυγκρίτου ὔσης ψυχῆς ἀνθρώπου καὶ θείας φύσεως. ἡ μὲν γὰρ ἄκτισος καὶ δημιουργικὴ καὶ ἄχρονος, ἡ δὲ κτιστὴ καὶ χρονικὴ καὶ παραὐτῆς δημιουργηθεῖσα. καὶ οὐδεὶς ποτε τῶν εὖ φρονούντων ἰδὼν ἀνθρώπου εἰκόνα, ἐλογίσατο, ὅτι χωρίζεται διὰ τοῦ ζωγράφου ὁ ἄνθρωπος ἐκ τῆς ψυχῆς. οὐ μόνον γὰρ ψυχῆς ἐστέρηται εἰκὼν, ἀλλὰ καὶ αὐτῆς τῆς τοῦ σώματος οὐσίας, φημὶ δὴ σαρκῶν, μυῶν, νεύρων, ὀστῶν καὶ στοιχείων, ἤτοι αἵματος. φλέγματος, χυμοῦ, καὶ χολῆς. ὧν τινὰ σύγκρασιν ἐν εἰκόνι ἰδέσθαι τῶν ἀμηχάνων ἐστίν. εἰ γὰρ τοῦτο ἐν τῇ εἰκόνι καθωράτο, ἄνθρωπον ἂν αὐτὴν ὠνομάσαιμεν, καὶ οὐκ ἀνθρώπου εἰκό-

Ἰωάν. 1.

2. Ἰωάν.

εἰκόνα. ὀκῶν οἴχεται μετὰ τῶν λοιπῶν αὐτῶν προβλημάτων καὶ ἡ παροῦσα τερθρεία. γέλωτος δὲ ἄξια καὶ τὰ ἐπιφερόμενα.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Οὐ μὴν ἀλλὰ καὶ Ἄρειον καὶ Διόσκορον, καὶ Εὐτυχέα, καὶ Σεβῆρον, τοὺς σύγχυσιν καὶ φυρμὸν ἐπὶ τῶν δύο φύσεων τοῦ ἑνὸς Χριστοῦ δογματίζοντας.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Ὦ τῶν ἀπερισκέπτων αὐτῶν καὶ γραϊκῶν μύθων, ὡς τοῦ κεκρυμμένου δόλου. πάλιν γὰρ ταῖς αὐταῖς φίλον αὐτοῖς ἐστιν ἐνδιατρίβειν φλυαρίαις· ἢ ἀγνοοῦσι τὴν ἐναντιότητα τῶν ὑπ' αὐτῶν ἠριθμημένων αἱρεσιωτῶν, ἢ ἑκόντες φλυαρεῖν προαιροῦνται. Ἀρείου γὰρ, Διοσκόρου τε καὶ Εὐτυχέος αἱ αἱρέσεις ἐναντίαι πως εἰσι τῷ Νεστορίῳ, καὶ ἀλλήλαις μάχονται, κἂν ὁμότιμοι τὴν ἀσέβειαν. Ἄρειος γὰρ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι λέγων τὸν προαιώνιον καὶ ἄκτιστον λόγον τοῦ Θεοῦ καὶ πατρὸς, προστίθησι τῇ ἀσεβείᾳ καὶ ἑτέραν αἵρεσιν, μὴ ἔχειν λέγων τὸν Χριστὸν ψυχὴν λογικὴν, ἀλλ' ἀντὶ τῆς ψυχῆς τὴν θεότητα, ᾗ καὶ τὸ πάθος προσῆπτε. Διόσκορος δὲ καὶ Εὐτυχὴς τῷ Νεστορίῳ λέγοντι δύο φύσεις καὶ ὑποστάσεις ἐπὶ Χριστοῦ ἐξ ἐναντίας φερόμενοι, τὰς φύσεις συγχέοντες, μίαν ἐκενολόγησαν, καὶ πόῤῥω τῆς βασιλικῆς ὁδοῦ βαδίσαντες τῆς μὴ ἐκκλινούσης μήτε δεξιὰ μήτε ἀριστερὰ, τῆς ἀποστολικῆς καὶ πατρικῆς διδασκαλίας ἐξετράπησαν. καὶ τίς ἡ κοινωνία καὶ συμφωνία τῇ καθολικῇ τοῦ Θεοῦ ἁγίᾳ ἐκκλησίᾳ ἕνεκεν τῶν ἐξηγητικῶν ἀναζωγραφήσεων μετὰ Ἀρείου καὶ Διοσκόρου καὶ Εὐτυχοῦς; ἀλλ' ἢ μόνον κενοὶ λόγοι καὶ ἐξίτηλοι,
Κολασ. 4. καὶ ἀποστολικοῦ παραγγέλματος ἀλλότριοι, διαγορεύοντος· ὁ λόγος ὑμῶν πάντοτε ἔστω ἐν τῇ χάριτι, ἅλατι ἠρτυμένος. οὓς βδελυττόμενος καὶ ὁ πολύαθλος Ἰὼβ ἔλεγεν. εἰ
Ἰώβ. 6. βρωθήσεται ἄρτος ἄνευ ἁλός; εἰ δὲ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς; πρόκειται οὖν, ὡς εἰκῆ ὡς μάτην κατηγοροῦσι τῆς τοῦ Θεοῦ ἐκκλησίας, πῇ μὲν λέγοντες Νεστορίῳ τῷ δυσσεβεῖ καὶ διαιρέτη ταύτην συμφέρεσθαι εἰκονογραφοῦσαν τὴν τοῦ κυρίου ἐνανθρώπησιν, πῇ δὲ Εὐτυχεῖ καὶ Διοσκόρῳ τοῖς ἐναγέσι καὶ συγχυτικοῖς. καὶ πρόδηλον, καθὼς ἀποδέδεικται, ὡς ἐναντίως μὲν ἀλλήλοις ἔχουσιν, ἄμφω δὲ τῇ ἐκκλησίᾳ προσπολεμοῦσιν. εἰ γὰρ δῶμεν τῷ Νεστορίῳ κατὰ τὴν αὐτῶν φωνὴν τὴν ἐκκλησίαν παρέπεσθαι, διαψεύδονται, λέγοντες τῷ Εὐτυχεῖ ὡς Διοσκόρῳ ταύτην ὁμονοεῖν. εἰ δὲ τοὐναντίον Εὐτυχεῖ καὶ Διοσκόρῳ συμφρονεῖν συγχωρήσωμεν, καὶ ἐν τούτῳ πεφανέρωνται ψευδολογοῦντες. ὡς γὰρ φθάσας ὁ λόγος ἀπέδειξε, Νεστόριος καὶ Εὐτυχὴς ἀλλήλων τῇ ἀσεβείᾳ διενηνόχασι, καὶ ἄλογος καὶ περιττὸς ὁ τοιοῦτος αὐτῶν παρασυλλογισμός.

ΤΟ'ΜΟΣ Γ'.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Καὶ ἐπειδὴ ἐπ' ἀκάνθαις ἀροτριάσαντες, τῶν ἀποστολικῶν σπερμάτων ἀλλότρια φθέγγονται, τῶν δὲ αἱρετικῶν ζιζανίων βλαστήματα καρποφοροῦσι, πρὸς αὐτοὺς ὁ Θεὸς διὰ τοῦ προφήτου βοᾷ· ποιμένες πολλοὶ διέφθειραν Ἱερεμ. 12.
τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ταύτῃ λέγοντες.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Ὅθεν δίκαιον ὠήθημεν, λεπτομερῶς διὰ τοῦ παρόντος ἡμῶν ὅρου ἀποδεῖξαι τὴν τῶν ποιούντων καὶ σεβομένων πλάνην. πάντων οὖν τῶν θεοφόρων πατέρων, καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων τὴν καθαρὰν καὶ ἀμίαντον καὶ θεαπόδεικτον πίστιν ἡμῶν καὶ ὁμολογίαν οὕτως παραδεδωκότων, τοῦ μηδένα τρόπον διαιρέσεως ἢ συγχύσεως ἐπινοεῖν τινα εἰς τὴν ὑπὲρ νοῦν τε καὶ ἔννοιαν, ἄῤῥητόν τε καὶ ἄγνωστον ἐκείνην ἕνωσιν τῶν δύο καθ' ὑπόστασιν μίαν τοῦ μονωτάτως δηλουμένου προσώπου φύσεων.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Ὄντως τὴν ἑαυτῶν πλάνην ἔδειξαν λεπτομερῶς οἱ ματαιόφρονες. πάντων γὰρ τῶν ἁγίων πατέρων ἡμῶν τῶν καὶ ἐν ταῖς ἁγίαις ἓξ οἰκουμενικαῖς συνόδοις ἀθροισθέντων τὰς σεπτὰς εἰκονικὰς ἀναζωγραφήσεις καθιδρυσάντων ἐν τοῖς ἁγίοις ναοῖς, καὶ ἐν ἄλλοις ἐπιτηδείως ἔχουσι τόποις, καὶ ἀποδεξαμένων ταύτας, αὐτοὶ ἀποκηρύκτους πεποιήκασι διὰ τινῶν παρεγγράπτων λογιδείων, πλάνην λέγοντες, καὶ εἰδωλολατρείαν ἑτέραν παρὰ τὴν δαιμονικὴν ἀντεισάγοντες. καὶ δύο πραγμάτων ἀλλήλοις ἀντικαθισταμένων οὐ διέστειλαν παρ' ἑκατέροις αὐτῶν. τὰ γὰρ εἰς δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ἀνάμνησιν τῆς ἐν σαρκὶ πολιτείας τελούμενα, καὶ τὰ διὰ δόξαν καὶ μνήμην δαιμονίων ὑπὸ τῶν αὐτοῖς λατρευόντων Ἑλλήνων καὶ Ἰουδαίων τινῶν γεγενημένα, μίαν καὶ τὴν αὐτὴν ὀνομασίαν τοῖς στόμασιν αὐτῶν περιφέρουσι, καὶ γραφῇ παραδοῦναι ἀνῃχύντησαν, μιγνύντες τὰ ἄμικτα, καὶ προφασιζόμενοι προφάσεις ἐν ἁμαρτίαις. διαιρέσεως καὶ συγχύσεως περιβομβοῦσι ληρῳδήματα εἰς τὴν θεολογικὴν ἐπιστήμην τῆς καθολικῆς ἐκκλησίας· καὶ φλυαροῦσι λέγοντες, μηδένα τρόπον διαιρέσεως ἐπινοεῖν ἐν τῇ καθ' ὑπόστασιν σαρκὶ ἑνώσει τοῦ Θεοῦ λόγου. καὶ

Αρείῳ καὶ Διοσκόρῳ καὶ Εὐτυχεῖ καὶ τῇ τῆς Ακεφάλων αἱρέσει συνεπλανήθησαν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ ἀνέγνω.

Οὐ ζωγράφων ἐφεύρεσις ἡ τῆς εἰκόνων ποίησις, ἀλλὰ τῆς καθολικῆς ἐκκλησίας ἔγκειτος θεσμοθεσία καὶ παράδοσις. καὶ τὸ ἀρχαιότητι διαφέρον, αἰδέσιμον κατὰ τὸν θεῖον Βασίλειον. μαρτυρεῖ δὲ αὐτὴ τῆς πραγμάτων ἡ ἀρχαιότης, καὶ ἡ τῆς πνευματοφόρων πατέρων ἡμῶν διδασκαλία, ὅτι ὁρῶντες ταύτας ἐν τοῖς σεπτοῖς ναοῖς, ἠσμενίσαντο· καὶ αὐτοὶ σεπτοὺς ναοὺς δειμάμενοι ταύτας ἐστηλογράφησαν· ἐν οἷς τὰς θεοπροσδέκτους αὐτῶν εὐχὰς καὶ ἀναιμάκτους θυσίας τῷ δεσπότῃ τῆς ὅλων Θεῷ προσέφερον. μενοῦνγε αὐτῶν ἡ ἐπίνοια καὶ ἡ παράδοσις, καὶ οὐ τοῦ ζωγράφου. τοῦ γὰρ ζωγράφου ἡ τέχνη μόνον, ἡ δὲ διάταξις πρόδηλον τῆς δειμαμένων ἁγίων πατέρων. τὸ δὲ Χριστὸς, ὄνομα σημαντικόν ἐστι θεότητος καὶ ἀνθρωπότητος, τῆς δύο τελείων τοῦ σωτῆρος φύσεων. καὶ καθ' ἣν ὡράθη φύσιν, τὴν εἰκόνα αὐτοῦ οἱ Χριστιανοὶ ἀναζωγραφεῖν ἐδιδάχθησαν, ἀλλ' οὐ καθ' ἣν ἀόρατος ἦν. αὐτὴ γὰρ ἀπερίγραπτος· Θεόν γὰρ οὐδεὶς ἑώρακε πώποτε, εὐαγγελικῶς ἠκούσαμεν. τῇ ἀνθρωπίνῃ οὖν φύσει τοῦ Χριστοῦ ἀναγραφομένου, δῆλον ὅτι καθὼς ἡ ἀλήθεια ἔδειξε, κατὰ τὸ ὄνομα μόνον ὁμολογοῦσιν οἱ Χριστιανοὶ κοινωνεῖν τὴν ὁρωμένην εἰκόνα τῷ ἀρχετύπῳ, καὶ οὐ κατὰ οὐσίαν. αὐτοὶ δὲ κεπφωθέντες ἀδιάφορον λέγουσιν εἶναι εἰκόνα καὶ πρωτότυπον, καὶ ἑτεροουσίοις τὸ ταυτὸ τῆς οὐσίας κρίνουσι. καὶ τίς αὐτοὺς οὐ γελάσει τῆς ἀμαθίας; μᾶλλον δὲ οὐ θρηνήσει τῆς ἀσεβείας; εἰς ἀδόκιμον γὰρ νοῦν ἐκτραπέντες λαλοῦσι τὰ μὴ καθήκοντα, συγχύσεως αἰτίαν θρυλλοῦντες ἔχειν διὰ τῆς τῆς σεπτῶν εἰκόνων ποιήσεως τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, καὶ προσάπτειν αὐτὴν τῇ θεότητι περιγραφῆς εἶδος· εἶτά τε καὶ ἀνομίαν ἐπ' ἀνομία προστιθέντες, οὐαὶ ἐπιπέμπουσιν. ἀλλ' ἐπιστρέψει ὁ πόνος αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτῶν. εἰ γὰρ ὁ καταρώμενος τὸν πάλαι Ισραὴλ ἐπικατάρατος, καὶ ὁ εὐλογῶν αὐτὸν εὐλογημένος, πόσῳ μᾶλλον ὁ τὸν νέον Ισραὴλ τὸν νοερῶς ὁρῶντα Θεὸν, τὴν τοῦ Θεοῦ ἐκκλησίαν καταρώμενος, ἐστὶ κατάρας ἔμπλεως; τίς δὲ οὐκ ἂν αὐτοὺς βδελύξηται, Αρείῳ καὶ Διοσκόρῳ καὶ Εὐτυχεῖ λέγοντας, καὶ τῇ τῆς Ακεφάλων αἱρέσει ταύτην ἀποπλανᾶσθαι, αὐτῶν τούτους ἐχόντων καθηγητὰς καὶ προστάτας τῆς ἑαυτῶν * μισολέκτου αἱρέσεως; ἐν γὰρ τοῖς ἑξῆς Εὐσέβιος ὁ Παμφίλου παρ' αὐτῶν εἰς μαρτυρίαν ἄγεται, ὅστις ὑπὸ πάσης τῆς καθολικῆς ἐκκλησίας γινώσκεται προστάτης εἶναι τῆς Αρείου αἱρέσεως, καθὼς ἐν πᾶσι τοῖς γράμμασιν αὐτοῦ καὶ ἐκδόσεσιν ἐμφέρεται· δεύτερον προσκυνητὸν λέγων τὸν Θεὸν λόγον, καὶ ὑπουργὸν τοῦ πατρὸς, καὶ τὰ δευτερεῖα τῆς ἀξίας ἔχοντα, τῇ τοῦ ὁμουσίου ἀντιφερόμενος δόξῃ, καὶ μεταβολὴν τῆς ἁγίας σαρκὸς τοῦ κυρίου εἰς τὴν τῆς θεότητος φύσιν. καὶ ἐκ τούτων σύγχυσιν πρεσβεύων, οὐδὲ εἰκόνα δέχεται, ἀλλ' οὐδὲ πᾶσα ἡ τῆς Αρειομανιτῶν ἐναγὴς ὁμήγυρις. δοξάζουσι γὰρ ἐκτὸς ψυχῆς λογικῆς ἐνανθρωπῆσαι τὸν κύριον ἡμῶν, ἀντὶ τῆς ψυχῆς τὴν θεότητα ἔχοντα, ἵνα τὸ πάθος αὐτῇ προσενέγκωσι, καθὰ μαρτυρεῖ Γρηγόριος ὁ θεολόγος· καὶ ὡς θεοπασχῖται εἰκόνα οὐκ ἀποδέχονται. ὡσαύτως καὶ Σεβῆρος ὁ συγχυτικὸς οὐκ ἐδέξατο εἰκόνα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐν ἐκκλησίᾳ, καθὼς πλεῖστοι τῆς ἱστορικῶν διήγηνται. πῶς οὖν Αρείῳ καὶ Διοσκόρῳ καὶ Εὐτυχεῖ καὶ τῇ τῆς Ακεφάλων αἱρέσι ἕπεσθαι τὴν καθολικὴν ἐκκλησίαν φάσκουσι, τὴν δεξαμένην τὰς εἰκονικὰς ἀναζωγραφήσεις, θαυμάσαι ἐστὶ, μέγα ἐξερευγόμενοι, καί τινα βλάσφημα λογίδρια ἐκ τῆς ἀπυλώτου αὐτῶν γλώττης εἰς ἀέρα * χεόμενα, καὶ οὐδὲν ἕτερον. ἀκουσάτωσαν οὖν ἀληθῶς· ἀνωτέρω περιγραφῆς ἐστι, καθὼς εἴπομεν, ἡ θεία φύσις· ἡ δέ γε ἀνθρωπίνη, περιγεγραμμένη. καὶ οὐδεὶς τῆς εὖ φρονούντων περιγραπτὴν λέγων τὴν ἀνθρωπείαν φύσιν, ταύτῃ συμπεριγράφει τὴν ἀπερίγραπτον οὖσαν. καὶ γὰρ ὁ κύριος, καθὸ τέλειος ἄνθρωπος ἦν, ὢν ἐν τῇ Γαλιλαίᾳ, οὐκ ἦν ἐν τῇ Ιουδαίᾳ. καὶ τοῦτο αὐτὸς πιστοῦται λέγων· ἄγωμεν εἰς τὴν Ιουδαίαν πάλιν. καὶ περὶ τοῦ Λαζάρου διαλεγόμενος τοῖς αὐτοῦ φοιτηταῖς, οὕτως ἔφη· χαίρω δι' ὑμᾶς, ὅτι οὐκ ἤμην ἐκεῖ· καθὸ δὲ Θεός ἐστιν, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ πάρεστι, μένων παντάπασιν ἀπερίγραπτος. πῶς οὖν φληναφήματά τινα κενοφωνοῦντες, βατταρίζουσιν ἀκρατεῖ γλώττῃ λέγοντες, συμπεριέγραψεν ὁ ζωγράφος κατὰ τὸ δοκοῦν τῇ αὐτοῦ ματαιότητι τὸ ἀπερίγραφον τῆς θεότητος τῇ περιγραφῇ τῆς κτιστῆς σαρκός; εἰ συμπεριεγράφη ἀνακειμένου καὶ ἐσπαργανωμένου ἐν φάτνῃ τῇ φύσει τῆς ἀνθρωπότητος ἡ φύσις τῆς θεότητος αὐτοῦ· συμπεριγράφεται καὶ ἐν τῇ ἀναγεγραμμένῃ εἰκόνι τῆς ἀνθρωπότητος αὐτοῦ ἡ ἀπερίγραπτος θεότης αὐτοῦ· ὡσαύτως καὶ ἐν σταυρῷ εἰ συμπεριεγράφη τῇ φύσει τῆς ἀνθρωπότητος ἡ φύσις τῆς θεότητος αὐτοῦ, συμπεριγράφεται καὶ ἐν τῇ ἀναγεγραμμένῃ εἰκόνι τῆς ἀνθρωπότητος αὐτοῦ ἡ ἀπερίγραπτος θεότης αὐτοῦ. εἰ δὲ ἐκεῖνα οὐ γέγονεν, οὐδὲ τοῦτο πάντως. εἴθε ἔγνωσαν τὸ τοῦ θεοφόρου Διονυσίου ῥητὸν ἐκ τοῦ περὶ ἱεραρχίας λόγου, οὕτω λέγοντος. οὐδὲ γάρ ἐστιν ἀκριβὴς ἐμφέρεια τοῖς αἰτιατοῖς καὶ τοῖς αἰτίοις. ἀλλ' ἔχει μὲν τὰ αἰτιατὰ τὰς τῆς αἰτίων ἐνδεχομένας εἰκόνας, αὐτὰ δὲ τὰ αἴτια τῆς αἰτιαιτῶν ἐξήρηται καὶ ὑπερίδρηται κατὰ τὸν τῆς οἰκείας ἀρχῆς λόγον, ὥστε δέδεικται καὶ τοῖς μικρὰ νοεῖν δυναμένοις, ὡς ματαίαν κενοφωνίαν τινὰ εἰσάγειν πειρᾶται ὁ ἐρραψῳδημένος αὐτῶν λόγος, κατὰ τῆς ἐκκλησίας τοὺς ἀγῶνας προτιθέμενος, καὶ οὐ κατὰ τοῦ ζωγρά-

πρὸς ἀμφιλ. περὶ πνεύματος ἁγίου κεφ. 29.

Ιωάν. 1.

Αριθ. 14.

* καινολέκτο

Ἐπισ. β. πρὸς κληδύνιον.

* L. χεοντες,

Ιωάν. 11.

ὡς ἔοικε, παῤῥικὰς φωνὰς ὑδέπω ἀνέγνων. εἰ δὲ καὶ ἀνέγνων, παροδευτικῶς ἀνέγνων, οὐκ ἐρευνητικῶς. ὁ Θεολόγος Γρηγόριος ἀναιρεῖ τὸ διάκενον αὐτῶν ῥαψῳδημα, ὅπωσὶ λέγων· ἵνα καὶ φύσεις διίσανται ταῖς ἐπινοίαις, σωδιαιρεῖται καὶ τὰ ὀνόματα. καὶ πάντες οἱ ἅγιοι πατέρες ἡμῶν τῷ σύγχυσιν μὴ προσιέμενοι, χωρισὰς τῇ ἐπινοίᾳ λέγουσι τὰς δύο φύσεις τῷ λόγῳ τῆς διαφορᾶς, ὁ τῆς διαιρέσεως. τοιγαροῦν ἡ ἡγνόηται αὐτοῖς καὶ ἐν τούτῳ ἡ ἀκριβὴς τῶν δογμάτων ἐπίγνωσις, ἣ κατηγοροῦσι τῶν ἁγίων πατέρων ἡμῶν, κατὰ μηδαμὰ ξόπον λέγειν αὐτοὺς διαίρεσιν ἐπὶ τῇ τῶν δύο φύσεων σώσει τῆς κατὰ Χριστὸν οἰκονομίας. καὶ ὁ μὲν Νεστόριος τοῖς πράγμασι διαιρεῖ τὰς φύσεις, λέγων ἄλλον τὸν τοῦ Θεοῦ λόγον, καὶ ἄλλον τὸν ἐκ τῆς παρθένου, εἰς ἄνθρωπον ἰδικῶς, καὶ εἰς Θεὸν ἰδικῶς. ἡ δὲ καθολικὴ ἐκκλησία ἀσυγχύτως ὁμολογοῦσα τῷ σώσει, τῇ ἐπινοίᾳ καὶ μόνῃ διαιρεῖ τὰς φύσεις ἀδιαιρέτως, σὺν τὸν αὐτὸν ὁμολογοῦσα τὸν Ἐμμανουὴλ καὶ μιᾷ τῷ σώσει. ὕβρει δὲ πνέοντες ἐν τοῖς ἑαυτῶν μυκτῆρσιν, ἐπιφέρουσι.

Ὁμιλ. β' περὶ υἱοῦ.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Τίς ἡ ἀνόητος ἐπίνοια τοῦ σημογράφου δι' οἰκτρὰν αἰσχροκέρδειαν ἐπιτηδεύσαντος τὸ ἀνεπιτήδευτον; τυπτέσι τὰ καρδία πιστεύομενα καὶ στόματι ὁμολογούμενα χερσὶ βεβήλοις διαμορφοῦσαι.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἀποστολικὸν τοῦτο λέγειν καὶ φρονεῖν. οὐδὲ γὰρ ἀνδρὸς σώφρονος τὸ αἰτιάσασθαι ἀναιτίους. τίς γὰρ ἡ αὐτῶν * σημολόγος διανόησις, ταῦτα τὰ ληρήματα συνοεῖσθαι ἐπὶ τῶν τῆς ἐκκλησίας καθιερωμένων γραμμάτων; εἰ ὁ ζωγραφῶν δὲ αἰσχροκέρδειαν λέγεται εἰκονίζειν τὸν κύριον ἡμῶν καθὸ ἄνθρωπος τέλειος γέγονε, καὶ τὰς ἁγίας αὐτοῦ, ὥρα αὐτοὺς καὶ τὰς τὰ θεῖα εὐαγγέλια γράφοντας αἰτιᾶσθαι, καὶ τὸν τὸν σαυρὸν ἐγχαράττοντας διὰ χρωμάτων σημογράφους ἀποκαλεῖν, καὶ δὲ αἰσχροκέρδειαν λέγειν τοῦτο ποιεῖν. Τί δῆν; καὶ τέκτων σαυρὸν κατασκευάζων σημοτέκτων ὀνομασθήσεται; καὶ λιθουργὸς τράπεζαν ἁγίαν ἀποξέων καὶ διατυπῶν, σημολιθουργός; καὶ χρυσοχόος, καὶ ἀργυροκόπος; καὶ ὑφάντης ὡσαύτως; ἐκεῖν κατὰ τοῦ αὐτῶν παράνοιαν οἴχεται πᾶσα ἐπιστήμη καὶ τέχνη δοθεῖσα παρὰ τοῦ Θεοῦ πρός τε τοῦ αὐτοῦ δόξαν, καὶ πρὸς σύστασιν τῆς ἡμετέρας ζωῆς. καὶ ἐπειδὴ ἤκασιν εἰς ἀγνωσίας καὶ μοχθηρίας ὑπερβολὴν, ἐκ τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων ἡμῶν ἀκουσάτωσαν ἐπαινουμένην τοῦ δοθεῖσαν τῇ φύσει ἡμῶν σοφίαν διὰ τοῦ δημιουργήσαντος ἡμᾶς μεγαλοδώρου Θεοῦ· τοῦ μὴ Ἰὼβ περὶ τοῦ Θεοῦ φάσκοντος· τίς ἔδωκε γυναιξὶν ὑφάσματος σοφίαν; καὶ τῆς θείας γραφῆς μαρτυρούσης διὰ τοῦ Θεοῦ δεδόσθαι σοφίαν τῷ Βεσελεὴλ εἰς πᾶσαν τεκτονικὴν ἐπιστήμην. φησὶ γὰρ οὕτως· καὶ ἐλάλησε κύριος πρὸς Μωσῆν, λέγων· ἰδοὺ ἀνακέκλημαι ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρὶ υἱοῦ Ὡρ ἐκ φυλῆς Ἰούδα. καὶ ἐνέπλησα αὐτὸν πνεύμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης, ἐν παντὶ ἔργῳ διανοεῖσθαι καὶ ἀρχιτεκτονεῖν, ἐργάζεσθαι τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν, καὶ τὸν ὑακινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον τὸ νησοῦν, καὶ τὴν βύσσον τὴν κεκλωσμένην, καὶ τὰ λιθουργικὰ, καὶ εἰς τὰ ἔργα τὰ τεκτονικὰ τῶν ξύλων, ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα. καὶ ἐγὼ δέδωκα αὐτὸν καὶ τὸν Ἐλιὰβ τὸν τοῦ Ἀχισαμὰχ ἐκ φυλῆς Δάν. καὶ παντὶ συνετῷ καρδίᾳ δέδωκα σοφίαν καὶ ποιήσουσι πάντα ὅσα συνέταξάσοι. οἷς σωφρὰ καὶ ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος φάσκει· καὶ κατέβη πνεῦμα κυρίου, καὶ ὡδήγησεν αὐτούς. καὶ πνεῦμα ἐπιστήμης ἐνέπλησε τὸν Βεσελεὴλ τὸν ἀρχιτέκτονα τῆς σκηνῆς· ὁκοῦν τὰς παρὰ τοῦ Θεοῦ δοθείσας ἐπιστήμας τοῖς ἀνθρώποις ἀποφαυλίζοντές τε καὶ καταγινώσκοντες, τῇ τῶν θεοκαταγνώστων αἱρέσει σωαιθμιοί εἰσί τε καὶ λέγονται, προσιθέντες κατὰ τὸ γεγραμμένον ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ * οἱ ἐν γνήσιοι καὶ οὐ νόθοι υἱοὶ τῆς ἐσολισμένης νύμφης τοῦ Χριστοῦ, καὶ σπῖλον ἢ ῥυτίδα μὴ ἐχούσης καθολικῆς ἐκκλησίας, μόνῳ Θεῷ τὰς λογικὰς θυσίας καὶ τὰς λατρείας προσφέροντες, διὰ μὲν τῆς ὁρατικῆς αἰσθήσεως βλέποντες τὴν σεπτὴν εἰκόνα τοῦ Χριστοῦ, καὶ τῆς κυρίως καὶ ἀληθῶς δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου, ἁγίων ἀγγέλων τε καὶ πάντων ἁγίων ἁγιάζονται, καὶ εἰς ἀνάμνησιν τούτων τὸν νοῦν αὐτῶν ἀνατυποῦσι, καὶ καρδίᾳ εἰς ἕνα Θεὸν πίστιν εἰς δικαιοσύνην, καὶ στόματι ὁμολογοῦσιν εἰς σωτηρίαν. ὡσαύτως καὶ τοῦ εὐαγγελίου ἀκούοντες, τὴν τῶν ἀκοῶν αἴσθησιν ἁγιασμοῦ καὶ χάριτος πληροῦσι, καὶ τῇ καρδίᾳ συνιᾶσι τὴν τῶν γεγραμμένων διήγησιν. εἶτα εἰκῇ φυσιούμενοι τί φασιν;

Ἰὼβ. 38.

Ἔξοδ. 31.

εἰς τὸν ἐπιτάφ. τοῦ ἁγίου βασιλ.

* Ἡσαΐ. 31.

Ῥωμ. 10.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ἐποίησε γὰρ ὁ τοιοῦτος εἰκόνα, ὀνομάσας αὐτὸν Χριστὸν· καὶ ἔστι τὸ, Χριστὸς, ὄνομα Θεὸς καὶ ἄνθρωπος. λοιπὸν καὶ εἰκὼν Θεοῦ καὶ ἀνθρώπου. καὶ λοιπὸν ἡ συμπεριέγραψε κατὰ τὸ δοκοῦν τῇ αὐτοῦ ματαιότητι τὸ ἀπερίγραφον τῆς θεότητος τῇ περιγραφῇ τῆς κτιστῆς σαρκὸς, ἣ σωέχει τῷ ἀσύγχυτον ἕνωσιν ἐκείνῳ, τῷ τῆς συγχύσεως ἀνομήματι περιπεσών, δύο βλασφημίας ἐκ τούτου τῇ θεότητι προσάψας διὰ τῆς περιγραφῆς τε καὶ συγχύσεως. ταῖς αὐταῖς οὖν καὶ ὁ προσκυνήσας βλασφημίαις ὑποβέβληται· καὶ τὸ οὐαὶ ἀμφοτέροις ἐφάμιλλον, ὅτι

Ἀρείῳ

παρὰ πᾶσιν ἀποδείκνυνται, ποτὲ μὲν δίχαιρεσιν, ποτὲ δὲ σύγχυσιν λέγοντες, ἑτοιμοτάτῳ τῷ γλώσσαν ἔχοντες, πρὸς τὸ ἁμαρτοπεῖν. οὕθεν καὶ λέγουσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἰ τοίνυν ἐν τῷ πάθει ἀχώριστον τούτων ἔμεινεν ἡ θεότης, πῶς οἱ ἀνόητοι καὶ πάσης ἀλογίας πεπληρωμένοι δίχα τῶν σάρκα τὴν θεότητι συμπλακεῖσαν καὶ θεωθεῖσαν, καὶ δῆθεν ὡς φιλῶ ἀνθρώπῳ εἰκόνα γράφειν πειρῶνται; καὶ ἐν τούτῳ γὰρ εἰς ἕτερον ἀνομίας βάραθρον ἐμπίπτουσι, χωρίζοντες τῷ σάρκα ἐκ τῆς θεότητος, καὶ ἰδιοϋπόστατον αὐτῷ παρεισάγοντες, καὶ ἕτερον πρόσωπον διδόντες τῇ σαρκὶ, ὅπερ εἰκονίζειν λέγουσιν. ἐκ τούτου δεικνύντες τετάρτου προσώπου προσθήκῃν ἐν τῇ τριάδι· πρός γε τούτοις καὶ τὸ θεωθὲν πρόσλημμα ἰσορροῦντες ἀθέωτον. συναχθήσεται οὖν τοῖς τὸ Χριστὸ εἰκόνα γράφειν οἰομένοις ἢ τὸ θεῖον περιγραπτὸν καὶ τῇ σαρκὶ συγχυθὲν, ἢ τὸ σῶμα τοῦ Χριστοῦ ἀθέωτον καὶ διῃρημένον, καὶ πρόσωπον ἰδιοϋπόστατον ἐπὶ τῆς σαρκὸς διδόναι, ἑξομοιουμένοις ἐν τούτῳ τῇ Νεστοριανῶν θεομαχίᾳ. εἰς ποιαύτην οὖν βλασφημίαν τε καὶ ἀσέβειαν ἐμπίπτοντες αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν, καὶ παυέσθωσαν οἱ δρῶντες καὶ οἱ ποθοῦντες καὶ σεβόμενοι τὴν ψευδωνύμως γινομένην καὶ λεγομένην ὑπ' αὐτῶν τοῦ Χριστοῦ εἰκόνα. ἀπέστω ἡμῶν ἑξ ἴσου καὶ ἡ τοῦ Νεστορίου δίχαιρεσις, καὶ ἡ τοῦ Ἀρείου, Διοσκόρου, Εὐτυχοῦς καὶ Σεβήρου σύγχυσις, τὰ ἐκ δίχα μέτρου κακὰ καὶ ὁμότιμα τῇ ἀσέβειαν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οὐδαμῶς τῆς μιᾶς ὁδοῦ ἔχονται οἱ τῆς Χριστιανοκαληγορικῆς αἱρέσεως πρόβολοι, καθὼς ἔθος ἐστὶ τοῖς περὶ θείων δογμάτων ὀρθοδόξοις τῆς βασιλικῆς ὁδοῦ ἔχεσθαι μόνον, καὶ μὴ ἐκκλίνειν οὔθεν καὶ οὔθεν. ἀλλὰ δίχα στρέφοντες τὰς ὁδοὺς κυρίου, ἐναντιωτάτας δόξας παρ' ἑαυτοῖς συλλέγουσι τῷ ἰδίῳ νοΐ πληροφορούμενοι, σοφοὶ τὰ πάντα δοκοῦντες εἶναι. ἀλλὰ ἀκούουσι παρὰ τοῦ παῤῥησιαστοῦ Ἡσαΐου λέγοντος· οὐαὶ οἱ σοφοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον ἑαυτῶν ἐπιστήμονες. καὶ γὰρ τὰ μηδέπω παρὰ ὀρθοδόξων Χριστιανῶν λαληθέντα, ὡς ὁμολογούμενα λαμβάνουσι. καὶ παρασυλλογιζόμενοι σοφιστικῶς τὴν ἐκκλησίαν ἐλέγχουσι· καὶ σαίνεται παρ' αὐτῶν ὕβρεις καὶ λοιδορία, ἐπὶ προσθήκῃ δὲ τούτων καὶ ἀσέβεια. ἃ γὰρ Διόδωρος καὶ Θεόδωρος ὁ Μοψουεστίας, καὶ Νεστόριος, Εὐτυχής τε καὶ Διόσκορος, καὶ Σεβῆρος ἀνελάβοντο κατὰ τῆς ἀληθείας λυττήσαντες, αὐτοὶ τῇ καθολικῇ ἐκκλησίᾳ προσενέμοσι· καὶ κακῷ τὸ κακὸν ἀναμιγνύντες προσάπτουσι, ταύτῃ τούτοις τοῖς δυσσεβέσιν αἱρεσιώταις συμφύρεσθαι, ἠλιθιότητος καὶ ἀθεΐας ἀνάμεσα ἔχοντες ῥήματα. καὶ ὡς κάπηλοι μιγνύουσι τὸν οἶνον ὕδατι, τὸν ἀληθῆ λόγον τῷ διεστραμμένῳ, καὶ ἀναχιρνῶσι χολῇ πικρίας· ἡ γὰρ αἵρεσις Διοσκόρου καὶ Εὐτυχοῦς ἐναντία Νεστορίῳ πως ἐστι, καθὰ φθάσαντες εἴπομεν. καὶ ἐναντίας αἱρέσεις ἐν μιᾷ δόξῃτε καὶ ὁμολογίᾳ εἶναι, τῷ ἐνδεχομένων ἐκ ἔστιν· ὥσπερ λευκὸν καὶ μέλαν· ἢ θερμὸν καὶ ψυχρὸν ἀμήχανον ἰδεῖν ἐν σὶ ὑποκειμένῳ κατὰ τὸν αὐτὸν καιρόν. οὐδὲ γὰρ ἐν τῇ χιόνι εὑρηταί ποτε τὸ θερμὸν, οὐδὲ ἐν τῷ πυρὶ τὸ ψυχρόν. τῆς δὲ παροιμίας αὐτῷ τῷ δήθειαν ἐκδηλοτέραν ἔξομεν. τῷ εἰκόνα καὶ τὸ πρωτότυπον ταυτὸν λέγουσιν εἶναι οἱ τυχεῖς περὶ τὸν κατηγορίαν· καὶ τούτου ἕνεκεν εἰς συγχύσεις καὶ δίχαιρέσεις εἰσάγουσι τοὺς στηλογραφοῦντας τὸ εὐαγγελικὸν εἰσήγησιν. τῷ γὰρ Εὐτυχιανισῶν, ἤτοι τῷ πρεσβεύοντων μίαν φύσιν ἐπὶ τῆς καθ' ὑπόστασιν ἑνώσεως τοῦ Χριστοῦ. καὶ σύγχυσιν ἐκ τούτου δογματιζόντων, τῆς ἀληθείας ἡ παραξοπὴ ὁδὸν ἕτερον αὐτοῖς ἐστιν, εἰ μὴ ὅτι ὑποστάσιν καὶ φύσιν ταυτὸν ὁρίζονται· ὅπερ ἄλλο καὶ ἄλλο γινώσκομεν οἱ τῆς καθολικῆς ἐκκλησίας ῥόφιμοι. ὑπόστασιν γὰρ λέγομεν οὐσίαν τινὰ μετ' ἰδιωμάτων, καὶ παρὰ τὸ ὑφεστάναι. φύσιν δὲ πρᾶγμα αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, καὶ παρὰ τὸ πεφυκέναι. τύπῳ δὲ τῷ ῥόπῳ καὶ ὅτι τοῦ εἰκόνα τοῦ Χριστοῦ καὶ αὐτὸν τὸν Χριστὸν οὐδὲν ἕτερον τοῦ ἑτέρου κατ' οὐσίαν λέγουσι διαφέρειν· ἐπεὶ εἰ τοῦ διαφορὰν ἔγνωσαν, οὐκ ἂν τοιούτοις τοῖς κενοφωνίαις ἑτερατολόγησαν. ἀρίδηλον γὰρ πᾶσιν ὑπάρχει, ὅτι ἄλλο ἐστὶν εἰκὼν, καὶ ἄλλο πρωτότυπον· τοῦτο μὲν ἔμψυχον, ἐκεῖνο δὲ ἄψυχον. καὶ ἐπειδὴ ἐφλιωάφησαν ἐν τῇ εἰκόνι συμπεριγράφεσθαι τοῦ θείαν φύσιν, ἐκσάντες τοῦ ὀρθοῦ λόγου, παρεδόθησαν εἰς ἀδόκιμον νοῦν. Πέτρος γὰρ καὶ Παῦλος ἀναζωγραφούμενοι βλέπονται, αἱ δὲ ψυχαὶ αὐτῶν ἐν τοῖς εἰκόσιν ἢ πάρεισιν· ὁπόταν οὐδὲ αὐτοῦ τοῦ σώματος τοῦ Πέτρου παρόντος, τοῦ ψυχοῦ αὐτοῦ βλέπει τις. καὶ ἐπειδὰν αὕτη οὐχ ὁρᾶται, τίς τῷ τῇ ἀληθείᾳ ἑπομένων λέγει, ὅτι κεχωρισμένη ἐστὶν ἡ σὰρξ τοῦ Πέτρου ἐκ τῆς ψυχῆς αὐτοῦ, εἰ μή πω κατ' ἐπίνοιαν μόνον; πόσῳ γε μᾶλλον ἡ ἀπερίγραπτος φύσις τοῦ Θεοῦ λόγου ἐκ τῆς προσληφθείσης παρ' αὐτοῦ σαρκὸς περιγραφομένης; οὐδὲ γὰρ ὅτε κεκοπίακεν ἐκ τῆς ὁδοιπορίας, καὶ παρὰ γυναικὸς Σαμαρείτιδος πιεῖν ἐζήτει, καὶ παρὰ τῶν Ἰουδαίων ἐλιθάζετο, τῆς θεότητος φύσις κεκοπίακεν, ἢ λίθοις ἐβάλλετο. ἄπαγε τῆς βλασφημίας, ταύτας οὖν τὰς πολυπλόκους συῤῥοφὰς θέλουσα τὰς εἰκονικὰς ἀναζωγραφήσεις δίχα τύσαι, ἡ πολυθρύλητος ματαιότης τῶν χριστιανοκατηγόρων παρεισήγαγεν ἀκρατεῖ γλώττῃ, καὶ ἑτέρα τινα παρεισφέρουσα, καὶ ἀνομίαν ἐπ' ἀνομίαις συνάπτουσα, τετάρτῃ προσώπῳ προσθήκῃν ἐν τῇ ἁγίᾳ τριάδι ἐφλιωάφησεν

Ἡσαΐ. 5.

φου. τὸ δὲ ἀναισχυντεῖν ἔχοντες, αὐθαδῶς λέγουσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Κατακρινόμενοι δὲ παρὰ τῶν εὖ φρονούντων ἐν τῷ τὴν ἀκατάληπτον καὶ ἀπερίγραφον θείαν τοῦ Χριστοῦ φύσιν ἐπιχειρεῖν αὐτοὺς γράφειν, πάντως δήπου ἐφ' ἑτέραν καταφεύξονται κακομήχανον ἀπολογίαν· ὅτι τῆς σαρκὸς μόνης, ἣν ἑωράκαμεν καὶ ἐψηλαφήσαμεν, καὶ ᾗ συνανεστράφημεν, ἐκείνης ἱστοροῦμεν τὴν εἰκόνα· ὅ ἐστι δυσσεβὲς, καὶ τῆς Νεστοριανῆς κακοδαιμονίας ἐφεύρεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἔτι τῶν αὐτῶν ἔχονται τεχνασμάτων οἱ ψευδηγόροι περὶ τὴν ἀλήθειαν, πρὸς ἀναίσχυντον ἐναντιολογίαν ἐκτραπέντες. ὅμως ἑαυτοῖς ἀκόλουθα λέγοντες, ἐμπίπτουσιν εἰς παγίδα βλασφημίας· καὶ παρανοίας ἔχοντες ῥήματα, τὴν ἀκατάληπτον καὶ ἀπερίγραφον τοῦ Χριστοῦ φύσιν, κατηγοροῦσι τῶν Χριστιανῶν, λέγοντες ταύτην αὐτοὺς περιγράφειν. εἶτα καὶ τεχνολογοῦντες, αὐτῶν ἀναλαμβάνοντες τὸ πρόσωπον, ψευδῶς ἀποφαίνονται, ὅτι τῆς σαρκὸς μόνης, ἣν ἑωράκαμεν καὶ ἐψηλαφήσαμεν, καὶ ᾗ συνανεστράφημεν, ἐκείνης ἱστοροῦμεν τὴν εἰκόνα· ἵνα ὡς ἐκ τούτου πάλιν εἰς τὴν Νεστορίου δυσφημίαν τὴν ἐκκλησίαν ἀπάγωσιν. ἔνθεν καὶ ἐπάγουσιν, ὅ ἐστι δυσσεβὲς, καὶ τῆς Νεστοριανῆς κακοδαιμονίας ἐφεύρημα. οὐκοῦν τἀληθὲς ἀκουσάτωσαν. οἱ Χριστιανοὶ ἕνα τὸν Ἐμμανουὴλ γινώσκοντες Χριστὸν κύριον, αὐτὸν ἀναζωγραφοῦσι, καθὸ ὁ λόγος σὰρξ ἐγένετο· καὶ τὰς πολυπλόκους φλυαρίας ἀφ' ἑαυτῶν ἐξελαύνουσιν, ἁπλῇ καρδίᾳ πάντα τὰ παραδεδομένα ἐν τῇ ἐκκλησίᾳ ἀποδεχόμενοι· καὶ βλέποντες τὰς ἀναζωγραφήσεις, οὐδὲν ἕτερον ἐννοοῦσιν, ἢ τὸ ἐνσημαινόμενον ἐν αὐταῖς. ὅταν γὰρ ἴδωσιν ἐν τῇ ἀναζωγραφήσει τετοκυῖαν τὴν παρθένον, καὶ ἀγγέλους ἐπιστάντας μετὰ ποιμένων, ἀναλογίζονται Θεὸν ἐνανθρωπήσαντα τεχθῆναι διὰ τὴν ἡμῶν σωτηρίαν, καὶ ὁμολογοῦσι λέγοντες· ὁ ἄσαρκος ἐσαρκώθη, ὁ λόγος ἐπαχύνθη, ὁ ἄκτιστος ἐκτίσθη, ὁ ἀναφὴς ἐψηλαφήσθη· καὶ ἕνα καὶ τὸν αὐτὸν ὁμολογοῦσι τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι, Θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς. εἴρηται δὲ ἐν τοῖς κατόπιν περὶ τῆς Νεστορίου ἐναγοῦς αἱρέσεως, ὅτι αἱ τῶν εἰκόνων ἀνατυπώσεις οὐδὲν αὐτῇ συμφωνοῦσι· καὶ ἤδη ἀρκούντως ἐῤῥέθη. εἰ δὲ χρὴ, καὶ πάλιν ῥηθήσεται. δοκοῦντες δὲ ἐν ἑαυτοῖς τι ἐννοεῖν, φασί.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Σκοπητέων γὰρ καὶ ἐν τούτῳ, ὅτι εἰ κατὰ τοὺς ὀρθοδόξους πατέρας, ἅμα σὰρξ, ἅμα Θεοῦ λόγου σὰρξ, μηδέποτε μερισμοῦ ἔννοιαν δεχομένη, ἀλλ' ὅλη ὅλως τῇ θείᾳ φύσει προσληφθεῖσα, καὶ ὁλοκλήρως θεωθεῖσα, πῶς διχασθήσεται, ἢ ἰδιοστατηθήσεται παρὰ τῶν ἀσεβῶς τοῦτο δρᾷν ἐπιχειρούντων; ὡσαύτως δὲ ἔχει καὶ ἐπὶ τῆς αὐτοῦ ἁγίας ψυχῆς. προσλαβούσης γὰρ τῆς τοῦ υἱοῦ θεότητος ἐν τῇ ἰδίᾳ ὑποστάσει τὴν τῆς σαρκὸς φύσιν, ἡ ψυχὴ ἐμεσίτευσε θεότητι καὶ σαρκὸς παχύτητι. καὶ ὥσπερ ἅμα σὰρξ, ἅμα Θεοῦ λόγου σὰρξ· οὕτως ἅμα ψυχὴ, ἅμα Θεοῦ λόγου ψυχή· καὶ ἀμφότερα ἅμα, τεθεωμένης δηλονότι τῆς ψυχῆς, ὡς καὶ τοῦ σώματος, καὶ ἀχωρίστου τούτων τῆς θεότητος ὑπαρχούσης, καὶ ἐν αὐτῇ τῇ διαζεύξει τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐν τῷ ἑκουσίῳ πάθει. ὅπου γὰρ ψυχὴ Χριστοῦ, ἐκεῖ καὶ ἡ θεότης· καὶ ὅπου σῶμα Χριστοῦ, ἐκεῖ καὶ ἡ θεότης.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ὅταν τινὸς ἅπτεσθαι μέλλωσι πονηροῦ λόγου οἱ παρεκτρεπόμενοι τῆς καθολικῆς ἐκκλησίας, προσλαμβάνουσί τινα ὁμολογούμενα παρὰ πάντων· ἵνα διὰ τῆς ἐν τούτοις εὐγνωμοσύνης μηδὲ περὶ τῶν λοιπῶν ἀπιστῶνται. ὀλίγα γὰρ ἅττα καλῶς ἀποφηνάμενοι, τοὺς κάχληκας τοῖς μαργαρίταις συμφύρουσι, καὶ ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέψαντες, φάσκουσι διχασθῆναι καὶ ἰδιοστατηθῆναι τὸν ἕνα Χριστὸν παρὰ τῶν ἀποδεχομένων τὰς σεπτὰς εἰκονικὰς ἀναζωγραφήσεις· καὶ δυσφήμως φθέγγονται, μηδέποτε μερισμοῦ ἔννοιαν * δεχομένην. ὡς ἔοικεν, ἠγνόηνται αὐτοῖς αἱ τῶν πατέρων φωναί. κατ' ἐπίνοιαν γὰρ πάντες διαίρεσιν τῶν δύο φύσεων τρανῶς κηρύττουσιν· οὐ μὴν δὲ τοῖς πράγμασι, καθὼς ἀνωτέρω εἴρηται, ὡς βλασφήμως τετόλμηκεν εἰπεῖν Νεστόριος. οὐδεὶς δὲ ἀληθείᾳ λόγος, ἕνεκα τοῦ ἀναζωγραφεῖσθαι τὸν κύριον, καθὸ ἄνθρωπος τέλειος γέγονε, διχοστασίας καὶ ἰδιοστατήσεως, ἥτινος διαιρέσεως, ἢ πάλιν τοὐναντίον συγχύσεως, καθὼς πολλαχῶς ἐψευδηγόρησαν. ἄλλο γάρ ἐστιν εἰκὼν, καὶ ἄλλο τὸ πρωτότυπον· καὶ τὰ ἰδιώματα τοῦ πρωτοτύπου οὐδαμῶς τις τῶν εὖ φρονούντων ἐν τῇ εἰκόνι ἐπιζητεῖ. ἐν γὰρ τῇ εἰκόνι ἄλλο οὐδὲν ὁ ἀληθὴς λόγος γινώσκει, ἢ κατὰ τὸ ὄνομα κοινωνεῖν, οὗ τινός ἐστιν εἰκὼν, καὶ οὐ κατὰ τὴν οὐσίαν, καθὼς πολλαχῶς εἴπομεν, ἀναγκαζόμενοι ἐκ τῶν αὐτῶν διαλέξεων. ἐπαποροῦντες γὰρ δίκαιόν τι λέγειν κατὰ τῆς καθολικῆς ἐκκλησίας, τὰ αὐτὰ περὶ τῶν αὐτῶν φθέγγονται, κενὰ λαρυγγίζοντες, καὶ ἀδολεσχίαν τοῖς ἀκροωμένοις ἐμποιοῦντες. διὸ καὶ καταγέλαστοι

* L. δεδέχθαι

παρὰ

ὁ κύριος, ὅτε οἱ ἀπόστολοι, ἢ πατέρες εἰκόνα εἶπον τοῦ σώματος τοῦ ἱερέως προσφερομένου ἀναίμακτον θυσίαν, ἀλλὰ αὐτὸ σῶμα καὶ αὐτὸ αἷμα. καὶ πρὸ μὲν τῆς τοῦ ἁγιασμοῦ τελειώσεως, ἀντίτυπά τινα τῶν ἁγίων πατέρων δίκαιον ἔδοξεν ὀνομάζεσθαι. ὧν ἐστιν Εὐσάθιος ὁ δίκαιος πρόμαχος τῆς ὀρθοδόξου πίστεως, καὶ τῆς Ἀρειανῆς κακοδαιμονίας καταλύτης, καὶ Βασίλειος τῆς αὐτῆς δεισιδαιμονίας καθαιρέτης, ὁ τοῦ ὑφ' ἥλιον τοῦ λείαν βάσιν τῶν ὀρθῶς ἐκδιδάξας δογμάτων. ἐξ οὗ γὰρ καὶ τοῦ αὐτοῦ πνεύματος φθεγγόμενοι, ὁ μὲν ἑρμηνεύων τὸ ἐν ταῖς παροιμίαις Σολομῶντειον ῥητόν· φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· τάδε φησί. δίκαι τοῦ οἴνου καὶ τοῦ ἄρτου τὰ ἀντίτυπα τῶν σωματικῶν τοῦ Χριστοῦ κηρύττει μελῶν. ὁ δὲ ἐκ τῆς αὐτῆς πηγῆς ἀπαντλήσας, ὡς ἴσασι πάντες οἱ τῆς ἱερωσύνης μυσταγωγοί, ἐν τῇ δίκῃ τῆς θείας ἀναφορᾶς ὧδέ πως λέγει· θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ θυσιαστηρίῳ, καὶ προτιθέντες τὰ ἀντίτυπα τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ σου, σὲ δεόμεθα, καὶ σε παρακαλοῦμεν, καὶ τὸ ἐξῆς ἐπιφερόμενον ἐκδηλοτέραν τοῦ ἔννοιαν τοῦ παρόντος καταρτίζει, ὡς πρὸ τοῦ ἁγιασθῆναι ἐκλήθη ἀντίτυπα, μετὰ δὲ τὸν ἁγιασμὸν σῶμα κυρίου καὶ αἷμα Χριστοῦ λέγονται, καὶ εἰσὶ, καὶ πιστεύονται. αὐτοὶ δὲ οἱ ψηφάδαι θέλοντες τοῦ τῆς σεπτῆς εἰκόνων ἀφανίσαι θέαν, ἑτέραν εἰκόνα παρεισήγαγον, ἥτις οὐκ εἰκών ἐστιν, ἀλλὰ σῶμα καὶ αἷμα· μοχθηρίᾳ δὲ καὶ πανουργίᾳ συνεχόμενοι, σοφίσματι κιβδήλῳ ἑαυτοὺς παρακρουόμενοι, θέσει ὠνόμασαν γίνεσθαι ταύτῃ τοῦ θείαν προσένεξιν. καὶ ὥσπερ τοῦτο λέγειν ἐστὶ μανίας σαφοῦς, οὕτω καὶ τὸ εἰκόνα λέγειν τοῦ σῶμα καὶ αἷμα τοῦ κυρίου, τῆς ἴσης ἔχεται παρανοίας, καὶ πλέον τῆς ἀμαθίας τοῦ ἀσέβειαν ἔχει. εἶτα ἀφέντες τὸ ψεῦδος, ἅπτονται μικρόν τι τῆς ἀληθείας, θεῖον σῶμα λέγοντες γίνεσθαι. καὶ εἰ εἰκὼν τοῦ σώματός ἐστιν, οὐκ ἐνδέχεται εἶναι αὐτὸ τὸ θεῖον σῶμα. ὑκῶν ἔνθεν κἀκεῖθεν περιφερομένοις ἀσεβαῖα πάντα τὰ παρ' αὐτῆς θρυλλούμενα. ὥσπερ γὰρ ὀφθαλμὸς διαπαραχθεὶς οὐκ ὀρθῶς ὁρᾷ, οὕτω καὶ αὐτοὶ τῇ τῆς πονηρῶν συγχύσει λογισμῶν τὸν ἑαυτῆς νοῦν παράξαντες καὶ παρολώσαντες, τὸ αὐτὸ πάσχουσιν, οἷα οἱ μαινόμενοι ἕτερα ἀνθ' ἑτέρων φαντάζομενοι· ποτὲ μὲν εἰκόνα λέγοντες τοῦ ἁγίου σώματος Χριστοῦ τοῦ ἱερὰν θυσίαν ἡμῶν, ποτὲ δὲ θέσει σῶμα, ταῦτα δὲ πεπόνθασι, καθὼς φθάσαντες εἴπομεν, τοῦ τῆς εἰκονικῶν ἀνατυπωμάτων ὄψιν ἐκ τῆς ἐκκλησίας θέλοντες ἀφανίσαι, ἐπιχαίροντες τῇ διαφθορᾷ τῆς ἐκκλησιαστικῶν παραδόσεων.

Παροι. 9.

ΤΟΜΟΣ Δ'.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ ἀνέγνω.

ΠΑλιν ἐχόμενοι τῆς αὐτῆς δυσφημιῶν, κινοῦσι τὰς γλώττας αὐτῆς πρὸς ὕβριν, ταύτας θηγοντες τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας. καὶ δήφασιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ ἀνέγνω.

Η δὲ τῆς ψευδωνύμων εἰκόνων κακωνυμία οὔτε ἐκ παραδόσεως Χριστοῦ, ἢ ἀποστόλων, ἢ πατέρων τὸ εἶναι ἔχει· οὔτε δίκαιόν ἐστιν ἱερὰν ἁγιάζουσαν αὐτὸν, ἵν' ἐκ τούτου πρὸς τὸ ἅγιον ἐκ τοῦ κοινοῦ μετενεχθῇ. ἀλλὰ μένει κοινὴ καὶ ἄτιμος, ὡς ἁπήρτισεν αὐτὸν ὁ ζωγράφος.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ ἀνέγνω.

Γλῶσσαν ἔχοντες μεγαλορρήμονα, προσθήκης τοῦ κακοῦ πλεονάζουσι, φόβου Θεοῦ ἐκτός· καὶ θράσει ἀκρατεῖ κενὰ μελετήσαντες, ψευδωνύμους καὶ κακωνύμους εἰκόνας τὰς ἐπ' ὀνόματι Χριστοῦ ἀπεφαίνοντο. καὶ εἰ τοῦτο τετολμήκασιν ἐπὶ βασιλέων εἰκόσιν εἰπεῖν, θανάτῳ τοῦ δίκαιον ἴσως ὑπέσησαν. πείσονται δὲ ταύτῃ καὶ λάβοισιν, ὅτε καὶ λόγων καὶ πράξεων ἀντάμειψις γίνεται. μετὰ δὲ πολλῶν τῆς ἀγράφως ἡμῖν παραδοθέντων, καὶ ἡ τῆς εἰκόνων ποίησις ἐν τῇ ἐκκλησίᾳ πεπλάτυνται ἀπὸ τῆς τῶν ἀποστόλων κηρύξεως. καὶ δηλοῖ ἡ ἱστορία ἡ περὶ τὴν αἱμορροοῦσαν ἐκ διαφόρων ἱστοριῶν μαρτυρουμένη, ὅτι αὐτὴ ἀνδριάντα ἀναθεῖσα τοῦ κυρίου, καὶ ἑαυτῆς ἀπομιμῆς τοῦ κρασπέδου τοῦ ἀνδριάντος, καθὼς λοιπὸν διηγεῖται τὸ εὐαγγέλιον, ὅτι τῆς ἰάσεως ἔτυχε, μεταξὺ αὐτῆς τε καὶ τοῦ κυρίου εἰκόνος βοτάνη τις ἀνεφύη προσεγγίζουσα τοῦ ποδὸς τοῦ ἀνδριάντος, πάσης νόσου ἀλεξητήριον. καὶ ἐγγράφως δὲ ταύτας ἐμπολιτεύεσθαι εἰς τοὺς Χριστιανοὺς, πλεῖστοι τῶν ἁγίων πατέρων ἡμῶν παραδεδώκασι. Βασίλειος ὁ μέγας, ἐν ᾧ ἡ διδασκαλία περιηχεῖ πάντα τὰ πέρατα, ἐν διαφόροις λόγοις αὐτοῦ μνήμιον αὐτῆς πεποίηται. Γρηγόριος ὁ αὐτοῦ καὶ σαρκὶ καὶ πνεύματι ἀδελφός, ὁ Νυσσαέων πρόεδρος, ἐν τῷ εἰς τὸν Ἀβραὰμ λόγῳ αὐτοῦ· καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τοῖς γεγραμμένοις ἔπεσιν αὐτοῦ, ἐν οἷς λόγος ἐμφέρεται ἐπιγεγραμμένος περὶ ἀρετῆς· Γωάννης ὁ χρυσοῦ τιμαλφέστερον σῶμα κεκτημένος ἐν τῷ ἐπιταφίῳ λόγῳ αὐτοῦ εἰς Μελέτιον ἐπίσκοπον Ἀντιοχείας, καὶ εἰς τὸν ἐπιγεγραμμένον λόγον αὐτοῦ, ὅτι παλαιᾶς καὶ καινῆς διαθήκης εἷς ὁ νομοθέτης· Κύριλλος ὁ καθαιρέτης Νεστορίου ἐν τῇ ἐπιστολῇ αὐτοῦ τῇ πρώτῃ

Ματθ. 9. Μάρκ. 5. Λουκ. 8.

σεν. οἱ δὲ ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ὡς τέκνα γνήσια γεννηθέντες, πάντα τὰ τῆς οἰκονομίας τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ ἀποδεχόμενοι, καὶ Αρειον καὶ Νεστόριον, Απολλινάριόν τε καὶ τοὺς τούτου φοιτητὰς Εὐτυχέα καὶ Διόσκορον βδελυττόμενοι, τὰς σεπτὰς εἰκόνας ἀποδεχόμεθα, εἰκόνας μόνον καὶ οὐδὲν ἕτερον αὐτὰς γινώσκοντες, καθὸ τοῦ πρωτοτύπου τὸ ὄνομα μόνον ἐχούσας, καὶ οὐχὶ τὴν οὐσίαν. καρκίνου δὲ δίκην λοξὰ βαίνοντες, ἐφ' ἑτέραν βλασφημίας ὁδὸν ἀπάγονται, λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν, καὶ παῤῥησιαζέσθωσαν οἱ τὴν ἀληθῆ τοῦ Χριστοῦ εἰκόνα εἰλικρινεστάτῃ ψυχῇ ποιοῦντες καὶ ποθοῦντες καὶ σεβόμενοι, καὶ εἰς σωτηρίαν ψυχῆς καὶ σώματος προσφερόμενοι. ἣν αὐτὸς ὁ ἱεροτελεστὴς καὶ Θεὸς, τὸ ἡμῶν ἐξ ἡμῶν ὁλικῶς ἀναλαβόμενος φύραμα, κατὰ τὸν καιρὸν τοῦ ἑκουσίου πάθους εἰς τύπον καὶ ἀνάμνησιν ἐναργεστάτην τοῖς αὐτοῦ μύσταις παραδέδωκε. μέλλων γὰρ αὐτὸν ἑκουσίως ἐκδιδόναι τῷ ἀοιδίμῳ καὶ ζωοποιῷ θανάτῳ αὐτοῦ, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ εὐχαριστήσας ἔκλασε, καὶ μεταδοὺς εἶπε· λάβετε, φάγετε εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτό μου ἐστι τὸ σῶμα. ὁμοίως καὶ τὸ ποτήριον μεταδοὺς εἶπε. τοῦτό μου ἐστι τὸ αἷμα. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡς οὐκ ἄλλου εἴδους ἐπιλεχθέντος παρ' αὐτοῦ ἐν τῇ ὑπ' οὐρανὸν, ἢ τύπου, εἰκονίσαι τὴν αὐτοῦ σάρκωσιν δυναμένου. ἰδοὺ οὖν ἡ εἰκὼν τοῦ ζωοποιοῦ σώματος αὐτοῦ, ἡ ἐντίμως καὶ τετιμημένως πραττομένη. τί γὰρ ἐμηχανήσατο ἐν τούτῳ ὁ πάνσοφος Θεὸς; οὐχ ἕτερόν τι, ἢ δεῖξαι καὶ τρανῶσαι φανερῶς ἡμῖν τοῖς ἀνθρώποις τὸ πραγματευθὲν μυστήριον ἐν τῇ κατ' αὐτὸν οἰκονομίᾳ. ὅτι ὥσπερ ὃ ἐξ ἡμῶν ἀνελάβετο, ὕλη μόνη ἐστὶν ἀνθρωπίνης οὐσίας κατὰ πάντα τελείας, μὴ χαρακτηριζούσης ἰδιοσύστατον πρόσωπον, ἵνα μὴ προσθήκη προσώπου ἐν τῇ θεότητι παρεμπέσῃ· οὕτω καὶ τὴν εἰκόνα ὕλην ἐξαίρετον, ἤγουν ἄρτου οὐσίαν προσέταξεν προσφέρεσθαι, μὴ σχηματίζουσαν ἀνθρώπου μορφὴν, ἵνα μὴ εἰδωλολατρείᾳ παρεισαχθῇ. ὥσπερ οὖν τὸ κατὰ φύσιν τοῦ Χριστοῦ σῶμα ἅγιον ὡς θεωθέν· οὕτως δῆλον, καὶ τὸ θέσει, ἤτοι ἡ εἰκὼν αὐτοῦ ἁγία, ὡς διά τινος ἁγιασμοῦ χάριτι θεουμένη. τοῦτο γὰρ καὶ ἐπραγματεύσατο, ὡς ἔφημεν, ὁ δεσπότης Χριστὸς, ὅπως καθάπερ τὴν σάρκα, ἣν ἀνέλαβε, τῷ οἰκείῳ κατὰ φύσιν ἁγιασμῷ ἐξ αὐτῆς ἑνώσεως ἐθέωσεν, ὁμοίως καὶ τὸν τῆς εὐχαριστίας ἄρτον, ὡς ἀψευδῆ εἰκόνα τῆς φυσικῆς σαρκὸς διὰ τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως ἁγιαζόμενον, θεῖον σῶμα εὐδόκησε γίνεσθαι, μεσιτεύοντος τοῦ ἐν μετενέξει ἐκ τοῦ κοινοῦ πρὸς τὸ ἅγιον τὴν ἀναφορὰν ποιουμένου ἱερέως. λοιπὸν ἡ κατὰ φύσιν ἔμψυχος καὶ νοερὰ σὰρξ τοῦ κυρίου ἐχρίσθη πνεύματι ἁγίῳ τὴν θεότητα. ὡσαύτως καὶ ἡ θεοπαράδοτος εἰκὼν τῆς σαρκὸς αὐτοῦ, ὁ θεῖος ἄρτος ἐπληρώθη πνεύματος ἁγίου σὺν τῷ ποτηρίῳ τοῦ ζωηφόρου αἵματος τῆς πλευρᾶς αὐτοῦ. αὕτη οὖν ἀποδέδεικται ἀψευδὴς εἰκὼν τῆς ἐνσάρκου οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καθὼς προλέλεκται. ἣν αὐτὸς ἡμῖν ὁ ἀληθινὸς τῆς φύσεως ζωοπλάστης οἰκειοφώνως παραδέδωκεν.

Ματθ. 56.

Μαρκ. 14. Λουκ. 22.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἔοικέ πως λόγος προβαλλόμενος, ἐπειδὰν τῆς ἀληθείας ἅπαξ παρεκτραπῇ, εἰς πολλὰς καὶ ἐπικινδύνους ἀτοπίας ὑπὸ τῆς κατὰ τὴν πλάνην ἀκολουθίας ἐκφέρεσθαι. ὃ λοιπὸν καὶ οὗτοι οἱ τῆς καινοτομίας εἰσηγηταὶ πεπόνθασιν. ἐκτραπέντες γὰρ τῆς ἀληθείας ἕνεκεν τῆς τῶν εἰκόνων ποιήσεως, καὶ εἰς ἑτέραν ἐσχάτην ἀποπληξίας μανίαν κατηνέχθησαν· ὡς γὰρ ἐκ Δελφικοῦ τρίποδος τὰ λοξὰ ταῦτα καὶ ὀλέθρια ἐχρησμῴδησαν δόγματα. ἀλλ' ἀκούουσι παρὰ τοῦ παροιμιακοῦ λόγου· παγὶς ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται ῥήμασιν ἰδίου στόματος· ξύλα γὰρ καὶ χόρτον καὶ καλάμην παρέθεντο, ὧν τὸ τέλος εἰς καῦσιν. οὐδεὶς γάρ ποτε τῶν σαλπίγγων τοῦ πνεύματος ἁγίων ἀποστόλων, ἢ τῶν ἀοιδίμων πατέρων ἡμῶν, τὴν ἀναίμακτον ἡμῶν θυσίαν, τὴν εἰς ἀνάμνησιν τοῦ πάθους τοῦ Θεοῦ ἡμῶν καὶ πάσης τῆς αὐτοῦ οἰκονομίας γινομένην, εἶπεν εἰκόνα τοῦ σώματος αὐτοῦ. οὐδὲ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου οὕτως λέγειν ἢ ὁμολογεῖν, ἀλλὰ ἀκούουσι λέγοντος αὐτοῦ εὐαγγελικῶς· ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. καὶ ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. καὶ, λαβὼν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. καὶ, λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες. τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ οὐκ εἶπε· λάβετε, φάγετε τὴν εἰκόνα τοῦ σώματός μου. ἀλλὰ καὶ Παῦλος ὁ θεῖος ἀπόστολος ἐκ τῶν θείων φωνῶν τοῦ κυρίου ἀρυσάμενος, ἔφη· ἐγὼ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδοκα ὑμῖν. ὅτι ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό μου ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων. τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. οὐκοῦν σαφῶς ἀποδέδεικται, ὅτι οὐδαμοῦ οὔτε

Παροι. 6.

Ματθ. 26. Μάρκ. 24. Λουκ. 22.

1. Κορίν. 11.

* L. ὁσάκις ἂν πίνητε, εἰς

ὁ

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οὔτε πρῶτον ἀγγελικῶς, ἢ ἀποστολικῶς, ἢ γραφικῶς, ἢ πατερικῶς, ἢ ἀποδεικτικῶς, ἢ ἁπλῶς εἰπεῖν, ἀσεβῶς ἀναζοπιῶ πεποιήκασιν, ἀλλ' ἐκ τῆς ἰδίας κοιλίας φθεγγόμενοι, τῇ καθολικῇ ἐκκλησίᾳ τοῦ Θεοῦ ἀντετάχθησαν· οὔτε περὶ τῆς προκειμένων τῆς ἀχράντου δεσποίνης ἡμῶν Θεοτόκου εἰκόνων, ἢ τῆς ἁγίων, ἐστὶν αὐτοῖς ἀληθὴς ἢ ἀσεβὴς λόγῳ ἀντιτάξασθαι· καθὰ Θεοῦ δόντος λόγον ἀπεδείξαμεν. φθάσαντες γὰρ εἴπομεν ἐκ τῆς ἁγίων πατέρων ἁρυσάμενοι, ὅτι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. ☪ ὅτι ὁ ζωγρῶν εἰκόνα τοῦ βασιλέως, ὁρᾷ ἐν αὐτῇ τὸν βασιλέα. ὁ γοῦν προσκυνῶν τινὶ εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα· ἡ γὰρ ἐκείνου μορφὴ καὶ τὸ εἶδός ἐστιν ἐν τῇ εἰκόνι. καὶ ὥσπερ ὁ παροινῶν εἰκόνι βασιλέως, τιμωρίαν δικαίως ὑφίσταται, ὡς αὐτόχρημα βασιλέα ἀτιμάσας· καὶ τοι τῆς εἰκόνος ὕδεν ἕτερον οὔσης, ἢ ξύλον καὶ χρώματι κηρῷ μεμιγμένα καὶ κεκραμένα. τὸν αὐτὸν τρόπον ὁ τὸν τύπον τοῦδε τινος ἀτιμάζων, εἰς αὐτὸ ἐκεῖνο, οὗ ὁ τύπος ἐστὶν, ἀναφέρει τὴν ὕβριν. ἀλλὰ καὶ αὐτὴ ἡ φύσις τῆς πραγμάτων διδάσκει, ὅτι τῆς εἰκόνος ἀτιμαζομένης, πάντως τὸ πρωτότυπον ἀτιμάζεται. τοῦτο πάντες ἄνθρωποι ἴσασι, καὶ αὐτοὺς γινώσκουσι τῆς πατέρων κατεπανίσασθαι, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας ἐναντιοῦσθαι, καὶ τῇ φύσει τῆς πραγμάτων μὴ ἐξακολουθεῖν. πάλιν δὲ μετὰ ψόδης ἔχοντες τινὰ γλῶτταν, οἴονται παρακρούειν τινὰ ἀλήθειαν, λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Πλὴν ἐρῶμεν καὶ τὰ ἴδια αὐτῶν ἀνατροπῆς. ἐπείπερ ἡ καθολικὴ ἡμῶν τῆς Χριστιανῶν ἐκκλησία μέση Ἰουδαϊσμοῦ καὶ ἑλληνισμῷ τυγχάνουσα, οὐδ' ὁποτέρας αὐτῶν σωτηρίας τελετῆς μετέχει, ἀλλὰ καινὴν ἀσεβείας καὶ μυσαγωγίας θεοπαραδότου ξύλον ὁδεύει, τοῦ μὲν Ἰουδαϊσμοῦ τὰς ἐναίμους θυσίας καὶ ὁλοκαυτώσεις μὴ παραδεχομένη, τοῦ δὲ ἑλληνισμοῦ πρὸς ταῖς θυσίαις καὶ πᾶσαν εἰδωλοποιΐαν τε καὶ εἰδωλολατρείαν βδελυσσομένη, ὃς ἀρχηγὸς καὶ ἐφευρετὴς τῆς βδελυρᾶς ταύτης τέχνης γεγένηται. ἐλπίδα γὰρ ἀναστάσεως μὴ ἔχων, ἄξιον ἑαυτοῦ παίγνιον σωσεσκόπησεν, ἵνα τὰ μὴ παρόντα ὡς παρόντα διὰ τῆς χλιδῆς παραστήσῃ, εἰ οὖν οὐδὲν τῆς ξένων ἐστὶν ἐν αὐτῇ, ἆρα ὡς ἀλλότριον τοῦτο καὶ δαιμονιοφόρων ἀνδρῶν εὕρεμα ἀποβαπτέσθω τῆς τοῦ Χριστοῦ ἐκκλησίας.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Τὸ τῆς ἀμέτρου χυδαιολεξίας αὐτῶν γράμμα πληρέστατα ταῖς ληροκοπίαις ἐξησκημένον, χέτλιόν τι καὶ κωμῳδῆ γελοῖον τυγχάνει. ἐν γὰρ τοῖς κατόπιν εἰς χρημνοὺς καὶ φάραγγας κατενεχθέντες διὰ τῆς ἑαυτῶν λογιδρίων, νυνὶ εἰς πέταυρον ἄδυ ἑαυτοὺς καταγηόχασιν, ἑλληνισμοῦ καὶ Ἰουδαϊσμοῦ ἀποφαινόμενοι μέσιον εἶναι τινὰ τῆς Χριστιανῶν ἐκκλησίαν. εἶτα πάλιν ἑαυτοῖς περιπίπτοντες λέγουσιν, οὐδ' ὁποτέρας αὐτῶν σωτηρίας τελετῆς μετέχειν. τοιγαροῦν ἢ κἀκεῖ διαψεύδονται, ἢ ὧδε οὐκ ἀληθεύουσι. τἀληθὲς δὲ εἰπεῖν, ἑαυτοῖς ψεύδονται. τὸ γὰρ ψεῦδος οὐ τῇ ἀληθείᾳ μόνον ἐναντιοῦται, ἀλλὰ καὶ ἑαυτῷ, ὡς ὁ ἱεροψάλτης ἔφη Δαβίδ. ἐψεύσατο, γάρ, φησὶν, ἡ ἀδικία ἑαυτῇ. Βασιλεὺς οὖν ὁ Καισαρέων πρόεδρος, οὗ εἰς πᾶσαν τινὰ γῆν ὁ φθόγγος ἐξῆλθεν, ἐν αὐτῷ τῷ προοιμίῳ τοῦ κατὰ Σαβελλίου λόγου αὐτοῦ οὕτως φησί. μάχεται Ἰουδαϊσμὸς ἑλληνισμῷ, ἀμφότεροι δὲ Χριστιανισμῷ· αὐτοὶ δὲ οἱ δοκοῦντες ὑπέρσοφοι τῆς πατέρων εἶναι, μέσιον ἀπεφήναντο τὴν τῆς Χριστιανῶν πίστιν τούτων τῆς δύο ἐναντίων. ὁ μὲν γὰρ Ἰουδαϊσμὸς πενίαν θεότητος, ὁ δὲ ἑλληνισμὸς πολυθείαν εἰσήγαγε. Γρηγόριος γὰρ ὁ τῆς θεολογίας ἐπώνυμος τοῖν δυοῖν τινὰ ἀπαγόρευσιν ποιούμενος, ὕτω φησί· Θεὸν δὲ ὅταν εἴπω, λέγω πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν· ὑπὲρ ἐντὸς τύπων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακεισώμεν, ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν ἑλληνίζοντες. τὸ γὰρ κακὸν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις διείσκηται. τὰ μὲν τῆς παλαιᾶς διαθήκης, ἧς μετέχειν ὁ Ἰσραηλίτης λαὸς, Θεοῦ παράδοσις ὑπῆρχεν· αἱ δὲ τῆς Ἑλλήνων, δαιμονίων. ὑκῶν καὶ ἐνταῦθα τοῖς θεοπαραδότοις προσάγμασι τὰ δαιμονιώδη σωτηριήμησάν τε καὶ συνέμιξαν, ὥσπερ τινὰ εἰκόνα τῷ κυρίῳ εἴδωλον ἀπεφήναντο ταῖς τῆς δαιμονίων εἰκόσι παραπλησίως. κατηγορήσουσιν ὧν ☪ Ἄβελ, καὶ Νῶε, καὶ Ἀβραὰμ, χάριν τῆς παρ' αὐτῶν προσαχθέντων θυσιῶν διὰ ζώων, καὶ Μωϋσέως, καὶ Σαμουὴλ, καὶ Δαβὶδ, ☪ τῆς λοιπῶν πατριαρχῶν, ὅτι καὶ αὐτοὶ ξένας ☪ Ἑλληνικὰς θυσίας τῷ Θεῷ ἐθυσίαζον· καίτοιγε τῆς γραφῆς μαρτυρούσης τὴν αὐτῶν θυσίαν· ὡσφράνθη κύριος εἰς ὀσμὴν εὐωδίας. εἴθε ἔγνωσαν τινὰ ἀλήθειαν, ὅτι τὰ τῷ Θεῷ ἀνατεθειμένα, ἀποδεκτὰ παρ' αὐτῷ. ἔθυσαν γὰρ κυρίῳ τῷ Θεῷ, γέγραπται. τὰ δὲ τοῖς δαιμονίοις, βδελυκτὰ καὶ ἀπόπτυστα. ἔθυσαν γὰρ δαιμονίοις καὶ ὐ Θεῷ, φησὶν ἡ γραφή. ἀφ' ἡμῶν ὖν καὶ δὶ ἡμῶν ἐστὶ τὸ κακὸν καὶ τὸ ἐναντίον τούτου, καὶ ὐκ ἐκ τῆς ἀπροκειμένων ὑλῶν. εἴδωλον γὰρ, φησὶν ὁ ἀπόστολος, τί ἐστιν; ἢ εἰδωλόθυτον τί ἐστιν, εἰ μὴ ἃ θύει τὰ ἔθνη,

Λόγος εἰς τὰ γενέθλ. τῶ Χριστοῦ.

Γενέσ. 8.

Δευτερ. 32.

1. Κορινθ. 10

τη πρὸς Ἀκάκιον ἐπίσκοπον Σκυθοπόλεως, Ἀναστάσιος Θεουπόλεως, Σωφρόνιος, Μάξιμος· καὶ τί κατ' ὄνομα τούτων μνημονεύομεν; πάντες οἱ ἅγιοι πατέρες ἡμῶν τὴν τῶν εἰκόνων ποίησιν ἀπεδέξαντο. καὶ ψευδηγοροῦσι λέγοντες, ὅτι πατέρων οὐκ ἔστι παράδοσις. ναὶ, καὶ πάνυ γε εἰκότως. ἐὰν οὐδὲ εὐαγγέλιον παρέδωκαν ἀναγινώσκεσθαι, οὐδὲ εἰκόνας ἀνατυποῦν· εἰ δὲ τοῦτο, κἀκεῖνο. ἐπακολουθεῖ γὰρ ἡ διὰ στηλογραφίας ἀνατύπωσις τῇ εὐαγγελικῇ διηγήσει, καὶ αὕτη τῇ στηλογραφικῇ ἐξηγήσει· καὶ ἄμφω καλὰ καὶ τίμια. τὰ γὰρ ἀλλήλων δηλωτικὰ, ἀναμφιβόλως καὶ τὰς ἀλλήλων ἔχουσιν ἐμφάσεις. εἰ γὰρ εἴπομεν, ἥλιος ὑπὲρ γῆν ἐστι, πάντως ἡμέρα ἐστί· καὶ ἐὰν εἴπωμεν, ὅτι ἡμέρα ἐστὶ, πάντως ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν· οὕτως ἐνταῦθα, ἐὰν ἴδωμεν ἐν εἰκόνι εὐαγγελιζόμενον τὸν ἄγγελον τῇ παρθένῳ, πάντως εἰς ἀνάμνησιν ἔχομεν ἐλθεῖν τῆς τοῦ * ἀγγέλου διηγήσεως, ὅτι ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ πρὸς τὴν παρθένον· καὶ εἰσελθὼν πρὸς αὐτὴν εἶπε· χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξίν. οὐκοῦν ἐκ τοῦ εὐαγγελίου ἠκούσαμεν τὸ πραγματευθὲν μυστήριον διὰ τοῦ ἀγγέλου πρὸς τὴν παρθένον, καὶ ἀναμιμνησκόμεθα· καὶ ἐν εἰκόνι ὁρῶντες ὡσαύτως ἐμφαντικώτερον τὸ πραγματευθὲν ἐννοοῦμεν. εἰς δὲ ἑτέραν αὖθις ἀμαθίας ὁδὸν ἐξετράπησαν, εἰπόντες.

* εὐαγγελίου

Λουκ. 1.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Οὔτε εὐχὴν ἱερὰν ἁγιάζουσαν αὐτὴν ἵνα ἐκ τούτου πρὸς τὸ ἅγιον ἐκ τοῦ κοινοῦ μετενεχθῇ· ἀλλὰ μένει κοινὴ καὶ ἄτιμος, ὡς ἀπήρτισεν αὐτὴν ὁ ζωγράφος.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Καὶ τἀληθὲς ἀκουσάτωσαν. πολλὰ τῶν ἐν ἡμῖν καθιερωμένων εὐχὴν ἱερὰν οὐ δέχονται, αὐτόθεν ἐξ αὐτοῦ τοῦ ὀνόματος πλήρη ὄντα ἁγιασμοῦ τε καὶ χάριτος. τοὔνεκεν ὡς σεπτὰ καὶ τιμῶμεν καὶ ἀσπαζόμεθα. αὐτὸς οὖν ὁ τύπος τοῦ ζωοποιοῦ σταυροῦ χωρὶς εὐχῆς ἱερᾶς γινόμενος παρ' ἡμῖν σεβάσμιός ἐστι, καὶ ἀρκούμεθα τῷ τύπῳ αὐτοῦ λαμβάνειν τὸν ἁγιασμόν. διά τε τῆς γινομένης παρ' ἡμῶν εἰς αὐτὸν προσκυνήσεως, τῆς τε ἐν τῷ μετώπῳ σημειώσεως, καὶ τῆς ἐν τῷ ἀέρι διὰ δακτύλου γινομένης σφραγῖδος, ἀποδιώκειν δαίμονας ἐλπίζομεν. ὡσαύτως καὶ ἐπὶ τῆς εἰκόνος διὰ τῆς τοῦ ὀνόματος σημασίας εἰς τὴν τοῦ πρωτοτύπου τιμὴν ἀναφερόμεθα· καὶ ἀσπαζόμενοι ταύτην, καὶ τιμητικῶς προσκυνοῦντες μεταλαμβάνομεν ἁγιασμοῦ. ἐπεὶ καὶ ἱερὰ διάφορα σκεύη ἔχοντες ταῦτα ἀσπαζόμεθα καὶ περιπτυσσόμεθα, καὶ ἁγιασμόν τινα εἰληφέναι παρ' αὐτῶν ἐλπίζομεν. ἢ καὶ τὸν σταυρὸν καὶ τὰ ἱερὰ σκεύη φλυναφήσουσι κοινὰ καὶ ἄτιμα εἶναι, ὡς ἀπήρτισεν αὐτὰ ὁ τέκτων καὶ ὁ ζωγράφος, καὶ ὁ ὑφάντης ἐπειδὰν οὐκ ἔχουσιν εὐχὴν ἱερὰν ἁγιάζουσαν αὐτά· ἢ καὶ τὰς σεπτὰς εἰκόνας ὡς ἱερὰς καὶ ἁγίας καὶ τιμίας ἀποδέξονται. βουλόμενοι δὲ καὶ ἕτερα ζιζανιώδη φυτουργῆσαι σπέρματα, ὡς ἐκ πνεύματος πυθωνικοῦ καὶ ἔτι φθέγγονται.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἰ δέ τινες τῶν ἐν τῇ τοιαύτῃ πλάνῃ καταχεθέντων λέγοιεν, ὀρθῶς μὲν καὶ εὐσεβῶς εἰρῆσθαι παρ' ἡμῶν τὰ ἐπ' ἀναστροπῇ τῆς λεγομένης τοῦ Χριστοῦ εἰκόνος λεχθέντα, διὰ τὸ ἀδιαίρετον καὶ ἀσύγχυτον τῶν δύο φύσεων, τῶν ἐν τῇ μιᾷ ὑποστάσει συνελθουσῶν. ἀπορεῖν δὲ, ὅτου ἕνεκα τῆς παναμώμου καὶ ὑπερενδόξου κυρίως θεοτόκου, προφητῶν, ἀποστόλων τε καὶ μαρτύρων, ψιλῶν ἀνθρώπων ὄντων, καὶ οὐκ ἐκ δύο φύσεων, θεότητος καὶ ἀνθρωπότητος, ἐν μιᾷ ὑποστάσει, ὡς ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, τὰς εἰκόνας γίνεσθαι τὴν ἀπαγόρευσιν ποιούμεθα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οὐδεὶς τῶν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἀνατεθραμμένων νοήσειεν ἢ εἴπειεν, ὅτι ὀρθῶς καὶ εὐσεβῶς κεκρίκασιν ἐπὶ ταύτῃ τῇ καινοτομίᾳ· ἀλλὰ πάντες ἀρχιερεῖς καὶ ἱερεῖς τῆς ἑῴας καὶ δύσεως, ἄρκτου τε καὶ μεσυμβρίας, ἀναθέματι παρέπεμψαν τοὺς οὕτω φρονήσαντας. μικρὸν δὲ μέρος ἀπεπλάνησαν τῶν τῇδε παροικιῶν, καὶ τοῦ σώματος ὅλου τῆς ἐκκλησίας ἐξέτεμον, ἢ ἀγνοήσαντες τὴν τοῦ κυρίου φωνὴν, ἢ καταφρονήσαντες τὴν λέγουσαν· ὃς ἕνα τῶν μικρῶν τούτων σκανδαλίσει, συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ περὶ τὸν τράχηλον αὐτοῦ, καὶ βληθῇ εἰς τὴν θάλασσαν. καὶ αὐτὸν μὴ ἐνταπέντες, ὡς κατὰ τῆς εἰκόνος αὐτοῦ λυττήσαντες, οὔτε τοὺς ἁγίους αὐτοῦ αἰδοῦνται· ἀλλὰ καὶ πρὸς αὐτοὺς κεκινήκασι τὰς γλώττας, οὑτωσὶ λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ἀπορεῖν, ὅτου ἕνεκα τῆς παναμώμου καὶ ὑπερενδόξου κυρίως θεοτόκου, προφητῶν, ἀποστόλων τε καὶ μαρτύρων, ψιλῶν ἀνθρώπων ὄντων, καὶ οὐκ ἐκ δύο φύσεων, θεότητος καὶ ἀνθρωπότητος. καὶ ὅτι δεῖ πρὸς τούτους λέξαι, τοῦ πρώτου ἀναταπέντος, οὐδ' αὐτῶν ἐστι χρεία.

ἔθνη, δαιμονίοις θύει, καὶ ὁ Θεός; τὰ μέγιστα δὲ σφαλλόμενοι, καὶ ὕβρεις καὶ ψόγους ἀναπλάττοντες, σκέπτονται, καὶ ἐπιφέρουσι τοιάδε.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Παυσάτω ἤν πᾶν στόμα λαλῆν ἄδικα καὶ ἐφύβρισα κατὰ ταύτης ἡμῶν τῆς θεαποδέκτης γνώμης τε καὶ ψήφου. εἰ γὰρ τῷ Θεῷ ἠρεσήσαντες ἅγιοι, καὶ παρ' αὐτῆ τιμηθέντες τῷ ἀξιώματι τῆς ἁγιότητος, ζῶσιν ἀεὶ Θεῷ, κἂν ἐνθάδε μετέστησαν. ἃς ὁ ἐν νεκρᾷ τέχνῃ καὶ συγητῇ, μηδέποτε ζησάσῃ, ἀλλ' ἐξ ἀντικειμένων Ἑλλήνων ματαίως ἐφευρεθείσῃ, λογιζόμενος ἀνασηλῶν βλάσφημος ἀποδείκνυται.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἐπὶ τοῖς παρ' αὐτῶν νυνὶ λεχθεῖσι ξένους καὶ ἀλλοτρίους ἑαυτοὺς τῆς τοῦ Θεοῦ εἰρήνης ἀποδεικνύουσιν, ἣν ὁ κύριος ἡμῶν τοῖς γνησίως καὶ ἀδόλως εἰς αὐτὸν πιστεύσασιν ἀφῆκεν, εἰπών· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. πῶς γὰρ εἰρήνη, ἐὰν κατὰ τῆς αὐτῶν γνώμης καὶ ψήφου ἡ καθολικὴ ἐκκλησία διανίσαται, κρατοῦσα καὶ βεβαιουμένη ταῖς παραδόσεσιν αὐτῆς; οἱ γὰρ θείῳ ζήλῳ κινούμενοι πάντοτε τοῖς πατράσι συμφωνοῦσι, καὶ τῇ παραδόσει τῆς ἐκκλησιαστικῶν θεσμῶν, τῆς δὲ ἐναντίως ἐχόντων ὡς ἐχθρῶν ἀποφεύγουσι. τούτους ἂν ὡς ἐξ ὅλου τοῦ σώματος τῆς ἐκκλησίας ἑαυτοὺς ἀποτεμόντας, ὁ παύονται οἱ ἀληθεῖς προσκυνηταί, οἱ ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ Θεῷ λατρεύοντες, καὶ τὰς εἰκονικὰς ἀναζωγραφήσεις εἰς ἐξήγησιν καὶ ἀνάμνησιν μόνον ἔχοντες, καὶ ταύτας περιπλυνόμενοι καὶ ἀσπαζόμενοι, κατὰ τῆς ἀδέκτου αὐτῶν παρὰ τῷ Θεῷ γνώμης καὶ ψήφου τὸν θώρακα τῆς ἀληθείας ἐνδεδυμένοι, τῇ σειρομάστῃ τοῦ πνεύματος ἐκκεντῶν. οἱ γὰρ ἀπ' αἰῶνος ἀρεσήσαντες τῷ Θεῷ ἅγιοι, πρὸς ἡμετέραν ὠφέλειάν τε καὶ σωτηρίαν τοὺς βίους αὐτῶν ἀναγεγραμμένους ἡμῖν καταλιπόντες, καὶ τὰ παρ' αὐτῶν πραχθέντα διὰ ζωγραφικῆς ἐξηγήσεως ἐν τῇ καθολικῇ ἐκκλησίᾳ παραδεδώκασιν εἰς ὑπόμνησιν τοῦ ἡμετέρου νοός, καὶ πρὸς ἀναγωγὴν τῆς αὐτῶν πολιτείας. καὶ γὰρ καὶ ὁ ἅγιος Βασίλειος ἐν τῷ * ἐγκωμίῳ τῶν ἁγίων τεσσαράκοντα μαρτύρων λόγῳ αὐτοῦ ὅτως φησί· δεῦρο δὴ ἂν εἰς μέσον αὐτοὺς ἀγαγόντες διὰ τῆς ὑπομνήσεως, κοινωνοὺς τὴν παρ' αὐτῶν ὠφέλειαν τοῖς παροῦσι κατασησώμεθα, προδείξαντες πᾶσιν ὥσπερ ἐν γραφῇ τοὺς τῆς ἀνδρῶν ἀρετείας. ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες· καὶ πολλοὺς διήγειραν εἰς ἀνδρείαν ἑκάτεροι· ἃ γὰρ ὁ λόγος ταῖς ἱστορίαις δι' ἀκοῆς παρίστησι, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσι. συμμίξαντες δὲ ἐγκώμια ἑαυτῶν τῇ πανουργίᾳ, τάδε φασίν.

Γωαν. 14.

Γωαν. 4.

* ἐγκωμιαστικῷ

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Πῶς δὲ ἐν τῷ πανυμνητὸν μητέρα τοῦ Θεοῦ, ἐν ᾗ ἐπεσκίασε τὸ πλήρωμα τῆς θεότητος, δι' ἧς ἡμῖν ἔλαμψε τὸ φῶς τὸ ἀπρόσιτον, τῷ ὑψηλοτέραν τῆς οὐρανῶν, καὶ ἁγιωτέραν τῆς χερουβίμ, ἐν τῇ χυδαίᾳ τοῦ Ἕλληνος τέχνῃ γράφειν καταπολμῶσιν; ἢ πάλιν τοὺς μέλλοντας συμβασιλεύειν τῷ Χριστῷ, συγκαθέδρους τε γίνεσθαι, καὶ κεῖσθαι τῷ οἰκουμένῃ, καὶ συμμόρφους τῆς δόξης αὐτοῦ ἔσεσθαι· ὧν, ὡς τὰ λόγια φασιν, οὐκ ἦν ἄξιος ὁ κόσμος· οὐκ ἐντρέπονται τῇ τοῦ Ἕλληνος ἀναγραφῇ τέχνῃ; ὁ θεμιτὸν γὰρ τοῖς ἐλπίδα ἀνασάσεως κεκτημένοις Χριστιανοῖς δαιμονολάτρων ἐθνῶν ἔθεσι χρῆσθαι, καὶ τοὺς τοιαύτῃ μέλλοντας δόξῃ φαιδρύνεσθαι ἁγίους ἐν ἀδόξῳ τῇ νεκρᾷ ὕλῃ καθυβρίζειν. ἡμεῖς γὰρ παρὰ τῆς ἀλλοτρίων οὐ δεχόμεθα τὰς ἀποδείξεις τῆς καθ' ἡμᾶς πίστεως. τῇ γὰρ τῆς δαιμόνων θεολογουμένων τὸν Ἰησοῦν, ἐπετίμα αὐτοῖς, ἀπαξιῶν ὑπὸ δαιμόνων μαρτυρεῖσθαι.

Μάρκ. 1.

Λουκ. 4.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἐξ ἐγκωμίων ἀρξάμενοι βάλλονται τὰς ἁπλουστέρους συναρπάσαι πρὸς τὴν ἑαυτῶν ματαιοφροσύνην. ἀλλ' οἱ τὸ φρόνημα τοῦ ὄφεως ἔχοντες καὶ οὐχὶ τὸ πανοῦργον, καὶ τὸ ἀκέραιον τῆς περιστερᾶς, ἴσασι καὶ λόγοις καὶ ἐγκωμίοις τὴν παναχράντου καὶ παναμώμου, καὶ ἀληθῶς καὶ κυρίως θεοτόκον, καὶ τοὺς ἁγίους τιμᾶν, καὶ τὰς τούτων ἀρετὰς διὰ ἱστορικῶν βίβλων ἐν μνήμῃ φέρειν, καὶ αὖθις διὰ εἰκονικῆς συλλογραφίας ἀναγωγεύειν τούς τε ἄθλους καὶ τὰς ἀνδρείας αὐτῶν, καὶ τούτους μεγαλύνειν ταῖς ἀνωτάτω τιμαῖς, καὶ γινώσκειν αὐτοὺς κατὰ τὸν θεῖον ἀπόστολον ἀναλύσαντας, καὶ σὺν Χριστῷ ὄντας, καὶ πρεσβεύειν ὑπὲρ ἡμῶν, καὶ τῇ εἰλικρινεῖ καὶ ἀκραιφνεῖ πίστει καὶ λατρείαν ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ Θεῷ μόνῳ προσφέρειν, καὶ μὴ τοῖς ὑπὸ τὸν οὐρανὸν οἱοισδήποτε κτίσμασι, τί δὲ τῇ ὕλῃ λαβόντες ὡς αἰσχρὰν, κακίζειν ἐθέλουσι τὴν ἀλήθειαν; ἔδει αὐτοὺς μᾶλλον φυγεῖν τὸ χεῖρον, καὶ τὸ κρεῖττον ἑλέσθαι, καὶ ἀναμνησθῆναι τῆς πάλαι παρὰ τῆς γραφῆς ἐπαινουμένων ἁγίων θυσιῶν, ὅτε τῷ Θεῷ προσήγοντο, ὅτε δὲ τοῖς δαιμονίοις· καίτοι γε ἡ αὐτὴ ὕλη τυγχάνουσα, παντὸς μιασμοῦ ὑπῆρχεν ἔμπλεως. καὶ εἰς τὸ ὑποκείμενον μόνον ἀποβλέποντες, κατηγοροῦσι τῆς ἐκκλησίας Ἑλληνικῶν ἀναπλασμάτων ἔχειν σύμβολα. ἀλλ' ὅτε ἐπειδὴ ἡ ὕλη εἰς διαφόρους ἐναντιότητας πραγμάτων χρησιμεύουσα κακίζεται ἢ αἰσχρὰ δείκνυται, παρορατέον αὐτῆς τὸ χρήσιμον. εἰ γὰρ μέλλοιεν ὅτω νοεῖν τε καὶ ἐκλαμβάνεσθαι, οὐ χήσεται πάντα κατ' αὐτοὺς τὰ τῷ Θεῷ καθιερωμένα, λέγομεν δὴ ἱεραὶ ἐσθῆτες, καὶ

σκάφη

σκδη ἱερά. κ) γὰρ οἱ τὰ Ἑλλήνων φρονῦντες, ἐκ χρυσῦ κ) ἀργύρυ εἴδωλα κατεσκδασαν, κ) σπονδὰς ἐξ οἴνυ ἔσπενδον, κ) ἐξ ἀλδρου * χαυόνας τῇ στρατιᾷ τῦ ὐρανοῦ οἱ τῆ Εβραίων εἰδωλολαξήσαντες προσέφερον. λείπεται δὴ αὐτοῖς ἐγκαλεῖν τῇ καθολικῇ ἐκκλησίᾳ, ὅτι οἱ λλΕλληνες δ'ᾳ ἰσορικῶν βίδλων τὰς ἑαυτῆ θεὰς τε κ) δαίμονας ἐγκωμιάζυσι· κ) ἡμεῖς μὴ ἐγκωμιάσωμεν, καθὼς οἱ Ἕλληνες, μήτε τὸν ἐπὶ πάντων Θεὸν, μήτε τὰς ἁγίας αὐτῦ δ'ᾳ ἱστορικῶν βίδλων, ὅτι ἐξ ἀλλοξίων δεχόμεθα τὰς ἀποδείξεις. ὢ τῆς παραξοπῆς κ) τῆς παρανοίας. δηλαδὴ γὰρ ἄνθρωποι ὄντες αἰσθητικοὶ, αἰσθητοῖς πράγμασι χρώμεθα πρὸς ἡμετέραν ἀναγνώρισιν, κ) ὑπόμνησιν πάσης θείας κ) δισεβῦς παραδόσεως. εἶτα ὡς παραχαράκται τῆς ἀληθείας, δ'ᾳστρέφοντες κ) τὰς ὁδὰς ⁊ τὰς ἐννοίας τῦ κυρίυ, λέγυσιν.

χαυλιῶας ἄλ χωντας L. λάγανα.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Πρὸς τύτῳ ἓν τῷ διεξετασικῷ κ) διεσκεμμένῳ ἡμῶν δόγματι, παρέξομεν κ) ἐκ τῆς Θεοπνδσυ γραφῆς κ) τῆ ἐγκρίτων ἡμῶν πατέρων ἐναργεῖς τὰς μαρτυρίας συμπνεύσας ἡμῖν, κ) ἐπικυρύσας τὸν τοιῦτον ἡμῶν δισεδῆ σκοπόν· αἷς μὴ ἀντερεῖ ὁ ἐν πείρᾳ τύτων ὑπάρχων. ὁ δὲ ἀγνοῶν, μανθανέτω κ) κατεχέτω αὐτὰς, ὡς τοῦ Θεῦ ὄσας. κ) κατὰ μὲν πρῶτον λόγον ἐκ τῆς κυριολέκτου φωνῆς λέγούσης, πνεῦμα ὁ Θεὸς, κ) τὰς προσκυνοῦντας αὐτὸν, ἐν πνδ'ματι κ) ἀληθείᾳ δεῖ προσκυνεῖν· κ) πάλιν· Θεὸν ὐδεὶς ἑώρακε πώποτε. κ), ὅτε φωνῆ αὐτῦ ἀκηκόατε, ὅτε εἶδ⊙ αὐτῦ ἑωράκατε, κ) μακαριζύσης τὰς μὴ ἰδόντας αὐτὸν, κ) πισδ'σαντας.

Ἰωάν. 4.

Ἰωάν. 1. Ἰωάν. 5. Ἰωάν 20.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Οταν τινὲς τὰ ὀρθὰ δ'ᾳστρέφειν ἐπιχειρῶσι δόγματα κατὰ τὸ αὐτοῖς δοκῦν, θαυμαζέτω μηδεὶς, εἰ γραφικοῖς λόγοις κέχρηνται. ἐπεὶ κ) πάντες αἱρεσιάρχαι ἐκ τῆς Θεοπνδσυ γραφῆς τὰς τῆς ἑαυτῆ πλάνης συλλέγυσιν ἀφορμὰς, τὰ δ'ᾳ τῦ ἁγίυ πνδ'ματ⊙ ὀρθῶς εἰρημένα ταῖς ἑαυτῆ κακονοίαις παραχαράττοντες. κ) τῦτο προανεφώνησε Πέτ⊙ ἡ κορυφαία τῆ ἀποστόλων σάλπιγξ, λέγων. ἃ οἱ ἀμαθεῖς κ) ἀστήρικτοι στρεβλῦσι κατὰ τὰς ἰδίας ἐπιθυμίας. ἴδιον γάρ ἐστι τοῖς αἱρεσιώταις, κατὰ τὰς ἰδίας ἐπιθυμίας στρεβλοῦν τινὰ τῆ θείων κ) ἀληθινῶν δογμάτων γνῶσιν. καθόλυ γὰρ τῆ ἁγίων πατέρων τὸ, κύρι⊙ ἐκτισέ με ἀρχὴν ὁδῶν αὐτῦ εἰς ἔργα αὐτῦ, ἐπὶ τῆς κατὰ σάρκα οἰκονομίας τῦ Χριστῦ ἐκλαβόντων· Αρει⊙ κ) Εὐνόμι⊙, κ) οἱ περὶ αὐτὸν, ἐπὶ τῆς ἄνω θείας γνησίας γνώσεως ἐξελάβοντο, κ) ἐκ τύτυ τῆς γνώσεως παρεξάπησαν. πάλιν δὲ κ) Απολλινάρι⊙ δ'ᾳγγελικῷ φωνῇ κακῶς νοήσας, τὸ· ὐδεὶς ἀναδέβηκεν εἰς τὸν ὐρανὸν, εἰ μὴ ὁ ἐκ τῦ ὐρανοῦ καταβὰς ὁ υἱὸς τῦ ἀνθρώπυ· εἰς ἀτοπίαν ἐκτεῖναι, λέγων. μὴ σαρκὸς καταδεβηκέναι τὸν Θεὸν λόγον ἐκείνης, ἣν ἐν τοῖς ὐρανοῖς ἔχων ἐτύγχανε προαιωνιόν τινα ⁊ σωυσιωμένην αὐτῷ· κ) ἀποστολικῷ τινα ῥῆσιν προβαλλόμεν⊙ λέγουσαν. ὁ δ'ᾳτερ⊙ ἄνθρωπ⊙ ὁ κύρι⊙ ἐξ ὐραν⊙· ἠπατᾶτο κατὰ τὸ αὐτῷ δοκῦν· κ) θαυμαστὸν ὐδὲν, εἰ ⁊ οἱ τῆς κενῆς ταύτης φαντασίας αἱρεσιῶται ἐκ τῆς θείας γραφῆς ἡμῖν προφέρυσι τὰς ὑπολήψεις. ἐκ γὰρ τῆ ἑαυτῆ διδασκάλων ἔλαβον τὰς ἀφορμάς. τὰς γὰρ ἐπὶ τῆς ὁράτυ κ) ἀκαταλήπτυ θεότητ⊙ φωνὰς εἰρημένας, εἰς τὸ κατὰ σάρκα οἰκονομίαν ἀντηλλάξαντο τῦ κυρίυ ἡμῶν Ιησῦ Χριστῦ τῦ υἱὸς τῆς ἁγίας Τριάδ⊙. τίς γὰρ τῆ εὖ φρονύντων ὐ γινώσκει, ὅτι τὸ, Θεὸν ὐδεὶς ἑώρακε πώποτε, ἐπὶ τῆς θείας φύσεως ἐστι γεγραμμένον; κ) τὸ, ὅτε φωνὴν αὐτῦ ἀκηκόατε, ὅτε εἶδ⊙ αὐτῦ ἑωράκατε, εἰ συνοήσειέ τις ἐπὶ τῆς ἀνθρωπότητ⊙, ὅλον τὸ δ'ᾳγγέλιον ἀναῤῥέωσει; ποῦ γὰρ θήσομεν τὸ, εἶπεν ὁ κύρι⊙ τοῖς ἑαυτῦ μαθηταῖς; κ), εἶπεν ὁ κύριος πρὸς τὰς ἐληλυθότας πρὸς αὐτὸν Ιουδαίους; κ) εἶπεν ὁ κύρι⊙· καὶ ὑμεῖν γραμματεῖς κ) φαρισαῖοι; ἢ πάλιν πῶς συνοήσομεν· ἀνοίξας τὸ στόμα αὐτῦ ἐδίδασκεν αὐτύς; δῆλον ταῦτα ἐπὶ τῆς ἀνθρωπότητος. τὸ δέ· ὅτε φωνὴν αὐτῦ ἀκηκόατε, οὔτε εἶδ⊙ αὐτῦ ἑωράκατε· ἐπὶ τῆς θείας ὐσίας. καθὸ γὰρ ἄνθρωπος τέλειος ἐγένετο ὁ Θεὸς λόγ⊙, ὡς φθάσαντες εἴπομεν, κ) φωνὴν αὐτῦ ἀκηκόαμεν, κ) εἶδος αὐτῦ ἑωράκαμεν κ) μὴ τινὰ ἀνάστασιν, ἐψηλαφήθη γάρ, κ) ὀπτανόμενος τοῖς μαθηταῖς, ἔλεγεν αὐτοῖς τὰ περὶ τῆς βασιλείας. εἶτά τε κ) τινὰ θείαν λατρείαν κ) προσκυνήσιν, ἣν οἱ Χριστιανοὶ * ἀληθινὴν κ) εἰλικρινῆ πίστιν ἐν ἑαυτοῖς ἔχυσι, τῇ χτικῇ κ) τιμητικῇ προσκυνήσει καθωμοίωσαν. ἐν τύτοις γὰρ τοῖς δυσὶ πράγμασιν ἐστὶ τὸ παρ' αὐτοῖς διεσταλμένον. τὕνεκεν κ) χριστιανοκατήγοροί εἰσί τε ⁊ προσαγορεύονται. λέγυσι γάρ, ὅτι τινὶ πρέπουσαν τῷ Θεῷ προσκυνήσιν κ) λατρείαν ταῖς σεπταῖς εἰκόσι προσφέρυσιν οἱ Χριστιανοὶ, κ) ὅτι τινὶ ἀκαταλήπτον φύσιν περιγράφυσιν· ὢ τῆς παρεκτροπῆς κ) ἠλιθιότητος. κ) εἶτι τύτοις ἕτερον ἔπεται· ὐκ ἔχει γὰρ χώραν ὁ λόγ⊙, ἀλλὰ λοιδορίας κ) συκοφαντίας μεστός, οἱ γὰρ Χριστιανοὶ ὅτε τινὶ ἐν πνδ'ματι κ) ἀληθείᾳ προσκυνήσιν ταῖς εἰκόσιν ἀπονέμαν, ὅτε τῷ θείῳ τύπῳ τῦ σωτῆρος· οὔτε τῆς ὁράτυ κ) ἀκαταλήπτυ φύσεως εἰκόνα ποτὲ πεποιήκασιν ἀλλὰ καθὸ ὁ λόγος σὰρξ ἐγένετο, κ) ἐσκήνωσεν ἐν ἡμῖν, τὰ τῆς ἀνθρωπίνης οἰκονομίας αὐτῦ ἀναγράφυσι κ) εἰκονίζυσι. κ) γινώσκοντες, ὅτι πνεῦμα ὁ Θεὸς, κ) τὰς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι κ) ἀληθείᾳ δεῖ προσκυνεῖν, τινὶ κατὰ πίστιν προκυήσιν κ) λατρείαν αὐτῷ μόνῳ τῷ ἐπὶ πάντων Θεῷ ἐν ⁊ ἁγία ἀνυ-

Παροι. 8.

1. Πέτρ. 3.

Ἰωάν. 3.

1. Κορινθ. 1

Ἰωάν 1.

Ἰωάν. 5.

Ματθ. 23. Ματθ. 5.

Ἰωάν.

Ἰωάν. 20.

* ἴσ. ἀληθινῇ κ) εἰλικρινεῖ πίστ

Ἰωάν. 4.

Ἰωάν. 1.

τὰ ἔθνη τῇ κτίσει καὶ τοῖς εἰδώλοις λατρεῦσαι, * τῆς οἰκονομίας λέγω Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ψευδεῖς αἱ προαναρρήσεις κατ' αὐτοὺς, αἱ διὰ τῶν προφητῶν προκαταγγελθεῖσαι περὶ τῆς ἐκκλησίας, ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐτῆς οὐκέτι. καὶ, τὸ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, οὐ δὲ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. εἰ δὲ τῆς ἐπιγνώσεως τοῦ Θεοῦ ἑαυτοὺς ἐξορίσαντες, καὶ πρὸ τῆς Χριστοῦ ἐπιδημίας παρεδόθησαν εἰς ἀδόκιμον νοῦν, τῷ διαβόλῳ λατρεύσαντες, ματαία ἡ ἔγκλησις ἡ κατὰ τῶν Χριστιανῶν νυνὶ παρ' αὐτῶν γεγενημένη, καὶ παρρησιάσεται πρὸς αὐτοὺς Ἡσαΐας βοῶν· οὐαὶ οἱ γράφοντες πονηρίαν· γράφοντες γὰρ, πονηρίαν γράφουσι. τοιγαροῦν πονηρῶς καὶ κακούργως τὰς ἀποστολικὰς καὶ γραφικὰς φωνὰς ἐκλαμβάνοντες, σπεύδουσι τὸ μέγα τῆς σωτηρίας μυστήριον, τῆς οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, δι' οὗ ἐλυτρώθημεν τῆς πλάνης τῶν εἰδώλων, ἀναστρέψαι, καὶ εἰς ἑαυτοὺς ἀπενέγκαι τὴν δόξαν. ἀλλ' οὐδεὶς τῶν Χριστιανῶν αὐτοῖς πιστοῦται. ὁμολογοῦμεν γὰρ ἅπαντες, ἀποστῆσαι ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων καὶ πάσης Ἑλληνικῆς θρησκείας Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἐν τῇ κατὰ σάρκα πρὸς ἡμᾶς ἐπιδημίᾳ αὐτοῦ. εἰ δὲ αὐτοὶ τοῦτο οὐχ ὁμολογοῦσι γενέσθαι, οὐδὲ τὴν κλῆσιν αὐτοῦ ἔχουσι. καὶ πρὸς αὐτοὺς φησιν ὁ ἀπόστολος. τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβον, ἐκείνην ὁμολογεῖν ὤφειλον τὴν ἀπολύτρωσιν, καὶ τὰς εἰκόνας δέξασθαι, ἐκκλησιαστικὰς εὐπρεπείας ἐν τῇ τῶν ὀφθαλμῶν ὁράσει ἡμῖν γεγενημένας, καὶ διηγήσεις εὐαγγελικὰς δι' αὐτῶν εἰς τοὺς νόας ἡμῶν ἀναλαμβανομένας πρὸς ἀνάμνησιν καὶ ἐξήγησιν τῆς εὐαγγελικῆς ἱστορίας, ὡς πολλαχῶς εἴρηται. καὶ ἐπειδήπερ καὶ ἑτέρας ἀποστολικὰς φωνὰς προβάλλονται λέγοντες· εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν· διὰ πίστεως γὰρ περιπατοῦμεν, καὶ οὐ διὰ εἴδους· εἰς μέσον ἀγάγωμεν τοὺς τούτων ἑρμηνευτὰς μεγαλοφώνους διδασκάλους. Ἰωάννης οὖν ὁ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον διδασκαλίαν κεκτημένος, ἑρμηνεύων τὴν αὐτὴν τοῦ ἀποστόλου ῥῆσιν λέγουσαν· ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν, οὕτω φησίν· οὐδένα οἴδαμεν κατὰ σάρκα τῶν πιστῶν. τί γὰρ εἰ καὶ ἐν σαρκί εἰσιν; ἀλλὰ ἡ ζωὴ ἐκείνη ἡ * σαρκικὴ ἀπώλετο, καὶ ἄνωθεν ἐγεννήθημεν πνεύματι. καὶ ἑτέραν οἴδαμεν πολιτείαν καὶ διαγωγὴν, καὶ ζωὴν, καὶ κατάστασιν τὴν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν τοῦ αὐτοῦ· ἀρχηγὸν τὸν Χριστὸν ὄντα δείκνυσι. διὸ καὶ ἐπήγαγεν· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. τί οὖν, εἰπέ μοι; τὴν σάρκα ἀπέθετο, καὶ νῦν οὐκ ἔστι μετὰ τοῦ σώματος; ἄπαγε· καὶ γὰρ καὶ νῦν ἐν σαρκί ἐστιν. οὗτος γὰρ ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται. οὕτως, πῶς; ἐν σαρκὶ μετὰ τοῦ σώματος. πῶς οὖν φησιν· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν; ὅτι εἰ καὶ παθητὸν ἐγνώκαμεν τὸν Χριστὸν, ἀλλὰ νῦν οὐκέτι. ἐπὶ ἡμῶν μὲν γὰρ τὸ κατὰ σάρκα, τὸ ἐν ἁμαρτίαις εἶναι· τὸ δὲ μὴ κατὰ σάρκα τὸ μὴ ἐν ἁμαρτίαις εἶναι· ἐπὶ δὲ Χριστοῦ τὸ κατὰ σάρκα, τὸ ἐν τοῖς παθήμασιν εἶναι τῆς φύσεως, οἷον ἐν τῷ διψεῖν, ἐν τῷ πεινῆν, ἐν τῷ κοπιᾷν, ἐν τῷ καθεύδειν. ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. διὸ καὶ ἔλεγε· τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ πάλιν· ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. τὸ δὲ μὴ κατὰ σάρκα, τὸ καὶ τούτων ἀπηλλάχθαι λοιπὸν, οὐ τὸ ἐκτὸς σαρκὸς εἶναι. καὶ γὰρ μετὰ ταύτης ἔρχεται κρινῶν τὴν οἰκουμένην, ἀπαθῆ αὐτὴν ἔχων καὶ ἀκήρατον. εἰς ὃ καὶ ἡμεῖς βαδιούμεθα, συμμόρφου τοῦ σώματος ἡμῖν γενομένου τῷ σώματι τῆς δόξης αὐτοῦ. καὶ Κύριλλος δὲ ὁ Ἀλεξανδρείας ὁ ὑπέρμαχος τῆς εἰλικρινοῦς ἡμῶν πίστεως σαφηνίζων ἡμῖν τὸ αὐτὸ ῥητὸν, οὕτως διερμηνεύει. ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, καὶ ῥίζα τοῦ γένους ἐφάνη δευτέρα, οὐ κατὰ τὴν πρώτην ἐξ Ἀδὰμ, ἀλλ' ἐν ἀμείνοσιν ἀσυγκρίτως νοουμένην καὶ ὑπάρχουσαν μεταστοιχειούμεθα πρὸς ζωήν. οὐ γάρ ἐσμεν ὑπὸ θάνατον, ἀλλ' ὑπ' αὐτὸν τὸν τὰ πάντα ζωοποιοῦντα λόγον. καὶ οὐδείς ἐστιν ἔτι ἐν σαρκὶ, τουτέστιν ἐν ἀσθενείᾳ σαρκικῇ, ὅ ἐστιν ἡ φθορά· οὐ τοῦτο δὲ λέγει ὁ Παῦλος, ὅτι οὐ σεσάρκωται Χριστός. εἰ γὰρ καὶ λέγει, ὅτι οὐδένα ἐγνώκαμεν κατὰ σάρκα, οὐ τοῦτο σημαίνει. ἐπεὶ πῶς ἀπέθανε; σαρκὸς γὰρ ἀσθένεια τοῦτο. ὃ οὖν λέγει, τοῦτό ἐστι· γέγονε μὲν σὰρξ ὁ λόγος, καὶ ὑπὲρ πάντων ἀπέθανε, καὶ οὕτως αὐτὸν ἐγνώκαμεν κατὰ σάρκα· πλὴν ἀπὸ τοῦ νῦν οὐκέτι γινώσκομεν. εἰ γὰρ καὶ ἔστι νῦν ἐν σαρκί· ἀνέστη γὰρ τριήμερος, καὶ ἀνέβη εἰς οὐρανούς· ἀλλ' ὑπὲρ σάρκα νοεῖται· οὐκέτι γὰρ ἀποθνήσκει, οὔτε ἄλλην τινὰ σαρκὸς ἀσθένειαν ὑπομένει, ἀλλὰ πάντων ἐστὶ τούτων ἀμείνων ὡς Θεός· ὁρᾶτε οὖν οἱ δι' ἐναντίας, ὅτι οὐ μόνον τὰς ἀποστολικὰς φωνὰς διαστρέφετε, ἀλλὰ καὶ τοῖς ἁγίοις πᾶσιν ἐναντιοῦσθε. αὐτοὶ μὲν γὰρ διὰ τῶν προκειμένων ἀποστολικῶν ῥητῶν, παθῶν ἀπηλλάχθαι τὸν Χριστὸν μετὰ τὴν ἀνάστασιν ἀποδεικνύουσι, καὶ ἡμᾶς ὁδηγοῦσιν ὡς συμμόρφους γενομένους τῷ σώματι τῆς δόξης αὐτοῦ, μὴ κατὰ σάρκα περιπατεῖν, τουτέστι μὴ ἐπακολουθεῖν ταῖς σαρκικαῖς ἡδοναῖς. ὑμεῖς δὲ τοῖς ἴχνεσι τούτων κατακολουθεῖν μὴ ἀνεχόμενοι, ἑτέρως παρὰ τοὺς πατέρας φρονήσαντες. καινὴν τινὰ δόξαν παρεισφέρετε· καὶ ὁδὸν ἀτριβῆ βαδίζοντες, ἑαυτούς τε καὶ τοὺς ἑπομένους ὑμῖν εἰς κρημνοὺς καὶ φάραγγας ἀπάγοντες, εἰς πέταυρον ᾅδου καταβιβάζετε. ἀλλ' οὐδεὶς ὑμῖν πιστεύει μὴ ἑπομένοις τῇ τῶν ὁσίων πατέρων ἡμῶν διδασκαλίᾳ. τὸ δὲ, διὰ πίστεως περιπατοῦμεν, καὶ οὐ διὰ εἴδους, ὁ αὐτὸς Ἰωάννης ἑρμηνεύων, οὕτω φησίν· ἵνα μή

* ἴσ. μετὰ τὴν οἰκονομίαν

Ψαλ. 88.

Ἡσαΐ. 10.

Κορ. 4.

Κορ. 5.

* κατὰ σάρκα

Κορ. 5.

Πράξ. 1.

Ἡσαΐ. 53.

Ἰωάν. 8.
Ἰωάνν. 14.

2. Κορ. 5.

μνουμένῳ προσάγουσιν. ἐπεὶ τὸν θεῖον τύπον τοῦ σταυροῦ καὶ τὰς σεπτὰς εἰκόνας πόθῳ καὶ στοργῇ κινούμενοι πρὸς τὴν τῶν πρωτοτύπων ἀναγωγὴν ἀσπαζόμεθα, καὶ τιμητικῶς προσκυνοῦμεν. μάταιοι οὖν ὑπόκενοι καὶ σαθραὶ παντάπασιν αἱ κουφολογίαι αὐτῶν παρὰ τῆς ἀληθείας ἀποδείκνυνται, ὡς καὶ τὰ ἑξῆς ἀλλοτρίως τῆς εὐσεβείας ἐννοήσαντες, φασίν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

* ἴσ. φησάσης Καὶ ἐν τῇ παλαιᾷ φήσας * πρὸς Μωσέα καὶ τὸν λαόν· οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ
Δευτερ. 5. παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω. διότι ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρὸς φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ' ἢ φωνήν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Εντεῦθεν τὴν ἀφορμὴν τῆς ἀσεβείας ἐφέλκονται, ὥσπερ παῖδας τοὺς Χριστιανοὺς μορμολύττοντες τοῖς ἑαυτῶν σοφίσμασιν, ὅτι γε εἰ διὰ εἰκονικῆς ἀναζωγραφήσεως ἔχεις εἰς ὑπόμνησιν Χριστὸν ἢ τοὺς ἁγίους αὐτοῦ, εἰς εἰδωλολατρείαν κατολισθαίνεις. Καὶ πᾶσαν ἀδικίαν μελετήσαντες ἐν τοῖς προλελεγμένοις παρ' αὐτῶν οἱ γενάδαι, πρὸς τὴν τὸ, οὐ ποιήσεις πᾶν ὁμοίωμα, καταφεύγουσι λέξιν. καὶ τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατέχοντες, τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, παιδοτριβοοῦσιν ἑαυτοὺς πρὸς ἀσέβειαν. καὶ τῇ ἀνυπαρξίᾳ τοῦ ψεύδους ἐναβρυνόμενοι, τῆς ἀληθείας ἠλλοτρίωνται. τὰς γὰρ πάλαι νενομοθετημένας τῷ λαῷ τοῦ Ισραὴλ φωνὰς, τῶν τῷ μόσχῳ λατρευσάντων, καὶ τῶν Αἰγυπτιακῶν βδελυγμάτων πεῖ-
Εξοδ 32. ραν σχόντων, μεταρρυθμίζοντες εἰς τὴν τῶν Χριστιανῶν θείαν ὁμήγυριν, ἑαυτούς τε θεατρίζοντες τεραταλογοῦσιν, καὶ ἁλίσκονται χείλεσιν ἰδίου στόματος. ὄφελον ἐνενόησαν, ὅτι μέλλων ὁ Θεὸς εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσάγειν αὐτοὺς, διὰ τὸ κατοικεῖν ἐκεῖ ἔθνη εἰδωλολατροῦντα καὶ προσκυνοῦντα δαιμονίοις, ἡλίῳ τε καὶ σελήνῃ, καὶ ἄστρασι, καὶ ἑτέροις κτίσμασιν, ἀλλὰ καὶ πετεινοῖς, καὶ τετραπόδοις, καὶ ἑρπετοῖς, Καὶ οὐ Θεῷ ζῶντι καὶ ἀληθινῷ, ἐνομο-
Εξοδ. 20. θέτει τό· οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω. ἐπειδήπερ ἐπιφέρει, ἀπάγων αὐτοὺς τῆς εἰδωλολατρείας· οὐ προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσεις αὐτοῖς. ἡνίκα δὲ τὴν σκηνὴν τοῦ μαρτυρίου κατὰ τὴν τοῦ Θεοῦ διαταγὴν ἐποίει ὁ πιστὸς θεράπων αὐτοῦ Μωσῆς, τὰ σύμπαντα δεικνὺς δοῦλα αὐτῷ, αἰσθητὰ χερουβὶμ ἀνθρωπόμορφα, ἀντίτυπα τῶν νοητῶν, ἐκ χρυσίου κατεσκεύασε, κατασκιάζοντα τὸ ἱλαστήριον, (ἱλαστήριον) τὸ τὸν Χριστὸν προτυποῦν. αὐτὸς γάρ ἐστιν ἱλασμὸς τῶν ἁμαρτιῶν ἡμῶν, ὥς φησιν ὁ θεῖος ἀπόστολος. οὐκοῦν διὰ δύο πραγμάτων αὐτοὺς εἰσήγαγεν εἰς θεογνωσίαν, τοῦτο μὲν λέγων· κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· τοῦτο δὲ, ποιήσας χρυσᾶ χωνευτὰ χερουβὶμ, κατασκιάζοντα τὸ ἱλαστήριον, ἤτοι προσκυνοῦντα αὐτῷ. καὶ διὰ τῆς ὁράσεως καὶ τῆς ἀκοῆς ἀνῆγεν αὐτοὺς κυρίῳ τῷ Θεῷ προσκυνεῖν, καὶ αὐτῷ μόνῳ λατρεύειν. ἀλλ' οὗτοι διαστροφῆς μεστὸν ἔχοντες φρόνημα, καὶ ἀποστολικὴν ῥῆσιν προβάλλονται τοιάνδε.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου· Καὶ ἐσεβάσθησαν, ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα· καὶ αὖθις. εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους. καὶ τοῦ αὐτοῦ ἀποδεικτικῶς εἰρηκότος· ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Διαῤῥήδην ἐστὶν εἰπεῖν, ὅτι αὐτοὶ παρεοίκασι τοῖς ἔνθνεσι, τοῖς ἀλλάξασι τὴν δόξαν τοῦ Θεοῦ, καὶ λατεύσασι τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἀλλάξαντες καὶ διαστρέψαντες τὰς ἐννοίας τὰς ἀποστολικὰς κατὰ τὰς ἰδίας ἐπιθυμίας. ἐπεὶ πᾶσιν εὔδηλόν ἐστιν, ὅτι Ελληνας κωμῳδῶν ὁ ἀπόστολος φαίνεται ἐν τῷ λέγειν· ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου. ἐπιφέρει γάρ· καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν· κἂν ὑπούλως ἔχοντες αὐτοὶ ἐξέτεμον τὴν ὁλόκληρον φράσιν, ἵνα ὡς ἐκ τούτου τοὺς ἁπλουστέρους δελεάσωσιν, ὅτι περὶ τῶν τῆς ἐκκλησίας εἰκονικῶν ἀναζωγραφήσεων ὁ ἀπόστολος ἀποτείνεται· καίτοι γε τὰ ἐπιφερόμενα φανερὰν ἔχει τὴν διασάφησιν. πετεινῶν γὰρ καὶ τετραπόδων καὶ ἑρπετῶν μνήμην πεποίηται, καὶ ὅτι ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. ἴσασι οὖν οἱ ἱστορικῶν βίβλων ἐμπειρότατοι, ὅτι Αἰγύπτιοι πάλαι βόας ἐσέβοντο, καὶ ἕτερα τετράποδα, καὶ πετεινὰ διάφορα, καὶ μυίας, καὶ σφηκίας, καὶ εὐτελέστερα τούτων κνώδαλα. Πέρσαι δὲ τὸν ἥλιον καὶ τὸ πῦρ, Ελληνες δὲ πρὸς τούτοις Καὶ πάσῃ κτίσει ἐλάτρευσαν, ἀλλὰ καὶ τῶν Εβραίων τινὲς, καθὼς ἱστορεῖ ἡ τῶν βασιλειῶν βίβλος, καὶ τῶν προφητῶν αἱ διηγήσεις. ἐπεὶ εἰπάτωσαν, πῶς ἢ πότε ἐματαιώθει τὰ ἔθνη, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδίᾳ; πρὸ τοῦ πιστεῦσαι εἰς Χριστὸν, ἢ μετὰ τὸ πιστεῦσαι; πάντως πρὸ τοῦ πιστεῦσαι. πρόδηλον γὰρ τοῦτο. εἰ γάρ φασι, μετὰ τὸ πιστεῦσαι εἰς Χριστὸν

τὸ

μή τις εἴπῃ· τί οὖν; λέγοντός σου, ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου, τί ταῦτα λέγεις; ἀλλοτριούμεθα οὖν αὐτοῦ ἐνταῦθα ὄντες; προδιώρθωσεν εἰπών· διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους. καὶ ἐν-
1. Κορ. 33. ταῦθα μὲν αὐτὸν ἴσμεν, ἀλλ' οὐχ οὕτω σαφῶς. ὃ καὶ ἀλλαχοῦ λέγει· ἄρτι βλέπομεν ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. καὶ ταῦτα μὲν ἄμφω οἱ θεσπέσιοι πατέρες εἰρήκασιν· ἐπεὶ καὶ ἐν ἄλλοις
Ρ'ωμ. 8. ῥητοῖς αὐτοῦ ὁ ἀπόστολος σαφῆ ἡμῖν διαγγέλλει τὴν ἔννοιαν, λέγων· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; εἰ δὲ ὃ οὐ βλέπομεν, ἐλπίζομεν δι' ὑπομονῆς ἀπεκδεχόμεθα. πρόδηλον οὖν, ὅτι διὰ πίστεως περιπατοῦμεν, καὶ οὐ διὰ εἴδους. οὐ γὰρ ὁρῶμεν ἐνταῦθα τὸν Θεόν, ἀλλὰ πιστεύομεν εἰς αὐτόν. ὅτι καὶ τὰ δημιουργήματα αὐτοῦ πίστει λέγομεν παραὐτοῦ γεγενῆσθαι,
Ε'βρ. 11. καθὼς τῇ μεγαλοφωνίᾳ τοῦ πνεύματος ὁ αὐτὸς κηρύττει λέγων· πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. καὶ θεωροῦντες τὴν εὔτακτον κίνησιν τοῦ παντὸς, εἰς ἔννοιαν ἐρχόμεθα τοῦ σοφίᾳ τὰ πάντα ποιήσαντος Θεοῦ, τοῦτο οὖν ἐστι, διὰ πίστεως περιπατοῦμεν, καὶ οὐ διὰ εἴδους· καὶ οὐχ ὡς αὐτοὶ ἐξ ἀπαιδευσίας γλώσσης στρεβλοῦντες τὴν ἔννοιαν τὴν ἀποστολικὴν, εἰς τὴν τῶν σεπτῶν εἰκόνων ποίησιν ἐξελάβοντο τὸ εἰρημένον. τὰς οὖν πατρικὰς διδασκαλίας ἀκούσαντες, ταύταις ἀ-
Ψαλ. 25. κολουθήσωμεν, καὶ τὴν νυνὶ καινοτομίαν βδελυξώμεθα λέγοντες· ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.

ΤΌΜΟΣ Ε'.

Ε'ΠΙΦΆΝΙΟΣ ΔΙΆΚΟΝΟΣ
ἀνέγνω.

Ὅτι περ εἰς κακίαν τρέχοντες οἱ πόδες αὐτῶν, τοῖς ἑαυτῶν ἐνεπάρησαν βρόχοις, καὶ ἤδη ἀποδέδεικται, ὅτι οὐδεὶς τῶν ἐν τῇ ἐκκλησίᾳ ἀνατεθραμμένων τὴν τοῦ Θεοῦ δόξαν ἀντηλλάξατο εἰς τὴν τῶν εἰκόνων ποίησιν, οὔτε ἐν ἄλλῳ οἱῳδήποτε κτίσματι. φέρε νῦν καὶ
3. Ε'σδρ. 4. τῶν ἑξῆς τὴν ἀνασκευὴν ποιησώμεθα, σύμμαχον ἔχοντες τὴν μὴ νικωμένην ἀλήθειαν. καὶ γὰρ αὐτοὶ προσθήκαις τὸ κακὸν πλεονάσαι θέ-
* ἴσ. ληρωδοῦντες λοντες, καὶ ἁγίους πατέρας εἰς μέσον ἤγαγον, αὐτοὺς *λοιδοροῦντες κατὰ τῆς τῶν σεπτῶν εἰκόνων ἀναζωγραφήσεως διαγορεῦσαι, ταῦτα προστιθέμενοι.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΊΣΚΟΠΟΣ
ἀνέγνω.

Τὰ ἴσα δὲ καὶ οἱ τῶν ἀποστόλων μαθηταὶ καὶ διάδοχοι θεοφάντορες ἡμῶν πατέρες ἐκδιδάσκουσι. λέγει οὖν ὁ ἐν σημειοφόροις περιβόητος Ε'πιφάνιος ὁ Κύπρου· προσέχετε ἑαυτοῖς, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε· μὴ ἐκκλίνητε δεξιά, μηδὲ ἀριστερά. οἷς ἐπιφέρει· καὶ ἐν τούτῳ μνήμην ἔχετε τέκνα ἀγαπητὰ, τοῦ μὴ ἀναφέρειν εἰκόνας ἐπ' ἐκκλησίας, μήτε ἐν τοῖς κοιμητηρίοις τῶν ἁγίων· ἀλλ' ἀεὶ διὰ μνήμης ἔχετε τὸν Θεὸν ἐν ταῖς καρδίαις ὑμῶν. ἀλλ' οὔτε κατ' οἶκον κοινόν. οὐκ ἔξεστι γὰρ Χριστιανῷ δι' ὀφθαλμῶν μετεωρίζεσθαι καὶ ῥεμβασμῶν τοῦ νοός. ὃς καὶ ἑτέρους λόγους ἐξέθετο ἐπ' ἀνατροπῇ τῆς τῶν εἰκόνων ποιήσεως, οὓς οἱ φιλομαθῶς ζητοῦντες εὑρήσουσιν.

Ε'ΠΙΦΆΝΙΟΣ ΔΙΆΚΟΝΟΣ
ἀνέγνω.

Οἱ φιλομαθεῖς περὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων ἔρευναν, τοὺς ἑτέρως φρονοῦντας, καὶ θέλοντας τὴν ἰδίαν δικαιοσύνην στῆσαι, καὶ τῇ τοῦ Θεοῦ ἀντιταχθῆναι, ἴσασι κιβδήλοις καὶ παρεγγράπτοις συγγράμμασιν ἰσχυριζομένους, ὡς νόθους ὄντας καὶ οὐ γνησίους υἱοὺς τῆς καθολικῆς ἐκκλησίας, ἀδελφοὺς δέξασθαι οὐ προσιέναι· μᾶλλον δὲ ἀποκρουόμενοι λέγουσι· σπέρμα Δανιήλ 13
Χαναὰμ καὶ * Ι'οῦδα· γνόντες τὸ ὑπὸ τοῦ εὐαγ- * ἴσ. οὐχὶ Ι'οῦδα.
γελιστοῦ εἰρημένον· ἐξῆλθον ἀφ' ἡμῶν, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, με-
μενήκεισαν ἂν μεθ' ἡμῶν. καὶ πάλιν, τοῦ θείου 1. Ι'ωάν. 2
ἀποστόλου λέγοντος· ὅτι εἰσελεύσονται μετὰ τὴν Πράξ. 20
ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. καὶ βλέπετε, μή τις ὑμᾶς ἔσται ὁ συλλαγωγὼν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης. καὶ πάλιν ὁ αὐτός φησι· μὴ παντὶ πνεύ-
ματι πιστεύετε. πρέπον οὖν ἐστι παντὶ Χριστιανῷ 2. Ι'ωάν.
παρεγγράπτων βίβλων ἀκρόασιν ποιουμένῳ, ταύτας διαπτύειν, καὶ μηδόλως προσδέχεσθαι. καὶ γὰρ τοῦ θείου ἀποστόλου πρὸς Λαοδικεῖς φέρεται πλαστῇ ἐπιστολὴ, ἔν τισι βίβλοις τοῦ ἀποστόλου ἐγκειμένη, ἣν οἱ πατέρες ἡμῶν ἀπεδοκίμασαν, ὡς αὐτοῦ ἀλλοτρίαν· καὶ τὸ κατὰ Θωμᾶν Μανιχαῖοι παρεισήγαγον εὐαγγέλιον, ὅπερ ἡ καθολικὴ ἐκκλησία ὡς ἀλλότριον εὐσεβῶς ἀποστρέφεται. οἷα καὶ νυνὶ ἡ χρῆσις, ἡ λεγομένη μὲν τοῦ ἁγίου πατρὸς ἡμῶν Ε'πιφανίου, μὴ οὖσα δέ. αὐτὸς γὰρ ὁ θεσπέσιος πατὴρ ὀγδοήκοντα κεφαλαίων ἔκδοσιν ποιησάμενος, πάσας τὰς αἱρέσεις ἐθριάμβευσεν, Ε'λληνικάς τε καὶ Ι'ουδαϊκὰς, καὶ ὅσαι μετὰ τὸν χριστιανισμὸν γεγόνασι, μηδεμίαν παραλελοιπώς. καὶ εἰ τὴν τῶν εἰκόνων ποίησιν ἀλλοτρίαν τοῦ Χριστοῦ ἐγίνωσκεν, εἰς τὸν ἀριθμὸν τῶν αἱρέσεων ταύτην κατέταξεν ἄν. πάλιν δὲ τὰς ἐκθέσεις ταύτας τὰς κατὰ τῶν σεπτῶν εἰκόνων ἡ ἐκκλησία εἰ ἐδέξατο, οὐδ' ἂν αἱ σεπταὶ εἰκόνες ἀνεζωγράφηντο ἔν τε κοσμήσει τῶν σεπτῶν ναῶν, καὶ πρὸς ἡμετέραν ἀνάμνησιν. ἐκ γὰρ αὐτῶν τῶν χρήσεων, ὧν εἰς μαρτυρίαν προφέρονται οἱ τῆς κενοφωνίας εἰσηγηταὶ, αὐτόθεν ἔχει τὴν ἀνατροπήν. ὁ γὰρ ἅγιος Ε'πιφάνιος ἐν τοῖς χρόνοις ἦν Θεοδοσίου καὶ Ἀρκαδίου. παρεκτείνονται οὖν ἔτη ἕως τῆς νυνὶ αἱρέσεως ὡσεὶ τετρακόσια. καὶ τὰς βί-

βλους

βλους τὰς κατὰ τῶν εἰκόνων οὐδεὶς τῶν Χριστιανῶν ἐδέξατο, εἰ μὴ οἱ τῆς νυνὶ κενοφωνίας ψευδηγόροι. καὶ ἐὰν τὰ τοσαῦτα ἔτη ἐν τῇ ἐκκλησίᾳ οὐκ ἐδέχθησαν, οὐδὲ νυνὶ ἀποδεχθήσονται, διὰ τὸ μηδέπω αὐτὰς δεδέχθαι, ἢν γὰρ ἐπιστολήν τινες αὐτῶν προφέρονται ψευδῶς ἐπιγεγραμμένην τοῦ αὐτοῦ ἁγίου Επιφανίου τοῦ τῆς Κυπρίων προέδρου πρὸς Θεοδόσιον τὸν βασιλέᾳ, ἡμεῖς ταύτην μετὰ χεῖρας λαβόντες, καὶ ἀναγνόντες ἐρευνητικῶς, καὶ οὐ παροδευτικῶς, εὕρομεν ἐν τῷ τέλει τῆς ἐπιστολῆς ἔμφασιν τοιάδε περιέχουσαν. ὅτι πολλάκις λαλήσας τοῖς συλλειτουργοῖς μου, περιαιρεθῆναι τὰς εἰκόνας, οὐκ ἐδέχθην παρ' αὐτῶν, οὐδὲ πρὸς βραχὺ ἀκοῦσαι τῆς ἐμῆς φωνῆς ἠνέσχοντο. σκοπήσωμεν οὖν, τίνες ἦσαν ἐν τοῖς χρόνοις τοῦ μνημονευθέντος πατρὸς ἡμῶν Επιφανίου ἐν τῇ ἐκκλησίᾳ ἀοίδιμοι διδάσκαλοι καὶ περίβολοι ἀρραγεῖς τῆς ἐκκλησίας. Βασίλειος ὁ μέγας ἐν ἔργῳ καὶ λόγῳ, Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, Γρηγόριος ὁ τῆς Νυσσαέων πόλεως πρόεδρος, ὁ πατὴρ πατέρων παρὰ πάντων ὀνομαζόμενος· καὶ Ιωάννης, οὗτινος ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. τοὔνεκεν γὰρ καὶ τὴν ἐπωνυμίαν τοῦ χρυσοῦ στόματος ἐδέξατο. πρὸς τούτοις καὶ Αμβρόσιος, Αμφιλόχιος, καὶ Κύριλλος Ιεροσολύμων. εἰ τοίνυν αὐτὸς ὁ συγγραψάμενος τὴν τῶν ῥητῶν τούτων ἔκθεσιν, τὴν κατὰ τῶν σεπτῶν εἰκόνων, μὴ δεδέχθαι λέγει παρὰ τῶν ἁγίων πατέρων τῶν τότε ἐν τῷ βίῳ περιόντων, πῶς ἃ αὐτοὶ οἱ ἅγιοι πατέρες οὐκ ἐδέξαντο, ἡμεῖς οἱ εἰς τὰ τέλη τῶν αἰώνων καταντήσαντες, καὶ λόγου καὶ γνώσεως ἀποροῦντες, ὅτι οὐδὲ μαθηταί ἐσμεν ἄξιοι αὐτῶν καλεῖσθαι, τὰ φαλσογραφηθέντα κατὰ τῆς ἐκκλησίας δεξόμεθα; ἄπαγε τῆς ἐναγοῦς καὶ τολμηρᾶς ἐκθέσεως. ἐξέστησαν τοῦ ὀρθοῦ λόγου οἱ τοῦτο κατὰ τῆς ἐκκλησίας ἐγχειρήσαντες. ἔστω ἐν ἡμῖν τοῖς φιλοχρίστοις τὸ τοῦ ἀποστόλου ῥητὸν, τὸ φάσκον. κρατήσωμεν τὰς παραδόσεις, ἃς παρελάβομεν, καὶ τὰς βεβήλους κενοφωνίας παραιτησώμεθα. καὶ ψευδῆ καὶ πεπλασμένα ταῦτα γνωσώμεθα εἶναι. αἱ γὰρ βίβλοι τοῦ ἁγίου πατρὸς ἡμῶν Επιφανίου, ἥτε λεγομένη Αγκυρωτὸς καὶ αἱ λοιπαὶ, εἰς πᾶσαν τὴν οἰκουμένην διαβεβόηνται, καὶ ὁ φθόγγος αὐτῶν ἐξήχηται, καὶ παρὰ μικρὸν κατὰ πᾶσαν ἐκκλησίαν διεσπαρμέναι εἰσί. ταῦτα * δὲ τὰ λογίδρια, ἃ κατὰ τῶν σεπτῶν εἰκόνων περιβομβοῦσι, δύο ἢ τρεῖς βίβλοι ἀνὰ πᾶσαν τὴν οἰκουμένην οὔπω εὕρηνται, εἰ μὴ νεωστὶ ἐγράφησαν. καὶ εἰ ἦσαν γνώριμοι ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ὥσπερ ἡ λεγομένη Αγκυρωτὸς τοῦ ἁγίου Επιφανίου, ἐν πάσαις ταῖς ἐκκλησίαις πεπλάτυνται, οὕτως καὶ αὗται ἂν ἐπλατύνθησαν· ἀλλ' ὡς ξέναι καὶ ἀλλότριαι καὶ παρέγγραπτοι, οὐδέπω ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἐδέχθησαν, ἀλλ' οὐδὲ ἐνεφανίσθησαν· οὐκοῦν οὐδὲ νυνὶ, ἵνα ἡ εἰρήνη τοῦ Θεοῦ ἐν πάσαις ταῖς ἐκκλησίαις, καὶ ἡ ἀρχῆθεν παράδοσις ἐμπολιτεύηται· μὴ παραπεμπέσθωσαν δὲ τὰς γλώσσας οἱ κακολόγοι, κατηγοροῦντες τῶν ὀρθῶς φρονούντων, ὅτι τῷ ἁγίῳ Επιφανίῳ ἐναντιοῦνται οἱ ἀποδεχόμενοι τὴν ἀρχαίαν θεσοθεσίαν τῆς καθολικῆς ἐκκλησίας, οὐδαμῶς· τὸ μὲν γὰρ σύγγραμμα ἀποβαλλόμεθα, τὸν δὲ ἅγιον πατέρα διδάσκαλον τῆς καθολικῆς ἐκκλησίας γινώσκομεν. καὶ γὰρ οἱ ἐν τῇ ἁγίᾳ τετάρτῃ καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Χαλδηδόνι συναθροισθέντες θεῖοι πατέρες τὴν ἐπιστολὴν τὴν λεγομένην Ιβα ἐπισκόπου Εδέσης πρὸς Μάρην τὸν Πέρσην ἀναθεμάτισαν, ὡς Νεστορίῳ συμφωνοῦσαν· ὡσαύτως καὶ οἱ τῆς ἁγίας πέμπτης συνόδου· τὸν δὲ Ιβαν οὐδαμῶς. οὐ γὰρ ἀληθὲς ἀπεδείχθη, ὅτι Ιβα ἦν ἡ ἐπιστολή. εὖθεν καὶ εἰς τοὺς ἀναθεματισμοὺς οὐ τὸν Ιβαν ἀναθέματι παρέπεμψαν, ἀλλὰ τὴν λεγομένην Ιβα ἐπιστολήν· ἐλέγετο γὰρ, οὐκ ἦν δέ. οὕτως οὖν καὶ ταῦτα τὰ ψευδηγόρα συγγράμματα κατὰ τῶν σεπτῶν εἰκόνων λέγονται μὲν παρά τινων τοῦ ἁγίου Επιφανίου, οὐδαμῇ δὲ οὐδαμῶς εἰσιν, ὡς δέδεικται. καὶ γὰρ ναὸν ἀνεδείμαντο ἐν τῇ Κυπρίων νήσῳ οἱ αὐτοῦ μαθηταὶ, ὀνομάσαντες αὐτὸν τοῦ αὐτοῦ πατρός, καὶ μετὰ πολλῶν εἰκονικῶν στηλογραφιῶν καὶ αὐτοῦ εἰκόνα ἐν τῷ ναῷ ἀνέθηκαν. καὶ εἰ οὗτος τὴν τῶν σεπτῶν εἰκόνων ἐβδελύσσετο ὄψιν, πῶς οἱ τούτου φοιτηταὶ εἰκονικῶς τοῦτον ἐστηλογράφησαν; κρίνατε πάντες οἱ ἀκούοντες, καὶ τ' ἀληθὲς διὰ τοῦ ψεύδους χωρίσατε. ὅτι οὐ τοῦ πατρὸς αἱ ἐκδόσεις αὗται, ἀλλὰ Μανιχαϊκαί τινες, ἀφ' ὧν φευξώμεθα, ὡς χολῆς πικρίας μεμεστωμένων. αὐτοὶ γὰρ καὶ οἱ τῆς συγχύσεως εἰσηγηταὶ ταύτην τὴν θέαν ἐδέξαντο οὐδαμῶς, ὡς οὐκ ἀληθῶς πρεσβεύοντες ἐνανθρωπῆσαι τὸν Θεὸν λόγον σαρκὶ, ἀλλὰ κατὰ φαντασίαν καὶ δόκησιν. διὸ καὶ οὗτοι φαντασιούμενοι, ἕτερα ἀνθ' ἑτέρων νοοῦντες, προφέρονται τάδε.

2. Θεσσ. 2.
2. Τιμοθ. 3.

* τούτων δὲ τῶν λογιδρίων, L.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Ομοίως δὲ καὶ Γρηγόριος ὁ Θεολόγος ἐν τοῖς αὐτοῦ ἔπεσι λέγει· ὕβρις πίστιν ἔχειν ἐν χρώμασι, καὶ μὴ ἐν καρδίᾳ. ἡ μὲν γὰρ ἐν χρώμασιν εὐχερῶς ἐκπλύνεται. ἡ δὲ ἐν τῷ βάθει τοῦ νοὸς, ἐκείνη ἐμοὶ προσφιλής.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Διεστραμμένως αὖθις νοήσαντες, καὶ ἕτερον ῥητὸν Γρηγορίου τοῦ Θεολόγου προβάλλονται. ὅπερ παρὰ μὲν τοῦ πατρὸς ἐξεδόθη.

Υβρις πίστιν ἔχειν ἐν χρώμασι, μὴ κραδίῃσι·
Ρεῖά κεν ἔκπλυτ' ἔοι· βένθος ἔμοιγε φίλον.

Υπὸ δὲ τούτων τῶν ψευδοφαλσολόγων·
Υβρις πίστιν ἔχειν ἐν χρώμασι, καὶ μὴ ἐν καρδίᾳ.

μία. πάντες γὰρ οἱ τῷ ὀνόματί σου κεκλημένοι ὁμολογοῦμεν, σὲ λυτρώσασθαι ἡμᾶς ἐκ τῆς τῶν εἰδώλων ἀπάτης καὶ πλάνης· καὶ μετὰ τὴν σὴν ἐπίγνωσιν οὐδαμῶς οἱ τῆς θείας ἀναγεννήσεως ἀξιωθέντες ἐξετράπημέν τινι κτίσματι τῶν ὑπὸ τὸν οὐρανὸν τὴν θείαν σου προσκύνησιν προσάγειν, ἀλλά σοι τῷ μόνῳ λυτρωτῇ ἡμῶν· καὶ ψάλλομεν κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. μάρτυς αὐτὸς, καὶ ἁγίων ἀγγέλων στρατιαὶ, καὶ θεία ὁμήγυρις ἀποστόλων, προφητῶν καὶ μαρτύρων καὶ θεσπεσίων πατέρων. ἔχομεν δὲ εἰς ἀνάμνησιν τοῦ παντὸς ἡμῶν αἰσθητηρίου, εἰς δόξαν σὴν, πρὸς τὸ ἀνάγεσθαι ἡμᾶς πρὸς τὴν σὴν μεγαλειότητα, καὶ τύπον τοῦ θείου σταυροῦ, καὶ εὐαγγελικὴν διήγησιν, καὶ εἰκονικὴν ἀναζωγράφησιν, καὶ ἕτερα πλεῖστα καθιερωμένα σκεύη· καὶ ταῦτα ἀσπαζόμεθα διὰ τὸ ἐπὶ τῷ ὀνόματί σου γενέσθαι καὶ ἀνατεθῆναι. ἀλλ' οἱ ἐνεργήσαντες θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια ἐδίωξαν. διὸ καὶ οἴχεται αὐτῶν πᾶσα γλωσσαλγία. καθάπερ γὰρ φωτὸς ἀναλάμψαντος τὸ σκότος ἐκδιώκεται, οὕτως τῆς ἀληθείας φανείσης τὸ ψεῦδος τῆς αὐτῶν γλώττης ἐξετμήθη τῇ μαχαίρᾳ τοῦ πνεύματος. τοῦ δὲ τμηθέντος ἔχοντες καταλείμματα, ἐπιφέρουσι, λέγοντες τοιάδε.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ

ἀνέγνω.

Ομοίως καὶ Αμφιλόγιος ὁ τοῦ Ικονίου οὕτω φησίν· οὐ γὰρ τοῖς πίναξι τὰ σαρκικὰ πρόσωπα τῶν ἁγίων διὰ χρωμάτων ἐπιμελὲς ἡμῖν ἐντυποῦν, ὅτι οὐχρήζομεν τούτων, ἀλλὰ τὴν πολιτείαν αὐτῶν δι' ἀρετῆς ἐκμιμεῖσθαι.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ

ἀνέγνω.

Αἱρετικῶν οὖν ἴδιόν ἐστι τὸ περικεκομμένας ἐκβάλλειν τὰς χρήσεις. ἐπεὶ εἴ τις φιλοπόνως ἐρευνήσει, οὐδαμῶς τὴν ἔννοιαν τοῦ πατρὸς εὑρήσει ἀπαγορεύουσαν τὴν τῶν σεπτῶν εἰκόνων ἀνατύπωσιν· ἀλλ' ἐγκωμιάζων τὴν ἀνδρίαν καὶ στερρότητα τῆς ψυχικῆς διαθέσεως τῶν ἁγίων, καὶ προκρίνων τὴν τῶν ἀρετῶν ἐργασίαν, ταῦτά φησιν ὁ πατὴρ, καὶ ἵνα πρὸς μίμησιν ἡμᾶς ἀναγάγῃ τῆς αὐτῶν πολιτείας. οὐ γὰρ διὰ σαρκικὴν φιλίαν αὐτοὺς ἐγκωμιάζομεν, οὐδὲ ἀναστηλογραφοῦμεν· ἀλλὰ πρὸς μίμησιν θέλοντες ἔχειν τὰς αὐτῶν ἀρετὰς, καὶ ἐν βίβλοις τοὺς βίους αὐτῶν ἀνιστοροῦμεν, καὶ εἰκονικῇ γραφῇ αὐτοὺς ἀναζωγραφοῦμεν, ἥκιστα χρῃζόντων τοῦ παρ' ἡμῶν ἱστορικῶς ἐγκωμιάζεσθαι ἢ στηλογραφικῶς εἰκονίζεσθαι, ἀλλὰ πρὸς τὴν ἡμῶν ὠφέλειαν, καθὰ εἴρηται, τοῦτο ποιοῦμεν. οὐ γὰρ μόνον τὰ πάθη τῶν ἁγίων πρὸς ἡμετέραν σωτηρίαν ἐστὶ παιδαγωγὰ, ἀλλὰ καὶ αὐτὴ ἡ συγγραφὴ τῶν παθημάτων αὐτῶν καὶ διὰ εἰκονικῆς ἀναζωγραφήσεως δεικνυμένη, ὡσαύτως καὶ ἡ ἐτήσιος αὐτῶν μνήμη ὅλος γὰρ ὁ χαρακτὴρ τοῦ λόγου ταύτην τὴν ἔννοιαν παρίστησι, καὶ πρὸς ἀνατροπὴν τῶν σεπτῶν εἰκόνων ἐστὶν οὐδαμῶς τὸ παρὰ τοῦ πατρὸς εἰρημένον, οὐδὲ διαβολήν τινα πρὸς αὐτὰς πεποίηται. εἰ γὰρ φάσκει, οὐ χρώμασι τοῖς πίναξι τὰ σαρκικὰ αὐτῶν πρόσωπα ἐπιμελὲς ἡμῖν ἐντυποῦν, διὰ τὸν σκοπὸν τῆς ἀρετῆς ταῦτα παρ' αὐτοῦ λέλεκται. ἐπιφέρει γάρ. ἀλλὰ τὴν πολιτείαν αὐτῶν δι' ἀρετῆς ἐκμιμεῖσθαι. ἐπιμελὲς γὰρ ἡμῖν τὰς ἀρετὰς τῶν ἀγαθῶν ἀνδρῶν ἐκλέγεσθαι, καὶ τὰς πράξεις αὐτῶν μιμεῖσθαι, καὶ τὴν πολιτείαν αὐτῶν ζηλοῦν. τὸ δὲ ναοὺς αὐτοῖς ἀναδείμασθαι διηνεκῶς, ἢ ἐν εἰκόνι τούτους ἀναστηλοῦν, καταφρονοῦντας τῆς τούτων ἀρετῆς, οὐκ ἐπαινετόν. οὐδεὶς γὰρ ἂν ἐπαινέσειεν, εἰ ἴδοι ἄνδρα τὰς ἀρετὰς τῶν ἁγίων ἀποκρουόμενον, καὶ * ἡμέρᾳ τῇ ἡμέρᾳ εἰκόνας τούτων ἀνατιθέμενον, ἢ ναοὺς ἐγείροντα πλείστους, ἢ σκεύη ἱερὰ κατασκευάζοντα, καὶ τὸν ἑαυτοῦ ναὸν ταῖς ἐνθέοις ἀρεταῖς μὴ κατακοσμοῦντα. ἔφη γὰρ ὁ Θεὸς διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς οὕτω διακειμένους· ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοι ἐστί. καὶ ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρὸς με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. ἀλλὰ τί ποιήσετε, λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. ὅταν οὖν ταῦτα κατορθώσωμεν, τότε καὶ τὰ παρ' ἡμῶν προσφερόμενα δεκτὰ παρὰ τῷ Θεῷ, εἴτε ἅγιοι ναοί εἰσιν, εἴτε ἱερὰ σκεύη, εἴτε καὶ σεπταὶ εἰκόνες. οὕτως οὖν ἁρμόδιόν ἐστιν ἐκλέγεσθαι ἡμᾶς πρὸς μνήμην ἁγίων τὰς τούτων ἀρετὰς, καὶ κατὰ τὸ δυνατὸν ἐκμιμεῖσθαι. τοῦτο γάρ ἐστι μαρτύρων ἐγκώμιον, ἡ πρὸς ἀρετὴν παράκλησις τῶν συνειλεγμένων, ὡς ὁ μέγας ἔφη Βασίλειος ἐν τοῖς ἠθικοῖς αὐτοῦ λόγοις. σὺν τούτοις δὲ, καθὰ εἴρηται καὶ τὸ ναοὺς ἐγείρειν, καὶ εἰκόνας ἀνατυποῦν, καὶ ἱερὰ σκεύη τῷ Θεῷ προσφέρειν, τῶν ἀξιεπαινέτων ἐστί· δεῖ γὰρ καὶ ταῦτα ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι, ὁ ἀληθὴς λόγος ἡμᾶς ἐκδιδάσκει. οὐ γὰρ ἄν τις ἀρετὴν κτήσασθαι δύναιτο, ἐὰν μὴ ἐν ταῖς αὐλαῖς τοῦ κυρίου * παροδεύῃ, καὶ διὰ τῆς ἀναγνώσεως ἐνωτίζηται τῶν θείων λογίων, καὶ διὰ τῆς ὁράσεως πρὸς αἴσθησιν ὁδηγῆται τῶν τε εὐαγγελικῶν ἐξηγήσεων καὶ μαθημάτων, καὶ τῶν μαρτυρικῶν διηγήσεών τε καὶ ἄθλων. ἐν παντὶ δὲ καιρῷ καὶ τόπῳ καὶ χρόνῳ καὶ ὥρᾳ τὰς ἀρετὰς ποιεῖν ἐπιμελές ἐστι καὶ ἐπάναγκες· ὅτι καὶ τοῖς παθήμασι τοῦ Χριστοῦ ἐμπολιτεύεσθαι πάντοτε καὶ ἀεὶ καὶ διὰ παντὸς ἀναγκαῖον, καὶ τὴν νέκρωσιν αὐτοῦ ἐν τῷ σώματι ἡμῶν περιφέρειν, καὶ ἐπιμελῶς τοῦτο ποιεῖν, λυσιτελές· πρόξενον γάρ ἐστι τῆς οὐρανῶν βασιλείας. τὸ δὲ σταυροὺς πολλοὺς ἐγχαράττειν ἐν ἑνὶ οἰκίσκῳ, καὶ καταφρονεῖν

* ἴσ. ἡμέραν ἐξ ἡμέρας

Ἡσαΐ. 1.

* παρεδρεύῃ,

Ματθ. 13.

δίᾳ. ἡ μὲν γὰρ ἐν χρώμασιν εὐχερῶς ἐκπλύνεται· ἡ δὲ ἐν τῷ βάθει τοῦ νοὸς, ἐκείνη ἐμοὶ προσφιλής. ἔβυσαν τὰ ὦτα, καὶ τὰ ὄμματα ἔμυσαν, καὶ ὀρθὰ νοεῖν οὐκ ἠθέλησαν, ἀθετήσαντες τὰς ἐκκλησιαστικὰς παραδόσεις. ἀκοῇ γὰρ ἤκουσαν, καὶ οὐ συνῆκαν· καὶ ἔβλεψαν, καὶ οὐκ εἶδον. πωρωθέντες γὰρ τῇ καρδίᾳ καὶ τὰς πατρικὰς διδασκαλίας καὶ παραδόσεις ἐστρέβλωσαν κατὰ τὰς ἰδίας ἐπιθυμίας. ὁ γὰρ ἅγιος Γρηγόριος ὁ θεολόγος ἐν ταῖς μετρικαῖς αὐτοῦ ἐκδόσεσι τὸ ῥητὸν ὃ αὐτοὶ προηνέγκαν, διαγορεύων, ἠθικόν τινα λόγον εἰσάγει ῥυθμίζοντα τὸν βίον ἡμῶν, πρὸς τὸ ἀφίστασθαι τῶν προσκαίρων καὶ κοσμικῶν πραγμάτων καὶ ἡδονῶν σαρκικῶν, καὶ τὸν πνευματικὸν ἑλέσθαι βίον, ὅστις πρὸς τὰ οὐράνια ἀνάγει. καὶ μὴ πιστεύειν τῷ κόσμῳ τούτῳ, καὶ τοῖς προσκαίροις καὶ μὴ μένουσι προσανέχειν, ἃ καὶ χρώματα ὠνόμασεν· ἀλλ' ἔχεσθαι μᾶλλον τῶν πνευματικῶν καὶ ἀληθινῶν, ἅτινα ἐν τῇ καρδίᾳ τὴν βεβαίωσιν ἔχει, καὶ μένουσιν εἰς τὸν αἰῶνα. ὁ δὲ βίος ἡμῶν ῥευστὸς, καὶ παροικία ἡ ἐνταῦθα ζωή. ὥσπερ γὰρ χρῶμα καὶ μέλαν ταχέως ἐκπλύνεται, ἢ καὶ ὑπὸ τοῦ χρωματουργοῦντος μετασκευάζεται· οὕτως καὶ ἐν τῷ βίῳ τούτῳ, καθὼς ὁ αὐτός φησι, κύκλος τις τῶν ἡμετέρων περιτρέχει πραγμάτων ἄλλοτε ἄλλως, ἐπὶ μιᾶς ἡμέρας, ἔστι δὲ ὅτε καὶ ὥρας, φέρων μεταβολάς. καὶ γὰρ πάντα σκιᾶς δίκην ἀφανίζεται τὰ ἀνθρώπινα· καὶ πομφόλυγος εὐδιαπνευστότερός ἐστι πᾶς ὁ τῆς ἀνθρωπίνης δυναστείας ὄγκος. πᾶς γὰρ ἄνθρωπος χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος
Ἡσαΐ. 40. χόρτου, ἡ δὲ τῶν πνευματικῶν ἔργων ἐπίδειξις ἀκράδαντός τίς ἐστι, καὶ ἐν τοῖς μένουσιν ἔχει τὴν ἀντάμειψιν. ἐὰν γὰρ κατὰ τῶν εἰκόνων ἢν τὸ εἰρημένον, διηγόρευσεν ἄν· ὕβρις πίστιν ἔχειν ἐν χρώμασι, καὶ μὴ εἰς τὸν Θεόν· ἀλλὰ μὴ ἐν κραδίῃσιν, ἀπεφήνατο· τουτέστι, τὰ πάγια καὶ βέβαια ἵνα ἐργαζώμεθα τῆς βασιλείας τῶν οὐρανῶν, καὶ οὐχὶ τοῦ κόσμου τούτου· ἅτινα ὡς ῥευστὰ, ταχέως ἀλλοιούμενα, πίστιν οὐκ ἔχει. αὖθις δὲ κακῶς ἀλληγοροῦντες, καὶ κατὰ τὸν ἴδιον νοῦν τὰ πάντα συνάγοντες, τῶν μεγάλων μυστηπόλων Βασιλείου καὶ Ἰωάννου ῥητὰ προφέρουσιν εἰς μαρτυρίαν, λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ἰωάννης δὲ ὁ Χρυσόστομος διδάσκει οὕτως· ἡμεῖς διὰ τῶν γραφῶν τῆς τῶν ἁγίων ἀπολαύομεν παρουσίας, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες. τὰ γὰρ παρ' αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσί. μεγίστη γὰρ ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν, ὁ ἅγιος ἔφη Βασίλειος, ἡ μελέτη τῶν θεοπνεύστων γραφῶν· ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται, καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδεδομένοι, οἷόν τινες εἰκόνες ἔμψυχοι τῆς κατὰ Θεὸν πολιτείας, τῷ μιμήματι τῶν κατὰ Θεὸν ἔργων προκείμενοι.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οὐδαμῶς τις τῶν ὀρθὰ φρονούντων ἐπ' ἀνατροπῇ τῶν σεπτῶν εἰκόνων ταύτας τὰς ἐκδόσεις ἐνενόησεν ἢ ἐννοήσειεν. ἀναφανδὸν γὰρ πᾶσίν ἐστιν, ὅτι ἀκούοντες τὰς ἀνδρείας τῶν ἁγίων καὶ τὰς αὐτῶν καρτερίας, τῶν ψυχῶν αὐτῶν τὸ στερρὸν καὶ γενναῖον μακαρίζομεν· καὶ θείαις γραφαῖς ἐντυγχάνοντες, καὶ βίους ἀνδρῶν ἁγίων ἀναγινώσκοντες, καὶ εἰκονικὰς ἀναζωγραφήσεις ὁρῶντες, τῶν κατὰ Θεὸν αὐτῶν ἔργων ἐν ἀναμνήσει γινόμεθα. ἃ γὰρ ὁ λόγος διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν, ὡς ὁ μέγας ἔφη Βασίλειος ἐν τῷ ἐγκωμίῳ τῶν ἁγίων τεσσαράκοντα. ἀλλὰ καὶ Ἰωάννης ὁ Χρυσόστομος ἐν τῷ λόγῳ αὐτοῦ, ὅτι παλαιᾶς καὶ καινῆς διαθήκης εἷς ὁ νομοθέτης· καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως, οὗ ἡ ἀρχή· τῆς Χριστοῦ βασιλείας τὸ εὐαγγέλιον προκηρύττουσι μὲν προφῆται. καὶ μεθ' ἕτερα· ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφὴν εὐσεβείας ἕνεκεν. εἶδον γὰρ ἄγγελον ἐν εἰκόνι ἐλαύνοντα βαρβάρων στίφη· εἶδον πατούμενα βαρβάρων φῦλα, καὶ τὸν Δαβὶδ ἀληθεύοντα· Ψαλ. 72.
κύριε ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. ἀποδέδεικται τοίνυν, ὅτι τὰ παρὰ τῶν ἁγίων πατέρων καλῶς ἐκδεδομένα αὐτοὶ ἔξω θείου χοροῦ γενόμενοι διέστρεψαν. ἔτι δὲ ἔχονται κακίας, καὶ τὰ κατὰ τῶν εἰδώλων παρὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀθανασίου ῥηθέντα, πρὸς ἀνατροπὴν τῶν εἰκονικῶν ἀναζωγραφήσεων προβάλλονται, λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Καὶ Ἀθανάσιος δὲ ὁ τῆς Ἀλεξανδρείας κατὰ ἐθνῶν λόγος.
φωστὴρ ἔφη· πῶς οὐκ ἔστιν ἐλεῆσαι τοὺς τὰ κτίσματα σεβομένους; ὅτι οἱ βλέποντες τοῖς μὴ βλέπουσι προσεύχονται, καὶ οἱ ἀκούοντες τοῖς μὴ ἀκούουσι· κτίσμα γὰρ ὑπὸ κτίσματος οὐδέποτε σωθήσεται.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Βαβαὶ τῆς παρανοίας. καινήν τινα βλασφημίας ὁδὸν ἐννοήσαντες, τῆς ἀληθείας παρεκβεβήκασι. τοῦ γὰρ θεσπεσίου πατρὸς κατὰ τῶν εἰδώλων ταῦτα διαγορεύσαντος, αὐτοὶ μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ τῆς εἰλικρινοῦς ὁμολογίας, καὶ τῆς θείας ἀναγεννήσεως, ἐκτὸς τοῦ ἑνὸς ἐπὶ πάτων Θεοῦ κτίσμασι λατρεύειν τῶν Χριστιανῶν κατηγοροῦσι, καὶ εἰδωλολατρεῖν ἀποφαίνονται. φεῖσαι κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τινα ἀπαχθῆναι τῇ αὐτῶν βλασφημίᾳ.

νειν τῆς ἐντολῶν τοῦ Χριστοῦ, καὶ τῆς μιμήσεως τῆς παθημάτων αὐτοῦ τῆς ἀνοήτων ἐστίν· ἄνδρ γὰρ τῆς ἔργων ἡ πίστις νεκρά. φησὶ γάρ
Ιακωβ. 1. διαγγελικῶς ὁ κύριος· ὁ πᾶς ὁ λέγων μοι,
Ματθ. 7. κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῆς οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, ἔτι δὲ ἐχόμενοι τῆς προκειμένων, καὶ ἑτέραν ἀπόδειξιν πρὸς τοῖς εἰρημένοις ἀποδώσομεν. σύνηθες ἐστὶ τοῖς τὸ σωτήριον ἡμῖν τοῦ Θεοῦ διασαφήσασι θέλημα ἁγίοις παρεῖναι ἡμῶν,
* ἐπίτασιν κατ'* ἔκτασιν τὴν τῆς ἐντολῶν τήρησιν ἐκδιδάσκειν ἡμᾶς, ὃ πρὸς ἣν ἐντολὴν ἐστιν αὐτοῖς ὁ σκοπὸς ῥυθμίζειν τοὺς ἀκροωμένους, ταύτῃ διαγγέλλειν ὑψηλότερόν τε καὶ μεῖζον· ἵνα ὡς ἄγκυραν ἀσφαλῆ ταύτῃ κατέχοντες, μηδὲ περὶ τὰς λοιπὰς ἀμελῶμεν. διὰ δὲ τὴν ἔκτασιν τοῦ μήκους τοὺς πλείους σιγήσαντες, Ἀσέριον τὸν Ἀμασείας εἰς μέσον ἀγάγωμεν. καὶ γὰρ αὐτὸς εἰς τὸν Λάζαρον καὶ εἰς τὸν πλούσιον λόγον συγγραψάμενος, ἔμφασίν τινα περὶ πτωχοφοφίας καὶ κατὰ πλουτούντων διαγορεύσας, παραινεῖ τοῖς πλουσίοις τῇ ἐλεημοσύνῃ ἐγκαρπίζεσθαι, καὶ μὴ φαιδρῶς καὶ λαμπρῶς μαλακοῖς ἱματίοις ἀμφιέννυσθαι. καὶ παρεισάγει ἠθικόν τινα λόγον πρός τινας φιλαβεστέρους κατὰ τὸν βίον, πλούτῳ ἐφιεμένους, λέγων ὅπως· μὴ γράφε τὸν Χριστὸν ἐν ἱματίοις, ἀλλὰ μᾶλλον τὴν τῆς ἀναλωμάτων τούτων δαπάνῃ πτωχοῖς προσποιεῖσθαι. εἶτα καὶ θέλων ἐκκόψαι τὸ πλοῦτο τῇ ἔφεσιν, ἐπιφέρει· ἀρκεῖ γὰρ αὐτῷ ἡ μία τῆς ἐνσωματώσεως ταπείνωσις· τοιοῦτον, οὐκ ἀρεστὸν Χριστῷ τῷ Θεῷ ἡμῶν, ὅτι κοσμικῆς προσπαθείας καὶ φιλαργυρίας ἐμφαίνεσθαι τὰ τῆς οἰκονομίας αὐτοῦ μυστήρια. οὐδὲ γὰρ δίσεβές ἐστιν ἡ ἀπόδεκτον ἐνώπιον αὐτοῦ, διαγγελικῆς ἀναμνήσεως ἕνεκεν ὕλην πλούτου θησαυρίζειν, καὶ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις· πτωχῶν δὲ καταφρονεῖν ἐνδεομένων ἄρτων καὶ ἐνδυμάτων, καὶ σκεπασμάτων ἐσπερημένων· τοῦτο γὰρ φιλαργυρίας ἴδιον, καὶ οὐκ δίσεβείας. ὥσπερ γὰρ οὐ κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομία· οὕτως οὐδὲ πλούτου ἔφεσις, καὶ ἱματίων μαλακῶν ἀμφίεσις, πρὸς τὴν διαγγελικὴν ἀνατύπωσιν καὶ ἰσορρίαν. ἡ μὲν γὰρ τὴν τῆς οἰκονομίας διήγησιν ξενῶς ἡμᾶς ἐκδιδάσκει, εἰς σωτηρίαν ἀνάγουσα· ἡ δὲ ταλανίζεται ὡς ὑπὸ δυσωδίας κολάσεως, καθὼς
Ιακωβ 5. φησιν Ἰάκωβος ὁ ἀδελφόθεος· οἱ πλούσιοι κλαύσατε καὶ ὀλολύξατε ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν· ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν· ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν μενεῖ. τοιγαροῦν, καθά εἰρηται, πάντα τὰ διὰ φιλαργυρίαν γινόμενα τῷ κόσμῳ οἴχεται. δυνατὸν γὰρ ὑμῖν ἐστι διὰ μικροῦ τινος ἀναλώματος ἔχειν διατροφὰς, ἐνδύματα τε καὶ σκεπάσματα, καὶ ἐν τούτοις ἀρκεῖσθαι. πᾶν
Ματθ. 5. γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περιπερείας ἔχει κατηγορίαν, ὡς ὁ θεῖος ἔφη Βασίλειος. ἀρκεσθῶμεν
Ματθ. 25. οὖν οἷς χρείαν ἔχομεν, καὶ ἐκ τούτων τοῖς πτωχοῖς ἐπαρκέσωμεν, καὶ χεῖρα αὐτοῖς ὀρέξωμεν, ἵνα καὶ τῆς τοῦ κυρίου φωνῆς ἀκούσωμεν λεγούσης· μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· καὶ, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῆς ἀδελφῶν μου τῆς ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. ὃ ἐπειδὴ Ἀσερίῳ μνήμιλλα ἐποιησάμεθα, φέρε τοῖς αὐτοῦ λόγοις χρησάμενοι, τὴν τῆς σεπτῶν εἰκόνων παράδοσιν ἀρχαίαν θεσμοθεσίαν ἀποδείξωμεν τῆς καθολικῆς ἐκκλησίας. καὶ γὰρ αὐτὸς θεασάμενος εἰκόνα τοῦ πάθους Εὐφημίας τῆς μάρτυρος, ἐγκωμίοις ἐκέχρητο τοιοῖσδε. Γυνή τις ἱερὰ παρθένος ἀκήρατος Θεῷ τὴν σωφροσύνην καθιερώσασα, Εὐφημίαν καλοῦσιν αὐτήν. τυράννου δέποτε τοὺς δισεβοῦντας ἐλαύνοντος, μάλα προθύμως τὸν ἐπὶ θανάτῳ εἵλετο κίνδυνον. οἱ δὲ δὴ πολῖται καὶ κοινωνοὶ τῆς θρησκείας ὑπὲρ ἧς ἐτελεύτησεν, ὡς ἀνδρείαν ὁμοῦ καὶ ἱερὰν τὴν παρθένον θαυμάσαντες, πλησίον τοῦ ἱεροῦ τὴν θήκην δειμάμενοι, καταθέμενοί τε τὴν λάρνακα, τιμὰς τελοῦσιν αὐτῇ, ὃ τῇ ἐτήσιον ἑορτήν, κοινῇ καὶ πάνδημον ποιοῦνται πανήγυριν. οἱ μὲν ἕν τῆς τοῦ Θεοῦ μυστηρίων ἱεροφάνται καὶ λόγῳ τιμῶσι τὴν μνήμην ἀεί, καὶ ὅπως ἐξετέλεσε τὸν τῆς καρτερείας ἀγῶνα, ἐπιμελῶς τοὺς συνιόντας λαοὺς ἐκδιδάσκουσιν. ὁ δὲ δὴ ζωγράφος δισεβῶν καὶ αὐτὸς διὰ τῆς τέχνης τὰ κατὰ δύναμιν, πᾶσαν τῇ ἰσορρίαν ἐν συνδόνι χαράξας, αὐτοῦ που περὶ τὴν θήκην ἱερὸν ἀνέθηκε θέαμα. ἔχει δὲ ὧδε τὸ φιλοτέχνημα. ὑψηλὸς ἐπὶ θρόνου καθίδρυται δικαστὴς, πικρὸν καὶ δυσμενὲς βλέπων εἰς τὴν παρθένον· ὀργίζεται γὰρ ὅταν ἐθέλῃ κἂν ταῖς ἀψύχοις ὕλαις ἡ τέχνη. δορυφόροι δὲ τῆς ἀρχῆς καὶ στρατιῶται πολλοί. οἱ μὲν τῆς ὑπομνημάτων ὑπογραφεῖς δέλτους φέροντες καὶ γραφίδας· ὧν θάτερος ἀναρτήσας ἀπὸ τοῦ κηροῦ τὴν χεῖρα, βλέπει πρὸς τὴν κενομένην σφοδρῶς, ὅλον ἐκκλίνας τὸ πρόσωπον, ὥσπερ παρακελευόμενος γενναιότερον λαλεῖν, ἵνα μὴ κάμνων περὶ τὴν ἀκολουθίαν, ἐσφαλμένα γράφῃ καὶ ἐπιλήψιμα. ἔστηκε δὲ ἡ παρθένος ἐν φαιῷ χιτῶνι καὶ ἱματίῳ τὴν φιλοσοφίαν σημαίνουσα, ὡς μὲν ἔδοξε τῷ γραφεῖ, καὶ τὴν ὄψιν ἀσκεῖα· ὡς δὲ ἐμοὶ δοκεῖ, τὴν ψυχὴν κεκαλλωπισμένη ταῖς ἀρεταῖς. ἄγουσι δὲ αὐτὴν πρὸς τὸν ἄρχοντα δύο στρατιῶται, ὁ μὲν ἕλκων ἐπὶ τὸ πρόσω, ὁ δὲ κατόπιν ἐπείγων κεχαλυμμένον τῆς παρθένου τὸ ἦθος αἰδοῖ καὶ σεμνότητι· νοεῖ μὲν γὰρ εἰς γῆν ὥσπερ ἐρυθριῶσα τὰς ὄψεις τῆς ἀῤῥένων· ἔστηκε δὲ ἀκατάπληκτος, οὐδὲν πάσχουσα πρὸς τὸν ἀγῶνα δειλόν. ὡς ἔγωγε τὴν ἄλλως τέως ἐπήνεσα ζωγράφους, ὅτ' ἐθεασάμην τῆς γυναικὸς ἐκείνης τῆς Κολχίδος τὸ δρᾶμα, ὅπως μέλλουσα τοῖς τέκνοις ἐπιφέρειν τὸ ξίφος, ἐλέῳ καὶ θυμῷ μερίζει τὸ πρόσωπον· καὶ θάτερος μὲν τῆς ὀφθαλμῶν τὴν ὀργὴν ἐμφανίζει, θάτερος δὲ τὴν μητέρα μιμεῖται φειδομένην καὶ φείττουσαν. νῦν δὲ τὸ θαῦμα ἀπ' ἐκείνης τῆς ἐννοίας πρὸς ταύτην μετέθηκα τὴν γραφήν.

καὶ

καὶ σφόδρα γε ἄγαμαι τοῦ τεχνίτου, ὅτι μᾶλλον ἔμιξε τῶν χρωμάτων τὸ ἦθος, αἰδώ τε ὁμοῦ καὶ ἀνδρείαν κεράσας, πάθη κατὰ φύσιν μαχόμενα. προβαινούσης δὲ εἰς τὸ πρόσω τῆς μιμήσεως, δήμιοί τινες ἐν χιτωνίσκοις γυμνοὶ ἤδη ἤρχοντο τοῦ ἔργου· καὶ ὁ μὲν δραξάμενος τῆς κεφαλῆς, καὶ ἀνακλίνας εἰς τὸ κατόπιν, παρεῖχε τῷ ἑτέρῳ εὐτρεπὲς εἰς τιμωρίαν τῆς παρθένου τὸ πρόσωπον· ὁ δὲ παρασὰς ἐξέκοπτε τῶν ὀδόντων· σφύρα δὲ καὶ τέρετρον φαίνεται τῆς τιμωρίας τὰ ὄργανα. δακρύω δὲ τὸ ἐντεῦθεν, καί μοι τὸ πάθος ἐπικόπτει τὸν λόγον. τὰς γὰρ τοῦ αἵματος σταγόνας οὕτως ἐναργῶς ἐπέχρωσεν ὁ γραφεὺς, ὥστε εἴποις ἂν προχεῖσθαι τῶν χειλέων ἀληθῶς, καὶ θρηνήσας ἀπέλθοις. δεσμωτήριον μετὰ ταῦτα· καὶ πάλιν ἡ παρθένος σεμνὴ ἐν τοῖς φαιοῖς ἱματίοις κάθηται μόνη, ἐκτείνουσα τῷ χεῖρε πρὸς οὐρανὸν, καὶ καλοῦσα Θεὸν ἐπίκουρον τῶν δεινῶν. εὐχομένη δὲ αὐτῇ φαίνεται ὑπὲρ κεφαλῆς τὸ σημεῖον, ὃ δὴ νόμος Χριστιανοῖς προσκυνεῖν τε καὶ ἐπιγράφεσθαι· σύμβολον οἶμαι τοῦ πάθους, ὅπερ αὐτὴν ἐξεδέχετο. εὐθὺς γοῦν καὶ μετ' ὀλίγον πῦρ ἀλλαχοῦ σφοδρὸν ὁ ζωγράφος ἀνῆψεν, ἐρυθρῷ χρώματι ἔνθεν καὶ ἔνθεν ἐπιλαμφθέντι σωματοποιήσας τὴν φλόγα. ἵστησι δὲ μέσην αὐτὴν τὰς χεῖρας πρὸς οὐρανὸν διαπλώσασαν, ἀχθηδόνα δὲ οὐδεμίαν ἐπιφαίνουσαν τῷ προσώπῳ, ἀλλὰ τοὐναντίον γεγηθυῖαν, ὅτι πρὸς τὴν ἀσώματον καὶ μακαρίαν ἐξεδήμει ζωήν. μέχρι τούτου καὶ ὁ ζωγράφος ἔστησε τὴν χεῖρα, κἀγὼ τὸν λόγον. ὥρα δέ σοι καὶ αὐτὴν, εἰ βούλει, τελέσαι τὴν γραφὴν, ἵνα κατίδῃς ἀκριβῶς, εἰ μὴ πολὺ κατόπιν τῆς ἐξηγήσεως ἤλθομεν. καὶ ταῦτα μὲν Ἀστέριος. σκοποῦντες δὲ τὰ ἐν τῇ θείᾳ γραφῇ εἰρημένα, εὑρήσομεν τὸν αὐτὸν ἐκεῖθεν ἐκλεξάμενον τὰ παρ' αὐτοῦ διηγορευμένα. ὁ Θεὸς γὰρ τῷ θεράποντι αὐτοῦ Μωσεῖ περὶ
Ἐξοδ. 26. τῆς σκηνῆς διατασσόμενος, ποικίλα καὶ διάφορα ἐν αὐτῇ ἔργα προστάξας, πρὸς τούτοις ἔφη· ποιήσεις αὐλαίας ἐκ βύσσου κεκλωσμένης, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου χερουβίμ· ἐργασίᾳ ὑφάντου ποιήσεις αὐτάς. καὶ αὕτη μὲν ἡ διαταγὴ διδάσκει ἡμᾶς, ἵνα τὰ τῷ Θεῷ ἀνατεθειμένα ἀναλώμασι πλείστοις κατασκευάζωνται· ἐπὶ δὲ τῶν ἀνθρωπίνων οὐχ οὕτως. εἴρηται γὰρ τῷ λαῷ· καὶ ἱμάτιον ἐκ δύο ὑφασμένον οὐκ ἐπιβαλεῖς σεαυτῷ. λευκότατα δὲ
Δευτερ. 22. ὁ θεῖος ἀπόστολος τούτων τὴν ἔννοιαν παρί-
Τιμοθ. 2. στησι παραγγέλλων· τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ· ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι' ἔργων ἀγαθῶν. ταῦτα οὖν εἰδότες ἡμεῖς οἱ τῷ Θεῷ μόνῳ τὴν λατρείαν ἡμῶν ἐν πνεύματι καὶ ἀληθείᾳ προσάγοντες, πάντα τὰ αὐτῷ ἀνατεθειμένα καὶ καθιερωμένα, εἴτε θεῖος τύπος τοῦ τιμίου σταυροῦ, εἴτε ἅγιον εὐαγγέλιον, εἴτε σεπταὶ εἰκόνες, εἴτε ἱερὰ σκεύη εἰσὶ, καὶ ἀσπασώμεθα, καὶ περιπτυξώμεθα, ὡς ἐλπίδα ἔχοντες ἁγιασμοῦ μεταλαμβάνειν παρ' αὐτῶν· καὶ προσκυνήσιν τιμητικὴν αὐτοῖς ἀποδώσωμεν. προσκυνεῖτε γὰρ, φησὶ, τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. διὸ καὶ Γρηγόριος ὁ Ψαλ. 98.
θεολόγος ἐν τῷ εἰς τὰ γενέθλια τοῦ Χριστοῦ λόγῳ αὐτοῦ οὕτω φησί· τὴν Βηθλεὲμ τίμησον, καὶ τὴν φάτνην προσκύνησον· ἃ γὰρ τῷ Θεῷ ἀνατέθεινται, τῇ αὐτοῦ ἐπιφοιτήσει τε καὶ μεθέξει ἅγιά ἐστι, καθὼς πᾶσα ἡ θεία γραφὴ μαρτυρεῖ· καὶ ὡς ἁγίῳ ἡ τιμὴ τῆς ἁγιότηπος οὐκ ἄλλως φυλάττεται, ἢ διὰ τῆς ἡμῶν σχετικῆς προσκυνήσεως. αὐτοὶ δὲ ἔτι ἐμπνέοντες ψεύδους, ἀλλότριόν τι τῆς καθολικῆς ἐκκλησίας συῤῥάψαντες, φασίν.

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ
ἀνέγνω.

Συνῳδὰ δὲ τούτοις καὶ Θεόδοτος Ἀγκύρας, ὁ συναγωνιστὴς Κυρίλλου, περὶ τῶν αὐτῶν διδάσκει οὕτως· τὰς τῶν ἁγίων ἰδέας οὐκ ἐν εἰκόσιν ἐξ ὑλικῶν χρωμάτων ἀναμορφοῦν παρειλήφαμεν, ἀλλὰ τὰς τούτων ἀρετὰς διὰ τῶν ἐν γραφαῖς περὶ αὐτῶν δηλουμένων οἷόν τινας ἐμψύχους εἰκόνας ἀναμάττεσθαι δεδιδάγμεθα, ἐκ τούτου πρὸς τὸν ὅμοιον αὐτοῖς διεγειρόμενοι ζῆλον. ἐπεὶ εἰπάτωσαν οἱ τὰς τοιάσδε ἀνασκηλοῦντες μορφὰς, ποίας ἐκ τούτων ἄρα καταπολαύοιεν ὠφελείας; ἢ ἐν ποίᾳ διὰ τῆς τούτων ἀναμνήσεως ἀνάγονται πνευματικῇ θεωρίᾳ; ἀλλ' εὔδηλον, ὡς ματαία ἡ τοιαύτη ἐπίνοια, καὶ διαβολικῆς μεθοδείας εὕρημα.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Εἰ Θεόδοτος παρῆν ἐν τῷ δὲ τῷ βίῳ, τῇ μακαρίᾳ συνεξεβόησεν ἂν Σωσάννῃ πρὸς Θεὸν λέγων· ὁ Θεὸς ὁ αἰώνιος, ὁ τῶν κρυ- Δανιήλ 13.
πτῶν γνώστης, ὁ εἰδὼς πάντα πρὶν γενέσεως αὐτῶν· σὺ ἐπίστασαι, ὅτι ψευδῆ κατηγόρησάν μου, ζηλώσαντες τοὺς πρεσβυτέρους τῆς Βαβυλωνικῆς συγχύσεως, οἱ τῆς ψυχοφθόρου ταύτης καινοφωνίας εἰσηγηταί. ἀλλὰ θέλοντες ἑαυτοὺς ἱκανοὺς καὶ περιφανεῖς ἀποδεῖξαι, κενά τινα λαρυγγίζουσι, καὶ ψευδὴς ἀποδείκνυται ὁ κάλαμος τῆς γραφῆς αὐτῶν, καὶ προφανῶς παραχαράκται τῆς ἀληθείας εὑρίσκονται. πολλοὶ γὰρ μεθ' ἡμῶν ἐκζητήσαντες, εἶτά τε καὶ ἐρευνήσαντες ἐν τοῖς λόγοις τοῦ αὐτοῦ Θεοδότου περὶ τοῦ προκειμένου ῥητοῦ, εἰ ἄρα ἐγγέγραπταί τι τῶν τοιούτων, οὐδαμῆ οὐδαμῶς εὕρομεν. οὐδὲ γὰρ αὐτός τι τῶν τοιούτων διηγόρευσε· προφανῶς γὰρ δέδεικται, ὅτι οὐ Θεοδότου ἡ χρῆσίς ἐστι· πικρίας γὰρ καὶ παροξυσμοῦ μεστὸς ὁ λόγος, καὶ γλώσσης ἀκρατοῦς καὶ ἀκαθάρτων χειλέων ἡ τόλμα τοῦ φλυναφῆσαι, διαβολικῆς· χριστιανοκατηγόρων τοῦτο ἰδίωμά τε καὶ πλάσμα, καὶ οὐ Θεοδότου. ἐπεὶ εἰ ὡς αὐτοί φασιν, ἐξ αὐτοῦ τὴν

μαρ-

τοῦ Θεοῦ ὁ γεννήσας αὐτὸν Θεὸς εἴη ἂν αὐτοῦ
καὶ Θεὸς ὁμοῦ καὶ κύριος καὶ πατήρ. ὡσαύτως
δὲ καὶ ἐν τῇ πρὸς τὸν ἅγιον Αλέξανδρον ἐπι-
στολῇ τὸν καθηγητὴν τοῦ μεγάλου Αθανασίου,
ἧς ἡ ἀρχή· μεθ' ὅσης μὲν ἀγωνίας, καὶ μεθ'
ὅσης φροντίδος ἐπὶ ταῦτα ἦλθον τὰ γράμματα.
Τρανότατα βλασφημῶν οὕτω φησὶ περὶ τοῦ Αρείου
καὶ τῶν σὺν αὐτῷ. καὶ κατηγορεῖ αὐτῶν τὰ γράμ-
ματα, ὡς λεγόντων, ὅτι ὁ υἱὸς ἐκ τοῦ μὴ ὄν-
τος γέγονεν ὡς εἷς τῶν πάντων. οἱ δὲ προήνε-
γκαν ἑαυτῶν γραμματεῖον, ὃ πρὸς σὲ πεποιή-
κασιν· ἐν ᾧ τὴν ἑαυτῶν πίστιν ἐκθέμενοι, αὐ-
τοῖς ῥήμασι τάδε ὡμολόγουν. τὸν νόμου καὶ προ-
φητῶν καὶ καινῆς διαθήκης Θεὸν γεννήσαντα υἱὸν
μονογενῆ πρὸ χρόνων αἰωνίων, δι' οὗ καὶ τοὺς
αἰῶνας καὶ τὰ πάντα πεποίηκε. γεννήσαντα
δὲ οὐ δοκήσει, ἀλλὰ ἀληθείᾳ ὑποστήσαντα ἰδίῳ
θελήματι ἄτρεπτον καὶ ἀναλλοίωτον, κτίσμα τοῦ
Θεοῦ τέλειον, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων.
εἰ δὴ οὖν τὰ παρ' αὐτῶν γράμματα ἐληθεύει,
πάντως δὲ καὶ παρὰ σοὶ φέρεται. ἐν ᾧ ὁμολογοῦσι
τὸ υἱὸν τοῦ Θεοῦ πρὸ χρόνων αἰωνίων, δι' οὗ καὶ
τοὺς αἰῶνας πεποίηκεν, εἶναι ἄτρεπτον καὶ κτίσμα
τοῦ Θεοῦ τέλειον, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων·
ἡ δὲ σὴ ἐπιστολὴ κατηγορεῖ αὐτῶν ὡς ἂν λε-
γόντων, ὅτι ὁ υἱὸς γέγονεν ὡς ἓν τῶν κτισμά-
των. αὐτῶν τοῦτο μὴ λεγόντων, ἀλλὰ σαφῶς διο-
ρισαμένων, ὅτι οὐχ ὡς ἓν τῶν κτισμάτων· ὅρα
εἰ μὴ εὐθὺς πάλιν αὐτοῖς ἀφορμὴ δίδοται εἰς
τὸ ἐπιλαβέσθαι καὶ διαβάλλειν ὁρμᾶσθαι ὅσα καὶ
θέλουσι. πάλιν αὐτοὺς ᾐτιῶ λέγοντας, ὅτι ὁ
ὢν τὸν μὴ ὄντα ἐγέννησε. θαυμάζω δὲ, εἰ δύνα-
ταί τις ἄλλως εἰπεῖν. εἰ γὰρ εἷς ἐστιν ὁ ὢν, δῆ-
λον ὅτι ἐξ αὐτοῦ γέγονε πᾶν ὅ,τι καὶ ἔστι μετ'
αὐτόν· εἰ δὲ μὴ μόνος αὐτός ἐστιν ὁ ὢν, ἀλ-
λὰ καὶ υἱὸς ἦν ὁ ὢν, καὶ πῶς τὸν ὄντα ὁ ὢν ἐγέννη-
σεν; οὕτως γὰρ ἂν δύο εἴη τὰ ὄντα. καὶ ταῦτα μὲν
Εὐσέβιος πρὸς τὸν ἀοίδιμον Αλέξανδρον· ἀλλὰ
καὶ ἕτεραι ἐπιστολαὶ αὐτοῦ πρὸς τὸν αὐτὸν ἱερὸν ἄν-
δρα φέρονται, ἐν αἷς εὕρηνται ποικίλαι βλασ-
φημίαι τοὺς περὶ Αρειον διεκδικοῦσαι. ὡσαύτως
καὶ πρὸς Εὐφρασίωνα ἐπίσκοπον ἐπιστέλλων
τρανώτατα βλασφημεῖ. ἧς ἐπιστολῆς ἡ ἀρχή
ἐστιν οὕτως· τῷ δεσπότῃ μου κατὰ πάντα χάριν
ὁμολογῶ· καὶ ἐν τοῖς ἑξῆς· οὐ γὰρ συνυπάρ-
χειν φαμὲν τὸν υἱὸν τῷ πατρὶ, προϋπάρχειν δὲ
τὸν πατέρα τοῦ υἱοῦ. πλὴν αὐτὸς ὁ πάντων μᾶλλον
ἀκριβῶς ἐπιστάμενος υἱὸς τοῦ Θεοῦ, ἕτερον ἑαυ-
τὸν εἰδὼς τοῦ πατρὸς καὶ μείω καὶ ὑποβεβηκότα,
εὖ μάλα εὐσεβῶς τοῦτο καὶ ἡμᾶς διδάσκει λέ-
γων· ὁ πατὴρ ὁ πέμψας με μείζον μου ἐστί. καὶ
μεθ' ἕτερα· ἐπεὶ καὶ αὐτὸς μὲν Θεὸς ὁ υἱὸς,
ἀλλ' οὐκ ἀληθινὸς Θεός. ἐκ τούτων οὖν τῶν
συγγραμμάτων αὐτοῦ ἀποδείκνυται Αρείου καὶ
τῶν ἀμφ' αὐτὸν δοξάζων. μετὰ δὲ ταύτης
τῆς ἀποστατικῆς αὐτῶν αἱρέσεως οἱ τῆς Αρείου
μανίας ἐφευρεταὶ καὶ μίαν φύσιν πρεσβεύουσιν ἐπὶ
τῆς καθ' ὑπόστασιν ἑνώσεως, καὶ δοξάζουσι σάρ-
κα δίχα ψυχῆς ἀναλαβέσθαι τὸν κύριον ἡ-
μῶν ἐν τῇ σωτηριώδει αὐτοῦ οἰκονομίᾳ, λέγοντες
τὴν θεότητα ἀναπληροῦν τῆς ψυχῆς τά τε βου-
λεύματα καὶ κινήματα, ἵνα τὸ πάθος, καθώς
φησι Γρηγόριος ὁ θεολόγος τῇ θεότητι ἐπι-
γράψωσι· καὶ οἱ τὸ πάθος τῇ θεότητι προ-
σάπτοντες, Θεοπασχῖται δῆλόν εἰσι· καὶ οἱ ταύ-
της τῆς αἱρέσεως μετέχοντες εἰκόνα οὐ προσίεν-
ται δέχεσθαι, ὡς οὐδὲ ὁ δυσσεβὴς Σεβῆρος,
καὶ Πέτρος ὁ Κναφεὺς, καὶ Φιλόξενος ὁ Ιε-
ραπόλεως, καὶ πᾶσα ἡ ἀμφ' αὐτοὺς πολυκέφα-
λος ὕδρα καὶ ἀκέφαλος. ταύτης οὖν τῆς συμ-
μορίας καὶ Εὐσέβιος ὑπάρχων, ὡς δέδεικται ἔκ
τε τῶν ἐπιστολῶν αὐτοῦ καὶ τῶν ἱστορικῶν συγγραμ-
μάτων, εἰκόνα τοῦ Χριστοῦ ὡς Θεοπασχίτης ἀπο-
βάλλεται. τοὔνεκεν γράφει Κωνσταντίᾳ τῇ Λι-
κιννίου γυναικὶ, μὴ παρ' αὐτῷ εὑρῆσθαί ποτε εἰ-
κόνα. ἐπειδὴ καὶ ἐν τῇ αὐτῇ ἐπιστολῇ λέγει,
ὅτι μετεβλήθη ἡ ἔνσαρκος αὐτοῦ μορφὴ εἰς
τὴν τῆς θεότητος φύσιν· ἀλλ' οὐδεὶς τῶν ἁ-
γίων πατέρων ἡμῶν οὕτως ἐφρόνησεν ἢ ἐδίδα-
ξεν· οὐδὲ γὰρ ἡ ἀλήθεια οὕτως ἔχει. ἀκούσω-
μεν Αθανασίου τοῦ καθαιρέτου τῆς Αρείου μα-
νίας, τί φησιν ἐν τῇ δογματικῇ αὐτοῦ ἐπιστολῇ
τῇ πρὸς Εὐψύχιον πρεσβύτερον Καισαρείας.
ὡσαύτως καὶ Κυρίλλου ἐν τῇ πρώτῃ ἐπιστολῇ τῇ
πρὸς Σούκενσον ἐπίσκοπον Δοοκαισαρείας, καὶ
ἐν τῷ κατὰ Συνουσιαστῶν λόγῳ. ἄμφω γὰρ
ὥσπερ ἐπίγειον ἐμπολίτευμα ἔχοντες, οὕτως
καὶ οὐράνιον, καὶ παρὰ τοῦ ἑνὸς πνεύματος ἐμνευ-
σθέντες, συνῳδὰ ἀλλήλοις φθέγγονται. Α'-
θανάσιος μὲν ἐν τῇ προλεχθείσῃ πρὸς Εὐ-
ψύχιον ἐπιστολῇ, ἧς ἡ ἀρχή. ἐφ' οἷς μὲν ᾠή-
θης ἡμᾶς εὐλαβέστατε· μεθ' ἕτερα φησί· κοι-
νὸς ὁ τῶν προβάτων καρπὸς, τοῦτο δὴ τὸ νω-
τιαῖον θέρος, τὸ ἔριον εἰς κοινὴν χρῆσιν τοῖς
ἅπασι προκείμενον· ἀλλ' ὅταν τῇ ἐκ τῆς θα-
λάτης προσομιλήσῃ βαφῇ, πορφύρα λέγεται,
καὶ τῆς προσηγορίας ἀμειβομένης, καὶ τῆς χρή-
σεως κατ' ἐξαίρετον βασιλεῦσι μόνοις ἁρμόττειν
λαχούσης. καὶ ἔστιν ἔρια, καὶ οὐκ ἔστι. τὴν μὲν
φύσιν ἐκεῖνο ὅπερ πρότερον ἦν, τὴν δὲ χρῆ-
σιν οὐκέτι. φεύγει γὰρ τὴν κοινότητα διὰ τὸ
τοῦ χρωμένου ἀξίωμα. οὕτω γοῦν καὶ ἡ σὰρξ τῆς
κοινῆς ληφθεῖσα φύσεως, ἐπειδὴ γέγονε περι-
βόλαιον βασιλέως, τῆς αὐτῆς ἠξιώθη δόξης τῷ
χρησαμένῳ, κἂν μὴ τὴν φύσιν ἐγένετο. ὥστε
κύριος δόξης λέγεται εἰκότως καὶ καθὸ ἄν-
θρωπος. τῆς μὲν καθ' αὐτὸν φύσεως προσιε-
μένης τὸ πάθος, τῆς δὲ ὕβρεως διαβαινούσης
ἐπ' αὐτὸν τὸν ὥσπερ ἐσθῆτι χρησάμενον τῇ
σαρκί. ὥσπερ γὰρ ὁ τὴν ἀλουργίδα διαῤῥή-
ξας, ὡς * ἐπιβεβηκὼς αὐτῷ τῷ βασιλεῖ, τὴν
τιμωρίαν ὑπέχει· καί τοι γε οὐδὲν δεινὸν αὐτὸς
πέπονθεν ὁ βασιλεὺς, τῆς δὲ πορφύρας τὸ πά-
θος ἐπ' αὐτὸν ἀνήνεκται. οὕτω καὶ τὸ τῆς σαρκὸς
πάθος μὲν ἐν τῇ ἀπαθείᾳ τοῦ Θεοῦ λόγου διὰ
τῆς ὕβρεως ἐπ' αὐτὸν ἐληλυθέναι λέγεται. καὶ
διὰ τοῦτο Παῦλος τὸν δεσπότην Χριστὸν, κα-
θὸ ἄνθρωπον, υἱὸν Θεοῦ παραδίδωσι. καὶ πρὸ
τούτου Γαβριὴλ ὁ ἀρχάγγελος τὸν παράδοξον
τόκον εὐαγγελιζόμενος τῇ Μαρίᾳ. χαῖρε,
φη-

Ἐπιστ. 1. πρ. κλυδών.

* ἐπιβεβηκὼς

μαρτυρίαν παρήγαγον, ἔδει αὐτὸς ξανῶς δηλῶσαι, ἐκ ποίου λόγου αὐτῷ ἡ χρῆσις ἐλήφθη· ἀλλ' ὡς γινώσκοντες αὐτὸ φάλσον, τὸ ψεῦδος τῇ σιωπῇ ἐπαφῆκαν. τὸς λόγους αὐτῶ τοίνυν σωαγείραντες· λέγομεν δὴ τὸς πρὸς Λαῦσον γραφόντας κατὰ Νεσορίου ἐν τόμοις ἕξ, καὶ τὴν ἑρμηνείαν τὴν εἰς τὸ σύμβολον τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων, καὶ τὸν λόγον. τὸν εἰς τὴν γέννησιν τοῦ κυρίου, καὶ τὸν εἰς τὰ φῶτα, καὶ τὸν εἰς τὸν Ἡλίαν καὶ τὴν χήραν, καὶ τὸν εἰς τὸν ἅγιον Πέτρον καὶ Ἰωάννην, καὶ τὸν εἰς τὸν χωλὸν τὸν καθήμενον πρὸς τὴν ὡραίαν πύλην, καὶ τὸν εἰς τὸς τὰ τάλαντα λαβόντας, καὶ τὸν εἰς τὸς δύο τυφλούς. ὁδαμῶς τὸ ῥητὸν, ὃ αὐτοὶ προσλύεγκαν, εὕρομεν. ἀλλ' οὐδὲ ὁ ψαλδοσύλλογος αὐτῶν ὅτε ὠχλαγωγεῖτο, καὶ ἐνεγράφη ἐν τῷ φαλσολογήματι αὐτῶν, ἀπὸ βιβλίου τοῦ Ἀγκυρανοῦ ἡ χρῆσις μετελήφθη, ἀλλὰ διά ψαλδοπιττακίου τινὸς ὡς λοιμός τις διέδραμεν, ὅτινος μετέλαβον οἱ ἁπλούστεροι. οἱ δὲ ἐχέφρονες καὶ τῇ ἀληθείᾳ πειθόμενοι, τοῦτο πάντοτε ὡς ψεύδος ἠγήσαντο. ἠγήτορα δὲ τῆς αὐτῶν λοιμώδους αἱρέσεως ἔτι προβάλλονται τὸν ὑπερασπιστὴν Ἀρείου, καὶ σωασπιστὴν Εὐσεβίου Νικομηδείας, Θεογνίου Νικαίας, καὶ Μάριδος Χαλκηδόνος, τὸν ἐξάρξαντα τῶν ἀντιπαραταξαμένων τῇ ἐν Νικαίᾳ ἁγίᾳ συνόδῳ, ὕπω φάσκοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Ὁμοίως δὲ καὶ ὁ τοῦ Παμφίλου Εὐσέβιος πρὸς Κωνσταντίαν Αὐγούσαν αἰτησαμένην Χριστοῦ εἰκόνα ἀποσταλῆναι αὐτῇ παρ' αὐτοῦ, τοιάδε λέγει· ἐπεὶ δὲ καὶ περί τινος εἰκόνος ὡς δὴ τοῦ Χριστοῦ γέγραφας, εἰκόνα βαλομένη σοι ταύτην ὑφ' ἡμῶν πεμφθῆναι· τίνα λέγοις καὶ ποίαν ταύτην, ἵν' φὴς τοῦ Χριστοῦ εἰκόνα; πότερον τὴν ἀληθῆ καὶ ἀμετάλλακτον, καὶ φύσει τὸς αὐτοῦ χαρακτῆρας φέρουσαν; ἢ ταύτην ἵν' δὶ ἡμᾶς ἀνείληφε, τῆς δούλου μορφῆς περιθέμενος τὸ σχῆμα; ἀλλὰ περὶ μὲν τῆς τοῦ Θεοῦ μορφῆς οὐδ' αὐτὸς ἠξίωσαί σε ζητεῖν, ἅπαξ πρὸς αὐτοῦ πεπαιδαγμένον, ὅτι ὅτε τὸν πατέρα τις ἔγνω, εἰ μὴ ὁ υἱός· οὐδ' αὖτον υἱὸν γνοίη ποτέ τις ἐπαξίως, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ. καὶ δὴ μετά τινα· ἀλλὰ πάντως πῃ τῆς τοῦ δούλου μορφῆς ἐπιζητεῖς τὴν εἰκόνα, καὶ ἴσως δεῖ ἡμᾶς περιεβλήθη σαρκίου· ἀλλὰ καὶ τοῦτο τῇ δόξῃ τῆς θεότητος ἀνακεκρᾶσθαι μεμαθήκαμεν, καὶ καταπεπόσθαι τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. καὶ μετ' ὀλίγα· τίς ἂν τῆς τοιαύτης ἀξίας τε καὶ δόξης τὰς ἀποστιλβούσας καὶ ἀπαστραπτούσας μαρμαρυγὰς οἷός τε ἂν ᾖ καταχαράξαι νεκροῖς καὶ ἀψύχοις χρώμασι καὶ σκιαγραφίαις; ὁπότε μηδὲ προσβλέψαι αὐτῷ ἐπὶ τοῦ ὄρους οἱ θεσπέσιοι ὑπέμειναν μαθηταὶ, οἵγε ἔπεσον ἐπὶ πρόσωπον, ἀφόρητον αὐτοῖς τὸ θεώμενον ὁμολογήσαντες. εἰ γὰρ τόλε ἡ σύσαρκος αὐτοῦ μορφὴ τοσαύτης ἔλαχε δυνάμεως πρὸς τῆς ἐνοικούσης αὐτῇ θεότητος μεταβληθεῖσα, τί χρὴ λέγειν, ὅτε τὴν θνητότητα ἀποδύς, καὶ τὴν φθορὰν ἀποσυλήσας, τὸ εἶδος τῆς τοῦ δούλου μορφῆς εἰς τὴν τοῦ δεσπότου καὶ Θεοῦ δόξαν μετεσκεύασατο μὴ τὴν κατὰ τοῦ θανάτου νίκην, μὴ τὴν εἰς οὐρανὸς ἄνοδον, μὴ τὴν ἐν τῷ βασιλικῷ θρόνῳ ἀμφὶ τὰ δεξιὰ τοῦ πατρὸς ἵδρυσιν, μὴ τὴν ἐν τοῖς ἀκατονομάστοις καὶ ἀῤῥήτοις κόλποις τοῦ πατρὸς ἀνάπαυσιν; εἰς ἣν ἀνιόντα καὶ ἀποκαθισάμενον αἱ οὐράνιαι δυνάμεις ἀνυμνήσουσιν λέγουσαι· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Ψαλ. 23.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἡ προφητικὴ φωνὴ τούτοις ἁρμόσειεν, ἣν ὁ Θεὸς διὰ τοῦ προφήτου Ἱερεμίου τοῖς τῶν Ἰουδαίων λαοῖς ἐγκαλῶν ἔλεγεν· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν, ἀφέντες γὰρ τὰς τῶν ἐγκειμένων πατέρων διδασκαλίας οἱ λογάδες τῶν ψαλδολόγων, καὶ ζηλώσαντες τοῖς ἀποκηρυχθεῖσι τῷ πτύῳ τῆς θείας κρίσεως ἐκ τῆς δεσποτικῆς ἄλωνος, λέγω δὴ τῆς καθολικῆς ἐκκλησίας, αὐτοὺς εἰς σωασπισμὸν τῆς ἑαυτῶν αἱρέσεως ἐπισπῶνται. τίς γὰρ οὐκ ἔγνω τῶν πιστῶν τῆς ἐκκλησίας, καὶ γνῶσιν εἰληφότων ἀληθινῶν δογμάτων, ὅτι Εὐσέβιος ὁ Παμφίλου εἰς ἀδόκιμον νοῦν παραδοθείς, ὁμόδοξος καὶ σύμφρων γέγονε τοῖς τὰ Ἀρείου θρησκεύουσιν, ἐν πάσαις ταῖς ἰσομοιρίαις αὐτοῦ βίβλοις κτίσμα τὸν υἱὸν καὶ λόγον τοῦ Θεοῦ ἀποκαλῶν, καὶ ὑπουργὸν, καὶ δεύτερον προσκυνητόν; εἰ δέ τινες τοῦτον διεκδικοῦντες λέγουσιν ὑπογράψαι ἐν τῇ συνόδῳ, δῶμεν ὅτως εἶναι· ἀλλὰ τοῖς χείλεσιν αὐτοῦ τιμὴν ἀλήθειαν τετίμηκεν, ἡ δὲ καρδία αὐτοῦ πόῤῥω ἄπεστιν ἐξ αὐτῆς, ὡς δεικνύουσι τὰ τε συγγράμματα καὶ αἱ ἐπιστολαὶ αὐτοῦ πᾶσαι. εἰ δὲ ἄλλοτε ἄλλως κατὰ τοὺς καιροὺς καὶ κατὰ τὰ πράγματα συνεφύρετο καὶ μετεβάλλετο, ποτὲ μὲν ἐπαινῶν τοὺς τὰ Ἀρείου φρονοῦντας, ποτὲ δὲ τιμῶν ἀλήθειαν ὑποκεινόμενος, ἀποδείκνυται κατὰ τὸν ἀδελφόθεον Ἰάκωβον, ἀνὴρ ὢν δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ· καὶ μὴ οἰέσθω, ὅτι λήψεταί τι παρὰ κυρίου. εἰ γὰρ καρδίᾳ ἐπίσταται εἰς δικαιοσύνην, καὶ στόματι ὁμολογήσεται εἰς σωτηρίαν τὸν ἀληθῆ λόγον, πάντως ὑπὲρ τῶν συγγραμμάτων αὐτοῦ συγγνώμην ἠτήσατο, τύπων τινὶ ἐπανόρθωσιν ποιούμενος, καὶ ὑπὲρ τῶν ἐπιστολῶν αὐτοῦ λόγον ἀπολογίας ἐποιήσατο ἄν· ἀλλ' οὐδαμῇ οὐδαμῶς τοῦτο πέπραχεν· ἔμεινε γὰρ ὡς Αἰθίοψ μὴ ἀλλάξας τὸ δέρμα αὐτοῦ. ἐν γὰρ τῷ ἑρμηνεύειν αὐτὸν τὸ· εἶπα τῷ κυρίῳ· κύριός μου εἶ σύ· ἔξω τῆς ἀληθοῦς γνώσεως ἐκβεβηκὼς, οὕτως φησί· νόμοις φύσεως πάντες υἱοῦ πατὴρ, κύριος ἂν εἴη αὐτοῦ. διὸ καὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Ἱερ. 2. Ἰάκωβ 1. Ψαλμ. 85. Ματθ. 17.

Λεκ. 1. φησί, κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. ἰδοὺ σὺ ἐν γαστρὶ ἕξεις, καὶ τέξῃ υἱόν, καὶ καλέσουσιν αὐτὸν Ἰησοῦν· οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κληθήσεται. ὥστε καλεῖται υἱὸς Θεοῦ Ἰησοῦς, οὐκ εἰς θείαν φύσιν τῆς σαρκὸς μεταβληθείσης, ἀλλὰ τῇ πρὸς τὸν Θεὸν λόγον ἑνώσει τιμὴ ὁμώνυμον ἀξίαν λαβούσης· Κυρίλλου δὲ ὡσαύτως ἐν τῇ προειρημένῃ πρὸς Σύκουσον ἐπιστολῇ, ἧς ἡ ἀρχή· Ἐνέτυχον τῷ ὑπομνηστικῷ τῷ παρὰ τῆς σῆς ὁσιότητος ἀποσταλέντι. καὶ μεθ' ἕτερα οὕτω φησίν· μετὰ δέ γε τὴν ἀνάστασιν ἦν μὲν αὐτὸ τὸ σῶμα τὸ πεπονθός, πλὴν οὐκέτι τὰς ἀσθενείας τὰς ἀνθρωπίνας ἔχον ἐν ἑαυτῷ. οὐ γὰρ ἔτι πεινῆς ἢ κόπτῃ ἢ ἑτέρᾳ τινὸς τοιούτων δεκτικὸν εἶναι φαμὲν αὐτό, ἀλλὰ λοιπὸν ἄφθαρτον· καὶ οὐχὶ τοῦτο μόνον, ἀλλὰ καὶ ζωοποιόν. ζωῆς γὰρ σῶμα, τουτέστι τοῦ μονομεροῦς· κατελαμπρύνθη δὲ καὶ δόξῃ τῇ θεοπρεπεστάτῃ, καὶ νοεῖται Θεοῦ σῶμα· τοιγάρτοι κἂν εἴτις αὐτὸ λέγοι θεῖον, ὥσπερ ἀμέλει τὸ τοῦ ἀνθρώπου ἀνθρώσινον, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος λογισμοῦ. ὅθεν

2. Κορ. 5. οἶμαι καὶ τὸν σοφώτατον Παῦλον εἰπεῖν· εἰ καὶ ἐγνώκαμεν Χριστὸν κατὰ σάρκα, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. θεὸς γὰρ ὡς ἔφην ἴδιον σῶμα ὑπάρχον ὑπερέβη πάντα τὰ ἀνθρώπινα, μεταβολὴν δὲ τὴν εἰς θεότητος φύσιν οὐκ ἐνδέχεται παθεῖν σῶμα τὸ ἀπὸ γῆς· ἀμήχανον γάρ. ἐπεὶ κατηγορεῖται τῆς θεότητος ὡς γεννητῆς, καὶ ὡς προσλαβούσης τι ἐν ἑαυτῇ, ὁ μὴ ἐστι κατὰ φύσιν αὐτῆς ἴδιον. ἴσον γὰρ ἐστιν εἰς ἀτοπίας λόγον τὸ εἰπεῖν, ὅτι μετεβλήθη τὸ σῶμα εἰς θεότητος φύσιν, καὶ μὴν κἀκεῖνο ὅτι μετεβλήθη ὁ λόγος εἰς τὴν τῆς σαρκὸς φύσιν. ὥσπερ γὰρ τοῦτο ἀμήχανον· ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτός ἐστιν· οὕτω κἀκεῖνο τὸ ἕτερον. ὁ γὰρ ἐστὶ τῆς ἐφικτῶν, εἰς θεότητος οὐσίαν, ἤτοι φύσιν μεταχωρῆσαί τι δυνάσθαι τῆς κτισμάτων· κτίσμα δὲ καὶ ἡ σάρξ. ἀκὸν θεῖον μὴ εἶναι φαμὲν τὸ σῶμα Χριστοῦ, ἐπειδὴ Θεοῦ σῶμά ἐστι, καὶ ἀῤῥήτῳ δόξῃ κατηγλαϊσμένον, ἄφθαρτον, ἅγιον, ζωοποιόν. ὅτι δὲ εἰς φύσιν θεότητος μετεβλήθη, ὅτε τῆς πατέρων τις τῆς ἁγίων πεφρόνηκεν ἢ εἴρηκεν,

* ἄλ. μακρὸς οὔτε ἡμεῖς οὕτω διακείμεθα. ὁμοίως δὲ καὶ ἐν τῷ κατὰ Σωσιστρατῶν λόγῳ, οὗ ἡ ἀρχή· * ὁ μακάριος ἡμῖν ἀρτίως πεπόνηται λόγος τῆς τῆς ἀληθείας δογμάτων. καὶ μεθ' ἕτερα φησίν· φυκοῦν εἰ μεταβαλούσης αὐτοῦ τῆς σαρκὸς εἰς τιμὴν τῆς θεότητος φύσιν, ἀπέστη τοῦ εἶναι καὶ υἱὸς ἀνθρώπου, σαφὲς ἂν γένοιτο παντὶ τῷ λοιπόν, ὅτι τῆς υἱοθεσίας τὸ κώλυμα καὶ ἡμεῖς ἀποβεβλήκαμεν, ὡς οὐκ ἔχοντες ἔτι πρωτότοκον τὸν ἐν πολλοῖς ἀδελφοῖς, ὅτε γέγονε καθ' ἡμᾶς. καὶ μετὰ βραχέα· ἆρα τῆς δεδωρημένης ἡμῖν διὰ κλείδος ἀδοκήτως διωλισθήκαμεν; οὐμενοῦν. οὐ γὰρ ταῖς τινων ἀβελτηρίαις καὶ ἀνοσίοις ῥήμασιν εἰς ἀδόκιμον νοῦν ἀπολισθήσομεν, φρονήσομεν παρ' ὃ δεῖ φρονεῖν. κανόνα δὲ ὥσπερ τῆς εἰς θεὸν καὶ ἀδιαστρόφου πίστεως τιμὴν ἱερὰν καὶ θεόπνευστον δεχόμενοι γραφὴν, φαμὲν, ὅτι γενόμενον ἡμῶν πρωτότοκος ὁ μονογενὴς τοῦ Θεοῦ λόγος οὐκ ἀποπεφοίτηκε τοῦ εἶναί τε καὶ λέγεσθαι μετὰ τοῦ Θεὸς ἀληθινὸς, Θεὸς καὶ υἱὸς ἀνθρώπου. ὅτε μὲν εἰς φύσιν θεότητος τὴν ἀπρέπτως καὶ ἀσυγχύτως ἑνωθεῖσαν αὐτῷ σάρκα μετασχηματισάμενος ὁρᾶται, δόξῃ δὲ μᾶλλον ἰδίᾳ καταφαιδρύνας αὐτὴν νοοῖτ' ἂν εἰκότως καὶ θεοπρεπῶν ἐκπλήσας ἀξιωμάτων, οὕτω κατὰ καιρὸν ὀφθήσεται τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἐπιγνωστήσας ἐξ οὐρανοῦ. καὶ γοῦν ὅτε τῆς μετὰ σαρκὸς οἰκονομίας διαπεράνας εὖ μάλα τὸ μυστήριον, ἀναπεφοίτηκεν εἰς τὸν οὐρανὸν, εἶτα τὸ χρῆμα κατετεθήπεισαν οἱ τοῦτο θεασάμενοι· νεφέλη γὰρ ὑπέλαβεν αὐτὸν, καθά Πράξ. 1. γέγραπται· τότε τοῖς πεθαυμακόσι προσπεφώνηκέ τις τῶν ἁγίων ἀγγέλων· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναλημφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ἆρα οὖν οἱ πρὸς ὃς ὁ λόγος, ἄσαρκον αὐτὸν τεθέανται λόγον ἀναφοιτῶντα πρὸς τὸν πατέρα; ἦγουν ἀποβεβληκότα τιμὴν πρὸς ἡμᾶς ὁμοίωσιν; καὶ οὐκ ὄντα μὴν ἐν ἁπτῷ τε καὶ ὁρατῷ σώματι, μετεσκευασμένον δὲ μᾶλλον εἰς ἀναφῆ τε καὶ ἀόρατον φύσιν; εἶτα τίς ὁ φάναι τοῦτο τολμῶν; εἰ δὲ οὕτως ἐλεύσεται, καθὰ καὶ ἀνέβη, πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς ἥξει δὴ πάλιν ἐν σώματι, καὶ ὁ γυμνὸς καὶ ἄσαρκος λόγος; καὶ μετ' ὀλίγα· σύνες ἔν ὅτι τιμὴν ἐν ἐσχάτοις τῶν αἰῶνος ἡμέροις ἐξ οὐρανοῦ κάθοδον, ὁποία τις ἔσαι, προαναφαίνων αὐτοῖς μετεμορφώθη μὲν· Ματθ. 17 τὸ δέ γε τῆς μεταμορφώσεως σχῆμα πεπρᾶχθαί φησιν ὁ θεσπέσιος διαγγελιστὴς, οὐ καταύγει τιμὴν τοῦ εἴδους ἀπόθεσιν, ἤτοι ἀνθρωπίνου σχήματος ἀποβολὴν, περὶ μόνων δὲ μᾶλλον τιμὴν δόξαν. ἐκλάμψαι γὰρ ἔφη τὸ πρόσωπον αὐτοῦ, καὶ ἰσάμιλλον ταῖς ἡλίου μαρ· Φιλιπ. 3. μαρυγαῖς ἐνδῦναι τὸ σέλας. καὶ μετὰ βραχέα· γέγραφε δὲ περὶ Χριστοῦ καὶ ὁ πάνσοφος Παῦλος· ὃς μεταχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. εἶτα τί πρὸς τοῦτο φαῖεν ἂν οἱ μεταβαλεῖν λέγοντες εἰς τιμὴν τοῦ λόγου φύσιν τιμὴν σάρκα αὐτοῦ; ἆρα καὶ τὰ τῆς ἁγίων σώματα μετεκχήσονται κατὰ δόξαν εἰς φύσιν θεότητος; ἵνα καὶ σύμμορφα γένηται τῷ σώματι τῆς δόξης αὐτοῦ; καὶ τοι πῶς ἡ ψυχρολογία ταῦτα τῆς ἐχάτης ἁμαθίας ἐμπλεως; μεταβαλούσης γὰρ ὅλως, καθάφασι, Γωάν. 1. τῆς σαρκὸς εἰς φύσιν θεότητος, ποίῳ κεχρήσεται σώματι Θεὸς ὢν ὁ λόγος; ἀσώματον γάρ τι χρῆμα θεότης· καὶ ἀληθὲς, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ξανότατα δὲ αὖθις ἀποτεινόμενος πρὸς αὐτὸν Εὐσέβιον, οὕτω φησὶν ὁ αὐτὸς θεσπέσιος πατὴρ ἐν τῷ αὐτῷ λόγῳ. παρεισκρίνεται δέ τις καὶ ἕτερος αὐτοῖς, καθάφασι, περὶ τούτων λόγος. ὁ γάρ τοι θεσπέσιος Παῦλος διείσκεται γεγραφώς· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. 2. Κορίν.

οὐκέτι

οὐκοῦν εἰ μὴ κατὰ σάρκα γινώσκεται, φασὶ, μεταβαλεῖν ἀνάγκη τὴν σάρκα λέγειν εἰς τὴν αὐτοῦ τοῦ λόγου φύσιν, ἵνα ὡς Θεὸς γινώσκηται. φαίη δ' ἂν οἶμαί τις πρὸς τοῦτο εὐθύς. ἆρα οὖν ἡνίκα ἂν λέγῃ καὶ περὶ ἡμῶν· οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι· γυμνοὺς ἡμᾶς οἶδε σαρκὸς καὶ αἵματος; ἆρα πνεύμασιν ἀσωμάτοις τὰ τοιάδε προσλαλεῖ; καί τοι πῶς οὐ τερθρεία τοῦτό γε νοεῖν ἢ φράσαι; οὐκοῦν ἐφ' ἡμῶν μὲν σάρκα φησὶ τὰ τῆς σαρκὸς ἔκτοπά τε καὶ οὐκ * ἀνεπίπληκτα πάθη. ἐπὶ δέ γε τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πανάγνου τε ὄντος καὶ τὸ πλημμελεῖν οὐκ εἰδότος· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν ἑτεροτρόπως ἂν τὸ κατὰ σάρκα νοεῖσθαι πρέποι. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐν ἀσθενείαις ἔτι σαρκικαῖς. σαφῶς οὖν ἴσμεν ἐκ τῶν θεοφθόγγων πατέρων, ὅτι οὐκ ἐκ τῶν πηγῶν τοῦ Ἰσραὴλ ἠρύσαντο οἱ τῆς ἐρεσχελίας ταύτης προΐστορες, ἵνα γένηται αὐτοῖς εἰς ζωὴν αἰώνιον· ἀλλ' ἐκ τῶν πηγῶν τῶν πονηρῶν καὶ ἀτεκνούντων ἑαυτοῖς πόμα εἰσκεκομίκασι· καὶ ἀλλοτρίῳ ἐξακολουθήσαντες, εἰς κρημνοὺς καὶ φάραγγας ἀπάγονται· ἔδει αὐτοὺς, εἰ τῆς ἐκκλησίας ὑπῆρχον τρόφιμοι, Βασίλειον τὸν μέγαν προενεγκεῖν λέγοντα. ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Γρηγόριον τὸν Νύσσης· εἶδον εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν· Ἰωάννην τὸν καὶ τὴν κηρόχυτον γραφὴν ἀγαπᾷν λέγοντα, εὐσεβείας πεπληρωμένην· καὶ τοὺς τούτοις συνομίλους καὶ συνδιδασκάλους. ἔπειτα τὰ διεστραμμένα προβλήλατα οὐδέποτε κατευθύνοντες, προσθήκαις δὲ τὸ κακὸν πλεονάζοντες, ἔτι φασί.

Ρ'ωμ. 8.

* ἀνεπίληπτα

ΓΡΗΓΟ'ΡΙΟΣ Ε'ΠΙ'ΣΚΟΠΟΣ

ἀνέγνω.

Ταύτας οὖν τὰς γραφικὰς καὶ πατρικὰς μαρτυρίας. ἐν τῷ παρόντι ἡμῶν ὅρῳ ὡς ἐκ πολλῶν ὀλίγας ἀθροίσαντες συντεθείκαμεν, διὰ τὸ μὴ εἰς μῆκος τοῦτον ἐκτείνεσθαι· πλείστων γὰρ καὶ ἄλλων οὐσῶν, ἑκουσίως παρελίπομεν τὸ ἄπειρον πλῆθος. ἐκ τούτων οὖν τῶν θεοπνεύστων καὶ μακαρίων γραφῶν τε καὶ πατέρων βεβαίως οἰκοδομηθέντες, καὶ ἐπὶ τῇ πέτρᾳ τῆς ἐν πνεύματι θείας λατρείας τοὺς πόδας ἡμῶν ἐδράσαντες, ἐν ὀνόματι τῆς ἁγίας ὑπερουσίου καὶ ζωαρχικῆς τριάδος μιᾶς γνώμης γενόμενοι ἅπαντες ἡμεῖς οἱ τὸ τῆς ἱερωσύνης ἀξίωμα περικείμενοι, ὁμοφώνως ὁρίζομεν, ἀπόβλητον εἶναι καὶ ἀλλοτρίαν καὶ ἐβδελυγμένην ἐκ τῆς τῶν Χριστιανῶν ἐκκλησίας πᾶσαν εἰκόνα ἐκ παντοίας ὕλης καὶ χρωματουργικῆς τῶν ζωγράφων κακοτεχνίας πεποιημένην.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ

ἀνέγνω.

Τῇ ἐκκλησιαστικῇ παραδόσει τὸν ἑαυτῶν αὐχένα κλίνειν μὴ ἀνεχόμενοι, ἀλλὰ ἀποτυφλωθέντες πρὸς τὴν ἐκλογὴν τοῦ συμφέροντος καὶ τὴν κατάληψιν τῆς ἀληθείας, καὶ τὴν εὐσεβῆ παράδοσιν ἀποκήρυκτον ποιησάμενοι, οὐ τὸν χειμάῤῥουν τῆς τρυφῆς ποτισθῆναι ἠνέσχοντο, ἵνα γένηται ἐν αὐτοῖς πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον· οἱ ταύτης τῆς καινοτομίας ἀθυρολέκται, ἀλλ' ἐκ λάκκων συντετριμμένων ἀρδευθέντες, δυσώδη στελέχη βλαστάνουσιν, ἔχοντα καρπὸν χολὴν πικρίας. καὶ ψεῦδος ἐπὶ ψεύδει προστιθέντες ἀπεφήναντο· πλείστων καὶ ἄλλων οὐσῶν μαρτυριῶν ἃς ἑκουσίως παρελίπομεν. τοιγαροῦν, καθὼς προαποδέδεικται, ὅσαι μὲν ἐκκρίτων πατέρων χρήσεις παρ' αὐτῶν προηνέχθησαν, τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, διεστραμμένως ταύτας ἐνόησαν· ὅσαι δὲ τῶν ἐναντίων, οὐκ εἰσὶ τοῦ θείου πνεύματος. ὅθεν καὶ προσφθέγγεται αὐτοῖς μελῳδῶν ἐν πνεύματι ὁ μακάριος Δαβίδ· μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· χείλη δόλια ἐν καρδίᾳ καὶ ἐνκαρδίᾳ ἐλάλησε κακά. καὶ ἀντιφθέγγεται ὁ παῤῥησιαστὴς Η'σαΐας λέγων· ἡ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύεται· οὐκ ἔγνωσαν γὰρ φρονῆσαι, ὅτι ἀπημαυρώθησαν βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν. τοὺς γὰρ ὑγιαίνοντας ὅρους καὶ νόμους καταλιπόντες, ῥήμασι σχηματίζονται τὴν εὐσέβειαν, καὶ πειρῶνταί τινα εὐσεβῆ διαγορεύειν, ἵνα διὰ τῆς ἐν τούτοις εὐγνωμοσύνης μηδὲ περὶ τῶν λοιπῶν ἀπιστῶνται, λέγοντες· ἐν ὀνόματι τῆς ἁγίας καὶ ὑπερουσίου καὶ ζωαρχικῆς τριάδος. ἀλλὰ περὶ τὸν νοῦν κακουργεῖν θέλοντες, ἐξ ἰδίας γνώμης φθέγγονταί τε καὶ ὁρίζονται, γυμνὴν τιθέμενοι τὴν ἀσέβειαν, μηδὲ τὸ κρίμα τοῦ Θεοῦ κατὰ νοῦν λαβόντες, μηδὲ τὴν κυριακὴν ἀπόφασιν βοῶσαν ἐννοήσαντες· ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλασσαν. εἶτά τε καὶ καθάπερ χοῖροί τινες τοὺς μαργαρίτας πατήσαντες, λέγω δὲ τὰς ἐκκλησιαστικὰς παραδόσεις, ἀπόβλητον καὶ ἐβδελυγμένην ἐκ τῆς τῶν Χριστιανῶν ἐκκλησίας πᾶσαν εἰκόνα ἐκ παντοίας ὕλης τεθρυλλήκασι, ποιήσαντες βουλὴν, οὐ διὰ κυρίου· καὶ συνθήκας, οὐ διὰ τοῦ πνεύματος αὐτοῦ· καὶ ὥσπερ λύκοι βαρεῖς τῇ ποίμνῃ τοῦ Χριστοῦ ἐπῆλθον. ἀλλ' ἡ τῆς ἀληθείας λαμπρότης καὶ ἡ τοῦ φωτὸς αἴγλη ἀκράδαντον ἔχει τὴν παῤῥησίαν. τίς γὰρ οὐκ οἶδεν, ὅτι τῆς εἰκόνος ἀτιμαζομένης, πάντως οὗ τινός ἐστιν ἡ εἰκὼν, εἰς αὐτὸν προστρίβεται ἡ ἀτιμία; τοῦτο καὶ ἡ ἀλήθεια οὕτως οἶδε, καὶ ἡ φύσις τῶν πραγμάτων διδάσκει· καὶ ταύτῃ συνᾴδουσι καὶ θεῖοι πατέρες, ὁ μὲν ἅγιος Βασίλειος λέγων· ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Α'θανάσιος δέ· ὁ γοῦν προσκυνῶν τὴν εἰκόνα, ἐν αὐτῇ προσκυνεῖ τὸν βασιλέα. ὁμοίως δὲ καὶ ὁ Χρυσόστομος· οὐκ οἶδας, ὅτι ἐὰν εἰκόνα βασιλέως ὑβρίσης, εἰς τὸ πρωτότυπον τῆς ἀξίας φέρεις τὴν ὕβριν; καὶ αὐτοὶ μὲν οἱ πατέρες τῇ φύσει τῶν πραγμάτων κατηκολούθη-

Ι'ωάν. 4.

Ψαλ. 12.

Η'σαΐ. 44.

Ματθ. 17.

Μάρκ 9.

τιλὼ οἰκυμβύλιω διεσπάρησαν · τὰς τῶν ἁγίων προσώπων ἐμπρησμὰς, τῆς γλυπιάδος τὰς ἐκκαύσεις, τῶν παρθένων μὴ τιλὶ πρὸς Χριςὸν σύνταξιν, τιλὶ ἄνομον καὶ βιαίαν συζυγίαν · καὶ τὸ δεινότατον πάντων, τὰς μιαιφονίας. ταῦτα καρποὶ τῶν ἐρεχελήντων κατὰ τῆς ἀληθείας. ταῦτα μανία σαφὴς, καὶ ὐ κρίσις ἀληθής. ἐπειδὴ ὁ Θεὸς, καὶ ἐκ τύπων πάντων τῶν συνεχόντων δεινῶν ἀπήλλαξε τιλὶ ἐκκλησίαν αὐτῦ. καὶ δόξα αὐτῷ. ἀμιλὶ. ὑπὸ δὲ τῆς ἰδίας ἀθέσμε βελῆς παρεωραμβίοι, ἐκ τῆς ἀληθείας ἐλέγχονται, λέγοντες ὅπως.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ

Οἰζομβν δὲ καὶ τῦτο, μὴ τολμᾶν ἄνθρωπον τὸν οἰονῦν, ἐκκλησίας Θεῦ ἢ διαΓῦς οἴκου προεσῶτα, προφάσει ἐκμειώσεως τῆς τοιαύτης τῶν εἰκόνων πλάνης ἐπιβαλεῖν τὰς αὐτῦ χεῖρας εἰς ἀφιερωμβία τῷ Θεῷ ἅγια σκβίη χάριν μεταποιήσεως, τῦ εἶναι αὐτὰ ἔνζωδα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ταῦτα σόματα μὴ φοβυμβύων τὸν κύριον ἐξηρρίζαντο. τίς γὰρ ἂν τῶν ἐχόντων τῷ θείῳ φόβῳ καθηλωμένον τὸν νῦν, τὶ τῷ Θεῷ ἀνατεθειμένα τολμήσειε τῇ τῶν εἰδώλων προσηγορίᾳ ἀποκαλέσαι; ὐδὲ τῶν λίαν ἀμαθῶν καὶ ἀπαιδεύτων· εἰ μή πω ἀμνημονήσειε τὸ μέγα καὶ σωτηριῶδες μυςήριον, ὃ ὁ Θεὸς λόΓος σαρκὶ ἐπιδημήσας ἐν ἡμῖν εἰργάσατο, ῥυσάμβΓος ἡμᾶς ἐκ τῆς τῶν εἰδώλων πλάνης. τὸ γὰρ ζῶδα καλεῖν σύνηθες τοῖς ἀσεβέσι τὰ τῶν ἐθνῶν εἴδωλα. ὄντως ταῦτα τῶν ἐκ τῆς γῆς φωνύντων τὰ βατταρίσματα, καὶ τῆς τύτων κοιλίας τὰ ἀποφθέγματα· ἥτις χορτάσματα κοπρώδη λαβῦσα, δυσώδεις ἀναθυμιάσεις τῷ νοῒ ἐκπέμπυσα. παραπλήγας καὶ φρενητιῶντας τοῦ γελᾶσθαι ἀξίους πεποίηκεν. διὸ ἐπιφέρυσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Μήτε μιὰ εἰς ἐνδυτὰς ἢ ἕτερα βῆλα, ἢ εἰς ἕτερόν τι ἀφιερωμένον εἰς ἱερὰν ὑπηρΓίαν, διὰ τὸ μὴ ἀχρειῶσιν εἰς αὐτὰ Γίνεσθαι.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Διαβάλλοντες καὶ ὀμνύοντες κακῶς δέχεσθαι τὰς εἰκονικὰς ἀναζωγραφήσεις τιλὼ ἁγίαν τοῦ Θεῦ ἐκκλησίαν, αἰσχρά τε καὶ εἴδωλα καὶ ἔνζωδα ταύτας ἀποκαλῦντες, νῦν ὥσπερ ἐπιλαθόμβυοι τῆς ἑαυτῶν ἀναγῆς ἀποφάσεως, ταῦτα μένειν ἐν τῇ ἐκκλησίᾳ ὡς τῷ Θεῷ καθιερωμένα κρίνουσιν. εἰ δὲ τῷ Θεῷ καθιερωνται, πῶς αἰσχρὰ καὶ διαβολικῆς μεθοδείας ῥήματα; ἀλλὰ πρόδηλον ὅτι Καϊαφαϊκὴ ἡ ἀπόφασις. ἐκεῖνος Γὰρ τῇ μὲν κακίᾳ τὸν Χριςὸν ἀπέκτεινε, ἀγνοίᾳ δὲ ἀληθβίων, σωτῆρα τῦτον τῦ γβύς τῶν ἀνθρώπων ὡμολόγει. οὕτως καὶ αὐτοὶ ἀφομοιωθέντες αὐτῷ, τῇ κακίᾳ μὲν πλάνιω, καὶ ζῶδα, καὶ αἰσχρὰ, καὶ διαβολικῆς μεθοδείας εὕρημα τιλὼ τῶν ἁγίων εἰκόνων θέαν ἐνδιαβάλλουσιν. ἄκοντες δὲ καὶ ὑπὸ ἀληθείας ἐλεγχόμβυοι, ἱερὰ ταῦτα καὶ ἀναθήματα τῷ Θεῷ ἀναγκάζονται ὁμολογεῖν, καὶ ταῖς πάγαις τῶν ἰδίων ἐρεχελιῶν περιπίπτουσιν. ὅθεν φρενακίζοντες τὰς αὐτοῖς ἑπομένας προσφθέγγονται. Γωάν. 11.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἰ δέ τις λαβὼν παρὰ Θεῦ δύναμιν, θελήσειε μεταποιῆσαι τὰ αὐτὰ σκβίη, ἢ καὶ ἐνδυτὰς, μὴ τολμᾷν αὐτὸν ἄνευ γνώμης καὶ εἰδήσεως τῦ ἁγιωτάτυ καὶ μακαριωτάτυ οἰκυμβυικῦ πατριάρχυ, καὶ ἐπιτροπῆς τῶν εὐσεβεςάτων καὶ φιλοχρίςων βασιλέων ἡμῶν τῦτο πρᾶξαι, ἵνα μὴ τῇ προφάσει ταύτῃ ὁ διάβολος τὰς ἐκκλησίας τῦ Θεῦ ταπεινώσῃ. μήτε δέ τινα τῶν ἀρχόντων ἢ τῶν ὑπ' αὐτὸν, ἤτοι τῦ λαϊκῦ τάΓματος τῇ αὐτῇ προφάσει ἐπιβάλλειν τιλὼ χεῖρα ἐπὶ τὰς θείας ναὰς, καὶ τύτυς αἰχμαλωτίζειν, καθὼς τοιαῦτα ὑπό τινων ἀτάκτως φερομένων προγέγονεν.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Τίς ὐ γελάσειεν ἐπὶ ταύτῃ τῇ νομοθεσίᾳ, μᾶλλον δὲ θρηνήσειε; διὰ τύτων Γὰρ τῶν διακένων ῥημάτων πολλοὶ κατετόλμησαν τὰς Βελάρεω χεῖρας ἐπιβαλεῖν ἐν τοῖς ἱερατικοῖς σκβίεσι, παρ' αὐτῶν δηλονότι λαβόντες τὰς προφάσεις. δόλιον Γὰρ ἡ κακία. αὐτοὺς Γὰρ παιδεύοντες τοὺς μακαριωτάτους, ὡς αὐτοί φασιν· ὡς δὲ ἡ ἀλήθεια φησιν, ἀλλοτριεπισκόπους σφετεριζομένους τὸν χρυσὸν καὶ τὸν ἄργυρον τῶν ἱερῶν ἀναθημάτων, καὶ τὰς ἐν μουσείοις ἀναζωγραφήσεις, καὶ αὐτοὶ οὕτως εἰργάσαντο, εἰς κοινοὺς οἴκους καὶ λυτρὰ καὶ θέατρα ταῦτα μεταποιήσαντες· καὶ τὰ ἅγια τῇ τύτων κρίσει ἐβεβηλώθησαν· καὶ ἐγκαυχώμβυοι φασίν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Τύτων δὴ καλῶς ἐχόντων καὶ παγιωθέντων τῇ τῦ Θεῦ χάριτι, δίκαιον ἐκείναμβυ τῷδε ἡμῶν τῷ καθολικῷ καὶ θεαρέςῳ συγγράμματι ὅρυς κεφαλαιώδεις ἐκθέσθαι· ἐπειδὴ καὶ ἡμεῖς δοκοῖμβυ ἀποστολικῶς εἰπεῖν, ἀλλὰ μιὰ

θησαν· οὗτοι δὲ κατεξανίσανται καὶ τῆς ἐκκλησίας καὶ τῆς ἀληθείας· ὅτι οὐ βλασφημίας μόνον εἰσὶ μεστοὶ, ἀλλὰ καὶ παρανοίας καὶ ἀμαθίας ὑπερβολὴν ὁ λόγος αὐτῶν ἔχει, ἔδει γοῦν αὐτοὺς τὴν κινὴν καὶ μὴ διαφωνοῦσαν ἀποφθέγξασθαι φωνὴν, καὶ τὴν ἀρχαίαν παράδοσιν ἐπιστηρίζειν καὶ περισπούδαστον ἑαυτοῖς περιποιήσασθαι, ἣν τῶν πιστῶν ἅπαν τὸ πλῆθος ἐκ παραδόσεως ἀποστόλων καὶ πατέρων κεκράτηκε τε καὶ ὡμολόγησε· καὶ μὴ καινοτομίαν καὶ ἀφαίρεσιν ποιήσασθαι τῆς εὐσεβῶς ἐν ἡμῖν κεκρατηκυίας συνηθείας. τὰ γὰρ παραδοθέντα ἐν τῇ καθολικῇ ἐκκλησίᾳ οὔτε προσθήκην, οὔτε μείωσιν ἐπιδέχεται· μεγίστη γὰρ τὸν προστιθέντα καὶ τὸν ἀφαιροῦντα τιμωρία δεσμεῖ. ἐπικατάρατος γὰρ, φησὶν, ὃς μετατίθησιν ὅρια πατέρων αὐτοῦ. ἀλλ' οὐκ ἔσχον προαίρεσιν πρὸς τὸ γνῶναι τἀληθές. οὐκοῦν ἀκούσονται τὰ τῆς σοφίας· ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια διώκει, καὶ ἐλεύσεται ἐπὶ παγίδα θανάτου.

Δευτερ. 27.

Παροιμ. 21.

ΤΟ̃ΜΟΣ ϛ'.

ΕΠΙΦΑ̃ΝΙΟΣ ΔΙΑ̃ΚΟΝΟΣ
ἀνέγνω.

Ὄφελον εἰς ἔννοιαν ἔλαβον τὴν φωνὴν, ἣν ὁ κύριος εἶπε τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ· σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἀλλὰ γενόμενοι τῆς ἁρμονίας καὶ τῆς οἰκοδομῆς ταύτης ἀλλότριοι, τοῦ γελᾶσθαι ἄξια ληρῳδοῦσι, διοριζόμενοι τοιάδε.

Ματθ. 16.

ΓΡΗΓΟ̃ΡΙΟΣ ΕΠΙ̃ΣΚΟΠΟΣ
ἀνέγνω.

Μηκέτι τολμᾷν ἄνθρωπον τὸν οἱονδήποτε ἐπιτηδεύειν τὸ τοιοῦτον ἀσεβὲς καὶ ἀνόστον ἐπιτήδευμα. ὁ δὲ τολμῶν ἀπὸ τοῦ παρόντος κατασκευάσαι εἰκόνα, ἢ προσκυνῆσαι, ἢ στῆσαι ἐν ἐκκλησίᾳ, ἢ ἐν ἰδιωτικῷ οἴκῳ, ἢ κρύψαι, ἢ μὲν ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος εἶεν, καθαιρείσθω· εἰ δὲ μονάζων ἢ λαϊκὸς, ἀναθεματιζέσθω, καὶ τοῖς βασιλικοῖς νόμοις ὑπεύθυνος ἔστω, ὡς ἐναντίος τῶν τοῦ Θεοῦ προσταγμάτων, καὶ ἐχθρὸς τῶν πατρικῶν δογμάτων.

ΕΠΙΦΑ̃ΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Τῆς ἐκκλησίας ἁπάσης κατηγορήσαντες, καὶ εἰς τοῦτο μὴ ἀρκεσθέντες, μήτε κόρον τῆς ἀσεβείας λαβόντες, ἔτι ἀνόμως καὶ ἀθέσμως ὁρίζουσι μὴ ποιεῖν εἰκόνα. καὶ τίς ἂν τῆς εὐσεβῶς νοούντων ἢ βιούντων τούτοις πεισθείη; τοσοῦτον γὰρ ἐβεβαιώθη ἡ τῆς σεπτῆς εἰκόνων ἐμφάνεια ἐν ταῖς ἐκκλησίαις, ὅτι ἀφ' οὗ κατηγγέλη τὸ εὐαγγέλιον μέχρι τοῦ νῦν, ἐν αὐταῖς ἀναδεδειγμέναι εἰσί· καὶ πᾶν τὸ ἀρχαιότητι διαφέρον, αἰδέσιμον. τί γὰρ ἄλλο κελεύει ὁ θεῖος ἀπόστολος * Κορινθίοις γράφων· κρατεῖτε τὰς παραδόσεις ἃς παρελάβετε, καὶ αὖθις Τιμοθέῳ καὶ Τίτῳ· τὰς βεβήλους καινοφωνίας ἀποστρέφεσθε. πάντες οὖν οἱ Χριστιανοὶ, ὡς γεννηθέντες ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ, τὰς παραδόσεις ἃς παρελάβομεν, κρατοῦμεν, καὶ ἐν αὐταῖς βεβαιούμεθα, καὶ τὰς νέας κενοφωνίας παραιτούμεθα, ἐξακολουθοῦντες τῷ θείῳ ἀποστόλῳ· καὶ ὅσα κατὰ καιροὺς τοῖς ἀοιδίμοις ἡμῶν πατρᾶσιν ἔδοξεν ἐπὶ τῷ θεμελίῳ τῆς ἀποστόλων καὶ προφητῆς ἐπικοδομῆσαι, δεχόμεθα· τὰ δὲ ἐναντίως ἔχοντα ὡς ἐχθρὰ καὶ πολέμια διαπτύομεν· λέγομεν δὴ πάντα τὰ παρὰ τῆς αἰσχίστων καὶ δυσσεβῶν αἱρέσεων φληναφηθέντα· μεθ' ὧν καὶ τὴν νεότευκτον τῆς χριστιανοκατηγόρων ὡς θεοστυγῆ ἀθυρολεξίαν προσοχθίζοντες, μυσαττόμεθα. ἐκτεταμένην δὲ ἔχοντες τὴν ἀσέβειαν, οὐ μόνον τὴν γλῶσσαν τεθηγμένην ἔσχον πρὸς τὸ ἁμαρτοεπεῖν, ἀλλὰ καὶ τὴν χεῖρα τῆς κρατούντων συκοφαντεῖν καὶ πλήττειν ἐδίδαξαν, εἰπόντες· τοῖς βασιλικοῖς νόμοις ὑπεύθυνος ἔστω ὁ μὴ αὐτοῖς προσανεχόμενος. ἐκ ταύτης οὖν τῆς φωνῆς πολλάτε καὶ παντοδαπὰ τὴν οἰκουμένην διῆλθεν, ὠμότης ἔντονος ἐξησκεῖτο τοῖς κρατοῦσι καὶ τοῖς ἄρχουσιν αὐτοῖς τοῖς ἀλλοτρίοις ἐπισκόποις. καὶ ποία γλῶσσα δύναται ταῦτα ἐκτραγωδῆσαι; πόθεν δὲ, ἢ πῶς ἄρξομαι, ὅθεν ἕκαστον τῆς πραγμάτων, διηγήσασθαι; τοὺς κλόνους, τοὺς φόβους, τοὺς διωγμοὺς, τὰς κατὰ πόλιν φρουρήσεις τῆς μοναχῶν, καὶ μαστιγώσεις, τὸ δεσμώτας αὐτοὺς εἶναι ἐν πολλοῖς ἔτεσιν, ἁλύσεις τοῖν ποδοῖν περικειμένους, τῆς ἱερῶν σκευῶν τὸν ἀφανισμὸν, τῆς βίβλων τὸν ἐμπρησμὸν, τῆς ἁγίων ναῶν τὰς κοινώσεις, τῆς εὐαγῶν μοναστηρίων τὰς βεβήλους μεταποιήσεις εἰς κοσμικὰ καταγώγια· ὥστε τοὺς ἐνδιαιτωμένους ἐν αὐτοῖς εὐλαβεῖς ἄνδρας μετὰ τὴν ἁρπαγὴν τῆς ὑπαρχόντων αὐτῆς τὰς βαρβαρικὰς χώρας καταλαβεῖν, ἀποστολικῶς κρείττονα ζωὴν ἡγησαμένους τὴν εἰς τὰ ἔθνη διαγωγὴν τῆς μετὰ τῆς ὁμοφύλων βεβήλου συναναστροφῆς, τῷ θείῳ ἀποστόλῳ πειθομένους, τοῖς τοιούτοις μηδὲ συνεσθίειν· καὶ τὸ δεινότατον πάντων, ὅτι καὶ ἕως τοῦ νῦν αὕτη ἡ ἀσέβεια τῆς βεβηλώσεως τῆς εὐαγῶν μοναστηρίων παρά τισιν ἀθέσμως διαμένει· καὶ ἀντὶ τῆς ἱερῶν ὕμνων καὶ τῆς φωνῆς τῆς ἀγαλλιάσεως τῆς ἐν σκηναῖς τῆς δικαίων πορνικὰ καὶ σατανικὰ μελῳδήματα· καὶ ἀντὶ τῶν ἀλλεπαλλήλων γονυκλισιῶν, ὀρχηστικὰ λυγίσματα. σὺν τούτοις καὶ τοὺς κινδύνους, τὸν τάραχον, τὸν σάλον καὶ αἰκισμοὺς, τὰς ποινὰς, τὰς πηρώσεις τῆς ὀφθαλμῶν, τὰς ἐκτομὰς τῶν ῥινῶν, τῶν γλωσσῶν τὰς ἀποτομὰς, τὰς ἀτίμους φυγὰς, ἤγουν ἐξορίας τῶν εὐλαβῶν ἀνδρῶν, ὅτι ἀνὰ πᾶσαν τὴν

* Θεσσαλονικεῦσι 2. Θεσμ. 2.

1. Τιμ. 6.

2. Τιμ. 2.

Τίτ. 3.

1. Κορ. 5.

μὴν καὶ πιστεύομεν πνεῦμα Χριστοῦ ἔχειν. καὶ καθάπερ οἱ πρὸ ἡμῶν εἰς αὐτὸ πιστεύσαντες τὰ συνοδικῶς ὑπ' αὐτῆς ὁρισθέντα λελαλήκασι, καὶ ἡμεῖς πιστεύομεν εἰς αὐτὸ, διὸ καὶ λαλοῦμεν. μετά τινας προταχθησομένους πατρικοὺς ὅρους ἀκαλούθως καὶ συμφώνως τὰ δόξαντα ἡμῖν ὁρίζοντες.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Πολλάτε καὶ παντοδαπὰ ἀνωτέρω ληρωδήσαντες, καὶ ἰδίαν φαυλότητα τρανῶς ἀποφηνάμενοι, καὶ εἰς πολλὰ ταύτην διελόντες, ἑαυτοὺς παρεισφέρουσι τοῖς διδασκάλοις τῆς ἐκκλησίας ἐξισοῦσθαι, καὶ ταῖς ἱεραῖς αὐτῆς ἐμφάσεσι τοὺς ἐναγεῖς αὐτῆς ὅρους συναριθμεῖσθαι ἀλαζονεύονται, τὸ ψεῦδος τῇ ἀληθείᾳ συγκαταμίξαι βουλόμενοι, οἷα δηλητήριον ἀνακιρνῶντες μέλιτι. ἀλλ' οἱ τῷ θείῳ πνεύματι ὁδηγούμενοι διακρίνουσι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος· καὶ ὅσα μὲν εὐσεβῶς ὡς παρὰ ἁγίων πατέρων προορισθέντα, ἀποδέχονται. ὅσα δὲ διεστραμμένως ὡς παρ' αὐτῶν λαληθέντα, ἀποκρούονται. αὐτοὶ γὰρ οἱ ψευδορρήμονες ὁμολογοῦσι μὲν εἰδέναι Θεὸν, τῆς δὲ ἀπαγούσης τρίβου πρὸς τὴν βασιλικὴν ὁδὸν ἐκτρέπονται, τὰ τῆς ἡμετέρας εἰλικρινοῦς πίστεως ῥήματα πονηρίας ἰῷ χρώσαντες, ἀπαιδευσίαν ὅμορον ἔχοντες τοῖς πάλαι αἱρεσιάρχαις. καὶ αὐτοὶ γὰρ τῇ καθολικῇ ἐκκλησίᾳ τὰ πλεῖστα συμπεφωνήκασιν, ἐν ἑνὶ δὲ ἢ δύο παρεκβεβηκότες, τὸ ἀνάθεμα ἐκληρώσαντο. μεθ' ὧν τὴν μερίδα ἔχον, κἂν τοιάδε ἀποφαίνωνται.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.
Κεφάλαια ιή. τῆς ψευδοσυνόδου

Εἴ τις οὐχ ὁμολογεῖ κατὰ τὰς ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις, ἐπὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μίαν καὶ τὴν αὐτὴν θεότητα, φύσιν τε καὶ οὐσίαν, θέλησίν τε καὶ ἐνέργειαν, δύναμίν τε καὶ κυριότητα, βασιλείαν καὶ ἐξουσίαν ἐν τρισὶν ὑποστάσεσιν, ἤτοι προσώποις δοξαζομένοις, ἀνάθεμα· εἴ τις οὐχ ὁμολογεῖ τὸν ἕνα τῆς ἁγίας τριάδος, ἤτοι τὸν υἱὸν καὶ λόγον τοῦ Θεοῦ καὶ πατρὸς, τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῆς ἡμερῶν τὸν αὐτὸν διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῆς οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐξ αὐτῆς γεννηθέντα ὑπὲρ πᾶσαν ἀνθρώπων κατάληψιν ἀνάθεμα. εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Εμμανουὴλ, καὶ διὰ τοῦτο θεοτόκον τὴν ἁγίαν παρθένον· γεγένηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ λόγον· ἀνάθεμα. εἴ τις οὐχ ὁμομογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι Θεόν τε ὁμοῦ καὶ ἄνθρωπον, ἀνάθεμα. εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ κυρίου σάρκα ζωοποιὸν εἶναι καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ Θεοῦ πατρὸς λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτὸν, συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤτοι ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος· καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γέγονεν ἰδία τοῦ λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος· ἀνάθεμα. εἴ τις οὐχ ὁμολογεῖ ἑνὸς Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν δύο φύσεις, καὶ δύο φυσικὰ θελήματα, καὶ δύο φυσικὰς ἐνεργείας κοινωνικῶς τε καὶ ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως κατὰ τὴν τῆς ἁγίων πατέρων διδασκαλίαν, ἀνάθεμα. εἴ τις οὐχ ὁμολογεῖ τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν μετὰ τοῦ προσλήμματος, ἤτοι τῆς ἐψυχωμένης ψυχῇ λογικῇ τε καὶ νοερᾷ σαρκὸς αὐτοῦ συνεδρεύειν τῷ Θεῷ καὶ πατρί, οὕτω τε πάλιν ἥξειν μετὰ τῆς πατρικῆς αὐτοῦ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὐκέτι μὲν σάρκα, οὐκ ἀσώματον δὲ, οἷς αὐτὸς οἶδε λόγοις θεοειδεστέρου σώματος, ἵνα καὶ ὀφθῇ ὑπὸ τῆς ἐκκεντησάντων, καὶ μείνῃ Θεὸς ἔξω παχύτητος. ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Μέχρι τούτων εὐγνωμονοῦσι συνάδοντες ταῖς τῆς ἁγίων πατέρων ἐκδόσεσι· μᾶλλον δὲ τὰ αὐτῆς σφετερισάμενοι δόγματα, δόξαν ἑαυτοῖς περιτίθενται. ἐν δὲ τοῖς ἑξῆς τὰ πικρὰ τῆς ἰοβόλου αὐτῆς γλώττης καὶ ἐχιδνώδη δόγματα ἰοῦ θανατηφόρου μεμεστωμένα ἐξεμοῦσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴ τις τὸν θεῖον τοῦ Θεοῦ λόγου χαρακτῆρα κατὰ τὴν σάρκωσιν δι' ὑλικῶν χρωμάτων ἐπιτηδεύοι κατανοῆσαι, καὶ μὴ ἐξ ὅλης καρδίας προσκυνῇ αὐτὸν ὄμμασι νοεροῖς, ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου ἐκ δεξιῶν τοῦ Θοῦ ἐν ὑψίστοις ἐπὶ θρόνου δόξης καθήμενον, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Παράδοξοί τινες ἀλληγορισταὶ ἀποδείνυνται ἐπὶ ταύτῃ αὐτῆς τῇ * φαντασιώδει ἀποφάσει. χαρακτήρα γὰρ τοῦ Θεοῦ καὶ πατρὸς τὸν υἱὸν, τοῦ ἀποστόλου κηρύξαντος, διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας, αὐτοὶ ἐναλλὰξ ποιησάμενοι, εἰς τὴν προσληφθεῖσαν σάρκα παρὰ τοῦ Θεοῦ λόγου σκολιῶς ἐννοήσαντες, ἐξ ἀφρένων φρενῶν ἐρεύγονται, καινήν τινα ἀπόφασιν λέγοντες· εἴ τις τὸν θεῖον τοῦ Θεοῦ λόγου χαρακτῆρα κατὰ τὴν σάρκωσιν δι' ὑλικῶν χρωμάτων ἐπιτηδεύοι κατανοῆσαι. ὅτι μὲν ἑτεροούσιος τῆς τοῦ Θεοῦ λόγου φύσεως ἡ σὰρξ, ἣν προσέλαβε, πάντες ἴσμεν, ἔκ τε τῆς ἀληθείας καὶ τῆς προτάρ-

* φασματώδει

Ἑβρ. 1.

τάρχων τῆς ἐκκλησίας ἁγίων ἀποστόλων ⁊ θεσπεσίων πατέρων ἡμῶν παιδευθείτε. ⁊ γὰρ ὁ τῆς ἀπορρήτων θεατὴς Παῦλος ὁ θεῖος ἀπόστολος, καθὰ εἴρηται, τὸ ὁμοούσιον θέλων κηρύξαι πρὸς τὸν Θεὸν ⁊ πατέρα τὸ υἱῷ ⁊ Θεῷ λόγῳ, εὗρεν ἕτερον φκειωμένον ⁊ σωφρόνως ἐφεῦρεν, ἢ τὸ ἐκβοῆσαι χαρακτῆρα τῆς ὑποστάσεως τοῦ πατρὸς τὸν υἱόν. ὅτε δὲ τιὼ ἀληθειαν εἰς ψεῦδος μεταβέβλησθαι πειρώμενοι, ἀντεισάγουσι βλασφόφους ⁊ σαθρὰς φωνὰς, προσπηγνύμενοι τῷ τῆς σεπτῆς εἰκόνων μίσει. σὺν θεῷ ⁊ παρεμπίπτουσιν εἰς ἐννοίας σωτηρίας τὸ βλάσφημον, ⁊ παραδοθείτε εἰς ἀδόκιμον νοῦν, ἔτι φασίν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις τιὼ ἀπερίγραφον τοῦ Θεοῦ λόγου οὐσίαν ⁊ ὑπόστασιν διὰ τὸ σεσαρκῶσθαι ἐωτηδήποι δι' ὑλικῶν χρωμάτων ἐν εἰκόσιν ἀνθρωπομόρφως περιγράφειν, ⁊ οὐχὶ μᾶλλον θεολογεῖ αὐτὸν οὐδὲν ἧττον ⁊ μὴ τιὼ σάρκωσιν ἀπερίγραφον ὄντα, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ὡς περὶ τὰ κάιεμα τῆς ἐκκλησιαστικῶν παραδόσεων ἀνιάτως νοσήσαντες, ⁊ τιὼ λοιμώδη νόσον ἀνιμησάμενοι, τὸν νοῦν διαφθαρέντες, ταῦτα φράζουσι· ⁊ τὸ αἴχος τῆς ἀπάτης προσείβουσι τῷ ὀρθῷ λόγῳ. ⁊ ἐξαπατῶνται τὸν νοῦν εἰς τιὼ ἀπερίγραφον φύσιν τοῦ θείου λόγου τιὼ περιγεγραμμένῳ ⁊ παρ' αὐτοῦ ληφθεῖσαν σάρκα συγχέοντες. τοῦτο γὰρ φανῶς δηλοῖ τὸ παρ' αὐτῆς εἰρημένον· εἰ σὺν ἧττον ⁊ μὴ τιὼ σάρκωσιν ἀπερίγραφον ὄντα. πῶ ποτε ταύτῃ τιὼ κεφολογίαν ἐφεῦρον οἱ σοφοὶ περὶ τὰ μάταια; βλασφημίας γὰρ πλῆρες τὸ ἀπερίγραφον μὴ τιὼ σάρκωσιν διαγορεῦσαι τὸν ἐπὶ πάντα κύριον Ιησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ⁊ μάλιστα αὐτοῦ διαγορεύσαντος τοῖς μαθηταῖς· ὅτι Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται, ⁊ χαίρω δι' ὑμᾶς, ὅτι οὐκ ἤμην ἐκεῖ. ἆρα τὸ, οὐκ ἤμην ἐκεῖ, ἰδιον περιγραφῆς ἴδιον; ⁊ πάνυγε. ⁊ ἵνα τὰ πρὸ τοῦ πάθους περὶ τούτου διαγγελικῶς λεχθέντα ἐάσωμεν, τὰ μὴ τιὼ ἀνάστασιν ἔποιμι. ταῖς γυναιξὶν ἐμφανίσας ἑαυτὸν, ἀπερίγραφος ὢν ὤδαμῶς. τὸ ἑαυτὸν φανερῶσαι δυσὶ μαθηταῖς, περιγραφῆς ἐστιν ἴδιον. τὸ τῆς θυρῶν κεκλεισμένων εἰσελθεῖν, ⁊ ὑπὸ Θωμᾶ ψηλαφηθῆναι, τί ἕτερον, ἢ περιγραφή; ⁊ τὸ προβιβάσαι τοὺς μαθητὰς εἰς τιὼ Γαλιλαίαν, κἀκεῖ αὐτὸν ὑπ' αὐτῆς ὀφθῆναι ⁊ προσκυνεῖσθαι, αὐτὸ τοῦτό ἐστι. τὸ δὲ βλεπόντων τῆς μαθητῆς ἀναληφθῆναι εἰς τὸν οὐρανὸν, ⁊ τῷ ἀγγέλῳ αὐτοῖς ἐπισάντος ⁊ εἰπόντος· ἄνδρες τί ἑστήκατε ἀτενίζοντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ιησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ἆρα ἐκ ἔστι περιγραφῆς ταῦτα; ⁊ πάνυγε. οὕτως γὰρ ⁊ πάντες οἱ θεοφόροι πατέρες ἡμῶν ἐκδεδάσκεσι. ⁊ πρόδηλόν ἐστι τοῖς εὖ φρονοῦσιν, ὅτι καθὸ μὴ Θεὸς ⁊ λόγος τοῦ Θεοῦ ⁊ πατρὸς, ἐστὶν ἀόρατος, ἀπερίγραπτος, ἀκατάληπτος, ⁊ ἐν παντὶ τόπῳ ἐστὶ τῆς δεσποτείας αὐτοῦ. καθὸ ἀνθρώπου φύσιν ἀνελάβετο, ⁊ ὁρατὸς ⁊ περιγραπτὸς, καθὼς αὐτὸς τοῖς μαθηταῖς διηγόρευσε, μὴ εἶναι ἐκεῖ. ⁊ καταληπτὸς, ὡς ὁ Θωμᾶς ἡμᾶς ἐπισώσατο. εἰς πολλὰς οὖν κακίας διὰ τῆς μιᾶς αὐτῆς βλασφημίας συμπίπτουσι οἱ τῆς ἀπατηλῆς τῆς χριστιανοκατηγόρων φρενοβλαβείας εἰσηγηταί. οὕτως γὰρ συκοφαντοῦντες φθέγγονται.

Ἰωάν. 12.

Ἰωάν. 20.

Λυκ. 24.

Πράξ. 1.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις τῆς τοῦ Θεοῦ λόγου φύσεως ⁊ τῆς σαρκὸς τιὼ ἀδιαίρετον καθ' ὑπόστασιν σύνοσιν, ἤτοι, ἐξ ἀμφοῖν σύ, ἀσύγχυτόντε ⁊ ἀμέριστον ἀποτέλεσμα γεγονὸς, ἐν εἰκόνι πειρᾶται γράφειν, ὀνομάζων αὐτιὼ Χριστόν· τὸ δὲ Χριστὸς ὄνομα Θεὸν ⁊ ἄνθρωπον δηλοῖ· ὡς ἐκ τούτου σύγχυσιν τῆς δύο φύσεων περαιβόμβος, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οἶδε τὸ αἶχος τῆς ἀπάτης προσείβεσθαι τῷ ὀρθῷ λόγῳ. ⁊ γὰρ ὅτοι τῇ ἐπὶ Χριστῷ ἀδιαιρέτῳ ⁊ ἀσυγχύτῳ καθ' ὑπόστασιν σύνοσει τιὼ τῆς εἰκόνων ποίησιν ἐναντιοῦται, ὡς σύγχυσιν τῆς δύο φύσεων εἰσάγουσαν, ψευδῶς ⁊ κακῶς ἐκλαμβάνουσιν. ἀλλ' ἡ ἀληθεια τοῦ Θεοῦ ὑ δέδεται. τὸ γὰρ, Χριστὸς, ὄνομα δύο φύσεών ἐστι γνωριστικὸν, τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου, αὐτὸς δὲ ὁ Χριστὸς ὁρώμενος τοῖς ἀνθρώποις διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ, κἂν ἡ θεία φύσις ἐνεκρύπτετο, διὰ τῆς σημείων ταύτῃ ἐφανέρου. ἡ γοῦν ἁγία τοῦ Θεοῦ ἐκκλησία ὡς παρέλαβε παρὰ τῆς ἁγίων ἀποστόλων ⁊ πατέρων, αὐτὸ τὸ εἶδος τὸ ὁραθέν τοῖς ἀνθρώποις ἀναζωγραφεῖ, ⁊ ὑ διαιρεῖ τὸν Χριστὸν κατὰ τιὼ αὐτῶν λήρῳδη κατηγορίαν· ἡ γὰρ εἰκὼν κατὰ ὄνομα μόνον ⁊ ὑ κατὰ τὸν ὅρον κοινωνεῖ τῷ προτύπῳ, ὡς πολλάκις εἰρήκαμεν· ἐπειδὴ ⁊ ψυχῆς ἐστέρηται, ὧ ἀδύνατον περιγράφειν, ὅτι ἀόρατος. ⁊ εἰ τιὼ ψυχιὼ καίπερ κτιστὸν ὄσαν, ἀναζωγραφεῖν ἀδύνατον, πόσῳγε μᾶλλον τιὼ ἀκατάληπτον ⁊ ἀνεξιχνίαστον τοῦ μονογενοῦς υἱοῦ θεότητα ἐννοήσειέ τις αἰσθητῶς εἰκονίζεσθαι, κἂν εἰ λίαν ἔξω φρενῶν ὑπάρχων; ἐπέστρεψεν οὖν ὁ πόνος αὐτῶν ἐπὶ κεφαλὰς αὐτῶν. τὸ γὰρ ἀνάθεμα, ὃ αὐτοὶ ἐληρῴδησαν, ἐν αὐτοῖς μένει εἰς τὸν αἰῶνα. οὕτως δέφασιν·

λόγον ἐνανθρωπῆσαι ἀληθείᾳ καὶ οὐ κατὰ φαντασίαν. ὁ δὲ φρενοβλαβὴς Νεστόριος δύο ὑποστάσεις ὡς δύο φύσεις βλασφήμως δοξάζων ἐπὶ τοῦ Χριστοῦ, ἐκεῖνος εἰσάγειν τετράδα κεκήρυκται. ἡ δὲ τοῦ Θεοῦ ἁγία ἐκκλησία μίαν ὑπόστασιν τοῦ Χριστοῦ ἐν δυσὶ ταῖς φύσεσιν ὀρθῶς ὁμολογοῦσα, πρὸς ἀνάμνησιν τῆς σωτηριώδους αὐτοῦ οἰκονομίας εἰκονικῶς ἀνατυποῦν αὐτὸν ἐνθέως ἐκπεπαίδευται. θέλοντες δὲ ἑαυτοὺς δοκίμους δεῖξαι, καὶ ἀληθές τι φράζουσιν, οὕτω λέγοντες.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις οὐχ ὁμολογεῖ τὴν ἀειπάρθενον Μαρίαν κυρίως καὶ ἀληθῶς θεοτόκον, ὑπερτέραν τε εἶναι πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως, καὶ μετὰ εἰλικρινοῦς πίστεως τὰς αὐτῆς οὐκ ἐξαιτεῖται πρεσβείας, ὡς παῤῥησίαν ἐχούσης πρὸς τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν ἡμῶν, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἐν τούτοις ἱδρυμένη καὶ βεβαιωμένη ἡ καθολικὴ ἐκκλησία, παρὰ τῶν ἑτέρως φρονούντων τῇ αὐτῆς ἐνθέῳ παραδόσει οὐ δέεταί τι ἐνωτίζεσθαι. καὶ γὰρ ὁ κύριος ὑπὸ τῶν δαιμόνων κη-
Πράξ. 17. ρυττόμενος τούτους ἐξήλαυνε· καὶ Παῦλος ὁ θεῖος ἀπόστολος καὶ οἱ συνέκδημοι αὐτοῦ ὑπ' αὐτῶν μαρτυρούμενοι ἄνθρωποι εἶναι τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ τὴν ὁδὸν τῆς σωτηρίας καταγγέλλειν, αὐτοὺς ἐξεδίωκον· οὕτως καὶ οὗτοι εἰ καίτι ἀληθὲς προσφθέγγονται, ἀλλ' οὖν παρὰ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκκλησίας ἐξελάυνονται. αὖθις δὲ ὥσπερ κύνες ἐπιστρέφοντες ἐπὶ τὸ ἴδιον ἐξέραμα, καὶ ὗες λουόμενοι εἰς κύλισμα βορβόρου γρύζουσι τάδε.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις τὰς τῶν ἁπάντων ἁγίων ἰδέας ἐν εἰκόσιν ἀψύχοις καὶ ἀναύδοις ἐξ ὑλικῶν χρωμάτων ἀναστηλοῦν ἐπιτηδεύοι, μηδεμίαν ὄνησιν φερούσας· ματαία γάρ ἐστιν ἡ ἐπίνοια, καὶ διαβολικῆς μεθοδείας εὕρεσις. καὶ οὐχὶ δὴ μᾶλλον τὰς τούτων ἀρετὰς διὰ τῶν ἐν γραφαῖς περὶ αὐτῶν δηλουμένων οἷόν τινας ἐμψύχους
Πετρ. 2. εἰκόνας ἐν ἑαυτῷ ἀναζωγραφεῖ, καὶ πρὸς τὸν ὅμοιον αὐτοῖς ἐκ τούτου διεγείρεται ζῆλον, καθὼς οἱ ἔνθεοι ἡμῶν ἔφησαν πατέρες, ἀνάθεμα.

Ε'ΠΙΦΑ'ΝΙΟΣ ΔΙΑ'ΚΟΝΟΣ
ἀνέγνω.

Οἱ ἔνθεοι ἡμῶν πατέρες τί τοιοῦτον οὔτε ἐδίδαξαν, οὔτε ἐκήρυξαν, ἀλλ' ἑαυτοῖς τοῦτο τὸ ὄνομα περιτιθεάσιν οἱ ψευδηγόροι· καὶ ἑαυτῶν ἐστιν αὕτη ἡ λυρωδία, ἐπειδὴ καὶ ἐν τοῖς ἑξῆς ἑβδόμην σύνοδον ἑαυτοὺς κικλήσκουσι. καί τις σοφὸς εἶπεν. ἐπαινείτωσε ὁ πέλας, καὶ μὴ τὸ Παροι. 27.
σὸν στόμα· ἀλλότριος, καὶ μὴ τὰ σὰ χείλη, οὗτοι δὲ παράτινος μήτε διδαχθέντες, μήτε ἐπαινεθέντες, ἑαυτοῖς ἔπαινον προσπορίζονται, καὶ καλεῖσθαι θέλουσιν ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ, πατέρες προαιρούμενοι εἶναι τῆς καθολικῆς ἐκκλησίας. ταύτην δὲ συκοφαντοῦσι Χριστὸν τὸν Θεὸν ἡμῶν. κατταλελοιπέναι, καὶ εἰδωλολατρείᾳ προσκολληθῆναι. καίτοι γε αὐτὸς ἔφη διὰ Ἡσαΐᾳ Ἡσαΐ. 8.
τοῦ προφήτου πρὸς αὐτήν· θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς· καὶ τοῦ Εκκλησιαστοῦ· ὅλη καλὴ εἶ πλησίον μου, ὅλη Ἀσμα. 4.
καλὴ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. σκοπήσωμεν οὖν τὴν αὐτῶν παραφροσύνην, ὅτι ἧς κατηγοροῦσιν εἰδωλολατρείαν, ταύτης ἐγκαυχῶνται εἶναι διδάσκαλοι. καὶ εἰ εἰδωλολατρῶν εἰσι πατέρες, εἰπάτωσαν· μέρους τινὸς εἰδωλολατρήσαντος τῆς ἐκκλησίας εἰσὶ διδάσκαλοι. ἢ ὅλης; καὶ εἰ μὲν μέρους, ὤφειλον αὐτοὶ προσιδεῖν τῷ πληρώματι τῆς καθολικῆς ἐκκλησίας, καὶ ὑπὸ ταύτης δικαιοῦσθαι, καὶ τοὺς καρποὺς τῆς ἀληθείας παρ' αὐτῆς δρέπεσθαι. καθὼς πάντες οἱ πατέρες ἡμῶν τὰ ἐσφαλμένα τῶν αἱρετιῶν ἀνώρθουν, καὶ συνηρμολόγουν τὰ διεῤῥωγότα ἀλλ' ἐπειδὴ ἡ καθολικὴ ἐκκλησία ταύτῃ τῇ παραδόσει φαιδρύνεται, οὗτοι ταύτης ἀποσχισθέντες, δοκοῦσι πᾶσαν κατακρίνειν ὡς ἐσφαλμένην· καὶ φρικῷδές ἐστι τὸ λαλεῖν, καὶ τὸ σιωπᾶν κατάκρισις. οἴχεται γὰρ κατ' αὐτοὺς ἡ εἰς Χριστὸν ἀληθὴς ὁμολογία, καὶ πανωλεθρία τὸ πᾶν κατείληφεν. ἀλλ' ἀπέστω ταῦτα, ὡς μήτε λαληθέντα, καὶ εἰκῇ ἐκφωνηθέντα. οὐκοῦν ἔνθεν κἀκεῖθεν ἀπωσθήσονται, ὅτι ἡ τῶν σεπτῶν εἰκόνων ἀναζωγράφησις ἐξ ἄνωθεν τῶν χρόνων παραδοθεῖσα ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ ἐν τοῖς σεπτοῖς ναοῖς ταύτῃ διατυπωθεῖσα, ἣν οἱ ἅγιοι πατέρες καὶ παρέδωκαν καὶ ἐδέξαντο, καὶ πᾶσα ἡ τῶν Χριστιανῶν ὁμήγυρις. αὐτοὶ οὐ μόνον ἐξέστησαν τούτων ἁπάντων, ἀλλὰ καὶ τὸ δεινότατον καὶ φρικωδέστατον, ἡ κραγὴ αὐτῶν τοῦ ἀναθέματος σοδομικῶς καὶ γομοῤῥικῶς πεπλήθυνται. ἔνθεν καὶ ἡ ἁμαρτία αὐτῶν μεγάλη Γεν. 19.
σφόδρα· καὶ τίς δυνήσεται ὑπενεγκεῖν ταύτης τῆς μανίας τὸ θυμωδέστατον; καὶ τούτων τῶν σατυρικῶν θορύβων τὰ μορμολύκεια, εἴθε ἔγνωσαν τἀληθές; ἀρίδηλον γάρ ἐστι πᾶσι τοῖς εὐσεβῶς νοεῖν ἐθέλουσιν, ὅτι ὥσπερ διὰ τῶν ἐν γραφαῖς περὶ τῶν ἁγίων δηλουμένων ἐν μνήμῃ τῶν αὐτῶν γινόμεθα παθημάτων, πρὸς τὸν ὅμοιον διεγειρόμενοι ζῆλον· οὕτω καὶ διὰ τῆς εἰκονικῆς ἀναζωγραφήσεως τὰ παθήματα τούτων ὁρῶντες, εἰς ἀνάμνησιν τῆς αὐτῶν ἀνδρίας καὶ τοῦ ἐνθέου αὐτῶν βίου ἐρχόμεθα. εἶτα πάλιν εὐγνωμονοῦσι, λέγοντες οὕτως.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις διαιρεῖ τὴν σὺν θεῖσαν σάρκα τῇ τοῦ Θεοῦ λόγου ὑποστάσει, ἐν ἐπινοίᾳ ψιλῇ αὐτὴν ἔχων, καὶ ὡς ἐκ τούτου γράφειν αὐτὴν ἐν εἰκόνι ἐπιτηδείων, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

ὁμιλία β. περὶ υἱοῦ

Ὁ ἅγιος Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος οὕτω φησίν. ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα. ἀλλὰ καὶ πλεῖστοι τῶν πατέρων ταύτῃ τῇ ἐννοίᾳ ἐχρήσαντο· καὶ γὰρ τῇ ἀληθείᾳ οὕτως δοκεῖ. αὐτοὶ δὲ ἐκστάντες καὶ αὐτῆς καὶ τῶν πατρικῶν παραδόσεων, λέγουσιν· εἴτις διαιρεῖται σὺν θεῖσαν σάρκα τῇ τοῦ Θεοῦ λόγου ὑποστάσει ἐν ἐπινοίᾳ. διίστανται δὴν μηδ' ἐν τούτῳ συμφωνοῦντες τοῖς τῶν ἁγίων πατέρων ἐκδόσει· ἀλλὰ δῆ ἀληθείᾳ φανότατα διαμάχονται, τὰ αὐτὰ περὶ τῆδε αὐτῶν φθεγγόμενοι, καὶ Νεστορίῳ τῇ καθολικὴν ἐκκλησίαν ἴσα δοξάζειν κατηγοροῦσιν. ἑαυτοῖς δὲ ἀκόλουθα λέγοντες ἐπιφέρουσιν,

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις τὸν σὺν Χριστὸν διαιρεῖ εἰς ὑποστάσεις δύο, ἀνὰ μέρος τιθεὶς τὸν τοῦ Θεοῦ υἱόν, καὶ ἀνὰ μέρος τὸν τῆς παρθένου Μαρίας, καὶ ἐχὶ σὺν ἐν τὸν αὐτόν, ἀλλὰ σχετικὴν αὐτοῖς τὴν σύνωσιν γεγενῆσθαι ὁμολογῶν· καὶ σὺν θεν ἐν εἰκόνι ὡς ἰδιοϋπόστατον τὸν ἐκ τῆς παρθένου διαγράφοι. ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Τοσαῦτα περὶ τῶν αὐτῶν ἀνακυκλούμενοι φθέγγονται, ὡς παρὰ βραχὺ μηδὲ ἀριθμῷ ὑποπίπτειν τὰ παρ' αὐτῶν θρυλλούμενα. ἐφθάρονται γὰρ τὴν τοῦ Νεστορίου δυσσεβῆ δόξαν, τῇ τῶν εἰκόνων ἀνατυπώσει ταύτῃ προσείβασι, παράδοξά τινα καὶ ἀλλόκοτα καττύοντες λογίδρια· ὧν πολλαχῶς τῷ ἀναξιοπίστῳ ποιησάμενοι, νυνὶ τῇ σιωπῇ παραδοῦναι ἀναγκαῖον ἐκείναμην. ἐρρέθη γονται δὲ αὖθις τοιάδε.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις τὴν ἐκ τῆς προς τὸν θεῖον λόγον σύνωσεως θεωθεῖσαν σάρκα ἐν εἰκόνι γράφοι, ὡς διαιρῶν αὐτὴν ἐκ τῆς προσλαβούσης καὶ θεωσάσης θεότητος, καὶ ἀθέωτον αὐτὴν ἐκ τούτου κατασκευάζων, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἡ καθολικὴ ἐκκλησία εἰ καὶ ἀναζωγραφεῖ τὸν Χριστὸν τῇ ἀνθρωπίνῃ μορφῇ, ἀλλ' ὑ διαιρεῖ ταύτῃ ἐκ τῆς σὺν θεῖσης αὐτῇ θεότητος, θεωθεῖσαν δὲ μᾶλλον πιστεύει, καὶ ὁμόθεον ταύτῃ ὁμολογεῖ κατὰ τὸν μέγαν Γρηγόριον τὸν θεολόγον, καὶ τῇ ἀληθείαν· καὶ ἐχ ὡς αὐτοὶ ὁμιλ. β. εἰς τὸ πάσχα ἀμαθῶς καὶ ἀπαιδεύτως βαρβαρίζοντες ἔφησαν, ἀθέωτον τὴν σάρκα τοῦ κυρίου ἐκ τούτου κατασκευάζεσθαι. ὥσπερ γάρ τις ἄνθρωπον ἀναζωγραφῶν, ἐκ ἄψυχον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἐκεῖνον ἐψυχωμένον μένει, καὶ ἡ εἰκὼν αὐτοῦ λέγεται παρὰ τὸ ἐοικέναι· οὕτως καὶ τῇ εἰκόνα τοῦ κυρίου ποιούμενος, τεθεωμένῃ τῇ σάρκα τοῦ κυρίου ὁμολογοῦμεν, καὶ τῇ εἰκόνα οὐδὲν ἕτερον ἴσμεν, ἢ εἰκόνα δηλοῦσαν τῷ τοῦ πρωτοτύπου μίμησιν. σὺν θεν καὶ τὸ ὄνομα αὐτοῦ κεκλήρωται, ὃ κατ' αὐτὸ κοινωνεῖ μόνον, καὶ διὰ τοῦτο σεπτὴ καὶ ἁγία. εἰ δὲ ἀναγοῦς ἀνδρὸς καὶ δαίμονός ἐσιν εἰκών, βέβηλον καὶ μεμιασμένη, ὅτι καὶ τὸ πρωτότυπον. ἐκεῖν κοπιάσαντες εἰς κενὰ σωάγυσι χερσὶν ἀκαρπίαν, καὶ δέχονται παρὰ τῆς ἀληθείας τὸ ἀνάθεμα· ὃ ὐκ ἐκφήσονται λέγοντες τοιάδε.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις τὸν ἐν μορφῇ Θεοῦ ὑπάρχοντα Θεὸν λόγον τῷ τοῦ δούλου μορφῷ ἐν τῇ ἰδίᾳ ὑποστάσει ἀναλαβόντα, καὶ κατὰ πάντα ὅμοιον ἡμῖν γενόμενον χωρὶς ἁμαρτίας, πειρᾶται δὲ ὑλικῶν χρωμάτων ἀναμορφοῦν, ὡς δῆθεν ψιλὸν ἄνθρωπον ὄντα, καὶ χωρίζειν αὐτὸν τῆς ἀχωρίστου καὶ ἀμεταβλήτου θεότητος· ὡς ἐκ τούτου τετράδα εἰσάγων ἐπὶ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ὦ τῆς αὐτῆς ἀνοίας καὶ ἀπονοίας. ὐκ αἰσχύνονται γὰρ σωάγειν τὸ ἀνάθεμα· ἀλλ' ὥσπερ σκώληκες ἐν βορβόρῳ κυλινδούμενοι τρέφονται, οὕτως καὶ οὗτοι ταύτῃ τῇ φωνῇ ἐνειλούμενοι, κόρον λαβεῖν ὐκ ἀνέχονται, τῷ ἡγιασμένῳ τοῦ Θεοῦ ἐκκλησίαν ἀρᾶσθαι πειρώμενοι, αὐτοὶ ὄντες ἀρᾶς ἄξιοι. οἱ γὰρ βλασφημοῦντες αὐτῷ, ὡς φησιν ἡ θεία γραφή, βλάσφημοι· καὶ οἱ κατειρώμενοι αὐτῷ κατήραται. τὸ δὲ ψιλὸν ἄνθρωπον ὑπονοεῖν τὸν σωτῆρα Χριστὸν, καὶ χωρίζειν αὐτὸν τῆς θεότητος, εἶτα τε καὶ τετράδα εἰσάγειν διὰ τῆς ἀναζωγραφήσεως, τίς ἂν ὁ γέλωτα πλατὺν τῆς αὐτῆς ἀφροσύνης καταχέοιτο, μᾶλλον δὲ θρηνήσοι τὸ βλάσφημον; ὁ γὰρ καθὸ εἰκονίζεται Χριστὸς τῇ ἀνθρωπίνῃ μορφῇ, τετράδα ποιεῖ ὁ τοῦτο ποιῶν. ἀλλ' ὁμολογεῖ τὸν Θεὸν λό-

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Τύπων τοίνυν παρ' ἡμῶν μηδ' ὁπωσοῦν ἀκριβείας τε καὶ ἐπιμελείας θεσπισθέντων, οἰόμεθα, ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἢ γράφειν συγγράφειν, ἢ σωτιθέναι, ἢ φρονεῖν, ἢ διδάσκειν ἑτέρως, τοὺς δὲ τολμῶντας σωτιθέναι πίστιν ἑτέραν, ἢ προκομίζειν, ἢ διδάσκειν, ἢ παραδιδόναι τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν τῆς ἀληθείας ἐξ αἱρέσεως οἱασδήν, ἢ συνοφωνίας, ἤτοι λέξεως ἐφάρεσιν πρὸς ἀναζοπὴν εἰσάγειν τῇ νῦν παρ' ἡμῶν διορισθέντων· τούτους, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοί, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ μοναζοντες εἶεν ἢ λαϊκοί, ἀναθεματίζεσθαι.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Βουκολησθέντες ἐξ ἀπαιδευσίας ταῦτα κεκλόφασι παρὰ θεσπεσίων πατέρων ἡμῶν, καὶ ὡς οἰκεῖα σωτεθείκασι· διὸ καὶ μάταιος καὶ ἀργὸς αὐτῶν ὁ λόγος, καὶ οὐδὲ ἀποκρίσεως ἄξιος.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Οἱ θειότατοι βασιλεῖς Κωνσταντῖνος καὶ Λέων εἶπον· λεγέτω ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, εἰ κατὰ συναίνεσιν πάντων τῶν ὁσιωτάτων ἐπισκόπων ὁ ἐπὶ τοῦ παρόντος ἀναγνωσθεὶς ὅρος ἐξεφωνήθη.

Ἡ ἁγία σύνοδος ἐξεβόησε· πάντες οὕτω πιστεύομεν, πάντες τὸ αὐτὸ φρονοῦμεν. πάντες συναινέσαντες καὶ ἀσπασάμενοι ὑπεγράψαμεν· πάντες ὀρθοδόξως πιστεύομεν· πάντες νοερῶς τῇ νοερᾷ θεότητι λαξεύοντες προσκυνοῦμεν. αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. οὕτω πάντες λατρεύοντες τῷ Θεῷ προσεκύνουν. πολλὰ τὰ ἔτη τοῖς βασιλεῦσι. δέσποτα κύριε ζωὴ αὐτοῖς. Λέοντι καὶ Κωνσταντίνῳ αἰωνία ἡ μνήμη. ὑμεῖς ἡ εἰρήνη τῆς οἰκουμένης. φυλάξῃ ὑμᾶς ἡ πίστις ὑμῶν. τὸν Χριστὸν τιμᾶτε, αὐτὸς ὑμᾶς φυλάξει. τὴν ὀρθοδοξίαν ὑμεῖς ἐβεβαιώσατε. δέσποτα κύριε ζωὴ αὐτοῖς. ἀπέστω φθόνος τῆς βασιλείας αὐτῶν. ὁ Θεὸς φυλάξοι τὸ κράτος ὑμῶν· ὁ Θεὸς τὴν βασιλείαν ὑμῶν εἰρηνεύσοι· ἡ ὑμετέρα ζωή, τῶν ὀρθοδόξων ζωή. ἐπουράνιε βασιλεῦ τὰς ἐπιγείους φύλαξον. δι' ἡμῶν ἡ οἰκουμενικὴ ἐκκλησία εἰρηνεύσουσιν. ὑμεῖς φωστῆρες τῆς ὀρθοδοξίας. τοὺς φωστῆρας τῆς οἰκουμένης κύριε φύλαξον· αἰωνία ἡ μνήμη Κωνσταντίνου καὶ Λέοντος. νέῳ Κωνσταντίνῳ τῷ δεσπεσάτῳ βασιλεῖ πολλὰ τὰ ἔτη. τὸν ἀπὸ γένους ὀρθόδοξον κύριε φύλαξον δεσπότην κύριε ζωὴ αὐτοῦ. ἀπεὶη φθόνος τῆς βασιλείας αὐτοῦ· τῆς δεσπεσάτης Αὐγούστης πολλὰ τὰ ἔτη. τὴν δεσπότιν, τὴν ὀρθόδοξον ὁ Θεὸς φυλάξοι. ἀπεὶη φθόνος τῆς βασιλείας ὑμῶν. ὁ Θεὸς φυλάξῃ τὸ κράτος ὑμῶν. ὁ Θεὸς εἰρηνεύσῃ τὴν βασιλείαν ὑμῶν. τὸ ἀσύγχυτον τῆς κατὰ Χριστὸν οἰκονομίας ὑμεῖς διηκριβώσατε· τὸ ἀδιαίρετον τῶν δύο τοῦ Χριστοῦ φύσεων βεβαιοτέρως ὑμεῖς ἐκηρύξατε· τὰ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἓξ συνόδων δόγματα ὑμεῖς ἀπεκυρώσατε· πᾶσαν εἰδωλολατρείαν ὑμεῖς ἐξηφανίσατε. τοὺς διδασκάλους τῆς τοιαύτης πλάνης ὑμεῖς ἐθεμελιώσατε· τοὺς τὰ ἐναντία φρονοῦντας ὑμεῖς ἐσηλιώσατε.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Προσφωνήσαντες τοῖς βασιλεῦσι τὰ εἰωθότα, τῷ ψαλτῇ οἴσῳ τὴν ψυχὴν ἐκκαυθέντες, ἐξ αὐτῆς τῆς τοῦ διαβόλου μεθοδείας φθέγγονται, εἰπόντες· πᾶσαν εἰδωλολατρείαν ὑμεῖς ἐξηφανίσατε. εἶθε κεκώφωτο τὰ ὦτα ἡμῶν, μὴ ἀκοῦσαι τῆς ψυχοφθόρου ταύτης φωνῆς. μὴ ἐνδελέχιζε γάρ, φησὶν ὁ παροιμιακὸς λόγος, γυναικὶ πόρνῃ. τὸν γὰρ σωτηριώδη τῆς οἰκονομίας λόγον λυμαίνεσθαι βουλόμενοι, εἰς πᾶσαν βλασφημίας ὑπερβολὴν κατέδυσαν. καὶ τί πρὸς ταύτην τὴν γοερὰν λύτταν ἐποιοῦμεν, ἢ ἃ παρὰ τοῦ ἁγίου πνεύματος τῷ θεσπεσίῳ Δαβὶδ λέλεκται; ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, καὶ ταῖς γλώσσαις αὐτῶν δολιοῦσιν, ἔνθεν καὶ ἀπέπεσον ἐκ τῶν διαβουλίων αὐτῶν, κρεμασθέντες παρὰ τοῦ ῥυσαμένου ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. αὐτὸς γὰρ ἄνθρωπος τέλειος διὰ τὴν ἡμῶν σωτηρίαν ἀξιώσας γενέσθαι, πᾶσαν εἰδωλολατρείαν ἐξηφάνισεν. ἔφη γὰρ διὰ τοῦ προφήτου· ἰδοὺ ἡμέραι ἔρχονται, καὶ ἐξαλείψω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία. δῆλον ἡ προφητεία εἰς αὐτὸν ἀναφέρεται, καὶ οὐχ ὡς αὐτοὶ ἔφησαν, εἰς βασιλέων κράτος. ἀποσασίας τοίνυν ἴδιον, ταύτῃ τὴν χάριν καὶ δωρεὰν ἑτέροις προσποιεῖσθαι. βοῶσιν οἱ Χριστιανοὶ ἐκ τοῦ μεγαλοφωνοτάτου Ἡσαΐου ἀρυσάμενοι· ὁ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς. εἰ δὲ, ὡς αὐτοί φασι, σύλλογος ἐπισκόπων καὶ πρεσβυτέρων καὶ βασιλέων κράτος ἐρρύσατο ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, διεψεύσθη περὶ τῆς ἀληθείας τὸ ἀνθρώπινον γένος, ἄλλου τοῦτο σώσαντος, καὶ ἄλλου μεγαλαυχοῦντος τοῦτο διασώσασθαι. τῆς γὰρ εἰδώλων πλάνης καὶ ἀπάτης Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ῥυσαμένου ἡμᾶς, αὐτοὶ μεγαλαυχοῦσι τὴν ἀπολύτρωσιν ποιήσασθαι· ὧν τῆς ἀλαζονείας καὶ παρανοίας. ἐκσάντες γὰρ τῆς ἀληθείας, τὸν νοῦν καὶ τὴν φρένα ἀπετυφλώθησαν· καὶ ταῖς οἰκείαις δοκήσεσι καὶ φαντασίαις, τῇ κολακείᾳ καταβαπτισθέντες περιπεπλάνηνται· καὶ τὰ ἁρμόδια Ψαλ. 13. Ζαχαρ. 13. Ἡσαΐ. 65.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις οὐχ ὁμολογεῖ ἅπαντας τοὺς ἀπ' αἰῶνος καὶ μέχρι τοῦ νῦν ἁγίους, πρὸ νόμου, καὶ ἐν νόμῳ, καὶ ἐν χάριτι τῷ Θεῷ εὐαρεστήσαντας, τιμίους εἶναι ἐνώπιον αὐτοῦ ψυχῇ τε καὶ σώματι, καὶ τὰς τούτων οὐκ ἐξαιτεῖται προσευχὰς, ὡς παῤῥησίαν ἐχόντων ὑπὲρ τοῦ κόσμου προσβεύειν, κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, ἀνάθεμα.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἡνίκα ἐκκλησιαστικὴν παράδοσιν εἶπον, ἔδει αὐτοὺς ἀποφήνασθαι· εἴτις καὶ τὰς εἰκονικὰς ἀναζωγραφήσεις οὐκ ἀποδέχεται, ἀνάθεμα ἔστω. ἀρχαίᾳ γὰρ αὕτη ὄντως ἐν τῇ καθολικῇ ἐκκλησίᾳ παράδοσις, καὶ μάλα εἰκότως εἰς ἀνάμνησιν τῶν πρωτοτύπων ἡμῖν ἐγνωσμένη. ἀλλ' ἀναιδεία ἀπειπάμενοι ταύτην τὴν μύησιν ὀλεθρίως τῇ καθολικῇ ἐκκλησίᾳ προσφθέγγονται. ὁδοὺς σου εἰδέναι οὐ βουλόμεθα. ὅθεν καὶ μετὰ τὴν ἔκδοσιν αὐτῶν ταύτην, καὶ τὴν τῶν πρεσβειῶν εὐπρόσδεκτον τῷ Θεῷ προσαγωγὴν ἀπεβάλοντο, λειώσαντες ταύτην ἐκ τοῦδε αὐτῶν τοῦ συγγράμματος· καὶ τοῦτο ἴσασι πάντες, ἔθος γὰρ τοῖς αἱρετικοῖς, ὅταν ἐν ἑνὶ λόγῳ περιΐδωσι τὴν εὐσέβειαν, καὶ τῆς ἀληθινῆς ὁδοῦ διαστραφῶσιν, εἰς πολλὰ καὶ διάφορα διεσφάλθαι. μονοειδὴς γὰρ ἡ ἀλήθεια, τὸ δὲ ψεῦδος πολυσχιδές. Ἀρειανοὶ γὰρ κτίσμα λέγοντες τὸν Θεὸν λόγον, μετὰ ταύτης αὐτῶν τῆς δυσσεβοῦς βλασφημίας ἐκτὸς ψυχῆς τοῦτον ἐνανθρωπῆσαι λεληρῳδήκασι. καὶ Εὐτυχὴς ὁ δείλαιος μίαν φύσιν δοξάζων ἐπὶ τῆς οἰκονομίας τοῦ κυρίου, ἐβλασφήμει, θειοτέραν τινὰ σάρκα λέγων αὐτὸν ἀνειληφέναι, καὶ οὐχ ὁμοούσιον τῆς ἡμετέρας φύσεως. ὡσαύτως οὖν καὶ οἱ προΐστορες ταύτης τῆς αἱρέσεως τούτους ζηλώσαντες, ἐν μιᾷ καινοτομίᾳ μὴ ἀρκεσθέντες, ὡς κόρον τοῦ κακοῦ μὴ ἔχοντες, καὶ ἑτέραν γείτονα ταύτης ἐπεσπάσαντο. ἀκόλουθα δὲ λόγια, δοκοῦντες τοῖς ἁγίοις παρτάσιν ἐξισοῦσθαι, ὑποκρίσει προσποιούμενοι τὴν εὐσέβειαν, ἐκφέρουσιν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴτις οὐχ ὁμολογεῖ ἀνάστασιν νεκρῶν, καὶ κρίσιν καὶ ἀνταπόδοσιν τὴν πρὸς ἀξίαν ἑκάστῳ τοῖς δικαίοις τοῦ Θεοῦ σταθμοῖς, καὶ μὴ εἶναι τέλος κολάσεως, μήτε μὴν τῆς οὐρανίου βασιλείας, ἥτις ἐστὶν ἡ τοῦ Θεοῦ καταστρύφησις· οὐ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ, κατὰ τὸν θεῖον ἀπόστολον· ἀνάθεμα.

Ρ'ωμ. 84.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Οὗτος τῶν πρωτάρχων τῆς ἀληθινῆς ἡμῶν πίστεως, ἁγίων ἀποστόλων καὶ θεσπεσίων πατέρων ἀφορισμός. αὕτη τῆς καθολικῆς ἐκκλησίας ἡ ὁμολογία, καὶ οὐχὶ τῶν αἱρετιζόντων· ὁ δὲ ἐπιὼν, τούτων οἰκεῖος, ἐπειδὴ ἀμαθίας καὶ ἀπαιδευσίας γέμει, οὕτως περιβομβῶν.

ΓΡΗΓΟΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ
ἀνέγνω.

Εἴ τις οὐ παραδέχεται τὴν καθ' ἡμᾶς ἁγίαν ταύτην καὶ οἰκουμενικὴν ἑβδόμην συνόδον, ἀλλὰ ταύτην ἐνδιαβάλλει καθ' οἱονδήποτε τρόπον, καὶ οὐ μετὰ πάσης πληροφορίας ἀσπάζεται τὰ παρ' αὐτῆς κατὰ τὴν τῆς θεοπνεύστου γραφῆς διδασκαλίαν ὁρισθέντα, ἀνάθεμα ἔστω ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τῶν ἁγίων οἰκουμενικῶν ἑπτὰ συνόδων.

ΕΠΙΦΑΝΙΟΣ ΔΙΑΚΟΝΟΣ
ἀνέγνω.

Ἡ τῆς ἀληθείας ἀπόπτωσις, νοῦ καὶ φρενός ἐστι τύφλωσις. αὕτη γὰρ αὐτῶν ἡ ἀπόφασις πλέον τῆς ἀσεβείας τὴν ἀμάθιαν καὶ παραφροσύνην ἔχει· οὐ γάρ εἰσι σοφοὶ, εἰ μὴ τὴν ἀπαιδευσίαν. ἑβδόμην γὰρ συνόδον ἑαυτοὺς ἀποκαλοῦντες, ὡς παρὰ ἄλλων ἑπτὰ συνόδων γεγονότων τὸν ἑαυτῶν ἀναθεματισμὸν ἀνατιθέασι λέγοντες· ἀνάθεμα ἔστω ἐκ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων· καὶ οὐ μᾶλλον γελῶνται τῆς ἀπαιδευσίας, ἢ οἰκτείρονται τῆς ἀσεβείας. τὴν γὰρ ἀλήθειαν ἀφέντες, καὶ τῆς εὐτριβοῦς καὶ βασιλικῆς ὁδοῦ παρατραπέντες, ἐπὶ βόθρους ἴενται καὶ φάραγγας καὶ κρημνούς. καὶ προσφθέγγεται αὐτοῖς ὁ παροιμιακὸς λόγος· τοὺς ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηνται, καὶ συνῆξαν χερσὶν ἀκαρπίαν. διὸ καὶ τὰ τεθηγμένα αὐτῶν βέλη καὶ τὰ ἐντεταμένα τόξα, ἃ κατὰ τῆς ἐκκλησίας ἠκόντισαν, οἱ τῆς ἀληθείας ἐρασταὶ καὶ τῆς δικαιοσύνης ζητηταὶ εἰς τὴν αὐτῶν καρδίαν ἐμπήσσουσι· καὶ ἀναλαμβάνονται τὸν Δαβὶδ μελῳδοῦντα ἐν πνεύματι· λάκκον ὤρυξαν οἱ ταύτης τῆς καινῆς φαυλότητος εἰσηγηταὶ, καὶ ἀνέσκαψαν αὐτὸν, καὶ ἐνέπεσον εἰς βόθρον ὃν εἰργάσαντο· καὶ ἐπέστρεψεν ὁ πόνος αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ ἐπὶ κορυφὴν αὐτῶν ἡ ἀδικία αὐτῶν καταβήσεται. διότι λέγουσι τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· καὶ τιθέασι τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, λέγοντες οὕτως.

Παροι. 9.

Ψαλ. 7.

Ἡσαΐ. 5.

ΓΡΗ-

δια καὶ πρέποντα ἀναγορεύειν τοῖς βασιλεῦσιν ἐγκώμια ἀπεωσάμενοι, τὰ εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν ἀναφερόμενα αὐτοῖς προσπεφωνήκασιν. ἔδει μᾶλλον αὐτοῖς τὰς ἀνδρείας τούτων ἐξειπεῖν, τὰς κατὰ τῶν πολεμίων νίκας, τὰς βαρβαρικὰς ὑποπτώσεις, ἃς ἐν εἰκόσι καὶ διατοίχοις εἰς μνήμην ἐξηγήσεως πολλοὶ ἐστηλογράφησαν, τοὺς ὁρῶντας πρὸς πόθον καὶ ζῆλον ἕλκοντες· τὴν τοῦ ὑπηκόου περιποίησιν, τὰς βουλὰς, τὰ τρόπαια, τὰς κοσμικὰς συστάσεις, τὰς πολιτικὰς καταστάσεις, τὰς τῶν πόλεων ἐπανορθώσεις. αὗται ἄξιεπαίνετοι βασιλεῦσιν εὐφημίαι, αἵτινες καὶ πᾶν τὸ ὑπήκοον προσκαλοῦνται εἰς εὔνοιαν· τὰς δὲ γλώσσας ἔτι τεθηγμένας ἔχοντες, καὶ ἐμπνέοντες ὀργῆς καὶ συκοφαντίας, ἐν σκοτομήνῃ δοκοῦσι κατατοξεύειν τοὺς εὐθεῖς τῇ καρδίᾳ, λέγοντες τάδε.

ΓΡΗΓΌΡΙΟΣ ΈΠΊΣΚΟΠΟΣ
ἀνέγνω.

Γερμανοῦ, Γεωργίου καὶ Μανσοὺρ τῶν κακοδόξων φρόνημα ὑμεῖς διελύσατε.

Γερμανῷ τῷ διγνώμῳ καὶ ξυλολάτρῃ ἀνάθεμα.

Γεωργίῳ τῷ ὁμόφρονι αὐτοῦ, καὶ φαλσευτῇ τῶν πατρικῶν διδασκαλιῶν, ἀνάθεμα,

Μανσοὺρ τῷ κακωνύμῳ καὶ σαρρακηνόφρονι, ἀνάθεμα.

Τῷ εἰκονολάτρῃ καὶ φαλσογράφῳ Μανσοὺρ, ἀνάθεμα.

Τῷ τοῦ Χριστοῦ ὑβριστῇ καὶ ἐπιβούλῳ τῆς βασιλείας Μανσοὺρ, ἀνάθεμα.

Τῷ τῆς ἀσεβείας διδασκάλῳ καὶ παρρερμηνευτῇ τῆς θείας γραφῆς Μανσοὺρ, ἀνάθεμα.

Ἡ τριὰς τοὺς τρεῖς καθεῖλεν.

ΈΠΙΦΆΝΙΟΣ ΔΙΆΚΟΝΟΣ
ἀνέγνω.

Εἴπωμεν πρὸς ταῦτα τὸ τοῦ προφήτου. ὄψις
Ἱερεμ. 3. πόρνης ἐγένετό σοι, ἀνεσχύντησας πρὸς πάντας.
καὶ γὰρ ἐκεῖναι εἰς τὰ ἑαυτῶν ὀνείδη καὶ αἰσχρὰ
ἐπιτηδεύματα ἐγκαλλωπιζόμεναι, τοὺς σεμνῶς
βεβιωκότας μυκτηρίζειν εἰώθασι· βδέλυγμα
γὰρ ἁμαρτωλοῖς θεοσέβεια. οὕτως καὶ οὗτοι χεί-
Ψαλ. 11. λη ἔχοντες δόλια, ἐλάλησαν κατὰ τῶν δικαίων
ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει, ἀλλὰ
κύριος ἔκρυψεν αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προ-
σώπου αὐτοῦ, καὶ ἀπὸ ταραχῆς αὐτῶν ἐσκέπασεν
αὐτοὺς, καὶ ἀπὸ ἀντιλογίας τῶν γλωσσῶν αὐ-
τῶν ἐρρύσατο αὐτούς. ὡς φωστῆρες γὰρ ἐν κόσ-
μῳ διέλαμψαν, λόγον ζωῆς ἐπέχοντες. καὶ
Γερμανοῦ μὲν τοῦ ἐν τοῖς ἱεροῖς γράμμασιν ἀ-
νατεθραμμένου, καὶ ὡς Σαμουὴλ ἐκ βρέφους τῷ
Θεῷ ἀνατεθειμένου, καὶ τῶν θεσπεσίων πατέ-
ρων ἐφαμίλλου· οὗ ταῖς διαλογαῖς ἐξακολουθεῖν
ἀναγκαῖον· διαβεβόηνται τὰ συγγράμματα ἐν
πάσῃ τῇ οἰκουμένῃ. αἱ γὰρ ὑψώσεις τοῦ Θεοῦ
Ψαλ. 149. ἐν τῷ λάρυγγι αὐτοῦ, καὶ ῥομφαῖαι δίστομοι ἐν
ταῖς χερσὶν αὐτοῦ, ἀκοντιζόμεναι κατὰ τῶν ἀ-
πειθούντων τῇ ἐκκλησιαστικῇ παραδόσει. Γεώρ-
γιος δὲ, οὗ Κύπρος ἡ πατρὶς, εὐαγγελικῶς
τὸν βίον ἐμπολιτευσάμενος, Χριστὸν τὸν Θεὸν
ἡμῶν τὸν δόντα ἡμῖν ὑπογραμμὸν τὴν οἰκονο-
μίαν αὐτοῦ μιμησάμενος οὐκ ἤρισεν, οὐκ ἐ-
κραύγασε· λοιδορούμενος οὐκ ἀντελοιδόρησε,
πάσχων οὐκ ἠπείλησε, τῷ τύπτοντι αὐτὸν εἰς
τὴν σιαγόνα ἔστρεφε καὶ τὴν ἄλλην, τῷ ἀγγα-
ρεύοντι αὐτὸν μίλιον ἓν προσετίθει τὸ διπλά-
σιον· ἦρε τὸν ζυγὸν ἐκ νεότητος αὐτοῦ, ἀγα- Θρῆν. 3.
θὸν ἡγησάμενος κατὰ τὸν προφήτην καθίσαι
καταμόνας καὶ σιωπῆσαι. Ἰωάννης δὲ, ὃς παρ'
αὐτῶν ὑβριστικῶς Μανσοὺρ προσηγόρευται, ἀ-
φεὶς πάντα, Ματθαῖον τὸν εὐαγγελιστὴν ζη-
λώσας, Χριστῷ ἠκολούθησε· μείζονα πλοῦτον
ἡγησάμενος τῶν ἐν Ἀραβίᾳ θησαυρῶν τὸν ὀ-
νειδισμὸν τοῦ Χριστοῦ. καὶ εἵλετο μᾶλλον συγκα-
κουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν
ἁμαρτίας ἀπόλαυσιν. αὐτὸς οὖν τὸν σταυρὸν ἑαυτοῦ
καὶ τοῦ Χριστοῦ ἀράμενος, καὶ ἀκολουθήσας αὐτῷ,
ὑπὲρ Χριστοῦ καὶ τῶν τοῦ Χριστοῦ ἐξ ἀνατολῆς
διὰ Χριστοῦ ἐσάλπισε, μὴ φορητὴν ἡγούμενος
τὴν ἐν ἀλλοδαπῇ γεγονυῖαν καινοφωνίαν, καὶ
τὴν κατὰ τῆς ἁγίας τοῦ Θεοῦ καθολικῆς ἐκ-
κλησίας ἄθεσμον συσκευὴν καὶ λυσσώδη μα-
νίαν· ἀλλὰ ταύτην θριαμβεύσας, πάντας πα-
ραινετικῶς καὶ νουθετητικῶς ἠσφαλίζετο, μὴ ἀ-
παχθῆναι μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν·
ζητῶν ἐν ἐκκλησίαις τὴν ἀρχαίαν θεσμοθε-
σίαν κρατεῖσθαι, καὶ τὴν εἰρηναίαν κατάστασιν, * γνώρισμα
ἣν ὁ κύριος τοῖς μαθηταῖς αὐτοῦ ὡς * γνώρι-
μον τῶν τῷ ὀνόματι αὐτοῦ κεκλημένων ἐδωρή- Ἰωάν. 14.
σατο, λέγων· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν,
εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. τούτων οὖν τῶν
αἰδεσίμων ἀνδρῶν καὶ ἀξίων πίστεως οὕτως ἀνα-
δειχθέντων ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, τίς ἡ
πρὸς αὐτοὺς ἐπαναστατικὴ συκοφαντία, καὶ οἷον
φρικωδεστάτη, ἣν καὶ φέρειν τις οὐ δύναται; ὄν-
τως ἀγνόημα ἠγνόησαν οἱ ταλαίπωροι, τὴν οἰ-
κείαν γλῶσσαν ἀσχήμως ἀπογυμνώσαντες, Γερ-
μανὸν τὸν μυστηπόλον θύτην καὶ ἱερέα Χρι-
στοῦ δίγνωμον καὶ ξυλολάτρην ὀνομάσαντες, ὡ-
σαύτως καὶ Γεώργιον καὶ Μανσούρ· ὁπότε οὐδὲ
τῶν * ἐν τέλει τις τοιοῦτον βλάσφημον τῷ ὁ- * ἴσ. τῶν εὔτελων τις
μοπίστῳ προσέρριψεν. ἐξ Ἑβραίων δὲ καὶ Ἀ-
γαρηνῶν καὶ ἄλλων ἀπίστων ἔγκλησιν τοιαύτην
περί τε τοῦ θείου τύπου τοῦ σταυροῦ, καὶ τῶν σε-
πτῶν εἰκόνων, καὶ ἱερῶν ἀνατεθειμένων τῷ Θεῷ,
πολλαχῶς οἱ Χριστιανοὶ ἐνεκλήθησαν· ἐπεὶ
Χριστιανὸς ὁμοπίστῳ τοιαύτην ἔγκλησιν οὐδαμῶς
προσήγαγεν. ἀλλὰ δύσχρηστος ὁ δίκαιος τῷ ἀ-
δίκῳ, ὥσπερ ὀφθαλμιῶσιν ἥλιος. αὐτοὶ γὰρ
δραπετεύσαντες ἀπὸ τῆς ἀληθείας, καὶ τοῦ ἐκ-
κλησιαστικοῦ θεσμοῦ ἐξωσθέντες, παρεδόθησαν
τοῖς ψευδηγορήμασι καὶ ταῖς λοιδορίαις· καὶ οὐ-
δὲν ἕτερον συνάγουσιν, ἢ κατηγορῆσαι τῶν
Χριστιανῶν καὶ τῶν τοῦ Θεοῦ ἱερέων, καταλελοιπέ-
ναι Θεὸν ζῶντα καὶ ἀληθινὸν, καὶ εἰκόσι λατρεύειν·
ἐπεσβόλοι τινὲς καὶ λωβητῆρες, ἀκρικτόμυθοί

τε

τε καὶ ἁμαρτοεπεῖς γινόμενοι. καὶ τίς τῶν φοβουμένων τὸν κύριον καὶ γελόντων οὐ πλατὺν αὐτῶν καταχέοι γέλωτα; ἢ μᾶλλον οὐ συγνὸν πένθος περιβαλεῖται καὶ νύκτα βαθεῖαν πρὸς ταύτην αὐτῶν τὴν ἀσέβειαν; καὶ ἐπειδὴ ἐφευρεταὶ κακῶν κατὰ τὸν θεῖον ἀπόστολον ὄντες, ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις, ταῖς αὐτῶν φλυαρίαις ἐῤῥῶσθαι φράζοντες, ἱκανὰ Θεοῦ χάριτι πρὸς τελείαν ἀναστροπὴν τῶν ματαίων λογισμῶν τῆς ψευδωνύμου αὐτῶν γνώσεως ἀπαρτίσαντες, καὶ ταῖς παλαιαῖς αἱρέσεσι τὴν πλάνην αὐτῶν ταύτην τῆς * κενῆς φαυλότητος συναριθμήσαντες, ἐξετέμομεν τῇ μαχαίρᾳ τοῦ πνεύματος· φέρε * καθικετεύσωμεν τῶν ἀκροωμένων τοὺς νόας, πάντα οὖν ἐνώπια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν, ὡς τῷ παροιμιαστῇ καλῶς καὶ τῇ ἀληθείᾳ δοκεῖ. ἡ γὰρ ἁγία τοῦ Θεοῦ καθολικὴ ἐκκλησία ἐκ διαφόρων καὶ ποικίλων πραγμάτων τοὺς ἐν αὐτῇ γεννηθέντας ἕλκει πρὸς μετάνοιαν, καὶ ἐπίγνωσιν τῆς τῶν ἐντολῶν τοῦ Θεοῦ τηρήσεως, καὶ πάσας τὰς αἰσθήσεις ἡμῶν σπεύδει καθοδηγεῖν πρὸς δόξαν τοῦ ἐπὶ πάτων Θεοῦ, καὶ δι' ἀκοῆς καὶ ὁράσεως τὴν ἐπανόρθωσιν ποιεῖται, αὐτὰ τὰ πεπραγμένα ἐπ' ὄψεσι τῶν προσερχομένων προτιθεῖσα, ὅταν γὰρ ἐκ πλεονεξίας καὶ φιλαργυρίας ἁρπάσῃ τινὰ, ὑποδείκνησιν αὐτῷ ἐν εἰκόνι Ματθαῖον τὸν ἐκ τελωνῶν ἀπόστολον, τὴν τῆς φιλαργυρίας μανίαν καταλιμπάνοντα, καὶ Χριστῷ ἀκολουθοῦντα· Ζακχαῖον ἐπὶ συκομορέαν ἀνερχόμενον, ποθοῦντα Χριστὸν ἰδεῖν, καὶ αὐτῷ συντασσόμενον τὰ ἡμίση τῶν ὑπαρχόντων παρέξειν πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησεν, ἀποδιδόντα τετραπλάσιον· καὶ γίνεται πρὸς φυλακὴν τῆς ἐπιστροφῆς καὶ διηνεκῆ μνήμην ἡ τῶν εἰκονικῶν ὑποτυπώσεων συνεχὴς θέα, πρὸς τὸ μὴ παλινδρομῆσαι εἰς τὸν ἴδιον ἔμετον. ἥρπασεν ἕτερον αὖθις ἔρωτι πορνικῷ κατεχόμενον, Ἰωσὴφ τοῦ σώφρονος τὴν εἰκόνα προτίθησιν· ὃς τὴν πορνείαν βδελυξάμενος, καὶ τῇ σωφροσύνῃ ταύτην νικήσας, τὸ κατ' εἰκόνα διεφυλάξατο, οὗ μέτοχοι γίνονται οἱ ταύτης ἐρασταί. πάλιν ἑτέρωθι τὴν μακαρίαν Σωσάνναν ἀνατίθησι σωφροσύνη κοσμουμένην καὶ χεῖρας ἐκτείνουσαν, τὴν ἐξ ὕψους βοήθειαν ἐπικαλουμένην· καὶ Δανιὴλ κριτὴν προκαθήμενον, ταύτην ἐξερούμενον ἐκ χειρὸς πρεσβυτέρων ἀνόμων· καὶ γίνεται τῆς εἰκονικῆς στηλογραφίας ἡ μνήμη πρὸς φυλακὴν σώφρονος βίου. ἥρπασε τὸν ἐν τρυφῇ τὸν βίον δαπανήσαντα, καὶ μαλακοῖς ἱματίοις ἠμφιεσμένον, καὶ ἃ χρὴ τοῖς πένησι παρέχειν, ἐν τοιαύταις ἐσθήσεσι καταναλίσκοντα, καὶ τῶν τὴν ἁβροδίαιτον ζωὴν ἀσπασάμενον. δεικνύει αὐτῷ τὸν Ἠλίαν μηλωτὴν ἠμφιεσμένον, καὶ τῇ αὐτάρκει τροφῇ ἐπαρκούμενον· καὶ Ἰωάννην τρίχας καμήλου ἐνδεδυμένον, καὶ ἀγρίῳ μέλιτι τρεφόμενον. τὸν δὲ Χριστὸν δακτύλῳ δεικνύοντα, καὶ προδιαγράφοντα αἴρειν τὴν ἁμαρτίαν τοῦ κόσμου. σὺν τούτοις καὶ τὸν μέγαν Βασίλειον, ἀσκητῶν τε καὶ μοναζόντων πλῆθος κατεσκληκότων τῷ σώματι. διὰ δὲ τὸ μὴ ἐκτετάσθαι τὸν λόγον, ὀλίγων μνήμην ποιησάμενοι, τὰ λοιπὰ ἐπαφήκαμεν τοῖς ἀκροωμένοις ἐρευνᾶν. ἔχομεν γὰρ πᾶσαν τὴν τοῦ εὐαγγελίου διήγησιν ἀναστηλογραφουμένην, καὶ εἰς μνήμην Θεοῦ ἡμᾶς ἄγουσαν, καὶ χαρᾶς ἡμᾶς ἐμπιπλῶσαν. τούτων γὰρ ἐπ' ὄψεσιν ὑμῖν προκειμένων, καρδία φοβουμένων τὸν κύριον εὐφραίνεται, θάλλει πρόσωπον, ψυχὴ ἀθυμοῦσα εἰς εὐθυμίαν μεταπεποίηται, καὶ ψάλλει μετὰ τοῦ θεοπάτορος Δαβίδ· ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράθην. μνήμην οὖν Θεοῦ δι' αὐτῶν πάντοτε ἔχομεν. ἡ γὰρ ἀνάγνωσις ἔσθ' ὅτε καὶ ἐλλείπει ᾄδεσθαι ἐν τοῖς ναοῖς· ἡ δὲ εἰκονικὴν ἀνατύπωσις ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας, ὡς ἐν αὐτοῖς καθιδρυμένη, διηγεῖται ἡμῖν καὶ ἀγγέλλει τὴν τῶν πραγματευθέντων ἀλήθειαν. δεξώμεθα οὖν τὴν παράδοσιν τῆς ἐκκλησίας, τιμήσωμεν τὴν θεσμοθεσίαν· μὴ περιεργασώμεθα τὴν εὐσεβῆ καὶ ἔνθεσμον συνήθειαν· μὴ πολυπραγμονήσωμεν τὰ ἀρχαῖα δίκαια. πᾶν γὰρ ὃ εἰς ἀνάμνησιν τοῦ Θεοῦ ἀνατίθεται, ἀποδεκτὸν αὐτῷ· οἱ δὲ ἐκτὸς γινόμενοι τῆς παραδόσεως ταύτης, ἧς μέτοχοι γεγόνασι πάντες οἱ γνησίως υἱοθετηθέντες ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ἄρα νόθοι εἰσὶ, καὶ οὐχ υἱοι. οὐκοῦν αἰσθώμεθα εὖγε καὶ καλῶς εἶναι τὴν τῶν σεπτῶν εἰκόνων ἀνάθεσιν ἐν τῇ ἐκκλησίᾳ, καὶ πνευματικῶς δι' αὐτῶν ἀνάγεσθαι ἐπὶ τὴν τῶν πρωτοτύπων αὐτῶν ἀνάμνησιν, καὶ ταύτας διὰ τὴν αὐτῶν τιμιότητα καὶ ἀσπάζεσθαι καὶ περιπτύσσεσθαι, καὶ τὴν ὀφειλομένην προσκύνησιν ἀπονέμειν. εἴτε οὖν ἀσπασμόν τινι τοῦτο φίλον καλεῖν ἢ προσκύνησιν· ταυτὸν γὰρ ἀμφότερα, εἰ μή που τὴν κατὰ λατρείαν προσκύνησιν τις ἐννοήσειεν· ἄλλη γὰρ αὕτη, ὡς πολλαχῶς δέδικται· μόνον ἄξιος ὁ προσερχόμενος ἔσω τῆς προσκυνήσεως. εἰ δὲ οὐκ ἄξιος, καθαρθήτω πρῶτον, καὶ εἶθ' οὕτως προσελθέτω τῇ εἰκονικῇ σεπτῇ ἀνατυπώσει. μὴ ἔνστασις σατανικὴ εἴη περὶ τὴν αὐτῶν προσκύνησιν, μήτε δειλία ὑπονοία ἔχουσα πρόφασιν πονηρᾶς· ὅτι εἰ προσέλθω τῇ εἰκόνι, ταύτην ἀσπασόμενος, εὑρίσκομαι τὴν ἐν πνεύματι λατρείαν αὐτῇ προσνέμων. ἄπαγε τῆς ὑπονοίας ταύτης. θεομάχοι καὶ κενολόγοι τὸν ὄφιν μιμούμενοι, ταῦτα γλωσσαλγοῦσι, καὶ αὐτὸς τῇ γυναικὶ προσελθὸν ἐψιθύρισε ψευδολογήσας· τί εἶπεν ὁ Θεός; ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ ἐν μέσῳ τοῦ παραδείσου, οὐ φάγεσθε ἀπ' αὐτοῦ. οὕτως καὶ οὗτοι τὰς θηλοδριώδεις καρδίας ἐξαπατῶσι, λέγοντες, ὅτι ὁ προσκυνῶν εἰκόνα τοῦ κυρίου, ἢ τῆς ἀχράντου δεσποίνης ἡμῶν καὶ ἀληθῶς θεοτόκου, ἢ ἁγίων ἀγγέλων, ἤ τινος τῶν ἁγίων, τὴν ἐν πνεύματι λατρείαν ταύτῃ προσφέρει. μὴ ἀπατηθῶμεν οὖν τῷ λόγῳ αὐτῶν. παραίνεσις * παρέμφασεις τοῦ διαβόλου αὕτη, ὁ θεολόγος Γρηγόριος ἀνατρέπει τοῦτο τὸ μύθευμα, παρακελευόμενος πᾶσιν ἡμῖν· τὴν Βηθλεὲμ σεβάσθητι, καὶ τὴν

* καινῆς

* ἴσ. κατηχήσωμεν ex L. Παροι. 8.

Ματθ. 9.

Μάρκ. 2.

Λουκ. 5.

Λουκ. 19.

Γενέσ. 29.

Δανιὴλ. 13.

Μάρκ. 1.

Ψαλ. 76.

Γενέσ. 5.

* παραίφασις

τὴν φάτνην προσκύνησον. σὺν τούτῳ δὲ καὶ Μάξιμος ὁ ἀοίδιμος, οὗ ἔπαινος ἐν πάσαις ταῖς ἐκκλησίας, ἡνίκα μετά τινων ἀνδρῶν διαλεγόμενος περὶ ἐκκλησιαστικῶν πραγμάτων, θεῖον τύπον τοῦ τιμίου σταυροῦ, ἅγιον εὐαγγέλιον καὶ σεπτὴν εἰκόνα προστάττων εἰς μέσον ἄγεσθαι, καὶ ταῦτα ἐπὶ βεβαιώσει τῶν λαληθέντων σὺν αὐτοῖς ἠσπάσατο. ὁ δὲ τῆς ἀθανασίας ἐπώνυμος τρανότατα ἡμῖν διαγορεύει, ἐν τῇ πρὸς Μαρκελλῖνον ἐπιστολῇ, ἣν προέταξεν ἐν τῇ βίβλῳ τῆς ἑρμηνείας τῶν ψαλμῶν, οὕτωσὶ λέγων· τὴν βίβλον τῶν ψαλμῶν τις λαμβάνων, τὰς μὲν περὶ τοῦ σωτῆρος προφητείας συνήθως ἐν ταῖς ἄλλαις γραφαῖς θαυμάζων καὶ προσκυνῶν διεξέρχεται. ὁρᾷς; τὰς τοῦ σωτῆρος προφητείας ὁ θεσπέσιος πατὴρ προσκυνεῖν ἡμῖν παρακελεύεται. καὶ εἰ ταύτας εὐσεβὲς προσκυνεῖν, πόσῳ γε μᾶλλον τὰς ἐκβάσεις τῶν προφητικῶν ἐμφάσεων ἐν εἰκόνι ὁρῶντας ἀναγκαῖόν ἐστι προσκυνεῖν; ἔ-
Ἡσαΐ. 7. χει, γὰρ ἡ προφητεία· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν. ταύτην οὖν τὴν προφητείαν ἐν εἰκόνι ἡμεῖς ὁρῶντες, ἤτοι τὴν παρθένον ἀγκαλιζομένην ὃν ἔτεκεν, πῶς ὑπενέγκωμεν μὴ προσκυνεῖν καὶ ἀσπάζεσθαι; τίς ἀπαίδευτος τὸν νοῦν ἀναβαλέσθαι τολμήσειε πρὸς τοιοῦτον ἀσπασμόν; ἀξίους οὖν ἑαυτοὺς ποιήσωμεν τῆς προσκυνήσεως, ἵνα μὴ προσελθόντες ἀναξίως, τοῦ * Ὀζῆ τὴν τι-
* Ὀζαν 2. Βασιλ. 6. μωρίαν πεισώμεθα. αὐτὸς γὰρ προσψαύσας τῆς κιβωτοῦ, αὐθωρὸν ἀπώλετο, ἀναξίως αὐτῇ προσεγγίσας. καί τοι γε καὶ αὐτῆς διαφόροις μορφαῖς πεποικιλμένης, καὶ ἐκ ξύλων κατεσκευασμένης, καθάπερ καὶ ἡ τῶν εἰκόνων ποίησις. οἱ δέ γε ἀρκεῖσθαι λέγοντες τὰς εἰκονικὰς ἀνατυπώσεις εἰς ἀνάμνησιν μόνον ἔχειν, καὶ οὐχὶ καὶ εἰς ἀσπασμὸν, τὸ μὲν ἀποδεχόμενοι, τὸ δὲ ἀθετοῦντες, ἡμίφαυλοί τινες καὶ ψευθαλήθεις ἀποδείκνυνται, ἄλλοθι μὲν ὁμολογοῦντες τ' ἀληθὲς, ἑτέρωθι δὲ φαυλίζοντες καὶ ὦ τῆς τούτων παραφροσύνης. οὐκοῦν οἵ ποτε κατήγοροι τῆς ὀρθοδοξίας καὶ ἀληθείας, νυνὶ συνήγοροι τούτων γενώμεθα. καὶ ὑπὲρ τῆς ἀθετήσεως τῶν ἐκκλησιαστικῶν παραδόσεων αἰτησώμεθα συγγνώμην τοῦ ἁμαρτήματος. ἐπὶ πᾶσι τούτοις τὰς ἐντολὰς φυλάξωμεν διὰ τῶν προσταγμάτων· ὁδεύσωμεν τὴν προφητικὴν φωνὴν ἐνωτιζόμενοι τὴν λέγουσαν· εἰ ἀνγγέλη σοι ἄνθρωπε, τί κα-
Μιχαί. 6. λὸν, ἢ τί κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα, καὶ ἀγαπᾶν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ κυρίου τοῦ Θεοῦ σου; πρὸς τούτοις θυμὸν κατευνάσωμεν, γλῶσσαν χαλινώσωμεν, ψεύδους αἰσχρολογίας τε καὶ λοιδορίας ἀπέχεσθαι. ὀφθαλμὸν σωφρονίσωμεν· γαστέρα παιδαγωγήσομεν· τῇ ψαλμωδίᾳ καὶ τῇ προσευχῇ προσκαρτερήσωμεν· ἐν πᾶσι τοῖς δεδωρημένοις ἡμῖν παρὰ Θεοῦ εὐχαριστήσωμεν· ὅρκῳ μὴ ἐθίσωμεν τὸ στόμα ἡμῶν, ἀλλὰ τῆς κυριακῆς φωνῆς ἀκούσωμεν λεγούσης· ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως. δόξαν πατήσωμεν Ματθ. 3.
τὴν κάτω μένουσαν· τὸ μέγιστον πάντων τῶν ἀγαθῶν τὸν ἔλεον καὶ τὴν ἀγάπην ἐπισπασώμεθα, καὶ ταύτην φόβῳ Θεοῦ συνεζευγμένην· χωρὶς γὰρ φόβου Θεοῦ ἀγάπη ἀδόκι- 1. Παραλ. 19.
μος. ἐπεὶ καὶ Ἰωσαφὰτ ἐφιλιοῦτο τῷ Ἀχαάβ· ἀλλ' ἤκουσεν· εἰ ἁμαρτωλῷ σὺ φιλιάζεις, εἰ μισουμένῳ ὑπὸ κυρίου σὺ βοηθεῖς; μετὰ νῦν φόβου Θεοῦ πάντα ποιῶμεν, ἐξαιτούμενοι καὶ τὰς πρεσβείας τῆς τε ἀχράντου δεσποίνης ἡμῶν, φύσει θεοτόκου ἀειπαρθένου, Μαρίας, τῶν ἁγίων ἀγγέλων, καὶ πάντων τῶν ἁγίων· ἀσπαζόμενοι καὶ τὰ σεβάσμια αὐτῶν λείψανα πρὸς τὸ μετέχειν ἡμᾶς τῆς αὐτῶν ἁγιότητος· οὕτω γὰρ καταρτισθείημεν εἰς πᾶν ἔργον ἀγαθὸν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ πρέπει δόξα, κράτος, λατρεία σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΡΑΞΙΣ ζ'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. βασιλείας τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς θεοστέπτου αὐτοῦ μητρός· ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ τριῶν εἰδῶν Ὀκτωβρίων, ἰνδικτιῶνος ιά.

Συνελθούσης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου, τῆς κατὰ θείαν χάριν καὶ εὐσεβὲς θέσπισμα τῶν αὐτῶν θεοκυρώτων βασιλέων συναθροισθείσης ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, τουτέστι Πέτρου τοῦ εὐλαβεστάτου πρωτοπρεσβυτέρου τῆς κατὰ Ῥώμην ἁγιωτάτης ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Πέτρου τοῦ εὐλαβεστάτου πρεσβυτέρου μοναχοῦ καὶ ἡγουμένου τῆς κατὰ Ῥώμην εὐαγοῦς μονῆς τοῦ ἁγίου Σάββα, ἐπεχόντων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Ἀδριανοῦ· καὶ Ταρασίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Ἰωάννου, καὶ Θωμᾶ τῶν εὐλαβεστάτων πρεσβυτέρων, μοναχῶν καὶ τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοικήσεως, Ἀγαπίου ἐπισκόπου Καισαρείας, Ἰωάννου ἐπισκόπου Ἐφέσου, Κωνσταντίνου ἐπισκόπου Κωνσταντίας τῆς Κύπρου, Λέοντος ἐπισκόπου Ἡρακλείας τῆς Θρᾴκης, Βασιλείου ἐπισκόπου Ἀγκύρας, Νικολάου ἐπισκόπου Κυζίκου, Εὐδυμίου ἐπισκόπου Σάρδεων, Πέτρου ἐπισκόπου Νικομηδείας, Ἠλία ἐπισκόπου τῆς Κρητῶν νήσου, Ὑπατίου ἐπισκόπου Νικαίας τῆς Βιθυνῶν ἐπαρχίας, Θεοφίλου ἐπισκόπου Θεσσαλονίκης, Σταυρακίου ἐπισκόπου Καλχηδόνος, Λέοντος πρεσβυτέρου καὶ τοποτηρητοῦ τῆς μητροπόλεως Σίδης, Ἐ-

πιφα-

πιφανὶς διακόνε καὶ τοποτηρητῆ Σαρδινίας, Νικηφόρου ἐπισκόπε τῆ Δυρραχίε, Νικολάε πρεσβυτέρε, ἡγεμόνος καὶ τοποτηρητῆ Τυάνων, Δανιὴλ ἐπισκόπε Αμασείας, Γρηγορίε πρεσβυτέρε καὶ τοποτηρητῆ Μωκισῆ, Κωνσαντίνε ἐπισκόπε Γαγγρῶν, * Νείλε ἐπισκόπε Κλαυδιοπόλεως, Γρηγορίε ἐπισκόπε Νεοκαισαρείας, Γρηγορίου ἐπισκόπου Πισινοῦντος, Θεοδώρου ἐπισκόπου Μύρων τῆς Λυκίας, Εὐσαθίου ἐπισκόπε Λαοδικείας τῆς Φρυγῶν ἐπαρχίας, Μιχαὴλ ἐπισκόπου Σωάδων. Γεωργίε ἐπισκόπου Αντιοχείας τῆς Πισιδίας, Θεοφυλάκτε διακόνου καὶ τοποτηρητῆ Καρίας, Λέοντος ἐπισκόπου Ικονίου, Ανασασίε ἐπισκόπου Νικοπόλεως παλαιᾶς Ηπείρου. Κωνσταντίνου ἐπισκ. Πέργης, Γρηγορίου πρεσβατέρου καὶ τοποτηρητῆ Τραϊανουπόλεως, Λέοντος ἐπισκόπου Ρόδε, Χρισοφόρου ἐπισκόπου Φασιδος, Μανουὴλ ἐπισκόπου Αδριανουπόλεως τῆς Θρᾴκης, Νικολάου ἐπισκόπου Ιεραπόλεως, τῆς Φρυγῶν ἐπαρχίας, Βασιλείου ἐπισκόπου τοῦ Συλαίε, Θεοφυλάκτου ἐπισκόπου Εὐχαΐτων, Κυρίλλου μοναχῆ καὶ ἐκ προσώπου Γοτθίας, Θεοδώρου ἐπισκόπου Σελευκίας, Στεφάνου ἐπισκόπου Σουγδάων, Αντωνίου μοναχῆ καὶ τοποτηρητοῦ Σμύρνης, Κωνσαντίνου ἐπισκόπου τοῦ Ρηγίε, Ἰωάννου μοναχῦ καὶ ἐκ προσώπου Παξῶν, * Θεοδώρου ἐπισκόπου Κατάνης, Ιωάννε ἐπισκόπε Ταυρομενίου, Γαυδιώσου ἐπισκόπε Μεσσιλίνης, Θεοώδρου ἐπισκόπου Πανόρμου, Στεφάνου ἐπισκόπου Κιβώνων Κωνσταντίνου ἐπισκόπου Λεοντίνης, Ιωάννου ἐπισκόπου * Τρεοκάλεως, Θεοδώρου ἐπισκόπου Ταυριανῆς, Χριστοφόρου ἐπισκόπου τῆς ἁγίας Κυριακῆς, Βασιλείου ἐπισκόπου τῆς Λιπαρίτης νήσου, Θεοτίμου ἐπισκόπου Κροτώνων, Κωνσαντίνου ἐπισκόπου Καρίνης, Θεοφάνε ἐπισκόπου τοῦ Λιλυβαίου, Θεοδώρου ἐπισκόπου Τροπαίων, Σεργίου ἐπισκόπου Νικωτέρων, Θεοδώρε ἐπισκόπου Βιζύης, Μανουὴλ ἐπισκόπου Πομπιουπόλεως, Ιωάννου ἐπισκόπου τῆς ἁγίας Σαλονιωτίας, Εὐσρατίου ἐπισκόπου Απαμείας τῆς Βιθυνῶν ἐπαρχίας; Πέτρου ἐπισκόπου τῆς Γερμίων, Ιωάννου ἐπισκόπου Αρκαδιουπόλεως, Κώνσα πρεσβυτέρου καὶ τοποτηρητοῦ Σεβασουπόλεως. Γρηγορίου πρεσβυτέρε καὶ ἐκ προσώπου Νικοπόλεως Αρμενίας δευτέρας, Σισιννίε ἐπισκόπου τῆ Παριου, Επιφανίου ἐπισκόπου Μιλήτε, Ιωάννου πρεσβυτέρε καὶ τοποτηρητοῦ Κολωνείας, Οὔρσου ἐπισκόπου τῆς Ιβαριτιανῶν ἐκκλησίας, Εὐσρατίου ἐπισκόπου Μεθύμνης, Λέοντος ἐπισκόπου τῆς Κίε, Ιωάννου ἐπισκόπου Κυψέλλων, Λαυρεντίε ἐπισκόπου τῆς Αψετιανῶν ἐκκλησίας, Λέοντος ἐπισκόπου τῆς Τράδων, Κυριακῆ ἐπισκόπου Δριζιπάρων, Λέοντος ἐπισκόπου Μεσημβρίας, Γρηγορίου ἐπισκόπου Δέρκων, Θεοδώρου ἐπισκόπου Ηρακλείας, Θεοδοσίου ἐπισκ. τῆ Αμορίε, Ιωάννου ἐπισκόπου Νύσσης, Γεωργίου ἐπισκόπε τῆς βασιλικῶν Θερμῶν, Γεωργίε ἐπισκόπου Καμουλιανῶν, Σωτηρίχου ἐπισκόπου Κισκισσῶν, Θεοφυλάκτου ἐπισκόπου Υπέπων. Δαμιανῆ ἐπισκόπου Μιτυλιλίνης, Θεοφυλάκτου ἐπισκόπε Τράλλης, Κώνσα ἐπισκόπου Μασαύρων, Ιωάννου ἐπισκόπους Πρίνης. Γεωργίε ἐπισκόπου Βελίλων, Κώνστα πρεσβυτέρου καὶ τοποτηρητῆ Αγάθης, Θεοδοσίου ἐπισκόπου Νύσσης, Βασιλείε Μαγνησίας· Ηπίλου, Βασιλείου ἐπισκόπου Τῆς Μενάνδε, Σάββα ἐπισκόπου Ανέων, Νικηφόρου πρεσβυτέρε καὶ ἐκ προσώπου Γαργάρων, Γρηγορίου ἐπισκόπου Γαλαιασπόλεως, Θεοφάνου ἐπισκόπου Καλόης, Λέοντος ἐπισκόπου Αλγίζων, Νικοδήμου ἐπισκόπου * Εὐάζων, Εὐγάζων, Λυκάε ἐπισκόπου Βαρέπων, Θεογνίου πρεσβυτέρου, καὶ ἐκ προσώπε Σιῶν, Θωμᾶ ἐπισκόπου Λεβέδου, Σεβατικίου ἐπισκόπου Κύμης, Εὐσαθίου ἐπισκόπε τῆς Τύμνων, Κοσμᾶ ἐπισκόπου Μυρίνης, Ολβιωνῆ ἐπισκόπου * Ιωάννε Ελαίας, Πάρδε ἐπισκόπου Πιτάνης, * Βασιλείε ἐπισκόπε Ασσῆ, Λέοντος ἐπισκόπου Φωκείας, Ιωάννε ἐπισκόπε Ραιδεσῆ, Ιωάννου ἐπισκόπου Παιήε Θρᾴκης, Μεμχισεδὲκ ἐπισκόπε Καλλιεωπόλεως, Θεοφύλε ἐπισκόπου Χαρεωπόλεως, Λεωνίδε ἐπισκόπε Μαδύτε, ἤτοι Ηκοίλα. Σισιννίου ἐπισκόπε * Χαλκίδος, Θωμᾶ ἐπισκόπε τῆ Δαωνίε, Γρηγορίε ἐπισκόπε Θεοδωρεπόλεως, Βενιαμὶν ἐπισκόπε Λιζίκων. Ιωάννε ἐπισκόπε τῆς Βρύσεως, Σπυρίδωνος ἐπισκόσου Παλαιᾶς, ἤτοι Κύθρων. Εὐσαθίε ἐπισκόπου Σόλων. Θεοδώρε ἐπισκόπου Κιλίε, Γεωργίου ἐπίσκόπε Τεμισθωῦτος, Αλεξάνδρε ἐπισκόπε Αμαθουντων, Κώνσα ἐπισκόπε Ιελισπόλεως, Συνεσίε ἐπισκόπου Κιβίας, Θεοφίλε ἐπισκόπου Ανασασιεπόλεως, Λέοντος ἐπισκόπε Μίνζε, Πέτρε ἐπισκόπου Ασπόνης, Ανθίμε ἐπισκόπε Βερνεπόλεως, Μιχαὴλ ἐπισκόπε Μελιτεπόλεως, Σισιννίου ἐπισκόπου Αδρανίας, Θεοδώρου ἐπισκόπου Γέρμης, Βασιλείου ἐπισκόπου Αδρανεθύρων, Λέοντος ἐπισκόπου Ποιμανίνε, Συμεὼν ἐπισκόπε Ωχης, Σεβατηγίε ἐπισκόπε Δαρδάνου, Ιωάννε ἐπισκόπου Λαμψάκε, Θεοδότε ἐπισκόπε Παλαίων, Λεόντος ἐπισκόπε Τρωάδων, Θεοδώρε ἐπισκόπε τῆς Αβύδε. * Νείλε ἐπισκόπε Ηλαίε, Ανασασίε ἐπισκόπε Τεμπόλεως, Λέοντος ἐπισκόπε Τρακύλων, Στεφάνε ἐπισκόπε Σάλων, Ιωάννε ἐπισκόπε * Ταβάλων, Ισωΐε πρεσβυτέρε καὶ τοποτηρητῆ τῆ * Θυαζίων, Στεφάνε ἐπισκόπε Σιλάνδε, Νικολάε ἐπισκόπου τῆ Περικόμμαος, Ιωάννε ἐπισκόπε Σέτων, Κώνσα ἐπισκόπε Ακρασῆ, Θεοφάνες ἐπισκόπε Μαιονίας, Μιχαὴλ ἐπισκόπε Σεβατικείας, Γρηγορίε ἐπισκόπου Γόρδου, Ιωάννου ἐπισκόπου Δάλδης, Εὐσαθίου ἐπισκόπε Υρκανῆς, Ιωσὴφ ἐπισκ. Αττελείας, Θεοπίσε ἐπισκόπου Ερμοκαπηλίας, Ζαχαρίε ἐπισκ. Ιεροκαισαρείας, * Κιρασίων Μιχαὴλ ἐπισκόπε * Καισαρέων, Δαβὶδ ἐπισκ. Ελευθερόπολεως, Κυρίων ἐπισκόπε τοῦ Λόφε, Βασιλείε πρεσβυτέρε καὶ τοποτηρητῆ τῆ Δασκυλίε, Θεοφίλου ἐπισκόπου Απολλωνιάδος, Κών-

* Νικήτα
* Δωροθέε
* Γροκάλεως,
* Νικήτα
* Γαβάλων,
* Θυατήρων,
* Κιρασίων

Κώνσα ἐπισκόπου Καισαρείας τῆς Βιθυνίας, Γεωργίου ἐπισκόπου Βασιλινοπόλεως, Λέοντος ἐπισκόπου Νεοκαισαρείας, ἤτοι Αἰσης, Νικηφόρου ἐπισκόπου * Αδρανῶν, Θεοδώρου ἐπισκόπου Πρύσης, Ἐπιφανίου ἐπισκόπου Λάμπης, Θεοδώρου ἐπισ. Ηρακλειουπόλεως, Ἀνασασίου ἐπισκ. Κυωσσῶν, Μελίτωνος ἐπισ. Κυδωνίας, Λέοντος ἐπισκόπου Κισσάμου, Θεοδώρου ἐπισκόπου Σωβείτων, Λέοντος ἐπισκόπου Φοίνικος, Ἰωάννου ἐπισκόπου Αραδίας, Ἐπιφανίου ἐπισκόπου Ἐλευθέρνης, Φωτεινῶ ἐπισκόπου Καντάνου, Σισιννίου ἐπισκόπου Χερσονήσου, Γρηγορίου πρεσβυτέρου καὶ τοποτηρητῶ Κεφαλληνίας, Φιλίππου ἐπισκόπου Κορκυραίων, Αντωνίου ἐπισκόπου Τροιζηνίων, Πέτρου ἐπισκ. Μονεμβασίας, Γαβριὴλ ἐπισκόπου Αἰγίνης, Λέοντος ἐπισκόπου Πορθμοῦ, Φιλητῶ ἐπισκόπου Ωρεοῦ. Λέοντος ἐπισκόπου Ζακυνθου, Λέοντος ἐπισκόπου Λινόης. Νικήτα ἐπισκόπου Μήλης, Νεοφύτου ἐπισκόπου Γορδοσέρβων, Ἰωάννου ἐπισκόπου Στένων, Λέοντος ἐπισκόπου Ασπενδου, Κώνσα ἐπισκόπου Ζήλων, Γρηγορίου ἐπισκόπου Σινώπης, Μαρίνου διακόνου καὶ τοποτηρητῶ Ανδραπων, Κώνσα ἐπισκόπου Ζαλήκων, Γρηγορίου ἐπισκόπου Αμάσρης, Ηρακλείου ἐπισκόπου Αμάσρης, Ηρακλείου ἐπισκόπου Ιωνοπόλεως, Νικήτα ἐπισκ. Δαδύβρων, * Θεοφάνους ἐπισκ. Πρυσιάδος, Κωνσαντίνου ἐπισ. Κρατείας, Νικήτα ἐπισκόπου τῆ Ροιζαίου, Κώνσα ἐπισκόπου τῆ Πολεμωνίου, Θεοδώρου ἐπισκόπου Κομάνων, Ἰωάννου ἐπισκόπου Κερασούντων, Νικηφόρου ἐπισ. Κλαναίου, Λέοντος ἐπισκόπου Τρωκνάδων, Ἰωάννου διακόνου καὶ ἐκ προσώπου Φασηλίδος, Θεοδώρου ἐπισκόπου Πινναρων, Στεφάνου ἐπισκόπου Κάμνου, Ανασασίου ἐπισκόπου Πατάρων, Γεωργίου ἐπισκ. Νήσα, Κώνσα ἐπισκόπου Κανδίδων, Λέοντος ἐπισκόπου Κορυδάλων, Νικοδήμου ἐπισκόπου Σιδύμων, Λέοντος ἐπισ. Τλῶ, Πέτρου διακόνου ☩ ἐκ προσώπου Ορυκάνδων, Στεφάνου ἐπισκόπου Αράξου, Γεωργίου ἐπισκόπου * Ουϊάνδου, Κώνσα ἐπισκόπου Κόμβων, Σταυρακίου ἐπισκόπου Ζιωνοπόλεως, Γρηγορίου ἐπισκόπου Κιβύρης, Βασιλείου ἐπισκόπου Τάβον, Δωροθέου ἐπισκόπου Νεαπόλεως, Κώνσα ἐπισκόπου Αλαβάνδων, Δαβὶδ ἐπισκόπου Ιασσῶ, Γρηγορίου ἐπισκόπου * Μιλάνης, Σεργίου ἐπισκόπου Βαργυλίου, Γρηγορίου ἐπισκόπου Ηρακλείας τῆ Λάτμου, Ἰωάννου ἐπισκόπου Σταδείας, Γρηγορίου ἐπισκόπου Σεβαστονικείας, Νικήτα διακόνου καὶ ἐκ προσώπου Αλικαρνασσῶ, Μιχαὴλ ἐπισκόπου Χαιρεπόπων, * Λέοντος ἐπισκόπου Ουαλοντίας, Γεωργίου ἐπισκόπου Πέτλων, Χερσοφόρου ἐπισκόπου Αταναση, Λέοντος ἐπισκόπου Εὐμενείας, Παύλου ἐπισκόπου Ακμονίας, Γρηγορίου ἐπισκόπου Τιμβριθήρων, Φιλίππου ἐπισκόπου Τραυπόλεως, Λέοντος ἐπισκόπου Αλέου, Νικηφόρου ἐπισκόπου Λουϋδων, Γεωργίου ἐπισκόπου Αππίας, Ἰωάννου ἐπισκόπου Σίβεως, Ζαχαρίου ἐπισκόπου Τραπεζουπόλεως, Λέοντος ἐπισκόπου Σβασῆς, Ανδρέου ἐπισκόπου Κιδεσῶ, Δοσιθέου ἐπισκόπου Ψόων, ἤτοι Κολασσῶν, Κώνσα ἐπισκόπου τῆ Κοττυαείου, Νικήτα ἐπισκόπου Νακωλείας, Λέοντος ἐπισκόπου τῆ Δοκιμίου, Θεοφυλάκτου πρεσβυτέρου καὶ ἐκ προσώπου Ιψου, Κώνστα ἐπισκόπου Εὐκαρπίας, Μιχαὴλ ἐπισκόπου Ιεραπόλεως, Ἰωάννου πρεσβυτέρου καὶ ἐκ προσώπου τοῦ Θρόνου Ακτορίου, Νικολάου ἐπισκόπου Φυτείας, Θεοφυλάκτου ἐπισκόπου Κινναβάρεως, Δαμιανῶ ἐπισκόπου Μήρων, Χερσοφόρου ἐπισκ. Προμισῶ, Νικήτα ἐπισκόπου Αὐγουσοπόλεως, Κώνσα ἐπισκόπου Αμβλάδων, Στεφάνου πρεσβυτέρου καὶ ἐκ προσώπου Ο"ξου, Γεωργίου ἐπισκόπου τοῦ Μιδαείου Γρηγορίου πρεσβυτέρου καὶ ἐκ προσώπου Πολυβώτου, Σισιννίου ἐπισκόπου τοῦ Φιλομηλίου, Μιχαὴλ ἐπισκόπου Πάπων, Σισιννίου ἐπισκόπου Απαμείας τῆς Κιβωτῶ, Κώνσα ἐπισκόπου Κονάνης, * Νεοφύτου ἐπισκόπου Αδάδων. Πέτρου ἐπισκόπου τοῦ Τιασοῦ, Θεοδοσίου ἐπισκόπου Αγαλασσῶ, Λέοντος ἐπισκόπου Βάρης, Πέτρου ἐπισκόπου Σελευκείας τῆς * Ιδίας, Νικηφόρου ἐπισκόπου Φλόγων, Μαρίνου ἐπισκόπου Μαγύδων, Λέοντος ἐπισκόπου Ἀνδίδων Στεφάνου ἐπισκόπου Παρνασσῶ. Βαρδανίου ἐπισκόπου Δοάρων, Εὐστρατίου ἐπισκόπου Δεβελίου, Εὐθυμίου ἐπισκόπου Σωζοπόλεως, Θεοδώρου ἐπισ. Βουλγαροφύγου, Γεωργίου ἐπισ. Πλουτινουπόλεως, Βασιλείου ἐπισκόπου Περβεραίου. Μιχαὴλ ἐπισκ. Παμφίλου, Ρουσίμ ἐπισκόπου τῆ Σκοπέλου, Σισιννίου ἐπισ. Γαριλέων, Καλλίστου ἐπισκόπου Εὐδοκιάδος, Κώνστα ἐπισκόπου Λαγνων, Ἰωάννου ἐπισκόπου Κουδρύλων, Θεοδώρου ἐπισκόπου Κρημνῶν, Κώνσα ἐπισκόπου Αδριανῆς, Θεοφίλου ἐπισκόπου τῆς Χίου, Γαλατίου ἐπισκ. τῆς Μήλου, Σεργίου ἐπισκόπου τῆς Λέρου, Μάνζωνος ἐπισκόπου Διοκαισαρείας Πρακάνων, Εὐσαθίου ἐπισκ. Κελενδέρεως, Ζαχαρίου ἐπισκόπου Καρδαβωϊδων, Σισιννίου ἐπισκόπου Μυσβάδων, Εὐσαθίου ἐπισκόπου Λάμης, Θεοδώρου ἐπισκόπου Γερμανικοπόλεως, Σισιννίου ἐπισκόπου Συκίων, Κωνσαντίνου ἐπισκόπου Δαλισανδῶ, Λέοντος ἐπισκόπου Σιβλίων, Στεφάνου ἐπισκόπου Φιλαδελφείας, Εὐδοξίου πρεσβυτέρου καὶ ἐκ προσώπου Μετελλουπόλεως, Θεοδώρου ἐπισκόπου Καδων, Θεοφυλάκτου ἐπισκόπου Μοσιών, Βασιλείου ἐπισκόπου Διονυσιουπόλεως, Στεφάνου ἐπισ. Συνάου, Κωνσαντίνου τῆς Ανδρῶ, Εὐσαθίου ἐπισκόπου τῆς Τίου, Ἰωάννου ἐπισκ. Δεκατερῶν, Ἰωάννου ἐπισκ. Νικαίας τῆς Θρᾴκης, Θεοφάνους ἐπισ. Λεβέδου, Ἰωάννου ἐπισκόπου Λιθοπροσώπου, Νικηφόρου ἐπισ. Αρκαδιουπόλεως, Θεοδώρου ἐπισκόπου Ηρακλειουπόλεως, ἤτοι Πιδοχθόης, Κωνσαντίνου ἐπισ. Μέθων, Λυκάσου ἐπισκόπου * Φιλαδιλφου, Μιχαὴλ ἐπισκόπου Τράλλων, Ἰωάννου ἐπισκ. Λήμνου, Λέοντος ἐπισ. Αμισοῦ, Μιχαὴλ ἐπισ. τῆς Τίου. Ἐπιφανίου ἐπισ. Πέρτων, Ἰωάννου ἐπισ. Τημβριάδων, Στεφάνου ἐπισκόπου

* Θεοφίλου πόλεως
* Αἱρεσιάνης
* Αδριανουπόλεως
* Τυάνδων,

πυ Ὀρύμνων, Ἡρακλείυ ἐπισκόπυ τῆς Σάμυ, Ἰωάννυ ἐπισκ. Πραινέτυ.

Καθεδζόντων τε πρὸ τῦ ἱερωτάτυ ἄμβωνος τῦ ναῦ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς ἐπωνύμυ Σοφίας. συμπαρόντων τε καὶ ἀκροωμένων τῦ ἐνδοξοτάτυ μεγαλοπρεπεσάτυ ἄρχοντος, τυτέστι Πεζωνᾶ τῦ πανυφήμυ ἀπὸ ὑπάτων πατρικίυ καὶ κόμητος τῦ θεοφυλάκτυ βασιλικῦ ὀφικίυ. καὶ διλαβεσάτων ἀρχιμανδριτῶν, ἡγυμένων καὶ μοναχῶν, κατὰ τάξιν τιμὴ προταχθεῖσαν ἐν τῇ πρώτῃ προκειμένων καὶ τῶν τῦ Θεῦ διαγγελίων.

Θεόδωρος ὁ ὁσιώτατος ἐπίσκ. Ταυριανῆς τῆς Σικελῶν νήσυ λαβὼν ἐπὶ χεῖρας τὸν ἐκτεθέντα ὅρον ἀνέγνω.

ΟΡΟΣ ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΗΣ καὶ οἰκυμενικῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον.

Ἡ ἁγία μεγάλη καὶ οἰκυμενικὴ σύνοδος, ἡ κατὰ Θεὸν χάριν καὶ θέσπισμα τῶν εὐσεβῶν καὶ φιλοχρίστων ἡμῶν βασιλέων Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτῦ μητρὸς συναθροισθεῖσα τὸ δεύτερον ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας, ἐν τῇ ἁγίᾳ τῦ Θεῦ ἐκκλησίᾳ τῇ ἐπονομαζομένῃ Σοφίᾳ, ἀκολυθήσασα τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὥρισε τὰ ὑποτεταγμένα.

Ὁ Τὸ φῶς τῆς αὐτῦ ἐπιγνώσεως ἡμῖν χαρισάμενος, καὶ τῦ σκότυς τῆς εἰδωλικῆς μανίας ἡμᾶς λυτρωσάμενος, Χριστὸς ὁ Θεὸς ἡμῶν, νυμφησάμενος τιμῇ ἁγίαν αὐτῦ καθολικὴν ἐκκλησίαν μὴ ἔχυσαν σπῖλον ἢ ῥυτίδα, ταύτην ἐπηγγείλατο διαφυλάττεσθαι, τοῖς τε ἁγίοις αὐτῦ μαθηταῖς διεβεβαιῦτο λέγων· μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τῦ αἰῶνος. ταύτην δὲ τὴν ἐπαγγελίαν ὐ μόνον αὐτοῖς ἐχαρίσατο, ἀλλὰ καὶ ἡμῖν τοῖς δι' αὐτῶν πιστεύσασιν εἰς τὸ ὄνομα αὐτῦ. τῆς ἣν δωρεᾶς ταύτης ἀλογήσαντές τινες, ὡς ὑπὸ τῦ ἀπατεῶνος ἐχθρῦ ἀναπτερύμενοι ἐζέσησαν τῦ ὀρθῦ λόγυ, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας ἀντιταξάμενοι, πρὸς τιμὴ σύνεσιν τῆς ἀληθείας διήμαρτον· καὶ ὥσφησιν ὁ παροιμιακὸς λόγος, τὸς ἄξονας τῦ ἰδίυ γεωργίυ πεπλάνηται, καὶ σωθῆναι χερσὶν ἀπαρπίαν· ὅτι τῶν ἱερῶν ἀναθημάτων τιμῇ θεοπρεπῆ διακοσμίαν διαβάλλειν τετολμήκασιν, ἱερεῖς μὴ λεγόμενοι, μὴ ὄντες δέ. περὶ ὧν ὁ Θεὸς διὰ τῆς προφητείας βοᾷ· ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μυ, ἐμόλυναν τιμὴ μερίδα μυ. ἀνιέρους γὰρ ἐπακολυθήσαντες ἀνδράσι, ταῖς ἰδίαις φρεσὶ πειθομένοις, κατηγόρησαν τῆς ἁρμοσθείσης Χριστῷ τῷ Θεῷ ἁγίας αὐτῦ ἐκκλησίας, καὶ ἀνὰ μέσον ἁγίυ καὶ βεβήλυ ὐ διέσειλαν, τιμὴ εἰκόνα τῦ κυρίυ καὶ τῶν ἁγίων αὐτῦ ὁμοίως τοῖς ξοάνοις τῶν σατανικῶν εἰδώλων ὀνομάσαντες. διὸ μὴ φέρων ὁρᾶν ὑπὸ τοιαύτης λύμης διαφθειρόμενον τὸ ὑπήκοον ὁ δεσπότης Θεὸς, ἡμᾶς τὰς ἀπανταχῦ τῆς ἱερωσύνης ἀρχὰς τῇ αὐτῦ δόξῃ σωνεκάλεσε, θείῳ ζήλῳ καὶ ἐπινεύσει Κωνσταντίνυ καὶ Εἰρήνης τῶν θεοστέπτων ἡμῶν βασιλέων· ὅπως ἡ ἔνθεος παράδοσις τῆς καθολικῆς ἐκκλησίας κοινῇ ψήφῳ ἀπολάβῃ τὸ κῦρος. μετὰ πάσης τοίνυν ἀκριβείας ἐρευνήσαντές τε καὶ διασκεψάμενοι, καὶ τῷ σκοπῷ τῆς ἀληθείας ἀκολυθήσαντες, ὐδὲν ἀφαιρῦμεν, ὐδὲν προσίεμεν, ἀλλὰ πάντα τὰ τῆς καθολικῆς ἐκκλησίας ἀμείωτα διαφυλάττομεν· καὶ ἑπόμενοι ταῖς ἁγίαις οἰκυμενικαῖς ἓξ συνόδοις, ὥρισται μὲν τῇ ἐν τῇ λαμπρᾷ Νικαέων μητροπόλει συναθροισθείσῃ, ἔτι γε μὴν καὶ τῇ μετ' αὐτὴν ἐν τῇ θεοφυλάκτῳ βασιλίδι πόλει.

Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, ποιητὴν ὐρανῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησῦν Χριστὸν, τὸν υἱὸν τῦ Θεῦ τὸν μονογενῆ, τὸν ἐκ τῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεῦ ἀληθινοῦ, γεννηθέντα, ὐ ποιηθέντα, ὁμούσιον τῷ πατρὶ, δι' ὃν τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τὸς ἀνθρώπυς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν ὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίυ καὶ Μαρίας τῆς παρθένυ, καὶ ἐνανθρωπήσαντα. ἐσταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίυ Πιλάτυ, καὶ παθόντα, καὶ ταφέντα. καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς. καὶ ἀνελθόντα εἰς τὸς ὐρανὸς, καὶ καθεζόμενον ἐν δεξιᾷ τῦ πατρός. καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρὸς, ὗ τῆς βασιλείας ὐκ ἔσται τέλος. καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον καὶ ζωοποιὸν, τὸ ἐκ τῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶ ἀνάστασιν νεκρῶν. καὶ ζωὴν τῦ μέλλοντος αἰῶνος. ἀμήν. Ἀδελυσσόμεθα δὲ καὶ ἀναθεματίζομεν Ἄρειον καὶ τὸς αὐτῷ σύμφρονας καὶ κοινωνὸς τῆς μανιώδυς αὐτῦ κακοδοξίας. Μακεδόνιόν τε καὶ τὸς περὶ αὐτὸν καλῶς ὀνομασθέντας πνευματομάχυς. ὁμολογοῦμεν δὲ καὶ τὴν δεσποινὰν ἡμῶν τὴν ἁγίαν Μαρίαν κυρίως καὶ ἀληθῶς Θεοτόκον, ὡς τεκοῦσαν σαρκὶ τὸν ἕνα τῆς ἁγίας τριάδος Χριστὸν τὸν Θεὸν ἡμῶν, καθὰ καὶ ἡ ἐν Ἐφέσῳ τὸ πρότερον ἐδογμάτισε σύνοδος, καὶ τὸν ἀσεβῆ Νεστόριον καὶ τὸς ἀμφ' αὐτὸν, ὡς προσωπικὴν δυάδα εἰσάγοντας, τῆς ἐκκλησίας ἐξώθησε. σὺν τούτοις δὲ καὶ τὰς δύο φύσεις ὁμολογοῦμεν τῦ σαρκωθέντος δι' ἡμᾶς ἐκ τῆς ἁχράντυ Θεοτόκυ καὶ ἀειπαρθένυ Μαρίας, τέλειον αὐτὸν Θεὸν καὶ τέλειον ἄνθρωπον γινώσκοντες, ὡς καὶ ἡ ἐν Χαλκηδόνι σύνοδος ἐξεφώνησεν, Εὐτυχῆ καὶ Διόσκορον δυσφημήσαντας τῆς θείας αὐλῆς ἐξελάσασα· συνυποβάλλοντες αὐτοῖς Σε-

Ἐφεσ. 5.

Ματθ. 28.

Ἱερεμ. 12.

Ἰσχυρ. 22.

ζῆρον, Πέτρον, καὶ τὴν πολυβλάσφημον αὐτῆς ἀλληλόστομον σειράν. μεθ' ὧν καὶ τὰ Ὠριγένους, Εὐαγρίου τε καὶ Διδύμου μυθεύματα ἀναθεματίζομεν, ὡς καὶ ἡ ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσα πέμπτη συνόδος. εἰπόντες καὶ δύο θελήματα καὶ ἐνεργείας κατὰ τὸ τῆς φύσεως ἰδιότητα ἐπὶ Χριστοῦ κηρύττομεν, καθ' ὃν τρόπον καὶ ἡ ἐν Κωνσταντινουπόλει ἕκτη συνόδος ἐξεβόησεν, ἀποκηρύξασα Σέργιον, Ὀνώριον, Κῦρον, Πύρρον, Μακάριον, τοὺς ἀθελήτους τῆς δυσεβείας, καὶ τοὺς ἴσων ὁμόφρονας. καὶ συνελόντες φαμέν, ἁπάσας τὰς ἐκκλησιαστικὰς ἐγγράφως ἢ ἀγράφως τεθεσπισμένας ἡμῖν παραδόσεις ἀμωμητοτόμητως φυλάττομεν· ὧν μία ἐστὶ καὶ ἡ τῆς εἰκονικῆς ἀναζωγραφήσεως ἐκτύπωσις, ὡς τῇ ἰσοείᾳ τοῦ εὐαγγελικοῦ κηρύγματος συμβάλλουσα, πρὸς πίστωσιν τῆς ἀληθινῆς καὶ ὑ κατὰ φαντασίαν τοῦ Θεοῦ λόγου ἐνανθρωπήσεως, καὶ εἰς ὁμοίαν λυσιτέλειαν ἡμῖν χρησιμεύουσα. τὰ γὰρ ἀλλήλων δηλωτικά, ἀναμφιβόλως καὶ τὰς ἀλλήλων ἔχουσιν ἐμφάσεις. τύπων οὖν ἐχόντων, τῷ βασιλικῷ ὥσπερ ἐρχόμενοι ξίβον, ἑπακολουθοῦντες τῇ θεηγόρῳ διδασκαλίᾳ τῶν ἁγίων πατέρων ἡμῶν, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας· τὸ γὰρ ἐν αὐτῇ οἰκήσαντος ἁγίου πνεύματος εἶναι ταύτην γινώσκομεν· ὁρίζομεν σὺν ἀκριβείᾳ πάσῃ καὶ ἐμμελείᾳ παραπλησίως τῷ τύπῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἀνατίθεσθαι τὰς σεπτὰς καὶ ἁγίας εἰκόνας, τάς ἐκ χρωμάτων καὶ ψηφίδος καὶ ἑτέρας ὕλης ἐπιτηδείως ἐχούσης ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, ἐν ἱεροῖς σκεύεσι καὶ ἐσθῆσι, τοίχοις τε καὶ σανίσι, οἴκοις τε καὶ ὁδοῖς· τῆς τε τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰκόνος, καὶ τῆς ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας Θεοτόκου, τιμίων τε ἀγγέλων, καὶ πάντων ἁγίων καὶ ὁσίων ἀνδρῶν. ὅσῳ γὰρ συνεχῶς δι' εἰκονικῆς ἀνατυπώσεως ὁρῶνται, τοσοῦτον καὶ οἱ ταύτας θεώμενοι διανίστανται πρὸς τὸ τῶν πρωτοτύπων μνημονεύειν καὶ ἐπιπόθησιν, καὶ ταύταις ἀσπασμὸν καὶ τιμητικὴν προσκύνησιν ἀπονέμειν, ἀμὴ μὴν τὴν κατὰ πίστιν ἡμῶν ἀληθινὴν λατρείαν, ἣ πρέπει μόνῃ τῇ θείᾳ φύσει. ἀλλ' ὃν τρόπον τῷ τύπῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ καὶ τοῖς ἁγίοις εὐαγγελίοις καὶ τοῖς λοιποῖς ἱεροῖς ἀναθήμασι, καὶ θυμιαμάτων καὶ φώτων προσαγωγὴν πρὸς τὸ τούτων τιμᾶν ποιεῖσθαι, καθὼς καὶ τοῖς ἀρχαίοις εὐσεβῶς ἐνῆσαι. ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει· καὶ ὁ προσκυνῶν τὸν εἰκόνα, προσκυνεῖ ἐν αὐτῇ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν. ὅπερ γὰρ κρατοῦσιν ἡ τῶν ἁγίων πατέρων ἡμῶν διδασκαλία, ἔνθεν παράδοσις τῆς καθολικῆς ἐκκλησίας, τῆς ἀπὸ περάτων εἰς πέρατα δεξαμένης τὸ εὐαγγέλιον. ὅπερ τῷ ἐν Χριστῷ λαλήσαντι Παύλῳ καὶ πάσῃ τῇ θείᾳ ἀποστολικῇ ὁμηγύρει καὶ παρεμφερεῖ ἁγιότητι ἐξακολουθοῦμεν, κρατοῦντες τὰς παραδόσεις ἃς παρειλήφαμεν· ὅπερ τοὺς ἐπινικίους τῇ ἐκκλησίᾳ προφητικῶς κατεπάδομεν ὕμνους. χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἰερουσαλήμ. τέρπου καὶ φράινου ἐξ ὅλης τῆς καρδίας σου. περιεῖλε κύριος ἐκ σοῦ τὰ ἀδικήματά σου, λελύτρωσαι ἐκ χειρὸς ἐχθρῶν σου. κύριος βασιλεὺς ἐν μέσῳ σου· οὐκ ὄψει κακὰ οὐκέτι, καὶ ἐρεῖ τῇ Ἰερουσαλήμ. τέρπου. Σοφον. 3.

Θισσαλ. 2.

Τοὺς δὲ τολμῶντας ἑτέρως φρονεῖν ἢ διδάσκειν, ἢ κατὰ τοὺς ἀναγεῖς αἱρετικοὺς τὰς ἐκκλησιαστικὰς παραδόσεις ἀθετεῖν, καὶ μωμοτομίαντινὰ ἐπινοεῖν, ἢ ἀποβάλλεσθαί τι ἐκ τῶν ἀνατεθειμένων τῇ ἐκκλησίᾳ, εὐαγγέλιον, ἢ τύπον τοῦ σταυροῦ, ἢ εἰκονικὴν ἀναζωγράφησιν, ἢ ἅγιον λείψανον μάρτυρος· ἢ ἐπινοεῖν σκολιῶς καὶ πανούργως, πρὸς τὸ ἀναξέσαι τι τῶν ἐνθέσμων παραδόσεων τῆς καθολικῆς ἐκκλησίας· ἔτι γε μὴν ὡς κοινοῖς χρῆσθαι τοῖς ἱεροῖς κειμηλίοις ἢ τοῖς δυναστοῖς μοναστηρίοις· ἐπισκόπους μὴ ὄντας ἢ κληρικοὺς καθαιρεῖσθαι προσάσομεν, μοναζόντας δὲ ἢ λαϊκοὺς τῆς κοινωνίας ἀφορίζεσθαι.

Πέτρος ἀνάξιος πρωτοπρεσβύτερος τοῦ θρόνου τοῦ ἁγίου ἀποστόλου Πέτρου, καὶ τὸν τόπον ἀναπληρῶν Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, ὡρίσας ὑπέγραψα.

Πέτρος ἀνάξ. πρεσβύτερος καὶ ἡγούμενος τοῦ ἁγίου πατρὸς ἡμῶν Σάββα, καὶ τὸν τόπον ἀναπληρῶν Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης, ὁρ. ὑπέγ.

Παράσιος ἐλέῳ θεοῦ ἐπίσκ. Κωνσταντινουπόλεως νέας Ῥώμης, τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγ.

Ἰωάννης ἐλέῳ θεοῦ πρεσβυτ. καὶ πατριαρχικὸς σύγκελλος, τὸν τόπον ἐπέχων τῶν τριῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας καὶ Ἱεροσολύμων, τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγ.

Θωμᾶς ἐλέῳ θεοῦ πρεσβύτ. καὶ ἡγούμενος τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀρσενίου τῆς ὀνομαζομένης ἐν Αἰγύπτῳ ἄνω Βαβυλῶνος, ἐπέχων τὸν τόπον τῶν τριῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ Ἱεροσολύμων, τοῖς πατρικοῖς ἑπόμενος δόγμασι καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρίσας ὑπέγραψα. * ὅ ἴσ. τῆς μονῆς τοῦ

Ἀγάπιος ἀνάξιος ἐπίσκ. Καισαρείας, τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγραψα.

Ἰωάννης ἀνάξιος ἐπίσκ. Ἐφέσου, τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Κωνσταντῖνος ἐλέῳ θεοῦ ἐπίσκ. τῆς Κυπρίων νήσου, τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγ.

Λέων ἐλέῳ θεοῦ ἐπίσκ. Ἡρακλείας Θρᾴκης, τοῖς πατρικοῖς δόγμασιν ἐξακολουθῶν καὶ τῇ

τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγ.

Βασίλειος ἀνάξ. ἐπίσκ. Ἀγκύρας, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν ⁊ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Νικόλαος ἀναξιος ἐπίσκ. Κυζίκου, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγραψα.

Εὐθύμιος ἀνάξ. ἐπίσκ. Σάρδεων, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν ⁊ τῇ παραδόσει τῆς καθολ. ἐκκλησίας, ὁρ. ὑπέγ.

Πέτρος ἀνάξ. ἐπίσκ. Νικομηδείας, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας, ὁρ. ὑπέγραψα.

Ἡλίας ἁμαρτωλὸς ἐπίσκ. Κρήτης, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολ. ἐκκλησίας, ὁρίσας ὑπέγρ.

Γρηγόριος ἀνάξιος ἐπίσ. Νικαίας, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολ. ἐκκλησίας, ὁρίσας ὑπέγραψα.

Σταυράκιος ἁμαρτωλὸς ἐπίσ. Καλκηδόνος, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν ⁊ τῇ παραδόσει τῆς καθολ. ἐκκλησίας, ὁρ. ὑπέγραψα.

Λέων πρεσβύτ. τῆς ἁγιωτάτης τῆ Θεῆ μεγάλης ἐκκλησ. ⁊ ἐκ προσώπου τῆ θρόνου τῆς Σιδητῶν μητροπόλεως, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν ⁊ τῇ παραδόσει τῆς καθολ. ἐκκλησ. ὁρ. ὑπέγ.

Δανιὴλ ἁμαρτωλὸς ἐπίσ. Ἀμασείας, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν ⁊ τῇ παραδόσει τῆς καθολ. ἐκκλησ. ὁρ. ὑπέγ.

Κωνσταντῖνος ἀνάξιος ἐπίσ. Γαγγρῶν, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολ. ἐκκλησίας, ὁρ. ὑπέγραψα.

Ἐπιφάνιος διάκονος τῆς ἁγιωτάτης ἐκκλησ. Κατάνης τῆς Σικελῶν νήσου, ⁊ τὸν τόπον ἐπέχων Θωμᾶ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Σαρδινίας, τοῖς πατρικοῖς δόγμασιν ἑξακολουθῶν καὶ τῇ παραδόσει τῆς καθολ. ἐκκλησ. ὁρίσας ὑπέγ.

Νικηφόρος ἀνάξιος ἐπίσκ. τοῦ Δυρραχίου ὁμοίως.

Ἀνασάσιος ἀνάξ. ἐπίσ. Νικοπόλεως παλαιᾶς Ἠπείρου ὁμ.

Νικήτας ἀνάξιος ἐπίσ. Κλαυδιουπόλεως ὁμοίως.

Γρηγόριος ἐλάχιστος ἐπίσκ. Νεοκαισαρείας ὁμοίως.

Γρηγόριος ἀνάξ. ἐπίσκ. Πισινοῦντος ὁμ.

Θεόδωρος ἀνάξ. ἐπίσ. Μύρων τῆς Λυκίας ὁμοίως.

Θεοφύλακτος ἁμαρτωλὸς, διάκονος ⁊ ἔξαρχος, ⁊ τὸν τόπον ἐπέχων τῆ θρόνου Σταυροπόλεως, ἤτοι Καισίας, ὁμ,

Εὐσάθιος ἀνάξ. ἐπίσ. Λαοδικείας ὁμ.

Μιχαὴλ ἀνάξ. ἐπίσ. Σωζάδων ὁμ.

Λέων ἀνάξ. ἐπίσ. τῆ Γοτθίας ὁμ.

Γεώργιος ἀνάξ. ἐπίσ. Ἀντιοχείας τῆς Πισιδίας ὁμ.

Κώνσας ἀνάξ. ἐπίσ. Πέργης ὁμ.

Γεώργιος ἁμαρτωλὸς, πρεσβύτ. ⁊ τὸν τόπον ἐπέχων τῆ θρόνου Μωκισσῆ, ὁμ.

Χριστοφόρος ἀνάξιος ἐπίσ. Τραπεζουντος ὁμοίως.

Λέων ἀνάξ. ἐπίσ. Ῥόδου ὁμ.

Ἐμμανουὴλ ἀνάξιος ἐπίσ. Ἀδριανουπόλεως ὁμοίως.

Βασίλειος ἀνάξ. ἐπίσ. τῆ Συλαίου ὁμ.

Θεόδωρος ἀνάξ. ἐπίσ. Σελευκείας ὁμ.

Νικόλαος ἀνάξ. ἐπίσ. Ἱεραπόλεως ὁμ.

Κώνσας ἀνάξ. ἐπίσ. τῆ Ῥηγίου ὁμ.

Κύριλλος ἁμαρτωλὸς, μοναχὸς καὶ τὸν τόπον ἐπέχων * Νικοπόλεως ἐπισκόπου Γοτθίας ὁμοίως. * Νικήτα

Στέφανος ἀνάξιος ἐπίσκοπος Σουγδάων ὁμοίως.

Θεόδωρος ἀνάξ. ἐπίσ. Κατάνης ὁμ.

Ἰωάννης ἀνάξ. ἐπίσ. Ταυρομενίου ὁμ.

* Πλάτων ἀνάξ. πρεσβύτ. ⁊ ἐκ προσώπου Στέφανου ἐπισ. Συρακούσης ὁμ. * Γαλάτων

Γαυδιώσος ἀνάξ. ἐπίσ. Μεσσιλίης ὁμ.

Θεόδωρος ἀνάξ. ἐπίσ. Πανόρμου ὁμ.

Στέφανος ἀνάξ. ἐπίσ. Βιζόνων ὁμ.

Κώνσας ἀνάξ. ἐπίσ. Λεοντίνης ὁμ.

Θεόδωρος ἀνάξ. ἐπίσ. Ταυριανῶν ὁμ.

Χρισοφόρος ἀνάξιος ἐπίσκ. τῆς ἁγίας Κυριακῆς ὁμ.

Βασίλειος ἀνάξ. ἐπίσ. τῆς Λιπαριτῶν νήσου ὁμοίως.

Θεότιμος ἀνάξ. ἐπίσ. Κροτώνων ὁμ.

Κώνσας ἀνάξ. ἐπίσ. Καινίνης ὁμ.

Θεοφάνης ἀνάξιος ἐπίσ. τοῦ Λιλυβαίου ὁμοίως.

Ἰωάννης ἀνάξ. ἐπίσ. * Τρεοκάλεως ὁμ. * Τερβάλεως

Θεόδωρος ἀνάξ. ἐπίσ. Τροπαίων ὁμ.

Σέργιος ἀνάξ. ἐπίσ. Νικοτέρων ὁμ.

Θεοφύλακτος ἀνάξιος ἐπίσ. Εὐχαΐτων ὁμοίως.

Μαυριανὸς ἀνάξιος ἐπίσ. Πομπηϊουπόλεως ὁμοίως.

Θεόδωρος ἀνάξ. ἐπίσκ. Βιθύνης ὁμ.

Ἀντώνιος ἁμαρτωλὸς; μοναχὸς ⁊ τοποτηρητὴς τῆ θρόνου Σμύρνης ὁμ.

Εὐσάθιος ἀνάξ. ἐπίσ. Ἀπαμείας ὁμ.

. . . . , .

. . . . .

Πέτρος ἀνάξ. ἐπίσ. τῆς Γερμίων ὁμ.

Ἰωάννης ἀνάξιος ἐπίσκοπος Ἀδριανουπόλεως ὁμ.

Σισίννιος ἀνάξ. ἐπίσκ. τῆ Παρίου ὁμ.

Ἐπιφάνιος ἀνάξιος ἐπίσκοπος Μελιτηνῆς ὁμ.

Νι-

Νικήτας ἀνάξ. ἐπίσκ. Προικοννήσου ὁμ.
Κώνσας ἀνάξι@ ἐπίσκοπ@ Σεβαστουπόλεως ὁμοίως.
Ἰωάννης ἀνάξ. πρεσβύτ. καὶ ἐκ προσώπου τοῦ θρόνου Κολωνείας ὁμ.
Εὐστράτιος ἀνάξ. ἐπίσκ. Μεθύμνης ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Κίου ὁμ.
Γρηγόριος ἀνάξ. πρεσβύτ. καὶ τοποτηρητὴς τοῦ θρόνου Νικοπόλεως ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσκ. πόλεως Ἀμορίου ὁμ.
Θεοφύλακτος ἀνάξ. ἐπίσκοπ@ Κυψέλλων ὁμοίως.
Θεόδωρ@ ἀνάξ. ἐπίσκ. Ἡρακλειουπόλεως, ἤτοι Πιδαχθόης, ὁμ.
Εὐστάθι@ ἀνάξι@ ἐπίσκ. πόλεως Κωτράδων ὁμοίως.
Κυριακὸς ἀνάξι@ ἐπίσκοπ@ Δριζυπάρων ὁμοίως.
Λέων ἀνάξ. ἐπίσκ. Μεσημβρίας ὁμ.
Γρηγόριος ἀνάξ. ἐπίσκ. Δέρκων ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσκ. Νύσσης ὁμ.
Γεώργι@ ἀνάξ. ἐπίσκ. τῆς Βασιλικῶν Θερμῶν ὁμ.
Σωτήριχ@ ἀνάξ. ἐπίσκ. Κισχιασῶν ὁμ.
Γεώργι@ ἀνάξ. ἐπίσκ. Καμουλιανῶν ὁμ.
Δαμιανὸς ἀνάξ. ἐπίσκ. Μιτυλήνης ὁμ.
Κώνσας ἀνάξ. ἐπίσκ. Μασαύρων ὁμ.
Γεώργιος ἀνάξ. ἐπίσ. Βριούλων ὁμ.
Θεοδόσι@ ἀνάξ. ἐπίσ. Νύσσης ὁμ.
Θεοφύλακτος ἀνάξ. ἐπίσκ. Τράλλης ὁμ.
Ὀλυμπιανὸς ἀνάξ. ἐπίσ. Ἐλαίας ὁμ.
Πάρδος ἀνάξ. ἐπίσκ. Πιτάνης ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Ἀλγίζων ὁμ.
Θεόγνις ἀνάξ. πρεσβύτερος καὶ ἐκ προσώπου Σιῶν ὁμοίως.
Στρατόνικος ἀνάξ. ἐπίσκ. Κύμης ὁμ.
Βασίλειος ἀνάξ. ἐπίσ. Ἀτραμμυτείου ὁμ.
Θεοφύλακτ@ ἀνάξι@ ἐπίσκοπ@ Τζέπων ὁμοίως.
Θεοφάνης ἀνάξ. ἐπίσκ. Καλόης ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Φωκείας ὁμ.
Βασίλειος ἀνάξ. ἐπίσκ. Περγάμου ὁμ.
Γρηγόρι@ ἀναξι@ ἐπίσκ. Παλαιασπόλεως ὁμοίως.
Ἰωάννης ἀνάξ. ἐπίσ. πόλεως Ἀσσῶν ὁμ.
Βασίλειος ἀνάξ. ἐπίσ. Μαγνησίας ὁμ.
Μαξίν@ ἀνάξι@ ἐπίσκ. πόλεως Ἀτάνδρου ὁμοίως.
Λύκας@ ἀνάξ. ἐπίσ. Βαρέτων ὁμ.
Κώνσας τοποτηρητὴς πόλεως Ἀγάης ὁμ.
Νικηφόρος τοποτηρητὴς Γαργάρων ὁμ.
Νικόδημος ἀνάξ. ἐπίσκ. Εὐάζων ὁμ.
Σάββας ἀνάξ. ἐπίσκ. Ἀνέων ὁμ.
Νικηφόρ@ ἀνάξ. ἐπίσκ. Ἀρκαδιουπόλεως ὁμοίως.
Κοσμᾶς ἀνάξ. ἐπίσκ. Μυρίνης ὁμ.
Ἰωάννης ἐπίσ. τῆς ἁγίας Σαλσυλιανῆς ἐκκλησίας ὁμ.
Οὖρσος ἀνάξ. ἐπίσ. τῆς ἁγίας Ἀβαρτιανῶν ἐκκλησίας ὁμ.
Λαυρεντί@ ἀμαρτωλὸς ἐπίσ. τῆς ἁγίας Ἀψαρτιανῶν ἐκκλησίας ὁμ.
Εὐσάθιος ἀνάξ. ἐπίσ. Σόλων ὁμ.
Σπυρίδων ἀνάξ. ἐπίσ. Κύθρων ὁμ.
Θεόδωρος ἀνάξ. ἐπίσ. τῆς Κιτίου ὁμ.
Γεώργιος ἀνάξ. ἐπίσ. Τερμιθοῦντος ὁμ.
Ἀλέξανδρ@ ἀνάξι@ ἐπίσ. Ἀμαθοῦντος ὁμοίως.
Ἰωάννης ἀνάξι@ ἐπίσ. Νικαίας τῆς Θρᾴκης ὁμοίως.
Ἰωάννης ἀνάξ. ἐπίσ. Ῥαιδεστοῦ ὁμ.
Μελχισεδὲκ ἀνάξι@ ἐπίσ. Καλλιουπόλεως ὁμοίως.
Λεωνίδης ἀνάξ. ἐπίσ. Κοίλων ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Πανίου ὁμ.
Θεοφύλακτος ἀνάξιος ἐπίσκ. Χαριτοπόλεως ὁμοίως.
Ἰωάννης ἀνάξι@ ἐπίσκ. Λιθοπροσώπου ὁμοίως.
Σισίννιος ἀνάξ. ἐπίσ. Χαλκίδος ὁμ.
Σισίννιος ἀνάξ. ἐπίσ. Τζυρυλλοῦ ὁμ.
Βενιαμὶν ἀνάξ. ἐπίσ. Λιζίκων ὁμ.
Κώνσας πρεσβύτερος καὶ τοποτηρητὴς τοῦ Ἐξαμιλίου ὁμ.
Κώνσας ἀνάξ. ἐπίσ. Μέτρων ὁμ.
Γρηγόριος ἀνάξιος ἐπίσκ. Θεοδωρουπόλεως ὁμοίως.
Κώνσας ἀνάξ. ἐπίσ. Ἰουλιουπόλεως ὁμ.
Θεόφιλος ἀνάξιος ἐπίσ. Ἀναστασιουπόλεως ὁμοίως.
Λέων ἀνάξ. ἐπίσ. Μιζούης ὁμ.
Σωσίστος ἀνάξ. ἐπίσ. Κίνης ὁμ.
Πέτρος ἀνάξ. ἐπίσ. Ἀσπώνης ὁμ.
Ἄνθιμος ἀνάξ. ἐπίσ. Βερινουπόλεως ὁμ.
Λύκαστος ἀνάξιος ἐπίσκοπος Φιλαδελφείας ὁμοίως.
Στέφανος ἀνάξ. ἐπίσ. Σιλάνδου ὁμ.
Θεοφάνης ἀνάξ. ἐπίσ. Μιονίας ὁμ.
. . . . . .
. . . . . .
Μιχαὴλ ἀνάξ. ἐπίσ. Κερασίων ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Σειστοῦ ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Δάλδης ὁμ.
Ἰωάννης ἀνάξιος ἐπίσκ. πόλεως Ταβάλων ὁμοίως.
Θεόπιστος ἀνάξ. ἐπίσ. Ἑρμοκαπήλου ὁμ.
Νικόλαος ἀνάξιος ἐπίσ. Αὐρηλιουπόλεως ὁμοίως.
Ἀνασάσιος ἀνάξ. ἐπίσ. Τερπόλεως ὁμ.
Ζαχαρίας ἀνάξ. ἐπίσ. Ἱεροκαισαρείας ὁμ.
Μιχαὴλ ἀνάξ. ἐπίσ. Τράλλων ὁμ.
Γρηγόριος ἀνάξ. ἐπίσ. Γόρδου ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Τραχύλλων ὁμ.
Εὐσάθιος ἀνάξ. ἐπίσ. Ὑρκανίδος ὁμ.
Ἰωσὴφ ἀνάξ. ἐπίσ. Ἀττα[illegible]είας ὁμ.
Λεόντιος ἀνάξ. ἐπίσ. Ποιμανηνοῦ ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Λαμψάκου ὁμ.
* Νεκτάριος ἀνάξ. ἐπίσ. τοῦ Ἰλαίου ὁμ.
Βασίλειος ἀνάξιος ἐπίσκ. Ἀδρανουθήρων ὁμοίως.

* Νικήτας

Συ-

Συμεὼν ἀνάξ. ἐπίσ. Ὤκης ὁμ.
Θεόδωρος ἀνάξιος ἐπίσκ. πόλεως Γέρμης ὁμοίως.
Θεόδοτος ἀνάξ. ἐπίσ. Παλαίων ὁμ.
Θεόδωρος ἀνάξ. ἐπίσ. Ἀβύδυ ὁμ.
Στρατήγιος ἀνάξ. ἐπίσ. Δαρδάνυ ὁμ.
Μιχαὴλ ἀνάξ. ἐπίσ. Μελιτυπόλεως ὁμ.
Σισίννιος ἀνάξ. ἐπίσ. Ἀδρανείας ὁμ.
Θεοφύλακτος ἀνάξιος ἐπίσκοπος Ἀπολλωνιάδος ὁμ.
Κώνστας ἀνάξιος ἐπίσκ. Καισαρείας Βιθυνίας ὁμ.
Γεώργιος ἀνάξιος ἐπίσ. Βασιλινυπόλεως ὁμοίως.
Κυρίων ἀνάξ. ἐπίσ. τῦ Λόφυ ὁμ.
Λέων ἀνάξ. ἐπίσ. πόλεως Ἀρίστης ὁμ.
Νύμφος ἀνάξιος ἐπίσκ; πόλεως Ἀδρανοῦς ὁμοίως.
Θεόδωρος ἀνάξ. ἐπίσ. Πρύσης ὁμ.
Βασίλειος πρεσβύτ. καὶ τοποτηρητὴς τῦ Δασκυλίυ ὁμ.
Δαβὶδ ἀνάξ. ἐπίσ. Ἐλενυπόλεως ὁμ.
Ἀναστάσιος ἀνάξιος ἐπίσκοπος Κνωσσοῦ ὁμοίως.
Σισίννιος ἀνάξ. ἐπίσ. Χερσονήσυ ὁμ.
Ἐπιφάνιος ἀνάξιος ἐπίσκοπος Ἐλευθέρνης ὁμοίως.
Μελίτων ἀνάξ. ἐπίσ. Κυδωνίας ὁμ.
Φωτεινὸς ἀνάξ. ἐπίσ. Καντάνυ ὁμ.
Λέων ἀνάξ. ἐπίσ. τῦ Φοινικίυ ὁμ.
. . . . . .
. . . . . .
Ἰωάννης ἀνάξ. ἐπίσ. Ἀρκαδίας ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Κισσάμυ ὁμ.
Θεόδωρος ἀνάξιος ἐπίσ. πόλεως Συβριτῶν ὁμοίως.
Ἐπιφάνιος ἀνάξ. ἐπίσ. πόλεως Λάμπης ὁμοίως.
Ἰωάννης ἀνάξ. ἐπίσ. τῦ Δίμβυ ὁμ.
Γαβριὴλ ἀνάξ. ἐπίσ. Αἰγίνης ὁμ.
Πέτρος ἀνάξ. ἐπίσ. Μονεμβασίας ὁμ.
Ἀντώνιος ἀνάξ. ἐπίσ. Τροιζῆνος ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Πορθμῦ ὁμ.
Φιλητὸς ἀνάξ. ἐπίσ. Ὠρεῦ ὁμ.
Νικήτας * Νεκτάριος ἀνάξιος ἐπίσκοπος Μέλης ὁμοίως.
Νεόφυτος ἀνάξ. ἐπίσ. Γορδοσέρβων ὁμ.
Γρηγόριος ἀνάξ. πρεσβύτ. καὶ τοποτηρητὴς Κεφαληνίας ὁμ.
Φίλιππος ἀνάξ. ἐπίσ. Κερκυραίων ὁμ.
Λέων ἁμαρτωλὸς ἐπίσκ. Ζακυνθυ ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Γέρμων ὁμ.
Κώνστας ἀνάξ. ἐπίσ. Σασίμων ὁμ.
Λέων ἀνάξ. ἐπίσκ. Ἀσπόνδυ ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Ἀμισῦ ὁμ.
Ἡράκλειος ἀνάξιος ἐπίσκ. Ἰουνοπόλεως ὁμοίως.
Θεοφάνης ἀνάξ. ἐπίσ. Σωρῶν ὁμ.
Νικήτας * Νεκτάριος ἀνάξιος ἐπίσκοπος Ἀδριανῶν ὁμοίως.

. . . . . .
. . . . . .
Κώνστας ἀνάξ. ἐπίσκ. Κρατείας ὁμ.
Θεόφιλος ἀνάξιος ἐπίσκοπος Προυσιάδος ὁμοίως.
Μιχαὴλ ἀνάξ. ἐπίσ. τῆς Τίυ ὁμ.
Θεόδωρος ἀνάξ. ἐπίσ. Κομάνων ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Κερασῦντος ὁμ.
Κώνστας ἀνάξ. ἐπίσ. τῦ Πολεμωνίυ ὁμ.
* Νεκτάριος ἀνάξ. ἐπίσ. τῦ Ῥυζαίυ ὁμ. * Νικήτας
Νικηφόρος ἀνάξ. ἐπίσ. Κλανέυ ὁμ.
Λέοντιος ἀνάξιος ἐπίσ. πόλεως Τρωκνάδων ὁμοίως.
Θεόδωρος ἀνάξ. ἐπίσ. Πιννάρων ὁμ.
Γεώργιος ἀνάξ. ἐπίσκ. Νύσσα ὁμ.
Στέφανος ἀνάξ. ἐπίσ. Κάμνυ ὁμ.
Κώνστας ἀνάξ. ἐπίσκ. πόλεως Τλῶν ὁμ.
Κώνστας ἀνάξ. ἐπίσ. Κανδίβων ὁμ.
Λέοντιος ἀνάξιος ἐπίσκ. πόλεως Κορυδαλων ὁμοίως.
Πέτρος ἀνάξ. διάκονος καὶ τοποτηρητὴς τῦ θρόνυ * Ὀρικάνδυ ὁμ. * Ὀριθᾶνδων
Νικόδημος ἀνάξ. ἐπίσ. Σιδύμων ὁμ.
Ἰωάννης διάκονος καὶ τοποτηρητὴς Φασήλιδος ὁμοίως.
Στέφανος ἀνάξ. ἐπίσ. Ἀράξυ ὁμ.
Γεώργιος ἀνάξ. ἐπίσ. Ὑνιάνδυ ὁμ.
Λέων ἀνάξ. ἐπίσκ. πόλεως Λιμύρων ὁμ.
Σταυράκιος ἀνάξιος ἐπίσκοπος Ζηνοπόλεως ὁμοίως.
Κώνστας ἀνάξ. ἐπίσ. Κόμβων ὁμ.
Γρηγόριος ἀνάξ. ἐπίσ. Κιβύρης ὁμ.
Βασίλειος ἀνάξ. ἐπίσ. Τάβων ὁμ.
Δωρόθεος ἀνάξ. ἐπίσ. Νεαπόλεως ὁμ.
Κώνστας ἀνάξ. ἐπίσ. Ἀλαβάνδυ ὁμ.
Γρηγόριος ἀνάξ. ἐπίσ. Ἡρακλείας ὁμ.
Δαβὶδ ἀνάξ. ἐπίσκ. Ἰασσῦ ὁμ.
Γρηγόριος ἀνάξ. ἐπίσ. Μυλάσσης ὁμ.
Σέργιος ἀνάξιος ἐπίσκ. πόλεως Βραγυλίων ὁμοίως.
Ἰωάννης ἀνάξιος ἐπίσκοπος πόλεως Μίνδυ ὁμοίως.
Σταυράκιος ἀνάξ. ἐπίσ. Σταδείας ὁμ.
Γρηγόριος ἀνάξ. ἐπίσ. Στρατονικείας ὁμ.
Νικήτας ἀνάξ. πρεσβύτ. καὶ ὑποψήφιος Κεράμυ ὁμ.
Μαυριανὸς ἀνάξ. ἐπίσκ. πόλεως Ἀκμονείας ὁμοίως.
. . . . . .
. . . . . .
Λέων ἀνάξ. ἐπίσ. Ἀλέων ὁμ.
Ζαχαρίας ἀνάξιος ἐπίσκ. Τραπεζουπόλεως ὁμοίως.
Λέων ἀνάξ. ἐπίσ. Εὐμενείας ὁμ.
Φίλιππος ἀνάξιος ἐπίσκοπος Τρανοπόλεως ὁμοίως.
Δοσίθεος ἀνάξ. ἐπίσ. Χώνων ὁμ.
Γεώργιος ἀνάξ. ἐπίσ. Πέλτων ὁμ.
Γεώργιος ἀνάξ. ἐπίσ. Ἀπιάς ὁμ.
Ἰωάννης ἀνάξ. ἐπίσ. Συβλίυ ὁμ.

Παντολέων ἀνάξ. ἐπίσ. Γαλατίας ὁμ.
Μιχαὴλ ἀνάξ. ἐπίσ. Χαιρετόπων ὁμ.
Γρηγόριος ἀνάξιος ἐπίσκοπος Τιμβουθήρων ὁμοίως.
Γεώργιος ἀνάξ. ἐπίσ. Μυνδαείας ὁμ.
Νικήτας ἀναξιῶ ἐπίσκ. πόλεως Νακωλείας ὁμοίως.
Κώνσας ἀναξιῶ ἐπίσκοπος τῆ Κοττυαείου ὁμοίως.
Λέων ἀνάξ. ἐπίσ. τῆ Δοκιμίας ὁμ.
Κώνσας ἀναξιῶ ἐπίσκ. πόλεως Εὐκαρπίας ὁμοίως.
Μιχαὴλ ἀνάξ. ἐπίσ. Ἱεραπόλεως ὁμ.
Δαμιανὸς ἀναξιῶ ἐπίσκ. πόλεως Κιναβάρων ὁμοίως.

. . . . . .

Γρηγόριος ἀνάξ. πρεσβύτ. καὶ τοποτηρητὴς Πολυβύτης ὁμ.
Θεοφύλακτος πρεσβύτ. καὶ τοποτηρητὴς τῆ θρόνου Γ῾ψα ὁμ.
Νικόλαος ἀνάξ. ἐπίσ. Φυτείας ὁμ.
Στέφανος πρεσβύτ. καὶ τοποτηρητὴς τῆ θρόνου Ο῾σρα ὁμ.
Κώνσας ἀναξιῶ ἐπίσκ. πόλεως Α῾μβλάδων ὁμοίως.
Ε῾πιφάνιος ἀναξιῶ ἐπίσκ. πόλεως Πελτῶν ὁμοίως.
Μιχαὴλ ἀνάξ. ἐπίσκ. πόλεως Πούπων ὁμοίως.
Σισίννιος ἀναξιῶ ἐπίσκοπος τῆ Φιλομηλίου ὁμοίως.
Γ῾ωάννης ἀνάξ. ἐπίσ. Τυμβριάδων ὁμ.
Στέφανος ἀνάξ. ἐπίσ. Ο῾ρύμνων ὁμ.
Νικηφόρος ἀνάξ. ἐπίσ. Ψόγλων ὁμ.
Μαῖνος ἀνάξ. ἐπίσ. Μαγύδων ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Δίδων ὁμ.
Στέφανος ἀνάξ. ἐπίσ. Παρναση ὁμ.
Θεόφιλος ἀνάξ. ἐπίσ. τῆς Χίας ὁμ.
Σέργιος ἀνάξ. ἐπίσ. Λέρας ὁμ.
Η῾ράκλειος ἀναξιῶ ἐπίσκ. τῆς Σάμου ὁμοίως.
Γαλατίων ἀνάξ. ἐπίσ. τῆς Μήλας ὁμ.
Κώνσας ἀνάξ. ἐπίσ. τῆς Α῾νδρης ὁμ.
Εὐσάθιος ἀνάξ. ἐπίσ. Τίου ὁμ.
Κάλλιστος ἀνάξ, ἐπίσ. πόλεως Εὐδοκιάδων ὁμ.
Θεόδωρος ἀνάξ. ἐπίσ. Κρημνῶν ὁμ.
Κώνσας ἀνάξ. ἐπίσ. Λαγνῶν ὁμ.
Κώνσας ἀνάξ. ἐπίσ. Α῾νδριανῆς ὁμ.
Γ῾ωάννης ἀνάξ. ἐπίσ, Κοδρύλων ὁμ.
Εὐστράτιος ἀνάξ. ἐπίσ. Δεβέλτου ὁμ.
Εὐθύμιος ἀνάξ. ἐπίσ. Σωζοπόλεως ὁμ.
Θεόδωρος ἀνάξιος ἐπίσκ. τοῦ Βυλγαροφύγου ὁμοίως.
Γεώργιος ἀνάξιος ἐπίσκοπος Πλωτινουπόλεως ὁμοίως.
Σισίννιος ἀνάξ. ἐπίσ. Γαριέλης ὁμ.
Ρ῾ωβὶμ ἀνάξ. ἐπίσ. Σκοπέλου ὁμ.
Βασίλειος ἀναξιῶ ἐπίσκοπος Περβέρεως ὁμοίως.
Μιχαὴλ ἀνάξ. ἐπίσ. τῆ Παμφύλου ὁμ.
Μάνζων ἀνάξ. ἐπίσ. Πρακάνων ὁμ.
Εὐσάθιος ἀνάξ. ἐπίσ. Κελευδέρεως ὁμ.
Σισίννιος ἀνάξ. ἐπίσ. Μουσβάδων ὁμ.
Εὐσάθιος ἀνάξ. ἐπίσ. Λάμου ὁμ.
Λέων ἀνάξ. ἐπίσ. Σιβίλων ὁμ.
Στέφανος ἀναξιῶ ἐπίσκοπος Φιλαδελφείας ὁμοίως.
Ζαχαρίας ἀναξιῶ ἐπίσκοπος Καρδαβούνδων ὁμοίως.
Στέφανος ἀνάξ. ἐπίσ. Συννάους ὁμ.
Κώνσας ἀνάξ. ἐπίσ. Α῾γκύρας ὁμ.
Θεόδωρος ἀνάξ. ἐπίσ. Κάδους ὁμ.
Γ῾ωάννης ἀνάξ. ἐπίσ. Α῾ζάνους ὁμ.
Θεοφύλακτος ἀνάξιος ἐπίσκοπος Μοσιών ὁμοίως.
Γ῾ωάννης ἀνάξ. ἐπίσ. Πραινέτου ὁμ.

Η῾ ἁγία σύνοδος ὑξεβόησεν· πάντες ὕπως πιστεύομεν, πάντες τὸ αὐτὸ φρονοῦμεν, πάντες συναινέσαντες ὑπεγράψαμεν. αὕτη ἡ πίστις τῶν ἀποστόλων. αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. αὕτη ἡ πίστις τοὺς οἰκουμένους ἐστήριξε. πιστεύοντες εἰς ἕνα Θεὸν ἐν Τριάδι ὑμνούμενον, τὰς τιμίας εἰκόνας ἀσπαζόμεθα. οἱ μὴ ὕπως ἔχοντες ἀνάθεμα ἔσωσαν. οἱ μὴ ὕπω φρονοῦντες, πόρρω τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν. ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἑπακολουθοῦμεν. ἡμεῖς τοὺς θεσμοὺς τῶν πατέρων φυλάττομεν. ἡμεῖς τοὺς προσθέντας τι ἢ ἀφαιροῦντας ἐκ τῆς καθολικῆς ἐκκλησίας, ἀναθεματίζομεν· ἡμεῖς τοὺς εἰσαγαγόντας καινοτομίαν τῶν χριστιανοκατηγόρων ἀναθεματίζομεν. ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀσπαζόμεθα. ἡμεῖς τοὺς μὴ ὕπως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν. τοῖς ἐκλαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις τὰς κατὰ εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς μὴ ἀσπαζομένοις τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς οἱ Χριστιανοὶ ταῖς εἰκόσι προσῆλθον, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι πάλιν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλως ἐρρύσατο ἡμᾶς ἐκ τῆς εἰδώλων, ἀνάθεμα. τοῖς τολμῶσι λέγειν, τὴν καθολικὴν ἐκκλησίαν εἰδωλάποτε δεδέχθαι, ἀνάθεμα. πολλὰ τὰ ἔτη τῆς βασιλέως. Κωνσαντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς πολλὰ τὰ ἔτη. νικητοῦ βασιλέως πολλὰ τὰ ἔτη. νέῳ Κωνσαντίνῳ καὶ νέᾳ Ε῾λένῃ αἰωνία ἡ μνήμη. ὁ Θεὸς φυλάξῃ τὸ κράτος αὐτῆς. οὐράνιε βασιλεῦ τοὺς ἐπιγείους φύλαττον. ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα. τῷ φρυαξαμένῳ σωνεδείῳ κατὰ τῆς σεπτῆς εἰκόνων, ἀνάθεμα, τῷ δεχομένῳ τὰ δυσεβῆ τῆς αἱρέσεως αὐτῶν λογίδεια, ἀνάθεμα. Θεοδοσίῳ τῷ ψευδωνύμῳ ἐπισκόπῳ Ε῾φέσου ἀνάθεμα. Σισιννίῳ τῷ ἐπίκλην Πασιλλᾷ ἀνάθεμα. Βασιλείῳ τῷ κακεμφάτῳ τετρακαίδεκα ἀνάθεμα.

Η῾ ἁγία τῆς ἁγίων τὸ δόγμα καθεῖλεν. Α῾ναστασίῳ, Κωνσαντίνῳ καὶ Νικήτᾳ τοῖς κατὰ δόξαν τῷ θρόνῳ Κωνσταντινουπόλεως προεδρεύσα-

σασιν, ὡς νέῳ Α'ρείῳ, Νεςορίῳ ϗ Διοσκόρῳ, ἀνάθεμα.

Η' ἁγία τριὰς τῆς τριῶν τὰ δόγματα καθεῖλεν. προσέτι τοῖς ζηλώσασι ϗ μιμησαμένοις τὴν τριφυῆ κακίαν τῆς εἰρημένων αἱρεσιαρχῶν προέδρων ἀνάθεμα. Θεοδώρῳ, Α'ντωνίῳ ϗ Ι'ωάννῃ, ὡς Μάνεντι, Α'πολλιναρίῳ ϗ Εὐτυχεῖ τοῖς φαντασιοσκόποις ϗ δοκήταις ἀνάθεμα. Θεοδώρῳ τῷ Συρακουσῶν τῆς Σικελίας τῷ ἐπιλεγομένῳ Κριθίνῳ, ϗ τοῖς συναποςατοῦσιν αὐτῷ ἀνάθεμα.

Ι'ωάννῃ Νικομηδείας, ϗ Κωνςαντίνῳ Νακωλείας, τοῖς αἱρεσιάρχαις ἀνάθεμα. ἐξουδένωσαν τὴν εἰκόνα τοῦ κυρίου ϗ τῆς ἁγίων αὐτοῦ. ἐξουδένωσεν αὐτοὺς ὁ κύριος.

Εἴ τις χριςιανοκατηγορικῆς αἱρέσεως ὄντα τινὰ, ἢ ἐν αὐτῇ τὸν βίον ἀπορρήξαντα διεκδικεῖ, ἀνάθεμα.

Εἴ τις Χριςὸν τὸν Θεὸν περιγραπτὸν οὐχ ὁμολογεῖ κατὰ τὸ ἀνθρώπινον, ἀνάθεμα.

Εἴ τις τὰς εὐαγγελικὰς ἐξηγήσεις τὰς ςηλογραφικῶς γινομένας οὐ προσίεται, ἀνάθεμα.

Εἴ τις οὐκ ἀσπάζεται ταύτας ὡς εἰς ὄνομα τοῦ κυρίου οὔσας ϗ τῆς ἁγίων αὐτοῦ, ἀνάθεμα.

Εἴ τις πᾶσαν παράδοσιν ἐκκλησιαςικὴν ἔγγραφόν τε ἢ ἄγραφον ἀθετεῖ, ἀνάθεμα.

Γερμανοῦ τοῦ ὀρθοδόξου αἰωνία ἡ μνήμη.

Ι'ωάννου ϗ Γεωργίου αἰωνία ἡ μνήμη.

Τῶν κηρύκων τῆς ἀληθείας αἰωνία ἡ μνήμη.

Η' τριὰς τοὺς τρεῖς ἐδόξασεν· ὧν ταῖς διαλογαῖς κατακολουθεῖν ἀξιωθείημεν οἰκτιρμοῖς τε ϗ χάριτι τοῦ πρώτου ϗ μεγάλου ἀρχιερέως Χριςοῦ τοῦ θεοῦ ἡμῶν, πρεσβεύουσης τῆς ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου, ϗ πάντων τῆς ἁγίων. γένοιτο. ἀμήν.

ΤΟΙ῀Σ ΕΥ'ΣΕΒΕΣΤΑ'ΤΟΙΣ ΚΑΙ'

γαλήνοτάτοις ἡμῶν βασιλεῦσι Κωνςαντίνῳ ϗ Εἰρήνῃ τῇ αὐτοῦ μητρὶ Ταράσιος ἀνάξιος ἐπίσκ. τῆς θεοφυλάκτου καὶ βασιλίδος ὑμῶν πόλεως νέας Ρ'ώμης, ϗ πᾶσα ἡ ἁγία σύνοδος ἡ κατ' εὐδοκίαν Θεοῦ, προςάξει δὲ τῆς φιλοχρίςου ὑμῶν βασιλείας συνελθοῦσα ἐν ταύτῃ τῇ Νικαέων λαμπρᾷ μητροπόλει τὸ δεύτερον.

ΔΟξάζεται ἡ τῆς ἐκκλησίας κεφαλὴ Χριςος ὁ θεὸς ἡμῶν, κράτιςοι βασιλεῖς, ὅτι περ ἡ ἐν τῇ χειρὶ αὐτοῦ φυλαττομένη καρδία ὑμῶν ἔβλυσε λόγον ἀγαθὸν προςάξασα συναγηγέρθαι ἡμᾶς ἐν τῷ ὀνόματι αὐτοῦ, ἵνα τὴν τῆς ἐκκλησιαςικῶν δογμάτων ἀκράδαντον ϗ ἀσάλευτον θεηγορίαν βεβαίαν κατάχωμεν. ϗ γὰρ ὥσπερ ἡ κεφαλὴ ὑμῶν χρυσῷ ϗ λίθοις διαυγεςάτοις ἐςεφάνωται, οὕτως οἱ νόες ὑμῶν εὐαγγελικαῖς τε καὶ πατρικαῖς διδασκαλίαις κατακεκόσμηνται. αὐτῆς γὰρ, ὧν εἰς πᾶσαν τὴν γῆν ὁ φθόγγος ἐξελήλυθεν, ὡς ὄντως φοιτηταὶ καὶ συμμέτοχοι, παντὸς δὲ τοῦ Χριςωνύμου λαοῦ ὁδηγοὶ πρὸς εὐσέβειαν, τὸν τῆς ἀληθείας ἐςηλογραφήσατε λόγον, καὶ τὸν τῆς ὀρθοδοξίας καὶ εὐσεβείας διεζωγραφήσατε χαρακτῆρα, καὶ οἷα λαμπτῆρες περιφανεῖς τοῖς πιςοῖς ἀνελάμψατε, καὶ ταῖς κινδυνευούσαις ἐκκλησίαις χεῖρα ὠρέξατε, τὰ ὑγιῆ δόγματα κρατύναντες, καὶ τὴν ὁμογνωμοσύνην τῆς διεςώτων πρυτανεύσαντες. ἐξὸν τοίνυν μετὰ παῤῥησίας εἰπεῖν· τὸ τῆς εὐσεβείας εὐδοκίᾳ Θεοῦ δι' ὑμῶν ἐβεβαιώθη κατόρθωμα, καὶ πεπλήρωται χαρᾶς τὸ ςόμα ἡμῶν, ϗ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως· καὶ δι' ἐγγράφου φωνῆς ἡμῶν αἱ γλῶσσαι λαλοῦσι τὰ πράγματα· τί γὰρ τοῦ φυλάττεσθαι ἐκκλησιαςικῶν πραγμάτων βεβαίωσιν φαιδρότερον, ϗ πρὸς εὐφροσύνην, χαριέςερον; ἐπεὶ δὲ ἀνέςησάν τινες ἄνδρες, μόρφωσιν μὲν εὐσεβείας ἔχοντες, ὅτι ἱερωσύνης ἀξίωμα περιεβέβληντο, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι, τῆς Βαβυλωνίων ἱερέων τὴν κατηγορίαν ἐπισπασάμενοι. οὓς καὶ ἡ προφητεία θριαμβεύει λέγουσα· ἐξῆλθεν ἀνομία ἐξ ἱερέων Βαβυλῶνος. μᾶλλον δὲ Καϊφαϊκὸν συνέδριον συςησάμενοι, γενήτορες γεγόνασι δυσσεβῶν διδαγμάτων. καὶ ἀρὰς καὶ πικρίας ἔχοντες ςόμα, τὸ ἐπὶ κακοῖς ἰσχύειν δόξαν ἐλογίσαντο καὶ δύσφημον ἔχοντες γλῶττάν, καὶ κάλαμον ὑπουργοῦντα ταύτῃ, ταῖς αὐτολέκτοις τοῦ θεοῦ φωναῖς μαχόμενοι ἑτερατολόγησαν, τὸ βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον, τοὺς ἐνδυσαμένους Χριςόν, ϗ τῇ χάριτι αὐτοῦ ἀνασωθέντας ἐκ τῆς τῆς εἰδώλων πλάνης, εἰδωλολάτρας ἀποκαλέσαντες. καὶ κακουργίας ἔχοντες γνώμην, χεῖρας ἀθέσμους ἐπέβαλον, ἀφανίσαι οἰόμενοι τὴν τῆς σεπτῆς εἰκόνων ἀναζωγράφησιν. καὶ ὅσα μὲν ἐκ ψηφῖδος ὄντα, ἐξώρυξαν· ὅσα δὲ ἐκ κηροχύτου χρωματουργίας λεάναντες τῆς σεπτῆς ναῶν τὴν εὐκοσμίαν εἰς ἀκοσμίαν μετέβαλον. σὺν τούτοις δὲ καὶ τὰ ἐν σανίσιν εἰς μνήμην ὄντα Χριςοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῆς ἁγίων αὐτοῦ πυρὶ παρέδωκαν· καὶ ὡς ἔπος εἰπεῖν, τὰς καθ' ἡμᾶς ἐκκλησίας λυμηνάμενοι διετάραξαν. καὶ αἱρεσιάρχαι οἱ ἱεράρχαι γεγόνασι· καὶ ἀντὶ μὲν εἰρήνης ἔριν τῷ λαῷ προσεφώνησαν, ἀντὶ δὲ σίτου ζιζάνια ταῖς ἐκκλησιαςικαῖς ἀρούραις ἐνέσπειραν· τὸν οἶνον ἔμιξαν ὕδατι, καὶ τὸν πλησίον ἐπότισαν ἀναξοπὴν θολεράν· καὶ λύκοι Α'ραβικοὶ ὄντες, δορὰν προβάτων ὑπεκρίθησαν ἐνδύσασθαι· καὶ τὴν ἀλήθειαν παραλογιζόμενοι, τὸ ψεῦδος ἐπεσπάσαντο. ἀλλ' ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἱςὸν ἀράχνης κατὰ τὸν προφήτην ὕφαναν· καὶ ὁ μέλλων τῆς ὠῶν αὐτῆς φαγεῖν, συντρίψας οὔριον εὕροι, καὶ ἐν αὐτῷ βασιλίσκον ἰοῦ ϗ πνοῆς θανατηφόρου γέμοντα. ϗ ἐπεὶ ταῦτα οὕτω διέθεντο, ϗ τὴν ἀλήθειαν τὸ ψεῦδος κατεβόσκετο, οὐ συνεχωρήσατε ἡμερώτατοί τε ϗ ἀνδρειότατοι ἡμῶν βασιλεῖς, ἐν τοῖς ὑμετέροις χρόνοις τὴν οὕτω λοιμώδη ϗ ψυχοφθόρον πλάνην ἐνδιαμένειν· ἀλλὰ ταύτην τῇ αὔρᾳ τοῦ θείου πνεύματος τοῦ ἐν ὑμῖν οἰ-

Ψαλ. 125.

Η'σαΐ. 59.

οἰκοῦντος ἀφανίσαι προεθυμήθητε, ὅπως εὐσταθὲς διαμένῃ τῆς ἐκκλησίας τὸ σύστημα, καὶ τοῦ παντὸς ὑπηκόου τὸ σύγκριμα, καὶ τὸ βασίλειον ὑμῶν κατὰ τὴν ὑμετέραν ἐπωνυμίαν εἰρηνικῶς διευθύνηται. καὶ οὐκ ἀνεκτὸν ἢ φορητὸν ἡγήσασθαι, τὰ μὲν ἄλλα ὁμονοεῖν ἡμᾶς καὶ συμβιβάζεσθαι, περὶ δὲ τὸ τῆς ζωῆς ἡμῶν κεφάλαιον, ἤτοι τὴν εἰρήνην τῶν ἐκκλησιῶν, ἑαυτῶν ἀποῤῥήγνυσθαι καὶ ἀποσχίζεσθαι· καὶ ταῦτα Χριστοῦ κεφάλαιον ὄντος, ἡμῶν δὲ καθεξῆς μέλη καὶ ἓν σῶμα διὰ τῆς πρὸς ἀλλήλους ὁμοδοξίας καὶ πίστεως. διὸ τὴν ἱερὰν ἡμῶν καὶ πολυάνθρωπον συναθροισθῆναι ἐκελεύσατε ὁμήγυριν ἐν ταύτῃ τῇ Νικαέων μητροπόλει, ἵνα τὴν τῶν ἐκκλησιῶν διάστασιν ἀποσεισάμενοι, τὰ διεζευγμένα πρὸς ἕνωσιν ἐφελκύσωμεν, καὶ τὴν ἔναγχος ὑφανθεῖσαν ἐξ ἀκανθίνων νημάτων συρφετώδη σισύραν, εἴτουν ψευδοδιδασκαλίαν, διαῤῥῆξαι καὶ διαχίσαι, καὶ τὸν τῆς ὀρθοδοξίας διαπλῶσαι χιτῶνα. καὶ δι' ἀποστολικαῖς καὶ πατρικαῖς ἐξακολουθήσαντες παραδόσεσι, τολμῶ δὲ λέγειν, συμπνοίᾳ τοῦ παναγίου ὁμονοήσαντες πνεύματος, ἀλλήλοις τε συναχθέντες ἅπαντες, σύμφωνον ἡμῖν ἔχοντες τὴν παράδοσιν τῆς καθολικῆς ἐκκλησίας, ταῖς ὑποτυπωθείσαις συμφωνήσεσι παρὰ τῶν ἁγίων ἓξ οἰκουμενικῶν συνόδων συμπεφωνήκαμεν, ἀναθεματίσαντες τὴν Ἀρείου μανίαν, τὴν Μακεδονίου λύτταν, Ἀπολλιναρίου τὴν ἀνόητον φρένα, Νεστορίου τὴν ἀνθρωπολατρείαν, Εὐτυχοῦς καὶ Διοσκόρου τὴν συγχυτικὴν ματαιότητα, καὶ τὴν σὺν αὐτοῖς πολυκέφαλον ὕδραν· Ὠριγένους. Διδύμου καὶ Εὐαγρίου τὰ ληρώδη μυθεύματα· Σεργίου, καὶ Ὀνωρίου, καὶ Κύρου, καὶ Πύῤῥου, καὶ τὴν σὺν αὐτοῖς μονοθέλητον, μᾶλλον δὲ κακοθέλητον βούλησιν· καὶ τὸ καινούργημα τὸ τούτοις ἐφάμιλλον, τὸ μετὰ ταύτας κενῶς φλυαρηθὲν κατὰ τῶν σεπτῶν εἰκόνων, συμφώνως καὶ συμψύχως παρὰ τοῦ πνεύματος λαβόντες λόγον, καὶ παραὐτοῦ ἀρυσάμενοι καθαρὸν ὕδωρ, τῷ σπόγγῳ τῶν θείων δογμάτων τοῦτο ἐξηλείψαμεν, καὶ τοὺς ἐφευρετὰς τῆς νεωτεροποιοῦ κενοφωνίας πόῤῥωπου τῶν ἐκκλησιαστικῶν περιβόλων ἐβάλλομεν. καὶ ὥσπερ χεῖρες καὶ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφηγήμασι κινοῦνται, οὕτως παρὰ τοῦ πνεύματος λαβόντες χάριν καὶ ἰσχὺν, σύνδρομον ἔχοντες τοῦ κράτους ὑμῶν τὴν συμμαχίαν, τὴν εὐσέβειαν συμπεφωνήκαμεν, καὶ τὴν ἀλήθειαν ἐκηρύξαμεν· ὥστε κατὰ πάντα ἀποδέχεσθαι τὰς σεπτὰς εἰκόνας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καθὸ τέλειος ἄνθρωπος γέγονε, καὶ ὅσα ἱστορικῶς κατὰ τὴν εὐαγγελικὴν διήγησιν διαγράφονται· τῆς τε ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου, ἁγίων τε ἀγγέλων. ὡς ἄνθρωποι ἐνεφανίσθησαν τοῖς ἀξίοις γενομένοις τῆς αὐτῶν ἐμφανείας· καὶ πάντων τῶν ἁγίων· καὶ τοὺς ἀγωνιστικοὺς αὐτῶν ἄθλους ἔν τε σανίσι καὶ ἐν τοίχοις, ἱεροῖς τε σκεύεσι καὶ ἐσθῆσι, καθὼς ἐκ τῶν ἀνέκαθεν χρόνων ἡ ἁγία τοῦ Θεοῦ καθολικὴ ἐκκλησία παρέλαβε, καὶ ἐθεσμοθετήθη παράτε τῶν ἁγίων πρωτάρχων τῆς ἡμῶν διδασκαλίας, καὶ τῶν αὐτῶν διαδόχων θεσπεσίων πατέρων ἡμῶν· καὶ ταύτας προσκυνεῖν, ἤτοι ἀσπάζεσθαι· ταυτὸν γὰρ ἀμφότερα· κυνεῖν γὰρ τῇ ἑλλαδικῇ ἀρχαίᾳ διαλέκτῳ τὸ ἀσπάζεσθαι καὶ τὸ φιλεῖν σημαίνει· καὶ τὸ τῆς πρὸς προθέσεως ἐπίτασίν τινα δηλοῖ τοῦ πόθου, ὥσπερ φέρω καὶ προσφέρω, κυρῶ καὶ προσκυρῶ, κυνῶ καὶ προσκυνῶ, ὃ ἐμφαίνει τὸν ἀσπασμὸν καὶ τὴν κατ' ἐπέκτασιν φιλίαν. ὃ γάρ τις φιλεῖ καὶ προσκυνεῖ· καὶ ὃ προσκυνεῖ, πάντως καὶ φιλεῖ, ὡς μαρτυρεῖ ἡ ἀνθρωπίνη σχέσις ἡ παρ' ἡμῶν πρὸς τοὺς φίλους γινομένη, καὶ ἔντευξις τὰ δύο ἀποτελοῦσα. οὐ μόνον δὲ τοῦτο παρ' ἡμῖν, ἀλλὰ καὶ παρὰ τοῖς παλαιοῖς ἐν τῇ θείᾳ γραφῇ ἐγγεγραμμένον εὑρίσκομεν. ἐν γὰρ ταῖς ἱστορίαις τῶν βασιλειῶν γέγραπται· καὶ Δαβὶδ ἀνέστη, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησε τρὶς τὸν Ἰωνάθαν, καὶ κατεφίλησεν αὐτόν. τί δὲ πάλιν ὁ κύριος περὶ τῶν φαρισαίων εὐαγγελικῶς φησιν; ἀγαπῶσι τὰς πρωτοκλισίας ἐν τοῖς δείπνοις, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς· δῆλον ἐνταῦθα ἀσπασμὸν τὴν προσκύνησιν λέγει· οἱ γὰρ φαρισαῖοι ἀλαζονικὸν φρόνημα ἔχοντες, καὶ ἑαυτοὺς δικαίους εἶναι οἰόμενοι, προσκυνεῖσθαι ὑπὸ πάντων ἔσπευδον, οὐχὶ στόμα πρὸς στόμα φιλεῖσθαι. τοῦτο γὰρ ταπεινοφροσύνης μᾶλλον σύμβολον, καὶ οὐ φαρισαϊκῆς οἰήσεως. πάλιν δὲ καὶ Παῦλος ὁ θεῖος ἀπόστολος, καθὼς ἱστορεῖ Λουκᾶς ἐν ταῖς πράξεσιν· ὅτι γενομένων ἡμῶν εἰς Ἱεροσόλυμα, ἀσμένως ἀπεδέξαντο ἡμᾶς οἱ ἀδελφοί. τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον· πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι. καὶ ἀσπασάμενος αὐτοὺς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. οὐκοῦν κἀνταῦθα τὸν ἀσπασμὸν, τὴν πρὸς ἀλλήλοις τιμητικὴν προσκύνησιν ὁ ἀποστολικὸς νοῦς διαγράφει. καθάπερ καὶ περὶ τοῦ Ἰακώβ φησι. προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. σύμφωνα δὲ τούτοις καὶ ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος λέγει· τὴν Βηθλεὲμ σεβάσθητι, καὶ τὴν φάτνην προσκύνησον. τίς ἄρα γε τῶν ὀρθῶς ἢ εἰλικρινῶς νοούντων τὰ γεγραμμένα τῆς θείας γραφῆς, ἐννοήσειεν, ὅτι ταῦτα περὶ τῆς ἐν πνεύματι λατρείας διαγορεύονται; εἰ μή που τῶν ἀνοήτων καὶ ἀμοίρων ὄντων πάσης γραφικῆς γνώσεως καὶ πατρικῆς διδασκαλίας. μὴ γὰρ τῷ ἄκρῳ τῆς ῥάβδου ἐλάτρευσεν Ἰακὼβ, ἢ τῇ φάτνῃ ὁ θεολόγος προστάσσει Γρηγόριος λατρεύειν; οὐδαμῶς. πάλιν τε καὶ ἡμεῖς τὸν ζωοποιὸν σταυρὸν ἀσπαζόμενοι, πάντες συμφώνως ᾄδομεν· τὸν σταυρόν σου προσκυνοῦμεν δέσποτα, καὶ προσκυνοῦμεν τὴν λόγχην τὴν νύξασαν τὴν ζωοποιὸν πλευρὰν τῆς σῆς ἀγαθότητος. ὅπερ προδήλως ἀσπασμός ἐστί τε καὶ λέγεται, ὡς δηλοῖ τὸ προσψαύειν αὐτὰ τοῖς οἰκείοις

1. Βασιλ. 20

Ματθ. 23.

Πράξ. 21.

Ἑβρ. 21.

κείοις ἡμῶν χείλεσιν. εἰ δὲ κ̀ πολλάκεις ἅ̃ρηται ἡ προσκύνησις ἐν τῇ θείᾳ Γραφῇ κ̀ τοῖς ἀσεβολόγοις ἁγίοις πατράσιν ἡμῶν ἐπὶ τῆς ἐν πνεύματι λατρείας, ὡς πολύσημος ἴσα ἡ φωνὴ μίαν τ̃ῆ αὐτῆς σημαινομένων ἐμφαίνει τιν̀ κατὰ λατρείαν προσκύνησιν. ἔστι γὰρ προσκύνησις κ̀ ἡ κατὰ τιμὴν κ̀ πόθον κ̀ φόβον· ὡς προσκυνε῀μεν ἡμεῖς τιν̀ καλλίνικον κ̀ ἡμερωτάτην ὑμῶν βασιλείαν. ἔστιν ἑτέρα κατὰ φόβον μόνον. ὡς Ιακὼβ προσεκύνησε τὸν Ησαῦ. ἔστι κ̀ κατὰ χάριν· ὡς Αβραὰμ ὑπὲρ ἀγρο῀, ὃ ἔλαβον παρὰ τ̃ῶν υἱῶν Χὲτ εἰς τιφὶν Σάρρας τῆς γυναικὸς αὐτο῀, προσεκύνησεν αὐτούς, πάλιν δὲ προσδοκώντες τινες ἀντιλήψεως τυχεῖν παρὰ τ̃ῶν ὑπερεχόντων, προσκυνοῦσιν αὐτούς, ὡς Ιακὼβ τὸν Φαραώ. σ᾽ὐθεν κ̀ ἡ θεία γραφὴ διδάσκουσα ἡμᾶς· κύριον τὸν Θεόν σου προσκυνήσεις, κ̀ αὐτῷ μόνῳ λατρεύσεις· τιν̀ μὴν προσκύνησιν ἀπολύτως κ̀ ὁ μόνῳ εἴρηκεν, ὡς διάφορα σημαινόμενα ἔχουσαν κ̀ ὁμώνυμον ἴσαν τὴν φωνήν. τὸ δὲ λατρεύσεις αὐτῷ μόνῳ εἴρηκε· κ̀ γὰρ μόνῳ Θεῷ τιν̀ λατρείαν * ἡμεῖς ἀναφέρομεν. τούτων ὕπως ἀποδεικθέντων, ὁμολογουμένως κ̀ ἀναμφισβητήτως ἀποδεκτὸν ⸋ ἄ̀αρεστον εἶναι ἐνώπιον το῀ Θεο῀, εἰκονικὰς ἀνατυπώσεις τῆς τε οἰκονομίας το῀ κυρίου ἡμῶν Ιησο῀ Χριστο῀, κ̀ τῆς ἀχράντου θεοτόκου κ̀ ἀειπαρθένου Μαρίας, τ̃ῶν τε τιμίων ἀγγέλων, κ̀ πάντων τ̃ῶν ἁγίων, προσκυνεῖν κ̀ ἀσπάζεσθαι. κ̀ εἴ τις μὴ ὕπως ἔχοι, ἀλλ᾽ ἀμφισβητοίη κ̀ νοσοῖ περὶ τιν̀ τ̃ῶν σεπτῶν εἰκόνων προσκύνησιν, τοῦτον ἀναθεματίζει ἡ ἁγία κ̀ οἰκουμενικὴ ἡμῶν σύνοδος, ὀχυρωθεῖσα τῇ το῀ θείου πνεύματος ἐνεργείᾳ κ̀ ταῖς πατρικαῖς ⸋ ἐκκλησιαστικαῖς παραδόσεσι. κ̀ τὸ ἀνάθεμα ὁδὸν ἕτερόν ἐστιν, ἢ χωρισμὸς ἀπὸ το῀ Θεο῀. εἰ γάρ τινες εἰσιζυγομαχοῦντες πρὸς τὰ ῥηθέντα μὴ πειθόμενοι εἰς κοίτας λακτίζουσι, κ̀ ταῖς ἑαυτῶν ἀδικοῦσι ψυχαῖς, Χριστῷ προσκρούοντες, κ̀ ταῖς κατὰ τῆς ἐκκλησίας αὐτο῀ συκοφαντίαις ἡδόμενοι, βλασφημοῦσι πολεμοῦντες ἐμμανῶς τιν̀ ἀσέβειαν, ὡς τ̃ῆ πάλαι αἱρετικῶν ὄντες κοινωνοὶ κ̀ σύσοιχοι κ̀ ὁμόφυλοι κατὰ τιν̀ ἀσέβειαν. τοὺς δὲ ἀδελφοὺς κ̀ συλλειτουργοὺς ἡμῶν θεοφιλεῖς ἐπισκόπους ἀπεσείλαμεν σὺν ἡγουμένοις κ̀ κληρικοῖς, ἵνα πάντων τ̃ῶν ἐν ἡμῖν πεπραγμένων τιν̀ δήλωσιν ἀναγγείλωσιν εἰς τὰς θεοσεβεῖς ὑμῶν ἀκοάς. πρὸς δὲ ἐπισφράγισιν κ̀ ἐπικύρωσιν τ̃ῶν παρ᾽ ἡμῶν ὁρισθέντων, κ̀ μήν τοι κ̀ πληροφορίαν το῀ ὑμετέρου πανευσεβοῦς κράτους, ὑπετάξαμεν πατρικὰς χρήσεις, ἐκ πολλῶν ὀλίγας συναγαγόντες, τῇ λαμπρότητι τῆς ἀληθείας καταυγάζουσας τὸ βέβαιον· ὁ δὲ πάντων ἡμῶν σωτὴρ κ̀ συμβασιλεύων ὑμῖν, ὁ ταῖς ἐκκλησίαις δι᾽ ὑμῶν τιν̀ εἰρήνην αὐτο῀ βραβεύσαι ἐδώρησας, ἐν πολλοῖς ἔτεσι φυλάττοι τὸ βασίλειον ὑμῶν σὺν τῇ συγκλήτῳ κ̀ ἄρχουσι κ̀ τῷ πιστοτάτῳ ὑμῶν στρατῷ, κ̀ παντὶ τῷ πολιτεύματι· κ̀ δώρήσαιτο ὑμῖν τὸ νικᾶν. αὐτὸς γὰρ εἶπε· ζῶ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω. αὐτός ἐστιν ὁ περιζωννύων ὑμᾶς δύναμιν· κ̀ κόψεται πᾶν τὸ πολέμιον, * χαίρεσε- * χασήσετε
ται δὲ τὸ ὑπήκοον. χαῖρε ἓν κ̀ αὐτὴ πόλις, ἄ̀φραίνου ἡ νέα Σιών, ἡ τῆς οἰκουμένης περιωπή. κἀκεῖ γὰρ Δαβὶδ ἐβασίλευσε, κ̀ μὴν ὧδε δαβιτικῶς οἱ ἄ̀σεβεῖς βασιλεῖς πρυτανεύουσι. Ψαλ. 45.
κύριος ἐν μέσῳ σου· κ̀ μὴν εἴη τὸ ὄνομα αὐτοῦ ⸋ εὐλογημένον εἰς τοὺς αἰῶνας τ̃ῶν αἰώνων. ἀμήν.

ΤΟΙΣ ΘΕΟΦΙΛΕΣΤΑΤΟΙΣ ΙΕΡΕΥΣΙ

τε κ̀ κληρικοῖς τῆς τε ἁγιωτάτης το῀ Θεο῀ μεγάλης ἐκκλησίας, κ̀ πασῶν τ̃ῶν ἐκκλησιῶν τῆς Θεοφυλάκτου κ̀ Βασιλίδος πόλεως, ἡ ἁγία σύνοδος ἡ ἐν Νικαίᾳ σωαθροισθεῖσα τὸ δεύτερον.

ΧΡιστὸς ὁ Θεὸς ἡμῶν ἡ ὄντως ἀλήθεια, τὸ πατρικὸν φῶς κ̀ ἀπαύγασμα, ὁ ἐκ σκότους ἡμᾶς καλέσας εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, κ̀ τῆς εἰδωλικῆς μανίας ἡμᾶς ῥυσάμενος, ὁ ἐξαλείψας τὰ ὀνόματα τ̃ῶν εἰδώλων ἀπὸ τῆς Γῆς, κ̀ ἐπαγγελιάμενος μηκέτι αὐτῶν εἶναι μνείαν, ἐδόκησεν ἐπινεῦσαι τοὺς εὐσεβεῖς ἡμῶν κατὰ πάντα ὀρθοδόξους βασιλεῖς ἡμῶν, σωαθροισθῆναι ἡμᾶς ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει, καθὼς γινώσκετε· ἵνα τῶν διεστώτων τιν̀ διαφωνίαν εἰς συμφωνίαν μεταγάγωμεν, κ̀ τὸ μεσότοιχον ἀρθῇ τῆς ἔχθρας, κ̀ ἡ ἀρχῆθεν θεσμοθεσία τῆς καθολικῆς ἐκκλησίας τὸ κῦρος ἀπολάβοι. κ̀ δὴ σωελθόντων ἡμῶν ἐπὶ τὸ αὐτὸ τὸ ἁγίου πνεύματος ἐπιπνοίᾳ κ̀ ἐνεργείᾳ, πάντες συμπεφωνήκαμεν· κ̀ ἀνατολὴ, ἄρκτος, δύσις, κ̀ μεσημβρία εἰς μίαν ἑνότητα σωηλθομεν· κ̀ ἐβραβεύθη τῶν ἁγίων ἐκκλησιῶν εἰρηναία κατάστασις διὰ τῆς πρὸς ἀλλήλους ὁμοδοξίας κ̀ πίστεως, ἣ κατεύθυνε τιν̀ τρίβον τῶν ποδῶν ἡμῶν· κ̀ τῆς πλάνης ἐκ τῶν ζιζανίων τὸ ἀρχεκάκου ἐχθροῦ αἱρέσεως ἐξερριζώθη τὸ σέλινον. κ̀ ἰδοὺ εὐαγγελιζόμεθα ὑμῖν ἐπ᾽ ὄρους ὑψηλοῦ ἑστῶτες χαρὰν τῆς ἐκκλησιαστικῆς εἰρήνης μεγάλην πάνδημον ἑορτήν. τί γὰρ τούτου χαριέστερον; τοῦ παρρησιάσασθαι Ησαΐᾳ ἄνωθεν προειπόντος· ὡς ὡραῖοι Ησαΐ. 52.
οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τ̃ῶν εὐαγ- Ρωμ. 10.
γελιζομένων τὰ ἀγαθά. κ̀ ἄξιον ἅμα κ̀ ἐπέρασον, ⸋ τῆς ὑμετέρας ἱεροπρεπεῦς θεοφιλίας ἐγκαλλώπισμά τε κ̀ ἀγαλλίαμα, τοῦ πᾶσαν τιν̀ θεόλεκτον ὑμῶν ὁμήγυριν συνδρεθῆναι, κ̀ μὴν θεωρεῖσθαι, κ̀ τῶν κατὰ Θεοῦ χάριν πεπραγμένων κ̀ τῶν λαληθέντων τὴν δύναμιν ἀναθεωρεῖν, ἐπί τε τῇ κατορθώσει τῶν ἐνθέσμων παραδόσεων τῆς καθολικῆς ἐκκλησίας, κ̀ καταλύσει κ̀ καταιροφῇ τῶν φρυαχθέντων κατὰ τῆς ἀληθείας, κ̀ τὰς ἀποστολικὰς κ̀ πατρικὰς τῆς καθολικῆς ἐκκλησίας παραδόσεις ἀλλοιωσάντων, κ̀ τόγε κατὰ τὸ δοκεῖν αὐτοῖς εἰς ἀφανισμὸν ποιησάντων. ἀλλ᾽ ἐπειδὴ ὑγρὰ κέλευθός ἐστι διὰ μέσου, πάλιν δὲ κ̀ χερσαία ῥίζα, δύο χρεία πραγμάτων ἦν, πλοίων τε πρὸς τὸ διὰ-

Βασιλ. 2.

διαπλεῖ σαι, καὶ κτηνῶν ὀφειλόντων ὑμᾶς μετακομίσαι. ἀμφοτέρων οὖν ἀποροῦσα ἡ ἱερατικὴ ὑμῶν ὁμήγυρις, τῆς μεθ' ἡμῶν συνελεύσεως ἐστέρηται. πνευματικῶς δὲ καὶ νοερῶς συμπαρῆτε ἡμῖν, τὸ αὐτὸ φρονοῦντες, ὅπερ τῆς καθολικῆς ἐκκλησίας τὸ πλήρωμα. καὶ ἐπειδὴ ἀλλήλων μέλη ἐσμὲν, Χριστοῦ τοῦ Θεοῦ κεφαλῆς ἡμῶν ὄντος, τῶν θειωδῶς πεπραγμένων παρ' ἡμῖν τὴν διήγησιν ἀναγκαῖον ἡγούμεθα διὰ βραχέων ὑμῖν ἐπιστεῖλαι. λαλοῦσι γὰρ καὶ διὰ γραμμάτων αἱ γλῶσσαι τὰ πράγματα, καὶ παριστῶσιν ὡς βλεπόμενα. ἤδη γὰρ συνεληλυθότων ἡμῶν ἐν ταῦθα ἐκ τῆς διδασκαλίας τῶν πατρικῶν ἀμαρυγμάτων, εἰς ἓν ἐστηρίχθημεν, τὸ
Δευτερ. 32. ἓν πεφρονήκαμεν, ᾠδὴν, ἣν Μωσῆς ἐδίδαξε, μὴ ἐπιλαθόμενοι, τὴν λέγουσαν· ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. οὕτως τῇ παραδόσει τῆς καθολικῆς ἐκκλησίας ἐξηκολουθήσαμεν, καὶ οὔτε ὕφεσιν, οὔτε πλεονασμὸν ἐποιησάμεθα; ἀλλ' ἀποστολικῶς διδαχθέντες, κρατοῦμεν τὰς παραδόσεις ἃς παρελάβομεν, πάντα ἀποδεχόμενοι καὶ ἀσπαζόμενοι, ὅσαπερ ἡ ἁγία καθολικὴ ἐκκλησία ἀρχῆθεν τῶν χρόνων ἀγράφως καὶ ἐγγράφως παρέλαβεν· ἐξ ὧν εἰσι καὶ αἱ ὑποτυπώσεις τῶν εἰκονικῶν ἀναζωγραφήσεων· καὶ ὅσα τὸ ἔμπαλιν ἀπεβάλοντο οἱ θεσπέσιοι πατέρες ἡμῶν, καὐτοὶ ἡμεῖς ἀποβαλλόμεθα, καὶ τῆς ἐκκλησίας ἡγούμεθα πολέμια· μεθ' ὧν συναριθμεῖται καὶ ἡ προσεχὴς καινοφωνία τῶν χριστιανοκατηγόρων, ὡς γάγγραινα νομὴν λαβοῦσα ἐν ταῖς ἐκκλησίαις ἡμῶν. ἀλλ' οὐχ ὑπερεῖδε κύριος ὁ Θεὸς εἰς τέλος. τῆς γὰρ ἀληθείας ἀνακαλυφθείσης, πᾶσιν ἡ ὀρθοδοξία ἐξέλαμψε, τὸ ψεῦδος μετὰ τοῦ συμφυοῦς αὐτοῦ σκότους ὑποδέδυκεν. εἰ γὰρ, ὡς αὐτοὶ πεφληναφήκασιν, εἰδώλοις παρέοικεν ἡ τῶν εἰκόνων στηλογραφία, τῆς ἡμετέρας ἀπολυτρώσεως τὸ μυστήριον ματαιοῦται, ὅπερ ὁ τοῦ Θεοῦ υἱὸς τῇ αὐτοῦ παρουσίᾳ, ἣν δι' ἡμᾶς σαρκὶ ἐπολιτεύσατο χωρὶς ἁμαρτίας, ἐπραγματεύσατο. καὶ οἴχονται αἱ ἐπαγγε-
Λουκ. 1. λίαι αἱ προφητικὴ, ἡ μὲν λέγουσα· λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνη πάσας τὰς τῆς
Ψαλ. 77. ζωῆς ἡμῶν ἡμέρας. ἡ δέ· ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου. καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω, ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. εἰ ὄνειδος αἰώνιον ἐδόθη τοῖς ἐχθροῖς ἡμῶν, ἤγουν ταῖς πονηραῖς δυνάμεσι, διὰ τῆς αὐτοῦ ἀναστάσεως, πῶς πάλιν οἱ Χριστιανοὶ εἰδώλοις ἐλάτρευσαν; φεῦ καὶ τῆς ἀμαθίας καὶ τῆς ἀσεβείας αὐτῶν. εἴθε καὶ ἐνενόησαν, ὅτι τὸ σκανδαλίσαι ἕνα τῶν μικρῶν τῶν πιστευσάντων εἰς Χριστὸν, ἀφόρητον ἔχει
Ματθ. 18. τὴν ἀγανάκτησιν· πόσῳ γε μᾶλλον τὴν οἰκουμένην ἀναστατῶσαι; ἀλλ' ἐξουδένωσαν τὸ ῥῆμα κυρίου, ἀθετήσαντες τὰς ἐκκλησιαστικὰς παραδόσεις. διὰ τοῦτο ἐξουδένωσεν αὐτοὺς κύριος, καὶ μετὰ Ἀρείου, Εὐνομίου, Μακεδονίου, Ἀπολλιναρίου, Νεστορίου, Εὐτυχοῦς καὶ Διοσκόρου, Σεργίου καὶ Ὀνωρίου, καὶ πάσης αὐτῶν τῆς κακοδοξίας συνηρίθμησε τὴν τῆς συμμορίας αὐτῶν ὀχλαγωγίαν· τὴν γὰρ μωρίαν τούτων ἀπομαξάμενοι, μωρὰ λελαλήκασι, καὶ τῇ σφενδόνῃ τῆς ἀληθοῦς ὁμολογίας σὺν αὐτοῖς λελιθοβύληνται, καὶ διαλέλυται ἡ παράταξις αὐτῶν. οὐδὲ γὰρ ἀφῆκε κύριος εἰς τὸν αἰῶνα τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῆς ἐκκλησίας· ὅτι Ἰουδαϊκῶς ἐμελέτησαν κενὰ, καὶ τὰ δευτερεῖα τοῦ συνεδρίου ἐκείνου ἐκληρώσαντο. τοῦτο τὸ συνέδριον Καϊφαϊκὸν βουλευτήριον γέγονεν. ἐκεῖνο κατὰ τοῦ κυρίου κενὰ ἐμελέτησε, τοῦτο δὲ κατὰ τῆς εἰκόνος αὐτοῦ ἐφρυάξατο. τοῦτο τὸ συνέδριον τὴν διὰ Χριστοῦ γενομένην ἡμῖν ἀπολύτρωσιν ἑαυτοῖς καὶ ἄλλοις ἐπεγράψατο. τοῦτο τὸ συνέδριον βαθεῖαν βουλὴν ἐβουλεύσατο, καὶ οὐ διὰ κυρίου, καὶ συνθήκας πεποίηκε, καὶ οὐ διὰ τοῦ πνεύματος αὐτοῦ· ὅτιπερ τὴν εὐκοσμίαν τῶν σεπτῶν ναῶν ἐξηφάνισεν. ἐν τούτῳ τῷ συνεδρίῳ οὐδεὶς τῶν κατ' εἰκόνα Θεοῦ ἀνθρώπων εὕρηται, ὅτι τὴν εἰκόνα τοῦ κυρίου καὶ τῶν ἁγίων αὐτοῦ ἀτιμάσαντες καὶ συντρίψαντες, τῷ πυρὶ παραδεδώκασι. τοῦτο τὸ συνέδριον μανίᾳ καὶ ἀπονοίᾳ κατὰ σατανικῶν φωνῶν τὴν ἀπόφασιν ἐποιήσατο. τοῦτο τὸ συνέδριον τὴν προσηγορίαν μόνην ἔχει ἱερατικὴν, φαύλην δὲ καὶ ἀνίερον τὴν γνῶσιν. τοῦτο τὸ συνέδριον ἀκόλαστον ἔχει τὸ στόμα, τὸ δὲ πνεῦμα αὐτοῦ ψευδόχριστον· ὅτι τὴν μὲν ἀλήθειαν ὑπεκρίθη, τῷ δὲ ψεύδει ἐπαρρησιάσθη. τοῦτο τὸ συνέδριον ἡ καθολικὴ ἐκκλησία, ἅτε ζιζάνια τῆς δεσποτικῆς ἅλωνος, λέγομεν δὴ τῆς καθολικῆς ἐκκλησίας, ἐξελίκμησε, καὶ τῷ πτύῳ τῆς θείας κρίσεως ἀπεβάλετο. ἀφήρηται οὖν ἐκ τῆς καθολικῆς ἐκκλησίας, καὶ διηλέγχθη αὐτοῦ τὰ πλαστουργήματα. ἡ γὰρ ἀληθινὴ τῆς ἐκκλησίας καὶ εὐθυτάτη κρίσις καινουργεῖσθαι ἐν αὐτῇ συγχωρεῖ οὐδὲν, οὔτε ἀφαίρεσιν ποιεῖσθαι. ἡμεῖς τοιγαροῦν πατρῴοις νόμοις ἑπόμενοι, παρὰ τοῦ ἑνὸς πνεύματος λαβόντες χάριν, ἀκαινοτομήτως καὶ ἀμειώτως πάντα τὰ τῆς ἐκκλησίας ἐφυλάξαμεν, καθὼς αἱ ἅγιαι ἓξ οἰκουμενικὴ σύνοδοι παραδεδώκασι· καὶ ὅσα εἴασαν τιμᾶσθαι ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ἀποδεχόμεθα δίχα πάσης ἀμφιβολίας. ἐξ ὧν ἐστιν, ὡς εἴρηναι, καὶ ἡ τῶν εἰκόνων ποίησις καὶ ταύτας τιμητικῶς προσκυνοῦμεν καὶ ἀσπαζόμεθα· ταυτὸν γὰρ ἀμφότερα. καὶ ὅστις ταύτης τῆς ὁμολογήσεως ἔχεται, τῆς καθολικῆς ἐκκλησίας ἐστὶ γνήσιος υἱός τε καὶ μέτοχος. οὐκοῦν πάντα τὰ σκάνδαλα οἴχεται, πάντα ἠφάνισται. ἡ ἀλήθεια πολιτεύεται, τὸ ψεῦδος ἐξώρισται· ὁ σπορεὺς τῶν ζιζανίων τελέως ἐξέλιπεν, ὁ δὲ σῖτος, ὁ λαὸς ὁ * φιλόχριστος εἰς μίαν ἀποθήκην τῆς ἐκκλησίας Χριστοῦ συγκεκόμισται. τὸ τῆς ὀρθοδοξίας φῶς ἀνατέταλκε, τὸ τῆς πλάνης σκότος καθυποδέδυκεν· ἡ κατήφεια εἰς χαρὰν μετημφίασται, τὸ πένθος εἰς εὐφροσύνην μεταβέβληται· ἐστράφη ὁ κοπετὸς εἰς χαρὰν ἡμῖν. πάντα πρὸς τὸ κρεῖττον μεταπεφοίτηκε. διὸ καὶ ἡμεῖς ἀποστολικῶς ὑμῖν προσφθεγγόμεθα χαίρετε ἐν κυρίῳ, χαίρετε, καὶ πάλιν χαίρετε. τριαδικὴν γὰρ χα-

* Κριστώνυμος

Φιλιπ. 3.

ρὰν

ρὰν ἡ τριὰς ἡμῖν ἐχαρίσατο· ᾗ πρέπει δόξα πᾶσα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΠΡΑΞΙΣ Η'.

Ἐν ὀνόματι τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. βασιλείας τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς, ἔτους ὀγδόου τῆς αὐτῶν ὑπατείας, πρὸ δέκα καλανδῶν Νοεμβρίων, ἰνδικτιῶνος ιά.

Ὡς διαπρύσιοι κήρυκές τε καὶ φύλακες τῆς ἀληθείας γεγονότες οἱ τῆς ὀρθοδοξίας συνήγοροι βασιλεῖς, θείῳ πόθῳ κινούμενοι, οὐ φορητὸν ἡγήσαντο μὴ συνεδρεῦσαι τῇ συνόδῳ. τοὔνεκεν διὰ κελεύσεως αὐτῶν ἐπιστέλλουσι τῷ πατριάρχῃ, ἀγαγεῖν ἅπαντας τοὺς θεοφιλεῖς ἐπισκόπους ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει αὐτῶν νέα Ρώμῃ. αὐτὸς οὖν δεξάμενος τὰ γράμματα, εἰς ἔργον τὴν κέλευσιν τῶν βασιλέων ἐπλήρου, καὶ τῶν προτεταγμένων ἁπάντων διαλαληθέντων, καὶ πέρας αἴσιον δεξαμένων, ἅπαντας τοὺς θεκφιλεῖς ἐπισκόπους σὺν αὐτῷ λαβὼν, εἴχοντο τῆς ὁδοῦ, καὶ ἐν τῇ θεοφυλάκτῳ πόλει τὴν ἄφιξιν αὐτῶν ἐποιοῦντο· καὶ παραγενομένων αὐτῶν, οἱ βασιλεῖς εὐμενῶς πάντας ἀπεδέξαντο. ἡ δὲ αἰσίως προλάμπουσα θεοφρούρητος βασίλισσα ἀγαθὴν βουλὴν βουλευσαμένη, ταυτὴν ἡμέραν ὁρίσασα. συνοδικῶς μετὰ τῶν ἐπισκόπων προκαθεθῆναι ἐκέλευσεν. ὃ δὴ καὶ γέγονεν ἐν τῷ παλατίῳ τῷ λεγομένῳ Μαγναύρᾳ. καὶ δὴ προτεθέντων τῶν ἁγίων τοῦ Θεοῦ εὐαγγελίων, αὐτῆς προκαθισάσης μετὰ τοῦ συμβασιλεύοντος αὐτῆς υἱοῦ, ἅμα πάσῃ τῇ συνόδῳ, παρ' αὐτῶν τε προτραπεὶς ὁ πατριάρχης τῇ συνόδῳ προσειπεῖν τὰ εἰκότα, τὸ κελευσθὲν ἐπλήρου. εἶθ' οὕτως καὶ αὐτοὶ παρὰ Θεοῦ ἐνηχηθέντες, προσηνεῖ τε καὶ ἐμμελεῖ λόγῳ πάσῃ τῇ συνόδῳ προσεφώνουν, ὥστε σὺν τῷ πατριάρχῃ πάντες οἱ θεοφιλέστατοι ἐπίσκοποι εὐφήμουν αὐτοῖς τὰ δέοντα. τούτων οὕτως πραχθέντων, ἐκέλευσαν οἱ βασιλεῖς ἔτι διαλεχθῆναι τῇ συνόδῳ οὕτως· ἀναγνωσθήτω ὁ παρ' ὑμῶν ἐκφωνηθεὶς ὅρος εἰς ἐπήκοον ἡμῶν τε καὶ παντὸς τοῦ περιεστῶτος φιλοχρίστου ἡμῶν λαοῦ. καὶ πᾶσα ἡ σύνοδος ἐπὶ τοῦτο ἐπινεύσασα, λαβὼν * Κοσμᾶς ὁ θεοφιλέστατος διάκονος καὶ κουβουκλείσιος τὸν ὅρον ἀνέγνω. καὶ μετὰ τὴν ἀνάγνωσιν ἐπύθοντο οἱ βασιλεῖς ταῦτα. λεγέτω ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος. εἰ κατὰ συναίνεσιν πάντων ὑμῶν ἐξεφωνήθη ὁ ἀναγνωσθεὶς ὅρος. οἱ δὲ ἐξεβόησαν· οὕτως πιστεύομεν. πάντες οὕτω φρονοῦμεν. πάντες συναινέσαντες ὑπεγράψαμεν. αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων. αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξε. πιστεύοντες εἰς ἕνα Θεὸν ἐν τριάδι ἀνυμνούμενον, τὰς τιμίας αὐτοῦ εἰκόνας ἀσπαζόμεθα· οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν. οἱ μὴ οὕτως φρονοῦντες ἐκ τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν. ἡμεῖς τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς καθολικῆς ἐκκλησίας ἐπακολουθοῦμεν· ἡμεῖς τοὺς προστιθέντας τι ἢ ἀφαιροῦντας ἐκ τῆς καθολικῆς ἐκκλησίας ἀναθεματίζομεν. ἡμεῖς τὴν ἐπείσακτον καινοτομίαν τῶν χριστιανοκατηγόρων ἀναθεματίζομεν· ἡμεῖς τὰς σεπτὰς εἰκόνας ἀποδεχόμεθα. ἡμεῖς τοὺς μὴ οὕτως ἔχοντας τῷ ἀναθέματι καθυποβάλλομεν. τοῖς ἐκλαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα. τῷ μὴ ἀσπαζομένῳ τὰς ἁγίας εἰκόνας, ἀνάθεμα. τοῖς ἀποκαλοῦσι τὰς ἱερὰς εἰκόνας εἴδωλα, ἀνάθεμα· τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς οἱ Χριστιανοὶ ταῖς εἰκόσι προσέρχονται, ἀνάθεμα. τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλος ἐῤῥύσατο ἡμᾶς ἐκ τῶν εἰδώλων, ἀνάθεμα. τοῖς τολμῶσι λέγειν, τὴν καθολικὴν ἐκκλησίαν εἴδωλά ποτε δεδέχεσθαι, ἀνάθεμα. ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα. τῷ φρυαξαμένῳ συνεδρίῳ κατὰ τῶν σεπτῶν εἰκόνων ἀνάθεμα. τῷ δεχομένῳ τὰ δυσσεβῆ τῆς αἱρέσεως αὐτῶν συγγράμματα, ἀνάθεμα. Θεοδοσίῳ τῷ ψευδωνύμῳ ἐπισκόπῳ Εφέσου, ἀνάθεμα. Σισιννίῳ ἐπίκλην Παστιλλᾷ ἀνάθεμα. Βασιλείῳ τῷ κακεμφάτῳ τῷ Τρικακάβῳ, ἀνάθεμα. ἡ τριὰς τῶν τριῶν τὰ δόγματα καθεῖλεν. Ανασταστίῳ, Κωνσταντίνῳ καὶ Νικήτᾳ τοῖς κατὰ διαδοχὴν τῷ θρόνῳ Κωνσταντινουπόλεος προεδρεύσασιν, ὡς νέῳ Αρείῳ, Νεστορίῳ καὶ Διοσκόρῳ, ἀνάθεμα· Ιωάννῃ Νικομηδείας, καὶ Κωνσταντίνῳ Νακωλείας, τοῖς αἱρεσιάρχαις ἀνάθεμα. ἐξουδένωσαν τὴν εἰκόνα τοῦ κυρίου καὶ τῶν ἁγίων αὐτοῦ. ἐξουδένωσεν αὐτοὺς ὁ κύριος.

Εἴ τις Χριστὸν τὸν Θεὸν ἡμῶν περιγραπτὸν οὐχ ὁμολογεῖ κατὰ τὸ ἀνθρώπινον, ἀνάθεμα ἔστω.

Εἴ τις τὰς εὐαγγελικὰς ἐξηγήσεις τὰς στηλογραφικῶς γινομένας οὐ προσίεται, ἀνάθεμα ἔστω.

Εἴ τις οὐκ ἀσπάζεται ταύτας, εἰς ὄνομα τοῦ κυρίου οὔσας καὶ τῶν ἁγίων αὐτοῦ, ἀνάθεμα ἔστω.

Εἴ τις πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν ἔγγραφον, ἢ ἄγραφον ἀθετεῖ, ἀνάθεμα ἔστω.

Καὶ τούτων ἐκφωνηθέντων, προσφέρει ὁ πατριάρχης τοῖς βασιλεῦσι τὸν ἀναγνωσθέντα τόμον τοῦ ὅρου. καὶ ἐξήτει μετὰ πάσης τῆς συνόδου ἐπισφραγίσαι καὶ ἐπιβεβαιῶσαι δι' εὐσεβῶν αὐτῶν ὑπογραφῶν. καὶ λαβοῦσα ἡ αἰσίως προλάμπουσα εὐσεβεστάτη βασίλισσα ὑπέγραψε, καὶ ἐδίδου τῷ συμβασιλεύοντι αὐτῆς υἱῷ καὶ αὐτὸν ὑπογράφειν. καὶ τούτων οὕτως τελεσθέντων, ἀπέδον τὸν ὅρον τῷ πατριάρχῃ διὰ Σταυρακίου τοῦ πανευφήμου πατρικίου καὶ λογοθέτου τοῦ δρόμου.

γ'.

Οτι οὐ δεῖ ἄρχοντας ψηφίζεσθαι ἐπίσκοπον.

Πᾶσαν ψῆφον γινομένην παρὰ ἀρχόντων, ἐπισκόπου, ἢ πρεσβυτέρου ἢ διακόνου, ἄκυρον μένειν κατὰ τὸν κανόνα τὸν λέγοντα. εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος, δι' αὐτῆς ἐγκρατὴς ἐκκλησίας γένηται, καθαιρείσθω καὶ ἀφορίζεσθω, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες. δεῖ γὰρ τὸν μέλλοντα προβιβάζεσθαι εἰς ἐπισκοπὴν, ὑπὸ ἐπισκόπων ψηφίζεσθαι, καθὼς παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ὥρισαι ἐν τῷ κανόνι τῷ λέγοντι· ἐπίσκοπον προσήκει μάλιστα μὲν ὑπὸ πάντων τῶν ἐν τῇ ἐπαρχίᾳ καθίσασθαι. εἰ δὲ δυσχερὲς εἴη τὸ τοιοῦτον, ἢ διὰ κατεπείγουσαν ἀνάγκην, ἢ διὰ μῆκος ὁδοῦ, ἐξ ἅπαντος τρεῖς ἐπὶ τὸ αὐτὸ συναγομένους, συμψήφων γινομένων καὶ τῶν ἀπόντων, καὶ συντιθεμένων διὰ γραμμάτων, τότε τὴν χειροτονίαν ποιεῖσθαι. τὸ δὲ κῦρος τῆς γινομένων δίδοσθαι καθ' ἑκάστην ἐπαρχίαν τῷ μητροπολίτῃ;

Καν. ἀποσ. 30.

Κανών. 4.

δ'.

Περὶ τοῦ ἀπέχεσθαι τοὺς ἐπισκόπους πάσης δοσοληψίας.

Ο κήρυξ τῆς ἐκκλησίας Παῦλος ὁ θεῖος ἀπόστολος οἱονεὶ κανόνα θεὶς τοῖς Εφεσίων πρεσβυτέροις, μᾶλλον δὲ παντὶ ἱερατικῷ πληρώματι, οὕτως ἐπαρρησιάσθη εἰπών· ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα· πάντα ὑπέδειξα ὑμῖν, ὅτι κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων· μακάριον ἡγούμενος τὸ δίδοναι, διὸ καὶ ἡμεῖς μαθητευθέντες παρ' αὐτοῦ, ὁρίζομεν, μηδόλως αἰσχροκερδῶς ἐπινεῦσαι ἐπίσκοπον, προφασιζόμενον προφάσεις ἐν ἁμαρτίαις, ἀπαιτεῖν χρυσίον, ἢ ἀργύριον, ἢ ἕτερον εἶδος τοὺς ὑπ' αὐτὸν τελοῦντας ἐπισκόπους, ἢ κληρικοὺς, ἢ μοναχούς. φησὶ γὰρ ὁ ἀπόστολος· ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. καὶ, οὐκ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις. εἴ τις οὖν δι' ἀπαίτησιν χρυσίου ἢ ἑτέρου τινὸς εἴδους, ἢ διά τινα ἐδιοπάθειαν δρεθείη ἀπείργων τῆς λειτουργίας, καὶ ἀφορίζων τινὰ τῶν ὑπ' αὐτὸν κληρικῶν, ἢ σεπτὸν ναὸν κλείων, μὴ γινέσθαι ἐν αὐτῷ τὰς τοῦ Θεοῦ λειτουργίας, εἰς ἀναίσθητα τιὴ ἑαυτοῦ μανίαν ἐπιπέμπων, ἀναίσθητος ὄντως ἐστὶ, καὶ τῇ ταυτοπαθείᾳ ὑποκείσεται, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὡς παραβάτης ἐντολῆς Θεοῦ, καὶ τῶν ἀποστολικῶν διατάξεων. παραγγέλλει γὰρ καὶ Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, ἀ-

1. Πετρ. 5.

1. Κορ. 6.

χρότης· ποιμαίνετε τὸ ἐν ὑμῖν ποίμνιον τοῦ Θεοῦ μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως κατὰ Θεόν. μὴ αἰσχροκερδῶς, ἀλλὰ προθύμως. μηδ' ὡς κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνίου· καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον.

ε.

Οτι οἱ ὀνειδίζοντες τοὺς κληρικοὺς, διὰ τὸ τετάχθαι ἐν ἐκκλησίᾳ χωρὶς δόσεως, ἐπιτιμίῳ ὑπόκεινται.

Αμαρτία πρὸς θάνατόν ἐστιν, ὅταν τινὲς ἁμαρτάνοντες ἀδιόρθωτοι μένωσι· τὸ δὲ τούτου χεῖρον, ἐὰν καὶ ξαχνιλιώντες κατεξανίστανται τῆς εὐσεβείας καὶ τῆς ἀληθείας, καὶ προτιμῶμενοι τὸν μαμωνᾶν τῆς τοῦ Θεοῦ ὑπακοῆς, καὶ τῆς κανονικῆς αὐτοῦ διατάξεως μὴ ἀνεχόμενοι. διὸ ἐν τούτοις οὐκ ἔστι κύριος ὁ Θεός· εἰ μή πως ταπεινωθέντες τοῦ ἰδίου σφάλματος ἀνανήψωσι· χρὴ γὰρ μᾶλλον αὐτοὺς προσέρχεσθαι τῷ Θεῷ, ἢ μὴ σωτηρίμμένης καρδίας τιὴ ἄφεσιν τούτου τοῦ ἁμαρτήματος καὶ τιὴ συγχώρησιν αἰτεῖσθαι, οὐχὶ ἐναβρύνεσθαι τῇ ἀθέσμῳ δόσει· ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, τοὺς οὖν ἐγκαυχωμένους διὰ δόσεως χρυσίου τετάχθαι ἐν τῇ ἐκκλησίᾳ, καὶ ταύτῃ τῇ πονηρᾷ σωτηρίᾳ ἐπελπίζοντας τῇ ἀλλοιουσῃ ἀπὸ τοῦ Θεοῦ καὶ πάσης ἱερωσύνης, καὶ ἐκ τούτου ἀναιδεῖ προσώπῳ καὶ ἀπεκαλύπτῳ σώματι ὀνειδιστικοῖς λόγοις τοὺς διὰ ἀρετὴν βίου ὑπὸ τοῦ ἁγίου πνεύματος ἐκλεχθέντας καὶ κατατεταγμένους ἐκτὸς δόσεως χρυσίου ἀτιμάζοντας, πρῶτον μὲν τοῦτο ποιοῦντας τὸν ἔσχατον βαθμὸν λαμβάνειν τοῦ οἰκείου τάγματος, εἰδὲ ἐπιμένουσιν διὰ ἐπιτιμίου διορθοῦσθαι· εἰ δέ, τις ἐπὶ χειροτονίᾳ φανείη ποτὲ τοῦτο πεποιηκώς, γινέσθω κατὰ τὸν ἀποστολικὸν κανόνα τὸν λέγοντα· εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας, καὶ ἐκποιείσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου. ὡσαύτως καὶ κατὰ τὸν δεύτερον κανόνα τῶν ἐν Χαλκηδόνι ὁσίων πατέρων ἡμῶν, λέγοντα· εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσηται, καὶ εἰς πρᾶσιν καταγάγῃ τιὴ ἄπρατον χάριν, καὶ χειροτονήσῃ ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβυτέρους, ἢ διακόνους, ἢ τινα τῶν ἐν τῷ κλήρῳ καταριθμουμένων· ἢ προβάλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, ἢ παραμονάριον, ἢ ὅλως τινὰ τοῦ κανόνος διὰ αἰσχροκέρδειαν οἰκείαν· ὁ τοῦτο ἐπιχειρῆσαι ἐλεγχθεὶς κινδυνευέτω εἰς τὸν ἴδιον βαθμόν· καὶ ὁ χειροτονούμενος

Ψαλ. 33

Κανών 30.

Καὶ ἐκ συμφωνίας πάντες οἱ ἐπίσκοποι εὐφήμουν τοὺς βασιλεῖς τοιάδε.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων. Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητρὸς πολλὰ ἔτη. ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη· νικητῶν βασιλέων πολλὰ τὰ ἔτη· εἰρηνοποιῶν βασιλέων πολλὰ τὰ ἔτη. νέῳ Κωνσταντίνῳ καὶ νέᾳ Ελένῃ αἰωνία ἡ μνήμη. ὁ Θεὸς φυλάξῃ τὸ κράτος αὐτῶν. εἰρηναίαν κύριε ζωὴν αὐτοῖς. διαμείναι κύριε τὸ βασίλειον αὐτῶν. οὐράνιε βασιλεῦ τοὺς ἐπιγείους φύλαξον.

Καὶ μετὰ τὴν εὐφήμησιν ἐκέλευσαν οἱ βασιλεῖς τὰς πατρικὰς χρήσεις ἀναγνωσθῆναι ἐκ τῶν προαναγνωσθέντων ἐν τῇ Νικαέων μητροπόλει, καὶ προγραφέντων ἐν τῇ τετάρτῃ πράξει. τουτέστιν Ιωάννου τοῦ Χρυσοστόμου εἰς Μελέτιον ἐπίσκοπον Αντιοχείας, Ασερίου ἐπισκόπου Αμασείας εἰς Εὐφημίαν τὴν μάρτυρα, Ιωάννου ἐπισκόπου Θεσσαλονίκης ἐκ τῶν γραφέντων αὐτῷ λόγων κατὰ Ελλήνων· τοῦ ὁσίου Συμεὼν τοῦ Στυλίτου ἐπιστολὴ πρὸς τὸν Ιουστῖνον τὸν βασιλέα, τοῦ μακαρίου Νείλου ἀσκητοῦ ἐπιστολὴ πρὸς Ολυμπιόδωρον ἔπαρχον. ἐκ τῶν κανόνων τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου κεφάαλαιον πβ'.

Ὧν ἀναγνωσθεισῶν εἰς ἐπήκοον αὐτῶν τε καὶ τῶν ἐνδοξοτάτων ἀρχόντων καὶ τοῦ τοῦ φιλοχρίστου λαοῦ, ἅπαντες κατανυγέντες τὴν καρδίαν ἐπείσθησαν τῇ ἀληθείᾳ. καὶ πάλιν τὰ εἰκότα οἱ θεοφιλεῖς ἐπίσκοποι εὐφήμησαν σὺν τῷ πλήθει τοῦ λαοῦ· ἐπεπλήρωτο γὰρ ἡ πόλις παρῆν μετὰ καὶ τῶν στρατικῶν ταγμάτων· καὶ τῆς καθέδρας ἐξανέστησην· οἳ καὶ τὸν Θεὸν ἐδόξαζον, καὶ χαίροντες εὐχαρίστουν τῷ οὕτως εὐδοκήσαντι.

ΚΑΝΟΝΕΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΙ

Εκφωνηθέντες παρὰ τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον.

Οτι δεῖ τοὺς θείους κανόνας κατὰ πάντα φυλάττεσθαι.

α'.

Τοῖς τὴν ἱερατικὴν μαχοῦσιν ἀξίαν, μαρτύριά τε καὶ κατορθώματα αἱ τῶν κανονικῶν διατάξεών εἰσιν * ὑποτυπώσεις· ἃς δεχόμενοι ἀσμένως, τοῦ θεοφάντορος Δαβὶδ ᾄδομεν πρὸς τὸν δεσπότην Θεὸν λέγοντες. ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ. καὶ, ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα. συνέτισόν με, καὶ ζήσομαι. καὶ εἰ εἰς τὸν αἰῶνα ἡ προφητικὴ φωνὶ ἐντέλλεται ἡμῖν φυλάττειν τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ζῆν ἐν αὐτοῖς, δῆλον ὅτι ἀκράδαντα καὶ ἀσάλευτα διαμένουσιν· ὅτι καὶ ὁ θεόπτης Μωσῆς οὕτω φησίν· ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφαιρεῖν. καὶ ὁ θεῖος ἀπόστολος ἐν αὐτοῖς ἐγκαυχώμενος βοᾷ. εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι καὶ, εἰ ἄγγελος εὐαγγελέζεται ὑμῖν παρ' ὅπαρελάβετε, ἀνάθεμα ἔστω. τούτων οὕτως ὄντων καὶ διαμαρτυρομένων ἡμῖν, ἀγαλλιώμενοι ἐπ' αὐτοῖς, ὡς εἴτις εὕροι σκῦλα πολλὰ, ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκμηρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν ἁγίων καὶ σαλπίγγων τοῦ πνεύματος πανευφήμων ἀποστόλων, τῶν τε ἓξ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων δογμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν. ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες ὥρισαν τὰ συμφέροντα. καὶ οὓς μὲν τῷ ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν. οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ἡμεῖς ἀφορίζομεν. οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, ὁ βεβηκὼς εἰς τρίτον οὐρανὸν καὶ ἀκούσας ἄῤῥητα ῥήματα Παῦλος ὁ θεῖος ἀπόστολος διαῤῥήδην βοᾷ.

Δευτερ. 4.
1. Πέτρ. 1. Γαλατ. 1.
Ἑβρ. 13.

β'.

Οτι δεῖ τὸν χειροτονούμενον ἐπίσκοπον ἀσφαλῶς συντάσσεσθαι τοὺς κανόνας φυλάττειν· εἰ δὲ μήγε μὴ χειροτονεῖσθαι.

Επειδήπερ ψάλλοντες συντασσόμεθα τῷ Θεῷ. ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου· πάντας μὲν Χριστιανοὺς ταῦτα φυλάττειν σωτήριον, κατ' ἐξαίρετον δὲ τοὺς τὴν ἱερατικὴν ἀμπεχομένους ἀξίαν· ἔνθεν ὁρίζομεν, πάντα τὸν προάγεσθαι μέλλοντα εἰς τὸν τῆς ἐπισκοπῆς βαθμὸν, πάντως τὸ ψαλτήριον γινώσκειν· ἵνα ἐκ τούτου καὶ πάντα τὸν κατ' αὐτὸν κλῆρον οὕτω νουθετῆμυεῖσθαι. ἀνακρίνεσθαι δὲ ἀσφαλῶς ὑπὸ τοῦ μητροπολίτου, εἰ προθύμως ἔχει ἀναγινώσκειν ἐρευνητικῶς καὶ οὐ παροδευτικῶς τούς τε ἱεροὺς κανόνας. τὸ ἅγιον εὐαγγέλιον, τήν τε τοῦ θείου ἀποστόλου βίβλον, καὶ πᾶσαν τὴν θείαν γραφήν. καὶ κατὰ τὰ θεῖα ἐντάλματα ἀναστρέφεσθαι, καὶ διδάσκειν τὸ κατ' αὐτὸν λαόν. οὐσία γὰρ τῆς καθ' ἡμᾶς ἱεραρχίας ἐστὶ τὰ θεοπαράδοτα λόγια, εἴτουν ἡ τῶν θείων γραφῶν ἀληθινὴ ἐπιστήμη, καθὼς ὁ μέγας ἀπεφήνατο Διονύσιος. εἰ δὲ ἀμφισβητοίη, καὶ μὴ ἀσμενίζοι οὕτω ποιεῖν τε καὶ διδάσκειν, μὴ χειροτονείσθω. ἔφη γὰρ προφητικῶς ὁ Θεός. σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε, τοῦ μὴ ἱερατεύειν μοι.

Ψαλ. 118.

Οτι

νόμῳ μηδὲν ἐκ τῆς κατ' ἐμπορείαν ὠφελείσθω χειροτονίας, ἢ προβολῆς. ἀλλ' ἔσω ἀλλότριος τῆς ἀξίας ἢ τοῦ φροντίσματος, ὅπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέτις καὶ μεσιτεύων φανείη τοῖς οὕτως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ οὗτος, εἰ μὲν κληρικὸς εἴη, ἐκ τοῦ οἰκείου ἐκπιπτέτω βαθμοῦ. εἰ δὲ λαϊκὸς ἢ μοναχός, ἀφορίζέσθω.

ε'.

Περὶ τοῦ γίνεσθαι τοπικὴν σύνοδον κατὰ χρόνον.

Νικαί. καν. 5. Ἐπειδήπερ κανών ἐστιν ὁ λέγων· δὶς τοῦ ἔτους καθ' ἑκάστην ἐπαρχίαν χρὴ γίνεσθαι διὰ συναθροίσεως ἐπισκόπων τὰς κανονικὰς ζητήσεις. διὰ γοῦν τὴν σωτερβὴν καὶ τὸ ἐνδεὲς ἔχειν πρὸς ὁδοιπορίαν τοὺς συναθροιζομένους, ὥρισαν οἱ τῆς ἕκτης συνόδου ὅσοι πατέρες, ἐξ ἅπαντος τόπου καὶ προφάσεως ἄπαξ τοῦ ἐνιαυτοῦ γίνεσθαι, καὶ τὰ ἐσφαλμένα διορθοῦσθαι. τοῦτον οὖν τὸν κανόνα ἡμεῖς ἀνανεοῦμεν· καὶ εἴτις ἀρεθῇ ἄρχων τοῦτο κωλύων, ἀφορίζέσθω. εἰ δέ τις ἐκ τῆς μητροπολιτικῆς ἀμελήσοι τοῦτο γίνεσθαι ἐκτὸς ἀνάγκης καὶ βίας, καί τινος λόγου προφάσεως, τοῖς κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω· τῆς δὲ * συνόδου γινομένης περὶ κανονικῶν καὶ διαγελικῶν πραγμάτων, δεῖ τοὺς συναθροισθέντας ἐπισκόπους ἐν μελέτῃ καὶ φροντίδι γίνεσθαι τοῦ φυλάττεσθαι τὰς θείας καὶ ζωοποιοὺς ἐντολὰς τοῦ Θεοῦ. ἐν γὰρ τῷ φυλάσσεσθαι αὐτὰς ἀνταπόδοσις πολλή. ὅτι καὶ λύχνος ἐντολή, νόμος δὲ φῶς, καὶ ὁδὸς ζωῆς ἔλεγχος καὶ παιδεία καὶ ἡ ἐντολὴ κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς. μὴ ἔχειν δὲ ἄδειαν τὸν μητροπολίτην, ἐξ ὧν ἐπιφέρονται οἱ ἐπίσκοποι μετ' αὐτοῦ, ἢ κτήνος, ἢ ἕτερον εἶδος ἀπαιτεῖν. εἰ δὲ τοῦτο ἐλεγχθῇ, ἀποτίσει τὸ τεξαπλάσιον.

Κανών. 8. ἕκτως συνόδου καλεῖς τὴν ἐν τρούλλῳ κανόνας.

* γενομένης συνόδου

ζ'.

Ὅτι τοὺς ἐγκαινισθέντας ναοὺς ἐκτὸς καταθέσεως λειψάνων ἁγίων δέον ἀναπληρωθῆναι.

Ἔφη Παῦλος ὁ θεῖος ἀπόστολος· τινῶν αἱ ἁμαρτίαι προδηλοί εἰσι, τισὶ δὲ καὶ ἐπακολουθοῦσιν. ἁμαρτιῶν οὖν προκατειλαβουσῶν, καὶ ἕτεραι ἁμαρτίαι παρέπονται ταύταις. τῇ οὖν ἀσεβεῖ αἱρέσει τῆς χειροτονατηγόρων, καὶ ἄλλα ἀσεβήματα συνηκολούθησαν. ὥσπερ γὰρ τὴν τῆς σεπτῆς εἰκόνων ὄψιν ἀφείλοντο ἐκ τῆς ἐκκλησίας, καὶ ἕτερά τινα ἔθη παρελεύκασιν, ἃ χρὴ ἀνανεωθῆναι, καὶ κατὰ τὸ ἔγγραφον καὶ ἄγραφον θεσμοθεσίαν οὕτως κρατεῖν. ὅσοι οὖν σεπτοὶ ναοὶ καθιερώθησαν ἐκτὸς ἁγίων λειψάνων μαρτύρων, ὁρίζομεν ἐν αὐτοῖς κατάθεσιν γίνεσθαι λειψάνων μετὰ καὶ τῆς συνήθους δεήσεως. καὶ εἰ ἀπό τοῦ παρόντος τις ἀρεθῇ ἐπίσκοπος χωρὶς ἁγίων λειψάνων καθιερῶν ναόν. καθαιρείσθω, ὡς παραβεβηκὼς τὰς ἐκκλησιαστικὰς παραδόσεις.

 2. Τιμοθ. 5. Παροι. 6.

η'.

Ὅτι τοὺς Ἑβραίους οὐ χρὴ δέχεσθαι, εἰ μήπου ἐξ εἰλικρινοῦς καρδίας ἐπιστρέψωσιν.

Ἐπειδὴ πλανώμενοί τινες ἐκ τῆς τῶν Ἑβραίων θρησκείας, μυκτηρίζειν ἔδοξαν Χριστὸν τὸν θεὸν, προσποιούμενοι Χριστιανίζειν. αὐτὸν δὲ ἀρνοῦνται, κρύβδην καὶ λαθραίως σαββατίζοντες, καὶ ἕτερα Ἰουδαϊκὰ ποιοῦντες· ὁρίζομεν τούτους μήτε εἰς κοινωνίαν, μήτε εἰς δόκησιν, μήτε εἰς ἐκκλησίαν δέχεσθαι. ἀλλὰ φανερῶς ἔσωσαν κατὰ τὴν ἑαυτῶν θρησκείαν Ἑβραῖοι· μήτε τοὺς παῖδας αὐτῶν βαπτίζειν, μήτε δοῦλον ὠνήσασθαι ἢ κτᾶσθαι. εἰ δὲ ἐξ εἰλικρινοῦς καρδίας καὶ πίστεως ἐπιστρέψει τις αὐτῶν. ὁ ὁμολογήσει ἐξ ὅλης καρδίας, θεμελιῶν τὰ κατ' αὐτὸν ἔθη καὶ πράγματα, πρὸς τὸ καὶ ἄλλους ἐλεγχθῆναι καὶ διορθώσασθαι, τοῦτον προσδέχεσθαι καὶ βαπτίζειν, καὶ τοὺς παῖδας αὐτοῦ· καὶ ἀσφαλίζεσθαι αὐτοὺς ἀποστῆναι τῶν Ἑβραϊκῶν ἐπιτηδευμάτων, εἰ δὲ μὴ ὅπως ἔχουσιν, μηδαμῶς αὐτοὺς προσδέχεσθαι.

θ'.

Περὶ τοῦ μὴ κρύπτειν τινὰ χειροτονατηγορικῆς αἱρέσεως βίβλον.

Πάντα τὰ μιαρὰ καὶ ἀθύρματα καὶ μανιώδη βακχεύματα, τὰ ψευδογράμματα κατὰ τῆς σεπτῆς εἰκόνων γραφόμενα, δέον δοθῆναι ἐν τῷ ἐπισκοπείῳ Κωνσταντινουπόλεως, ἵνα ἀποτεθῶσι μετὰ λοιπῶν αἱρετικῶν βίβλων. εἰ δέ τις ἀρεθείη ταῦτα κρύπτων, εἰ μὲν ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος εἴη, καθαιρείσθω. εἰ δὲ μοναχὸς ἢ λαϊκὸς, ἀναθεματιζέσθω.

ι'.

Ὅτι οὐ δεῖ κληρικὸν ἀπολιπεῖν τὴν ἑαυτοῦ παροικίαν, καὶ ἐν ἑτέρᾳ ἀφικέσθαι χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου.

Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι τὴν κανονικὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν, εἰς ἑτέρας παροικίας ἐκδέχουσι, κατὰ πλεῖστον δὲ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν δικτηρίοις τὰς λειτουρ-

τυργίας ποιῦντες. τύτυς ὖν χωρὶς τοῦ ἰδίου ἐπισκόπυ καὶ τῦ Κωνσταντινυπόλεως ὐκ ἔξεστι δεχθῆναι ἐν οἱῳδήποτε οἴκῳ ἢ ἐκκλησίᾳ· εἰ δὲ τῦτο ποιήσει ἐπιμένων καθαιρείσθω. ὅσοι δὲ μετ' εἰδήσεως τῶν προλεχθέντων ἱερέων τῦτο ποιῦσιν, ὐκ ἔξεστιν αὐτοῖς κοσμεικὰς καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκώλυται τῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων. εἰ δέ τις φωραθείη τῶν λεγομένων μειζοτέρων φροντίδα ἐπέχων, ἢ παυσάσθω, ἢ καθαιρείσθω. μᾶλλον μὲν ὖν ἤτω πρὸς διδασκαλίαν τῶν παίδων καὶ τῶν οἰκετῶν, ἐπαναγινώσκων αὐτοῖς τὰς θείας γραφάς. εἰς τῦτο γὰρ καὶ τὴν ἱερωσύνην ἐκληρώσατο.

ιά.

Οτι δεῖ οἰκονόμυς εἶναι ἐν τοῖς ἐπισκοπείοις καὶ ἐν τοῖς μοναστηρίοις.

Υπόχρεῳ ὄντες πάντας τὺς θείυς κανόνας φυλάττειν, καὶ τὸν λέγοντα, οἰκονόμυς εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ, παντὶ τρόπῳ ἀπαράτρωτον διατηρεῖν ὀφείλομεν. Ὁ εἰ μὲν ἕκαστος μητροπολίτης ἐν τῇ ἐκκλησίᾳ αὐτῦ καθιστᾷ οἰκονόμον καλῶς ἂν ἔχοι. εἰ δὲ μήγε, ἐξ αὐθεντίας ἰδίας τῷ Κωνσταντινυπόλεως ἐπισκόπῳ ἄδειά ἐστι προχειρίζεσθαι οἰκονόμον ἐν τῇ αὐτῦ ἐκκλησίᾳ. ὡσαύτως καὶ τοῖς μητροπολίταις, εἰ οἱ ὑπ' αὐτὺς ἐπίσκοποι ὐ προαιρῦνται οἰκονόμυς ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις. τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

ιβ'.

Οτι οὐ δεῖ ἐκποιεῖσθαι ἐπίσκοπον ἢ ἡγούμενον ἐκ τῶν προαστείων τῆς ἐκκλησίας.

Εἴ τις ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν αὐτυργιῶν τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίυ ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα, ἢ καὶ ἑτέρῳ προσώπῳ ἐκδιδοὺς, ἄκυρον εἶναι τὴν ἔκδοσιν κατὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων τὸν λέγοντα. πάντων τῶν ἐκκλησιαστικῶν παραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτὰ ὡς τοῦ Θεῦ ἐφορῶντος· μὴ ἐξεῖναι δὲ αὐτῷ σφετερίζεσθαί τι ἐξ αὐτῶν, ἢ συγγενέσιν ἰδίοις τὰ τοῦ Θεοῦ χαρίζεσθαι. εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω· εἰ δὲ προφασίζοιντο ζημίαν ἐμποιεῖν, καὶ μηδὲν πρὸς ὄνησιν τυγχάνειν τὸν ἀγρὸν, μηδ' οὕτως τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδιδόναι τὸν τόπον, ἀλλὰ κληρικοῖς ἢ γεωργοῖς. εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσοιτο, καὶ ἐκ τοῦ γεωργῦ ἢ τοῦ κληρικῦ ὠνήσεται ἄρχων τὸν ἀγρὸν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶσιν, καὶ ἀποκαθίστασθαι ἐν τῷ ἐπισκοπείῳ ἢ ἐν τῷ μοναστηρίῳ· καὶ ἐπίσκοπος ἢ ἡγούμενος τῦτο ποιῶν ἐκδιωχθήτω, ὁ μὲν ἐπίσκοπος τῦ ἐπισκοπείυ, ὁ δὲ ἡγούμενος τῦ μοναστηρίυ, ὡς διακορπίζων κακῶς ἃ ὐ σαυήγαμεν.

ιγ'.

Οτι μεγάλης κατακρίσεως ἄξιοί εἰσιν οἱ τὰ μοναστήρια κοινῦντες.

Επειδὴ διὰ τὴν γενομένην κατὰ τὰς ἁμαρτίας ἡμῶν συμφορὰν ἐν ταῖς ἐκκλησίας, καθηρπάγησαν τινες εὐαγεῖς οἶκοι ὑπό τινων ἀνδρῶν, ἐπισκοπεῖά τε καὶ μοναστήρια, καὶ ἐγένοντο κοινὰ καταγώγια· εἰ μὲν διακρατῦντες ταῦτα προαιρουῦται ἀποδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκατασταθῶσιν, εὖ καὶ καλῶς ἔχει· εἰ δὲ μήγε, εἰ μὲν τοῦ καταλόγου τοῦ ἱερατικοῦ εἰσι, τούτυς καθαιρεῖσθαι προστάσσομεν. εἰ δὲ μοναχοὶ ἢ λαϊκὸι, ἀφορίζεσθαι, ὡς ὄντας κατακρίτυς ἀπὸ τῦ πατρὸς καὶ τῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ τετάχθωσαν, ὅπου ὁ σκώληξ ὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται, ὅτι τῇ τῦ κυρίυ φωνῆς ἐναντιῦνται, τῇ λεγύσῃ· μὴ ποιεῖτε τὸν οἶκον τῦ πατρός μυ οἶκον ἐμπορίας.

ιδ'.

Οτι οὐ χρὴ ἐκτὸς χειροθεσίας ἀναγινώσκειν ἐν τῇ συνάξει ἐπ' ἄμβωνος.

Οτε τάξις ἐμπολιτεύεται ἐν ἱερωσύνῃ, πᾶσιν ἀρίδηλον. Ὁ ἐν ἀκριβείᾳ διατηρεῖν τὰς τῆς ἱερωσύνης ἐγχειρίσεις, Θεῷ ἐστιν εὔαρεστον. καὶ ἐπειδὴ ὁρῶμεν ἐκτὸς χειροθεσίας νηπιόθεν τὴν κυρὰν τῦ κλήρυ λαβόντας τινὰς, μή πω δὲ παρ' ἐπισκόπυ χειροθεσίαν λαβόντας, καὶ ἀναγινώσκοντας ἐν τῇ συνάξει ἐπ' ἄμβωνος, ἀκανονίστως τῦτο ποιῦντας, ἀποτρέπομεν ἀπὸ τῦ παρόντος τῦτο μὴ γίνεσθαι. τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ μοναχῶν. ἀναγνώστυ δὲ χειροθεσίαν ἄδειά ἐστιν ἐν ἰδίῳ μοναστηρίῳ καὶ μόνον ἑκάστῳ ἡγυμένῳ ποιεῖν, εἰ αὐτῷ τῷ ἡγυμένῳ ἐπετέθη χειροθεσία παρὰ ἐπισκόπυ πρὸς προεδρίαν ἡγυμένυ, δῆλον ὄντος αὐτῦ πρεσβυτέρυ. ὡσαύτως καὶ κατὰ τὸ ἀρχαῖον ἔθος τὺς χωρεπισκόπυς κατ' ἐπιτροπὴν τῦ ἐπισκόπυ δεῖ προχειρίζεσθαι ἀναγνώστας.

ιέ.

Οτι ὐ δεῖ κληρικὸν ἐν δυσὶν ἐκκλησίαις κατατάσσεσθαι.

Κληρικὸς ἀπὸ τῦ παρόντος μὴ κατατασσέσθω ἐν δυσὶν ἐκκλησίαις· ἐμπορίας γὰρ καὶ αἰσχροκερδείας ἴδιον τῦτο, καὶ ἀλλότριον ἐκκλησια-

σιαστικῆς συνηθείας. ἠκούσαμεν γὰρ ἐξ αὐτῆς τῆς κυριακῆς φωνῆς· ὅτι οὐ δύναταί τις δυσὶ κυρίοις δουλεύειν. ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ
Ματθ. 6. τὸν ἕτερον ἀγαπήσει. ἢ τοῦ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. ἕκαστος οὖν κατὰ τὴν ἀποστολικὴν φωνὴν, ἐν ᾧ ἐκλήθη, ἐν τούτῳ ὀφείλει μένειν, καὶ προσεδρεύειν ἐν μιᾷ ἐκ-
1. Κορ. 7. κλησίᾳ· τὰ γὰρ δι' αἰχροκέρδειαν γινόμενα ἐπὶ τῆς ἐκκλησιαστικῶν πραγμάτων, ἀλλότρια τοῦ Θεοῦ καθεστήκασι. πρὸς δὲ τὴν τοῦ βίου τούτου χρείαν ἐπιτηδεύματά εἰσι διάφορα. ἐξ αὐτῆς εἴ τις βούλοιτο, τὰ χρειώδη τοῦ σώματος πορίζεσθω. ἔφη γὰρ ὁ ἀπόστολος· ταῖς χρείαις
Πράξ. 20. μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ ταῦτα μὲν ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει. ἐν δὲ τοῖς ἔξω χωρίοις, διὰ τὴν ἔλλειψιν τῆς ἀνθρώπων, παραχωρείσθω.

ιϛ'.

Ὅτι οὐ δεῖ ἱερατικὸν ἄνδρα ἱματίοις πολυτελέσιν ἀμφιέννυσθαι.

Πᾶσα βλακεία καὶ κόσμησις σωματικὴ ἀλλοτρία ἐστὶ τῆς ἱερατικῆς τάξεως. τοὺς οὖν ἑαυτοὺς κοσμοῦντας ἐπισκόπους ἢ κληρικοὺς δι' ἐσθήτων λαμπρῶν καὶ περιφανῶν, τούτους διορθοῦσθαι χρή· εἰ δὲ ἐπιμένοιεν, ἐπιτιμίῳ παραδίδοσθαι. ὡσαύτως καὶ τοὺς τὰ μύρα χριομένους. ἐπειδὴ δὲ ῥίζα πικρίας ἄνω φύουσα, μίασμα γέγονεν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ ἡ τῆς χριστιανοκατηγόρων αἵρεσις· καὶ οἱ ταύτην δεξάμενοι οὐ μόνον τὰς εἰκονικὰς ἀναζωγραφήσεις ἐβδελύξαντο, ἀλλὰ καὶ πᾶσαν εὐλάβειαν ἀπώσαντο, τοὺς σεμνῶς καὶ εὐσεβῶς βιοῦντας προσοχθίζοντες· καὶ πεπλήρωται ἐπ' αὐτοῖς τὸ γεγραμμένον. βδέλυγμα
Εκκλ. 1. ἁμαρτωλῷ θεοσέβεια. εἰ εὑρεθῶσι τοίνυν ἐγγελῶντες τοῖς τὴν εὐτελῆ καὶ σεμνὴν ἀμφίασιν περικειμένοις, δι' ἐπιτιμίου διορθούσθωσαν. ἐκ γὰρ τῆς ἄνωθεν χρόνων πᾶς ἱερατικὸς ἀνὴρ μετὰ μετρίας καὶ σεμνῆς ἀμφιάσεως ἐπολιτεύετο. πᾶν γὰρ ὃ μὴ διὰ χρείαν, ἀλλὰ διὰ καλλωπισμὸν παραλαμβάνεται, περπερείας ἔχει κατηγορίαν, ὡς ὁ μέγας ἔφη Βασίλειος· ἀλλ' οὐδὲ ἐκ σηρικῶν ὑφασμάτων πεποικιλμένην ἐσθῆτα ἐνεδέδυτό τις, οὐδὲ προσετίθησαν ἑτερόχροα ἐπιβλήματα ἐν τοῖς ἄκροις τῆς ἱματίων. ἤκουσαν γὰρ ἐκ τῆς θεοφθόγγου γλώττης, οἱ
Ματθ. 21. τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῆς βασιλέων εἰσίν.

ιζ'.

Ὅτι μὴ ἔχοντις τὰ πρὸς ἀπαρτισμὸν, μὴ ἐπιχειροίη κτίζειν εὐκτήριον οἶκον.

Ὅτι τινὲς τῆς μοναχῶν καταλιπόντες τὰ ἑαυτῆς μοναστήρια, ἐφιέμενοι ἄρχειν, καὶ τὸ ὑπακούειν ἀναινόμενοι, ἐγχειρίζουσι κτίζειν εὐκτηρίους οἴκους, τὰ πρὸς ἀπαρτισμὸν μὴ ἔχοντες· εἴτις οὖν τοῦτο ἐπιχειρήσει ποιεῖν, κωλυέσθω ὑπὸ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου. εἰ δὲ τὰ πρὸς ἀπαρτισμὸν ἔχοι, τὰ βεβουλευμένα αὐτῷ εἰς πέρας ἀγέσθωσαν. τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν.

ιη'.

Ὅτι οὐ δεῖ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις, ἢ ἐν ἀνδρῴοις μοναστηρίοις.

Ἀπρόσκοποι γίνεσθε καὶ τοῖς ἔξωθεν, φη- 1. Κορ.
σὶν ὁ θεῖος ἀπόστολος. τὸ δὲ γυναῖκας ἐνδιαιτᾶσθαι ἐν ἐπισκοπείοις ἢ καὶ μοναστηρίοις, παντὸς προσκόμματος αἴτιον. εἴ τις οὖν δούλην ἢ ἐλευθέραν ἐν τῷ ἐπισκοπείῳ κτώμενος φωραθείη, ἢ ἐν μοναστηρίῳ πρὸς ἐγχείρησιν διακονίας τινὸς, ἐπιτιμάσθω· ἐπιμένων δὲ καθαιρείσθω. εἰ δὲ καὶ τύχοι ἐν προαστείοις γυναῖκας εἶναι, καὶ θελήσει ἐπίσκοπος ἢ ἡγούμενος πορείαν ἐν τοῖς ἐκεῖσε ποιήσασθαι, παρόντος ἐπισκόπου ἢ ἡγουμένου μηδόλως ἐγχείρησιν διακονίας ποιείσθω κατ' ἐκεῖνον τὸν καιρὸν γυνὴ, ἀλλ' ἰδιαζέτω ἐν ἑτέρῳ τόπῳ, ἕως ἂν τὴν ἐπαναχώρησιν ποιήσωνται ὁ ἐπίσκοπος ἢ ὁ ἡγούμενος, διὰ τὸ ἀνεπίληπτον.

ιθ'.

Περὶ τοῦ ἐκτὸς δόσεων τὰς καταταγὰς τῆς ἱερατικῶν ἀνδρῶν, μοναχῶν τε καὶ μοναστριῶν γίνεσθαι.

Τοσοῦτον κατενεμήθη τῆς φιλαργυρίας τὸ μύσος εἰς τοὺς ἡγήτορας τῆς ἐκκλησιῶν, ὥστε καί τινας τῆς λεγομένων εὐλαβῶν ἀνδρῶν τε καὶ γυναικῶν ἐπιλαθομένους τὰς ἐντολὰς τοῦ κυρίου ἐξαπατηθῆναι, καὶ διὰ χρυσίου τὰς εἰσδοχὰς τῆς προσερχομένων τῷ τε ἱερατικῷ τάγματι καὶ τῷ μονήρει βίῳ ποιεῖσθαι. καὶ γίνεται ὧν ἡ ἀρχὴ ἀδόκιμος, καὶ τὸ πᾶν ἀπόβλητον, ὥς φησιν ὁ μέγας Βασίλειος. οὐδὲ γὰρ Θεῷ διὰ μαμωνᾶ δουλεύειν ἔξεστιν. εἴ τις οὖν εὑρεθείη τοῦτο ποιῶν, εἰ μὲν ἐπίσκοπος ἢ ἡγούμενος, εἴ τις τοῦ ἱερατικοῦ, ἢ παυσάσθω, ἢ καθαιρείσθω κατὰ τὸν δεύτερον κανόνα τῆς ἐν Χαλκηδόνι συνόδου. εἰ δὲ ἡγουμένη, ἐκδιωχθήτω τοῦ μοναστηρίου, καὶ παραδοθήτω ἐν ἑτέρῳ μοναστηρίῳ πρὸς ὑποταγήν. ὡσαύτως καὶ ἡγούμενος μὴ ἔχων χειροτονίαν πρεσβυτέρου. ἐπὶ δὲ τῆς παραγονέων διδομένων δίκην προικῴων τοῖς τέκνοις, ἢ ἰδιοκτήτων αὐτῆς πραγμάτων προσαγομένων, ὁμολογούντων τῆς προσαγόντων ταῦτα εἶναι ἀφιερωμένα τῷ Θεῷ, ὡρίσαμεν, κἄν τε μείνῃ, κἄν τε ἐξέλθη, μένειν αὐτὰ ἐν τῷ μοναστηρίῳ κατὰ τὴν ὑπόχεσιν αὐτῆς, εἰ μὴ εἴη αἰτία τοῦ προεστῶτος.

Ὅτι

κ'.

Ὅτι οὐ δεῖ ἀπὸ τοῦ παρόντος γίνεσθαι διπλοῦν μοναστήριον. καὶ περὶ τῶν διπλῶν μοναστηρίων.

Ἀπὸ τοῦ παρόντος ὁρίζομεν, μὴ γίνεσθαι διπλοῦν μοναστήριον, ὅτι σκάνδαλον καὶ πρόσκομμα τοῖς πολλοῖς τοῦτο γίνεται. εἰ δέ τινες μετὰ συγγενῶν προαιροῦνται ἀποτάξασθαι, καὶ τῷ μονήρει βίῳ κατακολουθεῖν, τοὺς μὲν ἄνδρας δέον ἀπιέναι εἰς ἀνδρῷον μοναστήριον, καὶ τὰς γυναῖκας εἰσιέναι ἐν γυναικείῳ μοναστηρίῳ· ἐπὶ τούτῳ γὰρ εὐαρεστεῖται Θεός. τὰ δὲ ὄντα ἕως τοῦ νῦν διπλᾶ κρατείτωσαν κατὰ τὸν κανόνα τοῦ ἁγίου πατρὸς ἡμῶν Βασιλείου, καὶ κατὰ τὴν διαταγὴν αὐτοῦ οὕτω διατυπούσθωσαν. μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχοὶ καὶ μονάστριαι· μοιχείᾳ γὰρ μεσολαβεῖ τῇ συνδιαιτήσει. μὴ ἐχέτω παῤῥησίαν μοναχὸς πρὸς μονάστριαν, ἢ μονάστρια πρὸς μοναχὸν ἰδίᾳ προσομιλεῖν. μὴ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ, μηδὲ συνεσθιέτω μοναστρία καταμόνας. καὶ ὅτε τὰ ἀναγκαῖα τοῦ βίου παρὰ τοῦ ἀνδρῴου μέρους πρὸς τὰς κανονικὰς ἀποκομίζονται, ἔξωθεν τῆς πύλης ταῦτα λαμβανέτω ἡ ἡγουμένη τοῦ γυναικείου μοναστηρίου μετὰ γραός τινος μοναστρίας. εἰ δὲ συμβῇ, καὶ συγγενῆ τινα θελήσει θεάσασθαι ὁ μοναχὸς, ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλείτω διὰ μικρῶν καὶ βραχέων λόγων, καὶ συντόμως ἐξ αὐτῆς ἐπαναχωρείτω.

κα'.

Ὅτι οὐ δεῖ καταλιμπάνειν τοὺς μοναχοὺς τὰ οἰκεῖα μοναστήρια, καὶ ἐν ἑτέροις μεταβαίνειν.

Μὴ δεῖν μοναχὸν ἢ μονάστριαν καταλιμπάνειν τὴν οἰκείαν μονὴν, καὶ ἐν ἑτέρᾳ ἀπέρχεσθαι. εἰ δὲ συμβῇ τοῦτο, ξενοδοχεῖσθαι αὐτὸν ἀναγκαῖον· προσλαμβάνεσθαι δὲ ἄνευ γνώμης τοῦ ἡγουμένου αὐτοῦ οὐ προσήκει.



Μ. Βατοπαιδίου. Τά «Νινία» τῆς Ἁγ. Θεοδώρας.

κβ'.

Ὅτι δεῖ μετ' εὐχαριστίας καὶ πάσης φειδοῦς καὶ εὐλαβείας μοναχοὺς, εἰ συμβῇ, μετὰ γυναικῶν ἐσθίειν.

Θεῷ μὲν τὸ πᾶν ἀνατίθεσθαι, καὶ οὐ τοῖς ἰδίοις θελήμασι δουλοῦσθαι, μέγα χρῆμα τυγχάνει. εἴτε γὰρ ἐσθίετε, εἴτε πίνετε, ὁ θεῖος ἀπόστολός φησι, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. Χριστὸς οὖν ὁ Θεὸς ἡμῶν ἐν τοῖς εὐαγγελίοις αὐτοῦ τὰς ἀρχὰς τῶν ἁμαρτημάτων ἐκκόπτειν προστέταχεν. οὐ γὰρ ἡ μοιχεία μόνον παρ' αὐτοῦ κολάζεται, ἀλλὰ καὶ ἡ κίνησις τοῦ λογισμοῦ πρὸς τὴν τῆς μοιχείας ἐγχείρησιν κατακέκριται, λέγοντος αὐτοῦ· ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. ἔνθεν οὖν μαθητευθέντες, λογισμοὺς ὀφείλομεν * καθαιρεῖν. εἰ γὰρ πάντα ἔξεστιν, ἀλλὰ οὐ πάντα συμφέρει, ὡς ἐξ ἀποστολικῆς φωνῆς διδασκόμεθα. ἐπάναγκες οὖν ἐστι παντὶ ἀνδρὶ διὰ τὸ ζῆν ἐσθίειν. καὶ οἷς μὲν βίος ἐστὶ γάμου καὶ τέκνων καὶ λαϊκῆς διαθέσεως, ἀναμὶξ ἐσθίειν ἄνδρας καὶ γυναῖκας, τῶν ἀδιαβλήτων ἐστί. μόνον τῷ διδόντι τὴν τροφὴν τὴν εὐχαριστίαν προσαγέτωσαν, καὶ μὴ διά τινων θυμελικῶν ἐπιτηδευμάτων, εἴτουν σατανικῶν ᾀσμάτων, κιθαρῶν τε καὶ πορνικῶν λυγισμάτων, οἷς ἐπέρχεται προφητικὴ ἀρὰ οὑτωσὶ λέγουσα· οὐαὶ οἱ μετὰ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνοντες, τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. καὶ εἴπου ποτὲ εἶεν τοιοῦτοι ἐν τοῖς Χριστιανοῖς, διορθούσθωσαν· εἰ δὲ μή γε, κρατείτωσαν ἐπ' αὐτοῖς τὰ παρὰ τῶν πρὸ ἡμῶν κανονικῶς ἐκδοθέντα. οἷς δὲ ὁ βίος ἐστὶν ἡσύχιος καὶ μονότροπος, ὡς συνταξαμένοις κυρίῳ τῷ Θεῷ ζυγὸν μονήρη ἆραι, καθίσαι τε καὶ σιωπῆσαι. ἀλλὰ μὴν καὶ τοῖς ἱερατικὸν ἐκλεξαμένοις βίον οὐδόλως ἔξεστι κατ' ἰδίαν γυναιξὶ συνεσθίειν, εἰ μήπου μετά τινων θεοφόβων καὶ εὐλαβῶν ἀνδρῶν καὶ γυναικῶν· ἵνα καὶ αὐτὴ ἡ συνεστίασις πρὸς κατόρθωσιν πνευματικὴν ἀπάγῃ. καὶ ἐπὶ συγγενῶν δὲ τὸ αὐτὸ ποιείσθω. εἰ δὲ καὶ αὖθις ἐν ὁδοιπορίᾳ συμβῇ τὰ τῆς ἀναγκαίας χρείας μὴ ἐπιφέρεσθαι μοναχὸν ἢ ἱερατικὸν ἄνδρα, καὶ διὰ τὸ ἀναγκαῖον καταλῦσαι βούλεται εἴτε ἐν πανδοχείῳ, ἢ καὶ ἐν οἴκῳ τινὸς, ἄδειαν ἔχειν αὐτὸν τοῦτο ποιεῖν, ὡς τῆς χρείας κατεπειγούσης.

1. Κορ. 11.

Μετθ. 5.

* καθαίρειν

1. Κορ. 6.

Ἡσαΐ. 3.

ΛΌΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚῸΣ

ΤΗ̅Σ ΑΓΙΆ ΠΡΟΣΦΩΝΗΘΕῚΣ ΣΥΝΌΔΩ

Παρὰ Ἐπιφανίου διακόνου Κατάνας τῆς Σικελῶν ἐπαρχίας, καὶ τοποτηρητοῦ Θωμᾶ ἀρχιεπισκόπου Σαρδύνων νήσου.

Νῦν πρῶτον τύποις ἐκδωθεὶς ἐκ χειρογράφου Κόδικως τῆς τοῦ ἁγίου Μάρκου Βιβλιοθήκης τῶν Ἐνετῶν.

Ὁ Μακάριος προφήτης Ἡσαΐας θείῳ καταλαμπόμενος πνεύματι, τὴν διὰ Χριστοῦ γεγενημένην τῶν ἐθνῶν ἀπολύτρυσιν εὖ μάλα προαναθεωρήσας, καὶ τῶν δι' αὐτοῦ σεσωσμένων τὴν πληθὺν οὐκ ἠγνοηκὼς προσπεφώνηκέ που ὡς ἐκ προσώπου τοῦ Θεοῦ τοῖς κατὰ καιροὺς τῶν ἱερῶν λαχοῦσι ποιμνίων ἐπιστατεῖν τοιάδε. πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου. καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαῤῥίψατε· τίνες δ' ἂν νοοῖντο αἱ πύλαι, ἢ τῆς θεοπνεύστου γραφῆς καὶ τῶν ἁγίων προφητῶν οἱ λόγοι; οὓς ὥσπερ τινὰς νοητὰς ἀναπτύσσοντες πύλας τῇ ἑρμηνείᾳ οἱ τῶν λογικῶν θρεμμάτων ποιμένες, οὕτως αὐτὰ ἐπὶ τὴν εὐρείαν τε καὶ ἀληθινὴν ἀποφέρουσι θύραν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ὄντων πρὸς τὸν πατέρα γινόμενον ἡμῖν θύραν. καθὼς αὐτός που φησὶν, ἐγὼ εἰμὶ ἡ θύρα. λίθοι δὲ πάλιν οἱ ἐν τῇ ὁδῷ προσριπτούμενοι τὰ ἐξ αἱρετικῆς τυχὸν συμμορίας ἂν εἶεν σκάνδαλα, ἃ καθάπερ τινὲς λίθοι τῇ ἡμετέρᾳ τῆς πίστεως παρατιθέμενα τρίβῳ, τοὺς πρὸς τὴν ὄντως οὖσαν ὁδὸν ἰέναι θέλοντας δυσσεβῶς προσκόπτειν παρασκευάζει· τὸ ὅσον ἐφ' ἑαυτοῖς τὴν ὁδὸν αὐτοῖς ἀποκλείειν σπουδάζοντες. ὁδὸς δὲ πάλιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ταύτῃ ἂν νοοῖτο, καθὼς φησιν αὐτός· ὅτι ἐγὼ εἰμὶ ἡ ζωὴ, καὶ ἡ ὁδός· οὓς τινας δὴ αἱρετικοὺς λίθους οἱ τῶν ἱερέων ἐπιστήμονες προσφυῶς τε καὶ μάλα εὐτέχνως σὺν ὁδηγίᾳ τοῦ πνεύματος τῆς ἡμετέρας ὁδοῦ, ἤτοι τοῦ τῆς πίστεως ἀποκαθαίροντες λόγου, πέμπουσι μὲν αὐτοὺς πρὸς τὰς τῶν ῥιψάντων κεφαλάς· εὔκολον δὲ οὕτω καὶ τετριμμένην τοῖς ὑπὸ χεῖρα λαοῖς τὴν εἰς τὴν ὁδὸν ἰοῦσαν τρίβον ἀπεργάζονται· ὡς δύνασθαι φρονεῖν τε καὶ λέγειν· ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου. ἰδοὺ τοιγαροῦν ἡ θεία τῶν ἱερέων ὁμήγυρις ἀκόλουθα τῶν θείων ἐντολῶν, παράγουσα ἐνταῦθα συνέδραμε τὸ σεπτὸν τῆς οἰκονομίας Χριστοῦ ταῖς πατρικαῖς διδασκαλίαις διαστρανῶσαι μυστήριον· οὐχ ὡς ἐν πρώτοις αὐτὸ τοῦτο τοῖς λαοῖς κηρυττόντων. ὅπου γε πρὸ ὀκτακοσίων ἐτῶν ἐγγύς που τῇ οἰκουμένῃ πάσῃ κεκήρυκται· τὸν δι' αὐτοῦ δὲ μόνον σωτήριον σκοπὸν τελεσθέντα ταῖς γραφικαῖς ἑρμηνείαις τηλαυγεστάτως τοῖς λαοῖς ἀναπτυσσόντων καὶ τοὺς προσριφθέντας αὐτῷ αἱρετικοὺς τῷ πνεύματι ἀποσκυβαλιζόντων λίθους. καὶ μάλα γε εἰκότως. ἴσασι γὰρ τὴν προφητικὴν φωνὴν αὐτοῖς ὡς ἐκ προσώπου τοῦ Θεοῦ, καὶ ἐν τούτῳ βοῶσαν. οἱ ἱερεῖς ἀκούσατε, καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰσραήλ. δῆλον δὲ ὅτι τῷ πνευματικῷ. οἷς δὴ καὶ ἡμεῖς συνδεδραμηκότες ὡς καὶ αὐτοῖς συμφρονοῦντες τῇ φαιδρᾷ ταύτῃ γαννύμεθα χορείᾳ· καὶ ὑφ' ἡδονῆς τῆς διανοίας πτερὸν ἀνακινούμενοι, τὰ κατὰ δύναμιν αὐτῷ συνεισβάλλειν προθυμούμεθα· καὶ τοῖς τῷ καιρῷ πρέπουσι λόγοις τὸ παρὸν τοῦτο συγκροτῆσαι θέαστρον, καὶ τοῖς τῶν ἐγκωμίων ἄνθεσιν αὐτὸ στεφανῶσαι· οὐδὲν γὰρ κωλύει, εἰ καὶ τοῦ λίαν ὑπερτελοῦς διὰ πενίας ἴσως καὶ νοὸς ἀσθενείας οὐκ ἐφικνούμεθα. τὰ δέ γε ἡμῖν ἐφικτὰ συνεισηνέγκαι. πολλάκις γὰρ δὲ μικρὰ ψηφὶς μεγάλοις ὑποβληθεῖσα λίθοις, τὸ ὅσον ἐπ' αὐτῇ, τὸ ἀσάλευτον τούτοις προσεποιήσατο. τίς τοίνυν ἐστὶν ὁ ἡμέτερος λόγος ἐν μέσῳ προΐτω, τοῖς θείοις ἡμῖν τραπεζίταις σὺν εὐμενείᾳ πολλῇ δοκιμαζόμενος. σκοπὸς τῇ θεοπνεύστῳ γραφῇ, ὦ ἱερώτατον σύστημα, ἄνω τε καὶ κάτω τὸν κατ' εἰκόνα Θεοῦ γεγενημένον ἄνθρωπον εἰς τὸ εὐθὲς ἀντισώσασθαι, καὶ τὴν εἰς τὸ ἀρχέγονον κάλλος ἀναφοίτησιν, ὃ διὰ ἀπροσεξίας ἀφῄρηται· πάλιν δι' ἐπιμελείας αὐτὸ πραγματεύσασθαι. τοῦτο αἵ τε παραφυλακαὶ τῶν νομικῶν ἐνταλμάτων, αἵ τε ὡς ἐν ἱστορίας τρόπῳ τῶν εὖ ἢ ἑτέρως τῷ βίῳ συνπολιτευσαμένων ἀνθρώπων ὑφηγήσεις· αἵ τε ψαλμικαὶ ἱερολογίαι, αἵ τε παροιμιώδεις διδασκαλίαι τὴν ἠθικὴν ἡμῖν ἐπεξηγούμεναι φιλοσοφίαν διὰ πολλῆς φροντίδος τεθείκασιν. ἀλλ' οὐχ οἵα τε γέγονεν αὐτὴ ἑαυτὴν ἡ εὐόλισθος ἡμῶν καὶ τῇ ἁμαρτίᾳ ὑπελθοῦσα φύσις εἰς τὸ ἐξ οὗπερ πέπτωκεν ἐν Ἀδὰμ ἀρχικώτατον ἀνακομίσασθαι ἀξίωμα. δεδέηται δὲ μᾶλλον ἄλλης τινὸς εὐσθενοῦς καὶ ἀκαταμαχήτου κρείττονος δυνάμεως, ἥτις αὐτὴν τῶν ἐξ ἀσθενοῦς προαιρέσεως ἐμφυεισῶν αὐτῇ κηλίδων ἐξιάσοιτο, καὶ πρὸς τὸ ῥωμαλεώτερον μετά τινος φιλοτίμου προσθήκης, ἀνθυπονοστήσει. τοῦτο τοιγαροῦν εἰδυῖα ἡ θεία τε καὶ πνευματοκίνητος τῶν προφητῶν χορεία, ἄλλος ἄλλοθί που τῶν τοιούτων

αὐτῇ

αὐτῇ ἀγαθῶν τὰς ἀγγελίας φέρουσα ἐν τοῖς ἑαυτῶν ἕκαστος καιροῖς διηγόρευε τὸν συναΐδιον καὶ ὁμούσιον τοῦ Θεοῦ καὶ πατρὸς υἱὸν καὶ λόγον, περιουσίᾳ ἀγαθότητος εἰς τὴν ἡμετέραν ἐσχατιὰν ἀφιχθέντα τὴν ἡμῶν τελείαν ἀμφιάσασθαι φύσιν, καὶ ταύτην τῷ αὔλῳ καὶ ἀοράτῳ πυρὶ τῆς αὐτοῦ θεότητος εἰς τὸ ἀρχαῖον ἀναχαλκῶσαι. ἄλλος μὲν τὴν ἀνύμφατον σύλληψιν, καὶ τὴν ἀμώμητον καὶ παρθενικὴν τοκετὸν ἀνακηρύττων· ἕτερος τὴν τῆς ἐπικρατησάσης ἀπὸ τὴν ἐν Ἀδὰμ παραβάσεως, καὶ μέχρι τοῦ νόμου σατανικῆς πλημμελείας ἀδυναμίαν παντελῆ ὀλόθρευσίν τε καὶ μείωσιν. ἄλλος τὴν αὐτοῦ τοῦ σατανᾶ μετὰ καὶ τῶν συναποστατησάντων αὐτῷ δαιμόνων ὀλεθρίαν ὑπόπτωσιν ἀπὸ προσώπου τοῦ φανησομένου Θεοῦ, καὶ τὴν τῶν λελυτρωμένων ἡμῶν ὑπὲρ τῶν εἰς ἡμᾶς πραχθησομένων δαψιλεστάτων ἀγαθῶν ἀναφαίρετον εὐχαριστίαν, τῷ λυτρωσαμένῳ κομισθησομένην. ἕτερος τὸ ἑκούσιον τοῦ σαρκωθέντος Θεοῦ πάθος, καὶ τὴν εἰς ᾅδου κάθοδον, καὶ αὖθις τὴν ἐξ ᾅδου εὐσθενῆ ἀνακομιδὴν, μετὰ τῶν τοῖς ἀφύκτοις ἐκείνου δεσμοῖς κατεχομένων ψυχῶν. ἄλλος τὴν ἀφ' ἡμῶν πρὸς τὸν ἐν οὐρανοῖς αὐτοῦ πατέρα ἔνδοξον ἀναφοίτησιν, καὶ τὴν ἀμφὶ τὰ δεξιὰ τοῦ πατρὸς ἵδρυσιν. ἕτερος τὴν ἐξ οὐρανοῦ καταπτᾶσαν ἡμῖν τοῖς εἰς αὐτὸν πιστεύσασιν ἄφθονον τοῦ πνεύματος ἐπιφοίτησιν, καὶ τὴν εἰς πάντα τὰ ἔθνη τοῦ εὐαγγελικοῦ κηρύγματος παχυτάτην περίοδον, καὶ τὴν ἐντεῦθεν γεγενημένην τῶν ἀνὰ τὴν οἰκουμένην εἰδώλων παντελῆ ὀλόθρευσιν, διὰ τῆς πρῶτον ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν ἡμῶν καθαρᾶς ἀνανεύσεως, καὶ τῆς ἀνενδότου καὶ διηνεκοῦς πρὸς ὅλων ἀναστησομένης αὐτῷ κατὰ πάσης τῆς γῆς νοερᾶς τε καὶ πνευματικῆς λατρείας· ἅτινα πάντα τοῖς ἑαυτῶν καιροῖς τῇ ἀληθείᾳ συνεπεράνθησαν, καὶ τέλος εὐκλεέστατον ἐδέξαντο. Ἄκουσον τοιγαροῦν τοῦ Παύλου μεγαλοφώνως ἐμβοῶντος, καὶ τὴν ἀλήθειαν τούτοις ἐπισφραγίζαντος· Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν. ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. ὢ τῆς τοῦ διδασκάλου μεγαληγορίας· Θεός φησιν ἐφανερώθη ἐν σαρκὶ, τὸ πάντων τῶν ἀγαθῶν αἴτιον, ἡ ἀνέκλειπτος δωρεὰ, ὁ διαργέστατος πλοῦτος, ἡ ἀένναος τῶν ἀναφαιρέτων χαρισμάτων πηγὴ, ἡ ἀκόρεστος τῶν πεινόντων τροφὴ, ὁ ἐξ οὐρανοῦ ζωοποιὸς ἄρτος, τὸ ἀένναον τῶν διψόντων ῥεῖθρον, ἐξ οὗ ὁ πίνων οὐ μὴ διψίσῃ εἰς τὸν αἰῶνα. οὗτος ἐφανερώθη ἐν σαρκὶ· ἀλλὰ καὶ τῷ κόσμῳ φησὶν ἐπιστεύθη. πῶς ἐπιστεύθη ἐν κόσμῳ; εἰπὲ, ὦ μακαριώτατε Παῦλε, μύησον καὶ ἡμᾶς ἐκ τῶν ἀῤῥήτων ἐκείνων φωνῶν, ὧν ἐν τοῖς ἀφύτοις τοῦ παραδείσου ἐμυήθης. πρόστηθι καὶ νῦν τοῦ κηρύγματος, οὗ ἐπιστεύθης εἰς πάντα τὰ ἔθνη κηρύξαι, καὶ ἀπόστολος γενέσθαι. πήγασον τῇ παρούσῃ ἐκκλησίᾳ τὸν τῆς ἀληθείας λόγον, καὶ σβέσον τὰς νοητὰς τῶν αἱρετιζόντων ὄψεις· ὥσποτε Ἐλύμα τοῦ μάγου. τράνωσον μετὰ παῤῥησίας τὸ τῆς οἰκονομίας μυστήριον. λαλεῖς γὰρ καὶ μετὰ θάνατον, φωνῆς ὑψηλότερον, καὶ ἐνεργεῖς τῷ πνεύματι ὑψηλότερον, καὶ ἐνεργεῖς τῷ πνεύματι ὅσα καὶ βούλει. καὶ, φησὶν ὁ διδάσκαλος, ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι. τοιγάρτοι ἀκούσατε. ἐπιστεύθη εἶπον ἐν κόσμῳ, ἀποκαταλλάξας τὰ πάντα εἰς ἑαυτὸν καὶ εἰσηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. ὦ τοῦ ὑψηλοῦ τούτου κηρύγματος. ὦ τῆς ἀνεκδιηγήτου ταύτης φιλανθρωπίας. ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ τὰ πάντα εἰς ἑαυτὸν ἀποκαταλλάξας εἰρηνοποίησε διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ· καὶ πῶς τινες μετὰ τὴν τοσαύτην ἀνέκφραστον καταλλαγὴν ὑπὸ χεῖρα τῶν πάλαι στασιαστῶν ἐχθρῶν ἡμᾶς γενέσθαι διϊσχυρίζονται; πῶς μετὰ τὴν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν ἐπίγνωσιν εἰδώλοις τοὺς Χριστιανοὺς προσκυνῆσαι εἰπεῖν τετολμήκασι; καίτοι τοῦ προφήτου τὴν παντελῆ τούτων ἐκμείωσιν, ὥσπερ ἀναβοῶντος καὶ λέγοντος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιφανήσεται κύριος, καὶ ἐξολοθρεύσει τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς· καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν. ἀκούεις τὴν ἡλίκην τῶν πολλῶν θεῶν καταστροφὴν, καὶ τὴν ἐξ ἁπάσης τῆς γῆς ἕκαστον ἐκ τοῦ τόπου αὐτοῦ τῷ Θεῷ ἀποτελοῦντα προσκύνησιν; πῶς τοίνυν οἱ τοῦτο πράττοντες εἰδωλολατρεῖν αἰτιώμεθα; τίς δὲ ὅλως καὶ ἴσχυσεν εἰς τὸ ἀρχαῖον τὴν τῶν εἰδώλων πλάνην ἐπὶ γῆς ἀπανακαινίσαι; εἰ μὲν γὰρ οἱ διὰ τούτων θεραπευόμενοι πονηρότατοι δαίμονες τοῦτο ποιῆσαι δέδυνται; πῶς οὐκ ἀνατραπήσεται ὅλον τὸ τῆς οἰκονομίας μυστήριον, τῆς ἁγίας διαῤῥήδην βοώσης γραφῆς ὅτι ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω; δῆλον δὲ ὅτι Χριστὸς καὶ ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. πάντως γὰρ ὅτι ὁ δυνάμενος τί ἐνεργεῖν οὐκ ἐν τοῖς τεθνεῶσιν, ἀλλ' ἐν τοῖς ζῶσιν ἔτι κατατέτακται; πῶς δὲ καὶ αὐτὸς τοὺς ἰδίους ἐπιθαῤῥύνων μαθητὰς καὶ πρὸς πᾶν ὁτιοῦν τῶν δυσχερῶν ἀνδρικῶς ἰέναι παρακελευόμενος ἐπαληθεύσι λέγων· θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. εἰ γὰρ οὓς νικῆσαι ἐκεῖνος ἐπήγγελται τοῦτο ἐκεῖνοι ἴσχυσαν, διὰ τῆς ὧν ἀφῃρέθησαν ἀνταναῤῥήσεως, οὐδ' ἂν τὸ τοιοῦτον ὀνομασθήσεται νίκη, οὐδ' ἂν ταῖς εἰς ἀνδρείαν ἀριστείαις κατατετάξαται. πῶς γὰρ νίκη ἡ τοὺς λυτρωθέντας εἰς τέλος μὴ ἀποκερδήσασα, ἀλλὰ τοῖς ὁμοίοις ὑπὸ τῶν πρότερον ἡττημένων ὑποβληθεῖσα παλαίσμασι; καίτοιγε οὐδὲ τοῖς ὁμοίοις πολλοῦγε καὶ δεῖ; τὸ γὰρ κτήσασθαί τι καὶ ἀπολέσαι πλέον ἔμοιγε τοῦ, τὸ ἀφῃρημένων ἀντικαταχεῖν, εἰς ἀνανδρείας κατηγορηθήσεται λόγον. ποῦ δὲ καὶ ἄρα τὰς τῶν εἰδώλων στάσεις; οἱ τοῦτο λέγοντες τεθεᾶσθαι φασίν. εἰ μὲν ἐν

τοῖς

τοῖς ἀρχαίοις τῆς δαιμονικῶν τεμενῶν ἱδρύμασιν ὄπω τοῦτο τοῖς Χριστιανοῖς εἰς λόγον ἐγκλήματος προστριβήσεται. ὁρῶμεν γὰρ λείψανά που ἐνιαχοῦ τῆς πάλαι εἰδωλικῶν τεμενῶν παρὰ τῆς παλαιῶν ἐγκαταλελειμμένα, πρὸς θρίαμβον, οἶμαί που, τῆς ἐν τούτοις ἐπιθυσάντων· καὶ μέν τοι καὶ πρὸς μνήμην ἡμῶν τῆς λελυτρωμένων εἰς εὐχαριστίαν ἡμᾶς ἐνάγουσαν διὰ τῆς ὁρωμένων ἐξιτήλων μορφωμάτων· ἐκ ποίων τὸ Χριστιανῶν γένος βδελυκτῆς σεβασμάτων διὰ Χριστοῦ ἐκλελύτρωται· εἰ δὲ δὴ ἐν ταῖς χριστιανικκωτάταις ἡμῶν ἐκκλησίαις ταῦτα φασὶν εὑρηκέναι. ὦ τῆς ἐντεῦθεν ἀτοπίας· ὦ τῆς παγκάκου βλασφημίας. πῶς γὰρ ἔνθα Χριστὸς κεφαλὴ καὶ θεμέλιός ἐστι, κατὰ τὸν σοφώτατον Παῦλον τοῦτο γενέσθαι δεδύνηται; ἐψεύθημεν ὄντως Χριστιανοὶ τῆς ἐλπίδος· πεφενακίσθμεθα δὲ καὶ ταῖς τῆς κηρύκων φωναῖς, οἵ γε Θεὸν ἡμῖν τῆς τῆς δαιμόνων πλεονεξίας ἡμᾶς ἀπαλλάτοντα ἐπιδεδημηκέναι τῷ βίῳ κεκηρύχασι· πῶς δὲ ὅλως τοῦτο καὶ ἴσχυσαν; ἆρα γὰρ ἐροίμην ἂν τοὺς οὕτω φρονοῦντας, ὡς τοῦτο τῆς κεφαλῆς ἡμῶν παραχωρούσης γεγένηται, ἢ τυχὸν θελούσης μὲν μὴ γίνεσθαι, μὴ δυναμένης δὲ ἐπαμύναι· καὶ πῶς οὐκ ἐπέκεινα τοῦτο γε πάσης βλασφημίας. εἰ γάρ ἐστιν ἀληθὴς ὁ ἱερώτατος Παῦλος Χριστὸν Θεὸν δύναμιν καὶ Θεοῦ σοφίαν ὀνομάζων τὸν υἱόν· πῶς ἆρα καὶ ἴσχυσε τὴν τοῦ πατρὸς ἀκαταμάχητον δύναμίν τε καὶ σοφίαν, τὴν πᾶσι τὸ εἶναι δοῦσαν τῆς ὄντων κατευμεγεθῆσαι τί; Δῆλον γὰρ ὅτι εἰ τοῦτο ταύτῃ συμβέβηκεν οὐδὲ τὸν οὗ ἐστι ταῦτα τῶν τοιούτων κατηγορημάτων ἐξωθήσουσι. πῶς γὰρ Θεὸς παντοκράτωρ δυνατός τε καὶ ἰσχυρὸς ὁ πατὴρ ἔτι λέγοιτο, τῆς ἰδίας ὥσπερ ἀφῃρημένος δυνάμεως, καὶ ὑπὸ χεῖρα τῶν σφῶν ἐχθρῶν γεγενημένος; πῶς δὲ καὶ ὅλως παρακεχώρηκε τὴν τῷ ἰδίῳ αὐτοῦ αἵματι ἁρμοσθεῖσαν αὐτῷ ἐκκλησίαν τοῖς ἀγρίοις οὕτω καὶ ἀφιλοικτίρμοσι καταδουλοθῆναι πνεύμασι; καί τοι τοῦ ὑμνογράφου λέγοντος· ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. εἰ γὰρ ἐπὶ τοῦτο σεσάρκωται, ὥστε τῆς τούτων ἡμᾶς ἀπαλλάξαι χειρὸς, κατὰ τὰς προφητικὰς προαναῤῥήσεις· ἀπηλάγμεθα δὲ, ὥς φασι πρὸς βραχύ· τίς ὄνησις τῆς πρὸς βραχύ; οὐκ οὔσης μὲν, δοκούσης δὲ ἐλευθερίας. οὐ γάρ τοι χαρᾶς ἀλλὰ πλείονος καὶ δυσχερεστέρας δουλείας πρόξενος ἡμῖν γέγονε, τοσοῦτον τοὺς καθ' ἡμῶν ἐχθροὺς ἀγριοτέρους παρασκευάσασα, ὅσον ἐκείνοις ἡμεῖς ἀπαλλαγέντες ᾠόμεθα κατεκαγχάζομεν. πῶ δὴ οὖν τὸ διηνεκὲς αὐτοῦ ἔλεος ἔτι σώζοιτο ἂν, ὅπερ κατὰ τὸ ἀπὸ τῆς γῆς πρὸς τὸ οὐράνιον ὕψος διάμετρον κραταιῶσαι ἐφ' ἡμᾶς ἐπηγγείλατο, ὃ δηλοῖ τὸ ἀπεριόριστον; πῶς δὲ καὶ τὰς ἀνομίας ἡμῶν κατὰ τὸ τῆς ἀνατολῆς ἐπὶ τὸ δυτικὸν κλῖμα διάστημα ἀφ' ἡμῶν μακρύναι λέγεται, ὅπερ τὴν παντελῆ ἀπολύτρωσιν σημαίνει, εἰ ἔτι τοσαύταις ἐνεχόμεθα πλάναις; καὶ γοῦν ὁρῶμεν τοὺς τῶν ἰατρῶν ἐπιστήμονας, οἳ ἐπειδάν τινα τῶν ἀσθενῶς τὸ σῶμα διακειμένων τοῖς ἐκ τῆς τέχνης ἀκριβασμοῖς ἐπαμύναντες εἰς ὑγείαν ἐπανάξωσιν. οὐχ ὅπως μὲν αὐτὸν τοῦ παρόντος ἀπαλλάξωσι πάθους τὴν ἑαυτῶν εἰσφέρουσι τεχνικὴν ἐμπειρίαν, ἀλλά γε καὶ τὴν ἑξῆς τοῦ βίου περίοδον ἀσφαλεστέραν αὐτῷ διάτινων προφυλακτικῶν βοηθημάτων πραγματεύονται· ὡς ἂν μὴ τοῖς αὐτοῖς τυχὸν ἐξ ἀπειρίας ὀχληροῖς πάλιν συνενεχθείη. εἰ δὲ δὴ πάλιν ἀληθές ἐστιν, ὥσπερ οὖν καὶ δέδεικται, ὅτι τὴν ἡμετέραν ὁ μονογενὴς τοῦ Θεοῦ καὶ πατρὸς υἱὸς πεφόρεκε φύσιν, δῆλον ὅτι τῶν εἰκείων αὐτὴν πεπλούτηκεν ἀγαθῶν, καὶ τῶν τοῦ πνεύματος ἐξαιρέτων ἐνέπλησε θησαυρῶν· ὡς μηκέτοι ταύτην εἰς τὸ ἑξῆς δευτέρας ἐπιδέεσθαι τινὸς βοηθείας, ἅπαξ τὸ εὐσθενὲς παρὰ τοῦ ταύτην ἀνειληφότος λαβοῦσαν. τοῦτο γὰρ οἶμαι, καὶ ὁ μακάριος εὐαγγελιστὴς αἰνίττεται· ἐν τῷ καιρῷ τοῦ βαπτίσματος τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ἰδεῖν λέγων τὸ πνεῦμα τὸ ἅγιον ἐξ οὐρανῶν καταβάν, καὶ μένον ἐπ' αὐτόν· ὅπερ τοῦ ἀναπόβλητον αὐτὸ τὴν φύσιν εἰς τὰ ἑξῆς καταπλουτεῖν ἔμφασιν ἔχει. καὶ γάρ τοι οὐκ ἐδέετο ὁ κατὰ πάντα τῷ πατρὶ ἰσοστάσιος τῆς τοῦ πνεύματος ἐξ οὐρανῶν ἐπιφοιτήσεως· ὅσον γε εἰς τὸν τῆς ἰδίας φύσεως λόγον. τί γὰρ ἂν αὐτῷ προσθήκην ἁγιότητος ἐμποιήσῃ τῷ τοὺς πατρικοὺς ἐν ἑαυτῷ φέροντι χαρακτῆρας, καὶ τῇ τοῦ πνεύματος ὁμουσιότητι μηδαμῶς παραλλάτοντι; ἀλλὰ τὴν ἡμετέραν ἐν ἑαυτῷ προδιεζωγράφει χάριν. ὅτι τε ὁ ἐν Ἀδὰμ ἀφῃρήμεθα, δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ πάλιν πεπλουτήκαμεν, καὶ τῇ φύσει τὸ ἀρχαῖον ἐπανῆλθεν ἀξίωμα. εἰ τοίνυν ἡ τοῦ πνεύματος χάρις ἐπ' αὐτὸν καταπτᾶσα μεμενηκέναι λέγεται· τοῦτο δὲ τὸ ἀναπόβλητον ἀεὶ τὴν φύσιν εἰς τὸ ἑξῆς διασώζειν ὁ λόγος ἀποδέδειχε, δῆλον ὅτι ἡ τοιαύτη χάρις εἰς ὅλον διαβαίνει τὸ γένος. πῶς οὖν φασιν ἡμᾶς ἀγνοίᾳ τἀληθοῦς ἡμαρτηκέναι, καὶ προφάσει δῆθεν τῆς εἰς Θεὸν τιμῆς εἰδώλοις πάλιν προσεκυνηκέναι; εἰ μὲν γὰρ οὕτω διὰ Χριστοῦ τὴν τοιαύτην πεπλουτήκαμεν χάριν· ἔστι τοῦτο λέγειν τοῖς τὰ πάντα τολμῶσιν· εἰ δὲ δὴ ὁμολογήσουσι τούτων μὲν ἡμᾶς τῶν ὑπὲρ λόγον ἀγαθῶν ἠξιῶσθαι διὰ Χριστοῦ· μετὰ τοῦτο δὲ ἡμᾶς ταῖς προτέραις ἀνθυπενεχθῆναι πλάναις· ἠσθένησε λοιπὸν κατ' αὐτοὺς ἡ δοθεῖσα τοῦ πνεύματος χάρις, τοῦ μὴ διαρκῶς μέχρι τέλους τοῖς ἅπαξ αὐτοῖς μεταλελοχόσι παραμεῖναι. καὶ τί τοῦ οὕτως φρονεῖν δυσσεβέστερον, ἢ ἀθλιώτερον; πῶς γὰρ τὸ διὰ πάντων διῆκον καὶ πᾶσι τὴν ζωογόνον παρέχον δύναμιν, τὸ παντεπίσκοπον καὶ παντοδύναμον τοῦ πατρὸς πνεῦμα τῆς ἰδίας ἐκστάιη φύσεως, καὶ τοῖς τῆς ἀσθενείας ὑποκείσεται μέτροις; πῶς δὲ καὶ τὸ ἔσεσθαι μεθ' ἡμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἡ σωτήριος ἐπαληθεύσῃ φωνή; εἰ τὸ τῶν ἰδίων ὑποχέσεων χρῆμα δι' ἔργων εἰς πέρας ἐκβεβηκὸς οὐχ ὁρᾶται; καὶ γάρ τοι οὐ τοῖς τότε αὐτῷ συνοῦσιν ἁγίοις ἀποστόλοις τὴν τοιαύτην ἐπαγγελίαν δεδώρηται. Πῶς γὰρ ἕως τῆς συντελείας οὗτοι σαρκὶ μεμενήκασιν; οἵ γε

μι-

μικρὸν μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἀναφοίτησιν τῷ βίῳ παραμείναντες τῷ κοινῷ τῆς φύσεως ἐλειτούργησαν νόμῳ, ζωὴν τῷ θανάτῳ ἀπολιπόντες; ἀλλά γε εἰς ἡμᾶς ἡ τοιαύτη τῶν εὐαγγελιῶν δωρεὰ διαβαίνει τοὺς τὸ αὐτῶν ὑπελθόντας κήρυγμα, καὶ τὸν μετ' αὐτῶν ἀναστραφέντα Χριστὸν συνόντα ἡμῖν ἐν πνεύματι διὰ παντὸς τοῦ βίου ἔχοντας. ἔξεστι τοιγαροῦν ἐν τούτοις τὴν τῶν οὕτω πεφρονηκότων αἱρετικῶν ἀποδακρύσαι πλάνην· ὅτι τοῖς οὕτω ἐναργέσι διαμάχονται δόγμασι, καὶ τὰς οὕτω θεοπρεπεῖς ἀθετοῦσιν ἐπαγγελίας τῆς καθολικῆς ἐκκλησίας δυσσεβῶς καταγορεύοντες οὐδαμῶς γὰρ αὕτη ἐκ τῆς παραδοθείσης αὐτῇ μετακεκίνηται πίστεως· μεμένηκε δὲ ὥσπερ παρθένος ἁγνὴ κατὰ τὸ γεγραμμένον τοῦ ἑαυτῆς νυμφίου τὸν ἀῤῥαβῶνα ἄσυλον διασώσασα, ἤτοι τὴν δοθεῖσαν ἐπ' αὐτὴν τοῦ πνεύματος χάριν. τοι γάρ τοι καὶ ὁ θεῖος Δαβὶδ πολλαῖς πρότερον γενεαῖς τὸ πρὸς τὴν πίστιν αὐτῆς ἑδραῖον ἀνακηρύττων ἔλεγεν· ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται. καὶ πάλιν· ἐστερέωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται· ταῖς σατανικαῖς δηλονότι πολιορκουμένη μηχαναῖς. ἂν γάρ τινες τὸ στερέωμα τοῦ εἰς αὐτὴν διαδοθέντος εὐαγγελικοῦ κηρύγματος τῶν πάλαι ἢ τῶν νῦν αἱρετικῶν κατασεῖσαι τεθελήκασιν ἐκείνοις μὲν τὸ μελετηθὲν εἰς ἔργον ἐκβέβηκε. ταύτῃ δὲ μόνῃ τὸ ἀσάλευτον εἰς αἰῶνα τετήρηται, κατὰ τὴν ἀψευδῆ τοῦ φήσαντος ἐπαγγελίαν. εἰ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλήσεται ταῦτα γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. ἐάσαντες τοιγαροῦν τὰς ἐν τούτοις αὐτῶν τῶν λόγων τροφὰς, καὶ μακρὰ ταῖς φλυαρημοσύναις αὐτῶν χαίρειν εἰπόντες, ταῖς τῶν ἁγίων πατέρων ἀνθυπονοστήσωμεν δόξαις. Θεὸν τοιγαροῦν ἅπαντες ἐν ἀνθρωπείᾳ μορφῇ τῷ βίῳ ἐπιδεδημηκότα, τῆς τῶν εἰδώλων πολυτρότου πλάνης ἡμᾶς ἠλευθερωκέναι δεδείψασιν· οὕτως αἱ προφητικαὶ προαγορεύσεις τεθεσπίκασιν, οὕτως ἡ ἀποστολικὴ χάρις ἐτράνωσε. ταύτην ἡμεῖς τὴν διδασκαλίαν οὐκ ἐν πιθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ὡς γέγραπται ἐβεβαιώθημεν. οὐ γὰρ ἡμᾶς αἱ τῶν λόγων κομψεῖαι οὕτως ἔχειν πεπείκασιν· ἑλλήνων γὰρ τοῦτο. ἀλλ' ἡ τῶν συμπερασμάτων αὐτῶν ἀλήθεια. ποῦ γὰρ ἔτι τὸ τῶν δημονίων ὀλέθρειον στίφος; ποῦ αἱ διάκενοι καὶ βδελυραὶ τῶν εἰδώλων τελεταί; ποῦ αἱ τῶν ψευδωνύμων θεῶν ἐπισφαλεῖς καὶ ψυχοφθόροι μαντεῖαι; ποῦ αἱ βακχεῖαι τῆς Ἀφροδίτης, καὶ τὰ ὄργια τῆς Δημήτρας, καὶ τῆς Ἀρτέμιδος αἱ ξενοκτονίαι; ποῦ αἱ τοῦ Διονυσίου παράφοροι ἑορταὶ, μετὰ τῆς ἀθέσμου ἀνδρομανίας, καὶ ἡ τοῦ λεγομένου Μίθρου ἔνδικος μύησις; ποῦ αἱ ὑπόγειοι, καὶ ὑπέργειοι, καὶ ἀέριοι ἀνθρωποκτονίαι τῶν λεγομένων θεῶν οὕτως ἐπιτερπομένων; οὐχὶ πάντα τῇ ἐπιδημίῳ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ ὤλλυντο, καὶ τέλος πᾶν βέβηλον ἐδέξαντο; οὐχὶ τὰ ἐν κάλλει δομήσεων ποτὲ ἐκπεποιημένω αὐτῶν τεμένη νῦν ἠρίπωται, καὶ εἰς γῆς καταβέβληται αὐτοκρατορικοῖς παρακελεύμασι τοῦτο αὐτῶν πεπονθότων; οὐχὶ ἐκ τῆς ἁπάντων Χριστιανῶν καρδίας αἱ τούτων μνείαι ἐξηφανήσθησαν, καὶ τὸ τῆς προφητείας αὐτοῖς πράγμασι πεπρατωμένων ὁρᾶται; τὸ ἐπλήσθη πᾶσα ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας; προσκυνήσωμεν τοίνυν τὸν ἐπιφανέντα Κύριον, καὶ τῆς τούτων ἡμᾶς λελυτρωκότα παγχαλέπου πλάνης. ὑμνήσωμεν αὐτοῦ τὸ ἀπεριόριστον τῆς φιλανθρωπίας· κηρύξωμεν ἐν τῷ τῆς ἡμετέρας ἐκκλησίας ὑψηλοτάτῳ ὄρει τὴν φρικτὴν καὶ ἀνέκφραστον αὐτοῦ τῆς οἰκονομίας συγκατάβασιν· ὑψώσωμεν τὰς φωνὰς ἐν ἰσχύϊ, καὶ μὴ φεισόμεθα τὴν μεγαλοπρέπειαν τῆς δόξης αὐτοῦ, δηλαδὴ τὴν περὶ ὑμᾶς αὐτοῦ ἀκατάληπτον ἐκδιηγούμενοι στοργήν. εἴπωμεν μετὰ τοῦ προφήτου καὶ ἡμεῖς πρὸς αὐτόν· Τίς Θεὸς ὥσπερ σὺ, ἐξαιρῶν ἀνομίας, καὶ ἀποκρύπτων ἁμαρτίας τοῖς καταλίποις τοῖς κληρονομίας σου; συγχορεύσωμεν δὲ καὶ τῇ παρούσῃ ἱερᾷ πανυγύρει, τὸ χαῖρε αὐτῇ προσφθεγγόμενοι; ὡς τῆς χαρᾶς βρεβευτριτήριον. χαίροις τοίνυν, ὦ ἱερώτατε σύλλογε θείας καὶ ἱερατικῆς ὁμηγύρεως. χαίροις ἁγίων πατέρων ἁγιώτατε πρόμαχε. χαίροις Θεοῦ ἀψευδέστατον ἄθροισμα, ἐν ᾧ Θεὸς ἐν μέσῳ περιπολεύει, ὡς γέγραπται. χαίροις χορεία πνευματικῆς δᾳδουχίας ἀνάπλεε, ἐξ ἧς ὁ καταλαμπόμενος οὐ προσκόψει πρὸς λίθον αἱρετικῆς ψευδοδοξίας, τοὺς νοητοὺς τῆς ψυχῆς πόδας. χαίροις ὁ σκοπὸς τῶν θείων δηλώσεων, ᾧ ὁ εὐρύθμως ἑπόμενος τῆς ἀπειλούσης ῥωμφαίας ἐκρύεται. χαίροις ἀειθαλέστατε παράδεισε, ἐν ᾧ τῆς ζωῆς ἐν μέσῳ τὸ ξύλον πεφύταται, διὰ τῆς τετραστόμου τῶν εὐαγγελίων νοτίδος ἀρδευόμενον· χαίροις χριστοπύρσευτε στύλε, ὁ τὸν νεὸν τοῦ Θεοῦ Ἰσραὴλ ταῖς φωτοφάεσι τῶν δογμάτων διδασκαλίαις τῆς Αἰγυπτιακῆς χειρὸς ἀπαλλάξας τῆς τῶν αἱρετιζόντων περιπλανήσεως, καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας τῇ τῶν πατέρων ὀρθοδοξίᾳ καθοδηγήσας. εὐτόλμως ἐπὶ τῇ ἀναδείξει τῆς ἀληθείας παῤῥησιάσθητι. ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τῆς ἱερᾶς καὶ καθολικῆς ἐκκλησίας κήρυξον ἐπὶ τὴν πέτραν τῆς στερεᾶς ὁμολογίας τὼς εὐμεταφόρους τῶν τινῶν διανοίας ταῖς διδασκαλίαις ὑποστηρίζων. σὺ τὲ κατ' ἐξαίρετον, ὦ ἱερῶν πατέρων σύστοιχε ἱεροκῆρυξ, καὶ τοῦ παρόντος ἡμῶν συλλόγου ἔξαρχε, ὁ τὸν μετάρσιον ἡμῖν διὰ Χριστοῦ κατασκευάζων θρόνον, τὸ τοῦ μεγάλου καὶ πρώτου ποιμένος ἀκριβέστατον ἔσοπτρον, τὸ τοῦ πνεύματος καθαιρώτατον ἐνδιαίτητημα, ἡ εὐθυτάτη τῶν ὀρθοδόξων δογμάτων στάθμη, ὁ ἀπεξεσμένος τῆς ἐν Χριστῷ πολιτείας κανὼν, ὁ περιώνυμος καὶ ἑπταφώτου λυχνίας ὁλολαμπρέστατος λύχνος· πύρσευε ἡμῖν ὡς ἐξ ἀπόπτου λυχνίας τῆς ἱερᾶς καθέδρας τῶν φανωτάτων λόγων τὰς διαυγείας. διάθρυπτε δὲ καὶ τοῖς πεινῶσι τὸν ζωτικώτατον τῆς θείας διδασκαλίας ἄρτον· καὶ θρέψον λαὸν ἐν ξένῃ γῇ, ἀλήτην γεγενημένον τῆς αἱρετικῆς ἀποικεσίας. γενοῦ ἡμῖν νέος Ἰωσὴφ σιτοδότης ταῖς ἀπορίαις τῶν γραφικῶν αἰνιγμάτων ταῖς εὐπορίσοις ἀναπτύξεσι τῶν πνευματικῶν ἑρμηνειῶν ἡμᾶς ἐκτρέφων. ἄρον κύ-

κλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε ἐπὶ σὲ συνηγμένα τὰ τέκνα σου, ἃ ταῖς τῶν λύκων ἐφόβοις διεσκόρπισο. πλήρης σοι πᾶς ὁ ἱερώτατος οὗτος τοῦ θείου συντάγματος νεὼς ὁρᾶται. πυκνῷ σου τῆς διανοίας ἅλματι τὰς τῶν θηρῶν προλάμβανε ἐφόδους, καὶ πάντες τῇ σῇ σοφίᾳ προαποκλείων. ἀεί σου τῇ ποίμνῃ τὸ ἀτάραχον προξένει. προσοχύρου γὲ τοῦτο, καὶ ταῖς πυκναῖς τῶν εὐήχων εἰς Θεὸν προσευχῶν σου ἐπάλξεσιν· ἵνα σοι εἰς πλῆθος ἐπιδοίῃ κατὰ τὰς ἐν τῷ Ἀβραὰμ ἐπαγγελίας τοῖς ἄστρων χοροῖς παραπλησίως. χαίροις δὲ καὶ σὺ Νικαέων περίκλυτον ἄστυ, τὸ ἐν μητροπόλεσι περίπυστον ὄνομα, τῆς Βιθυνῶν ἐπαρχίας τὸ εὐκλεέστατον ἀκροθίνιον· ἡ πρότερον μὲν ταῖς τῶν ἁγίων ὀκτωκαιδέκα καὶ τριακοσίων θεοφόρων πατέρων ἴχνεσιν ἁγιασθεῖσα, νῦν δὲ τοῖς τούτων διαδόχοις τριῶν ἑκατοντάδων σὺν πέντε δεκάσιν ἀριθμὸν ἐκπληροῦσιν. εὐλαβῶν τε μοναχῶν οὐκ εὐαριθμήτων πλήθει, ταῖς αὐταῖς τῶν εὐλογίων περικυκλουμένη χάρισιν. ἐν σοὶ γὰρ τῆς ὀρθοδόξου πίστεως ὁ θεμέλιος ὑπό τινος σατανικῆς δυστροπίας σεισθῆναι κινδυνεύων ἑβραίωσιν ἀκλόνητον εἴληφεν. ἐν σοὶ τὸν ἄγριον ἐκεῖνον καὶ ἀτίθασσον θῆρα ἄγριον ὁ θεῖος ἐκεῖνος τῶν πατέρων χορὸς τὰ ἱερὰ τῶν γραφῶν ἐφαπλώσαντες λῖνα ἐζώγρησαν, καὶ τοῖς φοβεροῖς κατηκόντισαν ἀναθέμασι· κἀντεῦθεν τὸν υἱὸν τοῦ Θεοῦ καὶ πατρὸς ὁμούσιον τῷ γεγεννηκότι πᾶσα φύσις ἀνθρώπων θεολογεῖν ἐκμεμαθήκαμεν. διά τοι τοῦτο καὶ τὸ παρὸν ἱερώτατον σύνταγμα τῆς ὑπαρίθμου ταύτης χορείας δυὰς εὐσεβῶν βασιλέων ἐν σοὶ συγκροτηθῆναι τεθέσπικεν, εἰρήνη νέα Ἑλένη σὺν υἱῷ γνησίῳ νέῳ Κωνσταντίνῳ, οὓς ἡ ἐν σοὶ τοῦ πνεύματος χάρις τοῖς τότε καὶ νῦν ἁγίοις ἐπιλάμψασα πατράσι, φυλάξοι δαψιλέσι χρόνοις ἀτάραχον αὐτοῖς τὸ κράτος δωρουμένη, καὶ τῶν ἐχθρῶν τὰ φῦλα πρὸ ποδῶν καταστρῶσι· ὡς ἂν ἡμῖν ἡ τῶν ἀγαθῶν μὴ διαλίποι χορηγία. χαίροις τοίνυν ὦ μητροπόλεων περίδοξον κάλλος, ἐν τούτοις, ὅτι ἐν σοὶ τὸ πρῶτον ἡμῖν τῶν ἀγαθῶν ἀνέφυ, ἐν σοὶ δὴ καὶ τὸ τέλος, οὐχ ὡς πρὸς ἀξίαν πρὸς ἀριθμὸν δὲ ἥ τις ἐστὶ τῶν σεπτοτάτων εἰκόνων τῆς καθολικῆς ἡμῶν ἐκκλησίας ἡ ἀρχαία παράδοσις, ἐν τοῖς ἰδίοις ἀποκατασταθεῖσα ὅροις. Νῦν ὄντως εὐφραίνεται ὁ οὐρανὸς, καὶ αἱ νεφέλαι δικαιοσύνην ἀποστάζουσι· καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λέλυται τῇ ἑνώσει τῆς διαστάσεως παραχωρησάσης, καὶ εἰς μίαι ὁμοφροσύνης συμπνοίαν ἡ τετρὰς τῆς οἰκουμένης συνήνεκται. νῦν αἱ πολλαὶ τῶν διαφόρως ὑποσυρέντων εἰς ἓν συνεληλύθασι δόξαι· καὶ σύμφωνος ὕμνος ἀπὸ περάτων γῆς ἕως περάτων τῷ Θεῷ ἀναπέμπεται. χαίροις τοιγαροῦν, καὶ σκίρτα ἐπὶ τούτοις καὶ σὺ, ἐκκλησία καθολικὴ, ἡ ἐν πάσῃ τῇ οἰκουμένῃ· χόρευε ἀγαλλιωμένη ἐπὶ τῇ τῶν υἱῶν σου ἐπανελεύσει· ἀπόθου τὸ τῆς διαλύσεως ῥάκος, καὶ ἔνδυσαι τὸ ὁλόκληρον τῆς ὀρθοδόξου ἑνώσεως χιτῶνα. οὐκέτι τε θήσῃ ὄνειδος τοῖς γείτοσί σου, μυκτηρμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ σου λαοῖς. οὐκέτι φοβηθήσῃ ἐξουδενώσεις ἀθέων καὶ ἀμυήτων ἀνθρώπων, ἑβραίων δὴ λέγω καὶ Ἀγαρηνῶν· ὡς δή σοι μὴ τοῦ τελείου τῆς πίστεως ταῖς ἀποστολικαῖς παραδοθέντος διδασκαλίαις. οὐκέτι τὴν ἐκ τοῦ ἑνὸς Θεοῦ ἀναφοίτησιν διὰ τὴν πρὸς τοὺς αὐτοῦ φίλους πρεπωδεστάτην τιμὴν τοῖς τῶν αἱρετικῶν ἐγκληθήσῃ στόμασιν. οὐκέτι τοῖς τῶν εἰδώλων τεμένεσι ἐν ἴσῳ καταλογισθήσῃ, διὰ τὴν ἐν σοὶ τῶν ἱερωτάτων καὶ σεπτῶν ἁγίων εἰκόνων ἀναστήλωσιν. πρέπον γάρ σοι ὡς τῷ βασιλεῖ τῶν αἰώνων υἱῷ καὶ λόγῳ τοῦ Θεοῦ νυμφευθείσῃ, τὴν τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίαν ἀνθρωπόμορφον εἰκόνα διὰ γραφῆς φέρον, ἵνα γνωρίζῃ βασιλικὴ ὑπάρχουσα νύμφη. πρέπει σοι τῆς τοῦ νυμφευσαμένου σε Χριστοῦ θεωμήτορος καὶ ἀειπαρθένου μητρὸς ἐμμουσούργῳ γραφῇ τὴν εἰκόνα σοῖς πανιέροις τοίχοις φέρειν· ὡς ἂν ἡ διὰ ταύτης σοι ἀναλάμψασα χάρις σιγῶντι κηρύγματι κοινῶς τοῖς λαοῖς διαγγέληται. εἰ οἱ μὴ γὰρ ἐκ ταύτης σεσάρκωτο πῶς σου τῷ τοιούτῳ ὡραίῳ νυμφίῳ ἐν πνευματικῇ συναφείᾳ προσεπέλασας; πρέπει σοι καὶ τῶν πάντων ἁγίων ἀποστόλων τε καὶ προφητῶν, πατριάρχων, καὶ ὁσίων πατέρων, ἀσκητῶν τε καὶ μαρτύρων, καὶ παντὸς εὐσεβοῦς συλλόγου τὰς εἰκόνας ἔνδον ταῖς γραφικαῖς κατασκευαῖς ἐντυπουμένας φέρειν, ὡς ἂν σοι τὸ τέλειον τῆς ἐξ ὕψους σε περιλαμψάσης ἀνατολῆς, πάσῃ τῇ θείᾳ καταστάσει μένῃ. τῶν μὲν τὴν σὴν, ὥσπερ προαναφωνούντων ἱερὰν πρόσκλησιν, καὶ τοῖς τοῦ νυμφίου σε προμνηστευομένων προικώοις ταῖς προφητείαις· τῶν δὲ τῷ εὐαγγελικῷ σοι διακονούντων λόγῳ, καὶ τὰ πανταχοῦ γῆς ἐσκορπισμένα σοι ἐπισυναγόντων λογικὰ ποίμνια. τῶν δὲ τοῖς ἰδίοις, ὥσπερ ἱδρῶσι, διὰ τῆς ἐν δόγμασι ταυτομολόγου συμπνοίας τὸ ἀδιάῤῥηκτον τοῖς σοῖς ποιμνίοις πραγματευομένων. τῶν δὲ τοῖς ἑαυτῶν αἵμασι τὸ πρὸς σὲ γνήσιον καὶ μέχρι θανάτου διαφυλαξάντων, καὶ ταύτῃ τὸ βέβαιον τῆς ἐν σοὶ ἐπιδεικνυμένων ἀληθείας· οἷς σὺν μυριάσιν ἐπουρανίων ἀγγέλων στεφανηφόρος πομπεύουσα, ἐξάγγελε τὰς ἀρετὰς τοῦ ἐκ σκότους σε τῆς εἰδωλολάτρου πλάνης καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· λέγω δὴ τὴν εἰς αὐτόν τε, καὶ τὸν ἄναρχον αὐτοῦ πατέρα, καὶ τὸ συναΐδιον καὶ ὁμοούσιον αὐτοῦ πνεῦμα· τὴν μίαν ὑπεραρχικὴν φύσιν, πίστιν, καὶ ὁμολογίαν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΩ ΤΑ ΠΑΝΤΑ ΑΓΙΩΤΑΤΩ ΚΑΙ Μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ, κυρίῳ Ἀδριανῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Ταράσιος ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης ἐν κυρίῳ χαίρειν.

Ἦρκει μὲν ἡ σωτηριώδης οἰκονομία τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ πρὸς εἰρηνεύειν, ὁμόνοιάν τε καὶ συμφωνίαν πᾶσι τοῖς Χριστιανοῖς. αὐτὸς γὰρ μέλλων ἐκ νεκρῶν ἀναβιώσειν τοῖς ἀποστόλοις αὐτοῦ ἐμφυσήσας ἔφη· εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, τοῦτέστιν διαμαρτυρόμενος πᾶσιν ἡμῖν ὁ ἀρπαγεὶς εἰς ὕψος οὐρανόν, καὶ εἰς τὸν παράδεισον εἰσελθών, καὶ ἀκούσας ἀῤῥήτα ῥήματα, Παῦλος ὁ θεῖος ἀπόστολος ἀπεφθέγξατο εἰπών· Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. καὶ αὖθις Θεσσαλονικεῦσι γράφων παραγγέλλει· ἄρα οὖν ἀδελφοί στήκετε, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν. ἀλλ' ἐπειδὴ ὁ ἀρχέκακος ἐχθρὸς διάβολος ὁ κατέλιπε κατὰ διαφόρους τὴν ἐποικοδομηθεῖσαν ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν ἐκκλησίαν κατὰ τὸ δοκοῦν διαχίζειν τε καὶ διαῤῥήσσειν, ἑαυτὸν παρεισφέρων διά τινων αὐτῷ ἐπακολουθούντων ἀνδρῶν πονηρῶν, καὶ ζιζάνια ἐπισπείρειν ἐν ταύτῃ τῇ χώρᾳ τῇ γεωργηθείσῃ ὑπὸ τῆς σαλπίγγων τοῦ πνεύματος ἁγίων ἀποστόλων. αὐτοὶ γὰρ δυνάμιν ἐξ ὕψους λαβόντες, ταύτην τὴν αὔλακι τῆς ἐνεργείας ἀροτριάσαντες, βοῦν ζωῆς αἰωνίου κατέλιπον δρέπεσθαι τοῖς δι' αὐτῆς πιστεύσασι. τούτων τὴν θεηγόρον διδασκαλίαν λαβόντες οἱ κατὰ καιρὸν ταύτης ποιμένες καὶ φύλακες ἅγιοι πατέρες ἡμῶν, τὰ μὲν ζιζάνια, ἤτοι αἱρέσεις καὶ καινοτομίας παρεισκεκριθείσας καὶ ἐπεισαχθείσας προῤῥίζου ἐξέτεμον, καὶ τὸν ἀμπελῶνα καθαρὸν τῇ ἀρότρᾳ διετήρησαν· ἧς οὗ ὑμετέρα ἀρχιεροπρεπὴς ἀδελφικὴ ἀγιωσύνη τούτοις ὁμιλήσασα διὰ τῆς αὐτῆς θεηγόρων διδασκαλιῶν, καὶ παρ' αὐτῆς λαβοῦσα τὸν τῆς ἀληθείας λόγον, τὰς νυνὶ ἀκανθώδεις βλαστησάσας βοτάνας, τῇ τῆς πιστοτάτων καὶ εἰρηνοποιῶν βασιλέων ἡμῶν συμφωνῶν ἀληθείᾳ, ἐκτῖλαι τῇ μαχαίρᾳ τοῦ πνεύματος ἔσπευσεν, ἀποστείλασα κατὰ καιρὸν ἡμῶν γραφεῖσαν αὐτῇ αἴτησιν, πρὸς τὸ γενέσθαι οἰκουμενικὴν σύνοδον, ὁμωνύμως ἄνδρας τῷ πρωτάρχῳ τῆς ἀποστόλων Πέτρῳ. ὧν παραγνομιῶν, οἵ τε εὐσεβεῖς καὶ γαληνιώτατοι ἡμῶν βασιλεῖς τότε ὑμνῶς δεξάμενοι, πρὸς ἡμᾶς ἐκέλευον πέμπεσθαι, δι' αὐτῆς δεξαμένων ἡμῶν τὰ γράμματα ὑμῶν. καὶ ὁμιλήσαντες αὐτοῖς τὰ προσήκοντα, προσεκαλεσάμεθα καὶ τὰς ἐκ τῆς ἀνατολῆς ἱεροπρεπεῖς ἄνδρας, Ἰωάννην καὶ Θωμᾶν λόγου καὶ γνώσεως μετέχοντας, καὶ εὐλαβείᾳ καὶ σεμνότητι κεκοσμημένους· παρῆσαν γὰρ ἐνταῦθα κατὰ τὸν αὐτὸν καιρὸν καὶ αὐτοὶ ἐληλυθότες. καὶ δὴ συναθροισθέντων πάντων τῆς θεοφιλῶν ἐπισκόπων τῆς ἐνταῦθα διοικήσεως κατ' ἐπίνευσιν καὶ θεῖον ζῆλον τῆς πιστοτάτων καὶ εὐσεβῶν βασιλέων ἡμῶν, καθέδρα συνόδου γέγονεν. ἀλλά τινες ἐξ ἀφρόνων φρενῶν κινηθέντες, ταραχὴν ἐν ἑαυτοῖς ποιησάμενοι, ἐξανέστησαν ἡμᾶς τῆς καθέδρας. καὶ κωλυθέντες, ἐνιαυτὸν ὅλα ἡσυχῇ διεμείναμεν. τοῦ δὲ χρόνου παρελθόντος, αὖθις οἱ θεοφιλεῖς ἐπίσκοποι συναθροίζεσθαι ἐν τῇ Νικαέων λαμπρᾷ μητροπόλει τῆς Βιθυνῶν ἐπαρχίας παρὰ τῶν εὐσεβῶν βασιλέων ἡμῶν ἐκελεύοντο. καὶ δὴ ἡμεῖς συνεκδήμους ἡμῖν λαβόντες τούς τε θεοφιλεῖς ἄνδρας καὶ τοποτηρητὰς ὑμῶν, ὡσαύτως καὶ τοὺς ἐκ τῆς ἀνατολῆς ἐληλυθότας, ἀφικόμεθα ἐν τῇ αὐτῇ μητροπόλει. καὶ προκαθεζόντων ἁπάντων ἡμῶν, κεφαλὴν ἐποιησάμεθα Χριστόν. ἔκειτο γὰρ ἐν ἁγίῳ θρόνῳ τὸ ἅγιον εὐαγγέλιον ἐπιφωνοῦν πᾶσιν ἡμῖν τοῖς συνελθοῦσιν ἱερουργοῖς ἀνδράσι. κρίμα δίκαιον κρίνατε. δικάσατε τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ καὶ τῇ γνησιομιξίᾳ καινοτομίᾳ. καὶ προκειμένων ἀναγνωσθῆναι τῆς ὑμετέρας ἁγιότητος γραμμάτων, ἡμεῖς ἐν κοινῇ χορείᾳ ἅπαντες, τοῖς πνευματικοῖς ἐδέσμασιν ὡς καὶ βασιλικοῖς δείπνοις ἐνευφραινόμενοι, ἅπερ ὁ Χριστὸς διὰ τῆς σῶν γραμμάτων διανοιγομένοις ἐξέπεμψε· καὶ ὡς ὀφθαλμὸς τὸ ὅλον σῶμα πρὸς τὴν τῆς θεότητος καὶ ἀληθείας ἔμβον ὑπεδείκνυες. ἵνα οὖν τὰ διεῤῥωγότα μέλη εἰς ἓν συνεβιβάζετο. ἵνα ἡ ἀληθὴς συμφωνία ἐκρατύνετο. ἵνα ἡ καθολικὴ ἐκκλησία τὴν σύνοψιν ἀπελάμβανε· μεθ' ὧν καὶ τῆς ἐκ τῆς ἀνατολικῆς διοικήσεως ἀποσταλέντων ἡμῖν γραμμάτων ἡ ἀνάγνωσις γεγονυῖα τὸ ἀκραιφνὲς τῆς πατρικῆς παραδόσεως ἐδείκνυε κάλλος, καὶ τῆς ἀληθείας ἡ δύναμις ἐκρατύνετο, προκατιρχόντων δηλονότι τῆς ἀναγνώσεως πατρικῶν χρήσεων πλείστων. τούτων ἵνα συνομμύων, ὁμολογεῖτο παρὰ πάντων ἡμῶν τῆς εὐδοκίᾳ Θεοῦ συναθροισθέντων ἡ ὀρθὴ καὶ ἀδιάβλητος ὁμολογία, ἥτις παρ' ὑμῶν ἀπεστάλη ἡμῖν, καὶ δι' ἀναφορᾶς ὑμῶν καὶ τοῖς εὐσεβέσιν ἡμῶν βασιλεῦσι. καὶ πάντες οἱ τῆς αἱρετικῆς ἐκείνης κακίας αἱρεσιάρχαι, καὶ οἱ τούτοις ἀκολουθήσαντες, καὶ ἀδιαστρόφως τὸν βίον ἀπορῥήξαντες, ὁμοίᾳ ἀφοσιώσει κατεδικάσθησαν τῆς πρὶν αἱρετισάντων ἐν τῇ καθολικῇ ἐκκλησίᾳ. οἱ γὰρ τῷ βίῳ πεισθέντες ὡμολόγησαν τὴν σωτηρίαν δι' ἐγγράφων αὐτῆς λιβέλλων· καὶ ἑδαμῶς εἴασε Χριστὸς ὁ Θεὸς ἡμῶν, ἡ πέτρα ἐν ᾗ ἐστηριγμένοι ἐσμέν, τὸν ἄνωθεν ὑφαντὸν διόλου χιτῶνα, εἰπὼν τὴν παρ' αὐτοῦ καὶ ἐπ' αὐτὸν οἰκοδομηθεῖσαν ἐκκλησίαν αὐτοῦ διεχισμένην καὶ διεῤῥηγμένην, καὶ τὰ μέλλοντα ἄλλοτε ἄλλως κινήσειν. ἀλλὰ ταῖς παλαιαῖς αἱρέσεσι καὶ τὴν πλάνην τῆς νεωτερικῆς φαυλότητος τῆς χειρο-

Ἰωάν. 14.

2. Κορίν. 12. Ἐφεσ. 2.

2. Θεσσ. 2.

Ἐφεσ. 1.

Ἰωάν. 7

Ἰωάν. 19.

σιανοκατηγόρων τῆς κατὰ τῶν σεπτῶν εἰκόνων λυττησάντων, τῷ λόγῳ τῆς χάριτος αὐτοῦ ἀνέξεψε, καὶ τῇ μαχαίρᾳ τὸ πνεῦμα ἐξεκόντησε. καὶ πεπληροφορήμεθα κατὰ πάντα, καὶ μᾶλλον πεῖρας αὐτῆς ἔγνωμεν, ὅτι ἰσχύει ὑπὲρ ἅπαντα ἡ ἀλήθεια, καὶ νικᾷ κατὰ τὴν ἀψευδῆ τοῦ εἰπόντος φωνήν. ἀντετάσετο δὲ αὐτῇ τὸν σύμπαντα ὅδον, καὶ ἔστιν δύσκλεέστερον, ὡς ἐξανίσασθαι παντὸς ἐχθροῦ, καὶ πῶν ἀνθεστηκότων αὐτῇ σαλεύει τὰς φάλαγγας. ἰδοὺ γὰρ ἰδοὺ τὰ μέλη τῶν ψευδηγορησάντων ἤργησε χεῖλη, καὶ πέπαυται τῆς ἐκπόρου δυσφημίας ἡ ἀχλύς. ἀνέλαμψε δὲ τῶν τῆς ἀληθείας δογμάτων τὸ κάλλος, πανταχόθεν τῆς αἱρετικῆς δυσφημίας ἐκβεβλημένης· καὶ ἡ ἐκκλησία τὸν ἴδιον ἐκληρώσατο κόσμον, καὶ ἔλαβεν ἀνάπαυσιν ἐκ πῶν σωρεχόντων πόνων. ἄσεως γὰρ ἐστι καὶ ἀκαταμάχητος, ἧς πύλαι ᾅδου καὶ ἀπιστίας οὐ κατισχύσαι ποτὲ δυνήσονται, ὡς ἐκ τῆς κυριακῆς φωνῆς ἠκούσαμεν. καὶ ἐπληρώθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως· καὶ ἐγκαινίζομεν ἐφραινόμενοι ἐν τῇ ἐκκλησίᾳ ἣν προκαθεζόμεθα κατὰ Θεὸν βάλησιν. ταῦτα δὲ γεγόνασι, Χριστοῦ τοῦ ἐπὶ πάντων ἡμῶν Θεοῦ εὐδοκήσαντος. σὺν τῶν ὀρθοδόξων καὶ ἀνδρειοτάτων ἡμῶν βασιλέων. αὐτοὶ γὰρ κατὰ παντὸς τόπου τὰς σεπτὰς εἰκόνας ἀνέστησαν, εἴτε σεβασμίοις ναοῖς, καὶ ἐν ταῖς αὐλαῖς τῶν βασιλείων αὐτῶν· αἷς κύριος ὁ Θεὸς τὴν ἀντίδοσιν παράσχοι, ὑψῶν τὸ κέρας τῆς βασιλείας αὐτῶν πρός τε ἐρρύσιν τῶν ἐκκλησιῶν αὐτοῦ, καὶ σωτηρίαν ἡμῶν τῶν Χριστιανῶν. εἰη τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Ματθ. 15

Ψαλ. 125.

ΤΩ ΤΑ ΠΑΝΤΑ ΑΓΙΩΤΑΤΩ ΚΑΙ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ, κυρίῳ Ἀδριανῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης, Ταράσιος ἀνάξιος ἐπίσκοπος Κωνσταντινουπόλεως ἐν κυρίῳ χαίρειν.

ΠΟλυμερῶς καὶ πολυτρόπως, εὐαγγελικῶς, ἀποστολικῶς τε καὶ πατρικῶς διδασκόμεθα ἀφιλάργυρον τρόπον ἔχειν ἐν τῇ τῆς ἱερωσύνης ἁγιστείᾳ, καὶ μὴ χρυσίζεσθαι ἢ ἀργυρίζεσθαι ἢ σφετερίζεσθαι ἐπὶ χειροτονίᾳ παντὸς ἱερατικοῦ ἀνδρός, ὡς ἐπιδείξομεν ἐν ταῖς καθυποτεταγμέναις χρήσεσιν ἀπό τε γραφικῶν θεηγορικῶν καὶ πατρικῶν διδασκαλιῶν. οἱ γὰρ ἐπιτιθέντες τὰς χεῖρας, ὑπηρέται τοῦ πνεύματός εἰσιν ἐχὶ πράται τοῦ πνεύματος. δωρεὰν γὰρ λαβόντες τὴν χάριν τοῦ πνεύματος, δωρεὰν δίδοσθαι τοῖς παρ' αὐτῶν μεταλαμβάνουσιν ἀπεφοίβαντο, ἐκ τῆς κυριακῆς φωνῆς ταύτην τὴν ἐλευθεριότητα εἰληφότες. εἰ δέ τις ἐλεγθείη χρυσίῳ ταύτην ὠνησάμενος, ἀποκήρυκτον διαγορεύσει τὸν τοιοῦτον τῆς ἱερατικῆς * τάξεως. εἰ γὰρ καὶ ὀνόματι τῇ ἱερωσύνῃ κεκλήρωται, ἀλλ' ἔν ἔργοις ἀρνεῖται ὁ λόγος ἐπὶ τῷ πράγματι. οὐδεὶς γὰρ Θεῷ δουλεύειν δύναται καὶ μαμμωνᾷ, ὡς εὐαγγελικῶς ἐμάθομεν. καὶ ἐπεὶ ἠκούσαμεν προφητικῶς τοῦ Θεοῦ βοῶντος· ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ· Ἡσαΐ. 40.
αὐθίς τε ἐπαπειλούμενος καὶ λέγοντος· ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχήν, τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω· φόβον τοῦ τῆς σιωπῆς καταχρίματος ἀναγγέλλομεν τοῖς προέδροις πᾶσι τῆς καθ' ἡμᾶς ἐκκλησιῶν, ἵνα μὴ παῤῥησίας κατὰ τὸν θεῖον ἀπόστολον εἴπωμεν. καθαροὶ ἐσμεν ἀπὸ τοῦ αἵματος τῶν παραβαινόντων τὰς κανονικὰς διατάξεις, καὶ πάνυ μᾶλλον τῆς ἐπὶ χρήμασιν ἢ χειροτονησάντων ἢ χειροτονηθέντων, Πέτρου τοῦ θείου ἀποστόλου, ὃν ἐν τῷ καθέδραν ἐκληρώσατο ἡ ἀδελφικὴ ὑμῶν ἁγιότης, ὡς Σίμωνα τὸν μάγον τότε καθελόντος. τούτου σύνεσιν οὐκ ἐκκλινοῦμεν τοῦ ἀγγέλλειν τῷ ἀληθείαν, φυλάττοντες καὶ κρατοῦντες τὰ παρὰ τῶν ἁγίων καὶ πανσόφων ἀποστόλων, καὶ τῶν ἀοιδίμων πατέρων ἡμῶν κανονικῶς ἐκδοθέντα· καὶ εἴτι τούτων παρεβάθη ὑπό τινων, βδελυττόμεθα. ἡ δὲ ἀδελφικὴ ὑμῶν ἀρχιεροσύνη ἁγιωσύνη ἐνθέσμως καὶ κατὰ Θεὸν βάλησιν στηριγμὸν ἐνδοῦσα τῇ ἱεραρχικῇ ἁγιστείᾳ, δοξαζόντων ἔχει τὴν δόξαν. εἴρηκε γὰρ ὁ τῶν τοῦ καὶ μέγας ἀρχιερεὺς Χριστὸς ὁ Θεὸς ἡμῶν· ζῶ ἐγώ, λέγει κύριος, καὶ τοὺς δοξάζοντάς με δοξάσω· οἶδας γὰρ ἄνερ ἐπιθυμιῶν τὸ πνεῦμα τοῦ, ὅτι φορητότερα μᾶλλόν ἐστι Μακεδονίου καὶ τῶν ἀμφ' αὐτὸν πνευματομάχων ἡ δυσεβὴς αἵρεσις. ἐκείνων γὰρ κτίσμα καὶ δοῦλον τοῦ Θεοῦ καὶ παρὸς τὸ ἅγιον πνεῦμα ληρωδούντων, ὅτοι ἑαυτοῖς, ὡς δοκοῦσι, δοῦλον αὐτὸ ποιοῦσι. πᾶς γὰρ δεσπότης ὅ, τι ἂ ἔχοι, εἰ βούλοιτο, ποιήσειε, εἴτε οἰκέτιν, εἴτε ἕτερον ὧν κέκτηται· ὡσαύτως καὶ ὁ ἀγοράζων, δεσπότης βουλόμενος εἶναι τοῦ ἠγορασμένου, διὰ τιμῆς ἀργυρίου τοῦτο κτᾶται, ὅτως οἱ ταύτην τὴν ἄθεσμον πρᾶξιν ἐργαζόμενοι, καταβιβάζουσι τὸ πνεῦμα τὸ ἅγιον. ἴσα ἁμαρτάνοντες τοῖς βλασφημοῦσιν, ὃν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια τὸν Χριστόν· ἢ τόγε ἀληθέστερον εἰπεῖν, παρεοίκασιν Ἰούδα τῷ προδότῃ, ὃς τοῖς θεοκτόνοις Ἰουδαίοις τιμῆς ἀργυρίου Χριστὸν ἀπεμπολήσατο. ὡς οὖν τὸ ἅγιον πνεῦμα ὁμοούσιόν ἐστι Χριστῷ τῷ Θεῷ ἡμῶν, τῆς αὐτῆς παντί που δῆλον ἔσονται μερίδος, ὡς ἀποδέδεικται· εἰ δὲ ἀπεμπόλησεται. προδηλον γὰρ ὡδαμῶς· ἀναμφιλέκτως ἐκ ἔστιν ἐν αὐτοῖς ἡ χάρις τοῦ ἁγίου πνεύματος, εἴτουν ἡ τῆς ἱερωσύνης ἁγιστεία. καὶ ὃ οὐκ ἔλαβον, οὐδὲ ἔχουσι. μνηθήτωσαν τοῦ ἁγίου Πέτρου πρὸς τὸν τοῦτο ἐπιτηδήσαντα ὅτωσι λέγοντος· οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. εἰ γὰρ ἀπεμπολεῖται ἡ τῆς ἱερωσύνης ἀξία, ἆρα περιττὴ παρ' αὐτοῖς ἡ κατὰ τὸν βίον σεμνὴ πολιτεία, καὶ ἡ ἐν ἁγνείᾳ καὶ ἀρετῇ ἀναστροφή. περιττὸς κατ' αὐτοὺς καὶ Παῦλος ὁ θεῖος ἀπόστολος διδάσ-

Ἰσαΐ. 33.

Πράξ. 20.

Πράξ. 8.

Λουκ. 15.

* ἀξίας.

Ματθ. 6.

κων, δεῖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι,
τιμόθ. 3. τιτ. 1. σώφρονα, κόσμιον, διδακτικὸν, ἐγκρατῆ, νιφάλιον, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. οἴχεται τοίνυν ταῦτα πάντα ἐκ τοῦ πράτου καὶ ἀγοραστοῦ τῆς ἱερωσύνης. αἱ οὖν ὑποκείμεναι ἁγιόλεκτοι χρήσεις ἀλλότριον πάντῃ τῆς ἱερωσύνης ἀποφαίνονται τὸν ποτὲ δόντα ἢ λαβόντα ἐν οἱῳδήποτε χρόνῳ, εἴτε καὶ πρὸ τῆς χειροτονίας, εἴτε καὶ ἐν τῇ χειροτονίᾳ, ἢ καὶ μετὰ τὴν χειροτονίαν. λαβεῖν γάρ ἐστι, τὸ λαβεῖν ὁτεδήποτε. ἀλλὰ καὶ πάσας ἐκκλησιαστικὰς προβολὰς ἀφαιροῦσιν ἐπὶ τῇ τῶν χρημάσι δόσει.

Κανὼν τῶν ἁγίων ἀποστόλων κθ'.

Εἴ τις ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς καὶ ὁ χειροτονήσας. καὶ ἐκκοπτέσθω παντάπασι καὶ τῆς κοινωνίας, ὡς Σίμων ὁ μάγος ὑπ' ἐμοῦ Πέτρου.

Εκ τῶν πράξεων τῶν ἁγίων ἀποστόλων.

Ιδὼν δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως
Κεφ. 8. τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων, δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον. Πέτρος δὲ εἶπε πρὸς αὐτόν. τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ κυρίου, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶσε ὄντα.

Εκ τῆς τρίτης τῶν βασιλειῶν.

Κεφ. 13. Καὶ οὐκ ἐπέστρεψεν Ιεροβοὰμ ἀπὸ τῆς κακίας αὐτοῦ· καὶ ἐπέστρεψε, καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν. ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγίνετο ἱερεὺς εἰς τὰ ὑψηλά. καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ Ιεροβοὰμ, καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς.

Εκ τῆς δ'. τῶν βασιλειῶν, περὶ τῆς λέπρας Γιεζῆ.

Κεφ. 5. Καὶ ἐπέστρεψε Νεεμὰν πρὸς Ελισσαιὲ αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ. καὶ ἦλθε, καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ εἶπεν· ἰδοὺ δὴ ἔγνωκα, ὅτι οὐκ ἔστι Θεὸς ἐν πάσῃ τῇ γῇ, ἀλλ' ἢ ἐν τῷ Ισραήλ. καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. καὶ εἶπεν Ελισσαιέ. ζῆ κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ λήψομαι. καὶ παρεβιάσατο αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. καὶ μετ' ὀλίγα· καὶ εἶπε Γιεζῆ τὸ παιδάριον Ελισσαιέ. ἰδοὺ ἐφείσατο ὁ κύριός μου τοῦ Νεεμὰν τοῦ Σύρου, τοῦ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ὧν ἐνήνοχε. ζῆ κύριος, εἰ μὴ δράμωμαι ὀπίσω αὐτοῦ, καὶ λήψωμαι παρ' αὐτοῦ τι. καὶ ἐδίωξε Γιεζῆ ὀπίσω Νεεμάν. καὶ μετὰ βραχέα. καὶ εἶπε Νεεμάν. λάβε δὴ τάλαντον ἀργυρίου· καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλακίοις, καὶ δύο ἀλλασσομένας στολάς. καὶ μεθ' ἕτερα· καὶ εἶπε πρὸς αὐτὸν Ελισσαιέ. πόθεν Γιεζῆ; καὶ εἶπε Γιεζῆ· οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα. καὶ εἶπε πρὸς αὐτὸν Ελισσαιέ. οὐχὶ ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ, καὶ οἶδα, ὅτε ἀπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος εἰς συνάντησίν σου; καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ νῦν ἔλαβες καὶ τὰ ἱμάτια· καὶ λήψῃ ἐν αὐτῷ κήπους, καὶ ἐλαιῶνα, καὶ ἀμπελῶνα, καὶ πρόβατα, καὶ βόας, καὶ παῖδας, καὶ παιδίσκας· καὶ ἡ λέπρα Νεεμὰν κολληθήσεται ἐν σοί, καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἐκ τοῦ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

Τοῦ ἁγίου Βασιλείου ἐκ τῆς εἰς τὸν Ησαΐαν ἑρμηνείας.

Ἐν Κεφ. 8.

Νόμον ἔδωκεν εἰς βοήθειαν, ἵνα εἴπωσιν, οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. οὗτος δὲ ὁ νόμος οὐκ ἔστιν ὡς τὸ ῥῆμα τοῦτο τοῦ ἐγγαστριμύθου, οὐ γὰρ πρὸς ἀπάτην ἐπινενόηται, ὥσπερ ἐκεῖνα, ἀλλὰ ἀληθείας ἐστὶ διδάσκαλος. κἀκεῖνοι μὲν ἐπ' ἀργυρίῳ μαντεύονται. τοῦτο γάρ ἐστι τὸ καταγέλαστον, ὅτι ἀργύριον αὐτοῖς τελοῦσι μισθὸν τοῦ ψεύδους οἱ ἀπατώμενοι. τοῦτο δὲ τὸ ῥῆμα, τουτέστι τοῦ νόμου, οὐκ ἔστι τοιοῦτον, ὥστε δῶρα δοῦναι περὶ αὐτοῦ. οὐδεὶς γὰρ τὴν χάριν τοῦ Θεοῦ Ματθ. 10.
ἀποδίδοται, δωρεὰν, φησὶν, ἐλάβετε, δωρεὰν δότε. ὁρᾶς πῶς ἠγανάκτησε Πέτρος ἐπὶ τῷ Σίμωνι ἀργύριον ὑπὲρ τῆς τοῦ πνεύματος χά- Πράξ. 8.
ριτος προσκομίσαντι; τὸ ἀργύριόν σου, φησὶ. σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι ἐνόμισας τὴν δωρεὰν τοῦ Θεοῦ διὰ χρημάτων κτᾶσθαι· οὐκ ἔστιν οὖν ὁ τοῦ εὐαγγελίου λόγος ὡς τὰ πωλούμενα ῥήματα τῶν ἐγγαστριμύθων. τί γὰρ ἄν τις δοίη ἄξιον αὐτῶν ἀντάλλαγμα; ἄκουε τοῦ Δαβὶδ ἀποροῦντος καὶ λέγοντος· τί ἀνταποδώσω Ψαλ. 115.
τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; οὐκ ἔστιν οὖν δῶρα δοῦναι περὶ τούτου ἀντάξια τῆς ἀπ' αὐτοῦ χάριτος. ἓν δῶρον ἄξιον, ἡ φυλακὴ τοῦ δωρηθέντος. ὁ δούς σοι τὸν θησαυσὸν, οὐχὶ τιμὴν ἀπαιτεῖ τοῦ δοθέντος, ἀλλὰ φυλακὴν ἀξίαν τοῦ δεδομένου.

Τῶ αὐτῶ ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς τὸς ὑφ' ἑαυτὸν ἐπισκόπους, ὥστε μὴ χειροτονεῖν ἐπὶ χρήμασιν.

Νομίζομεν μὴ ἁμαρτάνειν, τῷ μὴ ἅμα προσλαμβάνειν, ἀλλὰ μετὰ τὴν χειροτονίαν λαμβάνειν. λαβεῖν δέ ἐστιν ὁτεδήποτε τὸ λαβεῖν. παρακαλῶ οὖν, ταύτην τὴν πρόσοδον, μᾶλλον δὲ τὴν προσαγωγὴν τὴν ἐπὶ γέενναν ἀποθέσθε, καὶ μὴ τὰς χεῖρας μολύνοντες τοιούτοις λήμμασιν, ἑαυτὸς ἀναξίους ποιήσατε τῶ ἐπιτελεῖν ἅγια μυστήρια.

Ἐκ τοῦ βίου τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου.

Προσῆλθεν ὁ τῆς μακρηγορίας ἡμῖν αἴτιος τοῖς ἐπισκόποις πᾶσιν Εὐσέβιος ὁ κατήγορος τῆς ἐξ λοιπῶν ἐπισκόπων, ἀξιῶν δεχθῆναι εἰς κοινωνίαν. προσαντιλέγουσί τινες τῆς ἐπισκόπων, μὴ δεῖν αὐτὸν δεχθῆναι ὡς συκοφάντην. ἐαὶ τούτοις ἱκέτευε λέγων. ἐπειδὴ ἡ δίκη τὸ πλεῖσον μέρος ἐπὶ ἔτη δύο ἐβασανίσθη, εἰς μάρτυρας δὲ γεγράπται ἡ * ὑπόθεσις, δέομαι τῆς ὑμετέρας θεοφιλίας, σήμερον παρ' αὐτὰ δοῆναί με τὸς μάρτυρας. εἰ γὰρ καὶ Ἀντωνῖνος τετελεύτηκεν ὁ ἐπίσκοπος, ὁ λαβὼν τὸ χρυσίον καὶ χειροτονήσας, ἀλλ' οὖν γε μάρτυσιν οἱ δεδωκότες καὶ χειροτονηθέντες, ἐδικαίωσεν ἡ παροῦσα σύνοδος ζητηθῆναι τὸ πρᾶγμα. ἄρχεται ἡ ὑπόθεσις ἐξ ἀναγνώσματος τῆς πρώην πραχθέντων ὑπομνημάτων. εἰσῆλθον οἱ μάρτυρες, εἰσῆλθον καὶ οἱ ἐξ τῆς δεδωκότων καὶ χειροτονηθέντων. ἐν ἀρχῆ ἠρνοῦντο. ἐπιμενόντων δὲ τῆς μαρτύρων, τῆς μὲν λαϊκῶν, τῆς δὲ πρεσβυτέρων, οἷς ἔδοξαν τεθαρρηκέναι. τινῶν δὲ καὶ γυναικῶν· καὶ τὰ εἴδη τῆς ἐνεχύρων λεγόντων, τὸς τόπους, καὶ τὸς καιρὸς, καὶ τὴν ποσότητα, οὐ πάνυ καλῶς αὐτῆς ἐξακειμένης τῆς συνειδήσεως, αὐθαίρετοι ὁμολογοῦσι δίχα πολλῆς ἀνάγκης· ὅτι δεδώκαμεν, ὁμολογοῦμεν, καὶ γεγόναμεν τοιαύτην νομίσαντες ἀκολουθίαν εἶναι, ἵνα δόξωμεν τῆς βουλῆς τῆς δημοσίας ἐλευθερῶσθαι. καὶ νῦν δεόμεθα, εἰ μή ἐστιν ὅσιον ἡμᾶς εἶναι ἐν τῆ λειτουργία τῆς ἐκκλησίας· ἐπεὶ κἂν τὸ χρυσίον ὃ δεδώκαμεν, ἵνα λάβωμεν. τῆς γὰρ γυναικῶν ἡμῶν δεδώκαμέν τινα σκάφη. Ἰωάννης πρὸς ταῦτα ὑπέχετο τῆ συνόδῳ, ὅτι τῶ μὲν βουλευτηρίῳ ἐγὼ αὐτὸς συνθεῷ ἀποκαλλάσσω, ἀξιώσας τὸν βασιλέα. ὑμεῖς δὲ προσάξατε αὐτὸς λαβεῖν ἃ δεδώκασι παρὰ τῆς Ἀντωνίνου κληρονόμων. προσέταξεν ἡ σύνοδος, τὸ μὲν χρυσίον αὐτὸς λαβεῖν παρὰ τῶν κληρονόμων Ἀντωνίνης, κοινωνεῖν δὲ οὐδὲν τοῦ θυσιαστηρίου. εἶναι δὲ ἀπὸ ἱερέων. ἵνα μὴ τούτων συγχωρηθέντων, ἔθος γένηται Ἰουδαϊκὸν ἢ Αἰγύπτιον τῶ πωλεῖν καὶ ἀγοράζειν τὴν ἱερωσύνην. φασὶ γὰρ τὸν λυμεῶνα καὶ ψευδώνυμον πατριάρχην τῶν Ἰουδαίων κατ' ἔτος ἀμείβειν, ἢ καὶ παρ' ἕτερος τὸς ἀρχισυναγώγους, ἑαυτὶ συλλογῆ τῶ ἀργυρίῳ. ὁμοίως καὶ τὸν ζηλωτὴν τούτων τῶν Αἰγυπτίων πατριάρχην· ἵνα πληρωθῆ τὸ προφητικόν. οἱ ἱερεῖς αὐτῆς μισθῶν ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῆς μισθοῦ ἀργυρίου ἐμαντεύοντο. μιχαί. 3.

Ἐκ τῶν κανόνων τῶν ἑξακοσίων ἑξήκοντα ἁγίων πατέρων τῶν ἐν Χαλκηδόνι συνελθόντων, κανὼν δεύτερος.

Εἴ τις ἐπίσκοπος ἐπὶ χρήμασι χειροτονίαν ποιήσαιτο, καὶ εἰς πρᾶσιν καταγάγη τὸ ἄπρατον χάρισμα, καὶ χειροτονήσῃ ἐπὶ χρήμασιν ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἕτερόν τινα τῶν ἐν τῶ κλήρῳ καταριθμουμένων, ἢ προβάλλοιτο ἐπὶ χρήμασιν οἰκονόμον, ἢ ἔκδικον, καὶ παραμονάριον, ἢ ὅλως τινὰ τὸν κανόνα, δι' αἰσχροκέρδειαν οἰκείαν· ὁ τοῦτο ἐπιχειρήσας, ἐλεγχθεὶς κινδυνευέτω περὶ τὸν οἰκεῖον βαθμόν· καὶ ὁ χειροτονούμενος μηδὲν ἐκ τῆς κατ' ἐμπορίαν ὠφελείσθω χειροτονίας ἢ προβολῆς, ἀλλ' ἔστω ἀλλότριος τῆς ἀξίας ἢ τὸ φρονήσματος, ὅπερ ἐπὶ χρήμασιν ἔτυχεν. εἰ δέ τις καὶ μεσιτεύων φανείη τοῖς ὅπως αἰσχροῖς καὶ ἀθεμίτοις λήμμασι, καὶ ὅτος εἰ μὲν κληρικὸς εἴη, τῶ οἰκείῳ ἐκπιπτέτω βαθμῶ· εἰ δὲ λαϊκὸς ἢ μοναζων, ἀναθεματιζέσθω.

Ἐκ τῆς ἐγκυκλίου ἐπιστολῆς Γεννα δίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, καὶ τῆς συνόδου αὐτῷ συνόδου.

Ἔσω τοίνυν καὶ ἔστιν ἀποκήρυκτος, καὶ πάσης ἱερατικῆς ἀξίας τε καὶ λειτουργίας ἀλλότριος, καὶ τῆ κατάρᾳ τοῦ ἀναθέματος ὑποκείμενος, ὃς, τε κτᾶσθαι ταύτην παρέχειν ἐπὶ χρήμασιν ὑπισχνούμενος, εἴτε κληρικὸς, εἴτε λαϊκὸς εἴη. κἂν ἐλέγχοιτο, κἂν μὴ ἐλέγχοιτο τοῦτο ποιεῖν. οὐ γὰρ οἷόντε συμβιβασθῆναί ποτε τὰ ἀσύμβατα, οὐδὲ Θεῷ συμφωνῆσαι τὸν μαμμωνᾶν, ἢ τοὺς τούτῳ δουλεύοντας δουλεῦσαι Θεῷ. δεσποτικὴ αὕτη ἐστὶν ἀπόφασις ἀναμφίλεκτος, οὐ δύνασθαι Θεῷ δουλεύειν καὶ μαμμωνᾷ. Ματθ. 6. Λουκ. 16.

Ἐκ τῶν κανόνων τῆς ἁγίας ἕκτης συνόδου, κανὼν κϚ'.

Τὸς ἐπὶ χρήμασι χειροτονουμένους, εἴτε ἐπισκόπους, ἢ οἱασδήποτε κληρικὸς, καὶ ὁ κατὰ δοκιμασίαν τοῦ βίου αἵρεσιν, καθαιρεῖσθαι προσάσομεν· ἀλλὰ καὶ τὸς χειροτονήσαντας ἀκύρωσομεν ταῦτα πάντα, καὶ ἀνωτισώμεθα, οὐ μόνον ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ οἱ τῶ κλήρῳ καταριθμημένοι, ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες τὸν οἰκουμένην. δεῖ γὰρ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν ὅτι ὁ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἠγοράσθημεν 1. Πέτρ. 1.

* ὑπέρεσις

μῳ ἐκ τῆς ματαίας παζοπαραδότυ ἀναστροφῆς, ἀλλὰ τιμίῳ αἵματι ἀμνοῦ ἀμώμυ καὶ ἀσπίλου Γησοῦ Χριστοῦ. ὅτως ἡμᾶς δίδαξον ἄνερ ἱερώτατε, ἕπεσθαι τοῖς γραφικοῖς καὶ ἀγγελικοῖς ἀποστολικοῖς, κανονικοῖς τε καὶ παζικοῖς παραγγέλμασι. πειθόμεθα γὰρ τοῖς ῥήμασι τοῦ στόματος ὑμῶν. ἐπὶ τῆς ὑψηλῶν ἀνάβηθι, ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν συ· πορεύθητι ἐν πλατυσμῷ· κήρυζον μετὰ παῤῥησίας, ὅπως ἐξαρθῇ καὶ εἰς ἀφανισμὸν οἰχήσηται ἡ δόλια χρημάτων χειροθεσία, καὶ πᾶν ἔτι ταύτῃ διὰ φιλαργυρίαν, ἀδικίαντε καὶ ἐμπορίαν αἰσχροκερδῶς παρέπεται. ταύτης γὰρ μετὰ τῆς συσοιχούντων αὐτῇ ἐξαιρεμβίης ἐκ τοῦ περισσοῦ λαοῦ, τοῦ τῷ ὀνόματι τοῦ Χριστοῦ κεκλημένου, καὶ δωρεὰν τυχόντος τῆς ἀπολυτρώσεως, πάντα τὰ τῇ κακίᾳ σωσεπόμενα μιάσματα προῤῥιζον σωεκτμηθήσονται, καὶ οἱ ἱερεῖς ὡς φοίνικι ἀνθήσουσι, Χριστοῦ δόωδίαν τοῖς σωζομένοις ἐμπνέοντες, καὶ τῇ ἐκκλησίᾳ ἐπινικίως προσάδοντες. περιελεύσεται ἐκ σοῦ τὰ ἀδικήματά σου. ἔτι τε καὶ τοὺς δρεπομένους γλυκάζοντες, πληθυόντές τε αὐτοὺς ἐν γήρᾳ πίονι, τῆς * μακαρίας ἐκείνης λέγω καὶ ἀκηράτου ζωῆς κληρονόμους ἀναδεικνύοντες.

* μοι καίωνος

ΤΩ͂Ι ΘΕΟΣΕΒΕΣΤΑ'ΤΩΙ καὶ δόλαβεσάτῳ συλλειτουργῷ, κυρίῳ Γωάννῃ πρεσβυτέρῳ καὶ ἡγουμένῳ καὶ ἀναχωρητῇ τῆς κοσμικῶν φροντίδων, Ταράσιος Κωνσταντινουπόλεως νέας Ῥώμης.

Ὁ Ἐκ θείων νομάτων τοῦ θείου πνεύματος ἀρδευθείς, καὶ τῇ ἐμπνεύσει τούτου καταυγασθείς Δαβὶδ ὁ ἐν βασιλεῦσι προφήτης, καὶ ἐν προφήταις βασιλεύς, ὑμνῶν ἔλεγε· καταρχὰς ἔγνων ἐκ τῆς μαρτυρίας σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. ἀψευδὴς τοῖς νοοῦσιν ἔχουσιν ἡ ὑμνῳδία αὕτη, καὶ βεβαία τοῖς αὐτὴν ᾄδουσιν. ἔφη γὰρ καὶ ὁ θεόπτης Μωϋσῆς περὶ πάσης γραφικῆς * θεηγορίας ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. οἱ ἓν ἑρμηνευτικῶς, καὶ οὐ παροδευτικῶς πᾶσι τοῖς γραφικοῖς καὶ παζικοῖς διδάγμασιν ἐγκύπτοντες, καὶ ληῒ ἀναγνώσει τούτων προσέχοντες, καὶ τὸν νοῦν ἑαυτῶν τῇ δόσεβείᾳ καὶ τῇ ἀληθείᾳ προσπηγνύντες, καὶ οὐ πρὸς τὸ ἴδιον θέλημα τοῦτο φέροντες, φωτίζονται θαυμασῶς, ἀπὸ ὀρέων αἰωνίων, καταυγαζόμενοι ὑπὸ τῆς δόαγγελικῶν καὶ ἀποστολικῶν ἐντολμάτων. ὅρη γὰρ ταῦτα ὁ ψαλμῳδὸς ὀνομάζει, ὅτι ἐν αὐτοῖς ἐμμελετῶντες καὶ ὁδεύοντες, πρὸς τὰ ὑράνια ἐπιβαίνομεν. αἰώνια δὲ, ὅτι οὐ πρόσφατα, οὐδὲ πρόσημερα ἀλλὰ πρὸ καταβολῆς κόσμου λελάλληται, εἰ καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκπεφώνηται παρὰ τῶν κηρύκων τοῦ δόαγγελικοῦ κηρύγματος. ἡμεῖς δὲ, ἄνερ ἐπιθυμιῶν, τῶν τοῦ πνεύματος, ὡς τῷ Θεῷ σε ἐκ νεότητος γινώσκοντες ἀνακείμεθον, τῆς καρδίας ἡμῶν ὀλίγα τενα κινήματί τε καὶ βουλήματα πρὸς ψυχικὴν δόθυμίαν ἀνατιθέμεθα. τὰ γὰρ πλείονα σιωπῇ τιμάσθω. πάντως συνηχήθη ὑμῖν περὶ τῆς σωσόδου τῆς γουμενίης δόδοκίᾳ Θεοῦ ἐν τῇ Νικαέων πόλει. εἰς ἣν σύνοδον ἡμεῖς τε καὶ ἱερομύσαι ἄνδρες τοποτηρηταὶ τοῦ τε πάπα τῆς πρεσβυτέρας Ῥώμης καὶ τῆς τῆς ἀνατολῆς ἀγιωτάτων ἀρχιερέων σωήλθομεν, καὶ θεοφιλεῖς ἐπίσκοποι πλεῖστοι κατὰ πρόσταξιν τῆς δόσεβῶν βασιλέων ἡμῶν· ὡσαύτως καὶ δόλαβεῖς ἀρχιμανδεῖται καὶ ἡγούμενοι, καὶ πληθὺς μοναχῶν. καὶ ἤδη πολλῶν μεταξὺ ἡμῶν λαληθέντων, τὸ ἀληθὲς καὶ ἀρεστὸν τῷ Θεῷ ἐκείθη. καὶ κατὰ τὴν ἀρχαίαν θεσμοθεσίαν τῶν ἁγίων πατέρων ἡμῶν ἡ ἐκκλησία ἀπέλαβε τὴν τῶν εἰκόνων ἀναζωγράφησίν τε καὶ σηλογραφίαν, πρὸς ἀναγωγὴν καὶ ὑπόμνησιν τοῦ καθ' ἡμᾶς νοός, καὶ μετοχὴν τῶν ἁγιασμῶν. ἔτι γὰρ τὸ ἄγιον δόαγγέλιον διὰ τῆς ἀναγνώσεως σημαίνει ἡμῖν, τὸ αὐτὸ καὶ αἱ εἰκόνες· καὶ ἔτι αἱ μαρτυρικαὶ βίβλοι διηγοῦνται περὶ τῶν παθημάτων τῶν μαρτύρων, ὁμοίως καὶ αἱ εἰκόνες· καὶ ταύτας ἀσπαζόμεθα ὡς ἐκτυπώματα τῶν πρωτοτύπων ὄντα, καὶ οὐδὲν ἕτερον· πρόδηλον πιστεύοντες εἰς σῶα Θεὸν ἐν ζιάδι ἀνυμνήμονον, καὶ αὐτῷ μόνῳ λατρεύοντες. ἐξαιτούμεθα δὲ καὶ τὰς πρεσβείας τῆς ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου, ἁγίων τε ἀγγέλων, καὶ πάντων τῶν ἁγίων καὶ ὁσίων πατέρων ἡμῶν. τούτων ὅτως ὄντων, ἐνεκάλεσαν τῇ σωσόδῳ τὸ πλέον μέρος τῶν δόλαβῶν μοναχῶν. καὶ ἡμεῖς δὲ προεγινώσκομεν τὴν ἔγκλησιν ταύτην· ὅτι οἱ πλείονες τῶν ἐπισκόπων χρήμασιν ὠνήσαντο τὴν ἱερωσύνην· καὶ κἂν ἁμαρτίαις ἡμετέραις περιπειρώμεθα, καὶ σειραῖς τούτων συσφιγγώμεθα, ἐφ' αἷς ἵλεως ἡμῖν γένοιτο κύριος· ἀλλ' ἓν τῶν δόαγγελικῶν ἐντολμάτων καὶ κανονικῶν διατάξεων τὴν γνῶσιν εἰληφαμεν, καὶ ἐν καθαρῷ συνειδότι, καὶ ἁπλῇ καρδίᾳ, καὶ ἀφιλαργύρῳ τρόπῳ, καὶ ἐν συνειδήσει ἀνεπτερωμένῃ πρὸς τὸν Θεὸν, τῇ κανονικῇ καὶ δόαγγελικῇ διατίζει κατὰ πάντα ἕπεσθαι δόχόμεθα· καὶ καθήκαμεν ἑαυτοὺς καὶ ὑπεκλίναμεν δουλοῦσθαι τοῖς δόαγγελικοῖς καὶ ἀποστολικοῖς πατρικοῖς παραγγέλμασιν· ἀγωνιζόμενοι καὶ τὰς τῆς ἱερωσύνης κληρωσαμένους ὅτως ἀναστρέφεσθαι καὶ βιοῦν καὶ πολιτεύεσθαι, ἀλλὰ καὶ πάντας τοὺς τῷ Χριστοῦ ὀνόματι κεκλημένους. εἰ δέτινες ἀπειθοῦσι τοῖς ἐντάλμασι τούτοις, κοινωνοὶ τῶν λοιπῶν λεγομένων ἱερέων, οὐκ ὄντων δὲ, εἶναι οὐκ ἀνέχομαι· ἀλλὰ ἀλλότριος τῆς τούτων εἰμὶ μερίδος. καὶ ἐμοὶ διαμαρτύρασθαι ταῦτα οὐκ ὀκνηρὸν, αὐτοῖς δὲ ἀσφαλές. οἱ ἓν θεῖοι κανόνες τὸν δόντι ἢ λαβόντι ἐπὶ χειροτονίᾳ ἱερωσύνης καθαιροῦσι καὶ ἀποδιώκουσι τῆς ἱερατικῆς ἁγιότητος. ὁ θεόπτης Μωϋσῆς, ὡς ἔφθην εἰπών, βοᾷ· ἐπ' αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. ὡσαύτως καὶ ὁ ὑμνογράφος Δαβὶδ ψάλλει, καὶ ἡμεῖς σὺν αὐτῷ· καταρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά· καὶ τίς ἱκανὸς πρὸς ταῦτα ἀντιστῆναι; εἰ μήπω μωραίνῃ τὴν διάνοιαν, καὶ παίζειν ἐθέλῃ

Ψαλ. 118.

* θεολογίας

Δευτερ. 34.

Δευτ. 4. 12.

Ψαλ. 75.

Δευτ. 4. 12.

Ψαλ. 118.

ροις σου εὐχαῖς μιμνήσκεσθαι ἡμῶν, ὅπως ῥυσθῶμεν ἐκ τῶν κύκλῳ συνεπιτιθεμένων κακῶν. εἰσὶ γὰρ καὶ ἔσωθεν καὶ ἔξωθεν ἐπαναστάσεις, ἐξ ὧν διὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἐῤῥύσθημεν, καὶ ῥυσθῆναι ἐλπίζομεν, καὶ ἀπὸ τοῦ παρόντος, φυλαττομένης τῆς ψυχῆς ἡμῶν ἀπαρατρώτου. οὐδεὶς γὰρ ἤλπισεν ἐπὶ κύριον, καὶ κατῃσχύνθη. λέγομεν οὖν καὶ πάλιν, εὔχου ἡμῖν ἄνερ φίλε Θεοῦ καὶ ἡμέτερε, ἀλλὰ καὶ πάτερ. οἴδαμεν γὰρ, ὅτι στοργῇ τέκνου πρὸς ἡμᾶς διάκεισαι. καὶ ὁ Θεὸς τῆς εἰρήνης, ὁ τὰ μακρὰν καὶ τὰ ἐγγὺς εἰς ἑαυτὸν προσκαλεσάμενος, ἐν εἰρήνῃ τὴν ζωὴν διατηρήσαι πάντων ἡμῶν τῷ ὀνόματι αὐτοῦ κεκλημένων, πρεσβείαις καὶ εὐχαῖς τῆς ἀχράντου δεσποίνης ἡμῶν τῆς ἁγίας θεοτόκου, καὶ πάντων ἁγίων αὐτοῦ. Ἀμήν. * Πᾶσι δὲ τοῖς ἀδελφοῖς τοῖς καταντῶσιν εἰς ὑμᾶς ὡς ἐξ ἡμῶν προσαγορεύσοις, ἵνα καὶ αὐτοὶ μεθ' ἡμῶν εὔχωνται ἡμῖν.

* ἴσ. πάντας δὲ, &c.

Ἰησοῦς Χριστὸς Θεὸς Θεοῦ υἱός.

ΠΩ̃Σ ΔΕΓ ΝΟΕΓΝ ΤΟ'

ἀκοινώνητον ὄνομα τοῦ Θεοῦ, καὶ πᾶσαν προφητικὴν ῥῆσιν τὰ εἴδωλα στηλιτεύουσαν.

Ο Εἰς τρίτον οὐρανὸν βεβηκὼς, καὶ εἰσελθὼν εἰς τὸν παράδεισον, καὶ ἀκούσας ἄῤῥητα ῥήματα· ὁ ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ κηρύξας τὸ εὐαγγέλιον, Παῦλος ὁ θεῖος ἀπόστολος ἐλέγχων τὴν τῶν Ἑλλήνων δυσσεβῆ καὶ ματαίαν θρησκείαν, οὕτως φησίν· ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν· καὶ ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. κατὰ γοῦν τὴν διάνοιαν ταύτην ἐστὶν ἐννοῆσαι, ὅτι τὸ ἀκοινώνητον ὄνομα τοῦ Θεοῦ λίθοις καὶ ξύλοις περιέθηκαν. αὐτοὶ γὰρ τοῦτο πεποιήκασιν οἱ πάσης θεοσεβείας ἀλλότριοι. καὶ οἱ ἀποστατήσαντες τῶν Ἑβραίων παράφρονες. ἐμίγησαν γὰρ τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν· καὶ καταλιπόντες τὸν ἀόρατον καὶ ἀκατάληπτον καὶ δημιουργὸν τοῦ παντὸς Θεὸν ἡμῶν, δαίμοσιν ἔθυσαν, τῇ Βάαλ καὶ τῇ Ἀστάρτῃ, τῷ Χαμὼς, Ἀπόλλωνί τε καὶ τῷ Διΐ, Ἀρτέμιδί τε καὶ τῇ Ἀφροδίτῃ, Διονύσῳ τε καὶ Ἑρμῇ, καὶ ἑτέροις πλείστοις· καὶ τὰ τούτων εἴδωλα θεοὺς προσηγόρευσαν· ἀλλὰ καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν. διὸ ἔφη ὁ αὐτὸς ἀπόστολος· παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, κακίᾳ, πονηρίᾳ, πλεονεξίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος. ψιθυριστὰς, καταλάλους, θεοστυγεῖς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν.

2. Κορ. 12.

Ῥωμ. 15.

Ῥωμ. 1.

Τοὔνεκεν δέδωκεν ὁ Θεὸς διὰ Μωσέως νόμον, εἶτα προφήτας προκαταγγέλλοντας τὴν ἐπιφάνειαν τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἐλέγχοντάς τε, ἀπειλοῦντας, νουθετοῦντας, παρακαλοῦντας, τοῦ ἐπιστρέψαι τούτους εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ ἀφέντας τὴν κτίσιν λατρεῦσαι Θεῷ ζῶντι καὶ ἀληθινῷ, οὗ τινος τὸ ὄνομα οὐκ ἔχει κοινωνίαν πρὸς τὰ κτίσματα καὶ τὰ εἰδωλικὰ σεβάσματα· φησὶ γὰρ ὁ ἀπόστολος· τίς κοινωνίᾳ φωτὶ πρὸς σκότος; ἢ τίς συμφωνία Χριστῷ πρὸς Βελίαρ; ἀλλ' οὐκ ἴσχυσαν οὔτε νόμος, οὔτε προφῆται τούτους ἐπιστρέψαι· ἐπέμειναν γὰρ τῇ ἑαυτῶν ἀπωλείᾳ. ἦλθεν οὖν ὁ προφητευθεὶς, αὐτοῦ ὁ τοῦ Θεοῦ λόγος, συνάναρχος τῷ πατρὶ καὶ συναΐδιος, καὶ Θεὸς, σάρκα προσλαβόμενος ἐκ τῆς ἀχράντου θεοτόκου ἀειπαρθένου Μαρίας· καὶ γέγονε καθ' ἡμᾶς ἄνθρωπος πλὴν ἁμαρτίας, ἵνα ῥύσηται ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, καὶ ἐλευθερώσῃ ἐκ τῆς τοῦ διαβόλου δουλείας. πάντα τοίνυν τὰ τῆς οἰκονομίας αὐτοῦ πληρώσας μυστήρια, παθὼν σαρκὶ ἐν τῷ σταυρῷ, καὶ ταφεὶς, καὶ ἀναστὰς, καὶ ἀνελθὼν εἰς οὐρανοὺς, ὅθεν κατῆλθεν, ἠλευθέρωσεν ἡμᾶς ἀπὸ πάντων ἐκείνων τῶν μιασμάτων καὶ βδελυγμάτων, ἀποστείλας τοὺς ἁγίους μαθητὰς αὐτοῦ καὶ ἀποστόλους εἰς πάντα τὰ ἔθνη, λαβόντας δύναμιν ἐξ ὕψους, καθὼς αὐτοῖς ἐπηγγείλατο, τὸ πνεῦμα τὸ κύριον καὶ ζωοποιὸν, τὸ παντοδύναμον, τὸ ἐκ τοῦ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον. δι' οὗ γενόμενοι δυνατοὶ ἐν ἔργῳ, ἐλυτρώσαντο τὸ ἀνθρώπινον ἐκ τῆς ματαίας τῶν εἰδώλων λατρείας, διδάξαντες ἡμᾶς πιστεύειν εἰς ἕνα Θεὸν ἐν τριάδι ἀνυμνούμενον καὶ δοξαζόμενον, παραδόντες καὶ σύμβολα ἐν τῇ ἐκκλησίᾳ αὐτοί τε καὶ οἱ αὐτῶν διάδοχοι ἀοίδιμοι πατέρες ἡμῶν· ἃ κρατοῦντες οἱ Χριστιανοὶ, τόν τε τύπον τοῦ τιμίου σταυροῦ. ἅγιον εὐαγγέλιον διὰ γραφικῆς θεωρίας, καὶ σεπτὰς εἰκόνας δι' ἐξηγητικῆς ἀνατυπώσεως, καὶ ἕτερα πλεῖστα ἱερὰ ἀναθήματα· καὶ ταῦτα προσεγγίζοντες, καὶ σχετεκῶς προσκυνοῦντες καὶ ἀσπαζόμενοι, τοῦ ἁγιασμοῦ αὐτῶν μεταλαμβάνομεν. οὐ μὴν δὲ τούτοις ὡς θεοῖς προσῆλθον οἱ Χριστιανοὶ, καθάπερ οἱ Ἕλληνες τοῖς εἰδώλοις· ἄπαγε τῆς κατηγορίας· φλυναφήματα ταῦτα καὶ φλυαρίαι τῶν Εἰκονοκλαστῶν. διὸ καὶ ἀξίως χριστιανοκατήγοροι ὀνομάζονται. καὶ παράφρονες ὄντες, μάταια ἐλάλησαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησαν κακά· ὅτι τὰ κατὰ τῶν εἰδώλων διηγορευμένα παρά τε τοῦ θείου νόμου, καὶ τῶν προφητῶν, καὶ τῶν ἀποστόλων, εἰς τὰς εὐαγγελιστὰς στηλογραφίας κακῶς ἐξειλήφασι, στρέψαντες τὴν θείαν γραφὴν κατὰ τὰς ἰδίας ἐπιθυμίας. οὐδὲν ἕτερον ἐννοοῦντες, ἢ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξ ἐκείνων τῶν εἰδώλων οὐκ ἐῤῥύσατο ἡμᾶς, οὐδὲ ἔσωσεν ἡμᾶς. ὦ τῆς τούτων παραφροσύνης καὶ παραφορᾶς· ὅτι ἀνὰ μέσον ἁγίου καὶ βεβήλου οὐ διέστειλαν. τὴν εἰκόνα γὰρ τοῦ κυρίου καὶ τῶν ἁγίων αὐτοῦ ἴσα ταῖς εἰκόσι τῶν δαιμονίων ὠνόμασαν. φεῦ τῆς τούτων πονηρίας. οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδεισαν ἀπὸ τοῦ Θεοῦ. οἱ γὰρ Χριστιανοὶ ἕνα Θεὸν σέβοντες ἐν τριάδι ἀνυμνούμενοι, αὐτῷ μόνῳ

1. Κορ. 6.

Ψαλ. 11.

λη τὰ θεῖα. ἤδη γὰρ τεθεμελίωνται τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ἐρριζωμένα εἰσὶν ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ, κἂν προσκαίρως τινὲς ἀπειθοῦντες οὐ φυλάττωσιν αὐτά. ἐκεῖνα οὖν εἰς τὸν αἰῶνα μένουσι καὶ μακάριοι οἱ ἐξερευνῶντες αὐτὰ, καὶ τούτοις πειθόμενοι· καὶ οὐαὶ ἀπειθοῦσι. πᾶς οὖν ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἐλεγχθεὶς ἐπὶ χρήμασι τὴν χειροτονίαν, ἢ δοὺς ἢ λαβὼν, τῆς ἱερωσύνης ἐκπίπτει. ἴσως δέ τινες λέγουσιν, ὅτι μετανοοῦμεν ὑπὲρ τῆς ἁμαρτίας, καὶ ὁ Θεὸς συγχωρεῖ αὐτήν. ναὶ καὶ ἐγὼ λέγω, ὅτι πᾶσαν μετάνοιαν ὁ Θεὸς προσδέχεται, καὶ συγχωρεῖ διὰ μετανοίας τὰ προγεγονότα ἁμαρτήματα. οἶδα γὰρ καὶ Δαβὶδ μοιχεία συχεθέντα καὶ φόνῳ, ἀλλὰ μετανοήσαντα, δεχθέντα καὶ μαρτυρηθέντα. εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. καὶ τὰ ὅσια Δαβὶδ προφητικῶς μαρτυρούμενα, εὔδηλον διὰ μετανοίας τούτου διορθωσαμένου. ἀλλὰ πάλιν οἶδα ἀκούσαντα αὐτὸν παρὰ τοῦ Θεοῦ· οὐ σὺ οἰκοδομήσεις μοι οἶκον, ὅτι ἀνὴρ αἱμάτων εἶ. οἶδα Μανασσῆν δι' ἐξαγορεύσεως ἀφεθέντα τῆς ἀσεβείας. οἶδα καὶ πόρνας καὶ τελόνας δεχθέντας διὰ μετανοίας, οὐδέ τινα δὲ τούτων εἰς ἱερωσύνην ἀριθμηθέντα, εἰ μή που πρὸ τοῦ βαπτίσματος τοῦτο πέπραχεν. οἶδά τινας μοναχοὺς, ὅτε μὲν ἐν τῷ κόσμῳ ἦσαν, πορνεία συχεθέντας· μονάσαντας δὲ, ὡς φωστῆρας ἐν τῷ κόσμῳ λάμψαντας διὰ τοῦ ἀσκητικοῦ βίου· οὐδεία δὲ εἰς ἱερωσύνην ἐπιβάντα. εἰ δὲ καὶ σπάνιον γέγονεν, οὐ νόμος ἐκκλησίας τοῦτο, τὴν ὁσίαν Μαρίαν πόρνην τὸ πρότερον ἴσμεν, αὖθις δὲ σώφρονα, οὐ μὴν δὲ εἰς τὰς διακόνους καταλεγεῖσαν, ἁγίαν δὲ καὶ ἐξηρημένην παντὸς πονηροῦ πράγματος· καὶ τί ταῦτα λέγω, τὸν ἀληθῆ λόγον ἐπιστάμενος; παρὰ τῶν θείων ἀποστόλων μυηθεὶς, καὶ παρὰ τῶν αὐτοῖς ἀκολουθησάντων ἁγίων πατέρων ἡμῶν, πεπαρρησιασμένως βοῶ· ὅτι ὁ ἐπὶ χρήμασι χειροτονηθεὶς ἐπίσκοπος, ἢ πρεσβύτερος ἢ διάκονος, ἀλλότριός ἐστι τῆς ἱερωσύνης. οὐδὲ γὰρ ἡ τοῦ θείου πνεύματος χάρις πιπράσκεται. Καϊαφαϊκὸν τὸ ἐπιτήδευμα, Σιμωνιακὸν τὸ ἐγχείρημα, ἀλλότριον τῆς ἱερατικῆς ἁγιστείας. καὶ ἐπὶ πορνείᾳ εἰ ληφθῇ ποτέ τις μετὰ τὸ βάπτισμα, εἰς ἱερωσύνην οὐ προσεδέχθη· θεῖοι κανόνες τοῦτο διαγορεύουσιν. ἀλλ' εἰ καί τις εἰσήχθη εἰς τὴν ἱερωσύνην τοιοῦτόν τι πράξας, γνωσθεὶς ἐξεβλήθη. πάντα δὲ ἄνδρα τῇ μετανοίᾳ προσκαρτεροῦντα ἐπὶ ἁμαρτήμασι, τὴν ἀγαθότητα καὶ φιλανθρωπίαν τοῦ Θεοῦ γινώσκων, οἶδα λυτροῦσθαι τῆς ἁμαρτίας, καθὼς καὶ ἀνωτέρω ἀποδεδώκαμεν. καὶ ἀναθεματίζω Ναυάτον καὶ τὴν τούτου τὴν δυσσεβῆ αἵρεσιν ἐπισπωμένους, ὡς ἀθετοῦντας τὴν μετάνοιαν, καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ μὴ προσιεμένους. ὡσαύτως δὲ καὶ τὸν ἐπὶ χρήμασι χειροτονηθέντα ἐπίσκοπον μετανοοῦντα ὁμολογῶ προσδέχεσθαι· ἀγαθὸς γὰρ ὁ Θεὸς ἐπὶ πᾶσι, καὶ ἀνεῳγμένα τὰ σπλάγχνα αὐτοῦ ἐπὶ παντὶ ἀνθρώπῳ μετανοοῦντι· καὶ εἰς τὴν βασιλείαν αὐτοῦ τούτων εἰσάγει. ἀλλ' ἐπεὶ κατὰ τὸν ἀπόστολον ἱερεὺς ἀνεπίληπτος ὀφείλει εἶναι, ὁ ἐπὶ χρήμασι χειροτονήσας τινὰ, ἢ χειροτονηθεὶς ἐπ' αὐτοῖς, ἀλλότριός ἐστιν ἱερωσύνης, ὡς πάντες οἴδαμεν οἱ τῆς ἐκκλησίας τρόφιμοι, ἐκ κανονικῶν μαθημάτων παιδευθέντες. οὐκοῦν καλὴ καὶ ἀγαθὴ ἡ μετάνοια, καὶ πρὸς Θεὸν ἀνάγει, καὶ τῶν ἁμαρτημάτων λυτροῦται. καὐτὸς γὰρ ἐγὼ χρῄζω ἐλέους· οἶδα γὰρ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὅτι πάντα τὸν προσερχόμενον ἀποδέχεται. ἔφη γὰρ διὰ τοῦ προφήτου· λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. καὶ, εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἁμαρτίαν μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ, ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ. καὶ τὸν πορνεύσαντα Κορίνθιον οἶδα προσδεχθέντα παρὰ τῷ θείῳ ἀποστόλῳ Παύλῳ, οὐ μὴν δὲ εἰς ἱερωσύνην ἀναβιβασθέντα. εἰ γὰρ πατὴρ ἀποδημήσαντος υἱοῦ, καὶ τοῦτον ἀθετήσαντος, αὖθις δὲ ἐπανερχομένου, προσλαμβάνεται διὰ τὴν φυσικὴν στοργήν. πόσῳ μᾶλλον ὁ πατὴρ πάντων ἡμῶν Θεὸς πάντα μετανοοῦντα καὶ προσδέχεται καὶ ἀγκαλίζεται ὡς φιλάνθρωπος; οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. καθὰ καὶ ἠκούσαμεν ἐξ αὐτῆς τῆς κυριακῆς φωνῆς εὐαγγελικῶς παραβολὴν διηγουμένης περὶ τοῦ ἀσώτως τὸν βίον ζήσαντος, ὅτι μετανοήσαντος αὐτοῦ, παρὰ τοῦ ἐν οὐρανοῖς πατρὸς ἀπεδέχθη. χαίρει γὰρ ἐπὶ παντὶ ἁμαρτωλῷ μετανοοῦντι. μέγα ὅπλον ἡ μετάνοια, μεγάλη σωτηρίας ὁδὸς, πρόξενος οὐρανῶν βασιλείας, ἀφθάρτου ζωῆς ὁδηγὸς, μαρτυρικῶν ἀθλήσεων πάρισος, πρὸς Θεὸν ὁδηγοῦσα, καὶ σὺν Θεῷ εἶναι ποιοῦσα, τοῦ ἀνθρωπίνου γένους βακτηρία, πιπτόντων ἀνάστασις. μακάριοι οἱ ταύτην ἀσπαζόμενοι. οἱ ταύτῃ προσέχοντες μετὰ ἀγγέλων συνδιαιτῶνται· οἱ ταύτην ἀσκοῦντες ἐκκλίνουσιν ἀπὸ παντὸς κακοῦ, καὶ ποιοῦσιν ἀγαθόν. μετάνοια οὖν τροφὸς καὶ ὁμόοικος ἀγάπης, ἐλεημοσύνης, προσευχῆς, νηστείας, ἐγκρατείας, σωφροσύνης, ταπεινοφροσύνης, χρηστότητος, ἀγαθωσύνης, ἐπιεικείας, καὶ τῶν τούτοις ἀκολούθων. τ' ἀληθὲς εἰπεῖν, ταῦτα μετάνοια. καὶ εἴ τις ταύτην ἀθετεῖ, ἐν τοῖς σωζομένοις οὐκ ἔστιν, ἀλλ' ἐν τοῖς ἀπολλυμένοις, ἐν οἷς ὁ σκώληξ οὐ τελευτᾷ, * τὸ πῦρ οὐ σβέννυται. ὧν ῥυσθείημεν, ἀξιωθησόμενοι τῶν ἐπηγγελμένων ἀγαθῶν ἐλέει καὶ οἰκτιρμοῖς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· καὶ ταῦτα ἤδη παρ' ἡμῶν κηρύσσεται ἱερώτατε ἄνερ, εἰ καί τινες θέλουσι λοιδορεῖν ἡμᾶς· ἡμεῖς οὖν οἴδαμέν σε δοχεῖον εἶναι τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν καὶ κανονικῶν διαταγμάτων. τοὔνεκεν καὶ προσανεθέμεθά σοι ταῦτα διὰ τοῦδε τοῦ ὕφους, καὶ παρακαλοῦμεν, ἐφ' οἷς πεπληροφόρησαι, ἀνδράσιν εὐλαβέσι, μοναχοῖς τε καὶ βιωτικοῖς ταῦτα προσαναθέσθαι· εἰ δὲ ἀρεστόν σοί ἐστι, καὶ ὑποδεικνύναι. αἰτούμεθα δὲ ἐν ταῖς οὐρανοπόροις

2. βασιλ. 11.
Ψαλ. 88.
Πράξ. 13.
1. Παραλ. 12 καὶ 28.
2. Παραλ. 53.
Ματθ. 21.
Μάρκ. 2.
Λουκ. 5.
Ἰωάν. 11.
Πράξ. 8.
Ἀποστ. καν. 16.
Καν. 25.
Τιμοθ. 3.
Ἡσαΐ. 43.
Ψαλ. 31.
Ἰεζεκ. 18. καὶ 53.
Λουκ. 15.
* ἴσ. καὶ τὸ

νῳ ϛ λατρεύοντες, δι' αἰσθητῶν συμβόλων πρὸς τὰ νοητὰ ἀγόμεθα. αἰσθητοὶ γὰρ ὄντες ἄλλως πως πρὸς τὰ νοητὰ οὐκ ἀνατεινόμεθα, εἰ μὴ δι' αἰσθητῶν συμβόλων, διά τε γραφικῆς θεωρίας, καὶ διὰ εἰκονικῆς ἀνατυπώσεως· αὕτη γὰρ ἁπάντων τῶν πρωτοτύπων ὑπόμνησίς ἐστι καὶ ἀναγωγὴ πρὸς αὐτά. καὶ τὸ μὲν διὰ τῆς ἀκοῆς ἐνωτιζόμεθα, τὸ δὲ διὰ τῆς ὁράσεως κατανοοῦμεν. τὰ ἀλλήλων γνωριστικὰ χωρὶς πάσης ἀντιλογίας καὶ τὰ ἀλλήλων ἔχουσι δηλώσεις, καὶ ταῖς αὐταῖς τιμαῖς γεραίρονται.

Ετι δὲ πρὸς ἀκριβεστέραν κατανόησιν καὶ ἕτερά τινα προσαπολογήσομαι. κοινὸν πάντων ἐστὶ τῶν τοῦ Θεοῦ δημιουργημάτων. ἀλλήλων μετέχειν, πρὸς ἄλληλα ἔχειν τὴν συγγένειαν. καὶ εἰ ἕτερόν τι τοῦ ἑτέρου ὑπερέχει κατὰ ἀξίαν καὶ τάξιν, ἀλλ' οὖν πάντα τὰ ὄντα κοινωνίαν ἔχει ἄλληλα. οἱ γὰρ ἄγγελοι ἁπλοῖ νόες ὄντες, ἐκ τοῦ μὴ ὄντος, εἰς τὸ εἶναι παρήχθησαν παρὰ τοῦ πάντων δημιουργοῦ Θεοῦ. ὡσαύτως καὶ ἀνθρωπίνη φύσις· ἀλλὰ μέση τίς ἐστι μεγέθους καὶ ταπεινότητος, ἤγουν τῆς τῶν οὐρανίων ἀγγέλων καὶ τῶν ἐπιγείων. καὶ καθὸ κτίσματά εἰσιν ἑκάτερα, κοινωνίαν ἔχουσιν εἰς ἄλληλα. εἶθ' οὕτως οἱ ἄγγελοι μὲν ἁπλοῖ νόες ὑπάρχουσι ϛ ἀνώλεθροι, ὁ δὲ ἄνθρωπος θνητός· ἀλλὰ νοῦ καὶ ἐπιστήμης ὢν δεκτικός, μετέχει κατὰ τοῦτο τῆς τῶν ἀγγέλων φύσεως. αὖθις ἡ ἀνθρωπίνη φύσις μετέχει τῆς τῶν λοιπῶν ζώων, ὅτι καὶ αὐτὸς καὶ αὐτὰ σάρκες, καὶ ἐσθίουσι, καὶ ὑπνοῦσιν. ἀλλὰ ϛ τῆς γῆς μετέχουσιν, ἐξ ἧς ἐλήφθημεν, ὅτι καὶ πάλιν εἰς αὐτὴν ἀναλύομεν, ἕως τῆς μεταποιήσεως ἡμῶν τῆς ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν. τοιγαροῦν καὶ τὰ τέσσαρα στοιχεῖα ἀλλήλων μετέχουσιν, ἤγουν ἡ γῆ, τὸ ὕδωρ, τὸ πῦρ, καὶ ἡ γῆ μὲν ξηρὰ καὶ ψυχρά εστι, τὸ πῦρ ξηρὸν καὶ θερμὸν, τὸ ὕδωρ ψυχρὸν, καὶ ὑγρὸν, ὁ ἀὴρ θερμὸς καὶ ὑχρός· καὶ καθὸ μὲν ἐστι ξηρὰ ἡ γῆ, μετέχει τοῦ πυρός. καθὸ δὲ ψυχρὰ, μετέχει τοῦ ὕδατος. ὡσαύτως καὶ τὰ λοιπὰ στοιχεῖα τούτῳ τῷ λόγῳ πρὸς ἄλληλα κοινωνίαν ἔχουσιν. ἔνθεν καὶ τὰ σώματα ἡμῶν τῇ ἀναλογίᾳ τῶν τεσσάρων τούτων στοιχείων ἐκ τεσσάρων στοιχείων σύγκεινται, αἵματος, φλέγματος, χυμοῦ, καὶ χολῆς. καὶ τὸ μὲν αἷμα θερμὸν καὶ ὑγρὸν, καὶ ἀναλογεῖ τῷ ἀέρι· ἠξανθὴ χολὴ θερμὴ καὶ ξηρὰ, καὶ ἀναλογεῖ τῷ πυρί. ἡ μέλαινα ξηρὰ καὶ ψυχρὰ, ϛ ἀναλοτεῖ τῇ γῇ· ὁ χυμὸς ὑγρὸς καὶ ψυχρὸς, καὶ ἀναλογεῖ τῷ ὕδατι. πρὸς δὲ σαφεστέραν διήγησιν καὶ ἔτι λέξω. βασιλεὺς ὁ δεσπότης. εἰ ϛ προλάμπει ἐπὶ πᾶσι τὸ κράτος ὑμῶν, καὶ ὑπερέχεις τῇ ἀξίᾳ σὺν τῇ ἀξίᾳ σὺν τῇ δεσποίνῃ ϛ βασιλίσσῃ μητρίσου. καὶ τῷ πνεύματι ὑμῶν τὸ ὑπήκοον ἅπαν κατακολουθεῖ· ἀλλὰ μὴν ἄνθρωποί ἐστε, καὶ ὁρισμὸν ἐπιδέχεσθε· ὅτι πᾶς ἄνθρωπος ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ Πέτρος γὰρ καὶ Παῦλος, καὶ οἱ λοιποὶ ἄνθρωποι τὸν αὐτὸν ὁρισμὸν ἐπιδέχονται· ἤγουν μετέχετε τῶν κοινῶν τοῖς ἀνθρώποις, καὶ κοινωνίαν ἔχετε μετὰ πάντων. ὁ δὲ Θεὸς ἀόρατος ὢν καὶ ἀκατάληπτος, ἀνεξιχίαστός τε καὶ ἀπερίγραπτος, ἀπαθὴς, ἀθάνατος, μόνος βασιλεὺς τῶν βασιλευόντων, καὶ κύριος τῶν κυριευόντων, οὐκ ἔχει κοινωνίαν οὔτε μετὰ ἀγγέλων, οὔτε μετὰ ἀνθρώπων, οὔτε μετὰ ἑτέρας κτίσεως. αὐτὸς γὰρ δημιουργὸς, τὰ δὲ πάντα ποιήματα. αὐτὸς προνοητὴς, τὰ δὲ πάντα παρ' αὐτοῦ προνοούμενα. ἔξω οὖν πάσης φύσεως κτιστῆς ἐστιν ὁ Θεός. κατὰ τοῦτο ἀκοινώνητόν ἐστι τὸ ὄνομα αὐτοῦ. ἔνθεν καὶ ὁ θεσπέσιος Μωσῆς ἴδια στοιχεῖα παρέδωκε γράφεσθαι ἐπὶ τῷ τοῦ Θεοῦ ὀνόματι, καὶ ἐν ἑτέραις φωναῖς οὐδαμοῦ ταῦτα ἔγραφον. εἰ δὲ καὶ μετέχουσι τοῦ Θεοῦ αἱ ἀγγελικαὶ δυνάμεις, καὶ οἱ θεοσεβεῖς ϛ φοβούμενοι αὐτὸν ἄνδρες, χάριτι αὐτοῦ μετέχουσι, καὶ οὐκ οὐσίᾳ. οὗ τινος ἀξιωθείης ἐν μετοχῇ γενέσθαι δι' ἀγαθῶν ἔργων. αὐτὸς οὖν ὑψώσαι βασιλείαν ὑμῶν, καὶ ἀνάξαι ὑμᾶς νοεῖν καὶ λογίζεσθαι τὰ ἀπάγοντα εἰς τὴν αἰωνίαν αὐτοῦ βασιλείαν, τῶν τε αὐτοῦ ἐλέει, καὶ πρεσβείαις τῆς ἁγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου, καὶ πάντων τῶν ἁγίων αὐτοῦ. Αμήν.

ΣΥΝΟΔΟΣ

Ἐν Κωνσταντινουπόλει ἐπὶ Κωνσταντίνου καὶ εἰρήνης.

Ἐκ τοῦ Βιβλίου τοῦ συνοδικοῦ.

Κωνσταντίνου τοίνυν τὴν βασιλείαν, Λέων ὁ υἱὸς αὐτοῦ ὁ ἐκ Χάζαρος διεδέξατο· καὶ τὴν βασιλείαν Λέοντος, Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ μετὰ Εἰρήνης τῆς οἰκείας μητρὸς ἐκληράσατο· οἱ θείαν καὶ ἱερὰν ἐν τῷ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων σύνοδον ποιησάμενοι, μέχρις ὥρας τετάρτης καθήσαντες, ἀναθεματίσαι εἰκονομάχους κατέσπευδον· ὅπερ γενέσθαι οὐ συνεχώρησαν σχολάριοι.

ΣΥΝΟΔΟΣ

Ἑβδόμη οἰκουμενικὴ ἐν Νικαίᾳ τῆς Βιθυνίας.

Ἐκ τοῦ Βιβλίου τοῦ συνοδικοῦ.

Οἱ γοῦν φιλόχριστοι βασιλεῖς καὶ θειότατοι, ἐξορίᾳ τοὺς σχολαρίους παιδεύσαντες, ἁγίαν οἰκουμενικὴν ἑβδόμην συγκροτηθῆναι σύνοδον ἐν Νικαίᾳ τῶν Βιθυνῶν ἐπαρχίας ἐθέσπισαν· ἧς ἐξῆρχον προκαθεζόμενοι, Κωνσταν-

σαντινυπόλεως ὁ ἐν ἁγίοις Ταράσιος, τὸν Κύπριον Παῦλον ὁμοδεξάμενος. Πέτρος καὶ Πέτρος πρεσβύτεροι, Ἀδριανοὶ τοῦ ἁγιωτάτου πάπα Ῥώμης τὸν τόπον ἐπέχοντες, Ἰωάννης καὶ Θωμᾶς μοναχοὶ καὶ πρεσβύτεροι, τοποτηρηταὶ πασῶν ἀρχῶν Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, τῆς ἀνατολικῆς διοικήσεως. Ἥτις ἁγία σύνοδος τοὺς κατὰ τῆς τοῦ Θεοῦ ἐκκλησίας λυττήσαντας ἀναθέματι καθυπέβαλε· καὶ ὅρον ἐκθεμένη ὀρθόδοξον, τὰς εἰκόνας τὰς ἱερὰς πρὸς τιμὴν ἀνέκαθεν δόξαν αὐτῇ ἀνεβίβασεν.

Η' ΑΥΤΗ' ΕΒΔΟΜΗ

Οἰκουμενικὴ σύνοδος

Ἐκ τοῦ βιβλίου τοῦ φωτίου περὶ συνόδων

Ἡ Δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος Νικαίαν μὲν τὴν Βιθυνῶν μητρόπολιν ἔσαν, καὶ ὀρθοδόξων δογμάτων δικαστήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ τῆς ἀσεβείας κειτήριον ἔδειξεν, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν πλήθει πλατυνομένη· τιμιάρχους δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη Ταράσιόν τε τὸν ἐν ἀρχιερεῦσι Θεοῦ περιβόητον (θεῖος οὗτος καὶ πανάριστος ἀνὴρ, καὶ τῆς βασιλίδος πόλεως τὰς ἱεραρχικὰς οἰακας ἔπερ τις ἄλλος, περιάγειν ἄξιος) καὶ δὴ καὶ Πέτρον τὸν ἀλαβέστατον πρωτοπρεσβύτερον τῆς ἐκκλησίας, καὶ Πέτρον ἄλλον, πρεσβύτερον, ἐξ αὐτὸν καὶ τῆς ἑκείσε μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα, οἳ τῆς ἀποστολικῆς καθέδρας διεπληροῦτο τὸν τόπον, Ἀδριανῷ τότε ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα. Ἅμα δὲ τούτοις Ἰωάννῃ καὶ Θωμᾶν ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ περιλάμποντας, καὶ τῆς ἀνατολῆς ἁπάσης διοικήσεως τῶν ἀποστολικῶν, καὶ μεγάλων θρόνων τοποτηρητὰς, καὶ τῷ ἀρχιερέων προνόμιον ἔχοντας, λέγω δὴ Ἀπολιναρίου τε καὶ Θεοδωρήτου καὶ Ἡλίᾳ, ὧν ὁ μὲν Ἀλεξανδρείας. ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσολύμων ἱεροπρεπῶς τε καὶ πανσόφως προεισήκεισαν. τότε Κωνσταντῖνος καὶ Εἰρήνη ὀρθοδοξίας σεφάνῳ κοσμούμενοι, καὶ τιμὴ αὐτοκράτορα τῆς Ῥωμαϊκῆς ἀρχῆς πορφυρίδα ἐσηείζοντο· αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη σύνοδος ἀρτιφανῆ τε καὶ βάρβαρον αἵρεσιν ὑπὸ δυσεβῶν καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν θεοκείτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ τοὺς εἰσηγητὰς καὶ προμάχους αὐτῶν τῷ αὐτῷ συνυποβαλοῦσα κρίματι· οὗτοι γὰρ οἱ δεῖλαι Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν βλασφημεῖν οὐκ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπήνουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέβειαν. καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρίς τινος παραπετάσματος οὐ θαρρήσαντες διὰ τῆς σεπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. εἴδωλον γὰρ, ὡς τῆς μιαρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα, τιμῷ προσκυνητῷ εἰκόνα Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται, προσηγόρευσαν καθυβρίζοντες, καὶ πάσαις αὐτῷ ἀτιμίαις περιβάλλοντες ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, πυρὶ παρεδίδοσαν, θέαμα Χριστιανοῖς ἐλεεινὸν, καὶ τῆς ἑλληνικῆς χριστομαχίας μόνης ἄξιον. τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκόνων καὶ εἰκονισμάτων ποσὶ θολεροῖς ἐχέαι, ἅμα χερσίν τε παλαμναίαις καὶ βεβήλοις χείλεσιν ἐνεσείλαινον, καὶ χόρον οὐδεμία τῆς τηλικαύτης μανίας καὶ περιπλοκῆς οὐδαμῶς ἐλάμβανον οἱ ἀλάστορες· ἀλλὰ τῶν ἑλληνικῶν βδελυγμάτων οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, τὰ Χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα διὰ μίσους ἄγοντες ἐβδελύσσοντο. δι' ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο. δῆλον γὰρ ἅπασιν ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων, ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. ἀλλ' οὗτοι τὰ νέα τῶν χριστομάχων ἰουδαίων γυμνήματα δι' ὧν μὲν τιμῷ σεπτῷ εἰκόνα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων ἐξύβριζον, τὸ προγονικὸν ἀνεπλήρουν ὑστέρημα, εἰς τὰ ἰουδαίων τολμήματα ἐκφερόμενοι καὶ νικᾶν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γυμνήτορας. δι' ὧν δὲ Χριστιανῶν ἐν μέσῳ οὐκ ἔσχον τολμῆσαι τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνου τοῦ ἰουδαϊκοῦ καὶ παῤῥησίου ζήλου ἠλέγχοντο ὑπαίτιοντες. καὶ νόθον καὶ τιμὴ αὐτῶν δεικνύοντες τιμὴ μίμησιν καὶ μηδαμοῦ σάσιν ἔχοντες, ἀλλ' ὥσπερ τῷ κακῷ καρωθέντες τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διερρίπτοῦντο καὶ παρεφέροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνομάζοντες κατὰ Χριστοῦ ἐφρυάττοντο. καὶ τιμὴ ἰουδαίων κλῆσιν οὐ προσιέμενοι τὸ χρισόμαχον αὐτῶν παρεζήλων διὰ τῆς εἰκονομαχίας καὶ ὑπερίβαλον, οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸ τοὺς εἰδωλολατρίας ἐκλίνοντας ὄνομα ὕδρει ἀδωλολατρῶν ἀνεκτότερα εἶς τε Χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν Χριστιανῶν θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο· διὰ τούτους μὲν ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἐθέλησαν τιμὴ δυσγνώμειαν, ὡς νόθα ζῶντα καὶ ἔκφυλα τῆς τῶν πιστῶν ὀρθοδοξίας, ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἀκρίνασα διακρίνασα δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος καθυπέβαλεν. τιμὴ δὲ εἰκόνα Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν κατὰ τὰς ἀνέκαθεν ἀποστολικάς τε καὶ πατρικὰς παραδόσεις, καὶ τὰς τῶν ἱερῶν λογίων ἐκφαντορίας ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκο-

εἰκονιζομένου προσκυνεῖσθαι καὶ τιμᾶσθαι ψήφοις ἁπάσαις ἐπεκύρωσέ τε καὶ ἐπεσφραγίσατο τῆς προσκυνήσεως καὶ τιμῆς δηλονότι προσαγομένης, καθ' ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς συμβόλοις καὶ τύποις τῆς καθ' ἡμᾶς ἁγιωτάτης λατρείας προσερχόμεθα. οὐ γὰρ ἐν αὐτοῖς ἱστῶμεν καὶ συμπερικλείομεν τὴν τιμὴν καὶ προσκύνησιν, οὐδὲ εἰς ἑτερόφυλα καὶ διάφορα τέλη χιζόμεθα, ἀλλὰ διὰ τῆς φαινομένης, διαφόρου καὶ μεριστῆς αὐτῆς θεραπείας καὶ προσκυνήσεως ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἐνοειδῆ τε καὶ ἐνοποιὸν θεότητα ἀναγόμεθα· οὕτω τὸν τίμιον σταυρὸν προσυνοῦμεν, ἐν ᾧ τὸ δεσποτικὸν ἐξετανύσθη σῶμα, καὶ τὸ τοῦ κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα, καὶ ἡ τοῦ ξύλου φύσις ταῖς ἐκείνου ῥοαῖς ἀρδευθεῖσα τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ θανάτου. οὕτω τὸν τύπον τοῦ σταυροῦ προσκυνοῦμεν, δι' οὗ δαιμόνων ἐλαύνεται στίφη, καὶ πάθη θεραπεύεται ποικίλα, τῆς ἅπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης, καὶ μέχρις αὐτῆς τῆς τύπων μετὰ τῆς ὁμοίας ἐνεργείας συμπροϊούσης. τούτων τοιγαροῦν ἕκαστον, τήν τε Χριστοῦ εἰκόνα φημὶ καὶ αὐτὸν τὸν σταυρὸν, καὶ δὴ καὶ αὐτοῦ τοῦ σταυροῦ τὸν τύπον παραπλησίως τῇ σεβασμιότητι καὶ προσυνήσει ἐξοσιοῦντες, οὐκ ἐν αὐτοῖς περιγράφομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέβας. ἀλλ' εἰς τὸ ἡμᾶς ἐνανθρωπήσαντα πλούτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ ἡμῶν ἐπονείδιστον θάνατον ἑκουσίως ὑπενεγκόντα, ταύτην ἀναφέρομεν καὶ ἀνιεοροῦμεν· οὕτω δὴ καὶ ναοὺς ἁγίων καὶ τάφους καὶ λείψανα πιστοῖς βρύοντα ἰάσεσι πιστῶς προσκυνοῦμεν, τὸν αὐτὰ δοξάσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημοῦντες· καὶ δὴ καὶ εἴτι τούτοις κατὰ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετάς ἐστι παραπλήσιον διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ χάριτος, τὸ ἀρχικόν τε καὶ πρωτεργὸν αἴτιον ἐπιγινώσκομέν τε καὶ δοξολογοῦμεν· διὸ καὶ τῆς μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις, οὐ μόνον τὴν εἰκόνα Χριστοῦ, καθάπερ ἔφημεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Μαρίας καὶ δεσποίνης ἡμῶν θεοτόκου. καὶ πάντων τῆς ἁγίων τὰς ἱερὰς εἰκόνας κατὰ ἀναλογίαν τῆς πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος τιμᾶσθαι καὶ προσκυνεῖσθαι κοινῶν θεσπισμάτων ὅροις, ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσε· καὶ γὰρ καὶ δι' αὐτῆς εἰς ἐνόποιόν τινα καὶ συναγωγὸν ἀναγόμεθα θεωρίαν, καὶ πρὸς τὸ ἀκρότατον τῆς ὀρεκτῆς δι' αὐτῆς ἀξιούμεθα θείας, καὶ ὑπερφυοῦς συναφείας. ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρέστως τελεσαμένη διώρισε. πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν ἐκκλησίαν ἐπαναλαβοῦσαν ἀπέδειξεν· καὶ οἷα δὴ νύμφην οὐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ' ἐν νοεροῖς ἐξοριοθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τοῦ νυμφίου Χριστοῦ παραστήσασα ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐεσθαι παντὶ τῷ τῆς πιστῆς πληρώματι παρεσκεύασεν.

Η' ΑΥ'ΤΗ' Ε'ΒΔΟ'ΜΗ

Σύνοδος ἐκ τοῦ Νείλου.

Η' Αγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος ἡ ἐν Νικαίᾳ τὸ δεύτερον γέγονεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ συγκροτηθεῖσα ὑπὸ τριακοσίων ἑξήκοντα τριῶν ἁγίων πατέρων κατὰ τῆς εἰκονομάχων. ἡγοῦντο δὲ αὐτῆς Αδριανὸς πάπας Ρ'ώμης, Ταράσιος Κωνσταντινουπόλεως, Πολιτιανὸς Α'λεξανδρείας, Θεοδώριτος Α'ντιοχείας, Ηλίας Ιεροσολύμων. ἦν δὲ ἀπὸ κτίσεως κόσμου ἔτη . . . . ἀπὸ δὲ Χριστοῦ ἔτη ψκδ. ἀπὸ ἑβδόμης ἕως ὀγδόης ἔτη ἑκατὸν εἴκοσι.

ΕΠΙΣΤΟΛΗ'

Τῆς ἁγίας μεγάλης καὶ οἰκουμενικῆς ἐν Νικαίᾳ συνόδου πρὸς τὴν Αλεξανδρέων ἁγιωτάτην ἐκκλησίαν.

Εποφειλομένη πρὸς θεὸν ἐτήσιος εὐχαριστία καθ' ἣν ἡμέραν ἀπελάβομεν τὴν τοῦ θεοῦ ἐκκλησίαν, σὺν ἀποδείξει εὐσεβείας δογμάτων καὶ καταστροφῇ τῶν τῆς κακίας δυσσεβημάτων.

Προφητικαῖς ἑπόμενοι ῥήσεσιν, ἀποστολικαῖς τε παραινέσεσιν εἴκοντες, καὶ εὐαγγελικαῖς ἱστορίαις στοιχειούμενοι, τῆς ἐγκαινίων τὴν ἡμέραν ἑορτάζομεν. Η'σαΐας μὲν γάρ φησι ἐγκαινίζεσθαι νήσους πρὸς τὸν θεὸν, τὰς ἐξ ἐθνῶν ὑπαινιττόμενος ἐκκλησίας. εἶεν δι' ἂν ἐκκλησίαι, οὐχ αἱ τῆς ναῶν ἁπλῶς οἰκοδομαὶ καὶ φαιδρότητες, ἀλλὰ τῆς ἐν αὐταῖς εὐσεβούντων τὸ πλήρωμα, καὶ οἷς ἐκεῖνοι τὸ θεῖον ὕμνοις καὶ δοξολογίαις θεραπεύουσιν. ὁ δὲ ἀπόστολος αὐτὸ τοῦτο παραινῶν ἐν καινότητι ζωῆς περιπατῆσαι διακελεύεται, καὶ εἴ τις ἐν Χριστῷ καινὴ κτίσις ἀνακαινίζεσθε. τὰ δέ γε κυριακὰ λόγια τὴν προφητικὴν δεικνύντα κατάστασιν· ἐγένετο, φησίν. ἐγκαίνια ἐν Ιεροσολύμοις καὶ χειμὼν ἦν. εἴτε νοητὸς καθ' ὃν τὸ τῶν Ιουδαίων ἔθνος κατὰ τοῦ κοινοῦ σωτῆρος τὰς τῆς μιαιφονίας ἐκίνει καταιγίδας καὶ τὸ τάραχον. εἴτε καὶ ὁ τὰς σωματικὰς αἰσθήσεις τῇ τοῦ ἀέρος ἐπὶ τὸ κρυμῶδες παραλυπῶ μεταβολῇ. γέγονε γὰρ δὴ, γέγονε καὶ καθ' ἡμᾶς χειμὼν οὐχ ὁ τυχὼν, ἀλλὰ τῷ ὄντι τῆς μεγάλης κακίας

κίας ἐκχέων τὴν ὠμότητα. ἀλλ' ἤνθησεν ἡμῖν τῶν χαρίτων τοῦ Θεοῦ τὸ πρωτοκαίριον ἔαρ, ἐν ᾧ τὸ εὐχαριστήριον τῶν ἐπ' ἀγαθοῖς θερισμῶν τῷ Θεῷ συνεληλύθαμεν ποιήσασθαι, ὡς ἂν φαίημεν ψαλμικώτερον· θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτὰ, μνήσθητι ταύτης. καὶ γὰρ τοὺς ὀνειδίσαντας κύριον ἐχθροὺς, καὶ τὴν τούτου ἁγίαν προσκύνησιν ἐν ἁγίαις εἰκόσιν ἐξατιμάσαντας, ἐπαρθέντας τε καὶ ὑψωθέντας τοῖς δυσσεβήμασιν κατέῤῥαξεν αὐτοὺς ὁ τῶν θαυμασίων Θεὸς καὶ τοῦ τῆς ἀποστασίας φρυάγματος κατηδάφισεν, οὐδὲ παρεῖδεν τῆς φωνῆς τῶν βοώντων πρὸς αὐτόν· μνήσθητι κύριε τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν, οὗ ὠνείδισαν οἱ ἐχθροί σου κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. ἀντάλλαγμα δ' ἂν εἶεν τοῦ Χριστοῦ οἱ τῷ θανάτῳ αὐτοῦ ἐξαγορασθέντες καὶ πεπιστευκότες αὐτῷ διά τε λόγου ἀνακηρύξεως καὶ εἰκονικῆς ἀνατυπώσεως· δι' ὧν τὸ μέγα τῆς οἰκονομίας ἔργον τοῖς λελυτρωμένοις ἐπιγινώσκεται, διὰ σταυροῦ τε καὶ τῶν πρὸ τοῦ σταυροῦ καὶ μετὰ τὸν σταυρὸν παθῶν τε καὶ θαυμάτων· ἐξ ὧν καὶ ἡ τῶν αὐτοῦ παθημάτων μίμησις εἰς ἀποστόλους, ἐκεῖθέν τε εἰς μάρτυρας διαβαίνει, καὶ δι' αὐτῶν μέχρις ὁμολογητῶν καὶ ἀσκητῶν κάτεισιν.

Τούτου τοίνυν τοῦ ὀνειδισμοῦ, ὃν ὠνείδισαν οἱ ἐχθροὶ κυρίου, ὃν ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ αὐτοῦ, ἐπιμνησθεὶς ὁ θεὸς ἡμῶν, ὁ τοῖς ἰδίοις σπλάγχνοις καὶ ταῖς μητρικαῖς αὐτοῦ δεήσεσιν ἐπικαμπτόμενος, ἔτι δὲ καὶ ἀποστολικαῖς καὶ πάντων ἁγίων, οἳ συνεξυβρίσθησαν αὐτῷ καὶ συνεξουδενώθησαν ταῖς εἰκόσιν, ἵνα ὥσπερ συνέπαθον σαρκὶ, οὕτως ἄρα ὡς ἔοικεν καὶ ταῖς κατὰ τῶν εἰκόνων αὐτῷ συγκοινωνήσωσιν ὕβρεσιν, ἐνήργησεν ὕστερον ὅτε βεβούληται σήμερον, καὶ πέπρακε δεύτερον ὅπερ ἐτέλεσε πρότερον. πρότερον γάρ μετὰ πολυετῆ τινα χρόνον τῆς τῶν ἁγίων εἰκόνων ἐκφαυλήσεως καὶ ἀτιμίας, ἐπανέστρεψε τὴν εὐσέβειαν εἰς ἑαυτόν· νυνὶ δὲ, ὅπερ ἐστὶ δεύτερον, μικροῦ μετὰ τριακονταετηρίδα κακώσεως κατηρτίσατο τοῖς ἀναξίοις ἡμῖν τὴν τῶν δυσχερῶν ἀπαλλαγὴν, καὶ τῶν λυπούντων τὴν ἀπολύτρωσιν, καὶ τῆς εὐσεβείας τὴν ἀνακήρυξιν, καὶ τῆς εἰκονικῆς προσκυνήσεως τὴν ἀσφάλειαν, καὶ τὴν πάντα φέρουσαν ἡμῖν τὰ σωτήρια ἑορτήν. ἐν γὰρ ταῖς εἰκόσιν ὁρῶμεν τὰ ὑπὲρ ἡμῶν τοῦ δεσπότου πάθη, τὸν σταυρὸν, τὸν τάφον, τὸν ᾅδην νεκρούμενον καὶ σκυλευόμενον, καὶ μαρτύρων τοὺς ἄθλους, τοὺς στεφάνους, αὐτὴν τὴν σωτηρίαν, ἣν ὁ πρῶτος ἡμῶν ἀθλοθέτης καὶ στεφανίτης ἐν μέσῳ τῆς γῆς κατειργάσατο.

Ταύτην σήμερον τὴν πανήγυριν ἑορτάζομεν. ἐν ταύτῃ εὐχαῖς καὶ λιτανείαις συνευφραινόμενοί τε καὶ συναγαλλόμενοι, ψαλμοῖς ἐκβοῶμεν καὶ ᾄσμασιν· τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ ποιῶν θαυμάσια μόνος. τοὺς φαυλιστὰς γὰρ τῆς σῆς δόξης ἐξεμυκτήρισας· τοὺς τολμητὰς κατὰ τῆς σῆς εἰκόνος καὶ θρασεῖς, δειλοὺς καὶ πεφευγότας ἀπέδειξας. ἀλλ' ἡ μὲν εἰς Θεὸν εὐχαριστία, καὶ τὸ δεσποτικὸν κατὰ τῶν ἀντιπάλων τρόπαιον ἐν τούτοις. τὰ δέ γε κατὰ τῶν εἰκονομαχούντων ἆθλά τε καὶ παλαίσματα, ἕτερος ὁ λόγος καὶ λογογραφία διεξοδικώτερα δηλώσει. ὡς ἐν καταπαύσει δέ τινι τῇ (fic) μετὰ τὴν ἐρημικὸν πάροδον εἰς κατάσχεσιν τῆς νοητῆς Ἱερουσαλὴμ καθεστῶτες, Μωσαϊκῇ τινι μιμήσει μᾶλλον δὲ θεϊκῇ διακελεύσει, οἷα στήλη τινὶ ἐκ μεγίστων λίθων συνηρμοσμένῃ καὶ πρὸς ὑποδοχὴν γραφῆς διευθετισμένῃ, ταῖς τῶν ἀδελφῶν καρδίαις τάς τε εὐλογίας αἳ ὀφείλονται τοῖς νομοφυλακοῦσι, καὶ τὰς ἀρὰς δὲ αἷς καὶ ἑαυτοὺς ὑποβάλλουσιν οἱ παρανομοῦντες. δίκαιόν τε καὶ ὀφειλόμενον δεῖν ᾠήθημεν ἀναγράψαι. δύο φαμεν τάδε.

Τῶν τὴν ἔνσαρκον τοῦ θεοῦ λόγου παρουσίαν λόγῳ, στόματι, καρδίᾳ καὶ νοΐ, γραφῇ τε καὶ εἰκόσιν ὁμολογούντων, αἰωνία ἡ μνήμη.

Τῶν εἰδότων τῆς τοῦ Χριστοῦ μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως τὸ ἐν οὐσίαις διάφορον, καὶ ταύτῃ τὸ κτιστὸν καὶ ἄκτιστον, τὸ ὁρατὸν καὶ τὸ ἀόρατον, τὸ παθητὸν καὶ τὸ ἀπαθὲς, τὸ περίγραπτον καὶ ἀπερίγραπτον· καὶ τῇ μὲν θεϊκῇ οὐσίᾳ τὸ ἄκτιστον καὶ τὰ ὅμοια προσαρμοζόντων, τῇ δὲ ἀνθρωπίνῃ φύσει τά τε ἄλλα καὶ τὸ περίγραπτον ἀνομολογούντων καὶ λόγῳ καὶ εἰκονίσμασιν, αἰωνία ἡ μνήμη.

Τῶν πιστευόντων καὶ διακηρυκευομένων, ἤτοι εὐαγγελιζομένων τοὺς λόγους ἐπὶ γραμμάτων, τὰ πράγματα ἐπὶ σχημάτων· καὶ εἰς μίαν ἑκάτερον συντελεῖν ὠφέλειαν, τήν τε διὰ λόγων ἀνακήρυξιν καὶ τὴν δι' εἰκόνων τῆς ἀληθείας βεβαίωσιν, αἰωνία ἡ μνήμη.

Τῶν τῷ λόγῳ ἁγιαζόντων τὰ χείλη, εἶτα τοὺς ἀκροατὰς διὰ τοῦ λόγου· εἰδότων τε καὶ κηρυσσόντων ὡς διὰ τῶν σεπτῶν εἰκόνων ὁμοίως ἁγιάζονται μὲν τὰ ὄμματα τῶν ὁρώντων, ἀνάγεται δὲ δι' αὐτῶν ὁ νοῦς πρὸς θεογνωσίαν, ὥσπερ καὶ διὰ τῶν θείων ναῶν καὶ τῶν ἱερῶν σκευῶν, καὶ τῶν ἄλλων ἁγίων κειμηλίων, αἰωνία ἡ μνήμη.

Τῶν ἐπισταμένων ὡς ἡ ῥάβδος καὶ αἱ πλάκες, ἡ κιβωτὸς καὶ ἡ λυχνία, καὶ ἡ τράπεζα καὶ τὸ θυμιατήριον τὴν παναγίαν προδιέγραφέ τε καὶ προδιετύπου παρθένον τὴν θεοτόκον Μαρίαν. καὶ ὡς ταῦτα μὲν προετύπου ταύτην, οὐ γέγονε δὲ ἐκείνη ταῦτα, γέγονε δὲ κόρη, καὶ διαμένει μετὰ τὴν θεογνωσίαν (l. θεογονίαν) παρθένος· καὶ διὰ τοῦτο μᾶλλον κόρην αὐτὴν ταῖς εἰκονίσμασι γραφόντων, αἰωνία ἡ μνήμη.

Τῶν τὰς προφητικὰς ὁράσεις ὡς αὐτὸ τὸ θεῖον αὐτὰς ἐσχημάτιζε καὶ διετύπου, εἰδότων καὶ ἀποδεχωμένων, καὶ πιστευόντων ἅπερ ὁ τῶν προφητῶν χορὸς ἑωρακότες διηγήσαντο· καὶ τὴν διὰ τῶν ἀποστόλων καὶ εἰς πατέρας διήκουσαν ἔγγραφόν τε καὶ ἄγραφον παράδοσιν κρατυνόντων, καὶ διὰ τοῦτο εἰκο-

κονιζοντων τὰ ἅγια καὶ τιμώντων, αἰωνία ἡ μνήμη.

Τῶν συνιέντων Μωσέως λαλοῦντος· προσέχετε ἑαυτοῖς, ὅτι τῇ ἡμέρᾳ ᾗ ἐλάλησε κύριος ὁ Θεὸς ἐν Χωρὴβ ἐπὶ τοῦ ὄρους, φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε, ὁμοίωμα δὲ οὐκ εἴδετε· καὶ εἰδότων ἀποκριθῆναι ὀρθῶς· εἰ εἴδομέν τι ἀληθὲς, εἴδομεν ὡς ὁ τῆς βροντῆς υἱὸς ἡμᾶς ἐδίδαξεν· ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν, ὃ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς, καὶ ταῦτα μαρτυροῦμεν· καὶ πάλιν ὡς οἱ ἄλλοι τοῦ λόγου μαθηταί· καὶ συνεφάγομεν αὐτῷ, καὶ συνεπίομεν, οὐ πρὸ τοῦ πάθους μόνον, ἀλλὰ καὶ μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν· τῶν γοῦν διαστέλλειν θεόθεν δυναμωθέντων τὴν ἐν τῷ νόμῳ παραγγελίαν καὶ τὴν ἐν χάριτι διδασκαλίαν, καὶ τὸ ἐν ἐκείνῳ μὲν ἀόρατον ἐν ταύτῃ δὲ καὶ ὁρατὸν καὶ ψηλαφητόν· καὶ διὰ τοῦτο τὰ ὁραθέντα καὶ ψηλαφηθέντα εἰκονογραφούντων καὶ προσκυνούντων, αἰωνία ἡ μνήμη.

Οἱ προφῆται ὡς εἶδον, οἱ ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ ἐκκλησία ὡς παρέλαβεν, οἱ διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεικται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαῤῥησιάσατο, ὁ Χριστὸς ὡς ἐβράβευσεν· οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν καὶ τοὺς αὐτοῦ ἁγίους ἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν, ἐν θυσίαις, ἐν ναοῖς, ἐν εἰκονίσμασι· τὸν μὲν ὡς Θεὸν καὶ δεσπότην καὶ ὡς αὐτοῦ γνησίους θεράποντας τιμῶντες, καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμοντες. αὕτη ἡ πίστις τῶν ἀποστόλων, αὕτη ἡ πίστις τῶν πατέρων, αὕτη ἡ πίστις τῶν ὀρθοδόξων, αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξεν.

Ἐπὶ τούτοις τοὺς τῆς εὐσεβείας κήρυκας ἀδελφικῶς τε καὶ πατροποθήτως, εἰς δόξαν καὶ τιμὴν τῆς εὐσεβείας ὑπὲρ ἧς ἠγωνίσαντο ἀνευφημοῦμεν, καὶ λέγομεν· Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, τῶν ὡς ἀληθῶς ἀρχιερέων θεοῦ, καὶ τῆς ὀρθοδοξίας προμάχων καὶ διδασκάλων, αἰωνία ἡ μνήμη.

Ἰγνατίου καὶ Φωτίου, τῶν ἁγιωτάτων, ὀρθοδόξων καὶ ἀοιδίμων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Στεφάνου, Ἀντωνίου, καὶ Νικολάου, τῶν ἁγιωτάτων καὶ ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἅπαντα τὰ κατὰ τῶν ἁγίων πατριαρχῶν, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου, Ἰγνατίου, Στεφάνου, Φωτίου, Ἀντωνίου καὶ Νικολάου γραφέντα ἢ λαληθέντα, ἀνάθεμα.

Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν, καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων πατέρων καινοτομηθέντα, ἢ πραχθέντα ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα.

Εὐθυμίου, Θεοφύλου καὶ Αἱμιλιανοῦ, τῶν ἀοιδίμων ὁμολογητῶν καὶ ἀρχιεπισκόπων, αἰωνία ἡ μνήμη.

Θεοφυλάκτου, Πέτρου, Μιχαὴλ καὶ Ἰωσὴφ, τῶν μακαρίων μητροπολιτῶν, αἰωνία ἡ μνήμη.

Ἰωάννου, Νικολάου, καὶ Γεωργίου, τῶν τρισολβίων ὁμολογητῶν καὶ ἀρχιεπισκόπων, καὶ πάντων τῶν ὁμοφρονησάντων αὐτοῖς ἐπισκόπων, αἰωνία ἡ μνήμη.

Θεοδώρου τοῦ πανοσίου ἡγουμένου τῶν Στουδίου, αἰωνία ἡ μνήμη. Ἰσαακίου τοῦ Θαυματουργοῦ, καὶ Ἰωαννικίου τοῦ προφητικωτάτου, αἰωνία ἡ μνήμη.

Ἱλαρίωνος τοῦ ὁσιωτάτου ἀρχιμανδρίτου καὶ ἡγουμένου τῶν Δαλμάτου, αἰωνία ἡ μνήμη. Συμεὼν τοῦ ὁσιωτάτου στυλίτου, αἰωνία ἡ μνήμη.

Θεοφάνους τοῦ ὁσιωτάτου ἡγουμένου τοῦ μεγάλου ἀγροῦ, αἰωνία ἡ μνήμη.

Τῷ φρυαξαμένῳ συνεδρίῳ κατὰ τῶν σεπτῶν εἰκόνων, ἀνάθεμα. τοῖς ἐκλαμβάνουσι τὰς παρὰ τῆς θείας γραφῆς ῥήσεις κατὰ τῶν εἰδώλων εἰς τὰς σεπτὰς εἰκόνας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τῶν ἁγίων αὐτοῦ, ἀνάθεμα.

Τοῖς κοινωνοῦσιν ἐν γνώσει τοῖς ὑβρίζουσι τὰς σεπτὰς εἰκόνας, ἀνάθεμα, τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἄλλος ἡμᾶς ἐῤῥύσατο τῆς τῶν εἰδώλων πλάνης, ἀνάθεμα.

Τοῖς τολμῶσι λέγειν τὴν καθολικὴν ἐκκλησίαν εἴδωλά ποτε δεδέχθαι, ὡς ὅλον τὸ μυστήριον ἀνατρέπουσι, καὶ τὴν Χριστιανῶν ἐνυβρίζουσι πίστιν, ἀνάθεμα.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων· ὁ Θεὸς φυλάξει τὸ κράτος αὐτῶν· ὁ Θεὸς τὴν βασιλείαν αὐτῶν εἰρηνεύσει. οὐράνιε βασιλεῦ τοὺς ἐπιγείους φύλαξον. Μιχαὴλ τοῦ ὀρθοδόξου ἡμῶν βασιλέος καὶ Θεοδώρας τῆς αὐτοῦ μητρὸς, αἰωνία ἡ μνήμη. Βασιλείου καὶ Κωνσταντίνου, Λέοντος καὶ Ἀλεξάνδρου Χριστοφόρου καὶ Ῥωμανοῦ, Κωνσταντίνου Ῥωμανοῦ, Νικηφόρου καὶ Ἰωάννου, Βασιλείου, Κωνσταντίνου, Ῥωμανοῦ καὶ Μιχαὴλ τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀλαξαμένων, αἰωνία ἡ μνήμη. Ζωῆς τῆς εὐσεβεστάτης Αὐγούστης, καὶ τρισμακαρίστου, αἰωνία ἡ μνήμη.

Γερμανοῦ, Ταρασίου, Νικηφόρου καὶ Μεθοδίου τῶν ἀοιδίμων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Ἰγνατίου, Στεφάνου, καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, Ἀντωνίου, Νικολάου καὶ Σισιννίου τῶν ὀρθοδόξων πατριαρχῶν, αἰωνία ἡ μνήμη.

Αὗται ὡς εὐλογίαι πατέρων ἀπ' αὐτῶν εἰς ἡμᾶς τοὺς υἱοὺς ζηλοῦντας αὐτῶν τὴν εὐσέβειαν, διαβαίνουσιν· ὡσαύτως δὲ καὶ αἱ ἀραὶ τοὺς πατραλοίας,

λοίας, καὶ τῶν δεσποτικῶν ἐντολῶν ὑπερόπτας καταλαμβάνουσι. διὸ κοινῇ πάντες ὅσον εὐσεβείας πλήρωμα, οὕτως αὐτοῖς τὴν ἀρὰν ἣν αὐτοὶ ἑαυτοῖς ὑπεβάλλοντο, ἐπιφέρομεν.

Τοῖς λόγῳ μὲν τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ λόγου δεχομένοις, ὁρᾷν δὲ ταύτην δι' εἰκόνων οὐκ ἀνεχομένοις· καὶ διὰ τοῦτο ῥήματι μὲν δέχεσθαι κατασχηματιζομένοις, πράγματι δὲ τὴν σωτηρίαν ἡμῶν ἀρνουμένοις, ἀνάθεμα.

Τοῖς τῷ ῥήματι τοῦ ἀπεριγράπτου κακῶς προσφυομένοις, καὶ διὰ τοῦτο μὴ βουλομένοις εἰκονογραφεῖσθαι τὸν παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος κεκοινονηκότα, Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ ἐντεῦθεν φαντασιασταῖς δεικνυμένοις, ἀνάθεμα.

Τοῖς τὰς μὲν προφητικὰς ὁράσεις, κἂν μὴ βούλοιντο, παραδεχομένοις· τὰς δ' ὀφθείσας αὐτοῖς εἰκονογραφίας (ὦ θαῦμα;) καὶ πρὸ σαρκώσεως τοῦ λόγου μὴ καταδεχομένοις, ἀλλ' ἢ αὐτὴν τὴν ἄληπτόν τε καὶ ἀθέατον οὐσίαν ὀφθῆναι τοῖς τεθεαμένοις κενολογοῦσιν· ἢ εἰκόνας μὲν ταῦτα τῆς ἀληθείας καὶ τύπους καὶ σχήματα ἐμφανισθῆναι τοῖς ἑωρακόσι συντιθεμένοις, εἰκονογραφεῖν δὲ ἐνανθρωπήσαντα τὸν λόγον καὶ τὰ ὑπὲρ ἡμῶν αὐτοῦ πάθη οὐκ ἀνεχομένοις, ἀνάθεμα.

Τοῖς ἀκούουσι τοῦ κυρίου ὡς· εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί, καὶ τὰ ἑξῆς· καὶ τὸ· προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· τοῦ Μωσέως λέγοντος συνιοῦσιν, εἶτα λέγουσι δέξασθαι μὲν τὸν προφήτην, οὐκ εἰσάγουσι δὲ δι' εἰκονισμάτων τὴν τοῦ προφήτου χάριν, καὶ τὴν παγκόσμιον σωτηρίαν, ὡς ὡράθη, ὡς συνανεστράφη ἀνθρώποις, ὡς πάθη καὶ νόσους ἰάσεως μείζονας ἐθεράπευσεν, ὡς ἐσταυρώθη, ὡς ἐτάφη, ὡς ἀνέστη, ὡς πάντα ὑπὲρ ἡμῶν ἔπαθέ τε καὶ ἐποίησεν· τοῖς οὖν ταῦτα τὰ παγκόσμια καὶ σωτήρια ἔργα ἐν εἰκόσιν ὁρᾷν μὴ ἀνεχομένοις, μηδὲ τιμῶσιν αὐτὰ καὶ προσκυνοῦσιν, ἀνάθεμα.

Τοῖς ἐπιμένουσι τῇ εἰκονομάχῳ αἱρέσει, μᾶλλον δὲ τῇ χριστομάχῳ ἀποστασίᾳ, καὶ μήτε διὰ τῆς Μωσαϊκῆς νομοθεσίας πρὸς τὴν σωτηρίαν αὐτῶν ἀναχθῆναι βουλομένοις, μήτε ταῖς ἀποστολικαῖς διδασκαλίαις ἐναναστραφῆναι τὴν εὐσέβειαν προαιρουμένοις, μήτε ταῖς πατριαρχικαῖς παραινέσεσι καὶ εἰσηγήσεσι τῆς πλάνης αὐτῶν ἐπιστραφῆναι βουλομένοις, μήτε τῇ συμφωνίᾳ τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαν τοῦ Θεοῦ δυσωπουμένοις· ἀλλ' ἐφάπαξ ἑαυτοὺς τῇ τῶν Ἰουδαίων καὶ Ἑλλήνων μερίδι καθυποβαλλομένοις· (ἃ γὰρ ἀμέσως ἐκεῖνοι εἰς τὸ πρωτότυπον βλασφημοῦσι, καὶ οὗτοι διὰ τῆς αὐτοῦ εἰκόνος εἰς ἐκεῖνον τὸν εἰκονιζόμενον τολμᾷν οὐκ ἐρυθριῶσι·) τοῖς οὖν ἀνεπιστρόφως τῇ πλάνῃ ταύτῃ κατεχομένοις, καὶ πρὸς πάντα ψόγον θεῖον καὶ πνευματικὴν διδασκαλίαν τὰ ὦτα βεβυσμένοις, ὡς ἤδη λοιπὸν σεσηπόσι, καὶ τοῦ κοινοῦ σώματος τῆς ἐκκλησίας ἀποτεμοῦσιν ἑαυτοὺς ἀνάθεμα.

Ἀνασταστίῳ Κωνσταντ. καὶ Νικήτᾳ, τοῖς ἐπὶ τῶν Ἰσαύρων κατάρξασι τῶν αἱρέσεων, ὡς ἀνιέροις καὶ ὁδηγοῖς ἀπωλείας, ἀνάθεμα. Παύλῳ τῷ εἰς Σαῦλον ἀποστρέψαντι, καὶ Θεοδώρῳ τῷ ἐπικαλουμένῳ Γάστῃ, καὶ Στεφάνῳ τῷ Μολίτῃ, ἔτι δὲ Στεφάνῳ τῷ Κριθίνῳ, καὶ Λαλονδίῳ τῷ Λέοντι· καὶ πρὸς τούτοις εἴ τις τοῖς εἰρημένοις ὅμοιος τὴν δυσσέβειαν, ἐν ὁποίῳ ἂν εἴη καταλόγῳ κλήρου ἢ ἀξιώματός τινος ἢ ἐπιτηδεύματος ἐξεταζόμενος· τούτοις ἅπασιν ἐπιμένουσιν αὐτῶν τῇ δυσσεβείᾳ, ἀνάθεμα. Θεοδότῳ, Ἀντωνίῳ καὶ Ἰωάννῃ, τοῖς ἀλληλοπροξένοις τῶν κακῶν, καὶ ἑτεροδιαδόχοις τὴν δυσσέβειαν, ἀνάθεμα.

Γεροντίῳ τῷ ἐκ Λάμπης μὲν ὁρμωμένῳ, ἐν δὲ τῇ Κρήτῃ τὸν ἰὸν τῆς αὐτοῦ μυσαρᾶς αἱρέσεως ἐξεμέσαντι, καὶ εἰλημμένον ἑαυτὸν ἀποκαλέσαντι ἐπ' ἀναστροπῇ (φεῦ) τῆς σωτηριώδους οἰκονομίας τοῦ Χριστοῦ, σὺν τοῖς διεστραμμένοις αὐτοῦ δόγμασι καὶ συγγράμμασι καὶ τοῖς ὁμόφρωσιν αὐτοῦ, ἀνάθεμα. ὅλοις τοῖς αἱρετικοῖς, ἀνάθεμα.

Πολλὰ τὰ ἔτη τῶν βασιλέων. Χριστοφόρου, Θεοδώρου, Ἀγαπίου, καὶ Ἰωάννου, Νικολάου, Ἡλιοῦ, Θεοδώρου καὶ Βασιλείου τῶν ἀοιδίμων πατριαρχῶν Ἀντιοχείας, αἰωνία ἡ μνήμη. ἡ ἁγία τριὰς αὐτοὺς ἐδόξασεν.

Τούτων τοῖς ὑπὲρ τῆς εὐσεβείας μέχρι θανάτου ἄθλοις τε καὶ ἀγωνίσμασι, καὶ διδασκαλίαις παιδαγωγεῖσθαί τε καὶ κρατύνεσθαι Θεὸν ἐκλιπαροῦντες, καὶ μιμητὰς τῆς ἐνθέου αὐτῶν πολιτείας μέχρι τέλους ἀναδείκνυσθαι ἐκδυσωποῦντες, ἀξιωθείημεν τῶν ἐξαιτουμένων οἰκτιρμοῖς καὶ χάριτι τοῦ μεγάλου καὶ πρώτου ἀρχιερέως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, πρεσβείαις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν ἀγγέλων, καὶ πάντων τῶν ἁγίων. ἀμήν.

ΔΥΟ ΣΥΝΟΔΟΙ

ἐν Κωνσταντινουπόλει.

Ἐκ τοῦ βιβλίου τοῦ Συνοδικοῦ ἐπὶ Νικηφόρου Πατριάρχου.

Νικηφόρου τοῦ φιλοχρίστου, Εἰρήνης τὴν βασιλείαν διαδεξαμένου τῆς εὐσεβόφρονος, ἀντάρας Τοῦρκος στρατηγὸς καὶ πατρίκιος, Εἰρήνης δῆθεν τῆς βασιλίδος ἀντιποιούμενος ἐφάνη τῷ αὐτοκράτορι. Ἀλλὰ χωρὶς αἵματος Θεὸς τὴν ὁρμὴν αὐτοῦ διεσκέδασεν, Ἰωσὴφ πρεσβυτέρου καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως μεσιτεύσαντος δι' ἣν αἰτίαν ὁ τρισμακάριστος Νικηφόρος πατριάρχης Ταράσιον τὸν ἐν ἁγίοις διαδεξάμενος, θείαν καὶ

χρόν. ἀπὸ Χριστοῦ 806.

καὶ ἱερὰν μερικὴν σύνοδον συνάρσει τοῦ βασιλέως ἐν Βυζαντίῳ συνήθροισε· καὶ οἰκονομικῶς τὸν Ἰωσὴφ ἐδέξατο εἰς πρεσβύτερον ὑπὸ Ταρασίου πεπαυμένου καταλειφθέντα, χάριν μοιχοζευξίας Κωνσταντίνου υἱοῦ Εἰρήνης τοῦ αὐτοκράτορος. ὅθεν ἀφελῶς τῆς Χριστοῦ ἐκκλησίας τινὲς ἀπορραγέντες πάλιν ἡνώθησαν. Τελευτήσαντος οὖν ἐν πολέμῳ Βουλγαρίων Νικηφόρου, τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Σταυράκιος διεδέξατο.

ΔΕΥΤΕΡΑΣ ΥΝΟΔΟΣ

Ἐπὶ Θεοδώτου ἐν Κωνσταντινουπόλει αἱρετική.

Χρόν. Χριστοῦ 809.

ΟΝ Μιχαὴλ ὁ Ῥαγγαβὲ, ἐκείνου ἐπ' ἀδελφῇ Προκοπίᾳ προσεκληρώσατο, καὶ Λέων, στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου· ἐπὶ τούτου ἦν καὶ ὁ ὁμολογητὴς Θεόδωρος ὁ Στουδίτης· ἐπαναστὰς, ὁ Συραρμέλιος, ἐκράτησε τὰ βασίλεια· Ἰουδαϊκῆς τε καὶ Μανιχαϊκῆς θρησκείας ὑπάρχων κρησφύγετον. Τῆς ἐξουσίας γὰρ ἀναξίως ἐπιλαβόμενος, μιαρὰν καὶ ἄθεον χριστιανοκατηγορικὴν ἐν τῇ Χριστοῦ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως ἐποιήσατο σύνοδον· καὶ Νικηφόρον τὸν ἐν ἁγίοις καθελὼν, περιορίσας ἐν τῷ μοναστηρίῳ αὐτοῦ, Θεόδοτον ἀντεχειροτόνησε, Κασσητηρᾶν καὶ Φλαβιανὸν ἐπιλεγόμενον· καὶ τὰς ἁγίας εἰκόνας καταστρεψάμενος, τοὺς προσκυνητὰς αὐτῶν ἀναθέματι καθυπέβαλεν· δημευσίαις, ἐξορίαις, λιμῷ, φυλακαῖς, καὶ παντοίαις ἰδέαις θανάτου, ὁ ἄθεος κατανάλωσεν· ἐκ ποδῶν σύρων, καὶ πατῶν αὐχένας ὁ ἀλιτήριος.

ΤΩ̃ ΤΑ ΠΑΝΤΑ

Ἁγιωτάτῳ καὶ μακαριωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ

ΚΥΡΙΩ ΛΕΟΝΤΙ ΠΑΠΑ

Τῆς πρεσβυτέρας Ῥώμης Νικηφόρος ἐλέῳ Θεοῦ ἐπίσκοπος Κωνσταντινουπόλεως, χαίρειν.

ΜΕγας μὲν ὡς ἀληθῶς, καὶ ἀξιάγαστος, καὶ πάσης εὐφημίας ἐπάξιος, ὅστις ποτὲ ὁ πιστὸς ἐκεῖνος * οἰκέτης, ὁποῖος δὴ ἐν παραβολαῖς τῶν ἱερῶν ἐκείνων καὶ εὐαγγελικῶν ἀναγέγραπται κηρυγμάτων. ὑπὸ τοῦ κυρίου καθιστάμενος ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ οἰκονομῶν ἐν κρίσει τῶν ἐπιτεταμμένων τὸν λόγον· καὶ δαπανῶν οὐ περιττᾶς καὶ ἀσώτως, ἀλλ' εἰς δέον τοῖς πιστευθεῖσι, καὶ καλῶς ἀποχρώμενος, διδοὺς εὐκαίρως τοῖς συνδούλοις τὸ σιτομέτριον καὶ χορηγῶν ἑκάστοις καὶ διανέμων ἀναλόγως τὸ πρόσφορον, χάριν τε καὶ εὐμένειαν διαταῦτα ὅλην τὴν τοῦ δεσπότου χάριν τε καὶ εὐμένειαν ἐφ' ἑαυτὸν ἐπισπώμενος, καὶ τὸ μακάριον παραὐτοῦ ἀποφερόμενος, καὶ ἐν ἅπασιν, ὧν ἂν αὐτὸν ἐπιτροπεύειν χειροτονήσειε καταστασθήσεσθαι τὸ ἐπάγγελμα κατακτώμενος. δέξιός τε γὰρ ὑπάρχων εὖ μάλα καὶ ἀρίστος, πίστιν ὁμοῦ καὶ φρόνησιν ἐμμελεστάτην ἐκεράσατό τε καὶ παρεστήσατο· πῇ μὲν τὸ εὐνοητικόν τε καὶ εὔγνωμον πρὸς τὸν δεσπότην τὸν ἑαυτοῦ ἐπιδεικνύμενος, καὶ ἥκιστά τι τῶν πιστευθέντων ἀποποιούμενος. πῇ δὲ λογισμῷ τῷ καθήκοντι, καὶ διανοίας νήψει, καὶ προσοχῇ, καὶ ἀκεραιότητι πρὸς τὸ ἐλευθέριον διαπορθμεύων οἷς προσήκει τὰ ἀναλούμενα. ἀφ' ὧν ἤδη τῆς προστασίας οἷα τῆς δεσποτικῆς ἀξιούμενος, καὶ τὸ, εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, κατακούσεται· ἐπὶ ὀλίγα ἦς πιστός· ἐπὶ πολλῶν σε καταστήσω, καὶ εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ ἐνδίκως εἰσελθεῖν προσαχθήσεται. τοιαῦτα δι' ἐκείνου τοῦ οἰκέτου, καὶ τὰ γέρα καὶ τὰ ἔργα. Ματθ. 25.

Ἐγὼ δὲ οὐ τῶν οἰκονομεῖν καὶ ἰθύνειν ταῦτα δεδυνημένων. τῶν δὲ οἰκονομεῖσθαι καὶ ἄγεσθαι δεδεημένων, μεμοιράμενος· ἐπειδὴ σμικρὸς ἄγαν, καὶ τῶν πάντων ἐλάχιστος, καὶ τηλικαύτης εὐμοιρίας πάμπαν καὶ εὐκληρίας ἀπολειπόμενος, καὶ διαταῦτα οὐδὲ ἐκκλησίαν πιστεύεσθαι, ἥτις ἐστὶν ἀποστολικῶς οἶκος Θεοῦ, βεβουλημένος, τῷ ἀνισχύρῳ καὶ * νωθεστέρῳ τῆς φύσεως καὶ τῷ ἐν δέοντι τῆς τῶν θειοτέρων μυήσεως, * ἧπερ εἰπεῖν ἀναγκαιότερον· ὅτι μὴ τὰ ἑαυτοῦ εὖ θέμενος, μηδὲ τῶν ταπεινῶν, καὶ χαμαιζήλων ὑπερκύψας, οὐδὲ ψυχῶν προστασίαν καὶ ἐπιμέλειαν εἱλόμην ἂν ἐγχειρίζεσθαι πώποτε. οἷς γὰρ τῆς τῶν οἰκείαν σπουδῆς οὐ μετέστηκε βελτιώσεως. σχολῇ γ' ἂν οὗτοι τὰ τῶν πέλας εὖ διαθέσθαι ἱκανωθήσονται, καὶ ἅμα τῆς δωρεᾶς ἐκείνης καὶ χάριτος ἀνάξιον ἑαυτὸν κρίνων καὶ λογιζόμενος, καὶ ὄφελόν γε ὡς οὐ τοῦ μακαρισμοῦ ἐκείνου ἄξιος, μηδὲ τοῦ ἄθλιος εἶναι καὶ ταλανίζεσθαι δίκαιος, μηδὲ τῆς ἀντιθέτου μοίρας, καὶ τοῦ ὑπεναντίου φρονήματος ἐκείνου τοῦ πονηροῦ, καὶ κακούργου δούλου, ὃς διὰ πολλὴν ῥᾳθυμίαν τε καὶ ἀκρασίαν, τὴν τοῦ δεσπότου ὑπερτίθεται ἔφοδον καὶ βαρὺς τοῖς συνδούλοις καὶ δυσφόρητος γίνεται, καὶ κοινωνεῖ μεθύουσιν· ἐφ' ὧν ἐπιστὰς οὐ προσδοκώμενος ὁ κύριος καὶ διχῇ διελὼν τοῖς ὑποκριταῖς συναριθμήσειε, μηδὲ τοῦ πιστευθέντος τὸ τάλαντον καὶ ὑπὸ γῆν θεμένου καὶ κατακρύψαντος· καὶ διατοῦτο πικρῶς ἐγκαλουμένου, καὶ οὐ τὸν τόκον μόνον καὶ τὸ πολυπλάσιον εἰς πραττομένου, ἀλλὰ ζημιουρμένου καὶ τὸ κεφάλαιον, καὶ σκότῳ παραπεμπομένου τῷ ἐξωτέρῳ, εἴθε μὴ ἐν τούτοις ἁλοὺς, παράδειγμα τοῖς πολλοῖς προτεθείην, καὶ εἰς κίνησιν κεφαλῆς τοῖς καθορῶσι λογισθείην ἐλεγχθεὶς ποτὲ καὶ κατακριθεὶς ὑπὸ τοῦ πάντα εἰδότος καὶ ἐξετάζοντος τὰ ἡμέτερα, καὶ ἀχθεὶς ὑπὸ μάστιγας πράξεων οὐχ ὁσίων δίκας

* καὶ φρόνιμος

* νωθεστέρῳ,

* ἧς περ εἰπεῖν οἰκεινότερον

Ματθ. 25.

κας ἱκανῶς εἰσπραχθήσομαι, ἵνα οἱ ἐπὶ τοῖς ὁμοίοις ὑπόδικοι φωραθέντες τῷ ἀπ' ἐμοῦ πάθει σωφρονίζοιντο, καὶ τὴν διόρθωσιν ἐπιδέχοιντο.

Ἐπεὶ τοίνυν συγχωρήσει τε καὶ παροράσει Θεοῦ ὑπὸ τὸν αὐτοῦ εἰσήχθην ζυγόν· καὶ ταύτην τὴν ὑπηρεσίαν καὶ διακονίαν οὐκ ἐθελοντὴς ἀναδέδεγμαι, ὅτι τρόπῳ βιαζόμενος, οἷά μοι τὰ πρὸ τοῦδε, καὶ εἰς οἷον κεχωρήκασι καταστάσεως, ὡς πάντες σχεδὸν οἱ ἐνταῦθα ἴσασιν ἐρῶν ἔρχομαι. ἄλλῳ μὲν οὖν ἄλλοτι ἐπιτήδευμά τε καὶ τέχνημα, ἢ μικρὸν ἢ μεῖζον, ὡς ἂν αὐτὸς ἕκαστος τῷ αὐτεξουσίῳ ὁρμώμενος, καὶ τὴν αἵρεσιν τῶν πρακτέων ἐφ' ἑαυτῷ φέρων προέλοιτο. ἐπειδὴ γὰρ, καθάπερ πολυειδεῖς τῶν ἀνθρώπων αἱ γνῶμαι καὶ τὰ διαβούλια διάφοράτε τὰ ἤθη καὶ ὁ τρόπος παμποίκιλος· οὕτω δὴ καὶ αἱ κατὰ τὸν βίον αἱρέσεις διατέμνονται πολυτρόπως καὶ διασχίζονται, καὶ εἰς ἄπειρον ποικιλίας τε καὶ πληθύος ἐπιδίδωσιν. ἔνιοι μὲν, τῶν βαναύσων τοσοῦτον δὲ τὸν οἰκτρὸν καὶ πεπλανημένον ἀνελέσθαι προκεκρίκασι βίον· ἄλλοι τῆς γεωργίας τὸ πονικὸν ἐξεπιτηδεύσαντες φαίνονται. τινὲς, τῆς ἐμπορίας διακληροῦνται τὸ φιλοκερδὲς καὶ φιλόπλουτον, ἢ τῆς ναυτιλίας τὸ φιλαπόδημόν τε καὶ φιλοκίνδυνον, καὶ ἄλλοι δι' ἄλλης τῆς τῶν χειροτέχνων ἐργασίας· ἵνα μὴ καθέκαστον λέγωμεν· προΐασιν. ἕτεροι δὲ καὶ ὀλιγοστοίπως εἰσὶ καὶ ἔκκριτον, οἱ τὸν ἀσκητικόν τε καὶ φιλόσοφον ἀσπασάμενοι τρόπον, ψυχὰς ὁμοῦ καὶ σώματα διεκάθηραν, καὶ ταύτῃ Θεῷ, πλησιάζειν ἠξίωνται, καὶ εἰς τὴν ἄνω λῆξιν καὶ μακαρίαν ἐπείγονται, ἢ λογιότητι ἐκλογικῶν ἐπιστημῶν καὶ τεχνῶν κατακοσμούμενοι, καὶ ἤθεσι χρηστοῖς σεμνυνόμενοι τὰς ἑαυτῶν ψυχὰς ἐμουσούργησαν, καὶ ὡς ἑκάστῳ λοιπὸν ἡδὺ καὶ φίλον ἐδόκει, καὶ τῷ ἐπιβόλῳ τῆς φύσεως ἐξεγένετο.

* ἐπιβουλῷ

Ἐμοὶ δὲ οὕτω τὰ τῆς παρούσης βιοτῆς περιέστηκεν. ἡνίκα τοίνυν εἰς ἄνδρας ἐτέλουν, τὸ νέον τῆς ἡλικίας παραμειψάμενος, ἤδη περὶ τὰς βασιλείας ἐπιχωριάζων αὐλὰς, στρατείας τινὸς ἐπεκύρησα, καὶ ταύτης οὐκ ἀεργοῦς καὶ ἀνειμένης, ἀλλὰ τῆς διὰ χειρῶν καὶ καλάμων ἐκπονουμένης. καὶ γὰρ τῶν βασιλικῶν ὑπογραφεὺς ἐτύγχανον ὤν. ἀσηκρῆτις δὲ τούτους καλεῖν εἰωθυίας τῆς Λατινίδος γλώττης ἴσμεν ἐκφώνημα ἐν ταύτῃ ἐπί τινας χρόνους ἐπιζυγούμενος, καὶ ἀνθρωπίνοις περιδεσμούμενος πράγμασιν, εἰς συναίσθησιν τῶν ἐν τῷδε τῷ βίῳ ῥευστῶν ἐλθὼν, * βοῦς ἀνείλιττον, καὶ λογισμοὺς ἀνεκίνουν, ὡς ἄρα χαλεπὸν καὶ δυσκατόρθωτον, τοὺς τῇ δὲ ἐνηχολημένους τῶν ὑψηλοτέρων ψαύειν, μάλιστά τις ἐπιτυχὼν τῆς κρείτονος ἐλπίδος, οὐκ ἂν διαμαρτήσειε. τὰ μὲν γὰρ παιζόντων, τὰ δὲ σπουδαζόντων εἶναι ἐνόμιζον, ἐκείνοις τε χαίρειν ἔφραζον καὶ τούτων περιέχεσθαι ὅση δύναμις, καὶ βέλτιον ἐν τούτοις εἰσορᾶν ἐμαυτὸν διεσκοπούμην παρευδοκιμούμενον, ἤπερ ἐκείνοις φανῆναι τολοιπὸν καθωραϊζόμενον, καί με, ὡς ἔχειν ἐμαυτῷ νομοθετῶ, καὶ προφητῶν ὁ ἄριστος ἐξεπαίδευε, καὶ πάντα ματαιότης ματαιοτήτων τὰ τῇδε, καὶ τίς περισσείᾳ τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον; ἄλλος σοφὸς παρηγγύησε. παράγειν τὸ σχῆμα τοῦ κόσμου τούτου, τὸ σκεῦος τὸ θεόλεκτον ἀνεκήρυττε, καὶ ἄλλων δὲ γραφῶν ἱερῶν τούτοις παραγγελλουσῶν * κατακουτιζόμενος παραπλήσια, καὶ ἅμα ἐν νῷ ἔχων, ὅπερ παράτινι τῶν θύραθεν ἐπὶ σοφίᾳ διαβεβοημένων ἀδόμενον ἔγνωμεν, κρεῖσσον ἰδιωτεύειν, ἢ μεγίστην ἔχειν ἐξουσίαν, μηδὲν ἄξιον ἐπιτελεῖν μέλλοντα· καθάπερ σκηνὴν τὴν παροῦσαν ὡς ἀπανθοῦσαν δόξαν ἐπεκερατόμησα.

1. Κορ. 6.

* κατακοντιζόμενος

Καὶ πρὸς τὴν ἐμαυτοῦ ἐπίσκεψιν ἤδη τρέπομαι αὐτίκα. διόπερ δὴ εὖ παρασχὼν οἷα Θεοῦ συλλαμβανομένου μοι, τοῦ τε ἀξιώματος ὑπερόπτης καθέστηκα, καὶ τῆς βασιλείου αὐλῆς καὶ τῶν ἀστικῶν θορύβων πόῤῥω που ἀπαγόμενος διεσκήνωμαι, ἐσχατιὰν γοῦν τινα καταλαμβάνω καὶ ἀκρώρειαν, τραχεῖάν τε οὖσαν καὶ δυσπρόσοδον· σταδίοις οὗτος ὀλίγοις περὶ τὴν Προπόντιον χώραν, τοῦ βασιλείου * διειργόμην ἄστεος. κἀνταῦθα τὰς διατριβὰς ποιεῖσθαι ἐσπούδαζον, ὡς ἄρα εἰ δυναίμην, τοῦ μονήρους βίου ἐφαπτόμενος. καὶ τοῦτο γὰρ ἠπειγόμην ἐκ πλείονος, καί τις ἔρως εἶχε τῆς ἐρημίας καὶ ἡσυχίας δεινότατος, μήτε ἀλλαχόθι ποῖ τὸ τέρμα τῆς ζωῆς, ἢ ἐνταῦθα ἀπολήψεσθαι. ἀλλ' ἐπειδή γε οὐ πᾶσιν ἅπαντα κατὰ γνώμην ἐκβαίνειν οἷόν τε. ἀλλ' ἔστιν ἐφ' οἷς καὶ τὸ χρεὼν ἐπρυτάνευσε καὶ ὡς ἂν βούλοιτο Θεὸς, τὸ πέρας τῶν ἐγχειρήσεων ἐπιτίθησι· συμβέβηκε τοῦτα τοίνυν καὶ ἐπ' ἐμοί· καὶ τῶν κατὰ νοῦν διημάρτηκα, καὶ οὐκ οἶδα οἷς κρίμασιν ὁ ταῦτα συγχωρήσας, καὶ παριδὼν Θεὸς ἐξεπίσταται, ἀπεσπάσθην τῆς φίλης ἐρημίας, καὶ ἐπὶ τὴν βασίλειον * ἤχθην, ὡς ὑπὸ Θεῷ μάρτυρι, ψήφῳ καὶ κρίσει τῶν τηνικαῦτα ἐν τοῖς βασιλείοις ἐνιδρυμένων θώκοις, τοῦ τε κοινοῦ τῆς ἐκκλησίας ἱεροῦ συστήματος καὶ τῆς συγκλήτου βουλῆς, συμβραβευόντων ἀπαραίτητά τε καὶ ἀσυγχώρητα. ἐπείπερ ἤδη τῆς βασιλίδος ὁ πρόεδρος τὸν βίον μετήλλαξεν, οἷά περ ἄνθρωπος τὸν ἀνθρώπινον, οἵ γε καίτοι πολλὰ ὑπερτιθέμενον καὶ ἀπαυθαδειαζόμενον ἐπὶ τὸν ἱερατικὸν τουτονὶ θρόνον προήγαγον, τυραννίδος μᾶλλον ἢ πειθοῦς ἔργον γινόμενον.

* διειργομένην.

* πάλιν

Ἐπεὶ οὖν καὶ μὴ βουλόμενος τὸν ζυγὸν τόνδε ὑπέδραμον, καὶ τὰς φροντίδας ἀναδέδεγμαι οὐκ ἀξίως, οὐδὲ ὡς προσῆκε τῇ χάριτι, δέδοικα μὲν πρῶτον τὰς ποικίλας καὶ πολυπλόκους μηχανουργίας τοῦ σοφιστοῦ τῆς κακίας· καὶ τῶν πονηρῶν καὶ ἀοράτων πνευμάτων τὴν ἐπανάστασιν, μήποτε γυμνὸν καὶ ἄοπλον τῶν ἐκ τῆς ἀρετῆς κατορθωμάτων ἐπιλημμένα. οὔπω γάρ με τοῖς πνευματικοῖς καὶ θείοις παιδοτριβούμενον ἔγνωσαν, ἢ τῇ κατ' αὐτῶν ἐγγεγυμνασμένον ἢ διαγωνισάμενον πάλῃ προσέβλεψαν, τοῖς τῆς ἁμαρτίας τιτρώσκοντες βέλεσι τὸ τῆς ἐκκλησίας θεόλεκτον ὑπορρήξωσι στίφος, καὶ τὴν εὔτακτον ταύτης παράστασιν διαλυμήνωνται τῷ τοῦ ἀβούλως καὶ ἀμα-

Παροιμ. 8.

μαθῶς ταξιαρχοῦντος ἐπικαγχάσαντες πτώματι· ἔπειτα δὲ ἰδὼν καὶ τῆς ἀρχῆς τὸ ἐπείσακτον καὶ ἐπίφθονον τῶν βασκαινόντων ὑπείδομαι τὸ δολερὸν καὶ κακόηθες οἳ πάντῃ ἐπιτηρεῖν σπουδάζουσι τὰ ἡμέτερα εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα· τὰς μὲν δοκούς τοῖς ἑαυτῶν ἐπικειμένας οὐ βλέποντες ὄμμασιν, οὐδὲ τὴν λήμην ἀπὸ τῶν ὀφθαλμῶν προκαθαίρειν αἱρούμενοι, ἀλλότρια δὲ κάρφη περιεργαζόμενοι, καὶ σμικρῶν ἄγαν καὶ εὐτελῶν ἕνεκεν, καὶ τοῦ μηδενὸς λόγου ἀξίων τὰς γλώσσας τὰς ἑαυτῶν κατὰ τῶν προεχόντων ἀνοσίως ὁπλίζουσι καὶ ἀμφοτέρωθεν πικρῶς καὶ ἀδικώτατα βάλλουσι.

Ἀλλὰ τουτονὶ ἀναδεδεγμένος τὸν ἀγῶνα, τίνι λοιπὸν ἀρωγῷ καὶ συλλήπτορι χρήσομαι, ἢ τῷ ταῦτα παραχωροῦντι Θεῷ, παρ' οὗ ἐξαιτῶ ῥοπὴν καὶ βοήθειαν, εὐσπλάγχνῳ καὶ εὐμενεῖ ὄμματι ἐπὶ τὴν ἐμὴν ἐπιβλέψαι μετριότητα, κρατῆσαί τε τῆς χειρὸς τῆς δεξιᾶς, καὶ ὁδηγῆσαι πρός τε τὸ αὐτοῦ θέλημα καὶ τῶν ἐγχειρισθέντων πρὸς σωτηρίαν κυβέρνησιν. ὅς γε καὶ ἀναβάλλεται ἐπὶ τοῖς δυσχερέσι τούτοις καὶ ἀνιῶσιν. ἢ διὰ τὴν ἡμετέραν κακίαν καὶ βελτίωσιν ἐπανάγων ἡμᾶς, ἢ πρὸς τὸ ἐκείνων εἰς ἡμᾶς παραγυμνοῖσθαι τὸν κακοῦργον καὶ δύστροπον, ὡς ἂν μὴ λανθάνῃ πικρίᾳ ὕπουλος, ἐν ψυχῇ δολερῶς ἐμφωλεύουσα, ἀλλ' εἰς προὖπτον ἐξέλθοι καὶ ἐμφανὲς τὸ κρυπτόμενον.

Παροιμ. 18. Εἰ δὲ ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ, καὶ μεμοχλευμένον βασίλειον, καθὰ τὸ Σολομώντειον ἡμᾶς νενουθέτηκε. δέομαι μὲν καὶ ἄλλων πλειόνων εὐχῶν εἰς βοήθειαν μάλιστα δὲ πάντων, τῆς ὑμῶν ἐν πνεύματι ποθεινοτάτης καὶ ἱερᾶς ἀδελφότητος, ἱεραῖς εὐχαῖς καὶ πρὸν Θεὸν μεσιτείαις κεχρήσομαι, ὡς μεγίστην ἡμῖν φέρουσαι ὄνησίν τε καὶ ἐπικούρησιν, οἷα Θεῷ πλησιαζούσαις, καὶ πρὸς τὸ ἄνω καὶ νοερὸν ἀναφερομέναις θυσιαστήριον, καθαρῶς προσομιλούντων ὑμῶν καὶ ἀκροωμένων, σιγώντων τε καὶ ἐπιβοωμένων. καθάπερ οἱ περὶ Μωυσέα καὶ Σαμουὴλ ἠκούοντο, καὶ εἴ τις ἄλλος κατ' αὐτοὺς περὶ τῷ πνεύματι. διατοῦτο συλλαμβάνεσθέ μου τῇ ἀσθενείᾳ, καὶ χεῖρας ὁσίας εἰς ὕψος διάρατε. πεπείσμεθα γὰρ ὑπεῖναι ἀπὸ τῆς παῤῥησίας τὴν δύναμιν, ἄνωθεν ἡμῖν τὸν ἔλεον ἕλκοντες, καὶ ἵλεων τὸν Θεὸν ἡμῖν ἐργαζόμενοι, δυναμῶσαι καὶ ἐπιῤῥῶσαι τὸ ἀσθενές τε καὶ ἄτοπον, καὶ τὸν θώρακα ἠμφιεσ-
Ἐφεσ. 6. μένους τῆς πίστεως καὶ τὴν περικεφαλαίαν περιβαλλομένους, τσῆναι γενναίως πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκρά-
Θεσσ. 5. τορας τοῦ σκότους τοῦ αἰῶνος τούτου πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, πρὸς ἃς ἡμῖν ἡ πάλη καθέστηκεν, ἐδραῖόν τε καὶ ἀκατάβλητον τῆς
* διαφυλαχθῆναι. ψυχῆς * φυλαχθῆναι τὸ σύντονον, ἔτι καὶ πρὸς ὀπειθοῦντες καὶ ἀντιτείνοντας, αἰσίως καὶ δεξιῶς φέρεσθαι, καὶ ὡς τέκνα τούτους τῆς ἐκκλησίας υἱοποιεῖσθαι. καὶ πρόβατα * λογικῆς τῆς ἐκλεκ-
* λογικά. τῆς τοῦ Χριστοῦ ποίμνης καταρτίζοντες, καὶ τῇ θείᾳ μάνδρᾳ τῆς ἐκκλησίας ἐναυλίζεσθαι παρασκευάζοντες, ἀνάλωτα τοῖς ἀνηλεῶς σπαράσσουσι λύκοις γίνεσθαι τοῖς ὁμονοίας καὶ συμπνοίας σημάντροις ἐσφραγισμένους, ἀνεπιβουλεύτους καὶ ἀτρώτους * ὑπάρχοντας. ἵνα τῇ πάντων ἡμῶν κεφαλῇ Χριστῷ τῷ ἀρχιποίμενι ὑποτάσσοιντο, καὶ εὐήνιον αὐτῷ τὸν αὐχένα ὑποφέροιεν.

* διαμένοντας.

Καθαρθῆναι δὲ ἡμᾶς καὶ λαμπρυνθῆναι, καὶ γενέσθαι τέλεια τελείου φωτὸς γεννήματα, ὥστε δύνασθαι καὶ ἄλλοις μεταδιδόναι λαμπρότητος καὶ καθάρσεως, δοθῆναι δὲ ὑμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος εἰς τὸ πληροῦν τοὺς ἀκροωμένους πνεύματος, καὶ κηρύσσιεν ἀόκνως καὶ συν-
Ἐφεσ. 6. τονωτάτως τῶν καθ' ἡμᾶς μυστηρίων τὴν δύνα-
* μογιλάλων μιν, χάριτι τοῦ τρανοῦντος γλῶσσαν * μογγιλάλον, καὶ πόδας ὀρθοῦν δυναμένου χωλεύοντας, καὶ τρέχειν καλῶς πρὸς τὴν τοῦ εὐαγγελίου ἑτοιμασίαν κρατήνοντος καὶ στηρίζοντος. πολλαπλασιάσαι δὲ τὸ συγχωρηθὲν τάλαντον καὶ ἐν καιρῷ τῷ δεσπότῃ τὸ ὀφειλόμενον, ἐργάζεσθαι δὲ εἰς τὸν καλὸν ἀμπελῶνα, καὶ τὸ δόκιμον τῆς ἐργασίας ἀπενέγκασθαι, διενεγκόντας μὲν τῶν πόνων μεγαλοψύχως τὸ βαρύ τε καὶ δυσαχθέστατον, καὶ βαστάσαντας γενναίως τῆς ἡμέρας τὸν
Ματθ. 20. καύσωνα, καὶ τοῖς περὶ τὴν ἑνδεκάτην εἰσιοῦσιν ἀσυμφώνους ἐν τῇ διανομῇ τῆς μισθαποδοσίας συγκαταλεχθήσεσθαι. αὐγασθῆναι δὲ ἡμῶν τῆς διανοίας τὸ ὀπτικὸν, καὶ τῇ διόπτρᾳ ἐνατενίζοντας τῇ τοῦ πνεύματος, ὥστε προφητικῶν φωνῶν ἀκροατὰς γίνεσθαι, θείων τε προσταγμάτων προθύμους ὑπηρέτας καὶ τούτου ποδεδεγμένους τὴν δωρεὰν, τὸ θολοῦν τὸν τῆς ψυχῆς ὀφθαλμὸν καὶ τὸ ἐν ἡμῖν νοερὸν ἐπισκιάζον ἐκκαθαίρεσθαι καὶ ἀπονίπτεσθαι, πανταχόθεν μὲν ἑαυτοὺς περιφρουρεῖν, καὶ συντηρεῖν ταῖς τῶν ἐναντίων βολίσι μένειν ἀπροσβλήτους· προβλέπειν δὲ τὴν ῥομφαίαν, ἡνίκα ἐπὶ τοῖς ἁμαρτάνουσι θεήλατος παραγίνεται, ἵνα εἰ μὲν οἷόν τε παράσχῃ Θεὸς, ὅτε, σημαίνων τὴν ἔφοδον τὸ θεῖον ἐξιλεούμενος, αὐτός τε καὶ οἱ κηρυσσόμενοι ἐκ τῆς ὁρμῆς διαφύγοιεν. εἰ δὲ
Γεν. 19. 22. μὴ τοῦτο, τὴν ἐμαυτοῦ διασώσωμαι ψυχὴν· κατὰ τὸν Λὼτ ἐκεῖνον, τὸν δίκαιον, ὃς σῶσαι τὴν ἑαυτοῦ ψυχὴν τοῦ ἐμπρησμοῦ διεπραγματεύσατο· καὶ τὰ μὲν τῆς ὑμετέρας εὐχῆς τε καὶ πνευματικῆς συμμαχίας ἐνταῦθα κείσθω. καιρὸς δὲ λοιπὸν πάρεστι, τὴν μεγάλην τῆς ἀληθείας σάλπιγγα, τὸν μεγαλοφωνότατον τοῦ εὐαγγελίου κήρυκα Παῦλον, καταθρήσαι τὸν ἀοίδιμον ἐπὶ τοῖς πάλαι πιστοῖς Ρωμαίοις ἄγαν παρακαλούμενον, καὶ οἷον σκιρτῶντα τῷ πνεύματι, καὶ πρὸς τὸ τῆς πίστεως αὐτῶν σπουδαῖον καὶ θερμὸν, μεγαφρονοῦντα καὶ φιλοτιμούμενον, καὶ
Ρωμ. 1. 8. μαρτυροῦντα, ἐφ' ὅλοις τε τοῦ κόσμου τοῖς πέρασι περιηχούμενον καὶ διαγγελλόμενον, καὶ μεγαλαυχοῦντα λέγειν· δι' ὧν αὐτοῖς ἐπιστέλλων φαίνεται, εὐχαριστῷ τῷ Θεῷ μου, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. καὶ ἐπειδὴ ἡ καθ' ἡμᾶς τοῦ εὐαγγελίου καθαρὰ καὶ ἀκί-

βδη-

ϐδηλος πίστις, καὶ ὑπὲρ ἣν οὐκ ἔστιν ἑτέρα, οὔτε Ρωμαϊκοῖς ὅροις συστελλομένη περιγράφεται, οὔτε πέρασι περικοσμίοις ὁρίζεται. ἐπὶ τοσοῦτον δὲ μᾶλλον ὑπερήπλωται καὶ ὑπερκέχυται, καὶ προφητικαῖς καὶ ἀποστολικαῖς φωναῖς παρορμώμενος φάναι. εἰς πᾶσαν τὴν γῆν ὁ τοῦ θείου κηρύγματος γθόγγος ἐξελήλυθε καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τῶν κηρυσσόντων τὰ ῥήματα.
Ρωμ. 2. εἰ δὲ δεῖ καὶ τούτων εἰπεῖν ὑψηλότερον, αὕτη καὶ ἐν οὐρανῷ ταῖς ἀνωτάτω καὶ νοεραῖς δυνάμεσι παῤῥησιάζεται. εἰ γὰρ καὶ μία ἐκκλησία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, καὶ ἐκκλησίαν πρωτοτόκων ἐν οὐρανοῖς δεδικαιωμένην ἐκεῖθεν ἀκούομεν, καὶ πόλις
Ψαλμ. 10. Ρωμ. 8. τῶν ἐν πίστει δεδικαιωμένων ἡ ἄνω Ιερουσαλήμ· ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ὃ καὶ κατήλλαξε τὰ ἐπουράνια τοῖς ἐπιγείοις, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λέλυκε, καὶ τὸ ἀπολωλὸς ἐπὶ τῶν ὤμων ἀράμενος δι' ἀφράστου συγκαταβάσεως τοῖς σωζομένοις καὶ μένουσιν ἐγκατέμιξε· ταύτῃ τοι καὶ μάλα δικαίως τὸ ἐνιαῖον καὶ ἀδιάστατον ἔχομεν· ἡνίκα
* σύνεισιν. Ψαλμ. 75. σύνεσιν καὶ σύμπνοιαν ἡ κτίσις τῇ πίστει * συνοῖσεν. οὐ γὰρ ἐν τῇ Ιουδαίᾳ μόνον γνωστὸς ὁ Θεός.

Καὶ οἱ τὸ νέον τῶν Ρωμαίων ὄνομα κληρωσάμενοι, ἅτε δὴ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ θεμελίου ᾠκοδομημένοι τῆς πίστεως, φαμὲν δὴ τῶν ἀποστόλων καὶ προφητῶν πανσόφων τεχνιτευμάτων· τεθέντος ἀκρογωνιαίου λίθου τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, καὶ Θεοῦ, κατ' οὐδὲν ἐν πίστει τὰ δεύτερα τῶν πρεσβυτέρων ἀποφερόμεθα. ἐν γὰρ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ οὐκ ἔστι τὸ προαριθμούμενον· καθάπερ οὐκ ἔστιν Ιου-
* οὐ Σκύθης, δαῖος, οὐχ Ελλὴν, * οὐ βάρβαρος, οὐ δοῦλος, οὐκ ἐλεύθερος· ἀλλὰ πάντες ἐν Χριστῷ ἓν ἐσμέν. τοιγάρτοι καὶ ἐν ἡμῖν ὁ θεῖος Παῦλος κομπαζέτω, καὶ αὐχείτω μέγα, καὶ σεμ-
Κολασ. 3. νυνέσθω συνάπτων τοῖς παλαιοῖς τὰ νέα, καὶ συγκρίνων ἔν τε δόγμασι καὶ κηρύγμασιν, οὗ καὶ ἡμεῖς ταῖς διδασκαλίαις καὶ ὑποθήκαις ἱπόμενοι ἐφ' αἷς ἐῤῥιζώμεθα κραταιούμενοι τῇ ὁμολογίᾳ τῆς πίστεως ἡμῶν, ἐν ᾗ ἑστήκαμεν καὶ καυχώμεθα, καὶ τὰς ἡμετέρας ὑπολήψεις, αἵ τινές ποτε εἰσὶ περὶ τὴν οὕτως εὐκλεᾶ καὶ ἀμώμητον ἡμῖν θρησκείαν ἀνακεκαλυμμένῳ προσώπῳ διαπρυσίως κηρύσσομεν, μεθ' ἧς τῷ Θεῷ λατρεύομεν, καὶ ἣν ἀναπνεῖν διαπαντὸς, ἢ τὸν ἀέρα, ἀκλινῶς ἔχομεν· ᾗ καὶ συναπέρχεσθαι τῆς ἐνθένδε ζωῆς κατισχυριζόμεθα, τῇ ἄνωθεν χάριτι δυναμούμενοι καὶ φρουρούμενοι, ὡς οὐκ ἔστιν ἄλλην ὁδεῦσαι ἢ ἐπιβῆναι ἢ τὰ τῆς παρούσης ζωῆς εὖ θέσθαι ἢ τῶν ἐντῇ μελλούσῃ ἀποκειμένων τοῖς ἀξίοις ἀγαθῶν ἐπιτεύξασθαι.

Ομολογῶ τοίνυν πιστεύειν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν πάντων ποιητὴν καὶ δεσπότην καὶ κύριον, καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ τὸν κύριον ἡμῶν Ιησοῦν Χριστὸν· τὸν ἀληθινὸν Θεὸν, τὸν προαιώνιον λόγον, τὸν ἀνάρχως καὶ ἀφράστως ἐξ αὐτοῦ γεννηθέντα, ἀλήπτως καὶ ἀπερινοήτως πάσῃ νοητῇ καὶ αἰσθητῇ κτίσει, καὶ εἰς τὸ πνεῦμα τῆς ἀληθείας, τὸ ζωαρχικὸν καὶ πανάγιον. τριάδα ὁμούσιον, ὑπερούσιον, ἀόρατον, ἀκατάληπτον, ἀχώριστον, ἀναλλοίωτον, ἁπλῆν καὶ ἀμερῆ καὶ ἀσύνθετον, ἀδιάστατον, ἀΐδιον, ἀσώματον, ἄποιον, ἄποσον, ὁμότιμον, ὁμόδοξον καὶ ὁμόθεον. ἀναφῆ τε καὶ ἀψηλάφητον, καὶ ἀσχημάτιστον, ἀπειράγαθον, φῶς ἀειλαμπὲς, τριλαμπὲς, ὑπέρφωτον. ἀεὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτὰ ἔχουσαν. πάντων ἐποπτικὴν καὶ τελειωτικὴν δύναμιν, πᾶσι τοῖς λογικοῖς τε καὶ νοεροῖς, νοερῶς καὶ ἀμερῶς τῇ * προνοίᾳ τοῦ θείου φωτὸς ἐπιλάμπουσαν ἀναλόγως ταῖς τῶν φωτιζομένων παραδοχαῖς, καὶ πρὸς τὸ εἶναι * διατηροῦσαν ἐν ὑφεστῶσι πράγμασι καὶ οὐ ψιλοῖς ὀνόμασι γνωριζομένην, μιᾷ θεότητι, καὶ ἐξουσία, καὶ βασιλείᾳ δοξαζομένην, καὶ προσκυνουμένην ὑπὸ πάσης ὁρωμένης καὶ ἀοράτου κτίσεως.

* προχύσει.

* καὶ εἶναι.

Τῶν ἐν τριάδι θεωρουμένων, τὸ μὲν, πατὴρ ἄναρχος καὶ ἀναιτίως ὑπάρχων. οὐ γὰρ ἔκ τινος, ἐν ἑαυτῷ γὰρ τὸ εἶναι ἔχων· τὸ δὲ υἱὸς καὶ οὐκ ἄναρχος, ἐκ τοῦ πατρὸς γὰρ, ἀρχὴ γὰρ υἱοῦ πατὴρ, ὡς αἴτιον. εἰ δὲ τὴν ἀπὸ χρόνου λαμβάνοις ἀρχὴν καὶ ἄναρχος. ποιητὴς γὰρ χρόνων οὐχ ὑπὸ χρόνον. γεννητῶς μὲν, ἀϊδίως δὲ καὶ ἀδιαστάτως ἐκλάμψας τῷ πατρί· ὡς * ἀπαύγασμα τῆς δόξης καὶ τῆς πατρικῆς χαρακτὴρ ὑποστάσεως. τὸ δὲ πνεῦμα ἅγιον ἐκ τοῦ πατρὸς τὴν ὕπαρξιν ἔχον, οὐ γεννητῶς μὲν ἀλλ' ἐκπορευτῶς, ἀϊδίως πατρὶ καὶ υἱῷ συνθεωρούμενον, οὐκ ἄναρχον μὲν διὰ τὴν ἐκ τοῦ πατρὸς ἐκπόρευσιν· ἀρχὴ γὰρ καὶ αὐτοῦ ὁ πατὴρ κατὰ τὸν τοῦ αἰτίου λόγον. ἄναρχον δὲ καὶ αὐτὸ κατὰ χρόνον.

* ἀπαύγασμα

Εἷς οὖν Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ιησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα ἅγιον, ἐν ᾧ τὰ πάντα, ἐκ τῶν τριῶν τελείως ἓν ὑπερτελὲς καὶ προτέλειον ἡ θεότης. τοῖς μὲν ἀφοριστικοῖς καὶ προσωπικοῖς ἰδιώμασι καὶ ἀλλήλοις διαφέροντα. ἕκαστον γὰρ τούτων, τῶν φύσει ἀχωρίστων διὰ τὸ συναφὲς τῆς οὐσίας, ἡνίκα ταῖς τοῦ νοῦ ἐπιβολαῖς μερίζεται Θεὸς ὁμολογεῖται παρ' ἡμῶν, καὶ πιστεύεται, πάντων πληρέστατον ὑπάρχον τῶν τῆς θεότητος ἰδιωμάτων. καὶ τὰ τρία ἀλλήλοις συναπτόμενα, εἷς Θεὸς παρ' ἡμῖν προσκυνεῖται, τριαδικῶς μὲν κατὰ τὴν ὑπόστασιν, μοναδικῶς δὲ κατὰ τὴν οὐσίαν, καὶ μοναρχία παρ' ἡμῖν τὸ τιμώμενον οὐ πολυαρχία διὰ τὸ ἄτακτον καὶ στασιῶδες τῆς Ελληνικῆς ἐμβροντησίας καὶ συγχύσεως. μοναρχία δὲ, οὐχ * ἡ ἑνὸς προσώπου περιγραφὴ, διὰ τὸ ἀτελὲς καὶ στοιχειῶδες τῆς Ιουδαϊκῆς πενίας καὶ νηπιότητος· ἀλλ' ἣν φύσεως ὁμοτιμία, καὶ γνώμης σύμπνοια, καὶ ταυτότης κινήσεως δείκνυσιν, καὶ πρὸς τὸ ἓν ἡ τῶν ἐξ αὐτοῦ σύνεσις· ὅπερ ἐπὶ τῆς γεννητῆς φύσεως ἀμήχανον. ᾗ φησιν ὁ μέγας ἐν θεολόγοις Γρηγόριος, καὶ οὐδὲν τὸ συνημμένον καὶ συμφυὲς τῆς ἐν τριάδι θεωρουμένης θεότητος διατέμνεται. ἀλλοτριούσθω γὰρ ἡμῶν,

* ἣν ἐν προσώπων περιγραφῇ,

μῶν, καὶ ἀποτεμνέσθω ἡ τοῦ μανιώδους Ἀρείου κακοδοξία καὶ λύσσα. ἀδιαίρετος γὰρ ἡ αὐτὴ τριὰς, δόξῃ καὶ ἀϊδιότητι μὴ μεριζομένη μηδὲ ἀπαλλοτριουμένη, οὔτε τῶν θεαρχικῶν ὑποστάσεων μεταπιπτουσῶν καὶ περιχωρουσῶν εἰς ἀλλήλας. ἀλλ' ἐφ' ἑκάστης τούτων ἀμεταπτώτου καὶ ἀσυγχύτου φυλαττομένης τῆς ἀϊδιότητος. πόρρω γὰρ ἀποπεμπέσθω καὶ ἀπελαυνέσθω ἡ τοῦ ματαιόφρονος Σαβελλίου ἀπατηλικὴ σύγχυσις.

Σέβω δὲ καὶ προσκυνῶ τὸ πρὸ πάντων τῶν αἰώνων ὡρισμένον μυστήριον, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων ἀποκαλυφθὲν ἐπὶ σωτηρίᾳ παντὸς τοῦ γένους ἡμῶν, καὶ ἐπιτελεσθὲν διὰ τῆς μεγάλης συγκαταβάσεως, καὶ ἀρρήτου οἰκονομίας τοῦ ἑνὸς τῆς ἁγίας καὶ ζωοποιοῦ τριάδος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· ἵνα, ὅθεν ἡμῖν τὸ εἶναι ὑπῆρξε διὰ τὴν ἄφατον αὐτοῦ ἀγαθότητα, ἐντεῦθεν καὶ τὸ εὖ εἶναι ἡμῖν χαρισθείη. ὁμολογῶ οὖν καὶ πιστεύω, αὐτὸν τὸν ἕνα τῆς ζωαρχικῆς καὶ μακαρίας τριάδος τὸν τοῦ Θεοῦ υἱὸν τῆς καὶ λόγον τὸν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ἀϊδίως συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, ὡς ὁμοούσιον καὶ σύνθρονον ἀπείρῳ φιλανθρωπίᾳ κινούμενον πρὸς οἶκτον τοῦ οἰκείου πλάσματος, εὐδοκίᾳ πατρικῇ καὶ οἰκτιρμοῖς, χάριτί τε καὶ συνεργίᾳ τοῦ παναγίου πνεύματος, κατελθόντα ἐκ τῶν οὐρανῶν τοῖς ἀνθρώποις συναναστραφῆναι· ἵνα τοὺς κατακριθέντας ἡμᾶς πάλαι τῇ ἁμαρτίᾳ, καὶ τῆς τρυφῆς ἐκπεπτωκότας παραδείσου, καὶ τῇ φθορᾷ ὑπενηνεγμένους χάριτι ἀνασώσηται, καὶ θείας κοινωνοὺς ἀπεργάσηται φύσεως. ἐνοικήσας γὰρ ἐν τῇ γαστρὶ τῆς παρθένου, καὶ κυρίως καὶ ἀληθῶς θεοτόκου, καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ πνεύματι, καὶ ὅλον εἰς ἑαυτὸν ἀνειληφὼς ἐξ αὐτῆς τὸ ἡμέτερον, ὥσπερ ἐν ἀρχῇ ζωοπλαστήσας τὸν ἄνθρωπον. προῆλθε Θεὸς σεσαρκωμένος μείνας τοῦτο ὅπερ ἦν Θεός. Παρθένον καὶ μητὰ τόκον τὴν ὑπερφυῶς καὶ ἀρρήτως τεκοῦσαν συντηρήσας· μηδαμῶς τῆς κατὰ φύσιν παρθενίας τραπείσης εἰς ἔνδειξιν ἀληθῆ τῆς κατὰ τὴν πρόοδον αὐτοῦ τῆς γεννήσεως ἀτρεψίας καὶ ἀναλλοιώτου διαμονῆς. ὁ τῷ πατρὶ γὰρ συμφυὴς ὁ ὁμοούσιος ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας γενόμενος, σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, παραπλησίως ἡμῖν κεκοινωνηκὼς αἵματος καὶ σαρκός· σάρκα ἐμψυχωμένην ἀνείληφε ψυχῇ λογικῇ καὶ νοερᾷ οὐδαμῶς προϋποστᾶσαν τῆς ἄκρας ἑνώσεως. ἀλλὰ μία σὰρξ ἔμψυχος λογικὴ ἐπὶ τῆς κατὰ Χριστὸν συμφυΐας πιστεύεται, οὐ κατὰ χάριν σκηνώσας ἐν ἡμῖν, ἀλλ' ὅλος ὅλῃ τῇ ἀνθρωπείᾳ φύσει συμπλακείς· ἀσυγχύτως, καὶ ἀδιαιρέτως καὶ ὑπερφυῶς τὴν ἕνωσιν ἐργασάμενος, ἵνα αἱ συνελθοῦσαι οὐσίαι θεότητός τε καὶ ἀνθρωπότητος, ἐν ἰδιότητι τῇ κατὰ φύσιν διαμείνωσι, καὶ οὐδαμῶς εἰς ἀλλήλας μεταβῶσιν. εἰ καὶ κατακλίσεις τῷ λόγῳ τῆς συμφυΐας παραχωρεῖν εὐσεβῶς νοοῦμεν διὰ τὴν τῶν ὀνομάτων ἐπίζευξιν. ἐπινοίᾳ γὰρ μόνῃ καὶ οὐ πράγματι διΐστασθαι δοξάζομεν, διὰ τὴν ὑπερφυᾶ τῶν συνελθόντων ἕνωσιν.

Τὸ μοναδικὸν δὲ καὶ ἑνιαῖον τῆς ὑποστάσεως, φυλάττεσθαι πιστεύομεν ἄτμητον καὶ ἄρραγὲς διαμένον. καταβαλέσθω γὰρ ἡ φαντασιώδης τοῦ ἀπαταιῶνος * Εὐτυχίου, καὶ Διοσκόρου σύγχυσίς τε καὶ συνουσίωσις, ἐντεῦθεν τὸν αὐτὸν κτιστὸν καὶ ἄκτιστον ὁμολογοῦμεν· προαιώνιόντε καὶ ὑπέρχρονον, οὐράνιόν τε καὶ ἐπίγειον, περιγραπτόν τε καὶ ἀπερίγραπτον, παθητόν τε καὶ ἀπαθῆ, ἀμήτορα καὶ ἀπάτορα, τὸ μὲν διὰ τὴν ἄρρητον, καὶ ἄναρχον, καὶ προαιώνιον ἐκ πατρὸς γέννησιν, τὸ δὲ διὰ τὴν καθ' ἡμᾶς κρυφίαν τε καὶ ἀπερινόητον ἕνωσιν, καὶ δύο αὐτοῦ τὰς γεννήσεις κηρύσσομεν, ἀκαταλήπτους καὶ ὑπὲρ λόγον τυγχανούσας. ὁ γὰρ ἐν μορφῇ Θεοῦ ὑπάρχων μονογενὴς υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός· τουτέστιν ὁ ἐν οὐσίᾳ τοῦ πατρὸς προαιώνιος ἐξ αὐτοῦ ἐκλάμψας. ἐπὶ συτελείᾳ τῶν αἰώνων, ἑαυτὸν κεκένωκε, καὶ τὴν τοῦ δούλου μορφὴν ἀνέλαβεν, ὅ ἐστι τὴν ἡμετέραν οὐσίαν.

Ἡ ἐν Χριστῷ οὖν καθ' ὑπόστασιν ἕνωσις, ἄλλο μὲν πρὸς ἄλλο τὰ ἐξ ὧν ὁ σωτὴρ, συνάγει, οἷον δὴ τὸν ἀόρατον καὶ ὁρώμενον, παθητὸν καὶ ἀκήρατον, οὐκ ἄλλον δὲ καὶ ἄλλον μὴ γένοιτο. Θεὸν τὸν αὐτὸν τέλειον ἀληθῆ καὶ ἄνθρωπον τέλειον ὁμολογοῦμεν τὸ διάφορον τῶν φύσεων προσνέμοντες, ἕνα καὶ τὸν αὐτὸν γινώσκοντες, καὶ μητὰ τὴν σάρκωσιν, οὐκ εἰς δύαδα υἱῶν μερίζοντες, διὰ τὸ ἑτεροῖον τῶν συνδραμουσῶν ἐπὶ τῆς καθ' ὑπόστασιν ἑνώσει φύσεων, ἵνα ἐξωθῇ τῆς θείας αὐλῆς ὁ παράφρων Νεστόριος, πάντα δὲ τὰ τῆς θεανδρικῆς αὐτοῦ ἐνεργείας ἐπιτελέσαντα. ὡς γὰρ Θεὸς ἐνήργει τὰ θεῖα, δι' αὐτῶν τὰς θεοσημείας καὶ τὰ θαύματα ἐργαζόμενος, ὡς ἄνθρωπος δὲ, ὁ αὐτὸς τὰ πάθη καὶ τὰς ὕβρεις ἑκουσίως κατεδέξατο. διατοῦτο μητὰ τῶν δύο φύσεων ἀκολούθως καὶ ἀναγκαίως, ἰσαρίθμους καὶ τὰς φυσικὰς αὐτοῦ ἐνεργείας δοξάζω, ὡς δηλωτικὰς καὶ συστατικὰς αὐτῶν τῶν οὐσιῶν, ἤγουν φύσεων, κατὰ τὰς θεοσεβεῖς καὶ θεοπρεπεῖς τῶν θεοσόφων ἡμῶν πατέρων παραδόσεις. ὡσαύτως καὶ δύο θελήσεις ἤγουν θελήματα φυσικὰ τοῦ αὐτοῦ ἑνὸς κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ πρεσβεύω. θελητικὸν γὰρ αὐτὸν γινώσκω καθ' ἑτέραν τῶν φύσεων, ἐξ ὧν καὶ ἐν αἷς ὑπάρχει καὶ νοεῖται. ὥσπερ ἐνεργοῦντα οὕτω καὶ θέλοντα· ἐπὶ τὸ πάθος δὲ τὸ σωτήριον ἑκουσίως ἐλθόντα.

Πιστεύω αὐτὸν σταυρωθῆναι οὐκ ἐν ᾗ διαλάμπει σὺν τῷ πατρὶ οὐσίᾳ. εἰ καὶ τὸν κύριον τῆς δόξης ἐσταυρῶσθαι * λέγεται τῷ λόγῳ τῆς ἀντιδόσεως. ἀλλὰ τῇ καθ' ἡμᾶς * γερᾷ φύσει· καθ' ἣν τὸ χοϊκὸν ἡμῶν ἀνέλαβε φύραμα. καὶ κατάρα ὑπὲρ ἡμῶν γέγονεν, ἵνα τῆς παρ' ἑαυτῷ εὐλογίας κοινωνοὺς ἡμᾶς ἀναδείξῃ, καὶ τὸν

* Εὐτυχέος.

* γέγραρτα
* γεκρᾷ.

τῶν

τῆς κακύργων κατὰ τὴν σάρκα διέχετο ὑπομεῖναι θάνατον, ἵνα τὸ τῦ θανάτου κέντρον, τὴν ἁμαρτίαν κατακρίνῃ ἐν τῇ σαρκὶ αὐτῦ, καὶ καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τῦ θανάτου, τουτέστι τὸν διάβολον· ταφῇ δὲ παραδοθὲν αὐτῦ τὸ σῶμα ἄφθαρτον διατηρήσαντα μηδαμῶς τῆς ἀπορρήτου καὶ ἀνεκφράστου διαιρεθὲν ἑνώσεως. εἰ καὶ τῆς λογικῆς αὖθις καὶ νοερᾶς ψυχῆς ἐχωρίσθη ἐν τῷ τεμνέρῳ διαστήματι· μεθ' ἧς αὐτὸς καὶ εἰς ᾅδου καταβέβηκε, καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν, ὡς ὁ κορυφαῖος καὶ θεῖος ἔφησε Πέτρος, πορευθεὶς ἐκήρυξε τὴν ἀνάστασιν, καὶ τὴν ἐλευθερίαν καὶ ἀπολύτρωσιν ἐχαρίσατο, ἀφθαρσίας δὲ ἡμῖν ἀπαρχὴ γέγονεν· ἐν ᾧ πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνεβίωσεν. ἀνέστη γὰρ ὡς Θεὸς, πατήσας τὸν θάνατον, προοδοποιῶν πάσῃ σαρκὶ, τὴν ἀνάστασιν, καὶ σωανέστησεν ἡμᾶς, τοὺς πεσόντας τῷ τῆς ἁμαρτίας πτώματι.

Ἐπιστάντα δὲ μὴ τὴν ἀνάστασιν ταῖς Γυναιξὶ, καὶ τὴν χαρὰν αὐτοῖς προαγγείλαντα, καὶ τὴν ἐκ τῦ θήλεος ἡμῖν ἀνασκήψασαν λύπην ἐξαφανίσαντα, ὀφθέντα δὲ καὶ τοῖς θεσπεσίοις αὐτῦ μαθηταῖς τὸ τῆς ἀναστάσεως αὐτῦ πιστούμενον μυστήριον· καὶ δεικνύντα, * τὶς αὐτὸς ἦν καὶ πρὸ τῆς ἀναστάσεως διάτε τῆς βρώσεως, καὶ τῆς τῦ σοφῦ Θωμᾶ κατὰ τὴν θείαν πλευρὰν ἐπαφῆς. ἀναληφθέντα τε εἰς τοὺς οὐρανούς· καὶ καθεσθέντα ἐκ δεξιῶν τῦ Θεῦ καὶ πατρὸς μὴ τοῦ προσλήμματος· μεθ' οὗ αὖθις ἐλεύσεται ἐν δόξῃ θεοπρεπεῖ καὶ ἐξουσίᾳ τῇ κατὰ πάσης κτίσεως, καὶ κριτὴς καθεσθήσεται ἑκάστῳ κατὰ τὸ βεβιωμένον ἀποδιδύς. πάντας γὰρ ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τῦ βήματος τῦ Χριστῦ.

Μετὰ ταῦτα πιστεύω καὶ σαρκὸς ἀνάστασιν, ἵνα ἡ τῦ κόσμου μετασχηματίσεως γένηται, ἵνα τὸ θνητὸν ἡμῶν ἐνδύσηται ἀθανασίαν, καὶ τὸ φθαρτὸν ἀφθαρσίαν περιβάληται. ὁμολογῶ καὶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· τὸ εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τελούμενον κατὰ τὴν διαγγελικὴν καὶ θείαν παράδοσιν. ταῦτα τῆς ὀρθοδόξου, καὶ ἱερᾶς ἡμῶν λατρείας σεβάσμια δόγματα καὶ μυστήρια κατά τε τὴν παραδοθεῖσαν ἡμῖν παρὰ τῆς θείων μυσταγωγῶν ὑφυλλώτε καὶ ἀκραιφνεστάτην θεολογίαν, καὶ τὴν σωτήριον περὶ ἡμᾶς τῦ Θεῦ λόγου οἰκονομίαν, καὶ ὅσα τύποις συμβαίνοντα ἐφάμιλλα κηρύγματι μὴ πάσης ἀποδοχῆς καὶ πίστεως σωτηρῶτε καὶ ἀσπάζομαι.

Ἀποδέχομαι δὲ καὶ ἐξαιτῶ τὰς τε προσβείας καὶ προὸς Θεὸν ἀντιδόξεις. πρῶτον μὲν καὶ ἐξαίρετον, τῆς παναγνου καὶ παναμώμου καὶ ἀειπαρθένου δεσποίνης ἡμῶν θεομήτορος· ἔπειτα τῆς θείων καὶ ὑρανίων δυνάμεων, τῆς ἁγίων καὶ πανευφήμων ἀποστόλων, τῆς μακαρίων προφητῆς, καὶ ἐνδόξων καὶ καλλινίκων μαρτύρων, καὶ θεοφόρων πατέρων, καὶ πάντων τῆς ἁγίων τῆς ἀπ' αἰῶνος εὐαρεστησάντων τῷ κυρίῳ· οἳ ζῶσι διαπαντὸς ἐν αὐτῷ. ψυχαὶ γὰρ δικαίων ἐν χειρὶ κυρίου, ὡς μεγίστην σωτηρίαν ἐντεῦθεν ψυχῆς καὶ σώματος καρπούμενοι.

Προσκυνῶ δὲ καὶ περιπτύσσομαι τὰ σεβάσμια αὐτῆς λείψανα, ὡς ἀξιον ψυχικῶν τε καὶ σωματικῶν παθημάτων τυγχάνοντα. ἀνυμνῶ οὖν αὐτῆς τὸ σεμνὸν καὶ ἔνθεον πολίτευμα καὶ τοὺς ἀοιδίμους αὐτῆς ἀγῶνας καὶ ἆθλους. χαίρω τὰς θήκας, ἃς ταῖς ἀνωτάτω τιμαῖς σεφανῶ αὐτάς· ὅτι ὑπὲρ τῆς δόξης τῦ πάντων ἡμῶν σωτῆρος Θεῦ τὸ αἷμα ἐξέχεαν, καὶ τῆς προσκαίρου ζωῆς διὰ τὸν εἰς αὐτὸν ἀγάπην κατεφρόνησαν, μιμηταὶ τοῦ ζωοποιοῦ καὶ σωτηρίου πάθους αὐτοῦ γινόμενοι. ἀσπάζομαι ἅμα τῇ τῦ πάντων σωτῆρος Χριστῦ σεβασμίᾳ εἰκόνι τῆς τε παναγνου καὶ θεομήτορος καὶ τὰς σεπτὰς καὶ ἁγίας αὐτῆς χαρακτῆρας, προσνέμων αὐτοῖς τὴν κατὰ τιμὴν προσκύνησιν.

Πρὸς τούτοις ἀσπασίως ἀποδέχομαι καὶ τιμῶ τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους καὶ τὰ ἐν αὐταῖς δογματισθέντα καὶ κηρυχθέντα θεῖά τε καὶ ὑπερφυῆ καὶ σωτήρια δόγματα παρὰ τῆς ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν. ὃς κατὰ καιρὸν ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ποιμαίνειν τὴν ἐκκλησίαν αὐτῦ καὶ διέπειν.

Πρῶτα μὲν τὴν ἐν Νικαίᾳ συνελθοῦσαν τῆς τιή. ἀοιδίμων πατέρων ἡμῶν συνοδον, κατὰ τὸν δυσεβῆ καὶ μανιώδη Ἄρειον. ὃν τῆς ἐκκλησίας ἐξώσασα, πίστιν ἡμῖν ἀληθῆ καὶ δι' ὑπαίτιον διὰ τὸ ἱερὸν καὶ θεῖον συμβόλον ἐξεφώνησε· τὸν Θεὸν λόγον, καὶ τὸν Θεὸν υἱὸν, καὶ κτίσμα κατ' αὐτὸν, ὁμοούσιον δὲ τῷ πατρὶ καὶ συναναρχον, ὡς Θεὸν ἀληθινὸν καὶ κτίσιν τῆς ἁπάντων ὀρθοδόξως ἐδογμάτισεν.

Εἶτα τὴν μετ' αὐτὴν ἐν ταύτῃ τῇ Χαλκηδόνι τῶν πόλεων συναθροισθεῖσαν τῶν ρν'. θεοπνεύστων πατέρων· τὸν ἀνόσιον πνευματομάχον καθελοῦσαν Μακεδόνιον καὶ τὴν τὸ ἱερὸν συμβόλον ἔννοιαν ἐξαπλώσασαν, καὶ τοῖς τὸ ἁγίον πνεύματος λόγοις ἐπιξανώσασαν, Θεὸν ἀληθινὸν ὁμοούσιον τῷ πατρὶ καὶ τῷ υἱῷ, καὶ τὸ κτίσμα αὐτὸν βεβαιώσασαν, καὶ Ἀπολλινάριον τὸν Λαοδικέα, τὸν ὄντως ἄφρονα καὶ ἀνόητον τῆς ἐκκλησίας ἀποκηρύξασαν.

Μεθ' ἣν τὴν ἐν Ἐφέσῳ τὸ πρότερον συναγηερμένην, τῶν ἱερῶν ὁσίων διδασκάλων ἁγίαν συνοδον κατὰ Νεστορίου τοῦ ματαιόφρονος καὶ τῶν ἐκείνου βλασφημιῶν, ἣν καθελοῦσα, μίαν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν καθ' ὑπόστασιν ὑπόσασιν, καὶ δύο φύσεις ἀσυγχύτως καὶ ἀδιαιρέτως σοφῶς ἐδογμάτισε, τὸν αὐτὸν Θεὸν καὶ ἄνθρωπον ἀποφηνάσα, καὶ τὴν ἁγίαν Μαρίαν, κυρίως καὶ ἀληθῶς θεοτόκον ὁμολογήσασα.

Μετὰ ταῦτα τῶν ἐν Χαλκηδόνι συνδραμόντων ἑξακοσίων ἑβδομήκοντα ἁγίων θεοφόρων πατέρων, ἥτις τὸν δυσεβῆς, Εὐτυχέα καὶ Διόσκορον, καὶ τὴν ζοφώδη καὶ ἐσκοτισμένην αὐτῶν σύγχυσιν κατεδίκασε, καὶ τούτους ἀναθεματίσασα, τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ἐν δύο φύσεσι καὶ ὑ-

πασαν μιᾷ ἀσυγχύτως καὶ ἀδιαιρέτως δόσεβῶς ἀνεκήρυξεν.

Ἔτι μὴν καὶ τὴν αὖθις κατ' αὐτὴν τὴν θεοφρόνητον πόλιν συγκροτηθεῖσαν ἁγίαν πέμπτην σύνοδον τῶν ρξέ. ἁγίων πατέρων ἡμῶν. ἥτις τὰ Θεοδώρου καὶ Νεστορίου, πρὸς δὲ καὶ Ὠριγένους, Διδύμου τε καὶ Εὐαγρίου καὶ τῶν ἀμφ' αὐτοὺς κακοδόξων ἀσεβῆ δόγματα, τέως μὲν παρὰ τοῖς πολλοῖς κρυπτόμενα, τὴνικαῦτα δὲ πικρῶς ἀναφυέντα καὶ ἀναβλαστήσαντα ἐξέτεμε. δι' ὧν γὰρ αὐτοὶ ἐληρώδησαν μυθολογημάτων, Ἰουδαϊκῇ τε καὶ Ἑλληνικῇ μᾶλλον, ἢ Χριστιανικῇ δόξῃ ἐπηκολούθησαν.

Ἐξῆς τὴν ἕκτην τῶν ρό. ἱερῶν ἀνδρῶν οἰκουμενικὴν συνοδον καὶ αὐτὴν κατὰ τοῦτο τὸ βασίλειον ἄνυσμα συνηγμένην, καὶ τῶν κατὰ Χριστὸν φύσεων τάς τε ἰδιότητας καὶ φυσικὰς ἐνεργείας καὶ θελήσεις κηρύξασαν· ἀναθεματίσασαν δὲ Θεόδωρον τὸν τῆς Φαρὰν ἐπίσκοπον, καὶ Ὀνώριον, Κύρόν τε καὶ Σέργιον, Πύῤῥον, Παῦλον καὶ Πέτρον, τοὺς συγχωρήσει Θεοῦ κατὰ τὴν ἐκκλησίαν ἐν τῇ ἱερωσύνῃ ἐισφθαρέντας· ἔτι καὶ Μακάριον τὸν Ἀντιοχείας ὀνομαζόμενα πρόεδρον, καὶ Στέφανον τὸν τόπου μαθητήν· πρὸς δὲ καὶ Πολυχρόνιον, τὸν νηπιόφρονα γέροντα· οἷς δὴ θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ Θεοῦ ἐδόξαζον.

Ἐπὶ ταύτης δὲ πάλιν καὶ μὴν ταῦτα τὴν ἐν Νικαίᾳ τὸ δεύτερον συνελθοῦσαν τῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ρν. πατέρων ἑβδόμην καὶ ἱερὰν σύνοδον· ἥτις πάσας τὰς προλαβούσας ἁγίας συνόδους ἐπεσφράγισε, καὶ τὰ τούτων δόγματα, ὧν σεπτῶν καὶ ἱερῶν εἰκόνων τὴν ἀρχῆθεν παραδεδομένην τῇ ἐκκλησίᾳ προσκύνησιν ἀνεδέξατο, ὁρίσασα παραπλησίως αὐτὰς τῷ τύπῳ τοῦ ζωοποιοῦ σταυροῦ προσκυνεῖσθαι. ἀπεδόλομεν τῆς ἐκκλησίας τοὺς ἐφ' ὕβρει καὶ κατισροφῇ τούτων κινολογήσαντας, καὶ τῶν Χριστιανῶν κατηγορήσαντας, ὅτι ὡς θεοῖς αὐτοῖς προσεκύνησαν· τουτέστι Θεοδόσιον, Βασίλειον, Σισίνιον τοὺς παροράσει Θεοῦ ἱερατικῶν θρόνων ἄρξαντας.

Καὶ ταύτας τὰς εἰρημένας ἁγίας οἰκουμενικὰς συνόδους ἀποδέχομαι, καὶ πάντων τῶν ἐκείνων καὶ μακαρίων πατέρων τὰ τε δόγματα καὶ πονήματα ἀσπάζομαι, ὡς διδασκαλίαν ἀνεπίληπτον, καὶ σωτηρίας θεμέλιον, καὶ ὅς ἡ καθολικὴ ἐκκλησία προσίεται ἀποδέχομαι, καὶ ὅς ἀποδέχεται ἀποσρέφομαι. ἀποδάλλομαι δὲ καὶ παντελῶς ἀποτρέπομαι τοὺς ἀπὸ Σίμωνος τοῦ Μάγου, καὶ μέχρι τοῦ δεύρο τῆς δυσεβείας παντάπασιν ἀποπεπτωκότας, καὶ δόξαις πονηρῶν δογμάτων καὶ φθοροποιῶν ἐμφορουμένους, καὶ τὴν τῶν ἁγίων παράδοσιν ἀθετήσαντας, καὶ τὸν πικρὸν τῶν ζιζανίων σπόρον συναναμίξαι τῇ τῆς ὀρθοδοξίας ἀῤῥαγῇ τολμήσαντας αὐτούς τε ἀναθεματίζω, καὶ πάντας τοὺς ἑπομένους αὐτοῖς· καὶ ὡς λύμην τῆς κατὰ Χριστὸν ἐκκλησίας δλαπτύω καὶ τῷ ἀναθέματι καθυποβάλλω. ἡμεῖς μὲν οὖν τὸ ἡμέτερον φρόνημα τοῖς μακαριωτάτοις ὑμῖν καὶ θεοδιδάκτοις κατὰ ταῦτα δεδηλωμένων προσπεφωνήκαμεν τῷ ἄνωθεν κεκρατηκότι ἐκκλησιαστικῷ θεσμῷ ἑπόμενοι, οἵόντινι ἐμψύχῳ κήρυκι, τῷδε ἡμῶν προχρησάμενοι τῷ γράμματι, ἵνα ἐν Χριστῷ ἀγάπης καὶ πρὸς ἀλλήλους συμπνοίας καὶ ὁμονοίας τὰς ἐγγύας ἐπαγομένῳ· ἡ δὲ ὑμετέρα ποθεινοτέρα ἐν κυρίῳ ἀδελφότης ἀμείδοιτο ἡμᾶς πρῶτα μὲν δίχα τῆς πρὸς κύριον, ἔπειτα δὲ καὶ λόγοις τοῖς καθήκουσι καὶ πράγμασιν ἐπισηρίζουσι καὶ συνετίζουσιν, ἵνα ταῖς ὑμετέραις νομοθεσίαις καὶ διδασκαλίαις σήκωμα ἑδραῖον ἐν τῇ τοιαύτῃ πίσει ἀνελλιπῶς καὶ ἀκέραιοι· πάντα τὰ ἐν αὐτῇ μυσήρια, ἄνωθεν παραδεδομένα ἀπαράτρωτα φυλάττοντες, καὶ ἔσω τῶν ὅρων τῆς ἐκκλησιαστικῆς αὐλῆς ἰσάμενα, τῇ θείᾳ σύριγγι, τῇ τῆς ἀποστολικῆς καὶ πνευματικῆς διδασκαλίας δυσήμῳ περιδομδήσει, καὶ θεοπνεύστοις ἠχήμασι πάντα τὰ λογικὰ τῆς ἱερᾶς ποίμνης θρέμματα περιαθροίζοντες, καὶ τηροῦντες παρὰ τῶν ἐπιβουλευόντων θηρίων ἀλώβητα ἐνσεσημασμένα τῷ τοῦ ἀρχιποίμενος Χριστοῦ χρίσματι καὶ ὀνόματι.

Καὶ τὰ παρ' ἡμῶν ἀπολειπόμενα δι' ἑαυτῶν ἀποπληρῶτε, ὡς φιλάδελφοι καὶ φιλόσοργοι, ἵνα τὸ ὑμῶν πεῖσμα, εἰς τὸ ἡμέτερον χρησιμεύσῃ ὑσέρημα, καὶ τὸ ἐν λόγοις καὶ πράγμασιν ἡμῖν ἐνδέον, τῷ κατὰ τὸν βίον ὑμῶν ἱεροπρεπεῖ καὶ σεμνῷ παρασήματι * ἐποικοδομήσητε, καὶ ἐπαυξήσητε, μηδὲν μικρολογούμενοι περὶ τὸ δοθὲν * ὑμῖν χάρισμα. ὁ γὰρ ἐλάττωσιν φέρει τοῖς ἀφθόνως παρέχουσιν, ἀλλ' εἰς τὸ πολλαπλάσιον δικαίρως δικλεεῖς τοὺς καρποὺς τοῖς προαιρουμένοις ἀποδίδωσιν· ὑπερείδωσιν ἡμᾶς ὡς ἀσθενεστέρους ἢ παρ' ἑαυτῶν θεοσδότῳ δυνάμει, καὶ κατιρτίζωσι τοὺς πόδας ἡμῶν εἰς τὴν τοῦ δαγγελίου τρίδον καὶ συμδιδάσειν τὸ ὀνησιφόρα καὶ σωτηρίας ἐχόμενα μὴ δυαλίποιτε· ἵνα ὥσπερ ἐν τῇ ὁμολογίᾳ τὸ σιαῖον καὶ ἀδιάφορον ἔχωμεν· οὕτω καὶ ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης συναρμοζόμενοι καὶ συνδεόμενοι ἀναπόσασον τῆς εἰρήνης τὸ δῶρον ἐν τῇ πεπισδευμένῃ ἡμῖν διακονίᾳ ἐφ' ἡμῖν αὐτοῖς κατάσχωμεν· ἢ τὸ ἀδιάτμητον καὶ σύμφωνον τῇ ἐκκλησίᾳ περιποιεῖται· ὅπως ἐντεῦθεν ἡ νοητὴ πόλις τοῦ βασιλέως τοῦ μεγάλου τειχιζομένη καὶ περιφρουρουμένη ἀκατάσλητος καὶ ἀσόρητος διαμένῃ ἐκ πάσης προσβολῆς τε καὶ τέχνης τῶν ἀοράτων ἐχθρῶν. καὶ τῶν κύκλῳ περιθεόντων, καὶ ζητούντων καταπιεῖν τινα τῶν ἐν αὐτῇ ἀπογεγραμμένων, καὶ σημειωθέντων ἐν πνεύματι· καθ' ὧν προδαλλόμεθα ὁ σαρκικὰ ὅπλα, ἀλλὰ πνευματικά· τήν τε ἀσπίδα τῆς πίσεως καὶ τὴν τοῦ λόγου μάχαιραν, ὅ ἐσι ῥῆμα Θεοῦ· τοῦ καθελεῖν τῆς ἁμαρτίας τὰς ἐλεπόλεις καὶ μηχανὰς τῇ σφενδόνῃ τοῦ πνεύματος πόῤῥωπεν τὸ ἄγριον θράσος αὐτῶν ἀποσοδοῦντες καὶ ἐκδιώκοντες, ὡς τῆς θείας φυλακῆς τε καὶ ῥοπῆς ἀξιούμενοι· ἢ καὶ ἠρεμαῖον καὶ εἰρηναῖον ἡμῶν καθίσησι τὸ πολίτευμα, ἵνα καὶ ἐν τῇ παλιγγενεσίᾳ ἐν τῇ ἐκάτῃ σάλπιγγι ἀξιωθῶμεν τῷ ἀρ-

* ἐποικοδομήσηται καὶ παυξήσηται
* ἡμῖν

ἀρχηγῷ τῆς ζωῆς ἡμῶν ἀκατακρίτως ὑπαντῆσαι ἐρχομένῳ μετὰ δόξης τῆς πατρικῆς σὺν τοῖς ἁγίοις ἀγγέλοις αὐτοῦ, καὶ ἐν τῷ νυμφῶνι ταῖς φρονίμοις συνεισέλθωμεν παρθένοις, καὶ τῆς ἀγγελικῆς ἀπολαύσωμεν πανδαισίας· κληρονόμοι γενόμενοι τῶν ἀποκειμένων τοῖς ἀξίοις ἀγαθῶν ἐν Χριστῷ τῷ ἀληθινῷ Θεῷ, πρεσβείαις τῆς ἀχράντου καὶ ἀμωμήτου αὐτοῦ μητρὸς καὶ πάντων τῶν ἁγίων, ἀμήν.

Εἰ δὲ τοσοῦτον ὀψὲ τοῦ καιροῦ ἐν τούτοις δὴ τοῖς προσρηθεῖσιν ἀπηυτήκαμεν θαυμαζέτω μηδεὶς, μηδὲ κατηγορείτω τῆς ἡμετέρας ὑπολήψεως, ἀλλὰ γινωσκέτω μὲν ἡ θεοφιλὴς ὑμῶν ἀδελφότης, ὡς ἐξουσίας γνώμη σκληρά τε καὶ ἀμείλικτος ἐπρυτάνευσε κωλύειν ἡμᾶς τοῖς δεδογμένοις χρῆσθαι δυναμένη, οὐχ ἱερατικὸν ἔθος παρῶπται καὶ διαπέπτωκεν, οὐδὲ ἐκ ῥαθυμίας τινὸς, τῶν δεόντων καὶ ἐκκλησιαστικοῖς ἀνδράσιν ἀνηκόντων ὑπερόπται γεγόναμεν· καὶ συγγινωσκέτω ἡ ἱερὰ ὑμῶν ψυχὴ, εἴ τι μοι μέλλοι τῆς βραδυτῆτος μέμφεσθαι, ἐν πείρᾳ καθεστῶσα καὶ αὐτῆς, ὡς οὐκ εὔοδός ἐστι πρὸς δυναστείας ἀντιφέρεσθαι, ἰδίοις ὑπενηνεγμένοις θελήμασι καὶ πάντα πληροῦν σπουδάζοντας τὰ καταθύμια. ἐδόκει γὰρ τῷ εἴργοντι καὶ ἀφορμὴν εὐπρόσωπον προβάλλεσθαι ἐφ' ἡμῖν τῶν ἐπιτελεσθέντων τοῦ χρίσματος ἕνεκεν· καὶ ὡς ὑμεῖς τῆς ἐκκλησίας ἑαυτοὺς ἀπερρήξατε, διεθρύλλει καὶ ἐχαλέπαινε· διὸ καὶ ὑμεῖς ἀφ' ὧν ἐν τούτοις τὸ ἠναγκασμένων πεπόνθατε, δύνασθε συγγνώμονες ἔσεσθαι τοῖς ὁμοίοις περιπίπτουσιν ἀβουλήτως. καὶ διαταῦτα, οἶμαι, οὐδὲ δεήσει πλειόνων τῶν περὶ τῆς * ἀλογίας λόγων· ἀλλ' ἐνταῦθά σοι εὐκαίρως παραγραφήσονται· καὶ μαρτυρεῖγε τὰ νῦν πραττόμενα καὶ τελούμενα· ἐπειδὴ ἡ κλεῖς περιεθραύσθη, καὶ ἡ πύλη * ἀναπέπται, καὶ οἱ λίθοι τοῦ προσκόμματος τῆς ὁδοῦ διῄρθησαν, καὶ πᾶσα λεία καὶ ἀποστιβὴς ἐξωμάλισται, καὶ οἴχεται λοιπὸν τὰ λυπηρά· ἐκποδὼν γέγονε τὰ σκάνδαλα, φροῦδα τὰ τῆς ἐπηρείας νῦν καθίσταται. τὰ ἐκεῖθεν σκῶλα λέλυνται· καὶ φῶς ἐλευθέριον τῇ ἐκκλησίᾳ ἐπέλαμψε. διατοῦτο χώραν ἔσχε τα τῆς ἀγάπης, καὶ τῆς κρατούσης ἱερατικῆς συνηθείας ἀνύεσθαι καὶ περαίνεσθαι.

* ἀπολογίας

* ἀναπέπταται

Ἀλλ' εἰσὶν οἷς τὰ θεῖα οὐκ ἐμέλησαν, οἰκείας δὲ δόξης χάριν, ἐσπούδασαν κατόψεσθαι οἷα αὐτοῖς τὰ ἐκ τοῦ θείου ἀπαντήσεται δικαστήρια. ὡς γὰρ φίλον αὐτοῖς πρὸς τὴν παροῦσαν κεχηνόσι δόξαν καὶ περιφάνειαν, τὰ πρὸς ἀλλήλους ἔθεντο, ἡμεῖς δὲ τῆς περὶ Θεὸν δόξης, καὶ τῆς ἐκκλησιαστικῆς τιμῆς, καὶ ὁμονοίας, καὶ τῶν ἱερῶν θεσμῶν τηρήσει τιθέντες τὸ σπούδασμα, τῶν ἡμετέρων ἐχόμεθα, καὶ ὑπὲρ τοῦ νῦν ἀναδειχθέντος εὐσεβοῦς καὶ κραταιοτάτου ἡμῶν βασιλέως, καὶ τέκνου γνησίου τῆς ἐκκλησίας, καὶ ἤθεσι θεαρέστοις καὶ τρόποις ἀγαθοεργίας προλάμποντος, εὐχὰς καὶ δεήσεις συντόνους πρὸς τὸν στέψαντα καὶ * συμβασιλεύοντα αὐτῷ Θεὸν ἀναπέμπομεν· ὅπως αὐτῷ εἰρηνικὴν τὴν ζωὴν, καὶ τὸ βασίλειον χαρίσηται ἐπὶ μήκιστον διαφυλάττων χρόνον, τοῖς κατὰ βαρβάρων τροπαίοις κοσμῶν αὐτόν· καὶ τὸ Χριστιανικὸν διακυβερνῶν τα αἰσίως πολίτευμα, πρὸς ζῆλον ὀρθοδοξίας καταρτιζόμενος, καὶ τῶν θείων ἐντολῶν τήρησιν, καὶ τέκνοις τὸ εὐδόκιμον ἐν τῇ τῆς ἐξουσίας διαμονῇ κτώμενον.

* συμβουλεύοντα.

Μιχαὴλ δὲ τῷ ὁσιωτάτῳ μητροπολίτῃ τῆς * φιλαδέλφου φιλοχρίστου πόλεως τὰ παρόντα ἡμῶν συνοδικὰ γράμματα πρὸς τὴν ὑμετέραν ἠγαπημένην καὶ ποθεινὴν ἀδελφότητα ἐνεχειρίσαμεν· καὶ πεπείσμεθα μὲν ἐκ τῆς ἤδη προλαβούσης αὐτοῦ ἐντεύξεώς τε καὶ ὁμιλίας, ὡς φιλοφρόνως παρ' ὑμῶν ὁραθήσεται καὶ δεχθήσεται, παρακαλοῦμεν δὲ καὶ διὰ τὴν ἡμετέραν μετριότητα, γνησιώτερα καὶ οἰκειότερα τὰ τῆς ἀποδοχῆς καὶ τιμῆς καὶ ἀναπαύσεως αὐτῷ παρ' ἡμῶν γενέσθαι. καὶ γὰρ καὶ πρὸς τὴν ὑμετέραν ἀγάπην, πάνυ τὸ θερμὸν καὶ γνήσιον κέκτηται, καὶ ἐν τοῖς τῆς ἐκκλησίας πράγμασι, τὸ σπουδαῖον καὶ πρόθυμον ἐπιδείκνυται. ὥσπερ καὶ ἐν λόγῳ καὶ βίῳ καὶ ἀρετῇ τὸ προὖχον ἀποφέρεται· ὃς καὶ μέλλει Θεοῦ εὐοδοῦντος τούτῳ καὶ ὑμᾶς κινοῦντος. τὰ τῆς ἀγάπης καὶ ὁμονοίας σύμβολα, τουτέστι τὰς τιμίας ὑμῶν κεραίας τῶν ἐν χερσὶ συλλαβῶν ἀντίγραφα πρὸς ἡμᾶς κομίζειν, εἰς πλείονα εὐφροσύνην ἡμῶν πνευματικὴν, καὶ καταρτισμὸν τῆς ἐν κυρίῳ φιλικῆς ἡμῶν διαθέσεως. πᾶσαν τὴν σὺν ἡμῖν ἐν Χριστῷ ἀδελφότητα, πλεῖστα προσαγορεύομεν. ἐῤῥωμένος ἐν κυρίῳ ὑπερεύχου ἡμῶν ἁγιώτατε καὶ μακαριώτατε ἀδελφέ· μεσίτην καὶ συνεργὸν πρὸς Θεὸν τὸν κοινὸν προστάτην καὶ ἀντιλήπτορα ἡμῶν, τὸν μέγαν καὶ κορυφαῖον ἀπόστολον κεκτημένος· ᾧ τὰς ὑπὲρ ἡμῶν τῶν ἀναξίων δούλων αὐτοῦ ἐντεύξεις, προσάγειν μὴ κατοκνήσῃς. εἰς σύμβολον δὲ τῆς μεσιτευούσης ἐν ἡμῖν ἐν κυρίῳ ἀγάπης, ἀπεστείλαμεν τῇ ἀδελφικῇ ὑμῶν μακαριότητι, ἐγκόλπιον χρυσοῦν, οὗ ἡ μία ὄψις κρυστάλλου ἐγκατακεκλεισμένη, ἡ δὲ ἑτέρα εἰκονισμένη δι' ἐγκαύσεως, καὶ ἐντὸς ἔχον ἕτερον ἐγκόλπιον, ἐν ᾧ εἰσι μερίδες τῶν τιμίων ξύλων ἐντετυπωμέναι. στιχάριον λευκὸν καὶ φαινόλιον κάστανον ἄραφα, ἐπιτραχήλιον καὶ ἐγχείριον, πεποικιλμένα χρυσῷ. καὶ ταῦτα δεχομένη Θεοῦ εὐοδοῦντος καὶ διασώζοντος μετριάσει πρὸς τὴν οἰκτρὰν ταύτην ὑπομνήσεως χάριν, καὶ ἀποστολὴν, ταῦτα ἐν ὀθόνῃ εὐφυῶς διατυλιχθέντα διετάξαμεν μολιβδίνῃ σφραγίδι ἐνσημανθῆναι.

* συναδέλφου

Σύ-

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

Κατὰ Ἀντωνίου μητροπολίτου Σιλαίου συναθροισθεῖσα παρὰ τοῦ ἁγίου Νικηφόρου καὶ σὺν. ἐπισκόπων.

χρόν. ἀπὸ Χριστοῦ 814.

Καὶ δὴ τοῦ Λέοντος τὰ βασίλεια σκῆπτρα κεκρατηκότος, πεισάκτου ζηλωτὴς καὶ μιμητὴς γίνεται τῶν προβεβηκότων δυσσεβῶν ἀνάκτων, Λέοντος καὶ Κωνσταντίνου, τῆς τῶν Ἰσαύρων ἀγχιστείας γεγονότων, καὶ πολυχρονίοις ἔτεσιν ἐν τῇ βασιλείᾳ διαρκεσάντων· πολέμων δὲ ἀνδραγαθήμασι καὶ πολεμίων βαρβάρων θράσος καταβαλόντων· δίθυραις τε καὶ δίημερείαις βεβιωκότων. καὶ δὴ ἤρξατο ἐξερευνᾶν ἐξερεύνησεις, μαντείας τινὰς καὶ μαθηματικοὺς ἀστρολόγους, τοιαῦτα αὐτῷ χρησμῳδεῖσθαι· καὶ προσκαλεσάμενος Βασιλειόν τινα χαρτουλάριον τῆς λεγομένης Ἐξαρτήσεως, θαρρεῖ αὐτῷ τὰ τοῦ πράγματος. ὁ δὲ, ἐν ἀμηχανίᾳ γεγονὼς, ὡς δοῦλος ὑπήκοος ποιεῖν τὸ κελευσθὲν ἐπαγγέλλεται. καὶ δή τινα ἄνδρα τῶν ἐπιχωρίων Σαλαμβρίας ὧδε κἀκεῖσε πλανώμενον, ἐν καπηλίοις καὶ κυκλώμασι, μαντείαις τε καὶ οἰωνίσμασι· καὶ μέλλων τῆς βασιλέων προγνωσιν μυεῖσθαι, Σαββάτιον ὕπνον λεγόμενον ὑποτίθεται αὐτῷ πάντα τὰ καταθύμια τῷ βασιλεῖ χαρίσασθαι. καὶ δὴ περιβαλὼν ἑαυτῷ ὁ Σαββάτιος ἄλυσιν μεγίστην τῷ βαχήλῳ, καὶ σιδηροπέδαις ἑαυτὸν περισφίγξας, περικλείει ἑαυτὸν ἐν τοῖς τοῦ Δαγισέως μεγάλου λιβὸς τῆς καμίνων κούφοις. καὶ δὴ ὁ Βασίλειος τὰ βασίλεια καταθύμια τάχιον ἐκπληρῶν, προσαγήοχει αὐτὸν τῷ μάντει τῆς Πύθωνος. νὺξ δὲ καθεία ἦν, καὶ σκότος ψηλαφητόν. καὶ ἰδοὺ ὁ ὑπὸ στρατοπέδων δορυφόρων φρυάμενος βασιλεὺς, μεμονωμένος γυμνὸς καὶ ἄοπλος σὺν τῷ Βασιλείῳ παραγίνεται ἐν ὑπογείοις καὶ κατηχθονίοις ἀμειδέσι τόποις, ὡς ποτὲ Ἰωλιανὸς ὁ παραβάτης, ὑπὸ τοῦ μαθυματικοῦ Ἑβραίου τῷ διαβόλῳ σπουδιζόμενος· ὧ πῶς ἀπώλετο ἡ σοφία τῆς σοφῶν. ὧ πῶς ἠθέτηται ἡ συνέσεις τῶν συνετῶν. ὧ πῶς οἱ θέλοντες εἶναι σοφοὶ ἐμωράνθησαν. τί ἦν ὁ μέγας καὶ ἔνδοξος καὶ φοβερὸς βασιλεὺς. προσκυλινδεῖται τοῖς ποσὶ τῆς Πύθωνος. χρησμῳδοτίας αἰτεῖται, ὥσπερ ὁ Ἀλέξανδρός ποτε μετὰ Κανδαύλου συμψύχου αὐτοῦ εἰσελθὼν εἰς τὸν Σέραπιν, ὥστε μαθεῖν τὰ ἀποβησόμενα. καὶ ὁρᾷ τινὰς ἀσπάπτοντας ἐκ τῶν ὀφθαλμῶν ἀνακειμένους· οἷα δὲ λέγοντα αὐτῷ, Χαίροις Ἀλέξανδρε, οἶδάς με τίς εἰμί; ὁ δὲ, Πῶς κύει. ὁ δὲ μάγος, ἐγὼ εἰμὶ Σεσὸχ ὁ σεισμοκράτωρ βασιλεύς. καὶ τοσοῦτον δὲ εὐτύχησα, ὅσον σύ. καὶ σοῦ ὄνομα ἀθάνατον. ὁ δὲ, πῶς κύει. ὁ δὲ λέγει, εἰσελθὲ σύνδον ἵνα θεάσῃ τὸν προσάτιον. εἰσέρχεται Ἀλέξανδρος σύνδον, ὁρᾷ ὁμίχλιον πυραυγῆ, καὶ καθεζόμενον ἐπὶ θρόνου, ὃν ποτε εἶδεν ἐν Ῥακώτιδι προσκυνούμενον βροτοῖς Σέραπιν. εἶπε δὲ ὁ Ἀλέξανδρος, Κύριε, πόσα ἔτη ζήσομαι. εἶπε δὲ ὁ Σέραπις· Καλὸν μὲν θνητὸν ὄντα, μὴ εἰδέναι πότε μέλλει τελευτᾶν. προσδεχόμενος ἐκείνην τὴν ἡμέραν, ἀφ' ἡμέρας ἔμαθεν, ἐτελεύτησε. τὸ δὲ ἐν ἀγνοίᾳ παθεῖν, τοῦτο λήθην παρέχει, τὸ μὴ ἔχειν κατὰ γνώμην, εἰ καὶ ὅλως τελευτᾶν.

Εἰτά φησιν ὁ πολυπράγμων βασιλεὺς τῇ προγνώσῃ καὶ μάντει, τί ποιήσω καὶ τί πράξω, ὅπως ἐν δίζωΐᾳ καὶ δίημερίᾳ καὶ ξοπαιοφόρῳ νίκῃ διαβιῶναί με τὸν ἅπαντά μου χρόνον. ἔφησι πρὸς αὐτὸν ὁ Σαββάτιος, Σὺ μὲν, ὦ βασιλεῦ, εὐτύχησας, καὶ ὀνομαστὸς ἔσῃ ἐν βασιλεῦσι τῆς γῆς. εἰ δὲ θέλεις ζωὴν, καὶ ἀγαπᾷς ἡμέρας ἰδεῖν ἀγαθὰς, καὶ κυριεῦσαι ἐθνῶν καὶ βαρβάρων, πᾶσαν τιμὴν τῆς εἰκόνων ἐξαφάνισον μνήμην τέλεον· καὶ ἰδοὺ μέλλεις ἐν ὅλοις ξιακονταδύο τέλεον χρόνοις μετὰ τοῦ υἱοῦσου κυροῦ Κωνσταντίνου ἄρχειν καὶ βασιλεύειν. καὶ τοὺς Βουλγάρους καθυποτάξεις, καὶ πήξεις τιμὴ ῥομφαίαν σου μέσον τῆς Βουλγαρείας, εἰς τιμὴ χαλκοῦ ἄλωνα τῆς αὐλῆς αὐτῆς. ἀλλ' ὅπερ ποιεῖς, ποίησον τάχιον. μήτε ἄνω ἀφίης εἰκόνα, μήτε κάτω.

Περιχαρὴς ἐν θυόμενος ὁ βασιλεὺς, τὰ προσαχθέντα ἀνενδυάσως ἐκπληρῶσαι ἐσπούδαζε, μήπως ἡ τῆς λ'. χρόνων ὁροθεσία ὥσπερ ὄρνεον ἐκπεταθεὶν, ἐκ τῆς χειρὸς αὐτοῦ διαδράσῃ. προσκαλεῖται δὴ τὸν προρρηθέντα ἀναγνώστην Ἰωάννην, καὶ ἀνατίθεται αὐτῷ τὰ τῆς σκήψεως. ὁ δὲ, ἑτοιμότατα φοβηθεὶς τιμὴ τοῦ βασιλέως κέλευσιν, ποιεῖν τὸ κελευσθὲν ἐπαγγέλλεται. καὶ δὴ βασιλικῇ χειρὶ τὰς βίβλους πάσας τῆς μοναστηρίων περιαθροίσας, καὶ ἀνερευνήσας τὰς τῆς εἰδώλων ἀπαγορεύσεις, πυῤῥὰς προσέῤῥαψαν τῇ σεβασμίᾳ εἰκόνι τοῦ Χριστοῦ. ὡς γὰρ τὸν Βὴλ καὶ Δαγὼν τὸν Χριστὸν λογιζόμενοι, τότε τὰς σεπτὰς εἰκόνας κατέκαυσαν.

Καὶ δὴ οὐκ ἀναπέφανται ὁ ἐπισπουδαστὴς βασιλεὺς, ἀλλὰ προσκαλεσάμενος τὸν ἁγιώτατον Νικηφόρον τὸν πατριάρχην, δείκνυσι αὐτῷ τὰ συλλεχθέντα παρὰ τοῦ Ἰωάννου πιττάκια, καὶ μυθικὰ λογίδρια ὡς μειρακίσκων ἀθύρματα· ὁ δὲ ἁγιώτατος καὶ σοφὸς τῆς ἐκκλησίας διδάσκαλος, ὥσπερ ἰὸν ἀράχνης τοῦτο διέλυσε. καὶ τέως μὲν ὁ βασιλεὺς διλαβηθεὶς, ἀνακωχὴν ποιεῖται τοῦ σκέμματος. ὁ δὲ Ἰωάννης δεδιὼς τὸν ἀπὸ τοῦ πατριάρχου ἀφορισμὸν, συμβεβηκυῖα δὲ νόσῳ περιξυχωθεὶς, ἠμελημένην μετάνοιαν ἐξαιτεῖται παρὰ τοῦ πατριάρχου· συγνώμην αὐτῆς τῆς προπετείας, καὶ τῇ μοναδικῇ προσδραμεῖσθαι μετανοίᾳ. ὅπερ καὶ γέγονεν. ὁ δὲ βασιλεὺς σὺν ἀπορίᾳ καὶ ἀσχολίᾳ τῆς ἀγωνισμάτων θυόμενος, διενοεῖτο τίνα ἄρα διῤῥή-

εὑρήσειε συνεργόν. μηνύεται δὲ αὐτῷ τὰ περὶ τοῦ μητροπολίτου Ἀντωνίου ὄντι ἐν τῷ Σιλαίῳ. ὁ δὲ τάχιστα αὐτὸν κελεύει τὰ βασίλεια προσφθάνειν.

Καὶ δὴ πρὸς αὐτὸν ὁ βασιλεύς. συναγώνησαι ἡμῖν ὦ μητροπολῖτα οἷς βουλόμεθα, καὶ πρόεδρόν σε καταστήσω τοῦ πατριαρχικοῦ θρόνου. ὁ δὲ ἑτοιμότατα τὰ προσταχθέντα ποιεῖν ἐπαγγέλλεται. γνοὺς δὲ ὁ ἁγιώτατος πατριάρχης Νικηφόρος, προσκαλεσάμενος αὐτὸν, εἶπεν, εἰ ταῦτα οὕτως ἔχει. ὁ δὲ φησὶ, μὴ γένοιτο ἡμῖν ὦ δέσποτα τοῦτο, μηδέ τι πρᾶξαι. ἀλλὰ πρὸς πλείονα πληροφορίαν, τοὺς ἰδιοχείρους μου σταυροὺς ὑπογράφω τῷ τῆς ὀρθοδοξίας λιβέλλῳ ἑπόμενος· ὅπερ καὶ τάχιον κατὰ παρουσίαν τῶν συνευρεθέντων ἁγιωτάτων μητροπολιτῶν πεποίηκεν, καθὼς καὶ ἐν χειροτονίᾳ αὐτοῦ ταῦτα ὑπέγραψεν. ἐν ὀνόματι τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, Ἀντώνιος ἐλέει Θεοῦ μητροπολίτης Σιλαίου, χειρὶ ἐμῇ ὑπέγραψα, πιστεύοντες εἰς τὴν ἁγίαν καὶ ὁμούσιον καὶ ζωοποιὸν Τριάδα, τὰς τιμίας ἀσπαζόμεθα εἰκόνας. οἱ μὴ οὕτω φρονοῦντες, ἀνάθεμα ἔστωσαν. οἱ μὴ οὕτω πιστεύοντες πόῤῥω τῆς ἐκκλησίας ἐκδιωχθήτωσαν. αὕτη ἡ πίστις τῶν ἁγίων πατέρων. αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐφώτισε. οἱ οὖν τολμῶντες μετὰ ταῦτα ἀνατρέπειν τι τῶν ἐνθέσμων τῇ ἐκκλησίᾳ παραδεδομένων, ἢ εἰκονικὴν ἀναζωγράφησιν, ἢ σταυροῦ ἐκτύπωμα· εἰ μὲν ἱερεῖς εἰσὶ, παντάπασι καθαιρείσθωσαν· εἰ δὲ μονάζοντες ἢ λαϊκοὶ, ἀναθεματιζέσθωσαν. ὁ δὲ ταῦτα ἐπισφραγισάμενος, ἐξήει τοῦ εὐαγοῦς πατριαρχείου. ὁ δὲ βασιλεὺς ταῦτα πυθόμενος, ἔφησεν ὁ Ἀντώνιος, ἐχλευάσαμεν αὐτοὺς ὦ δέσποτα, ὅπως ἀμεριμνότερος ἔσῃ ἐπὶ τὰ δοκοῦντα. ὦ τοῦ νεοῦ Μανιχαίου καὶ Περσόφρονος. ὦ τῆς ἀνοίας. ὦ τῆς φρενοβλαβείας. ἐν Χριστιανοῖς χριστιανίζει. ἐν Ἰουδαίοις Ἰουδαΐζει. καὶ δὴ προκαθεσθέντες οἱ δύο Ἰωάννης καὶ Ἀντώνιος, ἐκέρασαν εἰς κρατῆρα τῶν αἱρετικῶν πεφαρμακευμένων οἶνον. καὶ δὴ γραφὰς θεοπνεύστους καὶ ὠφελίμους στρεβλοῦσι, κατὰ τὰς ἰδίας ἐπιθυμίας προβαλλόμενοι ἐπιπλάστους καὶ ψυχοφθόρους διδασκαλίας· εἴδωλά τε τὰς σεβασμίας εἰκόνας βατταρίζοντες.

Ὁ οὖν μέγας ἀρχιερεὺς Νικηφόρος ὁ θεοφάντωρ σύνοδον ἁγίων πατέρων συναθροίσας τὸν ἀριθμὸν σό. καὶ πάντων τὰς ἱερατικὰς στολὰς ἀμπεχομένων ἐν τῇ μεγάλῃ Σοφίᾳ. τῆς τε πληθύος τῶν ἱερέων καὶ τῶν μοναχῶν τῆς βασιλίδος πόλεως ὁμοῦ συναθροισθέντων· ἀνελθὼν ὁ ἁγιώτατος πατριάρχης ἐν τῷ ἄμβωνι, ἀνεθεμάτισε τὸν αἱρεσιάρχην, τάδε ἀναβοῶν· Ἀντωνίου τοῦ νέου Ἀρείου παραπλήσιον Παυλικιανῶν, ἀνάθεμα. ὁ λαὸς, ἀνάθεμα. ὁ ἁγιώτατος πατριάρχης φησὶν, Ἀντώνιος ὁ νέος Ἄρειος δεδεμένος ἐστὶν ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, ἐκ τῆς ἁγίας ὁμουσίου καὶ ζωοποιοῦ Τριάδος, ἐκ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ἐκ τοῦ ἁγίου καὶ κορυφαίου τῶν ἀποστόλων Πέτρου. ἐκ τῶν δώδεκα ἀποστόλων, ἐκ τῶν ἁγίων τριακοσίων δεκαοκτὼ πατέρων, ἐκ τῶν ἁγίων μεγάλων καὶ οἰκουμενικῶν συνόδων, ἐκ τῶν ἁγίων μεγάλων πατριαρχικῶν καὶ ἀποστολικῶν θρόνων, καὶ παρ' ἐμοῦ τοῦ χειροτονήσαντος αὐτὸν, καὶ οἱ κοινωνοῦντες αὐτῷ πάντες· ὡς χριστομάχος, ὡς παραβάτης τῶν ἰδιοχείρων σταυρῶν, ὡς ἀποστάτης τῆς ὀρθοδόξου πίστεως, ὡς εἰκονοκλάστης, ὡς εἰδωλολάτρης, ὡς χριστιανοκατήγορος, ὡς χριστιανοδιώκτης, ὡς ἱεροκτόνος· τῶν ἱερέων τὸ μῦσος, τῶν πατριαρχῶν ὁ ἐξάγιστος, τὸ βδέλυγμα τῆς ἐρημώσεως, ἡ πρώτη ἀποστασία, Ματθ. 24.
ὁ πρόδρομος τοῦ Ἀντιχρίστου, ὁ ἄνθρωπος τῆς Θεσσαλ. 2.
ἀνομίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀποκαλυφθεὶς ἐν τῷ ἐνεστῶτι καιρῷ. ταῦτα τὰ ἐγκώμια τοῦ ἐλεεινοῦ Ἀντωνίου.

Τί οὖν ὁ σύνεργος καὶ συμμέτοχος αὐτοῦ ὁ φερώνυμος πρόδρομος τοῦ Ἀντιχρίστου; οὗ ἐκ τοῦ στόματος ἐκπορεύεται τῆς βλασφημίας κλίβανος πυρός· ὁ ψευδομάντις Βαλαὰμ, ὁ τῆς ἐγγαστριμύθου μύστης· οἱ δύο τῆς ἐναντίας μοίρας ἑκατόνταρχοι· οἱ νέοι Φαραωνιτικοὶ φαρμακοὶ καὶ ἐπαοιδοὶ Ἰαννὴς καὶ Ἰαμβρὴς οἱ μαθηματικοί. Ἐξοδ. 7. 2. Τιμοθ. 3.
τί οὖν ὁ λεόντειον εἶδος ἔχων, λεόντεια βρυχόμενος κατὰ τῆς ἐκκλησίας; μιμεῖται τὸν ἀρχηγέτην Λέοντα τῆς αἱρέσεως ταύτης· καὶ ὥσπερ ἐκεῖνος τὸν θεσπέσιον Γερμανὸν, καὶ οὗτος τὸν ἀοίδιμον καὶ ἁγιώτατον Νικηφόρον τοῦ πατριαρχικοῦ θρόνου ἐξωστράκισε, καὶ πάντας τοὺς κατ' αὐτὸν ἁγιωτάτους ἀρχιερεῖς καὶ μονάζοντας, βασάνοις, καὶ ἐξορίαις κατεδίκασε. τί οὖν; ἐξάγεται Ἰακὼβ ὁ ἠγαπημένος· ἀντεισάγεται Ἠσαῦ ὁ μεμισημένος καὶ πρὸ γενέσεως. ἀναβαίνουσιν ἀλλαχόθεν οἱ κλέπται, καὶ λῃσταὶ εἰς τὴν αὐλὴν τῆς ἐκκλησίας. βεβήλωται τὸ ἅγιον θυσιαστήριον. πάλιν οἱ Ἰουδαίοι χαίρουσι. πάλιν ἀλαλάζουσι μεγακροτοῦντες τὰς χεῖρας· πάλιν βρενθύουσι καὶ γεγάννυνται κατὰ τοῦ Ναζωραίου Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐσταύρωσαν, ταῦτα δρωμένα βλέποντες· πάλιν Μωντανισταὶ χώραν ἔλαβον. Ῥωμ. 9. Ἰωάνν. 10.

Τί οὖν Λέων, μέγα ὡς ἐκ δρυμοῦ ὠρυόμενος, καὶ μυκώμενος κατὰ τῆς ἐκκλησίας καὶ κατὰ τοῦ Χριστοῦ αὐτῆς, ταραχῶν, καὶ σκανδάλων τὴν εὐδαίμονα πόλιν ἐμπίπλησι· οἰμωγαί τε καὶ θρῆνοι καὶ δάκρυα καὶ στεναγμοὶ πανταχόθεν διέτρεχον. διπλοῦς γὰρ ἦν ὁ θάνατος, ψυχῶν τε καὶ σωμάτων. καὶ δὴ τὸν φύλακα καὶ φρουράρχην τῆς αὐτοῦ βασιλείας ἀπώσατο, εἰπὼν, ἀπόστα ἀπ' ἐμοῦ, Ἰησοῦ βασιλεῦ. ὁδούς σου οὐ βουλόμεθα εἰδέναι· καὶ τούτου τὸν σεβάσμιον χαρακτῆρα τὸν ὄντα ἐν τῇ χαλκῇ, λίθοις καὶ κόποις, καὶ πηλωδέσι μάζαις, ἐμπτύοντες εἰς τὸ πρόσωπον αὐτοῦ, προσέῤῥιπτον, διαῤῥήξαντες αὐτὸν εἰς τοὔδαφος. Ἱερεμ. 22.

ΤΩΝ ΝΙΚΗΦΟΡΟΥ
Τῦ ὁμολογητῦ κανόνων τινές.

ά.

Ὅτι δεῖ νηςεύειν τοὺς μοναχοὺς τῇ τετράδι τῆς τυροφάγυ, καὶ τῇ παρασκευῇ. καὶ μὴ τὴν τῶν προηγιασμένων ἀπόλυσιν ἐσθίειν τυρὸν ὅπου ἂν ἁιρεθῶσιν, ἀνατρέπει δὲ ὁ κανὼν οὗτος τοῦ Ἰακώβου τὸ δόγμα, καὶ τὴν τῶν τετραδιτῶν αἵρεσιν.

β.

Ὅτι οὐδεὶ ὁδοιπορεῖν ἄνευ ἀνάγκης ἢ βίας ἐν κυριακῇ.

Γ.

Τὴν ἀποκάλυψιν τοῦ Παύλου, καὶ τὰ λεγόμενα βροντολόγια, καὶ σεληνοδρόμια, ἢ καλανδολόγια, οὐ χρὴ δέχεσθαι. βέβηλα γὰρ πάντα.

δ.

Τὴν ἀποκάλυψιν Ἔσδρα καὶ Ζωσιμᾶ, καὶ τὰ δύο μαρτύρια τῦ ἁγίυ Γεωργίυ καὶ τῶν ἁγίων μαρτύρων Κηρύκυ καὶ Ἰυλίττης, καὶ τὴν βίβλον Μάρκυ καὶ * ὀγδόχου ὐ χρὴ δέχεσθαι. ἀπόβλητα γὰρ, καὶ ὐ δεκτά.

ε.

Τὰς ὔντας ἐν ἐπιτιμίοις μοναχὰς χρὴ συνεσθίειν καὶ συμβίχεσθαι. μετέχειν δὲ καὶ εὐλογίας, ἤγουν κατακλασοῦ. ἅμα τῇ αὐτῇ ἐξομολογήσει.

ς.

Χρὴ δέχεσθαι τὰς εὐποιίας τῶν ἀδιαθέτως τελευτώντων τὰς ὑπὲρ αὐτῶν γινομένας, εἴγε καὶ ζῶντες ἄρα προθέσεως εἶχον τοῦ οὕτω ταύτας τελεσθῆναι.

ζ.

Ἐάντις ἀσθενὴς ᾖ, καὶ ἐπιζητῇ τὸ ἅγιον βάπτισμα, ἢ τὸ ἅγιον χρῖσμα, χρὴ διδόναι ἀνυπερθέτως, καὶ μὴ κωλύειν τὴν χάριν.

η.

Ἐάντις ἐν ἀσωτίᾳ ἔζησε μέχρις ἐσχάτυ ἔτυς, καὶ ἐπέκεινα, εἶτα μετὰ ταῦτα φανῇ ποιῶν ἔργα ἀρετῆς, ὐ χρὴ αὐτὸν χειροτονεῖσθαι. τὸ γὰρ ἱερὸν ἀμόλυντον.

θ.

Ὅτι ὐ δεῖ ἐργάζεσθαι τὴν ἑβδομάδα τῆς διακαινισίμυ, οὐδὲ τῷ σαββάτῳ τῆς ἀπολυσίμυ ψάλλειν τὸν ἄμωμον, ὐδὲ τὰς πέμπτας φυλάττειν.

ι.

Ὁ δίγαμος οὐ στεφανοῦται, ἀλλ' ἔξει ἐπιτίμιον τὸ μὴ μεταλαβεῖν τῆς ἁχράντων μυστηρίων ἔτη δύο.

ια.

Ὁ τρίγαμος ἐπιτιμάσθω ἔτη πέντε, καὶ οὕτω δεχθήτω,

ιβ.

Ὁ χειρισάμενος τὸν ἑαυτῦ πατέρα, καὶ ἀποκτείνας ἑκουσίως, τὰ τῦ φόνυ ἐπιτίμια τελέσει ἔτη ἑξήκοντα πέντε.

ιγ.

Κατὰ περίστασιν καὶ μοναχὸς λαϊκὸς βαπτίζει. ὡσαύτως καὶ διάκονος κατὰ περίστασιν βαπτίζει.

ιδ.

Ἐὰν κατὰ ἄγνοιαν πληθυνθῇ ἀντιμίνσιον, ὐ μολύνεται, ὁ γὰρ ἁγιασμὸς ἐν αὐτῷ ἐςί. τὸ γὰρ ἱερὸν, μιαρὸν ὐ γίνεται.

ιε.

Οἱ ἀπὸ παλλακίδος καὶ πορνείας ἢ ἀπὸ δι-γάμων καὶ ἀπὸ τρισγαμίας τικτόμενοι παῖδες, ἐὰν φανῶσιν ἀρετὰς ἔχοντες, καὶ εἰσὶν ἄξιοι ἱερωσύνης, χειροτονείσθωσαν.

ις.

Χρὴ τὰ ἀβάπτιστα νήπια, ἐὰν ἁιρεθῇ τις εἰς τόπον μὴ ὄντος ἱερέως βαπτισθῆναι. εἰ βαπτίσει δὲ καὶ ὁ ἴδιος πατὴρ, ἢ οἱοσδήποτε ἄνθρωπος, μόνον ἵνα ἐςὶ Χριστιανὸς, ὐκ ἔστιν ἁμαρτία.

ιζ.

Ὅτι ὐ χρὴ μεταδιδόναι τοῖς λαμβάνουσι τόκον, ἢ συνεσθίειν αὐτοῖς, ἐμπίπτυσι τῇ παρανομίᾳ.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει ἐν τῷ παλατίῳ.

Εκ τοῦ βιβλίου τοῦ συνοδικοῦ

Μεθοδίου δὲ τοῦ παμμάκαρος πρὸς κύριον ἐκδημήσαντος Ιγνάτιος μοναχὸς καὶ πρεσβύτερος ὑπὸ Μιχαὴλ καὶ Νικηφόρου γεγονὼς, τῶν φιλοχρίστων αὐτοκρατόρων, κανονικῶς ἐπὶ τὸν θρόνον ἀναβιβάζεται· καθ' οὗ φιλαρχίας κενοδοξίᾳ, ἐπίσκοποί τινες καὶ μονάζοντες κουφιζόμενοι, οὐ μετρίως χρόνῳ μακρῷ ἐστασίασαν. Οἳ καὶ Μιχαὴλ τοῦ βασιλέως λαβόμενοι τῆς κουφότητος, ἐξελαθῆναι τοῦ θρόνου ἀρχοντικῇ χειρὶ τὸν πατριάρχην Ιγνάτιον παρεσκεύασαν, ἐν Τερεβίνθῳ τῇ νήσῳ αὐτὸν ἐξορίσαντες· ἐν τε παλατίῳ συνόδον ἀφελῆ ποιησάμενοι, τὸν πρωτοσηκρήτην Φώτιον προεχειρίσαντο· πολλὰ μὴ ἀκουσθέντες λόγῳ παραιτήσεως πρὸς Ιγνάτιον πρεσβευσάμενοι.



Μόσχα, Ψαλτήριον Cloudov, 9ου αἰ. Ἁγ. Νικηφόρος Κων/πόλεως κατά τοῦ εἰκονομάχου Πατριάρχου Ἰωάννου.



Μόσχα, Ψαλτήριον Cloudov, 9ου αἰ. Οἱ Εἰκονομάχοι.



Ἅγιον Μανδήλιον. Σύγχρονον ἔργον.



Μ. Δοχειαρίου. Ἅγ. Ἰωσήφ Θεσ/νίκης, 16ου αἰ.



Nagoricino. Ἅγ. Νικηφόρος Κων/πόλεως, 14ου



Μ. Ζάβορδας, Γρεβενῶν. Ἡ Ψηλάφησις τοῦ Ἀπ. Θωμᾶ, 17ου αἰ.



Πρωτᾶτον. Ὁ Νιπτήρ, 14ου αἰ.



Μ. Χελανδαρίου. Ἐπίτιτλον, (Κῶδ. 105), 13ου-14ου αἰ.

Η΄ ΣΥΝΟΔΟΣ
ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΠΙ ΦΩΤΙΟΥ
ΕΝ ΤΩ͂Ι ΝΑΩ͂Ι
ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ

Συσᾶσα ἡ πρώτη καὶ δευτέρα λεγομένη.

Η΄ Σύνοδος αὕτη ἐπιγέγραπται οὕτως, ἡ ἁγία καὶ μεγάλη πρώτη καὶ δευτέρα συνοδος ἡ ἐν Κωνσταντινουπόλει συσᾶσα ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων. ἀπορεῖν τοίνυν ποιεῖ τοὺς τυχὸν ἐπιγραφὴν ἀναγινώσκοντας, αὕτη πῶς μία οὖσα πρώτη καὶ δευτέρα καλεῖται. λέγεται τοίνυν συνοδος ἐν τῷ ῥηθέντι ναῷ τῶν ἁγίων ἀποστόλων συγκροτηθῆναι, καὶ διαλεχθῆναι τοὺς ὀρθοδόξους τοῖς ἑτεροδόξοις, καὶ δόξαι τοὺς ὀρθοδόξους ἐπικρατεστέρους, μέλλειν τε γραφῇ παραδοθῆναι τὰ λαληθέντα, τοὺς δὲ αἱρετικοὺς μὴ ἀναχέεσθαι γραφῆναι τὰ δόξαντα, ἵνα μὴ φανεῖεν ἡττηθέντες, καὶ ἐκκηρυχθῶσι τῆς τῶν πιστῶν ὁμηγύρεως, καὶ στασιάσαι διὰ τοῦτο, καὶ ἐς τοσοῦτον τοῦ σάσιν αὐτοῖς προελθεῖν. ὡς καὶ μέχρι ξιφουλκίας καὶ φόνων χωρῆσαι, καὶ οὕτω διαλυθῆναι τοῦ πρώτου ἐκείνου συνέλθοντος. μὴ σχοῦσαν δῆλόν τι ἀποτέλεσμα. εἶτ' αὖθις παραῤῥυέντος ἡμεροῦ δευτέραν τῷ αὐτῷ ναῷ ἠθροίσθαι συνέλθοντος, καὶ πάλιν περὶ τῆς αὐτῆς ἠθροίσθαι διάλογον, καὶ τότε συγγραφῆναι τὰ λαληθέντα περὶ δογμάτων, καὶ διὰ τοῦτο φασὶν αὐτοῦ μίαν οὖσαν κυρίως πρώτην καὶ δευτέραν ὀνομασθῆναι, ὡς δύο γεγονυίας τῆς συνελεύσεως τῆς πατέρων, ἐν δὲ τῇ δευτέρᾳ συγγραφέντων τῆς λαληθέντων καὶ συνδοξάντων, ὅτε καὶ οἱ ὑποτεταγμένοι κανόνες ἐξεφωνήθησαν.

ΚΑΝΩΝ ά.

Πρᾶγμα σεμνὸν ὄντως καὶ τίμιον καὶ τοῖς μακαρίοις καὶ ὁσίοις πατράσι ἡμῶν πάλαι καλῶς ἐπινοηθὲν ἡ τῶν μοναστηρίων οἰκοδομὴ κακῶς ὁρᾶται πραττόμενον σήμερον. τινὲς γὰρ ὄνομα μοναστηρίου ταῖς οἰκείαις περιουσίαις καὶ ὑπάρξεσι περιθέμενοι, καὶ Θεῷ καθαγιάζειν ταύτας ἐπαγγελλόμενοι κυρίους τε τῶν ἀφιερωθέντων ἑαυτοὺς ἀναγράφουσι, καὶ μόνῃ τῇ προσηγορίᾳ τὸ θεῖον ἀφοσιοῦν, ἐκμηχανᾶσθαι διεγνώκασι. τιμὴ αὐτιμὴ γὰρ ἐξουσίαν καὶ μετὰ τιμῆς ἀφιέρωσιν οὐκ ἐρυθριῶσι σφετερίζεσθαι, ἣν ἔχειν οὐκ ἐκωλύοντο πρότερον. καὶ τοσαύτη καταπηλεία προσεξίβη τῷ πράγματι, ὥστε πολλὰ τῶν ἀφιερωθέντων παρ' αὐτῶν γε τῶν ἀφιερωσάντων καθορᾶται πιπρασκόμενα, καὶ οὐ μόνον οὐκ ἔστιν αὐτοῖς μεταμέλεια, ἐφ' οἷς τῶν ἅπαξ ἀναθεμένων θεῷ τιμὴν ἐξουσίαν ἑαυτοῖς ἐπιξενοῦσιν, ἀλλὰ καὶ ἑτέροις ταύτην ἀδεῶς παραπέμπουσιν. ὥεσεν οὖν διὰ ταύτα ἡ ἁγία συνοδος, μὴ ἐξεῖναι μοναστήριον οἰκοδομεῖν, ἄνευ τῆς τοῦ ἐπισκόπου γνώμης καὶ βουλῆς. ἐκείνου δὲ συνευδόκου καὶ ἐπιξένοντος, καὶ τιμὴν ὀφειλομένην ἐπιτελοῦντος δίχην, ὡς τοῖς πάλαι θεοφιλῶς νενομοθέτηται, οἰκοδομεῖσθαι μὲν τὸ μοναστήριον, μετὰ πάντων δὲ τῶν αὐτῷ προσηκόντων σὺν αὐτῷ ἐκείνῳ βρεβίῳ ἐγκαταγράφεσθαι καὶ τοῖς ἐπισκοπικοῖς ἀρχείοις ἐναποτίθεσθαι, μηδαμῶς ἄδειαν ἔχοντος τοῦ ἀφιερώσαντος, παρὰ γνώμην τοῦ ἐπισκόπου ἑαυτὸν ἡγούμενον, ἢ ἀντ' αὐτοῦ ἕτερον καθιστᾶν. εἰ γάρ τις ἀνθρώπῳ χαρίζεται, τούτων ἐκεῖνος κύριος εἶναι δύναται, πῶς ἁπέρ τις Θεῷ καθαγιάζει, καὶ ἀνατίθησι τούτων ἁρπάζειν τινὰ κυριότητα παραχωρηθήσεται.

ΚΑΝΩΝ Β΄.

Ἐπειδή τινες τὸν μονήρη βίον ἐκδύεσθαι σχηματίζονται, οὐχ ἵνα Θεῷ καθαρῶς δουλεύσωσι, ἀλλ' ἵνα τῇ σεμνότητι τοῦ σχήματος δόξαν εὐλαβείας προσλάβωσι, καὶ τῶν οἰκείων ἐντεῦθεν ἡδονῶν ἄφθονον ἀπόλαυ-

λαυσιν. τῶν ξιχῶν γὰρ μόνον τὴν ἀποβολὴν ποιούμενοι, ἐν τοῖς οἰκείοις οἴκοις παρεδρεύουσι, μηδεμίαν τῶν μοναχῶν ἀποπληροῦντες ἀκολουθίαν ἢ κατάστασιν· ὥρισεν ἡ ἁγία σύνοδος, μηδένα τῶν πάντων τοῦ μοναχικοῦ σχήματος ἀξιοῦν ἄνευ παρουσίας τοῦ ὀφείλοντος αὐτὸν εἰς ὑποταγὴν ἀναδέχεσθαι, καὶ τὴν ἐπ' αὐτῷ ἡγεμονίαν, καὶ τῆς ψυχικῆς αὐτῷ σωτηρίας τὴν πρόνοιαν ἐπαγγέλλεσθαι, ἀνδρὸς ὄντος δηλονότι θεοφιλοῦς, καὶ μονῆς προεστηκότος, καὶ ἱκανοῦ σώζειν ψυχὴν ἀρτίως τῷ Χριστῷ προσαγομένην. εἰ δέ τις φωραθείη ἀποκουρεύων τινὰ χωρὶς παρουσίας τοῦ εἰς ὑποταγὴν αὐτὸν ὀφείλοντος ἀναλαμβάνειν ἡγουμένου, τοῦτον μὲν καθαιρέσει καθυποβάλλεσθαι, ὡς ἀπειθοῦντα τοῖς κανόσι, καὶ τὴν μοναχικὴν εὐταξίαν διαλύοντα· τὸν δὲ παραλόγως καὶ ἀτάκτως ἀποκουρευθέντα, ἐν ὑποταγῇ καὶ μοναστηρίῳ, ἐν ᾧ ἂν ὁ κατὰ τὸν τόπον ἐπίσκοπος δοκιμάσῃ, παραδίδοσθαι. αἱ γὰρ ἄκριτοι, καὶ ἐπισφαλεῖς ἀποκουραὶ καὶ τὸ μοναχικὸν σχῆμα ἠτίμωσαν, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα βλασφημεῖσθαι πεποιήκασιν.

ΚΑΝΩΝ γ'.

ΚΑΙ' τοῦτο κακῶς πραττόμενον, κατὰ πολὺ δὲ χεῖρον παροράσει καὶ ἀμελείᾳ παραπεμπόμενον τυχεῖν ἐκρίθη διορθώσεως, ἵνα εἴ τις μονῆς προϊστάμενος τοὺς ὑπ' αὐτὸν τεταγμένους μοναχοὺς ἀποδιδράσκοντας, οὐ μετὰ πολλῆς τῆς ἐπιμελείας ἐπιζητοίη, ἢ ἐφευρίσκων οὐκ ἀνάλαμβάνοιτο, καὶ τῇ προσηκούσῃ καὶ καταλλήλῳ τοῦ πταίσματος ἰατρίᾳ τὸ νενοσηκὸς ἀνακτᾶσθαι, καὶ ἐπιρρωννύειν ἀγωνίζοιτο, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος ἀφορισμῷ ὑποκεῖσθαι. εἰ γὰρ ὁ ζώων ἀλόγων τὴν προστασίαν ἐγχειριζόμενος, καὶ τοῦ ποιμνίου καταμελῶν, οὐκ ἀτιμώρητος καταλιμπάνεται, τῶν Χριστοῦ θρεμμάτων τὴν ποιμαντικὴν ἀρχὴν καταπιστευθεὶς, καὶ ῥᾳστώνῃ καὶ ῥαθυμίᾳ τὴν αὐτῶν σωτηρίαν ἀπεμπολῶν, πῶς οὐ δίκας τοῦ τολμήματος εἰσπραχθήσεται;

ΚΑΝΩΝ δ'.

ΠΟλυτρόπως ὁ πονηρὸς τοῦ μοναχικοῦ σχήματος τὸ σεβάσμιον ἐπονείδιστον θεῖναι ἠγωνίσατο, καὶ πολλὴν εὗρεν εἰς τοῦτο συνδρομὴν, τῆς καταχούσης αἱρέσεως τὸν καιρόν. τὰς γὰρ ἰδίας μονὰς τῇ ἀνάγκῃ τῆς αἱρέσεως οἱ μονάζοντες καταλιμπάνοντες, οἱ μὲν, εἰς ἑτέρας, οἱ δὲ εἰς κοσμικῶν ἀνδρῶν μετέπιπτον καταγώγια. ἀλλὰ γὰρ ὅπερ αὐτοὺς δι' εὐσέβειαν τότε πραττόμενον μακαριστοὺς ἀπέφαινεν, εἰς ἔθος ἄλογον μεταπεσὸν, καταγελάστους παρίστησι. πανταχοῦ γὰρ νῦν τῆς εὐσεβείας ἐξηπλωμένης, καὶ σκανδάλων τῆς ἐκκλησίας ἀπηλλαγμένης, ἔτι τινὲς τῶν οἰκείων μοναστηρίων ἀποφοιτῶντες, καὶ καθάπερ τι ῥεῦμα δυσκάθεκτον ὧδε κακεῖσε μεταγγιζόμενοί τε καὶ μεταῤῥέοντες, πολλῆς μὲν πληροῦσι τῆς ἀκοσμίας τὰ μοναστήρια, πολλὴν δὲ τὴν ἀταξίαν ἑαυτοῖς συνεισκωμάζουσι, καὶ τῆς ὑποταγῆς τὸ σεμνὸν διασπῶσί τε καὶ καταλυμαίνονται. ἀλλὰ τούτων τὸ ἄστατον τῆς ὁρμῆς καὶ ἀνυπότακτον ἡ ἁγία σύνοδος ἀνακόπτουσα, ὥρισεν, ἵνα εἴ τις μοναχὸς τῆς ἰδίας ἀποδράσας μονῆς εἰς ἕτερον μεταπέσῃ μοναστήριον, ἢ εἰς κοσμικὸν εἰσκωμάσῃ καταγώγιον· αὐτός τε καὶ ὁ τοῦτον ὑποδεξάμενος ἀφωρισμένος εἴη, ἕως ἂν ὁ ἀποφυγὼν ἐπανέλθῃ, ἐξ ἧς κακῶς ἐξέπεσε μονῆς. εἰ μέντοι γε ὁ ἐπίσκοπός τινας τῶν μοναχῶν ἐπὶ εὐλαβείᾳ καὶ βίου σεμνότητι μαρτυρουμένους, εἰς ἕτερον μοναστήριον ἐπὶ καταστάσει τῆς μονῆς ἐθελήσοι μετακομίσαι, ἢ καὶ εἰς κοσμικὴν οἰκίαν ἐπὶ σωτηρίᾳ τῶν ἐνοικούντων δοκιμάσει καταστῆσαι, ἢ ἀλλαχόσε εὐδοκήσει ἐπιστῆσαι· τοῦτο, οὔτε τοὺς ὑποδεχομένους, οὔτε τοὺς μοναχοὺς ὑποδίκους ποιεῖ.

ΚΑΝΩΝ ε'.

ΤΑ'Σ ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγὰς ἐπὶ πολὺ τὴν μοναχικὴν εὐταξίαν λυμαινομένας, εὑρίσκομεν. προπετῶς γάρ τινες εἰς τὸν μονήρη βίον ἑαυτοὺς ἐπιῤῥίπτοντες, καὶ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον κατολιγωροῦντες τῆς ἀσκήσεως, ἐπὶ τὸν φιλόσαρκον καὶ φιλήδονον βίον, ἀθλίως πάλιν ἐπαναστρέφουσιν, ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς, δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης βιοτῆς καταστήσῃ, καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο, πλὴν εἰ μή πω τις προσπεσοῦσα βαρεῖα νόσος, τὸν χρόνον ἀναγκάσῃ συσταλῆναι τῆς δοκιμασίας, ἢ εἰ μή πως εἴη ἀνὴρ εὐλαβὴς καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων σχήματι. ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρὸς εἰς ἀπόπειραν παντελῆ, καὶ ὁ ἐξαμηνιαῖος ἀρκέσει χρόνος, εἰ δέ τις παρὰ ταῦτα διαπράξεται τὸν μὲν ἡγούμενον τῆς ἡγουμενείας ἐκπίπτοντα, παιδείαν τῆς ἀταξίας τὴν ἐν ἀποταγῇ διαγωγὴν ἐφευρίσκειν, τὸν δὲ μονάσαντα ἐν ἑτέρᾳ μονῇ τὴν μοναχικὴν ἀκρίβειαν φυλαττούσῃ παραδίδοσθαι.

ΚΑΝΩΝ ϛ'.

ΟΙ' μοναχοὶ οὐδὲν ἴδιον ὀφείλουσιν ἔχειν, πάντα δὲ τὰ αὐτῶν προσκληροῦσθαι τῷ μοναστηρίῳ. φησὶ γὰρ ὁ μακάριος Λουκᾶς περὶ τῶν εἰς Χριστὸν πιστευόντων, καὶ τὴν τῶν μοναχῶν πολιτείαν διατυπούντων, ὡς οὐδείς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. διὸ τοῖς ἐθέλουσι μονάζειν ἄδεια δίδοται περὶ τῶν ὑπαρχόντων αὐτοῖς διατίθεσθαι πρότερον, καὶ οἷς ἂν βούλοιντο προσώποις μὴ κεκωλυμένοις δηλονό-

τι παρὰ τοῦ νόμου τὰ αὐτῆς παραπέμπεσθαι· μετὰ γάρ τοι τὸ μονάσαι, τῆς προσόντων αὐτοῖς ἁπάντων, τὸ μοναστήριον ἔχει τὴν κυριότητα, καὶ οὐδὲν περὶ τῆς οἰκείων φροντίζειν ἢ διατάσσεσθαι τούτοις παρακεχώρηται. εἰ δέ τις φωραθείη κτῆσίν τινα, ἥτις οὐκ ἀπεκληρώθη τῷ μοναστηρίῳ ἰδιοποιούμενος, καὶ φιλοκτησίας πάθει δουλούμενος, ταύτην μὲν παρὰ τοῦ ἡγουμένου ἢ τοῦ ἐπισκόπου ἀναλαμβάνεσθαι, καὶ πολλῶν παρουσίᾳ πιπρασκομένην, πτωχοῖς καὶ ἀπόροις διανέμεσθαι. τὸν δέ γε τὴν τοιαύτην κτῆσιν κατὰ τὸν παλαιὸν Ανανίαν ὑποσυλᾷν μελετήσαντα, τῷ προσήκοντι ἐπιτιμίῳ ἡ ἁγία σύνοδος ὥρισε σωφρονίζεσθαι. δῆλον δὲ ὡς ἅτινα περὶ μοναζόντων ἀνδρῶν ἡ ἁγία σύνοδος ἐκανόνισε, τὰ αὐτὰ καὶ περὶ μοναζουσῶν γυναικῶν κρατεῖν ἐδικαίωσεν.

ΚΑΝΩΝ ζ'.

Πολλὰς τῆς ἐπισκοπῶν ὁρῶμεν καταπιπτούσας, καὶ ἀφανισμῷ τελείῳ κινδυνευούσας παραδίδοσθαι, ὅτι περ οἱ τούτων προεστηκότες τὴν περὶ αὐτῆς φροντίδα, καὶ ἐπιμέλειαν, εἰς νεουργίας μοναστηρίων καταναλίσκουσι, καὶ ταύτας διασπῶντες, καὶ τὸν σφετερισμὸν τῆς εἰσόδων ἐκμηχανώμενοι τὴν ἐκείνων ἐπαύξησιν πραγματεύονται. ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδενὶ τῆς ἐπισκόπων ἐξεῖναι μοναστήριον ἴδιον ἐπὶ καταλύσει τῆς ἰδίας ἐπισκοπῆς νεουργεῖν. εἰ δέ τις φωραθείη τοῦτο τολμῶν, αὐτὸν μὲν τῷ προσήκοντι ἐπιτιμίῳ καθυποβάλλεσθαι, τὸ δὲ νεουργηθὲν ὑπ' αὐτοῦ, ὡς μηδὲ τὴν ἀρχὴν μοναστηρίου δίκαιον ἀπειληφὸς, ὡς ἰδιόκτητον τῷ ἐπισκοπείῳ προσκυροῦσθαι. οὐδὲν γὰρ τῆς παρανόμως καὶ ἀτάκτως παρυφισταμένων τὸ πρόκριμα τῆς κανονικῶν συνισταμένων ἀποφέρεσθαι δύναται.

ΚΑΝΩΝ η'.

Ὁ Θεῖος καὶ ἱερὸς τῆς ἁγίων ἀποστόλων κανὼν, τοὺς ἐκτέμνοντας ἑαυτοὺς αὐτοφονευτὰς κρίνει, καὶ ἱερεῖς μὲν ὄντας, καθαιρεῖ, μέλλοντας δὲ καὶ τῆς ἐπὶ ἱερωσύνην προκοπῆς ἀπείργει, δῆλον ἐντεῦθεν καθιστῶν, ὡς εἴπερ ὁ ἑαυτὸν ἐκτέμνων αὐτοφονευτής ἐστιν, ὁ ἕτερον ἐκτέμνων πάντως φονευτής ἐστι. θείη δ' ἄν τις τὸν τοιοῦτον δικαίως καὶ τῆς δημιουργίας αὐτῆς ὑβριστήν. διόπερ ὥρισεν ἡ ἁγία σύνοδος, ὡς εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος εὐνουχίζων τινὰ ἐλεγχθείη, ἢ αὐτοχειρία, ἢ ἐξ ἐπιτάγματος, τοῦτον καθαιρέσει καθυποβάλλεσθαι· εἰ δὲ λαϊκὸς εἴη, ἀφορίζεσθαι, πλὴν εἰ μήπω νοσήματι περιπεσὼν, πρὸς ἐκτομὴν τοῦ πεπονθότος ἐκβιάζοιτο. ὥσπερ γὰρ ὁ τῆς ἐν Νικαίᾳ συνόδου πρῶτος κανὼν τοὺς ἐν νόσῳ χειρουργηθέντας οὐ κολάζει διὰ τὸ νόσημα· οὕτω καὶ ἡμεῖς, οὔτε τοὺς ἱερεῖς ἐπιτάσσοντας τοὺς νοσοῦντας εὐνουχίζεσθαι κατακρίνομεν, οὔτε μὴν τοὺς λαϊκοὺς αὐτοχειρίᾳ πρὸς τὴν ἐκτομὴν χρωμένους αἰτιώμεθα. τοῦτο γὰρ ἰατρείαν τοῦ νοσήματος, ἀλλ' οὐκ ἐπιβουλὴν τοῦ πλάσματος, ἢ τῆς πλάσεως ὕβριν λογιζόμεθα.

ΚΑΝΩΝ θ'.

Τοῦ ἀποστολικοῦ καὶ θείου κανόνος τοὺς ἱερεῖς τύπτειν ἐπιχειροῦντας πιστοὺς ἁμαρτήσαντας ἢ ἀπίστους ἀδικήσαντας καθαιρέσει καθυποβάλλεσθαι διοριζομένου, οἱ τὸν οἰκεῖον ἀποθεραπεύειν μηχανώμενοι θυμὸν, καὶ τὰς ἀποστολικὰς διατάξεις, παραχαράσσοντες τοὺς αὐτοχειρίᾳ τύπτοντας ἐξειλήφασι, μήτε τοῦ κανόνος μηδὲν τοιοῦτον ὑποσημαίνοντος, μήτε τοῦ ὀρθοῦ λόγου τοῦτο ἐπιτρέποντος. μάταιον γὰρ ὡς ἀληθῶς καὶ λίαν ἐπισφαλὲς τὸν αὐτοχειρίᾳ μὲν τρὶς ἢ τετράκις πλήξαντα, καθαιρεῖσθαι, ἀδείας δὲ διδομένης, ἐξ ἐπιτάγματος τύπτειν τὸν ἀπηνῶς καὶ μέχρι θανάτου τὴν τιμωρίαν ἐπαύξοντα, παρορᾶσθαι ἀτιμώρητον. διόπερ τοῦ κανόνος τὸ τύπτειν ἁπλῶς κολάζοντος, καὶ ἡμεῖς οὕτω συμψηφιζόμεθα. χρὴ γὰρ τοῦ Θεοῦ ἱερέα καὶ διδασκαλίαις, καὶ νουθεσίαις, ἔσθ' ὅτε καὶ τοῖς ἐκκλησιαστικοῖς ἐπιτιμίοις, τὸν ἀτακτοῦντα παιδαγωγεῖν, ἀλλὰ μὴ ταῖς μάστιξι καὶ ταῖς πληγαῖς εἰς τὰ τῆς ἀνθρώπων σώματα ἐπιπηδᾷν. εἰ δέ τινες εἶεν παντελῶς ἀνυποτακτοῦντες καὶ τῷ σωφρονισμῷ τῆς ἐπιτιμίων μὴ ὑπείκοντες, τούτους διὰ τῆς πρὸς τοὺς κατὰ τὸν τόπον ἄρχοντας ἐγκλήσεως, οὐδεὶς κωλύει σωφρονίζεσθαι· καὶ γὰρ ὁ τῆς ἐν Αντιοχείᾳ συνόδου πέμπτος κανὼν, τοὺς θορυβοῦντας καὶ στάσεις τῇ ἐκκλησίᾳ παρεισάγοντας, διὰ τῆς ἔξωθεν χειρὸς ἐκανόνισεν ἐπιστρέφεσθαι.

ΚΑΝΩΝ ι'.

Οἱ τοῖς πάθεσιν ἑαυτοὺς ἐκδότους παραστήσαντες, οὐ μόνον τὴν ἀπὸ τῆς ἱερῶν κανόνων τιμωρίαν οὐ φρίττουσιν, ἀλλὰ καὶ αὐτῆς ἐκείνων κατορχεῖσθαι τετολμήκασι. στρεβλοῦσι γὰρ αὐτοὺς, καὶ πρὸς τὸ ἐμπαθὲς αὐτῆς ἀποκιβδηλεύουσι τοῦ θελήματος, ἵνα τῇ φιλοτιμίᾳ τῆς ἐμπαθείας κατὰ τὸν θεολόγον Γρηγόριον, μὴ μόνον ἀνεύθυνον αὐτοῖς ᾖ τὸ κακὸν, ἀλλὰ καὶ θεῖον νομίζοιτο. τὸν γὰρ ἀποστολικὸν κανόνα τὸν λέγοντα. σκεῦος χρυσοῦν ἢ ἀργυροῦν ἁγιασθὲν ἢ ὀθόνην, μηδεὶς ἔτι εἰς οἰκείαν χρείαν σφετεριζέσθω, παράνομον γάρ. εἰ δέ τις φωραθείη, ἐπιτιμάσθω ἀφορισμῷ. τοῦτο οὖν εἰς συνηγορίαν τῆς οἰκείων παρανομημάτων ἐκλαμβάνοντες, οὐ φασὶ δεῖν καθαιρέσεως ἀξίους κρίνεσθαι τοὺς τὴν σεβασμίαν τῆς ἁγίας τρα πέζης ἐνδυτὴν εἰς οἰκεῖον χιτῆνα, ἢ εἰς ἕτερόν τι τῆς ἀμφίων μεταχηματίζοντας· οὐ μὴν ἀλλ' οὐδὲ τοὺς τὸ ἅγιον ποτήριον· ὦ τῆς ἀσεβείας· ἢ τὸν σεπτὸν δίσκον, ἢ τὰ τούτοις παραπλήσια εἰς ἰδίαν

ἐκ-

ἐκδαπανῶντας χρείαν, ἢ καταχραίνοντας. ὁ γὰρ κανὼν φησι τοὺς εἰς τοῦτο περιπίπτοντας ἀφορισμῷ μὲν καθυποβάλλεσθαι· ἀλλ' οὐ καθαιρέσει ἐδικαίωσεν. ἀλλὰ τίς ἂν ἀνάχοιτο τῆς τοσαύτης παραποιήσεως καὶ δυσσεβείας τὸ μέγεθος; τοῦ γὰρ κανόνος τοῖς τὸ μόνον ἁγιασθὲν εἰς χρῆσιν, ἀλλ' οὐκ εἰς τελείαν ἁρπαγὴν σφετεριζομένοις τὸν ἀφορισμὸν ἐπιπέμποντος, αὐτοὶ καὶ τοὺς καθαρπάζοντας καὶ ἱεροσυλοῦντας τὰ τῆς ἁγίων ἅγια, ἐλευθεροῦσι τῆς καθαιρέσεως, καὶ τοὺς εἰς βρωμάτων ὑπηρεσίαν, ὅσον γε τῇ ἐφ' ἑαυτοὺς κρίσει τοὺς σεβασμίους δίσκους, ἢ τὰ ἱερὰ ποτήρια καταμολύνοντας ἀκαθαιρέτους εἰσάγουσι, καί τοι φανεροῦ καθεστηκότος τοῦ μιάσματος, καὶ δῆλον ὄν, ὡς οἱ τὰ τοιαῦτα πράττοντες οὐ μόνον καθαιρέσεως, ἀλλὰ καὶ τῆς ἐσχάτης δυσσεβείας τῷ ἐγκλήματι περιπίπτουσι· διόπερ ὥρισεν ἡ ἁγία σύνοδος τοὺς τὸ ἅγιον ποτήριον, ἢ τὸν δίσκον, ἢ τὴν λαβίδα, ἢ τὴν σεβασμίαν ἐνδυτὴν, ἢ τὸν λεγόμενον ἀέρα, ἢ ἁπλῶς τοὺς ἔντι τῆς ἐν τῷ θυσιαστηρίῳ ἱερῶν καὶ ἁγίων σκευῶν ἢ ἀμφιασμάτων εἰς ἴδιον κέρδος ὑφαρπάζοντας, ἢ εἰς χρῆσιν ἀποχρωμένους ἀνίερον παντελεῖ καθαιρέσει καθυποβάλλεσθαι. τὸ μὲν γάρ ἐστι βεβηλῶσαι, τὸ δὲ συλῆσαι τὰ ἅγια. τοὺς μέντοι τὰ ἔξωθεν τοῦ θυσιαστηρίου ἀφωρισμένα σκεύη τινὰ, ἢ ἄμφια εἰς χρῆσιν ἀνίερον ἑαυτοῖς ἢ ἑτέροις παρέχοντας, τούτους καὶ ὁ κανὼν ἀφορίζει καὶ ἡμεῖς συναφορίζομεν. τοὺς δὲ παντελῶς ἀφαρπάζοντας, τῇ τῆς ἱεροσύλων καταδίκῃ καθυποβάλλομεν.

ΚΑΝΩΝ ιά.

Τοὺς πρεσβυτέρους ἢ διακόνους κοσμικὰς ἀρχὰς ἢ φροντίδας ἀναδεχομένους, ἢ τὰς ἐν τοῖς οἴκοις τῆς ἀρχόντων λεγομένας κουρατωρίας, οἱ θεῖοι καὶ ἱεροὶ κανόνες, καθαιρέσει καθυποβάλλουσι. τοῦτο οὖν καὶ ἡμεῖς ἐπικηροῦντες, καὶ περὶ τῆς λοιπῶν τῆς ἐν κλήρῳ κατειλεγμένων διοριζόμεθα, ὡς εἴ τις αὐτῆς κοσμικὰς ἀρχὰς μεταχειρίζοιτο, ἢ τὰς ἐν τοῖς τῆς ἀρχόντων οἴκοις ἢ προαστείοις λεγομένας κουρατωρείας ἀναδέχοιτο, τοῦτον τοῦ οἰκείου κλήρου ἐκδιώκεσθαι. οὐδεὶς γὰρ δύναται κατὰ τὴν τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν αὐτόλεκτον καὶ ἀψευδεστάτην φωνὴν, δυσὶ κυρίοις δουλεύειν.

ΚΑΝΩΝ ιβ'.

Τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας οὖσι, λειτουργοῦντας ἢ βαπτίζοντας κληρικοὺς παρὰ γνώμην τοῦ ἐπισκόπου καθαιρέσει καθυποβαλλούσης, καὶ ἡμεῖς τούτῳ συμψηφιζόμεθα. τῆς γὰρ ἁγίας ἐκκλησίας ὀρθοτομούσης, καὶ τὸν ἀληθῆ πρεσβευούσης λόγον, καὶ τὸ σεμνὸν τῆς πολιτείας συντηρούσης τε καὶ ἐνδιδασκούσης, ἀπηχὲς καὶ ἀνόσιον παραχωρεῖν τοὺς ἀπαιδευσίᾳ καὶ ἀναρχίᾳ συζῶντας, εἰς τὰς οἰκίας ὑποδυομένους, τὴν ταύτης εὐταξίαν διασπᾶν, καὶ πολλῆς ταραχῆς καὶ σκανδάλων ἀποπληροῦν. διόπερ ἡ νῦν ἱερὰ καὶ θεοσυνέργητος σύνοδος τῇ οἰκουμενικῇ καὶ ἁγίᾳ ἕκτῃ συνόδῳ συμφωνοῦσα, ἀποκεκληρωμένους εἶναι τοὺς ἐν τοῖς εὐκτηρίοις οἴκοις ἔνδον οἰκίας οὖσι λειτουργοῦντας, διωρίσατο, τῆς ἀποκληρώσεως, δηλονότι, παρὰ τοῦ κατὰ τὸν τόπον ἐπισκόπου αὐτοῖς ἀπονεμηθείσης. εἰ δέ τινες παρὰ τούτους, τοῦ ἐπισκόπου μὴ εὐδοκοῦντος εἰς τὰς οἰκίας εἰσπίπτοντες ἅπτεσθαι τῆς λειτουργίας ἀποτολμῶσι, τούτους μὲν καθαιρεῖσθαι· τοὺς δὲ τῆς αὐτῆς κοινωνίας μεταχόντας, τῷ ἀφορισμῷ καθυποβάλλεσθαι.

ΚΑΝΩΝ ιγ'.

Τὰς τῆς αἱρετικῶν ζιζανίων ἐπισπορὰς ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ὁ παμπόνηρος καταβαλὼν, καὶ ταύτας ὁρῶν τῇ μαχαίρᾳ τοῦ πνεύματος τεμνομένας προῤῥίζους, ἐφ' ἑτέραν ἦλθε μεθοδείας ὁδὸν, τῇ τῆς σχισματικῶν μανίᾳ τοῦ Χριστοῦ σῶμα μερίζειν ἐπιχειρῶν. ἀλλὰ καὶ ταύτην αὐτοῦ τὴν ἐπιβολὴν ἡ ἁγία σύνοδος ἀναστέλλουσα παντελῶς ὥρισε τοῦ λοιποῦ, ἵνα εἴ τις πρεσβύτερος ἢ διάκονος, ὡς δῆθεν ἐπ' ἐγκλήμασί τισι τοῦ οἰκείου κατεγνωκὼς ἐπισκόπου πρὸ συνοδικῆς διαγνώσεως καὶ ἐξετάσεως, ἀποστῆναι τολμήσει τῆς αὐτοῦ κοινωνίας, καὶ τὸ ὄνομα αὐτοῦ ἐν ταῖς ἱεραῖς τῆς λειτουργιῶν εὐχαῖς κατὰ τὸ παραδεδομένον τῇ ἐκκλησίᾳ μὴ ἀναφέροι, τοῦτον ὑποκεῖσθαι κσθαιρέσει, καὶ πάσης ἱερατικῆς ἀποστερεῖσθαι τιμῆς. ὁ γὰρ ἐν πρεσβυτέρου τάξει τεταγμένος, καὶ τῆς μητροπολιτῆς ἁρπάζων τὴν κρίσιν, καὶ πρὸ κρίσεως αὐτὸς κατακρίνων, ὅσον τὸ ἐπ' αὐτῷ τὸν οἰκεῖον πατέρα καὶ ἐπίσκοπον, οὗτος οὐδὲ τῆς τοῦ πρεσβυτέρου ἐστὶν ἄξιος τιμῆς, ἢ ὀνομασίας. οἱ δὲ τούτοις συνεπόμενοι, εἰ μὲν τῆς ἱερωμένων εἶέν τινες, καὶ αὐτοὶ τῆς οἰκείας τιμῆς ἐκπιπτέτωσαν· εἰ δὲ μοναχοὶ, ἢ λαϊκοὶ, ἀφοριζέσθωσαν παντελῶς τῆς ἐκκλησίας μέχρις ἂν τὴν πρὸς τοὺς σχισματικοὺς συνάφειαν διαπτύσαντες, πρὸς τὸν οἰκεῖον ἐπίσκοπον ἐπιστραφεῖεν.

ΚΑΝΩΝ ιδ'.

Εἴ τις ἐπίσκοπος ἐγκλήματος πρόφασιν ποιούμενος τοῦ οἰκείου μητροπολίτου πρὸ συνοδικῆς διαγνώσεως ἀποστήσει ἑαυτὸν τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ μὴ ἀναφέρει τὸ ὄνομα αὐτοῦ κατὰ τὸ εἰθισμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος καθηρημένον εἶναι, εἰ μόνον ἀποστὰς τοῦ οἰκείου μητροπολίτου, σχίσμα ποιήσει. δεῖ γὰρ ἕκαστον τὰ οἰκεῖα μέτρα γινώσκειν, καὶ μήτε τὸν πρεσβύτερον καταφρονεῖν τοῦ οἰκείου ἐπισκόπου, μήτε τὸν ἐπίσκοπον τοῦ οἰκείου μητροπολίτου.

ΚΑΝῺΝ ιέ.

ΤᾺ ὁρισθέντα ἐπὶ πρεσβυτέρων καὶ ἐπισκόπων καὶ μητροπολιτῶν πολλῷ μᾶλλον ἐπὶ πατριαρχῶν ἁρμόζει, ὥστε τις ἢ ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ μητροπολίτης τολμήσειεν ἀποστῆναι τῆς πρὸς τὸν οἰκεῖον πατριάρχην κοινωνίας, καὶ μὴ ἀναφέροι τὸ ὄνομα αὐτοῦ κατὰ τὸ ὡρισμένον καὶ διατεταγμένον ἐν τῇ θείᾳ μυσταγωγίᾳ, ἀλλὰ πρὸ ἐμφανείας συνοδικῆς, καὶ τελείας αὐτοῦ κατακρίσεως σχίσμα ποιήσει, τοῦτον ὥρισεν ἡ ἁγία σύνοδος πάσης ἱερατείας παντελῶς ἀλλότριον εἶναι, εἰ μόνον ἐλεγχθείη τοῦτο παρανομήσας. καὶ ταῦτα μὲν ἐσφράγισται, καὶ ὅρισται, περὶ τῶν προφάσει τινῶν ἐγκλημάτων τῶν οἰκείων ἀφισταμένων προέδρων, καὶ σχίσματα ποιούντων, καὶ τὴν ἕνωσιν τῆς ἐκκλησίας ἐκτιλλούντων. οἱ γὰρ δι' αἵρεσίν τινα παρὰ τῶν ἁγίων συνόδων ἢ πατέρων κατεγνωσμένην τῆς πρὸς τὸν πρόεδρον κοινωνίας ἑαυτοὺς διαστέλλοντες, ἐκείνου τὴν αἵρεσιν δηλονότι δημοσίᾳ κηρύττοντος, καὶ γυμνῇ τῇ κεφαλῇ ἐπ' ἐκκλησίᾳ διδάσκοντος, οἱ τοιοῦτοι οὐ μόνον τῇ κανονικῇ ἐπιτιμήσει οὐχ ὑποκείσονται πρὸ συνοδικῆς διαγνώσεως ἑαυτοὺς τῆς πρὸς τὸν καλούμενον ἐπίσκοπον κοινωνίας ἀποτειχίζοντες, ἀλλὰ καὶ τῆς πρεπούσης τιμῆς ὀρθοδόξοις ἀξιωθήσονται. οὐ γὰρ ἐπισκόπων, ἀλλὰ ψευδεπισκόπων, καὶ ψευδοδιδασκάλων κατέγνωσαν, καὶ οὐ σχίσματι τὴν ἕνωσιν τῆς ἐκκλησίας κατέτεμον, ἀλλὰ σχισμάτων καὶ μερισμῶν τὴν ἐκκλησίαν ἐσπούδασαν ῥύσασθαι.

ΚΑΝῺΝ ιϛ'.

ΔΙὰ τὰς φιλονεικίας τε καὶ ταραχὰς τὰς ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ συμβαινούσας, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον ἐστί. τὸ, μηδενὶ τρόπῳ ἐπίσκοπον καταστῆναι ἐν τῇ ἐκκλησίᾳ, ἧς ἔτι ὁ προεστὼς ζῇ, καὶ ἐν τῇ ἰδίᾳ συνίσταται τιμῇ, εἰ μὴ αὐτὸς ἑκὼν τὴν ἐπισκοπὴν παραιτήσεται, καὶ γὰρ χρὴ πρότερον τὴν αἰτίαν τοῦ μέλλοντος τῆς ἐπισκοπῆς ἐκδιώκεσθαι, κανονικῶς ἐξεταζομένην εἰς πέρας ἄγεσθαι, εἶθ' οὕτως μετὰ τὴν αὐτοῦ καθαίρεσιν ἕτερον ἀντ' αὐτοῦ εἰς τὴν ἐπισκοπὴν προβιβάζεσθαι. εἰ δέ τις τῶν ἐπισκόπων ἐν τῇ ἰδίᾳ συνιστάμενος τιμῇ μήτε παραιτεῖσθαι βούλοιτο, μήτε τὸν οἰκεῖον ἐθέλοι ποιμαίνειν λαὸν, ἀλλὰ τῆς οἰκείας ἀποστὰς ἐπισκοπῆς ὑπὲρ τὸ ἑξάμηνον ἐν ἑτέρῳ διατρίβοι τόπῳ, μήτε βασιλικῷ προστάγματι κατεχόμενος, μήτε ταῖς τοῦ οἰκείου πατριάρχου λειτουργίαις ὑπηρετούμενος, μήτε μὴν ὑπὸ νόσου χαλεπῆς τὴν ἀκινησίαν ἐμποιούσης, παντελῆ συνεχόμενος, ὁ τοιοῦτος οὖν ὁ κατὰ μηδεμίαν τῶν εἰρημένων προφάσεων κωλυόμενος, τῆς οἰκείας ἀφιστάμενος ἐπισκοπῆς, καὶ ὑπὲρ τὸν ἑξαμηνιαῖον χρόνον ἐν ἑτέρῳ τόπῳ χρονοτριβῶν τῆς τοῦ ἐπισκόπου τιμῆς τε καὶ ἀξίας ἀλλοτριωθήσεται παντελῶς. τὸν γὰρ τῆς ἐμπιστευθείσης αὐτῷ καταμελοῦντα ποίμνης, καὶ ἐν ἑτέρῳ ὑπὲρ τὸ ἑξάμηνον χρονοτριβοῦντα τόπῳ, ὥρισεν ἡ ἁγία σύνοδος καὶ τῆς ἀρχιερωσύνης δι' ἧς ποιμαίνειν ἐτάχθη, παντελῶς ἀλλότριον καθεστάναι, καὶ εἰς τὸν αὐτοῦ τῆς ἐπισκοπῆς τόπον ἕτερον ἀντ' αὐτοῦ καταλέγεσθαι.

ΚΑΝῺΝ ιζ'.

ΕΝ πᾶσι τῆς ἐκκλησιαστικῆς εὐταξίας φροντίζοντες, καὶ τοῦτο ὁρίσαι ἀναγκαῖον ἐθέμεθα, ὥστε τοῦ λοιποῦ μηδένα τῶν λαϊκῶν ἢ μοναχῶν ἀθρόον εἰς τὸ τῆς ἐπισκοπῆς ὕψος ἀνάγεσθαι, ἀλλὰ τοῖς ἐκκλησιαστικοῖς βαθμοῖς ἐξεταζόμενον πρώτερον, οὕτω τῆς ἐπισκοπῆς τὴν χειροτονίαν ὑποδέχεσθαι, εἰ γὰρ καὶ μέχρι τοῦ νῦν ἀπὸ τῶν λαϊκῶν ἢ μοναχῶν τινες ἀπαιτούσης χρείας παραυτίκα τιμῆς ἄξιοι γεγόνασιν ἐπισκοπικῆς, ἀρετῇ τε διαπρέψαντες, καὶ τὴν κατ' αὐτοὺς ἐκκλησίαν ὑψώσαντες, ἀλλὰ τὸ σπάνιον, οὐδαμοῦ νόμον τῆς ἐκκλησίας τιθέμενοι, ὁρίζομεν τοῦ λοιποῦ μηκέτι τοῦτο γίνεσθαι. εἰ μὴ κατὰ λόγον ὁ χειροτονούμενος τῶν ἱερατικῶν προέλθοι βαθμῶν ἐν ἑκάστῳ τάγματι τὸν νενομισμένον χρόνον ἀποπληρῶν.

ΚΑ'ΝΟΝΕΣ Ε'ΚΤΕΘΕ'ΝΤΕΣ

Παρὰ τῆς ἁγίας

ΣΥΝΟ'ΔΟΥ.

Τῆς ἐν τῷ περιωνύμῳ καὶ ἐπωνύμῳ ναῷ τῆς τοῦ Θεοῦ λόγου σοφίας συστάσης, καὶ τὴν ἑβδόμην οἰκουμενικὴν σύνοδον ἐπιβεβαιωσάσης, πᾶσαν δὲ σχισματικὴν καὶ αἱρετικὴν πλάνην ἀπελασάσης. χρόν. ἀπὸ Χριστοῦ 879. Συνόδος ἐπὶ Φωτίου.

ΚΑΝῺΝ α'.

ΩΡισεν ἡ ἁγία σύνοδος, ὥστε εἴτινες τῶν ἐξ Ἰταλίας κληρικῶν, ἢ λαϊκῶν, ἢ ἐπισκόπων, ἐν τῇ Ἀσίᾳ, ἢ Εὐρώπῃ, ἢ Λιβύῃ διατρίβοντες, ὑπὸ δεσμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν παρὰ τοῦ ἁγιωτάτου πάπα ἐγένοντο Ἰωάννου, ἵνα εἰσὶν οἱ τοιοῦτοι καὶ παρὰ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας ὅρῳ, τουτέστιν ἢ καθῃρημένοι, ἢ ἀναθεματισμένοι, ἢ ἀφωρισμένοι, οὓς μέν τοι Φώτιος ὁ ἁγιώτατος ἡμῶν πατριάρχης κληρικοὺς, ἢ λαϊκοὺς, ἢ τοῦ ἀρχιερατικοῦ καὶ ἱερατικοῦ τάγματος, ἐν οἱαδήποτε παροικίᾳ ὑπὸ ἀφορισμὸν, ἢ καθαίρεσιν, ἢ ἀναθεματισμὸν ποιήσῃ· ἵνα ἔχῃ αὐτοὺς καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης, καὶ ἡ κατ' αὐτὸν ἁγία τοῦ Θεοῦ Ῥωμαίων ἐκκλησία ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας κρίματι μηδὲν τῶν προσόντων πρεσβείων

θείων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ῥωμαίων ἐκκλησίας, μηδὲ τῷ ταύτης προέδρῳ τὸ σύνολον ἡμνοτομουμένων, μήτε νῦν, μήτε εἰς τὸ μετέπειτα.

ΚΑΝΩΝ β'.

Εἴ τις ἕως μέχρι νῦν ἔνιοι τῆς ἀρχιερέων εἰς τὸ τῆς μοναχῶν κατιόντες σχῆμα ἐπὶ τῷ τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει· καὶ τούτῳ πράττοντες παρεωρῶντο, ἀλλ' ἐν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος αὕτη, καὶ τοῦτο ῥυθμίζουσα τὸ παράπαν, καὶ πρὸς τὰς ἐκκλησιαστικὰς θεσμὰς τιὼ ἅπαντον ταύτιν ἐπανάγουσα πρᾶξιν, ὥρισεν, ἵνα εἴ τις ἐπίσκοπος, ἢ εἴ τις ἄλλος τὸ ἀρχιερατικὸν ἀξιώματος πρὸς τὸν μοναδικὸν θελήσειε κατελθεῖν βίον, καὶ τὸν τῆς μετανοίας τόπον ἀναπληρῶσαι, μηκέτι τοιοῦτον τῆς ἀρχιερατικῆς ἀντιποιεῖσθαι ἀξίας. αἱ γὰρ τῆς μοναχῶν σωθήκης ὑποταγῆς ἐπέχουσι λόγον, καὶ μαθητείας, ἀλλ' οὐχὶ διδασκαλίας ἢ προεδρείας, οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. διὸ, καθὰ προείρηται, θεσπίζομεν, μηκέτι τινὰ τῆς ἐν ἀρχιερατικῷ κατιλόγῳ καὶ ποιμένων ἐξεταζομένων, εἰς τιὼ τῆς ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζειν. εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι μὴ τιὼ ἐκφώνησιν, καὶ διάγνωσιν τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποσερήσας βαθμοῦ ἀκέτι πρὸς τὸ πρότερον, ὅπερ δὶ αὐτῆς τῆς ἔργων ἠθέτησεν, ἀξίωμα ἀναστρέψει.

ΚΑΝΩΝ γ'.

Εἴ τις τῆς λαϊκῶν ἀρχῆς χρησάμενος, καὶ καταφρονήσας μὲν τῆς θείων καὶ βασιλικῶν προσαγμάτων, καταγελάσας δὲ καὶ τῆς φειδοῦς τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔσω.

ΣΥΝΟΔΟΣ

Ἐν Κωνσταντινουπόλει

ΚΑΤΑ ΦΩΤΙΟΥ

Ἐπὶ Ἀδριανοῦ πάπα καὶ αὐτοκράτορος Βασιλείου. ἥτις ἔχει πράξεις δέκα· εἰς τὰ πρακτικὰ τῆς αὐτῆς Συνόδου ἐστὶ πρῶτον ὁ βίος τοῦ Πατριάρχου Ἰγνατίου, συγγραφεὶς ὑπὸ Νικήτα Δαυὶδ τοῦ Παφλαγόνος, καὶ Ἐγκώμιον Μιχαὴλ τοῦ Συγκέλλου πρὸς τὸν Ἰγνάτιον, Λίβελλος Ἰγνατίου πρὸς Νικόλαον πάπαν Ῥώμης, Ἐπιστολὴ Νικολάου πρὸς Ἀναστολιὼ καὶ Δύσιν, καὶ Λιβύλλου, καὶ ἑτέρα πρὸς Ἰγνάτιον, καὶ ἐπιστολὴ Ἐπιφανίου Κυπρίου πρὸς τὸν αὐτὸν Ἰγνάτιον. Ἐξέθετο καὶ Κανόνας δεκατέσσαρας, οἵτινες εἰσὶν οἱ κάτωθεν. ἠθροίσθη δὲ ἐν τῷ ἔτει ὀκτακοσιοστῷ ἑξηκοστῷ ἑνάτῳ. τῷ δευτέρῳ ἔτει τοῦ βασιλείου.

ΚΑΝΟΝΕΣ

Τῆς ἐν Κωνσταντινουπόλει

ΚΑΤΑ ΦΩΤΙΟΥ ΣΥΝΟΔΟΥ.

ΚΑΝΩΝ ά.

Τὴν εὐθεῖαν καὶ βασιλικὴν ὁδὸν τῆς θείας δικαιοσύνης ἀπροσκόπως βαδίζειν ἐθέλοντες, οἵ ὁντινας πυρσοὺς ἀειλαμπεῖς τοὺς τῆς ἁγίων πατέρων ὅρους κρατεῖν ὀφείλομεν. τοιγαροῦν τοὺς ἐν τῇ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ παραδοθέντας θεσμοὺς παρά τε τῆς ἁγίων καὶ πανευφήμων ἀποστόλων, παρά τε ὀρθοδόξων συνόδων οἰκουμενικῶν τε καὶ τοπικῶν, ἢ καὶ πρός τινος θεηγόρου πατρὸς διδασκάλου τῆς ἐκκλησίας, τηρεῖν καὶ φυλάττειν ὁμολογοῦμεν. κρατεῖν γὰρ τοὺς παραδόσεις, ἃς παρελάβομεν εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῶν τῆς προλαμψάντων ἁγίων, παρεργυᾷ διαῤῥήδην Παύλος ὁ μέγας ἀπόστολος.

ΚΑΝΩΝ β'.

Τὸν μακαριώτατον πάπαν Νικόλαον, ὡς ὄργανον τοῦ ἁγίου πνεύματος ἔχοντες, καὶ τὸν ἐκείνου διάδοχον, τὸν ἁγιώτατον πάπαν Ἀδριανὸν, ὁρίζομεν καὶ θεσπίζομεν πάντα τὰ παρ' αὐτῆς ἐκτεθέντα, καὶ συνοδικῶς ἐκφωνηθέντα κατὰ διαφόρους καιροὺς ὑπὲρ ἐκδικήσεως καὶ συσάσεως τῆς ἁγίας Κωνσταντινουπολιτῆς ἐκκλησίας, καὶ τοῦ ἁγίου αὐτῆς ἀρχιερέως Ἰγνατίου, καὶ τῆς Φωτίου ἐξωθήσεώς τε καὶ καταιρέσεως, τηρεῖσθαι καὶ φυλάττεσθαι πάντοτε σὺν τοῖς ἐκτεθεῖσι κεφαλαίοις, καὶ μηδενὰ τῆς οἱασδήτινος τάγματος ἀνθρώπων ἀθετῆσαι τολμᾷν. εἰ δέ τις μὴ τοῦτον ἡμῶν τὸν ὅρον φωραθείη ἀθετῆς τι τῆς παρ' ἐκείνοις ἐκτεθέντων κεφαλαίων, ἱερεὺς μὲν ὢν ἢ κληρικὸς, ἐκπιπτέτω τῆς ἰδίας τιμῆς καὶ τάξεως· μοναχὸς δὲ ἢ λαϊκὸς ἀφορίζέσθω, μέχρις ἂν μετανοήσῃ.

ΚΑΝΩΝ γ'.

Τὴν ἱερὰν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁμοτίμως τῇ βίβλῳ τῆς ἁγίων εὐαγγελίων προσκυνεῖσθαι θεσπίζομεν. ὥσπερ γὰρ διὰ τῆς ἐμφερομένων ἐν αὐτῇ συλλαβῶν τῆς σωτηρίας ἐπιτυγχάνουσιν ἅπαντες, οὕτω διὰ τῆς τῶν χρωμάτων εἰκονουργίας καὶ σοφοὶ καὶ ἰδιῶται πάντες τῆς ὠφελείας ἐκ τοῦ προχείρου παραπολαύουσιν. ἅπερ γὰρ ὁ ἐν συλλαβῇ λόγος, ταῦτα καὶ ἡ ἐν χρώμασι γραφὴ καταγγέλλει τε

ϛ παρίστησιν. εἴ τις οὖν οὐ προσκυνεῖ τὴν εἰκόνα τοῦ σωτῆρος Χριστοῦ, μὴ ἴδῃ ἐν τῇ δευτέρᾳ παρουσίᾳ τὴν τούτου μορφήν. ὁμοίως δὲ καὶ τὴν εἰκόνα τῆς ἀχράντου μητρὸς αὐτοῦ, καὶ τὰς εἰκόνας τῶν ἁγίων ἀγγέλων, καθὼς αὐτοὺς χαρακτηρίζει διὰ τῶν λογίων ἡ ἁγία γραφὴ, καὶ προσέτι τῶν ἁγίων πάντων, καὶ τιμῶμεν καὶ προσκυνοῦμεν. ϛ οἱ μὴ οὕτως ἔχοντες ἀνάθεμα ἔστωσαν.

δ'.

Τὴν φιλαρχίαν οἷόν τινα πονηρὰν ῥίζαν τῶν κακῶν πάντων πρόῤῥιζον ἀποτέμνοντες, τὸν προπετῶς καὶ ἀθέσμως, οἷόν τινα λύκον βαρὺν εἰς τὸ τοῦ Χριστοῦ ποίμνιον εἰσπηδήσαντα Φώτιον, καὶ ταραχῆς τὴν οἰκουμένην ἐμπλήσαντα, δικαίῳ λόγῳ ἀποφαινόμεθα μηδέποτε γεγονέναι πρότερον, ἢ νῦν ἐπίσκοπον· μήτε τοὺς ὑπ' αὐτοῦ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ ἱερατικῷ, ἐν ᾧ προεχειρίσθησαν, μένειν. τοὺς δὲ παρ' ἐν ᾧ προεχειρίσθησαν, μένειν. τοὺς δὲ παρ' αὐτοῦ εἰς ἡγουμενίαν προχειρισθέντας, τοιαύτης προστασίας ἀπείργομεν. λέγει γὰρ ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ προφήτου. ὅτι σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ μὴ ἱερατεύειν μοι.

ε'.

Κανών ἐστιν ὁ λέγων, μὴ δεῖν ἐπίσκοπον προχειρίζεσθαί τινα νεόφυτον ἢ κατὰ τὴν πίστιν. ἢ κατὰ τὸν ἱερατικὸν κλῆρον ὑπάρχοντα, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ ϛ παγίδα τοῦ διαβόλου, καθάφησιν ὁ Παῦλος. συμφώνως τοίνυν τούτῳ λέγομεν, μηδένα τῶν ἀπὸ τῆς συγκλητικῆς ἀξίας καὶ κοσμικῆς ἀγωγῆς προσφάτως καρέντα, καὶ κατὰ σκοπὸν καὶ προσδοκίαν ἀρχιερατικῆς ἢ πατριαρχικῆς τιμῆς γεγονότα κληρικὸν ἢ μοναχὸν, εἰς τὸν τοιοῦτον ἀναβιβάζειν βαθμόν, κἂν ἐφ' ἑκάστῳ τάγματι τῆς θείας ἱερωσύνης πλείονα χρόνον ποιήσῃ δοκιμαζόμενος. οὐδὲ γὰρ δι' εὐλάβειαν, ἀλλὰ διὰ φιλαρχίαν κέκαρται. ἔτι δὲ πλέον τοῦτον ἀπείργομεν, εἰ παρὰ βασιλικῆς ἐξουσίας εἰς τοῦτο συνωθῆται. εἰ δέ τις κατ' οὐδεμίαν ὑποψίαν τῆς εἰρημένης ἐπιθυμίας καὶ προσδοκίας ἐκάρη, ἀλλὰ διὰ τὸ καλὸν τῆς κατὰ Χριστὸν πολιτείας γέγονε κληρικὸς ἢ μοναχὸς, καὶ πάντα βαθμὸν ἐκκλησιαστικὸν μετελθὼν κατὰ τοὺς ὡρισμένους χρόνους ἀνεπίληπτος εὑρέθη, προβιβασθήτω εἰς τὴν ἀρχιερωσύνην, ὥστε ἐν τῷ βαθμῷ τοῦ ἀναγνώστου ἐνιαυτὸν πληρῶσαι, ἐν δὲ τῷ τοῦ ὑποδιακόνου δύο, καὶ ἐν τῷ τοῦ διακόνου τρεῖς, καὶ τέσσαρας ἐν τῷ τοῦ πρεσβυτέρου. ἐπὶ δὲ τῶν χρονισάντων εὐλαβῶς τῷ τάγματι τῶν κληρικῶν τε καὶ μοναχῶν ὁ προειρημένος χρόνος συσταλήσεται παρὰ τῶν κατὰ καιροὺς ἐπισκόπων. εἰ δὲ παρὰ τοῦτον τὸν ὅρον προαχθείη τις εἰς τὴν εἰρημένην ὑπερτάτην τιμὴν, ἀποδοκιμασθήτω παντάπασιν.

ϛ'.

Ἐπείπερ κατεφωράθη Φώτιον μετὰ τὴν ἐξενεχθεῖσαν κατ' αὐτοῦ δικαιοτάτην ἀπόφασιν παρὰ τοῦ ἁγιωτάτου πάπα Νικολάου διὰ τὴν ἀθεσμοτάτην ἐπίβασιν τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας, πονηρούς τινας ἄνδρας ἀπὸ τῶν λεωφόρων ἁγυιῶν εὑρηκὼς, καὶ τοποτηρητὰς αὐτοὺς τῶν ἁγιωτάτων πατριαρχικῶν θρόνων κατονομάσας, καὶ σὺν τούτοις ἐκκλησίαν συστησάμενος πονηρευομένων, καθαιρετικὰς συκοφαντίας καὶ διαβολὰς κατὰ τοῦ μακαρίου πάπα Νικολάου τυρεύσας, καὶ τὸ ἀνάθεμα λαθραίως κατ' αὐτοῦ καὶ τῶν κοινωνούντων αὐτῷ ἀποφηνάμενος, ὡς τὰ δῆθεν ὑπομνήματα συνοδικῶς πυρίκαυστα γέγονε· τούτου χάριν πρὸς ἀσφάλειαν τῆς ἐκκλησιαστικῆς καταστάσεως, ἀναθεματίζομεν τὸν εἰρημένον Φώτιον. καὶ διὰ τὴν αὐτὴν αἰτίαν, καὶ τοὺς ἀπὸ τοῦ νῦν τοιοῦτόν τι τολμήσοντας τῷ αὐτῷ ἀναθέματι ὑποβάλλομεν, καθὼς καὶ ὁ τῆς εὐσεβείας ἀθλητὴς Μαρτῖνος ἐκανόνισεν.

ζ'.

Τὸ τὰς ἁγίας καὶ σεπτὰς εἰκόνας· ἀναστηλοῦν, καὶ τοὺς πλησίον διδάσκειν τὰ μαθήματα τῆς θείας τε καὶ ἀνθρωπίνης σοφίας, λίαν ὀνησιφόρον· οὐ καλὸν δὲ, τοῦτο μὴ παρὰ τῶν ἀξίων γίνεσθαι τούτου χάριν μηδαμῶς εἰκονουργεῖν ἐν τοῖς ἱεροῖς ναοῖς τοὺς ἀναθεματισθέντας θεσπίζομεν, μήτε μὴν ἐν οἱῳδήποτε τόπῳ διδάσκειν, μέχρις ἂν ἐπιστραφῶσιν ἐκ τῆς ἰδίας ἀπάτης. εἴ τις οὖν μετὰ τοῦτον ἡμῶν τὸν ὅρον πρὸς ζωγραφικὴν ἁγίων εἰκόνων ἐν ἐκκλησίᾳ, ἢ διδασκαλικὴν αὐτοὺς ὁπωσοῦν παραδέξοιτο πρᾶξιν, εἰ μὲν κληρικός ἐστιν, εἰς τὸν ἴδιον κινδυνευέτω βαθμόν· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω, καὶ στερείσθω τῶν θείων μυστηρίων.

η'.

Ηλθε φήμη ταῖς ἀκοαῖς ἡμῶν, ὡς οὐ μόνον αἱρετικοὶ καὶ παράνομοι, τῆς ἁγίας Κωνσταντινουπολιτῶν ἐκκλησίας προεδρεύειν λαχόντες, ἀλλὰ καὶ ὀρθόδοξοι πατριάρχαι χειρόγραφον ποιεῖν ἀπαιτοῦσι πρὸς ἴδιον συνασπισμόν· ἔδοξεν οὖν τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, μηδαμῶς ἀπὸ τοῦ νῦν γίνεσθαι τοῦτο, πλὴν τοῦ κατὰ τύπον ϛ συνήθειαν ὑπὲρ τῆς εἰλικρινοῦς πίστεως ἡμῶν ἀπαιτουμένου κατὰ καιρὸν τῆς τῶν ἐπισκόπων χειροτονίας. εἴ τις οὖν τολμήσει παραλῦσαι τοῦτον ἡμῶν τὸν ὅρον, τῆς ἰδίας ἐκπιπτέτω τιμῆς.

θ'.

Τῆς θείας ἀναφανδὸν βοώσης γραφῆς, πρὸ ἐξετάσεως μὴ μέμψη, δικαίως καὶ συμφερόντως

τως ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη συνόδος ὁρίζει μηδένα μοναχὸν, ἢ λαϊκὸν, ἤ τινα τῶν καταλόγου τῶν κληρικῶν, πρὸ τῆς ἀκριβοῦς ἐξετάσεως καὶ συνοδικῆς ἀποφάσεως, ἀπὸ τῆς κοινωνίας ἑαυτὸν ἀφορίζειν τοῦ ἰδίου πατριάρχου, κἂν ἐγκληματικόν τι γινώσκειν διατείνηται πρᾶγμα, παραπλησίως δὲ καὶ τοὺς ἐν ἐξωτικαῖς πόλεσι καὶ χώραις ἐπισκόπους καὶ ἱερεῖς διατίθεσθαι πρὸς τοὺς ἰδίους μητροπολίτας ὁρίζομεν, ὥσπερ καὶ τοὺς μητροπολίτας πρὸς τὸν ἴδιον πατριάρχην. εἰ δέ τις ἐναντία τῇ οἰκουμενικῇ ταύτῃ συνόδῳ φωραθείη διαπραττόμενος, εἰ μὲν ἐπίσκοπός ἐστιν ἢ κληρικὸς, ἐκπιπτέτω πάσης ἱερατικῆς ἐνεργείας τε καὶ τιμῆς· εἰ δὲ μονάζων ἢ λαϊκὸς, ἀφοριζέσθω πάσης ἐκκλησεαστικῆς κοινωνίας καὶ συντάξεως μέχρις ἂν ἐπιστρέψας ἐν μετανοίᾳ δεχθῇ.

ι'.

Τῆς παλαιᾶς τε καὶ καινῆς διαθήκης μίαν ψυχὴν λογικήν τε καὶ νοερὰν διδασκούσης ἔχειν τὸν ἄνθρωπον, καὶ πάντων τῶν θεηγόρων πατέρων καὶ διδασκάλων τῆς ἐκκλησίας τὴν αὐτὴν δόξαν κατεμπεδοῦντων, εἰσί τινες οἱ δύο ψυχὰς ἔχειν αὐτὸν δοξάζοντες καὶ τισιν ἀσυλλογίστοις ἐπιχειρήμασι τὴν ἰδίαν κρατύνουσιν αἵρεσιν· ἡ τοίνυν ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος τοὺς τῆς τοιαύτης ἀσεβείας γενήτορας καὶ τοὺς ὁμοφρονοῦντας αὐτοῖς ἀναθεματίζει μεγαλοφώνως. εἰ δέ τις τὰ ἐναντία τοῦ λοιποῦ τολμήσει λέγειν, ἀνάθεμα ἔστω.

ια'.

Τοὺς ἀπὸ τῆς θείας χάριτος εἰς τὴν ἐπισκοπικὴν προκληθέντας διακονίαν, ὡς εἰκόνα καὶ τύπον φέροντας τῶν ἁγίων καὶ οὐρανίων ἱεραρχῶν, πάσης τιμῆς ἀξιοῦσθαι παρὰ πάντων τῶν ἀρχόντων καὶ ἀρχομένων θεσπίζομεν, καὶ μηδαμῶς ἢ στρατηγοῖς, ἤ τισιν ἄλλοις ἄρχουσι προϋπαντᾶν πόῤῥωθεν τῶν ἰδίων ἐκκλησιῶν, μήτε τῶν ἵππων ἢ ἡμιόνων ἑαυτοὺς ἀπορριπτοῦντα, σὺν φόβῳ καὶ τρόμῳ προσπίπτειν καὶ προσκυνεῖν· εἰ δέ τις ἐπίσκοπος μετὰ τὸν ὅρον τῆς ἁγίας συνόδου τῆς ὀφειλομένης αὐτῷ καταφρονήσει τιμῆς, καὶ καταδέξοιτό τι ποιῆσαι παρὰ τὰ νῦν ὡρισμένα, ἀφορισθήτω ἐπὶ ἐνιαυτὸν ἕνα. καὶ ὁ ἄρχων ἐκεῖνος ἐπὶ δύο ἔτεσι μὴ καταξιωθῇ τῆς μεταλήψεως τῶν ἁγιασμάτων,

ιβ'.

Ἦλθεν εἰς τὰς ἡμῶν ἀκοὰς, τὸ μὴ δύνασθαι ἄνευ ἀρχοντικῆς παρουσίας σύνοδον γενέσθαι· οὐδαμοῦ δὲ οἱ θεῖοι κανόνες συνέρχεσθαι κοσμικοὺς ἄρχοντας ἐν ταῖς συνόδοις νομοθετοῦσιν, ἀλλὰ μόνους τοὺς ἐπισκόπους ὁρῶν, οὐδὲ πλὴν τῶν οἰκουμενικῶν συνόδων, τὴν παρουσίαν αὐτῶν γεγενημένην εὑρίσκομεν. οἱ δὲ γὰρ θεμιτόν ἐστι γίνεσθαι θεατὰς τοὺς κοσμικοὺς ἄρχοντας τῶν τοῖς ἱερεῦσι τοῦ Θεοῦ συμβαινόντων πραγμάτων.

ιγ'.

Ἔ τις τοσαύτῃ τόλμη χρήσαιτο, ὥστε κατὰ τὸν Φώτιον καὶ Διόσκορον, ἐγγράφως ἢ ἀγράφως παροινίας τινὰς κατὰ τῆς καθέδρας Πέτρου τοῦ κορυφαίου τῶν Αποστόλων κινεῖν, τὴν αὐτὴν ἐκείνοις δεχέσθω κατάκρισιν· εἰ δὲ συγκροτηθείσης συνόδου οἰκουμενικῆς γένηταί τις καὶ περὶ τῆς ἐκκλησίας τῶν Ρωμαίων ἀμφιβολία, ἔξεστιν εὐλαβῶς καὶ κατὰ τῆς προσηκούσης αἰδοῦς διαπυνθάνεσθαι περὶ τοῦ προκειμένου ζήτηματος, καὶ δέχεσθαι τὴν λύσιν, καὶ ἢ ὠφελεῖσθαι, ἢ ὠφελεῖν· μὴ μέν τοι θρασέως ἀποφέρεσθαι κατὰ τῶν τῆς πρεσβυτέρας Ρώμης ἱεραρχῶν.

ιδ'.

Θεσπίζομεν τοὺς ὁρισθέντας ὠμοφορεῖν ἐπίσκόπους ἐπί τισι καιροῖς ἀποκεκληρωμένοις, ἐν τοῖς τοιούτοις περιβεβλῆσθαι ταῦτα καιροῖς καὶ τόποις, καὶ μὴ κατακεχρῆσθαι τῇ τοιαύτῃ καταστολῇ διὰ τῦφον καὶ κενοδοξίαν, καὶ ἐν παντὶ καιρῷ τῆς θείας μυσταγωγίας, καὶ πάσης ἄλλης ἐκκλησιαστικῆς λειτουργίας ταῦτα φορεῖν. ἀλλὰ καὶ τοὺς μετιόντας εὐλαβῶς τὸν μονήρη βίον, καὶ τῆς ἐπισκοπικῆς ἀξιωθέντας τιμῆς, φυλάττειν τὸ σχῆμα καὶ τὴν στολὴν τῶν μοναχικῶν ἀμφιασμάτων ὁρίζομεν, καὶ μηδένα τολμᾷν ἀπαμφιέννυσθαι τὸ εἰρημένον σχῆμα διὰ τῦφον καὶ ἀλαζονικὴν γνώμην, κἀντεῦθεν εὑρίσκεσθαι παραβάτην τῶν ἑαυτοῦ συνθηκῶν. εἴ τις οὖν ἐπίσκοπος παρὰ τοὺς ὡρισμένους αὐτῷ ἐγγράφους ἢ ἀγράφους καιροὺς περιβάλοιτο τὸ ὠμόφορον, ἢ τῶν μοναχικῶν ἀμφιασμάτων ἀποβάλλοι τὸ σχῆμα, ἢ διορθούσθω, ἢ καθαιρείσθω.

Μετὰ τὴν τῶν εἰρημένων κανόνων ἀνάγνωσιν, ἀνεγνώσθη ὁ ὅρος τῆς αὐτῆς οἰκουμενικῆς ὀγδόης συνόδου, περιέχων τὸ σύμβολον τῆς πίστεως, καὶ ὁμολογίαν τοῦ στέργειν τὰς προλαβούσας οἰκουμενικὰς ἑπτὰ συνόδους, καὶ ἀναθεματίζειν οὓς κἀκεῖναι ἀνεθεμάτισαν. καὶ ὅτι ὁ βασιλεὺς Βασίλειος τὴν ὀγδόην ταύτην συνήθροισε σύνοδον, καὶ ὅπως ὁ Φώτιος καθῃρέθη τε καὶ ἀνεθεματίσθη, καὶ οἱ τούτου ὁμόφρονες, καὶ ὁ πατριάρχης ἀποκατέστη Ἰγνάτιος. ἐν τῷ μεταξὺ δὲ τοῦ ὅρου καὶ τὰ περὶ τῶν ἁγίων εἰκόνων ἐντέτακται.

Τούτου δὲ ἀναγνωσθέντος, ἡ ἁγία σύνοδος ἐξεβόησε· πάντες οὕτω φρονοῦμεν· πάντες οὕτω δοξάζομεν· πάντες συμφρονοῦντες προθύμως ὑπογράφομεν. μετὰ τοῦτο γέγονεν ἡ συνήθης τῶν βασιλέων εὐφημία, καὶ τῶν πατριαρχῶν.

Η'

Η' Ε'ΠΙ' ΦΩΤΙ'ΟΥ ΣΥ'ΝΟΔΟΣ

Ε'κ τȣ̃ Νείλȣ Ρ'οδίȣ Μητροπολίτȣ.

Η' Α'γία κ̀ οἰκȣμενικὴ αὕτη σύνοδος ὀγδόη τῶν τριακοσίων ὀγδοήκοντα ἁγίων πατέρων γέγονεν ἐπὶ τῆς βασιλείας Βασιλείȣ τȣ̃ Μακεδόνος, καθ' ἣν σύνοδον γέγονεν εἰρήνη μεταξὺ τῆς δυτικῆς ἐκκλησίας κ̀ τῶν ἄλλων πατριαρχείων, φανερῶς ὁμολογησάντων τῶν δυτικῶν, ὅτι ȣ̃τως ἀναγινώσκομεν κ̀ πιστεύομεν, ὡς ἐ ὑμεῖς, χωρὶς προσθήκης τινὸς τὸ σύμβολον τὸ ἅγιον ὡς ȣ̃τως ἔχον, ὄντως σύμβολον εἶναι τῆς ἀληθȣ̃ς πίστεως. ἀλλὰ κ̀ τȣ̀ς προστιθέντας, ἢ ἐλλείποντας ἀναθεματίζομεν· ὄντος τηνικαῦτα Ι'ωάννȣ πάπα Ρ'ώμης. Φωτίȣ πατριάρχȣ Κωνσταντινȣπόλεως, κ̀ τοποτηρητῶν τῆς Ρ'ωμαίων ἐκκλησίας, Παύλȣ κ̀ Εὐγενίȣ ἐπισκόπων, κ̀ Πέτρȣ πρεσβυτέρȣ κ̀ καρδιναλίȣ, κ̀ τῶν ἄλλων πατριαρχῶν διὰ τοποτηρητῶν· ὧν συνελθόντων ὑπὲρ τῆς κοινῆς ὁμονοίας τῶν ἐκκλησιῶν, οἱ μὲν τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρ'ώμης ἐβόησαν, πρέπον ἐστὶ μὴ ἕτερον καινȣργηθῆναι, ἀλλὰ αὐτὸν τὸν ἀρχαῖον ὅρον, κ̀ ἀνὰ πᾶσαν τὴν οἰκȣμένην κρατȣ́μενόν τε κ̀ δοξαζόμενον ἀναγνωσθῆναί τε κ̀ ἐπιβεβαιωθῆναι· κ̀ τȣ̃ ἱερȣ̃ συμβόλȣ ἀναγνωσθέντος ἄνευ προθήκης ὡς ἔχει, ἡ ἁγία σύνοδος ἐξεβόησεν, ἡμεῖς κατὰ τὴν τȣ̃ σωτῆρος διδασκαλίαν, κ̀ τῶν ἀποστόλων παράδοσιν, ἔτι δὲ κ̀ τȣ̀ς κανονικȣ̀ς τύπȣς τῶν ἁγίων κ̀ οἰκȣμενικῶν ἑπτὰ συνόδων τὸν ἄνωθεν ἐκ πατέρων κ̀ μέχρι ἡμῶν κατεληλυθότα τῆς ἀκραιφνεστάτης τῶν Χριστιανῶν πίστεας ὅρον, καὶ ἐπινοίᾳ κ̀ γλώττῃ στέργομέν τε κ̀ πᾶσι περιαγγέλλομεν διαπρυσίως, ȣ̓δὲν ἀφαιρȣ̃ντες, ȣ̓δὲν προστιθέντες κατὰ διάνοιαν ἢ λέξιν, ȣ̓δὲν ἀμείβοντες, ȣ̓δὲν κιβδηλεύοντες. κ̀ μετὰ τȣ̃το οἵτε τοποτηρηταὶ Ρ'ώμης κ̀ ἡ σύνοδος ἅπασα ἐξεβόησεν, ἕτερον ἐκθέσθαι σύμβολον, κ̀ ὅρον ἀνακινῆσαι, ἢ προσθήκην ἢ ὑφαίρεσιν ποιῆσαι ἐν τῷ ἀναγνωσθέντι ἱερῷ κ̀ ἁγίῳ συμβόλῳ, ἀνάθεμα ἔστω. ταῦτα ἐ ἐν τοῖς Ρ'ωμαϊκοῖς κανόσι τοῖς ἐκ τῆς πράξεως τῆς συνόδȣ ταύτης εὑρίσκεται ἀπὸ τῆς ἐπιστολῆς Ι'ωάννȣ πάπα Ρ'ώμης πρὸς Φώτιον πατριάρχην Κωνσταντινȣπόλεως. κ̀ ἡ σὴ ἀδελφότης ἐπίσταται, ὡς ὅτε πρὸς ἡμᾶς παρεγένετο ὁ μικρὸν ἔμπροσθεν ἀποσταλεὶς παραὐτῆς παρὰ τȣ̃ ἁγίȣ συμβόλȣ ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπαράτρωτον, καθὼς ἀρχῆθεν παρεδόθη ἡμῖν, διατηρȣ̃ντας, κ̀ μήτε προστιθέντας τὶ, ἢ ἀφαιρȣ̃ντας, ἀκριβῶς εἰδότας, ὡς τὰ τοιαῦτα τολμῶσι βαρεῖα καταδίκη ἀναμένȣσα ἀπόκειται. κ̀ πάλιν ȣ̃ν παραδηλȣ̃μεν τῇ αἰδεσιμότητί σȣ, ἵνα περὶ τȣ̃ ἄρθρȣ τȣ́τȣ, δι' ὃ συνέβη τὰ σκάνδαλα μέσον τῶν ἐκκλησιῶν τȣ̃ Θεȣ̃, ἔχῃ πληροφορίαν εἰς ἡμᾶς, ὅτι ȣ̓ μόνον λέγομεν τȣ̃το, ἀλλὰ κ̀ τȣ̀ς πρῶτον θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ τȣ̃το ποιῆσαι, παροβάτας τῶν θείων λόγων κρίνομεν ἐ μεταποιητὰς τῆς θεολογίας τȣ̃ δεσπότȣ Χριστȣ̃, κ̀ τῶν ἁγίων πατέρων, οἳ συνοδικῶς παρέλαβον τὸ ἅγιον σύμβολον, κ̀ μετὰ τȣ̃ Ι'ȣ́δα αὐτȣ̀ς τάττομεν, ὅτι κ̀ ταὐτὸν ἐκείνῳ τετολμήκασιν, ȣ̓ παραδόντες εἰς θάνατον τὸ κυριακὸν σῶμα, ἀλλὰ τȣ̀ς πιστȣ̀ς, οἵτινες εἰσὶ μέρη τȣ̃ σώματος αὐτȣ̃, διαχίσαντές τε, κ̀ διατέμνοντες ἀλλήλων.



Μ. Ζάβορδας, Γρεβενῶν. Ἡ ἐμφάνισις τοῦ Χριστοῦ παρά τήν Θάλασσαν τῆς Τιβεριάδος, 17ου αἰ.



Μέγας Φώτιος. Σύγχρονον ἔργον.



Ἁγ. Νικόλαος Ὀρφανός. Λεπτομέρεια ἐκ τοῦ οἴκου «Ὅλος ἦν ἐν τοῖς κάτω...», 14ου αἰ.

ΣΥΝΟΔΟΣ

ΕΠΙ ΦΩΤΙΟΥ.

ΠΡΑΚΤΙΚΑ

ΤΗΣ ΑΓΙΑΣ ΣΥΝΟΔΟΤ.

χρόν. ἀπὸ Χριστ. 879.

Συγκροτηθείσης ἐν Κωνσταντινουπόλει ὑπὸ Φωτίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐπὶ ἑνώσει τῆς τοῦ Θεοῦ ἁγίας καὶ ἀποστολικῆς ἐκκλησίας.

Προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, ἐν τῷ εὐαγεῖ μεγάλῳ σεκρέτῳ· καὶ συγκαθεσθέντος Ἠλία τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ Ἱεροσολύμων τῶν τε θεοφιλεστάτων μητροπολιτῶν, φημὶ δὴ Προκοπίου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας, Γρηγορίου ἀρχιεπισκ. Ἐφέσου, Ἰωάννου Ἡρακλείας, ἑτέρου Ἰωάννου Ἡρακλείας, Γρηγορίου Κυζίκου. Γρηγορίου Νικαίας, Δανιὴλ Ἀγκύρας, Θεοφυλάκτου Σάρδεων, Γεωργίου Νικομηδείας, Μάρκου Σίδης, Ζαχαρίου Χαλκηδόνος. Κυπριανοῦ Κλαυδιουπόλεως, Ζαχαρίου Ἀντιοχείας, Γεωργίου Ἀντιοχείας, Ἰγνατίου Ἱεραπόλεως, Εὐστράτου Πισινοῦντος, Σάββα Πατρῶν, Θεοδοσίου Μύρας, Φιλίππου Ἀδριανουπόλεως, Παύλου Λαοδικείας, Νικόλεω Γαγγρῶν, Πέτρου Συνάδων, Συμεὼν Λαοδικείας, Θεοφίλου Ἰκονίου, Νικήτα Σμύρνης, Ἀνθίμου Κοτυαίου, Νικόλεω Φιλίππων, Βισαρίωνος Ἀμμορίου, Νικηφόρου Τραϊανουπόλεως, Βασιλείου Λαρίσσης, Γρηγορίου Σέλγης, Ἀχειλᾶ Νακωλείας, Νικήτα Βρύσεως, Φιλίππου Μεσήνης, Θεοδώρου Νίκης, Λέοντος Ῥηγίου, Λουκᾶ Βοσπέρης, Παύλου Χερσῶνος, Βασιλείου Μύσσου, Ἀθανασίου Λεοντιπόλεως, Σαμουὴλ Χώνης, Βασιλείου Ἀρκαδιουπόλεως, Εὐδοκίμου Ἀμάστριδος, Νεοφύτου Δέρκης, Φωτίου πατριάρχου, Βασιλείου Γαρέλλης, Ἰωάννου Αἴνου, Ἰωάννου Κορίνθου, Θεοδοσίου Πομπηϊουπόλεως, ... Μιτυλήνης, Λεοντίου Ῥόδου, Στεφάνου Κυψέλλων, Σάββα Ἀθηνῶν, Ἀντωνίου Ναυπάκτου, Ἀγάθωνος Μωράβων, Λουκιανοῦ Δυῤῥαχίου, Μάρκου Ὑδροῦντος, Ἀρσενίου Λήμνου, Σάββα Ἄπρω, Τιμοθέου Μεσημβρίας, Φιλίππου Καρπάθου, Νικήτα Γερμίων, Συμεὼν Σηλυβρίας, Κωνσταντίνου Κολωνείας, Λέοντος Νεαπόλεως, Νικήτα Μαρωνείας, Ἐπιφανίου Κίου, Σωφρονίου Ἀπαμείας, Ἰγνατίου Προικονήσου, Τρύφωνος Ῥουσίου, Στεφάνου Γέρμης, Ἰωάννου Ῥιζαίου, Γεωργίου Κελτζηνῆς, Εὐφημιανοῦ Εὐχαΐτων, Λεοντίου Θυάνων, Πέτρου Ἰλιάδος, Ἰγνατίου Μιλήτου, Μακαρίου Δέρκων, Πέτρου Βιζύης, Θεοδόρου Θεσσαλονίκης, Νικηφόρου Λιμύρας, Κωνσταντίνου Καδοῦς, Γρηγορίου Μετρῶν, Μιχαὴλ Πισίης, Νικηφόρου Ἀσπόνης, Θεοφυλάκτου Εὐρίπου, Γρηγορίου Ζητουνίου, Στεφάνου Φαρσάλων, Κλήμεντος Βαῆς, Βασιλείου Ἀπείας, Ἀντωνίου Δαφνουσίας, Ἰγνατίου Σωζοπόλεως, Πέτρου Ἐταίνου, Μεθοδίου Ἐρύμνων, Ἰγνατίου Κᾶς *, Θωμᾶ Κηδίσου, Βασιλείου Βαῆς, Γαβριὴλ Ἀχρίδης, Φιλίππου Λούλου, Κωνσταντίνου Βουλγαροφύγης, Μεθοδίου τοῦ Μηδαίου, Νικηφόρου Διδυμοτύχου, Κλήμεντος Δαωνίας, Νικηφόρου Ποιμανινοῦ, Στεφάνου Βαγονειτείας, Εὐγενίου Πραινέτου, Ἀντωνίου Ἀνδράπων, Κωνσταντίνου Τρακύλων, Ἰωάννου Ποδαλείας, Γεωργίου Ξανθείας, Γρηγορίου Ἡρακλείας Λάτρου *, Εὐστράτου Ὀριδάλων *, Νικηφόρου Καδάρων *. Θεοδώρου Ῥυκάνδων *, Εὐσεβίου Λουρναίων, Ξενοφῶντος Δημητριάδος, Δαμιανοῦ τοῦ Ἐζήρου, Λέοντος Νέων Πατρῶν, Πέτρου Δρουγουβιτείας, Ἀθανασίου Σελήναίων, Συμεὼν Ἀρκαδιουπόλεως, Βασιλείου Ἀδριανοῦς, Βασιλείου Ἡρακλείας, Γρηγορίου Καμουλιανῶν, Ἰουλιανοῦ Παλίας, Δαμιανοῦ Δαφνουτίου, Ἀντωνίου, Κεφαλήνιας, Κηρύκου Νεαπόλεως. Φιλίππου Χρυσοπόλεως, Κωνσταντίνου Κῶ, Ἀντωνίου Ναυπάκτου, Θεογνώστου Ἀπαμείας, Μεθοδίου Ἐξαμιλίου, Ἰωάννου μητροπόλεως, Λέοντος Ἑλενουπόλεως, Κωνσταντίνου Μαδύτων, Μεθοδίου Καισαροπόλεως, Νικηφόρου Πορῶν, Εὐστρατίου Ἐλουζῶν, Ἰακώβου Περιθεωρίου, Θεοδώρου Βουκουβᾶ, Ἰωάννου Θεοδω-

* Κασσανδρείας

* Λάτμου
* Κορυδάλων
* Κανδάνων
* Ὀρυκάνδων



Μόσχα, συλλογή Τρετιακώφ. Ἁγία Τριάς, 15ου αἰ.



Κρήτη, Ναός Ἅγ. Γεωργίου. Ἁγία Τριάς, 15ου αἰ.

ρυπόλεως, Κωνσταντίνυ Τροκνάδων, Θεοκτίσου Τιβεριυπόλεως, Γρηγορίυ Κοδαδείας, Ἰσαὰκ Σταβαρωτῦ. Νικόλεω Νικοπόλεως, Στεφάνου Γαγγρῶν, Πέτρυ Παμφίλυ, Νικήτα, Αὐτύδων, Ἐλισαίυ Λαγήνων, Δημητρίυ Σκυλακίυ, Ἀγάθωνος Κερασυνῶν, Θεοδώρυ Ἀπαμείας, Νικηφόρυ Βασάδων, Νικόλεω Ῥαιλέσυ *, Θεοδώρυ Σπόρης, Σάββα Κινηπόλεως, Σισιννίυ Συνάυ, Θεοδώρυ Καβυρκίυ, Θεοκτίσυ Ἀκρόνυ, Σάββα Τεργασῦ, Κωνσταντίνου Ἀκαρασίυ, Ἰωάννυ Ἀμπλάδων, Βασιλείου Θυατείρων, Νικηφόρυ Ὁρακῶνος, Εὐσεβίυ Συνάυ, Δημητρίυ Πολυσύλυ, Βασιλείυ Συνάυ, Θεοδώρυ Ὀρυκάνδυ, Νικόλεω Σωζοπόλεως, Ἰγνατίυ Ἰσινδῦ, Θεοδύλου Πατάρων, Σισινίυ Τριπόλεως, Ἀθανασίυ Μοθόνης, Φιλίππου Σατάλων, Νικόλεω Ἀδρανείας, Γρηγορίυ Ὑπαίπων, Γεωργίυ Ἀλεῦς, Θεοφάνυς Ἀντιοχείας μικρᾶς, Εὐσαθίυ Τύχυς, Θεοδοσίυ Ἐλευθεροπόλεως, Νικηφόρυ Ἑρμοκάπυ, Βασιλείυ Λινόης, Ἰγνατίυ Νύσσης, Ἰωάννυ Ζαλιχῦ, Βασιλείυ Τζυρυλόης, Χριστοφόρυ Δαδύβρων, Πέτρυ Μελόης, Κωνσταντίνυ Φέλλου, Μακαρίυ Κοτένης, Παύλυ Ζηλῶν, Βασιλείου Ἀμινσῦ *, Λέοντος Ἀγαλασῦ *, Βασιλείυ Γερμανικοπόλεως, Θεοδώρυ Ἰτέας, Μαριανῦ Ἀναστασιυπόλεως, Σισιννίυ Βεριοπόλεως *, Θωμᾶ Ὑψῦ, Μιχαὴλ Τρωάδος, Εὐστολίυ Ἀλδίλου, Παύλου Δομετιουπόλεως, Ευχήμονος Εἰρηνυπόλεως, Συμεὼν Κερασῦντος, Ἀντωνίου Λακεδαιμονίας, Κωνσταντίνου Τρακύλων, Θεοπίστυ Τραλέων, Ἰωάννου Παλεμονίου, Λέοντος Προβάνδων, Στρατηγίου . . . . . Λέοντος Βασιλειουπόλεως, Βασιλείου Καδιβῦ, Ἰωάννου Ἀλαβαρδῦ, Κωνσταντίνου Λυσιάδος, Κωνσταντίνου Νεαπόλεως, Φιλοθέου Ἀθανάσου, Μιχαὴλ Ὀτροῖς, Στεφάνου Πυργίου, Θεοφίλου Ἀλινδῦ Μειωνίας, Φιλίππου Μυλάσου, Ἰωάννου Βαργύρων, Ἰωσὴφ Λαρίμων, Φωτίου Κλήρων, Συμεὼν Κεράμου, Παύλου Μέλης, Βαρδανίου Σκοπέλων, Κωνσταντίνου Τραποβιζύης, Ἰωάνου Βουκέλου, Συμεὼν Λεύκης, Ἰσραὴλ Τζόκου, Μανουὴλ Προβάτου, Παύλου Μοσυνοπόλεως, Νικήτα Πρύσης, Συμεὼν Ἀτταλείας, Ἰωσὴφ Τυράου, Θεοπίστου Καισαρείας τῆς Βιθυνίας, Φιλίππυ Ἀνδρῦ, Νικόλεω Μάκρης, Νικόλεω Ἀγχιάλου, Σάββα Βετουνίου, Γεωργίου Ἁρμενίας, Σάββα Λαρανδῦ, Ἀντωνίου Κιννᾶ, Ἀρσενίου Ἀτύδων, Δανιὴλ Κενέου, Ἀνθίμου Βασινουπόλεως, Βασιλείου Κρατείας, Εὐστρατείου Φόβου, Σωφρονίου Ἀδριανουπόλεως, Κωνσταντίνου Τυραίου, Παύλου Εὐμενίας, Βασιλείου Ἀδάδων, Βαανῦς Μαστράβων, Νικόλεω Χώματος, Ταρασίου Ἐριστῆς, Ἐπιφανίου Δαλδῆς, Βασιλείου Σινιάνδου, Ἰωάννου Σεργεντζίου, Μιχαὴλ Μετελλουπόλεως, Μεθοδίου Δαδαλείας, Γερμανῦ Κίτρου, Λέοντος Γορδίας, Θεοδηγήτου Φυτίας, Μιχαὴλ Ἀνάτρου, Νικόλεω Ἡλιοδωρίδος, Νικολάου Οἰνιάνδου, Γερμανῦ Φιλιτῆς, Εὐσαθίου Λύνδης, Κωνσταντίνου Κωμβᾶς, Μιχαὴλ Ἀγκύρας, Κωνσταντίνου Μοσυνῶν, Νικηφόρου Κλήρου, Ἀνασασίου Τυράου, Ζαχαρίου Ἰωαννίνης, Ἀνδρέα Τλῦ, Νικηφόρου Συμεωνίου, Μεθοδίου Περγάμου, Κωνσταντίνου Εὐκαρπίας, Εὐσαθίου Ἀκμονίας, Συμεὼν Δεβελτῦ, Γερμανῦ Μουσβάδων, Παύλου Δορυλαίου, Λέοντος Ἀρπασῦ, Νικόλεω Ἰβόρων, Βασιλείου Ὀρειανίτων, Ἰουλιανοῦ Μείζου, Θεοδώρου Μυλωμνῶν, Ἰγνατίου Συκῶν, Νικόλεω Καλύμνης, Κωνσταντίνυ Σώρας, Νικηφόρου Συβλαίας, Εὐστρατίου Τραϊανουπόλεως, Μιχαὴλ Φιλαδελφείας, Ἐπιφανίου Εὐμενείας, Κωνσταντίνου Ἀτάνδρων, Θεοφάνους Ἀζανῦς, Κοσμᾶ Στεφανιακῦ, Κωνσταντίνου Λαοδικείας, Στεφάνου Βινδαίου, Κωνσταντίνου Σεβαστῆς, Γερμανῦ Λιζίκου, Νικόλεω Τεπύτζης, Θεοδώρου Ἱεροκαισαρείας, Μιχαὴλ Νύσσης, Νικόλεω Πάππων, Θεοδοσίου Τυμβριάδος, Ἰωβανεσίου Ἰωαννίτζας, Μεθοδίου Κλεπῶν, Γερμανῦ Δασκυλίων, Μηνᾶ τῆς ἁγίας * Βασιλείου Λαγηνῶν, Γρηγορίου Ἰουνοπόλεως, Ἰωάννου Βαρβύλων, Θεοφάνους Μακροκώμης, Εὐθυμίου Φιλομήλου, Σαμυὴλ τῦ ἁγίου Κορνηλίου, Ἀνθίμου Παρλαῦ, Ἐφραὶμ Γαργάρων, Μιχαὴλ Μορκᾶς, Θεοφάνους Μελιτοπόλεως, Στεφάνου Γορδοσέρβης, Παύλου Βινδαίων, Παύλου Ζικχίας, Κυρίλλου Λινόης, Ἀντωνίου Δαφνουσίας, Σαμουὴλ Παρσακύτας, Ἀθανασίου Πινάρων, Νικήτα Ζηνόπου, Ἰγνατίου Βασιλειουπόλεως, Γρηγορίου Ἰάσσων, Γεωργίου Βαρατᾶ, Θεωτίμου Ἄργους, Μιχαὴλ Ἀπολλωνιάδος, Εὐχήμονος Τιτυῦ, Νικηφόρου Πείρας, Παύλου Στρόμονος, Ἀντιόχου Μάκρης, Μακαρίου Κοτένης, Νικολάου Νικοπόλεως, Συμεὼν Κρεδαμῦ. Κωνσταντίνου Κάββων, Βασιλείου Ἐβαῆς, Συμεὼν Χαιρετοπῶν *, Δημητρίου Πολυσύλου, Γερμανῦ Λευκάδος, Ἀνδρέου Ναυπλίου, Συμεὼν Τριβενάδος, Κοσμᾶ Χαριουπόλεως, Θεοδοσίου Συνόπης, Μελετίου-Ποντο Ἡρακλείας, Κωνσταντίνου Τίου, Μιχαὴλ τῆς ἁγιουπόλεως, Μιχαὴλ Ἀγκυροσυνάου, Ἀθανασίου Ἀνέας, Εὐσαθίου Ἀλανδῦ, Σαμουὴλ Λιπάρων, Λουκᾶ Ἀζάρων, Θωμᾶ Αἰγίνας, Ἰωάννου Δαρδάνου, Λέοντος Πλουσιάδος, Βασιλείου Λύστρων, Εὐσαθίου Φλογῶν, Μιχαὴλ τῦ ἁγίου Ἀγαπητῦ, Μεθοδίου Ἰκτρῶν, Εὐστρατίου τῦ Μουκῦ, Θεοφίλου Μαγνησίας, Στρατηγίου Ὤκης, Συμεὼν τῦ ἁγίου Δουλᾶ, Γερμανῦ τῦ Ἐκτορίου, Συμεὼν Κεράμου, Λυκᾶ Ἀνηλίου Μαγνησίας, Δαβὶδ Ῥοιῶν, Ἰωάννου Ναζιναζῦ, Γρηγορίου Ἀδριανουθηρῶν, Εὐσαθίου Δερμοχόλχων, Πλάτωνος Ἐσβῶν, Ἀετίου Δόμνων, Στεφάνου Βαρέως, Παύλου Φώκης, Ἰωάννου Δοκιμίου.

Σιγῆς γενομένης Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος στὰς ἐνώπιον τῆς συνόδυ εἶπε. Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καρδηνάλις καὶ τοποτηρητὴς τῦ ἁγιωτά-

* Ῥαιδεστῦ

* Ἀμισῦ

* Σαγαλασσῦ

* Βηρινυπόλεως

* ἁγίας πόλεως ἢ ἁγίυ πόλεως

* Καιρετάπων

τȣ πάπα Ιωάννȣ τῆς πρεσβυτέρας Ρ'ώμης, κ̀ οἱ σὺν αὐτῷ Παῦλος, κ̀ Εὐγένιος, παραγεγόνασιν, ὧν ὁ εὐλαβέστατος Πέτρος ἅτέδη καὶ νῦν παραγεγονὼς, κ̀ τιμίας ἐπιστολὰς τȣ̃ ἁγιωτάτȣ πάπα Ιωάννȣ ἐπικομίζεται.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν, εὐχαριστία τῷ ἀγαθῷ Θεῷ ἡμῶν τῷ δεσπόσαντι αὐτὸν, κ̀ ἀποκαταστήσαντι ἡμῖν αὐτὸν ἐν εἰρήνῃ τε ὁ ὑγιείᾳ. εἰσίτωσαν. εἰσελθόντων δὲ αὐτῶν, Φώτιος ὁ ἁγιώτατος κ̀ οἰκȣμενικὸς πατριάρχης εἶπε. δόξα τῷ Θεῷ ἡμῶν, τῇ ὁμοȣσίῳ κ̀ ζωαρχικῇ τριάδι, πάντοτε νῦν κ̀ ἀεὶ κ̀ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἡ ἁγία σύνοδος ἐπεφώνησεν. ἀμὴν. κ̀ τῆς εὐχῆς γενομένης κατὰ τὸ εἰωθὸς, Φώτιος ὁ ἁγιώτατος ἡμῶν δεσπότης κ̀ οἰκȣμενικὸς πατριάρχης, ἐνηγκαλίσατό τε κ̀ ἠσπάσατο Πέτρον τὸν θεοσεβέστατον πρεσβύτερον κ̀ τȣ̀ς μετ' αὐτοῦ, ἐπειπών. ὁ Θεὸς καλῶς ὑμᾶς ἤνεγκεν. ἀποδέξαιτο Κύριος τὸν κόπον ὑμῶν. εὐλογήσαι κ̀ ἁγιάσαι ψυχὰς καὶ τὰ σώματα ὑμῶν. ἀποδέξαιτο δὲ τὴν φροντίδα κ̀ μέριμναν τȣ̃ ἁγιωτάτου ἀδελφȣ̃ κ̀ συλλειτȣργȣ̃ κ̀ πνευματικȣ̃ πατρὸς ἡμῶν τȣ̃ μακαριωτάτȣ πάπα Ιωάννȣ.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καρδηνάλις καὶ τοποτηρητὴς τοῦ ἁγιωτάτου πάπα Ιωάννȣ εἶπεν· εὐλογητὸς ὁ Θεὸς ὅτι εὕρομεν τὴν ἁγιωσύνην ὑμῶν ὑγιαίνουσαν. ἐπισκέπτεται ὑμᾶς ὁ ἅγιος Πέτρος. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. Χριστὸς ὁ Θεὸς ἡμῶν διὰ τοῦ κορυφαίου τῶν μηθητῶν Πέτρου, ȣ̃ τὴν μνήμην ἡ σὴ ἐποιήσατο εὐλάβεια, ἐλεήσαι πάντας ἡμᾶς, κ̀ τῆς αὐτȣ̃ βασιλείας ἀξίȣς ἀναδεῖξαι.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος κ̀ καρδηνάλις εἶπε. προσκυνεῖ τὴν ἁγιωσύνην ὑμῶν ὁ ἁγιώτατος καὶ οἰκȣμενικὸς πάπας Ιωάννης. Φώτιος ὁ ἁγιώτατος πατριάρχης ἔφη· ἀντιπροσκυνεῖται παρ' ἡμῶν ἐγκαρδίῳ πόθῳ· κ̀ αἰτȣ́μεθα Θεὸν χαριασθῆναι ἡμῖν τὰς ἁγίας εὐχὰς κ̀ τὴν τιμίαν ἀγάπην αὐτȣ̃· κ̀ γένοιτο αὐτῷ τῆς πρὸς ἡμᾶς γνησίας ἀγάπης καὶ εἰλικρινȣ̃ διαθέσεως παρὰ τȣ̃ κοινȣ̃ δεσπότȣ Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ Θεȣ̃ ἡμῶν ἀντάμειψις.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος κ̀ καρδηνάλις τȣ̃ ἀποστολικȣ̃ θρόνȣ εἶπε, θέλει τὴν σὴν τιμιότητα ἔχειν ἀδελφὸν καὶ συλλειτȣργὸν καὶ συνιερέα. Φώτιος ὁ ἁγιώτατος ἡμῶν δεσπότης κ̀ οἰκȣμενικὸς πατριάρχης εἶπεν. ὁ πληρωτὴς πάντων τῶν ἀγαθῶν Χριστὸς ὁ Θεὸς ἡμῶς τελειῶσαι τὸ θέλημα αὐτȣ̃ οὐρανίῳ βουλῇ. καὶ ἡμεῖς δὲ ἐπιγραφόμεθα αὐτὸν ἀδελφὸν καὶ συλειτȣργὸν καὶ πνευματικὸν ἡμῶν πατέρα.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις ἔφη. ἀπέστειλε τῇ ἁγιωσύνῃ ὑμῶν ἐπιστολὴν, ἵνα δι αὐτῆς γνῶσι πάντες, ὁποίαν φροντίδα καὶ ἐπιμέλειαν κέκτηται εἰς τὴν κατά σὲ ἁγίαν τȣ̃ Θεȣ̃ ἐκκλησίαν. κ̀ ὁποίαν ἀγάπην κ̀ πίστιν ἔχει εἰς τὴν σὴν ἁγιωσύνην. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· κ̀ πρὸ τῶν γραμμάτων δι' αὐτῶν τῶν πραγμάτων ἐκριβῶς τὴν πληροφρίαν ἐλάβομεν. κ̀ νῦν ȣ̀ διδασκαλίας τὰ γράμματα γίνεται· ἀλλὰ τῶν προεγνωσμένων προσθήκη κ̀ ἐπιβεβαίωσις. διὰ τȣ̃το χρέος ἡμῖν καθίσταται ἐν μοίρᾳ πατρὸς κ̀ φροντιστȣ̃ τὴν αὐτȣ̃ ἀρχιερατικὴν τελειότητα ποιεῖσθαι· ὃς τοσαύτην κ̀ τηλικαύτην ἐπιμέλειαν κ̀ φροντίδα κατεβάλετο, ὥστε μὴ ἅπαξ ἀλλὰ κ̀ δὶς τῶν γνησίων κ̀ πιστῶν αὐτȣ̃ ἀρχιερέων κ̀ ἱερέων πρὸς τὴν ἡμετέραν μετριότητα ἀποστεῖλαι. ὁ ὃς τοσȣ̃τον καὶ τηλικȣ̃τον ἀγῶνα ἀνεδέξατο ὑπὲρ τῆς ἁγίας τȣ̃ Θεȣ̃ ἐκκλησίας, πῶς ȣ̀κοῦν ἄξιος τῶν ἴσων ἀγώνων κ̀ φροντίδων τὴν εὔνοιάν τε κ̀ καθαρὰν διάθεσιν κ̀ εὐχαριστίαν ἀναλαμβάνειν; ἐμιμήσατο γὰρ ὡς ἀληθῶς ἐν τȣ́τῳ Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, τὸν πρῶτον κ̀ μέγαν ἀρχιερέα. ὥσπερ γὰρ ἐκεῖνος ȣ̀χ οἷς αὐτὸν τὰ οὐράνια ἐθεράπευσε τάγματα, ὁ τὴν ἀγάπην καθαρὰν κ̀ ἀνεπιθόλωτον διεφύλαττε, τȣ́τοις ἠρκέσθη. ἀλλὰ ἑαυτὸν κενώσας κ̀ μέχρι δȣ́λȣ μορφῆς τὴν κένωσιν ὑποστὰς πρὸς ἑαυτὸν εἵλκυσε τὸ πεπλανημένον ἡμῶν καὶ ἠλλοτριωμένον τῶν ἀνθρώπων γένος· ȣ̃τω κ̀ ὁ μιμήτης ἐκείνȣ ὁ πνευματικὸς ἡμῶν πατὴρ, ȣ̀χ οἷς καθ' ἑαυτὸν ἐκκλησίας τὸ εἰρηναῖον εἶχεν ἠσμένισεν, ἀλλὰ διὰ τῶν αὐτȣ̃ τιμίων τοποτηρητῶν, πρῶτον μὲν διὰ τῶν ὁσιωτάτων Παύλȣ κ̀ Εὐγενίȣ· ἔπειτα δὲ κ̀ διὰ τῆς ὑμῶν ἱερατικῆς τελειότητος ἐπισκέψασθαι διανέστη τȣ̀ς, εἵτινες εἶεν. ἀπειθȣ̃ντας τῇ ἀληθείᾳ, κ̀ νȣθεσίαν τὴν πρέπȣσαν εἰσαγαγεῖν. ὡς ἂν ἀποστάντες τῆς προκαταχούσης αὐτȣ̀ς χισματικῆς πλάνης, ὅλοι Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν τῇ κοινῇ πάντων κεφαλῇ κολληθῶσι, κ̀ εἰς ἓν ἄρτιον αὐτȣ̃ ἀποτελεσθῶσι σῶμα. εὐχαριστȣ̃μεν ȣ̃ν πρῶτα μὲν τῷ Θεῷ τῷ ἀνακινήσαντι τὴν εἰκείνην * ἀρχιερατικὴν τελειότητα ἐπὶ τῇ τοιαύτῃ σπȣδῇ. δεύτερον δὲ κ̀ τῷ αὐτῷ τῷ διαναστάντι. κ̀ πρὸς τὰς ἄνωθεν ψήφȣς ἑαυτὸν ἀπροφάσιστον παρασκευασαμένῳ ὑπηρέτην, διὸ κατασπαζόμεθα, κ̀ καταγεραίρομεν τὴν αὐτȣ̃ τιμιότητα. ἀλλὰ γὰρ τὰ μὲν τῆς ψυχῆς οἴδαμεν τȣ̃ θείȣ ἀνδρὸς ἐκείνȣ, ὡς εὖ τε ἔχει κ̀ καλῶς διάκειται. τὰ δὲ περὶ τȣ̃ τιμίȣ αὐτȣ̃ σώματος ἀναπυνθανόμεθα ἐν ποίᾳ διατελεῖ καταστάσει.

* ἐκείνȣ

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος κ̀ καρδηνάλις ἀπεκρίθη. καλῶς διὰ τῶν ἁγίων εὐχῶν ὑμῶν. Φώτιος ὁ ἁγιωτάτος ἡμῶν δεσπότης εἶπεν. ἡ κατ' αὐτὸν ἁγία τȣ̃ Θεȣ̃ ἐκκλησία, ὁ πάντες ἀρχιερεῖς κ̀ ἱερεῖς, πῶς ἔχωσι; Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος κ̀ καρδηνάλις ἔφη· ὑγιαίνȣσι πάντες διὰ τῶν ἁγίων εὐχῶν ὑμῶν. ἀλλὰ τὴν ἀγάπην κ̀ τὴν πίστιν ἣν ἔχει ὁ ἁγιώτατος πάπας πρὸς τὴν σὴν ἁγιωσύνην τίς διηγήσεται; ὅμως ἐκ τῶν ἐπιστολῶν αὐτȣ̃ γνώσονται πάντες τὸν πρὸς σὲ πόθον αὐτοῦ· Φώτιος ὁ ἁγιώτατος καὶ οἰκȣμενικὸς πατριάρχης εἶπεν.

εἶπεν. ἡ τῶν λόγων ἰσχὺς ἐν τῇ τῶν πραγμάτων ἀναφαίνεται περιφανείᾳ. ὁ δὲ ἁγιώτατος πάπας, ὁ πνευματικὸς ἡμῶν πατὴρ, τὰ ἔργα προκατεβάλλετο τῶν λόγων. ὅσοις αὖ ἐστι σύνεσις, περιφανὴς ἤδη κατέστη ὁ ἔνθεος αὐτοῦ ὑπὲρ τῆς ἐκκλησίας ζῆλος, καὶ ἡ πρὸς ἡμᾶς τοὺς ταπεινοὺς εἰλικρινὴς αὐτοῦ διάθεσις καὶ ἀγάπη τελεία.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδυνάλις εἶπεν· ἀδελφὲ καὶ συλλειτουργοί. πολλὰ προσκυνεῖ καὶ ἐπισκέπτεται ὑμᾶς ὁ ἁγιώτατος πάπας. ἡ ἁγία σύνοδος εἶπε. καὶ ἡμεῖς προσκυνοῦμεν αὐτὸν καὶ κατασπαζόμεθα. Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· ἀδελφὲ καὶ συλλειτουργοί, ὃν τρόπον φιλόστοργος πατὴρ τὰ ἑαυτοῦ τέκνα ἐπιζητεῖ, ἀλλὰ μὴν καὶ ὁ ἀγαθὸς ποιμὴν τὰ ἑαυτοῦ πρόβατα· οὕτω καὶ ὁ ἁγιώτατος πάπας Ιωάννης ἀγαπῶν ὑμᾶς οὐ παύεται διὰ τῶν αὐτοῦ ἐπιστολῶν καὶ τοποτηρητῶν νουθετῶν καὶ ὁδηγῶν καὶ ἐπισκεπτόμενος ὑμᾶς. βουλόμενος πᾶσαν τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν ἑνωθῆναι καὶ γενέσθαι μίαν ποίμνην καὶ ἕνα ποιμένα. Ιωάννης ὁ θεοφιλέστατος μητροπολίτης Ηρακλείας εἶπεν. εὐχαῖς ἁγίαις αὐτοῦ προεγένετο μία ποίμνη· καὶ ἔχομεν ἕνα ἀληθῆ ποιμένα ὅσιον καὶ ἄκακον, Φώτιον τὸν ἁγιώτατον ἡμῶν δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην.

Ζαχαρίας ὁ θεοφιλέστατος μητροπολίτης Χαλκηδόνος εἶπε. τὸ τῆς εἰρήνης πρᾶγμα ἐπὶ τοσοῦτον ἐστὶ σεμνὸν, ὡς καὶ τὸν θεὸν αὐτὸν εἰρήνην καλεῖσθαι τε καὶ νομίζεσθαι, τοῖς ἄλλοις ὁμοίως ἃ καλεῖν ὁμοῦ καὶ ὑπολαμβάνειν Θεὸν εἰώθασιν ἄνθρωποι. ἀλλὰ τοῦτο πρᾶγμα καὶ περ ὂν ἐπὶ τοσοῦτο σεμνὸν, χρόνος ἐστιν οὐ πάνυ πολὺς ἀφ' οὗπερ ἐν τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ λώβην ὑπέστη. οὐδὲ πρώτερον ἀστασιάστου ταύτης οὔσης τῇ τοῦ κρατοῦντος ἁπλότητι. τότε δὴ μάλιστα τοῦ κακοῦ ῥιπισθέντος καὶ πρὸς τοσοῦτον ὕψος τῆς φλογὸς ἀρθείσης. τίς ἡ αἰτία τούτου; πάντες γὰρ ἀπαιτῇ τε μαθεῖν· ἐροῦμεν εἰ καὶ παράδοξον. ἀληθὲς δὲ ὅμως θείου ἀνδρὸς ἐπιστήμη ὅσή τε περὶ τὰς ἱερὰς καὶ θείας γραφὰς. καὶ ὅση περὶ τὰ ἐγκύκλια μαθήματα. νοῦ καθαρότης μικροῦ καὶ τὴν ἀνθρωπίνην παρατρέχουσα φύσιν. σύνεσις κατάκρας. συγκράτος ἀγχίνοια· πραότης ἦθος ἐν πᾶσιν ἐπιεικές τε καὶ μέτριον· τὸ κρείττων πασῶν ὁμοῦ τῶν ἡδονῶν ὁράσθαι. ἐλεημοσύνη πάντας τοὺς πώποτε βεβοημένους ἐπὶ τούτῳ παραδραμοῦσα· ἡ τὸν Χριστὸν ὑποδεικνῦσα ταπείνωσις, ἣν πάντα μὲν Χριστιανὸν ἔχειν προσήκει, μάλιστα δὲ τοὺς ἀρχιερεῖς· ἣν καὶ ἡμᾶς ὁρῶμεν ἔχοντας, καὶ πρέπει, ὡς ἂν μὴ καὶ τὴν κλῆσιν ἐπὶ τῶν ἔργων ψευδώμεθα· τὸ πρὸς τοὺς ἁμαρτάνοντας εὐγνωμονικὸν, ὑπ' ἀπλέτου φιλανθρωπίας, ἀκτημοσύνη. τὸ πολλοὺς μὲν τῶν αἱρετικῶν, πολλοὺς δὲ τῶν ἀπίστων· καὶ τί λέγω ταῦτα ἔθνη δὲ μᾶλλον ὁλόκληρα εἰς τὴν ἀμώμητον ἡμῶν πίστιν τῶν χριστιανῶν ἐπιστρέψαι παρασκευάσαν· πᾶσά τε, εἰπεῖν ἁπλῶς, ἀρετὴ, ὅση πέφυκεν ἐν ἀνθρώποις ὁρᾶσθαι. ἀλλὰ τίς μὲν ὁ τὴν τοσαύτην καὶ τηλικαύτην ἀρετὴν ἀσκήσας; πῶς δὲ πάλιν ἡ ἀρετὴ καλὸν οὖσα, κακοῦ τῆς ἐκκλησιαστικῆς ἔχθρας, γέγονε παραιτία, πάντες καὶ τοῦτο ποθεῖτε μαθεῖν. ἤσκησε μὲν τὴν ἀρετὴν ὁ ἁγιώτατος ἡμῶν πατριάρχης οὗτος, ὃν ὁρᾶτε. αὐτὴ δὲ καλὸν οὖσα κακοῦ γέγονε παραιτία, ἐπιστρέψασα πρὸς ἑαυτὴν τὸν φθόνον, ὃς τῶν γεγονότων εἰς ἡμᾶς ἁπάντων ἐχρημάτισεν αἴτιος. ἔχετε τοῦ λεγομένου παράδειγμα τὸν πρῶτον καὶ μέγαν ἀρχιερέα Χριστὸν. ὃς τῷ κατ' αὐτοῦ φθόνῳ τὴν Ιουδαϊκὴν ἀνεκίνησε λύτταν, ὡς καὶ μέχρι σταυροῦ καὶ θανάτου ταύτην μὴ στῆναι. τοιοῦτόν τι συνέβη, καὶ ἐπὶ τούτου κατηνέχθη τοῦ θρόνου. ἔπαθεν ἃ καὶ σιγᾶσθαι καλόν. πάντως δὲ καὶ ὑμῶν ἡ τούτων συμφέρει σιγή. ἀναμάχεται. τὴν ἧτταν ἡ ἀρετὴ τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν. ἐν πᾶσι μὲν δηλοῦντος ὡς ὑπὸ Θεοῦ τὴν διάνοιαν ἔχει κυβερνωμένην· μάλιστα δὲ σαφὲς ἐν τούτῳ πεποιηκότος· ποιεῖ μὲν γὰρ ἅπασιν οὗτος φανερὰ τὰ παρὰ τῆς ἀνατολῆς ἥκειν ψευδῶς λεγόμενα πλάσματα. καὶ ὡς οὐδὲν ὑγιὲς ἦν ἐκεῖθεν. στοχάζεται δὲ καὶ καλῶς καὶ τῆς τοῦ ἁγιωτάτου πάπα Ιωάννου γνώμης, ὡς οὐδαμῶς ἐμμένει τοῖς ἐπ' ὀλέθρῳ καὶ καταλύσει γενομένοις τῆς ἐκκλησίας, ἀφορᾷ δὲ πρὸ τούτου καὶ πρὸς αὐτὸν τὸν κανόνα, καὶ τὴν τοῦ δοκίμου φύσιν. πρὸς ἣν τὸ μὲν γιγνόμενον ἅπαν ἰσχὺν ἔχει καὶ στεργέται πᾶσι. τούτων δὲ χωρὶς σαθρὸν εἴτι γίνοιτο καὶ ἔωλον ἀναφαίνεται. καὶ ἀποκαθιστᾶμεν τῇ ἐκκλησίᾳ τὸ ἴδιον, καὶ τὸν νυμφίον αὐτῇ τὸν οἰκεῖον ἀπολαμβάνει. πάντα δὲ τὰ κατ' αὐτοῦ γεγονότα λῆρος μακρὸς, καὶ φλυαρία νομίζεται. τούτου γεγονότος, πολλοὶ μὲν αὐτίκα τοῖς γενομένοις προσέθεντο, πολλοὶ δὲ καὶ μετ' ὀλίγον· ὀλίγοι δέ τινες καὶ λίαν εὐαρίθμητοι, φθονοῦντες τῇ τῆς ἐκκλησίας εἰρήνῃ, κρατούμενοι δὲ καὶ τῷ τῆς φιλαυτίας πάθει, κατάκρας ἐλήφθησαν· κἄν τις αὐτοὺς ἐρῆται τὴν αἰτίαν, καὶ ὅτου χάριν σφὰς αὐτοὺς τοῦ κοινοῦ τῆς ἐκκλησίας ἀποτέμνουσι σώματος, πρόχειρος ἡ ἀπολογία· ὅτι ἡ τῶν Ρωμαίων ἐκκλησία οὕτως βούλεται. ὅμοιόν τι ποιοῦντες, ὡς ἀνεὶ καὶ ἱερόσυλός τις ὤν, ἢ καὶ φονεὺς, ἐγκαλούμενος ἐπὶ τούτοις ἔλεγεν. ὅτι ἐπιτροπῆ τῶν Ῥωμαίων πράττω τὸ κακόν. καὶ ἡ τέως αὕτη τε πρὸς ἑαυτὴν εἰρηνεύουσα, καὶ τοῖς ἄλλοις, εἴπερ δύναιτο, τοῦ αὐτοῦ τούτου αἰτία γενομένη, νῦν ταραχῆς καὶ τῆς ἔχθρας, καὶ τῶν σκανδάλων καὶ ἁπλῶς πάντων τῶν κακῶν, ὅσα τὴν ἡμετέραν καθείληφεν τὴν ἐκκλησίαν αἰτία, εἰ καὶ μὴ τῇ ἀληθείᾳ, ἀλλὰ τοῖς ἐκείνων λόγοις καὶ καλεῖται καὶ ὀνομάζεται. τούτου χάριν ὁ εὐλαβέστατος βασιλεὺς ἡμῶν προσεκαλέσατο ὑμᾶς. καὶ ὑμεῖς παρεγένεσθε, ὡς ὑμᾶς αὐτοὺς αἰτίων καὶ μέμψεων ὧν ἔχετε μικροῦ παρὰ πᾶσιν, ἐπὶ τοῖς, ὡς ἐκεῖνοι φασὶν, εἰς ὑμᾶς ἁμαρτηθεῖσιν ἀπαλλάξαντες. ὡς τε εἰ

δεῖ

δεῖ τ' ἀληθὲς εἰπεῖν πρὸς ὑμᾶς ὑπὲρ ὑμῶν ἐσὶν ἡπαρούσα σύνοδος. ὑπὲρ ὑμῶν, ἀδελφοὶ καὶ πατέρες, καὶ τῆς τῆ Ῥωμαίων ἁγιωτάτης ἐκκλησίας· ὑπὲρ τῆς ὑμετέρας τιμῆς· ἵνα μὴ παρὰ τῶν σχισματικῶν λειψάνων δυσωρησθε ὡς ἀρχηγοὶ τῶν στάσεων καὶ τῶν ταραχῶν. ἔπειτά γε ἡμέτερου χάριτι Θεοῦ, καὶ ὑπηρεσίᾳ τῇ πρὸς τοῦτο τοῦ φιλοχρίστου βασιλέως ἡμῶν, καὶ προσέτι δυχαῖς τοῦ δεσπότου ἡμῶν τοῦ ἁγιωτάτου πατριάρχου, καὶ τῶν ξιῶν τῆς ἀνατολῆς ἀρχιερατικῶν θρόνων συμπνοίᾳ καὶ ὁμοφροσύνῃ. καὶ πρό γε τούτων ταῖς δικήοις πρὸς Θεὸν ἱκεσίαις καὶ δεήσεσι τοῦ ἁγιωτάτου πάπα Ιωάννου, καλῶς ἔχει, μηδενὸς δεόμενα πρὸς διόρθωσιν. καὶ ὅτι οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ κοινὴ φωνή ἐσι πάσης τῆς πολυανθρώπου ταύτης σωιόδου, ἀκούειν ὑμᾶς ἔξεσιν,

Ἡ ἁγία σύνοδος ἐξεβοήσεν. ἡμεῖς τῷ ἁγιωτάτῳ ἡμῶν δεσπότῃ καὶ οἰκουμενικῷ πατριάρχῃ ὡς μὴ ἀπ' ἀρχῆς ὄντες ἰωάμβοι, οὐδέποτε διεστημεν· ἀλλὰ καὶ τὰ αἵματα ἡμῶν προθύμως ὑπὲρ αὐτοῦ ἐχχέαι τοῖς βουλομένοις ταῦτα ζητεῖν ἐν ἑτοίμῳ γεγόναμεν· ὅσοι δὲ καὶ στάσιν τινὰ πρὸς αὐτὸν ἀνεδεξόμεθα, πολλὰ καταγνόντες τῆς προτέρας ἡμῶν γνώμης καὶ διαθέσεως, νῦν ὁλοψύχῳ καρδίᾳ καὶ ἀκλινεῖ τῷ φρονήματι καὶ ἀρχιερέα καὶ δεσπότην καὶ ποιμένα ἐπιγραφόμεθα. καὶ τοὺς ἐπὶ τούτοις διεσπάζοντας ἐχθροὺς τῆς ἐκκλησίας καὶ ἀποβλήτους ἡγούμεθα.

Ζαχαρίας ὁ θεοφιλέσατος μητροπολίτης Χαλκηδόνος εἶπεν. ἀξίως ἄρα εἰσὶν ἀπόβλητοι οἵτινες λοιποὶ ὑπελείφθησαν τῆς σχισματικῆς πλάνης. μὴ γὰρ τῶν ἄλλων αἰτιαμάτων, ὧν ἐκεῖνοι δημιουργοὶ καθέσανται καὶ τοῦτο ποιοῦσι παράδοξον, ὃ καὶ συνομνυμι σχετλιάζω· τί ἂν ἔσι τοῦτο; αὐτίκα τὴν Ῥωμαίων ἐκκλησίαν τῇ ἐκ πολλῶν χρόνων ἐλευθερίᾳ κεκτημένην, ἀξιώματι δὲ κράτους βεβομημένην ἀποθρασύνονται πρὸς δουλείαν ἕλκειν, καὶ πρὸς τὴν τῶν ἀργυρωνήτων ταπεινότητα κατάγειν. πῶς καὶ τίνα τρόπον; τὰ τοῦ πάπα Νικολάου, φασὶ, δεχόμεθα. καὶ τὰ τοῦ Ἀδριανοῦ ὁμοίως ἀρέσκει· τὰ δὲ τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα Ιωάννου οὐ δεχόμεθα. τίνος χάριν; ὅτι ἐκεῖνοι μὲν τῷ ἡμετέρῳ κατηκολούθησαν θελήματι· οὗτος δὲ οὐχ ἃ βυλόμεθα σέργει, ἀλλ' ἅπερ ἐκεῖνος βούλεται, τούτοις καὶ ἡμᾶς κατακολουθεῖν ἐπιψηφίζεται. τοῦτο δὲ τί ἐσιν ἄλλο ἢ ὡς αὐτοὶ μὲν οὐχὶ τοῖς ἀρχιερατικοῖς τῶν Ῥωμαίων θελήμασιν ἕπονται, ἀλλὰ τοὺς μεγάλους ἐκείνους καὶ θαυμασίους ἀρχιερεῖς τοῖς ἰδίοις θελήμασιν ἐξακολουθεῖν ἀναγκάζουσιν; εἰ γὰρ ἐκεῖνα δέχονται τῆς ὑμετέρων θελημάτων ἅπερ αὐτοὶ προηθέλησαν· ἃ δ' αὐτοὶ μὴ βούλονται, κἂν μυριάκις ὑμεῖς θελήσητε, κἂν τοὺς κανόνας συμψήφους ἔχητε, κἂν τῷ ἄνωθεν προλάμπουσαν ἐπίνοιαν. τότε κατὰ πάντων τούτων τὸ οἰκεῖον θέλημα κρατεῖν ἀλαζονεύονται· τίς αὐτοῖς ὑπερβολὴ μανίας ὑπολείπεται; σπεύσατε τοίνυν, ἀγαπητοὶ, καὶ ἀγωνίσασθε, καὶ τιμῶ τῆς Ρωμαίων ἁγίαν τῷ Θεῷ ἐκκλησίαν ἀλλοκότου καὶ βαρβαροφώνου ἀπαλλάξαι δουλείας. καὶ τιμῶ μέχρι τοῦ νῦν ἐπιτεμνομένῳ ὑμῖν ἀτιμίαν τε καὶ μέμψιν ἀποσκεδάσασθε· δόξαν τε καὶ δύκλειαν τῇ συμπνοίᾳ τῆς κοινῆς τῆς ἐκκλησιῶν εἰρήνης ἀνταλλάξασθε.

Πέτρος ὁ θεοσεβέσατος πρεσβύτερος καὶ καρδιωάλις εἶπε· τῷ παντοδυνάμῳ θεῷ ἡμῶν ὑπὲρ πάντων δυχαριστεῖν ὀφείλομεν. καὶ αὐτὸς ποιήσει τὰ συμφέροντα πᾶσιν. Ιωάννης ὁ θεοφιλέσατος μητροπολίτης Ηρακλείας Θρᾴκης εἶπε. πολλὰ καὶ ἠυχαριστήσαμεν καὶ ἔτι δυχαριστοῦμεν αὐτῷ, ὅτι τὰ ἐπιφυόμενα πρότερον τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ σκάνδαλα καὶ ζιζάνια ἐκ μέσου ἦρθη. καὶ εἰρηνὴ βαθεῖα ταύτῃ ἐβραβεύθη συμφωνίᾳ τῆς ὑμῶν ἁγιωσυνης, καὶ τῆς τῆς ἀναπολῆς ἀρχιερατικῶν θρόνων, καὶ τῇ ἀγαθῇ μεσιτείᾳ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ ἀρχιερέως.

Προκόπιος ὁ θεοφιλέσατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας ἔφη· ἀγαλλιάσθω σήμερον ἡ οἰκουμένη, καὶ σκιρτάτω ἡ ἐκκλησία· ὅτι ἐλάλησε κύριος ἀγαθὰ εἰς τιμὴν καρδίαν τῆς βασιλέων ἡμῶν τῆς ἁγίων· καὶ διήγειρε τὸ θεοκύρωτον αὐτῆς κράτος τοῦ μεταχαλέσασθαι τιμίους τοποτηρητὰς ἐκ τῆς τεσσάρων πατριαρχικῶν θρόνων. καὶ νῦν ὁρῶμεν τιμήτε ὑμετέραν τιμιότητα παραγενομένην· καὶ τὸν τοῦ ἁγιωτάτου πάπα Ιωάννου τοῦ πνευματικοῦ πρὸς ἡμῶν τόπον ἀναπληροῦντας, καὶ τοὺς ἀπὸ τῆς ἀνατολῆς ὁμοίως ἐλθόντας τῇ ἡμετέρᾳ ὁμονία συμφωνοῦντας, καὶ τιμῶ σχισματικῶ πλάνῳ ὁμοφρόνως ἡμῖν ἀπελαύνοντας. καὶ νῦν οὖν ἐπ' ἀληθείας προσφόρως εἰπεῖν τὸν προφητικὸν λόγον. ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο γὰρ ἡ ἐκκλησία δι' αὐτῶν δύναμιν καὶ περιεζώσατο.

Ηλίας ὁ θεοσεβέσατος πρεσβύτερος καὶ τοποτηρητὴς Ιεροσολύμων εἶπε. καὶ νῦν δυχαριστεῖν ἄξιον τῷ θεῷ, ὅτι ὁρῶμεν πάντας ἰωαμίτας. δυχαριστῶ δὲ πλέον ἐγὼ ὁ ταπεινὸς, ὅτι τιμῶ χρισματικῶ ταύτῃ πλάνῳ ἐν τῇ καθ' ἡμᾶς ἁγία τοῦ Θεοῦ τῆς Ιεροσολύμων ἐκκλησίᾳ οὐδέποτε παρεδεξάμεθα, ἀλλ' ἀεὶ καὶ διαπαντὸς, ἀφ' οὗ ὁ ἁγιώτατος ἡμῶν δεσπότης Φώτιος τοῦ ἀρχιερατικοῦ τούτου θρόνου ἐκράτησε· καὶ τὸν τῆς πίσεως αὐτοῦ λίβελλον ἀπέσειλε πρὸς Θεοδόσιον τὸν ἁγιώτατον πατριάρχην Ιεροσολύμων, ἰωαμίτας αὐτοῦ καὶ ἀδιάσπαστοι μέχρι τοῦ νῦν μεμενήκαμεν. καὶ τοὺς ἐναντίον τι ἐπὶ τῇ ἀρχιερωσύνῃ αὐτοῦ φρονήσαντας οὐδέποτε παρεδεξάμεθα.

Δανιὴλ ὁ θεοφιλέσατος μητροπολίτης Ανκύρας εἶπεν· ὁ ἁγιώτατος ἡμῶν δεσπότης καὶ οἰκουμενικὸς πατριάρχης Χριστὸν τὸν ἀληθινὸν

Θεὸν ἡμῶν μιμούμενος, καὶ τοὺς περὶ τὴν ἐνδεκάτην ἐλθόντας συναριθμίους ποιεῖται τοῖς πρώτοις· καὶ τοὺς πρώτους τῆς ἀξίας τιμῆς ἀπολαύειν παρέχει· καὶ ἑνοποιεῖ τὰ πάντα, καὶ πρὸς πάντας κοινὰ καὶ πατρικὰ διανοίγησι σπλάγχνα.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διαφυλάξαι πάντας. ἀλλὰ καὶ ὁ κύριος ἡμῶν ὁ ἀποστολικὸς καὶ οἰκουμενικὸς πάπας Ἰωάννης ἀπέστειλεν ἡμᾶς πρὸς τὸν ἁγιώτατον πατριάρχην κύριον Φώτιον ἵνα τὰ ἐπιφυέντα σκάνδαλα τῇ αὐτοῦ ἐκκλησίᾳ ἐκριζῶμεν. καὶ ὥσπερ ἔστιν εἷς Θεὸς εἰς πάντας, καὶ ἓν βάπτισμα, καὶ μία πίστις, οὕτως γένηται καὶ μία ποίμνη καὶ εἷς ποιμήν. ὅτι δὲ ἔχει αὐτὸν τὸν κύριον Φώτιον τὸν ἁγιώτατον πατριάρχην ὡς τὴν ἑαυτοῦ ψυχὴν ὁ κύριος ἡμῶν ὁ ἀποστολικός, καὶ ἔστι μετ' αὐτοῦ ἓν πνεῦμα καὶ ἓν σῶμα, καὶ ἔχει αὐτὸν ἀδελφὸν καὶ συλλειτουργὸν, καὶ αὐτὴ ἡ ἀποσταλεῖσα παρ' αὐτοῦ ἱερατικὴ στολὴ προσμαρτυρεῖ. διὰ τοῦτο γὰρ αὐτῷ ταύτην ἀπέστειλεν, ἵνα πᾶς ἄνθρωπος πληροφορηθῇ, ὅτι ἀδελφὸν καὶ συλλειτουργὸν αὐτὸν ἔχει. καὶ ταῦτα εἰπὼν ἀναστὰς ἀπέδωκε τῷ δεσπότῃ ἡμῶν τὴν πεμφθεῖσαν παρὰ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου ἀρχιερατικὴν στολὴν, ὠμόφορον, στιχάριν, φενώλιον καὶ σανδάλια.

Ἡ ἁγία σύνοδος εἶπεν. εἰ κελεύει ἡ ἁγιωσύνη ὑμῶν, ἴδωμεν αὐτὰ καθ' ἕν. καὶ δὴ λαβὼν Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις ἅμα τοῖς συνοῦσιν αὐτῷ θεοφιλεστάτοις ἐπισκόποις, καὶ τοῖς λοιποῖς Ῥωμαίοις ἥπλωσε κατενώπιον τῆς ἐνδημούσης συνόδου. Φώτιος ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης εἶπε· Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ νεφέλαις τὸν οὐρανὸν περιβάλλων, καὶ τὴν ἡμετέραν φύσιν ἀναχωνεῦσαι καὶ καθᾶραι στολισάμενος, αὐτὸς τὸν ἀδελφὸν καὶ συλλειτοῦργον καὶ πνευματικὸν ἡμῶν πατέρα, καὶ ἐν τῷ παρόντι βίῳ φρουρὰν ἄσυλον καὶ σωτηρίαν ἀσφαλῆ στολίσαι. κἂν τῷ μέλλοντι αἰῶνι τὸν νυμφικὸν περιβαλὼν χιτῶνα ἄξιον τοῦ μακαρίου ἐκείνου νυμφῶνος ἀναδεῖξαι.

Εὐγένιος ὁ θεοφιλέστατος ἐπίσκοπος καὶ τοποτηρητὴς τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· ἄδελφε καὶ συλλειτοῦργε· οὐ πρὸ πολλοῦ ἐλέγομεν ὑμῖν ἃ νῦν θεωρεῖτε. ὅτι ἡ ψυχὴ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου μετὰ τῆς ψυχῆς Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου ἡνωμένη ἐστί. καὶ ἓν εἰσιν ἀμφώτεροι. καὶ ὥσπερ ἐπιθυμεῖ τις εἶναι μετὰ τοῦ Θεοῦ, οὕτως ἐπιθυμεῖ καὶ ὁ ἀποστολικὸς πάπας Ἰωάννης εἶναι μετὰ τοῦ ἁγιωτάτου πατριάρχου· τί οὖν; ἔστι καθὼς εἴπομεν; ναὶ. ἢ οὔ; ἡ ἁγία σύνοδος ἀπεκρίθη. δι' αὐτῶν τῶν πραγμάτων ἐναργῶς ἐπληροφορήθημεν.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν. γινώσκετε πάντες οἱ ἀρχιερεῖς καὶ ἱερεῖς, ὅτι διὰ τὴν εἰρήνην καὶ ὁμόνοιαν τῆς ἐκκλησίας ἀπέστειλεν ἡμᾶς ὁ κύριος ἡμῶν ὁ ἀποστολικὸς καὶ τῆς Ῥωμαίων ἐκκλησίας πρόεδρος ἐπικομιζομένους καὶ ἐπιστολάς· καὶ ἄλλην μὲν ἐπιστολὴν ἀπέστειλε πρὸς τὸν ἁγιώτατον πατριάρχην κύριον Φώτιον, ἄλλην δὲ πρὸς τὴν ὑμετέραν ἁγιωσύνην· καὶ ἑτέραν πρὸς τοὺς ἀποσχίζοντας τὴν ἐκκλησίαν. τὴν οὖν πρὸς τὴν ὑμετέραν ἁγιωσύνην πεμφθεῖσαν ἐπιστολὴν ἐν τῷ τέως οὐκ ἠγάγομεν, διὰ τὸ μὴ εἶναι πάντας ὑμᾶς συνηθροισμένους. ἐν ᾗ δ' ἂν ἡμέρᾳ συναχθείητε, Θεοῦ εὐδοκοῦντος, ἅπαντες ἐλευσόμεθα καὶ ἡμεῖς, ἐπιδιδόντες ὑμῖν τὴν τοῦ ἁγιωτάτου πάπα ἐπιστολήν.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἀφορισθήτω, εἰ κελεύετε, καὶ ἡ ἡμέρα. Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· εἰ κελεύει ἡ ἁγιωσύνη τοῦ ἁγιωτάτου πατριάρχου, τῇ δευτέρᾳ, ἵνα συνέλθωμεν πάντες ἐπὶ τὸ αὐτό. ἡ ἁγία σύνοδος ἔφη. ἀρέσκει· Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οἱ τιμιώτατοι τοποτηρηταὶ οἱ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν κόπον οὐ τὸν τυχόντα ὑποστάντες ἀνέσεως δέονται. καὶ γὰρ ὅτε καὶ νῦν τὸν ἀπὸ τῆς ὁδοιπορίας πόνον λελῦσθαι νομίζουσι, κόπον ἄλλον οὐ μικρὸν τὴν ἐν τοῖς λόγοις τριβὴν ὑπομένουσι· λοιπὸν ἄμεινον ἐστὶ νῦν διαλυθῆναι τὴν σύνοδον. καὶ ὕστερον ἐπὶ τοῖς ὑπολοίποις συναθροισθῆναι.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· ἀκουσάτω πάλιν ἡ ἁγία αὕτη σύνοδος. ἡμεῖς τὸν τόπον σήμερον τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πάπα ἔχομεν. καὶ λέγομεν ὑμῖν· εἴ τις ἔστιν ἐν μέσῳ ὑμῶν ἀνὴρ μάχιμος καὶ σκανδαλοποιὸς, σχίζων τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἀφορισθήτω ἐξ ὑμῶν, καὶ τὴν αἰτίαν τῆς διαστάσεως εἰπάτω. ἡ ἁγία σύνοδος ἔφη· ἐκ τῆς πολυανθρώπου ταύτης πληθύος, ἧς ὁρᾷτε, οὐδείς ἐστιν ἐν καρδίᾳ δόλον ἢ φιλονεικίαν ἔχων. πάντες Φώτιον τὸν ἁγιώτατον πατριάρχην ἀποδεχόμεθα. καὶ τοὺς μὴ ἀποδεχομένους αὐτὸν, καθὼς ἀπεδέξαντο οἱ τρεῖς πατριαρχικοὶ τῆς ἀνατολῆς θρόνοι, καὶ πρὸ τούτων καθὼς ἀπεδέξατο αὐτὸν ὁ ἁγιώτατος πάπας Ἰωάννης, ὡς ἐχθροὺς τῆς ἐκκλησίας καὶ ἀλλοτρίους τῆς πίστεως ἀποβαλλόμεθα.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· εἰ καὶ μετὰ ἐνταῦθα πάρεισιν, ἀλλ' οὖν ἐὰν ὦσι τινὲς ἔτι πρὸς τὴν ἐκκλησίαν στασιάζοντες, νουθετήσατε αὐτοὺς, ὅπως καταφύγωσιν εἰς τὰ σπλάγχνα τοῦ ἁγιωτάτου πατριάρχου· καὶ ἐναγκαλίσηται αὐτοὺς, ὡς πατὴρ φιλόστοργος. ἡ ἁγία σύνοδος εἶπεν. εὐαρίθμητοι μὲν εἰσι παντελῶς τέως, ὅσους ἡμεῖς γινώσκομεν, καὶ νουθετοῦμεν, ὡς ἐπηγγείλασθε. ἀλλὰ καὶ ὑμεῖς, ἐὰν κατὰ πρόσωπον ὑμῶν παραστῶσι, νουθετήσατε αὐτούς.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· ἀκούσατε πάντες τί λέγει Φίληξ ὁ ἁγιώτατος πάπας γεγονὼς τῆς τῶν Ῥωμαίων ἐκκλησίας. εἴτις εὑρίσκεται ἐναντιούμενος τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ· ὁ τοιοῦτος ἀποδεικνύμενος

νος καὶ φανερούμενος, πρῶτον μὲν νουθετείσθω παρὰ τοῦ προέδρου αὐτοῦ, καὶ τῆς ἐπισκόπων αὐτοῦ· καὶ εἰ μὴ πείθεται, τότε διδότω κατ' αὐτοῦ ἡ ἁγία σύνοδος τὴν ἀπόφασιν. ὅτως οὖν καὶ ἡμεῖς ἔχοντες ποιῆσαι ταύτην τὴν ἐξουσίαν τοῦ ἀποστολικοῦ, πρῶτον νουθετῆσαι αὐτοὺς ἔχομεν καὶ παρακαλέσαι· καὶ εἰ μὴ βουληθῶσιν ὑπακοῦσαι ἡμῖν, τότε ἐκκόψαι αὐτοὺς ἔχομεν ὡς σεσηπότα μέλη, ἵνα μὴ καὶ τὸ ὑγιὲς σῶμα δι' αὐτῆς ἀπόληται.

Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων εἶπε· πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι· τοῦ μεγάλου Ἰακώβου ἀκούομεν λέγοντος. ὅτι καὶ ὃν ὁ Θεὸς δοξάσει, οὐδεὶς δύναται ἀτιμίαις ἐνδιαβάλλων βλάψαι. ὃν δὲ ὁ Θεὸς ἄτιμον ἔχει, ἡ δόξα τῆς ἀνθρώπων οὐδὲν ὠφελεῖ. ὁ οὖν Θεὸς ἐτίμησε Φώτιον τὸν ἁγιώτατον πατριάρχην καὶ ἐνέπνευσεν εἰς τὴν καρδίαν κατὰ τὸ τοῦ αὐτοῦ θέλημα τοῦτε ἁγιωτάτου πάπα Ἰωάννου καὶ τῆς λοιπῶν τῆς ἀνατολῆς τριῶν μεγάλων ἀρχιερέων. καὶ ἠγάπησαν αὐτὸν καὶ ἀνεκήρυξαν τὴν αὐτοῦ θεοψήφιστον ἀρχιερωσύνην. καὶ οἴδαμεν ἀκριβῶς, ὅτι οὕτως ἀρέσκει τῷ Θεῷ. διὸ καὶ μεγαλυνθήσεται τὸ ὄνομα αὐτοῦ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἀπὸ γενεῶν εἰς γενεάς. οἱ δὲ ἀντικείμενοι αὐτῷ, εἴπερ τινες εἶεν, τῷ θεῷ ἀντιτασσόμενοι, τῇ αὐτοῦ εἰρήνῃ, εἰ μὴ μεταμεληθέντες ἑνωθῶσι τῇ ἐκκλησίᾳ, καὶ ἐν τῷ νῦν αἰῶνι ἀφανισθήσονται, καὶ ἐν τῷ μέλλοντι μετὰ τῆς ἠλλωτριωμένων ἀπὸ Θεοῦ καταταγήσονται.

Ἡ ἁγία σύνοδος ἐξεβόησεν· ὅτως πάντες εὐχόμεθα, ὅτως πάντες φρονοῦμεν. ἐπισφραγίσαι κύριος τὰς εὐχὰς ἡμῶν τῷ βουλήματι αὐτοῦ. πολλὰ τὰ ἔτη τῆς βασιλέων. Βασιλείου Λέοντος καὶ Ἀλεξάνδρου, μεγάλων βασιλέων καὶ αὐτοκρατόρων πολλὰ τὰ ἔτη. Εὐδοκίας τῆς εὐσεβεστάτης Αὐγούστης πολλὰ τὰ ἔτη. Στεφάνου τοῦ Πορφυρογεννήτου καὶ θεοπροβλήπου συγκέλλου πολλὰ τὰ ἔτη. Ἰωάννου καὶ Φωτίου τῆς ἁγιωτάτων πατριαρχῶν πολλὰ τὰ ἔτη.

ΠΡΑ̃ΞΙΣ Β'.

ΤΗ̃ ιζ'. τοῦ Νοεμβρίου μηνὸς ἰνδικτιῶνος ιγ'. ἡμέρᾳ γ'. προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου ἐν τῷ δεξιῷ μέρει τῆς κατηχουμενείων τῆς μεγάλης ἐκκλησίας· προτεθέντος δὲ καὶ τοῦ ἁγίου εὐαγγελίου ἐν τῷ μέσῳ· καὶ συγκαθεσθέντων αὐτῷ Εὐγενίου καὶ Παύλου, τῆς ἁγιωτάτων τοποτηρητῆς τῆς πρεσβυτέρας Ῥώμης, ἅμα Πέτρῳ τῷ θεοσεβεστάτῳ πρεσβυτέρῳ καὶ καρδηνάλι· καὶ ἡλιοὺ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ Ἱεροσολύμων. Κοσμᾶτε καὶ αὐτοῦ πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ἀλεξανδρείας· συγκαθεσθέντων δὲ καὶ τῆς θεοφιλεστάτων μητροπολιτῆς, Προκοπίου Καισαρείας, Γρηγορίου Ἐφέσου, Ἰωαννου Ἡρακλείας καὶ καθεξῆς τῆς λοιπῶν ἁπάντων· Φώτιος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως εἶπε· δόξα καὶ εὐχαριστία καὶ μεγαλωσύνη τῇ τρισυποστάτῳ καὶ ζωαρχικῇ, καὶ ἐνιαίᾳ θεότητι, νῦν καὶ ἀεὶ καὶ εἰς τοῦ αἰῶνας τῆς αἰώνων. καὶ τῆς ἁγίας συνόδου ὑποφωνησάσης τὸ ἀμὴν, ἔψαλλον τινὰ οἱ ἁγιώτατοι τοποτηρηταὶ τῇ Ῥωμαίων γλώσσῃ.

Εἶτα μετὰ τὴν συμπλήρωσιν τῆς ψαλμῳδίας, Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις τοῦ ἀποστολικοῦ θρόνου, διὰ Λέοντος βασιλικοῦ πρωτοσπαθαρίου καὶ ἑρμηνέως διελάλησεν ὅτως. ἡ ἐκ Θεοῦ ἐρριζωμένη ἐκκλησίᾳ καὶ τῇ χάριτι τοῦ ἁγίου πνεύματος μεσιτείᾳ τε τῆς εὐσεβῶν καὶ φιλοχρίστων ἡμῶν βασιλέων τὴν εἰρήνην δεξαμένη, ἀκουσάτω τὰ παρ' ἡμῶν λεγόμενα. Βασίλειος, Λέων καὶ Ἀλέξανδρος, εὐσεβέστατοι βασιλεῖς, διὰ τὴν νῦν εἰρήνην καὶ ὁμόνοιαν τῆς Κωνσταντινουπολιτῆς ἐκκλησίας ἀπέστειλαν εἰς τὴν μητέρα τῆς ἐκκλησιῶν τὴν μεγαλόπολιν Ῥώμην καὶ ἅπαξ καὶ δὶς ἐπιστολάς. οὐ μὴν δὲ ἀλλὰ καὶ Ἀλεξανδρεῖς καὶ Ἱεροσολυμῖται, καὶ Ἀντιοχεῖς, παρακαλοῦντες τὸν ἁγιώτατον πάπαν Ἰωάννην βεβαιῶσαι καὶ ἀποδέξασθαι τὴν παρ' ἡμῶν συμφωνηθεῖσαν εἰρήνην. ὃς ἐπικαμφθεὶς ἡμετέραις καὶ αὐτῆς δεήσεσιν, ἐξέπεμψε μὲν ἡμᾶς, ὡς ὁρᾶτε, ἅτε δὴ γνησίους αὐτοῦ ὑπηρέτας, τὰ παρ' ὑμῶν αἰτηθέντα πληρώσοντας ἅμα ὑμῖν. ἀπέστειλε δὲ καὶ ἐπιστολὰς περὶ τῆς εἰρήνης ταύτης καὶ ὁμονοίας, πρός τε τοὺς εὐσεβεῖς βασιλεῖς, καὶ πρὸς Φώτιον τὸν ἁγιώτατον πατριάρχην. ἔτι δὲ καὶ πρὸς τὴν ὑμῶν ὁσιότητα. θέλομεν οὖν πρὸ παντὸς ἄλλου τὴν πρὸς τοὺς εὐσεβεστάτους βασιλεῖς ἀναπεμφθεῖσαν ἐπιστολὴν κατ' ἐνώπιον τῆς ὑμῶν ἁγιωσύνης ἀναγνωσθῆναι· ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτω. καὶ δὴ λαβὼν τὴν ἐπιστολὴν Λέων ὁ πανεύφημος βασιλικὸς πρωτοσπαθάριος καὶ καθωσιωμένος ἀσηκρῆτις εἰς ἐπήκοον πάντων ἀνέγνω.

Ἰωάννης δοῦλος τῆς δούλων τοῦ Θεοῦ, τοῖς γαληνοτάτοις, ἀγαπητοῖς ἡμετέροις πνευματικοῖς υἱοῖς καὶ Θεῷ ἠγαπημένοις, Βασιλείῳ, Λέοντι καὶ Ἀλεξάνδρῳ, νικηταῖς, τροπαιούχοις, βασιλεῦσι, καὶ αἰωνίοις Αὐγούστοις.

ΤΟ' καθαρὸν καὶ ὑπέρλαμπρον τῆς ἐν τῇ πίστει ὀρθοδοξίας ὑμῶν, καὶ τῆς σοφίας, καὶ τὸ ἐν τρόποις ὑμῶν κατανοούμενον χρηστὸν καὶ ἐπιεικὲς, ὦ χριστιανικώτατοι καὶ μέγιστοι βασιλεῖς Ῥωμαίων, φωτὸς δίκην ἐν μέσῳ τῆς γῆς ἐκλάμπον πάντα τὰ πέρατα εἰς ἃ ἡ οἰκουμένη παρατείνεται περιαυγάζει· ἀλλὰ γὰρ οὐκ ἐν μόνῃ τῇ πίστει σεμνυνόμενοι περὶ τ' ἄλλα εἰς ῥᾳθυμίαν ἀντὶ τῆς σπουδῆς διάκεισθε. ἀλλ' ἐπὶ τῷ ἀμωμήτῳ θρησκεύματι ὑμῶν ἐποικοδομεῖτε οὐ ξύλον, οὐδὲ χόρτον, οὐδὲ καλάμην, ἀλλα λίθους τιμίους, χρυσὸν, ἄργυρον, ἁπλῶς εἰπεῖν,

πεῖν, πάντα ὑμῖν μετὰ τῆς ἐν σπουδῇ καλλονῆς ἐξανύετε, ἐν οἷς γινώσκεται τὸ θεῖον θεραπευόμενον. θεραπεύεσθαι δὲ μάλιστα τὸ θεῖον διαγινώσκεται ἐπὶ τῷ τὰς ἐκκλησίας αὐτοῦ πάσας ὅσας ὁ ἥλιος ἐφορᾷ ἐν ὀρθοδόξῳ πίστει, καὶ τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ καὶ εἰρήνῃ διατελούσας, εὐχαριστηρίους αὐτῷ φωνὰς καθ' ἑκάστην ἡμέραν ἀναφέρειν. διὸ ταύτην τὴν ὁμόνοιαν καὶ ἐν τῇ καθ' ὑμᾶς ἐκκλησίᾳ ὁρᾶσθαι καὶ πρυτανεύεσθαι ἐπιποθοῦντες, τὴν τῆς Ῥωμαίων ἁγίαν ἐκκλησίαν διὰ τῆς ἀποκρισιαρίων ὑμῶν καὶ θειοτάτων γραμμάτων ὑμῶν κατελάβετε, συνεργὸν εἰς τὸ σπουδαζόμενον ὑμῖν ἐσομένην, καὶ οὐ ῥαθυμοῦσαν πεπιστευκότες. οὐκ αὐτοὶ πρώτως ἀρξάμενοι εἰς τοῦτο τὸ ἐπινόημα ἐλθεῖν· ἀλλ' ἔθει τῆς πρὸ ὑμῶν εὐσεβῶς βεβασιλευκότων εἴκοντες, καὶ κατακολουθοῦντες. ἀλλὰ γὰρ ἐκ ποίου διδασκάλου ταῦτα παρελάβετε ποιεῖν, ἄξιον διερωτῆσαι. ᾗ δῆλον ἐκ τοῦ κορυφαίου τῆς ἀποστόλων Πέτρου, ὃν κεφαλὴν πασῶν τῆς ἐκκλησιῶν τέθεικεν ὁ κύριος, εἰπὼν, ποίμαινε τὰ πρόβατά μου· οὐ μόνον δὲ, ἀλλὰ ἐκ τῆς ἁγίων συνόδων καὶ διατάξεων· ἔτι δὲ καὶ ἐκ τῆς ἱερῶν καὶ ὀρθοδόξων καὶ πατρικῶν ὁσίων θεσπισμάτων τε καὶ διαταγμάτων· καθὼς καὶ αἱ θεῖαι καὶ εὐσεβεῖς ὑμῶν συλλαβαὶ μαρτυροῦσι. τοῦτο δὲ ποιεῖτε, ἵνα πλέον τὸ στερρὸν τῆς πίστεως ὑμῶν διαβοώμενον ἐκλάμψῃ, καὶ ἡ πρὸς Θεὸν ἀγάπη ἀκέραιος καὶ ἀμάραντος ἀναδειχθῇ. οὐδὲν γὰρ πέφυκεν ἄλλο προσφυέστερον, ἢ οἰκειότερον εἶναι τοῖς ἐν ἐξουσίᾳ καὶ μεγίσταις ἀρχαῖς καθεστηκόσιν, ἢ τῇ καλλονῇ καὶ ὡραιότητι τῆς ὀρθῆς πίστεως καὶ τῇ πρὸς Θεὸν ἀγάπῃ σπουδάζειν τὸ σεμνύνεσθαι· καὶ τὸ πάντας ὁρᾶν τοὺς ἐν τῇ αὐτῇ πίστει τῷ Θεῷ λατρεύοντας τῷ τῆς ἀγάπης συνδέσμῳ περιπλεκομένους τε καὶ συσφιγγομένους. ἐγκύψαντες δὲ τοῖς ὑμῶν γράμμασι καὶ τοῖς ἐν αὐτοῖς μελιρρύτοις φθέγμασι κατηδυνθέντες καὶ ἐξαφθέντες πυρσοῦ δίκην, καὶ μετὰ πάσης τῆς καθ' ἡμᾶς ἁγιωτάτης τῆς Ῥωμαίων ἐκκλησίας, ὁμονοήσαντες καὶ συμφωνήσαντες διανέστημεν, εἰς τὸ τὰ παρ' ὑμῶν ἅπαντα γραφέντα προθύμως καὶ περιχαρῶς πεπληρωμένα δεῖξαι· μάλιστα τοῦ παρόντος καιροῦ ἐπιτηδειοτάτου ἡμῖν καὶ τῆς τῆς πραγμάτων φορᾶς εἰς τοῦτο γεγονότων.

Ἔγραψας ἡμῖν, υἱὲ ἡμῶν ἠγαπημένε, ἵνα ἀποστολικὰ καὶ συμπαθῆ σπλάγχνα ὑπανοίξαντες, πάντας τοὺς τῆς καθ' ὑμᾶς ἐκκλησίας, ὅσοι γεγόνασιν ἢ δι' ἰδιοχείρων ἐν παραβάσει, ἢ ἄλλως πως, κανονικαῖς ὑπέπεσον * ἐπιθυμίαις, δεξώμεθα. καὶ τῆς εἰρήνης καὶ ὁμονοίας φροντίδα ποιησώμεθα. οὐ μὴν ἄλλα γε καὶ πρὸ τούτων Φώτιον τὸν θεοσεβέστατον ἀρχιερέα τῆς πρὸς ἡμᾶς κοινωνίας μέτοχον καὶ κληρονόμον καὶ συλλειτουργὸν ποιήσαντες, ἐς τὸ μέγα τῆς ἀρχιερωσύνης ἀξίωμα καὶ τὴν τιμὴν τῆς πατριαρχείας πάλιν ἀποκαταστήσωμεν· ὡς ἂν μὴ ἡ ἐκκλησία τοῦ Θεοῦ ἐπὶ πολὺν χρόνον ταῖς τῆς θεοστυγῶν σχισμάτων καὶ πονηρῶν σκανδάλων τρικυμίαις ταραττομένη διαμένη. ἡμεῖς δὲ τῆς ὑμετέρας γαληνότητος τὴν ἱκεσίαν προσδεξάμενοι, ὡς εὔλογον οὖσαν καὶ δικαίαν, καὶ θεάρεστον, τόν τε καιρὸν ἐπιτήδειον ὄντα, οἷον καὶ πρὶν ἐπεζητοῦμεν καὶ ηὐχόμεθα εὑρόντες· καὶ νομίσαντες ἁρμόδιον εἶναι τὴν ἐκκλησίαν τοῦ Θεοῦ εἰρηνοποιεῖν, ἀπεστείλαμεν ἀποκρισιαρίους ἡμῶν ἐκπληροῦντας τὸ θέλημα ὑμῶν· εἰ καὶ ἡ ὑμετέρα εὐσέβεια τὸν ἄνδρα ἐκβιασαμένη ἔφθασεν ἀποκαταστήσασα καὶ πρὸ ἡμῶν· ἤτοι πρὸ τοῦ παραγενέσθαι τοὺς ἡμετέρους τοποτηρητὰς ἐν τοῖς αὐτόθι. ὅμως ἡμεῖς τοῦτο θεραπεύομεν οὐκ ἐκ τῆς ἡμετέρας αὐθεντίας, καίπερ ἔχοντες ἐξουσίαν τοῦτο ποιεῖν· ἀλλ' ἐκ τῆς ἀποστολικῶν διατάξεων καὶ πατρικῶν θεσπισμάτων τὰς ἀποδείξεις φέροντες. οὐ τοὺς θεσμοὺς τῆς ἐκκλησίας τοὺς ἀνέκαθεν παραδεδομένους λύοντες· ἀλλ' ἐν οἷς ἡ τούτων ἀκρίβεια ἀπαράτρεπτος διατηρουμένη, διασπᾶ καὶ λυμαίνεται τὴν ὁλοκληρίαν τοῦ σώματος τῆς ἐκκλησίας, πρὸς τὸ συμφέρον ἄγειν πάντα παρ' αὐτῆς ἐκείνης διδαχθέντες. καὶ γὰρ ὁ τῆς ἐν Νικαίᾳ β'. κανὼν οὕτω λέγει· ἐπειδὴ πολλάκις εἴτε ἀπὸ ἀνάγκης, εἴτε ἄλλως πως ἐπειγομένων τῆς ἀνθρώπων, παραβαίνεσθαι τοὺς ἐκκλησιαστικοὺς κανόνας συμβαίνει. ἔτι δὲ καὶ ὁ πάπας Γελάσιος περὶ τοῦ αὐτοῦ λέγει. ὅτι ὅπου βία οὐ πρόκειται ἀμετάτρεπτοι διαμενέτωσαν οἱ τῆς ἁγίων πατρῶν θεσμοί. ὡσαύτως δὲ καὶ ὁ ἁγιώτατος πάπας Λέων ἐν τῷ αὐτῷ διακελεύεται πνεύματι λέγων· ὅπου οὐ προηγεῖται βία, ἀσάλευτοι διαμενέτωσαν οἱ θεσμοὶ τῆς ἁγίων πατέρων. ὅπου δὲ ἀνάγκη καὶ βία εὑρίσκεται, ἐκεῖ πρὸς τὸ συμφέρον ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ὁ τὴν ἐξουσίαν ἔχων οἰκονομείτω. ἐξ ἀνάγκης γὰρ κατὰ τὸν θεῖον ἀπόστολον καὶ νόμου μετάθεσις γίνεται. καὶ Φίληξ δὲ ὁ πάπας τούτοις συνηγορεῖ λέγων. καὶ περὶ τούτου χρὴ σκέψασθαι ἵνα ὅπου ἀπαντήσῃ ἀνάγκη, πολλάκις αἱ συστάσεις τῆς πατρῶν παραβαίνωνται. οὐ μὴν δὲ ἀλλὰ καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Καρθαγένῃ, λέ. κεφαλαίῳ λέγει. κελεύομεν ἵνα οἱ κληρικοὶ τῆς Δονατιστῶν πάλιν εἰς τὴν ἐκκλησίαν ἀνακάμψωσι, καίπερ πρώην ὑπὸ συνόδου καθαιρεθέντες. καὶ σύνοδος ὁρᾶται σύνοδον λύουσα διὰ τὴν ἕνωσιν καὶ ὁμόνοιαν τῆς ἐκκλησίας. καὶ Ἰννοκέντιος δὲ ὁ πάπας λέγει ἐν τῷ νέ. κεφαλαίῳ. οὗτοι οἱ χειροτονηθέντες ὑπὸ Βονόσου τοῦ αἱρετικοῦ, δεχέσθωσαν· ἵνα μὴ πάλιν σκάνδαλα ἐν τῇ ἐκκλησίᾳ ἀναφυῇ. καὶ οὐ μόνον ἐν τούτοις καίπερ οὖσι τοιούτοις καὶ ἐξ αὐτῆς οὖσιν ἐξ αἱρέσεως ἡ ἀποστολικὴ αὕτη καθέδρα καθαιρεθεῖσι τῆς ἐκκλησιαστικῆς εἰρήνης φροντίδα ποιουμένη χεῖρα βοηθείας ὤρεξεν. ἀλλὰ καὶ ὀρθοδόξοις ἱεράρχαις καὶ πατριάρχαις εἰς αὐτὴν καταφυγοῦσιν· ὥσπερ καὶ νῦν ὁ εὐλαβέστατος Φώτιος καὶ τὴν βοήθειαν αὐτῆς ἐπικαλεσαμένοις ἐπήμυνεν. οἴδατε πάντες τὸν μέγαν Ἀθανάσιον ἐπίσκοπον Ἀλεξανδρείας. Κύριλλόν τε καὶ Πολυχρόνιον Ἱεροσολύμων. Ἰωάννην, ὃν ἡ ἀγάπη ὑμῶν Χρυσόστομον ὀνομάζει· καὶ Φλαυιανὸν τὸν Κωνσταντινουπόλεως. τούτους γὰρ ὑπὸ συνόδου καθαιρεθέν-

θέντας καὶ ἀποκηρυχθέντας, καὶ τὴν ἁγίαν τῆς Ῥωμαίων ἐκκλησίαν ὑποδραμόντας, ὁ ἀποστολικὸς ὅτος θρόνος σωέσησε, καὶ πρὸς τὴν προτέραν τιμὴν ἐπανήγαγε. εἰ δὲ οἱ ἐκ τῆς Δονατισῶν, καὶ οἱ ἐκ Βονόσου τὴν χειροτονίαν δεξάμενοι, καὶ τῆς τῆς ὀρθοδόξου ἐκκλησίας περιβόλων ἀπελαθέντες. ὑπὸ σωόδου πολυανθρώπου, ὑπὸ ἑτέρας σωόδου δέχονται, καὶ ἐν τῷ καταλόγῳ τῆς ἱερέων τάττονται, ὅλα τὴν ἐκκλησίαν τοῦ Θεοῦ ἀδιάσπαστον καὶ χισμάτων καθαρὰν καὶ ἐλευθέραν παραμένειν. ὁδὸν γὰρ ὅπως βδελυκτὸν καὶ μεμισημένον τοῖς ὀφθαλμοῖς καθορᾶται τοῦ Θεοῦ, ὡς χισμάτων ἐσμὸς παρυφισάμενος ἐν ἐκκλησίᾳ Θεοῦ· καὶ ὁδὸν τερπνότερον, ἢ προσφιλέστερον τῇ αὐτοῦ ἀγαθότητι, ὡς ἐκκλησίᾳ τὴν αὐτῆς ὁλοκληρίαν σῴζειν τῇ πρὸς Θεὸν ἀγάπῃ καὶ τῇ πρὸς τὸν πλησίον ὁμοφροσύνῃ διασώζουσα. πολλῷ μᾶλλον ἄνδρας τοὺς ἐν ὀρθοδόξῳ πίστει διαφέροντας βίου τε σεμνότητι καὶ ἀκριβεῖ πολιτείᾳ πεφημισμένους· καὶ χεδὸν μὴ δὲ ἐπὶ τοσοῦτον, ὥστε καὶ ἐπιτιμίας ἔργα διαπράξασθαι, ἃ χρὴ παραρᾶσθαι ὡς ὑπαθύνους τῷ τῆς ἐπιτιμίας βαρυνομένους ζυγῷ· ἀλλ' ἐπὶ τὴν προτέραν αὐτὸς ἐπανάγειν τιμήν;

Καθάπερ γὰρ ὁ ἀποστολικὸς θρόνος ὅτος λαβὼν τὰς κλεῖς τῆς βασιλείας τῆς οὐρανῶν παρὰ τοῦ πρώτου καὶ μεγάλου ἀρχιερέως Ἰησοῦ Χριστοῦ διὰ τοῦ κορυφαίου τῆς ἀποστόλων Πέτρου, εἰπόντος πρὸς αὐτόν· σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας τῆς οὐρανῶν· καὶ ὃν ἂν δήσῃς ἐπὶ τῆς γῆς ἔσαι δεδεμένος ἐν τοῖς οὐρανοῖς, καὶ ὃν ἂν λύσῃς ἐπὶ τῆς γῆς ἔσαι λελυμένος ἐν τοῖς οὐρανοῖς· ἔχει ἐξουσίαν καθόλου δεσμεῖν τε καὶ λύειν, καὶ κατὰ τὸν προφήτην Ἱερεμίαν ἐκριζοῦν καὶ καταφυτεύειν. διὰ τοῦτο καὶ ἡμεῖς τῇ αὐθεντίᾳ τοῦ κορυφαίου τῆς ἀποστόλων Πέτρου χρώμενοι, μετὰ πάσης τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας παρεγγυώμεθα ὑμῖν, καὶ δι' ὑμῶν τοῖς τε ἁγιωτάτοις ἀδελφοῖς καὶ συλλειτούργοις ἡμῶν πατριάρχαις Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, καὶ τοῖς λοιποῖς ἀρχιερεῦσί τε καὶ ἱερεῦσι, καὶ παντὶ τῷ πληρώματι τῆς ἐκκλησίας Κωνσταντινουπόλεως, ὁμονοῆσαι καὶ ὁμοφρονῆσαι ἡμῖν, μᾶλλον δὲ τῷ Θεῷ ἐν πᾶσιν, οἷς ὑμεῖς ἐζητήσατε· καὶ πρῶτον μὲν ἀποδέξασθε Φώτιον τὸν θαυμασιώτατον καὶ θεοφιλέστατον ἀρχιερέα Θεοῦ καὶ πατριάρχην ἀδελφὸν ἡμῶν καὶ συλλειτουργόν, καὶ τῆς κοινωνίας τῆς πρὸς τὴν ἁγίαν τῆς Ῥωμαίων ἐκκλησίαν σύμμοιρόν τε καὶ συμμέτοχον καὶ κληρονόμον· διά τε τὴν ἄλλην ἀρετὴν τὴν προσοῦσαν αὐτῷ, καὶ τὸ τὰ σκάνδαλα ἐκποδὼν γενέσθαι, καὶ τὸ τὴν εἰρήνην τοῦ Θεοῦ καὶ ἀγάπην τὴν εἰς ἀλλήλους ἐν ὑμῖν φυτευθῆναι. δέξασθε δὲ αὐτὸν ἀδιακρίτῳ γνώμῃ καὶ ἀναμφιβόλῳ ἀγάπῃ καὶ πίστει· πάντα κακίας καὶ δολιότητος ἰὸν καὶ διψυχίας καὶ ἀμφιβολίας ἐκ τῆς καρδιῶν ὑμῶν ἀπελαύνοντες, καθὼς αὐτὸν ἀπεδέξατο καὶ ἡ τῆς Ῥωμαίων ἐκκλησία. ἀναμανθάνομεν γὰρ σχεδὸν παρὰ πάντων τῆς πρὸς ἡμᾶς ἐκ τῆς αὐτόθι φοιτώντων τὸν ἄνδρα πᾶσι προτερήμασι τοῖς κατὰ Θεὸν κομᾶν. τοῦτο μὲν σοφίᾳ καὶ σωέσει τῇ περὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα πάντων διαφέρειν. τοῦτο δὲ περὶ τὴν ἄλλην πρακτικὴν ἀρετὴν καὶ ἐπιμέλειαν τῶν θείων ἐντολμάτων ἀνεπαίσχυντον ἐργάτην διαβοώμενον. καὶ ὁ δίκαιον ἐκείνους εἶναι τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα, ἀργὸν δὲ ἄπρακτον διαμένειν· ἀλλ' ἐφ' ὑψηλοῦ τῆς καθ' ὑμᾶς ἐκκλησίας πάλιν ἀνατεθέντα καὶ ἀναλάμψαντα, τότε αὐτῷ σωὴθη καὶ Θεῷ φίλα ἱερεῦσι καὶ ἀρχιερεῦσιν ἔργα διαπράττεσθαι.

Διὸ πάλιν τὸν αὐτὸν ἐπαναλαμβάνοντες λόγον, πρὸς ὑμᾶς ἅπαντας λέγομεν· δέξασθε τὸν ἄνδρα ἀπροφασίστως· μηδεὶς προφασιζέσθω τὰς κατ' αὐτοῦ γνωμένας ἀδίκους σωόδους· μηδεὶς, ὡς τοῖς πολλοῖς τῆς ἀγελαιοτέρων δοκεῖ, τὰς τῆς πρὸ ἡμῶν μακαρίων ἀρχιερέων, Νικολάου τε φημὶ καὶ Ἀδριανοῦ, καταψηφίσεις αἰτιάσθω. ὁ γὰρ ἀπεδέχθησαν παρ' αὐτῆς τὰ κατὰ τοῦ ἁγιωτάτου Φωτίου τυφθέντα. μηδεὶς τὰς κατ' αὐτοῦ χειρογραφίας ὑμῶν, ἀφορμὴν τῆς πρὸς αὐτόν τε καὶ πρὸς ἀλλήλους χισμάτων ποιείτω. πάντα γὰρ πέπαυται καὶ ἐξωράκισαι· πάντα τὰ κατ' αὐτοῦ ἠκύρωται καὶ ἠχρείωται. πάντα δὲ ἡμῶν τῆς ἐλαχίστων ἐν ταῖς χερσὶ τοῦ κορυφαίου τέθειται, καὶ δι' αὐτοῦ ἐν τοῖς ὤμοις Ἰησοῦ Χριστοῦ τοῦ ἀμνοῦ τοῦ θεοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου. δέξασθε ἓν αὐτὸν ὑπτίαις χερσὶν ἀδελφὸν ὑμέτερον καὶ συλλειτουργόν. δέξασθε ἀρχιερέα Θεοῦ ἄμεμπτον. δέξασθε πατριάρχην τῆς καθ' ὑμᾶς ἐκκλησίας. κυρώσατε πρὸς αὐτὸν ἀγάπην, πίστιν, καὶ τὴν μετ' εὐλαβείας ὑπακοὴν, καὶ δι' αὐτοῦ πρὸς τὴν ἁγίαν τῆς Ῥωμαίων ἐκκλησίαν. ὁ γὰρ ἐκεῖνον μὴ ἀποδεχόμενος δῆλον ὅτι οὐδὲ τὰ παρ' ἡμῶν καὶ τῆς ἁγίας τῆς Ῥωμαίων ἐκκλησίας περὶ αὐτοῦ ψηφισθέντα δέχεται. καὶ ὁ πρὸς ἡμᾶς ὁ τοιοῦτος πόλεμος ἀναλαμβάνεται, ἀλλὰ πρὸς τὸν ἁγιώτατον Πέτρον τὸν ἀπόστολον, μᾶλλον δὲ πρὸς Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, τὸν ὕστερον τιμήσαντα καὶ δοξάσαντι τὸν αὐτοῦ ἀπόστολον, ὡς ἔχειν αὐτὸν ἐξουσίαν δεσμεῖν τε καὶ λύειν.

Καὶ τοῦτο δὲ ἀναμιμνήσκεσθαι παρακαλοῦμεν τὴν ὑμῶν εὐσεβῆ βασιλείαν. ἐκ πόσου χρόνου τὰ σκάνδαλα καὶ τὰ χίσματα ἐν τῇ καθ' ὑμᾶς ἐκκλησίᾳ παρεισελθόντα τὴν ταύτης ὁλοκληρίαν λυμαίνεται. τούτων δὲ τῆς κακῶν αἴτιον οὐδὲν ἄλλο καθέστηκεν, ἀλλ' ἢ τὸ παραδέχεσθαι ὑμᾶς τοὺς βασιλεῖς βλασφημίας καὶ συκοφαντίας κατὰ τῆς ἀρχιερέων καὶ πατριαρχῶν ὑμῶν καὶ τῆς λοιπῶν ἱερέων τοῦ Θεοῦ· καὶ τὸ ὀλιγώρως ἔχειν ὑμᾶς περὶ τὴν εἰς αὐτοὺς ἀγάπην καὶ πίστιν καὶ τιμὴν καὶ εὐλάβειαν. διὸ ἱκετεύομεν τὸ θεῖον ὑμῶν κράτος ἀπὸ τοῦ νῦν κλεῖσαι τὰ ὦτα τῆς θεοψηφίστου βασιλείας ὑμῶν ταῖς τῆς πονηρῶν ἐκείνων καὶ χαιρεκάκων ἀνθρώπων κατὰ τῆς ἀρχιερέων τοῦ Θεοῦ διαβολαῖς καὶ συκοφαντίαις· καὶ ὡς ἄγος καὶ μύσος καὶ ἀποβόθριον αὐτούς τε καὶ τὰς φονηρὰς βουλὰς τῆς λόγων αὐτῆς ἀποπέμ-

πεσθαι· τιμᾶντε τὺς παξιάρχας ὑμῶν, καὶ αἰσέβεσθαι, καὶ ὡς πατέρας οἰκείους λογίζεσθαι, καὶ ὡς μεσίτας Θεοῦ καὶ ἀνθρώπων αἰλαβεῖσθαι. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῆς ψυχῶν ὑμῶν, τὰ πρὸς σωτηρίαν ὑμῶν ἀεὶ ἐξαιτούμενοι παρὰ Θεοῦ· ἀλλὰ καὶ περὶ τῆς, ὡς εἰκὸς, σφαλλομένων ὑμῖν, ἐν προσκρούσματι Θεοῦ, θυσίας αὐτῷ προσφέρουσιν ὑπὲρ τῆς πρὸς ὑμᾶς καταλλαγῆς, αἱλατὸν ὑμῖν τὸ θεῖον καθιστῶντες. ὐ μόνον δὲ, ἀλλὰ καὶ ὑπὲρ αἰσαθείας καὶ ὁμονοίας τὺ κράτος ὑμῶν καὶ τῆς καθ' ἐχθρῶν νίκης καὶ ἐυσεβοφορίας, καὶ σωτηρίας πάντων τῆς χριστιανῶν, αὐτοὶ πρὸς τὺν φιλάνθρωπον Θεὺν ἡμῶν προσβαίνουσιν. ἀλλὰ καὶ εἰσηγηταὶ καὶ διδάσκαλοι ὑμῶν χρηματίζουσιν ἐν οἷς παραινῶσι πράττειν ὑμᾶς ταῦτα, ἃ καὶ τὶ ἐν οὐρανοῖς βασιλείαν ὑμῖν προξενοῦσι. πρὸς τύτοις καὶ φιλοῦντες ὑμᾶς ὑπὲρ τὺς ἄλλους γινώσκονται. ὐ γὰρ τὶ τῆς κολάκων φιλίαν ἐπαίσανται φιλεῖν ὑμᾶς· ἀλλ' ἰῶ ἐδίδαξεν αὐτὺς Ἰησοῦς ὁ Χριστὸς διὰ τῆς ἁγίων αὐτοῦ ἀποστόλων.

Οὐ χρὴ ὖν παροράσθαι τὺς παξιάρχας ὑμῶν διά τε τὰ ἄλλα, ἃ προείπομεν, καὶ διὰ τὸ ὕπως ὑμᾶς φιλεῖν ὡς ὁ κύριος ἐνετείλατο. καὶ γινώσκετε ὅτι τῦτο ποιοῦντες καὶ αἰλαβῶς εἰς αὐτὺς διακείμενοι, ὐκ αὐτὺς τιμᾶτε καὶ σέβεσθε, ἀλλὰ τὺν ταῖς ἐκείνων χερσὶν ἱερουργούμενον, καὶ ὑπὲρ τῆς τοῦ παντὸς ἁμαρτίας προσφερόμενον τῷ Θεῷ καὶ παξί. ὁ γὰρ ἐκείνους τιμῶν, τὺν Θεὺν τιμᾷ· καὶ ὁ ἐκείνους ἀποσξεφόμενος, τὺν Θεὺν ἀποσξέφεται. τὰς ψαδείς ουἱ κατ' αὐτῆς ὁμιλίας καὶ ψιθυρισμούς, δι' ὧν τὰ ζιζάνια καὶ σχίσματα καὶ σκάνδαλα ἐν ταῖς ἐκκλησίαις τῦ Θεοῦ παρεισφέρονται, καὶ μεγίζυσι τὺν ἄνωθεν ὑφαντὺν χιτῶνα τῦ Χριστοῦ, ὡς ἰὺν ἀσπίδων, ἡ ἡμετέρα αἰσεβὴς ἐκδεπέσθω βασιλεία, καὶ μᾶλλον συναγωνιζέσθω τῷ ἁγιωτάτῳ Φωτίῳ τῷ ἀδελφῷ καὶ συλλειτυργῷ ἡμῶν, εἰς πᾶν ὃ σωτελεῖ εἰς καταρτισμὺν τῆς ἐκκλησίας. ἀλλὰ καὶ τὺς ἀτιμάζοντας αὐτὺν ἐπιπλήττειν, ἵνα σωφρονῶσιν. οὓς γὰρ πολλάκις ὁ Θεοῦ φόβος καὶ ἡ πρὸς τὰ θεῖα αἰλάβεια ὐκ ἐσωφρόνησε, βασιλέων καὶ ἡγεμόνων καὶ ἀρχόντων ἀγανάκτησις ἐπελθοῦσα ἐπιεικεστέρους εἰργάσατο. καὶ τῦτο ποιῶν εὖ ἴσθι προμνησόμενος σεαυτῷ τὶ βασιλείαν τῶν ὐρανῶν, καὶ τὶ εἰς ἀεὶ τὸ κράτος ὑμῶν ἁγαμονίῳ, καὶ τὶ εἰρηναίαν τῆς βασιλείας ὑμῶν κατάστασιν. ἐπεὶ ἐὰν τῦτο μὴ ποιεῖτε, γινώσκετε ὅτι ουὐδέποτε σχίσματα λήξουσιν ἐν τῇ τῶν Κωνσταντινοπολιτῶν ἐκκλησίᾳ.

Καὶ τῦτο θεσπίσαι παραινοῦμεν τὶ ὑμῶν θεοφρούρητον βασιλείαν· ἵνα μὴ τὶ ἀποβίωσιν τοῦ ἁγιωτάτου Φωτίου καὶ συλλειτουργοῦ ἡμῶν καὶ ἀδελφοῦ μηδεὶς ἀπὸ κοσμικῶν ἀξιωμάτων εἰς τὶ ἀρχιερατικὶ τάξιν ψηφίζηται καὶ χειροτονῆται. ἀλλ' ἢ ἐκ τῶν πρεσβυτέρων τῶν καρδηναλέων ἢ ἐκ τῶν ὐκκατατεταγμένων ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ἢ ἐκ τῶν ταύτης διακόνων, ἢ ἐξ ἄλλων ἱερέων τῶν τελούντων ἐπὶ τὺν θρόνον Κωνσταντινουπόλεως κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας· ὡς ἂν μὴ ἐναντίως τῇ ἐκκλησιαστικῇ αἰταξίᾳ καὶ τοῖς παξικοῖς κανόσι τὰ καθ' ὑμᾶς διαπράττηται. προέρχεσθαι δὲ τὺν τοιοῦτον βυλόμεθα, καθέκαστον βαθμὺν τῆς ἐκκλησίας δοκιμαζόμενον. πρῶτον ἀναγνώστην, ἔπειτα ἀκόλουθον, εἶτα διάκονον, αὖθις πρεσβύτερον, μετὰ ταῦτα ἐπίσκοπον. δηλονότι μεμαρτυρημένον ἐπ' αἰλαβείᾳ, καὶ λόγων μελέτῃ. ὅτι ἐν τοῖς ὑποδεεστέροις τάγμασι, τοῦ τοιούτου χρονίζοντος δοκιμάζεται ἤτε ἀρετὴ αὐτοῦ καὶ ἡ λοιπὴ καλοκαγαθία. καὶ τύτῳ τῷ τρόπῳ δεῖ τοὺς καθ' ὑμᾶς πατριάρχας προέρχεσθαι, καὶ μὴ αἰφνίδιον προαρπάζειν ἕκαστον βαθμόν. ἵνα ἐν τῷ οἴκῳ κυρίου μηδὲν αἱρεθῇ ἀσύνθετον, μήτε ἄτακτον. ὁ γὰρ ἐπάνω πάντων τῶν βαθμῶν ἀνερχόμενος ἀκατάγνωστος ἐν πᾶσιν ὀφείλει αἱρίσκεσθαι, μὴ πῶς ἐκ τύτου κατάλυσις ἀναφυῇ πασῶν τῶν ἐκκλησιαστικῶν διδαχῶν.

Καὶ μὴ διότι ἡμεῖς προνοιαν ποιούμενοι καὶ φροντίδα τῆς ἐν τῇ καθ' ὑμᾶς ἐκκλησίᾳ εἰρηνικῆς καταστάσεως, Φώτιον τὺν θεοσεβέστατον ἀδελφὺν ἡμῶν ἀπεδεξάμεθα, ὥσπερ καὶ ὁ πάλαι Ἀδριανὸς Ταράσιον τὺν αὐτοῦ θεῖον, ἤδη τῦτο ὑμῖν εἰς σωτηρίαν καὶ κανόνα λογιζέσθω· τὰ γὰρ σπάνια ἀγαθὰ ου δύνανται νόμος εἶναι τοῖς πολλοῖς. ἀπὸ γὰρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σπλάγχνα καὶ αὐτοὶ συμπαθείας δεξάμενοι, σωεπαθήσαμεν ὑμῖν ἐν τύτῳ τῷ μέρει· καὶ τὸ αἴτημα ὑμῶν καὶ περὶ τύτου ὥσπερ καὶ περὶ τῆς ἄλλων ἱερέων τῆς ἐξ ἑτέρας χειροτονίας ὄντων ἐπληρώσαμεν· ὅσις δὲ ἀπὸ τοῦ νῦν τολμήσει τῦτο παράξαθαι, ἀσυγχώρητος αὐτῷ ἔσαι, ἢ ἐκ τοῦ κανόνος καὶ παρ' ἡμῶν ἐπιτιμία καὶ κατάκρισις.

Ἀξιοῦμεν δὲ καὶ τῦτο τὶ ὑμῶν αἰσέβειαν, μήτε ὁ ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Φώτιος ὁ ἁγιώτατος, μήτε τις τῆς αὐτοῦ ἁγαδόχων ἀπὸ τοῦ νῦν χειροτονήσῃ εἰς Βουλγαρείαν, μήτε αὐτοχειρία μήτε δι' ὠμοφόρου ἀποστελλομένου· μήτε διεκδικῇ τὶ εἰρημαίῳ ἐπαρχίαν τῆς Βουλγάρων, ὡς ἰδίαν αὐτοῦ. ἐπ' ἀλλοτρίῳ γὰρ θεμελίῳ ου δεῖ ἐποικοδομεῖν ἄλλους. ὁ γὰρ ἐν μακαρίᾳ τῇ μνήμῃ ὁ προηγησάμενος ἡμῶν Νικόλαος ταῖς δεήσεσι τοῦ ἄρχοντος Βουλγάρων Μιχαὴλ ἀποσταλείσαις διδαχαῖς τὸ τοιοῦτον ἐξέθρεψεν ἔθνος, καὶ διὰ τῆς αἰλαβεστάτων αὐτοῦ ἐπισκόπων ἐβάπτισε· καὶ πάντας τοὺς ἐκκλησιαστικοὺς τύπους τε, καὶ κανόνας, καὶ ὅσα εἰς τὶ τῆς χριστιανῶν θρησκείαν σωτελεῖ παραδεδωκὼς ἐτελείωσεν. εἰ καί τινες τολμηρῶς ἀφήρπασαν ἀφ' ἡμῶν τὶ μὴ προσήκουσαν αὐτοῖς ἐπαρχίαν, καὶ χειροτονίας καὶ καθιερώσεις ἐκκλησιῶν, καὶ ἁπλῶς πάντα ὅσα ουκ ἐχρὴν ἐποίησαν. διὸ

πρὸς

πρὸς τοῖς εἰρημένοις καὶ τοῦτο ὑμῖν παρεγγυώμεθα, ἵνα ὅταν ἡμεῖς τοὺς ναοὺς ἐπισκοποῦντας εἰς αὐτοὺς ἐγκλήματι ἐαλωκότας φοράσωμεν καὶ κανονικοῖς ἐπιτιμίοις ὑποβάλωμεν, μὴ δύσκωσιν ὑμᾶς καταφύγιον· ἀλλ' ἵνα εὕρωμεν καὶ ὑμᾶς εἰς τοῦτο συμπνέοντας, καὶ κατακολουθοῦντας ἡμῖν, καὶ μὴ διαφωνοῦντας.

Ἔτι δὲ παρακαλοῦμεν τιμιώτατον ὑμῶν βασιλείαν, ἵνα σωάξητε τοὺς ἐπισκόπους καὶ πρεσβυτέρους, καὶ τοὺς οἱουδήποτε τάγματος, εἴτε ἐκκλησιαστικοῦ, εἴτε πολιτικοῦ, τοὺς δοκοῦντας ἀφ' ὑμῶν ἀποδιίστασθαι, ὅπου δ' ἂν ὦσιν ὄντες τῆς ὑμετέρων ὁσίων. καὶ ἀγάγητε αὐτοὺς πρὸς ὑμᾶς, καὶ παραινέσητε σώθῆναι αὐτοὺς τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, καὶ Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν, καὶ σὺν αὐτῷ, τὰς οἰκείας ἀρχιερατικὰς καὶ ἱερατικὰς τιμὰς καὶ τοὺς βαθμοὺς ἀποδώσετε, σπλάγχνα οἰκτιρμῶν εἰς αὐτοὺς ἀνοίγοντες. ἀλλ' ὥσπερ ἐστὶν εἷς Θεὸς καὶ σὺν βάπτισμα, καὶ μία πίστις, καὶ αὐτοὶ ἡμεῖς σὺν ἐσμὲν ἐν Χριστῷ, οὕτω καὶ αὐτοὶ διὰ τῆς ὑμετέρας ὁσίας διδασκαλίας καὶ παραινέσεως σὺν σωθῆναι ἡμῖν ἐσονται, καὶ ἐν τῷ πληρώματι τῆς ἐκκλησίας τοῦ Χριστοῦ σωαρμολογούμενοι καὶ συμβιβαζόμενοι σὺν ἡμῖν εἰς τὸ τοῦ Χριστοῦ πανάγιον σῶμα· ἵνα ἐν τῷ αὐτῷ νοὶ καὶ ἐν τῷ αὐτῷ θελήματι διατελοῦντες δοξάζωμεν τὸν ἐπὶ πάντων Θεόν. Καὶ μηδεὶς τοῦ λοιποῦ λέγῃ, ἐγὼ μὲν εἰμὶ Κηφᾶ, ἐγὼ δὲ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ· ἀλλ' ἵνα πάντες τοῦτο λέγωμεν, ὅτι Χριστοῦ ἐσμεν πάντες τοῦ σωρωθέντος καὶ ἀποθανόντος ὑπὲρ ἡμῶν, τοῦ διὰ τὸ πάθος αὐτοῦ εἰρηνοποιήσαντος, καὶ καταλλάξαντος τὰ τε ἐπὶ τῆς γῆς καὶ τὰ ἐν τοῖς οὐρανοῖς, καὶ σωάψαντος ἡμᾶς καὶ σωδήσαντος δι' ἑαυτοῦ τῷ Θεῷ καὶ πατρὶ, καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ καὶ κοινωνίᾳ. ἐὰν δὲ ὑμῶν σωαγόντων αὐτοὺς καὶ προσκαλουμένων, προβεπομένων τε καὶ παρακαλούντων εἰς τιμὴν σώσιν τῆς ἐκκλησίας συμβιβασθῆναι ὑμῖν, οὐχ ἅπαξ καὶ δὶς, ἀλλὰ καὶ πολλάκις, μὴ βουληθῶσιν ὑμῖν ὑπακοῦσαι, μήτε τοῖς ἡμετέροις γράμμασι πειθαρχῆσαι, καὶ τὴν οἰκείαν καρπώσασθαι σωτηρίαν· ἀλλ' ἐν τῇ προτέρᾳ αὐτῶν αὐθαδείᾳ καὶ ἀλαζονείᾳ διαμείνωσιν· τότε κελεύομεν τῆς ἀχράντου μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀλλοτρίους εἶναι· ἕως ἂν σωθῶσι τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ τῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν.

Καὶ εἰθ' ὕστερον τὰ λοιπὰ τῆς δικαίας αὐτῆς καταδίκης ἐν μὴ τοῖς πρὸς ὑμᾶς γράμμασιν ὐκ ἐγράψαμεν, ἵνα μὴ πλέον τοῦ μέτρου μηκυνθῇ· ἀλλ' ἐν κομμονιτορίῳ γράψαντες διὰ τοῦ θεοσεβεστάτου Πέτρου πρεσβυτέρου καὶ καρδιναλέως καὶ ἀποκρισιαρίου ἡμῶν ἀπεστείλαμεν τοῖς περὶ Εὐγένιον καὶ Παῦλον θεοσεβεστάτοις ἐπισκόποις· ἵνα σὺν αὐτοῖς καθίσας ἅμα τῇ ἐνδημούσῃ συνόδῳ καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ Φωτίῳ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν, τὸν τὰ πάντα ἐφορῶντα ἀνύσακτον ὀφθαλμὸν πρὸ τῶν οἰκείων ὀφθαλμῶν ἔχοντες, καὶ τὴν ἀναπόδραστον παρὰ Θεοῦ διαδικίαν, καὶ τὴν συνείδησιν αὐτῶν ἀνεπιθόλωτον καὶ ἀνακρωτηρίαστον σωτηροποιοῦντες, πάντα τὰ κατὰ τὴν ἐκκλησίαν Κωνσταντινουπολιτῶν πράγματα· τότε νῦν ἐπιδεόμενα διορθώσεως, καὶ τὰ ὡς εἰκὸς ἀνακύπτειν μέλλοντα, ἐπὶ τῷ καλῷ καὶ συμφέροντι τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ διαπράξωνται. τὸ δ' εὐσεβὲς κράτος ὑμῶν ὁ ὑράνιος φυλάξαι βασιλεὺς· καὶ πάντων τῶν ἐθνῶν τὰς αὐχένας ὑμετέροις ποσὶν ὑποτάξαι.

Μετὰ γοῦν τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἡμεῖς, ὡς πολλάκις εἴπομεν, καὶ πρὸ τῆς ὑμετέρας τιμίας ἐλεύσεως, καὶ πρὸ τῆς ἐγχειμένης τῷ τιμίῳ γράμματι παραινέσεως, Φώτιον τὸν ἁγιώτατον πατριάρχην ἀρχιερέα ἡμῶν καὶ ποιμένα καὶ ἀπεδεξάμεθα, καὶ ἀποδεχόμεθα. καὶ ὡς οἰκείῳ ποιμένι καὶ δεσπότῃ ἐκολλήθημέν τε καὶ περιεπτυξάμεθα καὶ αὐτὸς πατρικοῖς ἡμᾶς σπλάγχνοις συνηγκαλίσατο ἀσμενέστατα. τοῦτο δὲ ἀγαθὸν καὶ ἄξιον τῆς αὐτοῦ ἐλαβείας ὁ ἁγιώτατος πάπας Ἰωάννης ἐποίησεν· ὅτι τὸ δυσεβὲς θέλημα τῶν ὑψηλῶν καὶ μεγάλων βασιλέων ἡμῶν καὶ τῆς ἡμετέρας ταπεινώσεως ἐξεπλήρωσε· καὶ ἀπέστειλε τὴν ὑμῶν ἁγιωσύνην συμφωνοῦσαν ἡμῖν κατὰ πάντα. καὶ εὐχαριστοῦμεν τῷ Θεῷ καὶ ἐπευχόμεθα τοὺς δυσεβεῖς βασιλεῖς ἡμῶν, καὶ τὸν ἁγιώτατον πάπαν Ἰωάννην. προσκυνοῦμεν δὲ καὶ ὑμᾶς ὡς τοποτηρητὰς καὶ ὑπηρέτας αὐτοῦ, καὶ τὸν θρόνον ἐπέχοντας τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου.

Ἡλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων εἶπε· χάρις τῷ Θεῷ ὅτι τὸ τῶν Ἱεροσολυμιτῶν ἀρχαῖον καὶ ἀδιάσπαστον φρόνημα περὶ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, νῦν πᾶσα ἡ οἰκουμένη τὸ αὐτὸ στέργει καὶ ἀποδέχεται. Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδιναλις εἶπεν· ἐπὶ τούτῳ γὰρ καὶ ἀπέστειλεν ἡμᾶς ὁ ἁγιώτατος πάπας Ἰωάννης, εἰς τὸ τὴν ὁμόνοιαν τῆς ἐκκλησίας καὶ τὴν εἰρήνην ἐπιβεβαιῶσαι. ὅπως ἐν ἑνὶ στόματι καὶ μιᾷ πίστει τὸν Θεὸν δοξάζοντες, τὸν πρὸς τὸν ἁγιώτατον πατριάρχην Φώτιον ἀγάπην ἀδίσακτον διασώζητε. ἐπειδὴ δὲ εὕρομεν ὑμᾶς ἰωμένους αὐτῷ, ὡς καὶ ὑμεῖς αὐτοὶ μαρτυρεῖτε, εὐχαριστοῦμεν τῷ Θεῷ τῷ καὶ πρὸ ἡμῶν τὴν εἰρήνην βραβεύσαντι.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἡμεῖς πολλάκις εἴπομεν περὶ τῆς ἡμετέρας διαθέσεως· ὡς ἀδίσακτον τὴν γνώμην πρὸς τὸν ἁγιώτατον ἡμῶν δεσπότην τὸν οἰκουμενικὸν πατριάρχην τὸν κύριον Φώτιον κεκτήμεθα. καὶ γὰρ ὠφείλομεν προλαβεῖν.

οἱ

οἱ γὰρ ἐγγίζοντες τοῖς πράγμασι τῶν πορρωτέρω μᾶλλον αὐτῶν τὴν ἀκρίβειαν ἐπίστανται. καὶ ὧν αἱ χεῖρες ἐψηλάφησαν, καὶ οἱ ὀφθαλμοὶ ἑωράκασι, τῶν ἐξ ἀκοῆς τὴν γνώσιν παραλαμβανόντων· οὗτοι τῆς ἀληθείας, καθάπερ εἴπομεν, ὡς ἐγγίζοντες, ἀκριβέστεροι μᾶλλον καὶ κριταὶ, καὶ ἐξεταστaὶ, καὶ ἐραστaί. διὸ ἡμεῖς πάντα ἀνερευνήσαντες, καὶ ἀναμαθόντες, κεκρίκαμεν ἐν οὐδενὶ ἄλλῳ τὴν σωτηρίαν ἡμῶν εἶναι καὶ τὸ εὐάρεστον τῷ Θεῷ· ἀλλ' ἐν τῷ ἐνωθῆναι Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ. πλὴν ἐπειδή τινες καὶ οὗτοι, ὡς προέφημεν, εὐαρίθμητοι ἔξω τῆς ἐκκλησίας ἔτι εἰσὶ, χρὴ τὴν ὑμετέραν εὐλάβειαν ἐκείνους νουθετῆσαι καὶ παραινέσαι, οἱ καὶ χρήζουσιν * ἀσθενείας ὡς ἀσθενοῦντες περὶ τὸν τῆς ἀληθείας λόγον. καὶ γὰρ εἰ μὴ τὴν χειρογραφίαν εἶχον καὶ αὐτοὶ οἱ ὑπολειπόμενοι ἀφορμὴν τῆς διαστάσεως αὐτῶν, οὐκ ἂν οὐδεὶς οὐ μικρὸς οὐ μέγας τῆς πρὸς τὸν ἁγιώτατον Φώτιον συναφίας ἀπελείπετο. ἀλλ' οὕτω παρεσκεύασεν ὁ πονηρὸς, ἵνα τὸ τῆς εἰρήνης καὶ τῆς κοινῆς σωτηρίας σύμβολον ὁ σταυρὸς νῦν τοῖς ἀφρονεστέροις σκανδάλου πρόφασις γένηται.

* εὐσθενείας.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε. τοῦτο καὶ ἡμεῖς ὅσον ἐστὶν * εἰς . . . . . ἐπιμελούμεθα, συναγωνιζομένων ἡμῖν καὶ τῆς ὑμετέρας ὁσιότητος. καὶ γὰρ χρὴ μᾶλλον τοῖς πλανωμένοις χεῖρα ὀρέγειν, ἢ τοῖς τὴν εὐθεῖαν ὁδὸν περιπατοῦσιν, οἳ οὐδὲ χρήσουσι τοῦ ὁδηγήσοντος. διόπερ ποιήσωμεν ὡς τὸ εὐαγγέλιον λέγει· ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφὸς σοῦ, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐὰν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ, παράλαβε μετὰ σοῦ ἄλλους δύο ἢ τρεῖς· ἐὰν δὲ καὶ τούτων παρακούσῃ, εἰπὲ τῇ ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης, τοῦτο καὶ ἡμεῖς πονήσωμεν. πρῶτα μὲν παρακαλέσωμεν καὶ νουθετήσωμεν αὐτοὺς ἅμα τῇ ὑμετέρᾳ εὐλαβίᾳ· ἔπειτα εἰ οὐκ ἀνέχονται, ἐλευσόμεθα πρὸς αὐτοὺς δι' ἄλλης ὁδοῦ ἀποτομωτέρας. ἴσως ὅπερ εὔνοια οὐκ ἐποίησεν αὐτοὺς, φόβος ποιήσει· καὶ τούτων γενομένων, εἰ τοῖς αὐτοῖς ἔτι ἐμμένουσι, κατὰ τὴν πρόσταξιν καὶ ἐπιτροπὴν τοῦ ἁγιωτάτου πάπα Ιωάννου καὶ τὴν πρὸς αὐτοὺς ἐπεξέλευσιν ποιησώμεθα.

* εἰς δέος

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε. μετὰ μακροθυμίας καὶ πραότητος ἡ εὐλάβεια ὑμῶν πρὸς αὐτοὺς διαγενέσθω. καὶ ἐλπίζομεν ὅτι τῇ χρηστότητι ὑμῶν κἀκείνους ἔχετε ἀγαγεῖν. ἐκεῖνοι γὰρ, ὡς ἔφημεν, οὐδὲν ἄλογον, οὐδὲ ἀφορμὴν ἄλλην ἔχουσιν, ἡ ἅπερ οὐκ εὐαγῶς ἐποίησαν ἰδιόχειρα. ἡ ἁγία σύνοδος εἶπεν· ἡ ἀλήθεια οὕτως ἔχει· καὶ γὰρ καὶ ἐξ ἡμῶν αὐτῶν εἴτινες ποτὲ ἐν διαστάσει ἦσαν Φωτίου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου δι' οὐδὲν ἄλλο διιστάμεθα, ἀλλ' ἢ διὰ τὰ κακῶς γινόμενα παρ' ἡμῶν ἰδιόχειρα. νῦν δὲ χάριτι Θεοῦ πάντες ἡνωμένοι ἐσμέν.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις τοῦ ἀποστολικοῦ θρόνου εἶπε· χαίρομεν καὶ ἡμεῖς καὶ εὐχαριστοῦμεν τῷ Θεῷ ἐπὶ τῆς ἑνώσεως καὶ ὁμονοίας ὑμῶν, ἧς ἔχετε πρὸς τὸν κύριον Φώτιον τὸν ἁγιώτατον πατριάρχην· ἡ ἁγία σύνοδος εἶπε· καὶ ἡμεῖς εὐχαριστοῦμεν τῇ Θεῷ, ὅτι συμφωνεῖτε ἡμῖν κατὰ πάντα, καὶ οὐδεμίαν διάστασιν ἔχετε πρὸς ἡμᾶς· οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβύτερας Ρώμης εἶπον. ἠκούσατε τὴν πρὸς τὸν εὐσεβέστατον βασιλέα παρὰ τοῦ ἁγιωτάτου πάπα πεμφθεῖσαν ἐπιστολήν; ἡ ἁγία σύνοδος εἶπεν. ἠκούσαμεν. Πέτρος ὁ θεοφιλέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν. ἀποδέχεσθαι αὐτὴν, καὶ πάντα τὰ περιεχόμενα ἐν αὐτῇ κεφάλαια; ἡ ἁγία σύνοδος εἶπεν· ὅσα εἰς ἀποδοχὴν καὶ ἀνακύρυξιν τῆς ἐκκλησίας καὶ Φωτίου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου, ἀποδεχόμεθα. ὅσα δὲ ἀνήκουσι τῷ βασιλεῖ καὶ ταῖς βασιλικαῖς διοικήσεσιν, ἐκείνῳ καὶ τὸ κῦρος τῆς ἐπὶ αὐτὰ διοικήσεως καὶ τὴν ἐξουσίαν ἀνατίθεμεν. πλὴν εἰ κελεύει ἡ ἁγιωσύνη ὑμῶν, ἀκουσόμεθα καὶ τὴν πρὸς τὸν δεσπότην ἡμῶν καὶ ἀρχιερέα ἐπιστολήν. καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος εἰς ἐπήκοον πάντων ἀνέγνω.

Ιωάννης ἐπίσκοπος δοῦλος τῶν δούλων τοῦ Θεοῦ, Φωτίῳ τῷ ἁγιωτάτῳ ἀδελφῷ καὶ συλλειτουργῷ πατριάρχῃ τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας . . . . . .

ΤΗν σοφίαν καὶ φρόνησιν τῆς ἐν ὑμῖν ἀδελφότητος ἐν τοῖς ὑμετέροις ἀνιχνεύσαντες οἷς ἀπεστείλατε γράμμασιν, ὥσπερ βροντὴν ἀπηχοῦσαν ἐξ οὐρανοῦ, πεμπομένην τε ἐκ Θεοῦ, καὶ πάντα τὰ πέρατα τοῦ ἤχου πληροῦσαν. εὐσεβεῖς εὐχαριστίας καὶ ἐπαίνων * ὕφος ἀνεπέμψαμεν τῷ Θεῷ, τῷ πᾶσι τοῖς αἰτοῦσι κατὰ τὴν αἴτησιν διδόντι σοφίαν, καὶ κατοικίζοντι ἐν ὁμονοίας οἴκῳ, σκέποντί τε καὶ σώζοντι τοὺς ἐν ἀληθείᾳ τὴν ἑαυτῶν ἐλπίδα ἀνατιθέντας εἰς αὐτόν· τῷ μήτε τοὺς πονηροὺς εἰς τέλος ἀπωθουμένῳ, μήτε τοὺς ἀγαθοὺς ἐμπίπτειν εἰς τυραννίδα ὑπὲρ . . . . . συγχωροῦντι· ἀλλὰ δικαιοσύνης ὁσιότητι καὶ ζυγῷ κριμάτων τὰ ἀνθρώπινα πάντα διευθύνοντι καὶ κατευοδοῦντι. καὶ μακάριος ὅστιν ἂν προθύμως ἐν τῷ νῦν καιρῷ διαμεταοίας διανιστῶν τοὺς πεσόντας, ἐν οὐρανοῖς θησαυρίσῃ. οὗτος γὰρ ἐν μακαριότητι διαμένων ἀπολαύσει τῆς εἰς τὰ μέλλοντα αἰώνια ἀναφαινομένης λαμπρότητος. τοίνυν τοῖς προῤῥηθεῖσι γράμμασιν ἐπιεικέσιν ὑμῶν ἐπιβάλλοντες, καὶ τὸ ἐν αὐτοῖς ὕφος τῶν ἐπαίνων ὑμῶν καταμαθόντες, τήν τε διάθεσιν, ἣν πρὸς ἡμᾶς φέρεις, ἀπέγνωμεν. καὶ ὅπως πρὸς ἡμᾶς εὐσεβῶς καὶ ὑγιῶς διάκεισαι, εἰς τὰ ἔργα τῆς πολιτείας ἡμῶν πρὸς τοὺς ἐπαίνους οὓς ἔγραψας

* ὕψος

εἰς

εἰς ἡμᾶς διαφέρονται. ἐν θνητότητι γὰρ καὶ τρεπομένῃ φύσῃ τὸν βίον ἔχοντες, οὐ πάνυ τὸ βεβαιον ἐν τοῖς ἐπαίνοις τοῖς καλοῖς ἔχομεν· καὶ δειλιῶμεν, καὶ τῷ φόβῳ συνεχόμεθα τοῦ πάντα βλέποντος τὰ ὄντα ὀφθαλμοῦ, καὶ ἐφορῶντος καὶ τὰ κρυπτὰ καὶ τὰ φανερά· μήπως τοῖς ἀνθρώποις ἄλλως νομιζόμενοι, ἐνώπιον αὐτοῦ ἑτέρως ὀφθῶμεν. καὶ ἀντὶ τοῦ τυχεῖν ἐπαίνων ἀληθινῶν καὶ δόξης ἐπιθυμητῆς, αἰχύνην αἰωνίαν καρπωσώμεθα. ἀλλὰ ταῦτα παραχωρήσωμεν τέως τῷ τὰ πάντα εἰδότι Θεῷ, καὶ μηδὲ τῶν ἡμετέρων ἄγνοιαν ἔχοντι. γινώσκομεν γὰρ αὐτὸν λέγοντα. ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται.

Εγραψας ἡμῖν, ὅτι ἡ ἁγιωτάτη τοῦ Θεοῦ Κωνσταντινουπολιτῶν ἐκκλησία ἔνσοι συνεφώνησε καὶ συνῆλθέ σοι· καὶ ὅτι τὸν θρόνον ὃν ἐστερήθης ἀπέλαβες, ὃς ἦν ἴδιός σου. ὑπὲρ τούτων, λέγω δὴ τῆς ἐκκλησίας καὶ τῆς ἀποκαταστάσεώς σου, ἦν εἰς τὸν ἴδιον θρόνον κατέστης, Θεῷ τὴν εὐχαριστίαν ἐξ ὅλης ψυχῆς καὶ δυνάμεως ἀνεπέμψαμεν. ἔτι δὲ περιεῖχε τὸ γράμμα τῆς ὑμῶν εὐλαβείας, ὅτι οἱ ἀποκρισιάριοι ἡμῶν εὐθέως οὐκ ἠθέλησαν συλλειτουργῆσαί σοι. καὶ λέγομεν τοῦτο συμβῆναι, διὰ τὸ μὴ παραχωρῆσαι ἡμᾶς ἃ προσετάξαμεν ποιῆσαι αὐτούς. ἐπεὶ * ἡ ἐντολὴ ἡμῶν προῆλθεν, οὐδεῖς ἂν διεταγμὸς ἐν αὐτοῖς εὑρέθη, οὐδὲ λύπην τινὰ εἶχον ἂν προξενῆσαι τῇ εὐλαβείᾳ σου. πλὴν οὐδὲ ἡμεῖς πληροφορηθέντες περὶ τῆς σῆς ἀδελφότητος, ὅτι τέλεον ὁ Θεὸς ὑπέστρεψέ σε εἰς τὸν θόνον σου, καὶ ὅτι ἀπέλαβες αὐτόν· ἐπεὶ τὸ καθῆκον ποιοῦντες, ἀπεστείλαμεν ἂν καὶ παραμυθούμενοί σε καὶ συγχαίροντες εἰς τὴν ἀποκατάστασιν τοῦ θρόνου σου. καὶ ἐν τούτῳ μηδὲν ἀγανακτήσῃς. τὸ γὰρ ὑστέρημα, καὶ ὑπὲρ ἐκ περισσοῦ ἀνεπληρώθη.

* ἡ ἐν τολή.

Εμάθομεν δὲ καὶ τοῦτο, ὡς εἰσί τινες σχισματικοὶ ἐν ὑμῖν, καὶ οὐ καθεύδουσιν, ἀλλὰ μοχθοῦσι μόχθον μάταιον, καὶ ἀγῶνα διαβολικὸν καταβάλλονται κατὰ τὸν λέγοντα προφήτην· διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. ὥστε ἀποσπᾶν καὶ συνδιαστρέφειν ἑαυτοῖς τινὰς τῶν ἁπλουστέρων. καὶ ὅσοι εὐφράνθημεν ἐπὶ τῇ ἀποκαταστάσει σου, ἦν ὁ Θεὸς ἀποκαθέστησέ σε, καὶ τῇ ἑνώσει τῇ γεγενημένῃ τῆς ἐκκλησίας, τοσοῦτον ἠλγήσαγεν ἐπὶ τῇ ἐκείνων τῶν σχισματικῶν ἀπολείᾳ.

Αλλ' αὐτὸς τῇ ἐνούσῃ σοι σοφία καὶ συνέσει, καὶ τῷ δοθέντι σοι παρὰ Θεοῦ χαρίσματι, (τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες;) οἴδαμεν ὡς οὐ καυχᾶσαι, ὡς μὴ λαβών· πάντας μετέρχου οἰκειοῦσθαι πρὸς σὲ, καὶ τοὺς ἀπὸ σοῦ μακρυνθέντας καὶ διασκορπισθέντας, φιλανθρωπίας αὐτοῖς ὑπανοίγων σπλάγχνα, καὶ οἰκτιρμῶν χρηστότητι περιλαμβάνων, συναγαγεῖν μὴ ἀπαξιώσης· ἵνα ὡς ὁ ἁγιώτατος πάπας Λέων ὁ μέγας γράφει· τοὺς μὲν ζητούντας ταπεινωθῆναι ἐνώπιον τοῦ Θεοῦ καὶ ὁμόνοιαν ζητοῦντας πρὸς ἡμᾶς δεχώμεθα· πρὸς δὲ τοὺς σκληρηνομένους τῇ καρδίᾳ σκληρηνώμεθα. ὡσαύτως καὶ τοῖς μετάνοιαν ζητοῦσιν, ἥ τις ἀνιστῇ τοὺς πεσόντας, χεῖρα βοηθείας, ὀρέγωμεν. οὐ γὰρ ἐστι κατάγνωσις τοῖς μετανοοῦσι, καὶ τοῖς αἰτοῦσιν ἔλεον οὐκ ἔστιν αἰσχύνη.

Διὸ καὶ τὴν σὴν ἀδελφότητα ἀξιοῦμεν, χριστομίμητον ἀναλαμβάνουσαν τρόπον, καὶ τὴν αὐτοῦ ταπείνωσιν, ἦν ὑπέστη διὰ τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, μὴ ἀπαξιῶσαι ἐπὶ τῇ συνόδῳ κηρύξαι τὸ εἰς σὲ τοῦ Θεοῦ ἔλεος, καὶ τὴν βοήθειαν τῆς ἁγιωτάτης τῶν Ρωμαίων ἐκκλησίας· τὸν ὑπερασπισμὸν, καὶ τὸν κόπον ὃν ὑπὲρ τῆς ἀγαπητικῆς διαθέσεως καὶ φίλτρου κατεβάλλετο, πληροφορῶν ἅπαντας ἐν τῇ ὁμονοίᾳ τῇ πρὸς ὑμᾶς καὶ τῇ ὑμετέρᾳ συγκαταθέσει. ὅτι καθὼς ᾐτήσω παρ' αὐτῆς, καὶ ἔλαβες. καὶ ὡς ἔστιν ἔθος αὐτῇ βοηθεῖν πᾶσι τοῖς ἀδίκως τι πάσχουσιν, οὐδὲ αὐτὸς τῆς παρ' αὐτῆς βοηθείας ἡμοίρησας. ἀλλὰ τῇ συνεργίᾳ τοῦ Θεοῦ, καὶ τῷ ταύτης μόχθῳ καὶ ἀγῶνι εἰς τὸν θρόνον σου ἀποκατέστης. τῆς δὲ ἐξ ἔθους σοι βοηθείας καὶ συμπαθείας, ἦν δι' αὐτῶν τῶν ἔργων καθ' ἑκάστην ἡμέραν ἐπιδεικνύμενος εἰς πάντας, τὸν ἦχον αὐτῆς ἐκπέμπεις, μὴ ἐπιλανθάνου, ἀλλ' ἔχου αὐτῆς, καὶ μηδὲν ἀζημιωθῆς, μηδὲ ἐκ τῶν σπλάγχνων τοῦ ἐλέους ἐξωθήσης, οἵ τινες ἕως τοῦ παρόντος οὐκ ἠθέλησαν τὴν ἕνωσιν τὴν πρὸς τὴν σὴν εὐλάβειαν, οὐδὲ ὁμοφρονῆσαι· μᾶλλον δὲ μόχθον καὶ ἀγῶνα καταβαλοῦ· τοῦτο μὲν διδασκαλίαις, καὶ λόγοις, καὶ μακροθύμῳ παραινέσει, τοῦτο δὲ ἱλαρῷ καὶ προσηνεῖ τῷ ὄμματι· ἵνα κατὰ τὸν ἀπόστολον ἢ τοὺς πάντας ἢ τούς γε πλείονας σπεύσῃς κερδῆσαι, καὶ σεαυτῷ προσαγαγεῖν, καὶ διὰ σεαυτοῦ τῷ Θεῷ. ἐρχομένων δὲ αὐτῶν πρός σε, καὶ διὰ σοῦ πρὸς τὸν Θεὸν, ἀπολαμβάνειν αὐτοὺς εὐδόκησας τάς τε ἱερατικὰς τιμὰς καὶ τὰς ἐκκλησίας αὐτῶν· καὶ καθ' ὃν τρόπον ὁ πνευματικὸς ἡμῶν υἱὸς καὶ χριστιανικώτατος βασιλεὺς Βασίλειος περὶ σοῦ ἠξίωσεν ἡμᾶς· καὶ εἴκοντες τῇ εὐλόγῳ καὶ δικαίᾳ καὶ Θεῷ ἀρεσκούσῃ ἀξιώσει αὐτοῦ πεποιήκαμεν μετὰ τῆς εὐλαβείας σου· τὸν αὐτὸν τρόπον καὶ σὲ παρεκαλέσαμεν μὴ μνησικακῆσαι εἰς τοὺς μακρυνθέντας ἀπὸ σοῦ· ἀλλ' ὑποστρέφοντας ὁμοψύχως καὶ ἡ σὴ ἐν τιμῇ γνωριζομένη εὐλάβεια ὑπτίαις χερσὶν ὑποδέξασθαι κατενεύσατο· ἵνα πάντες αἰσίως ὁμονοήσαντες καὶ ὁμοψυχήσαντες εἰς τὴν σὴν * ἐπάναστρον καὶ ἀποκατάστασιν τοῦ θρόνου, καὶ ἐπὶ τὸ αὐτὸ συνελθόντες, κοινὴν εὐφροσύνην καὶ ἑορτῆς ἡμέραν, καὶ ἀγαλλιάσεως πανήγυριν ἐκτελέσωμεν.

* ἐπαναστροφήν.

Καὶ τοῦτο δὲ ἀξιοῦμεν τὴν σὴν ἀδελφότητα σὺν ἡμῖν θεσπίσαι, ἵνα ἀπὸ τοῦ παρόντος ἐκ λαϊκῶν μηδεὶς ἀθρόον ἐπὶ τὸν μέγαν τῆς ἀρχιερωσύνης θρόνον, ὃς ἔστι φοβερὸς, καὶ Θεοῦ μεσιτείαν ἐπέχων, ἀναβιβάζηται· ἀλλὰ κατὰ βαθμὸν καὶ τάξιν εἰς τὴν ὑπηρεσίαν προβαίνων, καὶ τὴν οἰκείαν καθ' ἕκαστον βαθμὸν * . . . . . ἐπιδεικνύμενος ἀρετὴν, οὕτως τοῦ ἀρχιερατικοῦ θρόνου τὴν καθίδρυσιν λαμβάνῃ.

ὁ γὰρ ἑτέρως ἀγόμενος, ἐναντίον τῆς ἐκκλησιαστικῶν ἡμῶν κανόνων ποιεῖ. καὶ βουλόμεθα τοῦτο τὸ ἔθος, ὅπερ οὐκ ἔστιν αἴσιον ἐξ ἀρχῆς ἐν τῇ καθ' * ἡμᾶς ἐκκλησίᾳ εὑρημένον ἀπὸ τοῦ νῦν ἄπρακτον διαμένειν. τοῦτο δὲ λέγομεν κατὰ τὸν κανόνα τὸν ἐκτεθέντα τῇ συνόδῳ ἐν τοῖς καιροῖς Αδριανοῦ τοῦ ἁγιωτάτου πάπα, καὶ Ταρασίου τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ πατριάρχου Κωνσταντινουπόλεως.

* ὑμᾶς.

Τὴν δὲ γενομένην κατὰ τῆς σῆς εὐλαβείας σύνοδον ἐν τοῖς αὐτόθι ἠκυρώσαμεν, καὶ ἐξωστρακίσαμεν παντελῶς, καὶ ἀπεβαλόμεθα, διά τε τὰ ἄλλα, καὶ ὅτι ὁ πρὸ ἡμῶν μακάριος πάπας Αδριανὸς οὐχ ὑπέγραψεν ἐν αὐτῇ. τὰ δὲ λοιπὰ πάντα τῆς ἐκκλησιαστικῶν πραγμάτων, ὅσα διηγόρευσεν ἡ ἐπιστολὴ ἡμῶν, ἐν κομμονιτορίῳ γράψαντες, ἐν ᾧ καὶ πάντες ὑπεγράψαμεν εἰς τὴν σὴν ἀποδοχὴν, καὶ ἐπιδεδωκότες Πέτρῳ τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ καρδηνάλι καὶ τοποτηρητῇ ἡμῶν, ἀπεστείλαμεν τοῖς περὶ Εὐγένιον καὶ Παῦλον θεοσεβεστάτοις ἐπισκόποις καὶ τοποτηρηταῖς ἡμῶν· ἵνα τὸν τοῦ Θεοῦ φόβον ἔχοντες πρὸ ὀφθαλμῶν, καὶ τὴν συνείδησιν αὐτῆς ἀνεπιθόλευτον συντηροῦντες, πάντα πρὸς τὸ συμφέρον τῇ καθ' ὑμᾶς ἐκκλησίᾳ σὺν ὑμῖν διοικήσωσι. ὁ Θεός σε διαφυλάξαι εἰς τέλος, ἀδελφὲ ἀγαπητὲ, ὁσιώτατε, καὶ συλλειτουργέ.

Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν ἐπιστολὴν, Πέτρος ὁ εὐσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις πρὸς Φώτιον τὸν ἁγιώτατον πατριάρχην εἶπεν· ἐρωτῶμεν τὴν ὑμετέραν ἁγιωσύνην, στέργεις πάντα τὰ γεγραμμένα ἐν τῇ ἐπιστολῇ καὶ ἀποδέχῃ; Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ὅσα τῷ αἰσίῳ καὶ ἐνθέσμῳ λόγῳ περίεχεται, καὶ εἰς τὴν ἡμετέραν ἀρέσκει μετριότητα τὸ ἔργον αὐτῆς καὶ τὸ τέλος, καὶ στοργῆς καὶ ἀποδοχῆς ἄξιον νομίζομεν,

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε. θεωρεῖς, ἁγιώτατε πατριαρχῶν, ὅτι ἡ τοῦ ἁγιωτάτου πάπα Ιωάννου ἐπιστολὴ παραινεῖ, ἵνα πάντες οἱ διασπαρέντες ἐπίσκοποι ἐπισυναχθῶσιν, καὶ τύχωσιν ἐλέους καὶ συμπαθείας παρὰ τῆς σῆς ἁγιωσύνης. καὶ οἱ μὲν προχειροτονηθέντες ἀπολάβωσι τοὺς οἰκείους θρόνους, χολαζόντων δηλονότι τῆς ἐσχάτως χειροτονιθέντων, καὶ λαμβανόντων ἐκ τῆς αὐτῆς ἐκκλησιῶν διατροφὰς καὶ σκεπάσματα, ἕως ἂν καὶ εἰς τοὺς αὐτοὺς θρόνους, εἴτε εἰς ἑτέρους διοικηθῶσι. καὶ ὅσοι εἰσὶν ἐν ἐξορίᾳ παντὶ τρόπῳ, ἵνα εἰσελθῶσι, καὶ νουθετηθῶσιν ἑνωθῆναι τῇ ἐκκλησίᾳ.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ ἄλλοτε εἶπον ὑμῖν, ὅτι δύο μόνους ὁ βασιλεὺς ὑπερορίους ἐποιήσατο· καὶ τούτους οὐ δι' ἐκκλησιαστικὰς τινὰς αἰτίας· ἀλλὰ τὸν μὲν, ὡς πολιτικῶν θορύβων καὶ ταραχῶν φωραθέντα αἴτιον· τὸν δὲ, ὡς καὶ αὐτὸν μεταχόντα μὲν τῆς τοιαύτης αἰτίας, τὸ δὲ μέγιστον ἀπυλώτῳ στόματι καὶ ἀχαλινώτῳ γλώσσῃ ἐνυβρίσαντα δημοσίως, καὶ πολλῶν ἐν ὄψει εἰς τὸν ἁγιώτατον πάπαν Ιωάννην. πλὴν ἐπεὶ κελεύει ἡ ἁγιωσύνη ὑμῶν, ἐκλιπαροῦμεν τὸ ὑψηλὸν κράτος τῆς μεγάλων βασιλέων ἡμῶν, καὶ ἐλπίζομεν ὡς ἐπικληθῆναι ἔχει ταῖς αἰτητέσιν ἡμῶν, εἰς τὸ κἀκείνους ἐνταῦθα παραγενέσθαι, καὶ τῆς παρ' ἡμῶν νουθεσίας ἀξιωθῆναι.

Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε· τοῦτο δὲ γέγραπται ἐν τῷ κομμονιτορίῳ ἡμῶν, ὅπως ἐν τῇ τῆς Βουλγάρων χώρᾳ μήτε ὠμόφορον ἀποστείλητε, μήτε χειροτονίαν ποιήσητε· Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἡμεῖς ἀεὶ τῆς ἀγάπης ὄντες καὶ τῆς εἰρήνης ἐρασταὶ, καὶ ταυτὶ πάντα χαρίζεσθαι, εἰ δυνατὸν, καὶ τὰ οἰκεῖα μέλη προθυμία καὶ ἐπιμελείᾳ ἔχοντες. καὶ μηδὲν ἐπιῤῥεπῶς μηδὲ ἀπερισκέπτως πράττειν εἰωθότες, καὶ πρὸ τῆς ἐπιστολῆς τοῦ ἁγιώτατου πάπα Ιωάννου τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ καὶ πνευματικοῦ πατρὸς ἡμῶν, οὔτε πάλαι, οὔτε νῦν, καὶ τοι δικαιολογίας ἴσως καὶ τῆς πρὸς ἑτέρους μιμήσεως πάντα ἡμῖν εἰς κράτος ἐγχειριζούσης, ἤδη τοιοῦτον χρόνον ἐν τῷ ἀρχιερατικῷ θρόνῳ διανύοντες, οὔτε ὠμόφορον χειροτονίας ἀπεστείλαμεν, οὐ μὴν ἀλλ' οὐδὲ χειροτονίας τινὰς ἐποιησάμεθα, ἀεὶ τῆς ἀγάπης καὶ τῆς εἰρήνης, ὥσπερ ἔφθημεν εἰπόντες, τὸν ἔνθεον συνδιασώζοντες ἔρωτα, καὶ τὰ οἰκεῖα ἕτοιμοι ὄντες, ὅσον εἰς ἡμῶν ἀνῆκε γνώμην, θεσμῶν παλαιῶν οὐ λυομένων, τοῖς φίλοις χαρίζεσθαι. τί γὰρ ἂν εἴη πλατυσμὸς, ὁρίων· τῆς θεσμοθεσίας οὐ συναναγκαζούσης, ἀλλ' ἢ αὔξησις φροντίδων, καὶ προσθήκη μείζονος μερίμνης καὶ ἐπιπονωτέρας;

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε. καλῶς ἔγνως, καὶ καλῶς ποιεῖς· καὶ διὰ τοῦτο τὴν ἀγάπην συντηρεῖς ἀνόθευτον, ὅτι ἡ ἀγάπη πάντα νικᾷ. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. ἡμεῖς καὶ πάλαι τῷ μακαριωτάτῳ πάπα Νικολάῳ θρόνους τινὰς καὶ ἐνορίας αἰτησαμένῳ οὕτως ἀντεῖπον τῷ γράμματι· ὅτι τοὺς θρόνους, οὓς ἐπιζητεῖσθαι ἡ ἁγιωσύνη, τῇ τῆς βασιλικῆς ἀνατολῇ συμπεριέχονται ἀρχῇ· εἰ δὲ τὸ τῆς ἐμῆς ἐν κυρίῳ ἀγάπης πλάτος, μὴ ταῖς βασιλικαῖς ἐστενοχωρεῖτο ἀνάγκαις, μηδὲ τὶς ἄλλη με κανονικὴ ἀνεχαίτιζε δίκη, εἶχον δέ καὶ τὸ ὑποτελοῦν ἱερατικὸν συμπνέον ἐπὶ τούτῳ. οὐχ οὓς τινας λέγεις ὑπὸ τὸν Ῥώμης θρόνον τελέσαι ποτὲ, ἀλλὰ καὶ οἱ μηδέποτε ὑπ' ἐκείνων γεγόνασι. καὶ τούτους ἕτοιμος ἂν κατέστην, ὅσον εἰς φιλίας ἀνήκει διάθεσιν, αἰτουμένῳ σοι παραχεῖν. καὶ γὰρ ἡ ἀληθὴς φιλία οὐ ζητεῖ τὸ ἑαυτῆς, ὡς τὸ τοῦ πλησίον ἐκτελεῖν θέλημα.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἐλπίζομεν εἰς τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ καὶ εἰς τὴν ἁγίαν εὐχὴν τοῦ δεσπότου καὶ ἀρχιερέως ἡμῶν, ὅτι πάντα τὰ ἔθνη ὑποταγῆναι ἔχουσι τῷ εὐσεβεῖ κράτει

τῆς

τῆς θεοπροβλήτων καὶ μεγάλων βασιλέων ἡμῶν, καὶ τότε χθομμύα, τότε, ὡς κελδίει ἡ κραταιοτάτη αὐτῆς βασιλεία ποιεῖ τακτικά, καὶ ἀποδίδωσιν ἑκάστῳ τὰς οἰκείας ἐνορίας ἀκαινοτομήτως, τῆς κατὰ καιρὸς ἐπιψηφιζομμένης σωόδω, καθὼς ἂν αὐτὸς ἡ θεία καθοδηγήσειε βυλή.

Γρηγόριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἐφέσω εἶπεν· ὁ περὶ ἐνορίων λόγος οὐκ ἔχει νῦν χώραν, μὴ συγχεφαλαιωμμένων εἰς μίαν βασιλείαν ὁμοιόζοπον πάντων τῆς ἀρχιερατικῶν θρόνων· τῆς δὲ θείας νεύσεως τοῦτο τελεύσης, ὅπερ ἐλπίζομμεν ἐπὶ τῷ μεγάλῳ καὶ ὑψηλῷ βασιλέως ἡμῶν χθυέσθαι, τότε καὶ ἡ περὶ τῆς ἐνορίας δικαιολογία χώραν ἕξει, καὶ δωρεῖσθαι καὶ ἀντιδωρεῖσθαι ἑκάστῳ ἀρχιερατικῷ θρόνῳ ἔξεστι, βυλομμένῳ τῷ πλήσιον. ἡ ἁγία σύνοδος εἶπε· πάντες οὕτω λέγομμεν. οὐκ ἐπὶ τῷ διασέλλειν ἐνορίας ἡ ἁγία σύνοδος αὕτη σωηθροίσθη· ταῦτα καιρὸς ἕτερος δοκιμάσει.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις τῆς ἀποστολικῆς θρόνω ἔφη· ὁ ἁγιώτατος καὶ οἰκομμενικὸς πάπας Ἰωάννης ἐρωτᾷ ὑμᾶς δι' ἡμῶν τῆς δύλων αὐτοῦ, πῶς ἀνῆλθεν ὁ κύριος Φώτιος ὁ ἁγιώτατος παπριάρχης νῦν εἰς τὸν θρόνον αὐτοῦ. λέγομμεν γάρ ὅτι οὐκ ἰῶ καλὸν πρὸ τῆς ἐλεύσεως ἡμῶν ἀνελθεῖν αὐτόν. Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων εἶπε. τὰ ἴα τῆς ἀνατολῆς παπριαρχεῖα ἀεὶ πατειάρχην αὐτὸν εἶχον· οἱ ἐν Κωνσταντινουπόλει ἀρχιερεῖς καὶ ἱερεῖς μικροῦ πάντες πατειάρχην αὐτὸν ἔχουσι· καὶ τί ἐκώλυε τοῦ ἀνελθεῖν αὐτόν.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· ἀδελφοί, εἴπατε ὑμεῖς, πῶς ἀνῆλθεν; ἡ ἁγία σύνοδος εἶπε, συμφωνία τῆς τεσσάρων ἀρχιερατικῶν θρόνων, καθάπερ ὁ ἁγιώτατος Ἠλίας ἔφη· ἔπειτα δὲ παραινέσει πολλῇ καὶ παρακλήσει, μᾶλλον δὲ τ' ἀληθὲς εἰπεῖν, βίᾳ μεγάλῃ τῆς ὑψηλῶν καὶ χεισιανικωτάτων βασιλέων ἡμῶν, καὶ πρὸ τῆς βίας, συμφωνίᾳ καὶ ἱκεσίᾳ πάσης τῆς τοῦ Θεοῦ Κωνσταντινουπολιτῆς ἐκκλησίας.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε· μὴ τυραννικῶς ἀνῆλθεν; ἡ ἁγία σύνοδος εἶπε· τυραννίδος καὶ παρακλήσεως πολὺ τὸ διάφορόν ἐστιν. εἴπομμεν ὑμῖν καὶ πρότερον, ὅτι παραινέσει καὶ παρακλήσει πάντων ἡμῶν καὶ συμφωνίᾳ τῆς ἀρχιερατικῶν θρόνων. καὶ τίνα χώραν ἔχει ἡ περὶ τῆς τυραννίδος ἐρωτήσις; τυραννὶς οὐ τυραννὶς πόθεν ἡ ποιεῖ· τυραννὶς ἀγάπην οὐ κραταιοῖ· σύνωσις εἰλικρινὴς τῆς ἐκκλησίας τυραννίδα οὐ γνωρίζει.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· εὐλογητὸς ὁ Θεός, ὅτι καθὼς καὶ διὰ τῆς γραμμάτων ὑμῶν ἐδηλώθη τῷ ἁγιωτάτῳ πάπᾳ Ἰωάννῃ, περὶ τῆς ὁμονοίας καὶ συμφωνίας, ἧς ἔχετε πρὸς τὸν κύριον Φώτιον τὸν ἁγιώτατον πατειάρχην, οὕτω καὶ θεωροῦμμεν σήμερον τοὺς λόγους διὰ τῶν ἔργων βεβαιωμμένους. καὶ τῷ Θεῷ εὐχαριστοῦμμεν, ὅτι τῇ ἐκκλησίᾳ ἐνωθέντες ἐν ἑνὶ πνεύματι καὶ μιᾷ πίστει δοξάζεται τὸ παναγιον αὐτοῦ ὄνομα. ἡ ἁγία σωόδος εἶπε· χάριτι Χριστοῦ καὶ συνεργίᾳ τῆς ὑψηλῶν καὶ μεγάλων βασιλέων ἡμῶν, καὶ δι' ἐκείνων τῶν ἁγιωτάτων ἡμῶν παπριάρχων Φωτίου, πάντα ῥάδια τὰ καθ' ἡμᾶς ἐγένοντο. μία ποίμνη ἐσμεν, εἷς ποιμήν, ὁμόνοια ἐν Χριστῷ μία, ἓν σῶμα πάντες, ἐν Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν συναρμολογούμμενοι καὶ συμβιβαζόμμενοι. καὶ ὑπὸ τοῦ ἁγιωτάτου καὶ οἰκομμενικοῦ παπριάρχου Φωτίου ποιμαινόμμενοί τε, καὶ εἰς τὰς τοῦ κυρίου ἐντολὰς καθοδηγούμμενοι.

Φώτιος ὁ ἁγιώτατος παπριάρχης εἶπεν· ἐπειδὴ ἠρώτησεν ὑμῶν ἡ ἁγιωσυνη, πῶς ἀνήλθομμεν· προλαβόντες δὲ οἱ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν πρὸς τὴν ἐρώτησιν ἀπέδοντο τὴν ἀπόκρισιν, πλὴν καὶ ἡμεῖς ἐν κυρίῳ λεγομμεν, καὶ μοι μηδεὶς ἀπιστείτω· χρεία τῆς ἀληθείας ἐστὶν ἐμὴν γνώμην, ἀλλὰ τὸ ἑτέρων ποιούμμενος βούλημα. ὡς ὐδέποτε τοῦ θρόνου τούτου ἐν ἐπιθυμίᾳ γέγονα, τοῦτο τῆς μὴ παρόντων ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν, ἢ οἱ πάντες, ἢ οἵγε πλεῖστοι, σωεπίσανται· καὶ ὑμῖν δὲ τοῖς ἁγιωτάτοις τοποτηρηταῖς μὴ καταιχῆ τὸ ῥῆμα ἀμφιδοξούμμενον. διὰ τοῦτο γὰρ καὶ πρώην μετὰ δακρύων μὴ πολλῶν, ἀναβολῆς δὲ παντοίας καὶ βίας ἀπαραιτήτου εἰς τὸν ἀρχιερατικὸν τουτονὶ ἀνῆλθον θρόνον. τὸ μὴ κατ' ἐκεῖνον καιρὸν βασιλεύοντος τὸ τῆς ἀνάγκης ἀδυσώπητον ἐπάγοντος, ἔτι δὲ καὶ τῆς παραδιωκτούντων· ὐ μὴν ἀλλὰ καὶ τῆς ἀρχιερέων καὶ ἱερέων, ἐμὲ μηδαμῶς ἐν αἰσθήσει τῆς δρωμμένων γινομμένης, ταῖς ὁμοφώνοις ψήφοις, καὶ ταῖς κοιναῖς χειρογραφίαις τὴν βασιλικὴν σωεπισχυόντων τε καὶ κραταιούντων βίαν. διὸ καὶ φύλαξι παραδοθεὶς ἐτηρούμμην, καὶ ὕστως ἐκεῖθεν ἄκων καὶ ἀποδυρόμμενος εἰς τοῦτονὶ τὸν θρόνον ἀνεβιβάσθην.

Ἔτι δὲ λέγοντος ταῦτα Φωτίου τοῦ ἁγιωτάτου παπριάρχου, ἡ ἁγία σωόδος ἐξεβόησε· Ἴδετο οἰκείοις ὀφθαλμοῖς ἐθεασάμεθα οἱ πλείονες ἡμῶν· καὶ ὅσοι μὴ ἑωράκασιν, ἀπὸ τῆς ἑωρακότων τότε μέχρι νυῦ τῆς φήμης ἀκηκοότητος δέχεσθαι ἀνεμάθομμόν τε καὶ ἀκεμβῶς ἐπισάμεθα ὅτι ὕπως ἐχρῆν.

Πάλιν δὲ Φώτιος ὁ ἁγιώτατος παπριάρχης τῆς αὐτῆς ἐχόμμενος λόγων ἐπέφερεν· ἀλλὰ τότε μὴν, ὡς ἔφην, ὕπως ἐπράχθη, καὶ ἡ πάντων βία τὴν καθ' ἡμῶν ἐπισθεν κείσην. μὴ ταῦτα δὲ οἷς ὁ Θεὸς ἐπίσαται κρίνασιν, ἐξελόντες τοῦ θρόνου ἐκεῖ θορυβῶν τινάς, καὶ ἐμαυτῷ τοῦτον ἀνακαλέσασθαι προειλόμην· ὐδὲ ταῖς ἐμαῖς φρονήσει κατεπίσθησα τὴν ἀποκατάστασιν τούτου. ἀλλ' ἐν ἀκαιρείᾳ τοῦ θείου θρόνου ἐγένετο καὶ ἐνεχαρτέρησεν οἷς ἐκεῖνος ἐκενώσατο καὶ διφκονομήσατο, ὅτε θορύβως ἀνακινῶν, ὅτε βασιλικὰς ἀκοὰς ἐνοχλῶν· ὅτε ἔρως τις ἐπεφύτευτο μοι τοῦ θρόνου, πλὴν ἀλλ' ὐδὲ βυλομέν ποτε τῆς ἐλπίδος ὑπελείπετό τι· ὁ δὲ τῆς παραδελφῶν κύριος καὶ βασιλεὺς τοῦ ἐλέους, καὶ τῆς ἀνελπίστου πληρωτὴς ἀπεριόπτως, αὐτὸς τὸν ὑψη-

ψηλὸν καὶ μέγαν βασιλέα ἡμῶν, οὐκ ἐφ' ἡμᾶς ἴσως, ἀλλ' ἐπὶ τὸν πολὺν καὶ ἀναρίθμητον τοῦ Χριστοῦ λαὸν σπλάγχνα ἐλέους καὶ οἰκτιρμῶν ἀναλαβεῖν παρασκευάσας· ἤδη πασῶν τῶν καθ' ἡμᾶς ἐλπίδων ἀπειρηκυιῶν, ὡς εἶπον, καὶ μήτε φίλου παρακλήσεως μεσιτευσάσης, μήτε τινὸς ἄλλης μελέτης ἢ σπουδῆς εἰσενηνεγμένης· εὐδόκησε τῆς ὑπερορίας ἐκείνης ἡμᾶς κατενεγκεῖν, καὶ παρὰ πάντα λογισμὸν ἀνθρώπινον, πᾶσαν τε γηγενὴ ἐλπίδα, ἐλέῳ πολλῷ, καὶ μεγάλη δεξιώσει εἰσενεγκεῖν εἰς τὴν πόλιν, ἕως μὲν οὖν περιῆν τῷ βίῳ ὁ μακαρίτης Ἰγνάτιος. καὶ γὰρ μακαρίζομεν αὐτὸν, ὅτι φιλίαν πρὸς αὐτὸν ἔτι περιόντα τῷ βίῳ ἐσπεισάμεθα. καὶ οὐκ ἂν ἐξαρνηθείημεν ταύτην ποτὲ, μὴ δὲ γένοιτο. ἀλλ' ἕως μὲν, ὡς ἔφην, περιῆν τῷ βίῳ, οὐκ ἠνεχόμεθα τὸν *ἄκοον θρόνον ἀπολαβεῖν, καί τοι πολλῶν ὄντων τῶν εἰς τοῦτο οὐ μόνον προτρεπομένων, ἀλλὰ καὶ ἀνάγκην ἐπαγόντων· καὶ τὸ μεῖζον πάντων, ἡ αἰχμαλωσία, καὶ ὁ διωγμὸς, καὶ ἡ ὑπερορία τῶν ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν. πλὴν τοῦτο οὐκ εἱλόμεθα καταδέξασθαι, ὡς πάντες οἱ συμπαρόντες συνεπίστανται.

* λέξις ἀσυνήθης

Ἡ ἁγία σύνοδος εἶπεν· ἡ ἀλήθεια οὕτως ἔχει. Φώτιος ὁ ἁγιώτατος πατριάρχης ἔφη· τοὐναντίον δὲ τὴν πρὸς αὐτὸν εἰρήνην πᾶσι τρόποις συσφίγγειν καὶ κρατύνειν διεμηχανώμεθα, ἥτις γέγονεν ἐν τῷ παλατίῳ πρὸς ἡμᾶς παραγεγονότας· ἀλλήλων μὲν τοῖς ποσὶν ἀμφοῖν προσπεσόντων καὶ εἴτι ἑκατέρῳ πρὸς τὸν ἕτερον διημάρτηται, τῆς συγγνώμης τούτων ἀφ' ἑκατέρου ἀφελομένης. μετὰ τοῦτο νόσῳ κατακλιθέντος, καὶ τὴν ἡμετέραν ἐπιζητήσαντος παρουσίαν, οὐχ ἅπαξ, καὶ δὶς, ἀλλὰ πολλάκις ἐπισκεψώμενος αὐτὸν παρεγενόμην· καὶ ὅσα μὲν ἦν ἐμοὶ δυνατὸν, ἐκείνου τοῦτο ἀξιοῦντος, καταστορέζειν τὴν νόσον συνεβαλόμην. εἴτι δὲ καὶ λόγος παραμυθίας ἐπάγειν ἴχνυ ἔχει, καὶ τὴν ἀπὸ τούτου προσῆγον αὐτῷ θεραπείαν· ὥστε καὶ πολλὴν αὐτὸν τὰ τελευταῖα τὴν πρὸς ἡμᾶς πληροφορίαν δεξάμενον, τοὺς οἰκειοτέρους αὐτῷ τῶν ἀνθρώπων εἰς τὰς ἡμετέρας χεῖρας παραθέσθαι· ὡς δὴ μετὰ τὴν ἐκδημίαν ἐκείνου προνοητάς τε καὶ σωτῆρας γενέσθαι, ὃ καὶ θείᾳ γέγονε χάριτι. καὶ οὐδεὶς ἂν μέμψαιτο τῶν αὐτοῦ τὴν ἐκείνου τελευταίαν περὶ αὐτοὺς φροντίδα τε καὶ διοίκησιν. ἐπεὶ δὲ ἐκεῖνος τῶν ἀνθρωπίνων μετέστη, αὐτίκα ὁ φιλόχριστος καὶ μέγας ἡμῶν βασιλεὺς πρῶτα μὲν διά τινων μυστικωτέρων τῆς ἐμῆς ἀπεπειρᾶτο γνώμης, εἶτα δὲ ἐν τῷ φανερῷ διὰ τῶν αὐτοῦ πατρικίων τὰ τῆς αὐτοῦ βουλῆς διεδήλου· ἐπιτιθεὶς, ὡς νῦν μὲν οὐδεμία ἔστιν ἀφορμὴ, οὐδὲ σκανδάλων τινῶν ὑπολογισμὸς, οὐδ' ἀθέτησις τῆς μεταξὺ ἀλλήλων εἰρήνης, ὁ τῶν ἐπισκόπων χορὸς ζητεῖ τὴν σὴν ἄνοδον, ἡ τῶν ὑπερορίων ἐλευθερία, οἱ ἀρχιερατικοὶ θρόνοι σύμψηφοι· ἄνελθε εἰς τὸν θρόνον σου, καὶ ποίμαινε τὸ ποίμνιόν σου, ὃ ὁ Χριστὸς ἄνωθεν ἐν σοὶ κατεπίσευσε. τὸ μὲν οὖν βασιλικὸν δήλωμα ἐν τούτοις περιεγράφετο· ἐγὼ δὲ πρὸς τοὺς παραγεγονότας εἶπον· ὅτι μὲν οὐκ ἀναλγήτως ἤνεγκα τὰ συμβεβηκότα πάλαι, οὐκ ἂν τὴν ἐμὴν διαψευσαίμην ἀλήθειαν· πλὴν τὸ μέγα τῶν ἀλγημάτων ἦν, ἡ τῶν ἀρχιερέων Θεοῦ καὶ ἱερέων ταλαιπωρία καὶ φυγὴ ὑπερόριος. γενέσθω οὖν ἐν αὐτοῖς ἅπασιν ἡ πρέπουσα παραμυθία, καὶ ἀνάκλησις, καὶ τῶν οἰκείων θρόνων ἀποκατάστασις· ἐῤῥέτωσαν δὲ καὶ αἱ καθ' ἡμῶν συκοφαντίαι, οὐχ ἡμῶν χάριν, ἀλλ' ἵνα μὴ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ δι' ἐμὲ μῶμος ἐπιτρίβοιτο. ἐγὼ μὲν χρείαν τινὸς οὐκ ἔχω. ἀλλ' ἀντὶ πάντων ἔχω τὸ ἥμερον καὶ τὸ γάλιον τῆς τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου περὶ ἐμὲ διαθέσεως. ἐπεὶ οὖν ἡ ἀποστολὴ τῶν πατρικίων οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς γενομένη, ἀπεπέμπετο ἄπρακτος, αὐτὸς ἐκεῖνος ὁ φιλάνθρωπος καὶ ἀγαθὸς ἡμῶν βασιλεὺς πρὸς ἡμᾶς παραγεγονὼς πολλοῖς λόγοις τὴν ἀνάγκην ἐπήγαγεν. ἃ μὲν οὖν ἐλαλήθη τότε, καὶ οἷς ἔπεισεν ἡμᾶς κατανεῦσαι, οὐ τοῦ παρόντος λέγειν καιροῦ. πλὴν πάντων συμφωνησάντων καὶ τῶν τριῶν ἀρχιερατικῶν θρόνων ταῖς συνοδικαῖς αὐτῶν ἡμᾶς παρακαλεσάντων ψήφοις· ἔτι δὲ καὶ τῶν ἐμπροτέρων γραμμάτων, ὧν ὁ ἁγιώτατος πάπας Ἰωάννης παραπεμψάμενος πρὸς τὸν φιλόχριστον καὶ ὑψηλὸν βασιλέα ἡμῶν, ἐπὶ πᾶσιν αἰτήσεσιν αὐτοῦ κατανεύειν ὑπισχνουμένων, ἀνήλθομεν εἰς τὸν θρόνον τοῦτον. πρῶτον μὲν ἀφορῶντες εἰς τὸ ἔλεος τοῦ Θεοῦ καὶ τὴν εὐσπλαγχνίαν αὐτοῦ. ἔπειτα δὲ, τ' ἀληθὲς εἰπεῖν, καὶ τῷ παραδόξῳ τῆς μεταβολῆς τῶν γεγονότων ὥσπερ καταπλαγέντες τὸν νοῦν, καὶ θεομαχεῖν τὸ ἀντιλέγειν ἡγούμενοι· δεύτερον δὲ, καὶ εἰς τὴν διάθεσιν τοῦ ἁγιωτάτου πάπα Ἰωάννου, καὶ τὸ φιλάνθρωπον καὶ φιλοδίκαιον· εἰδότες ὅτι χαίρει καὶ στέργει τῇ ἑνώσει τῶν τοῦ Θεοῦ ἐκκλησιῶν καὶ τῇ ὁμονοίᾳ τοῦ χριστιανικοῦ λαοῦ. οὕτω δὴ οὕτω τὰ καθ' ἡμᾶς, ὡς οἱ παρόντες πάντες συνεπίστανται, λέγομεν.

Ἡ ἁγία σύνοδος εἶπεν· οὕτω γέγονεν, ὡς διηγήσατο ὁ τοῦ Θεοῦ ἀρχιερεὺς καὶ ποιμὴν ἡμῶν. καὶ πολλὰς θλίψεις ὑπέμεινεν· ἀλλ' ὁ Θεὸς πάσας διεσκέδασε, καὶ παραδόξως ἀποκατέστησεν ἡμῖν τὸν ἀρχιερέα ἡμῶν.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδυνάλις εἶπε· Φλαυιανὸν τὸν Κωνσταντινουπόλεως, Ἰωάννην τὸν Χρυσόστομον, Κύριλλον τῶν Ἱεροσολύμων, καὶ Πολυχρόνιον ὁμοίως, ὡς καὶ ἡ ὑμετέρα ἐπίσταται ἁγιωσύνη, ἡ ἁγία τῶν Ῥωμαίων ἐκκλησίᾳ τῶν οἰκείων θρόνων ἀποδιωχθέντας, ἰδίᾳ ἐξουσίᾳ πάλιν ἀποκατέστησε. καὶ ὁ ἅγιος Γρηγόριος ὁ διάλογος τὸν Δαλματίας ἀποδιώξας ἐπίσκοπον διὰ συκοφαντίαν τινὰ, πάλιν εἰς τὸν ἴδιον θρόνον ἀποκαθέστησε. καὶ τοῦ πάπα Νικολάου τὸν εὐλαβέστατον Ζαχαρίαν καθελόντος, πάλιν ὁ πάπας Ἀδριανὸς τὸν οἰκεῖον θρόνον ἀπέδωκεν, ὃν καὶ νῦν ὁ ἁγιώτατος πάπας Ἰωάννης βιβλιοθηκάριον ἐποίησεν. οὐκ ἔστιν οὖν οὗτος κατώτερος ἢ τοῦ πάπα Ἀδριανοῦ, ἢ τοῦ πάπα Νικολάου, εἰς τὸ τὰ συμφέροντα τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ οἰκονομεῖν.

Ἡ

Ἡ ἁγία σύνοδος εἶπεν· ἐν τούτῳ γὰρ πλέον δοξάζεται μιμούμενος Χριστὸν τὸν πρῶτον ἀρχιερέα, ὃς ἐλθὼν ἐπὶ γῆς ἔλυσε πάντα σύνδεσμον ἀδικίας, καὶ κατήλλαξε τὸ ἀνθρώπινον γένος, ἐκπεπολεμημένον χρόνοις πολλοῖς, πρὸς τὸν πατέρα αὐτοῦ, ἑνώσας τὰ ἐπίγεια τοῖς οὐρανίοις. οὕτω καὶ αὐτὸς μεσίτης γεγονὼς ἀγαθὸς καὶ χριστομίμητος, προθυμίαν μεγάλην κατεβάλετο καταλλάξαι τῷ οἰκείῳ ἀρχιερεῖ τοὺς ποτὲ διαστάντας καὶ πλανηθέντας ἐξ αὐτοῦ.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε· τοιαῦτα παραδείγματα ἔχων ὁ ἁγιώτατος πάπας Ἰωάννης ἀπέδωκε τῇ ἁγιωσύνῃ ὑμῶν τὸν οἰκεῖον θρόνον, καὶ ἐγκαλίζεταί σε ὡς ἀδελφὸν καὶ συλλειτουργὸν, ἀσπαζόμενος καὶ τὴν πρός σε κοινωνίαν. καὶ γνώτω πᾶσα ἐκκλησία, ὅτι ἀδελφὸς εἶ γνήσιος τοῦ οἰκουμενικοῦ πάπα, ὡς οἱ πρὸ ὑμῶν πάντες ὀρθόδοξοι ἀρχιερεῖς τε καὶ ἱερεῖς. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· χάριν ἀναπέμπομεν τῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ πρώτῳ καὶ μεγάλῳ ἀρχιερεῖ, καὶ δὴ καὶ τῷ ἁγιωτάτῳ πάπα Ἰωάννῃ. κατὰ πάσης μὲν σχισματικῆς ἱσταμένῳ πλάνης, πᾶσαν δὲ ὁμόνοιαν τῶν ἐκκλησιῶν ἀσπαζομένῳ, καὶ ἀφελόντι τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἀπὸ τοῦ κλήρου τῶν δικαίων.

Καὶ δὴ πάσης τῆς ἱερᾶς συνόδου ἐπὶ τοῖς λαληθεῖσιν ἀσμενισάσης, καὶ εὐφημίας εἰς Φώτιον τὸν ἁγιώτατον πατριάρχην ἀνακηρυξάσης, οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· εἰ δοκεῖ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, ἀναγνωσθήτωσαν καὶ αἱ τῶν ἀνατολικῶν θρόνων ἐπιστολαί· ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτωσαν. καὶ δὴ εἰσελθὼν Κοσμᾶς ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἀποκρισιάριος Μιχαὴλ τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας, ἐπιφερόμενος καὶ τὰς δι' αὐτοῦ κομισθείσας ἐπιστολὰς, ἐπέδωκε Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ. ἐξ ὧν μίαν λαβὼν Φωτεινὸς ὁ θεοφιλέστατος διάκονος καὶ χαρτοφύλαξ, τὴν πρὸς τὸν εὐσεβέστατον βασιλέα, ἀνέγνω.

Τοῖς θεοπροβλήτοις βασιλεῦσι, Βασιλείῳ, Λέοντι, καὶ Ἀλεξάνδρῳ, Μιχαὴλ ἀρχιεπίσκοπος Ἀλεξανδρείας.

ΠΑῦσα μὲν ἀνθρώπων διάνοια σοφίᾳ καὶ συνέσει πυκαζομένη, πᾶσα τὲ γλῶσσα εὔλαλος ὄντως καὶ εὔστροφος, καὶ πρὸς ταχύτητα λόγων πάντα τὸν βίον μελέτην πεποιημένη· νοῦς τε ἀνθρώπων ἀπαθὴς καὶ ἐλεύθερος, καὶ βιωτικῶν φροντίδων ἀμιγὴς καὶ ἀθόλωτος, βασιλέων πραότατε καὶ σοφώτατε, οὐκ ἐξαρκέσουσιν, ἴσμεν σαφῶς, τῷ βουλομένῳ παντὶ τῶν σῶν κατορθωμάτων ἐγκωμιάζειν τὸ μέγεθος, καὶ τοῖς πράγμασιν ἐξισοῦν τὰς εὐφημίας ἐπειγομένῳ. οὐ μόνον ὅτι ἀγρύπνῳ τῷ τῆς ψυχῆς ὄμματι, ἀόκνῳ τε, καὶ ἀκαμάτῳ ποδὶ ἄνω καὶ κάτω πανταχόσε γῆς καὶ θαλάσσης περινοστῶν, τὰ βάρβαρα καὶ ἔκφυλα ἔθνη, ἃ μὲν δι' ἑαυτοῦ, ἃ δὲ διὰ τῶν σῶν ἀμάχων καὶ ἀνανταγωνιστῶν ἐκστρατευμάτων ἀνακαθαίρων, πολλὴν ἐντεῦθεν πρυτανεύη τῷ ὑπηκόῳ τὴν σωτηρίαν· ὡς καὶ πρὸς ἀγάπην τοῦτο αὐθαίρετον μονιμώτερον ἔχειν αὐτόθεν καὶ ἀσφαλέστερον. οὐ δ' ὅτι ὡς ἰστὸν ἐπ' ὄρους, καὶ ὡς σημαίαν ἐπὶ βουνοῦ, κατὰ τὴν τοῦ προφήτου φωνὴν, ῥαθυμίᾳ καὶ ὀλιγωρίᾳ τῶν ὑποβεβασιλευκότων πλανώμενον, καὶ ζητοῦν ἀνάπαυσιν· τοῦτο εὑρὼν καὶ τῆς σῆς ἐπιμελείας δεόμενον, αὐτὸς ἐπὶ τῶν ὤμων τῆς σῆς εὐσπλαγχνίας ἀναλαβὼν εἰς τόπον χλόης, καὶ ἐφ' ὕδωρ ἀναπαύσεως τῆς σῆς κραταιᾶς ἐπικουρίας κατεσκήνωσας. καὶ πιότατον ἐκ παρειμένου καὶ ἐκλελοιπότος αὖθις ἀπεδείξας. ὡς καὶ ἔχειν πρὸς Θεὸν παῤῥησίαν καὶ λέγειν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. καὶ, οὓς ἔδωκάς μοι, ἐφύλαξα. ἀλλ' ὅτι τὸ μέγα καὶ ἀστασίαστον Χριστοῦ σῶμα, τὴν ἐκκλησίαν λέγω, τὸ ἔθνος τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ὑπὲρ οὗ κλίνας οὐρανοὺς κατέβη ὁ ποιμὴν ὁ καλὸς Χριστὸς ὁ Θεός, καὶ τὸ ἴδιον αἷμα ἐθελουσίως ἐξέχεε· καὶ τῶν παγίδων ἐκσπάσας τοῦ πονηροῦ, τῷ Θεῷ καὶ πατρὶ δῶρον φέρων προσήγαγε. τοῦτο ὑπὸ φιλαρχίας, εἰπεῖν δὲ μᾶλλον ἐκ βασκανίας καὶ πάλης τοῦ δαίμονος, καὶ ἀνδρῶν τὸν τοῦ Θεοῦ φόβον ἠθετηκότων διασπασθὲν καὶ λελυμασμένον, ὡς ἄλλον ἄλλης δόξης ἀντέχεσθαι, μὴ φέρων ὁρᾷν· αὖθις εἰς μίαν σύμπνοιαν καὶ θέλημα ἐν κατήλλαξάς τε καὶ συνεβίβασας, καὶ εἰς Χριστὸν τὸν ἀρχιποιμένα συνήρμωσας καὶ συντέθεικας. καὶ ἔδειξας σεαυτὸν οὐ μόνον τῶν φθειρομένων, ἀλλὰ καὶ τῶν ἐνεστώτων καὶ μενόντων πλέον ὡς εὐσεβὴς καὶ φιλόθεος ἔχειν τὴν σπουδήν τε καὶ ἐπιμέλειαν. καὶ πληθῆναι τῶν σῶν καλῶν, οὐ τὴν ὑπὸ Ῥωμαίους μόνον ἀρχὴν, ἀλλὰ σχεδὸν ὅσην ὁ ἥλιος φθάνων ὁρᾷ, καὶ τοῦ οἰκείου φωτὸς φαιδρὰν ἐνίησι τὴν λαμπηδόνα. ἰδοὺ γὰρ καὶ ἡμῖν τοῖς πόῤῥω που ἀπωκισμένοις τῆς σῆς ἐνθέου γαληνότητος, μετὰ πλείστην ὅσην καὶ χρονίαν διὰ Χριστὸν ἀποδημίαν, ἐπέστη Κοσμᾶς ὁ εὐλαβέστατος μοναχός, καὶ πρεσβύτερος, ὁ Μάρκου τοῦ εὐαγγελιστοῦ ζηλωτὴς, καὶ μαθητὴς ἀληθέστατος, εὐαγγελίοις εὐκτείοις καὶ θυμήρεσιν ἀγωγίμοις καὶ ἐφετοῖς ἡμᾶς δεξιούμενος· ὡς ὅτι ἡ παναγία καὶ ὁμοούσιος Τριὰς, ἡ πάντα τὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγοῦσα, καὶ συντηροῦσα ἐν ἡλίοις τρισὶν ὁμοφυέσι καὶ ὁμογνώμοσι, σοὶ τῷ παναγάθῳ βασιλεῖ, καὶ Λέοντι, καὶ Ἀλεξάνδρῳ, τοῖς υἱέσι καὶ ὁμόφροσι τῇ εὐσεβείᾳ, τὸ Ῥωμαϊκὸν φῦλον ἰθύνειν ἐκέλευσε, νίκαις ἀεὶ μεγαλύνουσα, καὶ τοὺς ἀρνητὰς τοῦ παναγίου ὀνόματος αὐτῆς ὑπὸ τοὺς πόδας αὐτῶν τιθεῖσα, τοὺς αὐχένας συμπατεῖσθαι ὑπὸ τῶν τιμίων καὶ ἁγίων ποδῶν αὐτῶν ἐδικαίωσε· ταπεινώσασα εἰς γῆν τὰ φρυάγματα αὐτῶν, καὶ ἀφανίσασα· ἐφ' οἷς ἡσθέντες ἡμεῖς, καὶ τῶν κακῶν περικύκλῳ ἀνιαρῶν ἀναπνεύσαντες, πανάγαθοι καὶ θεόστεπτοι ἡμῶν βασιλεῖς, χεῖρας εἰς οὐρα-

Ἡσαΐ. 30 17.

Ψαλ. 22.

Ἡσαΐ. 8. 18

Ἰωάν. 17.

Ψαλ. 17. 10

ρανοὺς ἄραντες ὁμοθυμαδὸν, τῇ ὑπερουσίῳ καὶ παναγίᾳ τριάδι τὴν πρέπουσαν εὐχαριστίαν καὶ κατὰ τοῦτο ἀπονείμαντες, αἰτοῦμεν τὴν αὐτῆς ἀγαθότητα φυλάττειν τὴν βασιλείαν ὑμῶν εἰς αἰῶνα καὶ ἐπ' αἰῶνα, καὶ ἔτι· καὶ ποιῆσαι τὰς ἡμέρας ὑμῶν ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, καὶ ἐνισχύσαι ὑμᾶς, ὥστε διασκορπίζειν ἔμπροσθεν ὑμῶν καὶ τῶν ἐκστρατευμάτων ὑμῶν ἔθνη τὰ τοὺς πολέμους θέλοντα, χαριζόμενος ὑμῖν μετὰ τῶν ἐπιγείων καὶ τὰ οὐράνια ἀγαθὰ, ἅμα Εὐδοκίᾳ τῇ πανευσεβεστάτῃ Αὐγούστῃ, καὶ τῶν θεοσδότων κλάδων αὐτῆς, τῶν Πορφυρογεννήτων, πρεσβεβούσης τῆς ὑπεραγίας θεομήτορος, καὶ τῶν θεοειδῶν ἀγγέλων, καὶ πάντων ἁγίων. ἀμήν.

Ψαλ. 88.

Ψαλ. 67.

Ἀγαθὸν δὲ γέγονε μέγιστον, Δέσποτα, ὅτι τὸ τέκνον ἡμῶν, ὁ πρεσβύτερος Κοσμᾶς, ἐπιστεύθη τὴν διακονίαν ταύτην, ἄνθρωπος ὢν παντοῖος καὶ διαφόρους γλώσσας πεπαιδευμένος, καὶ εἰδὼς πραγμάτων ἀντέχεσθαι, καὶ ἱκανὸς φυλάττειν βασιλέων μυστήρια. καὶ εἰ ἔδοξε τῇ ἐκ Θεοῦ βασιλείᾳ σου, δέσποτα, δέκα μητροπολίτας ἀποστεῖλαι πρὸς τὴν ἀναξιότητα ἡμῶν, οὐκ ἂν οὕτως προετέθημεν εἰς τὴν ἀγάπην τοῦ ἁγιωτάτου Φωτίου καὶ συλλειτουργοῦ ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου. καὶ πολλὰ βιασάμενοι τὸν πρεσβύτερον Κοσμᾶν σταθῆναι πρὸς ἡμᾶς διὰ τὰς συνθήκας τὰς πρὸς τὴν βασιλείαν σου καὶ τὸν οἰκουμενικὸν πατριάρχην τὸν ἁγιώτατον Φώτιον, οὐκ ἠδυνήθημεν πεῖσαι, φυλάττειν τὴν ἀλήθειαν ἀκαινοτόμητον σπουδὴν ποιούμενον. ὅτι μηδὲ ὁμοιοῦσθαι Ἰωσὴφ τῷ ἐπαράτῳ ἠβουλήθη, ψευσαμένῳ ἐνώπιον τῆς ἁγίας βασιλείας σου, ὅτι ἀρχιδιάκονός ἐστι τοῦ κυρίου Μιχαὴλ τοῦ πατριάρχου Ἀλεξανδρείας. καὶ μαθὼν ὁ πατριάρχης τὴν κακίαν αὐτοῦ, ἀνεθεμάτισεν αὐτόν, ὁμοίως δὲ καὶ ὁ δυσσεβὴς Ἠλίας, καὶ αὐτὸς τολμήσας ἐξαπατῆσαι τοὺς ὄχλους, καὶ εἰπεῖν ὅτι σύγκελλός ἐστι Σεργίου τοῦ πατριάρχου Ἱεροσολύμων· καὶ ἐλθὼν ὧδε λεπρωθεὶς, τὴν πονηρὰν αὐτοῦ κατέστρεψε ζωήν. καὶ τούτοις ὁμοιωθῆναι ὁ πρεσβύτερος Κοσμᾶς μὴ θέλων μεῖναι πρὸς ἡμᾶς οὐκ ἠνέσχετο. καὶ ταῦτα μὲν ἐν τούτοις. τὸ δὲ κεφάλαιον τῆς ἡμετέρας εὐχαριστίας, καὶ τὸ ὄφλημα τῆς τοσαύτης περιχαρείας, ἔνθεν ἐροῦμεν. ἐπιστώσατο ἡμᾶς ὁ αὐτὸς εὐλαβέστατος Κοσμᾶς ὁ πρεσβύτερος, δέσποτα, ὅτι ἡ κραταία σου βασιλεία ἀπέδωκε τῇ ἐκκλησίᾳ τὴν δόξαν αὐτῆς· φαμὲν δὴ Φώτιον τὸν ἁγιώτατον πατριάρχην, τὸν φωτοειδὴ καὶ φωτοποιὸν ἄνθρωπον, τῆς ἱερωσύνης τὴν τελειότητα, τὸν γνώμονα τῆς ἀληθείας, τὸν ἀδιάστροφον, τῆς ἀρετῆς τὸν κανόνα τὸν εὐθύτατον, τῆς σοφίας τὸ ἐνδιαίτημα, τὸ κειμήλιον τῶν καλῶν τὸ σεβάσμιον, τῆς ἐλεημοσύνης τὴν χεῖρα τὴν διαρκῆ, τῶν ξένων τὸ καταφύγιον· τοῦτον καὶ αὖθις ἐπὶ τὴν λυχνίαν τῆς ἀρχιερωσύνης ἀναβιβάσασα τέθεικε, τοῦ καταυγάζειν λόγοις σοφίας καὶ γνώσεως τῆς ἐκκλησίας τὸ πλήρωμα. τοῦτον γὰρ ἡμεῖς τοιοῦτον ὄντα πρὸς Μιχαὴλ τοῦ ἐν μακαρίᾳ τῇ λήξει παρειληφότες ἔχομέν τε καὶ ἔχομεν συμποιμένα τε καὶ συλλειτουργὸν, καὶ ἔχειν εὐχόμεθα μέχρι τῆς ἐσχάτης ἡμέρας καὶ ἀναπνοῆς ἡμῶν. καὶ ὅστις οὐ κοινωνεῖ αὐτῷ καὶ ἀποδέχεται αὐτὸν πατριάρχην ἐννομώτατον, ἔστω ἡ μερὶς αὐτοῦ μετὰ τῶν θεοκτόνων. ἡμεῖς γὰρ παντὶ ἀνδρὶ καὶ πάσῃ ψυχῇ παραινοῦντες συμβουλεύομεν, διὰ τοῦ εὐτελοῦς ἡμῶν γράμματος, καὶ ἐντελλόμεθα κοινωνεῖν τῷ ἀνδρὶ δίχα πάσης κακοβουλίας, καὶ ῥυπαρᾶς συνειδήσεως. ὁ γὰρ αὐτῷ κοινωνῶν, δῆλον ὅτι καὶ ἡμῖν κοινωνεῖ. εἰ δὲ πειραθεῖεν τινὲς ἀπορρῆξαι ἑαυτοὺς τοῦ σώματος τῆς ἐκκλησίας, ἔστωσαν οἱ τοιοῦτοι τῆς Χριστιανῶν ἐλπίδος ἀλλότριοι.

Ἔτι δὲ τοῦτο προσθεῖναι καλὸν, δέσποτα, ὅτι εἰ κλίνοι κύριος ὁ Θεὸς τὴν ἁγίαν σου ψυχὴν, καὶ θελήσειας τινὰ εὐλογίαν ποιῆσαι εἰς τοὺς ἁγίους τόπους τούτους, ὡς καὶ οἱ πρὸ σοῦ βασιλεῖς, μὴ δι' ἄλλου, ἀλλὰ διὰ τοῦ πρεσβυτέρου Κοσμᾶ τὴν τοιαύτην εὐλογίαν ἐξαποστεῖλαι προθυμήθητι, εἰς γὰρ ἄλλον οὐ πληροφορούμεθα. εἰ γὰρ μετ' αὐτοῦ πέμψαι καὶ ἄλλον τινὰ προηρήμεθα, ὑπὸ τοῦ φόβου τῶν ἐθνῶν ἀνεκόπημεν. ὁ δὲ τὰ πάντα δημιουργήσας Θεὸς, καὶ καθεστῶν βασιλεῖς εἰς σωτηρίαν τῶν ὑπὸ χεῖρα, ὁ καί σε τὸν πιστότατον βασιλέα ἀφορίσας ἐκ κοιλίας μητρὸς, καὶ διαδήματι καὶ λίθοις τιμίοις καταστέψας τὴν ἁγίαν σου κεφαλὴν, αὐτὸς κρατῆσαι τῆς χειρὸς τῆς δεξιᾶς σου, καὶ τῶν σῶν υἱῶν καὶ συναυτοκρατόρων· καὶ τῇ ἰδίᾳ βουλῇ ὁδηγήσαι ὑμᾶς, σὺν τῇ θεοστέπτῳ Αὐγούστῃ, καὶ τοῖς πορφυρογεννήτοις, χαριζομένοις ὑμῖν σὺν τοῖς ἐπιγείοις καὶ τὰ οὐράνια. γένοιτο. ἀμήν.

Ψαλ. 72.

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῶν πρὸς τὸν φιλόχριστον ἡμῶν βασιλέα γραμμάτων, ἡ ἁγία σύνοδος ἐξεβόησεν· ἤδειμεν ἡμεῖς, ὡς οἱ τῆς ἀνατολῆς θρόνοι οὐδέποτε διέστησαν τῆς τοῦ ἁγιωτάτου πατριάρχου Φωτίου κοινωνίας. διὸ καὶ τὴν παρ' αὐτῶν προσενεχθεῖσαν ψῆφον, καὶ νῦν δὲ ἐπικυροθεῖσαν ἀσμένως ἀποδεχόμενοι, τοὺς μὴ οὕτω φρονοῦντας ὡς ἀλλοτρίους Θεοῦ ἡγούμεθα· πλὴν ἀκουσόμεθα καὶ τὴν πρὸς τὸν ἁγιώτατον ἡμῶν πατριάρχην ἐπιστολήν. καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος, ἀνέγνω.

Τῷ τρισμακαρίστῳ συλλειτουργῷ ἡμῶν Φωτίῳ πατριάρχῃ Κωνσταντινουπόλεως, Μιχαὴλ ὁ Ἀλεξανδρείας,

Καὶ λόγοις ἀνέμβατον, καὶ λογισμοῖς ἀνέφικτον, μεγαλεῖον τῆς τοῦ μεγάλου ποιμένος Χριστοῦ ἀγαθότητος, ἀτρεκῶς οἶδε πᾶσα φιλόθεος ψυχή· ὅτι τὲ καθ' ἦμαρ καὶ κατὰ μῆνας καὶ κατὰ πᾶσαν λυκαβάντων κυκλικὴν περίοδον ἐπικουρεῖ καὶ οἰκονομεῖ τὸ πλάσμα τῶν ἰδίων αὐτοῦ χειρῶν, καὶ τὰς ἐκκλησιαζομένας αὐτοῦ χριστιανῶν συναγωγὰς θεραπεύει καὶ ἀγαθοποιεῖ, καὶ τοὺς ὀδυνωμένους παραμυθεῖται, καὶ τοὺς ἱδρυμένους οὐ θέλει καταπεσεῖν, ἀντὶ τούτων

πάν-

πάντων οὐκ ἀρκοῦμεν ἐξαγορεύειν τῆς χρηστότητος αὐτοῦ τὸ ὑπερκείμενον μέγεθος. καὶ γὰρ ἀπὸ τῶν φίλων ἡμῖν λογίων τῆς σῆς τελεταρχικωτάτης ἱερωσύνης ταῦτα ἐνηκουτισμένοι ὥσπερ πατρικὸν κλῆρον τοῦ πρὸ ἡμῶν τὴν τελεταρχικωτάτην ἱερωσύνην ποθήσαντες, καὶ ἡμεῖς τὰ αὐτά σοι συνανυμνοῦμεν τὸ θεῖον, καὶ εὐχαριστοῦμεν διὰ σοῦ τὰ εἰς σὲ φθάσαντα τῆς αὐτοῦ ἀγαθότητος τεχνουργήματα. πάντα γὰρ ἀναδιδαχθέντες παρὰ τοῦ ἡμετέρου Κοσμᾶ τοῦ πρεσβυτέρου τὰ περὶ σὲ, τῆς μὲν ἐπικρατούσης ἡμῶν τὴν ζωὴν ταλαιπωρίας ἀπὸ τῶν κύκλῳ μικρὸν ἀνεπνεύσαμεν, ἀντὶ χαρᾶς ἄλλης τὴν σὴν ἡγησάμενοι χαράν· ἀλλ' ὥσπερ ἐν ἡμῖν γέγονεν, οὕτω καὶ ἐν ὑμῖν γενέσθαι παρακαλοῦμεν· ἵνα τῆς χαρᾶς ἐπιγενομένης ἀμνημονήσῃς τῶν συμβεβηκότων σοι λυπηρῶν.

Ἐπιστώσατο γὰρ ἡμᾶς ὁ ἐπιστοληφόρος Κοσμᾶς, ὅτι μετὰ τῶν ἄλλων αὐτοῦ ἀγαθῶν ὁ κράτιστος αὐτοκράτωρ μημητὴς ὑπάρχων τοῦ χαρισαμένου αὐτῷ τὴν βασιλείαν, ἀπέδωκεν ὡς ἴδιον κόσμον τῇ νύμφῃ Χριστοῦ ἐκκλησίᾳ, καὶ εἰρήνην ἐβράβευσεν, ἐν αὐτῇ πᾶσαν λύσσαν αἱρετικὴν καὶ σχισματικὴν ἀποδιώξας, καὶ τοὺς ἐν μακρᾷ ταλαιπωρίᾳ παραμυθησάμενος· καὶ τὴν ὀλιγοψυχίαν ἐξορίσας, εἰς ἓν συνήγαγεν ἅπαντας. καὶ τίς οὐκ ἐπαινέσει τὸ τοιοῦτον ἔργον ἀληθῶς εἶναι βασιλικώτατον, φωτώνυμε καὶ φωτόεργε, καὶ τῆς ἐκκλησίας Θεοῦ ἀρχιποιμὴν; σὺ γὰρ ὄντως ὁ φωτοποιὸς ἄνθρωπος, ὁ τῆς ἱερωσύνης τελειωτὴς, ὁ γνώμων τῆς ἀληθείας, ὁ ἀδιάστροφος τῆς ἀρετῆς κανὼν, τὸ τῆς γνώσεως καὶ τῆς σοφίας ἐνδιαίτημα, τὸ κειμήλιον τὸ σεβάσμιον, τῆς ἐλεημοσύνης ἡ χεὶρ ἡ διαρκὴς, τῶν ξένων τὸ καταφύγιον, τῶν ἐν συμφοραῖς ἡ παράκλησις, τὸ πάντων τῶν καλῶν καταγώγιον. τοιοῦτον γάρ σε ὄντα καὶ αὖθις ἐπὶ τὴν λυχνίαν τῆς ἱερωσύνης ἀναβιβάσας διὰ τοῦ
Ψαλ. 59. θεράποντος αὐτοῦ βασιλέως ὁ Θεὸς, ἰάσατο τὰ τῆς ἐκκλησίας αὐτῆς συντρίμματα. καταυγάζεις γὰρ λόγοις σοφίας καὶ γνώσεως ταύτης τὸ πλήρωμα. καὶ γὰρ καὶ ἡμεῖς τοιοῦτον ὄντα σὲ πρὸς Μιχαὴλ τοῦ ἐν μακαρίᾳ τῇ λήξει, πρὸ ἡμῶν τῶν τοῦ παμμακαρίστου Μάρκου τοῦ εὐαγγελιστοῦ ἰθύνοντος θρόνον, παρειληφότες, ἔχομεν καὶ ποιμένα καὶ συλλειτουργὸν, καὶ ἔχειν εὐχόμεθα μέχρι τῆς ἐσχάτης ἡμέρας καὶ ἀναπνοῆς ἡμῶν· καὶ πᾶσι δὲ τοῖς εἰκαίως σκανδαλιζομένοις ἐπὶ τῇ ἀρχιερωσύνῃ ἐξασφαλιζόμεθα, καὶ λαμπρᾷ τῇ φωνῇ κηρύττομεν, ἅπερ ἐνώπιον τῆς καθ' ἡμᾶς συνόδου ἐξεθέμεθα, συναθροισθέντων δηλονότι τῶν ἄγχιστα ἡμῶν μητροπολιτῶν καὶ ἐπισκόπων, ὅσους ἡ ταλαιπωρία ἡμῶν τέως ἠδυνήθη συναγαγεῖν· λέγω δὴ τοὺς περὶ Ζαχαρίαν Ταμιανθίου, καὶ Ἰάκωβον Βαβυλῶνος, Στέφανον Θηβῶν, καὶ Θεόφιλον Βάρη, ἐκκρίτους μητροπολίτας, σὺν καὶ ἑτέροις ἐπισκόποις οὐκ ὀλίγοις. ἅπερ οὖν ἐπὶ τῆς καθ' ἡμᾶς συνόδου ταύτης ἐξεφωνήθη, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ταῦτα εἰσί. παραινοῦμεν παντὶ ἀνδρὶ, καὶ πάσῃ ψυχῇ, καὶ συμβουλεύομεν, καὶ ἐγγράφως, καὶ ἀγράφως ἐντελλόμενοι, κοινωνεῖν ὑμῖν, δίχα πάσης κακοβουλίας καὶ δυστροπίας καὶ ῥυπαρᾶς συνειδήσεως. καὶ γὰρ ὁ ὑμῖν κοινωνῶν, δῆλον ὅτι καὶ ἡμῖν κοινωνεῖ. εἰ δὲ πειραθεῖεν τινὲς ἀποσχίσαι ἑαυτοὺς τῆς ἁγιωτάτης σου ἐκκλησίας, ἥτις ἐστι σῶμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔστωσαν οὗτοι τῆς χριστιανῶν ἐλπίδος ἀλλότριοι. καὶ εἴτις οὐ κοινωνεῖ σοι, καὶ οὐκ ἀποδέχεταί σε πατριάρχην εὐδοκίᾳ Θεοῦ προκεχειρισμένον, ἔστω ἡ μερὶς αὐτοῦ μετὰ τῶν θεοκτόνων. ἔτι δὲ καὶ ἐπ' ὄρους ἀναβὰς, ὑψώσω τὴν φωνὴν ἐνώπιον ἁπάντων τῶν ἀκουόντων. ὁ μὴ κοινωνῶν τῷ ἁγιωτάτῳ Φωτίῳ πατριάρχῃ τῆς βασιλίδος Κωνσταντινουπόλεως καὶ συλλειτουργῷ ἡμῶν, ἀνάθεμα καὶ κατάθεμα ἔστω ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς Τριάδος. ὁ ἀποβαλλόμενος τὴν χειροτονίαν Φωτίου τοῦ συλλειτουργοῦ ἡμῶν, μὴ σχῇ μέρος μηδὲ κοινωνίαν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. ὁ διστάζων τῇ προχειρίσει Φωτίου τοῦ πατριάρχου, ἀλλότριος ἔστω καὶ ἀπόβλητος τοῦ Θεοῦ καὶ πατρός. ὁ κατηγορῶν Φωτίου τοῦ ἀρχιερέως Θεοῦ, ἕνεκεν προχειρίσεως Ἰώβ. 3. 5.
καὶ χειροτονίας αὐτοῦ, ἐπιπέσει ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος· καὶ λεπρωθείη ὡς Νεεμὰν ὁ Σύρος· καὶ κληρονομήσει τὴν κατάραν τοῦ ἀδελφοκτόνου Κάϊν· καὶ ἔστω κλονούμενος καὶ τρέμων ἐπὶ τῆς γῆς.

Ἡμεῖς δὲ, ὦ ἱεροκεφαλὴ, καὶ ἀρχιποίμην τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ, ἀκολούθως τῷ πρὸ ἡμῶν τῆς Αλεξανδρείας ἱεραρχήσαντι μακαρίτῃ Μιχαὴλ, καὶ συναινοῦμεν καὶ συνευδοκοῦμεν σοι ἐν πᾶσι, καὶ ἀποδεχόμεθά σου τὴν ἀρχιερατικὴν τελειότητα, καὶ τετυπωμένον ἔχομεν τὸ ὄνομά σου ἐν τοῖς ἱεροῖς διπτύχοις μέχρι αἰῶνος. χαρίσαιτο οὖν Θεός σοι τὸν θῶκόν σου χρόνοις μακροῖς, καὶ ἑνώσαι τὰς ἐκκλησίας σου ἐν ταῖς ἡμέραις σου, καὶ διασκεδάσαι τὰς βουλὰς τῶν κατ' αὐτῶν πονηρὰ βουλομένων, καὶ χαρίσαιτο σοι κύριος ὁ Θεὸς μακρότητα ἡμερῶν, ὑποταγὴν, ὑπακοὴν, διδαχὴν, καθαριότητα, ἁγνείαν, καὶ χάριν. αὐτὸς γὰρ καθιστᾷ ποιμένας εἰς σωτηρίαν τῶν ὑπὸ χεῖρα. ὁ καὶ σὲ τὸν ἀρχιποιμένα καὶ ἱεράρχην ἀφορίσας ἐκ κοιλίας μητρός σου. αὐτὸς οὖν κρατήσαι τῆς χειρὸς τῆς δεξίας σου· καὶ ἐν τῇ βουλῇ αὐτοῦ ὁδηγήσαι σε, καὶ δοξάσαι σε. οἱ δὲ κατὰ σοῦ λυσσήσαντες, ἀδελφὲ καὶ συλλειτουργὲ ἡμῶν, Ψαλ. 72.
Ἠλίας, φημὶ, καὶ Ἰωσὴφ ὁ μάταιος, ἐναπέθανον τῇ ἀνοσιουργῷ γνώμῃ αὐτῶν θάνατον αἰώνιον. τῆς θείας, οἶμαι, δίκης αὐτὸν ἐπεξελθούσης, (ὡς ἐρωτῶν ἀναμαθεῖν δυνήσῃ.) ἐπειδὴ τοῦ οἰκείου σφάλματος οὐκ ᾔτησαν συγγνώμην. ὁ δὲ ἕτερος αὐτῶν Θωμᾶς ὁ Βηρυταῖος ἐπέγνω τὸ πταῖσμα ἑαυτοῦ, καὶ αἰτήσαντα συγγνώμην καταξιώσαμεν αὐτὸν συγχωρήσεως· ὑπὲρ οὗ καὶ νῦν πρεσβεῦσαι παρεκλήθημεν πρὸς τὴν σὴν ἀδελφότητα, μεσίτας ἡμᾶς τοῦ ἀνδρὸς ἑαυτοῦ προβαλλομένου, ἀμνημονῆσαι σοῦ τὴν ἔνθεον γνώμην τῶν παρ' αὐτοῦ εἰς σὲ ποτὲ πεπαρωνημένων, ὡς αὕτη ἡ τοῦ ἀνδρὸς πρεσβευτικὴ μετάνοια δηλοῖ. ἣν ταῖς παρούσαις ἡμῶν συλλαβαῖς ὑπετάξαμεν.

Τὰ

Τὰ δὲ ἀποσαλέντα ἡμῖν παρὰ τῆς σῆς περιβοήτου ἁγιώτητος διὰ τὸ πολλάκις ῥηθέντος μαθητὴν ἡμῶν ἱερατικὰ κατὰ τὴν ποιότητα ὑπὲρ ἐσήμανας, ἀπεδεξάμεθα. γνώριτόσοι κύριος ὁ Θεὸς ὀφειλέτης ὑπὲρ τῆς τοιαύτης διακονίας. γίνωσκε γάρ, ἀδελφέ, ὅτι τῷ πλείονι μέρει τὸν ἄδικον οἰκοῦμεν, ζῶντες ὡς οἱ νεκροί, διὰ τὴν τῆς τυραννίδος ἐπικράτειαν. εἰ γὰρ καὶ λόγῳ διαγράψαι τὰς καθεκάστου συμφορὰς βουληθείημεν, οὐκ ἰσχύσομεν. πλὴν τέως κἂν μικρά τινα διηγούμενοι, τῷ καὶ ἑτέρους ἔχειν συνίσορας τῆς καθ' ἡμᾶς συμφορᾶν τῆς πλείστης ὀδύνης κουφιζόμεθα. οὐ γὰρ * μόνῳ εἰπεῖν ἀληθῶς ζῶμεν καὶ ἀναπνέομεν Χριστῷ, τῷ καθεκάστου ἐπιῤῥωνύοντι καὶ ἀνδρίζοντι, ἀνθίστασθαι γενναίως κατὰ πάντων ἐπιπιπτόντων ἡμῖν κακῶν. τοῖς δὲ ἄλλοις ἅπασι μικρὸν λείπομεν ἀποτεθνήκαμεν· καὶ εἴποτε δάρεσον τῇ σῇ ἁγιωσύνῃ γένηται βλογίαν ἀποσείλαι ἐν τοῖς ἁγίοις τόποις τούτοις, ὡς καὶ οἱ πρὸ σοῦ ἱεράρχαι· μὴ διὰ τοὺς τυχόντων, ἀλλ' ἢ διὰ τὸ πρεσβυτέρου Κοσμᾶ, ἢ διὰ τοιούτου πίστου τινὸς τὴν βλογίαν ἐξαποστείλαι προθυμήθητι· ἠβουλήθημεν δὲ πέμψαι σὺν αὐτῷ καὶ ἕτερον ἀποστολικὸν ἡμῶν, ἀλλὰ διὰ τὸν φόβον τῆς ἐθνῶν ἐκωλύθημεν· θέλοντος δὲ καὶ αὐτοῦ πάλιν ὑποστρέψαι πρὸς ἡμᾶς, βδοκησάτω ἡ ἁγιωσύνη σου ἀκώλυτον αὐτὸν γενέσθαι.

Ἐμάθομεν δὲ διὰ σόματος αὐτοῦ τὰς ἀρετὰς τοῦ ἀνακτος. ὡς εἰσὶ συμπαθεῖς, ἐλεήμονες, σεμνοί, φιλόξενοι, φιλομόναχοι, πραεῖς, εἰρηνικοί, πάσας τὰς ἡμέρας αὐτοῦ ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ καθαρότητι ἀναλίσκουσι. καὶ ὑπὲρ τούτων ἁπάντων τεθαυμάκαμεν καὶ ὑπερυψώσαμεν αὐτούς, καὶ τρεῖς ὑπὲρ αὐτοῦ σωτῆρας πεποιήκαμεν, καὶ τῷ Θεῷ δεήσεις καὶ ἱκετηρίας προσηνέγκαμεν, ὑπὲρ τοῦ ἀνδραγαθημάτων αὐτοῦ. περισσοτέρως δὲ Θεὸς παράσχοι αὐτοῖς τὰ ἀγαθὰ, καὶ φυλάξαι τὴν βασιλείαν αὐτοῦ αἰωνίζουσαν, καὶ σὺν τοῖς ἐπουρανίοις ἀγαθοῖς χαρίσαιτο αὐτοῖς καὶ τὴν βασιλείαν τὴν οὐράνιον, καὶ ποιήσαι τὰς ἡμέρας αὐτοῦ, ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ, διασκορπίζων ἔμπροσθεν αὐτοῦ ἔθνη τὰ τοὺς πολέμους θέλοντα, ἀποδιδοὺς αὐτοῖς τοὺς ὅρους τῆς βασιλείας αὐτοῦ, καὶ καταβάλλει τὰ ἔθνη ὑποκάτω τοῦ ποδὸς αὐτοῦ. καὶ χαρίσαιτο αὐτοῖς κύριος ὁ Θεὸς μακροημέρευσιν, ὑγείαν, κατάπτωσιν πάντων τῶν ἐθνῶν, λιταῖς τῆς θεομήτορος καὶ πάντων τῶν ἁγίων, ἡμῶν δὲ ἔχων τὸν ἅγιον πατρὸς ἡμῶν Μάρκου τοῦ ἀποστόλου καὶ βαγγελιστοῦ.

Καὶ μετὰ τὴν συμπλήρωσιν τῆς ἐπιστολῆς ἡ ἁγία σύνοδος εἶπε. τὸ μὲν ἡμέτερον φρόνημα ὅπερ εἰς Φώτιον τὸν ἁγιώτατον ἡμῶν πατριάρχην ἔχομεν, πολλάκις φανερὸν πεποιήκαμεν· μᾶλλον δὲ αὐτοῖς ἔργοις ἐβεβαιώσαμεν. καὶ τοὺς μὴ ὕπω φρονοῦντας, ἀποβλήτους, καὶ κατακεκριμένους ἔχομεν. ἐπειδὴ δὲ ἡ ἐπιστολὴ Μιχαὴλ τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας μετάνοιαν τοῦ Τυρῶνος πρόεδρου Θωμᾶ ἐμνημόνευσεν. ἀκουσώμεθα καὶ αὐτῆς. Φωτεινὸς ὁ χαρτοφύλαξ ἀνέγνω.

Πρόσταττε τοῦ Θεοῦ ἀρχιερεῦ καὶ πατριάρχου τὸ μηδὲν ἁμαρτεῖν Θεῷ ἐστι μόνῳ, καὶ τῆς πρώτης καὶ ἀνάρχου φύσεως. τὸ δὲ ἁμαρτάνοντας ἐπιστρέφεσθαι, καὶ ὁμολογίᾳ τοῦ παίσματος εἰς διόρθωσιν ἐπανάγεσθαι, ἀνθρώπων, ἀλλ' ἐπιεικῶν καὶ φοβουμένων τὸν κύριον ἰδιώτατον. ἐγὼ γοῦν ὁ ματαιος καὶ ἠλίθιος, ὡς ἡ ὑμετέρα ἁγιότης μᾶλλον ἐπίσταται, Ηλίᾳ καὶ Ιωσὴφ ἀνδράσι βεβήλοις καὶ ἀπατεῶσι καταπειθεὶς, ἀμφοτέραις ἐχώλανα ταῖς ἰγνύαις, μακρὰν τῆς θείας σὺν αὐτοῖς ἀποσκιρτήσας. καὶ πολλὰ τῆς ἀληθείας ἐξυλακτήσαντες. καὶ κατὰ σοῦ τοῦ ἀρχιερέως Θεοῦ, μέγισε πνεύματι ἀρχαφώτιε, ἐξαμαρτήσαντες. διὸ καὶ ἀμφότεροι δίκας ἀξίας τῆς οἰκείας φρενοβλαβείας εἰσπραχθέντες παρὰ τῆς δίκης, ἄλλος ἄλλῳ πονηρῷ τέλει τὴν ἑαυτῆς κατέστρεψεν ἐχθίστῳ ζωῇ. ὁ μὲν γὰρ λέπρα ἀθεραπεύτῳ ἀπερρήξε τὴν ζωήν. Ιωσὴφ δὲ ὑποδίκος τῷ πράκτορι γεγυμνασμένος, καὶ πληγαῖς ἀνηκέστοις βεβιασμένος, καὶ μικράς τινας καὶ πονηρὰς ἡμέρας ἐπιβιοὺς καὶ αὐτὸς δέσμας πεδήσας ἔσχε, * τοῦ παραχάραττον τὴν δόσέβειαν, καὶ καταλαλῶν κατὰ τοῦ δικαίου ἀδικίαν· ἴσον δὲ εἰπεῖν καὶ κατὰ τοῦ Θεοῦ τοῦ ποιήσαντος. ἐγὼ δὲ μόνος ἀνοχῇ Θεοῦ τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ περιλειφθεὶς, ἀνέπτυξα τὴν οἰκείαν σωτηρίησιν, καὶ ζητῶ τοῦ σφάλματος τὴν ἴασιν, καὶ αὕτη μοὶ ἡ τοῦ τῆς Τύρου Θωμᾶ μετάνοια, καὶ καὶ πρὸς ἡμᾶς μετὰ σωτηρίου καρδίας ἐποιήσατο. δεχθήτω ἐν καὶ παρὰ τῆς σῆς ἀδελφικῆς ἀγάπης, ὡς καὶ παρ' ἡμῶν. ὀφείλομεν γὰρ τοὺς μετανοοῦντας καὶ δέχεσθαι, καὶ ἀποδέχεσθαι. ἡ χάρις τοῦ κυρίου διαφυλάξαι τὴν σὴν ἀρχιερατικὴν ἀδελφότητα, καὶ κατευοδώσαι τὰ ἔργα τῆς χειρῶν σου, καὶ ἀποδῴησοι τὰ ἀγαθὰ, ἀντιμισθίαν τῆς εἰς ἡμᾶς φιλοργεσιῶν, πρεσβείαις τοῦ ἀποστόλου καὶ βαγγελιστοῦ Μάρκου. ἀμήν.

Καὶ μετὰ τὴν ἀνάγνωσιν, ἡ ἁγία σύνοδος ἐξεβόησε. γένοιτο· ἀμήν. καὶ κατευθύναι κύριος τὴν ἀμώμητον ἀρχιερωσύνην Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου καὶ ἀντὶ τοῦ μεγίστου κατορθώματος τούτου τῆς κοινῆς εἰρήνης συμμέτοχον τῆς αὐτοῦ δόξης, ὡς ἄξιον, ἡ αὐτοειρήνη ὁ Θεὸς ἡμῶν ἀναδείξαι. ἔδει γὰρ τὸ περιβόητον ἀγαθὸν τοῦτο ἐπὶ τῆς κραταιᾶς βασιλείας τοῦ φιλοσεβεστάτου καὶ εἰρηνοποιοῦ βασιλέως ἡμῶν γενέσθαι, διὰ τῆς συμπαθείας, τοῦ ἁγιωτάτου καὶ μεγίστου ἡμῶν ἀρχιερέως τοῦ τὴν ἀοσθένειαν ἡμῶν χειρομένητος ἀναλαβομένου, καὶ τὰ εἰς αὐτὸν ὀλιγοήματα ἡμῶν χρηστότητι ζόπων καὶ πατρικῇ σοργῇ φιλανθρώπως συγχωρήσαντος. ἐπειδὴ τοίνυν ἔδοξε τῶν πάντων θύραν μετανοίας ἀπέκλεισεν, ἀλλ' ἐν σπλάγχνοις Ιησοῦ Χριστοῦ περὶ Θωμᾶ τοῦ Τυρίων προέδρου, συγγνώμην αἰτησάμενου τοῦ παραπτώματος, ἀφεῖναι, καὶ τῆς μετὰ πάντων συγχωρήσεως ἀξιῶσαι.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώ-

Ψαλ. 88.

Ρώμης εἶπον· τὸ μὲν ἀποκλείειν τὴν μετάνοιαν τοῖς εἰλικρινῶς ἐπιστρέφουσιν οὐδὲ ἡμεῖς ἀποτρέπομεν, μὴ γένοιτο. ἐπειδὴ δὲ τὸ ἁμάρτημα χαλεπὸν κατανοοῦμεν, καὶ πρὸς Θεὸν τὴν ὕβριν ἀναφερομένην, ἀνατίθεμεν τοῦτο τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πάπᾳ Ιωάννῃ, καὶ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς αὐτοῦ ποιησάτω. ἡ ἁγία σύνοδος εἶπεν· εἰς Θεὸν μὲν οἴδαμεν ὅτι ἀνατρέχει τὸ ἁμάρτημα· πλὴν, κατὰ πρῶτον λόγον, εἰς τὸν ἀρχιερέα ἡμῶν ἐγένετο· καὶ αὐτὸς πρὸ πάντων μᾶλλον, διὰ τὸ εἰς αὐτὸν γενέσθαι τὸ ἁμάρτημα, τὴν ἐξουσίαν ἔχει τοῦ λῦσαι αὐτόν. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὅσον τὸ ἐφ' ὑμῖν, ἀδελφοὶ, μάλιστα δὲ ὅτι καὶ οἱ τῆς ἀνατολῆς ἀρχιερατικοὶ θρόνοι τὴν δέησιν ὑπὲρ αὐτοῦ ἐποιήσαντο, λελυμένον αὐτὸν ἀπὸ τοῦ εἰς ἡμᾶς παραπτώματος καὶ πλημμελήματος ἔχομεν. εἰ δὲ καὶ ὁ ἁγιώτατος πάπας Ρώμης Ιωάννης ὁ πνευματικὸς ἀδελφὸς καὶ συλλειτουργὸς καὶ πατὴρ ἡμῶν συνεπιψηφεῖται τῇ λύσει τούτου, ἄμεινον. οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· οὐδὲ ἐν τούτῳ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πάπας Ιωάννης ἔχει πρὸς τὴν ὑμετέραν ἁγιωσύνην διαφρονῆσαι, ἀλλὰ κἂν τούτῳ τὴν ὑμετέραν ψῆφον ἐπικυρῶσαι ἔχει.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. τὰ ἀπὸ τοῦ ἁγιωτάτου πατριάρχου Ιεροσολύμων Θεοδοσίου σταλέντα γράμματα δι' Ανδρέου τοῦ εὐλαβέστατου μοναχοῦ καὶ γνησίου ἀδελφοῦ Ἡλία, τοῦ ὁσιωτάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ, εἰ καὶ ἐν ταῖς ἐμπρότερον συνελεύσεσιν ἀνεγνώσθησαν· καὶ οἱ πλείους τῶν νυνὶ παρόντων ἀκροαταὶ τῆς τούτων διδασκαλίας καὶ παραινέσεως γεγόνασιν. ἀλλ' οὖν, εἰ δοκεῖ τῇ ὑμῶν ἁγιότητι, ἐνταττέσθωσαν κἀκεῖνα τοῖς νυνὶ πραττομένοις. οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον. δίκαιόν ἐστιν ἐνταγῆναι τῇ πράξει ταύτῃ τὰ τοῦ ἁγιωτάτου πατριάρχου Ιεροσολύμων γράμματα. ἵνα πανταχόθεν ἡ τῆς ἀληθείας βεβαίωσις ἀκριβεστέρα τε καὶ τελειοτέρα πᾶσι φαίνηται. καὶ λαβὼν τὴν προκομιζομένην ἐπιστολὴν Φωτεινὸς ὁ ῥηθεὶς χαρτοφύλαξ ἀνέγνω, περιέχουσαν οὕτως.

Θεολέκτῳ, ὁσίῳ, καὶ ἀοιδίμῳ συλλειτουργῷ ἡμῶν κυρίῳ Φωτίῳ πατριάρχῃ Κωνσταντινουπόλεως, Θεοδόσιος ἐλάχιστος πατριάρχης Ιεροσολύμων, χαίρειν.

Κατὰ τὴν καρδίαν τοῦ πάντων προνοητοῦ χρηματίσας ὁ θεῖος Δαβὶδ, τὸ συνοῖκες ἐν ὁμονοίᾳ καὶ οἴκῳ Θεοῦ καὶ ἀδελφικῇ διαθέσει δεικνύμενος. κύριος, ἔφησε, κατοικίζει μονοτρόπους ἐν οἴκῳ. ὁ ἐκεῖνον οὖν ἐκ ποιμνίου προβάτων ἐκλεξάμενος προνοίᾳ εἰς βασιλέα τε καὶ προφήτην, ὁ αὐτὸς ἐν τῇ γενεᾷ ἡμῶν εἰς πέρας * ἤνεικε τὸ προφητευθέν. χάριτι γὰρ θεία ἡ ἐν ἀσυγκρίτῳ ἁγιότης σου, ὦ θεσπέσιε ἱεράρχα, καὶ τῶν ἐκκλησιῶν βάσις, ἀρετῶν ὁμόνοια, εὐσεβεία τε καὶ ἀδελφικὴ συμφωνία, πανταχοῦ ἐξακούεται * βεβαιούμεναι ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ ὑπὸ τῆς σῆς θεοκυβερνήτου ἐπιμελείας καὶ ποιμαντικῆς ἐγρηγορεύσεως, φαιδρυνούσης τε καὶ τερπούσης ἡμῶν τὰς ἀκοὰς, καὶ τῶν κατὰ τόπων ἱερῶν συστημάτων, καὶ παρεχούσης ἀγαλλιάματα τοῖς αὐτῶν προέδροις, καὶ πνευματικὴν κοινὴν εὐφροσύνην ἑορταστικὴν ἐκτελεῖσθαι. ἐπεὶ γὰρ ἐν σῶμά ἐσμεν οἱ πάντες, καὶ ἀλλήλων μέλη· ὅταν ἓν μέλος εὐρωστῇ, μεταδίδοται ἡ ῥώσις αὐτοῦ καὶ ἐν τοῖς λοιποῖς. καὶ αὖθις ὅταν ἓν μέλος πάσχῃ, ὅλον τὸ σῶμα πάσχει. τοῦτο δὴ συμβαίνει καὶ ἐν τοῖς ψυχικοῖς μέλεσι τοῖς τῆς καθολικῆς ἐκκλησίας συνηρμοσμένοις· καὶ ἡμεῖς οὖν μέρος ὄντες τῆς ἐκκλησίας, εἰ τὸ ἕτερον μέρος ἑτέρως ἔχει, ἀλλ' οὖν συμμετέχομεν τῆς τοῦ πάθους τ' αὐτότητος. τοιγαροῦν, ὦ θεσπέσιε, καὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας μέγα πρόβολε, καὶ ἡμῶν τῶν ἐν βρόχοις ὄντων ἀνόμων, καὶ πασχόντων τὰ ἄστεκτα ὑπ' αὐτῶν, ἐν τε ζημιώσεσι προσόδων ἐκκλησιῶν, καὶ ἁρπαγαῖς τῶν προσόντων ἡμῖν εὐτελῶν, προνοοῦ ταῖς εἰς Θεὸν εὐχαῖς καὶ δεήσεσιν, ὦ ἱερὰ κεφαλὴ τοῦ τῆς ἐκκλησίας σώματος, καὶ ὡς πόλις ὢν Θεοῦ ἔμψυχος ὑπὲρ ἑτέρας πόλεως, πρὸς τοὺς εὐσεβεῖς * καὶ νεολέκτους μεσιτεύων βασιλεῖς, ἐλεῆσαι καὶ κατοικτειρῆσαι τὴν ἁγίαν ἐκκλησίαν τῆς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἀνασάσεως, καὶ τὴν ἁγίαν Σιών· καὶ μὴ ἀποκάμης τούτου ἕνεκεν· ὅτι καιρὸς χαλεπὸς ἐφέστηκεν, ἐφ' ᾧ δέονται ἐλέους. ἱστορῆσαι δὲ καθ' ἓν τὰ εἴδη καὶ τὰ νεμόμενα τοὺς ἐλεεινοὺς ἡμᾶς κακὰ, ἄσεμνον ἡγοῦμαι τῇ ἀκραιφνεστάτῃ ἁγιότητί σου. ὅμως οὖν ἐκ τῆς ἀφορήτου καὶ πολυχιδοῦς τῶν ἐπικειμένων ἡμῖν ποικίλων κινδύνων συνοχῆς, γοερῶς ἠξιώσαμεν τὸν εὐλαβέστατον μονάζοντα κύριον Ανδρέαν, πιστὰ φυλάττοντα ὡς ἄλλος οὐδεὶς, ὁμαίμονα ὄντα τοῦ ὁσίου τοποτηρητοῦ ἡμῶν κυρίου Ηλία, τοῦ καὶ συλίτου, τοῦ τῇ ἁγιότητί σου συναθλοῦντος, μέχρι τῆς ὑμῶν ἁγιότητος σκυλῆναι, πρὸς ἐποικοδομὴν μὲν τῶν κανονικῶν κηρυγμάτων, ἀπόπαυσιν δὲ τῶν ἀναφυομένων σκανδάλων. ὃς καὶ σαφῶς διηγήσεται μᾶλλον τὰ καθ' ἡμῶν φθοροποιὰ ἐμπτώματα τῶν ἐθνῶν. διόπερ ἡ θεοκίνητός σου διάθεσις κινηθήτω εἰς οἶκτον ἡμῶν, καὶ παραχέτω τὴν προσήκουσαν κηδεμονίαν. ἐγὼ δὲ ἐκ τῆς ἀνηκέστου ταύτης, ὡς προεῖπον, παρακινηθεὶς βίας, εὐτελές τε γράμμα δεκτικὸν μετὰ τοῦ προκριθέντος ἐν ἀποστολῇ κυρίου Ανδρέου τῷ φιλοικτείρμονι κράτει τῶν ἁγίων βασιλέων ἀνέπεμψα. ἐν ᾧ δηλοῦται συλληπτικῶς τὰ καθ' ἡμῶν πάνδεινα κακά· ἐκλιπαρῷ οὖν τὴν σὴν ἁγιότητα, φιλανθρωπευθῆναι ἡμῖν συμπαθῶς, καὶ συνεργῆσαι τὰ ὑφ' ἡμῶν παρακληθέντα παρὰ τῆς θείας αὐτῶν βασιλείας πέρας λαβεῖν. θαμινῶς οὖν ἐπικούρει ἡμῖν ταῖς ἀμέσοις πρὸς Θεὸν εὐχαῖς τῆς θεολέκτου ἱεραρχίας σου, εἴ τις δὲ οὐ δέχεται σε, ὁσιώτατε, ἀρ-

Ψαλ. 67.

* ἤνεγκε

* βεβαιουμένη

Εφεσ. 4.

* θεολέκτου

ἀρχιερέα Θεῦ καὶ πατριάρχλυ τῆς βασιλίδος πόλεως, εἴη ἀνάθεμα ἀπὸ παρὸς, καὶ υἱῦ, καὶ ἁγίυ πνεύματος, ⁊ καθηρημένος ἀπὸ πάσης ἱερωσύνης. ὅτω γὰρ καὶ ἡ σὺν ἡμῖν ἁγία σύνοδος ὥρισεν.

Ἡ ἁγία συνόδος εἶπε· τοῖς ὁρισθεῖσι παρὰ τῆς γλυκυτάτης συνόδυ τοῦ ἁγιωτάτυ πατριάρχυ τῆς ἀνατολῆς, καὶ ἡμεῖς συμφωνοῦμεν. καὶ εἴτις οὐκ ἀποδέχεται Φώτιον τὸν ἁγιώτατον ἡμῶν παρριάρχλυ ⁊νομώτατον ἀρχιερέα, ἔστω ἀνάθεμα. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. εἰ κελεύει ἡ ἁγία συνόδος ἡμῶν ἀναγνωσθῆναι καὶ τὰ ἀπὸ τοῦ ἁγιωτάτυ πατριάρχυ Ἀντιοχείας, διὰ Κοσμᾶ τοῦ πρεσβυτέρου νυνὶ γράμματα. οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον· ἀναγνωσθήτωσαν. προβαλεὶς οὖν Φωτεινὸς ὁ πολλάκις ῥηθεὶς χαρτοφύλαξ ἀνέγνω, περιέχοντα ὅτως.

Τῷ ἁγιωτάτῳ πατριάρχῃ Κωνσταντινουπόλεως, Θεοδόσιος ἁμαρτωλὸς πατριάρχης Ἀντιοχείας.

ΕΝ ὀνόματι τοῦ παρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίυ πνεύματος. ὁ ἐλεήμων Θεὸς ἔστω μετὰ σοῦ, πάτερ ἡμῶν, εἰς αἰῶνα τῶν αἰώνων. γνωρίζω σοι πάτερ ἡμῶν εὐλογημένε, ὅτι ἔφθασεν ἡ ἀγγελία σου ἡ ἀγαθὴ διὰ τοῦ ἀββᾶ Κοσμᾶ, τοῦ μαθητοῦ ἀββᾶ Μιχαὴλ, τοῦ πατριάρχου Ἀλεξανδρείας. οὗ χαίσαιτο ἡμῖν κύριος ὁ Θεὸς τὰς ψυχάς. ἐφράνθημεν οὖν ἐπὶ τούτῳ μεγάλως ἐφροσύνῃ, ὅτι ὁ Θεὸς ἠξίωσέ σε εἰς τὸν θρόνον σου, ἣν ὁμοῦ προηγήσατό σου ἐν καλοῖς. καὶ ἀπεδεξάμεθα τὴν ἁγιότητά σου, καὶ ἰδὼν γέγονας ὡς εἷς ἐξ ἡμῶν ⁊ ἐν ἡμῖν. σωέβη δὲ ἡμῶν συμφορὰ παρὰ τοῦ Ἐβιντακλέμ· παρακαλοῦμεν δὲ τὸν Θεὸν, τοῦ ἀποκρύσασθαι τὰς κακώσεις αὐτοῦ. ὅτι ἐζημίωσε τὴν ἐκκλησίαν Ἀντιοχείας χρήματα πολλά. ἀλλὰ διὰ τὰς ἁμαρτίας ἡμῶν πεπόνθαμεν ταῦτα πάντα. ὅτε δὲ διέσωσεν ὁ Θεὸς τὸ ἁγιώτατον Κοσμᾶν τὸν ἱερέα μέχρις ἡμῶν, ἐχάρημεν. ὅτι ὁ Θεὸς ἐσκέπασεν αὐτὸν ἐν τῇ ὁδῷ αὐτοῦ. καὶ ἐκάλυψε τὰς ἀγγελίας σου καὶ τὰ μανδάτα τοῦ βασιλέως, μέχρις οὗ ἐξεκαλύφθησαν ἡμῖν. ἦν δὲ πρός με ὁ ἀββᾶς Θωμᾶς ὁ μητροπολίτης παραγενόμενος ἐκ Τύρυ, ἕνεκεν τοῦ παραμυθήσασθαι ἡμᾶς ἐπὶ τῇ συμφορᾷ τῇ λαχύσῃ ἡμᾶς· καὶ ἦλθεν εἰς μετάνοιαν, καὶ ἠτήσατο συγγνώμην· καὶ πρὸς ἡμᾶς ⁊ πρὸς τὸν Μιχαὴλ τὸν Ἀλεξανδρείας πρόεδρον ἐξαγορεύων τὸ πταῖσμα αὐτοῦ· καὶ ἵνα γράψωμεν τῇ ἀρχιερωσύνῃ σου ὑπὲρ αὐτοῦ. καὶ αὐτὸς ἐξομολογήσατο ἐγγράφως, καὶ μὴ κλείσῃς, πάτερ ἅγιε, τὰ σπλάγχνα σου, ⁊ τὸ ἔλεός σου ἐξ αὐτοῦ. δόξα τῷ Θεῷ τῷ ἀναγαγόντι σε εἰς τὸν θρόνον σου· οἱ γὰρ ξένοι θρόνοι τὰ ἰδιόχειρα γεγράφασί σοι, ὅτι ἐδέξαντό σε. καὶ ὁ μόνον νῦν, ἀλλὰ καὶ πάλαι, Θεοῦ εὐδοκίᾳ. καὶ ἰδοὺ λέγομεν καὶ γράφομεν, ὅστις οὐκ ἀποδέχεται σε πατριάρχην, ἐπικατάρατος ἐστιν ἀπὸ παρὸς ⁊ υἱοῦ καὶ ἁγίου πνεύματος. φυλάξαί σε ὁ Χριστὸς, πάτερ ἡμῶν ἅγιε, καὶ τὴν ποίμνιόν σου. καὶ προσθείησοι δόξαν ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, λιταῖς τοῦ ἁγίυ Πέτρυ τοῦ κορυφαίυ, καὶ πάντων τῶν μαθητῶν.

Μετὰ δὲ τὴν τοιάυτα Γράμματος ἀνάγνωσιν ἡ ἁγία σύνοδος εἶπεν· ἐλθέτω δὴ καὶ τὸ τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἀβραμίυ Ἀμιδῶντε καὶ Σαμοσάτων μητροπολίτυ Γράμμα, καὶ ἀναγνωσθήτω. λαβὼν δὲ καὶ τοῦτο ἐπὶ χεῖρας ὁ ἀνωτέρω μνημονευθεὶς Φωτεινὸς χαρτοφύλαξ, ἀνέγνω περιέχον ὅτως.

Τῷ ὑπὸ τοῦ ἁγίυ πνεύματος ἐλλαμπομένῳ παρὶ πατέρων κυρίῳ Φωτίῳ πατριάρχῃ Κωνσταντινουπόλεως, Ἀβραμίος ἁμαρτωλὸς, μαθητής σου, μητροπολίτης Ἀμιδῶντε καὶ Σαμοσάτων Ἀρμυίας.

ΜΑκρομερεύσαι σε, πνευματικὲ πάτερ ἅγιε, ὁ Θεὸς, ⁊ μονίμυ τὴν τιμιότητά σου ἀναδείξαι· καὶ ἐκπληρώσειέ σοι τὴν αὐτοῦ θέλησιν, καὶ προσθείησοι δίκαιων τὴν σὴν ἁγιωσύνην· καὶ δωρήσαιτό σοι βίον ἐπιμήκισον, χαριζόμενός σε τῇ αὐτοῦ ἁγίᾳ ἐκκλησίᾳ, διὰ τῶν δεδεγμένων δίκην σε, τῇ τοῦ ἁγίυ πνεύματος ἐνεργείᾳ. γέγραφα πρὸς τὸν ὑπὸ τοῦ ἁγίου πνεύματος κεκαθαρμένον πατέρα ἅγιον κἀγὼ σὺν πάσῃ μου τῇ ποίμνῃ, ἐν βελτίσῃ τῇ ὑπὸ Θεοῦ χορηγουμένῃ μοι διαγωγῇ ὑπάρχων· καὶ ὑπὲρ ταύτης αὐτῷ τῷ Θεῷ δόξα· οὐκ ἐπαυσάμεθα δὲ διερωτῶντες ἀκριβῶς, ἕως ἀναμάθωμεν περὶ τῶν ἀγγελιῶν σου, ὡς ἐκ Θεοῦ ἐποφείλεται ἡμῖν. χαίρομεν οὖν ἐν τῇ χαρᾷ σου, ὡς καὶ ἐν ταῖς λυπαῖς λυόμεθα· καὶ γὰρ πληροφορούμεθα περὶ τῆς ἁγιότητός σου καὶ πνευματικῆς διαθέσεως, καὶ φιλοπτωχίας, καὶ τῆς τῶν ἀπόρων συμπαθείας. ἐν οἷς τερπόμεθα καὶ ἀγαλλιάσμεθα. καὶ παρακαλοῦμεν τὸν φιλόδωρον καὶ ἐλεήμονα Θεὸν, ἐν πολλοῖς σε διαμένειν ἔτεσιν ἐν γενεᾷ ἀγαθῇ. καὶ μεγαλύνειν ἐν περισσίᾳ τὰς αὐτοῦ ἁγίας ἐκκλησίας τε καὶ μονὰς διὰ τῶν χειρῶν σου. καὶ ἐν ταῖς ἡμέραις σου ἀποδιώξαι ἐξ αὐτῆς πᾶσαν βλάβην καὶ σκάνδαλον· ἐπιστρέψαι τε καὶ πάντα τὰ πεπλανημένα πρὸς τὸν αὐτοῦ ὑπακοὴν, * πρὸς τὸν πρεσβ' εἴτ' τῆς μητροφώτου δεσποίνης ἡμῶν, καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ πάντων τῶν ἁγίων, ἀμήν. * Pro πρεσβεία.

Ἀπεστάλη δέ μοι, πάτερ ἅγιε, γράμματα παρὰ τοῦ ἁγίου παρὸς ἡμῶν Θεοδοσίου τοῦ παριάρχου Ἀντιοχείας, διὰ καὶ γράμματος τοῦ ἀββᾶ Μιχαὴλ τοῦ πάπα Ἀλεξανδρείας διὰ τοῦ ἀββᾶ Κοσμᾶ περιεῖχον δὲ τὰ γράμματα περὶ αὐτῆς καὶ τῆς ποίμνης αὐτῶν εἰρηνικῆς διαγωγῆς, διὰ κύριος διατηρήσαι αὐτοῖς τε καὶ ἡμῖν. περιεῖχον δὲ τὰ γράμματα καὶ περὶ Θωμᾶ τοῦ τῆς Τύρου, καὶ Ἠλίᾳ, καὶ Ἰωσήφ, τοῦ προσαγορεύσαντος ἑαυτὸν ἐν ᾧ ἐκ διὰ βαθ-

Γενε 3.

βαθμῷ, πλὴν ὁ Θεὸς ἀνταπέδωκεν αὐτῷ, καθὼς ἰδοὺ ἄξιος, καὶ τῷ συμμετόχῳ αὐτοῦ Ἡλίᾳ. ὁ δὲ τῆς Τύρου προέδρος ἐξηγόρευσεν αὐτοῦ τὸ πταῖσμα ἐνώπιον τῆς παξιαρχῶν, περὶ τῆς αὐτῆς παραβάσεώς τε καὶ πράξεως. ὁ δὲ Θεὸς αὐτῆς ἐστι κριτής. αὐτὸς ἐκλιπαρεῖ, καὶ αἰτεῖται συγχώρησιν. γνώσθω κριτὴς ὁ Θεὸς τῆς χισάντων τινὶ ἁγίαν αὐτοῦ ἐκκλησίαν. καὶ ἐπισκέψεται ἡμᾶς ἐν ἐλέει, διὰ τῆς ἁγίων δίχωνσε.

Ἔγραψαν δὲ πρός με, πάτερ θεσπέσιε, οἱ παξιάρχαι, δηλοῦντες μοι ὅτι πᾶς ὁ μὴ κηρύσσων τὸν κύριον Φώτιον παξιάρχιν Κωνσαντινουπόλεως, ἔσω ἀνάθεμα ἀπὸ παξὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. καὶ ἡμεῖς οἱ ταπεινοὶ αὐτῆς μαθηταὶ ἀναθεματίζομεν τῷ αὐτῷ ἀναθέματι, καὶ ἀποδεχόμεθα ὃ αὐτοὶ ἀποδέχονται· εἴτις οὐκ ἀποδέχεται, λέγοντες, τὸν ἁγιώτατον πατέρα ἡμῶν τὸν κύριον Φώτιον παξιάρχιν Κωνσαντινουπόλεως, καὶ κηρύσσει αὐτὸν ἐμφανῶς καὶ πανδημεί, εἰ μὴ ἔστι μητροπολίτης, ἢ ἐπίσκοπος, ἢ ἄρχων, ἢ ἄλλος τις τῶν ἐπιλοίπων ἡγεμονικοῦ καὶ ψιλοῦ λαοῦ, ὁ τοιοῦτος γνώτω, ὅτι ὑπὸ ἀνάθεμά ἐστι καὶ ἀφορισμὸν ἐκ τῆς ἐκκλησίας τοῦ Θεοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ Ἰούδα τοῦ Ἰσκαριώτου. καὶ πᾶς ὁ ἀκούων εἴποι. γένοιτο. γένοιτο. παρακαλοῦμεν τὸν διεργετοῦντα τὰς δόξας αὐτοῦ, διεργετῆσαι ἡμῖν τινὶ μακροβίωσίνσε. καὶ πληθυναι ὁ Θεὸς τοῦ ἀγαθοῦ βασιλέως τὰς χρόνους, καὶ τῆς υἱῶν αὐτοῦ· καὶ ἀξιώσαι ἡμᾶς τῆς ἐνδόξου θέας τοῦ προσώπου ὑμῶν· καὶ μεγαλύναι τὸν χεισιανισμὸν ἐν ταῖς ἡμέραις ὑμῶν. ἐκλιπαρῶ δὲ τὸν Θεὸν, πάτερ ἅγιε, διαφυλαχθῆναί σε καὶ σκεπασθῆναι τῇ αὐτοῦ συμπαθείᾳ· ἀποδιωχθῆναί τε ἀπὸσου πᾶσαν πονηρίαν καὶ σκάνδαλον. καὶ ἐκ τοῦ ἀγαθοῦ βασιλέως, καὶ τῆς τέκνων αὐτοῦ, μεγαλωύναι αὐτοὺς κύριος ὁ Θεός. ἄσπασαι σεαυτὸν, πάτερ ἅγιε, τῇ ἡδυτάτῃ εἰρηνῃ καὶ ἀσπασμῷ. ὑπαγορεύομεν δὲ καὶ τῇ θεοφιλεσάτῃσε ποίμνῃ, καὶ ὅλῳ τῷ κλήρῳ· ἔλεος καὶ εἰρηνη Θεοῦ ἔσαι ὑμῖν.

Γνῶθι δὲ, ὦ πανάγιε πάτερ, ὅτι τῷ πνεύματι ἡμῶν ἐν Ἀντιοχείᾳ σωνέβη συμφορὰ ἐκ τοῦ Ἐβιντικλέμ. ἐκ σοῦ δὲ ταῦτα διηγήσαθαι τῷ γράμματι. ὁ δὲ ἀββᾶς Κοσμᾶς πάντα διηγήσεται. ὁ πατριάρχης Ἱεροσολύμων ἐκοιμήθη ἐν εἰρηνῃ· χαρίσαιτο ἡμῖν κύριος τὰς δόχας αὐτοῦ. διεδέξατο δὲ τὸν θρόνον ὁ ἀββᾶς Ἠλίας ὁ Δαμασκηνός.

Ἡ ἁγία σωόδος εἶπε· περὶ μὲν τῆς συγχωρήσεως προείπομεν, ὅτι εἰς τὸν ἁγιώτατον ἡμῶν δεσπότην κεῖται ἡ ἐξουσία τοῦ συγχωρεῖν· ἐπειδὴ καὶ πρὸς αὐτὸν προηγουμένως ἐπεγένετο πλημμέλημα. τὰ δὲ χίσματα τῆς ἐκκλησίας παρεχωρήθη, ὡς ἔοικεν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. ὁ Θεὸς φυλάξαι τὸν δεσπότην ἡμῶν τὸν ἅγιον. ὁ Θεὸς μακροημερεύσαι αὐτόν· ὅτι πᾶν σκάνδαλον ἐκ τοῦ μέσου ποιησάμενος, καὶ τὰς αἰτίας πάσας καταργήσας τῆς σχισμάτων, τινὶ εἰρηνίῳ καὶ ὁμόνοιαν ἡμῖν καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ ἐβράβευσεν.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς τῆς ἀνατολῆς ἀρχιερατικῶν θρόνων εἶπον· εἰ μὴ τι θαύματα μεγάλα ἐγένοντο, οὐκ ἂν ἡ τοῦ ἁγίου ἐθαυμάζετο σοφία καὶ τέχνη. νῦν δὲ ὅσον ὁ πονηρὸς ἠβουλήθη διαρρῆξαι καὶ τραυματίσαι τινὶ ἐκκλησίαν τοῦ Θεοῦ, τοσοῦτον ἡ σοφία καὶ τέχνη τοῦ ἁγιωτάτου ἡμῶν ἀρχιερέως διεφάνη· ὃς διὰ τῆς θεραπευτικῆς καὶ θείας μεθόδου πάντας τοὺς μώλωπας ἐξιασάμενος, ὁλόκληρον καὶ ὁλοτελὲς τὸ σῶμα τῆς ἐκκλησίας τοῦ Χριστοῦ πολλαῖς καὶ παντοδαπαῖς ἐπιμελείαις εἰργάσατο.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· διὰ χαρᾶς τῷ Θεῷ, καὶ τῷ μεγάλῳ καὶ ὑψηλῷ βασιλεῖ, τῷτε κυρίῳ ἡμῶν τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πάπᾳ Ἰωάννῃ· ὅτε δι' αὐτῆς ἡ ἐκκλησία τοῦ Θεοῦ τινὶ εἰρηνίῳ καὶ τινὶ ὁμόνοιαν ἔλαβεν. ἡ ἁγία σωόδος εἶπε· πάντες ὀφείλομεν ὑπὲρ τῆς τοιαύτης μεγίστης καὶ παντελοῦς ὁμονοίας καὶ εἰρηνίης διὰ χαρᾶς εἶν τῷ Θεῷ, πάντες δοξάζειν. ταύτην ὁ Θεὸς ἀσάλευτον διατηρήσαι, αἰωνίως διαφυλάξαι. πολλὰ τὰ ἔτη τῆς βασιλέων.

ΠΡΑΞΙΣ Γ΄.

Τῇ συνέᾳ καὶ δεκάτῃ τοῦ Νοεμβρίου μηνὸς, ἡμέρᾳ ε΄. ἰνδικτιῶνος ιγ΄.

Προκαθεδρεύοντος Φωτίου τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου ἐν τῷ δεξιῷ μέρει τῆς καθιδρυμένων τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας. καὶ συγκαθεδρευόντων αὐτῷ τῆς ἁγιωτάτων τοποτηρητῆς τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῆς τῆς ἀνατολῆς ἀρχιερατικῶν θρόνων· ἤ μὴν δὲ καὶ τῆς θεοφιλεσάτων μητροπολιτῶν· φημὶ δὴ Προκοπίου Καισαρείας, Γρηγορίου Ἐφέσου, Ἰωάννου Ἡρακλείας, καὶ πάντων τῆς ἐν τῇ προλεχθησομένῃ πράξει μνημονευθησόντων· Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις πρὸς τινὶ ἁγίαν σωόδον εἶπεν· ἁγιώτατοι ἀρχιερεῖς καὶ συλλειτουργοί, πάντως μνημονεύετε· ὡς ἐλαλήσαμεν τῇ παρελθούσῃ σωόδῳ, ὅπως τινὶ πρὸς τινὶ ὑμετέραν ἁγιωσυνίαν παρὰ τοῦ ἁγιωτάτου πάπα πεμφθεῖσαν ἐπιστολὴν ἐνώπιον ὑμῶν ἀναγνωσθῆναι, ἰδοὺ ἔν τε τῆς ὑποχέσεως πεπληρώκαμεν. καὶ εἰσωνδοκεῖ ἡ ὑμετέρα ὁσιότης, κατ' ἐνώπιον ὑμῶν ἀναγνωσθῆναι. καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ προτονοτάριος ἀνέγνω.

Ἰωάν-

Ιωάννης δούλος τοῦ δούλων τοῦ Θεοῦ, τοῖς φιλαβεστάτοις καὶ ἁγιωτάτοις πᾶσιν ἐπισκόποις, ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν, τῆς ἐκκλησίας τοῦ Κωνσταντινουπολίτου, καὶ πᾶσι τοῖς αὐτὴν ἀποδεχομένοις, καὶ ταῖς λοιπαῖς ἄλλαις πρώταις ἐκκλησίαις Ἱεροσολύμων, Ἀντιοχείας, Ἀλεξανδρείας, καὶ τοῖς αὐτοῦ τοῦ ἀρχιερατικῶν θρόνων προεδρεύουσι.

Τὰ ὑγιαίνοντα ὑμῶν, ἀδελφοὶ ἀγαπητοί, δεχόμενοι τῆς σώσεως καὶ ὁμονοίας ἐν τῷ μέρει Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου γράμματα, πάνυ ἐν αὐτοῖς ἐχάρημεν. ἵνα ὁμοίως πάντες ἐν κοινωνίᾳ πατρὸς καὶ οἰκουμενικοῦ συμφωνίᾳ τὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φρονοῦμεν καὶ σέργομεν, καὶ ἃ πρέπει τῇ ὑμετέρᾳ εὐσεβεῖ διαθέσει, καὶ ὁσιωτάτῃ ψυχῇ καθέστηκεν ἁρμόδια· ἵνα μὴ ὦσιν ἐν ὑμῖν χίσματα· ἀλλ' ἵνα γινώσκητε ζητεῖν, καὶ κρύειν, καὶ ἀνείσκειν. ἡμεῖς δὲ τῇ συμπαθείᾳ τοῦ ἀποστολικοῦ θρόνου κινούμενοι, ὥσπερ συμπάσχομεν καὶ συναλγοῦμεν ἐπὶ τοῖς διεστῶσι καὶ ἀπεσχοινισμένοις τοῦ σώματος τοῦ Χριστοῦ, καὶ φιλονεικοῦσι τὰ τῆς σάσεως ἢ πλάνης μᾶλλον ἢ τὰ τοῦ Χριστοῦ κρατεῖν, ὕτω χαίρομεν ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ ἀγάπης τῆς ἀδελφότητος ὑμῶν· καὶ εὐχόμεθα πάντοτε ἀδιαλείπτως, ἵνα ἄμεμπτοι καὶ ἀκέραιοι διαμένητε, κατὰ τὸν ἀπόστολον· καὶ ἵνα διαπαντὸς ὁ Θεὸς τῆς εἰρήνης εἴη μεθ' ὑμῶν. τοιγαροῦν ἀληθῶς ἡ πολυφρόντις ὑμῶν ἐπ' ἀγαθῷ φιλονεικία ἠτήσατο ἀγάπλω δι' ἀποδείξεως τὸν μακαρίου καὶ κορυφαίου τοῦ ἀποστόλων Πέτρου, ὡς τε Φώτιον τὸν ἁγιώτατον πατριάρχλω ἐν τοῖς κλίμασι τῆς ἑσπερίας τῆς Κωνσταντινουπολίτου ἐκκλησίας ἀποκατεστάντα ἀσμενίσωμέν τε καὶ συναποδεξώμεθα. τοῦτο δὲ προθύμῳ καὶ λαμπροτάτῃ ψυχῇ, κατέχοντες τῷ ἐν τῷ εὐαγγελίῳ εἰρημένον τῷ προποιμένι, ᾧ ὁ κύριος λέγει· ἐγὼ παρεκάλεσα περὶ σοῦ, Πέτρε, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου, καὶ σὺ ποτὲ ἐπιστρέψας στερέωσον τοὺς ἀδελφούς σου, ἀπεπληρώσαμεν. τοῦτοις γὰρ διανασάντες τοῖς θείοις λογίοις, καὶ ἐξουσίαν ἔχοντες ἐνδιαμένειν, ἐφόσον ἄμεμπτοι καὶ ἀκατάγνωστοι δυνάμεθα διαμεῖναι, βοήθειαν καὶ συνέργειαν φέρειν πᾶσι χριστιανοῖς, τὴν ἐξηχηθεῖσαν εἰς πάντα τὰ πέρατα· μάλιστα δὲ ἑπόμενοι τοῖς τοῦ πρὸ ἡμῶν ἀρχιερέως Θεοῦ παραδείγμασι, λέγω δὴ Ἀδριανοῦ τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ πάπα, καθὼς ἐκεῖνος ἐποίησε συνεργήσας Ταρασίῳ τῷ ἐν ἁγίοις πατριάρχῃ, ὁπλοίκα τινὲς πρὸς αὐτὸν ταραχὰς καὶ σάσεις ἐποίουν. καὶ γὰρ ἐκεῖνος ὁ ἐν ἁγίοις πατριάρχης Κωνσταντινουπόλεως Ταράσιος, ἀπέστειλε τότε συνοδικὰ γράμματα, πληρῶν τὸ κατ' ἔθος. ἃ ἡμεῖς δεξάμενοι, καὶ τὸ ὀρθὸν τῆς αὐτοῦ πίστεως ὅπερ ἔσχε περὶ τὰ ἄλλα δόγματα, καὶ περὶ τὰς ἁγίας καὶ ἑπτὰς εἰκόνας μαθόντες, καὶ εὑρόντες σύμφωνα τοῖς ἁγίων ἓξ οἰκουμενικῶν συνόδων, ἡσμενίσαμέν τε καὶ συνεφρονήσαμεν· εἰ καὶ οὐκ ἀλύπως ἠνέγκαμεν, ὑπὲρ ἀτυράχως, ὅτι ἀπὸ κοσμικοῦ τύγματος καὶ βασιλικῆς ὑπηρεσίας, ἀπὸ καλίγων καὶ οὐ κατὰ τοὺς παρ' ἡμῖν εἰς τὸν μέγαν θρόνον ἀνήλθε κανόνας, κατέση πατριάρχης. καὶ τὸ μὴ λαλῆσαι ἦν χαλεπὸν, τὸ δὲ σιωπῆσαι πάλιν ἐπικίνδυνον· δεῖ γὰρ τοὺς ποιμένας μὴ διδασκομένους εἶναι, μηδὲ πρὸ τοῦ μαθεῖν καλεῖσθαι διδασκάλους· ἀλλ' ἵνα θεωρῶσιν, ὥστε μὴ θεῖσαι αὐτοὺς ἁμαρτίαν ἐκ τῆς ψυχῶν ὧν ἐπισκόπουσιν, μηδὲ εἰς τὸν βαθμὸν τῆς σοφίας, ὃ τινὲς ἄγνοιαν ἔχουσιν, ἀναπηδᾶν σπουδάζωσι· δεῖ γὰρ εἰδέναι ὅσον αὐθάδες καὶ φοβερόν ἐστι ἁμαθῆ τῆς θείων ὄντα, καὶ ἀνεπιστήμονα, ἐκ κοσμικῆς πραγματείας καὶ ἀγελαίας συναναστροφῆς εἰς διδασκαλίας ἀναβαίνειν βαθμόν. ποῖος γὰρ στρατηγὸς στρατὸν καθηγεῖσθαι δυνατὸν, ἐὰν μὴ μαρτυρηθῇ παρὰ πάντων, ὅτι δυνατὸν μόχθῳ καὶ φρονήσει τὸν κατεπισταμένον αὐτῷ λαὸν σώζειν; εἰ δὲ τοῦτο, πόσῳ μᾶλλον ψυχὰς ἐπιστήσεται; καὶ εἰς τὸ ὕψος τῆς ἐπισκοπίας ἀνέλθοι, ὁ τινὶ ἐκκλησιαστικῷ μάθησιν ἀγνοῶν· καὶ στρατείαις καὶ πολιτικοῖς συμφυρόμενος πράγμασιν ἀθεώς εἰς τὸ ὕψος τῆς ἐκκλησιαστικῆς τάξεως τῆς κορυφαίας ἀναδραμεῖται· εἶτα ἐκεῖ ἀναβάς, καὶ μηδὲν ἐπισάμενος τῆς ἐκκλησιαστικῶν θεσμῶν, πῶς ἄλλους δυνατὸν διδάξαι; διὰ τοῦτο ἡ κανονικὴ πρᾶξις σωεσήσατο, καὶ παρήνεσεν, ἵνα μὴ ὕπως ὁ ἀμαθὴς, καὶ μὴ εἰδὼς ποιμαίνεσθαι, εἰς ποιμένας ἀθεὺς καὶ διδασκάλους ἀναβαίνῃ. διὰ τοῦτο δὲ καὶ ὁ προρρηθεὶς ἁγιώτατος Ταράσιος ἀπὸ λαϊκοῦ εἰς ἀρχιερωσύνην ἐλθὼν, ἐθορύβησε τινάς. ἀλλὰ διὰ τὸ πιστότατα αὐτοῦ δρόμου, τοῦτ' ἔστι διὰ τὴν ἐπανόρθωσιν τῆς ἁγίων εἰκόνων, τοῦ χάριν ἅπαντες, οἱ τινικάδε, εἰς τινὰ αὐτοῦ ἀρχιερωσύνην ὁμονοήσαντες σωεδοκήσαμεν, καὶ ἡμεῖς μετ' αὐτοῦ· ὥσπερ καὶ ἐπὶ τῆς παρούσης ὑποθέσεως, λέγομεν δὴ Φωτίου τοῦ ἁγιωτάτου ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ. ἀλλ' οὐ χρὴ τὸ σπάνιον, νόμον γίνεσθαι· οὐδὲ, διότι παραδόξως ὅτοι ἐξέλαμψαν, κανόνα τοῦτο ποιεῖσθαι καὶ εἰς τοὺς ἄλλους. ἀλλὰ πρέπον ἐστὶν, ἀδελφοὶ ἀγαπητοὶ, τὸν παλαιὸν νόμον συσφίγγειν· ἵνα ἀπὸ τοῦ παρόντος εἰς τινὰ καθ' ὑμᾶς ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν τοῖς ὁμοίοις ῥόποις μὴ παραβαίνωνται τῆς παξῶν οἱ κανόνες ἐν τούτῳ, μηδὲ αἰφνίδιον εἰς τινὰ μεγάλην ἀξίαν τινὲς ἀναξέχωσι.

Παρακαλοῦμεν δὲ καὶ τοῦτο τινὰ ὑμετέραν ἀδελφότητα, ἵνα τινὶ ἐπαρχίαν τῆς Βουλγαρίας, ἣν ὁ Θεὸς διὰ πρεσβείας τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου, καὶ τοῦ κόπου καὶ μόχθου τοῦ προηγησαμένου ἡμῶν, εἰς Χριστὸν ἐπέστρεψεν, ἀποδώσητε ἡμῖν. θέλομεν δὲ καὶ τοῦτο· ἵνα ἐάν τις δεδιωγμένος, ἢ ἀποχίσης, διὰ τοῦ ὑμετέρου κόπου μοχθήσαντες ὑμεῖς μετὰ τοῦ ἁγιωτάτου παξιάρχου Φωτίου, ὑπὲρ οὗ καὶ τὸν πόθον ὑμῶν διεχαράξατε, μετὰ πάντων ὑμῶν τῆς θεσεβῶν ἔργων καὶ αὐτὸς κερδήσητε· ὡς ἂν καὶ ἐν τούτῳ ἀμεμ-

Φιλιπ. 2.

μεμπτοι ἐνώπιον τοῦ Θεοῦ ἀρεθείητε. ὁ δὲ ἁγιώτατος καὶ θεοσεβέστατος ἀδελφὸς ἡμῶν Φώτιος ὁ πατριάρχης μὴ ἀπαξιώσῃ ἐνώπιον τῆς σωτόδε τιμῆ χάριν καὶ τιμῆ σπουδῇ ἡμῶν, μᾶλλον δὲ τὰ σπλάγχνα τῆς τῆ Ῥωμαίων ἐκκλησίας ἀνακηρύξαι· ὡς καὶ ἡμεῖς χάριτας αὐτῷ ἀδελφικὰς κατεθέμεθα, πατριάρχῃ αὐτὸν ἀποδεξάμενοι ἐννομώτατον καὶ κεκανονισμένον, συγκοινωνοῦντες τοῦ μακαρίου Πέτρου τοῦ ἀποστόλου· ἐν πᾶσα ἡ ἐκκλησία τῆς Ῥωμαίων σπλάγχνα πατρικὰ ἐπεδείξατο εἰς αὐτόν, παραδείγμασιν ἐπακολουθήσασα τῆ τε ἄλλων προηγησαμένων ἡμῶν, μάλιστα δὲ τοῦ μακαριωτάτου Ἰννοκεντίου, καὶ Γελασίου, καὶ πολλῶν ἁγίων ἀρχιερέων Ῥώμης. χρὴ γὰρ ὅσα εἰς κοινὴν σωτηρίαν σπουδάζει, πάντα προθύμως ποιεῖν. καὶ γάρ πολλοὶ τῆς ἀρχιερέων τοὺς οἰκείους θρόνους ἀδίκως ἀποβαλόντες καὶ διωχθέντες ἐξ αὐτῆς, τῇ ἀποστολικῇ ὁμοθέσει τοὺς ἰδίους θρόνους ἀπέλαβον. ὑμῶν δὲ ἀγαθῶν ὄντων, καὶ ἐπ' ἀγαθοῖς τιμῆ αἰτήσιν ποιουμένων, καὶ ἐπὶ συμφέροντι κοινῶς τῆς οἰκουμένης, τίς ὕπω σκληρὸς καὶ ὠμὸς ἀρεθείη, ἵνα πρὸς τιμῆ ἡμετέραν αἴτησιν, ἀδελφοὶ ἠγαπημένοι, ἀπαυθαδιάσῃ, καὶ ἀποδοκιμάσῃ τιμῆ κοινῇ τῆς ἐκκλησιῶν σωτηρίαν;

Ἰδοὺ τοίνυν ὑπηκούσαμεν καὶ ὑπακούομεν τῇ ὑμετέρᾳ ἀξιώσει. ἐπισκυρώντες καὶ ἐπιβεβαιοῦντες τὸν ποιμένα ὑμῶν Φώτιον τὸν ἁγιώτατον πατριάρχην· ἐν δυσωπούμεν τιμῆ ὑμετέραν ἀγάπην ἐν καλῇ ἀναστροφῇ διαμεῖναι, καὶ ἵνα μὴ ὦσιν ἐν ἡμῖν σχίσματα· ἀλλ' ἀποδεξάμενοι αὐτὸν αἰσίως ἅπαντες σὺν εἰλικρινεῖ προθέσει, ἀδιακρίτῳ γνώμῃ, καὶ ἀδόλῳ καρδίᾳ, καθὼς καὶ διεσημάνατε, τὸν αὐτὸν σύνδεσμον καὶ τιμῆ αὐτιμῇ ἀγάπῃ ἐν Χριστῷ τῇ πάντων κορυφῇ σωνάψατε, καὶ μηδεὶς μηκέτι ἐν ὑμῖν σασιάζῃ. ὁ γὰρ αὐτὸν μὴ ἀποδεχόμενος, ὃν ἔχει μέρος μεθ' ἡμῶν· ὥσπερ ὁ δεχόμενος αὐτόν, καὶ ἡμᾶς δέχεται. δεῖ γὰρ ὑμᾶς ᾧτινι χεῖρα ἡμεῖς ὀρέγομεν, μεθ' ἡμῶν ὀρέγειν· ἵνα μὴ ἡμεῖς ὧτινι χεῖρα ὀρέγετε, μεθ' ὑμῶν ὀρέγωμεν. ὕπω γὰρ πληρῶται καὶ τὸ ἐν σὶ πνεύματι καὶ μιᾷ καρδίᾳ δοξάζειν τὸ πάντιμον ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Μετὰ τὸ ἀναγνωσθῆναι τιμῆ ἐπιστολῇ, οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· ἀποδέχεται τιμῆ ἐπιστολῇ ἡ ὑμετέρα ἁγιωσύνη, καὶ ἀσπάζεσθε τιμῆ πρὸς τὸν ἁγιώτατον πατριάρχην σῶσιν καὶ κοινωνίαν; ἡ ἁγία σύνοδος εἶπεν· ἡμεῖς οὐχ ἅπαξ, ἀλλὰ δὶς ἀλλὰ καὶ πολλάκις ἐφαμεν, ὡς καὶ πρὸ τῆς τιμιωτάτης ἐπιστολῆς ταύτης· καὶ ἠνώθημεν Φωτίου τὸν ἁγιώτατον ἡμῶν πατριάρχην· καὶ ἀχώριστοι αὐτῷ διατελοῦμεν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. καὶ τοὺς μὴ ἀποδεχομένους τὴν ἀρχιερωσύνην αὐτοῦ ἁγίαν καὶ κανονικὴν καὶ σύνθεσμον, ὡς ἀλλοτρίους τῆς εὐσεβείας καὶ τῆς κανονικῶν διατάξεων καὶ ἡγούμεθα καὶ λογιζόμεθα. καὶ

νῦν δὲ εὐχαριστοῦμεν τῷ Θεῷ καὶ τῷ ἁγιωτάτῳ πάπᾳ Ἰωάννῃ, ὡς ὁμονοοῦντι καὶ ὁμοφρονοῦντι ἡμῖν, καὶ ἀσπαζομένῳ τὴν σύνωσιν τῆς τοῦ Θεοῦ ἐκκλησίας, καὶ συνεργοῦντι ἡμῖν εἰς πᾶσαν τὴν τῆς καθ' ἡμᾶς ἐκκλησίας κατάστασιν. καὶ συμπτυσομένῳ καὶ ἀσπαζομένῳ, καὶ ὁλοψύχῳ διαθέσει συνομένῳ πρὸς Φώτιον τὸν ἁγιώτατον ἡμῶν δεσπότην καὶ ἀρχιερέα.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε· καὶ ποιεῖτε ὅσα τῇ ἐπιστολῇ ἐμπεριέχεται; ἡ ἁγία σύνοδος εἶπεν· ὅσα εἰσὶν εἰς δόξαν τῆς τοῦ Θεοῦ ἐκκλησίας, καὶ ἐποιήσαμεν καὶ ἀπεδεξάμεθα, καὶ ἀποδεχόμεθα, καὶ ἀμεταθέτοι ἐν ταύτῃ τῇ διαθέσει εἰς τὸν αἰῶνα διαμένομεν. ὅσα δὲ εἰσὶν ἕτερα, ἃ οὐκ ἀνήκουσιν εἰς τὴν ἡμετέραν γνώμην, ἀλλ' εἰς τὴν τοῦ μεγάλου βασιλέως ἡμῶν καὶ ὑψηλοῦ διοίκησιν καὶ χεῖσιν, ταῦτα ἐκεῖνος τῇ φροντίδι καὶ προνοίᾳ ἀνατίθεμεν. οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· οὐδὲν περιέχει τὸ γράμμα ἔξω τοῦ προσήκοντος λόγου. Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· περιέχετο τῇ ἐπιστολῇ, ὥς τε ἀπὸ λαϊκῶν μὴ προάγεσθαι εἰς ἀρχιερατικὸν ἀξίωμα, καὶ ὅτι αἰσχύνη ἐστὶ τοῖς τοῦτο ποιοῦσιν. ἡμεῖς μὲν οὖν οὐκ ἀγνοοῦμεν, ὡς ἡ ἐν Σαρδικῇ σύνοδος κωλύει τοῦτο γίνεσθαι. πλὴν οὐδὲ αὐτὴ πάντα λαϊκὸν κωλύει, ἀλλ' ὡρισμένα ἔχει πρόσωπα. τυτέσι τὸν ἀπὸ ἀγορᾶς πλούσιον, καὶ τὸν ἀπὸ ἀγορᾶς σχολαστικόν. τοιούτους δὲ ἡ ἐκκλησία αὕτη χάριτι Χριστοῦ οὐδέποτε ἐδέξατο. πλὴν εἰ καὶ κανὼν ἦν καθάπαξ ἅπαντα λαϊκὸν κωλύων, καὶ τότε οὐχὶ τοπικῆς συνόδου, ἀλλὰ οἰκουμενικῆς, εἰ μὴ οὐκ ἔσχεν ἀντιμαχόμενον τὸ ἔθος, ἀνάγκη φυλάττεσθαι αὐτόν. ἐπεὶ δὲ πολλὰ τῷ ἐπιχωρίῳ ἔθει ὁρῶμεν καταχρατήσαντα πολλάκις κανονικῶν διατάξεων, οὐδεμίαν ἔχομεν αἰσχύνην προσριβομένην ἡμῖν. τί γὰρ ὄφελος, ἐάντις ὢν κληρικὸς ἢ μοναχὸς, ἀλλότρια τοῦ ἐπαγγέλματος πολιτεύηται; τί δέ ἐστιν ἐμποδὼν, ἡ τῆς τριχῶν φυσικὴ περιβολὴ, ἐὰν ἐν τῷ τάγματι τῆς λαϊκῶν ἐξεταζόμενος κατὰ τὰς εὐαγγελικὰς διατάξεις πολιτεύηται, καὶ ἄξιον ἑαυτὸν παρασκευάζει, δι' ὧν πράττει, καὶ τοῦ ἱερατικοῦ καὶ τοῦ ἀρχιερατικοῦ ἀξιώματος;

Ζαχαρίας ὁ θεοφιλέστατος μητροπολίτης Χαλκηδόνος εἶπε· τὸν ἁγιώτατον πάπαν Ἰωάννην, καὶ ὑμᾶς, ἀδελφοὶ καὶ πατέρες, τὰς πρὸς τιμῆ ἡμετέραν ἐκκλησίαν σπουδῆς, καὶ σπουδῆς ἕνεκεν παραγενομένους, καὶ ὁ Θεὸς καὶ ἡ ἡμετέρα μετριότης ἀποδέχεται· καὶ γένοιτο καὶ ὑμῖν τυχεῖν τῆς ἴσων, τῆς χρείας ἀναπαύσης. περὶ δὲ τοῦ ἀπὸ λαϊκῶν, βούλομαι εἰπεῖν ὀλίγα. ὁ κανὼν φανερῶς καὶ διαρρήδην λέγει τιμῆ αἰτίαν, δι' ἣν τινα κωλύει ἀπὸ λαϊκῶν διθῦς ἐπὶ τὸν μέγαν τοῦτον ἀναβιβάζεσθαι θρόνον. λέγει γὰρ ὅτως, ὡς ἐάντις τῆς οἰκείας ἀρετῆς πεῖραν παράσχοι, καὶ ὁ βάρος αὐτοῦ δοκιμασθείη. ὥστε ἐὰν ἡ ἱκανὰ τῆς οἰκείας ἀρετῆς ἔργα παρεσχηκὼς, καὶ τὸν

τροπον ἔχων δοκιμασθέντα, ὁ κανὼν τὸν τοιοῦτον οὐ κωλύει. μάρτυς τοῦ λεγομένου ἡ ἁγία καὶ οἰκουμενικὴ δευτέρα σύνοδος, οὐ λόγοις, πράγμασι δὲ μᾶλλον μαρτυροῦσα τοῖς ὑπ' ἐμοῦ λεγομένοις. τὸν γὰρ Νεκτάριον ἄρτι τῷ θείῳ λουτρῷ προσελθόντα πατριάρχην Κωνσταντινουπόλεως ἀπέδειξεν. ἔχετε τούτου παράδειγμα Ἀμβρόσιον τὸν μέγαν, Ἐφραίμιον τὸν Ἀντιοχείας, Εὐσέβιον τὸν Καισαρείας, καὶ πολλοὺς, οὓς οὐδὲ ἐξαριθμήσασθαι διὰ τὸ πλῆθος δυνάμεθα. εἰ βούλεσθε δὲ καὶ γνώμην ἀνδρὸς διηγήσομαι, ὃν πατέρα καὶ καθηγητὴν ἡ τοῦ Θεοῦ ἐκκλησία ἐπιγράφεται, καὶ τοὺς ἐκείνου λόγους κανόνας ὀνομάζει, καὶ ἀποδέχεται. ἕνα οὖν τῶν ἐκείνου διηγήσομαι. περὶ γὰρ καταστάσεως ἐπισκόπων ἐπιστέλλων Ἀμφιλοχίῳ τῷ ἁγιωτάτῳ ἐπισκόπῳ Ἰκονίου, οὕτω πῶς φησί. εἰ δέ ἐστι τίς τῶν νεοφωτίστων; κἂν δοκεῖ τῷ Μακεδονίῳ, κἂν μὴ, ἐκεῖνος προβληθήτω ἐπίσκοπος. τυπώσεις δὲ αὐτὸν πρὸς τὸ δέον καὶ ἐν πᾶσι συνεργοῦντος, καὶ τὴν εἰς τοῦτο χάριν παρεχομένου. ὥστε οὐ μόνον ἀπὸ λαϊκῶν δεῖ προβιβάζειν εἰς ἀρχιερατικὸν ἀξίωμα, ἀλλὰ καὶ ἀπὸ νεοφωτίστων, ὡς αὐτὴ ἡ λέξις τρανῶς ἐδήλωσεν. ἂν ἄρα δηλονότι τοῦ βίου δοκιμὴν ἔδωκεν ἐν τῇ τῶν μυουμένων ἔτι καθιστάμενος χώρᾳ. πλὴν εἰ μὴ δὲ τοῦτο ἦν, ἀλλ' οὖν οἱ ῥηθέντες ἅγιοι ἀρχιερεῖς, ἱκανοί εἰσι πᾶσαν αἰσχύνην καὶ πᾶσαν μέμψιν ἀφ' ἡμῶν ἀφελεῖν. τούτους γὰρ ἅπαντας τοὺς εἰρημένους ἡ ἁγία τῶν Ῥωμαίων ἀποδεχομένη ἐκκλησία διαῤῥήδην βοᾷ σήμερον, ὅτι οὐ δεῖ πείθεσθαι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, ἀλλὰ μᾶλλον τοῖς πραττομένοις. ἐγὼ δὲ νῦν λέγω. καὶ ἐν αὐτῇ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐκ λαϊκῶν τινὲς εἰς ἀρχιερατικὸν θρόνον κατέστησαν, ὧν τὰ ὀνόματα ἡ ὑμετέρα ἁγιωσύνη ἡμῶν μᾶλλον ἐπίσταται. ἀλλὰ καὶ τὸ ἔθος αὐτὸ ἱκανόν ἐστι νικᾶν τὸν κανόνα. τοιαῦτα πολλὰ ὁρῶμεν σήμερον. ὑμεῖς οἱ φωστῆρες τῆς ἐκκλησίας, οἱ τὰς οἰκείας αὐγὰς *πᾶσαν τὴν οἰκουμένην πέμποντες, *ἐρεῖν ἔχετε, αὐτοὺς ψηλαφῶντες καὶ ἐρευνῶντες πολλὰ ποιοῦντας παρὰ τὸν κανόνα τοῖς ἔθεσιν ἑπομένους. ἀλλὰ καὶ τὸ ἔθος πολλάκις νικᾷ τὸ ἔθος. εἰς τὴν ἀνατολὴν εἰ μή ἐστι τις κεκαρμένος ἐν Χριστῷ, ἐπίσκοπος ἢ πατριάρχης οὐ γίνεται. ἡ δὲ δύσις καὶ τοὺς ὄντας μοναχοὺς κληρικοὺς ποιεῖ. τοῦτο δὲ ἡμεῖς οὐ γνωρίζομεν. ἔπειτα δὲ καὶ ὁ κανὼν τὸν ἀπὸ ἀγορᾶς σχολαστικὸν λέγει, ὥσπερ προλαβὼν καὶ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας εἶπε· τοιοῦτον δὲ οὐδέποτε ἡ καθ' ἡμᾶς ἐκκλησία ἀπεδέξατο. τί γὰρ χρὴ λέγειν ἐπὶ τοῦ ἁγιωτάτου ἡμῶν ἀρχιερέως· ὃς τοσοῦτον ἀπεῖχε σχολῆς ἀγοραίου, ὡς οὐδ' ἀτενέσιν ὀφθαλμοῖς ἐμβλέπειν αὐτῇ, ἢ τοιούτῳ τινὶ ἠδύνατο; καὶ γὰρ οὗτος διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν ἐν τοῖς πρώτοις μὲν κατελέγετο τῆς συγκλήτου βουλῆς. εἰ καὶ τὴν ἀνθρωπίνην παρητεῖτο τιμήν. τοσοῦτον δὲ ἔφευγε τοὺς ἐν τῇ ἀγορᾷ θορύβους, ἐφέσει τῶν κρειττόνων, ὡς καὶ τοὺς ἐν τοῖς ὄρεσιν ὄντας ἀστικοὺς καὶ πολίτας ἢ οὐδὲν πρὸς τοῦτον νομίζεσθαι. ὅμως λέγω καὶ τοῦτο. πολλοί μετὰ τούτου ἐψηφίσθησαν, καὶ κληρικοὶ καὶ μοναχοὶ, πάντων προεκρίθη κατὰ τὸν καιρόν. εἶτα οὐκ ἔστιν ἄτοπον καὶ παράλογον, ἵνα τοὺς τότε ὀπίσω γενομένους καὶ δευτέραν τάξιν λαβόντας, τοὺς αὐτοὺς πάλιν πρώτους νομισθῆναι. κἀκείνους μὲν τὴν ἐσχάτην ἔχοντας χώραν, ταῖς ἀρεταῖς εἰς τὸν ἀρχιερατικὸν ἀνέρχεσθαι θρόνον· τοῦτον δὲ ἁπάσαις ψήφοις κρατήσαντα ἐκείνων, ὡς τὴν ἐσχάτην χώραν ἀναπληροῦντα, βαθμοὺς καὶ καιροὺς ἀναμετρεῖν εἰς μάτην, τὸν ἤδη ταῖς ἀρεταῖς προδιαμετρήσαντα. περὶ δὲ τοῦ ἁγίου Ταρασίου ἐλέχθη παρ' ὑμῶν, ὅτι πολλοὺς αἱρετικοὺς ἐπέστρεψε. καὶ ἀληθὴς ὁ λόγος. τούτου δὲ καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ ὑπὲρ εὐσεβείας ἀθλοῦντες ἐναπέθανον. ὧν τὴν ὁδὸν ἐκ παίδων οὗτος ὁ δεσπότης ἡμῶν ὁ ἁγιώτατος πατριάρχης ἀκλινεστάτῃ πορείᾳ διήνυε, κἂν τῷ ἱερῷ τούτῳ ἀνεληλυθὼς θρόνῳ, τὸ αὐτὸ μὲν ποιεῖν οὐκ ἠμέλησεν· οὐκ ἐν ἑαυτῷ δὲ μόνῳ, οὐδὲ ἐν τῷ ὑπὸ χεῖρα λαῷ τὴν εὐσέβειαν περιέγραψεν· ἀλλὰ μικροῦ πᾶσαν ἐπῆλθε τοῖς λόγοις τὴν γῆν, τῆς πλάνης τοὺς ἀνθρώπους ἐπιστρεφόμενος. καὶ μάρτυς ἡ Ἁρμενίων χώρα, ἥτε Μεσοποταμία, καὶ ἔθνη ὁλόκληρα βαρβαρικὸν καὶ ὠμὸν, τὸ πρὶν διαζῶντα βίον ταῖς αὐτοῦ διδασκαλίαις τῆς παλαιᾶς ἀπαλλαγέντα πλάνης, καὶ πρὸς τὸ φῶς χειραγωγηθέντα δι' αὐτοῦ τοῦ τῆς εὐσεβείας κηρύγματος. καὶ ὅσους ἄν τις τῷ λόγῳ παραστῆσαι βουληθείη, πολὺ τῶν ἔργων καταδεεστέρους ἀποδείξει.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· οἱ ἀπόστολοι ἐξελέξαντο Ἰωσὴφ, τὸν καὶ Βαρσαβᾶν, ἰσαρίθμον αὐτῶν γενέσθαι· ἀλλ' ἡ χάρις τοῦ παναγίου πνεύματος τὸν ἱερώτατον Ματθίαν τῆς ἀποστολικῆς ὁμηγύρεως τῷ χορῷ συγκαταλέξασα, συμψήφους αὐτοὺς γενέσθαι τῷ ἐπιπεσόντι αὐτῷ κλήρῳ παρεσκεύασεν. οὐδὲν οὖν ἀπεικὸς καὶ ἡ ὑμετέρα ἁγιωσύνη χάριτι θείᾳ Φώτιον τὸν ἁγιώτατον πατριάρχην ἐψηφίσατο. ὁ δὲ ἀποστολικὸς πάπας τὰ νῦν ἐλθὼν, καὶ ἐπεκύρωσε μεθ' ὑμῶν, καὶ συναπεδέξατο. πλὴν εἰ κελεύει ἡ ὑμετέρα ἁγιωσύνη, ἐλθέτω καὶ ἡ πεμφθεῖσα πρότερον τοῦ Ἱεροσολύμων πρὸς τὸν βασιλέα ἐπιστολή. δίκαιον γάρ ἐστι κἀκείνην ἀναγνωσθεῖσαν μὲν πάλαι κατενώπιον ἡμῶν, καὶ νῦν κατενώπιον τῶν λοιπῶν ἀδελφῶν καὶ συνεπισκόπων ἡμῶν, τῶν μὴ τότε παραγενόντων, ἀναγνωσθῆναι, καὶ ἐνταγῆναι τοῖς πεπραγμένοις. καὶ δὴ προτραπεὶς Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω.

* ἀναπᾶσαν

εὑρεῖν ἔχετε, ἑαυτοὺς

Τῷ

Τῷ ὑπὸ τῆς ἄνωθεν θείας προμηθείας ἐστεμμένῳ, ὁδηγουμένῳ, καὶ διακυβερνωμένῳ δεσπότῃ, ἀγαθοποιῷ, εἰρηνικῷ, νικοποιῷ, θεοσυμμάχῳ, σεβαστῷ, φιλοχρίστῳ, χριστιανικωτάτῳ, ἐπιεικεῖ, καὶ πρᾳοτάτῳ Βασιλείῳ, βασιλεῖ Ῥωμαίων, Θεοδόσιος ἐλάχιστος Θεοῦ ἐλέει πατριάρχης Ἱεροσολύμων, τετολμηκὼς γράφω.

Μέγας ὁ κύριος καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. κατὰ τὸ μέγα αὐτοῦ ἔλεος, καὶ ἀνέκφραστον μεγάλην σωτηρίαν εἰργάσατο τοῖς ἐν οἰκουμένῃ χριστιανοῖς προσδοκῶσι τὴν ἀνεκδιήγητον παράκλησιν, ἀναστήσας τὸ μέγα κράτος καὶ ἀσύγκριτον τῆς βασιλείας ὑμῶν· ἐν ᾗ κέρατα ἁμαρτωλῶν πολεμίων πάντων συνθλῶνται, καὶ τὸ μετολίγον καὶ τὸ κατάλοιπον εἰς τὸ παντελὲς θλασθήσεσθαι μέλλει· καὶ κέρας δικαίων καὶ εὐσεβῶν σὺν εὐδαιμονίᾳ ὑπερυψωθήσεται, τροπαιοφόροις νίκαις καὶ μεγαλοπρεπέσι σκηπτουχίαις ὑμῶν· ἐν ᾗ τὸ παμποίκιλον τῆς ὀρθοδόξου πίστεως σεμνολόγημα, ὡς κρίνον ἐξανθεῖ· καὶ πᾶς κατηφὴς ἐν χρονίῳ ἀθυμίᾳ, θάλλει τῇ ψυχῇ αὐτοῦ, ἐπ' ἐλπίδι τῶν χαρμονικῶν προοιμίων, ὡς ἤδη ἐν αὐτοῖς εὐωχούμενος· ἐν λύπῃ πᾶσα ἀφανισμῷ παραδίδοται, εἰς τέλειον δὲ ἔργον ἐλθεῖν τοῦτο, ἡμεῖς οἱ ἀνόμων χερσὶ καταχεθέντες διὰ τὰς ἡμῶν ἁμαρτίας, ἐνδελεχῶς λιτανεύομεν. ὅτι πάνυ, προφητικῶς εἰπεῖν, ἐπτωχεύσαμεν· καὶ ἡ ὀδυνηρὰ ἡμῶν ζωὴ τῷ ᾅδῃ προσήγγισε· βοηθῆσαι ἡμῖν κύριος ὁ Θεὸς, ὁ τὴν ἁγίαν βασιλείαν ὑμῶν ἀναστήσας, δι' ἧς τὸ μνημόσυνον τῶν ἐπαχθεστάτων ἐχθρῶν καὶ πικρῶν τυράννων ἐκ γῆς ἐξολοθρεύσειε, καὶ τὰς ψυχὰς ἡμῶν τῶν ἐν ἐσχάτῃ ταπεινώσει πενητευόντων διασώσειε, καὶ ἐξ ἀδικίας αὐτῶν λυτρώσαιτο. ἐπεὶ ὡς ἡ ἀκαταίσχυντος ἐλπὶς, θεόστεπτοι βασιλεῖς, τοῖς ἁπανταχοῦ χριστιανοῖς εὐαγγελίζεται ἐξαστραπῆς τῶν ἀριστευμάτων τῆς ὑμῶν δεσποτείας, τὰ τῆς ἀπολυτρώσεως ἡμῖν εἰς πέρας ἥξει· καὶ ἡμεῖς οἱ ἐλεεινοὶ οὔπω τυχόντες αὐτῆς, τῆς θείας προνοίας ἀγούσης τὰ καθ' ἡμᾶς, δι' ὑμῶν εὐπλοήσομεν. τὸ δὲ νῦν ἔχον ἱκετικῶς ἐν συνοχῇ οἰμωγῶν, μετὰ συντριμμοῦ ἀλγινῆς καρδίας, προσκυνήσιν δουλικὴν προσάγω τῇ θεοψηφίστῳ ὑμῶν βασιλείᾳ, ἐλεῆσαι τὴν ἐκκλησίαν τῆς ἁγίας ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ κατοικτειρῆσαι Σιὼν τὴν μητέρα τῶν ἁγίων ἐκκλησιῶν· ἐν ἐν καιρῷ ἐπισκοπῆς τῆς ἀσυγκρίτου βασιλείας ὑμῶν μὴ ἀποπέσωσι κινδύνῳ ἀφανισμοῦ. οὐ γὰρ ῥητῶς ἐξικνούμεθα σαφηνίσαι τὰς προσγινομένας αὐταῖς θαμινῶς ἀφορήτους ζημίας. οἱ γὰρ κίνδυνοι ἄπειροι, καὶ οἱ πειρασμοὶ ἄστεκτοι ὄντες οὐχ ὑποπίπτουσι διηγήματι. διὸ ἀξιωθείημεν θεομιμήτου ἐλέους ἐκ τῆς βασιλείας ὑμῶν. ὅταν γὰρ ἤλθομεν εἰς ἐσχάτην ταπείνωσιν, ἀπώλειαν ἀπελοῦσαν ἡμῖν, τότε ὑπὸ τῆς κατεχούσης βίας ἠξιώσαμεν τὸν εὐλαβέστατον κύριον Ἀνδρέαν τὸν κασίγνητον τοῦ ὁσίου ἡμῶν τοποτηρητοῦ τοῦ κυρίου Ἠλία τοῦ συλίτου, ἀπάραι πρὸς τὸ ὑμέτερον θεόδμητον κράτος, ἐπιφερόμενον καὶ τὸ ψιλὸν ἡμῶν δεκτικὸν τοῦτο γράμμα, ὃς βεβαιώσει ἐνώπιον τῆς ὑμετέρας ἁγίας βασιλείας τὰ καθ' ἡμῶν δεινὰ καὶ τυραννικὰ, ἐν ὅσῳ ὁ προῤῥηθεὶς βέλτιστος ὁμαίμων αὐτοῦ αὐτόθι πρὸς τὴν ὑμετέραν βασιλείαν προσκαρτερεῖ, χάριν καταστάσεως τῶν ἐκκλησιαστικῶν θεσμῶν τε καὶ βαθμῶν, καθαίρεσιν δὲ καὶ ἀφανισμῶν τῶν τοῦ ἐχθροῦ πονηρευμάτων. ἐν ἄλλο γὰρ τὸ πιστὸν οὐκ εἴχομεν, ὥς τε τούπῳ ὑπηρετῆσαι, πλὴν Ἀνδρέου τοῦ προῤῥηθέντος αὐταδέλφου τοῦ ἡμῶν τοποτηρητοῦ Ἠλία· ὅτι ἡ ἀνάγκη ἡμᾶς τοσοῦτον κεκίνηκεν, ὥς τε αὐτὸν ἐκλέξασθαι διακονῆσαι τὴν τοιαύτην ἐλπιδιφόρον διακονίαν. ἐν τούτοις οὖν πᾶσι τοῖς ταῖς ἁγίαις ἐκκλησίαις συμβεβηκόσι, δεκτικῶς τολμῶντες ἀνηγγείλαμεν τῇ φιλοσυμπαθεστάτῃ ὑμῶν βασιλείᾳ, ἀξιῶσαι αὐτὰς ἐλέους, ἐν τὸν δυνατὸν τρόπον βοηθῆσαι αὐταῖς. τοῦτο δὲ θεσπίζομεν, μᾶλλον δὲ συνοδικῶς ἐθεσπίσαμεν διὰ τῶν καθ' ἡμᾶς ἀποστολικῶν θρόνων, καὶ πασι διαγγέλλομεν, καὶ κηρύττομεν, ὡς κανόνα *ἀπαράτρωπον. εἴτις οὐκ ἀποδέχεται τὸν ὅσιον καὶ περιβόητον συλλειτουργὸν ἡμῶν ἀδελφὸν κύριον Φώτιον, τὸν τῆς βασιλίδος πατριάρχην, ἐν αὐτῷ οὐ συνιερατεύει, ἤτω ἀνάθεμα, καὶ ἔστω καθῃρημένος ἐξ αὐθεντίας τῶν ἁγίων ἀποστολικῶν θρόνων. εὐχαῖς δὲ αὐτῶν κατέσχοι τὸ ἅγιον κράτος ὑμῶν ἄκρα γῆς πάσης, εἰς ἐν συνάγον τὰ διεσκορπισμένα τέκνα τῆς καθολικῆς ἐκκλησίας. σὺ γὰρ ἀνέστης οἰκτειρῆσαι τὴν Σιὼν, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν.

* ἀπαρατρωπτον.

Ψαλ. 146.

Ἰωάν. 11.

Ψαλ 101.

Ἡ ἁγία σύνοδος ἀπεκρίθη· τὰ συνοδικῶς παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων θεσπισθέντα, καὶ ἡ ἡμετέρα μετριότης ἀποδεχομένη, τοὺς μὴ οὕτω φρονοῦντας τῷ ἀναθέματι παραπέμπει. οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον πρὸς Ἠλίαν τὸν θεοσεβέστατον πρεσβύτερον, καὶ τοποτηρητὴν τῆς ἀνατολῆς· πότε ἦλθεν ἡ ἐπιστολὴ αὕτη, καὶ παρὰ τίνος ἀπεκομίσθη; Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολῆς εἶπε. ταύτην ἀπέστειλε Θεοδόσιος ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων, συνοδικῶς μὲν προαποδεξάμενος Φώτιον τὸν ἁγιώτατον πατριάρχην, παρούσης καὶ τῆς εὐτελείας μου ἐκεῖσε, μᾶλλον δὲ ἣν εἶχε περὶ αὐτοῦ ἀρχαίαν ὑψηλὴν ἐν μεγάλην ὑπόληψιν ἐβεβαίωσε. μετέπειτα δὲ ἡνίκα ὁ καιρὸς ἐκάλει, ἀπέστειλε ταύτην δι' Ἀνδρέου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ μοῦ γνησίου ἀδελφοῦ, οὐ μόνον τοῦ Ἱεροσολύμων, ἀλλὰ καὶ τοῦ τῆς Ἀντιοχείας προέδρου συμψήφου γενομένου τῇ συνοδικῇ ταύτῃ ἐπικρίσει.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν. ἰδοὺ νῦν καθὼς οἱ τῆς ἀνατολῆς ἁγιώτατοι πατριάρχαι προαπέστειλαν συνοδικὰς ἐπιστολὰς ἐπικυροῦντες, καὶ ἀποδεχόμενοι Φώτιον

τὸν

τὸν ἁγιώτατον πατριάρχην, ὡσαύτως καὶ ὁ δεσπότης ἡμῶν ὁ οἰκουμενικὸς πάπας ἀπέστειλεν ἐπιστολὴν, ἣν καὶ προηκούσατε ὁμοφωνοῦσαν μὲν κατὰ πάντα τοῖς εἰρημένοις ἁγιωτάτοις πατριάρχαις, ἐπὶ τῇ ἀποδοχῇ καὶ ἀποκαταστάσει τοῦ εἰρημένου ἁγιωτάτου πατριάρχου· καὶ ἔχει αὐτὸν ἀδελφὸν καὶ συλλειτουργόν· ἀλλ' ἐπειδὴ οἱ πάλαι παραγενόμενοι ἀπὸ τῆς ἀνατολῆς, οἱ περὶ Θωμᾶν καὶ Ηλίαν, ὡς ὁμοφώνως παρὰ πάντων ἀκούομεν, Σαρακηνοὺς μὲν αἰχμαλώτους ἐπεζήτουν, καὶ παρὰ Σαρακηνῶν ἐπὶ τῇ τῶν συγγενῶν αὐτῶν * ἀναῤῥήσει ἀπεστάλησαν, καὶ Σαρακηνῶν ἀποκρισιάριοι ἐχρημάτιζον· παρ' οὐδενὸς δὲ τῶν πατριαρχῶν ἀπεσταλμένοι ἦσαν, οὐδεμίαν ἐκκλησιαστικὴν ἐμπεπιστευμένοι δουλείαν. ἀλλὰ καὶ ἐξ αὐτῶν ὁ Ηλίας πάλαι κατακεκριμένος ἦν, καὶ ἀπόβλητος τοῦ χοροῦ τῶν χριστιανῶν· διὰ τοῦτο ἐξετάζομεν περὶ τῶν ἀρτίως παραγεγονότων ἀδελφῶν, καὶ τὰς ἀρχιερατικὰς ἐπιστολὰς ἐπικομιζομένων, καὶ τὸ πρόσωπον ἐπέχοντας τῶν τῆς ἀνατολῆς ἀρχιερατικῶν θρόνων. γέγραπται γὰρ, ὅτι ἀλήθεια ἐξεταζομένη καθαρωτέρα γίνεται. ἠκούσατε τοίνυν τὰς ἀποκρίσεις τῶν ἀδελφῶν τούτων, καὶ πῶς ὁμονοοῦσι αἱ τῶν ἀνατολικῶν ἐκκλησίαι;

* ἀναῤῥύσει

Παῦλος καὶ Εὐγένιος οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον· οὐ μόνον τὰς ἐπιστολὰς, ἀλλὰ καὶ αὐτὸν τὸν ἐπιστοληφόρον κύριον Ανδρέαν τὸν εὐλαβέστατον μοναχὸν εἴδομεν, ποιήσαντα μεθ' ἡμῶν ἡμέρας ἱκανὰς, οὗ καὶ τὴν πίστιν ἀκριβῶς ἀνακρίναντες εὕρομεν αὐτὸν καθαρῶς τὰ τῆς ἐκκλησίας πρεσβεύοντα δόγματα, ἐξ οὗ καὶ τῆς πίστεως ἐδεξάμεθα λίβελλον· ἡ ἁγία σύνοδος εἶπεν· ἔδει μὲν ἐκείνους ἀθεμίτου κατάρξαντα ἔργου, καὶ Σαρακηνῶν φρονήματα ἔχειν, καὶ Σαρακηνῶν ὑπηρέτας εἶναι, καὶ τῆς ἐκκλησίας ἀπωσμένους· οὓς δὲ ἀπέλυσαν οἱ ἁγιώτατοι πατριάρχαι, ἀληθῶς οὗτοι τοποτηρηταὶ αὐτῶν εἰσὶ, καὶ τῶν ἀποστόλων μαθηταὶ, καὶ τῆς ἐκκλησίας θρέμματα, καὶ ἐκκλησιαστικὴν καταπεπιστευμένοι διακονίαν,

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τὰ μὲν τότε γεγονότα Θεὸς λήθῃ βαθείᾳ παραδοίη, καὶ ἡμᾶς αὐτῶν ἀμνηστίαν τε καὶ ἀμνησικακίαν διατηρεῖν ἐνισχύσαι. πολλῷ γὰρ ἀμείνονα ταῦτα ποιεῖ ἡ σιγὴ, ἢ καὶ βραχεία τις καὶ συντετμημένη περὶ τούτων διάλεξις. πλὴν κατὰ τὸν καιρὸν ἐκεῖνον ἡνίκα ἡμεῖς μὲν ἠλαυνόμεθα τοῦ θρόνου, ἅπαξ δὲ τῶν ἀρχιερέων Θεοῦ καὶ ἱερέων ὁ κατάλογος μετὰ τὴν στέρησιν τῶν οἰκείων θρόνων πικραῖς ἐνεταλεπωρεῖτο κακουχείαις, εἶπον πρὸς τοὺς τότε παρόντας· ὡς εἰ μὲν κατ' ἐμοῦ τὴν πᾶσαν ὀργὴν ἔχετε, ἄφετε μὲν τούτους ὑπάγειν. κατ' ἐμοῦ δὲ οἷον ἂν καὶ τὸ θέλημα ὑμῖν ἐπιτάσσοι ἔγκλημα ἀναπλάσαντες προενείκατε. καὶ ἀντὶ τῆς τούτων ἁπάντων ἐλευθερίας τε καὶ ἀφέσεως ἕτοιμός εἰμι καὶ κατ' ἐμοῦ τὸ ἔγκλημα ἀνομολογεῖν. πλὴν εἰ μὴ ἀσέβειαν περιέχει, καὶ ὑμᾶς εἰς κόρον ἐμπλήσαι τοῦ ὑμετέρου θελήματος. παραδίδωμι γὰρ ἑμαυτὸν συνομολογῶν ὑμῖν τὴν κατ' ἐμοῦ κατηγορίαν, ποιεῖν εἰς ἐμὲ ἅπερ ἂν ἡ ὁρμὴ βούλοιτο. μόνον τοῦτο τὸ ἐλεεινὸν καὶ τραγικὸν διήγημα εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν μὴ παρεισαγάγητε, μὴ δὲ τοσοῦτον καὶ τηλικοῦτον λαὸν ὀρθοδοξίᾳ τε ἀνέκαθεν ἀνακείμενον, καὶ Θεῷ καθιερωμένον ὅσον ἧκεν εἰς τὴν ἡμετέραν γνώμην, μὴ θανάτῳ καὶ λιμῷ, καὶ ὑπερορίᾳ, καὶ πᾶσι κακοῖς παραδώσετε. μὴ δὲ τὰ χριστιανῶν ὄργια γέλωτα πᾶσιν ἕλλησί τε καὶ βαρβάροις, μήτε χριστιανοῖς προθήσετε· μὴ δὲ τηλικαύτῃ αἰσχύνῃ τὰ χριστιανῶν περιβάλητε νόμιμα. ἀλλ' ἐγὼ μὲν ἐβόων ταῦτα, καὶ διεμαρτυρόμην, καὶ πράττειν ἕτοιμος ἦν τὴν ὑπόσχεσιν· τὴν τῶν πολλῶν καὶ ἀθώων καὶ ἀνευθύνων σωτηρίαν τῆς ἐμῆς, ὡς ἂν ἐκεῖνοι φαῖεν, ἀπωλείας ἀνταλλασσόμενος. ἀλλ' ὁ μὲν τῆς ὁρμῆς αὐτῶν πρόλογος ἦν καθ' ἡμῶν. ἡ δὲ τῆς ὀργῆς ῥύμη συνελαύνει καὶ πάντας, οὐ μόνον ὅσος ὁ ἱερὸς θεσμὸς εἰς τὸν προκεκριμένον ἔφερε κατάλογον, ἀλλὰ καὶ ἁπλῶς πάντας, ὅσοι δήποτε ἱερωσύνης καὶ θεοσεβείας γνωρίσματα ἔφερον. ἀλλ' ἐκεῖνα μὲν, ὥσπερ ἔφημεν, ἔχει σιγὴ καὶ ἐχέτω. ὁ δὲ τῶν ἀνεξιχνιάστων κριμάτων κύριος, καὶ τῶν ἀνελπίστων ἀγαθὸς χορηγὸς, πρὸς μόνην ἡμῶν τὴν τότε προαίρεσιν ἐπιδὼν, παραδόξως καὶ παρ' ἐλπίδα πᾶσαν ἀνθρωπίνην ἅπαντα μὲν ἐκεῖνα τὰ τολμήθια καταστροφῇ δικαίου παρέδωκε. τὴν δὲ τοῦ ὑψηλοῦ καὶ μεγάλου βασιλέως ἡμῶν καρδίαν, ἅτε δὴ τῇ χειρὶ αὐτοῦ περικρατουμένην τε καὶ περιφρουρουμένην, ἀνεκίνησεν ἀναλαβεῖν τὰ ἐλέη αὐτοῦ ἐφ' ἡμᾶς· καὶ ἃ προώρισεν, ὡς ἔδειξε, ταῦτα καὶ εἰς τέλος ὑπὲρ λόγον, ὡς ὁρᾶτε, παρεστήσατο.

Ηλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς τῆς ἀνατολῆς εἶπε· γινώσκει ἡ ἀγαθότης τοῦ Θεοῦ, ὅτι οὔτε τὸν πατριάρχην κύριον Φώτιον προεῖδον, οὔτε γράμμα παρ' αὐτοῦ ἐδεξάμην, οὔτε συνέτυχον αὐτῷ ἐν ἐκείναις ταῖς ἡμέραις· ἀλλὰ διὰ τὴν ἐκκλησίαν, καὶ τὴν ἀρετὴν αὐτοῦ, καὶ τὴν ἀθέμιτον εἰς αὐτὸν γεγενημένην ἀπόνοιαν, καὶ τοὺς ψευδοτοποτηρητὰς τοὺς ἀθέους ἐκείνους, διὰ ταῦτα παραγέγονα. Παῦλος καὶ Εὐγένιος οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· ὡς αὐτὴ ἡ ἀλήθεια μαρτυρεῖ, οὔτε κατὰ προσπάθειαν οὔτε κατὰ δωροδοκίαν λέγομεν· ἀλλ' ὡς ὁ Θεὸς ἐπίσταται, καὶ αὐτὸς ὁ ἅγιος βασιλεὺς ἐμαρτύρησε τήν τε συμπάθειαν, καὶ τὴν ἐλεημοσύνην, καὶ τὸ ὑπεραναβεβηκὸς τῆς ἀρετῆς τοῦ ἀνδρὸς, ὅτι τοιοῦτον ἄνθρωπον πολλὰ ἔτη ἔχει ἡ Κωνσταντινοπολιτῶν ἐκκλησία μὴ δεξαμένη.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἡμεῖς ἁμαρτωλοὶ καὶ ταπεινοὶ ἐσμὲν· αὐτὸν δὲ τὸν ἄξιον μισθὸν τῆς πρὸς ἡμᾶς διαθέσεως ἀπολήψεσθε. εἰ μὲν οὖν περὶ ἄλλου τινὸς ὁ λόγος καὶ

ἡ

ἡ προκειμένη ὑπόθεσις, πολλὰ ἂν εἶχον λέγειν. ἐπειδὴ δὲ περὶ ἐμαυτοῦ ἐστὶ, τὸ ἀνεπαχθὲς τῶν τοιούτων διευλαβούμενος λόγων, ἄμεινον τὸ σιγᾶν, εἰ μή τις κατεπάγει μεγάλη ἀνάγκη πρὸς τὸ λέγειν, ἡγοῦμαι.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε. τὸ εὐαγγελικὸν ἀποπληροῖς λόγιον τὸ Φάσκον. ὅτι ἐγὼ τὴν δόξαν μοῦ οὐ ζητῶ. ἔστιν ὁ ζητῶν καὶ κρίνων. ἀλλὰ τὰ μὲν περὶ τούτων ὁ καιρὸς ἐδοκίμασεν. εἰ δοκεῖ δὲ τῇ ἁγίᾳ ταύτῃ καὶ εἰρηνικοτάτῃ συνόδῳ, ἀναγνωσθήτω καὶ τὸ ἐπιδοθὲν ἡμῖν κομμονιτόριον, ἤτοι ἔνταλμα, παρὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πάπα Ἰωάννου. ἐν ᾧ καὶ πάντες οἱ καθ' ἡμᾶς ἀρχιερεῖς καὶ ἐπίσκοποι ὑπέγραψαν. ἡ ἁγία σύνοδος εἶπεν. ἀναγνωσθήτω. καὶ δὴ ἀναστὰς Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις, διὰ Λέοντος πρωτοσπαθαρίου καὶ ἑρμηνέως ἀνέγνω.

Ἰωαν. 8.

Κομμονιτόριον τοῖς ἀδελφοῖς Παύλῳ καὶ Εὐγενίῳ τοῖς ἐπισκόποις· ὡσαύτως καὶ Πέτρῳ πρεσβυτέρῳ καὶ καρδηνάλει ἡμῶν τοῖς ἐν Κωνσταντινουπόλει ἀπεσταλμένοις.

ΚΕΦΑΛ. Α'.

Μετὰ τῆς Θεοῦ βοηθείας καὶ τῶν πρεσβειῶν τῶν ἁγίων ἀποστόλων ἐν Κωνσταντινουπόλει εἰσερχομένων ὑμῶν, ὅπου προστάξει ὁ βασιλεὺς ἐκεῖσε μετατέθητε. καὶ πρὸ τοῦ τὸν βασιλέα θεάσασθαι, ἄλλῳ τινὶ τὰς ἀποστολικὰς ἐπιστολὰς μὴ θελήσητε δοῦναι. παραστάντων δὲ ὑμῶν ἐνώπιον τοῦ βασιλέως, τὰς ἐπιστολὰς παράσχετε, τοιούτοις ῥήμασιν αὐτῷ προσφθεγγόμενοι· προσκυνεῖ τὴν ὑμετέραν ἐκ Θεοῦ βασιλείαν ὁ πνευματικὸς ἡμῶν πατὴρ ὁ κύριος Ἰωάννης ὁ ἀποστολικὸς πάπας. τὸ ὑμέτερον ἐκ Θεοῦ κράτος ταῖς αὐτοῦ καθ' ἑκάστην ἱκεσίαις παρατιθέμενος τῷ ἁγίῳ Θεῷ· ἵνα ὁ τοιαύτην ὑμῖν ἐπιθυμίαν δοὺς, διὰ τὸ πρᾶγμα τῆς ἐκκλησιαστικῆς εἰρήνης ἀντικαταπέμψῃ ὑμῖν τὴν χάριν αὐτοῦ, καὶ παραμυθήσηται ὑμᾶς τῇ αὐτοῦ κατευοδώσει, καὶ τελειώσαι ἐν ἀγαθοῖς τὸ θέλημα ὑμῶν.

ΚΕΦΑΛ. Β'.

Εὰν θελήσει ὁ βασιλεὺς, πρὸ τοῦ τὰς ἐπιστολὰς ἀναγνῶναι, τὰ τῆς ἀποκρίσεως ἡμῶν ἀναμαθεῖν κεφάλαια, τοιούτοις ῥήμασιν αὐτῷ προσείπατε. εἰ κελεύει ἡ βασιλεία ὑμῶν, ἰδέτω τὰς ἐπιστολάς. καὶ ἐὰν εἴπῃ· τί περιέχουσιν αἱ ἐπιστολαὶ; ἀποκρίθητε αὐτῷ· προσκυνήσεις πρὸς τὴν ὑμετέραν εὐσέβειαν, καὶ λόγους τῆς ἐκκλησιαστικῆς εἰρήνης συγκροτοῦντας τὸν σύνδεσμον, καὶ παντὶ τρόπῳ καλῶς ἀποπληροῦντας.

ΚΕΦΑΛ. Γ.

Τῇ δὲ ἑτέρᾳ ἡμέρᾳ προσαγορεύοντες Φωτίῳ τῷ ἁγιωτάτῳ, ἐπίδοτε καὶ τὴν ἐπιστολὴν, ἀσπαζόμενοι αὐτὸν πρεπόντως τοιούτοις ῥήμασι· προσκυνεῖ σε ὁ κύριος ἡμῶν Ἰωάννης ὁ ἀποστολικὸς πάπας, καὶ θέλει ἔχειν σε ἀδελφὸν καὶ συλλειτουργόν.

ΚΕΦΑΛ. Δ'.

Καθὼς ἀπέστειλεν ὁ βασιλεὺς, ἵνα διὰ τὴν εἰρήνην τῆς ἐκκλησίας ἀποδεξώμεθα τὸν ἁγιώτατον πατριάρχην Φώτιον ἀδελφὸν καὶ συλλειτουργὸν ἡμῶν. εἰσηκούσαμεν τῆς δεήσεως ὑμῶν. καὶ κελεύομεν ἵνα ἐνώπιον ὑμῶν ἔλθῃ εἰς τὴν σύνοδον, καὶ ἀποδέξηται αὐτὸν πᾶσα ἡ ἐκκλησία κατὰ τὴν διάταξιν τῶν γραμμάτων ἡμῶν. ἀποδέξησθε αὐτὸν καὶ ὑμεῖς συγκοινωνὸν καὶ συλλειτουργόν. καὶ ἵνα εὐχαριστίαν καὶ ἔλεος τῆς ἐκκλησίας τῶν Ρωμαίων προσφέρῃ.

ΚΕΦΑΛ. Ε'.

Ἀναστάντες εἴπατε αὐτῷ· κελεύει ὁ κύριος ἡμῶν ὁ ἁγιώτατος πάπας· ἵνα πάντες οἱ ἐν διαφόροις ὄντες τόποις ὑπερόριοι, εἴτε ἐπίσκοποι, εἴτε πρεσβύτεροι, εἴτε ἄλλοι τινὲς, καὶ οὐκ ἠθέλησαν ἕως τοῦ παρόντος κοινωνῆσαι μεθ' ὑμῶν· διὰ τοῦ μόχθου ὑμῶν ἑνωθῶσι τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, καὶ γένωνται ἓν μεθ' ὑμῶν. ἐρχομένων δὲ αὐτῶν ἀποδέξεται αὐτοὺς, ὡς πατὴρ τέκνα· καὶ νουθετήσει αὐτοὺς πολλάκις, ἵνα διὰ τὴν εἰρήνην τῆς τοῦ Θεοῦ ἐκκλησίας ὁμονοήσωσι μετὰ τοῦ ἀποστολικοῦ, καὶ κρατήσωσι μετ' αὐτοῦ ἓν θέλημα, ἀποδεχόμενοι Φώτιον τὸν ἁγιώτατον πατριάρχην, καὶ γινόμενοι αὐτοῦ συγκοινωνοί. οἱ δὲ * ἀρχόμενοι, ὅσοι μὲν προεχειροτονήθησαν, ἵνα ἀπολάβωσι τοὺς θρόνους αὐτῶν. οἱ δὲ ἐσχάτως χειροτονηθέντες, ἵνα ἔχωσιν ἐκ τῶν αὐτῶν ἐπισκόπων διατροφὰς καὶ σκεπάσματα ἀρκοῦντα.

* ἐρχόμενοι

ΚΕΦΑΛ. ϛ'

Καθεσθέντων ὑμῶν ἐπὶ τῆς συνόδου μετὰ τοῦ προῤῥηθέντος ἁγιωτάτου πατριάρχου, καὶ τῶν τῆς ἀνατολῆς τοποτηρητῶν, ἅμα τοῖς λοιποῖς ἀρχιεπισκόποις καὶ μητροπολίτοις, καὶ πᾶσι τοῖς ἱερεῦσι τῆς Κωνσταντινοπολιτῶν ἐκκλησίας, πρῶτον ἀναγνωσθήτωσαν αἱ ἐπιστολαὶ, αἱ πρὸς τὸν βασιλέα ἀποσταλεῖσαι· καὶ ἐρωτηθήτω ἡ σύνοδος, εἰ ἀποδέχεται αὐτάς, καὶ ἐὰν φυλάττωσι τὰς μαρτυρίας ἃς περιέχει ἡ ἐπιστολή. ἀποκριναμένων αὐτῶν εἴπατε. ὁ κύριος ἡμῶν ὁ ἁγιώτατος πάπας πάσαν τῶν ἐκκλησιῶν φροντίδα ποιούμενος, καὶ τῆς ὑμετέρας σωτηρίας, καὶ ἑνώσεως, καὶ εἰρήνης προμηθούμενος, ἀπέστειλεν

Pars Secunda.

λον ἡμᾶς τὰς δόλους αὐτοῦ, ἵνα τοὺς διεσκορπισμένους συναγάγωμεν, καὶ τοὺς διεσπασμένους εἰρηνεύσωμεν, καὶ τῷ ἐλέει τῆς ἐκκλησίας χεῖρα ὀρέξωμεν, τοὺς κατερραγμένους ἀνορθώσωμεν. ἵνα πάντες ἓν σῶμα δοξάζωμεν τὸν πατέρα σὺν υἱῷ καὶ ἁγίῳ πνεύματι. ἔστι τοῦτο καλὸν, εἰ ἀχί; ἡ ἁγία συνοδος εἶπεν· ὅσα πρὸς εἰρήνην καὶ ὁμόνοιαν τῆς ἐκκλησίας εἰσὶ, καὶ καλὰ καὶ ἀποδεκτὰ ἡγούμεθα.

ΚΕΦΑΛ. Ζ'.

Τοὺς δὲ διαμένοντας ἐν τῇ αὐτῇ αὐθαδείᾳ καὶ ταραχῇ, καὶ εἰς τὴν σύστασιν τῆς ἐκκλησίας καὶ τῆς ἀδελφῶν μὴ θέλοντας συνελθεῖν, μηδὲ τὸν σύνδεσμον τῆς ἀγάπης διαφυλάξαι, μέχρι β'. καὶ γ'. νουθεσίαν ὑμῶν τε καὶ τῆς ἁγίας συνόδου, ποιήσατε αὐτοὺς ἀκοινωνήτους, καὶ παντὸς τάγματος ἐκκλησιαστικοῦ ἀφορίσατε, ἕως ἂν σύνωσιν τῷ οἰκείῳ πατριάρχῃ, καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ.

ΚΕΦΑΛ. Η'.

Ἐξακολουθοῦντες τοῖς κανόσι τῶν ἁγίων πατέρων λέγομεν, ἵνα μὴ τὴν ἀποβίωσιν Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου μηδεὶς ἀπὸ κοσμικοῦ ἀξιώματος εἰς τὸν θρόνον Κωνσταντινουπόλεως ἀνελθῇ, καθὼς καὶ αἱ ἐπιστολαὶ ἡμῶν μαρτυροῦσι.

ΚΕΦΑΛ. Θ'.

Θέλομεν σύνοψιν τῆς συνόδου ἵνα τὸν προρρηθέντα Φώτιον τὸν ἁγιώτατον πατριάρχην παρακαλέσητε, μήτε ὠμόφορον εἰς Βουλγαρίαν ἀποστεῖλαι, μήτε χειροτονῆσαι ἐν τῇ αὐτῇ ἐπαρχίᾳ. ἐὰν γὰρ τοῦτο ποιήσῃ, ἐλέγξαι αὐτὸν ἔχομεν κανονικῶς.

ΚΕΦΑΛ. Ι'.

Θέλομεν σύνοψιν τῆς συνδημώσης συνόδου ἀνακηρυχθῆναι, ἵνα ἡ σύνοδος ἡ γενομένη κατὰ τοῦ προρρηθέντος πατριάρχου Φωτίου ἐν τοῖς ἡμέροις τοῦ Ἀδριανοῦ τοῦ ἁγιωτάτου πάπα ἐν τῇ Ρώμῃ, καὶ ἐν Κωνσταντινουπόλει ἀπὸ τοῦ παρόντος ἢ ἐξωσρακισμένη καὶ ἀκύρος καὶ ἀβέβαιος, καὶ μὴ συναριθμῆται αὕτη μετ' ἑτέρας ἁγίας συνόδου. ἡ ἁγία συνοδος ἀπεκρίθη· ἡμεῖς δὲ ἔργων ἀπεκηρύξαμεν καὶ ἀπεβαλλόμεθα καὶ ἀνεθεματίσαμεν τὴν παρ' ὑμῶν λεγομένην σύνοδον, σύνωσιν Φωτίῳ τῷ ἁγιωτάτῳ ἡμῶν πατριάρχῃ· καὶ τοὺς μὴ ἀποβαλλομένους τὰ κατ' αὐτοῦ γραφέντα ἢ λαληθέντα ἐν αὐτῇ τῇ ῥηθείσῃ παρ' ὑμῶν συνόδῳ, τῷ ἀναθέματι παραπέμπομεν· Ηλίας μητροπολίτης Μαρτυροπόλεως, καὶ Ηλίας Ιεροσολύμων τοποτηρητὴς, εἶπον· καὶ πῶς γὰρ ἂν συνοδος ῥηθεὶη ἡ μυρίων κακῶν τὴν ἐκκλησίαν πληρώσασα; τίς ὀνομάσειε συνοδον τὴν Σαρακηνῶν ἀποκρισιαρίους κρίτας καὶ νομοθέτας καθίσασαν; ποίαις συνόδοις ἀριθμηθείη ἡ πάντων τῶν ἁγίων συνόδων ἐναντία τολμήσασα; ἡ τοὺς ἀναθεμένους καὶ χωρὶς τῆς οἴας δήποτε ἐξετάσεως καταδικάσασα; ἡ πάντας θεσμοὺς ἐκκλησιαστικοὺς καὶ πολιτικοὺς συγχέασα, καὶ καταστρέψασα, διὰ ταῦτα γὰρ οἱ τῆς ἀνατολῆς ἁγιώτατοι θρόνοι ἀποκηρύκτους τὰς πράξεις καὶ ἀποβλήτους ἐποιήσαντο, καὶ τῷ ἀναθέματι παρεπέμψαντο.

ΚΕΦΑΛ. ΙΑ'.

Βλέπετε ἵνα κατὰ τὸ σύνταλμα ἡμῶν οὕτως περιπατήσητε, καὶ μήτε δώροις συναπαχθῆτε, μήτε διὰ κολακείαν ἢ φόβον ἐκκλίνητε δεξιὰ ἢ ἀριστερά· ἀλλὰ βασιλικῇ ὁδῷ πορεύθητε, ὡς τὸν τόπον καὶ τὴν ἐξουσίαν ἡμῶν, ἣν ὑμῖν διὰ τὴν εἰρηνεύουσαν τῆς ἐκκλησίας δεδώκαμεν, ἔχοντες. ἵνα διὰ τὴν ὑμετέραν κόπον καὶ ἀξίαν ὑμῶν μόχθον τὴν χάριν ἡμῶν καὶ τὸν ἀποστολικὸν θρόνον ἔχητε, καὶ τῆς ἡμετέρας κοινωνίας γένησθαι συγκληρονόμοι.

Ἡ ἁγία σύνοδος εἶπεν. ἰδοὺ ὁρῶμεν ὑμᾶς κατὰ πάντα τῷ συντάλματι τοῦ ἁγιωτάτου πάπα ἐξακολουθοῦντας. ἐπ' ἀληθείας γὰρ τοιούτου ἀρχιερέως μεγάλου τοιούτους ἔδει εἶναι καὶ τοὺς τοποτηρητάς. Νικήτας ὁ θεοφιλέστατος μητροπολίτης Σμύρνης εἶπεν· ὁ Θεὸς ὅτως ἐποίησεν εὑρεῖν ὑμᾶς τὰ πράγματα, ἵνα κἂν θέλῃ τις ἔξωθεν τῆς συντολῆς τοῦ Θεοῦ· καὶ τῆς παραγγελμάτων τοῦ ἁγιωτάτου πάπα περιπατῆσαι, μὴ δύσκολον πρόφασιν· καὶ ὅπου τὰ πράγματα καὶ αὐτὰ ἐκεῖνα ἀναγκάζουσι κατὰ τὴν ὁδὸν τοῦ Θεοῦ πορεύεσθαι, οὐδὲ οἱ ἔχοντες φαύλας γνώμας δύνανται ἐναντία τῶν πραγμάτων ἐλθεῖν· πόσῳ ἂν μᾶλλον οἱ ἔχοντες τὴν διάνοιαν αὐτῆς πάσῃ ἀρετῇ * κατηρτισμένους, ὁ δύναιντο ὅτως πάντες τῶς ἐκκλῖναι δεξιὰ ἢ ἀριστερὰ τοῦ θελήματος τοῦ Θεοῦ, εἴτε τῆς ἐντολμάτων τοῦ ἀρχιερέως τῆς Ρώμης;

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· ὁ προφήτης λέγει· εἰς πάντα Ier. 1.
ὅσα ἀποστέλλω ὑμᾶς, πορεύεσθε. οὐκ ἦλθομεν πληρῶσαι εἰ μὴ τὸ θέλημα τοῦ Θεοῦ, καὶ τοῦ κυρίου ἡμῶν τοῦ ἁγιωτάτου πάπα. ἡ ἁγία σύνοδος εἶπεν· ἐναργῶς βλέπομεν, ὅτι τὸ θέλημα τοῦ Θεοῦ καὶ τοῦ ἀποστείλαντος ὑμᾶς ἀρχιερέως πληροῦτε. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· θεῖον θέλημα ἐστὶ τοῦ κατελθόντος ἐκ τῆς οὐρανῶν, καὶ τὴν ἡμετέραν φύσιν ἀναλαβόντος, ἵνα καταλλάξῃ τὸ ἀνθρώπινον γένος πρὸς τὸν πατέρα αὐτοῦ, ἐκπεπολεμημένον χρόνοις πολλοῖς ἔμπροσθεν. καὶ νῦν ὁρᾷ σὺν ἡμῖν ἡ ὑμετέρα ἁγιωσύνη, ὅτι κατὰ τὸ θέλημα καὶ τὴν ἐντολὴν τοῦ ἁγιωτάτου πάπα πάντα συνῆλθον, καὶ τὸ ἀντιπίπτον ὑδὸν ἐστί· καὶ σωέδρα-

δραμε τῇ ἐκείνε γνώμῃ καὶ ἡ τῆς πραγμάτων φύσις. οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον. τὸ ἔργον ἡμῶν τοῦτό ἐστιν, ἵνα δι' ἀγῶνος καὶ μόχθε σώσωμεν τὴν καθ' ὑμᾶς ἐκκλησίαν. ὀλίγα τοῦτο καὶ πολλὰς κόπας ἐν τῇ ὁδῷ ὑπεμείναμεν. ὅμως οἱ ἅγιοι ἄνδρες διὰ κόπε ἦρεσαν τῷ Χριστῷ. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἔστι μισθαποδότης ὁ Θεός, ὁ τὰς μεγάλας μισθὰς καὶ ἀκενώτους ταμιεύομενος ὑμῖν ἐν τῇ βασιλείᾳ αὐτοῦ.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ χαρδηνάλις εἶπεν· ἰδοὺ καὶ αἱ ὑπογραφαὶ τῆς ἐπισκόπων, ὅπως ὡμονόησαν καὶ ἀπεδέξαντο Φώτιον τὸν ἁγιώτατον πατριάρχην σὺν πάσῃ τῇ ἁγίᾳ τῶν Ῥωμαίων ἐκκλησίᾳ.

Ζαχαρίας ἐπίσκοπος τῆς ἐκκλησίας Ἀναγνιώων, καὶ βιβλιοθηκάριος τοῦ ἀποστολικοῦ θρόνε, ἐν τούτῳ κομμονιτορίῳ ὑπὲρ τῆς ἀποδοχῆς Φωτίε τοῦ ἁγιωτάτε πατριάρχε ἰδιοχείρως ὑπέγραψα.

Μαρτῖνος ἐπίσκ. τῆς ἐκκλησίας Νακόνσε, ὁμ. ὑπέγ.

Δομίνικος ἐπίσκοπος τῆς ἐκκλησίας Τριβόνσε, ὁμοίως.

Φλῶρος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Μανδουρικόνσου, ὁμοίως ἰδιοχείρως ὑπέγραψα.

Γαυδερίχος ἐπίσκ. Βελιτέρνε, ὁμ.

Στέφανος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Φερεντίνης, ὁμ.

Λέων ἐπίσκοπος Γαβόνης, μήσος καὶ ἀποκρισιάριος ἀποσολικοῦ θρόνε, ὁμ. ἰδιοχείρως ὑπέγ.

Πέτρος ἐπίσκ. Φοροσιφρονόνε, ὁμ.

Οὐαλπέρτος τῆς ἁγίας * Πέτρε ἐκκλησίας. ὁμοίως.

Συμεὼν ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Φενδάρων, ὁμοίως.

Ἰωάννης ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Σινίνων, ὁμοίως.

Βενέδικτος ἐπίσκ. ὁμ.

Γρηγόριος ἐπίσκ. τῆς ἁγίας ἐκκλησίας Σολβοκανδίδε, ὁμ.

Βονιφάτιος ἐπίσ. τῆς ἁγίας τῆς Βλεράνων ἐκκλησίας, ὁμ.

Στέφανος ἐπίσ. τῆς ἁγίας τῆς Νεπεσινῶν ἐκκλησίας, ὁμ.

Γερμανὸς πρεσβύτ. τῦ ἁγίε Παύλε καὶ Ἰωάννε, ὁμ.

Πέτρος πρεσβύτερος τοῦ ἁγίου Χρυσογόνου, ὁμοίως.

Βενέδικτος πρεσβύτερος τῆς ἁγίας Βαλβίνης, ὁμοίως.

Ἀδριανὸς πρεσβύτερος τοῦ ἁγίε Λαυρεντίου, ὁμοίως.

Λέων πρεσβύτερος, ὁμ.

Ἰωάννης πρεσβύτερος τῆς ἁγίας Κικιλίας, ὁμοίως.

Παῦλος διάκονος, ὁμ. ὑπέγ.

Λέων διάκονος, ὁμ.

Μετὰ τὴν συμπλήρωσιν τῦ κομμονιτορίε, Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ χαρδηνάλις εἶπεν· ἀρέσκει τῇ ὑμετέρᾳ ἁγιωσύνῃ; καὶ ἡ ἁγία σύνοδος ἀπεκρίθη· ἀρέσκει. καὶ μάλιστα αἱ γνώμαι ὑπογραφαὶ ὑπὲρ τῆς κοινῆς εἰρήνης καὶ ὁμονοίας τῆς ἁγίας τῦ Θεῦ ἐκκλησίας, καὶ ὑπὲρ τῆς ἀποδοχῆς Φωτίε τῦ ἁγιωτάτε καὶ οἰκουμενικῦ πατριάρχε. καὶ ταῦτα εἰπόντες ἐπεφώνησαν· πολλὰ τὰ ἔτη τῆς βασιλέως.

ΠΡΑΞΙΣ Δ'.

Μηνὶ Δεκεμβρίῳ, ἡμέρᾳ ε'. ἐν τῇ παραμονῇ τῆς Χριστῦ τῦ Θεῦ ἡμῶν γεννήσεως, προκαθεδρίτος Φωτίε τῦ ἁγιωτάτε ἡμῶν πατριάρχε ἐν τῷ διακονεῖ μεγάλῳ σεκρέτῳ· καὶ συγκαθεδρίτων αὐτῷ τῆς ἁγιωτάτων τοποτηρητῆς τῆς τε πρεσβυτέρας Ῥώμης, καὶ τῆς ἀνατολικῶν θρόνων· ἔτι δὲ καὶ πάντων τῆς θεοφιλεστάτων μητροπολιτῆς, καὶ ἐπισκόπων· Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος εἶπεν· ὁ μητροπολίτης τῆς Μαρτυροπόλεως ἄρτι παραγεγονὼς ἀπὸ τῆς Θεσπόλεως ἤτοι Ἀντιοχείας παρῴκησε, τόν τε τόπον ἐπέχων αὐτῦ, συνεπιφερόμενος δὲ καὶ τὰ ἁγιωτάτε πατριάρχε Ἱεροσολύμων γράμματα, πρὸ τῆς πυλῶν ἵσταται· καὶ εἰ χελεύει ἡ ἁγία σωόδος ὑμῶν εἰσελθεῖν αὐτόν. ἡ ἁγία σωόδος εἶπεν· εἰσίτω. εἰσελθὼν δὲ καὶ τιμῇ πρὸς ἕθος προσκυνήσιν καὶ τὸ σέβας ποιησάμενος πρὸς Φώτιον τὸν ἁγιώτατον πατριάρχην, καὶ τῆς εὐθισμένης αὐτῷ δόχῆς παρὰ τῦ ἁγιωτάτε πατριάρχε Φωτίε γενομένης, ἠσπάσατό τε αὐτόν, καὶ ἐπηρώτησε τὰς τῦ πατριάρχε Ἀντιοχείας ὑγείας. ὡσαύτως δὲ καὶ τῦ Ἱεροσολύμων. ἐκείνε δὲ ἐν ὑγείᾳ ὄντα μένειν αὐτὸς εὐχόντος, εἰ καὶ πολλοῖς πειρασμοῖς περισχίζονται πειρασμοῖς· Φώτιος ὁ ἁγιώτατος πατριάρχης ἐπῄνεγκε πάλιν· ἡ κατ' αὐτὸν ἁγία τῦ Θεῦ ἐκκλησία πῶς διάκειται; πῶς εἰρηνεύει; καὶ τότε ἀποκεναμένε, ὡς ὅλα τῆς ἁγίων δόχων ὑμῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τελεῖ, ὁ ἀσπασμὸς αὐτῷ γίνεται παρὰ τῆς ἁγιωτάτων τοποτηρητῆς τῆς πρεσβυτέρας Ῥώμης· καὶ ἐν τῷ οἰκείῳ βαθμῷ ἐκαθέση.

Μετὰ ταῦτα ἐπηρωτήθη παρὰ τῆς ἁγιωτάτων τοποτηρητῆς, τίνος ἕνεκα παραγέγονε, καὶ παρὰ τίνος ἀπεσταλμένος εἴη. Βασίλειος ὁ θεοφιλέστατος μητροπολίτης Μαρτυροπόλεως, καὶ τοποτηρητὴς Ἀντιοχείας εἶπεν· ἡ ἐμὴ ἀποστολὴ ἐγένετο παρὰ τῦ ἁγιωτάτε μου πατριάρχου Θεσπόλεως, ἤτοι Ἀντιοχείας, Θεοδοσίου· ἐμοὶ δὲ ἄλλα καὶ παρὰ Ἠλία τῦ νιῦ τῦ τῆς Ἱεροσολύμων θρόνε ἐθελόντος τὰς οἰκείας, καὶ τὸ μὴ πρόσωπον τῦ ἁγιωτάτε μου πατριάρχε ἀναπληρώσων ἦκω. ἐπιφέρομαι δὲ καὶ ἐπιστολὰς αὐτῦ

τοῦτε καὶ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων. ἡ δὲ αἰτία δι' ἣν παρεγενόμην, αὐτὰ τὰ γράμματα μᾶλλον ἀκριβεστέρως τῆς ἐμῆς φωνῆς δηλώσει. πλὴν καὶ ἀπὸ στόματος οὐδὲν κωλύει βραχέα εἰπεῖν. ὁ ἁγιώτατός μου πατριάρχης Θεοδόσιος οὐδέποτε (μὴ γένοιτο) οὔτε δι' ἑαυτοῦ, οὔτε δι' ἑτέρου, εἰς τὴν ἄθεσμον πρᾶξιν τὴν κατὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου Φωτίου κατ' οὐδένα τρόπον ἐκοινώνησεν. ἀλλ' ἐξ ἀρχῆς καὶ ἄνωθεν ἀεὶ οὐ πρὸς τοὺς τῆς ἀρχιερωσύνης ὅρους ἀνέδραμε. καὶ ἐν τῇ τοῦ κλήρου κατειλεγμένος τάξει, ὕστερον τῆς τῆς Ἀντιοχείας θείων οἰάκων ἐπειλημμένος, ἀρχιερέα Θεοῦ καὶ συλλειτουργὸν καὶ ἔχει καὶ ὀνομάζει, καὶ τοὺς μὴ οὕτως ἔχοντας ἀποστρέφεται. ἐπεὶ δὲ γράμματα ἐδέξατο, ἀποστεῖλαι τινὰς ἐπὶ τῇ κοινῇ συνελεύσει καὶ εὐφροσύνῃ συνεορτάσοντας τῆς ἀδελφῶν, ἐπὶ τῷ αὐτῷ τούτῳ ἡ ἐμὴ ἀποστολὴ γέγονε. καὶ ὁ ἁγιώτατος δὲ Ἠλίας, ὁ ἄρτι τῆς Ἱεροσολύμων ἀρχιερεὺς καταστάς, κατὰ πάντα ἑπόμενος Θεοδοσίῳ τῷ προηγησαμένῳ τοῦ αὐτοῦ θρόνου, οὐδέποτε μὲν τῆς κατὰ τοῦ ἁγιωτάτου πατριάρχου παροινίαις οὐδαμῶς ἐκοινώνησεν, ἀλλὰ καὶ τοὺς γεγονότας ἀποκρισιαρίους τῆς Σαρακηνῶν, καὶ πλασαμένους αὐτοῦ τὸ πρόσωπον ὑποδοῦναι, τῷ ἀναθέματι παρεπέμψατο· ἀπεστάλην γοῦν καὶ παρ' ἐκείνου ὥστε τὰ τῆς αὐτοῦ γνώμης, ὡς εἶχε τὸ ἀπ' ἀρχῆς, καὶ ἔχει, καὶ ἕξει, ἐμφανῆ τῇ ἁγίᾳ ταύτῃ καταστήσω συνόδῳ. καὶ μετὰ ταῦτα ἀναστάς, πρὸς Φώτιον τὸν ἁγιώτατον πατριάρχην εἶπεν· εἰ κελεύει ἡ ἁγιωσύνη ὑμῶν τὰς ἐπιστολὰς ἀποδέξασθαι, ἰδοὺ παρ' ἐμοί εἰσι.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· συνεπινευόντων τῆς ἀδελφῶν καὶ συλλειτουργῶν ἡμῶν τῆς τιμιωτάτων τοποτηρητῆς, ἐπιδότω ἡ ἁγιωσύνη ὑμῶν τὰς τῆς ἁγιωτάτων πατριαρχῶν ἐπιστολάς. ἐπιδοθεισῶν δὲ αὐτῆς, λαβὼν Πέτρος ὁ θεοφιλέστατος * καὶ πρωτονοτάριος ἀνέγνω.

* διάκονος

Οὐκ ἔστιν εὐχαριστία, ἣν προσάγειν οὐκ ὀφείλομεν Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. καὶ γὰρ δι' αὐτοῦ καὶ ἐν αὐτῷ καὶ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τιμῆ τῆς ὁμοιώσεως αὐτοῦ τετιμήμεθα, καὶ γινόμεθα χάριν, ὅπερ αὐτὸς ὑπάρχει κατὰ φύσιν. ὑπὲρ τούτων ἁπάντων ἄλλων ἄλλης εὐεργεσίας τετυχηκότων, καὶ ἡμεῖς τῆς εἰς τὴν ὑμετέραν ἀξιότητα φθασάσης εὐεργεσίας, τὴν εὐχαριστίαν ἀναπέμπομεν, καὶ τὸν ἀσπασμὸν ἀλλήλοις χρεωστικῶς, ὡς ἀδελφοὶ ἀδελφοῖς, ἀπονέμομεν, τῇ μὲν ἐλπίδι τῆς ἐπηγγελμένων ἀγαθῶν τοῖς διὰ Χριστὸν πειραζομένοις χαίροντες ἀδιαλείπτως. τὰ δὲ ἄλλα πάντα τῷ κυβερνήτῃ τῆς ὅλων ἀνατιθέντες Θεῷ. διὸ προσαγορεύοντες σου τὴν πανίερον ἀδελφότητα, θεοτίμητε πάτερ, καὶ εἰς ἀδελφὸν ἡμέτερον καὶ συλλειτουργὸν ἐγκαταλεγῆναι ποτνιώμενοι, διαγγέλλομεν τὰ μὲν ἄλλα ὅσα περὶ τὴν εὐημερίαν τοῦ βίου νεκροῖς ἐοίκαμεν, ἀφορήτοις περιαντλούμενοι περιστάσεων κύμασι· μόνῳ δὲ Θεῷ καὶ τῇ ἐλπίδι πνέομεν, καὶ σαλεύομεν· τὰ δὲ τῆς καθ' ἡμᾶς ἁγιωτάτης ἐκκλησίας ὀρθοδοξεῖ, καὶ τὴν ἡμετέραν εὐτέλειαν εἰς ποιμένα καὶ πατριάρχην τῆς Θεουπόλεως προεχειρίσαντο. ὅπερ δὲ εἶχεν ἄλγος ἐκ πολλοῦ ἡ καθ' ἡμᾶς ἁγία τῆς Ἀντιοχέων ἐκκλησία, περὶ τῆς σχισμάτων τῆς ἁγίας τῆς Κωνσταντινουπολιτῆς ἐκκλησίας, καὶ μάλιστα διὰ τὴν ἔλευσιν τοῦ κυρίου Θωμᾶ τοῦ ἐκ Βηρυτοῦ τὴν Τύρων ἐπισκοποῦντος· ὃν ἡ θεῖα χάρις δι' εὐχῶν ὑμῶν ἁγίων οὐκ εἴασε συναπολέσθαι, ταῖς ἀνοσίοις πράξεσιν ἐκείναις, ἃς κατὰ τῆς ὑμῶν ἀρχιερατικῆς κεφαλῆς συμπαρασυρεὶς τῷ τρισαθλίῳ Ἠλία παρηνέχθησαν κατεργάσασθαι. καὶ γὰρ διὰ τῆς αὐτοῦ θερμῆς ὑποπτώσεως τὴν κατ' αὐτοῦ ἀπειλουμένην κατέσβεσε φλόγα. τίς γὰρ πλέον ἡμῶν ἐπίσταται, ἀγαπητὲ ἀδελφὲ, ὅτι ἡ Ἀντιοχέων ἐκκλησία οὐδέποτε κατὰ τῆς σῆς ἁγιωσύνης ἀηδές τι ἢ ἐδέξατο ἢ ἐφρόνησεν; ἀπὸ γὰρ τῆς ἡμερῶν ἐκείνων, ἀφ' ὧν ἄχρι καὶ δεῦρο ὑπὲρ τοὺς εἴκοσι χρόνους διέδραμον, τὰ τῆς σῆς ἀρετῆς τε καὶ γνώσεως καὶ ἀρχιερατικῆς τελειώσεως ἐνηχηθέντες, καὶ κοινωνὸν καὶ συλλειτουργὸν καὶ ἀπεδεξάμεθα, καὶ ἀποδεχώμεθα, ἀρχιερεῖς τε καὶ ἱερεῖς, καὶ ἅπαν τῆς καθ' ἡμᾶς ἐκκλησίας τὸ σύνταγμα· καὶ τοὺς οὕτω μὴ φρονοῦντας ἐχθροὺς ἡγούμεθα καὶ πολεμίους τῆς ἐκκλησιαστικῆς καταστάσεως. οὐ γὰρ μικρῶς ἠνιάθημεν καὶ ἐπὶ τοῖς συμβεβηκόσι τῇ σῇ ἀγάπῃ θλιβεροῖς, ὅτε ἂν καὶ ἕκαστα ἀνεμάθομεν, ἅπερ ἡ τοῦ πονηροῦ σοι συνεσκευάσατο μηχανὴ, κἂν ἦν τὸ ἐπομνύειν οὐκ εὔκαιρον. νῦν δὲ ἀξιωθέντες παρά τε τοῦ θεοφρουρήτου καὶ εἰρηνοποιοῦ βασιλέως, παρά τε τῆς σῆς ἀδελφικῆς ἀγάπης σκυλῆναι πρὸς τὰ αὐτόθι, ἠλγήσαμεν διὰ τὸ φορτικὸν τῆς αἰτήσεως, μήποτε ὑπόδικοι τοῖς ἐπηρεάζουσι γενώμεθα. καὶ τέως μὲν οὕτω διακείμεθα. εἰ δ' ὁ πάντα κατασκευάζων πρὸς τὸ λυσιτελέστερον κύριος, εὐχερὲς ποιήσει τὸ δοκοῦν δυσχερὲς, τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ γένοιτο· τέως οὖν ἐφ' ᾧ παριστάμεθα νῦν ἐνὶ τῆς εὐλαβεστάτων ἡμῶν ἐπισκόπων τὴν τῆς μαρτύρων Χριστοῦ πόλιν ἰθύνοντι, τό, τε παρὸν ἡμῶν ἐνεχειρίσαμεν γράμμα. καὶ πρὸς τὴν ὑμῶν πατριαρχικὴν κεφαλὴν, τὸ ἡμέτερον ἐμπιστεύσαντες πρόσωπον, ἀπεστείλαμεν, ἃ τῆς ἀνθ' ἡμῶν καὶ τῆς καθ' ἡμᾶς ἐκκλησίας, ἅμα ὑμῖν· τὰ ὑπὲρ τῆς εἰρήνης τοῦ Θεοῦ, καὶ τῆς ἐκκλησιαστικῆς ἑνώσεώς τε καὶ καταστάσεως, καὶ ὅσα ἂν εὐσεβῆ τῇ καθ' ὑμᾶς ἁγιωτάτῃ δόξειε συνόδῳ, ἅπαντα σὺν ὑμῖν ἐκπερατώσει. ὅσα γὰρ τελέσει καὶ εἴ τι τῶν εἰς τὴν ἐκκλησιαστικὴν κατάστασιν συντεινόντων διαπράξεται, ἅπαντα ἄσμενοι ἀποδεξόμεθα. χάριτας δὲ ἡμῖν τῶν ὑπὲρ τῆς σῆς ἀρχιερατικῆς κεφαλῆς εὐχῶν ἀποδοίης, εἰ τὸν φιλόχριστον βασιλέα παρακαλέσεις, τοὺς αἰχμαλώτους Σαρακηνοὺς ἀγαθοποιῆσαι. πολλῶν γὰρ ἡμᾶς διὰ τούτου συμφορῶν ἀποσπάσεις· καὶ

εὐχὰς

εὐχὰς μὲν ἀλήκτους ἀφ' ἡμῶν, μισθὸν δὲ ἀναφαίρετον παρὰ Θεοῦ κληρονομήσεις. ὑγίαινε ἐν Χριστῷ, ἱερώτατε καὶ σεβασμιώτατε ἀδελφὲ καὶ συλλειτουργέ.

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς, Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε. πάντες γινώσκετε, τιμιώτατοι ἀδελφοὶ καὶ συλλειτουργοί, ὅτι ἕνεκεν εἰρήνης καὶ ἑνώσεως τῆς ἁγίας ταύτης τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίας, καὶ ἀποδοχῆς Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, ἤλθομεν ἐνταῦθα. καὶ ἰδοὺ θεωροῦμεν ὅτι καὶ οἱ ἀνατολικοὶ θρόνοι, τὸ αὐτὸ ὡς ἐκ συνθήματος φρονοῦντες, ἀπέστειλαν συστατικὰς ἐπιστολάς. καὶ χαίρομεν ἐπὶ τούτῳ, ὅτι εἰς τὴν τοιαύτην ὁμόνοιαν οἱ ἀρχιερατικοὶ ἅπαντες συνηυδόκησαν θρόνοι, μετὰ τοῦ κυρίου καὶ δεσπότου ἡμῶν τοῦ οἰκουμενικοῦ πάπα. καὶ γὰρ ἐκείνη ἐστὶ κεφαλὴ πασῶν τῶν ἐκκλησιῶν. καὶ ὅπερ ὄφειλον ποιῆσαι καὶ ἐξακολουθεῖν τῇ ἁγιωτάτῃ τῶν Ῥωμαίων ἐκκλησίᾳ πεποιήκασι, τοῦ πνεύματος τοῦ ἁγίου τοῦτο συνευδοκήσαντος.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ὅταν θείᾳ ψῆφος ἄνωθεν ἐνεχθῇ, πάντες οἱ τοῦ παναγίου πνεύματος μεταχόντες συντρέχουσι καὶ συνευδοκοῦσι, καὶ συνχαίρουσι τῇ ἄνωθεν ψήφῳ. διὸ καὶ ἡμεῖς ἐπὶ τῇ πάντων ὁμονοίᾳ καὶ ὁμοφροσύνῃ χαίρομεν. ἡ ἁγία σύνοδος ἐξεβόησεν. εἴ τις ἐπὶ τούτῳ οὐ χαίρει, καὶ εὐχαριστεῖ τῷ Θεῷ, ἀνάξιος ἐστὶ καὶ χαρᾶς καὶ σωτηρίας. εἴ τις οὐκ ἀσπάζεται καὶ ἀποδέχεται τὴν ὁμοφωνίαν ταύτην, ἐχθρός ἐστι τῆς εἰρήνης, καὶ αὐτοῦ τοῦ εἰρηνάρχου Χριστοῦ. εἴ τις οὐκ ἀποδέχεται Φώτιον ἐννομώτατον καὶ κεκανονισμένον ἀρχιερέα Θεοῦ, ὡς ἐννόμως τε καὶ κανονικῶς προαχθέντα, καθὼς οἱ ἀρχιερατικοὶ θρόνοι ἅπαντες βοῶσιν, ἔστω ὁ τοιοῦτος ἀνάθεμα ἀπὸ Χριστοῦ. Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· εἰ κελεύει ἡ ἁγιωσύνη ὑμῶν, ἀναγνωσθήτω καὶ ἡ τοῦ Ἱεροσολύμων ἐπιστολή. ἡ ἁγία σύνοδος εἶπεν, ἀναγνωσθήτω. καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω. *

Καλῶς ποιοῦσα ἡ ἐξοχωτάτη καὶ θεόθεν πρυτανευθεῖσα ὑμῶν ἀρχιερατικὴ κεφαλὴ τὸ ἐπὶ τὴν ἁγίαν τοῦ Χριστοῦ ἀνάστασιν πάθος τοῦ πτώματος ἀπέστειλεν ἰατρεῦσαι. τὸ δὲ πάθος οὐκ ἀρνούμεθα κοινὸν εἶναι τῆς ὅλης ἐκκλησίας τοῦ Θεοῦ ἡμῶν. κἂν πλέον ἡ μήτηρ ἀλγῇ πασῶν τῶν ἐκκλησιῶν, ἡ ἁγία αὕτη Σιών. καὶ οὐ νῦν τὸ ἄλγος ἐν ἡμῖν ἐξεκαλύφθη· ἀλλ' ἐξ ὅτου ὁ ἅγιος ἀνὴρ Θεοδόσιος ὁ πρὸ ἡμῶν τῆς ἁγίας τοῦ Θεοῦ ἐπισκοπῶν ἀναστάσεως. οὗτος γὰρ ἐν πολλῇ ἀγονίᾳ καὶ θλίψει γενόμενος ἐπὶ τοῖς τρέφουσιν ὡς φλόγα, διὰ τῆς οἰκείας κακίας, τῆς ἐκκλησίας τὰ σχίσματα, καὶ κατὰ τῆς σῆς πατριαρχείας, ἁγιώτατε καὶ συλλειτουργὲ ἡμῶν, ἐξυλακτοῦσι. πλέον δὲ τοῦ ταπεινοῦ καὶ ἀθλίου Ἠλίᾳ πτοούμενος τὰς μαγγανείας, ἐξαπέστειλε τὸν κύριον Ἠλίαν τὸν καλὸν καὶ πιστὸν δοῦλον Χριστοῦ τοῦ Θεοῦ, δυνατὸν ὄντα πολλοὺς ὑπὲρ εὐσεβείας ἀνατλῆναι κινδύνους· ὃν καὶ πάλιν διαφόρως δι' ἐπιστολῶν αὐτοῦ αἰδεσίμων πρός τε τὸν εὐσεβέστατον βασιλέα, καὶ πρὸς τὴν σὴν ἀδελφικὴν ἀγάπην παρέθετο, ἄξιον ὄντα τοιούτου ἀνδρὸς πληρῶσαι διατάξεις. ὃν δὴ νῦν καὶ ἡμεῖς ἐπικυροῦμεν πιστὸν ἀνθ' ἡμῶν καὶ τῆς καθ' ἡμᾶς ἁγίας ἐκκλησίας ἐπικυροτὴν τῆς φωνῆς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς δοθείσης τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς ἐν τῇ ἁγίᾳ πόλει ἡμῶν, τῆς λεγούσης· εἰρήνην ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ πάλιν μετὰ τὴν ἁγίαν αὐτοῦ ἐκ νεκρῶν ἀνάστασιν· εἰρήνη ὑμῖν. ταύτην καὶ ἡμεῖς οἱ ἀνάξιοι, τὸν αὐτὸν θρόνον τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρακαθήμενοι, ἀποφαινόμεθα. εἰρήνη ὑμῖν πᾶσι, τοῖς τὰ ὀρθὰ δόγματα τῆς ἐκκλησίας πρεσβεύουσι. καὶ εἴτις τῷ κανόνι τούτῳ στοιχεῖ, εἰρήνη ἐπ' αὐτὸν καὶ ἔλεος. εἴτις δὲ πρὸς ἔριδας ἀποβλέπει καὶ στάσεις, καὶ ἑαυτὸν ἀπομερίζειν πειρᾶται τῆς ἀρχιερατικῆς τελειότητος, καὶ κοινωνίας καὶ ἑνώσεως, ἔστω ἀλλότριος καὶ ἀνάθεμα ἀπὸ τοῦ Θεοῦ τοῦ εἰπόντος. ὃν ἂν δήσεις ἐπὶ τῆς γῆς, ἔσται δεδεμένος καὶ ἐν τῷ οὐρανῷ. καὶ ὃν ἂν λύσεις ἐπὶ τῆς γῆς, ἔσται λελυμένος, καὶ ἐν τῷ οὐρανῷ. ταύτην τὴν πληγὴν ἐνσκήψασαν ἐκ μακροῦ τοῦ χρόνου εἰς τὴν ἁγίαν ὑμῶν ἐκκλησίαν, ἀδελφὲ ἀγαπητὲ, ἐλπίζω γὰρ ἐγὼ ὁ ταπεινὸς νῦν διὰ σοῦ, καὶ τῆς ἁγίας Σιὼν, τῆς μητρὸς πασῶν τῶν ἐκκλησιῶν, ἰατρευθῆναι, ἐφ' ᾧ καὶ τὸν θεοσεβέστατον Ἠλίαν ἀνθ' ἡμῶν συνιστῶμεν, καθὼς ὁ πρὸ ἡμῶν Θεοδόσιος ὁ ἐν ἁγίοις πατριάρχης Ἱεροσολύμων, ὡς ἂν παρουσιάζοντος αὐτοῦ, εἴγε βούλοισθε καὶ αὐτοὶ, συνοδικῶς τὰ τῆς εἰρηνικῆς καταστάσεως τῆς ἐκκλησίας τοῦ Θεοῦ βεβαιωθῇ. ἔτι δὲ καὶ πάντα ὅσα δοκεῖ ὑμῖν εὐσεβῶς καὶ θεαρέστως ἐκθεῖναι, ἀνθ' ἡμῶν βεβαιώσῃ καὶ ἐπισφραγίσῃ, ὥστε Θεοῦ εὐδοκοῦντος πάντα περιαρθῆναι τὰ σκάνδαλα. καὶ γὰρ οἱ τῆς ὀρθοδόξης μερίδος ὑπάρχοντες ὀφείλουσι ὀρθοδόξοις πατράσι πείθεσθαι, μᾶλλον δὲ τῷ θείῳ Παύλῳ τῆς ἐκκλησίας τῷ κήρυκι· ὥστε εἶναι πάντας ἓν σῶμα ἐν Χριστῷ Ἰησοῦ, τῇ πάντων κεφαλῇ.

Οὐκ ἐπαισχυνθησόμεθα δὲ τὰς ἡμετέρας ἐκτραγῳδεῖν συμφορὰς πρὸς τὴν ὑμῶν ἀδελφότητα. ἔχεις σύνηθες τὸ φιλανθρώπινον. ἔχεις ἀρχαῖον τὸ εὐσυμπάθητον. μνήσθητι καὶ νεκρῶν ὁ ζῶν· καὶ προβάτων ἀπεσχοινισμένων μακρὰν, ὁ μέγας ποιμήν. οἰκτείρησον τὴν Σιὼν, ὡς Θεοῦ μιμητής· καὶ αὐτὸς ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντελάβοιτό σου. καὶ μνησθεὶς πάσης θυσίας σου, δῴη σοι πάντα κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρῶσαι.

Καὶ μετὰ τὴν ἀνάγνωσιν τῆς ἐπιστολῆς, Γρηγόριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Ἐφέσου εἶπε· καὶ ταύτην τὴν ἐπιστολὴν ἀρχιερεῖς

* Τῷ τρισμακαρίστῳ συλλειτουργῷ ἡμῶν κυρίῳ Φωτίῳ Πατριάρχῃ Κωνσταντινουπόλεως ἠλία· Ἱεροσολυμων

Ψαλ. 19.

καὶ συλλειτουργοὶ ἠκούσαμεν. ἡ ἁγία σύνοδος εἶπεν· ἡμεῖς καὶ πρὸ τῆς ἐπιστολῆς ταύτης, οὐ μόνον δὲ πρὸ ταύτης, ἀλλὰ καὶ πρὸ ἐλθούσης δι' Ἀνδρέου, ἥτις ἔμπροσθεν ἐπανεγνώσθη, πᾶσαν ἔχομεν πληροφορίαν, ὅτι οὐδέποτε διέστησαν οἱ ἀνατολικοὶ θρόνοι ἀπὸ τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου, ἀλλ' ἀεὶ καὶ συναρχιερέα καὶ συλλειτουργὸν εἶχον καὶ ἀνεκήρυττον. καὶ ἐπὶ πᾶσι τούτοις εὐχαριστία τῷ Θεῷ τῷ τοσαύτην καὶ τηλικαύτην εἰς τὰ πέρατα τῆς οἰκουμένης ὁμόνοιαν καὶ ὁμοφροσύνην πρυτανεύσαντι. ὁ Θεὸς, δεσπότα ἡμῶν ἅγιε, διαφυλάξαι τὴν ἀρχιερωσύνην σου εἰς ἔτη πολλά. ὁ Θεὸς κρατύναι τοὺς χρόνους σου εἰς δόξαν τῆς ἐκκλησίας αὐτοῦ. καὶ γὰρ διὰ τῆς ενθέου ἐπιμελείας τῶν μεγάλων καὶ ὑψηλῶν βασιλέων ἡμῶν, καὶ διὰ τῆς σῆς ἀνυπερβλήτου φιλανθρωπίας, καὶ ἀμνησικακίας ἠνώθημεν πάντες, καὶ ἐπέγνωμεν πάντα τὰ τῆς ἀληθείας. ἐξεδιώχθη τὰ σκάνδαλα, κατηργήθη ὁ πονηρὸς, ἡ εἰρήνη ἐβράβευσεν, ἡ ὁμόνοια κρατεῖ. ὁ Θεὸς εἰς πολλοὺς χρόνους τὴν σὴν ἁγίαν παρατείναι ζωὴν, εἰς δόξαν καὶ καύχημα τῆς ἐκκλησίας αὐτοῦ. ἡμεῖς οὐκ ἐδεήθημεν τῶν ἐπιστολῶν εἰς τὸ τὴν σὴν ἀρχιερωσύνην ἀποδέξασθαι. ἡμεῖς καὶ πρὸ αὐτῶν ἠνώθημεν καὶ συνεδέθημεν πνευματικῶς· πλὴν χαίρομεν καὶ συνευφρανόμεθα, ὅτι τὴν ἡμετέραν ὁμοφροσύνην καὶ πάντες οἱ ἀρχιερατικοὶ ἐπικυροῦσί τε καὶ ἐπικρατύνουσι θρόνοι.

Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων εἶπε· πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων. τὶς γὰρ δύναται ἀρνήσασθαι ἢ τολμήσει προφασίζησθαι προφάσεις ἐν ἁμαρτίαις, ὅτι τὸ πρᾶγμα τοῦτο οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἢ ὅτι αὐτὸς ὁ Θεὸς οὐκ ἐπένευσεν εἰς τὰς καρδίας τῶν ἁγιωτάτων πατριαρχῶν. καὶ οὐ μόνον εἰς ἐκείνων, ἀλλὰ καὶ παντὸς τοῦ φιλοχρίστου λαοῦ, τοῦ ἀνὰ πᾶσαν τὴν ἀνατολικὴν διατρίβοντος χώραν. τί δὲ λέγω; ὅτι ἐπένευσεν εἰς τὰς καρδίας τῶν ἁγιωτάτων πατριαρχῶν; τοσοῦτον ἡ ἀρετὴ τοῦ ἁγιωτάτου ἡμῶν καὶ οἰκουμενικοῦ πατριάρχου περιέστραψεν εἰς τὰ μέρη τῆς ἀνατολῆς, ὥστε καὶ αὐτοὶ οἱ Σαρακηνοὶ οἱ τῇ ἀπιστίᾳ κατεχόμενοι, ἀπέστειλαν πρὸς τὸν ἁγιώτατον ἡμῶν δεσπότην γράμματα. οἱ μὲν διδασκαλίαν αἰτούμενοι καὶ τοῦ σωτηρίου βαπτίσματος ἀξιωθῆναι. καὶ εἰς τὴν δουλείαν καὶ ὑποταγὴν τῶν ἁγίων βασιλέων ἡμῶν ἑαυτοὺς παραδοῦναι. οἱ δὲ καὶ τέως οὔπω μὲν τὴν πίστιν μεταβαλεῖν ὁμολογοῦντες, δοῦλοι δὲ καὶ ὑποτελεσταὶ παρακαλοῦντες γενέσθαι τοῦ θεοπροβλήτου ἡμῶν βασιλέως, διὰ μεσιτείας τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου. καὶ, ὡς ὁρᾶτε, ἰδοὺ αὗται αἱ ἐπιστολαὶ τῶν Ἀμηράδων εἰσὶ τῆς ἀνατολῆς. ἢ οὐκ ἔστιν αὐτὴ ἐπὶ τὸ κρεῖττον ἀλλοίωσις; καὶ ἡ τοιαύτη μεταβολὴ ἐκ τοῦ Θεοῦ; ἡ ἁγία σύνοδος εἶπε· πᾶσι τοῦτο φανερὸν γέγονε· καὶ ὅτι ὁ Θεὸς οἰκεῖ ἐν αὐτῷ, οὐδεὶς ἀγνοεῖ.

Γακω. 1.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης εἶπον· τὸ ἔλεος τοῦ Θεοῦ καὶ ἡ ἔμπνευσις αὐτοῦ τοιοῦτον φῶς δέδωκεν εἰς τὴν καθαρὰν ψυχὴν τοῦ ἁγιωτάτου πατριάρχου, ὅτι λαμπρύνει καὶ φωτίζει πᾶσαν τὴν κτίσιν. ὥσπερ γὰρ ὁ ἥλιος, κἂν εἰς μόνον τὸν οὐρανὸν περιέρχηται, ὅμως ὅλον τὸν περίγειον κόσμον φωτίζει· οὕτω καὶ ὁ δεσπότης ἡμῶν ὁ κύριος Φώτιος, κἂν καθέζηται εἰς Κωνσταντινούπολιν, ἀλλὰ καὶ τὴν σύμπασαν κτίσιν δαδουχεῖ, καὶ καταλάμπει. καὶ χαίρομεν ἐπὶ τῇ ἑνώσει πασῶν τῶν ἁγίων ἐκκλησιῶν τοῦ Θεοῦ τῶν ἐν τῇ ἀνατολῇ. τουτέστι, τῆς Ἀλεξανδρείας, Ἀντιοχείας, καὶ τῶν Ἱεροσολύμων. καθότι γὰρ ἠκούσαμεν πρῶτον δι' ἀποκρισιαρίων καὶ διὰ γραμμάτων, ἀρτίως θεωροῦμεν τοῖς οἰκείοις ὀφθαλμοῖς. καὶ τοῦτον τὸν ἁγιώτατον ἐπίσκοπον Μαρτυροπόλεως ἐλθόντα εἰς τὴν ἁγίαν σύνοδον.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· εὐλογητὸς ὁ Θεὸς ὁ διὰ τῆς καλοκαγαθίας καὶ ἀπλέτου συμπαθείας τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου ἐπισυνάξας ἔκ τε τῶν ἑσπερίων καὶ τῆς ἀνατολῆς τιμιωτάτους ἄνδρας, εἰς τὸ ἐπισυναγαγεῖν πάντα τὰ διεσκορπισμένα μέλη τῆς ἐκκλησίας. καὶ γὰρ αὐτὸς οὗτος ὁ ἁγιώτατος ἡμῶν δεσπότης Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν μιμούμενος, τὸν τὸ ἀπωλολὸς πρόβατον ἐπὶ τῶν ὤμων ἀράμενον, οὐδένα ἀποθεῖται, οὐδένα βδελύσσεται· ἀλλὰ πάντας προσκαλεῖται εἰς τὴν κοινὴν ὁμόνοιαν καὶ ἀποκατάστασιν τῆς τοῦ θεοῦ ἐκκλησίας. διὰ τί δὲ προσκαλεῖται πάντας; ὅτι ὁ τῆς εἰρήνης κύριος ἐπαναπέπαυται αὐτῷ.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν. ἡμεῖς ὁμοίως ὡς ἐπ' αὐτῷ τούτῳ παραγενόμενοι, θέλομεν πάντας εἰς μίαν ἕνωσιν καὶ ὁμόνοιαν ἐλθεῖν. ὃ καὶ χάριτι θεοῦ ἑκάστης ἡμέρας γίνεται. σήμερον γὰρ διὰ τῶν πρεσβειῶν τῶν ἁγίων ἀποστόλων, οἱ τῆς ἐκκλησίας ἑαυτοὺς χωρίσαντες δύο πατρίκιοι, μετανοοῦντες προσῆλθον αἰτούμενοι συγγνώμης ἀξιωθῆναι. τὴν γὰρ ἡμετέραν ἄνοδον, ὡς ἔφασαν, περιέμενον· καὶ διὰ τοῦτο τῆς ἐκκλησίας οὐ προσήρχοντο. ἐπειδὴ δὲ παρ' ἡμῶν πεπληροφόρηνται, ὅτι ἡ τῶν Ῥωμαίων ἐκκλησία ἐννομώτατον ἀρχιερέα ἔχει τὸν κύριον Φώτιον, καὶ τὴν τῆς ἐκκλησίας ἕνωσιν ἀποδέχεται, προσῆλθον ὁλοψύχως μετὰ πάσης προθυμίας. εἴδετε αὐτοὺς καὶ ἀπεδέξασθε.

Ἡ ἁγία σύνοδος εἶπεν· εἴδομεν αὐτοὺς, καὶ ἀπεδεξάμεθα, καὶ ἄλλην αἰτίαν οὐδεμίαν προεφασίζοντο, ὡς παρ' αὐτῶν ἐκείνων ἠκούσαμεν, εἰ μὴ ὅτι συνηρπάγημεν καὶ ἠπατήθημεν, ποιήσαντες ἰδιόχειρα, ἐκ τῶν ψευδοκρισιαρίων καὶ ἄλλων τινῶν προσώπων. καὶ εἰ μὴ κατ' αὐτοῦ τοῦ ἁγιωτάτου πατριάρχου ἡμῶν ποιήσαντες ἰδιόχειρα, ἐξ αὐτοῦ μόνου τὴν λύσιν εἴχομεν δέξασθαι. ἐπειδὴ δὲ ἡ γενομένη παρανομία κατ' αὐτοῦ ἦν, ἐξεδεχόμεθα ἕτερον θρόνον, ἵνα ἐκεῖνοι λύσωσι τὸ κατάκριμα, καὶ ἡμεῖς ὦμεν ἀκατάκριτοι.

ἐπεὶ

ἐπεὶ ἄλλο τί ποτὲ οὐκ εἴχομεν. ἐπεὶ οὖν αὐτοὶ τιμὴ λύσιν ἐδώκατε, ὡς φασὶ, μὴ πάσης χαρᾶς καὶ εὐφροσύνης, καὶ ἀποδεχόμεθα, καὶ συγγνώμην αἰτούμεθα, καὶ τοὺς μὴ ἀποδεχομένους ἀποβαλλόμεθα. διὰ τοῦτο καὶ ἡμεῖς ἀπεδεξάμεθα αὐτοὺς ὡς οἰκεῖα τέκνα καὶ μέλη.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον. ἐὰν ὑμεῖς τούτους ἀπεδέξασθε, καὶ πρὸ πάντων ὁ ἁγιώτατος πατριάρχης, καὶ ἡμεῖς τούτους ἀποδεχόμεθα. καὶ γὰρ ὃς αὐτὸς ὅπερ ὁ ἁγιώτατος πατριάρχης ἀποδέχεται, καὶ ἡμεῖς συναποδεχόμεθα, καὶ οὓς ἀποβάλλεται, συναποβαλλόμεθα. κατὰ τὴν φωνὴν Ἰννοκεντίου τοῦ πάπα. λέγει γὰρ ὅπως· ᾧ τινι χεῖρα ὀρέγετε, καὶ ἐγὼ μεθ' ὑμῶν ὀρέγω. ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία ὥσπερ λυπεῖται ἐπὶ τῇ διχονοίᾳ τῆς ταύτης τέκνων, ὅπως ἐπὶ τῇ τούτων ὁμονοίᾳ καὶ * συμφωνίᾳ χαίρει. ἀναμνησθήτω δὲ ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ συνόδου, ὅτι ἐν τῇ ἐπιστολῇ ἣν ἀπέστειλεν ὁ ἁγιώτατος πάπας πρὸς τὸν βασιλέα ἡμῶν τὸν ἅγιον, ἐνεφέρετό τινα κεφάλαια, ἅτινα βούλομαι καὶ πάλιν κατενώπιον τῆς ἁγιωσύνης ὑμῶν ἀναγνωσθῆναι, καὶ ὁμονοῆσαι εἰς τὰ εἰρημένα κεφάλαια τὴν ὑμῶν ἁγίαν συνέλευσιν. ἡ ἁγία συνόδου εἶπεν· ἀναγνωσθήτωσαν. καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω.

* Συναφίᾳ

ΚΕΦΑ'Λ. Α'.

Ὥστε μηκέτι εἰς βλασφημίαν χειροτονεῖν τὸν Κωνσταντινουπόλεως, μήτε ὠμόφορον ἀποστέλλειν· μήτε εἰ δεσμήσομεν αὐτὸν, καὶ καταφύγωσι πρὸς τὴν ὑμετέραν ἁγιωσύνην συμπαθείας ἀξιοῦσθαι.

Ἡ ἁγία συνόδου εἶπεν· ἡμεῖς καὶ προεύπομεν τῇ ὑμῶν ἁγιότητι, καὶ πάλιν λέγομεν, ὅτι ὁ περὶ ἐνορίας λόγος τῆς παρούσης διέσηκεν ὑποθέσεως, καὶ καιρὸν ἴδιον ἐπιζητεῖ. ὅμως ἂν μεθ' ὑμῶν συμπαρακαλοῦμεν τὸν εὐσεβέστατον ἡμῶν βασιλέα περὶ τούτου, καὶ ὡς ἂν ὁδηγήσῃ αὐτὸν ὁ Θεὸς, καὶ ποιήσῃ, τῇ θείων καὶ ἱερῶν κανόνων συμπνεόντων καὶ δικαιοζομένων ἡμῖν. σύνομεν καὶ συναδοκοῦμεν καὶ ἡμεῖς.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· εἴπομεν καὶ πάλαι, εἴτι μέμνηται ἡ ὑμῶν ἁγιωσύνη, ὅτι τὸ κεφάλαιον τοῦτο καιρὸν ἴδιον ἐπιζητεῖ. ἐλπίζομεν γὰρ εἰς τὰς οἰκτιρμοὺς τοῦ Θεοῦ, καὶ εἰς τὴν εὐσέβειαν τῆς βασιλέως ἡμῶν τῆς ἁγίων, καὶ τὴν εὐχὴν τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, καθὼς καὶ αὐτὰ τὰ πράγματα προκόπτοντα ὁρῶμεν, ὅτι ὁ Θεὸς ἀποκαταστῆσαι ἔχει τῇ βασιλείᾳ αὐτοῦ τὰ ἀρχαῖα ὅρια, καὶ πάσης τῆς ὑφ' ἥλιον τὴν ἱερωσύνην. καὶ ἐπειδὰν τοῦτο γένηται, τότε καθὼς ἂν τῷ κράτει αὐτοῦ βουληθῇ, διασκελεῖ τὰς ἐνορίας τῆς ἀρχιερατικῶν θρόνων, ὥστε μηκέτι ἔριδας ἐν αὐτοῖς ἀναφύεσθαι· ἀλλὰ καὶ ἐν τούτῳ, ὡς καὶ ἐν τοῖς ἄλλοις, βασθεῖαν ἐμπολιτεύεσθαι τὴν εἰρήνην.

Θεόφιλος ὁ θεοφιλέστατος μητροπολίτης Ἰκονίου εἶπεν· ὅπως ἐλπίζομεν ὅτι ἔχει γένεσθαι. καὶ τότε πλέον ὧν ἐπιθυμεῖ ὁ ἁγιώτατος πάπας Ῥώμης ἔχει προσλαβέσθαι, μάλιστα τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου κυροῦ Φωτίου, τοσαύτην πρὸς αὐτὸν τιμὴν αἰδῶ καὶ εὐσέβειας κεκτημένου, καὶ ἑτοίμου ὄντος, εἰ δυνατὸν, καὶ τὰ οἰκεῖα μέλη παραχεῖν αὐτῷ.

Νικήτας ὁ θεοφιλέστατος μητροπολίτης Σμύρνης εἶπε· τοσαύτης ὄσης ἀγάπης καὶ φιλίας πνευματικῆς ἀναμεταξὺ τοῦ τε ἁγιωτάτου πάπα Ῥώμης, καὶ τοῦ ἁγιωτάτου πατριάρχου ἡμῶν Φωτίου, τίς ἐκ οἴδεν ἀκριβῶς, ὅτι ὥσπερ τὴν ψυχὴν ἔχουσι μίαν, ὅπου καὶ τὸν αὐτὸν χεῖρα λαὸν, καὶ τὰς αὐτοκρατορίας χώρας κοινὰς ἡγοῦνται, καὶ ἑκατέρου αὐτῶν οἰκεῖον κέρδος ἐν τῷ τοῦ πλησίον καὶ φίλου τίθεται κέρδει; ἡ ἁγία συνόδου εἶπε· τὰ αὐτὰ πάντες καὶ ἡμεῖς συνεπισάμεθα, καὶ λέγομεν.

ΚΕΦΑ'Λ. Β'.

Ὥστε μηκέτι ἀπὸ λαϊκῶν προάγεσθαι εἰς τὸν Κωνσταντινουπόλεως θρόνον. τὰ γὰρ γινόμενα σπάνια, εἰ καὶ λίαν ἀγαθὰ εἴη, νόμος τοῖς μετέπειτα καθίσασθαι οὐ δύναται.

Βασίλειος ὁ θεοφιλέστατος μητροπολίτης Μαρτυροπόλεως καὶ τοποτηρητὴς, καὶ Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς, ἔτι δὲ καὶ Κοσμᾶς ἀποκρισιάριος Ἀλεξανδρείας εἶπον· τοῦτο κατ' ὄψιν ἐναντιοῦται τῷ ἐκκλησιαστικῷ θεσμῷ. καὶ γὰρ ἡ Ἀλεξάνδρεια, καὶ ὁ πατριαρχικὸς τῆς Ἀντιοχείας θρόνος, ἀλλὰ μὴν καὶ ὁ τῆς ἁγίας πόλεως, ἐν οἵῳ δ' ἂν τάγματι, εἴτε λαϊκῶν, εἴτε μοναχῶν, εἴτε κληρικῶν εὕρωσιν, ἀρετῇ τοὺς λοιποὺς πλεονεκτοῦντα ἐπὶ τὸν ἀρχιερατικὸν θρόνον ἀναβιβάζειν οὐ παραιτοῦνται. οὐ γὰρ διὰ μόνους κληρικοὺς κατῆλθεν ἐπὶ γῆς ὁ Χριστὸς, οὐδὲ τούτοις μόνοις ἀπέκλεισε τὰ τῆς ἀρετῆς ἆθλα· ἀλλὰ παντὶ τῷ χριστιανικῷ πληρώματι. τοῦτο δὴ εἰ δοκιμασθείη παραδεχθῆναι, πάντες οἱ ἀρχιερατικοὶ θρόνοι εἰς ἐρήμωσιν καὶ ἀπώλειαν ἔχουσι καταστῆναι. * οἱ γὰρ πλείους τῆς διαλαμ- * α'
ψάντων ἐν ἡμῖν ἀπὸ λαϊκοῦ τάγματος τοὺς ἀρχιερατικοὺς κατεπιστεύθησαν θρόνους, ἡμεῖς ἐπὶ τούτῳ συναινέσαι οὐ δυνάμεθα, ἵνα μὴ κατὰ τῆς ἀρχιερέων ἡμῶν φωραθῶμεν ψῆφον ἐξάγοντες.

Ἡ ἁγία συνόδου εἶπεν· ἕκαστος θρόνος ἔχει ἀρχαία τινὰ παραδεδομένα ἔθη. καὶ οὐ χρὴ περὶ τούτων πρὸς ἀλλήλους διαφιλονεικεῖν, καὶ ἐρίζειν. φυλάττει μὲν γὰρ ἡ τῆς Ῥωμαίων ἐκκλησία τὰ ἔθη αὐτῆς, καὶ προσῆκόν ἐστι. φυλάττει δὲ καὶ ἡ Κωνσταντινουπολιτῆς ἐκκλησία ἴδιά τινα ἔθη ἄνωθεν παραλαβοῦσα· ὡσαύτως καὶ οἱ τῆς ἀνατολῆς θρόνοι. εἰ μὲν οὖν ἡ τῆς Ῥωμαίων ἐκκλησία οὐδέποτε ἀπὸ τῆς λαϊκῶν παρεδέξατο εἰς ἀρχιερέα, φυλαττέτω ταῦτα. προσῆκον γάρ ἐστιν ὅρια παῶν μὴ πα-

παραλυμαίνειν. ἐπεὶ δὲ οὔτε οἱ ἀνατολικοὶ τοῦτο παρεφυλάξαντο, οὔτε ἡ καθ' ἡμᾶς ἁγία Κωνσταντινουπολιτῶν ἐκκλησία, εὐχόμεθα μὲν ἀεὶ ἀπὸ τῶν κληρικῶν καὶ * λαϊκῶν τοιούτους ἀναδείκνυσθαι, ὥς τε τὴν ψῆφον τῆς ἀρχιερωσύνης ἐπ' αὐτοὺς ἔρχεσθαι. ἂν δὲ ἐν αὐτοῖς μὴ ὦσι τοιοῦτοι, ἐν δὲ τῷ λαϊκῷ τάγματι ἐπιτηδειότεροι φανῶσιν, οὐδεὶς τοὺς ἐπιτηδειοτέρους καταλιμπάνων, οὐδὲ τοὺς ἀξιωτέρους εἰς τοὺς ἀνεπιτηδείους καὶ ἐλάττους κατὰ τὴν ἀξίαν τὴν αὐτοῦ παρελκύσει ψῆφον.

* μοναχῶν

ΚΕΦΑΛ. Γ'.

Ὥς τε μὴ ἐξ ἄλλης ἐκκλησίας προάγεσθαι εἰς ἀρχιερέα τῆς Κωνσταντινοπολιτῶν ἐκκλησίας, ἀλλ' ἐκ τῶν καρδηναλίων πρεσβυτέρων καὶ διακόνων.

Ἡ ἁγία σύνοδος εἶπε· τοῦτο τὸ κεφάλαιον συμπεριλαμβάνεται τῷ προτέρῳ. καὶ δῴη μὲν ὁ Θεὸς τὴν Κωνσταντινουπόλεως ἁγίαν ἐκκλησίαν οὕτως ἐξευγενισθῆναι καὶ περιφανῆ γενέσθαι, ὥς τε τοὺς ἐν αὐτῇ πρεσβυτέρους καὶ διακόνους προλάμπειν ἁπάντων τῶν ὑπὸ τὴν Ρωμαϊκὴν ἀρχὴν καὶ ἐξουσίαν ἱερέων καὶ διακόνων, ἵνα καὶ ἐξ αὐτῶν μόνον ἐπὶ τὸν μέγιστον θρόνον τῆς ἀρχιερωσύνης ἀναβιβάζωνται. ἂν δ' ὁ καιρὸς τοιούτους οὐ δείξῃ, ἐξ ὧν ἔχει ἡ ἐκκλησία, ὁ προλάμπων καὶ προέχων κατ' ἀρετὴν, ἐκεῖνος ἐκ τῆς βασιλευούσης πόλεως τὸ ἀρχιερατικὸν ἀξίωμα κοινῇ πάντων ψήφῳ ἀναδέξεται, τῶν προκρίνειν εἰδότων τὸν ἐν ταῖς μείζοσιν ἀρεταῖς ἐξεταζόμενον τὸν ἐν ταῖς ἐλάττοσι

ΚΕΦΑΛ. Δ'.

Τὴν γενομένην σύνοδον κατὰ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου ἐν Ρώμῃ ἐπὶ Αδριανοῦ τοῦ μακαριωτάτου πάπα, καὶ τὴν γενομένην σύνοδον ἐν Κωνσταντινουπόλει κατὰ τοῦ αὐτοῦ ἁγιωτάτου Φωτίου, ὁρίζομεν παντελῶς ἐξωστρακισμένην καὶ ἀποκεκηρυγμένην εἶναι, καὶ μήτε μετὰ τῶν ἁγίων συνόδων συναριθμεῖσθαι, ἢ συγκαταλέγεσθαι· μήτε μὴν σύνοδον ὅλως καλεῖσθαι, ἢ ὀνομάζεσθαι. μὴ γένοιτο.

Βασίλειος ὁ θεοφιλέστατος μητροπολίτης Μαρτυροπόμεως καὶ τοποτηρητὴς Αντιοχείας εἶπεν· ὁ ἁγιώτατος πάπας Μιχαὴλ Αλεξανδρείας ἅμα τοῖς σὺν αὐτῷ ἀχιερεῦσι Θεοῦ πάλαι ἅπαντα τὰ κατὰ τοῦ ἁγιωτάτου πατριάρχου Φωτίου πεπραγμένα καὶ ἀπεκήρυξε καὶ ἀναθεμάτισε, καὶ τοὺς ἀποδεχομένους αὐτὰ τῷ ὁμοίῳ ἀναθέματι καθυπέβαλεν. ὁμοίως καὶ ὁ ἐμὸς πατριάρχης ὁ ἁγιώτατος Θεοδόσιος καὶ αὐτὰ, καὶ τοὺς ἀποδεχομένους αὐτὰ, καὶ τοὺς ὀνομάζοντας αὐτὴν σύνοδον, τῷ αὐτῷ κρίματι κατέκρινέ τε, καὶ κατεδίκασε.

Κοσμᾶς ὁ θεοσεβέστατος πρεσβύτερος, καὶ ἀπκρισιάριος Αλεξανδρείας εἶπε. τὸ φρόνημα αὐτοῦ ὁ ἁγιώτατος πάπας Αλεξανδρείας ἐν τοῖς τιμίοις αὐτοῦ γράμμασι τρανῶς πᾶσιν ἀνεκήρυξε, καὶ ὡς πάσῃ ἀρᾷ καθυποβάλλει καὶ αὐτὰ, καὶ τοὺς ἀποδεχομένους αὐτά.

Ηλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ιεροσολύμων εἶπε. τοὺς μὴ ἀποδεχομένους Φώτιον τὸν ἁγιώτατον πατριάρχην ἔννομον καὶ κεκανονισμένον ἀρχιερέα Θεοῦ, τῷ ἀναθέματι καθυποβάλλω· ὥσπερ πάλαι μὲν ὁ ἐν ἁγίοις Θεοδόσιος, ὁ τῶν Ιεροσολύμων ἀρχιερεὺς, νῦν δὲ καὶ ὁ αὐτοῦ διάδοχος Ηλίας οὕτω συναναθεματίζει, καὶ ἀποβάλλεται, καὶ πάντα τὰ κατ' αὐτοῦ ἔμπροσθεν πεπραγμένα· ἐν οἷς μάλιστα οἱ Σαρακηνῶν ἀποκρισιάριοι, κριταὶ καὶ νομοθέται παράνομοι προεκαθέζοντο.

Ἡ ἁγία σύνοδος ἐξεβόησε· πάντες οὕτως δοξάζομεν, πάντες οὕτω κηρύττομεν, πάντες ἐν τούτοις ἀσμενίζομεν. ἐν τούτῳ τῷ κεφαλαίῳ τοῦ ἁγιωτάτου πάπα Ιωάννου, τῶν ἄλλων ἁπάντων μᾶλλον εὐφράνθημεν. ἡμεῖς γὰρ, ὡς πολλάκις ἔφημεν, καὶ πρὸ τοῦ ἐπιψηφίσασθαι τὸν ἁγιώτατον πάπαν Ιωάννην, τὴν τῶν ἀθέσμων ἐκείνων ἀναίρεσιν, πάντα τὰ κατὰ τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου γραφέντα, καὶ λαληθέντα, καὶ ἀνεθεματίσαμεν, καὶ ἀπεβαλόμεθα, ἑνωθέντες αὐτῷ καὶ κοινωνήσαντες, καὶ συλλειτουργοὶ γενόμενοι. καὶ νῦν δὲ πάλιν θερμότερόν τε καὶ σπουδαιότερον ἅπαντα τὰ καθ' αὐτοῦ, καὶ ἀναθεματίζομεν, καὶ ἀποβαλλόμεθα. ἐκ τοὺς ἀπὸ τοῦ νῦν δεχομένους αὐτὰ τῷ αὐτῷ παραπέμπομεν ἀναθέματι.

ΚΕΦΑΛ. Ε'.

Τοὺς μέχρι τοῦ νῦν ἑαυτοὺς ἀποστήσαντας τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, καὶ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, καὶ τῇ χισματικῇ πλάνῃ ἑαυτοὺς ἐκδεδωκότας, ὁρίζομεν ἀκοινονήτους εἶναι τοῦ σώματος καὶ αἵματος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. καὶ τῆς τῶν πιστῶν συνάξεώς τε καὶ συναυλίας, ἕως ἂν ἐπιμένωσι τῇ ἀποστασίᾳ.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀρέσκει πᾶσι, καὶ δικαίως κεκρίκατε· πλὴν, ὡς πολλάκις εἴπομεν, αὐτοὶ εὐαρίθμητοί εἰσι· καὶ αὐτοὶ ἕτοιμοι, ὡς καὶ ὑμεῖς ἀκούετε, προσελθεῖν τοῖς ποσὶ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, καὶ μετάνοιαν τῶν ἔμπροσθεν ἡμαρτημένων ἐξαιτήσασθε.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος ἐκ καρδηνάλις εἶπεν. ἐπειδήπερ χάριτι Θεοῦ πάντα τὰ σκάνδαλα ἐκ μέσου γεγόνασι, καὶ ἡ ἀλήθεια ἐξετασθεῖσα λαμπροτέρα γέγονε, καὶ τῷ φωτὶ τοῦ Θεοῦ ἡ ἐκκλησία τεφάτισται, τὴν εἰρήνην καὶ ὁμόνοιαν ἀπολαβοῦσα· ἔπεστι δὲ τανῦν καὶ ὁ καιρὸς τῆς συνάξεως, καὶ τὰ τῆς ἱερᾶς μυσταγωγίας ὀφείλει τελεσθῆναι, εἰ δοκεῖ τῇ ὑμῶν ἁγιωσύνῃ, ἅπαν τὸ συνειλεγμένον ἱερώτατον ἄθροισμα σὺν τῇ ἡμετέρᾳ μετριότητι τὰ

τῆς

της ἱερᾶς καὶ θείας λειτουργείας μετὰ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου ἐπιτελέσωμεν μυστήρια. ἡ ἁγία σύνοδος εἶπε. τοῦτο ἀγαθὸν καὶ Θεῷ ἀποδεκτόν. γενέσθω κατὰ τὸ ῥῆμα ὑμῶν. ὁ Θεὸς φυλάξαι τὸν δεσπότην ἡμῶν τὸν ἅγιον, καὶ μακροημερεῦσαι τοὺς χρόνους αὐτοῦ εἰς σωτηρίαν τῆς ἐκκλησίας αὐτοῦ. πολλὰ τὰ ἔτη τῶν βασιλέων.

ΠΡΑΞΙΣ Ε'.

Μηνὶ Ιαννουαρίῳ κϛ'. ἡμέρα γ'. ἰνδικτιῶνος ιγ'. προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τῷ δεξιῷ μέρει τῶν κατηχουμενείων τῆς μεγάλης ἐκκλησίας, καὶ συγκαθεσθέντων αὐτῷ Παύλου καὶ Εὐγενίου τῶν θεοφιλεστάτων ἐπισκόπων καὶ τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης. ἔτι δὲ Πέτρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ καρδινάλεως· οὐ μὴν ἀλλὰ καὶ Βασιλείου τοῦ θεοφιλεστάτου ἐπισκόπου Μαρτυροπόλεως καὶ τοποτηρητοῦ τῆς Αντιοχείας ἐκκλησίας. καὶ Ηλίου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ τοποτηρητοῦ Ἱεροσολύμων· καὶ Κοσμᾶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἀποκρισιαρίου Αλεξανδρείας. καὶ τῶν θεοφιλεστάτων μητροπολιτῶν. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, ἥ τις ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ τὸ δεύτερον συνέστη, ἐπί τε Αδριανοῦ τοῦ μακαριωτάτου πάπα Ῥώμης, καὶ Ταρασίου τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως, ἡ μὲν καθ' ἡμᾶς ἐκκλησίᾳ ἀεὶ μὲν ἑβδόμην ὀνομάζει τε καὶ ἀνακηρύττει, καὶ ταῖς λοιπαῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ σύνοδοις τοῖς ἴσοις πρεσβείοις γεραίρει. ἡ δέ γε τῶν Ρωμαίων ἐκκλησίᾳ, ὡσαύτως δὲ καὶ οἱ τῆς ἀνατολῆς θρόνοι, τὰ μὲν δόγματα αὐτῆς παραπλησίως ἀποδέχονται καὶ περιέπουσι, περὶ δὲ τοῦ συναριθμεῖν αὐτὴν ταῖς λοιπαῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ σύνοδοις, καὶ ἑβδόμην αὐτὴν ἀνακηρύττειν, ἴσως παράτισιν ἔστιν ἀμφιβολία. φήμη μὲν γὰρ τοιαύτη περιαγγέλλεται. τὸ δὲ ἀληθὲς οὔπω καὶ μέχρι νῦν ἐπιστάμεθα· νῦν δὲ, ὦ ἱερῶν ἀδελφῶν χορὸς ἁγιόλεκτος, ἐπειδὴ πάντα τὰ καλὰ δηλονότι συνεφαπτομένου τοῦ ἁγιωτάτου πάπα Ιωάννου τοῦ ἀδελφοῦ καὶ πνευματικοῦ πατρὸς ἡμῶν εἰς ἀναμφίβολον πέρας κατέστη, τῶν αὐτῶν τιμιωτάτων τοποτηρητῶν τῶν τὸν ἐκείνου πληρούντων θρόνον. καὶ τῶν ἄλλων ἀρχιερατικῶν συνεδρευόντων θρόνων εἰ δοκεῖ καὶ ὑμῖν ἅπασι κραταιωθήτω καὶ κυρωθήτω, μὴ μόνον αὐτῆς ὡς παρὰ πᾶσι τὰ δόγματα, καὶ θεσπίσματα· ἀλλὰ καὶ τῷ συναριθμεῖσθαι αὐτὴν ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἓξ συνόδοις ἑβδόμην μετ' ἐκείνας καὶ γενομένην, καὶ λεγομένην, καὶ τὰ ἴσα ταύταις ἀποφέρουσαν πρεσβεῖα.

Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπε· βουλόμεθα τὴν ὑμετέραν ἁγιωσύνην ὑπομνῆσαι περὶ τῆς ἁγίας συνόδου τῆς γενομένης ἐπὶ τοῦ ἁγιωτάτου πάπα Αδριανοῦ καὶ Ταρασίου τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως, περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων. ὅτι ὥσπερ ἐξ ἀρχαίων τῶν χρόνων ὁμοφώνως ταῖς ἁπανταχοῦ ἁγίαις ἐκκλησίαις. καὶ ἡ ἁγία τῶν Ρωμαίων ἐκκλησίᾳ τά τε δόγματα αὐτῆς καὶ θεσπίσματα ἠσπάζετο καὶ ἀπεδέχετο, οὕτω καὶ τανῦν ἑβδόμην αὐτὴν καλεῖν καὶ ταῖς λοιπαῖς ἓξ ἁγίαις καὶ οἰκουμενικαῖς σύνοδοις καταριθμεῖν ἐδικαίωσε, καὶ ὁ μὴ οὕτως ἔχων καὶ ὀνομάζων τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ τὸ δεύτερον ἑβδόμην σύνοδον, ἔστω ἀνάθεμα.

Η ἁγία σύνοδος εἶπε· πρέπον ἐστὶ μετὰ πάσης τῆς γενομένης ἀποδοχῆς καὶ ἑνώσεως τῆς τῶν Ρωμαίων ἐκκλησίας διὰ μεσιτείας τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου Φωτίου, καὶ ἐπὶ τῇ ὑποθέσει ταύτῃ συμφωνῆσαι ἡμῖν, ὡς ἂν μὴ δὲ ἐν τούτῳ εἴη ἐν ἡμῖν διαφωνία. καὶ ὁ μὴ οὕτω φρονῶν καὶ ὀνομάζων τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ τὸ β'. ἑβδόμην σύνοδον, ὡς καὶ ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις προεῖπεν, ἔστω ἀνάθεμα.

Εὐγένιος ὁ θεοφιλέστατος ἐπίσκοπος καὶ τοποτηρητὴς τῆς πρεσβυτέρας Ῥώμης εἶπεν· ὁ μὴ ἔχων τὴν γενομένην οἰκουμενικὴν σύνοδον ἐν Νικαίᾳ τὸ β'. ἐπὶ τοῦ ἁγιωτάτου πάπα Αδριανοῦ καὶ Ταρασίου τοῦ ἐν ἁγίοις πατριάρχου Κωνσταντινουπόλεως, ἁγίαν καὶ ζ'. σύνοδον, καὶ τιμῶν αὐτὴν ὡς τὰς λοιπὰς οἰκουμενικὰς ἓξ συνόδους, ἔστω ἀνάθεμα.

Βασίλειος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαρτυροπόλεως καὶ τοποτηρητὴς Αντιοχείας εἶπεν· ἡμεῖς καὶ προαπεδεξάμεθα, καὶ νῦν συμφωνοῦντες τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, ἀποδεχόμεθα τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ τὸ β'. σύνοδον, ζ'. αὐτὴν καὶ ἁγίαν ἀποκαλοῦντες, ταῖς πρὸ αὐτῆς ϛ'. καὶ οἰκουμενικαῖς ἁγίαις συνόδοις συναριθμοῦντες τε καὶ συνανακηρύττοντες· καὶ τοὺς μὴ οὕτω φρονοῦντας τῷ ἀναθέματι παραπέμπομεν.

Ηλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ιεροσολύμων εἶπεν· ὅστις τὴν ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον τὴν ἐν Νικαίᾳ συστᾶσαν τὸν β'. οὐκ ἀποδέχεται, οὗτος οὐδὲ τὰς ἄλλας ϛ'. συνόδους ἀποδέχεται. ὥσπερ γὰρ ἐν ἐκείνοις οἱ ἀρχιερατικοὶ πάντες συνδραμόντες θρόνοι, οἱ μὲν δι' ἑαυτῶν, οἱ δὲ διὰ τοποτηρητῶν τὸ πιστὸν καὶ βέβαιον τῶν δογμάτων παρεστήσαντο, οὕτω καὶ αὐτὴ, καὶ ἐκ τοῦ ἁγιωτάτου πάπα Ῥώμης τοποτηρητὰς * ἥξεν. ὁμοίως δὲ καὶ ἐκ τῶν τῆς καθ' ἡμᾶς ἀνατολῆς θρόνων. καὶ τὰ δόγματα αὐτῆς συγγενῆ καὶ οἰκεῖα καὶ ὁμόδοξα τῶν οἰκουμενικῶν ϛ'. συνόδων ὑπῆρχον. ὁ οὖν ταύτην μὴ δεχόμενος, μὴ δὲ ὀνομάζων οἰκουμενικὴν καὶ ζ'. σύνοδον, τὰς ἄλλας, κἂν οὐ τολμᾷ λέγειν, * παραγράφεται. διὸ εἴ τις ταύτην οὐκ ἀποδέχεται ὡς ἐκείνας τὰς ἁγίας καὶ οἰκουμενικὰς ϛ'. συνόδους, ἀνάθεμα ἔστω. ἡ ἁγία σύνοδος εἶπεν· ἀνάθεμα.

* εἶχεν

* ἀπογράφεται.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον. παρακαλοῦμεν τὴν ὑμετέραν ἀγιωσύνην ἀπελθεῖν πρὸς τὸν Μηδοφάνην, καὶ εἰπεῖν αὐτῷ. προσκαλεῖταί σε ἅμα τοῖς ἁγίοις τοποτηρηταῖς ἡ προκαθεζομένη αὕτη ἁγία σύνοδος, ἀναμαθεῖν βουλομένη τὸν σκοπὸν καὶ τὴν βάλησιν, διὰ περὶ τῆς ἑνώσεως τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἔχεις. καὶ δὴ προσκληθέντες Βασίλειος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Κρήτης, καὶ Νικήτας ὁ θεοφιλέστατος μητροπολίτης Σμύρνης, καὶ Γρηγόριος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Σέλγης, ἀπεσάλησαν παρά τε τῆς ἁγιωτάτων τοποτηρητῆς καὶ τῆς ἐνδημούσης συνόδου. οἵ τε καὶ παραγενόμενοι πρὸς Μητροφάνην τὸν βλαβέστατον, εἶπον αὐτῷ· οἱ ἁγιώτατοι ἐπίσκοποι καὶ τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης, ἅμα τῇ προκαθεζομένῃ συνόδῳ τάδε δι' ἡμῶν δηλοποιοῦσί σοι. καθαροποίησον ἡμῖν τὰ τῆς γνώμης σου, καὶ πρὸς τὴν ἁγίαν καὶ οἰκουμενικὴν ταύτην σύνοδον ἀπολόγησαι, δι' ἣν αἰτίαν σεαυτὸν τῆς ἐκκλησίας ἀποδιϊστᾶς. Μητροφάνης ὁ βλαβέστατος εἶπεν· ἀσθενῶ, καὶ διὰ τοῦτο οὐ δύναμαι πολλὰ λέγειν· τοῦτο δὲ λέγω συντόμως, τὴν αἰτίαν δι' ἣν διίσταμαι ἐξ ὑμῶν· * πρόθυμος ἂν ἦλθον, καὶ ἀπολογησάμην ἅπερ δίκαιον ἦ. ἀλλὰ μαρτυρεῖ μοι τὸ συνειδὸς, ὅτι ἀθενῶ σφόδρα· καὶ οὐ δύναμαι ὅτε θεραπεῦσαι, ὅτε σιῶπαι κατενώπιον ὑμῶν. τοῦτο οὖν ἕνεκεν, εἰ δυνατόν ἐστι, παρακαλῶ ἵνα ἐάσητέ με, ἕως ἂν ζήσωμαι ῥῶσις ἐν ἐμοὶ τῆς φύσεως· καὶ εἶθ' ὕστερον ἀπολογοῦμαι.

* προθύμως

Οἱ μὲν οὖν ἀπεσαλμένοι πρὸς τὸν βλαβέστατον Μητροφάνην, τοιαύτης αὐτῷ τὰ φωνὰς πρὸς τὴν σύνοδον ἀπεκόμισαν. οἱ δὲ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης ἀπεκρίθησαν. ἡμεῖς κατὰ τὴν ἐντολὴν ἣν ἐλάβομεν παρὰ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ πολλάκις καὶ παρηνέσαμεν, καὶ ἐνθετήσαμεν, καὶ παρεκαλέσαμεν αὐτὸν, ἀποστῆναι τῆς πλάνης αὐτοῦ, καὶ προσελθεῖν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ. ἐπεὶ δὲ καὶ νῦν ἀποσειλάντων ἡμῶν προφάσεις ἐκεῖνο ἐν ἁμαρτίαις προφασίζεται, καὶ ματαίας μὲν φλυαρίας καὶ ἀποσασίας λόγους δύναται λέγειν, ὃν δὲ ῥῆμα ὀρθὸν καὶ σωτήριον οὐ δύναται εἰπεῖν, τὸ, ἰδοὺ ἐγὼ ἑνοῦμαι τῇ ἐκκλησίᾳ κατὰ τὴν ἐντολὴν τοῦ ἁγιωτάτου πάπα Ἰωάννου. ἀλλὰ τὰς μακρὰς μὲν φλυαρίας λέγειν αὐτὸν ἡ νόσος οὐδὲν ἐμποδίζει, τὴν δὲ σωτήριον ὁμολογίαν μὴ βουλόμενος εἰπεῖν αἰτιᾶται τὴν νόσον· ἰδοὺ κατὰ τὴν ἐντολὴν τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πάπα Ἰωάννου, καὶ κατὰ τὰς παραδεδομένας ἡμῖν ἐκκλησιαστικὰς θεσμὰς χωρίζομεν αὐτὸν πάσης ἀπὸ ἐκκλησιαστικῆς καὶ κοινωνίας καὶ συναυλίας, ἕως ἂν ἐπιστρέψῃ εἰς τὸν ἴδιον ποιμένα. θέλομεν γὰρ ὑμᾶς εἰδέναι ὡς ὁ ἀποστολικὸς πάπας Ἰωάννης προσέταξεν ἡμῖν ταῦτα ἃ προανηγείλαμέν τε καὶ προαγορεύσαμεν· δηλονότι ἵνα καὶ συγκαθαιρῶμεν καὶ συναθωῶμεν οὓς ἂν Φώτιος ὁ ἁγιώτατος πατριάρχης, ἢ καθαιρέσει ἢ ἀθωώσει καθυποβάλῃ, αὐτοῦ τε καὶ ὑμῶν ὁμοφωνούντων ἡμῖν. καὶ ἵνα ὃς ἂν ἔχῃ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πάπας Ἰωάννης κανονικῶς καθηρημένους ἢ οἱῳδήποτε τάγματι ἢ τόπῳ, ἔχῃ αὐτὸς καὶ Φώτιος ὁ ἁγιώτατος πατριάρχης καθηρημένους· ὁμοίως καὶ ὃς ἂν ἔχῃ Φώτιος ὁ ἁγιώτατος πατριάρχης καθηρημένους ἢ ἠθωωμένους, ἔχῃ αὐτὸς καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πάπας Ἰωάννης κατακεκριμένους ἢ ἠθωωμένους, πλὴν εἰ δοκεῖ τῇ ἁγιωσύνῃ ὑμῶν, καὶ εἰς κανόνος τάξιν ἡ προκειμένη ὑπόθεσις ἀναληφθήτω. ἡ ἁγία σύνοδος εἶπεν· ἀναληφθήτω. καὶ τὸ κανόνος ἐκδοθέντος λαῶν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος, ἀνέγνω.

ΚΕΦΑΛ. Α'.

Ὡρισεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ὥς τε εἴτινες τῆς ἐξ Ἰταλίας κληρικῶν ἢ λαϊκῶν ἢ ἐπισκόπων ἐν τῇ Ἀσίᾳ ἢ Εὐρώπῃ ἢ Λιβύῃ διατρίβοντες, ὑπὸ δεσμὸν ἢ καθαίρεσιν ἢ ἀναθεματισμὸν παρὰ τοῦ ἁγιωτάτου πάπα Ἰωάννου ἐγένοντο, ἵνα ὦσιν οἱ τοιοῦτοι καὶ παρὰ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας ὅρῳ. τουτέστιν ἢ καθηρημένοι, ἢ ἀναθέματι καθυποβεβλημένοι, ἢ ἀφωρισμένοι. ὃς μέντοι Φώτιος ὁ ἁγιώτατος ἡμῶν πατριάρχης κληρικὸν, ἢ λαϊκὸν, ἢ τοῦ ἀρχιερατικοῦ καὶ ἱερατικοῦ τάγματος, ἐν οἱᾳδήποτε παροικίᾳ, ὑπὸ ἀφορισμὸν ἢ καθαίρεσιν ἢ ἀναθεματισμὸν ποιήσῃ, ἵνα ἔχῃ αὐτὸς καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης καὶ ἡ κατ' αὐτὸν ἁγία τοῦ Θεοῦ τῆς Ρωμαίων ἐκκλησία ἐν τῷ αὐτῷ τῆς ἐπιτιμίας κείματι, μηδὲ τῆς πρεσβείων τῆς προσόντων τῷ ἁγιωτάτῳ θρόνῳ τῆς Ρωμαίων ἐκκλησίας, μὴ δὲ τῷ ταύτης προέδρῳ τὸν σύνολον καινοτομουμένων, μήτε νῦν, μήτε εἰς τὸ μετέπειτα.

Οἱ ἁγιώταιοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρωμης εἶπον· ἀρέσκει; ἡ ἁγία σύνοδος εἶπεν· ἀρέσκει. Ηλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ιεροσολύμων εἶπεν· ὁ Θεὸς οὕτω ἐποίησεν, ἵνα καὶ οἱ τῆς ἀνατολῆς θρόνοι, καὶ ὁ ἁγιώτατος πάπας Ἰωάννης μετὰ τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου Φωτίου μία ψυχὴ ὦσι, καὶ μία σύμπνοια, καὶ τὸ θέμηλα αὐτῶν κοινὸν καὶ ἀδιάσπαστον ᾖ.

Βασίλειος ὁ θεοφιλέστατος ἐπίσκοπος Μαρτυροπόλεως καὶ τοποτηρητὴς Αντιοχείας εἶπεν οἱ τῆς καθ' ἡμᾶς θρόνων μείζονες ἀρχιερεῖς ἐπὶ πλεῖον ἀδιάσπαστον τὴν πρὸς τὸν ἁγιώτατον πατριάρχην Φώτιον γνώμην ἔχοντες, ἀφ' οὗ καὶ εἰς τὸν ἀρχιερατικὸν ἀνηνέχθη βαθμὸν, ἐπὶ τούτῳ καὶ ἡμᾶς ἀπέστειλαν, δόντες ἐξουσίαν καὶ αὐθεντίαν Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ, ἵνα εἴτις κἂν τε τοῦ ἱερατικοῦ καταλόγου εἴη, κἂν τε τοῦ λαϊκοῦ τάγματος διρεθείη ἑαυτὸν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας

χω-

χωρίζων, τὸ δοκοῦν τῇ ἁγιωσύνῃ αὐτοῦ εἰς τοὺς τοιούτους διαπράττηται. ὡς οὖν καὶ τὴν τῶν ἀνατολικῶν θρόνων ἐξουσίαν εἰληφώς. καὶ τῆς τῶν Ρωμαίων αὐθεντίας τὸ κῦρος προσλαβόμενος, καθὼς ἀρτίως ἠκούσαμεν, μᾶλλον δὲ προέχων ἐκ Θεοῦ ὡς ἀρχιερεὺς μέγιστος, οὓς ἂν δήσῃ τῷ τοῦ παναγίου πνεύματος ἀλύτῳ δεσμῷ, ἔχομεν καὶ ἡμεῖς δεδεμένους. καὶ οὓς ἂν λύσῃ, ἔχομεν καὶ ἡμεῖς λελυμένους.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον. εὐλογητὸς ὁ Θεὸς, ὅτι οὕτως αἱ γνῶμαι καὶ αἱ θελήσεις πάντων τῶν ἁγιωτάτων πατριαρχῶν εἰς ἓν συνῆλθον, καὶ διὰ τῆς κοινῆς ὁμονοίας καὶ εἰρήνης εἰς ἀγαθὸν τέλος κατέληξε πάντα τὰ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ἐναρχθέντα τε καὶ πραχθέντα. ἡ ἁγία σύνοδος εἶπεν· ὅτι μὲν ἀγαθὸν τέλος τὰ παρ' ἡμῶν πραχθέντα ἐδέξατο, κἂν ἡμεῖς σιωπήσωμεν, οἱ λίθοι κεκράξονται. καὶ ὁ μὴ στοιχῶν τοῖς παρὰ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου πραχθεῖσι, κεχωρισμένος ἔσται τῆς ἁγίας καὶ * οἰκουμενικῆς τριάδος. ἐρωτῶμεν δὲ τὴν ὑμετέραν ἁγιωσύνην περὶ τῶν ἑαυτοὺς ἀποδιϊστώντων τῆς ἐκκλησίας, ἐὰν μετὰ τὸ τελειωθῆναι τὴν σύνοδον ἐπιστρέψωσι μετανοοῦντες, τί ὑμῖν δοκεῖ; περὶ τούτου οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· καὶ ἤδη εἴπομεν, ὅτι ταύτην τὴν ἐξουσίαν ὁ ἁγιώτατος πάπας Ιωάννης Φωτίῳ τῷ ἁγιωτάτῳ πατριάρχῃ προσανέθετο, ὥς τε ἔχειν αὐτὸν ἐξουσίαν καὶ ἐπιστρέφοντας δέχεσθαι, καὶ μὴ μετανοοῦντας ἀφορισμῷ κατακρίνειν. πλὴν ἀπελθέτωσαν οἱ ὁρισθέντες πρὸς Μητροφάνην τὸν εὐλαβέστατον, ἀποκομίζοντες τὰς ἡμῶν ἀποκρίσεις, καὶ τὸν πρὸς αὐτὸν γενόμενον δεσμόν. ἡ ἁγία σύνοδος εἶπε· δίκαιόν ἐστιν· οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· ὁρισθήτωσαν οἱ μέλλοντες ἀπέρχεσθαι. ἀπῆλθον Ιωάννης ὁ θεοφιλέστατος μητροπολίτης Ηρακλείας, Δανιὴλ Αγκύρων, καὶ Γεώργιος Νικομηδείας. καὶ ἀνήγγειλαν Μητροφάνει τὰ ἀνωτέρω περὶ αὐτοῦ εἰρημένα. καὶ ὑποστρέψαντες ἔδωκαν ἀπόκρισιν τοιαύτην. ὥσπερ * δικαίων νόμος οὐ κεῖται κατὰ τὸν ἀπόστολον, οὕτως οὐδὲ νοσοῦντι καὶ χαλεπῶς ἀσθενοῦντι. ἃ τοίνυν προβάλλεται ἡ ὑμετέρα ἁγιωσύνη, ὡς μετ' ἐξουσίας τοῦ πάπα, τῇ ἡμῶν ταπεινώσει νῦν οὐχ ἁρμόττουσι· νοσηλευόμεθα γὰρ, ὥσπερ προείπομεν, καὶ οὐχ οἷοιτέ ἐσμεν ἐλθεῖν. ἐὰν δὲ θέλητε τελείαν ἀπόκρισιν λαβεῖν περὶ τῆς ἐκκλησιαστικῆς ἑνώσεως, κοπιάσατε μόνοι οἱ τρεῖς πρὸς τὴν ἡμετέραν ταπείνωσιν, καὶ ἵνα λαλήσω ὑμῖν. καὶ τηνικαῦτα τὸ ἀρεστὸν ἐνώπιον τοῦ Θεοῦ γενήσεται.

Ταύτης οὖν τῆς φωνῆς ἀποκομισθείσης, καὶ ἀναγνωσθείσης, οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον. ἡ ἀσθένεια οὐδὲν αὐτὸν ἐναπόδιζεν, ἵνα ἀντὶ τῶν πολλῶν λόγων ἓν ἐλλαμφθῇ ὑπὸ τοῦ Θεοῦ, καὶ ἐδήλωσεν ἡμῖν, ὅτι κοινωνός εἰμι τῆς ἐκκλησίας. διὸ οὐδὲν αὐτὸν ὀφελήσει τὸ ἀναβάλλεσθαι, οὐ δὲ δύναται αὐτὸν ἐξελέσθαι τῆς ἐπενεχθείσης αὐτῷ ἐπιτιμίας. Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν. ἐκεῖνος πολλάκις μὲν προφασίζεται ἀσθένειαν, πολλάκις δὲ ἀδυναμίαν· καὶ πᾶσι τρόποις μεθοδεύεται τὴν ἐπὶ τῆς ὑμῶν ἁγιωσύνης κρίσιν διαφυγεῖν. οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· τὰ μὲν ἐπὶ αὐτοῦ, καθὼς καὶ ὁ ἁγιώτατος ἡμῶν καὶ οἰκουμενικὸς πάπας διετάξατο, ἀπεφηνάμεθα. ἀναμνησθήτω γὰρ ἡ ὑμετέρα ἁγιωσύνη· ὅτι κατενώπιον ὑμῶν ἀνέγνωμεν τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου πάπα Ιωάννου. καὶ περιείχετο ἐν αὐτῇ περί τε τῆς ἐκκλησιαστικῆς εἰρήνης καὶ ἀποδοχῆς τῶν εἰλικρινῶς αὐτῇ προσερχομένων, καὶ μετανοούντων. καὶ ὅτι ὅσα εἰσὶ δεδεμένα, δύνανται οἱ ποιμένες λύειν.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἐὰν τὰ δεδεμένα οὐ λύσωσι, τί δύνανται ἄλλο ποιεῖν; Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις εἶπεν· ὁ οἰκουμενικὸς καὶ ἀποστολικὸς πάπας Ιωάννης, ταύτην τὴν ἐξουσίαν ἐκ τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου εἰληφὼς, δέδωκε καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ Φωτίῳ τὴν αὐτὴν ἐξουσίαν δεσμεῖν καὶ λύειν. ὁ δέ γε Μητροφάνης διὰ τῶν τοιούτων προφάσεων βούλεται διαφυγεῖν τὴν ἐπηρτημένην αὐτῷ καταδίκην, καὶ οὐ μὴ ἰσχύσει ταύτην διαδρᾶσαι. ἔχων γὰρ τὴν δοθεῖσαν αὐτῷ ἐξουσίαν παρὰ τοῦ ἁγιωτάτου πάπα Ιωάννου ὁ ἁγιώτατος πατριάρχης Φώτιος, καὶ ἄνευ τῆς ἡμετέρας παρουσίας τὴν ἁρμόζουσαν αὐτῷ καταδίκην ἐπάξει.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. πῶς ὑμῖν δοκεῖ περὶ τῶν τοῦ ἀρχιερατικοῦ τάγματος, ἑαυτοὺς εἰς τὴν τῶν μοναχῶν καταλεγόυσι χώραν; ἆρα εἰς ὑποταγὴν ἑαυτοὺς παραδιδόντες, δύνανται ἔτι οἱ αὐτοὶ τῆς αὐτῆς ποιμεναρχίας ἔχεσθαι; οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον· τοῦτο παρ' ἡμῖν οὐκ ἔστιν, οὐδὲ σώζεται. ὅστις γὰρ ἐὰν ἀπὸ ἀρχιερατικοῦ τάγματος εἰς τὴν τῶν μοναχῶν, τουτέστι τῶν μετανοούντων, καταριθμηθῇ χώραν, οὐ δύναται ἔτι τῷ τῆς ἀρχιερωσύνης ἑαυτῷ διεκδικεῖν ἀξίωμα. Βασίλειος καὶ Ηλίας οἱ ἁγιώτατοι τοποτηρηταὶ τῶν ἀνατολικῶν θρόνων εἶπον. οὐδὲ παρ' ἡμῖν ἐφωράθη τοῦτο ποτὲ γενόμενον. τοὐναντίον μὲν οὖν μονάζοντες προέρχονται εἰς ἀρχιερέας, ἀπὸ δὲ ἀρχιερέων εἰς μοναχοὺς κατερχόμενοι ἀρχιερεῖς μένειν οὐ δύνανται.

Η' ἁγία σύνοδος εἶπεν· ὁρισθήτω καὶ περὶ τούτου κανών. πολλάκις γὰρ καὶ ἐν ἡμῖν ἀμφιβολίαι γίνονται περὶ τῆς ὑποθέσεως ταύτης. τῶν μὲν λεγόντων μὴ κωλύεσθαι τοὺς ἀρχιερεῖς μοναχοὺς γεγενημένους τὰ τῶν ἀρχιερέων τελεῖν, τῶν δὲ οὐ συνευδοκούντων ἐπὶ τούτῳ. οἱ ἁγιώτατοι τοποτηρηταὶ εἶπον· ἐκτεθήτω κανών. ἡ ἁγία σύνοδος εἶπεν· ἔτι δὲ ἀξιοῦμεν ἐκτεθῆναι κανόνα, καὶ

ἐπὶ

* ὁμουσίου

* δικαίῳ

1. Τιμ. 1.

ἐπι τῆς εἰς τοῦτο μανίας καὶ ἀπονοίας ἐλθόντων λαϊκῶν, ὥστε ἀρχιερεῖς ἢ ἱερεῖς Θεοῦ τύπτειν ἢ φυλακίζειν. εἰ γὰρ καὶ σπανιάκις τοῦτο γέγονεν, ἀλλ' ὅμως οὖν ἴσμεν αὐτὸ οὐχὶ πρὸ πολλῶν χρόνων γεγενημένον. μὴ γὰρ οὔσης ὡρισμένης καὶ περιφανοῦς τῆς τιμωρίας τῆς τοῦτο τολμώντων, μᾶλλον ὁ πονηρὸς κατισχύσει εἰς τοῦτο τὸ ἄθεον ὑποσύρειν ἔργον. Βασίλειος καὶ Ἡλίας οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς ἀνατολῆς εἶπον· ἄξιόν ἐστι τεθῆναι καὶ περὶ αὐτοῦ κανόνα. ἐκδοθέντων δὲ παραυτίκα, Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· εἰ κελεύει ἡ ὑμετέρα ἁγιωσύνη, ἀναγνωσθήτωσαν οἱ κανόνες. καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω.

Εἰ καὶ μέχρι νῦν ἔνιοι τῆς ἀρχιερέων εἰς τὸ τῆς μοναχῶν κατιόντες σχῆμα, ἐπὶ τῷ τῆς ἀρχιερωσύνης ἐβιάζοντο διαμένειν ὕψει, καὶ τοῦτο πράττοντες παρεωρῶντο· ἀλλ' οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος καὶ τοῦτο ῥυθμίζουσα τὸ παρόραμα, καὶ πρὸς τοὺς τῆς ἐκκλησιαστικῆς καταστάσεως θεσμοὺς τὴν ἄτακτον ταύτην ἐπανάγουσα πρᾶξιν, ὥρισεν ἵνα εἴ τις ἐπίσκοπος, ἢ εἴ τις ἄλλος τοῦ ἀρχιερατικοῦ ἀξιώματος, πρὸς τὸν μοναδικὸν θελήσειε κατελθεῖν βίον. καὶ τὸν τῆς μενοίας τόπον ἀναπληρῶσαι, μηκέτι τοῦτον τῆς ἀρχιερατικῆς ἀντιποιεῖσθαι ἀξίας. αἱ γὰρ τῆς μοναχῶν συνθῆκαι, ὑποταγῆς ἔπεχουσι λόγον καὶ μαθητείας, ἀλλ' οὐχὶ διδασκαλίας ἢ προεδρίας· οὐδὲ ποιμαίνειν ἄλλους, ἀλλὰ ποιμαίνεσθαι ἐπαγγέλλονται. διὸ καθ' ἃ προείρηται θεσπίζομεν, μηκέτι τινὰ τῆς ἐν τῷ ἀρχιερατικῷ καταλόγῳ καὶ ποιμένων ἐξεταζομένων εἰς τὴν τῆς ποιμαινομένων καὶ μετανοούντων χώραν ἑαυτὸν καταβιβάζειν· εἰ δέ τις τοῦτο τολμήσειε πρᾶξαι μετὰ τὴν ἐκφώνησιν, καὶ διάγνωσιν τῆς νῦν ἐκπεφωνημένης ψήφου, αὐτὸς ἑαυτὸν τοῦ ἀρχιερατικοῦ ἀποστερήσας βαθμοῦ οὐκέτι πρὸς τὸ πρότερον, ὅπερ δι' αὐτῆς τῆς ἔργων ἠθέτησεν, ἀξίωμα ἐπαναστρέψει.

ΚΕΦΑΛ. Γ'.

Εἴ τις τῆς λαϊκῶν αὐθεντήσας, καὶ καταφρονήσας μὲν τῆς θείων καὶ βασιλικῶν προσταγμάτων, καταγελάσας δὲ καὶ τῆς φρικτῆς τῆς ἐκκλησίας θεσμῶν τε καὶ νόμων, τολμήσειεν ἐπίσκοπόν τινα τύψαι ἢ φυλακίσαι, ἢ χωρὶς αἰτίας, ἢ καὶ συμπλασάμενος αἰτίαν, ὁ τοιοῦτος ἀνάθεμα ἔστω. ἡ ἁγία σύνοδος εἶπεν. ἀνάθεμα.

15. Φώτιος ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς *εἶπεν· ἐπειδὴ πάντα ὅσα ἔδει πραχθῆναι ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, εὐδοκίᾳ μὲν Θεοῦ, συνεργείᾳ δὲ τῆς μεγάλων καὶ ὑψηλῶν βασιλέων ἡμῶν, ἐπινεύσει δὲ καὶ συναινέσει τοῦ ἁγιωτάτου πάπα Ῥώμης τοῦ πνευματικοῦ ἡμῶν ἀδελφοῦ καὶ πατρὸς, διὰ τῆς παρουσίας τῆς αὐτοῦ ἁγιωτάτων τοποτηρητῆς, καὶ τῆς λοιπῶν τριῶν ἀνατολικῶν θρόνων· ἐπεὶ ταῦτα πέρας αἴσιον καὶ οἷον εὐχῆς ἔργον γένοιτ' ἂν εἴληφεν, εὐχαριστοῦμεν τῷ ὑπεραγάθῳ καὶ φιλανθρώπῳ Θεῷ, τῷ τὰ σκάνδαλα ἐκ μέσου ποιησαμένῳ καὶ τὴν σχισματικὴν πλάνην, τὰ διεστῶτα συνάψαντι, τὴν ὁμόνοιαν ταῖς τοῦ Θεοῦ ἐκκλησίαις βραβεύσαντι. εἰ δέ τι ἐνδεῖ τῆς ὀφειλόντων συγκαταπραχθῆναι, καὶ τοῦτο ἡ ὑμετέρα φιλόχριστος ὁμήγυρις συνορᾷ, χρεών ἐστι καὶ τοῦτο διὰ τῆς πάντων εὐχῆς καὶ συνεργίας τὸ οἰκεῖον τέλος ἀπολαβεῖν

Οἱ ἁγιώτατοι τοποτηρηταί τῆς πρεσβυτέρας Ῥώμης εἶπον· ἀναμνησθήτω ἡ ὑμετέρα ἁγιωσύνη, ὡς ἐν τῇ προλαβούσῃ συνελεύσει τῆς ὑμῶν ὁσιότητος, κατ' ἐνώπιον τῆς ὑμετέρας ἁγιωσύνης, τὸ ἐπιδοθὲν ἡμῖν κομμονιτόριον παρὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πάπα ἀναγνωσθὲν, περιεῖχε καὶ ὑπογραφὰς τῆς εὑρεθέντων ὁσιωτάτων ἐπισκόπων ἐν τῇ γενομένῃ ἁγίᾳ συνόδῳ παρὰ Ἰωάννου τοῦ ἁγιωτάτου πάπα ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, ἐπὶ τῇ ἀποδοχῇ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, καὶ ἐπὶ τῇ ἀποβολῇ τῆς κατ' αὐτοῦ γραφέντων ἢ λαληθέντων· καὶ ἐπὶ ἀφορισμῷ μὲν τῆς ἑαυτοὺς ἀποδιϊστώντων τῆς κατὰ Κωνσταντινουπόλιν * ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν· ἀποδοχῇ δὲ τῶν μετανούντων, καὶ εἰλικρινῶς καταφευγόντων εἰς τὴν αὐτοῦ εὐσπλαγχνίαν. παρακαλοῦμεν τοίνυν τὴν ὑμῶν ἁγίαν συνέλευσιν μετὰ συναινέσεως καὶ βουλῆς ἁπάντων τὰ αὐτὰ πραχθῆναι κἀνταῦθα. καὶ διὰ τῆς οἰκείας ἐξ ἰδιοχείρου γραφῆς ἕκαστον ὑμῶν ἐπισκυρῶσαι καὶ ἐπιβεβαιῶσαι τὰ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ταύτης συνόδου κοινῇ ψήφῳ πραχθέντα τε καὶ τελεσθέντα. ὅσον μὲν γὰρ ἦν εἰς δύναμιν ἡμῶν, διὰ πολλῆς σπουδῆς ἐθέμεθα, κατὰ τὴν πρόσταξιν τοῦ μεγάλου ἀρχιερέως Ἰωάννου τοῦ ἁγιωτάτου πάπα Ῥώμης, πάντα τὰ πρώην ἀναφυέντα ἐν τῇ τῶν Κωνσταντινουπολιτῶν ἐκκλησίᾳ σκάνδαλα καὶ ζιζάνια ἐξᾶραι· καὶ εἰρήνην, ταύτῃ Θεοῦ συνεργίᾳ, βραβεῦσαι. εἰ δὲ ἔστι τί κεκριμένον, ὃ ἡμεῖς ἀγνοοῦμεν, καὶ ὑπελείφθη, γινώσκομεν δυνατὸν ὄντα ἔν τε λόγοις καὶ ἔργοις τὸν ἁγιώτατον πατριάρχην κύριον Φώτιον ταῦτα διορθώσασθαι, καὶ τοὺς ἔτι ἀποσχίζοντας ἐξ ἀφροσύνης παιδαγωγῆσαι, καὶ διδάξαι, καὶ νουθετῆσαι, καὶ τῇ ἁγίᾳ αὐτοῦ ἐκκλησίᾳ συμβιβάσαι. τοὺς δὲ ἀνίατα νοσοῦντας μετὰ δικαιοσύνης καὶ τῇ πρεπούσῃ ἐπιτιμίᾳ ὑπεξελθεῖν. ἦν γὰρ ἐξουσίαν καὶ πρὸ τῆς ἡμῶν ἐλεύσεως παρὰ Θεοῦ λαβὼν εἶχε, ταύτην διὰ τῆς ἐντολῆς τοῦ ἁγιωτάτου πάπα ἐδιπλασίασε. καὶ οὕτως αὐτὸν ἔχομεν καὶ θεωροῦμεν καὶ ἀποδεχόμεθα, ὡς αὐτὸν τὸν ἁγιώτατον πάπαν Ἰωάννην.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ ἡμεῖς εἰς πατέρων ὑμᾶς ἀποδεχόμεθα μοῖραν, καὶ τοποτηρητὰς χρηματίζοντας τοῦ ἁγιωτάτου πάπα Ἰωάννου τοῦ πνευματικοῦ ἀδελφοῦ καὶ πατρὸς ἡμῶν. μάλιστα ὅτι καὶ πάσας τὰς ἐντολὰς αὐτοῦ σπουδὴν ἐκτελέσαι ἐπεδείξασθαι· καὶ ἀγῶνα καὶ μόχθον οὐ τὸν τυχόντα κατεβάλεσθε, ὥστε ἐξᾶραι τὰ ζιζάνια καὶ τὰ σκάνδαλα παρὰ τοῦ

πο-

πονηρȣ̃ ἀναφυέντα ἐν ταύτῃ τῇ ἁγίᾳ τȣ̃ Θεοῦ ἐκκλησίᾳ. ἐν τοιαύτῃ ȣ̃ν ἡμᾶς τιμῇ καὶ τάξει ἔχοντές τε καὶ λογιζόμενοι μετὰ βȣλῆς καὶ συναινέσεως ὑμῶν, ὥσπερ καὶ μέχρι νῦν πάντα διεπραξάμεθα, ȣ̃τω καὶ ἀπὸ τȣ̃ νῦν περὶ τῶν ὑπολοίπων τῆς ὑμετέρας βουλῆς καὶ παραινέσεως συνεφαπτομένης διαλογισόμεθά τε καὶ τελέσομεν.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῶν ἀνατολικῶν θρόνων εἶπον· ȣ̓ δὲ ἡ ἡμετέρα πρὸς αὐτὸν ἐν πνεύματι ἁγίῳ σχέσις ἐλάττων τῆς ὑμῶν πρὸς αὐτὸν διαθέσεως εὑρεθείη ἄν. καὶ γὰρ ἡ ἁγία τῶν Ἱεροσολύμων ἐκκλησία, ἥτε τῶν Ἀντιοχέων καὶ Ἀλεξανδρέων ȣ̓δέποτε ἀπεβάλετο ἢ ἀπηρνήσατο, μὴ ἔχειν αὐτὸν τοῦτον τὸν ἁγιώτατον Φώτιον ἐννομώτατον καὶ κεκανονισμένον πατριάρχην Κωνσταντινȣπόλεως, ἐξότȣ καὶ εἰς τὸν ἱερὸν τοῦτον θρόνον ἀνεβιβάσθη. ἀλλὰ καὶ τοὺς τολμήσαντας ψευδῶς τοποτηρητῶν ὀνόματα ἑαυτοῖς ἐπιθεῖναι, καὶ κατὰ τοῦ ἁγίȣ τούτου ἀνδρὸς ἄθεσμα ἐνταῦθα πρᾶξαι, τȣ́τȣς οἱ εἰρημένοι ἁγιώτατοι θρόνοι ἀποβαλόμενοι τῷ ἀναθέματι παραδεδώκασι. καὶ ἐγὼ δὲ ὁ ταπεινὸς Ἠλίας, εἴτι τολμήσω καὶ περὶ ἐμαυτοῦ εἰπεῖν, πολλὰς φυλακὰς, καὶ ἐξορίας, καὶ κόπους, καὶ λιμοὺς, καὶ ἀτιμίας δι' αὐτὸν ὑπομέμενηκα, τὴν ἐντολὴν μὲν τȣ̃ Θεȣ̃ ἀποπληρῶν, ἔπειτα δὲ καὶ τȣ̃ ἁγιωτάτου πατριάρχȣ Ἱεροσολύμων τȣ̃ ἐκ ἀποστείλαντός με ἐνταῦθα.

Ἡ ἁγία σύνοδος εἶπεν· εὐχαριστȣ̃μεν τῷ Θεῷ, ὅτι τοιȣ̃τον ἡμῖν ἀρχιερέα καὶ ἀρχιποίμενα διὰ μεσιτείας τῶν ὑψηλῶν ἐκ μεγάλων βασιλέων ἡμῶν, καὶ συνεργίας τȣ̃ ἁγιωτάτȣ πάπα Ἰωάννȣ, καὶ τῆς ὑμετέρας ἁγιωσύνης, ὁ Θεὸς ἐχαρίσατο.

Εἶτα λαβόντες Παῦλος καὶ Εὐγένιος καὶ Πέτρος οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ῥώμης τὰς μεμβράνας, ὑπέγραψεν ἕκαστος αὐτῶν. ἔπειτα μετὰ τὸ ὑπογράψαι, δι' ἑρμηνέως εἰς ἐπήκοον πάντων τὰς ὑπογραφὰς ἀνέγνων, περιεχȣ́σας ȣ̃τως.

Παῦλος ἐλάχιστος ἐπίσκοπος τῆς ἁγίας τῶν Ἀγκωνιτῶν ἐκκλησίας, καὶ πρέσβις τȣ̃ ἁγίȣ ἀποστολικȣ̃ θρόνȣ, καὶ τȣ̃ δεσπότȣ μȣ Ἰωάννȣ τȣ̃ τρισμακαρίστȣ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς τῶν Ῥωμαίων ἐκκλησίας τȣ̃ ἀκροτάτȣ ἀρχιερέως, καὶ οἰκȣμενικȣ̃ πάπα, ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκȣμενικῇ συνόδῳ, ἅπερ κατὰ τὴν ἐντολὴν πρόσταξίν τε, καὶ συναίνεσιν τȣ̃ ἁγιωτάτȣ ἀποστολικȣ̃ καὶ οἰκȣμενικȣ̃ ἡμῶν πάπα Ἰωάννȣ, καὶ συναινέσει τῆς ἁγίας τῶν Κωνσταντινȣπολιτῶν ἐκκλησίας, καὶ συμφωνίᾳ τῶν τοποτηρητῶν τῶν ἑτέρων τριῶν ἀρχιερατικῶν θρόνων, καὶ σὺν ἐπιψηφίσει ταύτης τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδȣ, ἀποδέχομαι τȣ̃τον τὸν σεβασμιώτατον Φώτιον ἔννομον καὶ κεκανονισμένον πατριάρχην εἰς τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, συγκοινωνῶ αὐτῷ κατὰ τὴν τῶν ἐπιστολῶν ὑφὴν, ἀλλὰ μὴν καὶ τὸ τȣ̃ κομμονιτορίȣ ῥητόν. ἀποβάλλομαι δὲ καὶ ἀναθεματίζω τὴν κατ' αὐτοῦ συστᾶσαν σύνοδον ἐν τῇ τῶν Κωνσταντινȣπολιτῶν ἁγίᾳ ἐκκλησίᾳ. ὡσαύτως καὶ ἅπαντα τὰ πραχθέντα κατ' αὐτȣ̃ ἐν τοῖς καιροῖς τȣ̃ ἐν εὐσεβεῖ τῇ μνήμῃ Ἀδριανȣ̃ τȣ̃ πάλαι πάπα Ῥώμης, κατὰ τὸ κεφάλαιον τȣ̃ κομμονιτορίου καταργῷ, καὶ ἀναθεματίζω, καὶ ἀποβάλλομαι, καὶ ἐν ἀριθμῷ συνόδων ȣ̓δαμῶς ταύτην καταψηφίζω. ἔτι δὲ εἰ συμβῇ τινὰς ἀποσχίζειν τὴν ἁγίαν τȣ̃ Θεȣ̃ ἐκκλησίαν, καὶ ἀποστρέφεσθαι τὸν ἴδιον ἀρχιποίμενα καὶ οἰκȣμενικὸν πατριάρχην τὸν ἅγιον Φώτιον, εἶναι κεχωρισμένȣς ἀπὸ τῆς ἁγίας τȣ̃ Θεȣ̃ ἐκκλησίας, καὶ ἀκοινωνήτȣς διαμένειν μέχρις ἂν ὑποστρέψωσιν ἐν τῇ ἁγίᾳ τȣ̃ Θεȣ̃ ἐκκλησίᾳ, ἐκ συγκοινωνήσωσι τῷ ἁγιωτάτῳ καὶ οἰκȣμενικῷ πατριάρχῃ, καὶ ὁμονοήσωσί τε καὶ ὁμόφρονες γένωνται τȣ̃ ἀποστολικοῦ θρόνȣ. ἔτι δὲ τὴν γενομένην ἐν Νικαίᾳ τὸ β', ἁγίαν καὶ οἰκȣμενικὴν σύνοδον περὶ τῶν ἱερῶν ἐκ σεβασμίων εἰκόνων, ἐν τοῖς καιροῖς τȣ̃ ἐν εὐσεβεῖ τῇ μνήμῃ Ἀδριανȣ̃ τȣ̃ προτέρȣ πάπα Ῥώμης, καὶ ἐπὶ Ταρασίȣ τȣ̃ τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ἁγιωτάτȣ πατριάρχȣ, ἁγίαν καὶ οἰκουμενικὴν ζ'. ἀποκαλῶν, καὶ ταῖς ἁγίαις ϛ'. συνόδοις ἀριθμῶν, ἰδιοχείρως ὑπέγραψα.

Τὰ αὐτὰ δὴ ταῦτα καὶ Εὐγένιος ὁ θεοφιλέστατος ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Ὀστησίων· ἐκ Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδηνάλις ἰδιοχείρως ὑπέγραψε. ἐπειδὴ δὲ εἰς βεβαίωσιν καὶ γνῶσιν τῶν γεγραμμένων, ὡς ἀνωτέρω λέλεκται τὰ τῆς ὑπογραφῆς τῶν ἁγιωτάτων τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης ἀνεγνώσθη, μετὰ τὴν ἀνάγνωσιν ἡ ἁγία σύνοδος ἀπεκρίθη. εὐλογητὸς ὁ Θεὸς, ὁ συνεργείᾳ τȣ̃ ἁγιωτάτȣ πάπα Ἰωάννȣ δι' ὑμῶν ἑνώσας τὴν ἁγίαν αὐτȣ̃ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν. εἶτα λαβόντες καὶ οἱ τῶν ἀνατολικῶν θρόνων ἁγιώτατοι τοποτηρηταὶ, Βασίλειος ὁ θεοφιλέστατος μητροπολίτης Μαρτυροπόλεως, καὶ τὸν θρόνον τῆς Ἀντιοχείας ἐπέχων ἐκκλησίας· καὶ Ἠλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ τοποτηρητὴς Ἱεροσολύμων· ἔτι δὲ καὶ Κοσμᾶς ὁ θεοσεβέστατος πρεσβύτερος καὶ ἀποκρισιάριος Ἀλεξανδρείας, ἰδιοχείρως ἕκαστος αὐτῶν ὑπέγραψεν ȣ̃τως.

Βασίλειος ἐλέῳ Θεȣ̃ μητροπολίτης Μαρτυροπόλεως καὶ τοποτηρητὴς Ἀντιοχείας τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκȣμενικῇ συνόδῳ συμφωνῶν, μᾶλλον δὲ καὶ πρὸ ταύτης ȣ̃τω φρονῶν, ἀποδέχομαι Φώτιον τὸν ἁγιώτατον ἀρχιερέα Θεȣ̃ πατριάρχην ἔννομον καὶ κεκανονισμένον, καθὼς ἀπεδέξατο αὐτὸν Θεοδόσιος ὁ ἁγιώτατος πατριάρχης Ἀντιοχείας, ὑφ' ȣ̃ καὶ ἀπεστάλην, καὶ οἱ λοιποὶ ἀρχιερατικοὶ θρόνοι. τȣ̀ς δὲ μὴ ἀποδεχομένȣς αὐτὸν παραπλησίως ἡμῖν, ἢ τολμῶντας ἐξ αὐτȣ̃ ἀποσχίζειν, ἀναθεματίζω ἐκ ἀποστρεφόμενος. καὶ πάντα τὰ κατ' αὐτȣ̃ συστάντα ἐν οἵῳ δήποτε τόπῳ καὶ παρὰ οἱȣδήποτε προσώπȣ, τῷ αὐτῷ καθυποβάλλων ἀναθέματι. ἔτι δὲ καὶ τὴν ἐν

Νικαίᾳ κατὰ τῶν εἰκονομάχων συσᾶσαν σύνοδον ἁγίαν ⁊ οἰκυμενικὴν ζ'. σύνοδον ἀνακηρύττων, ἰδιοχείρως ὑπέγραψα.

Ἡλίας ἐλέῳ Θεῦ μοναχὸς πρεσβύτερος κ̀ ἱστοτηρητὴς τῆς τῶν Ἱεροσολύμων ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, τῇ ἁγίᾳ ταύτῃ κ̀ οἰκυμενικῇ συνόδῳ συμφωνῶν, μᾶλλον δὲ κ̀ πρὸ ταύτης ὕπω φρονῶν, ἀποδέχομαι Φώτιον τὸν ἁγιώτατον ἀρχιερέα Θεοῦ πατριάρχιν σύνομον κ̀ κεκανονισμένον, καθὼς ἀπεδέξατο αὐτὸν ὅ, τε ἐν ἁγίοις Θεόδοσιος πατριάρχης Ἱεροσολύμων, κ̀ ὁ διάδοχος αὐτοῦ Ἡλίας ὁ ἁγιώτατος πατριάρχης τῆς αὐτῆς ἱεραρχίας, ⁊ οἱ λοιποὶ ἀρχιερατικοὶ θρόνοι. τὸς δὲ μὴ ἀποδεχομένους αὐτὸν παραπλησίως ἡμῖν, ἢ τολμῶντας ἐξ αὐτοῦ ἀποχίζειν, ἀναθεματίζω κ̀ ἀποστρεφόμενος. κ̀ πάντα τὰ κατ' αὐτοῦ συστάντα ἐν οἵῳ δήποτε τόπῳ κ̀ παρ' οἵου δήποτε πρόσωπα, τῷ αὐτῷ καθυποβάλλων ἀναθέματι. ἔτι δὲ κ̀ τὴν ἐν Νικαίᾳ τὸ β'. κατὰ τῆς εἰκονομάχων συσᾶσαν σύνοδον ἁγίαν ⁊ οἰκυμενικὴν ζ'. σύνοδον ἀνακηρύττων, ὑπέγραψα ἰδιοχείρως.

Κοσμᾶς ἐλέῳ Θεοῦ μοναχὸς πρεσβύτερος κ̀ ἀποκρισιάριος Ἀλεξανδρείας, τῇ ἁγίᾳ ταύτῃ κ̀ οἰκυμενικῇ συνόδῳ συμφωνῶν, μᾶλλον δὲ κ̀ πρὸ ταύτης ὕπω φρονῶν, ἀποδέχομαι Φώτιον τὸν ἁγιώτατον ἀρχιερέα Θεοῦ πατριάρχιν σύνομον κ̀ κεκανονισμένον, καθὼς ἀπεδέξατο αὐτὸν ὅ,τε ἐν ἁγίοις Μιχαὴλ πατριάρχης Ἀλεξανδρείας, κ̀ ὁ διάδοχος αὐτοῦ κ̀ ὁμώνυμος Μιχαὴλ ὁ ἁγιώτατος πατριάρχης τῆς αὐτῆς ἱεραρχίας, κ̀ οἱ λοιποὶ ἀρχιερατικοὶ θρόνοι. τὸς δὲ μὴ ἀποδεχομένους αὐτὸν παραπλησίως ἡμῖν, ἢ τολμῶντας ἐξ αὐτοῦ ἀποχίζειν, ἀναθεματίζων κ̀ ἀποστρεφόμενος. κ̀ πάντα τὰ κατ' αὐτοῦ συστάντα κ̀ οἵῳ δήποτε τόπῳ κ̀ παρ' οἵου δήποτε προσώπου, τῷ αὐτῷ καθυποβάλλων ἀναθέματι· ἔτι δὲ κ̀ τὴν ὡν Νικαίᾳ τὸ β. κατὰ τῆς εἰκονομάχων συσᾶσαν σύνοδον ἁγίαν καὶ οἰκουμενικὴν ζ'. σύνοδον ἀνακηρύττων, ὑπέγραψα ἰδιοχείρως.

Ἐπὶ τούτοις καὶ οἱ θεοφιλέστατοι μητροπολῖται τε κ̀ ἐπίσκοποι οἰκείᾳ χειρὶ ὑπεσήμηναν αὖτως.

Προκόπιος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας κατὰ πάντα συμφωνῶν τῇ ἁγίᾳ ταύτῃ κ̀ οἰκουμενικῇ συνόδῳ. ἐπί τε τῇ ἀποδοχῇ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, κ̀ ἀποβολῇ πάντων τῶν κατ' αὐτοῦ γραφέντων ἢ λαληθέντων· ἐπικυρῶν τε κ̀ τῷ ὡν Νικαίᾳ τὸ β'. γνωμένῳ ἁγίαν κ̀ οἰκουμενικῷ συνόδον, ὑπέγραψα ἰδιοχείρως.

Γρηγόριος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Ἐφέσου κατὰ πάντα συμφωνῶν τῇ ἁγίᾳ ταύτῃ κ̀ οἰκουμενικῇ συνόδῳ, ἐπί τε τῇ ἀποδοχῇ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου, ⁊ ἀποβολῇ πάντων τῶν κατ' αὐτοῦ γραφέντων ἢ λαληθέντων· ἐπικυρῶν τε κ̀ τῷ ὡν Νικαίᾳ τὸ β'. γνωμένῳ ἁγίαν τε κ̀ οἰκουμενικῷ συνόδον, ὑπέγραψα ἰδιοχείρως.

Ἰωάννης ἐλέῳ Θεοῦ μητροπολίτης Ἡρακλείας, κατὰ πάντα συμφωνῶν τῇ ἁγίᾳ ταύτῃ κ̀ οἰκουμενικῇ συνόδῳ, ἐπί τε τῇ ἀποδοχῇ Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου. ⁊ ἀποβολῇ πάντων τῶν κατ' αὐτοῦ γραφέντων ἢ λαληθέντων. ἐπικυρῶν τε κ̀ τῷ ὡν Νικαίᾳ τὸ β'. γνωμένῳ ἁγίαν κ̀ οἰκουμενικῷ συνόδον, ὑπέγραψα ἰδιοχείρως.

Καὶ καθεξῆς ἅπαντες οἱ ἀρχιερεῖς κατ' ὄνομα οἱ ἐν τῇ ἀρχῇ τῶν πρακτικῶν ὑφαλαμβανόμενοι, ἕκαστος τὸ ὅμοιον ἰδιοχείρως ὑπέγραψε. κ̀ μετὰ τῶν ὑπογραφῶν ἡ ἁγία συνόδος πολλὰς εὐχαριστίας ὑπὲρ τῶν γεγονότων Θεῷ τῷ τῶν ἀγαθῶν αἰτίῳ, ⁊ βασιλεῦσιν, ἀναπέμψασα, ἐπεψηφίσατο. πολλὰ τὰ ἔτη τῷ βασιλέων. Βασιλείῳ, Λέοντος, κ̀ Ἀλεξάνδρου μεγάλων βασιλέων αὐτοκρατόρων, πολλὰ τὰ ἔτη. Εὐδοκίας τῆς εὐσεβεστάτης Αὐγούστης, πολλὰ τὰ ἔτη. Στεφάνῳ τῷ Πορφυρογεννήτῳ, κ̀ Θεοπροβλήτῳ συγκέλλῳ, πολλὰ τὰ ἔτη. Ἰωάννῃ κ̀ Φωτίου τῶν ἁγιωτάτων πατριαρχῶν, πολλά. *

* τὰ ἔτη

ΠΡΑΞΙΣ ς'.

Μηνὶ Μαρτίῳ ἡμέρᾳ γ'. ἰνδικτιῶνος ιγ'. προκαθεδρόντων τῶν εὐσεβεστάτων ⁊ φιλοχρίστων ἡμῶν βασιλέων, Βασιλείου, Λέοντος, κ̀ Ἀλεξάνδρου, ἐν τῷ περιωνύμῳ παλατίῳ τοῦ Χρυσοτρικλίνου. κ̀ συγκαθεδρόντων αὐτοῖς Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου· ἔτι δὲ Παύλου κ̀ Εὐγενίου τῶν ἁγιωτάτων ἐπισκόπων, κ̀ τοποτηρητῶν τῆς πρεσβυτέρας Ῥώμης, κ̀ Πέτρου τοῦ θεοσεβεστάτου πρεσβυτέρου κ̀ καρδιναλέως· κ̀ σὺν αὐτοῖς Βασιλείου μητροπολίτου Μαρτυροπόλεως κ̀ τοποτηρητοῦ τῆς Ἀντιοχέων ἐκκλησίας· Ἡλίου τε τοῦ θεοσεβεστάτου πρεσβυτέρου ⁊ τοποτηρητοῦ Ἱεροσολύμων, κ̀ Κοσμᾶ τοῦ θεοσεβεστάτου πρεσβυτέρου κ̀ ἀποκρισιαρίου Ἀλεξανδρείας· ὑμῖν δὲ ἀλλὰ κ̀ τῶν θεοφιλεστάτων μητροπολιτῶν κ̀ ἀρχιεπισκόπων συγκαθεδρόντων. φημὶ δὴ Προκοπίου Καισαρείας Καππαδοκίας, Ἰωάννου Ἡρακλείας, Δανιὴλ Ἀγκύρας, Γεωργίου Νικομηδείας, Ζαχαρίου Χαλκηδόνος, Κυπριανοῦ Κλαυδιουπόλεως, Νικηφόρου Καρίας, Παύλου Θεσσαλονίκης, Θεοφίλου Ἰκονίου, Συμεὼν Λαοδικίας, Νικολάου Φιλίππων, Ἰγνατίου Ἱεραπόλεως, Γρηγορίου Σέλγης, Σάββα Ἀπρου, Στεφάνου Κυψέλλων, Νικήτα Σμύρνης, Λυκαονίας Βοσπόρου, Παύλου Χερσῶνος τούτων ἁπάντων συγκαθεδρόντων, Βασιλείου ⁊ φιλοχρίστου βασιλέως εἶπον. ἔδει μὲν ἴσως τῇ συγκροτηθείσῃ ἁγίᾳ κ̀ οἰκυμενικῇ συνόδῳ παρεῖναι· κ̀ μεθ' ὑμῶν τὰ τῆς εἰρήνης κ̀ ὁμονοίας τῶν τοῦ Θεοῦ ἐκκλησιῶν συγκατατίθεσθαί τε κ̀ συνδιεξάγειν, κατανεύοντα παντὸς τοῦ ἀρχιερατικοῦ ⁊ ἱερατικοῦ πληρώματος δι' οἰκείας ὑπογραφῆς τὰ δόξαντα ταύτῃ τῇ ἱερᾷ τε, κ̀ μεγάλῃ συνόδῳ

δῳ σφραγίσαι τε καὶ ἐπιβεβαιῶσαι. πλὴν ἵνα μή τινες τῶν πρὸς μώμους καὶ λοιδορίας τὰς Γλώττας ἑτοίμους ἐχόντων, τῆς ἡμετέρας ἐκ Θεοῦ βασιλείας τὴν παρουσίαν ὕβριν τινὰ περιάψωσι τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ, ὡς δὴ εὐλαβείᾳ τινι τοῦ ἡμετέρου προσώπου, ἢ καὶ βίας ἐλπίδι, πρὸς τὴν εἰρήνην καὶ ὁμόνοιαν πάντων συνδεδραμηκότων· διὰ τοῦτο ἐκρίναμεν ἵνα πρῶτον καθ' ἑαυτοὺς ὑμῶν τε καὶ τῶν ἄλλων ἀρχιερατικῶν θρόνων καὶ παντὸς τοῦ πληρώματος τῆς ἐκκλησίας τῆς ἄνωθεν ῥοπῆς ὑμῖν συνεφαπτομένης ἅπαντα κατὰ τὸ θεῖον βούλημα καὶ τὴν ἡμετέραν ἑκούσιόν τε καὶ αὐτοκίνητον γνώμην συντελεσάντων. οὕτως τὸ ἡμέτερον θεοπρόβλητον κράτος τὰ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου ὁρισθέντα τε καὶ βεβαιωθέντα συναποδεξάμενόν τε καὶ συνεπικυροῦν, οἰκείᾳ χειρὶ ἐπισφραγίσῃ· πλὴν ἄμεινον ἡγοῦμαι, εἰ καὶ ὑμῖν συνδοκεῖ, πάντων ἐν ὁμονοίᾳ τε καὶ βαθείᾳ εἰρήνῃ ἑνωθέντων, καὶ Χριστῷ τῇ πάντων κεφαλῇ συναφθέντων, καὶ ὅρον τινὰ τοῦ ἐκκλησιαστικοῦ φρονήματος ἀναφωνηθῆναι, οὐ καινόν τινα καὶ παρείσακτον, ἀλλ' ὃν ἡ ἁγία καὶ μεγάλη ἐν Νικαίᾳ σύνοδος ἐθεμελίωσε, καὶ αἱ λοιπαὶ ἁγίαι καὶ οἰκουμενικαὶ σύνοδοι συνεπῳκοδόμησάν τε καὶ συνεκρότησαν.

Βασίλειος ὁ θεοφιλέστατος μητροπολίτης Μαρτυροπόλεως καὶ τοποτηρητὴς Αντιοχείας εἶπεν· ἄξιον καὶ δίκαιόν ἐστι τῶν σχισμάτων καὶ σκανδάλων ἀπὸ πάσης ἐκκλησίας ἀνῃρημένων, προνοίᾳ μὲν καὶ σπουδῇ, ὦ φιλόχριστε ἡμῶν βασιλεῦ, τῇ σῇ, εὐχαῖς δὲ καὶ δεήσεσι ταῖς πρὸς Θεὸν τοῦ πνευματικοῦ σου πατρὸς καὶ ἡμῶν ἁγιωτάτου πατριάρχου Φωτίου, καὶ τὸν ὅρον κοινὸν καὶ τὸν αὐτὸν ἀνὰ πᾶσαν τὴν οἰκουμένην εἶναι, ὥσπερ καὶ μέχρι νῦν ἐστι, καὶ διὰ τῆς παρούσης τοῦτον ἐπικυρωθῆναι * σύνοδον.

* συνόδου

Οἱ παρόντες ἀρχιερεῖς τοῦ Θεοῦ εἶπον· ἐξ ἅπαντος τρόπου ὀφείλει ὁ τῆς ἐν Νικαίᾳ συνόδου ὅρος, ὃν καὶ αἱ λοιπαὶ ἁγίαι καὶ οἰκουμενικαὶ σύνοδοι ἐπεκύρωσάν τε καὶ ἐπῳκοδόμισαν, τοῦτον καὶ ἐν ταύτῃ τῇ μεγάλῃ καὶ οἰκουμενικῇ συνόδῳ ἀναγνωσθῆναι. οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· ὡς ἐκέλευσεν ὁ ἐκ Θεοῦ μέγας βασιλεὺς ἡμῶν, καὶ ἤρεσε τοῖς ἀδελφοῖς καὶ συνιερεῦσιν ἡμῶν, πρέπον ἐστὶ μὴ ἕτερον ὅρον καινουργηθῆναι, ἀλλ' αὐτὸν τὸν ἀρχαῖον καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην κρατουμένην τε καὶ δοξαζομένην ἀναγνωσθῆναι τε καὶ ἐπιβεβαιωθῆναι. Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε. κατὰ τὴν κρίσιν πάντων τῶν ἀδελφῶν καὶ συνιερέων ἡμῶν, ἀναγινωσκέσθω. καὶ δὴ προτραπεὶς Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος. ἀνέγνω.

Τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ τὴν σεπτὴν καὶ θείαν διδασκαλίαν τοῖς τῆς διανοίας κόλποις, ἀδιστάκτῳ γνώμῃ, καὶ πίστεως τεθεμελιωμένοι καθαρότητι, καὶ τῶν αὐτοῦ ἁγίων μαθητῶν καὶ ἀποστόλων τὰς ἱερὰς διατάξεις καὶ τοὺς κανονικοὺς τύπους ἀπλανεστάτῃ κρίσει συνεξοσιοῦντες καὶ συνδιασώζοντες, ναὶ δὴ καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ζ'. συνόδων, ὡς τοῦ αὐτοῦ καὶ ἑνὸς ἁγίου πνεύματος ταῖς ἐπιπνοίαις ἐθυνομένων τε, καὶ ἐνεργουμένων, τὸ κήρυγμα καὶ τοὺς κανονικοὺς θεσμοὺς ἀπαραττώτους τε καὶ ἀκαπηλεύτους, εἰλικρινεστάτῃ τε καὶ ἀκλονήτῳ δόξῃ τιμῶντες, καὶ συνδιαφυλάττοντες, ἀποβαλλόμεθα μὲν οὓς ἐξεκκλησίασαν· στέργομεν δὲ καὶ ἀποδοχῆς ἀξίους ἔχομεν, οὓς οἷα δὲ ὁμοδόξους ἢ καὶ τῆς εὐσεβείας καθηγητὰς τιμὴν καὶ σέβας ὅσιον ὀφειλομένους ἀπέφηναν. οὕτω περὶ τούτων φρονοῦντες τε καὶ κυρύττοντες, τὸν ἄνωθεν ἐκ πατέρων καὶ μέχρι ἡμῶν κατεληλυθότα τῆς ἀκραιφνεστάτης τῶν Χριστιανῶν πίστεως ὅρον, καὶ διανοίᾳ καὶ Γλώσσῃ στέργομέν τε, καὶ πᾶσι διαπρυσίῳ τῇ φωνῇ περιαγγέλλομεν· οὐδὲν ἀφαιροῦντες, οὐδὲν προστιθέντε, οὐδὲν ἀμείβοντες, οὐδὲν κιβδηλεύοντες. ἡ μὲν γὰρ ἀφαίρεσις, καὶ ἡ πρόσθεσις, μηδεμιᾶς ὑπὸ τῶν τοῦ πονηροῦ τεχνασμάτων ἀνακινουμένης αἱρέσεως κατάγνωσιν εἰσάγει τῶν ἀκαταγνώστων, καὶ ὕβριν τῶν πατέρων ἀναπολόγητον· τὸ δὲ κιβδήλοις ἀμείλειν ῥήμασι ὅρους πατέρων πολὺ τοῦ προτέρου χαλεπώτερον. διὸ τὸν ἐξ ἀρχῆς τῆς πίστεως ὅρον πόθῳ θείῳ καὶ διανοίας εὐθύτητι ἡ ἁγία καὶ οἰκουμενικὴ αὕτη σύνοδος ἐνστερνιζομένη τε καὶ θειάζουσα, καὶ τὸ τῆς σωτηρίας στερέωμα ἐν αὐτῷ θεμελιοῦσα τε καὶ ἀνεγείρουσα, οὕτω φρονεῖν καὶ κηρύσσειν πᾶσιν ἐμβοᾷ· Πιστεύω εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, καὶ ἐφεξῆς μέχρι τέλους.

Οὕτω φρονοῦμεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ τῆς πίστεως ἐβαπτίσθημεν, δι' αὐτῆς πᾶσαν αἵρεσιν θραυομένην τε καὶ καταλυομένην ὁ τῆς ἀληθείας λόγος ἀπέδειξε· τοὺς οὕτω φρονοῦντας ἀδελφοὺς καὶ πατέρας καὶ συγκλήρους τῆς ἄνω πολιτογραφίας ἐπιγραφόμεθα. εἰ δέ τις ἑτέραν ἔκθεσιν παρὰ τοῦτο δὴ τὸ ἱερὸν σύμβολον τὸ ἄνωθεν ἐκ τῶν μακαρίων καὶ ἱερῶν πατέρων ἡμῶν μεχρὶς ἡμῶν διαφοιτήσαν τολμήσειεν ἀναγράψασθαι, καὶ ὅρον πίστεως ὀνομάσαι, συλῆσαι τὸ ἀξίωμα τῆς τῶν θεσπεσίων ἐκείνων ἀνδρῶν ὁμολογίας, καὶ ταῖς ἰδίαις εὐρεσιλογίαις τοῦτο περιάψαι, κοινόν τε μάθημα τοῦτο προθεῖναι πιστοῖς, ἢ καὶ τοῖς ἐξ αἱρέσεως τινὸς ἐπιστρέφουσι, καὶ ῥήμασι νόθοις ἢ προσθήκαις ἢ ἀφαιρέσεσι τὴν ἀρχαιότητα τοῦ ἱεροῦ τούτου καὶ σεβασμίου ὅρου κατακιβδηλεῦσαι ἀποθρασυνθείη· κατὰ τὴν ἤδη καὶ πρὸ ἡμῶν ἐκφωνηθεῖσαν ψῆφον ὑπὸ τῶν ἁγίων καὶ οἰκουμενικῶν συνόδων, εἰ μὲν τῶν ἱερωμένων εἴη τίς, παντελεῖ καθαιρέσει τοῦτον καθυποβάλλομεν. εἰ δὲ τῶν λαϊκῶν, τῷ ἀναθέματι παραπέμπομεν.

Καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ παρὼν ἱερὸς σύλλογος ἐξεβόησε πάντες οὕτω φρονοῦμεν, οὕτω πιστεύομεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ ἐβαπτίσθημέν τε καὶ τοῦ ἱερατικοῦ βαθμοῦ ἠξιώμεθα. τοὺς ἑτέρως παρὰ ταῦτα φρονοῦντας, ἢ ἕτερον ἀντὶ τούτου προβαλέσθαι τολμῶντας, τῷ ἀναθέματι καθυποβάλλομεν.

Ηλίας ὁ θεοσεβέστατος πρεσβύτερος καὶ το-

τοποτηρητὴς Ιεροσολύμων, καὶ Κοσμᾶς ὁ ἀποκρισιάριος εἶπον ἀνάθεμα τοῖς ἄλλο τί παρὰ τοῦτο φρονοῦσιν. ἀνάθεμα τοῖς μὴ τοῦτο κοινὸν σύμβολον ἀνομολογοῦσι τῆς πίστεως.

Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν. εἰ συνδοκεῖ ὑμῖν, ὦ ἱερὸς καὶ ἅγιος σύλλογος, καθὼς καὶ κατ' ἀρχὰς ὁ ὑψηλὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς ἐπένευσε, δι' οἰκείας ὑπογραφῆς ἐπισφραγίσαι τε καὶ κυρῶσαι τὰ παρὰ τῆς συνόδου πραχθέντα τε καὶ ὁρισθέντα, νῦν ἐπιτελεσθήτω τοῦτο. οἱ ἁγιώτατοι μητροπολῖται εἶπον. οὐ μόνον συνευδοκοῦμεν, ἀλλὰ καὶ δεόμεθα, καὶ παρακαλοῦμεν τὴν ἁγίαν αὐτοῦ καὶ ὑψηλὴν βασιλείαν, ὅπως διὰ τῆς οἰκείας αὐτοῦ ὑπογραφῆς ἀποδέξηται καὶ ἐπισφραγίσῃ πάντα τὰ ἐν τῇ ἁγίᾳ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ τελεσθέντα. καὶ λαβὼν Βασίλειος ὁ φιλόχριστος βασιλεὺς οἰκείᾳ χειρὶ ὑπεσημήνατο. καὶ μετὰ τὴν ὑπογραφὴν ἐπηύξατο αὐτὸν τὸ συμπαρὸν ἱερὸν ἄθροισμα· καὶ μετὰ τὴν εὐχὴν ἡ ἁγία σύνοδος πάλιν εἶπε· δεόμεθα μὴ μόνον τὸν ὑψηλὸν καὶ μέγαν βασιλέα ἡμῶν δι' ὑπογραφῆς τὰ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ δόξαντα βεβαιῶσαι, ἀλλὰ καὶ τοὺς θεοστηρίκτους καὶ θεοφρουρήτους κλάδους αὐτοῦ, τοὺς μεγάλους καὶ ἁγίους βασιλεῖς ἡμῶν, καὶ δὴ καὶ τὸν Πορφυρογεννήτον Στέφανον τὸ πνευματικὸν τέκνον τῆς ἐκκλησίας ὁμοίως ὑποσημήνασθαι.

Βασίλειος ὁ φιλόχριστος βασιλεὺς εἶπε. κατὰ τὸ αἴτημα ὑμῶν γενέσθω. καὶ λαβὼν Λέων ὑπέγραψεν, εἶτα Αλέξανδρος οἱ βασιλεῖς. καὶ μετ' αὐτοὺς Στέφανος ὁ εὐλαβέστατος ὑποδιάκονος καὶ Πορφυρογεννήτος.

Μετὰ οὖν τὸ ὑπογράψαι πάντας, λαβὼν Θεοφάνης ὁ εὐλαβέστατος διάκονος καὶ ἐπισκεπτίτης, ἀνέγνω·

Εν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. Βασίλειος αὐτοκράτωρ ἐν Χριστῷ πιστὸς βασιλεὺς Ρωμαίων, ταύτῃ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ κατὰ πάντα συμφωνῶν, ἐπί τε τῇ ἐπικυρώσει καὶ ἐπισφραγίσει τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ'. συνόδου, καὶ ἐπὶ τῇ ἐπικυρώσει καὶ ἐπιβεβαιώσει Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως καὶ πνευματικοῦ μου πατρός, καὶ ἀποβολῇ πάντων τῶν κατ' αὐτοῦ γραφέντων ἢ λαληθέντων ἰδιοχείρως ὑπέγραψα. ὁμοίως καὶ τὰς τῶν ἄλλων ὑπογραφὰς ἀπαραλλάκτως ἐχούσας.

Καὶ μετὰ τὴν ἀνάγνωσιν, Δανιὴλ ὁ θεοφιλέστατος μητροπολίτης Αγκύρας ἔφη. ὁ Θεὸς φυλάξαι τὴν ἁγίαν βασιλείαν ὑμῶν· ὁ Θεὸς φυλάξαι τὸ εὐσεβὲς κράτος ὑμῶν. μακροημερεύσαι ὁ Θεὸς τὴν ἁγίαν ζωὴν ὑμῶν. ἐκρατύνατε τῆς ὀρθοδοξίας τὰ δόγματα· τὰ σκάνδαλα τῆς ἐκκλησίας ἐκ μέσου πεποιήκατε. καὶ εἰρήνη τῆς ἐκκλησίας τοῦ Θεοῦ δι' ὑμῶν ἐβραβεύθη. ὁ Θεὸς φυλάξαι τὴν ἁγίαν βασιλείαν ὑμῶν. ἔτι δὲ καὶ ὁ παρὼν ἱερὸς σύλλογος ἐξεβόησεν, ὡς ἡνώσας τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ πάντα τὰ σκάνδαλα ἐξέωσας ἐξ αὐτῆς, ὑποτάξαι ὁ Θεὸς πάντα τὰ βάρβαρα ἔθνη ὑπὸ τὴν κραταιὰν καὶ μεγάλην χεῖρά σου. ἀποδώη κύριος ὁ Θεὸς ἡμῶν τὰ ἀρχαῖα ὅρια τῆς Ρωμαϊκῆς ἐξουσίας τῇ σῇ κραταιᾷ καὶ εἰρηνοποιῷ βασιλείᾳ· ὄντως εὔκαιρον εἰπεῖν τὸ Δαβιτικὸν καὶ ἐπὶ σοί. ὅτι ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θὲς ὁ Θεὸς σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. καὶ γὰρ ἅπαν τὸ χριστιανικὸν ἀγαλλιᾶται φῦλον ἐπὶ τοῖς κατ' ἐχθρῶν σου τροπαίοις καὶ ἀνδραγαθήμασι· καὶ ἡ ἐκκλησία σήμερον τὸν οἰκεῖον ἀπολαβοῦσα κόσμον τελέως εὐφημεῖ καὶ δοξάζει, καὶ ὑπερεύχεται τῆς κραταιᾶς καὶ μεγάλης καὶ ὑψηλῆς βασιλείας ὑμῶν. καὶ ταῦτα εἰπόντες ἐπευφήμισαν πολλὰ τὰ ἔτι τῶν βασιλέων. Ψαλ. 44.

ΠΡΑΞΙΣ Ζ'.

Μηνὶ Μαρτίῳ ιγ'. ἰνδικτιῶνος ιγ'. ἡμέρᾳ κυριακῇ. προκαθεσθέντος Φωτίου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου ἐν τῷ δεξιῷ μέρει τῶν κατηχουμενείων τῆς μεγάλης ἐκκλησίας. καὶ συγκαθεσθέντων αὐτῷ Παύλου καὶ Εὐγενίου τῶν ἁγιωτάτων ἐπισκόπων. καὶ Πέτρου τοῦ θεοσεβέστατου πρεσβυτέρου καὶ καρδηνάλεως καὶ τοποτηρητοῦ τῆς πρεσβυτέρας Ρώμης· καὶ τῶν τῆς ἀνατολῆς ἁγιωτάτων τοποτηρητῶν, ἅμα τοῖς θεοφιλεστάτοις μητροπολίταις καὶ ἐπισκόποις· Φώτιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· τῆς παλαιᾶς ἔριδος καὶ φιλονεικίας, λέγω δὴ τῆς σχισματικῆς πλάνης ἐκποδὼν γεγενημένης, πρῶτα μὲν Θεοῦ νεύσει καὶ φιλανθρωπίᾳ, ἔπειτα δὲ σπουδῇ καὶ ἀγῶνι τοῦ ὑψηλοῦ καὶ μεγάλου βασιλέως ἡμῶν. συνεργίᾳ δὲ καὶ ἐπικουρίᾳ τοῦ ἁγιωτάτου πάπα τοῦ πνευματικοῦ ἡμῶν ἀδελφοῦ καὶ πατρὸς, καὶ τῶν λοιπῶν ἀρχιερατικῶν θρόνων. εἰρήνης δὲ βαθείας, ὡς ὁρᾷτε πάντες, ταῖς ἁπανταχόσε τοῦ Θεοῦ ἐκκλησίαις βραβευθήσης, καὶ τῆς μὲν προτέρας * κατηφίας διαλυθείσης, χαρᾶς δὲ καὶ ἀγαλλιάσεως τῷ τῆς ἐκκλησίας ἐμπλατυνομένης πληρώματι· εὔκαιρόν ἐστιν, ὡς οἶμαι, καὶ τὸν χθὲς ἐκπεφωνημένον ὅρον παρὰ τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου, ἅμα δὲ καὶ τὰς βασιλικὰς ὑποσημιώσεις, αἳ τὰς συνοδικὰς ἐπικυροῦσι πράξεις εἰς μέσον προαχθῆναι, καὶ εἰς τὰς ἁπάντων ἀκοὰς ὑπαναγνωσθῆναι. ἵνα ὅσης χαρᾶς καὶ [illegible] οἱ παρόντες καὶ ἀκηκοότες τῇ προλαβέσει [illegible] πληρώθησαν, καὶ οἱ τότε μὲν μὴ παρόντες, νῦν δὲ συνόντες, ἐν ἀπολαύσει γένωνται.

* κατηφείας

Η ἁγία σύνοδος εἶπε· δίκαιόν ἐστι καὶ τοὺς ἀπολειφθέντας ἀδελφοὺς ἀκροατὰς τούτων γενέσθαι, ἵνα καὶ τῆς εὐφροσύνης κοινωνοὶ γένωνται,

καὶ

καὶ λαβὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος τὸν ἐκφωνηθέντα καὶ ἐπικυρωθέντα ὅρον παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ταύτης συνόδου, ἀνέγνω. δηλαδὴ τὸν ἐν τῇ προτέρᾳ πράξει ἐκκείμενον. καὶ μετὰ τὴν ἀνάγνωσιν ἡ ἁγία σύνοδος ἐβόησεν· ὕτω φρονοῦμεν, ὕτω πιστεύομεν, ἐν ταύτῃ τῇ ὁμολογίᾳ τῆς πίστεως κρατυνόμεθα. τοὺς ὕτω φρονοῦντας διδασκάλους καὶ πατέρας ἀνακηρύττομεν. τοὺς παρὰ ταῦτά τι φρονοῦντας ὡς ἐχθροὺς Θεοῦ καὶ τῆς ἀληθείας ἡγούμεθα. εἴτις παρὰ τοῦτο τὸ ἱερὸν σύμβολον τολμήσειε ἕτερον ἀναγράψαι, ἢ προθεῖναι, ἢ ἀφελεῖν, καὶ ὅρον ὀνομάσαι ἀποθρασυνθείη, * κατάκειται καὶ πάσης χριστιανικῆς ὁμολογίας ἀπόβλητος. τὸ γὰρ ἀφελεῖν, ἢ προσιθέναι, ἀτελῆ τιθὶ ἁγίαν καὶ ὁμοούσιον τριάδα μέχει σήμερον ἀνέκαθεν κατισοῦσαν ὁμολόγησιν ἡμῶν δείκνυσι, καὶ τῆς τε ἀποστολικῆς παραδόσεως καὶ τῆς τῶν πατέρων διδασκαλίας καταγινώσκει. εἴτις τοίνυν εἰς τοῦτο ἀπονοίας ἐλάσας τολμήσειεν, ὡς ἀνωτέρω λέλεκται, ἕτερον ἐκθέσθαι σύμβολον, ἢ ὅρον ὀνομάσαι, ἢ προθήκην ἢ ὑφαίρεσιν ἐν τῷ παραδεδομένῳ ἡμῖν παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Νικαίᾳ τὸ πρῶτον μεγάλης συνόδου ποιῆσαν, ἀνάθεμα ἔσω.

Πλὴν ἀκουσώμεθα καὶ τῆς τῶν εὐσεβῶν καὶ φιλοχρίστων ἡμῶν βασιλέων ὑπογραφῆς. καὶ δὴ προσελθὼν Πέτρος ὁ θεοφιλέστατος διάκονος καὶ πρωτονοτάριος ἀνέγνω καὶ ταύτας. καὶ μετὰ τὴν ἀνάγνωσιν, Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· ἡ πάντων συνεκτικὴ θεοῦ σοφία καὶ δυνάμις, ἡ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας τὴν τῶν ἀνθρώπων φύσιν θεμένη σοφώτατα διϊθυνέσθαι, αὕτη προκατιδοῦσα τὸ καθαρὸν καὶ ἀθόλωτον τῆς διανοίας τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου, ἀνήγαγέ τε καὶ ἐνίδρυσεν εἰς τὸν περίβλεπτον καὶ ὑψηλότατον θρόνον τῆς βασιλείας, χαρισάμενος ἡμῖν καὶ τὸν δεσπότην ἡμῶν τὸν ἅγιον τὸν κύριον Φώτιον πατριάρχην. καὶ δι' αὐτοῦ σώσασα τὰ διεσῶτα μέρη τῆς ἐκκλησίας εἰς μίαν ποίμνην τοῦ μεγάλου ἀρχιποίμενος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ἐκ-
* ἀντιτάσσεις κόψας καὶ τοὺς * ἀλιθάσεις λύκους ἐκ τῆς λογικῆς τοῦ Χριστοῦ μάνδρας, τοὺς τῷ κωδίῳ τοῦ ἰδίου σωτῆρος κακίαν περικαλύπτοντας, καὶ τοῦ εἰρηνίου καὶ ὁμονοίαν μὴ ἀσπαζομένους. ὅθεν καὶ ἡμεῖς οἱ ἀνάξιοι δοῦλοι αὐτοῦ ὑπερδυχόμεθα τῆς βασιλείας αὐτοῦ τῆς ἁγίας, ὅπως χαρίσηται ἡμῖν αὐτοῦ κύριος ὁ Θεὸς εἰς ἔτη πολλὰ καὶ καλά. ὑποτάξαι κύριος πάντα τὰ ἔθνη τοὺς πολέμους θέλοντας, ὑπὸ τοὺς πόδας αὐτοῦ. ὁ μέτοχον αὐτὸν ἀναδείξειε τῆς αἰωνίου ἀγαθ , ὧν ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτὸν, πρεσβείαις τῆς ὑπεραγίας θεοτόκου, καὶ τῆς ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου. καὶ δυνατοῦ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου Φωτίου τοῦ οἰκουμενικοῦ πατριάρχου. γένοιτο. ἀμήν.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον· εὐλογητὸς ὁ Θεὸς, ὅτι ἡ ἀγαθὴ φήμη τοῦ ἁγιωτάτου Φωτίου τοῦ πατριάρχου, οὐ μόνον εἰς τὴν καθ' ἡμᾶς χώραν, ἀλλὰ καὶ εἰς ἅπαντα τὸν κόσμον ἐξελήλυθεν. ὑ τοσοῦτον λόγοις τὸ βέβαιον ἔχουσα, ὅσον ἔργοις τὰ πέρατα περιλαβοῦσα· καὶ οὐ μόνον ἐν Γαλλίᾳ καὶ Ἰταλίᾳ διήχθη, ἀλλὰ καὶ ἐν πάσῃ τῇ ὑφ' ἥλιον γῇ· καὶ τοῦτο μαρτυροῦσιν οὐχὶ μόνοι οἱ τὴν ἑλλάδα μετιόντες γλῶσσαν, ἀλλὰ καὶ αὐτὸ τὸ βαρβαρικὸν καὶ ὠμότατον γένος, ὅτι οὐκ ἔστιν αὐτῷ ὅμοιος ἐν σοφίᾳ καὶ γνώσει, οὔτε ἐν ἐλεημοσύνῃ καὶ συμπαθείᾳ, οὔτε ἐν χρηστότητι, καὶ ταπεινοφροσύνῃ, καὶ ὅτι πάντοτε τὰ ἔργα πλείονα τῶν λόγων αὐτοῦ εἰσίν. ὁ κύριος ἡμῶν ὁ ἀποστολικὸς ταῖς τοῦ βασιλέως παρακλήσεσι, καὶ ὑμετέραις δεήσεσιν ἐπικαμφθεὶς, ἀπέστειλεν ἡμᾶς τοὺς ἐλαχίστους, ἵνα μεθ' ὑμῶν τινὶ ἐκκλησίαν τῷ Θεῷ εἰς σὴν συναγάγωμεν. ὃ δὴ καὶ τοῦ πνεύματος τοῦ ἁγίου γέγονε. καὶ ἓν σῶμα καὶ μία ποίμνη ὑφ' ἑνὶ ποιμένι ἐχρημάτισε.

Προκόπιος ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας εἶπε· τοιοῦτον ἔπρεπεν ἐπ' ἀληθείας εἶναι τὸν τοῦ σύμπαντος κόσμου τιμὴ ἐπισασίαν λαχόντα, εἰς τύπον τοῦ ἀρχιποίμενος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃ καὶ προλαβὼν ὁ μακάριος ὑπεζωγράφησε Παῦλος εἰπών. ἔχοντες Ἑβρ. 4.
ἓν ἀρχιερέα διεληλυθότα τοὺς οὐρανούς. τολμήσει γάρ μοι ὁ λόγος καὶ μέχρι τούτου προβιῶναι, ἐπειδὴ οἶδεν ἡ γραφὴ Θεοὺς καλεῖν τοὺς κατὰ Ψα
χάριν βιοῦντας.

Οἱ ἁγιώτατοι τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης εἶπον, ἀληθὲς ἐστιν ὅπερ εἰρήκας. καὶ ἡμεῖς οἱ εἰς τὰ ἔσχατα τῆς γῆς κατοικοῦντες, ταῦτα ἀκούομεν. Προκόπιος ὁ Καισαρείας εἶπε· τοῦτο εἰδότες οἱ ὑψηλοὶ καὶ μεγάλοι βασιλεῖς ἡμῶν διάπυρον πίστιν καὶ πόθον ἔχουσιν εἰς τὸν ἀρχιερέα ἡμῶν. ὑ μόνον δὲ αὐτοὶ, ἀλλὰ καὶ πᾶς ἀρχιερεὺς καὶ ἱερεὺς, μοναχοί τε καὶ οἱ ἐν λαϊκῇ κατασάσει, ὁπαδοὶ αὐτοῦ ἐσμὲν καὶ μαθηταὶ, καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν, ὥσπερ οἱ πανεύφημοι ἀπόστολοι ἐκ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. χαριτοῦσθαι ἡμῖν εἰς ἔτη πολλὰ. καὶ τὰς ἁγίας ὄψεις αὐτοῦ καὶ πρεσβείας κύριος ὁ Θεὸς δωρήσαιτο ἡμῖν, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

Πῦλος καὶ Εὐγένιος οἱ ἁγιώτατοι ἐπίσκοποι καὶ τοποτηρηταὶ τῆς πρεσβυτέρας Ρώμης, ἔτι δὲ καὶ Πέτρος ὁ θεοσεβέστατος πρεσβύτερος καὶ καρδιναλις εἶπον· εἴτις αὐτὸν οὐκ ἔχει πατριάρχην ἅγιον, καὶ τινὶ μετ' αὐτοῦ κοινωνίαν ἐκ ἀσπάζεται, ἔσω ἡ μερὶς αὐτοῦ μετὰ τοῦ Ἰούδα, καὶ μὴ συγκαταγείη ὅλως μετὰ χριστιανῶν. καὶ ἡ ἁγία σύνοδος ἐβόησεν. ἅπαντες τὸ αὐτὸ φρονοῦμεν καὶ δοξάζομεν. καὶ εἴτις αὐτὸν οὐκ ἔχει ἀρχιερέα Θεοῦ, μὴ ἴδοι τινὶ δόξαν τοῦ Θεοῦ. καὶ ταῦτα εἰπόντες, ἐπεφώνησαν. πολλὰ τὰ ἔτη τῶν βασιλέων.

ΕΠΙΣΤΟΛΗ

Τῦ μακαρίυ Ιωάννυ πάπα Ρώμης τῦ ἡ. πρὸς τὸν ἁγιώτατον Φώτιον ἀρχιεπίσκοπον Κωνσταντινυπόλεως.

Ιωάννης ἐπίσκοπος, δῦλος τῆ δύλων τῦ Θεῦ, Φωτίῳ τῷ αἰδεσίμῳ καὶ καθολικῷ, ἀδελφῷ παξιάρχῃ Κωνσταντινυπόλεως. χάριν ἄνωθεν πρὸς ἔργα σωτηριώδη.

Οὐκ ἀγνοεῖν συμβαίνει ἡμᾶς, ὥς τινες τῆ αὐτόθι ὐκ εἰρμὸς ἄνθρωποι, περὶ τῆς ἐνταῦθα ἐκκλησίας, ἃ αὐτοὶ ὁ πρὸς ἀλήθειαν ὁρῶντες, κακά τινα λέγυσι, καὶ τόσον, ὅτι καὶ τιὼ σιὼ ἀδελφότητα μικρᾶ δεῖν ὐκ ἀγαθὰς ὑπολήψεις ἔχειν εἰς ἡμᾶς καὶ τὰς ὑφ' ἡμᾶς παραπείθυσι. καὶ ἔστι τύτοις ἡ μὴ ἀφορμὴ τῦ σκοπῦ τύτυ ὁ ψόδος. καὶ αὐτοῖς εἴποιμι ἂν ἐγὼ, ὡς καὶ ὁ λόγος προϊὼν παρασήσει, καὶ ὁ Θεὸς ἄνωθεν ἡμῖν ἐπιμαρτυρήσει. ἀλλὰ κατὰ τὰς τὸν οἶνον καπηλεύοντας ὕδατι, παραμιγνύυσι καὶ τινα ἀφ' ἑαυτῆ ψεδολογήσαντες. καὶ θαυμασὸν ὁδόν. δεῖ γὰρ τὸν ἀπ' ἀρχῆς δημιυργὸν τῆς κακίας, καὶ πρὸς τὸν Θεὸν σήσαντα ἔχθραν, εἶτα καὶ τὸν ἡμῶν προπάτορα τῆς τῦ κτίσαντος ἀγάπης χωρίσαντα, καὶ νῦν τινας ἔχειν πρὸς ὑπηρεσίαν αὐτῦ, καὶ διεγείρειν τὰς τοιύτας, ὅπως ἐνβάλωσι μέσον τῆς ἐκκλησίας σκάνδαλον ἀλλ' ἐγὼ πρὸς τὸν τιὸ εἰρμὸν δόντα χρισὸν ἀφορῶν, ὃς καὶ τιὼ ἔχθραν τῇ σαρκὶ αὐτῦ ἔκτεινεν, ὡς ἔχω δυνατὸν, σπεδάσω τὰ σόματα τῆς χαιρεκάκων ἀνδρῶν ἀποφράττειν. καὶ δι' τῦτο καὶ πρὸ τῦ ὅλως τιὼ σιὼ ἀδελφότητα δηλῶσαί μοι τὶ, προφθάνω αὐτὸς περὶ τῶν τοιύτων γνωρίζειν σοι. ἵν' εἰδὼς ὅπως ἔχει τὰ καθ' ἡμᾶς, μὴ παρέχης ὦτα τοῖς θέλυσι λοιδορεῖν. ἀλλὰ μᾶλλον ἀποσοβεῖν αὐτὸς, καὶ τὰς ἄλλυς ποιεῖς μὴ ἀκύειν τὰς λόγυς αὐτῆ· καὶ γὰρ ἡ σὴ ἀδελφότης ἐπίσατυι, ὡς ὅτε παρεγένετο πρὸς ἡμᾶς ὁ μικρῷ πρότερον ἀποσαλεὶς παρ' αὐτῆς, περὶ τῦ ἁγίυ συμβόλυ ἡμᾶς ἐδοκίμασεν, εὗρεν ἀπαράξωτον· καθὼς ἀρχῆθεν παρεδόθη ἡμῖν, διατηρῦντας, καὶ μήτε προσιθέντας τι ἢ ἀφαιρῦντας, ἀκεραίως εἰδότας, ὡς τοῖς τὰ τοιαῦτα τολμῶσι βαρεία καταδίκη ἀναμένσα ἀπόκειται. καὶ πάλιν ὃν παραδηλῶμυ τῇ αἰδεσιμότητί συ, ἵνα περὶ τῦ ἄρθυ τύτου, δι' ὃ σωέβη τὰ σκάνδαλα μέσον τῆς ἐκκλησιῶν τῦ Θεῦ, ἔχης πληροφορίαν εἰς ἡμᾶς, ὅτι ὐ μόνον ὐ λέγομεν τῦτο, ἀλλὰ καὶ τὰς πρώτυς θαῤῥήσαντας τῇ ἑαυτῆ ἀπονοίᾳ τῦτο ποιῆσαι, παραβάτας τῆς θείων λόγων κείνομεν, καὶ μεταποιητὰς τῆς θεολογίας τῦ δεσπότυ Χεσῦ, καὶ τῆς ἀποσόλων, καὶ τῆς λοιπῶν πατέρων, οἳ σωελθόντες σωοδικῶς παρέδωκαν τὸ ἅγιον σύμβολον. καὶ μὴ τῦ Ιύδα αὐτοὺς τάττομεν, ὅτι καὶ τυὐτὸν ἐκείνῳ τετολμήκασιν, ὃ παραδόντες εἰς θάνατον τὸ κυριακὸν σῶμα, ἀλλὰ τὰς πισοὺς, οἳ εἰσὶν ὡς μέλη τῦ σώματος αὐτῦ, διχαχίζοντες καὶ διατέμνοντες ἀλλήλων, καὶ ὕπως αἰωνίῳ παραπέμψαντες θανάτῳ, καὶ μᾶλλον ἑαυτοὺς, ὡς ἐποίησεν ὁ ῥηθεὶς ὐκ ὀρθὸς μαθητὴς, ἀποπνίξαντος. οἰόμεθα δὲ μηδὲ τιὼ σιὼ ἱερότητα ἀγνοεῖν, ὡς ὕσαν. νουνεχῆ τε καὶ πλήρη σοφίας, ὅτι τὸ καὶ τοὺς λοίπυς ἡμῶν ἐπισκόπως καταπεῖσαι ὕτω φρονεῖν, εἰς δυχέρειαν ἡμῖν ὁ μικρὰν ἐμπίπτει. ὅτι πρᾶγμά τί * θεότερον ὕτω ταχέως μεταβαλεῖν ὑδεὶς ἂν δύκολος δυηθείη. * καὶ βραχεῖ χρόνῳ τιὼ σ᾽ἀρξιν εἴληφε, καὶ ὐκ ἔστι παγιωθὸν ἐκ πολλῶν ἑνιαυτῆ, καὶ διὰ τυῦτα καλῶς ἔχειν ἔδοξεν ἡμῖν, ἵνα μὴ κατὰ βίαν ἀναγκαθῇ τις παρ' ἡμῖν ἐᾶσαι τιὼ προθήκιν, ἣ ἐφθασεν ἐν τῷ συμβόλῳ προτεθεῖναι. ἀλλὰ μᾶλλον μὴ ἐπιεικείας καὶ οἰκονομίας παρασκάλασον τύτυς. κατὰ βραχὺ * παροινῦνται ἀποσιῶσαι τῆς βλασφημίας· ποιμαίνετε γὰρ τὸ ἐν ὑμῖν ποίμνιον ὐκ ἀναγκασῶς, ἀλλ' ἐπιεικῶς. οὐδ' ὡς κατακυριδύοντες τῦ κλήρυ, ἀλλ' ὡς τύποι γεμόμενοι, ὁ ἀκρος τῆς ἀποσόλων Πέτρος ἔφη. τοίνυν ὕπως ἡμῶν κατηγορῦντες, ὡς τῦτο φρονύντων, ὐκ ἀληθείᾳ πρὸς τιὼ κατηγορίαν ταύτιν κέχρισται. ὅσοι δὲ περὶ μιᾶς τῆς ἐμῆς γνώμης τῦτο ὐκ ἀμφιβάλλυσιν, ἄλλοις δέ τισι τετολμημένον καὶ νῦν καθ' ἡμᾶς καταγγέλλυσιν, οἱ τοιῦτοι ὁ ψεδῶς λέγυσι. τῇ σῇ τοίνυν ἀδελφότητι ἁρμόζει, μηδ' ὁτιοῦν ἔχειν καθ' ἡμῶν σκάνδαλον, μηδὲ ἐκκόπτειν τῦ λοιπῦ τῆς ἐκκλησίας ἡμῶν σώματος. ἀλλὰ μᾶλλον συναγωνίζεσθαι ἡμῖν μετ' οἰκονομίας καὶ ἐπιεικείας πρὸς τὰς λοιπὰς, ὅσοι τῆς ἀληθείας ἐξέκλιναν. πρὸς αὐτιὼ ἐπανάγειν, ἵνα δὴ καὶ τὸν ὑπὲρ τύτυ μισθὸν σιὼ ἡμῖν αὐτὸν ἀπολήψεται. ἔῤῥωσο ἐν κυρίῳ, αἰδεσιμώτατε καὶ καθολικὲ ἀδελφέ.

* θεότερον εἰκὸς

* πβραινῦντο

χρόνοι ἀπὸ Χριστοῦ 922.

ΚΩΝΣΤΑΝΤΙ΄ΝΟΥ

ΤΟΥ͂ ΠΟΡΦΥΡΟΓΕΝΝΗ΄ΤΟΥ

Υ΄πόθεσις τῆς ἀκολουθούσης διατάξεως, καὶ εἴδησις, πῶς ἡ τεταγαμία τῷ βασιλεῖ κυρίῳ Λέοντι τετόλμηται, καὶ ὅπως κατήργηται διὰ τοῦ Τόμου τῆς συνόδου.

ΛΕ΄ων ὁ σοφώτατος εἶχε μὲν πρώτην Γαμετὴν τὴν ἁγίαν Θεοφανώ, μεθ' ἧς καὶ θυγατέρα ἔτεκεν. ἀλλὰ τάχιον ἐτεθνήκει. καὶ αὐτῆς δὲ πρὸς Κύριον ἀπελθούσης τῆς ἁγίας, ζεύγνυται ζωῇ τῇ θυγατρὶ τοῦ Τζαντζᾶ Στυλιανοῦ, υἱοῦ τῶν ἀρχόντων καὶ φίλων τοῦ βασιλέως. Κἀκείνης σωτόμως ἀπαιδοτεκνησάσης, καὶ ξίτλην ἠγάγετο γυναῖκα, Δὠδοκίαν, τὴν ἀπὸ τοῦ θέματος Ο΄ψικίου, ἐπιλεγεῖσαν διὰ τὸ κάλλος. ἥτις ἐν αὐταῖς ταῖς ὠδῖσι θνήσκει σὺν τῷ βρέφει. ὁ δὲ βασιλεὺς ἀφάτῳ συχεθεὶς λύπῃ ἐπὶ τῷ καταληφθεῖναι ἄπαις, ἐφέσει τεκνογονίας καὶ τετάρτην λαμβάνει γυναῖκα, τὴν τῆς Καρβωνοψίνης ζωήν, καὶ τίκτει μετ' αὐτῆς τὸν Κωνσταντῖνον. ὁ πατριάρχης δὲ Νικόλαος, καὶ οἱ Μητροπολῖται, ἀφορίζουσι τὸν βασιλέα, τῆς Ἐκκλησίας. καὶ τὸν ἀφορισμὸν οἱ μυ΄τινες τῶν Ἀρχιερέων σωπεμεῖν ἔλεγον δεῖν, καὶ μὴ ἐπὶ πλείονα παρατείνειν καιρόν. οἱ δὲ οὐκ ἐπείθοντο. καὶ χίσματα ἐν αὐτοῖς, καὶ στάσις πολλή. Καὶ πολλὰ δεόμενον τὸν βασιλέα, καὶ παρακαλοῦντα, οἱ μὲν προσεδέχοντο, οἱ δὲ ἀπειθεῖς ἦσαν, καὶ ἀτεγκτοι. ὁ δὲ βασιλεὺς σωφρὼν ὤν, καὶ ὅθεν ἀνεφύη τὸ ἀσύμφωνον τῶν Ἀρχιερέων οὐκ ἀγνοῶν, μεθίησι τὸν Πατριάρχην Νικόλαον, καὶ ἐξορίζει τῆς Ἐκκλησίας, ὡς ψεύδεται, καὶ πολλάκις μὲν ὅρκοις βεβαιούμενον καὶ ὑποχόμενον δοῦναι τῷ βασιλεῖ τὴν τοῦ ἐπιτιμίου συμπάθειαν, τοσαυτάκις δὲ μεταμελόμενον καὶ ἀναβαλλόμενον ἐπίτηδες. Προβάλλεται δὲ Πατριάρχην τὸν ἑαυτοῦ πνευματικὸν πατέρα Εὐθύμιον, ἄνδρα πολλοῖς ἔτεσι τῇ μοναχικῇ διαπρέψαντα ἀσκήσει, καὶ προφητικῆς χαρίσματος ἠξιωμένον. ὅτος ἐλεύθερον τὸ ἐπιτιμίου δείκνυσι τὸν βασιλέα, καὶ τοῦ χρονίου δεσμοῦ ἀπολύει, καὶ εἰς κοινωνίαν δέχεται. ἀλλ' ἦσαν ἔτι πολλοὶ τῶν Ἀρχιερέων οἱ μὴ συνελθόντες τῇ τοῦ Πατριάρχου οἰκονομίᾳ· καὶ μᾶλλον, οἱ τοῦ μέρους τοῦ ἐκβληθέντος Νικολάου. ἐπεὶ δὲ ὁ μὲν βασιλεὺς Λέων μετέστη πρὸς Κύριον, καὶ ὁ ἀδελφὸς ἐκείνου Ἀλέξανδρος τῆς βασιλείας ἐγκρατὴς ἦν, τὸν μὲν Πατριάρχην Εὐθύμιον ἐξωθεῖ τῆς Ἐκκλησίας μεθ' ὕβρεων, ἀντεισάγει δὲ πάλιν τὸν προεκβεβλημένον Νικόλαον. καὶ ἔτι μᾶλλον τὰ τῆς Ἐκκλησίας ἐσασίαζε πράγματα, διαιρεθέντων τῶν Μητροπολιτῶν, καὶ τῶν μὲν τῷ ἐκβληθέντι Πατριάρχῃ, τῶν δὲ τῷ ἀντεισαχθέντι προσκειμένων. ὁ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ μὲν Ἀλέξανδρος ἐτεθνήκει. ὁ δὲ Κωνσταντῖνος τῆς βασιλείας κληρονόμος ἐγεγόνει. ὃς συγκαλέσας τόν τε Πατριάρχην Νικόλαον, καὶ σύμπαντας τοὺς Ἀρχιερεῖς (ὁ γὰρ Εὐθύμιος ἤδη πρὸς Κύριον ἐξεδήμησε) πείθει τούτους πρὸς μίαν γνώμην συνελθεῖν καὶ ὁμόνοιαν, καὶ δοῦναι τῷ πατρὶ αὐτοῦ καὶ μνημοσύνην θάνατον κοινῇ ψήφῳ τὴν ἄφεσιν. Κανονικὴν δὲ ψῆφον ἐκτεθεῖναι, τοῦ μηκέτι τολμᾶν τοιοῦτον, ἢ πραχθῆναι ἁμάρτημα. ἐφ' οἷς ὁ λεγόμενος τόμος προέβη.

Ο΄ Τόμος τῆς συνόδου, ἤτοι ἔκθεσις τῆς γενομένης τῆς Ἐκκλησίας συνόδου,

ἐπὶ Κωνσταντίνου καὶ Ρ΄ωμανοῦ.

Τοῦ μὲν βασιλεύοντος, τοῦ δὲ τὸ τιμιοκαύτιν τῷ τοῦ βασιλεοπάτορος ἀξιώματι διαφέροντος.

Ο΄ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ Θεός, τοῖς ἑαυτοῦ μαθηταῖς καὶ Ἀποστόλοις, καὶ τοῖς, ὅσοι μετ' * ἐκείνων ἄξιοι γεγόνασι τῆς Ἐκκλησίας αὐτοῦ, ἐξαίρετόν τινα κλῆρον τῆς εἰρήνην κατέλιπε. τοῦτο γνώρισμα παρεχόμενος τοῖς οἰκείοις τῆς πρὸς αὐτὸν οἰκειότητος, εἰ τῷ συνδέσμῳ τῆς εἰρήνης σφιγγόμενοι, μὴ τοῦ τοῦ πνεύματος διασπῶσιν σύνοδον· πρότερον αὐτὸς οἰκείῳ ὑποδείγματι δείξας ἡμῖν, ὧν ἔχει περὶ τῆς εἰρήνης προαίρεσιν, * δι' ὧν ὑπεράνω * δι' ὧν
παντὸς ὕψους τελῶν, ἐπὶ τοῦ ἐχατιαὶ κατῆλθε τὴν ἡμετέραν, καὶ παραπλησίως ἡμῖν σαρκὸς καὶ αἵματος ἐκοινώνησεν, ἵνα τοὺς ἐξ ἀλλήλων διηρημένους εἰς σύνοδον καταστήσῃ. Ε΄πειτα καὶ τοῖς τὰ ἐκείνου * μαθήματι πεπαιδευμένοις, ταύτην * παθήματα
κατέλιπε τοῦ κληρονομίαν, τὸ εἰρηνεύειν ἐν ἀλλήλοις. καὶ ὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ πρὸς εἰρήνην ἄγειν ἑτέρους, πρὸς ἑαυτὸν σπουδάζοντας. Ἀλλὰ γὰρ τοιοῦτος ὄντος τοῦ πράγματος, ἐξαρχῆς καὶ μέχρι τοῦ νῦν, ὁ διελὼν ἡ τοῦ πονηροῦ σα-

στασιώδης κακία τὸ ἱερὸν τῆς Ἐκκλησίας διαταράττουσα πλήρωμα, νῦν μὲν ταύτην, νῦν δὲ ἐκείνην ἀνακινοῦσα τὴν πρόφασιν. ἀλλ' ὁ μὲν, τοιοῦτος. ὁ δὲ τῆς εἰρήνης αἴτιος καὶ διδάσκαλος Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ πύλας εἰπὼν ᾅδου μὴ * κατισχύειν τῆς Ἐκκλησίας αὐτοῦ, ἀεὶ τὰ σκάνδαλα εἰς τὴν τοῦ πονηροῦ κεφαλὴν περιτρέπων, τὴν εἰρήνην τῇ Ἐκκλησίᾳ διαφυλάττει ἀλύμαντον. οὗτος ἐκεῖνος, ἡ εἰρήνη ἡμῶν Χριστὸς, ὁ Θεὸς, ὁ Πατὴρ, ὁ Ἀρχιερεὺς, ὁ Ποιμὴν ὁ ἀληθινὸς, τῶν ἱερῶν τέκνων τῆς πανάγνου νύμφης αὐτοῦ, τῆς Ἐκκλησίας, ἐξ ἀλλήλων διασπασθέντων, τῇ αὐτοῦ προνοίᾳ καὶ χάριτι τὴν ἕνωσιν αὐτοῖς κατεπράξατο, καὶ τοῖς ἀχράντοις κόλποις πάλιν συνήγαγε τῆς μητρός. διδοὺς, ἐκείνῃ μὲν, χαίρειν ἐπὶ τῇ συναγωγῇ τῶν τέκνων. ἑαυτῷ δὲ τὴν ἐξ ἑνὸς στόματος, καὶ μιᾶς καρδίας, προσάγεσθαι τῆς δόξης ἀναφοράν· πᾶσι δὲ τοῖς, ὅσοι μὴ πρὸς τὴν ταραχώδη τοῦ δαίμονος προαίρεσιν ἀποκλίνουσιν, ἀλλὰ τοῦ τῆς εἰρήνης αἰτίου τὸ παράγγελμα τιμῶσι, τὴν εὐχαριστίαν προσάγειν. ἀλλ' ἐπὶ μὲν τῶν ἄνω χρόνων ἐγένοντο σκανδάλων ἀφορμαὶ, ὁποῖαι δὴ καὶ γεγόνασι. Καὶ πρὸς τὴν ἑκάστοτε κίνησιν τοῦ κακοῦ, τοῖς σοφοῖς τῶν Ἐκκλησιῶν οἰκονόμοις ἡ πρόσφορος ἐξεύρηται θεραπεία. νῦν δὲ ὅτι συμβέβηκε τεταράχθαι τὴν Ἐκκλησίαν ἐξ ἀφορμῆς γαμικῆς, ἐν τῷ μὴ τυγχάνειν τὸν γάμον ἐλεύθερον μέμψεως, πρὸς τὴν ἐκείνου κώλυσιν ἡ τῆς Ἐκκλησίας ἱερὰ κρίσις φέρει τὴν γνώμην, καὶ τοῦ μὴ προέρχεσθαι, τοῦτον ἔτι χώραν εὑρίσκειν. Οὕτω γὰρ καὶ νῦν καὶ μετέπειτα τῶν κατεχόντων σκανδάλων ἀπηλλάχθαι περιγενήσεται τοῖς, ὅσοι μὴ τὸ φιλόνεικον καὶ τὴν ἔριν ἀντὶ τῆς εἰρήνης ἠγάπησαν τοῦ Χριστοῦ. τῆς γὰρ προφάσεως ἐκποδὼν γεγενημένης, ἀφ' ἧς ἐξέφυ τὰ σκάνδαλα, τοῦ εἰρηνεύειν τοῖς ἀγαπῶσιν εἰρήνην οὐδεμία ἐστὶν ἡ κωλύουσα πρόφασις. καὶ γὰρ ἐν παντὶ πράγματι οὕτως ἔχει. Τῆς σφαλερᾶς αἰτίας τῆς τῶν ἀτόπων γενέσεως ἐκποδὼν καθισταμένης, πρὸς τὴν ἐξ ἀρχῆς εὐταξίαν ἀποκαθίσταται τὰ τέως ἐκεῖθεν λαβόντα τὸ πονηρῶς διακεῖσθαι, οὕτω καὶ σώματι νόσου προσγενομένης, τοῦ αἰτίου ταύτης ἀναχωρήσαντος, τὸ ὑγιαίνειν ἐπανέρχεται. καὶ θαλάσσῃ ἐξ ἀνέμων βιαιότητος, ταραττομένῃ, τῆς καταιγίδος πεπαυμένης, ἡ γαληνιῶσα κατάστασις ἐπανήκει. Διὰ τοῦτο κοινῇ συναθροισθέντες Ἀρχιερεῖς τε καὶ ἱερεῖς, ὅσοι μὴ ἑαυτοῖς (ἐῶ γὰρ εἰπεῖν, ἄλλοις) ἀρέσκειν ἠγάπησαν, ἀλλὰ τῆς Ἐκκλησίας τὴν εἰρήνην τοῦ στασιάζειν προετίμησαν, συνείδομεν, ἐπείπερ ἐκ τῶν γαμικῶν ἀφορμῶν τὰ σκάνδαλα τὴν γένεσιν ἔλαβε, ταῦτα διανακαθάραι, καὶ διασφαλίσασθαι, τοῦ μηδαμῶς ἔτι διὰ τῆς αὐτῶν εἰς τὸν βίον πρόοδον, μήτε τὴν Ἐκκλησίαν ταράττειν, μήτε τὴν ζωὴν τῶν οὕτω ζῆν ἑλομένων, κατάκριτον καὶ κατεγνωσμένην ποιεῖν. Καὶ λοιπὸν ἀποφαινόμεθα κοινῇ γνώμῃ καὶ κρίσει, ἀπόγε τοῦ παρόντος ἔτους, ὅ ἐστιν ἑξακισχιλιοστὸν τετρακοσιοστὸν εἰκοστὸν ὄγδοον, ἐπινεμήσεως ὀγδόης, τέταρτον γάμον μηδενὶ τολμᾶσθαι, ἀλλ' εἶναι ἀπόβλητον παντελῶς. καὶ τὸν, εἴτις ἐπὶ τοιοῦτο ἐλθεῖν συνοικέσιον * προεθυμήθη, πάσης ἀπεστερημένον εἶναι συνάξεως ἐκκλησιαστικῆς, καὶ αὐτῆς τῆς πρὸς τὸν ἅγιον ναὸν εἰσόδου ἀλλότριον, μέχρις ἂν * ἐπιμείνῃ τῷ συνοικεσίῳ. τοῦτο γὰρ καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις ἔδοξε πατράσι. Καὶ ἡμεῖς δὲ τὴν γνώμην * ἐκδηλοτέραν ποιοῦντες, ὡς ἀλλότριον αὐτὸν τῆς χριστιανικῆς πολιτείας * ἀποκηρύττομεν. ἀλλ' οὕτω μὲν * ἐπὶ τοῦ τετάρτου γάμου. ἵνα δὲ καὶ τὰ τῶν ἄλλων γάμων εὐσχημονέστερον τυπωθῇ, καὶ τοῦ τῶν Χριστιανῶν βίου μὴ ἀνάξιον ἔχῃ τὴν * προσαγωγὴν, καὶ περὶ τοῦ τρίτου ὁρίζομεν γάμου, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἐπιτελεῖσθαι αὐτόν. καὶ γὰρ συγκεχώρηται μὲν ὡς ῥύπασμα τοῖς πατράσιν, οὔπω τότε, καθὼς νῦν, γινομένου τοῦ πράγματος ἀπηρυθριασμένως, οὐδ' εἰς πλάτος ἐξηπλωμένου. ἀλλ' ὥσπερ εἴτις ἐν οἴκῳ παραπεπτωκὸς ἐν γωνίᾳ παρίδῃ πολλάκις κείμενον ῥύπασμα. νῦν δὲ * ὅτε χώραν ἔλαβε παρρησίας, καὶ ὡς οὐδὲν ἔχων εἰς ἀσχημοσύνην, οὐδὲ ῥυπαίνων λογίζεται· ἐκ τοῦ προβῆναι εἰς πληθυσμόν. καλῶς ἔδοξεν ἀνακαθαίρειν αὐτὸν, ὥσπερ καὶ αἶσχος οὐκ ἐν γωνίᾳ παρερριμένον, ἀλλ' ἐξηπλωμένον ἐπὶ τῆς οἰκίας, οὐδαμῶς ἐώμεν, ἀλλὰ καθαίρομεν, καὶ τὸ ἐκ τούτου ἀηδὲς ἀποβάλλομεν. καὶ τῇ ἀνθρωπίνῃ τοίνυν συνυπείκοντες ἀσθενείᾳ, καὶ (τῆς πρεπούσης εὐσχημοσύνης φροντίδα ποιούμενοι) τῇ Χριστιανῶν ζωῇ, τοῦτο ἐπὶ τῶν * τρίτων γάμων παραφυλάττεσθαι διορίζομεν, ὥστε εἴτις πρὸς τεσσαρακοστὸν ἔτος ἀναβεβηκὼς, καὶ μήτε τὴν φύσιν αἰδούμενος, μήτε τῆς ὀφειλομένης Χριστιανικῆς εὐκόσμου ζωῆς φροντίδα ποιούμενος, ἀλλὰ μόνης τῆς ἐμπαθοῦς ἐπιθυμίας γινόμενος, πρὸς τρίτον ἑαυτὸν ἐπιρρίπτει γάμον, τοῦτον μετὰ πάσης ἀκριβείας καὶ παρατηρήσεως μέχρι πενταετίας ἀμέτοχον εἶναι τῆς τοῦ ἁγιασμοῦ μεταλήψεως, καὶ μηδαμῶς ἐπ' αὐτῷ συντέμνεσθαι τὸν χρόνον. ὃς γὰρ μετὰ τὸ τεσσαρακοστὸν ἔτος τὸ ῥύπασμα ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ εἶναι καὶ λέγεσθαι ἠγάπησε, τίνα παρέξει πληροφορίαν τῆς περὶ τὸν βίον αὐτοῦ σπουδῆς, δι' ἣν ὁ χρόνος τῆς μεταλήψεως τῶν ἁγιασμάτων αὐτῷ συντμηθήσεται; ἀλλὰ γὰρ καὶ μετὰ τὸ ἀξιωθῆναι τῆς ἀχράντου μεταλήψεως, οὐκ ἔσται συγκεχωρημένον αὐτῷ ἐν ἄλλῳ καιρῷ τῇ μεταλίψει προσιέναι, ἢ ἐν μόνῃ τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει, διὰ τὴν ἐκ τῆς προηγουμένης ἐγκρατείας τῶν νηστειῶν * ὅσον δυνατὸν, ἀνακάθαρσιν. ταῦτα δὲ φαμὲν, ὅταν μὴ τέκνα παρῇ ἐκ τῶν προτέρων γάμων τοῖς ἤδη μετὰ τὸ τεσσαρακοστὸν ἔτος τρίτην ἄγεσθαι προῃρημένοις γυναῖκα. ἐπεὶ ἐὰν τέκνα παρῇ, ἀσυγχώρητος αὐτοῖς ἡ τριγαμία. Λίαν γάρ ἐστιν ἄδικον, τὸν μὲν χαρίζεσθαι τῇ ἐξώρῳ ἐπιθυμίᾳ· τοῖς δὲ παισὶ τῶν προτέρων γάμων μὴ προνοεῖσθαι τὸ ἀσφαλὲς, καὶ τὸ ἄλυπον, καὶ ἀτάραχον, καὶ ὅσα οἶδε τὸ ἀνθρώπινον καταλαμβάνειν ἐκ τῆς * πολυπόνου τεκνώσεως. Καὶ εἴ

τις

* κατισχύσειν
* προθομηθείη
* ἐπιμένοι
* ἐνδηλοτέραν
* ἀνακηρύττομεν
* περὶ
* προαγωγὴν
* ὅτι
* τριγάμων
* ὡς
* πολυπόν

τις δὲ τριακοντούτης ὢν, καὶ τέκνα ἔχων ἐκ τῆς προλαβόντων γάμων, τρίτῃ συνάπτοιτο γυναικὶ, ὃς οὗτος δὲ * ἀσυγχώρητος μέχρι τετάρτου ἔτους τῆς κοινωνίας τῆς ἁγιασμάτων ἀμέτοχος * ἔσται. διότι δῆλος ἐστὶν, ἐξ οὐδενὸς ἑτέρου, ἀλλ' ἢ ὑπὸ ἀκρασίας κινούμενος, καὶ τοῦ δοῦλος εἶναι σαρκικῆς ἐπιθυμίας, ἐπὶ τὸν τοιοῦτον γάμον ἐλθεῖν. Καὶ μετὰ τὸ τυχεῖν δὲ τῆς μεταλήψεως τῶν μυστηρίων, τρὶς τοῦ ἐνιαυτοῦ μόνον ἀξιωθήσεται τῆς ἀπολαύσεως. ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἀναστάσει. δεύτερον δὲ, ἐν τῇ κοιμήσει τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου. καὶ τρίτον ἐν τῇ γενεθλίῳ ἡμέρᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· διὰ τὸ (καὶ) ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. Εἰδὲ παῖδες μὴ * περίεισιν, ἐπειδὴ τὸ τεκνογονίας ἐπιθυμεῖν οὐκ ἀσύγγνωστον, τοτηνικαῦτα συγγνώμης ἀξιωθήσεται ὁ τοιοῦτος γάμος, καὶ μόνῳ τῷ ἐξαρχῆς καὶ μέχρι τοῦ νῦν κρατήσαντι ἐπιτιμίῳ θεραπευθήσεται. Ταῦτα μὲν καὶ περὶ τοῦ τρίτου γάμου. οὐ μὴν οὐδὲ τὸν δεύτερον, οὐδὲ τὸν πρῶτον ἐκτὸς ἀσφαλείας ἐῶμεν, ἀλλὰ κἀκείνους ὁρίζομεν οὕτω συνίστασθαι, ὥστε μηδεμίαν ἔχειν πονηρὰν αἰτίαν, ἢ ἐξ ἁρπαγῆς, ἢ ἐκ προηγησαμένης λαθραίου φθορᾶς, ἀλλὰ νομίμως, καὶ καθαρεύοντας τῆς τοιούτων μολυσμάτων, καὶ πορνικῆς ἀκαθαρσίας. Εἴτις οὖν τῆς εἰρημένων καταφρονήσας τύπων, πρὸς γαμικὴν ὁμιλίαν πρώτην ἢ τὴν δευτέραν συνέλθοι, τοῦτον ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἡ καθαρὰ καὶ μηδένα σπῖλον ἔχουσα, ἢ ῥυτίδα, τοῖς σωτηρίοις ὑποβάλλουσα ἐτασμοῖς, οὐ πρὶν εἰς μετάληψιν τῆς θείων παραδέξεται μυστηρίων, ἢ τὸν ὡρισμένον ἐπὶ τῇ πορνείᾳ χρόνον (μάθῃ) ἀκριβῶς αὐτὸν ἐκπληρῶσαι, (εἰ μὴ ἄρα ἡ τοῦ βίου ἀναγκαία κατεπείγοι ἀναχώρησις) τουτέστι, μέχρις ἂν τὸ ἕβδομον ἐκπληρωθῇ ἔτος. Ὁ δὲ τολμῶν Ἱερεὺς παρὰ τὸν * διατετυπωμένον ὅρον μεταλήψεως θείας τινὰ τούτων ἀξιῶσαι, περὶ τὸν ἴδιον κινδυνεύσει βαθμόν. δηλονότι τοῦ ἀξιωθέντος παρὰ τὸν ὡρισμένον τύπον τῆς θείας κοινωνίας, πάλιν εἰς τὸ ἀκοινώνητον περιϊσταμένου, μέχρι τῆς συμπληρώσεως τοῦ ἑβδόμου ἔτους.

* ἀσυγχωρήτως

* ἔστω

* παρείησαν

ἤγουν ἐτῶν β'. ἢ γ'. ἀκοινωνησίᾳ

* διατεταγμένον

Σχόλιον.

Ταῦτα μὲν, ὡς δεδήλωται, ὑπὸ τῆς πάλαι βασιλευσάντων ἐπράχθησαν. Νῦν δὲ τῇ τοῦ Πατρὸς, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, εὐδοκίᾳ καὶ χάριτι, τοὺς ἤδη πρὸ ἐννενήκοντα χρόνων ἕνεκεν τῆς προδηλωθείσης αἰτίας καὶ ἀφορμῆς ἀπορραγέντας ἱερεῖς καὶ Μονάζοντας, ἡ Παγγάληνος Βασιλεία τῆς Θεοστεφῶν Βασιλέων ἡμῶν, Βασιλείου καὶ Κωνσταντίνου, συνῆψέ τε καὶ συνήνωσε, καὶ μίαν Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν εἰργάσατο. Ὅθεν χρεὼν ἀνακηρύττεσθαί τε καὶ μεγαλύνεσθαι τοὺς τὸ τοιοῦτον Θεοφιλὲς καὶ ἀξιόλογον ἔργον πεπληρωκότας,

οἵ τινες Κωνσταντίνου τούτου Ἔγγονοι ἦσαν

Πολλὰ τὰ ἔτη τῆς Βασιλέων.

Βασιλείου καὶ Κωνσταντίνου, τῆς Ὀρθοδόξων ἡμῶν Βασιλέων, πολλὰ τὰ ἔτη. Τῆς εὐσεβεστάτης Αὐγούστης Θεοφανοῦς πολλὰ τὰ ἔτη. Νικολάου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ Πατριάρχου πολλὰ τὰ ἔτη. Βασιλείου, καὶ Κωνσταντίνου, Λέοντος, καὶ Ἀλεξάνδρου, Κωνσταντίνου καὶ Ῥωμανοῦ, Χριστοφόρου, Ῥωμανοῦ, Νικηφόρου, καὶ Ἰωάννου, τῆς τὴν Οὐράνιον Βασιλείαν τῆς ἐπιγείου ἀλλαξαμένων, αἰωνία ἡ μνήμη. Εὐδοκίας, καὶ Θεοφανοῦς, Θεοδώρας ὃς Ἑλένης, τῆς εὐσεβεστάτων Αὐγούστων, αἰωνία ἡ μνήμη. Γερμανοῦ Ταρασίου, Νικηφόρου, καὶ Μεθοδίου, τῶν ἀοιδήμων καὶ μακαρίων Πατριαρχῶν, αἰωνία ἡ μνήμη. Ἰγνατίου, Φωτίου, Στεφάνου, καὶ Ἀντωνίου, Νικολάου καὶ Εὐθυμίου, Στεφάνου, Τρύφωνος, Θεοφυλάκτου, Πολυεύκτου, καὶ Ἀντωνίου τῶν ὀρθοδόξων Πατριαρχῶν, αἰωνία ἡ μνήμη. Ἅπαντα τὰ κατὰ τῶν ἁγίων Πατριαρχῶν, Γερμανοῦ, Ταρασίου, Νικηφόρου, καὶ Μεθοδίου, γραφέντα ἢ λαληθέντα, ἀνάθεμα. ἅπαντα τὰ παρὰ τὴν Ἐκκλησιαστικὴν παράδοσιν, καὶ τὴν διδασκαλίαν, καὶ ὑποτύπωσιν τῶν Ἁγίων καὶ ἀοιδήμων Πατέρων καινοτομηθέντα καὶ πραχθέντα, ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα. Τοῖς συκοφαντοῦσι τὴν Ἁγίαν Ἐκκλησίαν, ὅτι τετραγαμίαν ἐδέξατο, χάριν τῆς εὐδοκίᾳ Θεοῦ γεγενημένης οἰκονομίας, καὶ τῆς προσλήψεως, καὶ ἑνώσεως τῶν ἀδελφῶν ἡμῶν, οὓς ἡ τῶν προλαβόντων σκανδάλων αἰτία ἐχωρίζετο, ἀνάθεμα. Τοῖς τολμῶσι λέγειν, ὅτι ἡ Ἐκκλησία τὸ καθαρὸν καὶ Ἄχραντον οὐ σώζει τῆς ἁγιστείας αὐτῆς, ἀλλὰ μολυσμόν τινα προσετρίψατο, διὰ τὴν χάριτι Θεοῦ γενομένην σύναψιν τῶν τέκνων, οὓς διεμέρισε μὲν τὸ ἤδη προγεγονὸς σκάνδαλον, συνῆψε δὲ ἡ τούτου παρὰ πάντων ὁμοῦ ἀθέτησις καὶ ἀποκήρυξις, ἀνάθεμα.

Ἐπιφωνήσεις Συνοδικαί.

Τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ Θείους Κανόνας τῶν ἱερῶν Πατέρων ἡμῶν, οἳ καὶ τὴν Ἁγίαν Ἐκκλησίαν ὑπερείδουσι· καὶ ὅλην τὴν Χριστιανικὴν Πολιτείαν κοσμοῦντες, πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

ΕΠΙ ΜΙΧΑΗΛ ΚΗΡΟΥΛΛΑΡΙΟΥ

Πατριάρχου Κωνσταντινουπόλεως.

χρόνοι ἀπὸ Χριστοῦ 1053

Σημείωμα περὶ τοῦ ῥιφέντος πιττακίου ἐν τῇ ἁγίᾳ τραπέζῃ παρὰ ἀπὸ Ῥώμης πρέσβεων κατὰ τοῦ ἁγιωτάτου πατριάρχου κυροῦ Μιχαὴλ, μηνὶ Ἰουνίῳ, Ἰνδικτ. ζ'.

Προκαθημένου Μιχαὴλ τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ἐν τοῖς δεξιοῖς μέρεσι τῶν κατειχουμενείων, συνεδριαζόντων αὐτῷ θεοφιλεστάτων μητροπολιτῶν Θεοφάνους Κυζίκου καὶ Συγκέλλου, Νικήτα Χαλκηδόνος, καὶ Συγκέλλου, Λαυρεντίου, Δυῤῥαχίου καὶ Συγκέλλου, Ἀνθίμου Σίδης, Νικολάου Πισινοῦντος, Λέοντος Μύρων, Λέοντος Τραπεζοῦντος, Ἰωάννου Σμύρνης, Εὐσεβίου Ἀδριανουπόλεως, Κωνσταντίνου Μιτιλήνης, Νικολάου Χωνῶν, Ὑπατίου Ἱδροῦντος, καὶ ἀρχιεπισκόπων Λέοντος Καραβιζύης, Γρηγορίου Μεσημβρίας παρισταμένων καὶ τῶν Πατριαρχικῶν ἀρχόντων

Οὐκ ἦν ἄρα, ὡς ἔοικε, κόρος τῷ πονηρῷ τῶν κακῶν. Διὰ τοῦτο γὰρ οὐ παύεται τοῖς εὐσεβέσιν ἐπιφυόμενος, καὶ καινόν τι κατὰ τῆς ἀληθείας καινὰ ἐφευρίσκειν ἐκμηχανώμενος. Τοιγάρ τι καὶ μυρίαις μὲν τάσαις ἀπάταις πρὸ τῆς ἐν σαρκὶ τοῦ δεσπότου παῤῥησίας τὸν ἄνθρωπον ὑπηγάγετο. Μυρίαις δὲ καὶ μετὰ ταῦτα πλάναις καὶ δελεάσμασιν ὑποσκελίζειν καὶ παρασύρειν τοὺς αὐτῷ πειθομένους οὐχ ὑφῆκεν ὅλως, οὐδὲ διέλιπεν. ἀλλὰ καὶ τούτων ἐκ ποδῶν γενομένων, καὶ εὐσεβοῦς καὶ βαθείας ἐλπίδος τοῖς εὐσεβεῖν ὑποτρεφομένης ἐθέλουσι μήτ' ἂν καινοτέρων δυσεβημάτων ἐφευρετὰς γενέσθαί ποτε, ἐν πᾶσιν οἷς κατὰ τοῦ ὀρθοῦ λόγου ὁ πονηρὸς πειρᾶσαι ἐσπούδασεν· εἰς τοὐναντίον αὐτῷ τῶν μηχανημάτων περιτραπέντων· νῦν τινες δυσεβεῖς ἄνδρες, καὶ ἀποτρόπαιοι καὶ τί γὰρ οὐκ ἄν τις εὐσεβῶν τούτους ὀνομάσειεν, ἄνδρες ἐκ σκότους ἀναδόντες, τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα, εἰς τὴν εὐσεβῆ ταύτην ἐλθόντες πόλιν καὶ θεοφύλακτον, ἀφ' ἧς, ὥσπερ ἀπό τινος ὑψηλοῦ καὶ μετεώρου χωρίου αἱ τῆς ὀρθοδοξίας πηγαὶ ἀναδύονται, καὶ καθαρὰ τῆς εὐσεβείας τὰ νάματα ἐς τὰ τῆς οἰκουμένης Διαῤῥέουσι πέρατα, καὶ ποταμῶ δίκην τὰς ἐν ἁπάσῃ τῇ ὑφ' ἥλιον ψυχὰς, τοῖς εὐσεβέσι δόγμασι καταρδεύουσιν, εἰς ταύτην, ὥσπερ κεραυνὸς, ἢ σεισμὸς, ἢ χαλάζης πλῆθος· εἰ χρὴ δὲ μᾶλλον εἰπεῖν οἰκειότερον ὡς μονιὸς ἄγριος εἰσπηδήσαντες τὸν ὀρθὸν λόγον τῇ διαφορᾷ τῶν δογμάτων καταλυμήνασθαι ἐπεχείρησαν, ὡς καὶ γραφὴν ἀποθέσθαι ἐν τῇ μυστικῇ τῆς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας τραπέζῃ, δι' ἧς ἡμᾶς, μᾶλλον δὲ τὴν ὀρθόδοξον τοῦ Θεοῦ ἐκκλησίαν, καὶ πάντας τοὺς μὴ συνυπαγομένους τοῖς αὐτῶν δυσσεβήμασιν ὀρθοδόξους ἀναθέματι δι' αὐτὸ τοῦτο, ὅτι εὐσεβεῖν, καὶ τὸ ὀρθόδοξον προβαίνειν ἐθέλομεν, καθυπέβαλον, ἐγκαλέσαντες ἡμῖν ἄλλα τέτινα, καὶ ὅτι τοὺς πώγωνας παραπλησίως ἐκείνοις ξυρᾶν, καὶ τὴν κατὰ φύσιν ἀνθρώπου μορφὴν παρὰ φύσιν ἐξαλλάσσειν οὐκ ἀνεχώμεθα· πρὸς δὲ καὶ ὅτι μὴ διακρινόμενοι ἀπὸ πρεσβυτέρων μεταλαμβάνειν γεγαμηκότων· πρὸς ἐπὶ πᾶσι δὲ τούτοις, καὶ ὅτι τὸ ἱερὸν, καὶ ἅγιον σύμβολον, ὃ πᾶσι τοῖς συνοδικοῖς, καὶ οἰκουμενικοῖς ψηφίσμασιν ἄμαχον ἔχει τὴν ἰσχὺν, νόθοις λογισμοῖς καὶ παρεγγράπτοις λόγοις καὶ θράσους ὑπερβολῇ μὴ κιβδηλεύειν ἐθέλομεν, μηδὲ παραπλησίως ἐκείνοις ἐκ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ὦ τῶν τοῦ πονηροῦ μηχανημάτων, ἀλλ' ἐκ τοῦ πατρὸς φαμὲν ἐκπορεύεσθαι· μήτε τῇ γραφῇ προσέχειν ἐθέλοντες, ἢ οὐκ ἀκομαδαρώσετέ φησι τοὺς πώγωνας ἡμῶν, οὔτε μὴν ἐννοεῖν ὅλως βουλόμενοι ὅτι γυναιξὶν εὐπρεπὲς τοῦτο ὁ κτίσας ἐποίησε Θεὸς, ἀνδράσι δὲ ἀνάρμοστον ἐδικαίωσεν, ἀλλὰ καὶ τὸν τέταρτον* τῆς ἐν Γάγγρᾳ συνόδου περὶ τῶν τὸν γάμον βδελυσσομένων φανερῶς ἀτιμάζοντες, ὅς φησιν, εἴ τις διακρίνοιτο παρὰ πρεσβυτέρου γεγαμηκότος ὡς μὴ χρῆναι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω· κατ' αὐτὸ δὲ τοῦτο καὶ τὴν ἕκτην σύνοδον ἀθετοῦντες καὶ ἀτιμάζοντες, ἥ φησιν· ἐπειδεὶ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν τοὺς μέλλοντας διακόνου, ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας καθομολογεῖν, ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς, ἡμεῖς ἀρχαίοις ἐξακολουθοῦντες κανόσι τῆς ἀποστολικῆς ἀκριβίας καὶ τάξεως τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμου συνοικέσια, ἀπὸ τοῦ νῦν ἐῤῥῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς τὰς γαμετὰς συνάφιαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας· ὥστε εἴ τις ἄξιος εὑρεθῇ πρὸς χειροτονίαν διακόνου, ἢ ὑποδιακόνου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τὸν τοιοῦτον βαθμὸν ἐπαναβιβάζεσθαι νομίμῳ συνοικῶν γαμετῇ, μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας, ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ Θεοῦ νομοθετηθέντα, καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον καθυβρίζειν ἐκβιασθῶμεν· τῆς τοῦ εὐαγγελίου φωνῆς ἐκβοώσης, οὓς ὁ Θεὸς ἔζευξεν ἄνθρωπος μὴ χωριζέτω, καὶ τοῦ ἀποστόλου διδάσκοντος, τίμιον τὸν γάμον ἐν πᾶσι, καὶ τὴν κοίτην ἀμίαντον· καὶ, δέδεσαι γυναικὶ, μὴ ζήτει λύσιν· εἴ τις οὖν τολμήσῃ παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος τινὰ τῶν ἱερομένων πρεσβυτέρων, φαμὲν, ἢ διακόνων, ἢ ὑποδιακόνων ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας, καὶ κοινωνίας καθαιρείσθω· ὡσαύτως, καὶ

εἴ τις

εἴτις πρεσβύτερος, ἢ διάκονος τιὰ ἑαυτῆ γυναῖκα προφάσει βλαβείας ἐκβάλλοι, ἀφοριζέσθω· ἐπιμιγνύων δὲ καθαιρείσθω· πρὸς ἐπὶ πᾶσι δὲ τούτοις μηδὲ ξυνοεῖν ὅλως ἐθέλοντες, ἐν οἷς τὸ πνεῦμα οὐκ ἐκ τοῦ πατρός, ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ φασιν ἐκπορεύεσθαι, ὅτι ὅτε ἀπὸ Εὐαγγελιστῶν τιὰ φωνιὰ ἔχουσι ταύτην, ὅτε ἀπὸ οἰκουμενικῆς συνόδου τὸ βλάσφημον τοῦτο κέκτηνται δόγμα. ὁ μὲν γὰρ κύριος ὁ Θεὸς ἡμῶν φησι, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· οἱ δὲ τῆς καινῆς ταύτης δυσσεβείας πατέρες τὸ πνεῦμα φασιν, ὃ παρὰ τοῦ πατρός, καὶ τοῦ υἱοῦ ἐκπορεύεται· ἀλλὰ μηδὲ συνορῶντες πάλιν, ὡς εἰ ἐν ᾧ τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ· ὡσαύτως καὶ εἰ ἐν ᾧ γλυκαίνει ὁ υἱός, ἡ τοῦ υἱοῦ· ἐκπορεύεται δὲ ὡς ὁ αὐτὸς λῆρος καὶ τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, πλείοσιν ἄρ' ἰδιότησιν διαστέλλεται τὸ πνεῦμα τοῦ πατρός, ἢπερ ὁ υἱός· κοινὸν μὲν γὰρ σωτῆρι, καὶ υἱῷ ἡ ἐξ αὐτοῦ τοῦ πατρὸς προόδος, ἰδία δὲ τοῦ πνεύματος ἡ ἐκ τοῦ πατρὸς ἐκπόρευσις, ὑμῖν καὶ ἡ τοῦ υἱοῦ. εἰ δὲ πλείοσι διαφοραῖς διαστέλλεται τὸ πνεῦμα ἢπερ ὁ υἱός, ἐγγυτέρω ἂν εἴη τῆς πατρικῆς οὐσίας ὁ υἱός, ἢπερ τὸ πνεῦμα· καὶ ὅπως ἡ Μακεδονίου πάλιν κατὰ τοῦ πνεύματος παρακύψει τύλμα τὸ ἐκείνων ὑποδυομένη δράκα, καὶ τιὰ σκιωλιά· Χωρὶς δὲ τῆς εἰρηνικῶν, οὐδὲ συνιέναι ὅλως ἐθέλουσιν, ὅτι εἰ πᾶν, ὅπερ μή ἐστι κοινὸν τῆς παντοκρατορικῆς, καὶ ὁμοουσίου Τριάδος, υἱός ἐστι μόνου τῆς τριῶν· οὐκ ἔστι δὲ ἡ τοῦ πνεύματος προβολὴ κοινὸν τῆς τριῶν· ἀλλ' οἱ μὲν ὅπως ἡμῶν τε αὐτῆς, καὶ τῆς ὀρθοδόξου τοῦ Θεοῦ ἐκκλησίας κατιλιαιδάσαντο. ἐφ' ἑτέρας μὲν ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης πρὸς τὸν φιλοσεβεσάτον ἡμῶν αὐτοκράτορα ἀφικόμενοι· ἄλλα δέ τινα κατὰ τὴν ὀρθοδοξίαν τῆς ἐκκλησίας πληρώματος σημηνάντες μᾶλλον δὲ καὶ αὐτιὰ τιὰ ἄφιξιν πεπλασμένιν τιὰ ἀρχιὰ ποιησάμενοι, καὶ ἐκ τῆς Ῥώμης μὲν ἀφικέσθαι, καὶ παρὰ τὸ πάπα ἀποσαλεῖσθαι σκηψάμενοι, ταῖς δὲ ἀληθείαις, ταῖς παρὰ τοῦ ἀργυροῦ δολεραῖς ὑποθήκαις συμβυλαῖς, αὐτοί τε ἀφ' ἑαυτῆς ἀφικόμενοι, καὶ μήτε παρὰ τὸ πάπα ἀποσαλέντες· Ἀλλὰ καὶ τὰ γράμματα, ἃ ὡς ἀπ' ἐκείνου δῆθεν ἐπεφέροντο, πλασάμενοι· Τοῦτο γὰρ ἀπότε ἄλλων διεγνώσθη πολλῶν, καὶ ἀπὸ τῆς τῶν γραμμάτων σφραγίδας νομοθεσίας φανερῶς φωραθῆναι· αὐτὸ μὲν οὖν τὸ παρὰ τῆς δυσσεβῶν τύπων ἀποτεθὲν ἔγγραφον καθ' ἡμῶν, Ἰταλικοῖς γράμμασι γεγραμμένον, καὶ ἐπὶ παρουσίᾳ τῆς ὑποδιακόνων τῆς δευτέρας ἑβδομάδος, παρ' αὐτῆς πρῶτον μὲν τῇ τραπέζῃ τῆς τοῦ Θεοῦ μεγάλης ἐκκλησίας ἐπιτεθέν· ὕστερον δὲ διὰ τὸ τοὺς ὑποδιακόνους ἀπωσασθαι τοῦτο καὶ τῆς θείας ἀπορρίψαι τραπέζης, καὶ προτείνασθαι μὲν τοῖς θείοις λαβεῖν, ἐκείνους δὲ μὴ βεβηθῆναι τοῦτο κατὰ τοῦ ἐδάφους ῥιφέν, καὶ εἰς χεῖρας πολλῶν ἐλθόν, ἵνα μὴ δημοσιευθῇ τὰ ἐν αὐτῷ βλασφημούμενα ἡ μετεμότης ἡμῶν ἀνελάβετο, εἶτα τῆς τὴν Ἰταλίδα γλῶτταν εἰς τὴν ἑλλάδα μεταβάλλειν εἰδότων προσκαλεσαμένοι τινάς, ἤγαγον τὸν πρωτοσπαθάριον Κοσμᾶν, τὸν Ῥωμαῖον τὸν πυρόν, καὶ τὸν μοναχὸν Ἰωάννιν τὸν Ἰσπανὸν μεταφράσαι τὸ ἔγγραφον ἐπετρέψατο· καὶ τὸ ἐγγράφου παρὰ τούτων μεταφραθέντος εἶχεν ἡ τούτου ὑφὴ αὐτοῖς ῥήμασιν οὕτωσί· Ὅστις ἂν τῇ πίστει, καὶ τῇ θυσίᾳ τῆς Ῥωμαϊκῆς καὶ ἀποστολικῆς καθέδρας ἀντιλέγοι, ἀνάθεμα ἔστω, καὶ μήτε δεχέσθω ὀρθόδοξος, ἀλλὰ λεγέσθω πρόζυμίτης, καὶ νέος Ἀντίχειστος. Οὔβερτος Θεοῦ χάριτι τῆς ἁγίας τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος, Πέτρος τῆς Ἀμαλφίωων ἀρχιεπίσκοπος, Φερεδέιριχος διάκονος, καὶ σακελλάριος πᾶσι τοῖς τῆς καθολικῆς ἐκκλησίας τέκνοις. ἡ ἁγία Ῥωμαϊκὴ πρώτη, καὶ ἀποστολικὴ καθέδρα, πρὸς ἣν ἅπε δὴ πρὸς κεφαλὴν ἡ φροντὶς πασῶν τῆς ἐκκλησιῶν ἰδικῶς ἐφαρμόζει, τῆς ἐκκλησιαστικῆς εἰρήνης, καὶ χρείας χάριν, πρὸς ταύτην τὴν βασιλικὴν πόλιν ἡμᾶς ἀποχειροτονίας αὐτῆς ποιῆσαι κατηξίωσεν· ἵνα καθὼς γέγραπται κατέλθωμεν, καὶ ἴδωμεν, εἰ ἄρα ἔργῳ πεπλήρωται ἡ βοή, ἣ ἀδιασείκτως ἐκ τηλικαύτης πόλεως ἀνέβαινε πρὸς τὰ ὦτα αὐτῆς· εἰ δὲ καὶ μὴ ἦν ὅπως, γνῶ, ὅθεν γινωσκέτωσαν πρὸ μὲν πάντων οἱ δεδοξασμένοι αὐτοκράτορες, ὁ κλῆρος, ἡ σύγκλητος, καὶ ὁ λαὸς ταύτης τῆς Κωνσταντινουπόλεως, καὶ πᾶσα ἡ καθολικὴ ἐκκλησία ἡμᾶς ἐνταῦθα διεγνωκέναι, ὅθεν πλεῖσα χαιρόμεθα ἀγαθόν, καὶ μέγιστον, ὅθεν ἐλεεινῶς λυπούμεθα κακόν· καὶ γὰρ ὅσοι πρὸς ἴους κίονας τοῦ κράτους, καὶ τοὺς αὐτοῦ τετιμημένους, καὶ τοὺς πολίτας σοφοὺς χειστιανικώτατος, καὶ ὀρθόδοξός ἐστιν ἡ πόλις· ὅσον δὲ πρὸς τὸν Μιχαὴλ τὸν καταχρηστικῶς λεγόμενον πατειάρχην, καὶ τῆς αὐτοῦ ἀνοίας συνεργούς, πλεῖσα ζιζάνια τῆς αἱρέσεων καθεκάστην διασπείρεται ἐν μέσῳ αὐτῆς, ὥστε καθὼς οἱ Σιμωνιακοὶ τὴν δωρεὰν τοῦ Θεοῦ πιπράσκουσι, καὶ ὡς βαλέσιοι τοὺς παροίκους αὐτῆς ἐξουσιαχίζουσι, καὶ οὐ μόνον πρὸς Κληρικάτα, ἀλλὰ καὶ πρὸς Ἐπισκοπάτα ἀνάγουσιν. ὡς οἱ Ἀρειανοὶ ἀναβαπτίζουσι τοὺς ἐν ὀνόματι τῆς ἁγίας Τριάδος βεβαπτισμένους, καὶ μάλιστα τοὺς Λατίνους· ὡς οἱ Δονατισταὶ ἐπικορούσιν, ὅτι ἐκτὸς τῆς ἐκκλησίας τῆς Γραικῶν τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ ἡ ἀληθινὴ θυσία, καὶ τὸ βάπτισμα ἐξ ὅλου τοῦ κόσμου ἀπολωλεκέναι· ὡς οἱ Νικολαΐται τοὺς σαρκικοὺς γάμους παραχωροῦσι, καὶ διεκδικοῦσι τοῖς τοῦ ἱεροῦ θυσιαστηρίου ὑπηρέταις. ὡς οἱ Σεβηριανοὶ ἐπικαταρατὸν φασι τὸν νόμον τοῦ Μωσέως· ὡς οἱ Πνευματομάχοι, ἢ Θεομάχοι, ἀπέκοψαν ἀπὸ τοῦ συμβόλου τοῦ ἁγίου πνεύματος τὴν ἐκπόρευσιν ἐκ τοῦ υἱοῦ· ὡς οἱ Ναζωρηνοὶ τὸν σαρκικὸν τῆς Ἰουδαίων καθαρισμὸν ἐπὶ τοσοῦτον τηροῦσιν, ὥστε τὰ βρέφη τὰ θηλάζοντα πρὸ τῆς ὀγδόης ἡμέρας ἀπὸ τῆς γεννήσεως βαπτίζεσθαι ἀντιλέγειν, καὶ τὰς γυναῖκας, τὰς ἐν τοῖς καταμηνίοις αὐτῆς, εἴτε ἐν τῇ γλύκᾳ κινδυνεύουσας

σας κοινωνήσασθαι, εἴτε ἀβάπτιστοί εἰσι βαπτίζεσθαι διακωλύειν, καὶ τὴν κόμην τῆς κεφαλῆς καὶ τοῦ πώγωνος, ὡς οἱ Ναζωρηνοὶ τρέφοντες, τοὺς τὰς κόμας κείροντας, καὶ κατὰ τὴν διάταξιν τῆς Ῥωμαϊκῆς ἐκκλησίας τοὺς πώγωνας ξυρίζοντας εἰς τὴν κοινωνίαν οὐ καταδέχονται. ὑπὲρ ὧν πλανισμῶν, καὶ ἑτέρων πλείστων ἔργων αὐτοῦ ὁ αὐτὸς Μιχαὴλ γράμμασι τοῦ κυροῦ ἡμῶν Λέοντος τοῦ πάπα νουθετηθείς, πα . . . . . κατεφρόνησεν· ἔπειτα ἡμῖν τοῖς ἀγγέλοις αὐτοῦ τὰς ὑποθέσεις τῶν τηλικούτων κακῶν λογικῶς ἀντιστῆναι λέγουσι, τὴν παρουσίαν αὐτοῦ, καὶ τὴν συντυχίαν παντελῶς ἀπηρνήσατο· οὔτε τῷ ὑγιεῖ βουλεύματι τῶν αὐτοκρατόρων, καὶ τῶν σοφῶν, νουθετούντων κατασπάσασθαι αὐτὸν, οὐχ ὑπήκουσεν, καθὼς καὶ πρότερον τὰς τῶν Λατίνων ἐκκλησίας ἠσφαλίσατο, καὶ αὐτοὺς ἀζυμίτας ἀποκαλῶν ῥήμασι καὶ ἔργοις ἀπανταχῇ κατεδιώξατο ἐπὶ τοσοῦτον, ὥστε ἐν τοῖς υἱοῖς αὐτοῦ ἀναθεματίζειν τὴν ἀποστολικὴν καθέδραν, καθ' ἧς ἑαυτὸν ἔτι ὑπογράφει οἰκουμενικὸν πατριάρχην· ὅθεν ἡμεῖς τῆς ἁγίας αὐτῆς, καὶ πρώτης ἀποστολικῆς καθέδρας τὴν ἐξάκουστον βίαν καὶ ὕβρεν οὐχ ὑποφέροντες, τήν τε καθολικὴν πίστιν καταδύεσθαι πολυτρόπως ὑφορώμενοι προκρίσει τῆς ἁγίας, καὶ ἀδιαιρέτου Τριάδος, τοῦ τε ἀποστολικοῦ θρόνου, οὗ τινος τὴν ἀπόκρισιν διέπομεν, καὶ πάντων τῶν ὀρθοδόξων πατέρων τῶν ἑπτὰ συνόδων, ἀπὸ πάσης τῆς καθολικῆς ἐκκλησίας τῷ ἀναθέματι, ὅπερ ὁ κύριος ἡμῶν ὁ εὐλαβέστατος πάπας τῷ αὐτῷ Μιχαὴλ, καὶ τοῖς αὐτῷ ἑπομένοις, ἐὰν μὴ πισθῶσιν, ἀπεφήνατο, οὕτω καθυπογράφομεν, Μιχαὴλ ὁ καταχρηστικῶς πατριάρχης, ὁ νεόφυτος, καὶ μόνῳ ἀνθρωπίνῳ φόβῳ τὸ μοναχικὸν σχῆμα δεξάμενος· νῦν δὲ ἐγκλήμασιν ἀνηκέστοις παρὰ πολλῶν διαπεφημισμένος, καὶ μετ' αὐτοῦ Λέων ὁ τῆς Ἀχρίδος ἐπιλεγόμενος, καὶ ὁ σακελλάριος τοῦ αὐτοῦ Μιχαὴλ ὁ Νικηφόρος, ὅστις τὴν τῶν Λατίνων θυσίαν προφανῶς κατεπάτησε τοῖς ποσὶ, καὶ πάντες οἱ ἑπόμενοι αὐτοῖς ἐν τοῖς προκειμένοις πλανίσμασι, καὶ τολμήμασιν, ἔσωσαν ἀνάθεμα Μαραναθὰ σὺν τοῖς Σιμωνιακοῖς, Βαλεσίοις, Ἀρειανοῖς, Δονατισταῖς, Νικολαΐταις, Σεβηριανοῖς, Μανιχαίοις, σὺν οἷς δογματίζουσι καὶ τοῖς ἄλλοις, ὅτι τὸ ἔνζυμον ἔμψυχον εἶναι, καὶ σὺν πᾶσι τοῖς αἱρετικοῖς, μᾶλλον δὲ καὶ μετὰ τοῦ Διαβόλου, καὶ τῶν ἀγγέλων, ἐὰν μὴ πεισθῶσιν, ἀμήν. ἀμήν. ἀμήν. Ταῦτα μὲν οὖν τὰ τῆς δυσσεβοῦς ταύτης, καὶ ἀνοσίου γραφῆς· ἡ δὲ μετριότης ἡμῶν τὴν τηλικαύτην κατὰ τῆς εὐσεβείας τόλμαν, καὶ τὴν ἀναίδειαν μὴ ἀναχομένη ἀνεπεξέλευστον μεῖναι, καὶ ἀτιμώρητον, τῷ κραταιῷ, καὶ ἁγίῳ ἡμῶν βασιλεῖ τὰ περὶ τούτου κοινολογεῖται· καὶ ὅς, ἦσαν γὰρ οὗτοι ἀπόδημον πρὸ μιᾶς καὶ μόνον ἡμέρας μετὰ τὸ περὶ τούτου ἀνενεχθεῖναι τῷ κράτει αὐτοῦ, τοὺς ὡς τὴν μεγαλόπολιν τούτους μετεσταλοῦντας ἐκπέμπει· καὶ θᾶττον μεταπέμπονται, οὐ βούλονται δὲ τῇ ἡμετέρᾳ μετριότητι προσελθεῖν, ἢ τῇ ἱερᾷ καὶ μεγάλῃ συνόδῳ εἰς ὄψιν ἐλθεῖν, καὶ ἀπόκρισίν τινα δοῦναι, περὶ ὧν ἀσεβῶν ἀπηρεύξαντο· ἀλλ' ἀκολούθως μὲν τῷ παραὐτῶν ἐκτεθέντι ἐγγράφῳ, καὶ πλείω δὲ τῶν ἐν αὐτῷ γραφέντων κατὰ τῆς ἡμετέρας πίστεως ἔχειν εἰπεῖν διατείνονται· αἱρεῖσθαι δὲ θανεῖν μᾶλλον, ἢ εἰς ὄψιν ἡμῖν, καὶ τῇ συνόδῳ ἐλθεῖν. Ταῦτα γὰρ ὁ κραταιὸς, καὶ ἅγιος ἡμῶν βασιλεὺς δι' ἀποκρίσεως τοῦ περιβλέπτου μαγίστρου, καὶ ἐπὶ τῶν δεήσεων, καὶ τοῦ θεοφιλεστάτου χαρτοφύλακος, καὶ τοῦ ὑπομνηματογράφου λέγειν τούτους ἡμῖν, καὶ τῇ συνόδῳ μεμήνυκεν· ἐπεὶ δὲ αὐτοὺς μὲν μὴ βουλομένους τῇ συνόδῳ, καὶ ἡμῖν ἀπαντῆσαι, βιασθῆναι ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς διὰ τὸ δοκοῦν περικεῖσθαι τούτους τῆς πρεσβύας ὀφφίκιον οὐκ ηὐδόκησεν· ἀνεκδίκητον δὲ πάλιν τὴν τηλικαύτην κατὰ τῆς εὐσεβείας μεῖναι ἀναίδειαν ἀπρεπὲς ἦν, καὶ ἄλλως ἀνάξιον, ᾠκονόμησε θεραπείαν ἀρίστην τῷ πράγματι, καὶ τίμιον, καὶ προσκυνητὸν γράμμα πρὸς τὴν ἡμετέραν μετριότητα διὰ Στεφάνου τοῦ ὁσιωτάτου μοναχοῦ, καὶ οἰκονόμου τῆς μεγάλης ἐκκλησίας, καὶ Ἰωάννου μαγίστρου, καὶ ἐπὶ τῶν δεήσεων, καὶ Κώνσταντος βεστάρχου καὶ ὑπάτου τῶν φιλοσόφων ἐξαπέστειλεν. ἔχει δὲ ἐπὶ λέξεως οὑτωσί· ἁγιώτατε δέσποτα περὶ τοῦ συμβάντος ἡ βασιλεία μου ἐρευνήσασα εὗρε τὴν ῥίζαν τοῦ κακοῦ γενομένην· ἀπὸ τῶν Ἑρμηνευτῶν καὶ τοῦ μέρους τοῦ ἀργυροῦ, καὶ τοὺς μὲν ἐθνικοὺς ὡς ξένους, καὶ παρ' ἑτέρων ὑποβληθέντας τὶ ποιῆσαι οὐκ ἔχομεν· τοὺς δὲ αἰτίους τυφθέντας ἀπεστείλαμεν πρὸς τὴν ἁγιωσύνην σου, ὡς ἂν δι' αὐτῶν παιδαγωγηθῶσι καὶ ἄλλοι, τὸ μὴ φλυαρεῖν τοιαῦτα· τὸ δὲ χαρτίον μετὰ τὸ ἀναθεματισθῆναι καὶ τοὺς συμβουλευσαμένους, καὶ τοὺς ἐκδεδωκότας, καὶ γράψαντας, καὶ μικρὰν εἴδησιν τῆς τούτων ποιήσεως ἔχοντας, καυθήτω ἐνώπιον πάντων· προσέταξε γὰρ ἡ βασιλεία μου, ἵνα καὶ τὸν Βεστάρχην τὸν γαμβρὸν τοῦ ἀργυροῦ, καὶ τὸν Βέστην τὸν ἐκείνου υἱὸν ἀποκλείσωσιν εἰς τὴν φυλακὴν· ὡς ἂν διάγωσιν ἐν αὐτῇ κακοχούμενοι, καθώς εἰσιν ἄξιοι ἕνεκα τῆς τοιαύτης ὑποθέσεως, μηνὶ Ἰουλίῳ Ἰνδικ. ζ. Ταῦτα μὲν ἡ βασιλικὴ, καὶ θεία γραφή. Κατὰ γοῦν τὴν τοῦ φιλευσεβοῦς αὐτοράτορος οἰκονομίαν, αὐτότε τὸ ἀσεβὲς ἔγγραφον, καὶ οἱ τοῦτο ἐκθέμενοι, καὶ ἢ γνῶμεν εἰς τὴν τούτου ποίησιν δεδωκότες, ἢ αὐτοῖς τοῖς ποιήσασι συναράμενοι ἐπὶ παρουσίᾳ τῶν πρὸς βασιλέως ἀπεσταλμένων, ἐν τῷ μεγάλῳ σεκρέτῳ, ἀναθέματι ὑπεβλήθησαν· ἐκρίθη δὲ κατὰ τὴν τετάρτην ἡμέραν, ἥ τις ἐστὶ πρώτη μὲν τῆς ἐνεστώσης ἑβδομάδος.

κδ'. δὲ τοῦ παρόντος Ἰουλίου μηνὸς, καθ' ἣν καὶ ἡ τῆς πέμπτης συνόδου ἔκθεσις ἀναγνωσθῆναι μέλλει κατὰ τὸ σύνηθες ἐπ' ἀκροάσει τοῦ πλήθους ἀναθεματισθῆναι τὸ αὐτὸ ἀσεβὲς, καὶ αὖθις ἔγγραφον. Πρὸς δὲ καὶ τοὺς τοῦτο ἐκθεμένους καὶ γράψαντας καὶ συναίνεσίν τινα, ἢ βουλὴν εἰς τὴν τούτου ποίησιν δεδωκότας· τὸ δὲ πρωτότυπον τοῦ ῥιφέντος παρὰ τῶν δυσσεβῶν ἀνοσίου ἐγγράφου καὶ μισαροῦ κατεκαύθη· ἀλλ' ἐν

τῷ

οὗτος ἦν Λέων ἔννατος

τῷ εὐαγεῖ τοῦ χαρτοφύλακος ἀπετέθη σεκρέτῳ εἰς ἔλεγχον διηνεκῆ τῶν τηλικαῦτα τοῦ θεοῦ ἡμῶν βλασφημησάντων· καὶ εἰς μονιμωτέραν κατάγνωσιν· δεῖ δὲ γινώσκειν, ὅτι κατὰ τὴν εἰκόστην ἡμέραν τοῦ ἐνεστῶτος μηνὸς, καθ' ἣν ἀναθεματίσθησαν οἱ κατὰ τῆς ὀρθοδόξου πίστεως βλασφημήσαντες συμπαρῆσαν τοῖς σήμερον συνεδριάζουσιν ἡμῖν ἀρχιερεῦσι, καὶ οἱ ἐνδημοῦντες πάντες μητροπολῖται, καὶ οἱ ἀρχιεπίσκοποι, ἤγουν. Λέων ὁ Αθηνῶν καὶ Σύγκελλος. Μιχαὴλ Συλαίου καὶ Σύγκελλος, Νικολαος Ευχανείας καὶ Σύγκελλος, Δημήτριος Καρίας καὶ Αρχιεπίσκοπος, Παῦλος Λήμνου, Λέων Κοτραδίας, Αντώνιος Ζικχίας.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει.

Ἐπὶ Νικολάου πατριάρχου καὶ ἀλεξίου Κομνηνοῦ αὐτοκράτορος.

Χρόνοι ἀπὸ Χριστοῦ 1084.

Τὸ σημείωμα τὸ γεγονὸς ἐπὶ τῇ προβάσῃ ἐνώσει τῆς συνόδου καὶ αὐτοῦ τοῦ ἀπὸ Χαλκηδόνος Λέοντος καὶ εὐσεβεῖ ἀποφάσει περὶ τῆς προσκυνήσεως τῶν ἁγίων εἰκόνων παρατοῦ κρατίστου καὶ ἁγίου ἡμῶν βασιλέως κυροῦ Αλεξίου τοῦ Κομνηνοῦ, τοῦ καὶ ἐπ' εὐσεβείᾳ θεοῦ χάριτι διαλάμψαντος.

Γραφὴ πρὸς τὸν Αδριανουπολίτην Νικόλαον πεμφθεῖσα παρὰ τοῦ χρηματίσαντος μητροπολίτου Χαλκηδόνος Λέοντος, πρὸς τοῖς ἄλλοις παρ' ὅσοις ἐγένετο, ἔφθασεν ἐλθεῖν καὶ πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν βασιλέα. καὶ ἀναγνωσθεῖσα εὑρέθη ἔχουσα περὶ τῆς τῶν ἁγίων εἰκόνων προσκυνήσεως πολλὰ ἐναντιούμενα ταῖς τῶν ἁγίων πατέρων διδασκαλίαις. καὶ ἀμφιβολίας διὰ ταῦτα ἐμπεσούσης, ἡ γαληνότης αὐτοῦ μὴ ἀνεχομένη τοὺς εὑρίσκοντας αὐτὴν καὶ ἀναγινώσκοντας σκανδαλίζεσθαι καὶ τοῦ εὐθέος ἐκτρέπεσθαι, εὐδόκησεν ἀθροισθῆναι τὴν συγκλητικὴν βουλὴν, τὴν ἀρχιερατικὴν ἁγιότητα, καὶ τὴν τῶν μοναχῶν ὁμήγυριν, παρεῖναι δὲ καὶ τὸν τῆς γραφῆς αἴτιον, καὶ οὕτω πᾶσαν ἀμφιβολίαν λυθῆναι. κατὰ γοῦν ταῦτα ἀθροισθέντων ἀπὸ μὲν συγκλήτου βουλῆς, τοῦ πρωτοσεβαστοῦ καὶ μεγάλου Δομεστίκου, τοῦ σεβαστοῦ καὶ πρωτοστράτωρος κυροῦ Μιχαὴλ τοῦ Δούκα, τοῦ σεβαστοῦ καὶ μεγάλου Δουκὸς κυροῦ Ιωάννου τοῦ Δούκα, τοῦ σεβαστοῦ κυροῦ Γεωργίου τοῦ Παλαιολόγου, τοῦ σεβαστοῦ κυροῦ Ιωάννου τοῦ Ταρωνίτου, τοῦ σεβαστοῦ καὶ λογοθέτου κυροῦ Μιχαὴλ, τοῦ σεβαστοῦ κυροῦ Κωνσταντίνου τοῦ Μανιάκη, Μαρίνου σεβαστοῦ τοῦ Νεαπολίτου, Κωνσταντίνου σεβαστοῦ τοῦ Ουμπέρτου, Μανουὴλ πρωτονωβελλισίμου καὶ ἐπὶ τοῦ κανικλείου τοῦ Φιλοκάλου, Μιχαὴλ νωβελλισίμου μυστικοῦ καὶ ἐπάρχου, Ανδρονίκου πρωτονωβελλισίμου καὶ λογοθέτου τοῦ δρόμου τοῦ σκληροῦ, Ισαακίου πρωτονωβελλισίμου τοῦ Κοντοστεφάνου, Στεφάνου πρωτονωβελλισίμου τοῦ αὐταδέλφου αὐτοῦ. Γεωργίου τοῦ πρωτονωβελλισίμου τοῦ Παλαιολόγου, Βάρδα Νωβελλισίμου τοῦ Ικανάτου, Μιχαὴλ νωβελλισίμου τοῦ Δαλματηνοῦ, Ιωάννου πρωτοκουροπαλάτου καὶ ἐπὶ τῶν δεήσεων τοῦ Ταρωνίτου, Μιχαὴλ πρωτοκουροπαλάτου τοῦ Βαρέος. Κωνσταντίνου πρωτοκουροπαλάτου τοῦ Κατακαλὼν, Νικολάου πρωτοπροέδρου τῆς συγκλήτου καὶ μεγάλου Δρουγαρίου τῆς Βίγλας τοῦ Μερμεντόλου, Ρωμανοῦ Κουροπαλάτου τοῦ υἱοῦ τοῦ Παλαιολόγου, Ιωάννου κουροπαλάτου τοῦ συναδηνοῦ, Κωνσταντίνου κουροπαλάτου καὶ μεγάλου ἑταιρειάρχου τοῦ Αντιόχου, τοῦ κουροπαλάτου Ευθυμίου καὶ κριτοῦ, Μιχαὴλ κουροπαλάτου τοῦ Σκληροῦ, Κωνσταντίνου κουροπαλάτου τοῦ Ιασίτου, Κωνσταντίνου κουροπαλάτου τοῦ χοιροσφακέλου, Τατικίου πρωτοπροέδρου καὶ μεγάλου πριμικηρίου τῶν ἔσω βεστιαριτῶν . . . . τοῦ υἱοῦ τοῦ Ταρχανιώτου, Θεοδώρου πρωτοπροέδρου καὶ ὑπάτου τῶν φιλοσόφων τοῦ Σμυρναίου, Γεωργίου πρωτοπροέδρου τοῦ Μαγγάνη, Γεωργίου πρωτοπροέδρου τοῦ Βασιλάκη, Κωνσταντίνου πρωτοπροέδρου τοῦ Ωπου, Νικήτα πρωτοπροέδρου τοῦ Κασταμονίτου, Ιωάννου προέδρου καὶ γραμματικοῦ, Βασιλείου προέδρου τοῦ Μαίρου, Μιχαὴλ προέδρου καὶ κριτοῦ Ιπποδρόμου τοῦ Αυτωριανοῦ, Γρηγορίου προέδρου τοῦ Αριστηνοῦ, Γεωργίου προέδρου τοῦ Πυῤῥοῦ, Μιχαὴλ προέδρου καὶ πριμικηρίου τῶν ἔξω βεστιαριτῶν τοῦ Αντιόχου, Εὐσταθίου προέδρου καὶ χαρτουλαρίου τοῦ σταύλου τοῦ Καμύτζη, Βασιλείου Ραίκτωρος καὶ παπίου τῶν Βλαχερνῶν. Ιωάννου Ραίκτωρος τοῦ σκουταριάτου, Θεοδώρου Ραίκτωρος τοῦ Πεπαγωμένου, Λέοντος βεστάρχου καὶ γραμματικοῦ, Μιχαὴλ βεστάρχου καὶ γραμματικοῦ καὶ ὀφεωμάχου.

Απὸ δὲ τοῦ ἀρχιερατικοῦ καταλόγου θεοφιλεστάτων Μητροπολίτων, Κοσμᾶ Καισαρείας Καππαδοκίας τοῦ πρωτοθρόνου, Κωνσταντίνου Νικομηδείας, Ιωάννου Σίδης, Κωνσταντίνου Τυάνων, Νικηφόρου Γάγγρας. Θεοδούλου Θεσσαλονίκης, Ιωάννου Κλαυδιουπόλεως, Γρηγορίου Νεοκαισαρείας, Μιχαὴλ Λαοδικείας, Ευσταθίου Ικονίου, Νικήτα Συνάδων, Σεργίου Κορίνθου, Νικήτα Αθηνῶν, Πέτρου Πατρῶν, Βασιλείου Λαρίσσης, Νικήτα Μιτυληνίης, Βασιλείου Ευχαΐτων. Μιχαὴλ Πομπηϊουπόλεως, Μιχαὴλ Αἴνου, Νικολάου Κερκύρας, τοῦ αὐτοκεφάλου ἀρχιεπισκόπου τῆς Κυπρίων νήσου, καὶ ἑτέρων ἀρχιεπισκόπων τῶν ὑποκειμένων τῷ θρόνῳ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, Λέοντος Βιζύης, Ιωάννου Καραβιζύης, Θεοδώρου Χερσῶνος, καὶ ἐπισκόπων τῶν ὑπὸ τὸν θρόνον τελούντων τοῦ κατὰ τὴν Κύπρον ἀρχιεπισκόπου. καὶ ἀπὸ τοῦ ἐκκλησιαστικοῦ πληρώματος, Νικηφόρου διακόνου τοῦ γεγονότος χαρτοφύλακος, Πέτρου διακόνου καὶ χαρτο-

τοφύλακος, Νικήτα σχολικόνου καὶ ῥαιφερενδαρίου, Βασιλείου σχολικόνου καὶ ὑπομνηματογράφου, Εὐσταθίου σχολικόνου καὶ διδασκάλου, Ἰωάννου τοῦ Μεσαξᾶ, Εὐφημιανοῦ τοῦ πεμπικηρίου τῆς πρωτοβεστιαρχικῶν νοταρίων, Θεοφάνους, Νικήτα, Νικηφόρου, Λέοντος, καὶ Νικήτα, τῆς πρωτοβεστιαρχικῶν νοταρίων.

Ἀπὸ δὲ τοῦ μοναχικοῦ συλλόγου, Ἰωάννου μοναχοῦ καὶ καθηγουμένου τῆς μονῆς τῆς Στουδίου, τοῦ ἡγουμένου τῆς μονῆς τοῦ ἁγίου Διομήδους Ἀθανασίου τοῦ παναγιωτάτου, Ἰωάννου τοῦ καθηγουμένου τῆς τοῦ Πολυελέου μονῆς τοῦ ἐπὶ τοῦ κανικλείου, Γεωργίου καθηγουμένου τῆς μονῆς τοῦ ἀκαταλήπτου σωτῆρος τῆς κατὰ τὸν Κάμπον, Ἰωάννου τοῦ καθηγουμένου τῆς μονῆς τοῦ προπαιοφόρου τῆς Μαγγάνων, τοῦ καθηγουμένου τῆς μονῆς τοῦ Οἰκονομοτέρου, τοῦ καθηγουμένου τῆς μονῆς τοῦ ἁγίου Λαζάρου, Συμεὼν τοῦ ἐγκλείστου τῆς μονῆς τοῦ κυροῦ Φιλοθέου, Κυρίλλου τοῦ καθηγουμένου τῆς μονῆς τῶν ἁγίων μαρτύρων Πρόβου, Ταράχου καὶ Ἀνδρονίκου, τοῦ καθηγουμένου τῆς μονῆς τοῦ Πρασίνου, Ἰωαννικίου τοῦ καθηγουμένου τῆς μονῆς τῆς Ὁδηγῶν, τοῦ καθηγουμένου τῆς μονῆς τοῦ ἁγίου Μωκίου, Λουκᾶ τοῦ καθηγουμένου τῆς μονῆς τοῦ ἁγίου Φωκᾶ, τοῦ καθηγουμένου τῆς μονῆς τοῦ Πτερυγίου, τοῦ καθηγουμένου τῆς μονῆς τοῦ Ἀττικιανοῦ, καὶ πλήθους ἑτέρου μοναχῶν ἱκανοῦ ἐκ διαφόρων μοναστηρίων.

Τούτων οὖν πάντων ἀθροισθέντων ἐν τῷ νεουργηθέντι μεγάλῳ τρικλινίῳ τῆς Βλαχερνῶν, καὶ τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ προκαθημένῳ παρεσκευασμένων, μόνων σπουδαζόντων αὐτῷ τότε πανευτυχεστάτου σεβαστοκράτορος, καὶ τῆς ἁγιωτάτων πατριαρχῶν τότε Κωνσταντινουπόλεως κυροῦ Νικολάου, καὶ τοῦ Ἱεροσολύμων κυροῦ Συμεών· ἡ γαληνότης καὶ εἰρηνικωτάτη αὐτοῦ βασιλεία θεάρεστόν τι καὶ βασιλικὸν τῷ ὄντι προδιασκεψαμένη, εἰς ἔργον δὴ τοῦτο καὶ ὑπεξήγαγε. πρὸ γὰρ τοῦ τὴν ὑπόθεσιν ὅλως προτεθῆναι εἰς μέσον, τὰς τῆς συνελευθέρων ἁπάντων ἡμερῶσαι καὶ εἰρηνεῦσαι ψυχὰς ἐθέλουσα, καὶ παντελῶς ἀπαλεῖψαι ἐκ σου καρδίας τινὸς ἐμφωλεύει ἴχνος τι κακίας καὶ ἀνθρωπίνου φρονήματος ἢ θελήματος, καὶ οὕτω ποιήσασθαι τοῦ ζητήματος καὶ τὴν ἐξέτασιν· δικαίως ὀρθὸν ἔστη καὶ πρὸς τὸ ὅλον ἄθροισμα ἐν σχήματι ταπεινῷ ἀποβλέψασα ἱλαρῷ τῷ βλέμματι, καὶ συντετριμμένη καὶ πάθους παντὸς ἐλευθέρα καρδίᾳ, παρακλητικῶς τε ὁμοῦ καὶ παραινετικῶς εἰς ἐπήκοον πάντων ἐξεφώνησεν,

Δεσπόται μου καὶ πατέρες, καὶ οἱ τῶν συγκλητικῶν λογιώτεροι, ἐγὼ μὲν ὡς καὶ ὑμεῖς οἴδατε καὶ πρότερον δεδιωκὼς ταῖς στρατιωτικαῖς καὶ δημοσιακαῖς καὶ κοιναῖς φροντίσιν ἀναχολούμενος, καὶ πρὸς τὰς τῆς κοινῶν ἐχθρῶν ἀντιπαρατάξεις ἀεὶ παρασκευαζόμενος, καὶ νῦν δὲ πρὸς ἐκστρατείαν σχολὴ τὸ ἐπισιτῖσαι ἤδη τὸν αὐτῆς καιρὸν ἑτοιμαζόμενος, καὶ μὴ πρὸς ἄλλο τι ἑαυτὸν ἀποχολῆσαι δυνάμενος· ἐβουλόμην τοῦτο μὴ καὶ σχολὴ τὸ πολυάσχολον τῆς κοινῶν πραγμάτων ὡς εἴρηται, τοῦτο δὲ καὶ σχολὴ τὸ δίχερές καὶ ἀδιάλυτον τοῦ προκειμένου ζητήματος, μόνοις ὑμῖν τοῖς τοῦ Θεοῦ ἀρχιερεῦσιν ὡς σοφοῖς ὅσι τὰ θεῖα Θεοῦ χάριτι, τὴν περὶ τούτου ἀναθεῖναι διάσκεψιν καὶ διάλυσιν. ἀναμφίβολον γὰρ καὶ δοκεῖ καὶ ἔστι τοῦτο, κἂν τισιν ἁπλουστέροις ἐκ τῆς τοῦ ἀποχαλκηδόνος ἐπισολῆς ἀμφιβολίαν ὑ μικρὰν ἤγειρεν. ἀναλογισάμενος δὲ πάλιν ὅσον καὶ οἷον ἀγαθόν ἐστιν ἡ ἀληθινὴ καὶ ὀρθόδοξος καὶ ἀμώμητος πίστις ἡμῶν, ἣ οἷον τὸ κέρδος τοῦ ταύτης ἀντέχεσθαί τε καὶ περιέχεσθαι· καὶ ταύτην ἐκ χοιλίας μητρὸς ποιήμενος ἐμαυτῷ ἐνθύμημα, καλλώπισμα, καύχημα, σημεῖωμα, καὶ κατὰ τῆς ἀοράτων καὶ ὁρατῆς ἐχθρῶν ὅπλον ἀκαταμάχητον· καὶ μὴ ἀνεχόμενος μικρόν ἢ μέγα τι ῥῆμα τῆς τοῖς ἁγίοις παραδόσιν ἡμῶν δεδογμένων παραλλαγῆναι, ἢ ταῖς τούτων διδασκαλίαις ἀλλότριόν τι παρεισπαρῆναι, ἢ παρερμηνευθῆναι, ἢ παρά τινος τῆς χειρίστης νεοφανές τι ἐναντίον δόγμα ἢ κήρυγμα δεχθῆναι τὸ σωτήριον· τῆς μὲν ἄλλων πάντων ἐπελαθόμενος παντάπασι, δεύτερα τῆς προκειμένης ἡγούμενος ὑποθέσεως, ὅλον δὲ ἐμαυτὸν εἰς τὴν ταύτης ὁλοχερῶς ἀπηχόλησα ζήτησιν, θελήσας καὶ αὐτὸς κοινωνὸς ὑμῖν καὶ συμμέτοχος γενέσθαι καὶ τοῦ κόπου καὶ τοῦ μισθοῦ· καὶ δὴ πρὸ πάντων παρακαλῶ ὑμᾶς ἀποθέσθαι θυμόν, φθόνον, μῖσος παλαιὸν ἢ καὶ νέον, καὶ κακίαν ἅπασαν πόρρωθεν ἀπελάσαι τῆς ψυχῆς ὑμῶν· καὶ μὴ ἐριστικῶς καὶ φιλονεικῶς, ἀλλὰ λογικῶς καὶ φιλανθρώπως, μὴ μετὰ προσωποληψίας καὶ τῆς ματαίας οἰήσεως ἢ μετά τινος ἄλλου ἀνθρωπίνου θελήματος, ἀλλὰ μετὰ πάσης πραότητος καὶ ἱλαρότητος, καὶ γνώμης ἐλευθέρας καὶ ἁπλοῦς, καὶ εἰρηνικῆς καὶ ὁμονοίας ποιήσασθαι τοῦ πράγματος τὴν διάγνωσιν, τὸν τοῦ θεοῦ φόβον πρὸ ὀφθαλμῶν ἔχοντας, καὶ αὐτὸν παρεσόμενον ἐνώπιον ὑμῶν βλέποντας. ἀλλὰ μηδὲ φιλίαν ἀνθρωπίνην τῆς ἀληθείας προτιμήσωμεν, μὴ δὲ καὶ πάθος ἀνθρώπινον παρείσωμεν τῇ ἀληθείᾳ, ἢ καλύψωμεν ἢ παραδράμωμεν. εἰ γὰρ περὶ χρημάτων ἢ κτημάτων, ἤτινος τῆς κάτω καὶ φθειρομένων ἡ ζήτησις, ἀδελφοί, ἀλλὰ περὶ πίστεως καὶ ὀρθοδόξου ἡμῶν δόγματος ἡ σπουδή. ὧν ἀμεταμελήτων καὶ ἀπαρασαλεύτων μενόντων παρ' ἡμῖν θεοῦ χάριτι, τὸ κέρδος πάντως ἀσύγκριτον καὶ ἡ ὠφέλεια ἀνεκλάλητος, ὥσπερ πάλιν τῆς ἀποτυγχανόντων ἢ κατὰ τῆς παρακεκινημένων ὁ κίνδυνος καὶ ἀφόρητος καὶ ἀδιήγητος.

Ταῦτα τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου πατρικῶς ἅμα καὶ παραινετικῶς προαναφωνήσαντος, δικαίως ἅπαν τὸ τῶν συνελευθέρων πλῆθος ἐπὶ τοῖς αὐτοῦ παρακλητικοῖς καὶ νουθετικοῖς λόγοις καὶ συμπαθέσι καὶ ἀρεσθεῖσι, καὶ ὑπερβαρεισήσαντες καὶ θεῷ καὶ τῇ βασιλείᾳ αὐτοῦ, ὑπέσχοντο ἐλευθέρᾳ καὶ ἀδεκάστῳ καὶ ψυχῇ καὶ γνώμη

μη ποιήσασθαι τὴν ἐξέτασιν τῆς ὑποθέσεως, καὶ ὡς τοῦ θεοῦ βλέποντος δοκιμάσαι τὰ τοῦ ζητήματος. ἐπὶ τούτοις εὐχαριστήσας καὶ ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος, ἐπιστραφεὶς πάλιν πρὸς τοὺς ἁγιωτάτους πατριάρχας καὶ τὴν παρατυχοῦσαν ἱερωτάτην σύνοδον ἐξεῖπεν· παρακαλῶ καὶ τοῦτο, δεσπόται μου, ἵνα γένηται πρότερον παρ' ὑμῶν πρὸς θεὸν ἔντευξις περὶ τῆς τοῦ προκειμένου διαλύσεως, καὶ εἶθ' οὕτως ἵνα ἀπαρξώμεθα τῆς ζητήσεως, ταῖς ἁγίαις ὑμῶν εὐχαῖς ἑαυτοὺς ὀχυρώσαντες. γέγονε δὴ καὶ τοῦτο. καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου τὴν συνήθη εὐχὴν ἐκτελέσαντος, εὐθὺς καὶ ὁ ἀπὸ Χαλκηδόνος μετάκλητος γέγονε· καὶ στάντος ἐν τῷ μέσῳ αὐτοῦ, ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος ἱλαρῶς τε καὶ προσηνῶς πρὸς αὐτὸν ἀπιδὼν τοιαῦτα ἐφθέγξατο. παρακαλῶ καί σε, κῦρ Λέων, ἵνα τὸν τοῦ θεοῦ φόβον λάβῃς ἐπὶ λογισμόν· καὶ εἴπερ νοεῖς ἐν ἑαυτῷ ὡς δι' ἀνθρώπινόν τι πάθος ἢ δι' ἔριν τινὰ ἢ ἄκαιρον ἔνστασιν τὸ γεγονὸς παρὰ σοῦ ἐξετέθη ἔγγρα (μμα,) μὴ θελήσῃ ἀνωφελῶς οὕτως καὶ μάτην ἐνίστασθα, καὶ ζητεῖν ἕως τέλους τῷ οἰκείῳ ἐμμένειν θελήματι καὶ συγγράμματι διαγινωσκομένῳ παρὰ πάντων ἐναντίως ἔχειν, καὶ τὰ φανερῶς ταῖς θείαις διδασκαλίαις ἀντιβαίνοντα ἐπεκδικεῖν. τοῦτο γὰρ οὔτε ἀνδρὸς συνετοῦ ἢ χριστιανοῦ καθίσταται ἴδιον. ἤκουσε καὶ αὐτὸς ταῦτα, καὶ ὑπέσχετο μετὰ πάσης ἐλευθερίας καὶ καθαρᾶς ψυχῆς ἀπολογήσασθαι, καὶ ἀποβαλέσθαι ὅπερ ἂν προσιστάμενον φανείη τῇ θείᾳ τῶν πατέρων τῶν ἁγίων διδασκαλίᾳ. ταῦτα τούτου ὑποσχομένου, προσέταξεν ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν βασιλεὺς καὶ αὐτῷ τῷ μητροπολίτῃ Εὐχαΐτων διαλλαγῆναι πρὸς τὸν ῥηθέντα ἀπὸ Χαλκηδόνος, καὶ ἅπαν λείψανον μνησικακίας τινὸς τῆς ἰδίας ἀπαλεῖψαι παντελῶς ψυχῆς· ὃ δὴ καὶ ἄμφω ποιήσαντες καὶ ἀλλήλοις συγχωρήσαντες, ἀδελφικῶς καὶ ἀλλήλους ἠσπάσαντο. ἀλλὰ καὶ τῆς λοιπῆς ἀρχιερατικῆς ὁμηγύρεως ὁμοίως συγχώρησιν πρὸς αὐτὸν μετὰ καλοθελοῦς ποιησαμένης προαιρέσεως, οὕτως ἀπήρχθη τὰ τῆς ὑποθέσεως. ἀνεγνώσθη γάρ ἀπὸ τοῦ ἐπ' ἄμβωνος κατὰ τὴν κυριακὴν τῆς ὀρθοδοξίας ἀναγινωσκομένου συνοδικοῦ τῆς ἑβδόμης συνόδου ἡ περὶ τῆς τῶν ἁγίων εἰκόνων προσκυνήσεως ῥῆσις, ἐν ἐπηκόῳ τῶν ἀθροισθέντων ὡς εἴρηται, λέγουσα κατὰ λέξιν ταυτί.

Ὁριζομένου σὺν ἀκριβείᾳ πάσῃ καὶ ἐμμελείᾳ παραπλησίως τῷ τύπῳ τοῦ τιμίου σταυροῦ ἀνατίθεσθαι τὰς σεπτὰς εἰκόνας, τὰς ἐκ χρωμάτων καὶ ψηφίδων καὶ ἑτέρας ὕλης ἐπιτηδείως ἐχούσης ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ ἐκκλησίαις, ἐν ἱεροῖς σκεύεσι καὶ ἐσθῆσι, τοίχοις τε καὶ σανίσιν, οἴκοις τε καὶ ὁδοῖς τήν τε τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἀχράντου ἡμῶν δεσποίνης τῆς ἁγίας θεοτόκου, καὶ τιμίων ἀγγέλων, καὶ πάντων τῶν ὁσίων καὶ ἁγίων ἀνδρῶν. (ὅσῳ γάρ δι' εἰκονικῆς ἀνατυπώσεως ὁρῶνται, τοσούτῳ οἱ ταύτας θεώμενοι διανίστανται πρὸς τὴν τῶν πρωτοτύπων μνήμην τε καὶ ἐπιπόθησιν.) καὶ ταύταις ἀσπασμὸν καὶ τιμητικὴν προσκύνησιν ἀπονέμειν, οὐ μὴν τὴν κατὰ πίστιν ἡμῶν λατρείαν τὴν ἀληθινὴν ἢ πρέπει μόνῃ τῇ θείᾳ φύσει, ἀλλ' ὃν τρόπον τῷ τύπῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, καὶ τοῖς ἁγίοις εὐαγγελίοις, καὶ τοῖς λοιποῖς ἱεροῖς ἀναθήμασι. καὶ θυμιαμάτων καὶ φώτων προσαγωγὴν πρὸς τὴν τούτων τιμὴν ποιεῖσθαι, καθὼς καὶ τοῖς ἀρχαίοις εὐσεβῶς εἴθισται. ἡ γὰρ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει. καὶ ὁ προσκυνῶν τὴν εἰκόνα προσκυνεῖ ἐν αὐτῇ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν. δῆλον δὲ τοῦτο καὶ τοῖς πρὸ ἡμῶν πεφανερωμένον καὶ κεκηρυγμένον καὶ ἐγνωσμένον, ὡς ἐξ εἰκόνων καὶ ἐν εἰκόσι τιμᾶται ἡ ἀλήθεια καὶ προσκυνεῖται.

Καὶ τούτων ἀναγνωσθέντων ἠρώτησε κοινῶς ἅπαντας ὁ βασιλεὺς ὁ ἅγιος, εἰ οὕτω πάντες φρονοῦσι, καὶ οὐδεὶς κατά τι διαμφιβάλλει. καὶ ἀποκρίθησαν ἅπαντες μιᾷ φωνῇ, οὕτω φρονεῖν καὶ οὕτω κηρύσσειν. καὶ ὁ βασιλεὺς εἰπὼν, δόξα τῷ ἁγίῳ θεῷ. αὖθις ἠρώτησε. σχετικῶς ἢ λατρευτικῶς φατὲ προσκυνεῖν τὴν εἰκόνα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ; καὶ καὶ εἶπον ἅπαντες· σχετικῶς προσκυνοῦμεν αὐτὴν, ὡς εἰκόνα τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· οἱ δὲ μὴ οὕτω προσκυνοῦντες, ἀνάθεμα. καὶ ὁ βασιλεὺς ἐκ ψυχῆς ἐξεφώνησεν· οἱ μὴ οὕτω φρονοῦντες, ἀνάθεμα. πάλιν ἠρώτησεν ὁ βασιλεὺς, εἰκόνας ποίας λέγετε; τὰς εἰκονικὰς ὕλας ἢ τὰ ἐν ταύταις φαινόμενα ὁμοιώματα; καὶ εἶπον ἅπαντες, τὰ ὁμοιώματα ἐν ταῖς ὕλαις φαινόμενα· καὶ αὖθις ἠρώτησε· δύναται τὸ ὁμοίωμα τοῦ Χριστοῦ τὸ ἐν τῇ ὕλῃ ὁρώμενον λατρευτικῶς προσκυνεῖσθαι; καὶ εἶπον· οὐχί. καὶ εἶπεν ὁ βασιλεύς. οὕτως ἔχει ἡ ἀλήθεια, ὡς εἴπατε. εἶπε δὲ ὁ Κλαυδιουπόλεως, ὅτι τινὲς οὐ μετέχειν λέγουσι θείας χάριτος τὰς ἁγίας εἰκόνας. καὶ εἶπεν ὁ βασιλεὺς μετὰ πάντων ἀνάθεμα τῷ οὕτως λέγοντι· θείας μὲν γὰρ χάριτος μετέχουσιν αἱ ἁγίαι εἰκόνες, ὁμοφυεῖς δὲ τοῖς πρωτοτύποις οὐκ εἰσί. καὶ πρὸς τοῦτο ὁ Κλαυδιουπόλεως ἐπήγαγεν, οὕτω καὶ αὐτὸν φρονεῖν. εἶπεν ὁ βασιλεύς· ὁ ἐναντιούμενος κατὰ τὶ ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἑπτὰ συνόδοις, ἢ προσθήκην ἢ ὑφαίρεσιν ποιῶν δόγματος, ἤ τι τῶν ἐν αὐταῖς ὁρισθέντων παρερμηνεύων ἢ ἀποβαλλόμενος, ἀνάθεμα. καὶ εἶπον ἅπαντες, ἀνάθεμα. αὖθις ἠρώτησε· τὸ ἐν τῇ ὕλῃ γραφόμενον ὁμοίωμα τοῦ Χριστοῦ, τοῦτό ἐστιν ἡ θεία φύσις; καὶ εἶπον ἅπαντες· οὐχί. ἡ γὰρ θεία φύσις ἀπερίγραπτος. εἶπεν ὁ βασιλεύς· οὕτως ἔχει ἡ ἀλήθεια, προσθεὶς καὶ τοῦτο· ὅτι ἐγὼ τέως λέγω καὶ φρονῶ, μὴ ἐναντιοῦσθαι ἀλλήλοις τὰ συνοδικὰ δόγματα καὶ κηρύγματα. ὑμῖν οὖν τί δοκεῖ; καὶ εἶπον ἅπαντες, συμφωνεῖν αὐτὰ πρὸς ἄλληλα καὶ πρὸς ἑαυτά. εἶπεν ὁ βασιλεύς. τὰ ἐπ' ἄμβωνος

κη-

κηρυττομένα καὶ ἀναγινωσκόμενα τὸ ἓν κηρύσσουσι καὶ οὐκ ἐναντιοῦνται ἀλλήλοις ἐν τινί. ἅπαντες εἶπον· οὕτως ἔχει. καὶ ὁ βασιλεὺς ηὐχαρίστησεν εἰπών· δόξα τῷ ἁγίῳ Θεῷ τῷ οἰκονομήσαντι οὑτωσί, ἅπαντες ὁμοφρονοῦμεν. μετὰ ταῦτα ἀνεγνώσθη κεφάλαιον ἕτερον ἐκ τοῦ συνοδικοῦ τοῦ δευτέρου τῆς ἀναμνήσεως καὶ εὐχαριστίας τοῦ ἀναγινωσκομένου ὁμοίως ἐπ' ἄμβωνος.

Οἱ προφῆται ὡς εἶδον, οἱ ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ ἐκκλησία ὡς παρέλαβε, οἱ διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ χάρις ὡς ἔλαμψεν, ἡ ἀλήθεια ὡς ἀποδέδεκται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαῤῥησιάσατο, ὁ Χριστὸς ὡς ἐβράβευσεν· οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν καὶ τοὺς ἁγίους αὐτοῦ, ἐν λόγοις τιμῶντες, ἐν συγγραφιαῖς, ἐν νοήμασιν, ἐν θυσίαις, ἐν ναοῖς, ἐν εἰκονίσμασιν· τὸν μὲν ὡς Θεὸν καὶ δεσπότην προσκυνοῦντες καὶ λέγοντες, τοὺς δὲ διὰ τὸν κοινὸν δεσπότην καὶ ὡς αὐτοῦ γνησίους θεράποντας τιμῶντες, καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμοντες.

Μετὰ τὴν ἀνάγνωσιν τούτου, ὁ βασιλεὺς συναγαγὼν τῶν ἀναγνωσθέντων δύο κεφαλαίων τὸν νοῦν εἶπεν· εἰ οἱ ἀπόστολοι ὡς ἐδίδαξαν, οἱ προφῆται ὡς εἶδον, οἱ διδάσκαλοι ὡς ἐδογμάτισαν, ὁ Χριστὸς ὡς ἐβράβευσε, καὶ τὰ λοιπά· οὕτω δὴ φρονεῖν παραδίδωσιν ἡμῖν τὸ συνοδικὸν, καὶ οὐχ ἑτέρως· εὔδηλον, ὅτι κατὰ τὴν τούτου παράδοσιν τοὺς μὲν ἁγίους ὡς θεράποντας Χριστοῦ προσκυνοῦμεν διὰ τὸν Χριστὸν καὶ τὴν πρὸς αὐτὸν οἰκείωσιν, τὸν δὲ Χριστὸν ὡς Θεὸν καὶ δεσπότην δι' ἑαυτὸν δηλονότι, καὶ οὐ δι' ἕτερον· ὥστε τῶν μὲν ἁγίων τὰς εἰκόνας προσκυνοῦμεν ὡς θεραπόντων Χριστοῦ σχετικῶς δι' αὐτοὺς, αὐτοὺς δὲ διὰ τὴν αὐτῶν πρὸς τὸν κοινὸν δεσπότην ἡμῶν οἰκείωσιν. ἐπ' αὐτοῦ δὲ Χριστοῦ λατρευτικὴ ἡ προσκύνησις. ὁ προσκυνῶν γὰρ συμπροσκυνεῖ τὸν πατέρα καὶ τὸ πνεῦμα τὸ ἅγιον. ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἡ αὐτὴ μέν· πῶς γὰρ οὔ; ὧν γὰρ τὸ κράτος ἓν καὶ ἡ δόξα μία, τούτων δηλαδὴ ἓν τὸ σέβας καὶ μία ἡ προσκύνησις. σχετικὴ δὲ ὅμως ἤγουν ὁμωνυμικὴ, ὡς φησὶ καὶ ὁ ἅγιος καὶ ὁμολογητὴς Θεόδωρος ὁ Στουδίτης ἐν τῇ πρὸς Ἀθανάσιον ἐπιστολῇ αὐτοῦ.

Ταῦτα εἰπὼν ὁ βασιλεὺς ἠρώτησεν· οὕτως καὶ ὑμῖν πᾶσι δοκεῖ ὡς καὶ ἡμεῖς εἴπομεν; οὕτως, εἶπον πάντες, καὶ τοῖς μὴ οὕτω φρονοῦσιν ἀνάθεμα. καὶ πάλιν ὁ βασιλεύς· δόξα τῷ ἁγίῳ Θεῷ τῷ φυλάξαντι ἡμᾶς ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ, μὴ κατά τι διασχιζομένους ἢ ἐναντιοφρονουμένους τοῖς ἁγίοις πατράσιν ἡμῶν. ἐπὶ τούτοις ἅπαντες εὐχαριστήσαντες, τῷ Θεῷ δόξαν ἀνέπεμψαν, καὶ τὴν συνήθη εὐφημίαν τῷ βασιλεῖ ἀπένειμον. μετὰ ταῦτα ὁ βασιλεὺς τρέψας τὸν λόγον πρὸς τὸν ἀρχιερατεύσαντα ἐν Χαλκηδόνι κυρὸν Λέοντα, ἐπύθετο καὶ τοῦτον, εἰ δέχεται τὸν ἅγιον Θεόδωρον τὸν Στουδίτην, καὶ εἰ συμφωνεῖ καὶ αὐτὸς τοῖς ἀναγνωσθεῖσι καὶ ἐρωτηθεῖσι καὶ παρὰ πάντων ἀποκριθεῖσι τήμερον, κἀκείνοις ἐμμένει. ὁ δὲ ἀποκριθεὶς τὸν μὲν ἅγιον Θεόδωρον ὡς κοινὸν ἀναπνέειν διδάσκαλον, τὰ δὲ διαγνωσθέντα (I. ἀναγνωσθέντα) καὶ ἐρωτηθέντα παρὰ πάντων τε συμφώνως ἀποκριθέντα ἀσπάζεσθαι καὶ αὐτὸν, καὶ ἐμμένειν αὐτοῖς. προσεπήγαγε δὲ καὶ ταῦτα· ὡς ὅσα αὐτοὶ ἀπὸ τοῦ ἐγγράφου μου ἀποβάλλεσθε, ἀποβάλλομαι ταῦτα κἀγώ· καὶ ὅσα δέχεσθε, δέχομαι. ταῦτα τοῦ ἀπὸ Χαλκηδόνος Λέοντος εἰπόντος, ἐπεὶ διεγνώσθησαν τινὰ τῶν ἐν τῇ παρ' αὐτοῦ ἐκτεθείσῃ ἐπιστολῇ ἐγγραφομένων τοῖς συνοδικῶς (sic) ἐπ' ἄμβωνος ἀναγινωσκομένοις καὶ τοῖς ἄνωθεν διαληφθεῖσιν ἐναντιούμενα, καὶ τῇ διδασκαλίᾳ τῶν θείων πατέρων ἀσύμφωνα· ἔδοξεν ἀπόβλητα ταῦτα καὶ εἶναι καὶ λογίζεσθαι, ὡς δὲ καὶ τὸν τούτοις προσκείμενον. ἐπὶ πάσαις δὲ ταῖς ἀναγεγραμμέναις ἐρωτήσεσι καὶ ἀποκρίσεσι καὶ διαγνώσεσιν, ἐξεφωνεῖ ὁ βασιλεὺς εἰς ἐπήκοον πάντων τό· εἴ τις ἐπὶ τοῖς διαγνωσθεῖσι κατά τι ἀμφιβάλλει, μέσον στὰς εἰπάτω τὸ ἀμφιβαλλόμενον παρ' αὐτοῦ. καὶ οὐδεὶς εὑρέθη ἀμφιβάλλων ἢ ἀντιλέγων ἐπὶ τινὶ τῶν διαγνωσθέντων, ἀλλὰ πάντες ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων εὑρέθησαν ὁμοφρονοῦντες ἐπὶ ταῖς εἰρημέναις διαγνώσεσιν.

ΕΡΩΤΗΣΕΙΣ ΜΟΝΑΧΩ̃Ν

Τινῶν ἔξω τῆς πόλεως ἀσκουμένων, καὶ ἀποκρίσεις ἐπ' αὐταῖς γενόμεναι παρὰ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας Συνόδου ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου Πατριάρχου

ΚΥΡΙΟΥ ΝΙΚΟΛΑΟΥ,

Βασιλεύοντος τοῦ ἀοιδίμου βασιλέως Κυρίου Ἀλεξίου τοῦ Κομνινοῦ.

Ἐρώτησις.

ΕΙ' χρὴ Μοναχὸν εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον. κωλύει γὰρ τοῦτο ὁ λγ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ ἁγίας Συνόδου, ὃς καὶ οὐ παραχωρεῖ ἐπὶ ἄμβωνος ἀναγινώσκειν ἢ ψάλλειν ἀσφράγιστόν τινα ἢ μοναχόν. ὁμοίως καὶ ὁ τῆς ἐν Λαοδικείᾳ κανὼν ιε'. καὶ ὁ κα'. καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον, κανὼν ιδ'.

Ἀπό-

Ἀπόκρισις.

Τὸ μὲν δίχα χειροθεσίας ἐπὶ ἄμβωνος ὡς ἀναγνώστην ποιῆσαι τὸν μοναχόν, τῆς τῆ ἀναγνώστου ὑπηρεσίας, κεκώλυται. Τὸ δὲ εἰς θυσιαστήριον εἰσιέναι, χάριν ὑφάψεως κηρίου ἢ καυδήλας, τὸν μηδεμίαν ἐγκλήματι ῥυόμενον σύνοχον, οὐκ οἶμαι δεῖν κωλυθῆναι, διὰ τὴν τοῦ μοναχικοῦ σχήματος σεμνότητα.

Ἑρμηνεία Βαλσαμών.

Καλῶς καὶ κατὰ τὴν τῶν θείων κανόνων παράδοσιν ἀποκεκλεισμένης τῆς ἁγίας Συνόδου πρὸς τὴν ἐρώτησιν, εἶπον τινές, ὡς τὸ μὲν μὴ ἀναγινώσκειν ἐπ' ἄμβωνος τοὺς μὴ λαβόντας ἀναγνώστου σφραγίδα μοναχοὺς, ἀδιάσκιτόν ἐστι. τὸ δὲ ἐκχωρηθῆναι πάντα πεπεδεβλημένον σχῆμα μοναχικὸν εἰσιέναι εἰς τὸ θυσιαστήριον, οὐδὲ ἀδιαστίκτως παραληφθήσεται. ἀλλ' ἐπεὶ ὁ ξθ'. κανὼν τῆς ἐν τῷ Τρούλλῳ Συνόδου. διορίζεται ἄβατον εἶναι τοῖς λαϊκοῖς τὸ ἅγιον θυσιαστήριον, εἰ μὴ ὁ τοῦ μοναχικοῦ σχήματος καταξιωθεὶς, καὶ ἀποκάρσεως ἔτυχεν, ἀκωλύτως εἰσελεύσεται εἰς τὸ ἅγιον θυσιαστήριον. Εἰ δὲ διὰ δοκιμασίαν κατὰ τοὺς κανόνας τὰ μοναχικὰ ἐνεδύσατο, ἃ καὶ ἀποτίθεσθαι ἐντὸς ξιετίας ἐξεχωρήθη, οὐκ εἰσελεύσεται εἰς τὸ Ἅγιον θυσιαστήριον χωρὶς οἱασδήποτε ὑποθέσεως, ὡς μηδὲ μετὰ τῶν μοναχῶν συνταττόμενος· ἀλλ' ἔτι ὢν λαϊκός· ἐμοὶ δὲ δοκεῖ ὅτι ὁ δυνάμενος τὰ μοναχικὰ ὅπως δήποτε περιβαλλόμενος ἄμφια ῥίψαι καὶ διαπαίξαι αὐτά. οὐ γὰρ μετὰ μοναχικῶν ἀμφίων ὀφείλει δοκιμάζεσθαι, ἀλλὰ μετὰ σχήματος λαϊκοῦ. Διὸ καὶ πᾶσι τοῖς τὸ ἱερὸν σχῆμα ἠμφιεσμένοις ἀποκεκλεισμένης ἔσται ἡ εἰς τὸ ἅγιον θυσιαστήριον εἰσέλευσις. ὡς μηδὲ δυναμένοις εἰς τόπον ἐλθεῖν λαϊκοῦ. Ἀναγνωσθῆ καὶ τὰ παρ' ἡμῶν γραφέντα εἰς τὸν ιδ'. κανόνα τῆς ζ'. Συνόδου.

Ἐρώτησις.

Εἰ χρὴ μὴ κλίνειν ἐν Σαββάτῳ γόνυ, ὥσπερ οὐδὲ ἐν κυριακῇ, ἢ ἐν Πεντηκοστῇ.

Ἀπόκρισις.

Ἀπὸ τοῦ κανόνος μὲν οὐ κεκώλυται. οἱ πολλοὶ δὲ διὰ τὸ μὴ ἐπακολουθεῖν ἐν Σαββάτῳ νηστείαν, οὐδὲ γόνυ κλίνουσιν.

Ἑρμηνεία.

Ἡ προσκυνητέα ἀπόκρισις, δι' ὀλίγων πολλὰς ἀντιλογίας ἔλυσεν. εἶπε γὰρ ὡς ἐπεὶ παρὰ τῶν ἁγίων πατέρων οὐκ ἐκωλύθη ῥητῶς τὸ γόνυ κάμπτειν κατὰ τὰ σάββατα, ὥσπερ τὸ νηστεύειν κεκώλυται, ὁ γόνυ κάμπτων, οὐ λογισθήσεται τοῖς ἐκκλησιαστικοῖς ἐναντιούμενος παραδόσεσι, καὶ μᾶλλον εἴπερ τοῦτο ποιεῖ διὰ ἄσκησιν. Ὅτι δὲ παρὰ τῶν ἁγίων πατέρων ἐξισώθησαν διόλου σχεδὸν ταῖς κυριακαῖς τὰ σάββατα, καὶ οἱ νηστεύοντες ἐν τούτοις, κολάζονται, οὐδὲ ὁ γόνυ μὴ κάμπτων προκεκριματισθήσεται. ἐρεῖ γὰρ νομικόντι παράγγελμα, οὕτω διεξιόν, οὐ πᾶν τὸ μὴ κεκωλυμένον ἐπιτέτραπται.

Ἐρώτησις.

Εἰ χρὴ τὴν ἐν τῷ Αὐγούστῳ νηστείαν ἐπιτελεῖν·

Ἀπόκρισις.

Ἦν νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ· μετετέθη δὲ διὰ τὸ μὴ πειπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐθνικαῖς νηστείαις. πλὴν καὶ ἔτι πολλοὶ τῶν ἀνθρώπων ταύτην τὴν νηστείαν νηστεύουσιν.

Ἑρμηνεία.

Τὸ περὶ τῆς νηστείας ταύτης ἐζητήθη ποτὲ ἐνώπιον τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν Βασιλέως κατὰ παρουσίαν τοῦ ἁγιωτάτου ἐκείνου Πατριάρχου κυροῦ Λύκα, καὶ τῶν παρεδρευόντων Ἀρχιερέων. Καὶ τινὲς μὲν ἔφασαν μὴ ὀφείλειν νηστεύειν ἡμᾶς διὰ τὴν ἐν τῇ ἀποκρίσει δηλουμένην μετάθεσιν. Ἕτεροι δὲ ἀντέθεντο, ὡς ἐπεὶ ἡ ἁγία Σύνοδος ἐνδοιάσω, φησὶ νηστείαν μὲν γίνεσθαι πρότερον κατὰ ταύτας τὰς ἡμέρας· μετατεθῆναι δὲ ταύτην. οὐ δηλοῦται δὲ ὅπως καὶ ὅπου ἡ μετάθεσις γέγονεν. ὀφείλομεν δὲ ἐξ ἀνάγκης νηστεύειν· ὁ δὲ Πατριάρχης καὶ οἱ Ἀρχιερεῖς ἀπεφήναντο ἀπαραίτητον εἶναι τὴν νηστείαν τοῦ Αὐγούστου μηνὸς, καὶ εἰς ἐπισύστασιν τοῦ λόγου αὐτῶν ἐχρῶντο καὶ τῷ τόμῳ τῆς ἑνώσεως, τῷ διαλαμβάνοντι τοὺς τεταγμένους τὸ ἔτος μεταλαμβάνειν τῶν θείων ἁγιασμάτων, κατὰ τὸ μέγα Πάσχα δηλαδὴ, κατὰ τὴν ἑορτὴν τῆς κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, καὶ κατὰ τὴν γέννησιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ ἐν ταύταις προηγεῖσθαι νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. ἀμφιβαλλόντων δὲ καὶ εἰσέτι τῶν τότε τινῶν διὰ τὸ μὴ δεδεῖσθαι ὅπου δήποτε τὴν ποσότητα τῶν ἡμερῶν τῆς τοιαύτης νηστείας, εἶπεν ὁ αὐτὸς ἁγιώτατος Πατριάρχης, ὡς τῶν ἡμερῶν ταύτης τε καὶ τῆς τελουμένης νηστείας πρὸ τῆς ἑορτῆς τῆς γεννήσεως τοῦ Χριστοῦ μὴ δηλουμένων ἔκ τινος ἐγγράφου, ἀναγκαζόμεθα ἕπεσθαι τῇ ἀγράφῳ ἐκκλησιαστικῇ παραδόσει, καὶ ὀφείλομεν νηστεύειν ἀπὸ τῆς πρώτης τοῦ Αὐγούστου μηνὸς, καὶ ἀπὸ τῆς ιδ'. τοῦ Νοεμβρίου μηνός. εἰ δὲ καταλῦσαι διὰ σωματικὴν ἀσθένειαν ἀναγκαζόμεθα, ἐκ προσοπῆς ἐπισκοπικῆς αἱ δηλωθεῖσαι ἡμέραι τῶν νηστειῶν συνεχωρήθησονται, ὅτι καὶ οὕτω δέδοκται ἐξ ἀγράφου ἐκκλησιαστικῆς παραδόσεως.

Ε'ρώτησις.

Εἰ δεῖ τὸν δαιμονιζόμενον μεταλαμβάνειν τῆς ἁγιασμάτων. Ὁ μὲν γὰρ ἅγιος Τιμόθεος εἰς τὰς πρὸς αὐτὸν ἐρωτήσεις εἶπεν ἄλλως, καὶ οἱ ἅγιοι Ἀπόστολοι ἄλλως, καὶ οἱ μεταγενέστεροι ἄλλως.

Ἀπόκρισις.

Εἰ ἀπὸ μέλαγος ἐνοχλεῖται χυμῶν τις, ὡς δαιμονᾶν δοκεῖν, ὠφελήσεται. εἰδὲ τῇ ἀληθείᾳ δαιμονῶν ἐστὶν, ἤκιστα τῆς ἁγιασμάτων ἀξιωθήσεται· ὅτι οὐδὲ κοινωνία φωτὶ πρὸς σκότος.

Ε'ρμηνεία.

Ἐμοὶ δοκεῖ καὶ τῷ ἐκ δυσκρασίας δαιμονῶντι παρὰ τοῦ ἁγίου Τιμοθέου ἐκχωρηθῆναι τιμὴ τῆς θείων ἁγιασμάτων μετάληψιν, καθ' ὃν νήφει πάντως καιρόν. καὶ μᾶλλον ἐὰν κατὰ τιμὴν μανίαν ὁ βλασφημεῖν κατὰ τῆς ἁγίων. ὥσπερ γὰρ ὁ ἀπὸ χυμοῦ μελαγχολικωτέρου ἐνοχλούμενος, ἐὰν μὴ οἶδε τιμὴν χάριν τῆς ἁγιασμάτων, ἐπὶ πλέον δὲ βλασφημεῖ ὁ παραχωρηθήσεται μεταλαβεῖν ἵνα μὴ ἐντεῦθεν παρυβρίζωνται τὰ θεῖα. Οὕτω καὶ ὁ ἐκ διαλείμματος μανόμενος, ἐὰν ἄξιός ἐστι, καὶ ὁπόταν βλασφημεῖ κατὰ τὸν τῆς μανίας καιρὸν κατὰ τῆς θείων μυστηρίων, μὴ ἐμποδισθήσεται αὐτῆς μεταλαβεῖν, καθ' ὃν νήφει καιρόν. κατὰ δὲ τὰς τελευταίας ἀναπνοὰς οἶμαι πάντας ὀφείλειν ἀξιοῦσθαι τοῦ θείου καὶ ἁγίου Ἐφοδίου. Ὅτι καὶ ὁ ἅγιος Τιμόθεος, βαπτίζεσθαι τούτους τιμιωτάτη διορίζεται.

Ε'ρώτησις.

Εἰ δεῖ τὰ προσφερόμενα ἐν τῇ Ἐκκλησίᾳ οἷον προσφορὰς καὶ νάματα, ἀδιαφόρως ἐσθίειν τὸν ἱερέα καὶ ὡς βούλεται. Καὶ εἰ ὡς ἄρτον κοινὸν ὀφείλει τοῦτο ἐσθίειν. καὶ εἰ πολλὰ τοιαῦτα συμβαίνει, τί δεῖ τοῦτο ποιεῖν.

Ἀπόκρισις.

Τὰ μὲν τῆς ὑφωθείσης κλάσματα οὐχὶ, ἀλλ' ἐν τῇ Ἐκκλησίᾳ μόνῃ ἐσθίειν ἐς ἃ ἅπαντα δαπανήσωσι. τὰ δὲ περιττὰ τῆς ἄλλων μὴ μὴν γάλακτος καὶ τυροῦ καὶ ὠοῦ καὶ ἰχθύων, ἀλλ' ἀποτεταγμένως καὶ ἐδιαζόντως.

Ε'ρμηνεία.

Ἀκολούθως τῷ ζ'. κανόνι τοῦ ἁγίου Θεοφίλου ἐπισκόπου Ἀλεξανδρείας, τῷ κειμένῳ εἰς τὸν προσφωνηματικὸν λόγον αὐτοῦ τὸν εἰς τὰ ἅγια Θεοφάνια, καὶ διορισμένῳ τοῦτο ῥητῶς, τὰ προσφερόμενα εἰς λόγον θυσίας μὴ τὰ ἀναλισκόμενα εἰς τιμὴν τῆς ἁγίων χρείαν οἱ κληρικοὶ διανεμέσθωσαν, καὶ μήτε κατηχούμενος ἐκ τούτων ἐσθίετω ἢ πινέτω, ἀλλὰ μᾶλλον οἱ κληρικοὶ καὶ οἱ σὺν αὐτοῖς πιστοὶ ἀδελφοί· ἀπεκρίνατο ὁ ἁγία Σωσθένης. πάλιν ὁ μὲν κανὼν ὑ διεσείλατό τι χάριν τῆς περιττευόντων κλασμάτων ἀπὸ τῆ ὑφωθέντος ἁγίου ἄρτου, καὶ τῆς λοιπῶν. οὐδ' ὅπως τούτοις δεῖ χρᾶσθαι παρεκελεύσατο. ὁ δὲ ἀπόκρισις διεῖλεν εἰς δύο τιμὴν τούτων δαπάνην. περὶ μὲν τοῦ προσφερομένου οἴνου, ὁ μὲν ἁγία Σωσθένης οὐδέν τι ἀπελογίσατο. Ὁ δὲ ἅγιος, καὶ τοῦτον παρομοίως τοῖς ἄρτοις δαπανᾶσθαι διωρίσατο. καὶ ὡς νομίζω καλῶς. οὐδὲ γὰρ ὑφοῦται ὁ οἶνος, ἀλλὰ μόνον ἁγιάζεται. ἀνάγνωθι τῶν ἁγίων Ἀποστόλων κανόνα οβ'. καὶ τῆς ἐν Ἀγκύρᾳ Συνόδου καὶ ζ'. καὶ ὁ.

Ε'ρώτησις.

Εἰ ὁτιοῦν ἀποχαρεὶς Μοναχός τις βλάπτεται κατά τι συμβὰν ψυχικῶς, καὶ βουλόμενος ὑποχωρῆσαι δεσμηθῇ παρὰ τοῦ οἰκείου προεστῶτος, τί ποιήσει, τῆς βλάβης καταφρονήσει, ἢ τοῦ δεσμοῦ.

Ἀπόκρισις.

Χρὴ τοῦτον λέγειν τῷ προεστῶτι δι' ὃ βλάπτεται καὶ εἰ ἔστι προφανὴς κίνδυνος ἐκ τούτου, ὑποχωρεῖν ἐκεῖθεν, καὶ μὴ τοῦ δεσμοῦ φροντίζειν.

Ε'ρμηνεία.

Ὁ δεύτερος κανὼν τῆς ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων συνάξεως πρώτης καὶ τῆς δευτέρας Συνόδου, ἀφορίζεσθαι διορίζεται τὸν καθηγούμενον, μὴ ἀναζητοῦντα μὴν ἐπιμελείας τὸν ἀποδιδράσκοντα μοναχὸν αὐτοῦ. Καὶ ὁ δ'. κανὼν τῆς αὐτῆς Συνόδου ἀφορίζει τὸν χωρὶς βλάβης αἰτίας μεταπίπτοντα Μοναχὸν, καὶ τὸν δεχόμενον αὐτὸν. Ὅθεν καὶ ἡ ἁγία Σωσθένης ἀπελογήσατο μὴ ἀπεμμεμένως, καὶ κατὰ τὸ δόξαν σκάνδαλον ἑνὶ ἑκάστῳ τῶν Μοναχῶν, ὑποχωρεῖν ἐξ ἧς ἀπεκάρη μονῆς, ἀλλὰ ἀναδιδάσκειν τοῦτο τὸν καθηγούμενον, καὶ εἰ μὴ τύχοι διορθώσεως, ὑποχωρεῖν ἀπὸ τῆς μονῆς, καὶ μὴ ἐπιστρέφεσθαι τοῦ ἡγουμενικοῦ δεσμοῦ. ἐκ λαβοῦ δὲ τὸ μὴ ἐπιστρέφεσθαι αὐτὸν τοῦ δεσμοῦ, εἰς τὸ μὴ ὑποπτεύειν κίνδυνον ἐκ τοῦ ὑποχωρῆσαι πρὸ τοῦ λυθῆναι τὸν δεσμόν. μὴ μὴν γε καὶ εἰς τὸ ἡδέσθαι αὐτόλυτον. ἀναγκασθήσεται γὰρ προσελθεῖν τῷ κατὰ χώραν Ἐπισκόπῳ, καὶ λυθῆναι τοῦ δεσμοῦ, ἢ κατὰ παρουσίαν τοῦ ἐπαγαγόντος αὐτὸν, ἢ καὶ ἐκείνου δίχα, μὴ τιμὴν μετάκλησιν μὴ παρασιάσαντος.

Ε'ρώ-

Ε'ρώτησις.

Η'γούμενος τελευτῶν, κατέλιπεν ἕτερον ἀνθ' ἑαυτοῦ, δεσμήσας αὐτὸν μὴ ὑποχωρῆσαι. ἀλλ' ὁ τοιοῦτος καταγνοὺς ἑαυτοῦ ἀθυμίαν, ὑπεχώρησε. Τί οὖν χρὴ ποιῆσαι περὶ τοῦ θεσμοῦ.

Α'πόκρισις.

Α'νάλογος ὁ δεσμὸς, καὶ διὰ τοῦτο ἀνίσχυρος, καὶ ὁ δεσμηθεὶς ἀπολυθήσεται, ἀρχιερεῖ προσελθών, καὶ τὰ καθ' ἑαυτὸν ἀπαγγείλας.

Ε'ρμηνεία.

Ο' λβ'. κανὼν τῶν ἁγίων Α'ποστόλων φησὶ τὸν ἀφορισθέντα παρ' Ε'πισκόπου μὴ δέχεσθαι παρ' ἑτέρου ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτόν. Εἰ μὴ κατὰ συγχυσίαν τελευτήσει ὁ ἀφορίσας τοῦτον. κατὰ γοῦν τοῦτο περίληψιν ἀπελογίσατο ἡ ἁγία Σιῶδος, τὸν ἀνάλογον δεσμὸν τοῦ τελευτήσαντος καθηγουμένου λύεσθαι, παρὰ Α'ρχιερέως πάντως τοῦ κατὰ χώραν. οὐ γὰρ ἐνεδόθη ἑτέρας ἐνορίας ἀρχιερεῖ λύειν δεσμὸν καθηγουμένου, μὴ ὑποκειμένου αὐτῷ. καὶ ὁ μὲν παράλογος ἀφορισμὸς οὕτω λυθήσεται. περὶ δὲ τοῦ ἐπιτιμηθέντος διὰ ἀδυνάτου ἢ καὶ προφανῶς παράνομον καὶ ἀκανόνιστον αἰτίαν, σκοπητέον. καὶ ζήτει θέμα ί. τοῦ έ. κεφάλ. τοῦ πρώτου τίτλου τοῦ ιά. βιβλ. τῶν βασιλικῶν.

Ε'ρώτησις.

Εἰ χρὴ τὸν ἐπὶ ἐγκλήματι καθαιρεθέντα ἱερέα ἢ ἐκουσίως τὴν ἱερωσύνην καταλείψαντα, καταγνόντα ἑαυτοῦ, προλέγειν τὸ, Εὐλογητὸς ὁ Θεὸς, καὶ τὸ, ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, ἢ τὸ Χριστὸς ὁ ἀληθινός. ἢ θυμιᾷν μὴ θυμιατοῦ, ἢ μεταλαμβάνειν εἴδον τοῦ θυσιαστηρίου;

Α'πόκρισις.

Οὐχί. εἰς γὰρ τὸν τῶν λαϊκῶν τόπον ταχθήσεται.



Ν. Μονή Χίου. Ἅγ. Θεόδωρος ὁ Στουδίτης, Που αί.

Σ Υ' Ν Ο Δ Ο Σ

ἐν Κωνσταντινουπόλει

Ε'ΠΙ' ΛΕ'ΟΝΤΟΣ ΤΟΥ' ΣΤΥΠΗ'

Χρόνοι ἀπὸ Χριστοῦ 1140.

Παξιάρχου, καὶ Ι'ωάννου Κομνηνοῦ αὐτοκράτορος κατὰ τῶν συγγραμμάτων Κωνσταντίνου χρυσομάλλου, ἅτινα ἐξεταχθέντα παρὰ τῆς συνόδου κατεκρίθησαν ὡς αἱρετικὰ, καὶ ἀσεβῆ.

Μηνὶ Μαΐῳ, Ι'νδικτιῶνος ἕκτης, προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ παξιάρχου κυροῦ Λέοντος ἐν τοῖς δεξιοῖς κατηχουμένοις τοῦ ἁγίου Α'λεξίου, σωζεσθαιζόντων καὶ τῶν ἱερωτάτων ἀρχιερέων τοῦ Α'γκύρας, τοῦ Κυζίκου, τοῦ Α'μασείας, τοῦ Μιλητινῶν, τοῦ Λαοδικείας, τοῦ Κρήτης, τοῦ Α'ντιοχείας τῆς Πισιδίας, τοῦ Τραϊανουπόλεως, τοῦ Φιλίππων, τοῦ Α'μάσεως, καὶ τοῦ Μεσημβρίας, καὶ θεοφιλῶν ἀρχιεπισκόπων, τοῦ Καισαρείας, καὶ τοῦ Γοτθίας, παρεισαμένων καὶ τῶν δεσποτικῶν ἀρχόντων. Καὶ τὸ μὲν περὶ σωμάτων θαραπείαν ἐναχολεῖσθαι, καὶ φαρμακεύειν ἐπιχειρεῖν πονηρῶς ἔχοντα σώματι, οὐ τοῦ τυχόντος, εἴποι τις ἄν, οὐδὲ τοῦ βεληθέντος ἁπλῶς καὶ μόνον θελήσαντος. ἐκείνου δὲ πάντως, καὶ κυρίως, καὶ μάλιστα, ὃν ὁ μὲν τῆς ἰατρικῆς τέχνης λόγος ἐμαίδυσεν, ἡ δὲ χρονία ἐμπειρία λαβοῦσα, πάλιν ἐτιθηνήσατο, καὶ ὁ τῆς ἰατρικῆς προεξάρχων, ὡς λυδίατις λίθος προεξετάσας τὰ πρῶτα, καὶ κατειληφὼς οὐκ ἀδόκιμον, τὸ τῆς ἐπιχειρέσεως τοῦτο προσεπεβράβευσε σύμβολον. ἰατῆρας δὲ ψυχικοὺς, βίοντε διδασκάλους ἀκριβεστέρους, καὶ καλῶν λόγων ὑφηγητὰς τε συγγραφεῖς, ἔπιλοι δὲ καὶ δογματιστὰς, ὁμοῦ γὰρ πάντα, καὶ νεῦμα τῇ προκειμένῃ σήμερον ὑποθέσει σωζέσθαι, τοὺς ἅμα μόνον θελήσαντας ἀδοκιμάστως αὐτίκα, καὶ αὐτοχειροτονήτως (τοῦτο δὴ τὸ λεγόμενον) γενέσθαι, τίς συγχωρήσειε; καὶ ῥαβδὶ κληθήσεται ὁ βιβλόμενος, καὶ διδασκαλικῶν συγγραμμάτων ἐκθέτης, ὁ θέλων ἅπας ῥυήσεται. καὶ τίς ἂν μὴ φρενὸς τυγχάνων ὅλως ἐπισφαλοῦς τῷ λόγῳ σωθήσεται; πῶς δὲ καὶ οὐχί. τοῦτο συγχωρουμένου, πολλοὶ μὲν καὶ τῶν φρονούντων ἐπισφαλῶς, πολλῆς ἀδείας τοῦ γράφειν δραξάμενοι, πολλὰ μὲν προσεπισπαροῦσι τῷ φαινομένῳ σίτῳ ζιζάνια· τινὲς δὲ καὶ τῶν ἁπλουστέρων ὡς σωτηρίοις ἀβύσσοις τοῖς ὀλεθρίοις προσέχοντες, ἄνθρακας πυρὸς, ὡς εἰπεῖν, τὸν δοκοῦντα τούτοις θησαυρὸν ἐφευρήσουσι. διὰ τοῦτο τοιγαροῦν καὶ ἡμεῖς· ἅμα μὲν τὸ τῶν πολλῶν πρὸς τὸ γράφειν, καὶ διδάσκειν ἄλλους αὐτοπροκλήτως αὐθόρμητον ἀνασέλλοντες, ἅμα δὲ καὶ τῆς τῶν πολλῶν σωτηρίας, καὶ πλέον δῆτα τῆς ἁπλου-

ἁπλουστέρων φροντίζοντες, οἷσπερ οὐχ ἱκανὸν τροφίμου βοτάνης διακρίνειν τὸ κώνειον. ἐπεὶ διά τινων μοναχῶν προσελεύσεως τῇ κατὰ τὸ ἱερὸν τοῦ κυρίου Νικολάου λεγομένῃ ἐναχολουμένων μονῇ συγγράμματα τινὰ ἐφευρίσκεσθαι τοῦ τὸν βίον ἤδη καταλιπόντος Κωνσταντίνου ἐκεῖ τοῦ Χρισομάλου ἀνεδιδάχθημεν. οἷς δῆτα καὶ αὐτοὺς ἐντυχόντας οὐ μετρίως σκανδαλισθῆναι διὰ πολλήν τινα τὴν ἐμφερομένην αὐτοῖς ἐρεσχελίαν ἅμα καὶ ἀτοπίαν, ὡς ἔλεγον, διαδίδοσθαι δὲ ἤδη καὶ πρὸς πολλοὺς τὰ τοιαῦτα, ὥστινα μᾶλλον τῶν ὠφελεῖν δυναμένων, καὶ πρὸς βίον ῥυθμίζειν τοὺς πολλοὺς ἀκριβέστερον, διὰ φροντίδος, ὅτι πολλῆς τὸ πρᾶγμα ποιήσαντες, καὶ ἀπὸ τῶν τὰ τοιαῦτα κεκτημένων συγγράμματα, τὰς προσούσας τούτοις βίβλους ἀναλαβόμενοι. ἀνεμάθομεν γὰρ ἀνερευνήσαντες, μίαν μὲν εἶναι παρὰ Πέτρῳ τινὶ μονάζοντι ἐπὶ τῇ τοῦ ἁγίου Ἀθηνογένους προσκαθημένῳ μονῇ, ἑτέραν δὲ παρὰ Γεωργίῳ προέδρῳ τῷ λεγομένῳ Παμφίλῳ. ἑτέραν δὲ πάλιν τὴν παρὰ τῶν δηλωθέντων μοναχῶν, τῶν τὰ περὶ τούτου προσαγγελάντων, προσαχθεῖσαν ἡμῖν, ἣν καὶ ἀναλαβέσθαι ἐξεῖπον ἀπὸ τοῦ ἐν τῇ τοῦ γηρωκομίου μονῇ μονάζοντος. ταύτας οὖν τὰς τρεῖς συμφορήσαντες, τὰ μὲν αὐτὰ καὶ παρὰ ταῖς τρισὶν, ὡς ἐκ μεταγραφῆς ἐμφερόμενα συγγράμματα εὕρομεν, πλείονα δὲ τῶν δύο τὰ παρὰ τῷ Πέτρῳ ἐφευρέθησαν. ὡς τὰ μὲν ἐν ταῖς δυσὶν ἐκείναις εἰς *** πρὸς τοῖς διακοσίοις τὰ ὅλα συμποσοῦσθαι κεφάλαια. οὕτω γὰρ ἡ διδασκαλία τῷ συγγραφεῖ ἐν κεφαλαίων διαιρέσει συντέθειται, πολλὰ δὲ τῶν ἐμπεριεχομένων ταύταις, καὶ ἰδίᾳ κατασκοπήσαντες, καὶ συνοδικῶς ἐξετάσαντες, οὐκ ἐρεσχελιῶν μόνον, καὶ καινολογιῶν ἁπλῶς, καὶ μορωλογιῶν, ἀλλὰ καὶ αἱρέσεων προφανῶς ἀνάμεστα εὕρομεν, καὶ πλέον τῶν ἄλλων ἐνθουσιαστῶν, καὶ Βογομήλων. ἵνα γὰρ τ' ἄλλα παρῶμεν, τάτε παρὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν δηλαδὴ καὶ παράδοσιν ἐκ κοιλίας τούτῳ ἐξερευθέντα, καὶ τῆς ἑαυτοῦ διανοίας ἀναπλασθέντα τῆς κακοδαίμονος, καὶ ὅσα πρὸς καταδρομὴν ἐκείνῳ καὶ ὕβριν κατὰ Χριστιανοῦ παντὸς ἐνεγράφησαν. ὅσα τε πάλιν πρὸς ἀτιμίαν ἀρχῆς ἁπάσης καὶ περιφρόνησιν τῷ Σατανᾷ προσκυνεῖν ἀποφλυαρήσαντι τοὺς ὁποιῳδήποτε ἄρχοντι τιμὴν, ἢ προσκύνησιν ἀπονέμοντας. ἀλλὰ τὸ λέγειν βαπτισθέντα πάντα Χριστιανὸν διὰ τὸ ἐν νηπιότητι κατὰ τὴν κρατοῦσαν συνήθειαν ἀκατηχήτως, ὥσφησι τοῦτον βαπτίζεσθαι, μηδὲ Χριστιανὸν εἶναι τῇ ἀληθείᾳ, κἂν ὀνομάζοιτο. ἀλλὰ κἄν τινας ᾖ τῶν ἀρετῶν κατορθῶσαι ὡς ἐθνικῶν κατορθοῦν, καὶ μηδὲ δεῖν ἀναγινώσκειν αὐτὸν τοὺς λόγους τῆς διδασκαλίας τοῦ εὐαγγελίου, ἀλλὰ πρότερον κατηχηθῆναι, καὶ μυηθῆναι, καὶ μεταστοιχειωθῆναι, τουτέστι μεταστῆναι ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ. καὶ τὸ λέγειν πάλιν, ὅτι ὅσοι ὀνομαζόμενοι Χριστιανοὶ μὴ συνήκασι τὴν ἐκ τοῦ θείου βαπτίσματος ἑαυτῶν ἀναστοιχείωσιν, κἂν εἰς ἀρχιερατικὸν βαθμὸν κατηυτήκασι. κἂν πᾶσαν τὴν θεόπνευστον γραφὴν ἐπὶ γλώττης φέρουσι καὶ διδάσκουσιν εἰς τὴν φυσιοῦσαν αὐτοὺς γνῶσιν ἐναμβρυνόμενοι, οὐδὲν ὠφελήθησαν, εἰμὴ κατηχηθέντες αὖθις ἀναστοιχειώσεως τύχωσι καὶ μορφώσεως τῶν ψυχικῶν αὐτῶν ἕξεων, μυστικῆς διαμεσιτείας, καὶ ἐπιθέσεως τῶν χειρῶν τῶν ἐπιγνωμόνων οἰκονόμων τοῦ μεγάλου τούτου μυστηρίου, καὶ τῆς ἱερᾶς γνώσεως ἐπιστημόνων. καὶ ἐν ἑτέρῳ πάλιν κεφαλαίῳ προστιθέναι, ὅτι ὅστις οὐ νοερᾷ αἰσθήσει νοερῶς αἰσθάνεται ποιοῦντος ἐν αὐτῷ τοῦ Θεοῦ τὸ θέλημα αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ εἰς κενὸν κοπιᾷ, καὶ ὅτι τῷ ἀκατηχήτῳ Χριστιανῷ μετανοοῦντι. καὶ ἐξομολογουμένῳ τὰ μετὰ τὸ ἅγιον βάπτισμα ἁμαρτήματα οὐδὲν ὄφελος, δεσμὰ, καὶ φάρμακα θεραπευτικὰ, ἀλλὰ διδαχῆς θείας καὶ μυήσεως, καὶ πίστεως. Καὶ πάλιν ὡς ἐὰν Χριστιανὸς βαπτισθεὶς οὐκ ἐνεδυναμώθη ἀπὸ ἀσθενείας, καὶ τῆς εἰς τὴν ἁμαρτίαν ῥοπῆς πορευθεὶς πρότερον ἐνδυναμωθέντι διὰ πίστεως καὶ χειρῶν ἐπιθέσεως τῶν οἰκονόμων τῆς Χριστοῦ χάριτος, ἥ τις ἐκ πίστεως χαρίζεται, οὐκ ἐξ ἔργων. Ἔτι δὲ καὶ τὸ λέγειν τοὺς ἀληθεῖς παρ' ἐκείνῳ Χριστιανοὺς μηδὲ νόμῳ ὑποκεῖσθαι, ὡς μετὰ τὸ φθάσαι εἰς τὸ μέτρον τῆς κατὰ Χριστὸν ἡλικίας μηκέτι δύνασθαι εἶναι ὑπὸ νόμον. ἀλλ' ὡς δυνατὸν ποιεῖν τὰ τοῦ νόμου, φησί, καὶ τὸ δογματίζειν τὰς μετὰ τὸ ἅγιον βάπτισμα τοῖς τῆς κατοικίας λογισμοῖς ἐπηρεαζομένοις ψυχὰς μὴ δύνασθαι τούτων ἐλευθερωθῆναι, εἰ μὴ διὰ τῶν ἐπισκευαστῶν ἀνακαλουμένων ἀνοήτως. μήτε εἰς ἐκκλησίαν εἰσιέναι, μήτε ψάλλειν, μήτε προσεύχεσθαι, μήτε Χριστὸν ὀνομάζειν, μητέτι τῶν Χριστιανῶν ἐπιτελεῖν. ἀλλαχοῦ δὲ μηδὲ μετιέναι τινα ἀρετὴν πρὸ τοῦ τὴν καλὴν ἀλλοιωθῆναι ἀλλοίωσιν. διὰ τὸ ἀποστρέφεσθαι ταῦτα τὸν Θεὸν, καὶ μισεῖν. δαίμωσι γὰρ ἐοικέναι τοὺς ταῦτα κατορθοῦντας, καὶ ὁμολογοῦντας μὲν διὰ τὸν θεὸν κατορθοῦν, ἀλόγως δὲ, ὥσφησι, ταῦτα ποιοῦντας. καὶ ἵνα συντέμωμεν τὰ πολλὰ, τὸ ἐν διαφόροις κεφαλαίοις αὐτὸν ἀποφαίνεσθαι, μηδέντι τοὺς Χριστιανοὺς ὠφελεῖσθαι, κἂν πᾶσαν ἐργάσωνται ἀρετὴν καὶ κακίαν πᾶσαν ἐκκλίνωσι. κἂν διὰ τὸν Θεὸν ταῦτα ποιῶσιν, εἰ μὴ νοερὰν αἴσθησιν τοῦ θείου πνεύματος δέξονται, φυσικῶς τε καὶ ἀνωδύνως ἐν αὐτοῖς ἐνεργοῦντος τὸ ἀγαθὸν, καὶ ἀκινήτους πάντη ποιοῦντος πρὸς τὸ κακὸν. νομοθετεῖν δὲ καὶ ἐὰν μὴ τοιοῦτον ἐν συναισθήσει δέξονται φωτισμὸν οἱ ἀναγεννώμενοι, ὡς ἐν τῷ ψάλλειν ἀκλινῆτε ἔχειν τὸν νοῦν, καὶ ἀμετακίνητον, συνιέναι δὲ καὶ τὴν τῶν ψαλλομένων πᾶσαν διάνοιαν μηδὲ ψάλλειν ὅλως τούτους, μηδὲ προσεύχεσθαι, ἀλλὰ μηδὲ ὡς πιστοὺς εἰς ἐκκλησίαν εἰσέρχεσθαι, ἄχρις ἂν διὰ τῆς παρ' ἐκείνου εἰσαγομένης κατηχήσεώς τε πάλιν καὶ μυήσεως, μύρων τε χρίσεως ἀναστοιχειωθέντες τοῖς τοῦ θείου πνεύματος ἐν αὐτοῖς δυνάμεώς τε καὶ ἐνεργείας αἴσθησιν δέξωνται. ἀλλὰ καὶ τὸ τὰ αὐτὰ ἀξιοῦν, καὶ περὶ τῆς ἀποκάρσεως. καὶ τὸν ἀποκειρόμενον λέγειν ἀνωφελῶς καὶ αὐτὸν ἀποκείρεσθαι, εἰμὴ

ἐν

ἐν νοερᾷ αἰσθήσει, καὶ οὐκ ἐν πίστει τῆς χαριζομένης αὐτῷ αἰσθητικῆς τοῦ πνεύματος χάριτος, καὶ τῆς δι' αὐτῆς ἀναλλοιώσεως, καὶ μετὰ στοιχειώσεως, ὡς μηκέτι ἢ θέλειν, ἢ δύνασθαι ἁμαρτάνειν. πρὸς δὲ καὶ πᾶσι τοῖς ἄλλοις εἰσάγειν, ὡς πᾶς Χριστιανὸς δύο ἔχειν ψυχὰς, τὴν μὲν αὐτῶν ἀναμάρτητον, τὴν δὲ ἁμαρτητικήν. εἰδέ μίαν ἔχει ψυχὴν Χριστιανὸς οὔπω ἐγένετο, πῶς οὐχὶ προφανῶς τὰ τοιαῦτα τῶν δηλωθεισῶν αἱρέσεων ἴδια. τὸ μὲν γὰρ νοεράν αἴσθησιν, ἢ αἰσθητὴν πάλιν νόησιν, ἢ καὶ μόνην αἴσθησιν, ὡς ἐν ἄλλοις φησὶ, καὶ ἔλαμψιν, καὶ ἀποκάλυψιν, καὶ ἐπίγνωσιν τοῦ πνεύματος ἀπαιτεῖν αὐτὸν τοὺς βαπτιζομένους, ἢ μὴ ἀνόνητον εἶναι λέγειν τούτοις τὸ βάπτισμα, κἂν εἰ καὶ πᾶν ἀγαθὸν μετέρχοιντο τῆς τῶν ἐνθουσιαζομένων πάντως αἱρέσεως, ἀποκαλύψεως θείας φανταζομένων εἰσδέχεσθαι ταῖς τῶν πονηρῶν δαιμόνων ἐξαπατήσεσι. τὸ δέ γε μετὰ τὸ θεῖον βάπτισμα τοὺς βαπτιζομένους διὰ τὸ ἀκατηχήτως, ὥς φησιν, αὐτοὺς ἀναγεννηθῆναι, τουτέστι πάντας ἡμᾶς τοὺς Χριστιανοὺς μέχρι διδασκάλων καὶ ἱερέων, καὶ ἀρχιερέων αὐτῶν δεῖσθαι πάλιν ἐξαρχῆς κατηχήσεως καὶ μυήσεως, καὶ ἀναστοιχειώσεως διὰ τῆς παρ' ἐκείνου εἰσαγομένης τελεσιουργήσεως, καὶ τῆς τῶν χειρῶν ἐπιθέσεως τῶν ἐπιστημόνων οἰκονόμων τῆς μυστικῆς ταύτης χάριτος, οὓς καὶ μετὰ πάσης σπουδῆς ἀνερευνᾶν ἀπαιτεῖ, σπανίως εὑρισκομένους τοὺς μόνους δυναμένους ἀνακαινίζειν τοὺς προσιόντας, καὶ θείας χάριτος μετόχους ποιεῖν τῆς τῶν Βογομήλων αἱρέσεως ἀναμφίβολον γνώρισμα, τὸ καθ' ἡμᾶς ὡς ἀτελὲς διασυρόντων ἅγιον βάπτισμα καὶ δεύτερον εἰσαγόντων τὸ ἑαυτῶν τελειοποιὸν, καὶ παρεκτικὸν θείου πνεύματος. ἀλλὰ καὶ τὸ ἢ δύο ψυχὰς τὸν Χριστιανὸν ἔχειν, ὥς φασιν, ἢ μὴ εἶναι Χριστιανὸν, οὕτω ῥητῶς ὑπὸ τῆς τῶν Μασσαλιανῶν, ἤτοι Βογομήλων παμβεβήλου θρησκείας δογματιζόμενον εὕρηται. οὐκ ἐκ τούτων οὖν μόνον. ταῦτα γὰρ ὥσπερ τι μικρὸν γεῦμα παμπλήρους πίθου ἢ ὅλου, ὅ φασιν, ὑφάσματος κράσπεδον ἡμῖν ἐνταῦθα παρειλήπται, ἀλλὰ καὶ μυρίων ἄλλων τῶν ταῖς βίβλοις ἐνεσπαρμένων τὸ σαπρὸν τῆς γραφῆς, καὶ πυρὸς ἄξιον, καὶ ἀφανισμοῦ τελείου κατειληφότες, τὰς μὲν βίβλους αὐτὰς, καὶ πυρὶ παραυτίκα δοθῆναι διωρισάμεθα, καὶ ἀναθέματι πάντας τοὺς φρονοῦντας οὕτω καθυποβάλλομεν, διοριζόμεθά τε πᾶσι κοινῶς μηδένα μήτε τολμᾶν νέας ἐκτιθέναι διδασκαλίας αὐχειροτονήτως, ὥσπερ ἑαυτῷ περιτιθέντα τὸ τῆς διδασκαλίας ἀξίωμα. μήτε μὴν παρ' ὀτινοσοῦν ὁποιονδήποτε νέον καινοφανὲς ἀναγινώσκεσθαι σύγγραμμα, μὴ φθάσων ἐπιγνοσθῆναί τε τῇ καθολικῇ ἐκκλησίᾳ, καὶ δοκιμασθὲν πρότερον ἐπικριθῆναι ὡς εὐσεβὲς, καὶ ὠφέλιμον. μάλιστα μέν τοι γε πάντων τὰ δηλωθέντα ταῦτα καὶ λεγόμενα εἶναι τοῦ Χρυσομάλου συγγράμματα. καὶ οὐκ αὐτὰ δὲ μόνον τὰ εὑρεθέντα, ἀλλ' εἰ καί τινες ἄλλαι εὑρίσκονται γραφαὶ ἐκείνου οἱαιδήτινες, μηδένα μήτε ἔχειν παρ' αὐτῷ, μήτε ἀναγινώσκειν ὅλων αὐτά. τὸν γὰρ μετὰ τὴν παροῦσαν σημείωσιν κεκτημένόν τι τούτων, καὶ ἀναγινώσκοντα, ἢ συνειδότα ἕτερον ἔχοντα ταῦτα, καὶ κατ' αὐτὰ φρονοῦντα, καὶ συγκαλύπτοντα, ἀσυγγνώστως αὐτὸν, ὡς ταῖς δηλωθείσεις ἐνισχημένον αἱρέσεσι, παρὰ μὲν ἐκκλησίᾳ πάσῃ ὑπὸ ἀναθέματι γίνεσθαι, παραδίδοσθαι δε καὶ τοῖς τὰ πολιτικὰ διέπουσιν ἄρχουσιν, ὥστε καὶ παρ' αὐτῶν νομίμως ὑποσχεῖν τὰς εὐθύνας. Ἐπεὶ δὲ τούτων οὕτω παρ' ἡμῶν πραχθέντων τε καὶ διορισθέντων συνοδικῶς ἐνώπιον, καὶ παρ' οἷς αἱ βίβλοι ἐφεύρηνται· ἤγουν τοῦτε μοναχοῦ Πέτρου, καὶ τοῦ Παμφίλου, δέον ἦν καὶ τούτους ἐρωτηθῆναι, εἴτε τούτων ἀντέχονται, εἴτε μὴ ὡς ἐσφαλμένων, καὶ ἀσεβῶν καταπτύουσι, καὶ τὰ ὀλισθηρὰ τούτων ἀναθεματίζουσι δόγματα, μηδέν τι πλέον ἐπὶ τούτοις φρονεῖν, τῶν συνοδικῶς σήμερον διαγνωσθέντων ἡμῖν, ἀκουόντων πάντων, ἀπιστομάτισαν, ἀλλ' εἰ καὶ πρότερον παρ' ἑαυτοῖς εἶχον τὰς βίβλους, καὶ τὰ ἐν αὐταῖς ἀσυντηρήτως, καὶ ἀπεριμερίμνως ἀναγινώσκοντες ὡς καλῶς ἔχοντα παρεδέχοντο, ἀλλὰ νῦν ἐξεταστικώτερον ταῦτα καὶ αὐτοὶ ἰδόντες ἀναγνωσθέντα καὶ καλῶς ἀποδοκιμασθέντα κατανοήσαντες, συγγνώμην τε ἐξαιτεῖν ὡμολόγουν, ἐφ' οἷς τοιαύτην μέχρι τοῦ νῦν ἠγνόησαν ἄγνοιαν, ἀγαθῇ προλείψει, καὶ στοργῇ φιλικῇ τῇ πρὸς ἐκεῖνον ἡττώμενοι. καὶ τοσοῦτον τὸ ἀπὸ τοῦδε τῶν τοιούτων ἀφίστασθαι, ὡς καὶ εἰς ἐπήκοον πάντων διηνεκεῖ ἀναθέματι ταῦτα τε τὰ συγγράμματα, καὶ τὸν συγγραψάμενον, καὶ τὸν οὕτω φρονοῦντα καθυποβάλλειν. δεξάμενοι γοῦν καὶ ἡμεῖς τὴν τούτων ὁμολογίαν τε, καὶ κατάθεσιν, δι' ἣν ἐποιήσαντο τῶν δηλωθέντων ἀσεβῶν συγγραμμάτων ἐνώπιον τῆς ἱερᾶς συνόδου ἀναθεματισμὸν, καὶ τὴν ἐγκάρδιον τούτων, ὡς διαβεβαιοῦνται κατάγνωσιν μετὰ δακρύων τὴν συγγνώμην αἰτούμενοι, τῷ μὲν Παμφίλῳ τὰς ἀναγεγραμμένας ποινὰς πρὸς τὸ μηκέτι τοιοῦτόν τι φρονεῖν, ἢ ἀνθέξεσθαι τούτων ἐπαπειλησάμεθα· τὸν δὲ μοναχὸν Πέτρον ἀσύμφορον εἶναι κρίναντες κατάρχειν ἄλλων, τὸ ἀπὸ τοῦδε, διά τε τὸ τῆς συνειδήσεως τῶν πολλῶν ἤδη κεκαυτηριασμένον ὅσον τὸ ἐπ' αὐτῷ, καὶ ὧν μέλλουσιν ἔχειν σχινδαλμὸν, καὶ τὸ ὕποπτον. Ἔτι δὲ καὶ τὸ τούτου ἀνίκανον. πῶς γὰρ ἂν καὶ κυβερνᾶν ἄλλους, καὶ διδάσκειν ἱκανὸς κριθῇ ὁ τοιαύτην ἀγνοήσας, ὥς φησιν, ἄγνοιαν, καὶ ἔκδηλον οὕτω πᾶσιν ἀσέβειαν κατανοῆσαι μὴ δυνηθείς, ἐν ἑτέρᾳ σταλῆναι τοῦτον μονῇ καὶ ὑπὸ ἀρχηγὸν μᾶλλον εἶναι ἄλλον καὶ καθηγητὴν τετυπώκαμεν. ἐπειδὴ καὶ τῶν τῆς ἡμῶν μετριότητος, καὶ πάσης τῆς ἀρχιερατικῆς ὁμηγύρεως προεκιλινδοῦτο ποδῶν.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

ΕΠΙ ΜΙΧΑΗΛ ΠΑΤΡΙΑΡΧΟΥ

Καὶ Ιωάννου αὐτοκράτορος κομνηνοῦ κατὰ τοῦ μοναχοῦ Νίφωνος.

Χρόνοι ἀπὸ Χριστοῦ 1143.

ΣΗμείωμα γεγονὸς ἐπὶ τῷ περιορισμῷ, τῷ εἰς τὴν μονὴν τῆς περιβλέπτου, τοῦ Βογομήλου, καὶ παμβεβήλου Νίφωνος. μηνὸς Ὀκτωβρίου α'. ἡμέρᾳ ς'. Ινδικτιῶνος ἑβδόμης. Προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τῷ Θωμαίτῃ. συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τοῦ πανσεβάστου Σεβαστοῦ, καὶ μεγάλου Δρουγγαρίου, τοῦ μακαριωτάτου Σεβαστοῦ, καὶ ἀρχιεπισκόπου Βουλγαρίας, καὶ τοῦ πανευγενεστάτου πρωτοασικρήτου τοῦ Ικανάτου, καὶ ἱερωτάτων ἀρχιερέων τοῦ Αγκύρας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Τυάνων, τοῦ Αντιοχείας τῆς Πισιδίας, τοῦ Δυῤῥαχίου, τοῦ Αλανίας, τοῦ Μαδύτων, τοῦ Μεσημβρίας, τοῦ Κυζίκης, τοῦ Γάρεως, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Οὐκ ὀλίγας, οὐδ' ἀγαθὰς ἀγγελίας ἡ μετριότης ἡμῶν ἐνηχηθεῖσα περὶ πολλῶν περὶ τοῦ μοναχοῦ Νίφωνος, πολὺ κατ' αὐτοῦ τὸ δύσφημον ἐπισυρομένας. ἀλλὰ καὶ γραφὴν τούτου θεασαμένη πρός τινας καὶ πολλοὺς ἐξ ὀνόματος τῶν ἐν Καππαδοκίᾳ σταλεῖσαν, ἣν ἰδίαν εἶναι καὶ αὐτὸς ὡμολόγησε, καὶ ὅτι πᾶσαν τὴν ἐκκλησίαν ὑβρίζει· αἱρετικοὺς πάντας ἀποκαλῶν, ὅς ὁ εὐλαβὴς Δομέστικος τῶν σεκρετικῶν Βασίλειος ὁ Κυμινιανὸς, καὶ Γεώργιος σεκρετικὸς ὁ τοῦ δευτερεύοντος, καὶ Ιωάννης σεκρετικὸς ὁ τοῦ Οἰνοχίου, πρὸς ἑαυτὸν παρ' ἡμῶν σταλέντες ἐξεῖπον ἡμῖν, ναὶ μὴν καί τινες τῶν ἐν τῇ Κοτυαείου μονῇ μοναχῶν, καὶ ἄλλοι πολλοὶ τῶν ἀξιολόγων, παρεστήσατο μὲν αὐτὸν καὶ ἅπαξ, καὶ δὶς ἐνώπιον τοῦ ἱεροῦ συνεδρίου, καὶ τάχα μέντοι καὶ ἔσπευδον ἐξετάσαι τῶν ἡμῖν ἀκουσθέντων τινὰ καὶ λαχεῖν τελείαν διάγνωσιν περὶ ὧντε ἀνέμαθε, καὶ ὅπως οὗτος ἔχει φρονήματος. ὅτι δὲ καὶ πλείονος καὶ σχολαιοτέρας ἐρεύνης ἑῶρα δεόμενα τὰ τῆς τῶν κατ' αὐτὸν ἐξετάσεως. ὑφωρᾶτο δὲ καὶ εὔλογον φόβον, μήπου διὰ τὸ ἄφετος εἶναι καὶ ἐλευθερίως διάγειν ἔνθα καὶ βούλεται, προσομιλεῖντε ἀκωλύτως, καὶ οἷσπερ ἐθέλει. καὶ οὕτω ψυχικῆς βλάβης αἴτιος ἐγκατασταίη πολλοῖς, οὐκ ὀρθοῦ δοκῶν εἶναι φρονήματος, ἐξ ὧν πὲρ ἠκούσαμεν. τούτου δὴ χάριν ἄχρις ἀκριβεστέρας τῶν περὶ αὐτοῦ ἡμῖν ἀκουσθέντων ἐρεύνης καὶ ἐξετάσεως, ἀπαχθῆναι μὲν τοῦτον ἐν τῇ σεβασμίᾳ τῆς περιβλέπτου μονῇς προσετάξαμεν. παραγγελίαν δὲ γενέσθαι πρός τε τὸν εὐλαβέστατον καθηγούμενον, τὸν οἰκονόμον, καὶ τοὺς λοιποὺς μοναχοὺς, ὥστε ἔντινι τῶν ἐντὸς τῆς μονῆς κελλίων ἡσυχάζειν αὐτὸν ἀπρόϊτον τοῖς ἐκτὸς τυγχάνοντα πᾶσι, παρ' ἑνὸς δὲ καὶ μόνου διακονητοῦ καθυπηρετούμενον, καὶ μηδενὶ ἔχοντα ἐπ' ἀδείας προσομιλεῖν, μὴ τῶν λαϊκῶν, μὴ τῶν ἐκκλησιαστικῶν, ἀλλὰ μηδ' αὐτῶν τῶν ἐν τῇ μονῇ μοναχῶν. ἀλλὰ μηδὲ διὰ γραφὴν ἢ διδάσκειν, ἢ καὶ πρός τινας ἐπιστέλλειν, ἢ δι' ἑαυτοῦ, ἢ δι' ἑτέρου, ἀλλ' ἐν ἡσυχίᾳ καθήμενον, ὡς δεδήλωται. καὶ τῆς ἐνδεχομένης προνοίας ἀπὸ τῆς δηλωθείσης μονῆς χάριν ψυχικῆς σωτηρίας τοῦ ἀοιδίμου κτήτορος αὐτῆς ἀξιούμενον. Εκείνοις καὶ μόνοις πρὸς ἀνάγνωσιν κεχρῆσθαι βιβλίοις, οἷς ἂν ἡ μετριότης ἡμῶν ἐπιτάξειε· τῶν δὲ λοιπῶν τελείως ἀπέχεσθαι, ὥστε μέντοι καὶ ἀσφαλῶς αὐτῷ συντηρεῖσθαι τὴν τοιαύτην καθ' ἑαυτὸν ἡσυχίαν, καὶ τὸ μηδενὶ ἐντυγχάνειν, ὡς εἴρηται. καὶ δεσμὸς αὐτῷ παρ' ἡμῶν ἐπινέχθη συνοδικὸς, ὥστε ὑπὸ ἀφορισμὸν καὶ ἀκοινωνίαν εἶναι τελείαν, εἰ κεκρυμμένως γοῦν ἡ γράψαι πρός τινας, ἢ διδάξαι τολμήσει. εἰ γὰρ φανείη μετὰ τὴν ἡμετέραν ταύτην παραγγελίαν ἐπ' ἀθετήσει τινὸς τῶν ἤδη διορισθέντων παρ' ἡμῶν ἀλισκόμενος, οὐκέτι ὡς ἀμφιβαλλόμενος ἔσται ἡμῖν, ἐφ' οἷς κατ' αὐτοῦ ἠκηκόειμεν, ἀλλ' ὡς καὶ παντελῶς ἀναμφίβολος μὴ ὀρθὰ φρονῶν, μηδ' ὀρθόδοξα. τοῖς αὐτοῖς μέντοιγε ἔνοχοι ἔσονται, καὶ ὅσοι ἢ ἀπιέναι τολμήσουσιν εἰς αὐτὸν, ἢ γραφὰς ἐπιστέλλειν αὐτῷ, ἢ ὁμιλεῖν ὁπωσδήποτε.

Σημείωμα, δι' οὗ διεγνώσθη ὁ ἀμόναχος καὶ παμβέβηλος Νίφων τῆς τῶν Βογομήλων ὁμολογουμένος μυσαρωτάτης εἶναι αἱρέσεως. μηνὶ φευρουαρίῳ κβ'. ἡμέρα γ'. Ινδικτιῶνος ἑβδόμης. Προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου, καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τοῖς δεξιοῖς κατηχουμένοις τοῦ ἁγίου Αλεξίου. συνεδριάζοντος τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τοῦ μεγάλου ἐπιφανεστάτου πρωτοασηκρήτου κυρίου Λέοντος τοῦ Ικανάτου, καὶ ἱερωτάτων ἀρχιερέων τοῦ Τυάνων, τοῦ Λαοδικίας, τοῦ Θηβῶν, τοῦ Αμάστριδος, τοῦ Κολωνείας, τοῦ Μαδύτων, τοῦ Λακεδαιμονίας, τοῦ Λευκάδων, τοῦ Παρίας, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Τὰ κατὰ τὸν μοναχὸν Νίφωνα, ὅπως τε πρὸς καιροῦ συνοδικῶς ἐξητάθη, καὶ ὅπως διὰ τὰ ἐξ αὐτοῦ τοῖς πολλοῖς ἐπιφυόμενα σκάνδαλα ᾠκονόμηται τὰ κατ' αὐτὸν παρὰ τῆς ἡμῶν μετριότητος. ὡς ἂν ἐν ἡσυχίᾳ καθήμενος, καὶ τὰ καθ' ἑαυτὸν μεμεριμνημένως ἐπισκεπτόμενος, καὶ τῆς σωτηρίας φροντίζων τῆς ἑαυτοῦ, τῆς τῶν ἄλλων ὁμιλίας, καὶ παντοίας ἄλλης ὁποιασδήποτε κοινωνίας ἀπέχηται, τὸ τηνικαῦτα παρ' ἡμῶν ἐκτεθὲν διαλαμβάνει σημείωμα, ὅτε καὶ εἰμὴ καταλήψεις τελείας, ἀλλὰ τέως προλήψεις, καὶ οὐ τυχούσας ῥοπὰς κατ' αὐτοῦ κατελάβομεν. ὡς ἔν τισι τὰ τοῦ ὀρθοδόξου παραχαράττοντος δόγματα, καὶ ἀν-

ἄντικρυς ἑτεροδιδασκαλοῦντος ἡμῖν, καὶ οἰκείας κοιλίας ἀπογευνῶντος διδάγματα. ἀλλ' οὐ πρόληψις ἡμῖν μόνον, οὐδὲ ῥοπή τις, ἢ ἀμυδρὰ παράστασις, καὶ κατάληψις περὶ τοῦ μὴ ὀρθῶς αὐτὸν φρονεῖν, ἢ διδάσκειν, κατελήφθη τὴν σήμερον. καὶ ἵνα τ' ἄλλα παρῶμεν, ὅσατε ἀνηγγέλη ἡμῖν περὶ τούτου παρὰ τοῦ ἱερέως τῆς μεγάλης ἐκκλησίας Θωμᾶ καὶ παντυχηνῶν χωριτῶν, ὡς περὶ τῆς ἁγίας τῶν ζωοποιῶν τοῦ Χριστοῦ κοινωνίας ἔκθεσμά τινα καὶ τῆς εὐσεβοῦς ἀλλότρια πίστεως παρεισάγοντα, ναὶ μὴν καὶ τὰ περὶ τοῦ εὐλαβεστάτου καθηγουμένου τῆς τοῦ παντοκράτορος σεβασμίας, καὶ βασιλικῆς μονῆς, προφανῶς τὸν τοιοῦτον καὶ αὐτὰ παριστῶντα τῆς εὐσεβείας ἀλλότριον. Οὐ μὴν ἀλλὰ καὶ τὰ περὶ τοῦ ἱερωτάτου μητροπολίτου Δυῤῥαχίου παρεισαχθέντα, εἰ καὶ ἔξαρνος οὗτος ἁπλῶς πρὸς πάντα ἐτύγχανεν. ἀλλ' οὖν αὐτὰ τὰ σήμερον παρ' αὐτοῦ λαληθέντα, καὶ εἰς πάντων ἐπήκοον οὐκέτι διεταγμένα τινα περὶ τούτου ἔχειν ἡμᾶς ἀπὸ τῆς σήμερον συγκεχώρηκεν, καὶ οἷον διαμφιβάλλειν περὶ αὐτοῦ ὅπως ἆρα καὶ ἔχει φρονήματος. ἔκ τε γὰρ τοῦ τοὺς ἀποβληθέντας πρὸ μικροῦ παρ' ἡμῶν συνοδικῶς, ὡς ἑτεροδόξους δύο ἐπισκόπους τοῦ μητροπολίτου Τυάνων εὐσεβεῖς αὐτοὺς ὀνομάζειν, καὶ φρονοῦντας ὀρθῶς, καὶ ἁπλῶς διὰ τούτου τοῦ τροπαίου ἐναντιοῦσθαι, οὐχὶ τῇ συνόδῳ καὶ μόνῃ, ἀλλὰ καὶ πάσῃ τῇ δογματικῇ ἐκκλησίᾳ τῇ τὰ παρ' ἐκείνων δογματισθέντα ὡς ἀσεβῆ ἀποβαλλομένῃ καὶ ἄθεσμα. καὶ ἐκ τοῦ ἐνώπιον ἡμῶν πάντων ἀποστοματίσαι τὴν σήμερον, καὶ εἰπεῖν ἀνάθεμα τῷ θεῷ τῶν Εβραίων, συνῆκται ἡμῖν ἔκγε τούτων ἀνενδοιάστως μὴ τὰ τῶν ὀρθοδόξων φρονεῖν, ἢ δογματίζειν αὐτὸν, διὸ καὶ ὡς τελείαν τὸ ἀπὸ τοῦδε πληροφορίαν σχόντων ἡμῶν περὶ τῆς ἐσφαλμένης αὐτοῦ, καὶ ἀθέου πάντη διδαχῆς, καὶ φρονήσεως, ὡρίσθη περιορισθῆναι αὐτὸν ἔν τινι τόπῳ καθ' ἡσυχίαν, καὶ ἀπρόϊτον εἶναι παντάπασιν, ὥστε μὴ τὴν ἐξ αὐτοῦ λύμην, καὶ εἰς πολλοὺς διαδίδοσθαι. πάντως γὰρ ὁ τῇ καθολικῇ ἐκκλησίᾳ οὕτως ἐναντιούμενος προφανῶς, καὶ ἑαυτὸν μὲν νομίζων ὀρθόδοξον, ἄλλως δ' ἔχειν τοὺς ἄλλους οἰόμενος· οὐ φωτὸς, ἀλλὰ σκότους μεταδώσει τοῖς αὐτῷ πλησιάζουσιν· ἀλλὰ καὶ ὃς ἂν τολμήσῃ τοῦ λοιποῦ ἔν τινι κοινωνῆσαι αὐτῷ ἐν ὁμιλίᾳ, ἢ διαίτῃ, ἢ ἄλλῳ τρόπῳ ὁποιῳδήτινι φανερῶς, ἢ καὶ λάθρα, ὡς ὁμόφρων αὐτῷ κακεῖνος καὶ λογισθήσεται καὶ τιμωρηθήσεται.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει.

Ε'ΠΙ' ΜΙΧΑΗ'Λ Ο'ΞΕΙ'ΤΟΥ

Πατριάρχου τοῦ καὶ Κουρκούα λεγομένου. καὶ Ιωάννου αὐτοκράτορος τοῦ Κομνηνοῦ

Σημείωμα ἐπὶ τῇ καθαιρέσει γεγονὸς τῶν ἀπὸ τῆς ἐνορίας τοῦ Τυάνων ψευδοεπισκόπων, τοῦτε Σασίμων, καὶ τοῦ Βαλβιάτου, ὡς παρὰ τοὺς κανόνας χειροτονηθέντων τῶν καὶ Βογομήλων ἐς ὕστερον ἀπελεγχθέντων, μηνὶ Αὐγούστῳ κ'. ἡμέρᾳ ἕκτῃ, Ινδικτιῶνος ἕκτης. Προκαθημένου τοῦ ἁγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τῷ Θωμαΐτῃ. συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ, καὶ ἱερωτάτων ἀρχιερέων τοῦ Εφέσου, τοῦ Ηρακλείας, τοῦ Αγκύρας, τοῦ Νικομηδείας τοῦ Νικαίας, τοῦ Γαγγρῶν, τοῦ Αντιοχείας τῆς Πισιδίας, τοῦ Ιεραπόλεως, τοῦ Μεσημβρίας, τοῦ Βρύσεως, τοῦ Γαρέων, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Συνῆλθον μὲν τὴν σήμερον παρ' ἡμῖν βασιλικῆς ἐπιλύσεως, τῇ ὑπομνήσει ἐγχαραχθείσης, τοῦ ἱερωτάτου μητροπολίτου Τυάνων Βασιλείου, οἵτε πανσέβαστος Σεβαστὸς, καὶ μέγας Δρουγγάριος, ὁ μακαριώτατος ἐπίσκοπος Βουλγαρίας, καὶ ὁ μεγαλοεπιφανέστατος πρωτοασηκρήτης συνδικάσαι τῇ τε ἡμῶν μετριότητι κελευθέντες, καὶ τῇ παρ' ἡμῖν θείᾳ συνόδῳ, ἐφ' οἷς ὁ δηλωθεὶς ἱερώτατος ἀρχιερεὺς τῶν Τυάνων κατὰ τὸ ἐφειμένον αὐτοῦ, ὡς τῆς χώρας ἀρχιερεῖ, οὐχ ὡς κατηγόρῳ, λεγομένοις δυσὶ τισὶν ἐπισκόποις τῷ Κλήμεντι, καὶ τῷ Βαλβίσσης Λεωντίῳ βογομιλικῆς ἀσεβείας προσάπτει αἰτίαν, ὡς κακῶς καὶ διδάσκουσι, καὶ φρονοῦσι, καὶ τὰ τῆς τοιαύτης βεβήλου θρησκείας εἰς πολλοὺς τῶν Καππαδοκῶν ὀλεθρίως ἐνσπείρασιν. ἀλλ' ἡ μὲν συνέλευσις αὐτοῖς διὰ ταῦτα. ἐπεὶ δὲ καθάπερ τι προυποφώνημα τῷ Τυάνων, μᾶλλον δὲ καὶ οἷον τις προπαρασκευὴ τοῦ δικαστηρίου, τὰ περὶ τῆς τῶν δηλωθέντων ἐπισκόπων ἐγκαταστάσεως εἰς ζήτησιν προσενήνεκται, μηδὲ ἐπισκοπικῆς τούτους τετιμεῖσθαι διατεινομένῳ ἀξείας, ὡς εἴτε μηδαμῶς χειροτονηθέντας, εἴτε μὴν παρὰ τὰς τῶν ἱερῶν κανόνων διαταγὰς καὶ διὰ τοῦτο πάλιν ἐπισκοπικῆς ἀναξίους ὄντας ἀξίας. ἵνα καὶ ὁ ἀγὼν αὐτῷ μετὰ ταῦτα πρὸς ὁποίους ἆρα καὶ εἴη οὐδαμῶς ἀμφιβάλλοιτο. ὡς γοῦν ἤδη τὰ περὶ τούτων, καὶ ἐξητάζετο, οὐ μακρὰς τινὸς ἐδεήθη τῆς ἀποδείξεως, ἀλλ' ὥσπερ ὁ σοφός που φησὶ Σολομὼν, ἀνδρὶ παγίδα τὰ οἰκεῖα χείλη τυγχάνει, οὕτω δὴ καὶ οἱ αἰτιώμενοι περὶ τῆς ἑαυτῶν εἰς ἐπισκόπους χειροτονίας ἐρωτηθέντες. συνήγοροι τινες ἄντικρυς τῷ μητροπο-

Χρόνοι ἀπὸ Χριστοῦ 1143.

πολίτῃ ἐφάνησαν ψηφισθῆναι μὲν ἐνταῦθα φάμενοι διὰ πόλεως ἐπὶ τοῦ ἀποιχομένου ἐκείνου ἱερωτάτου μητροπολίτου Τυάνων μοναχοῦ Ιακώβου πρὸς κλήρου, καὶ ἀρχιερέων συνήθως. εἶτα μετὰ καιρὸν ἐκείνῳ συνεξελθόντας εἰς τὴν τῶν Καππαδοκῶν δευτέραν τὰ Τύανα χειροτονηθῆναι μὲν, ἀλλ' ὑπ' ἐκείνου καὶ μόνου, διὰ τὸ μηδένα ἔχειν τὸν τούτῳ συλλειτουργήσαντα, ἐπεὶ οὖν οὕτω τούτων καὶ παρ' αὐτῶν καθομολογηθέντων, οὐδέντι ἦν τὸ ἀμφίβολον παρὰ τὴν τῶν ἱερῶν κανόνων χειροτονηθῆναι τούτους διάταξιν, ὡς τοῦ μὲν ἀποστολικοῦ καὶ πρώτου κανόνος ῥητῶς οὕτως ἐπισκόπων, ἢ δύο, ἢ τριῶν διατάσσοντος. τοῦ δὲ τετάρτου τῶν ἐν Νικαίᾳ τὸ πρῶτον καὶ τὸν ἐννεακαιδέκατον τῆς ἐν Αντιοχείᾳ συνόδου, καὶ μὴν καὶ τοῦ τῆς ἐν Καρθαγένῃ καὶ διαφόρων ἑτέρων αὐτὸ τοῦτο διαῤῥήδην θεσμοθετούντων τὸ, χωρὶς τριῶν παρουσίας μηδένα χειροτονεῖσθαι ἐπίσκοπον. διὰ ταῦτα ἔδοξε πᾶσιν ἡμῖν, καὶ διέγνωσαι, καὶ τοὺς δηλωθέντας τούτους, ὡς εἴπομεν ἐπισκόπους, μηδὲ ἐπισκοπικῇ τετιμῆσθαι ὅλως ἀξίᾳ, ὡς καὶ ἀχειροτονήτους ἄντικρυς· τὸ τῆς χειροτονίας αὐτῶν ἀκανόνιστον. τούτων οὕτω διαγνωσθέντων, καὶ ἀποφανθέντων ἐξεχωρήθη τὸν ἀπὸ τοῦδε τῷ μητροπολίτῃ Τυάνων ὡς ἀρχιερεῖ, καὶ τὰ ἐν τῇ κατ' αὐτὸν χώρᾳ προσαγγελόμενα, εἴτε δὴ καὶ τολμώμενα ἐφειμένον ἔχοντι ἐξετάζειν, καὶ διορθοῦσθαι, προθῆναι καὶ ἐπὶ μέσου τὰ περὶ τῆς θρυλλουμένης κατ' αὐτὸν ἀσεβείας. ὥστε συνοδικῶς ἅμα τοῖς δοθεῖσι συνδικασταῖς ἐξετασθῆναι τε, καὶ λυθῆναι.

Σημείωμα, δι' οὗ διεγνώσθησαν οἱ τὴν τῆς ἐπισκοπῆς ἀξίαν προαφαιρεθέντες, ὡς παρὰ κανόνας χειροτονηθέντες ὅ, τε Σωσάνδρων μοναχὸς Κλήμης, καὶ ὁ Βαλβίσσης Λεόντιος ἐξ ἀναφορᾶς τοῦ ἱερωτάτου μητροπολίτου Τυάνων κυρίου Βασιλείου τῆς τῶν Βογομήλων ὄντες μυσαρωτάτης αἱρέσεως. μηνὶ τῷ αὐτῷ, ἡμέρᾳ τῇ αὐτῇ. Προκαθημένου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Μιχαήλου ἐν τῷ Θωμαΐτῃ, συνδικαζότων μὲν τῇ μεγάλῃ ἁγιώσυνῃ αὐτοῦ ἐκ βασιλικῆς, καὶ θείας προστάξεως τοῦ πανσεβάστου Σεβαστοῦ, καὶ μεγάλου Δρουγγαρίου, τοῦ μακαριωτάτου πανσεβάστου Σεβαστοῦ, καὶ ἀρχιεπισκόπου Βουλγαρείας, καὶ πανευγενεστάτου πρωτοασηκρήτης κυρίου Λεοντίου τοῦ Ικανάτου, συνεδριαζόντων δὲ καὶ ἱερωτάτων ἀρχιερέων, τοῦ Αγκύρας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Τυάνων, τοῦ Αντιοχείας τῆς Πισιδίας, τοῦ Δυῤῥαχίου, τοῦ Αλανίας, τοῦ Μαδύτων, τοῦ Μεσημβρίας, τοῦ Βιζύας, τοῦ Γαρέων, καὶ τοῦ Γοτθίας, παρισταμένων καὶ δεσποτικῶν ἀρχόντων. Ενθεον ζῆλον ἀναλαβὼν κατ' ἐπίγνωσιν ὁ ἱερώτατος μητροπολίτης Τυάνων Βασίλος οὐκ ἠνέσχετο τὰ ἐν τῇ κατ' αὐτὸν ἐνορίᾳ τολμηθῆναι αὐτῷ ἀκουσθέντα παρὰ τῶν τάχα ἐπισκόπων αὐτοῦ, ἤγουν, τοῦ μοναχοῦ Λεοντίου καὶ τοῦ μοναχοῦ Κλήμεντος. οὓς ἤδη προεξετάσαντες τῆς ἐπισκοπικῆς ἀξίας καθείλομεν, μὴ καὶ εἰς τὸ ἐμφανὲς ἐξελέγξαι, καὶ ὅπως πολλά τινα περὶ τὴν ὀρθόδοξον οὗτοι θρησκείαν παρασφάλλονται ἀνοήτως καὶ ἡμῖν παραστῆσαι. σαφέστερον τοίνυν, οὐχὼς κατήγορος, οὐδ' ὡς αὐτὸς συνιστῶν κατ' αὐτῶν τὴν τῆς δυσσεβείας κατέγκλησιν. ταῦτα γὰρ ἤδη καὶ διὰ τοῦ προγεγονότος παρ' ἡμῶν συμειώματος προδιέγνωσταί τε καὶ προτετύπωται. ἀλλ' ὡς σπεύδων κωδίῳ προβάτου τοὺς λύκους μὴ ἐπικρύπτεσθαι, καὶ οὕτω λάθρα τὴν τοῦ Χριστοῦ παρ' αὐτῶν λυμαίνεσθαι ποίμνην, ἐνώπιον ἡμῶν τὴν σήμερον παρεστήσατο τὸν τῆς κατ' αὐτὸν τυγχάνοντα ἐνορίας εὐλαβῆ αὐτοῦ Λέοντα, τὸν καὶ παρὰ τοῦ Λεοντίου χειροτονηθέντα, ὡς αὐτὸς ἔλεγεν, ὡς καὶ ἀκριβῶς εἰδότα τὰ κατ' αὐτοὺς καὶ ἐξελέγχειν αὐτοὺς τῶν ἄλλων πλέον ἰσχύοντα. ὡς γοῦν παρέστη τῷ συνεδρίῳ, συμπαρίσταντο δὲ καὶ οἱ καθ' ὧν ἡ αἰτίασις, ὁ μοναχὸς δηλονότι Κλήμης, καὶ ὁ Λεόντιος ἔγγραφος εὐθὺς ὁ τοῦ Τυάνων κανονικὸς προκεκόμικε διαφόρους πράξεις τούτων διαλαμβάνων πολὺ περιφερούσας τὸ σφαλερὸν, καὶ φανερῶς παριστώσας τὸν τῶν τοιούτων ἐργάτην μὴ εὐσεβοῦς τυγχάνειν φρονήματος, τὰ δὲ τῆς τῶν Βογομήλων θρησκείας ἀληθῶς νοσεῖν. τὸ δὲ ἔγγραφον ἦν μὲν ἐκτεθειμένον. ὥσπερ ἐφαίνετο ἀπὸ τῶν ἐμφερομένων αὐτῷ σιγνογραφιῶν, παράτε τῶν κληρικῶν, καὶ ἀρχόντων, καὶ οἰκητόρων ἁπλῶς τῆς μητροπόλεως τῶν Τυάνων, τοίας δέ τινας πράξεις τοῖς αἰτιωμένοις προσμαρτυροῦν. διδαχὴν τούτους ἄνδρας ἀπέχεσθαι τῆς τῶν νομίμων τούτοις συναφθεισῶν γυναικῶν συνουσίας, κρέατός τε καὶ γάλακτος, καὶ ἰχθύος, καὶ οἴνου, ἄχρι χρόνων τριῶν ἀποχὴν. μετὰ δὲ ταῦτα ἀποκριμάτιστον παντελῆ τῶν τοιούτων ἄπολαυσιν. ἑτέραν, τὸ μηδένα σώζεσθαι κοσμικὸν, κἂν πᾶσαν ἀρετὴν διαπράξηται, εἰ μὴ μοναχὸς γένηται, τὸ, τοὺς ἱερολογηθέντας ἄχρις ἑπτὰ ἡμερῶν τῆς πρὸς ἀλλήλους ὁμιλίας κωλύειν. τὸ, ἀποκείρειν ἄνδρας παρὰ γνώμην τῶν γαμετῶν, καὶ γυναῖκας παρὰ τὴν τῶν ἀνδρῶν θέλησιν. τὸ, τινὰς θανόντας Χριστιανοὺς ἀτάφους, καὶ ἀψάλτους καταλιμπάνειν, καὶ μηδὲ ζῶντας δέχεσθαι αὐτοὺς εἰς μετάνοιαν. τὸ, ἐξανασκάψαι καὶ λείψανα Χριστιανῶν θεμμένα, ἔξωθέντε καὶ ἔσωθεν τῶν ἐκκλησιῶν, ἁμαρτωλοὺς εἶναι λέγουσι τοὺς τελευτήσαντας, καὶ δαίμονας ἐγκατοικεῖν τοῖς σώμασι τῶν τελευτώντων. τὸ, μὴ συγχωρεῖσθαι ἄλλως προσκυνεῖσθαι σταυρὸν, εἰ μὴ καὶ ἐπιγραφὴν ἐπιφέρηται, Ιησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. τὸ ἐξαναβαπτίσαι καὶ παιδία Χριστιανῶν, λέγουσιν ὅτι, ἁμαρτωλοί εἰσιν οἱ βαπτίσαντες, καὶ χειροτονῆσαι γυναῖκας διακονίσσας, καὶ ἐπιτρέπειν αὐταῖς τὰς συνήθεις ἐκκλησιαστικὰς αἰτήσεις ποιεῖσθαι, καὶ τὴν τῶν ἁγίων εὐαγγελίων ἀνάγνωσιν, καὶ συλλειτουργῆσαι ταύτας μετὰ τοῦ Κλήμεντος. τὸ, ἁγίας καταστρέψαι εἰκόνας. τὸ, περὶ τοῦ σταυροῦ τοῦ μεγάλου ἀρχιστρατήγου ἀπειροπληθῆ ποιοῦντος θαυμάσια λέγειν, ὅτι ἐκ διαβολικῆς ἐνεργείας ταῦ-

τα

τα ποιεῖ. τὸ, ἀναθεματίσαι καὶ τὸν Θεὸν, ὃν ἐπίστευσεν Ἀκάκιος ἐπίσκοπος Χριστιανὸς αὐτοῖς τούτοις, ὧν ὑπῆρχε τὸ ἔγγραφον ὀρθόδοξος γνωριζόμενος. πρὸς τούτοις καὶ τὸ, παραδοῦναι γυναῖκας Χριστιανὰς, εἰς χεῖρας ἐθνῶν προφάσει δῆθεν μοιχείας, ταῦτα καὶ ἄλλα τοιαῦτα τινὰ τοῦ τοιούτου ἐγγράφου δηλοῦντος, ἀπητοῦντο οἱ μνημονευθέντες πολλάκις πρὸς ταῦτα ἀπολογήσασθαι, καὶ εἰμὴ πρὸς πάντα. ἀλλ' ἐπείπερ ἑώρων τὸν κατήγορον σφοδρῶς ἀνιστάμενον, ὁ μὲν Λεόντιος ἀναβαπτισμὸν ποιῆσαι κατέθετο. πλὴν διὰ τὸ παρὰ ἱερέως καθαιρεθέντος ἐπιδήλοις ἐγκλήμασι μετὰ τὴν ἐκείνου καθαίρεσιν τὸ πρῶτον βάπτισμα παρ' αὐτοῦ τελεσθῆναι, ὃ καὶ ὡς ἀμφίβολον παραστῆσαι αὐτὸς ἀπῃτήθη. τούτου γὰρ μὴ γινομένου μεγίστη τίς παράστασις τὸ πραχθὲν οὐκ ὀρθοῦ φρονήματος τοῦ Λεοντίου εἰσάγεται, ὡς ἀναβαπτισμὸν ποιῆσαι τολμήσαντος κατὰ τὴν βέβηλον τῆς Βογομήλων θρησκίαν, ὅπουγε καὶ τούτου παρὰ τοῦ Λέοντος ἀποδειχθέντος, ὡς καθῃρημένος τυγχάνων ὁ ἱερεὺς τὸ πρῶτον ἐποιήσατο βάπτισμα, οὐδ' οὕτω παντάπασιν ἀκαταιτίατον γενόμενον. πρὸς δὲ τὸ καταλιπεῖν ἀτάφους καὶ ἀψάλτους νεκροὺς ὁμολογῶν ἦν ὁ Λεόντιος. ἔλεγε δὲ τοῦτο ποιῆσαι, ὡς ἁμαρτανόντων ἐν ζωῇ τῆς τελευτησάντων, καὶ μὴ πειθομένων αὐτῷ συμβουλεύοντι πρὸς διόρθωσιν ἀπιδεῖν. καὶ τὸ παραδοῦναι δὲ χριστιανὴν γυναῖκα τινὰ τῷ ἐν τῷ κρ. (ita erat in manuscripto) ἐκπροσωποῦντι τῷ Ἀμηρᾷ ὡμολόγει, διὰ μοιχείαν εἰπὼν ἐπ' ἀδελφῷ τοῦ ἀνδρὸς ὑπ' αὐτῆς τολμομένην τοῦτο ποιῆσαι, ὡς μὴ δυνάμενος ἄλλως ἀποκοπὴν ἐπινοήσασθαι τοῦ κακοῦ. προσωμολόγει δὲ καὶ θεῖον κατακαῦσαι ναόν. ἀλλ' ὅτι, φησὶ, πολλάκις παραινέσας τινὶ χορ **** κα. θωμολόγησαν. ὁ δὲ προκομίσας τὸ ἔγγραφον ἕτοιμος ἦν, καὶ διὰ μαρτυρίας ταῦτα πιστώσασθαι. διὰ ταῦτα καὶ σήμερον συνελθόντων τῇ ἡμῶν μετριότητι τῆς δοθέντων ταύτῃ συνδικαστῶν, δέον ἡμῖν ἅπασι δέδοκται, καὶ διώρισται, ὥστε πρὸς πληροφορίαν τῆς πρὸς ἡμᾶς στειλάντων τὸ ἔγγραφον τοῦ ὁμολογημένως τοῦ ὀρθοῦ παρασφάλλεσθαι λόγου τὰ τούτῳ περιεχόμενα, καὶ πολλὴν πονηρίαν τε καὶ ἀσέβειαν καταβοᾶν τῆς οὕτω φρονούντων, ἢ διδασκόντων ἐν ἐπηκόῳ τουτοῖ τοῦ συνεδρίου ἀναθέματι τὰ πάντα ὑποβαλεῖν. ὅπερ δὴ καὶ αὐτίκα τὴν σήμερον ἐνώπιον ἡμῶν πεποιήκαμεν, τάτε ἀμφίβολα πάντα, ὡς ἑτερόδοξα ῥητῶς ἀναθεματίσαντες· καὶ ἐφ' οἷς ἴσως ἀμφιβολίας ἦν ἐπισκίασμα, διά τινας προφάσεις παρ' αὐτῆς ἰσαχθείσας πρὸς τὴν τῆς ἑαυτῆς καταγνώσεως ἀποσόβησιν τοὺς μὴ κατὰ τὴν καθολικὴν ἐκκλησίαν φρονοῦντας, ἀλλ' ἔξωθέντι παρ' ἑαυτῆς ἐπεισάγοντας ἀναθέματι καθυποβάλλοντες. πρὸ πάντων δέγε καὶ ἑαυτοὺς, εἰ φανερῶς, εἴτε μὴν κεκρυμμένως, ἢ φρονήσαιεν, ἢ διδάξαιεν παρὰ τὰ εὐσεβῆ τῆς καθολικῆς ἐκκλησίας, καὶ δόγματα καὶ διδάγματα. τὸ μέντοι τῆς κεφαλαίων κατὰ στίχον διὰ τὸ ἀνόθευτον πάντη συντηρηθῆναι, καὶ ἀδιάβλητον, ὡρίσθη μεταγραφὲν ὑπογραφῆναι μὲν παρὰ τῆς ἀναθεματισάντων αὐτόν. ἐπιγραφῆναι δὲ ἔξωθεν, καὶ παρὰ τοῦ ἡμετέρου θεοφιλοῦς χαρτοφύλακος, καὶ εἰς τὴν χώραν ἀποσταλῆναι.

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

χρόνοι ἀπὸ Χριστοῦ 1147.

Ἐν τῷ τῆς Βλαχερνῶν Παλατίῳ

ΚΑΤΑ ΚΟΣΜΑ ΠΑΤΡΙΑΡΧΟΥ

Ἀττικοῦ.

Σημείωμα τῆς καθαιρέσεως τοῦ γεγονότος Πατριάρχου Κωνσταντινουπόλεως Κοσμᾶ τοῦ Ἀττικοῦ, ὁμόφρονος ἀποδειχθέντος τῷ Βογομήλῳ Νίφωνι. ταῦτα παρεκβληθέντα καὶ συνήθως πιστωθέντα ἐποδόθη. ἔτει ϛχνβ'. μηνὶ καὶ Ἰνδικτιῶνος τοῖς προγεγραμμένοις. Μηνὶ Φευρουαρίῳ κϛ'. ἡμέρᾳ τετάρτῃ, Ἰνδικτιῶνος δεκάτης. Προκαθημένου ἐν τῷ παλατίῳ τῆς Βλαχερνῶν τοῦ κρατίστου καὶ θεοστέπτου ἁγίου ἡμῶν βασιλέως καὶ αὐτοκράτορος, κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ, παρισταμένων τοῦ πανευτυχεστάτου Καίσαρος κυρίου Ἰωάννου, τοῦ πανυπερσεβεστάτου κυρίου Στεφάνου τοῦ Κοντοστεφάνου, τοῦ σεβαστοῦ ὑπερτάτου κυρίου Κωνσταντίνου τοῦ Ἀγγέλου, τῆς ἐξαδέλφων τοῦ κρατίστου, καὶ ἁγίου ἡμῶν βασιλέως, τοῦ κυρίου Ἀλεξίου τοῦ υἱοῦ τῆς Πορφυρογεννήτου, καὶ Καισαρίσσης κυρίας Ἄννης· τοῦ κυρίου Ἀλεξίου καὶ τοῦ κυρίου Ἀνδρονίκου, καὶ τῆς υἱῶν τῆς Πορφυρογεννήτου κυρίας Μαρίας, καὶ αὐταδέλφης αὐτῆς. τοῦ πανσεβεστάτου Σεβαστοῦ, καὶ μεγάλου Δρουγγαρίου κυρίου Κωνσταντίνου τοῦ Κομνηνοῦ. τοῦ πανσεβεστάτου Σεβαστοῦ δικαιοδότου, καὶ ἐπάρχου κυρίου Ἰωάννου τοῦ Ταρωνίτου, τοῦ μεγάλου ἐπιφανεστάτου Κοιέστορος καὶ κριτοῦ τοῦ Βήλου, κυρίου Βασιλείου τοῦ Πεκούλου, τοῦ κριτοῦ τοῦ Βήλου, Ἰωάννου τοῦ Ἀλωππᾶ, καὶ ἑτέρων οὐκ ὀλίγων τῆς συγκλήτου, καὶ τῆς πολιτικῶν, δικαστῶν, συμπαρισταμένων αὐτοῖς καὶ τῆς ἐκκλησιαστικῶν ἀρχόντων. Εἰ δὲ καὶ ἀνδρὶ παγὶς ἰσχυρά τὰ ἴδια χείλη, καὶ λόγοις οἰκείου στόματος ἁλίσκεται ἕκαστος, ὁ ἐπὶ βήματος καὶ ταῦτα βασιλικοῦ, παρισταμένης μὲν τῆς συγκλήτου, συμπαρισταμένης δὲ καὶ τῆς ἱερᾶς καὶ θείας συνόδου, οὐ μόνον δὲ ἀλλὰ καὶ ἑτέρου πλήθους πολυαρίθμου, τὰ ἐφ' οἷς παρ' ἄλλων ᾐτιᾶτο, αὐτὸς δι' ἑαυτοῦ καταθέμενος, καὶ οὕτως ἔχειν τὸ ἀληθὲς συνομολογήσας, ὡς οἱ ἀπαγγείλαντες τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ τὰ κατ' αὐτὸν διηγήσαντο, πῶς οὐχὶ καὶ ἀφυτεύτως, τοῖς τε χείλεσι τοῖς οἰκείοις ἐμπεδοθήσεται, καὶ δικαίως τοῖς τούτων λόγοις, ὥστισιν ἀῤῥήκτοις πέδαις περισφιγχθήσεται. τοιοῦτο δὴ καὶ περὶ τὸν πατριάρχην τῆς δε

τῆς βασιλίδος τῆς πόλεων Κοσμᾶν συμβέβηκε σήμερον. τῆς τινες γὰρ ἱερωτάτων ἀρχιερέων οὐ μικρῶς ἐπὶ τούτῳ σκανδαλισθέντες ἐφ' οἷς ἑώρων αὐτὸν ἀνθρώπῳ πρὸ καιροῦ τινὸς συνοδικῶς ἀποβεβλημένῳ, ὡς ἑτερόφρονι, καὶ ἀλλοτρίῳ τῆς καθολικῆς ἐκκλησίας ὑφηγουμένῳ τε καὶ διδάσκοντι, καθὼς τὰ ἐπὶ τούτῳ προβάντα συνοδικῶς διέξεισι σημειώματα τῷ καταράτῳ δὴ τούτῳ, καὶ ἀμονάχῳ λέγομεν Νίφωνι. ὃν καὶ ἐς τοσοῦτον ἡ τηνικαῦτα συναχθεῖσα ἱερὰ ἀπεκήρυξε σύνοδος, ὡς καὶ ἀπροῖτον εἶναι, καὶ πᾶσιν ἁπαξαπλῶς ἀκοινωνητον μέχρι λόγου ψιλοῦ, καὶ προσρήσεως. περισσὸν γὰρ τὸ λέγειν περὶ συνεστιάσεώς τε αὐτοῦ καὶ εὐχῆς, καὶ τῆς ἄλλων, ἐφ' οἷς κοινωνεῖν ἀλλήλοις εἰώθαμεν. διὰ γοῦν ταῦτα σκανδαλισθέντες ὡς εἴπωμεν, ὅτι περ ἀπρὶξ ἑώρων αὐτοῦ τὸν τοιοῦτον ἀντιποιούμενον, καὶ οὐκ ἐν ὁμιλίαις μόνον, καὶ καθ' ἑαυτὸν συνελεύσεσιν, ἀλλὰ καὶ μυρίοις ἄλλοις συγκοινωνοῦντα αὐτῷ, προσῆλθόν τε τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, καὶ ὡς οὐ μικρῶς ἐπὶ τοῖς γινομένοις δεινοπαθοῦντες τῇ πανευσεβεῖ αὐτοῦ βασιλείᾳ τὰ τοιαῦτα πάντα ἀνήγγειλαν. ὡς γοῦν οἷος οὗτος διάπυρος τῷ ὄντι καὶ ζηλωτὴς πρὸς εὐσέβειαν μὴ τοιοῦτον εἶναι ἐν τῇ ἐκκλησίᾳ ὅλως ἀνεχόμενος σκάνδαλον, αὐτόν τε τὸν πατριάρχην, καὶ τοὺς ἐνδημοῦντας, πάντας ἡμᾶς συνεκαλέσατο σήμερον. καὶ ἤρξατο τάχα τὰ κατ' αὐτὸν εἰς τὸ μέσον λαλεῖσθαί τε καὶ ἐξετάζεσθαι, ὁ τῆς ἀληθείας Θεὸς, μεθ' ὅσης ἰδὼν ὡς ἔοικε, συντριβῆς τε ψυχῆς, καὶ πρὸς αὐτὸν παρακλήσεως ὁ θεοστεφὴς ἡμῶν αὐτοκράτωρ τὴν τοῦ παρόντος ἐπεποίητο ζήτησιν. αὐτὸν τοῦτον τῇ ἐντέχνῳ τούτου καὶ ἐπιστημοναρχικῇ σοφίᾳ ἐρωτηθέντα, ἐκκαλύψαι τὰ κατ' αὐτὸν, καὶ χωρίς τινος πεποίηκεν ἐξελέγχοντος. ὡς γάρ ἠρωτήθη παρὰ τοῦ βασιλέως αὐτοῦ ὁποῖον ἄρα ἔχειν τὸν Νίφωνα, ἀνερυθριάστως οὕτω καὶ γυμνῇ τῇ κεφαλῇ, ὅπερ λέγεται μὴ αἱρετικὸν ἔχειν τοῦτον ἀπεστομάτισεν, ἀλλ' ὀρθόδοξον. οὕτω γοῦν τοῦ κεφαλαίου δευτέρου τούτου ἐξελεγχθέντος, καὶ προφανῶς ἐναντίου τοῦ πατριάρχου τοῖς συνοδικῶς διεγνωσμένοις ἀποδειχθέντος. περιττὸν ἡμεῖς κρίναντες ἅμα καὶ αὐτῷ τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν βασιλεῖ, ὡς καὶ αὐτῷ συνδιαγνωμοῦντι ἡμῖν μετὰ καὶ αὐτῆς τῆς συγκλήτου τὸ περὶ αὐτοῦ πολυπραγμονεῖν, ὅπως τε τὰ συνοδικὰ σημειώματα ἡγεῖται ὡς οὐδὲν, καὶ τοῦ οἰκείου μόνου θελήματος ἀντέχεταί τε καὶ περιέχεται. καὶ ὅπως σήμερον εἰς κοινὸν ἁπάντων ἐπήκοον Λὼτ ἑαυτὸν ὄντα μόνον ἐν Σοδόμοις ὠνόμασε. πάντες ὁμοῦ κατέγνωμεν καὶ αὐτοῦ, ὡς ὁμοφρονοῦντος τῷ ἀποβλήτῳ καὶ βογομήλῳ Νίφωνι. καὶ κατ' αὐτὰ ἐκεῖνα τὰ σημειώματα ἀπόβλητον καὶ ἀνάξιον εἶναι τοῦτον τῆς ἀρχιερατικῆς ἀξίας ἀποφηνάμεθα. ταῦτα παρεκβληθέντα καὶ βεβαιωθέντα ταῖς ὑπογραφαῖς τῆς κάτωθεν δηλουμένων ἐπεδόθη, μηνὶ καὶ Ἰνδικτιῶνος τοῖς προγεγραμμένοις, ἔτει ϛχνβ'.

ΑΙ' Υ'ΠΟΓΡΑΦΑΙ'.

Κωνσταντῖνος ὁ εὐτελὴς ἀρχιεπίσκοπος τῆς μητροπόλεως Καισαρείας Καππαδοκίας ὑπέγραψα.

Ἰωάννης ἀρχιεπίσ. Ἐφέσου, καὶ Ἔξαρχος πάσης Ἀσίας ὁρίσας ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Κυζίκου Θεόφιλος ὁρ. ὑπέγ.

Ὁ Εὐτελὴς μητροπολίτης Νικομηδείας Ἰωάννης ὁρ. ὑπέγ.

Ὁ μητροπολίτης Χαλκηδῶνος Ἰωάννης ὁρίσας ὑπέγ.

Ὁ μητροπολίτης Κλαυδιουπόλεως Γρηγόριος ὁρ. ὑπέγ,

Ὁ εὐτελὴς μητροπολίτης Λαοδικείας Βασίλειος ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Μύρων Θεόδωρος ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Λαρίσσης Γεώργιος ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Ῥόδου Νικηφόρος ὁρίσας ὑπέγ.

Ὁ μητροπολίτης Κερασοῦντος Πέτρος ὁρίσας ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Δρίστρας Λέων ὁρίσας ὑπέγ.

Κωνσταντῖνος ὁ εὐτελὴς μητροπολίτης Χριστιανουπόλεως ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς ἀρχιεπίσκοπος Βυζίης ὁρίσας ὑπέγραψα.

Λέων ὁ εὐτελὴς ἀρχιεπίσκ. Παρίου ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσ. Καραβίζης Γρηγόριος ὁ Γαμαλᾶς ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς ἀρχιεπίσ. Γοτθίας Κωνσταντῖνος ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Ἡρακλείας Πέτρος ὁρ. ὑπέγ.

Ἰωάννης παραχωρήσει Θεοῦ μητροπολίτης τῆς Σαρδῶν ὁρ. ὑπέγ.

Ὁ μητροπολίτης Νικαίας Λέων ὁρίσας ὑπέγραψα.

Βασίλειος ὁ εὐτελὴς μητροπολίτης Τυάνων Καππαδοκίας ὁρ. ὑπέγ.

Ὁ Καισαρείας τῆς νέας Νικηφόρος ὁρ. ὑπέγ. τὸν δὲ τὸν τόμον.

Ὁ εὐτελὴς μητροπολίτης Ἀντιοχείας τῆς Πισιδίας Μιχαὴλ ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς ἐπίσ. τῆς τῆς Νικοπολιτῆς ἐκκλησίας Νικόλαος ὁρ. ὑπέγ.

Ὁ τῆς ἁγιωτάτης μητροπόλεως Τραϊανουπόλεως εὐτελὴς μητροπολίτης Νικηφόρος ὁρίσας ὑπέγραψα.

Ὁ εὐτελὴς μητροπολίτης Ἀμάστριδος Κωνσταντῖνος ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς μητροπολίτης Ἀπαμείας Γεώργιος ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς μητροπ. Μεθύμνης Γεώργιος ὁρ. ὑπέγ.

Ὁ

Ὁ εὐτελὴς μητροπολίτης Μεσίνης Ἰωάννης ὁρ. ὑπέγ.

Ὁ εὐτελὴς ἀρχιεπίσ. Ἀρκαδιουπόλεως Νικόλαος ὁρ. ὑπέγ.

Γεώργιος εὐτελὴς ἀρχιεπίσκοπος Κίου ὁρ. ὑπέγραψα.

Ὁ εὐτελὴς ἀρχιεπίσ. Χηρσῶνος Θεοφάνης ὁρ. ὑπέγ.

Ε' ΠΙΣΤΟΛΗ'

Χρόν. ἀπὸ Χριστοῦ 1154 πὶ Μανουὴλ Κομνηνοῦ αὐτοκράτορος.

Πεμφθεῖσα παρὰ τοῦ Πάπα Ῥώμης

ΚΥΡΙΟΥ Α'ΔΡΙΑΝΟΥ Δ'.

Πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Θεσσαλονίκης,

ΚΥ'ΡΙΟΝ ΒΑΣΙ'ΛΕΙΟΝ

Τὸν Ἀχριδηνὸν περὶ τοῦ ἑνωθῆναι τῇ δυτικῇ ἐκκλησίᾳ τὴν ἀνατολικήν.

Ἀδριανὸς ἐπίσκοπος, δοῦλος τῶν τοῦ δούλων Θεοῦ τῷ σεβασμίῳ ἀδελφῷ τῶν Θεσσαλονικέων ἀρχιεπισκόπῳ, ἀσπασμὸν, καὶ ἀποστολικὴν εὐλογίαν.

Ἐξότου διὰ τοῦ ἀρχαίου πολεμίου τοῦ φθόνου ὁ Κωνσταντινουπόλεως θρόνος ἀπὸ τῆς ἱερᾶς (ἁγίας) Ῥωμαίας καὶ ἀποστολικῆς, (ὃ δίχα) δακρύων κυματώσεως μόλις εἴπωμεν, ἑαυτὸν ἐκκλησίας ἐχώρισε, καὶ ὁ ἐχθρὸς τοῦ ἀνθρώπου τὸν ἴδιον ἰὸν τῆς κακίας ἐξέχυσε, καὶ ἀπὸ τῆς μητρὸς ὑπακοῆς τὰ τέκνα * ἀπέστησαν, καὶ εἰς τὸν τόπον τῆς ἑνότητος ὁ δυϊκὸς ἐπεισῆλθε, πολὺν κόπον καὶ σπουδὴν οἱ πρὸ ἡμῶν διάδοχοι τοῦ μακαρίου Πέτρου ἀπένειμαν, ἵνα καὶ τὸ σχίσμα ἀρθῇ ἐκ μέσου, καὶ τῇ ἑνότητι τῆς ἐκκλησίας οἱ ἀπ' αὐτῆς ἑαυτοὺς χωρίσαντες ἀποδοθῶσι. διὸ καὶ ἡμεῖς οἱ τοῦ νῦν καιροῦ τοῦ ἀποστολικοῦ θρόνου τὴν φροντίδα δεξάμενοι, ὡς τῷ Θεῷ ἀρέσκει διατίθεσθαι πάσαις ταῖς ἐκκλησίαις ταῖς ὑπὸ τὴν οἰκουμένην οὔσαις, εἰ καὶ ταῖς χάρισι τοῦ μακαρίου Πέτρου μηδέν τι ἰσάζον ἔχομεν, τέως βιαζόμεθα τὴν διακονίαν ἐκτελεῖν. πρὸς τοῦτο ἑαυτοὺς ἠγάγομεν προσέχειν μήπως συναριθμηθῶμεν (ὅπερ μὴ γένοιτο) ἐν τῷ ἀριθμῷ οὓς ὀνειδίζει ὁ Κύριος διὰ τοῦ προφήτου, λέγων, τὸ ἐκβληθὲν οὐκ εἰσηγάγετε, τὸ ἀσθενὲς οὐκ ἐθεραπεύσατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ συνθλασθὲν οὐκ * ἐδεσμεύσατε τῷ τοι πρὸς τὴν εἴσαξιν τῶν τέκνων πρὸς * τὸν τόπον τῆς ἐκκλησίας, καὶ τὴν εὕρεσιν τῆς ἀπολλυμένης δραχμῆς σπεύσωμεν, καὶ τῷ ἀποστολικῷ προστάγματι συνωθούμενοι, * πρὸς τοὺς τῶν τῆς διδασκαλίας λόγων ἀμελοῦντας, ἐπιστατεῖν ἡμᾶς * πείθειν, καὶ τὴν νουθεσίαν * (τῶν πιστῶν) εὐκαίρως, ἀκαίρως· καὶ τῷ παραδείγματι ἐκείνου διδαχθέντες, ὃς ἦν κύριος τῆς δόξης, καὶ πάντα ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ ἔχων, ἔκλινεν ὅμως οὐρανοὺς καὶ κατῆλθε, καὶ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἵνα τῇ ἰδίᾳ ποίμνῃ τὸ ἀπολωλὸς πρόβατον ἀποδοθῇ. ἐνθέν τοι ἀδελφὲ ἐν Χριστῷ * τὴν ἀγάπην σου διὰ τῶν παρόντων γραμμάτων παραινοῦμεν, ἵνα ἀκριβῶς φροντίσῃς, ἐπεὶ μία ἐστὶ μόνη ἐκκλησία, καὶ μία μόνη ἡ τοῦ ἁγιασμοῦ κιβωτὸς, εἰς ἣν ἕνα ἕκαστον τῶν πιστῶν δεῖ ἀπὸ τοῦ κατακλυσμοῦ σωθῆναι· καὶ πρὸς τὴν ἑνότητα αὐτῆς πᾶσι τρόποις κοπιάσῃς. καὶ * διαλογησάτω ἡ σὴ φρόνησις πῶς ἡ ἐκκλησία τοῦ Θεοῦ οὐ δύναται συνίστασθαι διῃρημένη· πῶς πᾶσαν ψυχὴν ζῶσαν ἀπὸ τῆς τρικυμίας τοῦ παρόντος κατακλυσμοῦ ἔσωθεν * τῆς μιᾶς κιβωτοῦ τῆς ἐκκλησίας δεῖ συναθροισθῆναι. * ἐπὶ τῷ μακαρίῳ Πέτρῳ, τῷ κυβερνήτῃ πάντων τῶν πιστῶν, παρεδόθη· πῶς οἱ ἅγιοι πατέρες, οἱ τῷ θείῳ πνεύματι πεφωτισμένοι, πασῶν τῶν ἐκκλησιῶν τὰ πρωτεῖα ἁπλῶς τὴν ἱερὰν, καὶ ἁγίαν Ῥωμαίαν ἐκκλησίαν ἔχειν ἐκέλευσαν, καὶ πρὸς τὴν αὐτῆς γνώμην πάντων τὴν κρίσιν τετυπώκασιν ἀναφέρειν· καὶ πρὸς τὸ ἀνελεῖν τὴν διαίρεσιν ἐκ τοῦ μέσου, πρὸς τὴν ἑνότητα τῆς ἐκκλησίας, πρὸς τὴν σύζευξιν τοῦ διῃρημένου τείχους, διὰ τὴν τοῦ Θεοῦ ἀγάπην, διὰ τὴν τῆς σῆς ψυχῆς σωτηρίαν, καὶ διὰ τὴν ἀπόλαυσιν τῆς ἀμαράντου δόξης, ἐγρηγόρως πρόσχες· καὶ πρῶτον παρὰ σεαυτῷ, μετέπειτα δὲ ἐπὶ τοῖς ἄλλοις * ὅσην ἡ θεία χάρις δίδωσιν ἐργάζου, ἵνα τὸ ποίπνιον ἑνωθῇ τῇ ἐκκλησίᾳ· καὶ οἱ ὁμολογοῦντες ἑαυτοὺς δεσποτικὰ πρόβατα πρὸς τὸ τοῦ μακαρίου Πέτρου ἐπιστρέψωσι βόσκημα, ὃς τὴν αὐτῶν φροντίδα ἐδέξατο ἐκ τοῦ δεσποτικοῦ προστάγματος. ἡμεῖς μὲν οὖν ἐν τούτῳ οὐ τὴν πρόσκαιρον εὐδοξίαν θεωροῦμεν, οὐ τὴν παρερχομένην δόξαν ἐκζητοῦμεν εἰς τὸ ποιμαίνειν ἐδεξάμεθα ἐκ τοῦ ὀφφικίου. δούλους ἡμᾶς πάντων τῶν τοῦ Θεοῦ δούλων ὁμολογοῦμεν, ἀλλ' ἐπὶ τὸν κύριον καὶ διδάσκαλον ἡμῶν, ἵνα ἕνα νεκρὸν ἀναστήσῃ ἐν σώματι * καὶ δακρύσαι ἀναγινώσκομεν ἐν τῷ μνήματι, καὶ λαλῆσαι, Λάζαρε δεῦρο ἔξω· ἀνάξιον κρίνομεν ἐὰν τὸ τάλαντον δεσποτικὸν ἐπισχῶμεν καὶ ἀμελήσωμεν οὓς δυνάμενα ἐν ψυχῇ ἀναστῆσαι. περὶ τοῦ λοιποῦ τοὺς ἀγαπητοὺς ἡμετεροὺς υἱοὺς Βαλδοῦϊν καὶ Βαλδιτζίονιν, τοὺς τῶν παρόντων γραμμάτων ἀποκομιστὰς πρὸς τὸν ἀγαπητικώτατον υἱὸν ἡμῶν Ἐμμανουὴλ τὸν αὐτοκράτορα Κωνσταντινουπόλεως ἀπὸ τοῦ εὐλαβοῦς ἀθροίσματος πεμφθέντας, τῇ ἀγάπῃ σου προσεκτικῶς παραδίδομεν ἐρωτῶντες, ἵνα αὐτοῖς διὰ τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τοῦ μακαρίου Πέτρου καὶ τοῦ ἀποστολικοῦ θρόνου καὶ τὴν τῆς * εὐλαβείας εὐλάβειαν βλέμματι χαρίεντι ἐν ταῖς ἰδίαις ἀνάγκαις τὰς παρακλήσεις ἀποδώσεις· τὰς δὲ σὰς ὑγείας δία τῶν σῶν γραφῶν θέλομεν ἡμῖν δηλώσασθαι.

* ἀνέστησε

* ἐδεσμήσατε

* πρὸς τὴν ἑνότητα τῆς ἐκκλησίας

* ὦ πρὸς

* πείθει

* νουθεσίαν ἐπίγειν εὐκαίρως

* τῇ ἀγάπῃ σου

* διαλεγέσηται

* τῆς τιμίας κιβωτοῦ

* πῶς τῷ μακ

* ὅσον

* μακρὰν ἀπελθεῖν ὁδὸν

* εὐτεβείας εὐλαβ.

*Α ΝΤΙΓΡΑΦΗ

* Ἀντίγραμμα

Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Θεσσαλονίκης,

ΚΥΡΙΟΥ ΒΑΣΙΛΕΙΟΥ

Τῷ Ἀχειδιῶ πρὸς τὸν πάπαν Ῥώμης

ΚΥΡΙΟΝ Α'ΔΡΙΑΝΟ'Ν.

Ἀνέγνωμεν τὴν ἐπιστολήν, ἁγιώτατε πάπα, καὶ κατενοήσαμεν ἐξ αὐτῆς τὸ ὕψος τῆς διανοίας σου, τὸ βάθος τῆς ταπεινώσεως, τὸ πλάτος τῆς κατὰ Θεὸν ἀγάπης καὶ διαθέσεως· ὑφ' ἧς ὁ συνοχωρεῖταί σου ἡ ἀποστολικὴ καρδία, ἀλλὰ πλατύνεται μᾶλλον τὰ σπλάγχνα εἰς ὑποδοχὴν καὶ περιποίησιν τῆς ἐν ἁπάσαις ταῖς ἐκκλησίαις χρειαν῀. ἐπέγνωμεν σου τὴν φωνὴν διὰ τῆς γραμμάτων λαλήσασαν ἡμῖν εἰς τὰ ὦτα καὶ τὴν διάνοιαν. ἠκούσαμεν λαλοῦντος ὡς πατρὸς, ὡς ποιμένος μᾶλλον δὲ ἀρχιποίμενος. ὡς μὲν γὰρ πατὴρ, καὶ τοὺς ἀπηλλοτριωθαί σου δοκοῦντας υἱοὺς, ὑπὸ τὰς πατρικάς σου κόλπους σπεύδεις, καὶ κηδόμενος τούτων διατελεῖς, ὡς δὲ ποιμὴν, οἷα πρόβατα πεπλανημένα ἀναζητῶν· ὡς δὲ ποιμένων ποιμὴν τὴν ποιμαντικήν σου καὶ θεοδίδακτον ἐπιστήμην διδάσκεις ἡμᾶς, καὶ τῆς ποιμνίων μὴ ἀμελεῖν, ἀλλὰ πάσῃ δυνάμει προνοεῖσθαι, καὶ τὸ κακῶς ἔχον θεραπεύειν ἐπιμελῶς. ἠκούσαμεν ἀνακαλουμένου πρὸς ἑαυτὸν, καὶ ἐπεσπεύδοντος πρὸς τὴν φωνήν. πάντως δὲ ἐὰν ἀλλοτρίας υἱὸς (τῆς σῆς ἁγιότητος) ἐλογιζόμεθα ἑαυτοὺς, ἢ τῆς σῆς ποιμαντικῆς ἀπομακρύνεσθαι προηρούμεθα, οὐκ ἂν ὅτε ἐπέγνωμεν ὡς πατρικὴν τὴν φωνὴν, ὅτε ὡς ποιμένος τὸ ἀνακλητικὸν ᾄδοντος ἐπανεσπεύδομεν. κατὰ γὰρ τὸν τοῦ Κυρίου λόγον, οὐδεὶς ποτὲ ἐπιγνώσεται τῆς ἀλλοτρίων τὴν φωνήν. ἀλλὰ μᾶλλον καὶ φεύξεται ἀπ' αὐτῆς. τί οὖν πρὸς ἡμᾶς ἡ παραβολὴ τοῦ πλανηθέντος προβάτου, ἁγιώτατε πάπα; * τί δὲ ἡ εἰκὼν τῆς ἀπωλωλυίας δραχμῆς; ἡμεῖς γὰρ ὅτε ἐκπεσόντας ἑαυτοὺς τῆς σῶν κόλπων φαμὲν, ὅτε τὴν υἱότητα ἢ τὴν ποιμαντικὴν ἀποφεύγομεν, ἵνα καὶ οὕτως ὀνειδιζόμεθα. ἐσήκαμεν δὲ, Θεοῦ χάριτι, ἐπὶ * τῆς τοῦ μακαρίου Πέτρου ὁμολογίας ἀσφαλῶς τε καὶ ἀκλινῶς· καὶ ὃν ἐκεῖνος ὡμολόγησε καὶ ἐκήρυξεν, ὁμολογοῦμέν τε καὶ κηρύσσομεν· μὴ καινίζοντές τι τῆς τοῖς ἁγίοις πατράσι συνοδικῶς δεδογμένων, μὴ προσιθέντες τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς λόγοις, ἄχει καὶ μιᾶς κεραίας, ἢ ἰῶτα ἑνός. ἐμάθομεν γὰρ οἷον ἔστι παρὰ τῷ κήρυκι τῆς ἐθνῶν βαρὺ τὸ ἐπικρεμασθὲν ἐπιτίμιον τοῖς τὰ τοιαῦτα τολμῶσι. κἂν γὰρ ἐγὼ (φησὶν) ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Ταῦτα φοβούμενοι, καὶ τὴν ζωοποιὸν καὶ ἀναίμακτον θυσίαν ὡς ὁ παραλαβὼν ἀπὸ τοῦ Κυρίου παρέδωκεν ἡμῖν, οὕτως ἐπιτελοῦμεν· τὴν μὲν Ἰουδαϊκὴν ταπεινότητα, καὶ τὴν τοῦ νόμου σκιὰν ὑπεραναβαίνοντες, εἰς δὲ τὸ ὑπερῷον τῆς ὑψηλῆς χαρᾶς μετὰ τοῦ Ἰησοῦ καὶ τῶν αὐτοῦ μαθητῶν ἀναβαίνοντες· καὶ ἄρτον ἐσθίοντες, οὐχὶ τὸν τῆς κακώσεως, ὡς ὁ νόμος φησὶν, ἀλλὰ τὸν τῆς εὐφροσύνης, καὶ ὄντως καρδίαν σπείζοντα. εἰ δὲ κατὰ τοὺς ποιμένας ἐκείνους ἠφρονήσαμεν (ὃ μὴ γένοιτο, μηδὲ εἰς τοσοῦτον καθ' ἡμῶν ἰσχύσῃ ὁ πονηρὸς περὶ ὧν ὁ προφήτης Ἱερεμίας θρηνῶν ἔλεγεν, οἱ ἱερεῖς οὐκ εἶπον, ποῦ ἔστι Κύριος; καὶ οἱ ἀντέχόμενοι τοῦ νόμου, οὐκ ἠπίσαντό με· καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ. εἰ τοιοῦτοί σοι ἦμεν, ἁγιώτατε πάτερ, πῶς ἂν ἄλλως εἴχες ὀνομάζειν ἡμᾶς ἢ πρόβατα πλανηθέντα, καὶ δραχμὴν ἀφανισθεῖσαν, καὶ νεκρὸν ἐν τάφῳ κείμενον πολυήμερον; ἀλλὰ μὴ οὕτως οἴου περὶ ἡμῶν. οὔτε γὰρ θεμέλιον ἄλλον οἴδαμεν παρὰ τὸν κείμενον, καὶ τὰ αὐτὰ σοὶ πρεσβεύομεν, καὶ διδάσκομεν ἐγώτε καὶ πάντες οἱ τοῦ μεγάλου καὶ ἀποστολικοῦ τῆς Κωνσταντινουπόλεως θρόνου· καὶ εἷς ἐν ἀμφοτέραις ταῖς ἐκκλησίαις ὁ λαλούμενος λόγος τῆς πίστεως· καὶ ὁ αὐτὸς ἀμνὸς θύεται, ὁ τοῦ κόσμου αἴρων τὴν ἁμαρτίαν, Χριστὸς, ἔντε τοῖς κατὰ δύσιν ἀρχιερεῦσι, τοῖς ὑπὸ τὴν σὴν τελοῦσι κορυφαίαν ἀκρότητα, καὶ ἡμῖν τοῖς ἐξ ἡλίου ἀνίσχοντος τοῦ ὑψηλοῦ τῆς Κωνσταντινουπόλεως θρόνου δεχομένοις τὰς τῆς ἱερωσύνης αὐγάς· εἰ καί τινα βραχέα προσκόμματα εἰς μέσον παρῤῥιφέντα διέσησαν ἡμᾶς, καὶ πολλοὺς πεποίηκασι τοὺς ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος ἁπάντως ἐξελεῖν ἐκ τοῦ μέσου, καὶ ὡς λίθους τινὰς ἐκ τῆς ὁδοῦ διαῤῥῖψαι, κατὰ τὸν προφητικὸν λόγον, καὶ ἀπρόσκοπον τὴν σύνοδον τῆς ἐκκλησιῶν κατασῆσαι, τῆς σῆς ἔσαι ἁγιωσύνης, τῆς χρεσομιμήτως ὡς ἐξ οὐρανοῦ διακυπτούσης, καὶ τὰ διεσῶτα * συνάγειν καὶ βουλομένης καὶ δυναμένης εἰς ἕν. ἡμεῖς μὲν γὰρ βραχεῖς, καὶ βραχέος ποιμνίου κατάρχομεν, μέτριον μὲν καὶ κατὰ σαγόνα τὸν λόγον ἔχοντες, ἀρετῆς δὲ μετέχοντες οὐδ' ὁτιοῦν, εἰ καὶ ἡ σὴ ἁγιότης μέγιστα περὶ ἡμῶν ὑπενόησεν, ἐκ τῆς τινῶν ἀγάπης τῆς ἐνταῦθα ἐπιδεδημηκότων, καὶ ἡμῖν ὡμιληκότων, πάντως παραπεισθεῖσα. Ἡ δέ γε σὴ τελειότης, καὶ τοῦ παντελείου Χριστοῦ εἰκόνα, καὶ ὁμοίωμα φέρουσα κατά τε τὸν θρόνον, κατά τε γνῶσιν, καὶ τὴν τοῦ βίου λαμπρότητα δυνατὴ πάντως ἔσαι, καὶ τὰ διϊσῶντα σκάνδαλα περιελεῖν, καὶ ταῖς ἐκκλησίαις ἀποκαταστῆσαι τὸ ἐναίσιον καὶ ἀδιάτμητον. ἔχει δὲ πρὸς τοῦτο * ἡ ἁγιότης σου σύμπνοιαν καὶ συνεργὸν τὸν κραταιότατον καὶ μέγιστον ἐν βασιλεῦσι, καὶ ἀκρότατον τὴν εὐσέβειαν * τὸν καὶ τὴν ἰσχὺν ἀπρόσμαχον, καὶ τὴν φρόνησιν ἀνυπέρβλητον, καὶ ἐν ἅπασι τοῖς καλοῖς πάντων τὸν ἀπ' αἰῶνος θαυμαζομένων ὀνομαστότατον· οὗ τῷ νεύματι καὶ ἡμεῖς ὑπείξομεν, καὶ τῷ δεσποτικῷ θελήματι οἱ δοῦλοι ὑπηρετήσομεν.

* πάτερ

* ἐπὶ τῆ τοῦ μακαρίου Πέτρου ὁμολογίᾳ

* σωάπτειν

* ἡ ἁγιωσύνη σου

* τὸν καὶ τῷ ἰσχύι

ΣΥΝΟΔΟΣ

ἐν Κωνσταντινουπόλει

ΚΑΤΑ' ΔΗΜΗΤΡΙΟΥ

Τῆ ἐκλάμψης.

Αὕτη ἡ σύνοδος συνήχθη ἐπὶ Λεχᾶ Παξιάρχου καὶ ἐπὶ Ἐμμανουὴλ τοῦ Κομνηνοῦ τῷ εἰκοστῷ ἕκτῳ χρόνῳ τῆς βασιλείας αὐτοῦ κατὰ Δημήτριον τὸν ἐκ λάμπεως, Γωάννου Γιτζῆ, Κωνσταντίνου βεστιαρείας, καὶ Γωάννου εἰρηνικοῦ, οἵτινες κακῶς καὶ δυσεβῶς ἐφρόνουν περὶ τῆς θείας τοῦ Χριστοῦ ἀνθρωπήσεως· ἡ κατάκρισις αὐτῶν ἐκφωνεῖται παρὰ τῆς ἐκκλησίας τῇ Κυριακῇ τῆς ὀρθοδοξίας, ἐν ᾗ ἡμέρᾳ ἐκφωνεῖται καὶ τὸ ἀνάθεμα κατὰ πάντων τῶν αἱρετικῶν. ἦσαν πατέρες νθ'. καὶ ἐκηρύχθησαν τὰ κάτωθεν ἓξ κεφάλαια.

α'.

Τοῖς μὴ ὀρθῶς τὰς τῶν ἁγίων Διδασκάλων τῆς τοῦ Θεοῦ ἐκκλησίας θείας φωνὰς ἐκλαμβανομένοις, καὶ τὰ σαφῶς καὶ ἀναμφιλόγως ἐν αὐταῖς διὰ τῆς τοῦ ἁγίου Πνεύματος χάριτος εἰρημένα παρερμηνεύειν καὶ στρεβλοῦν πειρωμένοις, ἀνάθεμα.

β'.

Τῶν παραδεχομένων τὸν τοῦ ἀληθινοῦ Θεοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φωνὴν, τὸν ὁ Πατήρ μου μείζων μού ἐστι, λέγεσθαι σὺν ταῖς λοιπαῖς ἑρμηνείαις τῶν ἁγίων Παξῶν, καὶ κατὰ τὸν ἐν αὐτῷ ἀνθρωπότητα, καθ' ὃν καὶ πέπονθε, καθὼς διαῤῥήδην ἐν πολλοῖς τῶν θεοπνεύστων λόγων αὐτῶν οἱ ἅγιοι Πατέρες ἀνακηρύττουσιν. ἔτι δὲ καὶ λεγόντων τὸν αὐτὸν Χριστὸν κατὰ τὸν ἑαυτοῦ σάρκα παθεῖν, αἰωνία ἡ μνήμη.

γ'.

Τοῖς νοσοῦσι καὶ φθεγγομένοις, τὸν θέσιν τοῦ προσλήμματος, μετάμειψιν τῆς ἀνθρωπίνης φύσεως εἰς Θεότητα, καὶ μὴ φρονοῦσιν ἐξ αὐτῆς συνάσεως, θείας μὲν ἀξίας καὶ μεγαλειότητος μετειληφέναι τὸ Σῶμα τοῦ Χριστοῦ, καὶ προσκυνεῖσθαι μιᾷ προσκυνήσει ἐν τῷ προσλαβομένῳ αὐτῷ Θεῷ Λόγῳ, καὶ εἶναι ὁμότιμον, ὁμόδοξον, ζωοποιὸν, ἰσοκλεὲς τῷ Θεῷ καὶ Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι, καὶ ὁμόθρονον, μὴ μέντοιγε δὲ γνώεσθαι ὁμοούσιον τῷ Θεῷ, ὡς ἐκπεπτωκέναι τῶν φυσικῶν ἰδιοτήτων, τοῦ κτιστοῦ, τοῦ περιγραπτοῦ, καὶ τῶν λοιπῶν τῶν ἐν τῇ ἀνθρωπείᾳ φύσει τοῦ Χριστοῦ θεωρουμένων. μεταμεμφθῆναι δὲ καὶ εἰς τὸν τῆς Θεότητος οὐσίαν, ὡς ἐκ τούτου εἰσάγειν, ἢ φαντασίᾳ, καὶ οὐκ ἀληθείᾳ γεγονέναι τοῦ Κυρίου τὸν ἀνθρώπησιν, καὶ τὰ πάθη, ἢ τὸν τοῦ μονογενοῦς Θεότητα παθεῖν, ἀνάθεμα.

δ'.

Τῶν λεγόντων, ὅτι ἡ σὰρξ τοῦ Κυρίου ἐξ αὐτῆς σύνασεως ὑπερυψωθεῖσα, καὶ ἀνωτάτω πάσης τιμῆς ὑπερκειμένη, ὡς ἐξ ἄκρας σύνασεως ὁμόθεος γενομένη, ἀμεταβλήτως, ἀναλλοιώτως, ἀσυγχύτως, καὶ ἀξέπτως, διὰ τὸν καθ' ὑπόστασιν ἕνωσιν, καὶ ἀχωρίστως, καὶ ἀδιαστάτως μείνασα, τῷ προσλαβομένῳ αὐτὸν Θεῷ Λόγῳ, ἰσοκλεῶς αὐτῷ τιμᾶται καὶ προσκυνεῖται μιᾷ προσκυνήσει καὶ τοῖς βασιλικοῖς καὶ θείοις ἐγκαθίδρυται θρόνοις ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς τὰ τῆς Θεότητος αὐχήματα καταπλουτήσασα, σωζομένων τῶν ἰδιοτήτων τῶν φύσεων, Αἰωνία ἡ μνήμη.

ε'.

Τοῖς ἀποβαλλομένοις τὰς τῶν ἁγίων Παξῶν φωνὰς, τὰς ἐπὶ συνάσει τῶν ὀρθῶν δογμάτων τῆς τοῦ Θεοῦ ἐκκλησίας ἐκφωνηθείσας Ἀθανασίου, Κυρίλλου, Ἀμβροσίου, Ἀμφιλοχίου τοῦ θεηγόρου, Λέοντος τοῦ ἁγιωτάτου Ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῶν λοιπῶν, ἔτι δὲ καὶ τὰ τῶν Οἰκουμενικῶν Συνόδων πρακτικὰ, τῆς τετάρτης τε φημὶ, καὶ τῆς ἕκτης μὴ κατασπαζομένοις, ἀνάθεμα.

ς'.

Τοῖς μὴ δεχομένοις τὸν τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φωνὴν, τὸν ὁ Πατήρ μου μείζων μού ἐστι, καθὼς κατὰ διαφόρους τρόπους οἱ Ἅγιοι ταύτην ἐξηγήσαντο. οἱ μὲν κατὰ τὸν αὐτοῦ Θεότητα λέγοντες ῥηθῆναι, διὰ τὸ αἴτιον τῆς ἐκ τοῦ Παξὸς τούτου γνωνήσεως. οἱ δὲ κατὰ τὰς φυσικὰς ἰδιότητας, τῆς προσληφθείσης παρ' αὐτοῦ σαρκὸς, καὶ συνασάσης τῇ αὐτοῦ Θεότητι, ἦγουν τὸ κτιστὸν, τὸ περιγραπτὸν, τὸν θνητὸν, καὶ τὰ λοιπὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη, δι' ἅπερ ἑαυτοῦ μείζονα τὸν Πατέρα ὁ Κύριος εἴρηκεν, ἀλλὰ τότε λέγουσι τὸν τοιαύτην νοεῖσθαι φωνὴν, ὅτε κατὰ ψιλὴν ἐπίνοιαν νοεῖται ἡ σὰρξ κεχωρισμένης τῆς Θεότητος, ὥσπερ εἰμὴ δὲ νοήθη, καὶ μὴ ἐκλαμβανομένοις τὸν τοιαύτην ῥῆσιν, τῆς κατὰ ψιλὴν ἐπίνοιαν διαιρέσεως, καθὼς παρὰ τῶν ἁγίων Πατρῶν ἐῤῥέθη τότε, ὁπηνίκα ἡ δυλεία καὶ ἡ ἄγνοια λέγεται. ὡς μὴ ἀνεχομένων τὸν ὁμόθεον, καὶ ὁμότιμον τοῦ Χρι-

σῦ σάρκα διὰ τῶν τοιούτων φωνῶν καθυβρίζεσθαι, λέγουσι δὲ κατὰ ψιλὴν ἐπίνοιαν παραλαμβάνεσθαι, καὶ τὰς φυσικὰς ἰδιότητας, τὰς ὡς ἀληθῶς οὔσας τῆς τοῦ Κυρίου σαρκὸς τῆς ἐνυποστάσης τῇ αὐτοῦ Θεότητι, καὶ ἀδιαιρέτου μενούσης καὶ τὰ αὐτὰ περὶ τῶν ἀνυποστάτων καὶ ψευδῶν, ἅπερ καὶ περὶ τῶν ἐνυποστάτων καὶ ἀληθῶν δογματίζουσιν, ἀνάθεμα.

ΕΠΙΣΤΟΛΗ
Τοῦ ἁγιωτάτου

ΚΥΡΙΟΥ ΓΕΡΜΑΝΟΥ ΤΟΥ ΝΕΟΥ

ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

Νέας Ρώμης καὶ οἰκουμενικοῦ πατριάρχου, πεμφθεῖσα πρὸς τὸν πάπαν Γρηγόριον. θ'

οὗτος ἦν ἐπὶ Γωάννου τοῦ βατατζη αὐτοκράτορος, ὄντος ἐν Νικαίᾳ ἐπὶ τῇ ἁλώσει τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν λατίνων, ἔτει 1227.

Ὠ Κύριε σῶσον δὴ ὦ κύριε εὐώδωσον δή. σὲ γὰρ τὸν ἀκρογωνιαῖον λίθον τὸν πολυτελῆ, τὸν ἐκλετὸν, τὸν ἔντιμον, κατὰ τὴν περὶ σοῦ τοῦ προφήτου προσηγορίαν, εἰς θεμέλιον ὑποβάλλω ταύτης τῆς κοσμωφελοῦς πραγματείας. δεδίδαγμαι γὰρ ἀπὸ σοῦ τοῦτο, ὅτι πᾶς ὁ πιστεύων εἴς σε, οὐ καταισχυνθήσεται. οὐδὲ τῆς τῶν ἐλπίδων αὐτοῦ παρασαλευθήσεται βάσεως. καὶ ἔχει μὲν οὕτως τὸ ἀληθὲς, καὶ οὐδεὶς ἀντειπεῖν τολμήσειεν ἄν, εἰ μὴ τῷ πατρὶ τοῦ ψεύδους προφανῶς μεμαθήτευται. ἔργον δέσου τοῦ ἀκρογωνιαίου λίθου, τὰ κατὰ γνώμην διεστηκότα, εἰς ἑνότητα πίστεως συνάγειν τὰ διαιρούμενα. καὶ Παῦλος ὁ καὶ τοῦ Ησαΐου μεγαλοφωνότερος, σὲ εἶναι τοὺς μακρὰν καὶ τοὺς ἐγγὺς εἰρήνην εὐαγγελιζόμενον διαμαρτύρεται, τὸν καὶ τὰ πέρατα τῆς οἰκουμένης διὰ τῆς ἐπὶ τοῦ σταυροῦ τῶν χειρῶν σου ἐκτάσεως συγκαλεσάμενος πρὸς εὐσέβειαν, καὶ ἐναγκαλισάμενος πατρικῶς. λοιπὸν δέομαί σου τῆς ἀπλανοῦς ὁδοῦ καὶ σωτηριώδους, ἄνωθεν εὐόδου τὸν λόγον ὁ ζῶν τοῦ πατρὸς λόγος· ἡ παντοδύναμος καὶ ἐνυπόστατος σοφία τοῦ Θεοῦ· αὐτὸς οἰκοδόμησόν μοι τὸν οἶκον τῆς ὑποθέσεως· καὶ σὺ ἔσο ταύτης καὶ θεμέλιος, καὶ ὄροφος, ὁ κατὰ τὴν τὴν θεολογικὴν τοῦ Ιωάννου φωνὴν, ἄλφα καὶ ὠμέγα λεγόμενος, ὡς τοῦ παντὸς ἀρχὴ καὶ τέλος ἀπεριόριστος. καὶ τὰ μὲν τῆς εὐχῆς ἐν τούτοις.

Καὶ δὴ πρότερον ἄραντες τοὺς ὀφθαλμοὺς εἰς τὰ ὄρη τὰ ἐπουράνια, ὅθεν ἥξει ἡ βοήθεια ἡμῶν, ἐπευξάμενοι· ἤδη δὲ καὶ πρός σε τὸν ἁγιώτατον πάπαν τὸν τοῦ ὑψηλοτάτου θρόνου τὴν προεδρίαν λαχόντα, τὸ τοῦ λόγου μεταστρέπομεν πρόσωπον· καὶ θέλησον ὑποκαταβῆναι μικρὸν τοῦ ὕψους τῆς δόξης σου, καὶ προσέχειν τοῖς ῥήμασι τοῦ χθαμαλοῦ μὲν τῷ βίῳ, τῷ λόγῳ δὲ ἰχνοφώνου, εἴπερ εἰ μιμητὴς τοῦ ἐν ὑψηλοῖς κατοικοῦντος, καὶ τὰ ταπεινὰ ἐφορῶντος Θεοῦ. ἄρξομαι δὲ ἐντεῦθεν, καὶ κλῖνον τὸ οὖς σου εὐμενῶς καὶ ὑπόδεξαι τῶν ῥημάτων μου. ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, ἡ ἐκ τοῦ μὴ ὄντος τὰ πάντα καθάπαξ παραγαγοῦσα δημιουργικῶς, πάντοτε δὲ συνέχουσα προνοητικῶς, εἴωθεν πολλάκις ἐκ μικρᾶς οἷά τινος θεμελίου καταβεβλημένης ἀφορμῆς, μεγάλας πράξεις ἐς ὕστερον ἐποικοδομεῖν * καινωφελεῖς τε καὶ σωτηριώδεις. Ιωσὴφ γὰρ, ὡς ἴσμεν, ἀργυρώνητος δοῦλος ἐπήχθη, καὶ φυλακῆς λάκκῳ ἐβλήθη, καὶ τοῖς δεσμώταις ἐκρίνεται. ἀλλὰ τί φησὶν ἡ γραφή; ἀπέστειλε βασιλεὺς, καὶ ἔλυσεν αὐτόν· ἄρχων λαοῦ, καὶ ἀφῆκεν αὐτόν. ὅπως ἔνδοξα, ὅπως θαυμάσια, ὅπως ὁ Θεὸς διὰ μέσου τόπου δεδόξασται, τὴν ἱεράν σου διάνοιαν οὐ διαπέφευγεν.

* ἴσ. κοινωγελεῖς.

Εἰς τί δὲ βλέπει ὁ λόγος, καὶ τί δηλοῦν γίνεται; οἱ παρόντες κατὰ Θεὸν ἀδελφοὶ, οἱ περιστατικῷ τινι συναντήματι καὶ φόβῳ τῶν κατακρίτων ἐγγίσαντες τοῦ παντοσεβοῦς βασιλέως καὶ κρατίστου μου αὐτοκράτορος, οὕτως προμηθείας ἠξίωνται καὶ τῷ προσώπῳ τῆς ἡμῶν ἐμφανίσθησαν μετριότητος, τῇ ἁγιότητί σου γνωριοῦσιν. ἡ καλὴ συνοδία καὶ ἀδιάσπαστος συμψυχία, ὧν ἡ ποσότης τῶν φρονίμων παρθένων ἰσάριθμος, ὅτι ἡ λαμπὰς τῶν ἔργων, καὶ τὸ ἐντεῦθεν φῶς, ἔμπροσθεν τῶν ἀνθρώπων ἐκλάμπει πρὸς δόξαν τοῦ ἐπουρανίου πατρὸς, καὶ φρονίμων τὸ ἔλαιον ἐπιβάλλουσι τῆς ἀγαθοεργίας ἀεί, ὅπως μὴ κατασβεσθείη τὸ φῶς, καὶ αὐτοὶ πρὸς ὕπνον ἐκτραπῶσι τῆς ἀκηδίας, καὶ ὑπερείργωσι τῆς εἰσόδου βασιλείας, ἄραβδοι πάντες, μονοχίτωνες, ἀνυπόδετοι. νῦν δὲ καὶ ὡραιωθῆναι τοὺς πόδας αὐτῶν ὑπονοῶ ἀποστολικῶς εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθὰ μέσον γραικῶν καὶ λατίνων. καὶ συντόμως εἰπεῖν, ὅλοι κοῦφοι καὶ ἐλαφρότατοι ταχυδρόμοι Χριστοῦ, σπεύδοντες φθάσαι τῶν καλῶν πάντων τὸ ἀκρότατον, καὶ οὗ γενόμενοι, στήσονται τοῦ δρόμου τῆς ἐφέσεως. οὗτοι τοίνυν οἱ κατὰ Θεὸν εὐτελεῖς ἀδελφοὶ, οὕτως ἡνωμένοι ὁμοφροσύνῃ καὶ ὁμονοίᾳ, καὶ ἀναπληροῦντες τὸν πενταδικὸν ἀριθμὸν, εἰς ἀγαθὸν σημεῖον ἡμῖν ἐνεφάνησαν, καὶ εἰς ἐλπίδας χρηστὰς παρεβάλοντο, τῆς τῶν πέντε πατριαρχείων σὺν Θεῷ φαναι φιλοχρίστου ἑνώσεως καὶ ὁμονοίας· παρέβαλον δὲ τῷ ἡμετέρῳ οἰκήματι κατὰ θείαν πρόνοιαν, ὡς πεπίστευκα τὴν πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσαν, καὶ λόγων πολλῶν μέσον ἡμῶν κινουμένων ἀπολυπραγμονεῖτο πλέον τῶν ἄλλων τὸ πολυχρόνιον χίσμα τοῦ ἀῤῥάφου χιτῶνος τῆς εὐσεβείας τῆς ἄνωθεν ὑφαντοῦ, ὃν ἀποστολικαὶ χεῖρες τὴν καθολικὴν τῶν χριστιανῶν ἐνέδωκαν ἐκκλησίαν, καὶ πατέρων ἁγίων καὶ διδασκάλων διάφοροι συνελεύσεις συνέσφιγξαν περιζώσασθαι. τολμηραὶ δὲ χεῖρες, οὐ μενοῦν στρατιωτικαὶ, ἀλλ' ἐκκλησιαστικαὶ φαίνεσθαι ἔσχισαν, καὶ διέῤῥηξαν. καὶ τὸ σχίσμα μέγα καὶ πολυχρόνιον, οὐδεὶς ὁ ἐλθὼν τὴν νύμφην Χριστοῦ οὕτω διεῤῥηγμένην

φο-

φορȣ̃σαν ἱμάτιον, καὶ τῆς ἀκτημοσύνης αὐτὴν κατοικτείρων.

Τȣ̃το οἶμαι ὃ ὁ Δαβὶδ ἐν τοῖς ψαλμοῖς θρηνωδεῖ· διεχίσθησαν, λέγων, καὶ ȣ̓ κατενύγησαν. εἰ γὰρ καὶ κατενύγημεν, ὠδυνήθημεν ἂν, ἐθλίβημεν. καὶ ἐὰν θλίψιν καὶ ὀδύνην εὕρωμεν, τὸ ὄνομα κυρίου ἐπικαλεσόμεθα. καὶ ἔτι ἡμῶν ἐπικαλουμένων, ἐν ἡμῖν γένηται ὡς ἐν μέσῳ μαθητῶν πρότερον, εἰρηνοποιῶν τὰ διαμαχόμενα, καὶ τὴν ἀμφιβολίαν τῶν λογισμῶν διορθȣ́μενος. μὴ γὰρ ȣ̓ δάκνεται τὰ σπλάγχνα; μὴ ȣ̓ λυπεῖται τὴν διάστασιν; ναὶ σφόδρα. πατὴρ γάρ ἐστι, καὶ πατέρων πάντων φιλοστοργότερος, καὶ ȣ̓κ ἀνέχεται βλέπειν τὰ φίλτατα, ἔχθρᾳ διασπάμενα ὑπ' ἀλλήλων, ὃ δίκην ἰχθύων ἀλληλοφαγοῦντα ἐν τῷ τὸν μείζονα κατεπαίρεσθαι τȣ̃ ἐλάττονος, καὶ τὸν ἰσχυρὸν κατεπεμβαίνειν τȣ̃ ἀσθενȣ̃ς. οὕτως ἐδίδαξεν ἡμᾶς ὁ τῶν ἀνθρώπων ἁλιεὺς Πέτρος, ὡς ἀπεναντίας τῇ προτέρα τέχνῃ ἀπὸ θανάτου πρὸς ζωὴν τȣ̀ς ἁλιευομένȣς μετέφερεν. ὦ τις δώσει τῇ κεφαλῇ μȣ ὕδωρ· καὶ τοῖς ὀφθαλμοῖς μȣ πηγὴν δακρύων, καὶ κλαύσομαι ἡμέρας καὶ νυκτὸς ἐπὶ τῷ συντρίμματι τῆς νέας Σιὼν τῆς ἐξ ἐθνῶν ἐκκλησίας; πῶς ὁ ἐκλεκτὸς λαὸς τȣ̃ Θεȣ̃ εἰς Ἰȣ́δαν καὶ Ἰσραὴλ διηρέθη; καὶ αἱ πόλεις ἡμῶν εἰς Ἱερȣσαλὴμ καὶ Σαμάρειαν, τὰ γὰρ κατὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ἢ τὸν Ἡσαῦ καὶ τὸν Ἰακὼβ, τȣ̀ς ἀδελφȣ̀ς μὲν τῇ φύσει, πολεμίȣς δὲ τῇ γνώμῃ καὶ ἐναντίȣς, ὀκνῶ παραπλέκειν τὸν λόγον, ἵνα μὴ τὸ πρωτεῖον τῆς ἀδελφότητος ἀτιμάσω, καὶ δόξω ὑποκλέπτειν τὰ πρωτοτόκια. πλὴν ἐνταῦθα ὁ πατὴρ ἡμῶν γεγήρακεν, ȣ̓δὲ ἀμβλυωπεῖ, καὶ τοῖς καταπονουμένοις ἀδίκως τὴν εὐλογίαν χαρίζεται. εἰσὶ μὲν οὖν εἰσὶ καὶ ταῦτα πικρὰ καὶ τῇ αἰσθητικῇ καρδίᾳ τῶν ὀστέων ἀπλήστως διαβιβρωσκόμενα.

Τὸ δὲ νῦν ῥηθησόμενον, χαλεπώτερον, ὃ δεινῶν ἁπάντων δεινότερον, καὶ μαχαίρας πάσης τμητικῆς καὶ διστόμου ὀξύτερόν τε καὶ τμητικώτερον, καθ' ὧν ἀνθρώπων κατενεχθῇ, εἴτε κατὰ λατίνων, εἴτε κατὰ γραικῶν. πόϊον τοῦτο; Παύλου λέγοντος ἀκουσώμεθα. ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καὶ οὐχ ἅπαξ τὴν ῥομφαίαν κατακοντίζει, ἀλλὰ δεύτερον. ἵνα σφοδροτέραν ἀπεργάσηται τὴν ὀδύνην, διὰ τῆς δευτέρας ἐπάγει καὶ πρὸς ἀναζήτησιν ἰατρȣ̃ ἀναστῶσιν οἱ τὸν ψυχικὸν φοβȣ́μενοι θάνατον,

Ψαλ. 34.

Γαλ. 1.

Τί ȣ̓ν φημί; πᾶσαν ἄλλην φροντίδα, πᾶσαν μέριμναν, τυρβασμὸν πάντα ἀπὸ τῆς καρδίας τινάξωμεν, ὡς κονιορτὸν ἀπὸ τῶν ποδῶν. καὶ μετὰ προθυμίας πάσης ζητήσωμεν, τίνων αὕτη καθάπτεται ἡ φοβερὰ καὶ δίστομος μάχαιρα, καὶ τίνας ἐκτέμνει, ἀπὸ τῆς ἐκκλησιαστικῆς ὁλομελείας, ἧς ἐστι κεφάλαιον ὁ Χριστός. εἰ μὲν τȣ̀ς Γραικȣ̀ς ἡμᾶς· δείξατε τὴν πληγὴν, καὶ τὸ θαῦμα μοττώσατε, ἀδελφȣ̀ς ἡμᾶς κινδυνεύοντας ἀπολέσθαι, τῷ Σολομῶντι πειθόμενοι. σοφὸς ἀνὴρ παροιμιαστικῶς λέγει. ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν. μᾶλλον δὲ αὐτȣ̃ ἀκȣ́σατε τȣ̃ Θεȣ̃ τȣ̃ τὸν Σολομῶντα σοφίσαντος, καὶ φθεγγομένȣ διὰ προφήτου· ὁ ἐξάγων ἄξιον ἐξ ἀναξίου ὡς τὸ στόμα μου ἔστω. διὸ καὶ ἡμεῖς οἱ Γραικοὶ ἄπληγες ἐσμὲν ὃ ἀτραυμάτιστοι ἐκ τῆς μαχαίρας τȣ̃ ἀναθέματος· κατὰ δὲ Ἰταλῶν καὶ Λατίνων ὀξύτατα φέρεται, καὶ θῦσαι, ὃ ἀπολέσαι τινὰς κατεπείγεται. νομίζομεν ὡς ȣ̓κ ἀντέξεσθε δι' ἄγνοιαν καὶ πεισμονὴν βλαβερὰν τῆς τοῦ Χριστοῦ μερίδος ἀπορραγῆναι, ὑπὲρ ȣ̓ μυρίους ἂν θανάτους εἰ δυνατὸν ἕκαστος ἡμῶν μετὰ χαρᾶς ὑπομεῖναι. ὅτι δὲ διαφωνία καὶ δογμάτων ἐναντιότης, καὶ κανόνων κατάλυσις, καὶ πατροπαραδότων ἐθῶν ἀλλοίωσις. ὃ μεσότοιχοί εἰσι τοῦ φραγμȣ̃ τȣ̃ διϊστῶντος τὰ πρὶν ἡνωμένα τῷ τῆς εἰρήνης καὶ ὁμονοίας συνδέσμῳ, ἡ οἰκȣμένη πᾶσα χεῖλος ἓν γεγονὸς ἀναβοήσεται· ἐντεῦθεν καὶ ἄσπονδος πόλεμος κατ' ἀλλήλων. πολέμου ἀφανισμοὶ, σφραγίδες ἀπηωρημέναι κατὰ τῶν ἐκκλησιαστικῶν θυρῶν, ἱεροπραξίαις παντοίαις, ἵνα μὴ γραικαῖς φωναῖς δοξολογῆται ὁ Θεός.

πρȣῦμα

Παρ. 27.

Γερεμ. 25.

Ἓν ἐλείπετο μόνον, καὶ γέγονε καὶ αὐτὸ, ἵνα μαρτυρίας καιρὸς αὐτῇ, καὶ βῆμα τυραννικὸν προτεθῇ, καὶ θρόνος μαρτυρικὸς ἀνοιγῇ. καὶ ἡμεῖς πρὸς τὸ στάδιον τῆς μαρτυρίας ἀναβησώμεθα, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι, καὶ παντοκρατορικῇ στεφθησώμεθα δεξιᾷ. οἶδεν ἃ λέγω ἡ Κύπρος ἡ περιώνυμος νῆσος, νέους μάρτυρας θεασαμένη, καὶ στρατιῶτας Χριστοῦ, οἳ πρότερον δι' ὕδατος διελθόντες δακρύων τῆς κατανύξεως, καὶ τοῖς ἱδρῶσι λουσάμενοι τοῖς ἐκ τῶν ἀσκητικῶν τȣ̃ σώματος πόνων ἐπὶ χρόνοις μακροῖς, τὸ τελευταῖον διῆλθον διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγεν αὐτȣ̀ς ὁ ἀγωνοθέτης Θεὸς εἰς τὴν ȣ̓ράνιον ἀναψυχήν.

Καλά γε ταῦτα, ἁγιώτατε, καὶ τȣ̃ ἀποστόλου Πέτρȣ διάδοχε; ταῦτα παραγγέλλει ὁ τȣ̃ πρᾴȣ καὶ ταπεινȣ̃ τῇ καρδίᾳ Χριστȣ̃ μαθητής; οὕτω καταρτίζει τȣ̀ς πρεσβυτέρȣς διὰ τῆς ἐπιστολῆς; πρεσβυτέρους, φησὶ, τȣ̀ς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτερος, καὶ μάρτυς τῶν τȣ̃ Χριστȣ̃ παθημάτων, ὁ καὶ τῆς μελλȣ́σης ἀποκαλύπτεσθαι δόξης κοινωνός. ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον τȣ̃ Θεȣ̃· ἐπισκοπȣ̃ντες μὴ ἀναγκαστῶς, ἀλλ' ἑκȣσίως. μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως. μηδ' ὡς κατακυριεύοντες τȣ̃ κλήρȣ, ἀλλὰ τύποι γενόμενοι τȣ̃ ποιμνίȣ. καὶ φανερωθέντος τȣ̃ ἀρχιποιμένος, κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. αὕτη ἐστὶν ἡ τοῦ Πέτρου διδασκαλία. καὶ ὄψονται οἱ μὴ πειθαρχοῦντες αὐτῇ. ἡμῖν δὲ παράκλησιν ἐκεῖνο τὸ μέρος τῆς ἐπιστολῆς ἐν τῷ ἀγαλλιᾶσθαι παραγγέλλει, λυπȣμένοις ἄρτι ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δόκιμον ἡμῶν τῆς πίστεως εὑρεθῇ πολυτιμιώτερον χρυσίου τοῦ ἀπηλλαγμένου, διὰ πυρὸς δὲ δοκιμαζομένȣ, εἰς ἔπαινον

Κορινθ. 3.

νον καὶ δόξαν καὶ τιμὴν ἐν ἀποκαλύψει Ιησοῦ Χριστοῦ.

Αλλὰ σύγγνωθι, ἅγιε δέσποτα, καὶ τῶν προτέρων τῆς πρεσβυτέρας Ρώμης ἀρχιερέων συμπαθέστατε καὶ πραότατε, καὶ ἀνάσχου ῥημάτων δριμύτητος μετεχόντων. παθαινομένης γὰρ καρδίας γεννήματα· καὶ δίδοται συγγνώμη παρὰ τῶν εὐδιακρίτων ἀνδρῶν, τοῖς διὰ λύπην λαλήσασί τι δακνηρόν. ζῶσαι δὲ ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, καὶ ἄναψόν σου τὸν λύγχνον τῆς διακρίσεως, καὶ ζήτησον τὴν ἀπολλυμένην δραχμὴν τῆς ἐπὶ τῇ πίστει ἑνώσεως, καὶ συγκακοπαθήσομέν σου τῇ ἁγιότητι καὶ ἡμεῖς. οὐ φεισώμεθα σώματος ἀσθενοῦς· οὐ γῆρας προφασισόμεθα· οὐ μακρὰν ὁδοιπορίαν· ὅσον γὰρ ἐγκοπότερόν ἐστι τὸ ἐγχείρημα, τοσοῦτον πλειόνων στεφάνων παραίτιον. ἕκαστος γὰρ κατὰ τὸν ἴδιον κόπον μισθὸν λήψεται, ὡς ὁ οἰκουμενικὸς σταδιοδρόμος, καὶ μεγαλώνυμος στεφανίτης ἔφησε Παῦλος.

Οὐκ ἀγνοοῦμεν, ὦ θειότατε δέσποτα, ὅτι καθάπερ ἡμεῖς οἱ Γραικοὶ διϊσχυριζόμεθα κατὰ πάντα ὀρθοδοξεῖν τοῦ καὶ εὐσεβεῖν, καὶ εἰς μηδὲν παρασφάλλεσθαι τῶν ἀποστολικῶν δογμάτων καὶ πατρικῶν· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ τῆς πρεσβυτέρας Ρώμης ἐκκλησία περὶ ἑαυτῆς διενίσταται, ὡς διὰ τὸ μὴ οἴεσθαι κατά τι σφάλλειν, οὐδὲ θεραπείας χρήζειν λέγειν καὶ διορθώσεως. τοῦτο καὶ παρὰ τῆς τῶν Γραικῶν ἐκκλησίας, καὶ παρὰ τῆς τῶν Λατίνων λεγόμενον οἴδαμεν. καὶ γὰρ οὐδείς ποτε ἐν τῷ ἰδίῳ προσώπῳ ἀσχημοσύνην ἀκριβῆ καθορᾶν δύναται, εἰ μὴ πρὸς κάτοπτρον παρακύψειεν, ἢ παρ' ἑτέρου, ἢ ὅπως ἄρα τῆς ὄψεως ἔχει, εἴτε ἀψόγως, εἴτε καὶ μή. ἔχομεν κάτοπτρον καὶ ἡμεῖς πολλά τε καὶ ἐμφανέστατα, τὸ φωτοειδὲς τοῦ Χριστοῦ εὐαγγέλιον. τὰ ἐπιστολιμαῖα τῶν ἀποστόλων γράμματα, τὰς βίβλους τῶν θεολόγων πατέρων· παρακύψωμεν εἰς αὐτὰ, κἀκεῖνα διδάξωσιν ὅπως ἔχει φρονήματος ἕκαστος, εἴτε νενοθευμένου, εἴτε γνησίου. ὁ δὲ προσκαλούμενος εἰς τὴν τοῦ κατόπτρου δοκιμασίαν, καὶ ἀναχωρῶν, ὡμολόγησε καὶ ἄκων τὸ πρόσωπον τὸ δύσμορφον.

Ο Θεὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει, τὸν μαχοποιὸν ὁ εἰρηνοποιὸς, τὸν μισόκαλον ὁ τῶν καλῶν πάντων αἴτιος, τὸν σκανδαλοποιὸν ὁ τῆς ἀγάπης θεός. καὶ ἀποστείλαι πρὸς τοὺς ποιμένας ἡμᾶς τῶν λογικῶν προβάτων αὐτοῦ ἄγγελον χαρὰν μεγάλην εὐαγγελιζόμενον· ὡς πρότερον ἐπὶ τῇ κατὰ σάρκα γεννήσει αὐτοῦ, τοῖς ποιμέσι τῶν ἀλόγων προβάτων καὶ βοσκημάτων. καὶ ἀξιώσαι ᾆσαι τὴν θαυμαστὴν ἐκείνην ὑμνολογίαν. δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, καὶ ἐν ἁγίῳ φιλήματι ἀλλήλους ἀσπάσασθαι. ἡ χάρις τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος, εἴη μετὰ πάντων ἡμῶν. Αμὴν.



Ὁ Ἰησοῦς ἐπιτιμῶν τούς ἀνέμους. Σύγχρονον ἔργον.



Ὁ Εὐαγγελισμός τῆς Μεταστάσεως τῆς Θεοτόκου. Σύγχρονον ἔργον.

ΕΡΩΤΗΜΑΤΑ

ΑΠΕΡ ΕΛΥΣΕΝ Ο ΤΙΜΙΩΤΑΤΟΣ

ΧΑΡΤΟΦΥΛΑΞ, ΚΥΡΙΟΣ

ΠΕΤΡΟΣ, ΚΑΙ ΔΙΑΚΟΝΟΣ

Τῆς τοῦ Θεοῦ μεγάλης Ἐκκλησίας, ἐν ἔτει ςχ.

Ἐρώτημα.

Εἰς πόσον καιρὸν ὀφείλει βαπτισθῆναι τὸ παιδίον;

Ἀπόκρισις.

Ἐὰν νοσῇ, ὅρον οὐκ ἔχει. ἀλλὰ παραυτίκα βαπτίζεται. εἰ δὲ ὑγιαίνει, εἰς τὰς τεσσαράκοντα ἡμέρας.

Ἐρώτημα.

Ἔστιν ἄξιον, μετὰ μιᾶς προσφορᾶς λειτουργῆσαι;

Ἀπόκρισις.

Ἐὰν μὴ ἐστὶν Ἁγίου μνήμη, ἢ νεκροῦ, τὸ κωλύον οὐδέν.

Ἐρώτημα.

Εἰ οὐχ εὑρίσκεται οἶνος, μετὰ ὄξους δεῖ ποιῆσαι ἕνωσιν;

Ἀπόκρισις.

Οὐχί. τοῦτο γὰρ ἐθνικόν ἐστιν.

Ἐρώτημα.

Ἔστιν ἄξιον, μοναχὸν εὐλογῆσαι γάμον;

Ἀπόκρισις.

Οὔτε Μοναχὸν, οὔτε ἐν Μοναστηρίῳ.

Ἐρώτημα.

Ἐὰν ἔχῃ ἄνθρωπος ἀνδρόγυνον γυναῖκα εἰς τὸ ὀσπήτιον αὐτοῦ, ἔστιν ἄξιον δέχεσθαι προσφορὰν αὐτοῦ;

Ἀπόκρισις.

Ἀπὸ τῆς οἰκίας αὐτοῦ οὐ χρὴ δέχεσθαι οὔτε προσφορὰν, οὔτε κηρὸν, οὔτε ἔλαιον, οὔτε θυμίαμα.

Ἐρώτημα.

Ἔστιν ἄξιον δέχεσθαι Μοναχὸν παιδία ἀπὸ βαπτίσματος, ἢ ποιεῖν ἀδελφοποιησίας, ἢ κρατεῖν σεφάνια.

Ἀπόκρισις.

Παρὰ κανόνα εἰσὶ, καὶ κωλύονται.

Ἐρώτημα.

Γυνὴ ἡ χηρεύσασα εἰ διέλθοι τὰς τεσσαράκοντα ἡμέρας, καὶ μὴ λάβῃ σύζυγον, ἄξιόν ἐστιν τὸν χηρεύεσθαι προσφορὰν παρ' αὐτῆς.

Ἀπόκρισις.

Παρ' αὐτῆς μὲν οὐχὶ, ἀλλὰ παρ' ἑτέρου προσώπου.

Ἐρώτημα.

Ἱερεὺς ἐὰν ἐν σωματικῇ φαντασίᾳ χήρηται, λειτουργήσει τῇ ἡμέρᾳ ἐκείνῃ, ἢ κοσμικὸς μεταλήψεται.

Ἀπόκρισις.

Ἐὰν ἐξ ἐπηρείας δαιμονικῆς κωλύονται τοῦ ἁγιάσματος, ἐξαγορεύσει πρότερον, καὶ οὕτως ὁ μὲν Ἱερεὺς λειτουργείτω. ὁ δὲ κοσμικὸς μεταλαμβανέτω. εἰδὲ ἐκ τύφου καὶ πολυπραγμοσύνης, μήτε οὗτος, μήτε ἐκεῖνος.



Κανά τῆς Γαλιλαίας. Διάφορα εἰκονογραφικά θέματα, 19ου αἰ.

Ἐρώτημα.

Ὁ εἰς ἔθνη κρατηθεὶς, καὶ μαγαρίσας, καὶ ἐν κοίτῃ μιανθεὶς, μήπω δὲ * μυλσυμανίσας, μυρώνεται; ἢ τὰς εὐχὰς τῆς μιαροφαγίας λαμβάνει καὶ κοινωνεῖ;

* Μυσυλμανίσας

Ἀπόκρισις.

Ὁ μιαροφαγήσας, τὸν Χριστὸν ἀρνεῖται· καὶ οὐκ εὐθὺς ἔσται δεκτὸς, ἀλλὰ μετὰ χρόνον, ἄξια μετανοίας ἔργα ποιήσας, ἵνα μυρωθῇ. καὶ μετὰ ταῦτα, μεταλάβῃ.

Ἐρώτημα.

Εἰ οὐκ ἔχει τόπον ἡ Ἐκκλησία τοῦ ἀποχύνειν τὸ ἀπόλουμα τῆς κολυμβήθρας, ποῦ ὀφείλει χύνεσθαι.

Ἀπόκρισις.

Ὅπου ἐστὶ τόπος καθαρὸς, καὶ μὴ πατούμενος.

Ἐρώτημα.

Αἱ τῆς αἰτερίδων προσφοραὶ, δεκταί εἰσιν, ἢ οὔ;

Ἀπόκρισις.

Οὐχί. ὑπὸ ἐπιτίμιον γάρ εἰσί. καὶ οὔτε προσφοραὶ, οὔτε θυμίαμα δεχθήσεται.

Ἐρώτημα.

Ἱερεὺς ἐὰν ἀποκαρῇ, ἔστιν ἄξιος ἱερουργῆσαι;

Ἀπόκρισις.

Ἐὰν καὶ πρώην ἦν ἄξιος, οὐ κωλύεται διὰ τῆς ἀποκάρσεως.

Ἐρώτημα.

Ἔστιν ἄξιον ποιεῖν φωτίσματα τῆς ἁγίων Θεοφανίων, καὶ λοιπὸν, ἐν ἀγγείῳ οἱῳδηποτοῦν;

Ἀπόκρισις.

Τὰ τῆς θείων φωτισμάτων ἀγγεῖα, μόνοις τοῖς φωτίσμασιν ἀφοριζέσθωσαν.

Ἐρώτημα.

Δούλους καὶ δούλας ζευγνυμένους παρὰ τῆς κυρίων αὐτῆς ἄνευ εὐλογήσεως, μεταδώσομεν τῆς θείας κοινωνίας, ἢ προσδεξόμεθα τὴν θυσίαν αὐτῆς;

Ἀπόκρισις.

Ἐπεὶ μίξις ἄνευ ἱερολογίας πορνεία ἐστὶ, κἄν τε δοῦλος ᾖ ὁ ἀνευλόγητος, κἄν τε ἐλεύθερος, οὔτε εἰς δωροφορίαν προσδεκτέος, οὔτε εἰς προσευχὴν ἐν οἴκῳ Κυρίου. Ἐπεὶ καὶ ὁ θεῖος Ἀπόστολος μήτε συνεσθίειν κελεύειν, μήτε συναναμίγνυσθαι τούτοις. ἀλλὰ καὶ οἱ δεσπόται, ἐπεὶ προδόται τῆς τῆς δούλων ἀπωλείας εἰσὶν, ὡς αὐτοὶ προτρεπόμενοι τούτους ἐπιμίγνυσθαι, εἴγε δύναιντο ἀναστέλλειν τὸ πάθος, τῆς τῆς δούλων δεσποτείας ἐκπίπτουσι, κατὰ τὸ νεαρὸν θέσπισμα τοῦ κλεινοῦ ἡμῶν αὐτοκράτορος, κυροῦ Ἀλεξίου.

Ἐρώτημα.

Ἔστιν ἄξιον ἀναδέχεσθαι τὰ παιδία τῆς παίδων αὐτῆς.

Ἀπόκρισις.

Οὐκ ἔστι νόμος, ἢ βασιλεὺς ταῦτα κωλύων.

Ἐρώτημα.

Ἔστιν ἄξιον ἱερέα βαπτίσαι τὸ ἴδιον παιδίον;

Ἀπόκρισις.

Ἀκώλυτόν ἐστι τοῦτο.

Ἐρώτημα.

Ἐὰν ὦσιν ἀδελφοὶ δύο, ἢ τρεῖς, ἢ πλείους, καὶ δέξηται ὁ εἷς παιδίον, ἵνα λέγωνται ὅλοι σύντεκνοι;

Ἀπόκρισις.

Οὐχί. ἀλλὰ μόνος ὁ δεξάμενος.

Ἐρώτημα.

Ἐὰν γυνὴ εὐτρεπισθῇ πρὸς γάμου εὐλόγησιν, καὶ συμβῇ αὐτῇ τὰ συνήθη, ἆρα ὀφείλει μεταλαβεῖν;

Ἀπόκρισις.

Περιμενεῖ τὴν κάθαρσιν, καὶ οὕτω τὰ τῆς ἱερολογίας ἀκωλύτως, καὶ τὰ τῆς μεταδόσεως τῆς ἁγιασμάτων προβήσεται.

Ἐρώτημα.

Εἰ δὲ ἀνάξιοι εἰσὶν οἱ ἀμφότεροι τοῦ μεταλαμβάνειν, ἆρα ὀφείλουσι μεταλαβεῖν διὰ τὴν εὐλόγησιν, καὶ ἔκτοτε ἐπιτιμηθῆναι;

Ἀπό-

Α'πόκρισις.

Πρὸς τὸ εἶδος καὶ τὴν διαφορὰν τῶν ἁμαρτήματος ἔψεται καὶ ἡ οἰκονομία.

Ε'ρώτημα.

Ε'ὰν γυνὴ γρυνήση, καὶ εἰσέλθωσι τινὲς εἰς τὴν οἰκίαν αὐτῆς, πόσον ὀφείλουσιν ἐπιτιμηθῆναι ἐπὶ τῷ μεταλαβεῖν;

Α'πόκρισις.

Α'πολυσάμβυοι ὲν τῇ ἐξῆς τῆς ἁγιασμάτων ὐ κωλυθήσονται

Ε'ρώτημα.

Εἰδὲ καὶ τὸ βρέφος βαπτισθῆ, ὀφείλει θηλάζεσθαι παρὰ τῆς αὐτοῦ μητρὸς, ἔτι οὔσης ἀκαθάρτου;

Α'πόκρισις.

Θηλάσει πάντως τὸ βρέφος, ἵνα μὴ ἀπόληται.

Ε'ρώτημα.

Καλόν ἐστι τὸ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα ἡμῶν πνευματικοῖς ἀνδράσιν;

Α'πόκρισις.

Καλὸν μὲν, καὶ πάνυ ὠφέλιμον, ἀλλὰ μὴ τοῖς ἀπείρως καὶ ἰδιωτικῶς περὶ τὰ τοιαῦτα διακειμένοις. ἵνα μὴ διὰ τῆς ἀλόγου συμπαθείας καὶ οἰκονομίας, ἢ διὰ τῆς ἀκαίρου καὶ ἀνεπισήμονος παρατάσεως τῆς ἐπιτιμίων καταφρονητὴν ἢ ῥάθυμον ἢ παρειμένον σε ἀπεργάσηται. Ε'ὰν δὲ εὕρῃς ἄνδρα πνευματικὸν καὶ ἔμπειρον, δυνάμενόν σε ἰαξεῦσαι ἀνεπαισχύντως καὶ μετὰ πίστεως, ἐξομολόγησαι αὐτῷ, ὡς τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώπῳ.

Ε'ρώτημα.

Εἰ δὲ μὴ εὕρω ἄνθρωπον, ὡς ὂν ἔχω πληροφορίαν ἐξομολογήσασθαι, τί ὀφείλω ποιῆσαι;

Α'πόκρισις.

Ε'ξομολόγησαι τῷ Θεῷ κατιδίαν, κατακρίνων ἑαυτόν, καὶ λέγων καθ' ὁμοιότητα τοῦ τελώνου. Ο' Θεός ἡμῶν, σὺ ἐπίσασαι, ὅτι ἁμαρτωλός εἰμι, καὶ ἀνάξιος πάσης συγχωρήσεως. ἀλλὰ σῶσόν με σὺ ἕνεκεν τοῦ ἐλέους σου.

Ε'ρώτημα.

Ε'ξομολογούμενος δὲ τῷ Θεῷ, μνημονεύσω, καὶ ἀπαριθμήσω πᾶσαν ἁμαρτίαν, ἣν ἔπραξα.

Α'πόκρισις.

Οὐδαμῶς· μάλιστα, ἐὰν σώματι καὶ πορνείᾳ ἁμάρτῃς. Ε'ν ὅσῳ γὰρ θέλεις μνημονεῦσαι τῆς δεινῆς, καὶ τῆς δεινῆς, μολυνεῖται σου ἡ ψυχή. Λοιπὸν καλὸν, καθ' ὁμοιότητα τοῦ Τελώνου λέγειν. Ο' Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

μβύαις, ἄνδρ νεωτερισμῶ κ) χολάνσεως ἀεὶ ἐμμβύωμβυ, κ) τ᾽ντεῦθεν τῆς ἐν τοῖς ὐρανοῖς βασιλείας τυγχάνωμβυ. Οὕτως ἄρα σοφῶς τε κ) φιλοσόργως, ἡ ἁγιότης ἡ σή. ἴσω τοίνυν αὐτὴ, ἡμῖν ὐδὲν μᾶλλον σπυδάζεσθαι τύτων. Ὁ μβὼ γὰρ ἀρχιερεὺς τῆς Ρ᾽ώμης νεωτερισμὸν ἡμῖν ἐγκαλεῖ, διότι πρὸ πεντήκοντα ἐτῶν, διὰ ἀνδρὸς, θείᾳ ἐλλάμψει, κ) ζήλῳ τῆς ἀληθείας, διαφέροντος Μαρτίνυ τῦ Λυτέρυ, τὰ βελτίω διδαχθέντες, οἱ περὶ τὰς ἐνταῦθα τόπυς, κ) ἀλλαχῦ τῆς Γερμανίας πολλοὶ τῶν ταῖς θείαις γραφαῖς λίαν μαχομβύων ἐκείνυ δογμάτων κ) παραδόσεων, ἀπεχώρησαν. Οἱ δὲ θεοσεβέστατοι ἄρχοντες κ) Θεολόγοι ἡμῶν, ἐπιτομὴ τῆς ἀρχαίας, κ) ἐκ τῦ παραδεισυ ἐφ᾽ ἡμᾶς πεμελθύσης πίσεως, συγγραψάμβυοι, πρὸ τεσσαράκοντατεσσάρων ἐτῶν, τῷ ἀοιδίμῳ ἐν αὐτοκράτορσι, Καρόλῳ τῷ πέμπτῳ, τότε ἐν Αὐγύστῃ τῆς Οὐινδελικῶν πόλει, σωάξιν ἄγοντι, ἐπιδιδόντες, τῆς ἑαυτῶν ὀρθοδοξίας λόγον ὑπέχον, ἥτις ἐπιτομὴ, κ) Αὐγυσταία ὁμολογία διὰ τῦτο ἐπεκλήθη, ἧς ἔτι κ) νῦν ἡμεῖς ἐχόμεθα. Ταύτῃ ἓν τῇ τῶν μακαρίτων πατέρων ἡμῶν πεμβόητον ἐξομολογήσιν (δι᾽ ἣν, ἀπὸ πολλῶν μέχει δεῦρο ἐτῶν, μυριάδες μαρτύρων ἐγβύοντο) τῇ σῇ ἁγιότητι, πρὸ πέντε πυ μηνῶν, πρὶν τὰ αὐτῆς πεμπόθητα γράμματα ἐλθεῖν, ἐπέμψαμβυ, ἐλπίζοντες ἡμᾶς, εἰ τάχα κ) περί τινα ὀλιγάττομβυ ἔθιμα διὰ τὸ πάμπολυ ἐκτετοπισμβύον ἡμῶν, πάντως γ᾽ ἓν εἰ τοῖς Κυρίοις τῆς σωτηρίας κεφαλαίοις, μὴ νεωτερίζειν, ἀλλὰ τῇ ὑπὸ τῶν ἁγίων ἀποστόλων τε κ) προφητῶν, κ) τῶν θεοφόρων πατέρων, κ) Παξιαρχῶν, κ) τῶν ταῖς θεοδότοις γραφαῖς ἐπωκοδομημβύων ζ᾽. Συνόδων παραδοθεῖσαν πίσιν (ὅσον ἡμᾶς γε σωίσναι) περιωτύσεσθαί τε κ) ὀλαφυλάττειν. Τοιγαροῦν, ἐν τῷ παρόντι ὐκ ἐκείναμβυ δεῖν, ὀλιγ᾽ πλειόνων τῇ ἁγιότητί συ σχολεῖν, ὡς ἄλλως περὶ τὸ τὰς ἑαυτοῦ ἐκκλησίας πιςότατα ποιμαίνειν, κ) τὰ πρὸς τὴν σωτηρίαν αὐτῶν φέροντι φιλαγρύπνως σπυδάζειν, ἀχολωτάτῃ ὄσῃ, ἀλλὰ τῇ σοφωτάτῃ αὐτῆς, κ) θεοσεβεςάτῃ, περὶ ἧς ἐπέμψαμβυ ὁμολογίας κείσιν, κ) ἀπόκεισιν περιμβύειν, ἓν κ) ἐν τῷ ἐκνεμβύῳ καιρῷ (μόνον μὴ ἐπαχθεῖς τῇ ἁγιότητί συ ὧμβυ) ἡμῖν παξικῇ ψυχῆς ὀλιγθέσει γίνεσθαι, μ᾽ πάσης ὀλαβείας, κ) ταπεινώσεως δεόμεθα, εἰ ἄρα ὁ οἰκτίρμων ὐράνιος πατὴρ, ὀλιγ᾽ τὸν ἀγαπητὸν ἑαυτῦ υἱὸν, τὸν μόνον κοινὸν σωτῆρος ἡμῶν, ἡμᾶς ἑκατέρωθεν ποιήσειεν, εἰ ἓ πλεῖσον ἀλλήλων ταῖς οἰκήσεσι διωρίσμεθα, ἀλλὰ τῇ περὶ τὸν ὀρθοδοξίαν γε σωαφείᾳ ἐγγὺς ἀλλήλων εἶναι, κ) τὸν Κωνσαντίνυπολιν, ἓ τὸν τύβιγγαν, Χριςιανικῆς ὁμοδοξίας κ) ἀγάπης δεσμῷ ἀλλήλαις σωδεῖσθαι, ὅτινος ὐδὲν ἂν ἡμῖν ὀλκτότερον γένοιτο. πάντως γὰρ, ὐδενὸς θεμελίου ἄλλου τῆς πίσεως (κατὰ τὸν φιλοφρονεςάτην τῆς ἁγιότητός συ ὀχλῶ) παρὰ τὸν κείμβυον (ὅς ἐςιν ὁ ἀκίνητος ἀκρογωνιαῖος λίθος, Χριςός, ἡ αὐτοαλήθεια) τηρεῖν σὺν Θεῷ σπυδάζομεν, ἀνεωτερίςως τε κ) ἀχωλάντως. Ἔῤῥωσο, πανάγιώτατε Κύριε, μ᾽ τῶν σεμνοτάτων πρεσβυτερίυ, ἐπιπολὺ τῆς χειμωνύμυ ποίμνης ὀτυχῶς προνοῶν, κ) ἡμᾶς συγγνώμης τε ἀξιῶν, κ) εἰς τὸν παξικὸν σπυδαιότητα ὀνοϊκῶς ἀναλαμβάνων. ἀπὸ Τυβίγγης, τῇ κ᾽. Μαΐυς Μαρτίυ, ἔτει τῆς σωτηρίας ἀφοέ.

Ἰάκωβος ὁ Ἀνδρέας, τῆς θεολογίας διδάσκαλος τῆς τε ἐν Τυβίγγι ἐκκλησίας πραιπόσιτος, κ) τῆς ἐνταῦθα ἀκαδημίας Καγκελλάριος.

Μαρτῖνος ὁ Κρύσιος, ἐν Τυβίγγῃ τῆς Λατινίδος τε κ) Ἑλλάδος παιδείας διδάσκαλος.

Ι Ε Ρ Ε Μ Ι Α Σ

Ἐλέῳ Θεῦ ἀρχιεπίσκοπος Κωνσαντίνυπόλεως νέας Ρ᾽ώμης, κ)

ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ

Τοῖν σοφωτάτοιν ἓ λογιωτάτοιν ἀνδροῖν, τῷ τε τῆς θεολογίας διδασκάλῳ Κυρίῳ Ἰακώβῳ τῷ Καγκελλαρίῳ, κ) Κυρίῳ Μαρτίνῳ τῷ Κρυσίῳ, εὖ πράττειν.

Ἰδὲ σὺν Θεῷ ἄνδρες σοφώτατοι Γερμανοὶ, κατὰ πνεῦμα υἱοὶ τῆς ἡμῶν μετριότητος ἀγαπητοὶ, τὰ ὑμῖν πρὸ πολλῦ ποθύμβυα, κ) ἐκ μέσης πρὸς ὑμῶν ζητηθέντα τῆς ψυχῆς γράμματα, τελειωθέντα, τῇ ὑμῶν πέμπομβυ ἀγάπῃ μεθ᾽ ἧς προσήκει πνβυματικῆς ὀφροσύνης, κ) τῆς τῦ προσώπυ παξικῆς πρὸς τὰ τέκνα ἱλαρότητος. Εὐχόμεθα δὲ Θεῷ κ) τῇ παμμακαρίςῳ αὐτῦ μητρὶ, ὀφρανεῖν ὑμᾶς κατὰ τὸν διπλῶν ἄνθρωπον. ἂν δέ γε τυχὸν ἔντισι τῶν δογμάτων τῆς ἡμετέρας ὀσεβείας, κατὰ πρώτιν ὄψιν ὐκ ὀφρανεῖ, ὅμως πεπείσμεθα σοφὺς ὄντας, πλήρεις τε παιδύσεως κ) φρονήσεως, μηδὲν ἄλλο προλιμήσειν ὑμᾶς, ἤτε δηλονότι νομοθεσίαν ἡμυτόμυν κ) ἄντιχρυς ἀντιφερομβύλιν τῇ τῦ Κυρίυ ἡμῶν ὀλαγγελικῇ φιλοσοφίᾳ, ἤτε χρόνον, ᾧ ἄλλως ἐν ἄλλοις κατεχρήσαθαι δόγμασιν, ἤτε συνηθείᾳ παραλόγῳ (ἄνθρωποι κ) Γὰρ ὄντες ἅπαντες ἐπισφαλεῖς ἔχομβυ κ) τὰς ἐπινοίας ἡμῶν κατὰ τὸν σοφὸν Σολομῶντα) τῆς ἀληθείας αὐτῆς, μᾶλλον δὲ εἰπεῖν τῆς αὐτοαληθείας, κ) αὐτοσοφίας τῦ Κυρίυ ἡμῶν Ἰησῦ Χριςῦ, ᾧ οἵτε θεῖοι μαθηταὶ αὐτῦ κ) ἀπόσολοι, κ) οἱ κανονικοὶ αὐτῆς κ) σωτηριώδεις λόγοι, αἵτε οἰκυμβυικαὶ, κ) μεμηκῆ τῶν ἁγίων πατέρων σύνοδοι, κ) οἱ τῆς ἐκκλησίας θεολογικώτατοι κήρυκες, ὁμολήλως συμφωνῦσι, κ)







Ἱερεμίας Β΄ ὁ Τρανός.

ΔΥΌ ΕΠΙΣΤΟΛΑΙ

ΑΙ΄ ΠΡΟ΄Σ ΤΟ΄Ν ΠΑΤΡΙΑ΄ΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟ΄ΛΕΩΣ ΚΥ΄ΡΙΟΝ

ΙΕΡΕΜΙΑΝ ΣΤΑΛΛΕΙΣΑΙ

Περὶ τῆς αὐγουστέας ὁμολογίας παρὰ τῶν ἐν τυβίγγῃ πόλει τῆς Γερμανίας, τῆς Λουθέρου θρησκείας Θεολόγων.

ΕΠΙΣΤΟΛΗ΄ ΠΡΩΤΗ

Τῷ παναγιωτάτῳ τῆς ἐν τῇ Κωνσταντινουπόλει, καὶ πέριξ, Χριστιανικῆς Ἐκκλησίας Πατριάρχῃ, Κυρίῳ τιμιωτάτῳ ἐν τῷ Σωτῆρι ἡμῶν, χαίρειν.

Ἐπειδὴ παναγιώτατε Κύριε, εδηλώθημοι, τὴν ἁγιότητά σου, ἃ πρότερον ἔγραψα, σφόδρα εὐνοϊκῇ ψυχῇ δέξασθαι, ταύτῃ ἐγὼ νῦν θαρρήσας αὖθις τῇ ἁγιότητί σου ἐτόλμησα προσφωνεῖν, τῆς ἴσης τεύξεσθαι συγγνώμης ἐλπίζων, πρῶτον μὲν οὖν, ὑπὲρ τῆς πατρικῆς χρηστότητός σου ταύτης, χάριν ἔχω μετ᾽ αἰδοὺς τὴν προσήκουσαν. εἶτα δὲ, βιβλιάριόν τι πέμπω, τὰ τῆς πίστεως ἡμῶν ὅλης κεφάλαια περιέχον, ὅπως ἡ σοῦ ἁγιότης βλέπῃ τὴν θρησκείαν ἡμῶν τίς ἐστι, καὶ εἰ ἄρα τῇ παρὰ ταῖς τῆς ἁγιότητός σου ἐκκλησίαις διδασκαλίᾳ συμφωνοῦμεν, ἤ τι τάχα διαφωνοῦν ἔστιν, ὅπερ οὐκ ἂν θέλοιμι. Δέομαι δὲ μεγάλως τὴν ἁγιοτητά σου, αὐτὸ, μετὰ τῆς αὐτῆς, ἧς τὰ πρότερα, εὐνοίας δέχεσθαι, καὶ, εἰμὴ βαρὺ, τὴν σοφωτάτην ἑαυτῆς περὶ τούτων κρίσιν εὐνοϊκῶς δηλοῦν, ἢ ἄρα, τοῦ Θεοῦ διδόντος, τὰ αὐτὰ ἐν Χριστῷ φρονοίημεν. Ἔρρωσο παναγιώτατε πάτερ, σὺν τῇ παρὑμῖν ἐκκλησίᾳ πάσῃ, ἐπὶ μήκιστον, τὴν χριστοσεβῆ μου σπουδὴν μετὰ πατρικῆς διαθέσεως σκοπῶν. ἐν τυβίγγῃ τῇ ιϛ΄. μηνὸς μαιμακτηριῶνος ὃν Σεπτέμβριον καλοῦμεν ἔτει τῆς σωτηρίας ᾳφοδ΄.

Ἰάκωβος ὁ Ἀνδρέου, τῆς θεολογίας διδάσκαλος, τῆς τε ἐν τυβίγγῃ Ἐκκλησίας Πραιπόσιτος, καὶ τῆς ἐνταῦθα Ἀκαδημίας Καγκελλάριος.

Κἀγὼ Μαρτῖνος ὁ Κρούσιος, Λατινικὸς καὶ Ἑλληνικὸς ἐνταῦθα διδάσκαλος, συνῄνεσα.

ΕΤΕΡΑ ΕΠΙΣΤΟΛΗ΄

Τῷ παναγιωτάτῳ καὶ οἰκουμενικῷ Πατριάρχῃ,

ΚΥΡΙΩ ΙΕΡΕΜΙΑ,

Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως Νέας Ῥώμης Κυρίῳ θεοφιλεστάτῳ. Χαίρειν ἐν Χριστῷ.

Ἐδεξάμεθα τὴν τιμίαν ἐπιστολὴν τῆς ἁγιότητός σου, θεοφιλέστατε Κύριε, ἐνισταμένου τοῦ νῦν ἔτους, ἢ τοσούτῳ μείζονα τὴν χαρὰν ἤνεγκεν ἡμῖν, ὅσῳ μετὰ διακαεστέρου τοῦ πόθου, πολὺν ἤδη χρόνον ἡμῖν προσεδεδόκητο. εὐχαριστοῦμεν οὖν ἐκ ψυχῆς, πρῶτον μὲν, τῷ ἀληθινῷ ἡμῶν θεῷ, καὶ σωτῆρι Χριστῷ, εἶτα δὲ τῇ τιμίᾳ σου ἁγιότητι, τῷ μὲν, οὕτω πατρικῶς τὸ πρᾶγμα ᾠκονομηκότι, τῇ δὲ οὕτω φιλοφρόνως πρὸς ἡμᾶς ἐσχηκυίᾳ, καὶ ἐχούσῃ, τῷ γὰρ ὄντι, οὐδαμῶς μικρὸν τὸ εὐεργέτημα, οὐδὲ μικρὰ ἡ τιμὴ, τὸ, ἐν οὕτως ὑψηλῷ βαθμῷ ἀξιώματος οὖσαν τὴν ἁγιότητά σου, ἡμᾶς πάμπολυ αὐτῆς ὑποβεβηκότας, ἀποκρίσεως ἀξιῶσαι. ποίας δὲ ἀποκρίσεως, σοφῆς μὲν καὶ εὐσεβοῦς μάλιστα περί τε τοῦ ποιμένος τοῦ καλοῦ, καὶ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, πατρικῆς δὲ καὶ κηδεμονικῆς πάνυ, ὑπὲρ ἡμῶν τῆς σωτηρίας ὅπως δηλαδὴ τῇ ὑγιεῖ πίστει, καὶ ταῖς σωτηρίοις ἐντολαῖς, ταῖς ὑπὸ τοῦ ἀρχιποίμενος Χριστοῦ, διὰ τῶν θεοπνεύστων ἑαυτοῦ διακόνων προστατο-

μέ-

τοῖς τὰ ἐκείνων ἔργῳ φυλάττουσιν ἐντάλματα, σωτηρίαν πάντως, καὶ βασιλείαν οὐρανῶν, προξενοῦσιν, ὥσπερ αὖ τοῖς ἀπειθέσι καὶ παραβαίνουσιν, τὴν αἰώνιον κόλασιν καὶ κατάκρισιν. ἐὰν οὖν θέλητε καὶ εἰσακούσητέ μου (φησὶν ὁ Κύριος) τὰ ἀγαθὰ τῆς γῆς φάγεσθαι. οὕτω δὴ καὶ ἡ μετριότης ἡμῶν ὡς Χριστοῦ διάδοχος τῷ ἐκείνου ἐλέει, τῇ ὑμῶν παραινεῖ ἀγάπῃ. εἶθε συμφρονήσοιτε τῇ ἡμετέρᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ. ὅπερ εἰ ἀληθῶς καὶ ὁλοψύχως ἔργοις ποιήσετε, χαρὰ πάντως ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἔσται, ἐπὶ τῇ ἑνώσει τῆς ἑκατέρων ἐκκλησίας, τῇ εἰς δόξαν Χριστοῦ γενήσεσθαι ἐλπιζομένῃ.

Μηνὶ Μαΐῳ Ἰνδικτιῶνος τετάρτης.

ΑΠΟΚΡΗΣΙΣ ΠΡΩΤΗ

Πατριάρχου Κωνσταντινουπόλεως

ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ,

Πρὸς τὴν Αὐγουσταίαν ὁμολογίαν, πεμφθεῖσα εἰς Τύβιγγαν ἀφος.

Δεξάμενοι τὰ παρὰ τῆς ὑμετέρας ἀγάπης πεμφθέντα ἡμῖν γράμματα τότε βιβλιάριον τὸ τὰ κεφάλαια τῆς ὑμῶν πίστεως περιέχων, καὶ τὴν ἀγάπην ἀποδεχόμενοι, τὸ συμφωνοῦν ἡμῖν, καὶ διαφωνοῦν σαφηνήσωμεν κατὰ τὴν ἀξίωσιν ὑμῶν. τὸ γὰρ τῆς ἀγάπης χρῆμα πλήρωσιν ἔχει νόμου καὶ προφητῶν. πληροῦσθαί γε μὴν αὐτὴν φαμὲν, οὐ ψιλαῖς μόνον ῥημάτων προφοραῖς, ἀλλ' αὐτοῖς τοῖς πράγμασι, καὶ τοῖς ἔργοις μαρτυρουμένην καλῶς. ὥσπερ δὴ καὶ οἱ πολυτελέστατοι τῶν λίθων, οὐ λόγοις τὸν ἔπαινον δέχονται, ἀλλ' ἐκ τῆς οἰκείας ἐνεργείας παρὰ τοῖς γινώσκουσι τῶν ἀνθρώπων θαυμάζονται. ταύτην καὶ ὑμεῖς ἐμφανίσαντες πρὸς ἡμᾶς τὴν ἀγάπην, ἄνδρες σοφώτατοι Γερμανοὶ, καὶ τὸ ἐκ ταύτης ἀναματτόμενοι καύχημα, ἡμῖν ταῦτα κοινωνήσαντες, ἐγνωρίσατε.

Ἀποκρινόμενοι οὖν, οὐδὲν οἴκοθεν λέξομεν, ἀλλ' ἀπὸ τῶν ἁγίων καὶ Οἰκουμενικῶν ἑπτὰ συνόδων, ἃς καὶ ὑμεῖς καλῶς ποιοῦντες, ὡς γράφετε, στέργετε, καὶ ἀποδέχεσθε, καὶ κατὰ τὴν γνώμην τῶν θείων διδασκάλων, καὶ ἐξηγητῶν τῆς θεοπνεύστου γραφῆς, οὓς ἡ τοῦ Χριστοῦ καθολικὴ ἐκκλησία, γνώμη κοινῇ ἀπεδέξατο, ὡς λόγοις καὶ θαύμασιν, οἷά περ ἕτερος Ἥλιος, τὴν οἰκουμένην ἐφώτισαν. ἅτε τοῦ ἁγίου πνεύματος ἐν αὐτοῖς πνεύσαντος, καὶ δι' αὐτῶν λαλήσαντος, ἃ δὴ ἀπαρασάλευτα εἰς αἰῶνας ἔσται, ὡς τῷ τοῦ Κυρίου λόγῳ τεθεμελιωμένα.

Ἡ γὰρ τοῦ Χριστοῦ ἐκκλησία, κατὰ τὸν θεῖον παῦλον εἰπεῖν, στύλος ἐστὶ καὶ ἑδραίωμα τῆς ἀληθείας. Ἧς πύλαι ᾅδου, κατὰ τὴν θεσπεσίαν τοῦ Κυρίου ἐπαγγελίαν, οὐ κατισχύσουσι. κἂν τινές τι παρασύρωσιν ἀλλόκοτα φανταζόμενοι, αὕτη μένει οὐδὲν ἧττον ἀσφαλὴς, καὶ ἀκράδαντος, ἐστηριγμένη παγίως ἐπὶ τὴν πέτραν, καὶ οἷς ἐπεστήριται ἡ ἀλήθεια. καὶ γὰρ οἱ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ὅλοι τῆς ἀληθείας εἰσὶ, καὶ οἱ μὴ τῆς ἀληθείας ὄντες καθάπαξ, οὐδὲ τῆς τοῦ Χριστοῦ ἐκκλησίας εἰσίν. Ὅθεν ἡμεῖς ἀληθείᾳ στοιχοῦντες, τὸν ὑγιῆ λόγον, εἰς οἰκοδομὴν τῆς ἀληθοῦς πίστεως συνεισφέρομεν. κἂν τούτῳ εὐχῆς δεόμενοι τῆς παρὰ τῶν ἀγαπώντων τὸν Κύριον, ἵνα τῇ θείᾳ χάριτι αὐτοῦ, ὁ ἡμέτερος νοῦς, εἰς ὁδὸν εἰρήνης κατευθυνθείη.

Καὶ ὑμῶν οὖν, ὦ ἄνδρες Γερμανοὶ σοφώτατοι, καὶ τέκνα ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, βουλομένων, ὡς νουνεχῶν, ὁλοψύχως τῇ ἡμετέτερᾳ προσελθεῖν ἁγιωτάτῃ ἐκκλησίᾳ, ἡμεῖς ὡς πατέρες φιλόστοργοι, προθύμως τὴν ὑμετέραν ἀγάπην καὶ φιλοφροσύνην ἀποδεξόμεθα, ἐὰν θελήσητε τοῖς ἀποστολικοῖς καὶ συνοδικοῖς δόγμασι συμφόνως ἡμῖν ἀκολουθήσειν, καὶ τούτοις ὑπείξειν. Τηνικαῦτα γὰρ τῷ ὄντι συγκοινωνοὶ ἡμῖν ἔσεσθε, καὶ ὡς παῤῥησίᾳ ὑποταγέντες τῇ καθ' ἡμᾶς ἁγίᾳ καὶ Καθολικῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ, παρὰ πάντων τῶν νουνεχῶν ἐπαινεθήσεσθε, καὶ οὕτω ταῖς δυοῖν ἐκκλησίαιν μιᾶς σὺν θεῷ γενομένης, τοῦ λοιποῦ συζήσομεν, καὶ συμβιοτεύσομεν θεαρέστως, ἕως οὗ καὶ τῆς ἐπουρανίου τύχοιμεν βασιλείας, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

Ἐγράφη σὺν Θεῷ ἐν Κωνσταντινουπόλει, ἔτει ἀπὸ τῆς ἐν σάρκου οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀφος. Μαΐου ιέ. ἐν τῇ πατριαρχικῇ καὶ σεβασμίᾳ μονῇ τῆς ὑπεραγίας Θεοτόκου Μαρίας.

Ἱερεμίας ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ Οἰκουμενικὸς πατριάρχης.

Δευτέρα Πατριάρχου Κωνσταντινουπόλεως

ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ

ἀπόκρισις, εἰς Τύβιγγαν πεμφθεῖσα

Ἱερεμίας ἐλέῳ θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, νέας Ῥώμης, καὶ Οἰκουμενικὸς πατριάρχης.

Ἡ Μετριότης ἡμῶν, δεξαμένη, τὰ τῆς ἀγχινοίας, ὑμῶν, ἃ δεύτερον πεπόμφατε Γράμματα, περίτε τῆς τοῦ Ἁγίου πνεύματος ἐκπορεύσεως, καὶ ἄλλων Θεολογικῶν ζητημάτων, πάλαι μὲν ἀνταπεκρίνατ' ἄν, εἴγε μὴ εἰς Δῦσιν καὶ πελοπόνησον ἀποδημοῦσα ἐτύγχανεν. εὐχαριστοῦσα οὖν Θεῷ τῷ δοτῆρι παντὸς ἀγαθοῦ, πολλῶν μὲν καὶ ἄλλων ἕνεκα εὐφραίνεται, οὐχ ἥκι-

σα

σα δὲ τῷ ὂν πολλοῖς ὑμᾶς τῇ ἡμετέρα συμφωνεῖν ἐκκλησίᾳ. Γινοιτο δὲ καὶ ἐν οἷς διαφωνοῦμεν, δικαίως συμφωνήσειν, νεύσει Θεοῦ, τὸ τὰ πάντα πρὸς τὸ συμφέρον τελειοῦντος.

Ἤδη ἔν ἐκ τῆς Θείων γραφῶν τινὶ ὀρθοδοξίαν ἐπιγνόντες, προσέλθετε αὐτῇ ὁλοψύχως πάσαν καινοτομίαν ἄτοπον, ἵν' ὁ χορὸς τῆς οἰκουμενικῶν Διδασκάλων καὶ ἡ ἐκκλησία ὑ παρεδέξατο, μακρὰν πόρρω ἀφ' ὑμῶν ἀπορρίψαντες, ὡς ἄνδρες σοφοὶ καὶ εἰδήμονες. Οὕτω γὰρ ἀμφότεροι μακαρισμοῦ ἄξιοι ἐσόμεθα. ὑμεῖς τε οἷα πειθόμενοι τοῖς ἡγεμόσιν ὑμῶν & ὑπείκοντες, καὶ μηδόλως εἰς ὁδὸν χρήσιμον λογομαχοῦντες, καὶ ἡμεῖς οἷα εἰς ὦτα λαλήσαντες ἀκουόντων, καὶ εἰς τινὰ ἀγαθὴν γῆν σπείροντες. Λαὶ γὰρ ἐν πᾶσι σχεδὸν τοῖς κυριωτέροις συμφωνοῦντες ὑ χρὴ ὑμᾶς τινὰ τῆς ῥητῆς τῆς Γραφῆς ἄλλως ἐξηγεῖσθαι καὶ ἐννοεῖν, ἢ ὡς οἱ φωσῆρες τῆς ἐκκλησίας & οἰκουμενικοὶ Διδάσκαλοι ἐξηγήσαντο. Οἱ αὐτοὶ μὴ συμφώνως τῇ αὐτοαληθείᾳ Χριστῷ τῷ Θεῷ ἡμῶν ἐξηγήσαντο. Ἡμεῖς δέ, ἤτοι ἡ ἐκκλησία ἡμῶν ταῦτα κρατοῦμεν καὶ τούτων ἐχόμεθα. Οὐδὲν γὰρ ἄλλο τὸ αἴτιον τῆς ἀσυμφωνίας, ἢ τοῦτο καὶ μόνον, ὅπερ ὑμεῖς διορθοῦντες, σωὶ Θεῷ σύμφωνοι καὶ τὸ ὂν περὶ τινὰ πίστιν ἐσόμεθα εἰς Δοξαν Θεοῦ. Ἡμεῖς γὰρ καλῶς σκοπήσαντες τινὰ τῆς ῥητῆς τῆς Γραφῆς, ἅπερ καὶ ἐν τοῖς πρώτοις & ἐν τοῖς δευτέροις ὑμῶν γράμμασι πρὸς ἡμᾶς ἐπέμψατε, ἔγνωμεν προφανῶς, ὑμᾶς ταῦτα παρεξηγεῖσθαι, ἴσως ἑπόμενοι νέοις ὑμῶν Διδασκάλοις. Διὸ & αὖθις ἀξιοῦμεν ὑμᾶς, ὕτω νοεῖν τὰ ῥητὰ ὡς οἱ Οἰκουμενικοὶ διδάσκαλοι τῆς ἐκκλησίας ἐξηγήσαντο, ὧν τὰς ἐξηγήσεις αἵτε Οἰκουμενικαὶ Σύνοδοι, καὶ αἱ λοιπαὶ τοπικαὶ ἐπεκύρωσαν. Ὡς γὰρ προείπομεν, ὑ χρὴ μεταίρειν ὅρια αἰώνια ἃ ἔθεντο οἱ Πατέρες, ἵνα μὴ τὸν ὅρον τὸν ἐν ἀρχῇ ῥηθέντα τῆς ε'. παραβαίνοντες, τοῖς ἐπιτιμίοις ὑποκείσώμεθα. Ἔτι ἔν ἄχρι τοῦ παρόντος ἡμάρτηται, ὡς ἀνεχεῖς τὸ ἀπὸ τοῦδε διορθοῦντες, ἄξιοι ἐπαίνου Θεοῦ τε καὶ ἀνθρώποις, καὶ ἡμῖν ἐσεσθε. Τὸ μὲν γὰρ ἁμαρτάνειν ἀνθρώπινον, τὸ δὲ διορθοῦσθαι Ἀγγελικὸν καὶ σωτήριον. Οὗ φρονεῖτίσοιτε, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις καὶ τὸ ἔλεος, ἔσῃ ὑμῖν.

Μηνὶ Μαΐῳ, ἰνδικτιῶνος Ζ'. φοθ'.

Τέτη παξιάρχυ Κωνσταντινυπόλεως

ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ

Ἀπόκρισις, εἰς Τύβιγγαν πεμφθεῖσα.

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινυπόλεως, νέας Ῥώμης, & οἰκουμενικὸς Παξιάρχης.

Ἀφίκετο ὡς ἡμᾶς, ὦ ἄνδρες σοφώτατοι Γερμανοὶ καὶ τὸ ἀρτίως ἀποσταλὲν παρ' ὑμῶν βιβλίον. Ἐν ᾧ καὶ πάλιν αἰτίας δικαίους δῆθεν & λόγυς προβάλλεσθε, μὴ ἐχικνεῖσθαι λέγοντες ὅλως τὸ ἱκανὸν, ἐκ τῆς ἡμῶν πρὸς τὰ αὐτόθεν πρῶτα ἀπολογίας, ὑδὲ ἴσασί πω ὑμῶν ἡ διάνοια ἅτε μὴ μόνον παρὰ τῆς θείας γραφῆς, ἀλλὰ καὶ παρὰ τῆς θείων τῆς ἐκκλησίας πατέρων, διδασκομένη τὰ ἀληθέστερα καὶ βελτίονα.

Ἀξιοῦμεν δὲ ὑμᾶς τοῦ λοιποῦ μὴ κόπυς παρέχειν ἡμῖν, μηδὲ περὶ τῆς αὐτῆς γράφειν καὶ ἐπιστέλλειν, εἴγε τὰς τῆς ἐκκλησίας φωσῆρας καὶ Θεολόγυς ἄλλο τε ἄλλως μεταχειρίζεσθε. καὶ τοῖς λόγοις τιμῶντες αὐτὰς, καὶ ἐπαίροντες, τοῖς ἔργοις ἀθετεῖτε, & τὰ ὅπλα ἡμῶν ἄχρηστα ἀποδεικνύετε, τὰς λόγυς αὐτῆς τὰς ἁγίας καὶ θείας, δι' ὧν ἂν ἡμεῖς γράφειν καὶ ἀντιλέγειν ὑμῖν εἴχομεν. ὥστε, τὸ καθ' ὑμᾶς, ἀπηλλάξατε τῆς φροντίδων ἡμᾶς. Τινὰ ὑμετέραν ἔν πορδιόμενοι, μηκέτι μὴ περὶ δογμάτων, φιλίας δὲ μόνης ἕνεκα, εἰ βελτιὸν, γράφετε. ἔρρωσθε.

Ὁ Κωνσταντινυπόλεως Ἱερεμίας.

Ἐξεδόθη κατὰ τὸ ἀφπά. Ἔτος, Μηνὶ Ἰυνίῳ ε'.

Ὁ Πρωτονοτάριος Θεοδόσιος.

Ἡ Αὐγυσταία αὕτη ὁμολογία, ἤτοι τὰ τῆς τῆς Λυθήρων θρησκείας δόγματα, αἵτε Δογματικαὶ ἀποκρίσεις τοῦ Παξιάρχυ, καὶ αἱ ἀνταποκρίσεις πρὸς αὐτὰς τῆς ἐν Τυβίγγῃ Θεολόγων εἰσὶν ἐν τῷ βιβλίῳ κειτὴς της ἀληθείας καλυμμένῳ, τυπωθέντι τὸ δεύτερον ἐν Λειψίᾳ τῆς Σαξωνίας. ἐν ἔτει 1758. παρὰ Ἰωάννῃ Γόττλοπ Ἐμμανυὴλ Πρείτκοπφ.

ΠΕΡΙ ΤΗΣ ΕΝ ΓΙΑΣΙΩ ΣΥΝΟΔΟΥ ΕΠΙ ΠΑΡΘΕΝΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΠΑΤΡΙΑΡΧΟΥ

Τῦ γέροντος, καὶ Βασιλέως Ἡγεμόνος

ΚΑΤΑ ΤΟΥ ΛΟΥΚΑΡΕΩΣ, ΚΑΙ ΤΟΥ ΚΑΛΒΙΝΙΚΟΥ ΒΙΒΛΙΔΙΟΥ.

Αὕτη ἡ σύνοδος ἐτυπώθη ἐν Οὐρατισλαυΐᾳ, καὶ κοινῶς βρεσλαύβ. ἐν ἔτει Χριστῦ 1751.

Ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ δευτέρῳ ἐφάνη εἰς Κωνσταντινούπολιν βιβλίδιόν τι σωτηριῶδες ἐπ' ὀνόματι τοῦ Κυρίλλου Λουκάρεως πατριάρχου, καὶ τετυπωμένον· περιεῖχε δὲ κεφάλαια δέκα ὀκτώ, καὶ ἐρωτήσεις τέσσαρας, ἐν οἷς ὑπεγράφετο ἡ αἵρεσις τῦ Καλβίνου, εἶχε δὲ καὶ ἐπισολὴν συντετυπωμένην Καλβινικὴν, ἥτις καὶ αὐτὴ ἔλεγε σύγγραμμα εἶναι τοῦ Κυρίλλου τὸ βιβλίδιον. ὁ δὲ Κύριλλος ἐπιζήσας μὴ τὸ φανῆναι τὸ βιβλίδιον χρόνους ἓξ, οὐδὲν ἐναντίον ἔγραψεν, οὔτε ὀνόμασε τὸ βιβλίδιον ἔψεξεν, ἀλλ' ἔλεγε μόνον τόσον, ὅτι οὐκ ἔχουσι τὰ κεφάλαια σύσασιν, ὅτι οὐκ ἔστι σύγγραμμα αὐτοῦ, ὡς ἐδιημολογεῖτο ποτὲ περὶ τῆς αἱρέσεως αὐτοῦ Μάρκελλος ὁ Γαλάτης. ὅθεν ὁ ἀντίδικος αὐτοῦ ὁ ἐκ Βερροίας Κύριλλος σωώδου ἀθροίσας εἰς Κωνσταντινούπολιν κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν τεσσαρακοστὸν ὄγδοον ἔτος, ἐν μηνὶ Σεπτεμβρίῳ, παρόντων καὶ τοῦ Ἀλεξανδρείας κυρίου Μηξοφάνους, καὶ τοῦ Ἱεροσολύμων κυρίου Θεοφάνους, ἀνεθεμάτισε καὶ τὸν Κύριλλον Λούκαριν καὶ τὰ κεφάλαια αὐτῦ. ἀλλὰ καὶ εἰς τὴν πατριαρχίαν παρθενίου τοῦ Γέροντος ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ· Βασίλειος Βοεβόδας ἡγεμονεύων τῆς Μολδοβλαχίας μέγα τότε δυνάμενος καὶ παρὰ τῇ τῶν ὀθωμανῶν βασιλείᾳ, καὶ παρὰ τῷ Κράλῃ τῆς λεχίας, ἐπρέσβευσεν εἰς τὴν ἐν Κωνσταντινουπόλει Σύνοδον, καὶ ἔπεμψεν ὁ πατριάρχης σαρθενίου Γέροντος τινὰς ἀρχιερεῖς εἰς τὸ Γιάσιον, καὶ τὸν διδάσκαλον Μελέτιον τὸν Συρίγου, ἐμεσίτευσε δὲ καὶ εἰς τὸν Κράλην τῆς Λεχίας καὶ ἦλθεν ὁ Πέτρος Κιέβου ὁμολίας, καὶ ἄλλοι τινὲς πάλιν εἰς τὸ Γιάσιον, ὅπου συγκροτηθείσης σωώδου ἐν ἔτει χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ ξ΄ τῳ. Μηνὶ Μαρτίῳ, ἡμέρᾳ ια΄., κρίνονται πάλιν αἱρετικὰ τὰ κεφάλαια, καὶ ἀναθεματίζονται ὁμοῦ καὶ ὁ συγγραφεὺς αὐτῶν. οὐκ ἀνεθεμάτισαν δὲ οἱ τῆς σωώδου πατέρες ὀνομαστὶ τὸν Κύριλλον, ἐπειδὴ οὐδέποτε ἤκουσαν αὐτοῦ εἰπόντος τί, ἢ συγγραψαμένου κατὰ τῆς ὀρθοδόξου πίστεως. ὅτος ὁ Κύριλλος Λύκαρις ἐν ἔτει Χριστῦ ἑξακοσιοστῷ εἰκοστῷ πρώτῳ τὸν Νικόδημον Μεταξᾶν προεχειρίσατο ἀρχιεπίσκοπον Κεφαλληνίας καὶ Ζακυνθου, ἀποσπάσας ταύτην ἀπὸ τῆς Κορίνθου.

ΣΗΜΕΙΩΜΑ ΣΥΝΟΔΙΚΟΝ

χρόν. ἀπὸ Χριστ. 1155.

Ἐπὶ τῆς βασιλείας τοῦ Κομνηνοῦ

ΚΥΡΙΟΥ ΜΑΝΟΥΗΛ,

Πατριάρχου ὄντος Λευκᾶς τοῦ Χρυσοβέργη περὶ τοῦ βαπτίζεσθαι νήπια αἰχμαλωτισθέντα. καὶ περὶ τῶν ἀγαρηνῶν.

Τινὲς ἐπαρχῶν, διὰ τὴν ἀμφιβολίαν, βαπτίζεσθαι τοὺς παῖδας αἰχμαλώτους, ἵνα μὴ δόξωσιν ἀναβαπτίζειν τοὺς προβαπτισθέντας. περὶ δὲ τούτου πολλάκις ἀμφισβήτησις γέγονε συνοδικῶς. νηπίων γὰρ ἀπὸ χριστιανικῆς χώρας αἰχμαλωτισθέντων παρὰ σκυθῶν καὶ ἀγαρηνῶν, καὶ διαπραθέντων πρὸς Ῥωμαίους, ἀμφιβολία γέγονεν, εἰ χρὴ τοὺς πωληθέντας βαπτισθῆναι. ἔλεγον γάρ τινες ὡς ἐπεὶ ἀπὸ χριστιανικῆς χώρας αἰχμαλωτίσθησαν * προσληψίσεσι βαπτισθῆναι κατὰ χώραν ἐν νηπιότητι, καὶ οὐ χρὴ αὖθις ἀναβαπτισθῆναι. ἤρεσε δὲ μᾶλλον ὀφείλειν βαπτισθῆναι, διὰ τὸ μὴ εἰδέναι τούτους εἰ ἐν νηπιότητι ἐβαπτίσθησαν, μήτε τινας διϊσχυρίζεσθαι διαβεβαιουμένους τὸ βάπτισμα. περὶ δὲ τῶν ἀπὸ χώρας ἀπίστων αἰχμαλωτιζομένων, ὡρίσθη, ἀδιστάκτως αὐτοὺς βαπτίζεσθαι. εἰ μὴ μάρτυρες ὁμολογοῦσι, βαπτισθῆναι τούτους μὴ τὴν αἰχμαλωσίαν.

* προλήψις ἐστι

Ἐπὶ δὲ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου πατριάρχου Κυρίου Λευκᾶ παρέσησαν Ἀγαρηνοὶ συνοδικῶς· Ἀπαιτούμενοι βαπτισθῆναι, εἶπον ὡς ἔφθασαν εἰς τὰς χώρας αὐτῶν βαπτισθῆναι. καὶ ἐρωτώμενοι ὅπως, ἀπελογήσαντο, ὅτι συνήθεια ἐστὶ πάντα τὰ νήπια τῶν ἀγαρηνῶν βαπτίζεσθαι παρὰ ὀρθοδόξων ἱερέων· ἀλλ' οὐ παρεδέχθησαν. ἦκουσαν γάρ, ὡς τὸ παρὰ τῶν ἀπίστων ζητούμενον ἀπὸ τῶν χριστιανῶν βάπτισμα, οὐ κατὰ διάθεσιν ἀγαθὴν καὶ προαίρεσιν ὀρθόδοξον ζητεῖται, ἀλλὰ διὰ θεραπείαν σωματικήν. δέδοκται γὰρ παρὰ τοῖς ἀγαρηνοῖς, τὰ τέκνα τούτων δαιμονᾶν, καὶ κατὰ κώας ὄζειν, εἰ μὴ βαπτίσματος τύχωσι χριστιανικοῦ. κἀντεῦθεν ἔχ ὡς καθαρτήριον παντὸς ῥύπου ψυχικοῦ, καὶ φωτὸς θείου καὶ ἁγιασμοῦ πάροχον, ἀναλαμβάνονται τὸ βάπτισμα, ἀλλ' ὡς φαρμακείαν, ἢ ἐπῳδήν. τινὲς δὲ ἐξ αὐτῶν μητέρας εἶχον ἔχειν ὀρθοδόξους, καὶ ἀπὸ σπουδῆς τούτων βαπτισθῆναι αὐτοὺς παρὰ ὀρθοδόξων. ἀλλ' οὐδὲ ὅτοι εἰσηκούσθησαν, ὅτι οὐ παρέσησαν * μάρτυρες, τοῦτο αὐτὸ μαρτυροῦντες. μᾶλλον μὴν ἂν καὶ κατεγνώσθησαν, ὡς μὴ ἀγαθὴν * προσληψιν δίδοντες καθ' ἑαυτῶν, εἰς τὸ μὴ προσέρχεσθαι τῇ πίστει ὀρθῶς. διὸ καὶ ἐξεχωρήθη, πάντως τούτους βαπτισθῆναι.

* μάρτυρας

* προλήψιν



Μ. Ζάβορδας, Γρεβενῶν. Ἡ σφαγὴ τῶν Νηπίων, 17ου αἰ.



Μεγ. Λαύρα. Ἐπίτιτλον, (Κῶδ. Α113), 14ου αἰ

Ἀ Ρ Μ Ε Ν Ο Π Ο Υ Ἀ Λ Ο Υ

Π Ε Ρ Ι Ἀ Ι Ρ Ε Σ Ε Ω Ν.

Α'. Ἀρειανοί.

Οἱ περὶ τὸν Ἄρειον, κτίσμα τὸν υἱὸν τοῦ Θεοῦ λέγοντες, τό, ἔμπροσθεν μὴ γέγονεν, ὅπερ Ἰωάννης ὁ Εὐαγγελιστὴς ἐκ προσώπου λέγει τοῦ προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἀντὶ τοῦ πρὸ ἐμοῦ ἐκτίσθη, παρεξηγοῦνται. Ἐλέγχονται δὲ κακῶς φρονεῖν, ἐκ τοῦ μετ' αὐτὸ, διότι πρῶτός μου ἦν. τοὐναντίον γὰρ πάντως εἰπεῖν ὤφειλον, ὅτι πρῶτός μου ἐστὶ διότι πρῶτός μου γέγονεν, ἀλλ' ἡμεῖς τὸ ἔμπροσθεν μὴ γέγονεν ἀντὶ τοῦ ἐνδοξότερος, καὶ προτιμότερός μου γέγονεν ὀρθῶς φρονοῦντες νοοῦμεν. ἐλέγχονται δὲ καὶ ἐξ ἄλλων πολλῶν, καὶ ἐκ τοῦ εἰπεῖν τὸν αὐτὸν Ἰωάννην, Ἐν ἀρχῇ ἦν ὁ λόγος, ὅπερ ἔστιν ἐξ ἀρχῆς, καὶ Θεὸς ἦν ὁ λόγος. οἱ αὐτοὶ καὶ τὸ πάντα δι' αὐτοῦ ἐγένετο, ὡς δι' ὀργάνου τινὸς εἰρήσαν, πρίονος τυχὸν ἢ ἑτέρου τοιούτου. ἀλλ' ἡμεῖς ὡς δι' υἱοῦ φαμὲν τὸν βασιλέα τινὰ δὲ τυχὸν κτίσαι τινὰ πόλιν, οὕτω καὶ τοῦτο νοοῦμεν, οἱ αὐτοὶ καὶ μονογενῆ τὸν υἱὸν τοῦ Θεοῦ λέγουσιν, ὡς μόνον γνώμῃ ὑπ' αὐτοῦ, ὡς τἄλλα ὑπ' αὐτοῦ τάχα, τοῦ Χριστοῦ γνωμένων. ἡμεῖς δὲ μονογενῆ τοῦτον φαμὲν, ὡς μόνον ἀῤῥήτως ἐξ αὐτοῦ πρὸ πάντων αἰώνων ἁπάντων γεγεννημένον, καὶ ἄλλα πολλὰ τοιαῦτα παρεξηγοῦνται τὴν οἰκείαν αἵρεσιν συνιστῶντες.

Β'. Μακεδονιανοί.

Οἱ περὶ τὸν Μακεδόνιον, δεῦτον καὶ κτίσμα, τὸ πανάγιον λέγοντες πνεῦμα, καὶ τὸ παρὰ τοῦ Ἰωάννου ῥητὸν, τὸ φάσκον, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἐνταῦθα σίξαντες ἀπ' ἄλλης ἀρχῆς λέγουσιν, ὃ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν, περὶ τοῦ ἁγίου πνεύματος τοῦτο νοοῦντες. ἡμεῖς δὲ ἀναγινώσκοντες, ὡς ἐν ἀρχῇ προτέτακται, περὶ τοῦ υἱοῦ τὸ ὅλον εἰρῆσθαι νοοῦμεν.

Γ'. Σαβελλιανοί.

Οἱ περὶ τὸν Σαβέλλιον, τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα τὰς ξεῖς ὑποστάσεις, καὶ τὰ ξία πρόσωπα τῆς μακαρίας θεότητος μίαν ὑπόστασιν, καὶ ἓν πρόσωπον ἐδογμάτιζον· ποτὲ μὲν ὡς πατέρα, ποτὲ δὲ ὡς υἱόν. ἔστι δ' ὅτε καὶ ὡς πνεῦμα φαινόμενον. ἐλέγχονται δὲ ἐκ τοῦ εἰπεῖν Ἰωάννην, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, ἀντὶ τοῦ, μετὰ Θεοῦ· δύο προσώπων ἐνταῦθα εἰσαγομένων. καὶ ἐξ ἄλλων πολλῶν διαγελικῶν ῥήσεων.

Δ'. Ἀπολλιναριανοί.

Οἱ περὶ τὸν Ἀπολλινάριον τὸν Λαοδικέα, ἄνευ σάρκα καὶ ἄψυχον, προσειληφέναι τὸν Κύριον λέγουσιν, ὡς ἀντὶ νοῦ καὶ ψυχῆς ἀρκούσης αὐτῷ τῆς θεότητος. παρεξηγούμενοι, τό, καὶ ὁ λόγος σὰρξ ἐγένετο. μὴ εἰδότες, ὡς ἡ θεία γραφὴ σάρκα τὸν ἄνθρωπον ὀνομάζει, ὡς ἔχει καὶ τό, ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. οἱ αὐτοὶ καὶ ἐκ τοῦ, λύσατε τὸν ναὸν τοῦτον, συνηγορίαν ἑαυτοῖς πεποιήκασιν, ὕτω λέγοντες. Εἰ ναὸς ἡ σὰρξ τοῦ Κυρίου λέγεται, ἄψυχος δὲ ὁ ναὸς, ἄψυχος ἄρα καὶ αὕτη. οἱ αὐτοὶ καὶ τὴν σάρκα ταύτην ἐκ τοῦ οὐρανοῦ λέγουσιν τὸν Κύριον ἔχοντα, ὡς Διὰ σωλῆνος, ὕτως ἐλθεῖν διὰ τῆς παρθένου, ἐκ τοῦ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ Θεοῦ, ὁ ὢν ἐν τῷ οὐρανῷ, τοῦτο δῆθεν πιστοῦμενοι. μὴ εἰδότες ὡς διὰ τὸ ἐν δύο φύσεσι μίαν Ὑπόστασιν τὸν Χριστὸν ἔχειν, ὕτως εἴρηται.

Ε'. Εὐτυχειανοί.

Οἱ περὶ τὸν Εὐτυχῆ καὶ Διόσκορον, κατὰ φαντασίαν ἔλεγον τὸν υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γεγονέναι, μίαν ἔχοντα φύσιν. ἐκ οἶδ' ὅπως νοοῦντες

τες τὸ παρὰ Ἰωάννῃ, καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἄλλα τοιαῦτα πολλά.

ϛ'. Παυλιανοί.

Οἱ περὶ Παῦλον τὸν Σαμοσατέα, ψιλὸν ἄνθρωπον τὸν Χριστὸν ἔλεγον, θείας χάριτος καθάπερ οἱ προφῆται κατιξιωμένον. ἐλέγχονται δὲ ἐκ τοῦ τὸν Βαπτιστὴν Ἰωάννην εἰπεῖν, ὅτι πρῶτός μου ἦν, κατὰ τὴν προαιώνιον ὕπαρξιν δηλαδή. ἐπειδήπερ ὁ βαπτιστὴς κατὰ σάρκα πρότερος ἦν τοῦ Χριστοῦ. Οἱ αὐτοὶ καὶ τὸ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστίν, μὴ θαυμάζετε τοῦτο, οὕτως ἀναγινώσκουσι· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν ὅτι υἱὸς ἀνθρώπου ἐστί. ἐνταῦθα στίξαντες ἀπ' ἄλλης ἀρχῆς αὖθις ἀναγινώσκουσι, μὴ θαυμάζετε τοῦτο.

Ζ'. Νεστοριανοί.

Οἱ περὶ τὸν Νεστόριον, τὸν Χριστὸν ἔλεγον συνημμένον ἀδιασπάστως ἑαυτῷ τὸν τοῦ Θεοῦ λόγον δι' ἀρετὴν ἔχειν, ὡς δύο υἱοὺς ἐν αὐτῷ θεορεῖσθαι, ἕνα τὸν τοῦ θεοῦ, καὶ ἕνα τὸν τῆς παρθένου, καὶ διὰ τοῦτο καὶ χριστοτόκον, ἀλλ' οὐ θεοτόκον, τὴν ὄντως ἔλεγον θεοτόκον. ἐλέγχονται δὲ καὶ αὐτοὶ ἐξ ἄλλων τε πολλῶν, καὶ ἐκ τοῦ, καὶ ὁ λόγος σὰρξ ἐγένετο.

Η'. Μονοθελῆται.

Οἱ περὶ Σέργιον, καὶ Πύῤῥον, μίαν θέλησιν, καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ ἔλεγον, τοῦ ἐκ δύο φύσεων πεφυκότος.

Θ'. Ὠριγενειασταί.

Οἱ περὶ Ὀριγένην, προὔπαρξιν τῶν ψυχῶν κατὰ τοὺς ἕλληνας ἐδογμάτιζον, καὶ τέλος τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο, καὶ τὰς ψυχὰς γυμνὰς τῶν σωμάτων ἀνίστασθαι.

Ι'. Θεοπασχῖται.

Οἱ περὶ Πέτρον τὸν Κναφέα, τῷ τρισαγίῳ προσέθηκαν τό. Ὁ σταυρωθεὶς δι' ἡμᾶς. παθητὴν τὴν ἀπαθῆ ποιοῦντες θεότητα.

ΙΑ'. Μανιχαῖοι.

Οἱ περὶ Μαρκίωνα, καὶ Μάνεντα τὴν παλαιὰν τοῦ πονηροῦ δημιουργοῦ λέγουσιν εἶναι νομοθεσίαν. οἱ αὐτοὶ καὶ ἐπειδάντις ἀβάπτιστος παρ' αὐτοῖς ἀποθάνῃ, ὑπὸ τὴν Κλίνην τοῦ τετελευτικότος κρύψαντες τινὰ ζῶντα, προσιᾶσι τῇ κλίνῃ, καὶ ἐρωτῶσι τὸν νεκρόν, εἰ βούλοιτο βαπτισθῆναι, καὶ ἀποκρίνεται κάτωθεν ὁ κεκρυμμένος, ναί. καὶ οὕτως αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος βαπτίζουσι· καὶ ἐρωτώμενοι, λέγουσι τὸν ἀπόστολον τοῦτο διδάξαι ἐν τῷ λέγειν. εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; ἀγνοοῦντες ὡς διὰ τὸ ἐπὶ ὁμολογία τῆς τῶν νεκρῶν Ἀναστάσεως, καὶ ἐπ' ἐλπίδι ταύτῃ τοὺς βαπτιζομένους βαπτίζεσθαι τοῦθ' οὕτως εἴρηται. οὗτοι οἱ Μανιχαῖοι λέγουσι τὸν Χριστὸν Ἀποθέμενον ἐν τῇ γῇ τὸ σῶμα, ψιλὸν Θεὸν εἰς οὐρανὸν ἀνελθεῖν. οἱ αὐτοὶ καὶ τὸν κόσμον πονηρὸν, καὶ τὴν σάρκα διαβάλλουσι, τῆς τοῦ θεοῦ ταύτην δημιουργίας ἀλλοτριοῦντες. οὗτοι καὶ δύο ἀρχὰς δογματίζουσι, πονηράντε καὶ ἀγαθὴν, ἤτοι θεόντε καὶ ὕλην. τὴν παλαιὰν βλασφημοῦσι διαθήκην. Σελήνην καὶ ἀστέρας προσκυνεῖν οἷα Θεοὺς ἐπιτρέπουσι. σαρκὸς ἀνάστασιν ἀρνοῦνται. μετεμψύχωσιν διδάσκουσι. βοτάνας, καὶ δένδρα, καὶ ὕδωρ, ἔμψυχα εἶναι φάσκουσι. Μανιχαῖοι δὲ λέγονται, ὡς προσβεύοντες τὰ τοῦ Μάνεντος, ὃς παράκλητον ἑαυτὸν ἐκάλει, καὶ τὸν Χριστὸν δοκήσει καὶ φαντασίᾳ εἰσηγεῖτο πεφηνέναι.

ΙΒ'. Φωτεινιανοί.

Οἱ περὶ τὸν Μάρκελλον, καὶ Φωτεινὸν, καὶ Σωφρόνιον, τὴν ἁγίαν τριάδα μὴ ὁμολογοῦντες, ἀλλὰ πνεῦμα μόνον τὸν Θεὸν ὀνομάζοντες, τὸν τούτου λόγον ἐνέργειαν ἔλεγον εἶναι τὸ ἐκ σπέρματος Δαβὶδ ἐνοικήσασαν οὐκ οὐσίαν ἐνυποστάτως, κακῶς φρονοῦντες. Ὁ γὰρ τοῦ Θεοῦ λόγος, οὔτε προφορικὸς ἐστιν, οὔτε ἐνδιάθετος. οὗτοι γὰρ τῶν καθ' ἡμᾶς τε, ἐκ φυσικῶν. ἀλλ' ὁ ὑπὲρ φύσιν ὤν, οὐχ ὑποβάλλετας τοῖς κάτω τεχνολογήμασιν.

ΙΓ'. Εὐνομιανοί.

Οἱ περὶ τὸν Εὐνόμιον ταυτὰ τῷ ἀρείῳ, καὶ Μακεδονίῳ φρονοῦντες, καὶ τοὺς αὐτοῖς προσερχομένους κατὰ κεφαλῆς ἐβάπτιζον εἰς μίαν κατάδυσιν. καὶ τὴν κόλασιν δὲ τὴν μέλλουσαν, καὶ τὴν γέενναν, οὐ κατὰ ἀλήθειαν ἀλλὰ διὰ φόβον ἔλεγον ἀπειληθῆναι. οἱ αὐτοὶ καὶ ἀνόμιοι καλοῦνται, διὰ τὸ λέγειν, μηδεμίαν ἔχειν ὁμοιότητα, κατ' οὐσίαν τὸν υἱὸν καὶ τὸ πνεῦμα πρὸς τὸν πατέρα.

ΙΔ'. Ναυατιανοί.

Οἱ περὶ τὸν Ναυάτον τ' ἄλλα εὐσεβοῦντες, τὴν διγαμίαν ἐβδελύσσοντο, καὶ τοὺς παραπεσόντας, μετανοήσαντας οὐκ ἐδέχοντο.

ΙΕ'. Σαββατιανοί.

Οἱ περὶ τὸν Σαββάτιον ταυτὰ φρονοῦντες τοῖς Ναυατιανοῖς, καὶ τοῖς Ἰουδαίοις ἦσαν συνεορτάζοντες. οἱ αὐτοὶ καὶ ἀριστεροὶ καλοῦνται, ὅτι τὴν ἀριστερὰν εἰσὶ βδελυσσόμενοι χεῖρα, δι' αὐτῆς προσίεσθαι τὸ οἰονοῦν μητολμῶντες·

οἱ

οἱ αὐτοὶ καὶ τεσσαρεσκαιδεκατῖται, ὅτι μὴ κατὰ τὴν κυριακὴν, ὡς ἡμεῖς, ἀλλὰ κατὰ τὴν τεσσαρεσκαιδεκάτην τῆς σελήνης τὸ πάσχα μετὰ Ἰουδαίων τελοῦσιν. οἱ αὐτοὶ καὶ τετραδῖται, ὅτι τὸ πάσχα ἑορτάζοντες, οὐ καταλύειν, ἀλλὰ νηστεύειν αἱροῦνται, ὡς ἐν ταῖς τετράσιν ἡμεῖς, Ἰουδαίους κἂν τούτῳ μιμούμενοι, τοὺς μετὰ τὸ πάσχα, ἄζυμα καὶ πικρίδας ἐσθίοντας.

Ιϛ. Μουντανισταί.

Οἱ περὶ τὸν Μουντανὸν, ὃς ἑαυτὸν παράκλητον προσηγόρευε, καὶ Γυνέκας εἶχε δύο παρεπομένας αὐτῷ, πρίσκιλλαν, καὶ Μαξιμίλλαν, ἃς καὶ προφήτιδας ἐκάλει, καὶ πέπουζάν τινα κώμην Φρυγίας ἐκθηάζων Ἱερουσαλὴμ ὠνόμαζεν, οὗτοι οὖν εἰς ἓν πρόσωπον τὴν ἁγίαν τριάδα συναιροῦντες, καὶ τὸ πάσχα διέστρεφον, καὶ αἷμα παιδὸς κατακεντουμένου ἀλεύρῳ συμφύροντες καὶ ἀρτοποιοῦντες, προσέφερον καὶ μετελάμβανον ἐξ αὐτοῦ. καὶ τὸν γάμον ἐκώλυον, καὶ βρωμάτων τινῶν ἐδίδασκον ἀποχήν.

ΙΖ'. Δονατισταί.

Οἱ περὶ τὸν Δονάτον ὀστοῦν χειρὶ κατέχοντες, ἐκεῖνο πρότερον ἠσπάζοντο, καὶ οὕτω μετελάμβανον τῶν ἁγιασμάτων.

ΙΗ'. Μασαλιανοί.

Οἱ Μασαλιανοὶ τὰ τῶν Μανιχαίων νοσοῦντες, προσεξεῦρον καὶ ἄλλ' ἄττα μιαρώτερα. τὸν γὰρ νοῦν τῶν ἀνθρώπων ὑπὸ τῶν δαιμόνων κατέχεσθαι λέγουσι. τὴν ἀνθρωπείαν φύσιν τῶν δαιμόνων εἶναι κοινωνικήν. τὸ βάπτισμα μὴ τελειοῦν τὸν ἄνθρωπον, μηδὲ τὴν μετάληψιν, ἀλλὰ μόνην τὴν παρ' αὐτοῖς εὐχήν. φύσει εἶναι τὰ κακὰ ἐν ἡμῖν. τῆς κοινωνίας τοῦ νυμφίου αἰσθάνεσθαι τὴν ψυχὴν, ὡς ἡγυνὴ αἰσθάνεται τῆς τοῦ ἀνδρὸς συνουσίας. τὸν σταυρὸν βδελύσσονται. τὴν θεοτόκον οὐ τιμῶσιν. οὐδὲ τὸν πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην, οὐδὲ τοὺς ὁσίους, εἰ μὴ μόνον τοὺς μάρτυρας. οἱ βουλόμενοι, ἀποτέμνονται. λύουσι τοὺς γάμους. ὀμνύουσιν ἀδεῶς. ἐπιορκοῦσι. ἀναθεματίζουσι τὴν αἵρεσιν αὐτῶν.

Ταύτης τῆς λύμης ὑποπλησθεὶς καὶ Ἐλευθέριος ὁ παφλαγὼν, προσεξεῦρε καὶ αὐτὸς ἄξια ἑαυτοῦ. τὸν μοναχὸν δυσὶ συνευνάζεσθαι γυναιξὶ, καὶ χρόνον ἕνα ἐγκρατευσάμενον, τοῦ λοιποῦ καὶ ταῖς συγγενέσι ἀδεῶς χρῆσθαι, μηδὲν διαστέλλοντα.

Τὸ δὲ τῶν Μασαλιανῶν ὄνομα ἐξελληνιζόμενον, Εὐχίτας δηλοῖ. πολλὺ γὰρ παρ' αὐτοῖς τὸ τῆς εὐχῆς ὄνομα, ἣν καὶ τοῖς πολλοῖς ποιοῦσιν ἀνέκφορον. καλοῦνται δὲ ἐκ τοῦ πράγματος, καὶ ἐνθουσιασταί. Δαίμονος γὰρ ἐνέργειαν λαβόντες, πνεύματος ἁγίου εἶναι ταύτην ὑπολαμβάνουσιν. οἱ γὰρ τέλεον τὴν νόσον ταύτην εἰς δεδεγμένοι, ἀποστρέφονται μὲν τὴν τῶν χειρῶν ἐργασίαν ὡς πονηρὰν· ὕπνῳ δὲ ταπολλὰ σφᾶς αὐτοὺς ἐκδιδόντες, Ἐνθουσιασμὸν τὰς τῶν ὀνείρων φαντασίας καλοῦσι. φύσει λέγουσιν εἶναι τὰ κακὰ, καὶ ἐν ἑκάστῳ ἀνθρώπῳ πνεύματε θεῖον συνοικεῖν καὶ δαίμονα. τοὺς τικτομένους παῖδας ἐκ τοῦ προπάτορος ἕλκειν Ἀδὰμ ὥσπερ τὴν φύσιν, οὕτω δὴ καὶ τὴν πρὸς τοὺς δαίμονας δουλείαν, καὶ συνουσιωμένον φέρειν δαίμονα, ἑκάστῳ τούτων συνοικοῦντα καὶ καταξουσιάζοντα· καὶ τὸ μὲν βάπτισμα ἀδυνάτως ἔχειν ἐξελαύνειν αὐτὸν, ἢ τὰς ῥίζας ἀνασπᾶν τῶν ἁμαρτημάτων. μόνην δὲ τὴν ἐπιτεταγμένην αὐτοῖς Εὐχὴν ἐκεῖνον τε ἐξωθεῖν, καὶ ταύτας καθαίρειν καὶ μετὰ τὴν γενομένην τοῖς αὐτῶν τελειοτέροις ἀπάθειαν, ἐπιφοιτᾶν αὐτοῖς ὁρατῶς τὸ πνεῦμα τὸ ἅγιον, καὶ τῆς τῶν παθῶν κινήσεως τὸ σῶμα ἐλευθεροῦν, ὡς μηκέτι λοιπὸν δεῖσθαι μήτε νηστείας πιεζούσης αὐτὸ, μήτε διδασκαλίας Χαλινούσης, καὶ μὴ βαίνειν ἄτακτα παιδευούσης.

Τὴν ἁγίαν Τριάδα τοῖς αἰσθητοῖς λέγουσιν ὁρᾶν ὀφθαλμοῖς κἀντεῦθεν τὰ μέλλοντα προβλέπειν. νομοθετοῦσι μὴ δεῖν μεταδιδόναι τοῖς προσαιτοῦσιν, ἀλλ' ἑαυτοῖς καὶ μόνοις. ἑαυτοὺς εἶναι λέγοντες πτωχοὺς τῷ πνεύματι, οὓς καὶ ὁ Κύριος ἐμακάρισεν. οἱ αὐτοὶ καὶ Οὐαλεντινιανοὶ καλοῦνται, ὅτι κατὰ τοὺς χρόνους Οὐαλεντίνου, καὶ Οὐάλεντος ἡ τούτων ἐβλάστησεν αἵρεσις λέγονται δὲ καὶ Βογόμιλοι.

ΙΘ'. Βογόμιλοι.

Ἡ Τῶν Βογομίλων αἵρεσις, οὐ πρὸ πολλοῦ συνέστη τῆς καθ' ἡμᾶς γενεᾶς, μέρος οὖσα τῆς τῶν Μασαλιανῶν, καὶ συνφερομένη τὰ πολλὰ τοῖς ἐκείνων δόγμασιν, ἔστι δὲ ἃ καὶ προσεξευροῦσα καὶ τὴν λύμην αὐξήσασα. εἴη δ' ἂν Βογόμιλος κατὰ τὴν τῶν * Μυσῶν γλῶτταν ὁ τοῦ Θεοῦ τὸν ἔλεον ἐπισπόμενος. οὗτοι τὰς τῆς παλαιᾶς καὶ κενῆς ἀθετοῦσι βίβλους, μετὰ τοῦ ἐν αὐταῖς γεγραμμένου Θεοῦ, ὡς κατ' ἐπίπνοιαν γραφείσας τοῦ σατανᾶ, πλὴν μόνον ἑπτά. ὧν ἔστι καὶ τὸ εὐαγγέλιον. παρερμηνεύουσι δὲ καὶ ταύτας, καὶ βλασφήμοις ἐννοίαις καὶ μυσαραῖς πρὸς τὸ δοκοῦν αὐτοῖς μεταφέρουσιν. ἀτιμάζουσι τὸν θεῖον σταυρὸν, ὡς ἀναιρέτην τοῦ Κυρίου, ἔτι δὲ καὶ τὴν φρικτὴν ἱερουργίαν τοῦ δεσποτικοῦ σώματος καὶ αἵματος, τῶν ἐνοικούντων τοῖς ναοῖς δαιμόνων θυσίαν ταύτην ἀποκαλοῦντες. λέγουσιν γὰρ, ἐν πᾶσι τοῖς ἱεροῖς ναοῖς τοὺς δαίμονας κατοικεῖν, καὶ τὸ μὲν παρ' ἡμῖν βάπτισμα τοῦ Ἰωάννου λέγοντες, τὸ δὲ παρ' αὐτοῖς τοῦ σωτῆρος, μόνην ὀνομάζουσι προσευχὴν τὸ πάτερ ἡμῶν. τὰς δὲ ἄλλας ἀθετοῦσι, βαττολογίαν καλοῦντες. θεοτόκους λέγουσι, τοὺς παρ' αὐτοῖς ἔνοι-

* οἱ νῦν καλοῦνται βούλγαροι.

νοικον κτησαμβύους τὸ ἅγιον πνεῦμα, ὡς τὸν παραμείβοντι ἐοικότα· τὸ δὲ ἅγιον πνεῦμα, λόγον ἐν τῷ διδάσκειν γβυνῶντας. λέγουσιν ὡς νεανίαν δεινῶς ἐψιλωμβύον τὰς παρειὰς, οὐ μόνον ὄναρ, ἀλλὰ καὶ ὕπαρ βλέπειν, τὸν τῆβ δαιμόνων οὕτως ἐξαπατῶντων αὐτοὺς, καὶ μβὴ πατέρα ὡς γέροντα, καθειμβόν ἱκανῶς διδασκόντων ἄνισον εἶναι τιὼ ἁγίαν Τριάδα, τιὼ ὑπιλίῳ. τὸν δὲ υἱὸν, ἄρτι τὸν ἴουλον κατὰ τιὼ τῆβ σχημάτων τύπων διαφορὰν.

ΤΟ ΚΑΘΗΚΟΝ

ΚΑΙ ΟΡΟΣ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΑΠΟ ΤΟΥ ΝΟΜΙΜΟΥ ΒΙΒΛΙΟΥ

ΒΑΣΙΛΕΙΟΥ, ΚΩΝΣΤΑΝΤΙΝΟΥ, ΚΑΙ ΛΕΟΝΤΟΣ

Ἀπὸ τοῦ β'. Τίτλου, Κεφ. ά.

ΠΑξιάρχης ἐστὶν εἰκὼν Χριστοῦ ἔμψυχος, διὰ ἔργων καὶ λόγων ἐν ἑαυτῇ χαρακτηρίζουσα τιὼ ἀλήθειαν.

Σκοπὸς τῷ Παξιάρχῃ, πρῶτον μβὲν, ὃς ἐκ Θεοῦ παρέλαβον, ἐν εὐσεβείᾳ καὶ σεμνότητι βίον διαφυλάξαι. ἔπειτα δὲ καὶ πάντας τοὺς Αἱρετικοὺς κατὰ τὸ δυνατὸν αὐτῷ, πρὸς τιὼ ὀρθοδοξίαν καὶ τιὼ ἕνωσιν τῆς Ἐκκλησίας ἐπιστρέφειν. Αἱρετικοὶ δὲ τοῖς νόμοις καὶ τοῖς κανόσι καλοῦνται, οἱ τῇ καθολικῇ μὴ κοινωνοῦντες Ἐκκλησίᾳ. ἔτι δὲ καὶ τοὺς ἀπίστους διὰ τῆς λαμπρᾶς, καὶ περιφανεστάτης, καὶ θαυμασίας αὐτοῦ πράξεως ἐκπλήττων, μιμητὰς ποιῆσαι τῆς πίστεως.

Τέλος τῷ Παξιάρχῃ ἡ τῆβ καταπεπισβυμβύων αὐτῷ ψυχῶν σωτηρία, καὶ τὸ ζῆν μβὲ Χριστῷ, ἐσωρῶσθαι δὲ τῷ κόσμῳ.

Ἴδια παξιάρχου, τὸ εἶναι διδακτικὸν, τὸ πρὸς πάντας ὑψηλός τε καὶ ταπεινοὺς, ἀσυνοχωρήτως ἐξισοῦσθαι, καὶ πρᾶον μβὲ εἶναι πρὸς ἅπαντας τοὺς συντυγχάνοντας κἂν ταῖς διδασκαλίαις· Ἐλεγκτικὸν δὲ, πρὸς τοὺς ἀπειθοῦντας· ὑπὲρ δὲ τῆς ἀληθείας καὶ τῆς σωτηρήσεως τοῦ δικαίου, καὶ τῆς εὐσεβείας, λαλεῖν ἐνώπιον βασιλέως καὶ μὴ αἰσχυνέσθαι.

Τῆς πολιτείας ἐκ μερῶν καὶ μοιρῶν, ἀναλόγως τῷ ἀνθρώπῳ συνισαμβύης. Τὰ μέγιστα καὶ ἀναγκαιότατα μέρη ὁ βασιλεὺς ἔστι, καὶ ὁ παξιάρχης. Διὸ καὶ ἡ κατὰ ψυχιὼ καὶ σῶμα τῆβ ὑπηκόων εἰρήνη καὶ εὐδαιμονία, βασιλείας ἐστὶ καὶ ἀρχιερωσύνης ἐν πάσῃ ὁμοφροσύνῃ συμφωνία.

ΤΟ ΚΑΘΗΚΟΝ

Καὶ ὅρος τοῦ Ἐπισκόπου ἀπὸ τοῦ νομίμου βιβλίου Βασιλείου, Κωνσταντίνου, καὶ Λέοντος, ἀπὸ τοῦ ε'. Τίτλου.

ΚΕΦ. Α'.

ΕΠίσκοπος, ἐστὶν ἐπιτηρητὴς καὶ ἐπιμελητὴς πασῶν τῶν ἐκκλησιαζομβύων ψυχῶν, τῆβ ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ, δυνάμιν ἔχων πελεσικιὼ πρεσβυτέρου, διακόνου, ὑποδιακόνου, καὶ ἀναγνώστου, καὶ ψάλτου, καὶ μοναχοῦ.

Ἴδιον Ἐπισκόπου, τοῖς μβὴ ταπεινοῖς συγκατέρχεσθαι, καταφρονεῖν δὲ τῆβ ἐπαιρομβύων, καὶ πρὸς ταπείνωσιν ἔργῳ καὶ λόγῳ τῆβ ὑπερηφάνων τὸ φρόνημα καθέλκειν, καὶ προκινδυνεύειν τοῦ ποιμνίου, καὶ τιὼ ἐκείνων σωνοχωρείαν, οἰκείαν ὁμιλίαν ποιεῖσθαι.

ΤΟ ΚΑΘΗΚΟΝ

Καὶ ὅρος τοῦ βασιλέως ἀπὸ τοῦ νομίμου βιβλίου Βασιλείου, Κωνσταντίνου, καὶ Λέοντος ἀπὸ ά. Τίτλου.

ΚΕΦ. Θ'.

ΒΑσιλεὺς ἐστὶν ἔννομος ἐπισασία, κοινὸν ἀγαθὸν πᾶσι τοῖς ὑπηκόοις, μήτε κατὰ προσπάθειαν ἀγαθοποιῶν, μήτε κατὰ ἀντιπάθειαν κακοποιῶν. ἀλλ' ἀνάλογός τις ὢν ἀγωνοθέτης, καὶ τὰ βραβεῖα ἐξ ἴσου παρεχόμβυος.

Σκοπὸς τῷ βασιλεῖ, τῆβ τε μβυόντων καὶ ὑπαρ-



Μ. Παντοκράτορος. Ἐπίτιτλον. (Κῶδ. 10), 12ου αἰ.

ΙΣΤΕΟΝ ΟΤΙ ΕΙΣ ΑΝΑΠΛΗΡΩΣΙΝ

Τῆς παρούσης συλλογῆς τίθημι ἐνταῦθα καὶ τὰς σωάξεις, ἃς καὶ

ΣΥΝΟΔΟΥΣ ΑΠΟΣΤΟΛΩΝ

ΤΙΝΕΣ ΛΕΓΟΥΣΙΝ.

ΣΥΝΟΔΟΣ ΑΠΟΣΤΟΛΩΝ Α'.

Περὶ τῆς πρώτης ἀποστολικῆς συνόδου, τῆς τὸν Ματθίαν τῷ χορῷ τῶν ἀποστόλων συντιξάσης.

Ἡ πρώτη συνοδος τῶν ἀποστόλων ἐγένετο ἐν ἔτει ἑξακοσιοστῷ ἑβδόμῳ, ἢ ἑξακοσιοστῷ τεταρτῳ περὶ ἐκλογῆς ἀποστόλου ἀντὶ τοῦ προδότου Ἰούδα, ὅτε προτεθέντων Ἰωσὴφ καὶ Ματθίου, ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν.

Πράξ. Κεφ. ά.

Περὶ τῆς δευτέρας Συνόδου τῶν Ἀποστόλων, ἐπὶ καταστάσει τῶν ἑπτὰ διακόνων.

Ἡ δευτέρα συνοδος τῶν ἀποστόλων γέγονε περὶ τοῦ γογγυσμοῦ τῶν ἑλληνιστῶν πρὸς τοὺς ἑβραίους· ὅτι οἱ δώδεκα ἐκάλεσαν τὸ πλῆθος τῶν μαθητῶν, καὶ ἐπέτρεψαν αὐτοῖς αἱρεῖν ἀνδρας τῇ προκειμένῃ διακονίᾳ, οἵτινες ἐκλέξαντες ἑπτά, ἔστησαν ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν τοῖς ἑπτὰ τὰς χεῖρας, καὶ ἐποίησαν αὐτοὺς διακόνους.

Πράξ. Κεφ. Ἕκτῳ.

Περὶ τῆς ἕκτης Συνόδου τῶν ἀποστόλων, ὅτι ἕνεκεν τοῦ μὴ περιτέμνεσθαι τοὺς ἐξ ἐθνῶν πιστεύσαντας συναθροισθείσης, καὶ περὶ τῆς τοῦ Σίμωνος μάγου, καὶ τοῦ Κηρίνθου καταιρεφῆς ὑπὸ Πέτρου καὶ Ἰωάννου τῶν Ἀποστόλων.

Διὰ τὸ τινὰς κατελθεῖν ἀπὸ Ἰουδαίας εἰς ἀντιόχειαν, καὶ διδάσκειν ὅτι ἐὰν μὴ περιτέμνωνται οἱ πιστεύοντες εἰς Χριστὸν τῷ ἔθει Μωϋσέως, οὐδύανται σωθῆναι· ἐγένετο στάσις καὶ συζήτησις τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς. καὶ ἐπεὶ οὐκ ἦσαν, Παῦλος καὶ Βαρνάβας καὶ οἱ σὺν αὐτοῖς ἀξιόπιστοι τῷ πλήθει τῶν πιστῶν πρὸς τὴν λύσιν τῆς ἀμφιβολίας, ἔκριναν ἐλθεῖν αὐτοὺς εἰς Ἱεροσόλυμα ἤτοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, καί τινας ἄλλους σὺν αὐτοῖς πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους. συνήχθησαν δὲ οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. ἐδημηγόρησεν ὁ Πέτρος πρῶτον, εἶτα ὁ Παῦλος καὶ ὁ Βαρνάβας ἐξηγοῦντο ὅσα ἐποίησεν ὁ Θεὸς δι' αὐτῶν. ἐπειτα ἐπαναλαβὼν τὸν λόγον ὁ Ἰάκωβος εἶπε τὰ δόξαντα περὶ τοῦ ζητουμένου, ἐν οἷς προσέθεικεν ἵνα γράψωσιν αὐτοῖς ἀπέχεσθαι τῶν ἀλισγημάτων, καὶ πορνείας, καὶ πνικτοῦ, καὶ αἵματος, βεβαιώσαντες δὲ κοινῶς οἱ Ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ πᾶσα ἡ ἐκκλησία τοὺς λόγους τοῦ Πέτρου καὶ Ἰακώβου, ἔγραψαν τῷ ἐπισολῇ κοινῶς, ὡς ἐστὶν ἰδεῖν ἐν ταῖς πράξεσι κεφαλαίῳ δεκάτῳ πέμπτῳ. ἐγένετο δὲ ἡ συνέλευσις αὕτη τῷ ἑπτακαιδεκάτῳ ἔτει μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου, τοῦ δὲ Κλαυδίου Καίσαρος τῷ ὀνάτῳ, καὶ ἀπολοῦς τῷ πεντηκοστῷ πρώτῳ ἔτει τῆς σωτηρίας. μετὰ γοῦν τὴν τῶν Ἀποστόλων Συνόδον ἐξανέστη Σίμων ὁ μάγος, καὶ Κήρινθος, οὓς ἀπεκήρυξαν οἱ κορυφαῖοι τῶν ἀποστόλων, τὸν μὲν Σίμωνα, Πέτρος, τὸν δὲ Κήρινθον ὁ Ἰης θεολογίας ἐπώνυμος Ἰωάννης· μετὰ τύλος ἐξανέστη Οὐαλεντῖνος, Σεκοῦνδος, Μαρκίων, Βασιλείδης, Σατορνῖνος Καρποκράτης, ἐβίων, ἑρμογένης, ἀλέξανδρος ὁ χαλκεύς, καὶ οἱ σὺν αὐτοῖς.

Περὶ τῆς τετάρτης Συνόδου τῶν ἀποστόλων ἕνεκεν τῶν νόμων ἐθίμων.

Ἐγένετο τετάρτη Συνοδος τῶν Ἀποστόλων, πράξεων Κεφαλαίῳ εἰκοστῷ πρώτῳ, ἐν ἔτει πεντηκοστῷ ἕκτῳ, ἢ πεντηκοστῷ ὀγδόῳ, ὅτε ἀνελθὼν ὁ Παῦλος εἰς ἱεροσόλυμα ἐν ταῖς ἡμέραις τῆς πεντηκοστῆς εἰσῆλθε μετὰ τῶν σὺν

αὐτῷ

παρχόντων δι' ἀγαθότητος ἡ φυλακὴ, καὶ ἀσφάλεια, καὶ τῶν ἀπολωλότων δι' ἀγρύπνου ἐπιμελείας ἡ ἀνάληψις, καὶ τῶν ἀπόντων διὰ σοφίας καὶ δικαίων * ξοπαίων καὶ ἐπιτηδευμάτων ἡ ἐπίκτησις.

τρόπων

Τέλος τῷ βασιλεῖ, τὸ εὐεργετεῖν· διὸ καὶ εὐεργέτης λέγεται. καὶ ἡνίκα τῆς εὐεργεσίας ἐξ ἀτονήσῃ, δοκεῖ κιβδηλεύειν τὸν βασιλικὸν χαρακτῆρα. Ὑπόκειται ἐκδικεῖν καὶ διατηρεῖν ὁ βασιλεὺς, πρῶτον μὲν πάντα τὰ ἐν τῇ θείᾳ γραφῇ γεγραμμένα. ἔπειτα δὲ καὶ τὰ παρὰ τῶν ἑπτὰ ἁγίων συνόδων δογματισθέντα· ἔτι δὲ καὶ τοὺς ἐγκεκριμένους Ῥωμαϊκοὺς νόμους.

Ἐπισημότατος ἐν ὀρθοδοξίᾳ καὶ εὐσεβείᾳ ὀφείλει εἶναι ὁ βασιλεὺς, καὶ ἐν θείῳ ζήλῳ διαβόητος, ἔν τε τοῖς ὑπὲρ τριάδος δογματισθεῖσιν, ἔν τε τοῖς ὑπὲρ τῆς οἰκονομίας λαμπρότατα καὶ ἀσφαλέστατα διὰ τὴν κατὰ σάρκα ἐπιδημίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁρισθεῖσι. τουτέστι, τὸ ὁμοούσιον τῆς τρισυποστάτου θεότητος ἄτμητον καὶ ἀδιαίρετον τηρῶν, καὶ τὴν ἐν τῷ ἑνὶ Χριστῷ τῶν δύο φύσεων καθ' ὑπόστασιν ἕνωσιν ὡσαύτως ἀσύγχυτον καὶ ἀδιαίρετον· τέλειον Θεὸν, καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν, καὶ τὰ τούτοις ἑπόμενα· οἷον, ἀπαθῆ καὶ παθητὸν, ἄφθαρτον, καὶ φθαρτὸν, ἀόρατον καὶ ὁρατὸν, ἀναφῆ καὶ ἁπτὸν, ἀπερίγραπτον καὶ περιγραφόμενον· καὶ τὸ διττὸν τῶν θελήσεων καὶ τῶν ἐνεργειῶν, χωρὶς ἐναντιότητος.

ΤΩ̃ Α'ΘΑΝΑ'ΤΩ, ΚΡΑΤΙ'ΣΤΩ, ΚΑΙ' ΜΕΓΙ'ΣΤΩ, ΘΕΩ̃ Η'ΜΩ̃Ν ΤΙΜΗ' ΚΑΙ' ΔΟ'ΞΑ. Α'ΜΗ'Ν.

ΤΕ'ΛΟΣ ΤΟΥ̃ ΔΕΥΤΕ'ΡΟΥ ΤΟ'ΜΟΥ ΤΩ̃Ν ΙΕΡΩ̃Ν ΣΥΝΟ'ΔΩΝ.



Gracanica. Ὁ Πόκος τοῦ Γεδεών, 14ου αἰ.

αὐτῷ εἰς Γάκωβον, ὅπου παρεγένοντο οἱ πάντες οἱ πρεσβύτεροι. Ἐν ταύτῃ τῇ συνόδῳ γέγονε κρίσις φυλάττεσθαι τὰ ἔθιμα τοῦ νόμου κατ' οἰκονομίαν, ὡρίσθη γὰρ πρὸς καιρὸν αὐτὰ μένειν, καὶ ἐν μόνῃ τῇ Ἱερουσαλήμ, καὶ οὐ μόνοις τοῖς ἐξ Ἰουδαίων πιστοῖς.

Περὶ τῆς, πέμπτης καὶ ἕκτης Συνόδου τῶν Ἁγίων Ἀποστόλων, καὶ τοῦ πρὸς τὸν ἀπόστολον Πέτρον αὐτῆς ἐλέγχου διὰ τὸ εἰσελθεῖν αὐτὸν εἰς ἀκροβύστους, καὶ τοῦ κοινοῦ δόγματος αὐτῆς.

Ἀλλὰ δὴ καὶ ἄλλη ἐγένετο τῶν ἀποστόλων ἄθροισις, ἐν ᾗ ὅσοι κτίτορες χωρίων ἦσαν καὶ οἴκων, πολλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθεν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. πράξεων κεφαλ. τεσσάρων. καὶ αὐτῷ ενδεκάτῳ κεφαλαίῳ τῶν πράξεων ἐγένετο συνέλευσις τῶν Ἀποστόλων καὶ πρεσβυτέρων καὶ ἔκλεκτον τὸν Πέτρον ἐγκαλούμενον, ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθε, καὶ συνέφαγε αὐτοῖς, καὶ διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, ὁ δὲ ἐγκαλούμενος, Ἀπελογεῖται.

Τίνες καὶ ἄλλας παρὰ ταύτας τῶν Ἀποστόλων συνόδους ἱστοροῦσι, καὶ ἐν αὐταῖς τὴν μεγίστην καὶ ἀξιόλογον λέγουσι γεγονέναι ἐν ἔτει τετρακοσιοστῷ τεσσαρακοστῷ τετάρτῳ, ὁσιωτάτου ἀπ' ἀλλήλων χωρίζεσθαι ἔμελλον, ἐν ᾗ καὶ τὸ σύμβολον συνέθεντο, ὃ τῆς Ἀποστόλων ὀνομάζεται, καὶ πολλοὶ τῆς Δυτικῶν πατέρων φέρουσι μάρτυρας πρὸς βεβαίωσιν, ὡς τὸ σύμβολον τοῦτο τῆς Ἀποστόλων ἐστί, καὶ ἐμοὶ τοῦτο τοῖς γράμμασιν, ἀλλὰ τῇ παραδόσει ἐκοινώσαντο τοῖς μετέπειτα. ἀλλὰ περὶ μὲν τῶν ὧν ἱστοροῦσι συνόδων, ὅπως ἄντις βουληθείη φρονεῖν φρονείτω, ἐπειδὴ τὸ ἀποδέχεσθαι τὴν περὶ τούτων γνώμην, ἐδεμίαν τῇ ἐκκλησίᾳ προξενεῖ βλάβην.

Περὶ τῶν λεγόντων καὶ ἐν Ἀντιοχείᾳ Σύνοδον τῶν ἀποστόλων γενέσθαι.

Καὶ ἐν Ἀντιοχείᾳ γενέσθαι Σύνοδον τῶν Ἀποστόλων φασί. φέροντες εἰς μαρτυρίαν Γρηγόριον τὸν πισινέντος ἐπίσκοπον, λέγοντα ἐν τῇ ἑβδόμῃ οἰκουμενικῇ Συνόδῳ, εἴρηται ἐν τῇ κατὰ Ἀντιόχειαν τῶν ἁγίων Ἀποστόλων Συνόδῳ, μηκέτι πλανᾶσθαι τοὺς σωζομένους εἰς τὰ εἴδωλα, ἀλλ' ἀντεικονίζειν τῷ θεανδρικῷ ἄχραντον στήλῃ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πράξεων κεφαλ. ενδεκάτῳ. ἠθροίσθη ἐν αὐτῇ ἐν Ἀντιοχείᾳ, καὶ ἐξέθετο κανόνας ἐννέα, ὧν τινες τῆς Δυτικῶν πατέρων σημειοῦσι, οἵτινες εὑρίσκοντο ἐν τῇ βιβλιοθήκῃ τῇ γραμμένῃ παρὰ Παμφίλου τοῦ Μάρτυρος ἐν ἡμισαρείᾳ τῆς Παλαιστίνης, εἰ καὶ οἱ ἀνατολικοὶ ἐν ταῖς τῶν κανόνων σημειώσεσιν αὐτῆς οὐκ ἐμνήσθησαν. ἔστι δὲ τὸ διαληφθὲν ἀνωτέρω περὶ τῆς στήλης τοῦ κυρίου, ὄγδοος τῆς Συνόδου κανών. ὃν καὶ ἰδίως δέχεται ἡ ἐκκλησία, καὶ διὰ τὴν ἀπὸ τῆς ἑβδόμης Συνόδου παράδοσιν, καὶ διὰ τὸ εἶναι προσέτι σύμφωνον ταῖς ἀρχαίαις συμφωνίαις. καὶ γὰρ ἡ αἱμορροοῦσα ἀνέθετο στήλῃ τῷ σωτῆρι ἐν τῇ πανεάδι, ὡς ἱστορεῖ ὁ Εὐσέβιος βιβλ. ζ'. Κ. ιή. ᾧ ὁ Ἰουλιανὸς συνέθηκεν, ὡς ὁ σωζόμενος βιβλ. Γ'. Κ. ά. καὶ ὁ Νικηφόρος, βιβλ. ί. Κ. λ'.



Μ. Σταυρονικήτα. Ὁ Ἰησοῦς κρινόμενος ὑπὸ τοῦ Ἄννα καὶ Καϊάφα, 16ου αἰ.



Μεγ. Λαύρα. Ἐπίτιτλον, (Κῶδ. Α111), 14ου αἰ.

ΣΗΜΕΙΩΣΙΣ ΧΡΟΝΟΛΟΓΙΚΗ ΣΥΝΟΔΩΝ ΤΙΝΩΝ

ΑΙ ΤΙΝΕΣ ΕΙΣΙΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΤΟΜΩ,

Ταύτης τῆς σωοδικῆς συλλογῆς, ἐπεὶ δὲ ἐκεῖσε οὐκ ἐτέθη ὁ χρόνος καθ' ὃν αὖται γεγόνασιν πρὸς πληρεστάτην εἴδησιν τῶν ἀναγινωσκόντων σημειῶται ἐνταῦθα. εἰσὶ δὲ αἱ Ἱστορίαι τῆς δευτέρας καὶ ἕκτης τῶν Οἰκουμενικῶν Συνόδων μόνον, ἐπείπερ ἡ τῆς ἐν Νικαίᾳ πρώτης ἐστὶ παρὰ Γελασίῳ τῷ Κυζικηνῷ. ἔστι δὲ καὶ ὁ ἀριθμὸς τῆς σελίδος τοῦ Τόμου πρὸς εὐχερεστέραν εὕρεσιν ἐκάστης.

Σύνοδος ἐπὶ Τελεσφόρου πάπα ἐν Ῥώμῃ κατὰ Θεοδότου σκυτέως ἐν ἔτει Χριστοῦ 144. σελὶς 95.

Σύνοδος ἐπὶ Ἀνικήτου πάπα ἐν Ῥώμῃ περὶ τῆς ἑορτῆς τοῦ πάσχα ἐν ἔτει Χριστοῦ 168. σελὶς 95.

Σύνοδος ἐπὶ Εἰρηναίου περὶ τῆς ἑορτῆς τοῦ πάσχα ἐν Λουγδούνῳ ἐν ἔτει Χριστοῦ 197. σελὶς 95.

ΕΠΙΣΤΟΛΗ ΣΥΝΟΔΙΚΗ

Τῆς αὐτῆς πρὸς τὸν πάπαν Βίκτορα.

Ἐπιστολὴ συνοδικὴ τῶν ἐπισκόπων τῆς Γαλλίας πρωτευόντος Εἰρηναίου.

Φέρονται δὲ καὶ αἱ τούτων φωναὶ, πληκτικώτερον καθαπτομένων τοῦ Βίκτορος. ἐν οἷς καὶ ὁ Εἰρηναῖος ἐκ προσώπου ὧν ἡγεῖτο κατὰ τὴν Γαλλίαν ἀδελφῶν ἐπιστέλλας, παρίσταται μὲν τὸ δεῖν ἐν μόνῃ τῇ τῆς κυριακῆς ἡμέρᾳ τὸ τῆς τοῦ Κυρίου ἀναστάσεως ἐπιτελεῖσθαι μυστήριον. τῇ γεμὴ Βίκτορι προσηκόντως ὡς μὴ ἀποκόπτοι ὅλας ἐκκλησίας Θεοῦ ἀρχαίᾳ ἔθους παράδοσιν ἐπιτηρήσας, πλεῖσα ἕτερα παραινεῖ. ἐν αὐτοῖς δὲ ῥήμασι τάδε ἐπιλέγων. „οὐδὲ γὰρ μόνον περὶ τῆς ἡμέρας ἐστὶν ἡ ἀμφισβήτησις, ἀλλὰ καὶ περὶ τοῦ εἴδους αὐτῆς τῆς νηστείας. οἱ μὲν γὰρ οἴονται μίαν ἡμέραν δεῖν αὐτὰς νηστεύειν· οἱ δὲ δύω, οἱ δὲ ἐν πλείονας· οἱ δὲ τεσσαράκοντα ὥρας ἡμερινάς τε καὶ νυκτερινὰς συμμετροῦσι τὴν ἡμέραν αὐτῶν. καὶ τοιαύτη μὲν ποικιλία τῶν ἐπιτηρούντων. οὐ νυνὶ ἐφ' ἡμῖν γεγονυῖα, ἀλλὰ καὶ πολὺ πρότερον ἐπὶ τῶν πρὸ ἡμῶν. τοῦ παρατεθειμένου ὡς εἰκὸς κρατούντων τὴν καθ' ἁπλότητα καὶ ἰδιοτισμὸν συνήθειαν εἰς τὸ μετέπειτα πεποιηκότων· καὶ οὐδὲν ἔλαττον πάντες ὅτοι εἰρήνευσάντε, καὶ εἰρηνεύομεν πρὸς ἀλλήλους. καὶ ἡ διαφωνία τῆς νηστείας, τὴν ὁμόνοιαν τῆς πίστεως συνίστησι. τούτοις καὶ ἱστορίαν προσέθηκεν ἣν οἰκείως παραθήσομαι, τοῦτον ἔχουσαν τὸν τρόπον· καὶ οἱ πρὸ σωτῆρος πρεσβύτεροι οἱ προσάντες τῆς ἐκκλησίας ἧς νῦν ἀφηγῇ, ἀνίκητον λέγομεν καὶ Πίον, Ὑγῖνον, Τελεσφόρον, καὶ Ξύστον, ὅτε αὐτοὶ ἐτήρησαν, ὅτε τοῖς μετ' αὐτοὺς ἐπέτρεπον· καὶ οὐδὲν ἔλαττον αὐτοὶ μὴ τηροῦντες εἰρηύοντο, τοῖς ἀπὸ τῆς παροικιῶν, ἐν αἷς ἐτηρεῖτο ἐρχομένοις πρὸς αὐτούς. καί τοι μᾶλλον ἀναλίου τὸ τηρεῖν τοῖς μὴ τηροῦσι· καὶ ὀδέποτε ὅλα τὸ εἶδος τοῦτο ἀπεβλήθησάν τινες· ἀλλ' αὐτοὶ μὴ τηροῦντες οἱ πρὸ σοῦ πρεσβύτεροι, τοῖς ἀπὸ τῆς παροικιῶν τηροῦσιν ἔπεμπον εὐχαριστίαν. καὶ τοῦ μακαρίου Πολυκάρπου ἐπιδημήσαντος τῇ Ῥώμῃ ἐπὶ ἀνικήτου· ἃ περὶ ἄλλων τινῶν μικρὰ ἐχόντες πρὸς ἀλλήλους, εὐθὺς εἰρηύσαν· περὶ τούτου τοῦ κεφαλαίου μὴ φιλερισήσαντες πρὸς ἑαυτούς. ὅτε γὰρ ὁ Ἀνίκητος τὸν Πολύκαρπον πεῖσαι ἐδύνατο μὴ τηρεῖν, ἅτε μὴ Ἰωάννου τοῦ μαθητοῦ τοῦ Κυρίου ἡμῶν καὶ τῶν λοιπῶν ἀποστόλων οἷς συνδιέζησεν, ἀεὶ τετηρηκότα· ὅτε μὲν ὁ Πολύκαρπος τὸν Ἀνίκητον ἔπεισαι τηρεῖν λέγοντα τὴν συνήθειαν τῶν πρὸ αὐτοῦ πρεσβυτέρων ὀφείλειν κατέχειν. καὶ τούτων ὕπως ἐχόντων, ἐκοινώνησαν ἑαυτοῖς. Καὶ ἐν τῇ ἐκκλησίᾳ παρεχώ-

χώρησεν ὁ Ἀνίκητος τὴν εὐχαριστίαν τῷ Πολυκάρπῳ κατ' ἐντροπὴν δηλονότι, καὶ μετ' εἰρήνης ἀπ' ἀλλήλων ἀπηλλάγησαν, πάσης τῆς ἐκκλησίας εἰρήνην ἐχόντων καὶ τῶν τηρούντων, καὶ τῶν μὴ τηρούντων.

Ὁμοίως αἱ σύνοδοι ἐν ἱεραπόλει, καὶ ἀγχιάλῳ, καὶ Γαλλίᾳ γεγόνασι περίπου τὸν αὐτὸν χρόνον. σελὶς 95. καὶ 96.

Σύνοδος ἐν Ἐφέσῳ ὑπὸ Πολυκράτους περὶ τῆς ἑορτῆς τοῦ πάσχα ἐν ἔτει Χριστοῦ 197. σελὶς 95.

ΚΑΙ' ΕΠΙΣΤΟΛΗ' ΣΥΝΟΔΙΚΗ'

Τῆς αὐτῆς πρὸς τὸν πάπαν Βίκτορα καὶ τὴν ἐκκλησίαν Ῥώμης.

Ἡμεῖς οὖν ἀραδιούργητον ἄγομεν τὴν ἡμέραν· μήτε προστιθέντες, μήτε ἀφαιρούμενοι. καὶ γὰρ κατὰ τὴν ἀσίαν μεγάλα στοιχεῖα κεκοίμηται· ἅτινα ἀναστήσεται τῇ παρουσίᾳ τοῦ κυρίου, ἐν ᾗ ἔρχεται μετὰ δόξης ἐξ οὐρανῶν, καὶ ἀναστήσει πάντας τοὺς ἁγίους. Φίλιππον τὸν τῶν δώδεκα ἀποστόλων, ὃς κεκοίμηται ἐν ἱεραπόλει, καὶ δύο θυγατέρες αὐτοῦ γεγηρακυῖαι παρθένοι· καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν ἁγίῳ πνεύματι πολιτευσαμένη, ἣ ἐν Ἐφέσῳ ἀναπαύεται. ἔτι δὲ καὶ Ἰωάννης ὁ ἐπὶ τὸ στῆθος τοῦ κυρίου ἀναπεσών. ὃς ἐγενήθη ἱερεὺς τὸ πέταλον πεφορικὼς, καὶ μάρτυς καὶ διδάσκαλος. οὗτος ἐν Ἐφέσῳ κεκοίμηται. ἔτι δὲ καὶ Πολύκαρπος ὁ ἐν σμύρνῃ καὶ ἐπίσκοπος καὶ μάρτυς. καὶ Θρασέας καὶ ἐπίσκοπος καὶ μάρτυς ἀπὸ εὐμενίας, ὃς ἐν σμύρνῃ κεκοίμηται τί δὲ δεῖ λέγειν Σάγαριν ἐπίσκοπον καὶ μάρτυρα, ὃς ἐν Λαοδικείᾳ κεκοίμηται. ἔτι δὲ καὶ παπείριον τὸν μακάριον, καὶ Μελίτωνα τὸν ἐν ἁγίῳ πνεύματι πάντα πολιτευσάμενον; ὃς κεῖται ἐν σάρδεσι περιμένων τὴν ἀπὸ τῶν οὐρανῶν ἐπισκοπὴν, ἐν ᾗ ἐκ νεκρῶν ἀναστήσεται· οὗτοι πάντες ἐτήρησαν τὴν ἡμέραν τῆς τεσσαρεσκαιδεκάτης τοῦ πάσχα κατὰ τὸ εὐαγγέλιον· μηδὲν παρεκβαίνοντες, ἀλλὰ κατὰ τὸν κανόνα τῆς πίστεως ἀκολουθοῦντες. ἔτι δὲ κἀγὼ ὁ μικρότερος πάντων ὑμῶν Πολυκράτης κατὰ παράδοσιν τῶν συγγενῶν μου, οἷς καὶ παρηκολούθησάτισιν αὐτῶν. ἑπτὰ μὲν ἦσαν συγγενεῖς μου ἐπίσκοποι, ἐγὼ δὲ ὄγδοος· καὶ πάντοτε τὴν ἡμέραν ἤγαγον οἱ συγγενεῖς μου ὅταν ὁ λαὸς ἤρτυε τὴν ζύμην. ἐγὼ οὖν ἀδελφοὶ ἐξήκοντα πέντε ἔτη ἔχων ἐν κυρίῳ, καὶ συμβεβληκὼς τοῖς ἀπὸ τῆς οἰκουμένης ἀδελφοῖς, καὶ πᾶσαν ἁγίαν γραφὴν διεληλυθὼς, οὐ πτύρομαι ἐπὶ τοῖς καταπλησσομένοις. οἱ γὰρ ἐμοῦ μείζονες εἰρήκασι, πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. τούτοις ἐπιφέρει περὶ πάντων γράφων τῶν συμπαρόντων αὐτῷ καὶ ὁμοδοξούντων ἐπισκόπων, ταῦτα λέγων· ἐδυνάμην δὲ τῶν ἐπισκόπων τῶν συμπαρόντων μνημονεῦσαι, οὓς ὑμεῖς ἠξιώσατε μετακληθῆναι ὑπ' ἐμοῦ, καὶ μετεκαλεσάμην. ὧν τὰ ὀνόματα ἐὰν γράφῳ, πολλὰ πλήθη εἰσίν. οἱ δὲ ἰδόντες τὸν μικρόν μου ἄνθρωπον, συνηυδόκησαν τῇ ἐπιστολῇ. εἰδότες ὅτι εἰκῇ πολιᾶς οὐκ ἤνεγκα, ἀλλὰ ἐν κυρίῳ Ἰησοῦ πάντοτε πεπολίτευμαι.

Καὶ αἱ ἕτεραι καθεξῆς σύνοδοι αἱ οὖσαι ἐν τῇ αὐτῇ σελίδι γεγόνασι περίπου τὸν αὐτὸν χρόνον.

Σύνοδος ἐν Βόστρᾳ τῆς Ἀῤῥαβίας ἐπὶ Ὠριγένους ἐν ἔτει Χριστοῦ 243. σελὶς 97.

Σύνοδος ἐν Ῥώμῃ ἐπὶ Κορνηλίου πάπα κατὰ Ναυάτου. ἐν ἔτει 252. σελὶς 97.

Σύνοδος ἐν Ἀντιοχείᾳ ἐπὶ Δημητριανοῦ κατὰ Ναυάτου. ἐν ἔτει Χριστοῦ 252. σελὶς 97.

Σύνοδος ἐν Ῥώμῃ ἐπὶ Στεφάνου πάπα κατὰ ἀναβαπτιστῶν ἐν ἔτει Χριστοῦ 256. σελὶς 97.

Ἐπιστολὴ κανονικὴ τοῦ ἁγίου Γρηγορίου Νεοκαισαρείας ἐν ἔτει Χριστοῦ 262. σελὶς 207.

Ἀντίγραφον ἐπιστολῆς πεμφθείσης παύλῳ τῷ Σαμωσάτῳ ὑπὸ τῶν ὀρθοδόξων ἐπισκόπων πρινὴ καθαιρεθεῖναι αὐτόν. ἐν ἔτει Χριστοῦ 266. ἢ 264. σελὶς 109.

Ἐπιστολὴ τῆς β'. ἐν Ἀντιοχείᾳ συνόδου κατὰ Παύλου σαμοσατέως, καὶ ἡ σύνοδος κατ' αὐτοῦ ἐπὶ Ἑλενοῦ. ἐν ἔτει Χριστοῦ 264. σελὶς 123. καὶ 125.

Σύνοδος ἐν Μεσοποταμίᾳ ὑπὸ Ἀρχελάου κατὰ μάνεντος. καὶ ἐπιστολὴ Μανιχαίου πρὸς Μάρκελλον, καὶ Μαρκέλλου πρὸς Μανιχαῖον, ἐν ἔτει Χριστοῦ 277. σελὶς 125.

Πέτρου Ἀλεξανδρείας καὶ μάρτυρος κανόνες ἐμφερόμενοι ἐν τῷ περὶ μετανοίας αὐτοῦ λόγῳ. ἐν ἔτει Χριστοῦ 304. σελὶς 129.

Σύνοδος ἐν Ῥώμῃ ἐπὶ Μιλτιάδου πάπα ἐπὶ τῇ ἑνώσει τῶν ἐπισκόπων ἐν ἔτει Χριστοῦ 312 σελὶς 133.

Σύνοδος ἐν Ἀρελάτῳ ἐπὶ χρήστου ἐπισκόπου συρακουσίων ἕνεκα τῆς τῶν ἐπισκόπων ἑνώσεως ἐν τῷ αὐτῷ ἔτει. σελὶς 133.

Σύνοδος ἐν Ἀγκύρᾳ καὶ κανόνες αὐτῆς. ἐν ἔτει Χριστοῦ 314. σελὶς 134. καὶ 136.

Σύνοδος ἐν Νεοκαισαρείᾳ καὶ κανόνες αὐτῆς, ἥτις συνήχθη μετὰ τὴν ἐν Ἀγκύρᾳ σύνοδον. σελὶς 136.

Σύνοδος ἐν Ἀλεξανδρείᾳ ἐν ᾗ καθαιρεῖται Ἄρειος καὶ οἱ σὺν αὐτῷ. ἐν ἔτει Χριστοῦ 324. σελὶς 133.

Σύνοδος ἐν Λαοδικείᾳ καὶ κανόνες αὐτῆς. ὁ χρόνος ἄδηλος. οἱ μὲν φασὶν ἐν ἔτει Χριστοῦ 364. ἕτεροι 357. ἕτεροι δὲ ἐπὶ Δαμάσου πάπα 368.

Ἡ ἐν Νικαίᾳ α'. οἰκουμενικὴ σύνοδος ἐν ἔτει Χριστοῦ 325. σελὶς 141.

Ἡ Ἱστορία τῆς αὐτῆς ἐστὶ παρὰ Γελασίῳ τῷ Κυζικηνῷ.

Γελάσιος ὁ Κυζικινὸς γέγονεν ἐπίσκοπος Καισα-

σαρίας τῆς Παλαιστίνης, καὶ ἔγραψεν ἐν ἔτει Χριστοῦ 476. σελὶς 153.

Σύνοδος ἐν Ἀντιοχείᾳ αἱρετικὴ ἐπὶ Εὐσεβίου Νικομηδείας ἐν ἔτει Χριστοῦ 327. σελὶς 200

Σύνοδος ἐν Γάγγρᾳ καὶ κανόνες αὐτῆς. ὁ χρόνος ἐν ᾧ συνήχθη ἐστὶν ἄδηλος. γέγονεν ὅμως μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον. σελὶς 201.

Σύνοδος Ἀρειανῶν ἐν Καισαρίᾳ τῆς Παλαιστίνης κατὰ Ἀθανασίου Ἀλεξανδρείας. ἐν ἔτει Χριστοῦ. 326. σελὶς 203.

Σύνοδος ἐν Τύρῳ, καὶ ἐπιστολὴ Κωνσταντίνου βασιλέως πρὸς τὴν αὐτὴν σύνοδον. καὶ ἑτέρα ἐπιστολὴ πρὸς τὴν αὐτὴν προσφερομένη παρὰ τεσσαράκοντα καὶ ἑπτὰ ὀρθοδόξων ἐπισκόπων τῆς Αἰγύπτου. ἐν ἔτει Χριστοῦ 335. σελὶς 205. 206. καὶ 209.

Ἡ ἐν μαρεώτῃ σύνοδος. καὶ ἡ ἐν Ἱεροσολύμοις συνήχθησαν κατὰ τὸν αὐτὸν καιρὸν κατὰ Ἀθανασίου Ἀλεξανδρείας.

Ἐπιστολὴ Ἰουλίου Ῥώμης πρὸς Διονύσιον Ἀλεξανδρείας κατὰ τῶν σφαλμάτων Παύλου σαμοσατέως καὶ τῶν ὁπαδῶν αὐτοῦ. ἐν ἔτει Χριστοῦ 336. σελὶς 210.

Σύνοδος ἐν Κωνσταντινουπόλει Ἀρειανῶν κατὰ τοῦ θείου συμβόλου ἐν ἔτει Χριστοῦ 340. σελὶς 221.

Σύνοδος ἐν Ἀλεξανδρείᾳ, καὶ ἐπιστολὴ συνοδικὴ τῆς αὐτῆς ὑπὲρ Ἀθανασίου τοῦ μάκαρος. ἐν ἔτει Χριστοῦ 339. σελὶς 221.

Σύνοδος ἐν Ἀντιοχείᾳ α'. καὶ κανόνες κε'. τῆς αὐτῆς. ἐν ἔτει Χριστοῦ 341. σελὶς 228. καὶ 233.

Ἔκθεσις πίστεως Μάρκου ἀρεθουσίου Ἀρειανοῦ. ἐν ἔτει Χριστοῦ 341. σελὶς 230.

Σύνοδος ἐν Ἀντιοχείᾳ β'. Ἀρειανῶν, καὶ ἔκθεσις πίστεως τῆς αὐτῆς, ἣν οἱ ἀνὰ τὴν δύσιν οὐ προσεδέξαντο. ἐν ἔτει Χριστοῦ 344. σεμὶς 233. καὶ 235.

Σύνοδος ἐν Φιλιππουπόλει Ἀρειανῶν κατὰ τοῦ θείου συμβόλου. ἐν ἔτει Χριστοῦ 345. σελὶς 247.

Σύνοδος ἐν Ἀντιοχείᾳ Ἀρειανῶν. ἐν ἔτει Χριστοῦ 348. σελὶς 247.

Σύνοδος ἐν Ἱεροσολύμοις ὀρθόδοξος, καὶ ἐπιστολὴ συνοδικὴ τῆς αὐτῆς. ἐν ἔτει Χριστοῦ 350 σελὶς 248.

Σύνοδος ἐν Κουρδούβῃ τῆς Ἰσπανίας ἐπὶ ὁσίου κατακρίνασα οὓς ἡ ἐν σαρδικὴ σύνοδος ἀπεκήρυξεν. ἐν ἔτει Χριστοῦ 350. σελὶς 248

Σύνοδος ἐν Ἱεροσολύμοις Ἀρειανῶν κατὰ τοῦ θείου συμβόλου, καὶ Μαξίμου τοῦ ὁμολογητοῦ. ἐν ἔτει Χριστοῦ 350. σελὶς 248.

Σύνοδος ἐν Συρμίῳ κατὰ τοῦ θείου συμβόλου, καὶ Ἀθανασίου τοῦ γενναιόφρονος. ἐν ἔτει Χριστοῦ 351. σελὶς 248.

Λιβερίου Ῥώμης ἐπιστολὴ πρὸς τὸν μέγαν Ἀθανάσιον, καὶ ἑτέρα πρὸς τοὺς ἐπισκόπους τῆς ἀνατολῆς τῶν Μακεδονιανῶν. ἐν ἔτει Χριστοῦ 352. σελὶς 249.

Σύνοδος ἐν Μεδιολάνῳ συναθροισθῆσα παρὰ Κωνσταντίου βασιλέως. ἐν ἔτει Χριστοῦ. 353. σελὶς 252.

Σύνοδος ἐν Ἀγκύρᾳ καὶ ἐπιστολὴ συνοδικὴ τῆς αὐτῆς. ἐν ἔτει Χριστοῦ 358. σελὶς 253.

Ἀπόφασις τῆς ἐν Ἀριμίνῳ συνόδου, καὶ ἐπιστολὴ τῆς αὐτῆς πρὸς τὸν βασιλέα. ἐν ἔτει Χριστοῦ 359. σελὶς 258.

Ἡ αὐτὴ ἐν Ἀριμίνῳ σύνοδος σελὶς 260.

Σύνοδος ἐν Νίκῃ τῆς Θρᾴκης, καὶ πίστις ἐν αὐτῇ ἐκτεθεῖσα οὐκ εὖ ἔχουσα. ἐν ἔτει Χριστοῦ 359. σελὶς 260.

Σύνοδος ἐν Νικαίᾳ τῆς Βιθυνίας περίπου τὸν αὐτὸν χρόνον. σελὶς 260.

Σύνοδος Ἀρειανῶν, καὶ ἡμιαρειανῶν, καὶ διασάφησις πίστεως τῶν αὐτῶν ἐκδοθεῖσα ἐν τῇ ἐν σελευκείᾳ συνόδῳ. ἐν ἔτει Χριστοῦ 359. σελὶς 261.

Σύνοδος ἐν Κωνσταντινουπόλει αἱρετικῶν καὶ ἐπιστολὴ τῆς αὐτῆς πρὸς Γεώργιον Ἀλεξανδρείας περὶ τῆς κατακρίσεως ἀετίου. ἐν ἔτει Χριστοῦ 359. σελὶς 262. καὶ 263.

Σύνοδος ἐν Ἀντιοχείᾳ ἐπὶ Κωνσταντίου βασιλέως αἱρετική. ἐν ἔτει Χριστοῦ 360. σελὶς 263.

Σύνοδος ἐν Ἀλεξανδρείᾳ, καὶ ἐπιστολὴ τῆς αὐτῆς περὶ τοῦ δέχεσθαι τοὺς ἐπιστρέφοντας ἐξ αἱρέσεως. ἐν ἔτει Χριστοῦ 362. σελὶς 263. καὶ 266.

Σύνοδος β'. ἐν Ἀντιοχείᾳ, καὶ ἐπιστολὴ τῆς αὐτῆς πρὸς Ἰωβιανὸν Αὔγουστον βεβαιοῦσα τὴν πίστιν τῆς ἐν Νικαίᾳ συνόδου. ἐν ἔτει Χριστοῦ 363. σελὶς 267. καὶ 268.

Σύνοδος ἐν Ῥώμῃ ἐπὶ Λιβερίου πάπα, καὶ ἐπιστολὴ τοῦ αὐτοῦ πρὸς τοὺς ἐπισκόπους τῶν Μακεδονιανῶν μετὰ τὴν ἐπιστροφὴν αὐτῶν ἐκ τῆς αἱρέσεως. ἐν ἔτει Χριστοῦ 365. σελὶς 268

Σύνοδος Ἰλλυρικὴ, καὶ ἐπιστολὴ τῆς αὐτῆς πρὸς τοὺς ἀνατολικοὺς περὶ τοῦ ὁμουσίου. ἐν ἔτει Χριστοῦ 365. σελὶς 269.

Ἐπιστολὴ αὐτοκρατόρων Βαλεντινιανοῦ καὶ Οὐάλη, καὶ Γρατιανοῦ πρὸς τοὺς Ἀσιανούς. ἐν ἔτει Χριστοῦ 365. σελὶς 269.

Σύνοδος ἐν Τυάνοις καὶ ἐπιστολὴ τοῦ μεγάλου βασιλείου τῇ βουλῇ Τυάνων. ἐν ᾗ ἐκυρώθη ἡ πίστις τῆς ἐν Νικαίᾳ συνόδου. ἐν ἔτει Χριστοῦ 372. σελὶς 270.

Ἐπιστολὴ Δαμάσου πάπα τοῖς τὴν ἑώαν ἰθύνουσιν ἐπισκόποις κατὰ Τιμοθέου μαθητοῦ Ἀπολλιναρίου. καὶ ὑπὲρ τοῦ ὀρθοῦ δόγματος τῆς ἐν Νικαίᾳ συνόδου. ἐν ἔτει Χριστοῦ 368. σελὶς 271.

Ἔτι δύο σύνοδοι ἐπὶ τοῦ αὐτοῦ Δαμάσου πάπα. σελὶς ἡ αὐτή.

Σύνοδος ἐν Πούζῃ τῇ Κώμῃ ἀετιανῶν, οἵτινες ὅρον ἐκτιθένται ἐκτελεῖν τὸ πάσχα μετὰ Ἰουδαίων. ἐν ἔτει Χριστοῦ 375. σελὶς 271.

Βύνοδος ἐν Ἰλλυρικῷ ὀρθόδοξος, ἥτις ἐβεβαίω-

σε

σε τὴν ἐν Νικαίᾳ πίστιν. ἐν ἔτει Χριστοῦ 373 σελὶς 271.

Σύνοδος Καισαρίας Καππαδοκίας βασιλέου τοῦ μεγάλου κατὰ διανίου καὶ ἑτέρων αἱρετικῶν. ἐν ἔτει Χριστοῦ 371. σελὶς 272.

Σύνοδος β'. ἐν Ῥώμῃ ἐπὶ Δαμάσου πάπα, καὶ ἐπιστολὴ τῆς αὐτῆς πρὸς τοὺς ἐπισκόπους τοῦ Ἰλλυρικοῦ περὶ τοῦ ὀρθοῦ δόγματος τῆς ἐν Νικαίᾳ συνόδου. ἐν ἔτει Χριστοῦ 372. σελὶς 272.

Πρεσβεία Μαρκέλλου Ἀγκύρας πρὸς Ἀθανάσιον μετὰ συστατικῶν ἐπιστολῶν τῶν τῆς ἑλλάδος τῆς Μακεδονίας ἐπισκόπων. καὶ ἔκθεσις πίστεως, δι' ὧν δικαιοῦται κατὰ τῶν διαβαλόντων αὐτὸν ὡς αἱρετικόν. ἐν ἔτει Χριστοῦ 373. σελὶς 272.

Σύνοδος ἐν Μεδιολάνῳ, ἐν ᾗ ἀνηγορεύθη ἐπίσκοπος τῆς αὐτῆς πόλεως ὁ θεῖος Ἀμβρόσιος. ἐν ἔτει Χριστοῦ 374. σελὶς 273.

Σύνοδος τρίτη ἐν Ῥώμῃ ἐπὶ Δαμάσου πάπα, ἐν ᾗ κατεκρίθη ἡ αἵρεσις τοῦ Ἀπολλιναρίου, καὶ ἀναθεματισμοὶ δέκα κατ' αὐτοῦ. ἐν ἔτει Χριστοῦ 373. σελὶς 273. καὶ 274.

Σύνοδος τετάρτη ἐν Ῥώμῃ ἐπὶ Δαμάσου πάπα κατὰ Ἀρειανῶν, καὶ πνευματομάχων, καὶ ἄλλων πλείστων αἱρετικῶν. ἐν ᾗ ὅρον θείων κεφαλαίων ἐκθέμενος, ἐν Θεσσαλονίκῃ πρὸς Παυλῖνον ἐπίσκοπον ἀπέστειλεν. ἐν ἔτει Χριστοῦ 378. σελὶς 274.

Σύνοδος ἐν Ἀντιοχείᾳ ἐπὶ Μελετίου κυρώσασα τὸ θεοποιὸν σύμβολον, καὶ ἀναθεματίσασα Μάρκελλον, Φωτεινὸν, καὶ Ἀπολλινάριον. ἐν ἔτει Χριστοῦ 379. ἢ 380. σελὶς 274.

Σύνοδος ἐν Ἰκονίῳ ἐπὶ ἀμφιλοχίου, καὶ ἐπιστολὴ συνοδικὴ, δι' ἧς φανεροῦται ἡ περὶ τοῦ ἁγίου πνεύματος ὀρθόδοξος ὁμολογία τῶν ἐπισκόπων τῆς ἐπαρχίας, συμφωνοῦσα τῇ πίστει τῆς ἐν Νικαίᾳ πρώτης συνόδου. ἐν ἔτει Χριστοῦ 379. σελὶς 275.

Σύνοδος ἐν Ἀντιοχείᾳ, καὶ ἐπιστολὴ συνοδικὴ πρὸς τοὺς ἐπισκόπους τῆς Ἰταλίας, καὶ Γαλλίας, δηλοῦσα τὰ σχίσματα, ἅπερ ἦσαν μεταξὺ τῶν Χριστιανῶν ταύτης τῆς ἐπαρχίας. ὡς παρὰ σωκράτει. βιβλ. 5. κεφ. 5. καὶ σωζομένῳ. βιβλ. 5. κεφ. 3. ἐν ἔτει Χριστοῦ 379. σελὶς 276.

Σύνοδος ἐν Κωνσταντινουπόλει Οἰκουμενικὴ δευτέρα. ἐν ἔτει Χριστοῦ 381. σελὶς 278.

Ἱ Σ Τ Ο Ρ Ἱ Α

Τῆς αὐτῆς ἐν Κωνσταντινουπόλει δευτέρας Οἰκουμενικῆς συνόδου.

Δοσίθ. βιβλ. γ'. Κεφ. γ'. Παράγ. γ'.

Αὕτη ἡ δευτέρα Οἰκουμενικὴ σύνοδος εἶχεν αἰτίαν τῆς ἀθροίσεως, πρῶτον μὲν, ἐπειδὴ διῃρέθησαν οἱ Ἀρειανοὶ εἰς διαφόρους αἱρέσεις, ἡμιαρείων δηλονότι, Εὐνομιανῶν, ἀετιανῶν, ἤτουν ἀνομοίων, καὶ ἄλλων, ἐφάνη δὲ καὶ νέα αἵρεσις τοῦ Ἀπολλιναρίου, καὶ μάλιστα ἡ τοῦ Μακεδονίου, ἡ λέγουσα ὁμούσιον μὲν τὸν υἱὸν τῷ πατρὶ, τὸ πνεῦμα δὲ τὸ ἅγιον κτίσμα τοῦ υἱοῦ. ἀλλὰ μὴν καὶ τὴν προσκύνησιν τῆς ἁγίας τριάδος μετήλλαξαν οἱ Ἀρειανοὶ, μὴ λέγοντες δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ἀλλὰ δόξα πατρὶ δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι, ἵνα τῇ διαφορᾷ τῶν προθέσεων ποιῶσι διαφορὰν οὐσίας τάξεως καὶ τιμῆς τῶν προσώπων· εἶτα συνέβη καὶ ἕτερά τινα, πρῶτον, ὅτι ὁ Κωνστάντιος καίτοι πρεσβεύων τὴν ἀϊδιότητα τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἀλλ' ἅπαξ δελεασθεὶς ὅτι ἡ λέξις, ὁμούσιος, ἐστὶν αἰτία σκανδάλου, ὡς μὴ κειμένη ἐν ταῖς γραφαῖς, καίτοι τοῦ ὁμουσίου ῥηθέντος παρὰ πολλῶν πατέρων καὶ πρὸ τῆς πρώτης συνόδου, ἐμάχετο ἀσπόνδως τοῖς τοῦτο φρονοῦσι. δεύτερον, τοὺς ὑπερασπιστὰς τοῦ ὁμουσίου νομίζων σκανδάλων αἰτίους, ὡς ἦσαν ὁ Θεολόγος Γρηγόριος, ὁ Νύσσης Γρηγόριος, ὁ Ἰκονίου ἀμφιλόχιος, ὁ Ἀλεξανδρείας Τιμόθεος, ὁ Ἱεροσολύμων Κύριλλος, ὁ Ἀντιοχείας Μελέτιος, ὁ καισαρείας ἑλλάδιος, ὁ Θεσσαλονίκης ἀσχόλιος, καὶ ἕτεροι πλείστοι ὀρθόδοξοι πατέρες τούτους ἐξώριζεν, ἐφυγάδευεν, ἐπτώχιζεν αὐτοὺς καὶ κατεφρόνει. τρίτον, ἤγειρε διαφόρους συνόδους εἴτε δύσει καὶ ἀνατολῇ κατὰ τοῦ ὁμουσίου ὡς φαίνονται ἐν τῷ πρώτῳ Τόμῳ ταύτης τῆς συλλογῆς. τέταρτον, τοὺς βοηθοὺς τῆς αἱρέσεως εἶχεν εἰς τιμὴν καὶ περιποίησιν. πέμπτον, εἰς τοὺς μεγάλους θρόνους ἔβαλεν αἱρετικοὺς ἐπισκόπους, οἵτινες ἐχειροτόνουν οἰκείους ἐκκλησιαστικοὺς τῆς ἰδίας αἱρέσεως. ἕκτον, εἰ ἔμειναν καὶ μερικοὶ ἐπίσκοποι καὶ διδάσκαλοι ὀρθόδοξοι, ἀλλ' ἦν ἡ διδαχὴ αὐτῶν ἢ συνεσταλμένως, ἢ ὅλως κρυφίως, καὶ ἄλλα τοιαῦτα ἐποίει ἐκεῖνος ὁ βασιλεύς. ἠκολούθησε δὲ ὁ Ἰουλιανὸς καὶ ἐποίησεν ὅσα οὐκ ἐποίησαν μήτε οἱ πρὸ αὐτοῦ κατὰ τῆς ἐκκλησίας τύραννοι. μετ' ἐκεῖνον δὲ Οὐάλης οὐ μόνον ἔπραξεν ὅσα γεγόνασιν ἐπὶ Κωνσταντίου, ἀλλ' Ἀρειανὸς ὢν, καὶ μάλιστα τῶν ἀνομοίων, διωγμὸν ἐκίνησε κατὰ τῆς ἐκκλησίας χείρονα τῶν εἰδωλολατρῶν, ὥστε καὶ αὐτοὺς τοὺς ἀσκητὰς τῆς ἐνδοτάτω ἐρήμου ὁ Ἀλεξανδρείας Λούκιος ἔδειρεν, ἀπέκτεινεν, ἐξώρισε καὶ ἐδήμευσε τὸν κλῆρον, οὐ μὴν ἀλλὰ καὶ αἱρέσεις ἄλλαι αἱ εἰρημέναι, καὶ ἕλληνες, καὶ αὐτοὶ οἱ Ἰουδαῖοι εἶχον εἰς τοὺς καιροὺς αὐτοῦ ἄδειαν, οἱ δὲ τῆς καθόλου ἐκκλησίας ἐδιώκοντο, καὶ ἔπασχον τὰ χείριστα. ἔμεινε δὲ τῶν κακοδόξων βασιλέων ἡ αὐταρχία ἡ διώκουσα τὴν ἐκκλησίαν τεσσαράκοντα ἔτη, καὶ ἐπλάτυνεν ἡ ἀσέβεια, καὶ ἐσμικρύνθη ἡ διδασκαλία τῆς ὀρθοδόξου πίστεως, καὶ ἔμειναν ὀλίγοι, οὓς ἐφύλαξεν ὁ Θεὸς ὡς τὰς ἑπτὰ χιλιάδας ἐπὶ Ἡλιοῦ. ὅθεν οἱ ἅγιοι πατέρες καίτοι ἰδίοις συγγράμμασι καὶ μερικαῖς συνόδοις εἴτε Ῥώμῃ καὶ Γαλλίᾳ καὶ Ἰσπανίᾳ, καὶ Ἰλλυρικῷ καὶ Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ, καὶ Ἱεροσολύμοις, καὶ

Καπ-

Κωνσταντινόπολιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, καὶ ἀναθεματίσαντες τὰς αἱρέσεις ταύτας, καὶ τὸν Νεστόριον ἐξορίσαντες, ἐπὶ τὸν τόπον αὐτοῦ ἐχειροτόνησαν Ἀνατόλιον, ὃς ἐκοιμήθη ἐπὶ Λέοντος τοῦ Μεγάλου. Ἐπὶ δὲ τοῦ Ζήνωνος ἐκάθισε Γεννάδιος, καὶ μετ' αὐτὸν Φλαβιανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν τῷ δρόμῳ. Ἐπὶ δὲ Ἀναστασίου τοῦ Δικόρου ἐκάθισε Μακεδόνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Γαγγρίοις τῆς Παφλαγονίας. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Θρᾳκὸς ἐκάθισεν Ἰωάννης, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Εὐχαΐτοις. Ἐπὶ δὲ Ἰουστινιανοῦ τοῦ Μεγάλου ἐκάθισε Εὐτύχιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Νεωτέρου ἐκάθισε Εὐτύχιος ὁ Σχολαστικός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Σαμοσάτοις τῆς Κομμαγηνῆς. Ἐπὶ δὲ Μαυρικίου τοῦ Καππαδόκου ἐκάθισε Κυριακός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Φωκᾶ τοῦ Κρατοῦντος ἐκάθισε Θεόδωρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἡρακλείου τοῦ Μεγάλου ἐκάθισε Σέργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐκάθισε Γεώργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ἐκάθισε Γερμανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Κοπρωνύμου ἐκάθισε Νικηφόρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἀρμενίου ἐκάθισε Θεόδοτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Τραυλοῦ ἐκάθισε Ἀντώνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Βασιλείου τοῦ Μακεδόνος ἐκάθισε Φώτιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Σοφοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξάνδρου τοῦ Μεγάλου ἐκάθισε Εὐθύμιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἐκάθισε Σισίνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ ἐκάθισε Θεοφύλακτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Μονομάχου ἐκάθισε Μιχαήλ, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Κομνηνοῦ ἐκάθισε Κωνσταντῖνος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Δούκα ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Καλοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Ἀγγέλου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου.

σαντινόπολιν ἵνα παξιαρχήσωσιν, ὅμως ὁ βασιλεὺς Θεοδόσιος ὁ μικρὸς παρακινηθεὶς ὑπό τινων, ἠθέλησεν ἀπὸ τῆς Ἀντιοχείας, ἀφ' ἧς ἐχειροτονήθη ὁ Χρυσόστομος Ἰωάννης, κρᾶξαι τὸν Νεστόριον ὡσπερ ἁπλῶς μοναχὸν, ἀλλ' εὐφωνον καὶ εἰς τὸ λέγειν παῤῥησιαστικόν. ὁ πρῶτος αὐτῷ λόγος τῷ Νεστορίῳ δηλονότι ἦν ἐκεῖνος πρὸς τὸν Θεοδόσιον, Βασιλεῦ καθάρισόν μοι τὸ βασίλειόν σου ἀπὸ τῆς αἱρετικῶν, καὶ ἐγώ σοι ὑπόσχομαι ἁπλῶσαι ἦν εὐρύνιον βασιλείαν. βοήθησόν μοι ἐπὶ τὸ καταδαμασθῆναι τοὺς αἱρετικούς, καὶ ἐγώ σοι συμπράξω ἐπὶ τὸ κατανικῆσαί σε τοὺς πέρσας. ἦν δὲ λίαν ἐχθρὸς τῶν Ναυατιανῶν ὁ Νεστόριος, ἐφάνη ὅμως ὑπερασπιστὴς τῆς Πελαγιανῶν. κατὰ δὲ τὸ χῆμα ὁ Νεστόριος ὡς φησὶν ὁ Θεοδώρητος ἦν φαιὸν περιβεβλημένος ἱμάτιον, ἐσυγκακῶς βαδίζων, τὰς ἀγοραίους ἐκκλίνων θορύβους, ὠχρότητι σώματος τὸ δοκεῖν ἐγκρατὴς εἶναι θηρώμενος. ὡς παρῆλθεν ὅμως πολὺς καιρὸς, καὶ ὠξήμεσε τὸν ἰὸν τῆς αἱρέσεως αὐτοῦ ὁ βασιλίσκος Νεστόριος, ὅστις ἐβλασφήμει εἰς τὴν Μαρίαν, λέγων χρυσῆσαι αὐτὴν ψιλὸν ἄνθρωπον, καὶ ὡς Θεοῦ ἀληθινοῦ, ὅθεν καὶ χριστοτόκον ὠνόμαζεν αὐτὴν καὶ ὡς κυρίως θεοτόκον. καὶ ἐγένετο ὁ διώκτης τῆς αἱρετικῶν αἱρεσιάρχης, καὶ ὁ ποιμὴν ὡς λύκος αἱμοβόρος. πλὴν ἀντέγραψεν αὐτῷ ὁ μακάριος Κύριλλος, καὶ ἀνέφερεν αὐτῷ μαρτυρίας τοῦ μεγάλου Ἀθανασίου καὶ ἑτέρων ἁγίων πατέρων, οἵτινες εἶπον καὶ ἐπίσταντο καὶ ὡμολόγουν τὴν παναγίαν ὡς θεοτόκον. ἐγένετο δὲ καὶ συνόδου μερικὴ σύνοδον ἐν τῇ Ῥώμῃ καὶ ἀνεθεμάτισε τὸν Νεστόριον καθὼς μαρτυρεῖ ὁ αὐτὸς Κύριλλος εἰς τὴν ἐπιστολὴν ἣν ἔγραψε πρὸς τὸν Ἀντιοχείας Ἰωάννην, καὶ πρὸς τὸν Ἱερουσαλήμων τῆς Ἱεροσολύμων. ἔγραψαν ἓν ὅλοι αὐτοὶ πρὸς τὸν Νεστόριον ἵνα ποιήσῃ Παλινῳδίαν, καὶ ἀποδέξηται ἅμα τῇ ἐκκλησίᾳ τὴν φωνὴν ἐκείνην τὴν θεοτόκος, ἀλλ' ἐκεῖνος οὐκ ἠθέλησεν ἀκοῦσαι, ἀλλ' ἔλεγεν εἶναι λέξιν πρόσφατον τὴν φωνήν, καθὼς ἔλεγον οἱ Ἀρειανοὶ περὶ τοῦ ὁμοουσίου. ἀλλὰ καὶ εἰς τὴν Ἀντιόχειαν ἐγένετο συνόδου κατὰ Νεστορίου, καὶ δὴ καὶ οἱ Ἀλεξανδρινοὶ μετὰ τοῦ Κυρίλλου ἀθροίσαντες μεγάλην συνόδου, ἀνεθεμάτισαν τὰ δόγματα τοῦ Νεστορίου, καὶ ἐποίησαν τοὺς δώδεκα ἀναθεματισμοὺς, οὓς συνέθηκεν Κύριλλος ὁ παξιάρχης αὐτῆς, οἷς ἐναντίον ἔγραψεν ὁ Θεοδώρητος τῆς κύρου ἐπίσκοπος, ἀποδεικνύων τὸν Κύριλλον ὑποκεκλιμένον τοῖς δόγμασι τοῦ Ἀπολιναρίου, πλὴν ἠθῳώθη ὁ ἅγιος, καὶ δεύτερον γράψας καὶ ἐκβαλὼν πᾶν εἶδος ὑποψίας ἀπ' αὐτοῦ διὰ τῆς ἀπολογίας αὐτοῦ. γνοὺς δὲ ὁ Νεστόριος ὡς οὐκ ἀνέχονται οἱ παξιάρχαι παρασιωπῆσαι οὕτω τεταραγμένων τῆς ἐκκλησιῶν, ἔπεισε (ἀπατήσας) τὸν βασιλέα πέμψαι σάκραν Κυρίλλῳ πλήρη σιγμάτων ἵνα δῆθεν φοβηθῇ, ὁδὲ μᾶλλον διανίσατται ὡς λέων κατὰ τῆς αἱρέσεως τοῦ ἀσεβοῦς. καὶ ἔγραψε καὶ τῷ βασιλεῖ καὶ ταῖς βασιλίσσαις ὑπὲρ τῆς εὐσεβείας, ὥστε τὸν βασιλέα καίπερ μεμψάμενον τῷ ἁγίῳ Κυρίλλῳ τῆς ἐλευθεροσομίας, προ-

Ζωναρ. καὶ Θεοφά. ἱστορ.

Κωνσταντινόπολιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, καὶ ἀναθεματίσαντες τὰς αἱρέσεις ταύτας, καὶ τὸν Νεστόριον ἐξορίσαντες, ἐπὶ τὸν τόπον αὐτοῦ ἐχειροτόνησαν Ἀνατόλιον, ὃς ἐκοιμήθη ἐπὶ Λέοντος τοῦ Μεγάλου. Ἐπὶ δὲ τοῦ Ζήνωνος ἐκάθισε Γεννάδιος, καὶ μετ' αὐτὸν Φλαβιανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν τῷ δρόμῳ. Ἐπὶ δὲ Ἀναστασίου τοῦ Δικόρου ἐκάθισε Μακεδόνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Γαγγρίοις τῆς Παφλαγονίας. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Θρᾳκὸς ἐκάθισεν Ἰωάννης, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Εὐχαΐτοις. Ἐπὶ δὲ Ἰουστινιανοῦ τοῦ Μεγάλου ἐκάθισε Εὐτύχιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Νεωτέρου ἐκάθισε Εὐτύχιος ὁ Σχολαστικός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Σαμοσάτοις τῆς Κομμαγηνῆς. Ἐπὶ δὲ Μαυρικίου τοῦ Καππαδόκου ἐκάθισε Κυριακός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Φωκᾶ τοῦ Κρατοῦντος ἐκάθισε Θεόδωρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἡρακλείου τοῦ Μεγάλου ἐκάθισε Σέργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐκάθισε Γεώργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ἐκάθισε Γερμανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Κοπρωνύμου ἐκάθισε Νικηφόρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἀρμενίου ἐκάθισε Θεόδοτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Τραυλοῦ ἐκάθισε Ἀντώνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Βασιλείου τοῦ Μακεδόνος ἐκάθισε Φώτιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Σοφοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξάνδρου τοῦ Μεγάλου ἐκάθισε Εὐθύμιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἐκάθισε Σισίνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ ἐκάθισε Θεοφύλακτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Μονομάχου ἐκάθισε Μιχαήλ, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Κομνηνοῦ ἐκάθισε Κωνσταντῖνος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Δούκα ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Καλοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Ἀγγέλου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου.

Κωνσταντινόπολιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, καὶ ἀναθεματίσαντες τὰς αἱρέσεις ταύτας, καὶ τὸν Νεστόριον ἐξορίσαντες, ἐπὶ τὸν τόπον αὐτοῦ ἐχειροτόνησαν Ἀνατόλιον, ὃς ἐκοιμήθη ἐπὶ Λέοντος τοῦ Μεγάλου. Ἐπὶ δὲ τοῦ Ζήνωνος ἐκάθισε Γεννάδιος, καὶ μετ' αὐτὸν Φλαβιανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν τῷ δρόμῳ. Ἐπὶ δὲ Ἀναστασίου τοῦ Δικόρου ἐκάθισε Μακεδόνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Γαγγρίοις τῆς Παφλαγονίας. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Θρᾳκὸς ἐκάθισεν Ἰωάννης, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Εὐχαΐτοις. Ἐπὶ δὲ Ἰουστινιανοῦ τοῦ Μεγάλου ἐκάθισε Εὐτύχιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Νεωτέρου ἐκάθισε Εὐτύχιος ὁ Σχολαστικός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Σαμοσάτοις τῆς Κομμαγηνῆς. Ἐπὶ δὲ Μαυρικίου τοῦ Καππαδόκου ἐκάθισε Κυριακός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Φωκᾶ τοῦ Κρατοῦντος ἐκάθισε Θεόδωρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἡρακλείου τοῦ Μεγάλου ἐκάθισε Σέργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐκάθισε Γεώργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ἐκάθισε Γερμανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Κοπρωνύμου ἐκάθισε Νικηφόρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἀρμενίου ἐκάθισε Θεόδοτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Τραυλοῦ ἐκάθισε Ἀντώνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Βασιλείου τοῦ Μακεδόνος ἐκάθισε Φώτιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Σοφοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξάνδρου τοῦ Μεγάλου ἐκάθισε Εὐθύμιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἐκάθισε Σισίνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ ἐκάθισε Θεοφύλακτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Μονομάχου ἐκάθισε Μιχαήλ, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Κομνηνοῦ ἐκάθισε Κωνσταντῖνος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Δούκα ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Καλοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Ἀγγέλου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀνδρονίκου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Παλαιολόγου ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου.

Κωνσταντινόπολιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, καὶ ἀναθεματίσαντες τὰς αἱρέσεις ταύτας, καὶ τὸν Νεστόριον ἐξορίσαντες, ἐπὶ τὸν τόπον αὐτοῦ ἐχειροτόνησαν Ἀνατόλιον, ὃς ἐκοιμήθη ἐπὶ Λέοντος τοῦ Μεγάλου. Ἐπὶ δὲ τοῦ Ζήνωνος ἐκάθισε Γεννάδιος, καὶ μετ' αὐτὸν Φλαβιανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν τῷ δρόμῳ. Ἐπὶ δὲ Ἀναστασίου τοῦ Δικόρου ἐκάθισε Μακεδόνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Γαγγρίοις τῆς Παφλαγονίας. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Θρᾳκὸς ἐκάθισεν Ἰωάννης, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Εὐχαΐτοις. Ἐπὶ δὲ Ἰουστινιανοῦ τοῦ Μεγάλου ἐκάθισε Εὐτύχιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰουστίνου τοῦ Νεωτέρου ἐκάθισε Εὐτύχιος ὁ Σχολαστικός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Σαμοσάτοις τῆς Κομμαγηνῆς. Ἐπὶ δὲ Μαυρικίου τοῦ Καππαδόκου ἐκάθισε Κυριακός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Φωκᾶ τοῦ Κρατοῦντος ἐκάθισε Θεόδωρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἡρακλείου τοῦ Μεγάλου ἐκάθισε Σέργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πωγωνάτου ἐκάθισε Γεώργιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἰσαύρου ἐκάθισε Γερμανός, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Κοπρωνύμου ἐκάθισε Νικηφόρος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Ἀρμενίου ἐκάθισε Θεόδοτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Τραυλοῦ ἐκάθισε Ἀντώνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Βασιλείου τοῦ Μακεδόνος ἐκάθισε Φώτιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Λέοντος τοῦ Σοφοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξάνδρου τοῦ Μεγάλου ἐκάθισε Εὐθύμιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου ἐκάθισε Σισίνιος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ῥωμανοῦ τοῦ Λακαπηνοῦ ἐκάθισε Θεοφύλακτος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Κωνσταντίνου τοῦ Μονομάχου ἐκάθισε Μιχαήλ, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰσαακίου τοῦ Κομνηνοῦ ἐκάθισε Κωνσταντῖνος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μιχαὴλ τοῦ Δούκα ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἰωάννου τοῦ Καλοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Μανουὴλ τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς ἐτελεύτησεν ἐν Ἀμάσειᾳ τοῦ Πόντου. Ἐπὶ δὲ Ἀλεξίου τοῦ Κομνηνοῦ ἐκάθισε Νικόλαος, ὃς ἐξορισθεὶς

στάξαι μέντοι συναθροισθῆναι συνόδον Οἰκουμενικὴν ἐν τῇ Ἐφέσῳ ἵνα ἀπολογηθῇ ὁ Νεστόριος, ἐν ᾗ ἔδωκε τὴν αὐθεντίαν τῆς συνόδου αὐτῷ τῷ ἁγίῳ Κυρίλλῳ. ὃς καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν καὶ τὸ πρόσωπον ἀνεπλήρου. ἦν δὲ ὁ ἀριθμὸς τῆς συνόδου ἐν πατράσιν διακοσίοις. ὠργίσθη ὅμως ὁ Ἀντιοχείας Ἰωάννης μὴ προσμεινάσης αὐτὸν ἐλθεῖν τῆς συνόδου, ἀλλ' ὁ Ἀλεξανδρείας Κύριλλος καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος, καὶ ὁ Ἐφέσου Μέμνων τὸν Νεστόριον καθεῖλον. ὅθεν ἐποίησε φατρίαν μετὰ τῶν συνελθόντων ἐπισκόπων ὁ Ἰωάννης, καὶ καθῃρήκει τὸν ἅγιον Κύριλλον καὶ τὸν Ἐφέσου Μέμνονα ὡς καταπατητὰς τῶν ἐκκλησιαστικῶν κανόνων, καὶ ἐγένετο σχίσμα ἀναμεταξὺ τῶν ἀνατολικῶν καὶ τῶν λοιπῶν πατέρων, ἠνώθησαν ὅμως ὕστερον διὰ τῆς τοῦ βασιλέως ἐπιμελείας, καὶ ὅλοι ἀνεθεμάτισαν τὸν Νεστόριον, ὅστις ἐξωρίσθη εἰς τὴν θάσον κατὰ τὸν θεοφάνην, καὶ εἶτα εἰς τὴν ὄασιν καταδεδικασμένος, ἥτις κράζεται καὶ ἴβις, καὶ Τουρκιστὶ Ἴπριμ· λέγει δὲ ὁ Ζωναρᾶς ὅτι ὁ Νεστόριος εἰς ἑῴαν ἐξωρίσθη, καὶ βλασφημῶν, δι' ἀναφορᾶς τοῦ Ἀντιοχείας Ἰωάννου ἐξωρίσθη εἰς ὄασιν. σαφέστερον δὲ γράφει ὁ Εὐαγριος λέγων, Νεστόριος δεήσει πρὸς Θεοδόσιον ἐπετράπη κατὰ τὸ οἰκεῖον ἐπαναζεῦξαι μοναστήριον, ὃ πρὸ τῶν πυλῶν Ἀντιοχείας διάκειται, ἐν ᾧ τετραετῆ χρόνον διέτριψε μὴ ἠρεμῶν δὲ τῆς οἰκείας βλασφημίας, ἐμήνυσε ταῦτα ὁ Ἀντιοχείας Ἰωάννης τῷ βασιλεῖ, ὅθεν ἐκεῖνος ἀειφυγίᾳ αὐτὸν εἰς ὄασιν κατεδίκασε. Ἱστορεῖ ὁ Ἀλεξανδρείας Εὐτύχιος λέγων, ὅτι τὸ τοῦ Νεστορίου ῥητὸν ἦν ἀμεληθὲν, ἀνενέωσε δὲ αὐτὸ ὕστερον μετὰ πολὺν χρόνον βαρσουμᾶς τὶς ἐπίσκοπος Νισίβεως ἐπὶ Ἰουστινιανοῦ Βασιλέως ῥωμαίων, καὶ ἀμπὰτ υἱοῦ φυρούζη βασιλέως περσῶν, ἁπλώσας αὐτὸ ἐν τῇ ἀνατολῇ, ὅθεν καὶ ἐν τῇ ἀνατολῇ πλεῖστοι Νεστοριανοί εἰσὶ, καὶ μάλιστα ἐν γῇ περσῶν καὶ ἀσσυρίων, καὶ ἐν τῷ εὐφράτῃ καὶ Νισίβει. εἰς τὴν ὄασιν οὖν ἐκακοχήθη ὁ Νεστόριος, ὥστε βεβαίως ἔζησεν ἵνα δοκιμάσῃ καὶ ἐνταῦθα τὰς θεϊκὰς ἀγανακτήσεις. κατέστρεψε δὲ κακῶς εἰς τὴν ἄνω θηβαΐδα τῆς αἰγύπτου, καὶ ἐσάπη ἡ γλῶσσα αὐτοῦ κατὰ τὸν Εὐάγριον, καὶ ὅλον αὐτοῦ τὸ σῶμα κατὰ τὸν Κεδρηνὸν, καὶ Νικηφόρον εἰς τὸ δέκατον τέταρτον τῆς ἱστορίας αὐτοῦ. Ἐτεχνήσαντο οἱ αἱρετικοὶ Νεστοριανοὶ σύμβολον πίστεως, ὅπερ δοκιμάσασα ἡ σύνοδος ἀνεθεμάτισεν, ἐβλάσφημει γὰρ εἰς τὸν Χριστὸν, καὶ ἐθέσπισεν ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι συγγράφειν ἢ συντιθέναι παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ τῇ πόλει συνελθόντων. καὶ δὴ καὶ ἀνεθεμάτησαν τοὺς παραβαίνοντας τὸ τοιοῦτον πρόσταγμα. καὶ ὅρον ἐξέθεντο οἱ πατέρες ταύτης τῆς συνόδου, θεοτόκον τὴν παρθένον, καὶ ἕνα τὸν Χριστὸν καθ' ὑπόστασιν τὸν αὐτὸν καὶ Θεὸν καὶ ἄνθρωπον ἐν αὐτῷ δογματίσαντες.

Βιβ. α'. κεφ. 7.

Μέρει β'. Κεφ. ι δ'.

ΙΗΣΟΥ ΧΡΙΣΤΩ ΣΩΤΗΡΙ, ΤΙΜΗ ΚΑΙ ΔΟΞΑ. ΑΜΗΝ.



Μ. Σινᾶ. Ἁγ. Θεοδοσία, 12ου αἰ.



Ε Λ Ε Γ Χ Ο Σ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΕΝ ΤΩ ΠΑΡΟΝΤΙ ΔΕΥΤΕΡΩ ΤΟΜΩ.

ΙΣΤΟΡΙΑ

Τῆς ἐν Κωνσταντινουπόλει

Τὸ ξ΄ τὸν Οἰκουμενικῆς ἕκτης ἁγίας συνόδου. 523

Ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, ξ΄ τῆς ἐν Κωνσταντινουπόλει. διηρημένη εἰς ὁ. καὶ ιβ΄ Πράξεις. 527

Θεῖα σάκρα Κωνσταντίνου βασιλέως τῦ Πωγωνάτου πρὸς τὸν πάπαν Ρ΄ώμης καταπεμφθέντα. 527

Ἕτερα θεῖα σάκρα τῦ αὐτῦ βασιλέως πεμφθέντα πρὸς Γεώργιον παξιάρχιν Κωνσταντινουπόλεως. 529

Πεντάγραμμα τῆς ἐν Κωνσταντινουπόλει γνωμένης ἕκτης ἁγίας συνόδου κατὰ τῆς δυσεβῶς διδαξάντων ἓν θέλημα, καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστῦ τῦ ἀληθινῦ Θεῦ ἡμῶν. 530

Πρᾶξις Α΄. 530
Πρᾶξις Β΄. 532
Πρᾶξις Γ΄. 533
Πρᾶξις Δ΄. 536

Ἐπιστολὴ Ἀγάθωνος πάπα πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνον. 537

Ἐπιστολὴ Ἀγάθωνος καὶ τῆς ἐν Ρ΄ώμῃ συνόδου ἣν ἔπεμψαν εἰς Κωνσταντινούπολιν. 552

Πρᾶξις Ε΄. 561
Πρᾶξις ς΄. 563
Πρᾶξις Ζ΄. 564
Πρᾶξις Η΄. 566

Ἔκθεσις, ἤτοι ὁμολογία πίστεως μακαρίυ Αἱρεσιάρχου. 571

Πρᾶξις Θ΄. 579
Πρᾶξις Ι΄. 581
Πρᾶξις ΙΑ΄. 601

Γράμματι συνοδικὰ Σωφρονίου Ἱεροσολύμων περὶ τῶν δύο θελήσεων καὶ ἐνεργειῶν τῦ Χριστῦ. 602

Πρᾶξις ΙΒ΄. 618

Ἴσον Ἐπιστολῆς Σεργίου Κωνσταντινουπόλεως πρὸς Ὀνώριον πάπαν περὶ μιᾶς ἐνεργείας καὶ θελήσεως τῦ Χριστῦ. 622

Ἀντίγραφος Ἐπιστολὴ Ὀνωρίου πάπα Ρ΄ώμης πρὸς τὸν αὐτὸν Σέργιον, ὅσις συμφωνεῖ τῷ Σεργίῳ. 623

Πρᾶξις ΙΓ΄. 627

Δύο Ἐπιστολαὶ Κύρου Ἀλεξανδρείας πρὸς Σέργιον Κωνσταντινουπόλεως περὶ μιᾶς ἐνεργείας καὶ θελήσεως Χριστῦ. 630

Ἴσον γνωμῦς πληροφορίας μεταξὺ Κύρου Ἀλεξανδρείας, καὶ τῶν τῆς μερίδος τῶν Θεοδοσιανῶν περὶ μιᾶς ἐνεργείας. 631

Ἐπιστολὴ Ὀνωρίου πάπα πρὸς Σέργιον, ὅσις συμφωνεῖ αὐτῷ. 636

Πρᾶξις ΙΔ΄. 636
Πρᾶξις ΙΕ΄. 642
Πρᾶξις ις΄. 545
Πρᾶξις ΙΖ΄. καὶ ΙΗ΄. 648

Ὁ ὅρος τῆς συνόδου. 650

Συναίνεσις τῶν πατέρων τῆς συνόδου.

Ἔπαινος πρὸς τὸν βασιλέα. καὶ ἀναθεματισμοὶ κατὰ τῶν αἱρετικῶν. καὶ ὁμολογία τῦ βασιλέως περὶ τῆς ὀρθῆς πίστεως. 656

Λόγος προσφωνητικὸς παρὰ τῆς ἁγίας ἕκτης συνόδου πρὸς τὸν βασιλέα Κωνσταντῖνον. 657

Ἰσότυπα τῶν σαλευόντων γραμμάτων παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου πρὸς Ἀγάθωνα πάπαν τῆς πρεσβυτέρας Ῥώμης. 664

Ἤδικτον τοῦ θεοσεβεστάτου βασιλέως Κωνσταντίνου, ἐν ᾧ βεβαιοῖ τὰ ὁροθετηθέντα παρὰ τῆς ἁγίας ἕκτης συνόδου. 667

Ἀντίγραφον θείας σάκρας τοῦ θεοσεβεστάτου βασιλέως Κωνσταντίνου γραφείσης πρὸς Λέοντα τὸν πάπαν Ῥώμης. 672

Ἕτερον ἀντίγραφον θείας σάκρας τοῦ αὐτοῦ βασιλέως Κωνσταντίνου γραφείσης πρὸς τὴν ἐν Ῥώμῃ σύνοδον. 673

Ἀντίγραφος ἀναφορὰ σαλεῖσα παρὰ Λέοντος πάπα πρὸς τὸν βασιλέα Κωνσταντῖνον ἐπικυροῦσα, καὶ ἀποδεχομένη τὰ ἐν τῇ ἁγίᾳ οἰκουμενικῇ ἕκτῃ συνόδῳ πραχθέντα, καὶ ὁρισθέντα. 675

Η΄ ΕΝ ΤΡΟΥΛΛΩ,

Καλουμένη πενθέκτη σύνοδος. 680

Προσφωνητικὸς λόγος τῶν συνελθόντων πατέρων πρὸς τὸν βασιλέα Ἰουστινιανόν. 680

Κανόνες τῆς αὐτῆς ἐν Τραύλλῳ Συνόδου ρβ΄. 681

Ἡ ἕκτη οἰκουμενικὴ σύνοδος ἐκ τοῦ βιβλίου τοῦ συνοδικοῦ. 702

Ἑτέρα Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Ἰουστινιανοῦ ἐκ τοῦ βιβλίου τοῦ συνοδικοῦ. 702

Ἡ αὐτὴ ἕκτη οἰκουμενικὴ σύνοδος ἐκ τοῦ Φωτίου. 703

Ἡ αὐτὴ ἐκ τοῦ Νείλου. 703

Ἡ αὐτὴ ἕκτη σύνοδος ἐκ τοῦ Ἀνωνύμου. 704

Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Φιλιππικοῦ βασιλέως καὶ Ἰωάννου πατριάρχου Μονοθελήτου. 704

Ἐπίλογος τοῦ τιμίου ἕκτου συνόδου ἰδιοχείρως ἀπογραφομένου. ἐν ᾧ καὶ περὶ τῶν ὑπὸ Φιλιππικοῦ τοῦ τυράννου κατὰ τῆς ἕκτης Οἰκουμενικῆς συνόδου τετολμημένων. 704

Ἐπιστολὴ Ἰωάννου Κωνσταντινουπόλεως πρὸς Κωνσταντῖνον Ῥώμης Ἀπολογητικὴ σύνεσιν τῶν ἐπὶ τῶν χρόνων τῆς τυραννίδος Βαρδάνου κεκινημένων κατὰ τῆς ἁγίας οἰκουμενικῆς ἕκτης συνόδου. 706

Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Γερμανοῦ Ὀρθόδοξος κατὰ τῶν Μονοθελητῶν. 710

Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Λέοντος Ἰσαύρου αἱρετικὴ κατὰ τῶν ἁγίων Εἰκόνων. 710

Σύνοδος ἐν Ῥώμῃ ἐπὶ Γρηγορίου πάπα Ὀρθόδοξος περὶ τῶν ἁγίων Εἰκόνων. 710

Σύνοδος ἐν Ἱεροσολύμοις ἐπὶ Θεοδώρου ὀρθόδοξος περὶ τῶν ἁγίων Εἰκόνων. 710

Σύνοδος ἐν Κωνσταντινουπόλει Κοπρωνύμου Αἱρετικὴ κατὰ τῶν Ἁγίων Εἰκόνων. 711

Σύνοδος ἐν Ἀντιοχείᾳ περὶ τῶν θείων Εἰκόνων ἐπὶ Θεοδωρίτου πατριάρχου. 711

Ἐπιστολὴ Α΄. Γρηγορίου πάπα Ῥώμης πρὸς Λέοντα βασιλέα τὸν Ἴσαυρον περὶ τῶν ἁγίων Εἰκόνων. 712

Ἐπιστολὴ τοῦ αὐτοῦ Γρηγορίου Β΄. πρὸς τὸν αὐτὸν Ἴσαυρον περὶ τῶν ἁγίων Εἰκόνων. 716

Ἱστορία τῆς ἐν Νικαίᾳ τὸ δεύτερον Οἰκουμενικῆς Ἑβδόμης συνόδου. 719

Η΄ ΕΝ ΝΙΚΑΙΑ.

Τὸ δεύτερον Ἑβδόμη Οἰκουμενικὴ Σύνοδος. 723

Ἀπολογητικὸς λόγος Ταρασίου πατριάρχου χειροθετηθεὶς πρὸς τὸν λαόν. 723

Συγγραφὴ σύντομος δηλωτικὴ τῶν πραχθέντων ἐπὶ τῆς συνόδου. 724

Ὑπόμνημα τῆς ἐν Νικαίᾳ συνόδου τὸ δεύτερον.

Πρᾶξις Α΄. 725

Πρᾶξις Β΄. 741

Ἐπιστολὴ Ἀδριανοῦ πάπα πρὸς τοὺς αὐτοκράτορας Κωνσταντῖνον καὶ Εἰρήνην ὑπὲρ τῶν ἁγίων Εἰκόνων. 742

Ἐπιστολὴ τοῦ αὐτοῦ Ἀδριανοῦ πάπα πρὸς Ταράσιον πατριάρχην Κωνσταντινουπόλεως ὑπὲρ τῶν ἁγίων Εἰκόνων. 747

Πρᾶξις Γ΄. 757

Ἐπιστολὴ σαλεῖσα παρὰ Ταρασίου πατριάρχου Κωνσταντινουπόλεως πρὸς τοὺς ἀρχιερεῖς καὶ ἱερεῖς Ἀντιοχείας, καὶ Ἀλεξανδρείας καὶ τῆς ἁγίας πόλεως. 759

Ἐπιστολὴ τῶν ἀρχιερέων τῆς Ἑῴας πρὸς Ταράσιον πατριάρχην εἰς ἀπόκρισιν τῶν λιβέλλων αὐτοῦ. 761

Ἴσον συνοδικοῦ Θεοδώρου πατριάρχου Ἱεροσολύμων, ἤτοι ὁμολογία πίστεως. 763

Πρᾶξις τετάρτη.

Ἐν ᾗ περιλαμβάνονται μαρτυρίαι τῆς θείας γραφῆς, καὶ τῶν ἁγίων πατέρων πρὸς ἀπόδειξιν τῶν σεβασμίων Εἰκόνων 769

Ἐπιστολὴ Γρηγορίου πάπα Ῥώμης πρὸς Γερμανὸν Κωνσταντινουπόλεως ὑπὲρ τῶν ἁγίων εἰκόνων. 795

Ἐπιστολὴ Γερμανοῦ Κωνσταντινουπόλεως πρὸς Ἰωάννην ἐπίσκοπον Σωζόπολεως περὶ τῶν ἁγίων Εἰκόνων. 797

Ἑτέρα Ἐπιστολὴ Γερμανοῦ πρὸς Κωνσταντῖνον ἐπίσκοπον Ναχωλείας περὶ τῶν ἁγίων Εἰκόνων. 798

Ἑτέρα Ἐπιστολὴ Γερμανοῦ πρὸς Θωμᾶν ἐπίσκοπον Κλαυδιουπόλεως περὶ τῶν θείων Εἰκόνων. 799

Πρᾶξις πέμπτη.

Περιέχουσα ἀκολούθησιν μαρτυριῶν τῶν θείων πατέρων ὑπὲρ τῶν ἁγίων Εἰκόνων. 812

Πρᾶξις ἕκτη. 825

Ἀνασκαφὴ τοῦ ψευδῶς ὀνομαζομένου ὄρους παρὰ τῆς ὀχλαγωγηθείσης πληθύος τῶν Χερσιανοκατηγόρων. 826

Πρᾶξις ἑβδόμη. 870

Ὅρος τῆς ἁγίας καὶ οἰκουμενικῆς Ἑβδόμης συνόδου. 873

Ἐπιστολὴ συνοδικὴ Ταρασίου πατριάρχου, ἐκ πάσης τῆς συνόδου πρὸς τοὺς βασιλεῖς Κωνσταντῖνον, καὶ Εἰρήνην. 879

Ἑτέρα Ἐπιστολὴ συνοδικὴ πρὸς τὸν κλῆρον πασῶν τῶν Ἐκκλησιῶν τῆς Κωνσταντινουπόλεως. 881

Πρᾶξις Ὀγδόη. 883

Κανόνες τῆς Ἑβδόμης οἰκουμενικῆς συνόδου. 884

Λόγος Ἐγκωμιαστικὸς τῇ Ἁγίᾳ προσφωνηθεὶς συνόδῳ. Νῦν πρῶτον ἐκδοθεὶς τύποις ἐκ χειρογράφου κώδικος τῆς τοῦ Ἁγίου Μάρκου Βιβλιοθήκης τῶν Ἐνετῶν. 890

Ἐπιστολὴ Ταρασίου πατριάρχου πρὸς Ἀδριανὸν πάπαν περὶ τῆς συνόδου. 895

Ἑτέρα Ἐπιστολὴ Ταρασίου πρὸς Ἀδριανὸν πάπαν κατὰ Σιμωνιακῶν. 896

Ἐπιστολὴ Ταρασίου πατριάρχου πρὸς Ἰωάννην πρεσβύτερον καὶ ἡγούμενον κατὰ σιμωνιακῶν. 899

Πῶς δεῖ νοεῖν τὸ ἀκοινώνητον ὄνομα τοῦ Θεοῦ, καὶ πᾶσαν προφητικὴν ῥῆσιν τὰ εἴδωλα σηλιτεύουσαν. 901

Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Κωνσταντίνου καὶ Εἰρήνης. 902

Σύνοδος ἑβδόμη οἰκουμενικὴ ἐν Νικαίᾳ τὸ δεύτερον. 902

Ἡ αὐτὴ ἑβδόμη Οἰκουμενικὴ σύνοδος ἐκ τοῦ Φωτίου. 903

Ἡ αὐτὴ σύνοδος ἐκ τοῦ Νείλου. 904

Ἐπιστολὴ τῆς Οἰκουμενικῆς Ἑβδόμης συνόδου πρὸς τὴν Ἀλεξανδρέων ἐκκλησίαν. 904

Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Νικηφόρου πατριάρχου ὀρθόδοξος, καὶ δευτέρα σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Θεοδότου πατριάρχου αἱρετικοῦ, κατὰ τῶν ἁγίων Εἰκόνων. 908

Ἐπιστολὴ Νικηφόρου Κωνσταντινουπόλεως πρὸς τὸν πάπαν Λέοντα τὸν τρίτον. 908

Σύνοδος ἐν Κωνσταντινουπόλει κατὰ Ἀντωνίου μητροπολίτου Σιλαίου ἐπὶ Νικηφόρου πατριάρχου σ. ἐπισκόπων. 916

Κανόνες ιζ'. Νικηφόρου πατριάρχου τοῦ ὁμολογητοῦ. 918

Σύνοδος ἐν Κωνσταντινουπόλει κατὰ Ἰγνατίου πατριάρχου. 919

Κανόνες τῆς πρώτης καὶ δευτέρας λεγομένης ἐν Κωνσταντινουπόλει συνόδου. 920

Ἕτεροι Κανόνες ἐξῆς τῆς ἐν τῇ ἁγίᾳ Σοφίᾳ συνόδου ἐν Κωνσταντινουπόλει. 924

Σύνοδος ἐν Κωνσταντινουπόλει κατὰ Φωτίου, καὶ Κανόνες αὐτῆς δεκατέσσαρες. 925

Σύνοδος ἐπὶ Φωτίου καὶ ὑπὲρ Φωτίου ἐκ τοῦ Νείλου μητροπολίτου Θεσσαλονίκης Ῥοδίου τοῦ καὶ Δαμύλα. 928

Πρακτικὰ τῆς αὐτῆς ἐπὶ Φωτίου συνόδου. 929

Πρᾶξις Β'.

Καὶ Ἐπιστολὴ Ἰωάννου πάπα πρὸς τοὺς βασιλεῖς. 935

Ἐπιστολὴ Ἰωάννου πάπα πρὸς Φώτιον πατριάρχην. 940

Ἐπιστολὴ Μιχαὴλ Ἀλεξανδρείας πρὸς τοὺς βασιλεῖς. 945

Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ Μιχαὴλ Ἀλεξανδρείας πρὸς Φώτιον. 946

Ἐπιστολὴ Θεοδοσίου πατριάρχου Ἱεροσολύμων πρὸς Φώτιον. 949

Ἐπιστολὴ Θεοδοσίου πατριάρχου Ἀντιοχείας πρὸς Φώτιον. 950

Ἐπιστολὴ Ἀβραμίου μητροπολίτου Ἀμυδῶν καὶ Σαμοσάτων Ἁρμενίας πρὸς Φώτιον. 950

Πρᾶξις Γ'. 951

Ἐπιστολὴ Ἰωάννου πάπα πρὸς πάντας τοὺς πατριάρχας, καὶ πρὸς τὴν ἐκκλησίαν τῶν Κωνσταντινουπολιτῶν. 952
Ἐπιστολὴ Θεοδοσίου Ἱεροσολύμων πρὸς Βασίλειον αὐτοκράτορα. 955
Κομμονιτόριον τοῦ πάπα. 957

Πρᾶξις Δ'. 959

Κεφάλαια πʹ, ἅπερ ἀνεγνώσθησαν εἰς τὴν σύνοδον διʼ αἰτήσεως τῶν τοποτηρητῶν τῆς Ρώμης. 963

Πρᾶξις πέμπτη. 965

Κανόνες ξεῖς τῆς αὐτῆς συνόδου. 966

Πρᾶξις ἕκτη. 970
Πρᾶξις ἑβδόμη. 972

Ἐπιστολὴ Ἰωάννου πάπα πρὸς Φώτιον πατριάρχην. 974

Ὁ Τόμος τῆς ἑνώσεως ἐπὶ Κωνσταντίνου καὶ Ρωμανοῦ τῶν Βασιλέων. ἤγουν ὅπως κατήργηται ἡ Τετραγαμία ἐκ τοῦ τόμου τῆς ἑνώσεως. 975
Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Μιχαὴλ Κηρουλλαρίου, καὶ Κωνσταντίνου τοῦ Μονομάχου αὐτοκράτορος κατὰ τοῦ ῥιφέντος πιττακίου ἐν τῇ ἁγίᾳ τραπέζῃ παρὰ ἀπὸ Ρώμης πρέσβεων κατὰ τοῦ ἀγιωτάτου πατριάρχου Κηρουλλαρίου. 978
Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Νικολάου πατριάρχου καὶ Ἀλεξίου Κομνηνοῦ βασιλέως 981

Κανόνες τῆς αὐτῆς συνόδου. 984

Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Λέοντος τοῦ Στυπῆ πατριάρχου, καὶ Ἰωάννου Κομνηνοῦ αὐτοκράτορος κατὰ τῆς συγγραμμάτων Κωνσταντίνου Χρυσομάλλου, ἅτινα ἐξετασθέντα παρὰ τῆς συνόδου κατεκρίθησαν ὡς αἱρετικὰ, καὶ ἀσεβῆ. 987
Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Μιχαὴλ πατριάρχου, καὶ Ἰωάννου Κομνηνοῦ βασιλέως. κατὰ τοῦ μοναχοῦ Νίφωνος Βογομίλου. 990
Σύνοδος ἐν Κωνσταντινουπόλει ἐπὶ Μιχαὴλ Ὀξείτου πατριάρχου, καὶ Ἰωάννου αὐτοκράτορος Κομνηνοῦ κατὰ τῶν σασίμων καὶ τ. 991
Σύνοδος ἐν Κωνσταντινουπόλει ἐν τῷ τοῦ Βλαχερνῶν φαλατίῳ κατὰ Κοσμᾶ πατριάρχου τοῦ Ἀττικοῦ Βογομίλου. 993

Ἐπιστολὴ Ἀδριανοῦ πάπα πρὸς Βασίλειον ἀρχιεπίσκοπον Ἀχρίδος περὶ ἑνώσεως τῶν ἐκκλησιῶν δυτικῆς τε καὶ ἀνατολικῆς: 995
Ἀπόκρισις Βασιλείου Ἀχριδινοῦ πρὸς τὸν πάπαν Ρώμης Ἀδριανόν. 996
Σύνοδος ἐν Κωνσταντινουπόλει κατὰ Δημητρίου τοῦ Ἐκλάμπης ἐπὶ Λουκᾶ πατριάρχου. ἐν ἔτει Χριστοῦ 1166. 997
Ἐπιστολὴ τοῦ ἁγίου Γερμανοῦ τοῦ Νέου πρὸς τὸν πάπαν Γρηγόριον θ'. περὶ ἑνώσεως τῶν ἐκκλησιῶν. 998
Ἐρωτήματα ἐκκλησιαστικὰ ἅπερ ἔλυσεν Πέτρος χαρτοφύλαξ καὶ διάκονος τῆς μεγάλης ἐκκλησίας. 1001
Ἐπιστολαὶ περὶ τῆς Αὐγουσταίας ὁμολογίας σταλεῖσαι πρὸς τὸν Πατριάρχην Κωνσταντινουπόλεως Κύριον Ἱερεμίαν καὶ ἀποκρίσεις αὐτοῦ. 1004
Σημείωμα συνοδικὸν ἐπὶ Λουκᾶ Πατριάρχου περὶ τοῦ βαπτίζεσθαι νήπια αἰχμαλωτισθέντα, καὶ περὶ τῶν ἀγαρηνῶν. 1008
Περὶ τῆς ἐν Γιασίῳ συνόδου κατὰ τοῦ Κυρίλλου Λυκάρεως καὶ τῆς Καλβινικῆς Βιβλίου. 1009

Ἀρμονοπέλου περὶ Αἱρέσεων. 1010
Τὸ Καθῆκον τοῦ Πατριάρχου, Ἐπισκόπου, καὶ Βασιλέως, καὶ τὶ ἴδιον αὐτῶν 1013

ΤΕΛΟΣ
Τοῦ Δευτέρου Τόμου.

Σύνοδοι ἀποστόλων ἑπτά. 1015

Σημείωσις Χρονολογικὴ συνόδων τινῶν αἵ εἰσιν ἐν τῷ πρώτῳ Τόμῳ ταύτης τῆς συνοδικῆς συλλογῆς. 1017

Ἐπιστολὴ συνοδικὴ τῆς ἐν Λουγδούνῳ συνόδου πρὸς τὸν πάπαν Βίκτορα περὶ τοῦ πάσχα. 1017
Ἑτέρα ἐπιστολὴ συνοδικὴ τῆς ἐν Ἐφέσῳ συνόδου πρὸς τὸν αὐτὸν πάπαν ὑπὸ Πολυκράτους περὶ τοῦ Πάσχα. 1018

Ἱστορία τῆς ἐν Κωνσταντινουπόλει Οἰκουμενικῆς δευτέρας συνόδου. 1020

Ἱστορία τῆς ἐν Ἐφέσῳ Οἰκουμενικῆς ζ'. τῆς συνόδου. 1021

ΤΕΛΟΣ.

Ε Π Ι Δ Ι Ο Ρ Θ Ω Σ Ι Σ

Τ Ω Ν Ε Ν Τ Η͂ Β Ι Β Λ Ω Σ Φ Α Λ Μ Α Τ Ω Ν

Η θέσις ἑκάστης λέξεως ἐνταῦθα δὶς τίθεται· πρῶτον δηλονότι ἡ ἐσφαλμένη, εἶτα ἡ ὀρθῶς ἔχουσα. ὁ δὲ ἀριθμὸς τῆς εὑρέσεως τούτων ξιττλῳ φέρει θέσιν. πρώτῳ, τῆς σελίδος, δευτέραν τοῦ στύλου, καὶ ξίτλῳ, τῆς σειρᾶς.

ὑμῶν	ἡμῶν	σελὶς	528	στίλος 2	σειρὰ 19	προβλήλατα	προβλήματα	859	1	
λέξει	λήξει		532	1	11	χραγη	χραυγὴ	865	2	
φήσει	φύσει		574	2	31	ὀφικίου	ὀψικίου	873	1	
χρήσως	χρήσεως		574	2	50	ἐν τῇ πρώτῃ	ἐν τῇ πρώτῃ πρά-ξει	873	1	1
αἰκαλωτισθέντα	αἰχμαλωτισθέντα		575	2	14	παρτα᾽	παρὰ	881	1	1
προκαθεζομένω	προτεθειμένω		627	1	47	μαχῆσιν	λαχῆσιν	884	1	4
						ὀλόκμηρον	ὀλόκληρον	884	2	
ἀνιστρόχται	ἀνιστόρηται		632	2	45	τιτὰ	τινὰ	885	1	4
Κυειστὶ	συειστὶ		646	2	40	παραγμάτων	πραγμάτων	887	1	3
ἱερῆν	ἱερεῖς		677	2	7	σανήγαμβυ	συνήγαγεν	887	2	
πατιλόγω	καταλόγω		677	2	36	παχυτάτιω	ταχυτάτιω	891	1	3
ὑποχηρήσει	ὑποχωρήσει		715	2	30	εἰσιωποιήσας	ἐριωποιήσας	891	2	1
χολαρίαν	χολαρίων		724	2	36	καί μβύ	καὶ δύο	896	1	
κατὰ	μετὰ		740	1	30	χειρονοία	χειροτονία	897	1	4
πέσεως	πίσεως		743	1	41	θησαυσὸν	θησαυρὸν	897	2	5
βυλύσει	βυλήσει		744	2	47	δείλαι	δείλαιοι	903	1	5
ῥωμιάων	ῥωμαίων		747	2	50	ἀνιερῶμβυ	ἀνιερῶμβυ	904	1	3
ἐτίθεμα	ἐπίθεμα		769	2	36	πρωτεργὸν	πρωτουργὸν	904	1	41
ἐλίγω	ὀλίγω		773	1	25	ἐξοειωθεῖσαν	ἐξοραϊωθεῖσαν	904	2	1
δοκιμάζεαι	δοκιμάζεται		795	2	26	ἐναγλαίεσθαι	ἐναγλαίζεσθαι	904	2	
ἀνυθέτησον	ἀνυθέτητον		799	1	40	τσιῦαι	στιῦαι	910	1	4
ἀλλ᾽ ἐπεὶ δὲ δοκία τοῦ θεοῦ καὶ υἱὸς καὶ παῖδος κατελθὼν ὁ μονογενὴς αὐτοῦ υἱὸς καὶ θεὸς λόγος ἐξ οὐρανῶν.	ἀλλ᾽ ἐπεὶ δὲ δοκία τοῦ θεοῦ καὶ παῖδος κατελθὼν ὁ μονογενὴς αὐτοῦ υἱὸς καὶ θεὸς λόγος ἐξ οὐρανῶν		814	2	56	ἡμετέρα	ὑμετέρα	938	1	51
						ὅσοι	ὅσον	941	1	37
						χεισοῦ	Χεισοῦ	948	2	42
						τοῦτῳ	τούτῳ	955	2	56
						παντετῶς	παντελῶς	958	2	12
						μαρτυροπόμεως	μαρτυροπόλεως	964	1	38
						θέμηλα	θέλημα	966	2	44
εἰκοίνας	εἰκόνας		820	1	28	πῦλος	Παῦλος	973	2	46
λλενες	ἕλλιωες		847	1	7	ὡς	εἰς	1003	2	44
θεσοθεσίαν	θεσμοθεσίαν		851	2	5	λυρίω	Κυρίω	1006	1	11
						λαὶ	καὶ	1007	1	48
										16



Skopie, Ἅγ. Νικήτας. Ἡ Ἐκδίωξις τῶν Ἐμπόρων ἐκ τοῦ Ναοῦ, 14ου αἰ.

ΠΑΡΑΡΤΗΜΑ

ΠΙΝΑΞ

ΤΩΝ ΕΝ ΤΩ ΠΑΡΑΡΤΗΜΑΤΙ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Α. Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΟΓΔΟΗ ΣΥΝΟΔΟΣ.
Ἐγκύκλιος Ἐπιστολή πρός τούς τῆς Ἀνατολῆς ἀρχιερατικούς Θρόνους τοῦ Μ. Φωτίου ..... σελ. 541

Β. Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΣΥΝΟΔΟΣ ΤΟΥ 1054.
1. Ἐπιστολή πρώτη Πατριάρχου Κων/πόλεως Μιχαήλ Κηρουλαρίου πρός Πέτρον Πατριάρχην Ἀντιοχείας ..... σελ. 547
2. Ἀπάντησις Πέτρου Ἀντιοχείας ..... σελ. 549
3. Ἐπιστολή Δευτέρα Πατριάρχου Κων/πόλεως Μιχαήλ Κηρουλαρίου πρός Πέτρον Ἀντιοχείας ..... σελ. 553

Γ. Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΣΥΝΟΔΟΣ ΤΟΥ 1351.
Τόμος Συνοδικός ..... σελ. 557

Δ. Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ — ΙΑΣΙΩ ΣΥΝΟΔΟΣ ΤΟΥ 1642.
1. Συνοδική Ἐπιστολή τοῦ Ἀρχιεπισκόπου Κων/πόλεως Παρθενίου πρός τήν ἐν Ἰασίῳ Σύνοδον ..... σελ. 575
2. Συνοδική Ἐπιστολή τῆς ἐν Ἰασίῳ Συνόδου πρός τόν Ἡγεμόνα τῆς Μολδοβλαχίας ..... σελ. 576

Ε. Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΣΥΝΟΔΟΣ ΤΟΥ 1838.
Ἐγκύκλιος κατά τῶν Λατινικῶν Καινοτομιῶν ..... σελ. 577



Μ. Διονυσίου. Κῶδ. 4, 13ου αἰ.

Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΟΓΔΟΗ

ΑΓΙΑ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗ ΣΥΝΟΔΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΦΩΤΙΟΥ

ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Ἐγκύκλιος ἐπιστολή πρός τούς τῆς Ἀνατολῆς ἀρχιερατικούς θρόνους, Ἀλεξανδρείας φημί, καί τῶν λοιπῶν, ἐν ᾗ περί κεφαλαίων τινῶν διάλυσιν πραγματεύεται· καί ὡς οὐ χρή λέγειν, ἐκ τοῦ Πατρός, καί τοῦ Υἱοῦ, τό Πνεῦμα προέρχεσθαι, ἀλλ' ἐκ τοῦ Πατρός μόνον.

Οὐκ ἦν ἄρα, ὡς ἔοικε, κόρος τῷ πονηρῷ τῶν κακῶν, οὐδέ τι τῶν ἐφευρημάτων καί μηχανημάτων πέρας, ἅ κατά τοῦ ἀνθρωπίνου γένους ἐξ ἀρχῆς ἀνακινεῖν ἐμελέτησεν· ἀλλά μυρίαις μέν ὅσαις ἀπάταις πρό τῆς ἐν σαρκί τοῦ Δεσπότου παρουσίας τόν ἄνθρωπον ὑπηγάγετο, εἰς ἀλλοφύλους καί παρανόμους ἀποβουκολήσας πράξεις, ἐξ ὧν καί τήν κατ' αὐτοῦ τυραννίδα κατά κράτος ἀνεδήσατο, μυρίαις δέ καί μετά ταῦτα πλάναις καί δελεάσμασιν ὑποσκελίζειν καί παρασύρειν τούς αὐτῷ πειθομένους οὐ διέλιπεν. Ἐντεῦθεν Σίμωνες καί Μαρκίωνες, Μοντανοί τε καί Μάνητες, καί ἡ ποικίλη καί πολύτροπος τῶν αἱρέσεων θεομαχία ἐπλήθυνεν. Ἐντεῦθεν Ἄρειος καί Μακεδόνιος καί Νεστόριος, Εὐτυχής τε καί Διόσκορος, καί τό λοιπόν τῆς ἀσεβείας σύνταγμα, καθ' ὧν αἱ ἅγιαι καί οἰκουμενικαί συνεκροτήθησαν ἑπτά Σύνοδοι, καί τῶν κατά τόπους ἱερῶν καί θεοφόρων ἀνδρῶν συνελέγη τά συστήματα, τάς πονηράς παραφυάδας τῇ μαχαίρᾳ τοῦ Πνεύματος αὐτορρίζους ἐκθερίσαντες καί καθαρόν παρασκευάσαντες ἀναφυῆναι τῆς Ἐκκλησίας τό λῄϊον.

2. Ἀλλά τούτων ἐκποδών γεγενημένων καί σιγῇ καί λήθῃ παραδεδομένων, ἐλπίς ἀγαθή καί βαθεῖα τοῖς εὐσεβέσιν ὑπετρέφετο μή ἄν ποτε καινοτέρων ἐφευρημάτων καί δυσσεβημάτων ἐφευρέταις γενέσθαι ἐν πᾶσιν, οἷς ἐπείρασεν ὁ πονηρός, εἰς τοὐναντίον αὐτῷ τῶν βουλευμάτων περιτραπέντων μήτε μήν τῶν ἤδη κατάκρισιν συνοδικῶς δεδεγμένων ὑπερασπιστάς τινας καί προμάχους ἀναφανῆναι, τῇ καταστροφῇ καί τῷ πάθει τῶν ἀρξάντων καί τῶν εἰς μίμησιν ἐκείνων ἐλθεῖν μελετώντων ἀνακοπτομένων. Καί ταύταις μέν ταῖς ἐλπίσιν ὁ εὐσεβής λογισμός ἐπανεπαύετο, μάλιστα δέ κατά τήν βασιλεύουσαν πόλιν, ἐν ᾗ πολλά, Θεοῦ συνεργείᾳ, τῶν ἀνελπίστων κατώρθωται, πολλαί δέ γλῶσσαι, τήν προτέραν διαπτυσάμεναι μυσαρότητα, τόν κοινόν ἁπάντων, πλάστην καί δημιουργόν μεθ' ἡμῶν ὑμνεῖν ἐδιδάχθησαν· ὥσπερ ἀπό τινος ὑψηλοῦ καί μετεώρου χωρίου τάς τῆς Ὀρθοδοξίας πηγάς τῆς βασιλίδος ἀναδιδούσης, καί καθαρά τῆς εὐσεβείας τά νάματα εἰς τά τῆς οἰκουμένης διαρρεούσης πέρατα, καί ποταμῶν δίκην ἀρδευούσης τοῖς δόγμασι τάς ἐκεῖσε ψυχάς, αἴτινες, χρόνος πολύς ἐξ οὗ, καταξηρανθεῖσαι τοῖς τῆς ἀσεβείας ἤ ἐθελοθρησκείας ὑπεκκαύμασι, καί εἰς ἐρήμους καί ἀγόνους ἀποχερσωθεῖσαι, ὅμως τόν τῆς διδασκαλίας ὄμβρον ὑποδεξάμεναι, τό Χριστοῦ γεώργιον καρποφοροῦσιν ἐνευθηνούμεναι. Καί γάρ οἱ τήν Ἀρμενίαν οἰκοῦντες, τῷ τῶν Ἰακωβιτῶν ἐνισχυμένοι δυσσεβήματι, καί πρός τόν ὀρθόν τῆς εὐσεβείας ἀπαυθαδιαζόμενοι κήρυγμα, ἀφ' οὗπερ ἡ πολυάνθρωπος ἐκείνη καί ἁγία τῶν Πατέρων ἡμῶν κατά Χαλκηδόνα συνεκροτήθη Σύνοδος, τῶν ὑμετέρων εὐχῶν ἡμῖν ἐπαμυνόντων, τήν μακράν ἐκείνην πλάνην ἀποθέσθαι ἐνεδυναμώθησαν· καί λατρεύει σήμερον καθαρῶς καί ὀρθοδόξως ἡ τῶν Ἀρμενίων λῆξις τήν τῶν χριστιανῶν λατρείαν, Εὐτυχῆ τε καί Σεβῆρον καί Διόσκορον, καί τούς κατά τῆς εὐσεβείας πετροβόλους, Πέτρον καί τόν Ἁλικαρνασσέα Ἰουλιανόν, καί πᾶσαν αὐτῶν τήν πολύσπορον διασποράν ὡς ἡ Καθολική Ἐκκλησία, μυσαττομένη, καί δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος ὑποβάλλουσα.

ἔσται αὐτό ἑαυτοῦ, καί αἴτιον ἅμα καί αἰτιατόν· ὅπερ οὐδέ οἱ τῶν Ἑλλήνων μῦθοι ἀνεπλάσαντο.

13. Ἀλλά καί εἰ μόνου Πνεύματός ἐστι τό εἰς ἀρχάς ἀναφέρεσθαι διαφόρους, πῶς οὐκ ἔστι μόνου Πνεύματος τό πολύαρχον ἔχειν ἀρχήν;

14. Ἔτι δέ, εἰ ἐν οἷς τῷ Πατρί καί Υἱῷ κοινωνίαν ἐκαινούργησαν, τό Πνεῦμα τούτοις ἀποτειχίζουσι, Πατήρ δέ κατ' οὐσίαν Υἱῷ, ἀλλ' οὐ κατά τι τῶν ἰδιωμάτων εἰς κοινωνίαν συνάπτεται, τῆς κατ' οὐσίαν ἄρα συγγενείας τό Πνεῦμα περιορίζουσιν.

15. Ὁρᾷς, ὡς μάτην οὗτοι, μᾶλλον δ' εἰς πρόχειρον θήραν τῶν πολλῶν, τό τῶν χριστιανῶν ἑαυτοῖς ἐπέθεσαν ὄνομα; Ἐκπορεύεται τό Πνεῦμα τοῦ Υἱοῦ. Πόθεν ἤκουσας τοῦτο; Ἐκ ποίων Εὐαγγελιστῶν τήν φωνήν ἔχεις ταύτην; Ποίας Συνόδου τό βλάσφημον τοῦτο ῥῆμα;

16. Ὁ Κύριος καί Θεός ἡμῶν φησίν: «Τό Πνεῦμα, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται»· οἱ δέ τῆς καινῆς ταύτης δυσσεβείας πατέρες, τό Πνεῦμα, φασίν, ὅ παρά τοῦ Υἱοῦ ἐκπορεύεται. Τίς οὐ κλείσει τά ὦτα πρός τήν ὑπερβολήν τῆς βλασφημίας ταύτης; Αὕτη κατά τῶν Εὐαγγελίων ἵσταται· πρός τάς ἁγίας παρατάσσεται Συνόδους· τούς μακαρίους καί ἁγίους παραγράφεται Πατέρας, τόν μέγαν Ἀθανάσιον, τόν ἐν θεολογίᾳ περιβόητον Γρηγόριον, τήν βασίλειον τῆς Ἐκκλησίας στολήν, τόν μέγαν Βασίλειον, τό χρυσοῦν τῆς οἰκουμένης στόμα, τό τῆς σοφίας πέλαγος, τόν ὡς ἀληθῶς Χρυσόστομον. Καί τί λέγω τόν δεῖνα ἤ τόν δεῖνα; Κατά πάντων ὁμοῦ τῶν ἁγίων προφητῶν, ἀποστόλων, ἱεραρχῶν, μαρτύρων, καί αὐτῶν τῶν δεσποτικῶν φωνῶν ἡ βλάσφημος αὕτη καί θεομάχος φωνή ἐξοπλίζεται.

17. Τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται; Πότερον, τήν αὐτήν ἐκπόρευσιν, ἤ τῆς πατρῴας ἀντίθετον; Εἰ μέν γάρ τήν αὐτήν, πῶς οὐ κοινοῦνται αἱ ἰδιότητες, αἷς καί μόναις ἡ Τριάς Τριάς εἶναι καί προσκυνεῖσθαι χαρακτηρίζεται; Εἰ δέ ἐκείνης ἀντίθετον, πῶς ἡμῖν οὐ Μάνεντες καί Μαρκίωνες τῷ ῥήματι τούτῳ προκύπτουσι, τήν θεομάχον πάλιν κατά τοῦ Πατρός καί τοῦ Υἱοῦ γλῶσσαν προτείνοντες;

18. Πρός δέ γε τοῖς εἰρημένοις, εἰ ἐκ τοῦ Πατρός μέν ὁ Υἱός γεγέννηται, τό δέ Πνεῦμα ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορεύεται, ὡς εἰς δύο αἰτίας ἀναφερόμενον, οὐδέ τό σύνθετον εἶναι διαδράσειεν.

19. Ἔτι δέ, εἰ ἐκ τοῦ Πατρός ὁ Υἱός γεγέννηται, τό δέ Πνεῦμα ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορεύεται, τίς ἡ καινοτομία τοῦ Πνεύματος, μή καί ἕτερόν τι ἐξ αὐτοῦ ἐκπεπορεῦσθαι; ὡς συνάγεσθαι, κατά τήν ἐκείνων θεομάχον γνώμην, μή τρεῖς, ἀλλά τέσσαρας τάς ὑποστάσεις, μᾶλλον δ' ἀπείρους, τῆς τετάρτης αὐτοῖς ἄλλην προβαλλούσης κἀκείνης πάλιν ἑτέραν, μέχρις ἄν εἰς τήν ἑλληνικήν πολυπληθίαν ἐκπέσωσιν;

20. Πρός δέ γε τοῖς εἰρημένοις κἀκεῖνο ἄν τίς ἐπισκοπήσειεν, ὡς, εἴπερ ἡ τοῦ Πνεύματος ἐκ τοῦ Πατρός πρόοδος εἰς ὕπαρξιν συντελεῖ, τί συνοίσει τῷ Πνεύματι ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις, τῆς πατρικῆς ἀρκούσης εἰς ὕπαρξιν; Οὐ γάρ τις εἰς ἕτερόν τι τῶν περί τήν οὐσίαν συντελεῖν κατατολμήσειε λέγειν, πάσης διπλόης καί συνθέσεως τῆς μακαρίας καί θείας ἐκείνης φύσεως ὡς ἀπωτάτω κειμένης.

21. Χωρίς δέ τῶν εἰρημένων, εἰ πᾶν ὅπερ μή ἐστι κοινόν τῆς παντοκρατορικῆς καί ὁμοουσίου καί ὑπερφυοῦς Τριάδος, ἑνός ἐστι μόνου τῶν τριῶν, οὐκ ἔστι δέ ἡ τοῦ Πνεύματος προβολή κοινόν τῶν τριῶν, ἑνός ἄρα ἐστί μόνου τῶν τριῶν. Πότερον οὖν, ἐκ τοῦ Πατρός φήσουσιν ἐκπορεύεσθαι τό Πνεῦμα; Καί πῶς οὐκ ἐξομόσονται τήν φίλην αὐτοῖς καί καινήν μυσταγωγίαν; Εἰ δέ ἐκ τοῦ Υἱοῦ, τί μή κατ' ἀρχάς ἐθάρρησαν αὐτῶν ὅλην ἐκκαλύψαι τήν θεομαχίαν, ὡς οὐ μόνον τόν Υἱόν εἰς τήν τοῦ Πνεύματος προβολήν ἐγκαθιστῶσιν, ἀλλά καί τοῦ Πατρός ταύτην ἀφαιροῦνται; Οἷς ἀκόλουθον δήπου καί τήν γέννησιν τῇ προβολῇ συμμετατιθέντας, μηδέ τόν Υἱόν ἐκ τοῦ Πατρός, ἀλλά τόν Πατέρα τερατολογεῖν ἐκ τοῦ Υἱοῦ γεγεννῆσθαι· ἵνα μή τῶν δυσσεβούντων μόνον, ἀλλά καί τῶν μαινομένων ὦσι πρωτοστάται.

22. Ὅρα δέ κἀντεῦθεν κατάφωρον αὐτῶν τό δυσσεβές καί ἀνόητον δεικνύμενον βούλημα. Ἐπεί γάρ καί ἅπαν, ὅ θεωρεῖται καί λέγεται ἐν τῇ παναγίᾳ καί ὁμοφυεῖ καί ὁμοουσίῳ Τριάδι, ἤ κοινόν ἐστι πάντων, ἤ ἑνός καί μόνου τῶν τριῶν· ἡ δέ τοῦ Πνεύματος προβολή οὔτε κοινόν ἐστιν, ἀλλ' οὐδ', ὡς αὐτοί φασιν, ἑνός καί μόνου τινός, (ἴλεως δέ ἡμῖν εἴη, καί εἰς τάς ἐκείνας τρέποιτο τό βλάσφημον κεφαλάς)· οὐκ ἄρα ὅλως ἐστίν ἐν τῇ ζωαρχικῇ καί παντελείῳ Τριάδι ἡ τοῦ Πνεύματος προβολή.

23. Καί μυρία ἄν τις, τήν ἄθεον αὐτῶν γνώμην διελέγχων, τοῖς εἰρημένοις ἐπιμετρήσειεν, ἅ τῆς ἐπιστολῆς ὁ νόμος οὐκ ἐᾷ νῦν ἐντάττειν, οὐδέ παρατίθεσθαι. Δι' ὅ καί ἅπερ εἴρηται, στοιχειωδῶς τε καί ἐν τύπῳ ἀπηγγέλθησαν, τῶν κατά μέρος ἐλέγχων καί τῆς ἐν πλάτει διδασκαλίας, Θεοῦ διδόντος, εἰς τήν κοινήν ταμιευομένων συνέλευσιν.

24. Ταύτην τήν ἀσέβειαν οἱ τοῦ σκότους ἐκεῖνοι ἐπίσκοποι (ἐπισκόπους γάρ ἑαυτούς ἐπεφήμιζον) μετά τῶν ἄλλων ἀθεμίτων εἰς τό ἁπλοῦν ἐκεῖνο καί νεοσύστατον τῶν Βουλγάρων ἔθνος ἐνέσπειραν. Ἦλθεν ἡ τούτων φήμη εἰς τάς ἡμετέρας ἀκοάς· ἐπλήγημεν διά μέσων τῶν σπλάγχνων καιρίαν πληγήν, ὡς εἴ τις τά ἔγκονα τῆς κοιλίας αὐτοῦ κατ' ὀφθαλμούς ἴδοι ὑπό ἑρπετῶν καί θηρίων σπαρασσόμενά τε καί διασπώμενα. Καί γάρ οἷς κόποι καί πόνοι καί ἱδρῶτες εἰς τήν ἐκείνων ἀναγέννησίν τε καί τελείωσιν κατεβλήθησαν, ἀναλόγως αὐτοῖς συμπεσεῖν ἀφόρητον τήν λύπην καί τήν συμφοράν, τῶν γεννημάτων παραπολλυμένων, ἐξεγένετο.

25. Οὕτω γάρ ἐθρηνήσαμεν ἐπί τῷ συνενεχθέντι πράγματί τε καί παθήματι, ὅσον χαρᾶς ἐπληρώθημεν, τῆς παλαιᾶς πλάνης ἀπαλλαγέντας αὐτούς θεασάμενοι.

26. Ἀλλ' ἐκείνους μέν ἐθρηνήσαμέν τε καί θρηνοῦμεν, καί ἀνορθωθῆναι τοῦ πτώματος οὐ δώσομεν τοῖς ὀφθαλμοῖς ἡμῶν ὕπνον, οὐδέ τοῖς βλεφάροις νυσταγμόν, ἕως ἄν αὐτούς εἰς τό τοῦ Κυρίου, κατά τό δυνατόν ἡμῖν, εἰσελάσωμεν σκήνωμα.

27. Τούς δέ νέους τῆς ἀποστασίας προδρόμους, τούς θεραπευτάς τοῦ ἀντικειμένου, τούς μυρίων ἐνόχους θανάτων, τούς κοινούς λυμεῶνας, τούς τό ἁπαλόν ἐκεῖνο καί νεοσύστατον εἰς τήν εὐσέβειαν ἔθνος τοσούτοις καί τηλικούτοις σπαραγμοῖς διασπαράξαντας, τούτους τούς ἀπατεῶνας καί θεομάχους συνοδικῇ καί θείᾳ κατεκρίναμεν ψήφῳ· οὐ νῦν αὐτῶν τήν ἀπόφασιν καθορίζοντες, ἀλλ' ἐκ τῶν ἤδη Συνόδων καί Ἀποστολικῶν θεσμῶν τήν προωρισμένην αὐτοῖς καταδίκην ὑπεκφαίνοντες καί πᾶσι ποιοῦντες πάλιν ἐπίδηλον.

3. Ἀλλά γε δή καί Βουλγάρων ἔθνος βαρβαρικόν καί μισόχριστον εἰς τοσαύτην μετέκλινεν ἡμερότητα καί θεογνωσίαν, ὥστε τῶν δαιμονίων καί πατρῴων ἐκστάντες ὀργίων, καί τῆς εἰδωλικῆς εἰδωλομανίας καί δεισιδαιμονίας ἀποσκευασάμενοι τήν πλάνην, εἰς τήν τῶν χριστιανῶν παραδόξως μετενεκεντρίσθησαν πίστιν.

4. Ἀλλ' ὦ πονηρᾶς καί βασκάνου καί ἀθέου βουλῆς τε καί πράξεως! Ἡ γάρ τοιαύτη διήγησις, εὐαγγελίου οὖσα ὑπόθεσις, εἰς κατήφειαν μετατίθεται, τῆς εὐφροσύνης καί χαρᾶς εἰς πένθος μετατραπείσης καί δάκρυα. Οὔπω γάρ ἐκείνου τοῦ ἔθνους, οὐδ' εἰς δύο ἐνιαυτούς τήν ὀρθήν τῶν χριστιανῶν τιμῶντος θρησκείαν, ἄνδρες δυσσεβεῖς καί ἀποτρόπαιοι, (καί τί γάρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;), ἄνδρες ἐκ σκότους ἀναδύντες, (τῆς γάρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα)· οἴμοι! πῶς τό ὑπόλοιπον ἐκδιηγήσομαι; οὗτοι πρός τό νεοπαγές εἰς εὐσέβειαν καί νεοσύστατον ἔθνος, ὥσπερ κεραυνός ἤ σεισμός ἤ χαλάζης πλῆθος, μᾶλλον δέ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιός, ἐμπηδήσαντες, τόν ἀμπελῶνα Κυρίου, τόν ἠγαπημένον καί νεόφυτον, καί ποσί καί ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας καί διαφθορᾷ δογμάτων, τό γε εἰς τόλμαν ἦκον τήν ἑαυτῶν, κατανεμησάμενοι ἐλυμήναντο. Ἀπό γάρ τῶν ὀρθῶν καί καθαρῶν δογμάτων καί τῆς τῶν χριστιανῶν ἀμωμήτου πίστεως παραφθείρειν τούτους καί ὑποσπᾶν κατεπανουργήσαντο.

5. Καί πρῶτον μέν αὐτούς ἐκθέσμως εἰς τήν τῶν Σαββάτων νηστείαν μετέστησαν· οἶδε καί ἡ μικρά τῶν παραδοθέντων ἀθέτησις καί πρός ὅλην τοῦ δόγματος ἐπιτρέψαι καταφρόνησιν. Ἔπειτα δέ τήν τῶν νηστειῶν πρώτην ἑβδομάδα τῆς ἄλλης νηστείας περικόψαντες, εἰς γαλακτοποσίας καί τυροῦ τροφήν καί τήν τῶν ὁμοίων ἀδηφαγίαν καθείλκυσαν. Ἐντεῦθεν αὐτοῖς τήν ὁδόν τῶν παραβάσεων ἐμπλατύνοντες, καί τῆς εὐθείας τρίβου καί βασιλικῆς διαστρέφοντες, καί δή καί τούς ἐνθέσμῳ γάμῳ πρεσβυτέρους διαπρέποντας οἱ πολλάς κόρας χωρίς ἀνδρός γυναῖκας δεικνύοντες, καί γυναῖκας παῖδας ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρας θεάσασθαι, οὗτοι τούς ὡς ἀληθῶς Θεοῦ ἱερεῖς μυσάττεσθαί τε καί ἀποστρέφεσθαι παρεσκεύασαν, τῆς Μανοῦ γεωργίας ἐν αὐτοῖς τά σπέρματα κατασπείροντες, καί ψυχάς ἄρτι βλαστάνειν ἀρξαμένας τόν σπόρον τῆς εὐσεβείας τῇ τῶν ζιζανίων ἐπισπορᾷ λυμαινόμενοι.

6. Ἀλλά γε δή καί τούς ὑπό πρεσβυτέρων μύρῳ χρισθέντας ἀναμυρίζειν αὐτοί οὐ πεφρίκασιν, ἐπισκόπους ἑαυτούς ἀναγορεύοντες, καί τό τῶν πρεσβυτέρων χρῖσμα ἄχρηστον εἶναι καί εἰς μάτην ἐπιτελεῖσθαι τερατευόμενοι.

7. Ἆρ' ἔστιν ὅς τηλικαύτην ἀκοῇ παρείληφεν ἄνοιαν, ἥν κατατολμᾶν οἱ παράφρονες οὐκ ἐνάρκησαν, τούς ἅπαξ μύρῳ χρισθέντας ἀναχρίοντες, καί τά τῶν χριστιανῶν ὑπερφυῆ καί θεῖα μυστήρια εἰς λῆρον μακρόν καί πλατύν ἐξορχούμενοι γέλωτα; Καί τό γε σοφόν τῶν ὡς ἀληθῶς ἀμυήτων· οὐ γάρ ἔξεστι, φασίν, ἱερεῦσι τούς τελουμένους μύρῳ ἁγιάζειν· ἀρχιερεῦσι γάρ μόνοις ἐνομίσθη. Πόθεν ὁ νόμος; τίς δ' ὁ νομοθέτης; ποῖος τῶν Ἀποστόλων; τῶν Πατέρων δέ; ἀλλά τῶν Συνόδων; ἤ ποῦ καί πότε συστᾶσα; τίνων δέ κρατήσασα ψήφοις; Οὐκ ἔξεστιν ἱερεῖ μύρῳ τούς βαπτιζομένους σφραγίζειν; οὐκοῦν οὐδέ βαπτίζειν ὅλως· οὐδέ ἱερᾶσθαι ἄρα· ἵνα σοι μηδ' ἡμίτομος ὁ ἱερεύς, ἀλλ' ὁλόκληρος, εἰς ἀνίερον εἴη κλῆρον ἀπεληλαμένος. Ἱερουργεῖ τό δεσποτικόν σῶμα καί αἷμα τοῦ Χριστοῦ, καί τούς πάλαι μυσταγωγηθέντας δι' αὐτῶν καθαγιάζει· πῶς οὐχ ἁγιάσει μύρῳ χρίων τούς νῦν τελουμένους; Βαπτίζει ὁ ἱερεύς, καθάρσιον δῶρον τῷ βαπτιζομένῳ τελεσιουργῶν· πῶς, ἧς τελεσιουργός αὐτός ὑπάρχει καθάρσεως, ἀφαιρήσεις αὐτοῦ τήν φυλακήν καί σφραγῖδα; Ἀλλ' ἀφαιρεῖς τήν σφραγῖδα; μηδ' ὑπηρετεῖν ἐπιτρέψῃς τῷ δώρῳ, μηδ' ἐν αὐτῷ τινας τελεσιουργεῖν, ἵνα σε γυμνοῖς ὁ σός ἱερεύς ἐνδιαπρέπων ὀνόμασι, τῆς αὐτῆς αὐτῷ χοροστασίας κορυφαῖον δείξῃ καί ἐπίσκοπον.

8. Ἀλλά γάρ οὐχί μόνον εἰς ταῦτα παρανομεῖν ἐξηνέχθησαν, ἀλλά καί εἴ τις κακῶν ἐστι κορωνίς, εἰς ταύτην ἀνέδραμον. Πρός γάρ τοι τοῖς εἰρημένοις ἀτοπήμασι, καί τό ἱερόν καί ἅγιον Σύμβολον, ὅ πᾶσι τοῖς συνοδικοῖς καί οἰκουμενικοῖς ψηφίσμασιν ἄμαχον ἔχει τήν ἰσχύν νόθοις λογισμοῖς καί παρεγγράπτοις λόγοις, καί θράσους ὑπερβολῇ, κιβδηλεύειν ἐπεχείρησαν (ὦ τῶν τοῦ πονηροῦ μηχανημάτων!), τό Πνεῦμα τό ἅγιον οὐκ ἐκ τοῦ Πατρός μόνον, ἀλλά γε καί ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι καινολογήσαντες.

9. Τίς ποτε τοιαύτην παρά τῶν πώποτε ἀσεβησάντων φωνήν ἤκουσε ῥαγεῖσαν; Ποῖος σκολιός ὄφις εἰς τάς ἐκείνων καρδίας τοῦτο ἠρεύξατο; Τίς ὅλως ἀνάσχοιτο τῶν ἐν χριστιανοῖς τελούντων ἐπί τῆς ἁγίας Τριάδος δύο εἰσάγειν αἴτια, Υἱοῦ μέν καί Πνεύματος τόν Πατέρα, τοῦ Πνεύματος δέ πάλιν τόν Υἱόν, καί εἰς διθεΐαν τήν μοναρχίαν λύειν, καί μηδέν ἧττον τῆς ἑλληνικῆς μυθολογίας τήν τῶν χριστιανῶν σπαράττειν θεολογίαν, καί τῆς ὑπερουσίου καί μοναρχικῆς Τριάδος ἐξυβρίζειν τό ἀξίωμα; Διά τί δέ καί ἐκπορευθείη τοῦ Υἱοῦ τό Πνεῦμα; Εἰ γάρ ἡ ἐκ τοῦ Πατρός ἐκπόρευσις τελεία (τελεία δέ, ὅτι Θεός τέλειος ἐκ Θεοῦ τελείου), τίς ἡ ἐκ τοῦ Υἱοῦ ἐκπόρευσις; καί διά τί; περιττόν γάρ ἄν εἴη τοῦτο καί μάταιον.

10. Ἔτι δέ, εἰ ἐκπορεύεται τοῦ Υἱοῦ τό Πνεῦμα, ὥσπερ ἐκ τοῦ Πατρός, τί μή καί ὁ Υἱός ἐκ τοῦ Πνεύματος γεννᾶται, ὥσπερ ἐκ τοῦ Πατρός; ἵνα εἴη πάντα τοῖς ἀσεβοῦσιν ἀσεβῆ, καί αἱ γνῶμαι καί τά ῥήματα, καί μηδέν αὐτοῖς ἀτόλμητον ὑπολίποιτο.

11. Σκόπει δέ κἀκεῖνο. Εἰ γάρ, ἐν ᾧ τοῦ Πατρός ἐκπορεύεται τό Πνεῦμα, ἡ ἰδιότης ἐπιγινώσκεται αὐτοῦ, ὡσαύτως δέ καί ἐν ᾧ γεννᾶται ὁ Υἱός ἐκ τοῦ Πατρός ἡ τοῦ Υἱοῦ, ἐκπορεύεται δέ, ὡς ὁ ἐκείνων λῆρος, καί τό Πνεῦμα ἐκ τοῦ Υἱοῦ, πλείοσιν ἄρα ἰδιότησι διαστέλλεται τό Πνεῦμα ἐκ τοῦ Πατρός, ἤπερ ὁ Υἱός. Κοινόν μέν γάρ Πατρί καί Υἱῷ ἡ ἐξ αὐτῶν τοῦ Πνεύματος πρόοδος, ἰδία δέ τοῦ Πνεύματος ἥ τε ἐκ τοῦ Πατρός ἐκπόρευσις, καί μήν καί ἡ ἐκ τοῦ Υἱοῦ. Εἰ δέ πλείοσι διαφοραῖς διαστέλλεται τό Πνεῦμα, ἤπερ ὁ Υἱός, ἐγγυτέρω ἄν εἴη τῆς πατρικῆς οὐσίας ὁ Υἱός, ἤπερ τό Πνεῦμα. Καί οὕτως ἡ Μακεδονίου πάλιν κατά τοῦ Πνεύματος παρακύψει τόλμα, τό ἐκείνων ὑποδυομένη δρᾶμα καί τήν σκηνήν.

12. Ἄλλως τε δέ, εἰ πάντα τά κοινά Πατρός καί Υἱοῦ, καί τοῦ Πνεύματος πάντως ὑπάρχει κοινά, ὡς τό Θεός, τό βασιλεύς, τό κύριος, τό δημιουργός, τό παντοκράτωρ, τό ὑπερούσιον, τό ἁπλοῦν, τό ἀσχημάτιστον, τό ἀσώματον, τό ἀόρατον, ἁπλῶς τά ἄλλα πάντα· κοινόν δέ Πατρός καί Υἱοῦ ἡ τοῦ Πνεύματος ἐξ αὐτῶν πρόοδος, καί ἐξ ἑαυτοῦ ἄρα ἐκπορευθήσεται τό Πνεῦμα· καί ἀρχή

κῶν διδαγμάτων, «καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ῥήματα αὐτῶν».

37. Δεῖ οὖν τούς παρ' ὑμῶν ἀνθ' ὑμῶν στελλομένους, καί τό ὑμέτερον ὑποδυομένους ἱερόν καί ὅσιον πρόσωπον, τήν ὑμετέραν αὐθεντίαν, ἣν ὑμεῖς ἐν Πνεύματι ἁγίῳ ἐκληρώσασθε, ἐγχειρισθῆναι· ὡς ἄν περί τε τούτων τῶν κεφαλαίων, καί περί ἑτέρων τούτοις παραπλησίων, ἐξ αὐθεντίας ὧσιν ἀποστολικοῦ θρόνου καί λέγειν ἱκανοί καί πράττειν ἀκώλυτοι. Καί γάρ δή καί ἀπό τῶν τῆς Ἰταλίας μερῶν συνοδική τις ἐπιστολή πρός ἡμᾶς ἀναπεφοίτηκεν, ἀρρήτων ἐγκλημάτων γέμουσα, ἅτινα κατά τοῦ οἰκείου αὐτῶν ἐπισκόπου οἱ τήν Ἰταλίαν οἰκοῦντες μετά πολλῆς κατακρίσεως καί ὅρκων μυρίων διεπέμψαντο, μή παριδεῖν αὐτούς οὕτως οἰκτρῶς ὀλλυμένους καί ὑπό τηλικαύτης βαρείας πιεζομένους τυραννίδος, καί τούς ἱερατικούς νόμους ὑβριζομένους καί πάντας θεσμούς ἐκκλησιαστικούς ἀνατρεπομένους. Ἃ καί πάλαι μέν διά μοναχῶν καί πρεσβυτέρων ἐκεῖθεν ἀναδραμόντων εἰς πάντων ἀκοάς διεφέροντο (Βασίλειος δ' ἄρα ἦν καί Ζωσιμᾶς, Μητροφάνης τε καί σύν αὐτοῖς ἕτεροι, οἵ τήν τοιαύτην τυραννίδα ἀπωδύροντο, καί πρός ἐκδίκησιν τῶν Ἐκκλησιῶν ἐξεκαλοῦντο δακρύοντες)· νῦν δέ, ὡς ἔφθην εἰπών καί γράμματα διάφορα καί ἐκ διαφόρων ἐκεῖθεν ἀναπεφοίτηκε, τραγῳδίας ἁπάσης καί μυρίων θρήνων γέμοντα· ὧν τά ἴσα κατά τήν ἐκείνων ἀξίωσίν τε καί ἐξαίτησιν (καί γάρ εἰς πάντας τούς ἀρχιερατικούς καί ἀποστολικούς θρόνους διαδοθῆναι ταῦτα μετά φρικτῶν ὅρκων καί παρακλήσεων ἐδυσώπησαν, ὡς αὐτά ἐκεῖνα παραστήσει ἀναγινωσκόμενα) τῷδε ἡμῶν τῷ γραμματίῳ ἐνετάξαμεν, ἵνα καί περί τούτων, τῆς ἁγίας καί οἰκουμενικῆς ἐν Χριστῷ Συνόδου ἀθροιζομένης, τά τῷ Θεῷ καί τοῖς συνοδικοῖς κανόσι δοκοῦντα ψήφῳ βεβαιωθείη κοινῇ, καί εἰρήνη βαθεῖα τάς τοῦ Χριστοῦ Ἐκκλησίας καταλήψοιτο.

38. Καί γάρ οὐ μόνον τήν ὑμετέραν Μακαριότητα ἐπί τοῦτο προκαλούμεθα, ἀλλά γε δή καί τῶν ἄλλων ἀρχιερατικῶν καί ἀποστολικῶν θρόνων οἱ μέν ἤδη καί πάρεισιν, οἱ δέ οὐ μετά πολύν χρόνον παρεῖναί εἰσι προσδόκιμοι.

39. Μή οὖν ἡ ὑμετέρα ἐν Κυρίῳ ἀδελφότης ἀναβολῇ τινι καί παρατάσει χρόνου τούς ἀδελφούς αὐτῆς διατρίβειν ὑπέρ τό δέον ποιήσῃ, γινώσκουσα ὡς εἴ τι παρά τήν αὐτῆς ὑστέρησιν, οὐ κατά τό δέον, ἐλλιπές διαπραχθείη, οὔχ ἕτερός τις, ἀλλ' εἰς ἑαυτήν αὐτή τό κατάκριμα ἐπισπάσαιτο.

40. Καί τοῦτο δέ προστεθῆναι χρεών τοῖς γράμμασιν ἡγησάμεθα, ἵνα τήν ἁγίαν καί οἰκουμενικήν ἑβδόμην Σύνοδον ταῖς ἁγίαις καί οἰκουμενικαῖς ἕξ Συνόδοις συντάττειν καί συναριθμεῖν παντί τῷ ὑφ' ὑμᾶς τῆς Ἐκκλησίας παραδοθείῃ πληρώματι. Φήμη γάρ ἧκεν εἰς ἡμᾶς, ὥς τινες ὑπό τόν ἀποστολικόν ὑμῶν θρόνον Ἐκκλησίαι, μέχρι τῆς ἕκτης τάς οἰκουμενικάς ἀριθμοῦσαι Συνόδους, τήν ἑβδόμην οὐκ ἴσασιν· ἀλλά τά μέν ἐν αὐτῇ κυρωθέντα, εἴ πέρ τι ἄλλο, διά σπουδῆς καί σεβασμιότητος ἄγουσιν, αὐτήν δέ ἀνακηρύττειν ἐπί τῆς Ἐκκλησίας, ὥσπερ καί τάς ἄλλας, οὔπω ἔτυχε γνώσεως, καίτοι τό ἴσον ἐκείναις ἁπανταχοῦ διασωζούσης ἀξίωμα.

41. Καί γάρ καί αὕτη μεγίστην καθεῖλε δυσσέβειαν, συμπαρέδρους αὐτῇ καί συμψήφους τούς ἐκ τῶν τεσσάρων ἥκοντας ἀρχιερατικῶν θρόνων ἔχουσα. Παρῆν γάρ, ὡς δῆλον, ἀπό μέν τοῦ ὑμετέρου ἀποστολικοῦ θρόνου, τῆς Ἀλεξανδρείας, Θωμᾶς μοναχός καί πρεσβύτερος καί οἱ σύν αὐτῷ· ἀπό δέ Ἱεροσολύμων καί Ἀντιοχείας Ἰωάννης καί οἱ σύν αὐτῷ· καί ἀπό γε τῆς πρεσβυτέρας Ῥώμης Πέτρος ὁ εὐλαβέστατος πρωτοπρεσβύτερος, καί ἕτερος Πέτρος πρεσβύτερος, μοναχός καί ἡγούμενος τῆς κατά Ῥώμην εὐαγοῦς μονῆς τοῦ ἁγίου Σάββα.

42. Καί τούτων ἁπάντων συνεληλυθότων, ἅμα τῷ ἡμετέρῳ πατροθείῳ καί ἁγιωτάτῳ καί τρισμακαρίστῳ ἀνδρί Ταρασίῳ, Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, ἡ μεγάλη καί οἰκουμενική ἑβδόμη Σύνοδος συνεκροτήθη, τήν τῶν εἰκονομάχων ἤ Χριστομάχων θριαμβεύσασα καί καθελοῦσα δυσσέβειαν· ἧς ἴσως, τοῦ βαρβαρικοῦ καί ἀλλοφύλου τῶν Ἀράβων κατασχόντος τάς χώρας ἔθνους, οὐκ ἐγένετο ῥᾴστον τά πρακτικά πρός ὑμᾶς διακομισθῆναι. Δι' ἥν αἰτίαν παρά πολλοῖς τῶν αὐτόθι ταύτης αἱ διατάξεις, εἰ καί τιμῶνται καί περιέπονται, ἀλλ' οὖν ὅτι ταύτης εἰσίν, ὡς φασιν, οὔκ εἰσιν ἐν γνώσει.

43. Χρή γοῦν καί ταύτην (καθάπερ ἔφθημεν εἰπόντες) μεγάλην τε καί ἁγίαν καί οἰκουμενικήν καί ταῖς πρό αὐτῆς ἕξ Συνόδοις συνανακηρύττειν. Τό γάρ μή οὕτω διαπράττεσθαι καί ποιεῖν, πρῶτον μέν ἀδικεῖν ἐστι τήν τοῦ Χριστοῦ Ἐκκλησίαν, τηλικαύτην ὑπερορῶντας Σύνοδον, καί τοσούτῳ μέρει τόν σύνδεσμον αὐτῆς καί τήν συνάφειαν διασπῶντας καί διαλύοντας· δεύτερον δέ, καί τῶν εἰκονομαχούντων, ὧν οὐδέν ἔλαττον τῶν ἄλλων αἱρετικῶν εὖ οἶδ' ὅτι μυσάττεσθε τό δυσσέβημα, πλατύνειν ἐστί τά στόματα, οὐχί οἰκουμενικῇ Συνόδῳ τήν αὐτῶν καθαιρεθῆναι δυσσέβειαν, ἀλλ' ἑνός θρόνου κρίσει τήν δίκην ὑπέχειν πρόφασιν ἐχόντων εἰς τό τερατεύεσθαι.

44. Δι' ἅπερ ἅπαντα ἔν τε τοῖς συνοδικοῖς γράμμασι καί ἔν ἄλλαις ἁπάσαις συνοδικαῖς καί ἐκκλησιαστικαῖς ἱστορίαις καί συζητήσεσιν ἀριθμεῖν ταύτην καί συγκαταλέγειν ταῖς ἁγίαις καί οἰκουμενικαῖς ἕξ Συνόδοις, ἑβδόμην μετ' ἐκείνας τάττοντας, ἀξιοῦμέν τε καί ὡς ἀδελφοῖς ἀδελφοί παραινοῦμεν, τά πρέποντα εἰσηγούμενοι.

45. Χριστός δέ ὁ ἀληθινός Θεός ἡμῶν, ὁ πρῶτος καί μέγας Ἀρχιερεύς, ὁ ἑκούσιον ὑπέρ ἡμῶν ἑαυτόν καλλιερησάμενος σφάγιον καί τό οἰκεῖον αἷμα λύτρον ὑπέρ ἡμῶν καταθέμενος, δοίη μέν τῇ ὑμετέρᾳ ἀρχιερατικῇ καί τιμίᾳ κεφαλῇ κρείττω τῶν κύκλῳ καθισταμένων βαρβαρικῶν ἐθνῶν ὀφθῆναι, δοίη δέ γαληνόν καί ἤρεμον ἐξανύειν τόν τοῦ βίου δρόμον· δοίη δέ τυχεῖν καί τῆς ἄνω κληρουχίας ἀνεκλαλήτῳ χαρᾷ καί εὐφροσύνῃ, ἔνθα πάντων ἐστίν εὐφραινομένων ἡ κατοικία, καί ἧς ἀπέδρα ὀδύνη πᾶσα καί στεναγμός καί κατήφεια, ἐν αὐτῷ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν· ᾧ ἡ δόξα καί τό κράτος εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὑπερευχόμεθα ὑμῶν κατά χρέος τῆς πατρικῆς ὁσιότητος, Μεμνῆσθαι καί αὐτοί τῆς ἡμῶν μή διαλίποιτε μετριότητος.

28. Πέφυκε γάρ τό ἀνθρώπινον οὐχ οὕτω ταῖς παρελθούσαις τιμωρίαις ἀσφαλίζεσθαι, ὡς ταῖς ὁρωμέναις σωφρονίζεσθαι· καί τῶν φθασάντων ὑπάρχει βεβαίωσις ἡ τῶν ἐνεστηκότων συμφώνησις. Διό τούτους, ἐπιμένοντας αὐτῶν τῇ πολυτρόπῳ πλάνῃ, πάσης ἀγέλης χριστιανῶν ἐκκηρύκτους ἐποιησάμεθα. Καί γάρ καί ὁ τῶν ἁγίων Ἀποστόλων τέταρτος καί ἑξηκοστός κανών τούς ἐν τοῖς Σάββασι νηστείαν ἐπιτηδεύοντας ὧδέ πως ἀπορραπίζων φησίν.

29. «Εἴ τις Κληρικός εὑρεθείη τήν Κυριακήν ἡμέραν νηστεύων ἤ τό Σάββατον, πλήν τοῦ ἑνός μόνου, καθαιρείσθω· εἰ δέ λαϊκός εἴη, ἀφοριζέσθω». Ναί δή καί ὁ τῆς ἁγίας καί οἰκουμενικῆς ἕκτης Συνόδου πέμπτος καί πεντηκοστός κανών, οὕτω πως ἀποφαινόμενος λέγει.

30. Ἐπειδή μεμαθήκαμεν τούς ἐν τῇ Ῥωμαίων πόλει, ἐν ταῖς ἁγίοις τῆς Τεσσαρακοστῆς νηστείαις, τοῖς ταύτης Σάββασι νηστεύειν, παρά τήν παραδοθεῖσαν ἐκκλησιαστικήν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ Συνόδῳ, ὥστε κρατεῖν καί τήν Ῥωμαίων Ἐκκλησίαν ἀπαρασαλεύτως τόν κανόνα τόν λέγοντα: «Εἴ τις Κληρικός εὑρεθείη τῇ ἁγίᾳ Κυριακῇ νηστεύων, ἤ τῷ Σαββάτῳ, πλήν τοῦ ἑνός καί μόνου, καθαιρείσθω· εἰ δέ λαϊκός εἴη, ἀφοριζέσθω».

31. Ἀλλά γε δή καί ὁ τῆς ἐν Γάγγρᾳ Συνόδου περί τῶν τόν γάμον βδελυσσομένων κανών τέταρτος ταῦτά φησιν: «εἴ τις διακρίνοιτο παρά πρεσβυτέρου γεγαμηκότος, ὡς μή χρῆναι, λειτουργήσαντος αὐτοῦ, προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω». Ὡσαύτως δέ ψῆφον ὁμόφωνον φέρει κατ' αὐτῶν καί ἡ ἕκτη Σύνοδος, τοῦτον ἀναγράφουσα τόν τρόπον· «Ἐπειδή ἐν τῇ Ῥωμαίων Ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τούς μέλλοντας διακόνου ἤ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας καθομολογεῖν, ὡς οὐκ ἔτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς, ἡμεῖς, τῷ ἀρχαίῳ ἑξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καί τάξεως, τά τῶν ἱερῶν ἀνδρῶν κατά νόμους συνοικέσια καί ἀπό τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τήν πρός τάς γαμετάς συνάφειαν διαλύοντες ἤ ἀποστεροῦντες αὐτούς τῆς πρός ἀλλήλους κατά καιρόν τόν προσήκοντα ὁμιλίας. Ὥστε, εἴ τις ἄξιος εὑρεθῇ πρός χειροτονίαν διακόνου ἤ ὑποδιακόνου, οὗτος μηδαμῶς κωλυέσθω ἐπί τόν τοιοῦτον βαθμόν ἐμβιβάζεσθαι, γαμετῇ, συνοικῶν νομίμῳ· μήτε μήν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρός τήν οἰκείαν γαμετήν ὁμιλίας, ἵνα μή ἐντεῦθεν τόν ἐκ Θεοῦ νομοθετηθέντα καί εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον καθυβρίζειν ἐκβιασθῶμεν, τῆς τοῦ Εὐαγγελίου φωνῆς ἐκβοώσης: «οὕς ὁ Θεός ἔζευξεν, ἄνθρωπος μή χωριζέτω»· καί τοῦ Ἀποστόλου διδάσκοντος, «τίμιον τόν γάμον ἐν πᾶσι καί τήν κοίτην ἀμίαντον»· καί «δέδεσαι γυναικί; μή ζήτει λύσιν». Εἴ τις οὖν τολμήσει, παρά τούς Ἀποστολικούς κανόνας κινούμενος, τινά τῶν ἱερωμένων, πρεσβύτερον, φαμέν, διάκονον ἤ ὑποδιάκονον, ἀποστερεῖν τῆς πρός τήν νόμιμον γυναῖκα συναφείας τε καί κοινωνίας, καθαιρείσθω. Ὡσαύτως καί εἴ τις πρεσβύτερος ἤ διάκονος τήν αὐτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλει, ἀφοριζέσθω· ἐπιμένων δέ, καθαιρείσθω».

32. Ἡ δέ κατάλυσις τῆς πρώτης ἑβδομάδος, καί ὁ ἀναμυρισμός τῶν ἤδη βεβαπτισμένων καί μεμυρισμένων, οὐδέ κανόνων, οἶμαι, δεήσεται εἰς κατάγνωσιν, αὐτόθεν καί μόνης τῆς διηγήσεως πᾶσαν ὑπερβολήν ἐκνικώσης δυσσεβήματος.

33. Οὐ μήν ἀλλά καί ἡ κατά τοῦ Πνεύματος, μᾶλλον δέ καθ' ὅλης τῆς ἁγίας Τριάδος, ὑπερβολήν οὐ λείπουσα, βλασφημία, κἄν μηδέν ἕτερον εἴη τῶν προειρημένων τετολμημένον, ἐξαρκεῖ καί μόνον μυρίοις αὐτούς ὑπαγαγεῖν ἀναθέμασιν.

34. Τούτων τήν γνῶσιν καί εἴδησιν κατά τό παλαιόν τῆς Ἐκκλησίας ἔθος ἀνενεγκεῖν τῇ ὑμετέρᾳ ἐν Κυρίῳ ἀδελφότητι ἐδικαιώσαμεν· καί προθύμους καί συναγωνιστάς γενέσθαι ἐπί τῇ καθαιρέσει τῶν δυσσεβῶν τούτων καί ἀθέων κεφαλαίων παραινοῦμέν τε καί δεόμεθα· καί μή λιπεῖν τήν πατρῴαν τάξιν, ἥν ἡμῖν οἱ πρόγονοι, δι' ὧν ἔπραξαν, κατέχειν παραδεδώκασιν· ἀλλά σπουδῇ πολλῇ καί προθυμίᾳ ἀνθ' ὑμῶν τοποτηρητάς τινας ἐλέσθαι καί ἀποστεῖλαι, ἄνδρας τό ὑμέτερον ἐπέχοντας πρόσωπον, εὐσεβείᾳ δέ καί ἱερωσύνῃ καί λόγῳ καί βίῳ κεκοσμημένους· ὡς ἄν τήν ἀρτιφανῆ τῆς ἀσεβείας ταύτης ἐφερπύσασαν γάγγραιναν ἐκ μέσου τῆς Ἐκκλησίας ποιησώμεθα· καί τούς ἐκμανέντας τοσαύτην ἐπισποράν πονηρίας εἰς τό νεοπαγές καί νεοσύστατον ἔθνος εἰσενεγκεῖν αὐταῖς ἀνασπάσαι ῥίζαις, καί τῷ πυρί παραδοῦναι διά τῆς κοινῆς ἀποφάσεως· ὅ τούς κατηραμένους ὑποδέχεσθαι τά κυριακά θεσπίζουσι λόγια.

35. Οὕτω γάρ, τῆς μέν ἀσεβείας ἐλαυνομένης καί τῆς εὐσεβείας κραταιουμένης, ἐλπίδας ἔχομεν ἀγαθάς εἰς τήν παραδοθεῖσαν αὐτοῖς ἐπαναστρέψαι πίστιν καί τό νεοκατήχητον εἰς Χριστόν καί νεοφώτιστον τῶν Βουλγάρων πλήρωμα.

Καί γάρ οὐ μόνον τό ἔθνος τοῦτο τήν εἰς Χριστόν πίστιν τῆς προτέρας ἀσεβείας ἠλλάξατο, ἀλλά γε δή καί τό παρά πολλοῖς πολλάκις θρυλούμενον καί εἰς ὠμότητα καί μιαιφονίαν πάντας δευτέρους ταττόμενον, τοῦτο δή τό καλούμενον τό Ῥῶς, οἵ δή καί κατά τῆς Ῥωμαϊκῆς ἀρχῆς, τούς πέριξ αὐτῶν δουλωσάμενοι, κἀκεῖθεν ὑπέρογκα φρονηματισθέντες, χεῖρας ἀντῆραν. Ἀλλ' ὅμως νῦν καί οὗτοι τήν τῶν χριστιανῶν καθαράν καί ἀκίβδηλον θρησκείαν τῆς ἑλληνικῆς καί ἀθέου δόξης, ἐν ᾗ κατείχοντο πρότερον, ἀντηλλάξαντο, ἐν ὑπηκόων ἑαυτούς καί προξένων τάξει, ἀντί τῆς πρό μικροῦ καθ' ἡμῶν λεηλασίας καί τοῦ μεγάλου τολμήματος, ἀγαπητῶς ἐγκαταστήσαντες. Καί ἐπί τοσοῦτον αὐτούς ὁ τῆς πίστεως πόθος καί ζῆλος ἀνέφλεξε, (Παῦλος πάλιν βοᾷ, «Εὐλογητός ὁ Θεός εἰς τούς αἰῶνας»), ὥστε καί ἐπίσκοπον καί ποιμένα δέξασθαι, καί τά τῶν χριστιανῶν θρησκεύματα διά πολλῆς τιμῆς καί σπουδῆς καί ἐπιμελείας ἀσπάζεσθαι.

36. Τούτων οὖν οὕτω, τῇ τοῦ φιλανθρώπου Θεοῦ χάριτι, τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι καί εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τῶν παλαιῶν αὐτοῖς δοξασμάτων μετατιθεμένων, καί τήν εἰλικρινῆ τῶν χριστιανῶν πίστιν ἐκείνων ἀλλασσομένων, εἰ διανασταίη καί ἡ ὑμετέρα ἀδελφότης συμπροθυμηθῆναι καί συγκατεργάσασθαι εἰς τήν ἐκκοπήν καί καῦσιν τῶν παραφυάδων, ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ τῷ ἀληθινῷ Θεῷ ἡμῶν πεποιθότες ἐσμέν, ὅτι τό ποίμνιον αὐτοῦ ἐπί πλέον ἔτι μᾶλλον αὐξηθήσεται, καί πληρωθήσεται τό εἰρημένον, ὅτι «εἰδήσουσί με πάντες ἀπό μικροῦ ἕως μεγάλου αὐτῶν», καί «εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος» τῶν ἀποστολι-



Μεγ. Λαύρα. Ἐπίτιτλον, (Κῶδ. Α118), 13ου αἰ.

Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΑΓΙΑ ΣΥΝΟΔΟΣ

Η ΓΕΝΟΜΕΝΗ ΕΝ ΕΤΕΙ 1054

ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ ΜΙΧΑΗΛ ΚΗΡΟΥΛΑΡΙΟΥ

Πατριάρχου Κωνσταντινουπόλεως

Πρός ΠΕΤΡΟΝ Πατριάρχην ΑΝΤΙΟΧΕΙΑΣ

Τά γράμματα τῆς μακαριότητός σου ἀνέγνω ἡ μετριότης ἡμῶν καί ἀναμαθοῦσα διά τοῦ ταῦτα διακομίσαντος, ὡς καλῶς, Θεοῦ χάριτι, τά κατ' αὐτήν διεξάγεται, τῇ Αὐτοῦ ηὐχαριστήσαμεν, ὡς εἰκός, ἀγαθότητι, ζωήν σοι μακραίωνα καί ἄλυπον ἐπευχόμενοι. Οἷς δή καί περιείχετο περί τοῦ εὐλαβοῦς διακόνου καί βασιλικοῦ κληρικοῦ Πέτρου, ὅτι τε κατά τάς ἡμετέρας πρός τήν σήν ἁγιότητα εἰσηγήσεις σιγίλλιον αὐτῆς τούτῳ πεπόρισται ἐπί τῷ φιλοτιμηθέντι αὐτῷ παρά τοῦ πρό σοῦ πατριάρχου κληρικοτόπῳ, καί ὅτι ἑτέρας οὐτοσί προτυχών εὐεργεσίας παρά τῆς σῆς τελειότητος, ἠγνωμόνησε, μηδέ γραφῆς αὐτοῦ καταξιώσας αὐτήν.

2. Καί ἡ μετριότης ἡμῶν εἰδυῖα, οἵαν οὐ νῦν οὐδ' ἐκ νέου, ἀλλ' ἀρχῆθεν εἶχες πρός αὐτόν διάπυρον στοργήν καί διάθεσιν, καί ὡς οὐ παρά φαῦλον λογίζῃ τάς ὑπέρ τινων παρ' αὐτῆς πεμπομένας σοι γραφάς, τούτου χάριν καί γράφει καί ἀξιοῖ, ἅμα μέν εὐεργετεῖσθαι διά σοῦ τούς ἀξιοῦντας ἐθέλουσα, πρός ἔπαινον καί ἀνακήρυξιν τῆς μεγαλοδώρου καί φιλοτίμου ψυχῆς σου, ἅμα δέ καί μισθῶν οὐκ ὀλίγων πρόξενος ἡμῖν γενομένη, τό γε εἰς μέρος ἧκον αὐτῆς. Ὁ δέ γε διάκονος ἀνάξιον τοῦ πρός σέ γράφειν ἑαυτόν, ὥς φησι, κεκρικώς, τούτου χάριν οὐδέ γράψαι ποτέ πρός τήν σήν ἐτόλμησεν ἁγιότητα. Οὐ παύεται δέ αὐτῇ πάμπολλα εὐχαριστῶν καί ὑπερευχόμενος, τῶν εἰς αὐτόν ἀπείρων αὐτῆς εὐεργεσιῶν ἕνεκεν καί χαρίτων, καί αἰτεῖται ἀμειφθῆναι αὐτῷ τό σιγίλλιον, διά τό βραχῆναι καί σχεδόν μηδέ ἀναγινώσκεσθαι δύνασθαι. Καί ταῦτα μέν περί τούτου.

3. Πρό καιροῦ δέ τινος ἀναμαθόντες παρά τῶν ἐκ τῆς πρεσβυτέρας Ῥώμης ἐνταῦθα ἀφικνουμένων περί τῆς ἀρετῆς καί εὐγενείας καί γνώσεως τοῦ νῦν τελευτήσαντος πάπα ταύτης, φημί περί τῆς εἰς ταὐτόν ἡμῶν ὁμοφροσύνης τε καί συμβάσεως διά τά περί τήν ὀρθόδοξον πίστιν περί αὐτόν θρυλούμενα σκάνδαλα, οὐκ ὀλίγα δι' ἡμετέρων συλλαβῶν μετά πολλῆς ταπεινοφροσύνης, ὡς καί αὐτός ἔχεις γνῶναι ἐκ τῆς τοιαύτης γραφῆς, αὐτῷ ἐδηλώσαμεν· τοῦτο μέν κερδῆσαι τοῦτον πάντως βουλόμενοι, τοῦτο δέ καί εὔνουν ἔχειν καί οἰκεῖον πραγματευόμενοι εἰς τήν περί ἡμᾶς αὐτοῦ κατά τῶν Φράγκων ἐπικουρίαν. Ἄστινας δή συλλαβάς καί ἐγχειρίσαντες τῷ τά πρός ἐκεῖνον ἐπιφερομένῳ βασιλικά γράμματα βεστιαρίτῃ, ἠλπίζομεν ἀποκομίσαι μέν αὐτόν καί ἄμφω τά γράμματα πρός ὅν ἀπεστάλησαν, ἀντίγραμμα δέ ἐξ αὐτοῦ λαβεῖν καί πρός ἡμᾶς ἀγαγεῖν.

4. Ὁ δέ τά τοιαῦτα λαβών γράμματα, καί μέχρις αὐτοῦ φθάσας τοῦ μαγίστρου καί δουκός Ἰταλίας τοῦ Ἀργυροῦ, τά γράμματα μέν, εὐμηχάνως αὐτόν αὐτοῦ ὑπελθόντος ἐφ' ᾧ ταῦτα διά ταχέων εἰς τόν πάπαν ἐξαποστεῖλαι, αὐτῷ ἐνεχείρισεν· ὁ μάγιστρος δέ, ὡς ἀκριβῶς μεμαθήκαμεν, οὐδέποτε τῆς οἰκείας ἐπιλελησμένος θρησκείας καί διπλόης, ἀλλ' ἀεί τἀναντία κατά τῆς Βασιλείας καί τῆς Ῥωμανίας φρονῶν, οὐδ' ἐν τούτῳ ἠμέλησε τῶν συνήθων, ἀλλ' αὐτά τε τά νομίσματα, ἃ πρός βασιλέως ὁ βεστιαρίτης λαβών ἐπεφέρετο, ἀνελάβετο, ἐν κέρδει πάντως ἰδίῳ θέσθαι καί ταῦτα βουλόμενος, ὡς τά προαποσταλέντα, ἅτε περί οἰκείων διαπονούμενος κάστρων οἰκοδομάς καί τῆς περί αὐτῶν ἐπιμελείας.

5. Καί ταύτην, ὡς ἐροῦμεν, τήν συσκευήν ἐσκαιώρησε. Προσκαλεσάμενος γάρ τινας, οἷς μᾶλλον, ὡς ἔοικε, τῶν ἄλλων εἶχε θαρρεῖν, ὧν ὁ μέν ἐν Ἀμάλφῃ ἐπισκοπήσας ποτέ, ὡς ἤκουσται, ὕστερον δέ τῆς τοιαύτης ἀπελαθείς ἐκκλησίας δι' αἰτίας εὐλόγους, ἐπί πέντε ἤδη ὅλους ἐνιαυτούς δεδιωγμένος ὑπάρχει· ὁ δέ ὄνομα μόνον ἔχει ἀρχιεπισκόπου, πράγματος παντάπασιν ἔρημον· οὐδέ γάρ ὅπου καί ἀρχιεράτευσεν οὐχ εὕρηται· Τῷ δέ γε τρίτῳ προσωπεῖον, ὡς αὐτῷ ἐδόκει, περιθείς καγκελλαρίου, καί τούτῳ δή τῷ ῥωμαϊκῷ ἀξιώματι ἐξ ὑπερβαλλούσης πανουργίας καί πονηρίας τοῦτον ἀναπείσας καλεῖσθαι, ἵνα ἔχῃ ἐπί τοῖς σκαιωρηθεῖσι κρατεῖν δι' αὐτοῦ, ὡς διά τινος δῆθεν τείχους ἀπροσμαχήτου. Καί τῶν ἐμῶν γραμμάτων ἀφελών τήν σφραγίδα καί τά ἐμφερό-



Μ. Σινᾶ. Ἡ μεταμόρφωσις τοῦ Σωτῆρος, 6ου αἰ.

αὐτῶν τάς ψυχάς ἀναιροῦντες καί ἀναιρούμενοι. Ὡς δέ τινες ἡμᾶς διεβεβαιώσαντο, καί τό θεῖον βάπτισμα ἐπιτελοῦντες, τούς βαπτιζομένους βαπτίζουσιν εἰς μίαν κατάδυσιν, τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος ἐπιλέγοντες· ἀλλά καί ἄλατος πρός τοῦτο τά τῶν βαπτιζομένων πληροῦσι στόματα. Κακῶς δέ καί τό ἀποστολικόν ἐκεῖνο ῥητόν ἐκλαμβάνοντες, τό φάσκον «μικρά ζύμη ὅλον τό φύραμα ζυμοῖ», οὕτως ἐκεῖνο γεγραμμένον ἔχουσι, «μικρά ζύμη ὅλον τό φύραμα φθείρει», πειρώμενοι διά τῆς μικρᾶς ταύτης τοῦ ῥήματος ἀφορμῆς ἀνατρέπειν τήν ζύμην, τήν τόν ἀναβατόν ἄρτον αἴρουσαν.

14. Ἀλλ' οὐδέ τά λείψανα τῶν Ἁγίων ἀνέχονται προσκυνεῖν, τινές δέ αὐτῶν οὐδέ τάς ἁγίας εἰκόνας. Οὔτε μήν τούς ἁγίους καί μεγάλους Πατέρας ἡμῶν καί διδασκάλους καί ἀρχιερεῖς, τόν τε θεολόγον φημί Γρηγόριον καί τόν μέγαν Βασίλειον καί τόν θεῖον Χρυσόστομον, τοῖς λοιποῖς συναριθμοῦσιν ἁγίοις ἤ ὅλως τήν διδαχήν αὐτῶν καταδέχονται. Καί ἄλλα δέ τινα δρῶσιν, ἅ ἐργῶδές ἐστι κατά μέρος ἀπαριθμεῖσθαι. Οὕτω τοίνυν βιοῦντες καί τοιούτοις ἔθεσιν ἐντεθραμμένοι, καί τά προδήλως ἀθέμιτα καί ἀπηγορευμένα τολμῶντες καί ἀποτρόπαια, ἐν Ὀρθοδόξων ὅλως μοίρᾳ τοῖς εὖ φρονοῦσι τετάχθαι δόξουσιν; Οὐκ ἔγωγε οἶμαι. Οἱ δέ ὀρθῶς ἴσως αὐτούς φρονεῖν οὕτω ποιοῦντας ἀποφαινόμενοι, τύχοιεν τῆς μερίδος αὐτῶν. Οὐδέ γάρ ταύτης αὐτοῖς ποτε τῆς ὁμονοίας καί συμπνοίας φθονήσαιμεν. Μή οὕτω μανείημεν ἤ ἐκσταίημεν τῶν οἰκείων φρενῶν.

15. Ταῦτα κατά πάροδον διεξήλθομεν, ἵνα εἰδέναι ἔχουσα ἡ τελειότης σου τά τούτοις τελούμενα, μή οἴηται ὡς περί μόνα τά ἄζυμα σφάλλονται, καθώς καί αὐτοί μέχρι τοῦ παρόντος ὑπελαμβάνομεν, ἀλλά διαγνοῦσα καί τά ἐπέκεινα τούτων αὐτῶν ἐλαττώματα, συγκαταριθμῇ τούτους μεθ' ὧν εἰσιν ἄξιοι. Τό δέ πάντων βαρύτερον καί ἀνυποιστότερον καί τήν ἀπόνοιαν αὐτῶν ἐκ τοῦ περιόντος ἐμφαῖνον, τοῦτό ἐστι· λέγουσι γάρ, ὅτι οὐ διδαχθησόμενοι ἤ διαλεχθησόμενοι τά ἐνταῦθα κατέλαβον, ἀλλά διδάξοντες μᾶλλον καί πείσοντες κρατεῖν ἡμᾶς τά δόγματα τούτων· καί ταῦτα μετ' ἐξουσίας καί ἀναισχυντίας ὑπερβαλλούσης.

Ὁ Κύριος φυλάξαι τήν μακαριότητά σου ἐν ἐτῶν πολλῶν περιόδοις, εὐχομένην ὑπέρ ἡμῶν.

Η ΑΠΑΝΤΗΣΙΣ ΤΟΥ ΠΕΤΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

Πέτρου Θεουπόλεως καί πάσης Ἀνατολῆς πατριάρχου λόγος, καθ' ὅν καιρόν εἰσῆλθεν ὁ Ἰταλός Ἀργυρός ἐλέγξων τά ἡμέτερα.

α΄. Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρός ἐν τῷ ἁγίῳ σου, καί ἦν κατεπανουργεύσαντο γνώμην οἱ μισοῦντές σε ἄραντες κεφαλήν ἐν μέσῳ τῆς Ἐκκλησίας σου, ἱκανῶς ἡμᾶς τά σά ἱερά ἐδίδαξε γράμματα, θεοειδέστατε ἅγιε δέσποτα. Καί θαῦμα μέγα κατέσχεν ἡμᾶς ἐπί τούτῳ, συνιδεῖν μή δυναμένους, ὅθεν κινηθείς, ἤ τί βουλόμενος ὁ Ἰταλός, εἰς τοσαύτην ἀνοδίαν ἐξέκλινεν Ἀργυρός, καί τοῖς ἱεροῖς ἐπεχείρει, ἀνίερος ὤν. Τί γάρ, φησί, κοινόν κυνί καί βαλανείῳ, ἵν' ἐκεῖνος, ἐν λαϊκοῖς τεταγμένος, τά ἱερέων πολυπραγμονῇ, καί συγγραφάς τοιαύτας, ὡς ἐδήλωσας, ψευδεῖς ἐπινοῇ καί διαπράττηται; ἐξ ὧν οὐδέν ἔμελλε πλήν αἰσχύνης τοῦ δραματοφορηθέντος ἀποίσεσθαι, καί ταῦτα τοῦ πάπα τόν βίον καταστρέψαντος. Ἀλλά χάρις τῷ Θεῷ, τῷ δρασσομένῳ τούς σοφούς ἐν τῇ πανουργίᾳ αὐτῶν, καί μή ἐπί πολύ τό πλάσμα λανθάνειν παραχωρήσαντι.

β΄. Περιείχετο τοῖς ἱεροῖς γράμμασι τῆς ἁγιωσύνης σου, φήμην τινά τοῖς σοῖς ἐνηχηθῆναι ὠσίν, ὡς τόν πάπαν τοῖς ἱεροῖς ἀναφέρω διπτύχοις, τοῦτο αὐτό ποιούντων καί τῶν ἄλλων (ἁγιωτάτων) πατριαρχῶν, καί ὡς οὐκ ἔδει τοσοῦτον ἀγνόημα ἀγνοῆσαι, καί μάλιστα πρό τῶν ἄλλων ἐμέ, εἰδότα ὅτι ἀπό τῆς ἁγίας ἕκτης οἰκουμενικῆς συνόδου καί ἐπίταδε, ἵνα τοῖς σοῖς χρήσωμαι ῥήμασιν, ἡ ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναφορά ἐξεκόπη τοῦ πάπα, διά τό τόν τηνικαῦτα πάπαν Βιγίλιον (ALL. Βιγίλιον) μή ἀπαντῆσαι κατά τήν σύνοδον, μήτε μήν ἀναθεματίσαι τά παρά τοῦ Θεοδωρήτου κατά τῆς ὀρθῆς πίστεως καί τῶν δώδεκα κεφαλαίων τοῦ ἁγίου Κυρίλλου γραφέντα· καί ἔκτοτε καί μέχρι τοῦ νῦν ἀποτμηθῆναι τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ἐκκλησίας τόν πάπαν.

γ΄. Ταῦτα τῆς σῆς τιμίας περιεχούσης γραφῆς ᾐσχύνθην, οὐκ οἶδ' ὅπως εἴπω, πίστευε, καί τό πλεῖον ὑπέρ σοῦ, καί μᾶλλον εἰ καθ' ὁμοιότητα τῆς πρός ἡμᾶς γραφῆς σου ἔφθης τοιαῦτα καί πρός τούς ἄλλους γράψας μακαριωτάτους πατριάρχας. Ὅτι πρό ἐξετάσεως καί τελείας καταλήψεως τό μή γεγονός ὡς γεγονός ἐξ ἀκοῆς ματαίας παρέστησας. Πῶς γάρ καί ἔμελλον τέως αὐτόν ἐγώ ἀναφέρειν τόν πάπαν, μή τῆς κατά σέ ἁγίας Ἐκκλησίας ἀναφερούσης αὐτόν, τρόφιμος ὢν ταύτης, καί ζηλωτής εἰ καί τις ἄλλος, ἔργῳ καί λόγῳ τά ταύτης πρεσβεῖα σεμνύνων καί μεγαλύνων ἀεί; Τό δέ κατά τόν Βιγίλλιον (ALL. Βιγίλιον) παρεξηγηθῆναι, τῆς ἀληθείας οὐχ οὕτως ἐχούσης, τοῦτο πόσην οὐ προσεπιμαρτυρεῖ ἀπροσεξίαν τῷ εὐσεβεῖ χαρτοφύλακί σου; Εἰ γάρ καί περί τό τῆς ῥητορικῆς μάθημα σοφιστικός ὁ ἀνήρ, ὡς ἀκούομεν, ἀλλά νέος ὢν οὔπω πεῖραν ἔσχεν ἱκανήν τῶν ἐκκλησιαστικῶν. Πίστιν δέ οὐκ ἔχει, φησίν Ἰωάννης ὁ τῆς κλίμακος, οἶνος εὐθύς ἐκ ληνῶν ἐγκλειόμενος (ALL. ἐκλυόμενος F. ἐκκλειόμενος).

δ΄. Καί διά τοῦτο χρεών ἐστι τοῦτον εἰς τοσοῦτον ἀχθέντα (ALL. ἀναχθέντα) μέγαν βαθμόν, ἐρευνητικῶς, ἀλλ' οὐ παροδευτικῶς ἀνακρίνειν (ALL. ἀναγινώσκειν) τάς Γραφάς. Οὐσία γάρ τῆς καθ' ἡμᾶς ἱεραρχίας ἐστί τά θεοπαράδοτα λόγια, ἤγουν ἡ τῶν θείων Γραφῶν ἀληθινή ἐπιστήμη· καθώς ὁ μέγας ἀπεφήνατο Διονύσιος. Ὁ Βιγίλλιος (ALL. Βιγίλιος) γάρ, ἐπί τῆς πέμπτης ἦν, καθ' ἥν τά περί Ὠριγένους, Εὐαγρίου τε καί Διδύμου, καί τῶν ἄλλων, Πέτρου Σευήρου καί Ζωόρα (ALL. Σωώρα), ἀλλά καί τῶν συγγραμμάτων τοῦ Θεοδωρήτου κεκίνητο· οὐ μήν δέ ἐπί τῆς ἕκτης συνόδου. Διάστημα δέ μεταξύ τῶν δύο συνόδων ρκθ΄ ἔτη. Τόν δέ συνέβη πρός μικρόν τῆς ἀναφορᾶς ἀποτμηθῆναι (ALL. ἀποκοπῆναι), διά τό διενεχθῆναι αὐτόν πρός τόν ἁγιώτατον πατριάρχην Μηνᾶν, καί καθαιρέσει τοῦτον ὑποβαλεῖν· ἕως οὗ καί πάλιν πρός ἀλλήλους οἱ ἀρχιερεῖς εἰρηνεύσαντες κατηλλάγησαν. Ἐπί δέ τῆς ἕκτης τῆς ἁγίας συνόδου, ὁ ἱερός ἦν πάπας Ἀγάθων, ἀνήρ τίμιος καί τά θεῖα σοφός. Καί ἀνάγνωθι τά παρά (ALL. πρακτικά) τῆς ἕκτης συνόδου, ἥτις εἰώθει Κυριακῇ μετά τήν ὕψωσιν τοῦ τιμίου

μενα αὐτῇ ἀναγνούς, ἕτερα δέ πρός ἡμᾶς ἀπό τοῦ πάπα δῆθεν ἀπεσταλμένα συνθείς, καί τούτοις τούς εἰρημένους ἐφοδιάσας ἀνέπεισε τούς ἀθλίους (φεῦ τῆς πλάνης καί τῆς σκαιότητος) τήν μεγαλόπολιν καταλαβεῖν καί τά τοιαῦτα ἐμφανίσαι γράμματα πρός ἡμᾶς.

6. Οἵ καί εἰσελθόντες τήν βασιλεύουσαν, πρῶτον μέν τῷ κραταιῷ καί ἁγίῳ ἡμῶν βασιλεῖ ἐθεάθησαν μετά σοβαροῦ καί γαύρου σχήματος καί φρονήματος καί βαδίσματος. Ἔπειτα δέ πρός τήν ἡμετέραν μετριότητα ἀνεληλυθότες, τί ἄν τις εἴποι ὁπόσῃ ὑπερηφανείᾳ καί ἀλαζονείᾳ καί αὐθαδείᾳ ἐχρήσαντο; μηδέ τήν οἰανοῦν πρόσρησιν εἰπόντες ἡμῖν, ἤ κἄν γοῦν μικρόν κλῖναι τάς ἑαυτῶν κεφαλάς καί προσαγαγεῖν ἡμῖν τήν συνήθη προσκύνησιν ἀνασχόμενοι, μήτε μήν ὄπισθεν τῶν μητροπολιτῶν μεθ' ἡμῶν ἐν τῷ σεκρέτῳ συνηθροισμένων καθίσαι ὅλως καταδεξάμενοι, κατά τήν κρατήσασαν ἀρχῆθεν συνήθειαν, ἀλλ' οἰκείαν τοῦτο ὕβριν νενομικότες. Τί μή λέγω τό τούτων ἀνοητότερον; ἀλλ' οὐδέ πρός βασιλικήν ὅλως περιωπήν καί μεγαλειότητα τεταπείνωνται· μᾶλλον μέν οὖν ἑαυτούς μεγάλως ἐξαίροντες καί τά ὑπέρ αὐτούς φανταζόμενοι, μετά σταυροῦ καί σκήπτρων ἐντός τῶν βασιλείων εἰσέρχονται.

7. Μηδέν τοίνυν τούτων, ὡς εἰκός, δεδρακότες, ἐπιστολήν ἐσφραγισμένην ἡμῖν ἐπέδωκαν καί εὐθύς ὑπεχώρησαν. Ἦν καί λαβοῦσα ἡ μετριότης ἡμῶν καί ἀφελεῖν τήν σφραγίδα ἐπιχειρήσασα καί ἀκριβῶς περιεργασαμένη, αὐτήν τε ταύτην εὗρε νενοθευμένην καί τά γράμματα πλήρη δόλου καί περινοίας. Ἐκεῖνα γάρ καί ἐδήλουν ἀπαραλλάκτως, ἅπερ ἐν τῇ μεγαλοπόλει ὁ Ἀργυρός ἐνδημῶν πρός τήν ἡμετέραν πολλάκις ἔλεγε μετριότητα, μάλιστα δέ περί τῶν ἀζύμων· δι' ἅ καί οὐχ ἅπαξ μόνον, ἀλλά καί δίς ἤδη καί τρίς καί τετράκις τῆς θείας ἐξώσθη καί ἀπεβλήθη παρ' ἡμῶν κοινωνίας καί μεταλήψεως.

8. Τό δέ ἴσον τῆς πρός τόν πάπαν ἡμετέρας γραφῆς, ἀλλά μήν καί αὐτῆς τῆς πρός ἡμᾶς δῆθεν ἀπό τοῦ πάπα διά τῶν ἀλιτηρίων ἀποκομισθείσης καί εἰς τήν ἑλλάδα μεθερμηνευθείσης φωνήν πρός τήν σήν μακαριότητα ἐξεπέμψαμεν, ὡς ἄν γνοίης, τί μέν ἡμεῖς πρός ἐκεῖνον ἐγράψαμεν, τίνα δέ διά τῆς ἐπιδοθείσης ἡμῖν ἐπιστολῆς ἐδηλοῦντο· καί ἀκριβῶς καταμάθῃς ἐντεῦθεν, ὡς οὐ ψιλήν ὑπόνοιαν ὑπενοήσαμεν, ἀλλ' αὐτῆς τῆς ἀληθείας γυμνῆς ἐδραξάμεθα. Φανερώτερον δέ τό τοιοῦτον ἠλέγχθη δρᾶμα καί διά τοῦ ἀρχιεπισκόπου Τράνας καί συγκέλλου ἐκεῖθεν πρό τούτων πρός ἡμᾶς ἀφιγμένου καί τήν ἀλήθειαν πᾶσαν διασαφήσαντος, ὅν τρόπον εἴρηκα τῷ κραταιῷ καί ἁγίῳ ἡμῶν βασιλεῖ.

9. Φήμη δέ τις τοῖς ἡμετέροις ὠσίν ἐνηχήθη, ὡς τόν δηλωθέντα πάπαν καί ἡ τελειότης σου ἐν τοῖς ἱεροῖς ἀναφέρει διπτύχοις, ἀλλά μήν καί ὁ Ἀλεξανδρείας καί ὁ Ἱεροσολύμων. Καί οὐκ οἶμαι τοσοῦτον ἀγνοῆσαι ἀγνόημα, μάλιστα πρό τῶν ἄλλων τήν σήν ἀσύγκριτον ἀρετήν. Οἶδας γάρ, ὅτι ἀπό τῆς ἁγίας καί οἰκουμενικῆς ἕκτης συνόδου καί ἐπίταδε ἡ ἐν τοῖς ἱεροῖς διπτύχοις ἀναφορά ταῖς καθ' ἡμᾶς δηλαδή ἁγίαις Ἐκκλησίαις ἐξεκόπη τοῦ πάπα, διά τόν τηνικαῦτα πάπαν Ῥώμης τόν Βιγίλιον μή ἀπαντῆσαι κατά ταύτην τήν σύνοδον, μήτε μήν ἀναθεματίσαι τά παρά Θεοδωρήτου κατά τῆς ὀρθῆς πίστεως καί τῶν δώδεκα κεφαλαίων τοῦ ἁγίου Κυρίλλου γραφέντα, ἔτι δέ καί τήν τοῦ Ἴβα ἐπιστολήν· καί ἕκτοτε καί μέχρι τοῦ νῦν ἀποτμηθῆναι τῆς καθ' ἡμᾶς ἁγιωτάτης καί καθολικῆς Ἐκκλησίας τόν πάπαν. Οὗ χάριν καί ἄπιστον ἡμῖν τοῦτο παντάπασιν ἔδοξεν, οὐ τοσοῦτον περί ἐκείνων, ὅσον περί τῆς σῆς πολυμαθείας τε καί ἐξῃρημένης συνέσεως.

10. Καί οὐ τοῦτο δέ μόνον, ἀλλ' ὅτι καί οἱ δηλωθέντες δύο ἀρχιερεῖς, οὐ μόνον ἄλλους τά ἄζυμα ἐσθίοντας καταδέχονται, ἀλλ' ἔστιν ὅτε καί αὐτοί δι' ἀζύμων τήν θείαν ἐκτελοῦσι μυσταγωγίαν. Καί ἡμεῖς μέν μήτινος εὐποροῦντες ἐκ τοῦ προχείρου, δι' οὗ τήν περί τούτου πρός ἐκείνους ἐρώτησιν ποιησόμεθα, ἄλλως δέ μηδέ ἄλλοις περί τούτων θαρρεῖν ἔχοντες, τό πᾶν τῆς ἐρεύνης τῇ σῇ ἀνατίθεμεν ἁγιότητι, ὡς ἄν αὐτή περί τοῦ πράγματος ἀκριβῶς ἐξετάσασα γνωρίσῃ τῇ ἡμῶν μετριότητι. Καί περί μέν τούτων οὕτως.

11. Εἰς ἡμετέρας δέ χεῖρας ἀπεδόθη διά τοῦ λαμπροτάτου προέδρου καί δουκός Ἀντιοχείας τοῦ Σκληροῦ καί τό ἴσον τῆς πρός τόν Γρανδέσης ἤτοι Ἀκυλίας γραφῆς σου· ὅ καί ἀναγνωσθέν, καταδρομήν αὐτό πολλήν περί τῶν ἀζύμων μόνον εὑρέθη ποιούμενον, τῶν ἄλλων ῥωμαϊκῶν σφαλμάτων πολλῷ τούτων χαλεπωτέρων ἀφέμενον. Εἰ τάχα δέ καί ἔγραψεν οὑτωσί πρός τήν σήν ἁγιότητα, ὅτι περί τούτων ἔγραψεν αὐτῷ ἡ μετριότης ἡμῶν· ἀλλ' οὖν περί οὐδενός τούτων ἐδήλωσέ ποτε ἤ αὐτῷ τῷ πάπᾳ ἤ τινι ἄλλῳ τῶν ἐπισκόπων αὐτοῦ, πλήν τῆς ἐπιστολῆς, ἥς νῦν πρός σέ τό ἴσον ἐξαπεστείλαμεν. Ἀλλ' ὡς φαίνεται ἀπό τε τῶν γραμμάτων αὐτῶν καί τῶν πράξεων ὅλως εἰσί φιλοψευδεῖς καί περίεργοι. Ἀλλ' εὖ ἴσθι, ὡς οὐχί ἑνί μόνῳ βέλει τῷ περί τῶν ἀζύμων περιπείρονται οἱ Ῥωμαῖοι, τῷ τό προδήλως πᾶσι γινωσκομένῳ, ἀλλά πολλοῖς τε καί διαφόροις, δι' ἅ καί ἐκτρέπεσθαι τούτους ἐπάναγκες.

12. Καί ἅ μέν ἐπιτελοῦσι ἰουδαΐζοντες, ταῦτά ἐστιν· αὐτό τε τό περί τῶν ἀζύμων αὐτοῖς ἐπικρεμάμενον ἔγκλημα, καί τό τά πνικτά τούτους ἐσθίειν, καί τό ξυρᾶσθαι, καί τό φυλάττειν τά Σάββατα, καί τό μιαροφαγεῖν, καί τό τούς μοναχούς κρεοφαγεῖν τό στέαρ τό χοίρειον καί τήν δερματίδα πᾶσαν τήν διήκουσαν μέχρι τοῦ κρέατος, καί τό κατά τήν πρώτην τῶν νηστειῶν ἑβδομάδα καί τήν ἀπόκρεων ἐν ταὐτῷ καί τήν τυρηνήν ἐκτελεῖν, καί τό τῇ τετράδι κρεοφαγεῖν, τῇ δέ Παρασκευῇ ἐσθίειν τυρόν καί ὠά, ἐν τῷ Σαββάτῳ δέ νηστεύειν πᾶσαν τήν ἡμέραν. Τά δ' ἐκτός τούτων τοιαῦτα καί οὕτως ἔχοντα· ἐν τῷ ἁγίῳ Συμβόλῳ τοιάνδε τινά ποιοῦνται προσθήκην, κακῶς καί ἐπικινδύνως φρονοῦντες· ἔχει δέ οὕτως· «καί εἰς τό Πνεῦμα τό ἅγιον, τό κύριον καί ζωοποιόν, τό ἐκ τοῦ Πατρός καί Υἱοῦ ἐκπορευόμενον». Καί ἐν τῇ θείᾳ δέ μυσταγωγίᾳ τό, «εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός, διά Πνεύματος ἁγίου», ἐκφωνοῦσιν.

13. Πρός δέ τούτοις καί τόν γάμον τῶν ἱερέων κωλύουσι, τουτέστι τούς γυναῖκας ἔχοντας μή καταδέχεσθαι τό τῆς ἱερωσύνης ἀξίωμα, ἀλλ' ἀζύγους εἶναι τούς ἱεράσθαι θέλοντας. Καί δύο ἀδελφάς δύο λαμβάνουσι. Καί ἐν τῇ λειτουργίᾳ κατά τόν καιρόν τῆς μεταλήψεως εἷς τῶν λειτουργούντων ἐσθίων τά ἄζυμα τούς λοιπούς ἀσπάζεται. Καί δακτυλίους φοροῦντες ἐν ταῖς χερσίν οἱ ἐπίσκοποι, ὡς δῆθεν γυναῖκας τάς ἐκκλησίας λαμβάνοντες, τόν ἀρραβῶνα φορεῖν λέγουσι. Καί εἰς πολέμους δέ ἐξιόντες, αἵμασι τάς ἑαυτῶν χεῖρας χραίνουσι καί πρό

τρός, τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περί ἐμοῦ· εἶτα· Ἔτι πολλά ἔχω λέγει ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δέ ἔλθῃ ἐκεῖνος, τό Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τήν ἀλήθειαν. Οὐ γάρ λαλήσει ἀφ' ἑαυτοῦ· ἀλλ' ὅσα ἄν ἀκούσῃ λαλήσει, καί τά ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμέ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καί ἀναγγελεῖ ὑμῖν. Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι. Διά τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καί ἀναγγελεῖ ὑμῖν.

ιβ΄. Καί τοῦ εὐαγγελιστοῦ οὕτω τρανότατα (ALL. τρανέστατα) διαγορεύοντος, τίς ὀρθοδόξων τολμήσει, ἤ καί δυνήσεται προσθήκην ἤ ὑφαίρεσιν ποιήσασθαι; Περί ὧν γάρ φανερώτατα ἡ θεία Γραφή ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλά μᾶλλον ἔπεσθαι. Ἀλλ' ὡς ἔοικεν, ἀπώλεσαν Ῥωμαῖοι τά ἀντίγραφα τῆς ἐν Νικαίᾳ πρώτης συνόδου, οἷα τῆς Ῥώμης ἐπί πολύ τοῦ τῶν Οὐανδάλων (ALL. Οὐανδήλων) ἔθνους κυριαρχήσαντος· παρ' ὧν ἴσως καί ἔμαθον ἀρειανίζειν (ALL. ἀρειανιζόντων ἐκείνων), καί εἰς μίαν κατάδυσιν, εἰ τοῦτο ἀληθές, ὡς ἐδήλωσας, τό βάπτισμα ἐπιτελεῖν. Ἡμῖν γάρ ἀρκεῖ εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καί βεβαίωσιν τό σοφόν καί σωτήριον τῆς θείας χάριτος Σύμβολον. Περί τε γάρ τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκει τό τέλειον, καί τοῦ Κυρίου τήν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησι. Τούς δέ προστιθέντας τι ἤ ἀφαιροῦντάς τι (ALL. ἐξ αὐτοῦ), ἀναθεματίζομεν. Εἴ τις γάρ, φησίν ὁ Ἀπόστολος, εὐαγγελίζεται ὑμῖν (ALL. ὑμᾶς) παρ' ὅ παρελάβετε, ἀνάθεμα ἔστω.

ιγ΄. Ἀλλ' οὐδέ τήν ἑτέραν προσθήκην καταδεχόμεθα, ἥν εἰς τό, Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός, διά Πνεύματος ἁγίου, πεποίηνται· εἰ καί δυνατόν ταύτην ἡμᾶς εὐσεβῶς ἐκλαμβάνοντας, μηδέν πρός τό ὀρθόδοξον καταβλάπτεσθαι. Φαίνεται γάρ τοῦτο ἰσοδυναμοῦν, καί τό παρ' ἡμῶν τελούμενον· ὁπόταν τοῦ θείου ἄρτου ὑψουμένου, καί τοῦ λαοῦ βοῶντος, Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός, ἔνθεν κἀκεῖθεν ὁ ἀρχιδιάκονος καί ὁ δευτερεύων τό πρῶτον καί τό δεύτερον ποτήριον αἴροντες, λέγωσι· Πλήρωσον, Δέσποτα· αὐτοί δέ μερίδα τῶν ἁγιασμάτων ἐμβάλλοντες (ALL. λαμβάνοντες), ἐκφωνοῦμεν (ALL. ἐκφωνῶμεν)· Πλήρωμα Πνεύματος ἁγίου.

ιδ΄. Καλόν γάρ πρός τό καλοθελές ὁρῶντας ἡμᾶς, καί μᾶλλον ἔνθα μή Θεός ἤ πίστις τό κινδυνευόμενον, νεύειν ἀεί πρός τό εἰρηνικόν τε καί φιλάδελφον. Ἀδελφοί γάρ καί ἡμῶν οὗτοι, κἄν ἐξ ἀγροικίας ἤ ἀμαθίας συμβαίνῃ (ALL. συμβαίη) τούτους πολλάκις ἐκπίπτειν τοῦ εἰκότος, τῷ ἑαυτῶν στοιχοῦντας θελήματι· καί μή τοσαύτην ἀκρίβειαν ἐπιζητεῖν ἐν βαρβάροις ἔθνεσιν, ἥν αὐτοί περί λόγους ἀναστρεφόμενοι ἀπαιτούμεθα. Μέγα γάρ κἄν παρ' αὐτοῖς ἀσφαλῶς ἡ ζωαρχική Τριάς ἀνακηρύττοιτο, καί τό τῆς ἐνσάρκου οἰκονομίας κατά τήν ἡμετέραν δόξαν ἀνομολογεῖται μυστήριον. Ναί μήν, οὐδέ τοῦτο ἐπαινοῦμεν καί ἀποδεχόμεθα, εἰ καί τοῦτο ἀληθές, ὅτι μή καταδέχονται οἱ ἱερεῖς νομίμους ἔχοντες γυναῖκας τά ἅγια μεταχειρίζεσθαι, καί τήν ἀπόκρεω ἐν ταὐτῷ κατά τήν πρώτην τῶν ἁγίων νηστειῶν ἑβδομάδα, ὡς ἔγραψας, τῆς τοῦ κρέατος καί τοῦ τυροῦ ποιούμενοι.

ιε΄. Τό γάρ περί τῶν ἀζύμων ζήτημα, ἤδη, ὡς οἶδεν ἡ ἁγιωσύνη σου ἐντυχοῦσα τῇ παρ' ἡμῶν ἐκπεμφθείσῃ ἀντιγράφῳ ἐπιστολῇ πρός τόν ἀρχιερέα Βενετίας, ἱκανῶς ἐξήτασται παρ' ἡμῶν, καί ὡς μή κατ' ἐκκλησιαστικήν ἀκολουθίαν γινόμενον κατέστραπται καί ἀπεσκεύασται. Εἰ μή τῷ κανονικῷ τούτῳ ῥητῷ ἐπερειδόμενοι, φάσκοντι· Ἔδοξε πᾶσι, τοῖς ἀρχαίοις ἔθεσι χρήσασθαι· ἀρχαίαν εἶναι καί αὐτοί παρ' αὐτοῖς ἐροῦσι τήν τῶν ἀζύμων παράδοσιν. Καί τό τά πνικτά δέ τούτους ἐσθίειν· καί δύο ἀδελφούς δυσίν ἀδελφαῖς σαρκικῶς προσπλέκεσθαι· οὐ κατ' ἐπιταγήν, οἶμαι, καί σύνεσιν τοῦ πάπα ἤ τῶν ἄλλων ἀρχιερέων πλημμελεῖται· παρά δέ τήν τόλμαν τῶν ταῦτα ποιεῖν αἱρουμένων τοῦτο γίνεται· οἷα δή καί ἐν τῇ καθ' ἡμᾶς Ῥωμαϊκῇ ἐπικρατείᾳ, πολλά τῶν ἀθέσμων καί ἀποτροπαίων, ἡμῶν ἀγνοούντων, εἴωθε γίνεσθαι.

ις΄. Περί γάρ τοῦ ἀπέχεσθαι πνικτοῦ, ἡ βίβλος τῶν ἀποστολικῶν Πράξεων (ALL. διατάξεων) διασαφεῖ· ἐν οἷς Ἰάκωβος ὁ ἀδελφόθεος φαίνεται λέγων· Γνωστά ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τά ἔργα αὐτοῦ. Διό ἐγώ κρίνω μή παρενοχλεῖν τοῖς ἀπό τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπί τόν Θεόν· ἀλλ' ἐπιστεῖλαι αὐτοῖς, τοῦ ἀπέχεσθαι ἀπό τῶν ἀλισγημάτων τῶν εἰδώλων, καί τῆς πορνείας, καί τοῦ πνικτοῦ, καί τοῦ αἵματος. Καί οὐ πείθομαί ποτε, μή οὐχί καί τόν πάπαν καί τούς λοιπούς ἀρχιερεῖς ἐπίγνωσιν ἔχειν (τῆς τοιαύτης συγγραφῆς καί διατάξεως τῶν ἄλλων Γραφῶν) ἀκριβῆ εἴδησιν ἔχοντας (F. ἔχοντες), ἵνα τί καί τοιοῦτον πλημμελούμενον παραθεωρῶσι καί καταδέχωνται; Εὑρήσεις δέ κἄν τῇ πόλει καί τοῖς ἔξω, πολλούς τό ὕειον αἷμα ἐσθίοντας. Καί μαρτυρεῖ τά ἐν ταῖς προβολαῖς τῶν καπήλων (ALL. καπηλίων) προτιθέμενα κωλέντερα μεστά ὄντα χοιρείου αἵματος.

ιζ΄. Καί ἴδε, τιμιώτατε δέσποτα, ὅπως τά πολλά τῶν παρά τοῖς ἡμετέροις πεπλημμελημένων περιφρονοῦντες, ἤ καί παραθεωροῦντες, ἐμμελέστερον σπερμολογοῦμεν καί πολυπραγμονοῦμεν τά ἀλλότρια. Εἶπω δέ καί τοῦτο; Ἀλλά καί μή παροξυνθῇς. Ἐν τῇ εὐαγεστάτῃ μονῇ τῶν Στουδίου, ζώννυνται οἱ διάκονοι, πρᾶγμα ποιοῦντες ἐκκλησιαστικῇ παραδόσει ἀνακόλουθον. Καί ὅρα ὅπως πολλά κοπιάσας, καί σπουδάσας τήν τοιαύτην οὐκ ἠδυνήθης ἐκκόψαι μονολόγιστον συνήθειαν. Καί εἰ τῶν ὑφ' ἡμᾶς τελούντων περιγενέσθαι οὐ δυνάμεθα, πῶς τό σοβαρόν ἐκεῖνο καί ὑψαύχενον ἔθνος, τῶν ἰδίων ἐθίμων ἐκστῆσαι δυνησόμεθα; Ἀγαπητόν γάρ, ὡς εἴρηται, εἰ τό θεῖον παρ' αὐτοῖς ὀρθοτομεῖται, καί κατά τόν τῆς ἀληθείας λόγον ὁμοφρόνως ὑμνεῖται (AL. ὑμνολογεῖται) καί δοξάζεται.

ιη΄. Περί γάρ τῆς ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκης, καί τοῦ μή κοινωνεῖν αὐτούς τῶν ἁγιασμάτων ἀπό γεγαμηκότος (AL. ἀπό χειρός) ἱερέως, καλῶς καί θεοφιλῶς ἡ ἁγιωσύνη σου ἐνίσταται· καί μή παύσαιτό ποτε περί τούτου ἐνισταμένη καί πείθουσα, ἀπό τε τῶν ἁγίων Γραφῶν καί τῶν ἀναγεγραμμένων (AL. ἄνω γεγραμμένων) εὐαγγελικῶν κηρυγμάτων, μέχρις ἄν αὐτούς ἕξεις συντιθεμένους τῇ ἀληθείᾳ κατά αὐτά καί ἡμῖν (AL. καί τά αὐτά ἡμῖν – AL. καί τά αὐτά καί) περί τῆς ἐκ τοῦ Πατρός θείας ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος δοξάζοντας. Τά δ' ἄλλα περιφρονητέα μοι εἶναι δοκεῖ, τοῦ τῆς ἀληθείας λόγου μηδέν ἐξ αὐτῶν καταβλαπτομένου. Ὧν ἴσως καί τά πλείω τυγχάνει ψευδῆ. Οὐ γάρ προχείρως ὀφείλομεν ταῖς ματαίαις πείθεσθαι διαβολαῖς, οὐδέ ταῖς

σταυροῦ ἀναγινώσκεσθαι. Εὑρήσεις γάρ τόν εἰρημένον Ἀγάθωνα εὐκλεῶς ὑπό τῆς ἁγίας ταύτης συνόδου ἀνακηρυττόμενον.

ε΄. Ἐπί δέ τούτοις κἀγώ μάρτυς ἀπαράγραπτος, καί ἄλλοι σύν ἐμοί τῶν τῆς Ἐκκλησίας ἐλλογίμων πολλοί, ὅτι ἐπί τῷ μακαρίτῃ πατριάρχῃ Ἀντιοχείας κυρῷ Ἰωάννῃ, ὁ πάπας τῆς Ῥώμης Ἰωάννης καί αὐτός ἀκούων, ἐν τοῖς ἱεροῖς διπτύχοις ἀνεφέρετο. Καί ἐν Κωνσταντινουπόλει δέ πρό χρόνων τεσσαράκοντα καί πέντε εἰσελθών εὗρον ἐπί τοῦ μακαρίτου πατριάρχου κυροῦ Σεργίου τόν δηλωθέντα πάπαν ἐν τῇ θείᾳ μυσταγωγίᾳ μετά τῶν ἄλλων πατριαρχῶν ἀναφερόμενον. Ὅπως δέ ὕστερον ἡ αὐτοῦ ἐξεκόπη ἀναφορά, καί δι' ἥν αἰτίαν, ἀγνοῶ. Ἀλλά περί μέν τούτων οὕτως ἔχων, πλεῖον οὐδέν σε βούλομαι περί τῆς τοῦ πάπα ἀναφορᾶς προσεξεργάσασθαι.

ς΄. Ὅσα δέ σοι καί ἀπηρίθμηται Ῥωμαϊκά ἐλαττώματα μετήλθομεν. Καί τά μέν τούτων ἐδόκει ἀπευκταῖα καί φευκτά, τά δέ ἰάσιμα, τά δέ παροράσεως ἄξια. Τί γάρ πρός ἡμᾶς τό ξυρᾶσθαι τούς ἀρχιερεῖς τούς πώγωνας, καί δακτυλοφορεῖν αὐτούς εἰς σύμβολον ὡς ἔγραψας τῆς παρά τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας νυμφεύσεως; Καί ἡμεῖς γάρ, Γαράραν ἐπί τῆς κεφαλῆς ποιοῦμεν εἰς τιμήν πάντως τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου, ἐφ' ὅν (AL. ἐφ' ᾧ) ἡ τοῦ Θεοῦ μεγάλη Ἐκκλησία ἐπῳκοδόμηται. Ὅ γάρ εἰς ὕβριν τοῦ ἁγίου, οἱ δυσσεβεῖς ἐφεύρησαν, τοῦτο ἡμεῖς εὐσεβοῦντες, εἰς δόξαν αὐτοῦ καί τιμήν πεποιήμεθα· Ῥωμαῖοι μέν ξυρῶντες τούς πώγωνας· ἡμεῖς δέ ἐπί κορυφῆς τήν παπαλήθραν ἐπιτηδεύοντες. Χρυσοφοροῦμεν δέ καί αὐτοί, ἐγχείρια καί ἐπιμάνικα καί ἐπιτραχήλια περιβεβλημένοι χρυσόπαστα.

ζ΄. Καί τό μιαροφαγεῖν δέ αὐτούς, καί τούς μοναχούς κρεοφαγεῖν τό στέαρ τό χοίρειον, εὑρήσεις καί ταῦτα πολυπραγμονῶν, παρά τισι τῶν ἡμετέρων γινόμενα. Βιθυνοί γάρ καί Θρᾷκες καί Λυδοί, γαγύλας καί κολοιούς καί τρυγόνας καί χερσαίους ἐχίνους ἐσθίουσιν· ὧν τήν χρῆσιν οἱ Πατέρες ἀδιάφορον εἴασαν. Οὐδέν γάρ κτίσμα Θεοῦ ἀπόβλητον, μετ' εὐχαριστίας λαμβανόμενον. Καί πείθει με τοῦτο τό σκεῦος τῆς ἐξ οὐρανοῦ κατενεχθείσης ὀθόνης, ἐν ᾧ ὑπῆρχε πάντα τά τετράποδα τῆς γῆς καί τά θηρία καί τά ἑρπετά, καί τά πετεινά τοῦ οὐρανοῦ· καί Πέτρος θεόθεν ἀκούσας· Ἀναστάς, Πέτρε, θῦσον καί φάγε· καί εἰπών, Μηδαμῶς, ὦ Κύριε, ὅτι οὐδέποτε πᾶν κοινόν ἢ ἀκάθαρτον διῆλθε διά τοῦ στόματός μου· καί πάλιν ἀκούσας, Ἃ ὁ Θεός ἐκαθάρισε, σύ μή κοίνου.

η΄. Καιρός δέ καί τό τοῦ ἁγίου Βασιλείου ἐρεῖν. Φησί γάρ· Καί (ALL. ὡς AL. ὡς καί) ἐν λαχάνοις τό βλαβερόν τοῦ καταλλήλου χωρίζομεν, οὕτως καί ἐν τοῖς κρέασι τοῦ χρησίμου τό βλαβερόν διακρίνομεν· ἐπεί λάχανόν ἐστι καί τό κώνειον, ὥσπερ κρέας ἐστί καί τό γύπειον, ἀλλ' ὅμως οὔτε ὑοσκύαμον (ALL. INSER. κώνειον) φάγοι ἄν τις νοῦν ἔχων, ἢ (ALL. οὔτε) ὦτα (γρ. ὀστᾶ) κυνός ἅψαιτο, μή μεγάλης ἀνάγκης κατεπειγούσης· ὡς ὅ γε φαγών οὐκ ἠνόμησε. Καί τό τοῖς ὀσπρίοις δέ καί λαχάνοις στέαρ χοίρειον ἐμβάλλεσθαι, τοῦτο παρά τῶν ἁγίων Πατέρων ἀνεκρίθη (ALL. ἐνεκρίθη) καί συνεχωρήθη· καί μᾶλλον παρ' οἷς χρηστόν οὐκ εὑρίσκεται ἔλαιον.

θ΄. Καί ἄκουσον τί φησιν ἐν τοῖς Ἀσκητικοῖς αὐτοῦ ὁ μέγας Βασίλειος· Βρωμάτων μέντοι διαφοράς οὐδαμῶς ἐπιζητεῖν ὀφείλει ὁ ἀσκητής, καί προσποιήσει δῆθεν ἐγκρατείας ἐξαλλαγάς ἐδεσμάτων ἐπινοεῖν. Τοῦτο γάρ ἀνατροπή τῆς κοινῆς εὐταξίας ἐστί, καί σκανδάλων ὑπόθεσις· καί τοῦ οὐαί κληρονόμος γίνεται ὁ ἐν συστήματι ἀσκητικῷ τοιαύτας (ALL. τοιαύτης) αἰτίας ταραχῆς ἐνδιδούς. Ἀλλά κἄν τό προσέψημα τοῦτο τό ταριχευτόν τό παρά τῶν ἁγίων Πατέρων ἐγκριθέν ἀντ' ἄλλου τινός ἀρτύματος, ἐλάχιστον τοῖς βρώμασιν ἐμβάλλεσθαι (ALL. ἐπιβάλληται) συμπεπλεγμένον τῷ λοιπῷ ἐδέσματι τοῦ ὕδατος, ἤ τῶν λαχάνων ὑπάρχει (ALL. ὑπάρχῃ) μή προφάσει δῆθεν κενοδόξου ἐθελοευλαβείας, ὡς κρέα παραιτούμενος, ἐπιζητείτω τῶν ἐδεσμάτων τά τιμιώτερα καί χρηστότερα· ἀλλά τῷ ἀποζέματι τοῦ ἐλαχίστου τεμάχους τόν ψωμόν ἀπαρατηρήτως ἀποβρέχων, προσφερέσθω μετά πάσης εὐχαριστίας. Τό γάρ ἐλάχιστον ἐκεῖνο τμῆμα, εἰς τοσοῦτον πλῆθος ὕδατος, καί σπερματώδους εἰ τύχοι βρώματος ἐμβληθέν οὐ τρυφῆς ἐστι κατηγόρημα, ἀλλ' ἀκριβεστάτη τῶν ἀσκητῶν καί ἀταλαίπωρος (BAS. ALL. EL. AL. COD. ταλαίπωρος) ὄντως ἐγκράτεια. Χρή τοίνυν τά τοιαῦτα μή παρατηρεῖν τόν τῆς ὁσιότητος ἀσκητήν. Οὐ γάρ ἰουδαΐζοντες ἀπεχόμεθα τῶν τοιούτων, ἀλλά τρυφῆς (ALL. τρυφήν τῆς πλησμονῆς) πλησμονήν φεύγοντες. Καί ταῦτα μέν τά ῥητά τοῦ ἁγίου Βασιλείου.

ι΄. Ὁ δέ ἅγιος Παχώμιος χοίρους ἐν τῇ κατ' αὐτόν ἁγίᾳ μονῇ ἐκ τῶν ψιχίων καί τῶν περισσευμάτων τῆς τραπέζης ἐσίτευε· καί σφαττομένων αὐτῶν, τοῖς μέν ἄλλοις ἐξεναγώγει κρέασι τούς ἐπιξενουμένους ὑποδεχόμενος· τά ἐντόσθια δέ καί τά ἄκρα τῶν ποδῶν καί τάς κοιλίας (ALL. τῆς κεφαλῆς), τοῖς ἑξατονοῦσι γέρουσι τῶν μοναζόντων παρέβαλλεν. Οἷον δέ ὄψον ἡδύ, τιμιώτατε δέσποτα, ῥύγχος χοίρειον καί ὦτα καί ἄκρα ποδῶν· ἀλλά καί φακῇ καί κύαμος ἐν στέατι χοιρείῳ ἐψόμενα· ἅ εἰ μή καί χρηστοῦ εὐπόρησεν ἐλαίου, ἵνα τί καί πνευματικῶς εἰς τήν χάριν μικρόν διαχεθέν (ALL. διαχεθῶ AL. διαδεχέσθω), πολλοῖς ὡς οἶδε Κύριος ἀθυμίας βέλεσι καθ' ἑκάστην περιπειρόμενος, βρώμασιν (ALL. βρῶσιν ἄν) ἐποιούμην ἑκάστοτε;

ια΄. Κακόν δέ, καί κακῶν κάκιστον, ἡ ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκη, τό, Καί εἰς τό Πνεῦμα τό ἅγιον, τό Κύριον καί ζωοποιόν, τό ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορευόμενον. Εἰ γάρ τά παρ' ἡμῖν Εὐαγγέλια τά αὐτά καί παρ' ὑμᾶς (ALL. παρά Ῥωμαίοις), πόθεν ἐκεῖνοι πλεῖόν τι (ALL. πλέον, ἤ τί AL. πλέον ἡμῶν τι) μαθόντες τήν τοιαύτην ἀλλόκοτον προσθήκην ἐποιήσαντο; τοῦ κατά Ἰωάννην ἁγίου Εὐαγγελίου μᾶλλον ἀριδηλότερον ἡμᾶς περί τοῦ ἁγίου Πνεύματος ἐκδιδάσκοντος, ἐν οἷς καί διαλαμβάνει· Ἐάν ἀγαπᾶτέ με, τάς ἐντολάς τάς ἐμάς τηρήσατε. Καί ἐγώ ἐρωτήσω τόν Πατέρα καί ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τόν αἰῶνα, τό Πνεῦμα τῆς ἀληθείας, ὅ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδέ γινώσκει αὐτό· ὑμεῖς δέ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καί ἐν ὑμῖν ἐστι. Καί μετ' ὀλίγα· Ὁ δέ Παράκλητος, τό Πνεῦμα τό ἅγιον, ὅ πέμψει ὁ Πατήρ ἐν ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καί ὑπομνήσει ὑμᾶς πάντα ἅ εἶπον ὑμῖν· καί πάλιν· Ὅταν δέ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγώ πέμψω ὑμῖν παρά τοῦ Πα-

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ
ΜΙΧΑΗΛ ΚΗΡΟΥΛΑΡΙΟΥ

Πατριάρχου Κωνσταντινουπόλεως

Πρός ΠΕΤΡΟΝ
Πατριάρχην ΑΝΤΙΟΧΕΙΑΣ

Μιχαήλ, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης καί οἰκουμενικοῦ Πατριάρχου, τοῦ Κηρουλαρίου, πρός τόν Ἀντιοχείας Πατριάρχην Πέτρον.

Οὐ παύεταί ποτε τῶν καθ' ἡμῶν ἐπιβουλῶν καί τῶν κατά τοῦ ἀνθρωπίνου γένους ὁ πονηρός μηχανημάτων, Μακαριώτατε, ἄλλοτε ἄλλας ἐπεγείρων τῷ βίῳ τάς συμφοράς καί μυρία καθ' ἑκάστην τά κατά τῶν ἀνθρώπων ἀνακινῶν ἐφευρέματα, κατασείειν τούτοις πάντως ἡμᾶς καί καταβάλλειν ἐκμηχανώμενος. Καί ἄλλοτε μέν ἄλλας, μυρίας δέ πάντως καί κατά διαφόρους καιρούς τάς τρικυμίας τῷ βίῳ ἐπήγειρε· νῦν δέ, ὅτε καί τά τῶν αἱρέσεων ἐκποδών γεγόνασι σκάνδαλα καί αἱ τῆς Ὀρθοδοξίας πηγαί ἀφθόνως καί δαψιλῶς εἰς τά τῆς οἰκουμένης διαρρέουσι πέρατα, ἄνδρας τινάς ἀποτροπαίους καί δυσσεβεῖς (καί τί γάρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;) ἀπό τῆς ἑσπερίου μοίρας εἰς τήν μεγαλόπολιν ταύτην συνήλασεν, αἰτίαν μέν τῆς αὐτῶν ἀφίξεως σκηψαμένους τό παρά τοῦ Πάπα ἀποσταλῆναι, ἀλλά ταῖς τοῦ Ἀργυροῦ δολεραῖς ὑποθήκαις καί συμβουλαῖς εἵς τε τήν βασιλίδα πόλιν ἀφικομένους, καί μεγάλων σκανδάλων ἀφορμάς κατά τε ἄλλων καί κατά τῆς εὐσεβείας αὐτῆς δοῦναι σπουδάσαντας. Τούς μέν ἄλλους δόλους καί τάς δυστρόπους καί περιέργους αὐτῶν μηχανάς, καί ὡς ἄ ἐπεφέροντο πρός τε ἡμᾶς καί πρός τόν κραταιόν καί ἅγιον ἡμῶν αὐτοκράτορα γράμματα πεπλαστευμένα ἐτύγχανον, τῆς τῶν σφραγίδων ἐπιβουλῆς καί παραποιήσεως διαρρήδην ἐπελεγξάσης τήν πλάστευσιν, τί ἄν καί διηγοίμην; Ὅ δέ τῇ μέν τάξει τελευταῖον, τῷ δέ μεγέθει τῆς κακίας καί πονηρίας πρωτεῦόν ἐστι, τοῦτο διά γραφῆς παραστήσω τῇ σῇ τελειότητι.

Ὡς γάρ καί τήν ἄφιξιν δολεράν ποιησάμενοι καί τά γράμματα πλαστευσάμενοι ἐφωράθησαν, καί ἄλλους δέ λόγους ὑπεροψίας καί θράσους μεστούς κατά τῆς ὀρθοδόξου πίστεως ὑπηγορεύοντο· παρ' ἡμῖν μέν διεφθάρθαι τό ὀρθόδοξον, καί τά τε ἄλλα, καί ὅτι ἐκ τοῦ Πατρός μόνου, ἀλλά μή καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον ἐκπορεύεσθαι λέγομεν, παρ' ἑαυτοῖς δέ ὑγιές εἶναι διατεινόμενοι τοῦτο καί ἀπαράθραυστον. Ἐκόμπαζον δέ καί ὡς ἐπί διορθώσει τῶν ἡμετέρων, οὐκ ἐπί διαστροφῇ τῶν οἰκείων ἀφίκοντο. Ἡμεῖς μέν τήν αὐτῶν συντυχίαν παρητησάμεθα καί τήν ἔντευξιν, διά τε τό ἀμεταθέτως ἔχειν αὐτούς τῆς δυσσεβείας πεπεῖσθαι, καί ὅτι ἄνευ τῆς σῆς Μακαριότητος καί τῶν ἄλλων ἁγιωτάτων Πατριαρχῶν περί τοιούτων λόγους πρός τούς τοποτηρητάς τῆς Ῥώμης ἀνακινεῖν καί ἀνάξιον ὅλως καί τῇ κατά τούς ἄνω χρόνους ἐν τοῖς τοιούτοις κρατησάσῃ συνηθείᾳ ἐναντίον καί ἀκατάλληλον ἐνομίζομεν. Ἐκεῖνοι δέ καί μεῖζόν τι τῶν προτέρων βουληθέντες νεανιεύσασθαι, καί τοῖς ὑστέροις ὑπερβαλέσθαι τά πρῶτα θελήσαντες, γραφήν καθ' ἡμῶν ἐν τῇ τῆς μεγάλης τοῦ Θεοῦ ἐκκλησίας μυστικῇ τραπέζῃ ἀπέθεντο, ἄλλα τέ τινα τῆς αὐτῶν δυσσεβείας διεξιοῦσαν ληρήματα, τελευταῖον δέ καί πᾶσαν τήν τῶν Ὀρθοδόξων Ἐκκλησίαν, ὡς μήτε τούς πώγωνας παραπλησίως τῶν ἐν αὐτῇ τοῖς Λατίνοις βουλομένων ξυρᾶν, μήτε μήν διακρινομένων μεταλαμβάνειν προσφορᾶς ἀπό πρεσβυτέρων γεγαμηκότων, ἀλλά καί ἔνζυμον ἄρτον προσφερόντων, καί ὡς ἐν τῷ Συμβόλῳ τῆς ἡμετέρας πίστεως μή ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ, ἀλλ' ἐκ μόνου τοῦ Πατρός ἐκπορεύεσθαι λεγόντων τό Πνεῦμα τό ἅγιον, ὑποβάλλουσαν ἀναθέματι.

Τό μέν οὖν ἄμεινον ἦν κατακαυθῆναι τήν ἀσεβῆ ταύτην γραφήν καί μηδ' εἰς ὄψιν ἡμῶν ὅλως ἐλθεῖν. Ὡς δέ τότε οὐ γέγονε, διά τό καί φανερῶς καί ἐπ' ὄψει ἄλλων τινῶν καί τῶν ἑβδομαρίων πάντων ὑποδιακόνων ἀποτεθῆναι αὐτήν· ἀλλά μήν τούς οὕτω καθ' ἡμῶν, μᾶλλον δέ κατά τῶν Ὀρθοδόξων πάντων, ἐν τῇ μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ βλασφημήσαντας ἀμύνεσθαι, ἀπεικός ἐνομίσαμεν, ὡς ἄν μή σκανδάλων τοῖς ἐν Ῥώμῃ δοίημεν ἀφορμήν. Πρός γάρ τοῖς ἄλλοις καί ὁ πρωτεύειν ἐν τῇ τοποτηρήσει δοκῶν, καγκελλάριον τῆς ἐν Ῥώμῃ Ἐκκλησίας καί ἀνεψιόν τοῦ ῥηγός καί τοῦ πάπα ἑαυτόν ἀπεκάλει. Τέως δέ τῷ αὐτῷ δικαίῳ αὐτήν τε τήν καθ' ἡμῶν βλασφημίαν καί τούς τήν ἀσεβῆ κατά τῶν Ὀρθοδόξων ἐκθεμένους γραφήν, προστάξει βασιλικῇ, ἐν τῷ μεγάλῳ σεκρέτῳ ὑπεβάλομεν ἀναθέματι, πολλά μέν μετά τήν τῆς γραφῆς ταύτης ὑπόθεσιν, περί τοῦ εἰς ὄψιν ἡμῖν ἐλθεῖν, καί τοῖς τε ἄλλοις τῶν ἐν αὐτῇ καί τῇ διαστροφῇ, τοῦ ἁγίου Συμβόλου ἀποτάξασθαι παραινέσαντες. Ὡς δέ οὐκ ἠνείχοντο, ἀλλά καί διαχειρίσασθαι ἑαυτούς εἰ μή παύσονται περί τούτου ὀχλούμενοι διηπείλουν, εἰς τό κατά τῆς αὐτῶν βλασφημίας συνείδομεν χωρῆσαι ἀνάθεμα.

Καί ταῦτα μέν ἅπερ καθ' ἡμῶν ὁ πονηρός ἐσκαιώρησεν. Ἀνακοινοῦμεν οὖν τούς περί τούτου καί τῇ σῇ τελειότητι, πρῶτον μέν ὡς τῆς αὐτῆς ὕβρεως ἡμῖν κοινωνῶν· σήν γάρ τήν ἡμετέραν τίθεσθαί σε πειθόμεθα· δεύτερον δέ ὡς τοῦ ὀρθοῦ λόγου, οὗ πρόβολος στερρός καί πρόμαχος ἀκαταμάχητος εἶ σύ, παροινηθέντος παρά τῶν δυσσεβῶν καί βλασφημηθέντος οὐχ ἥκιστα· ἔπειτα δέ ὡς ἄν τῶν προβάντων ἐσχηκώς εἴδησιν καί κατάληψιν ἀκριβῆ, εἴ ποτέ σοι περί τούτων ἀπό Ῥώμης ἀφίκοντο γράμματα, ἐσκεμμένως καί τῆς σῆς μεγαλεπηβόλου καί θειοτάτης διανοίας ἀξίαν τήν ἀπόκρισιν δῶς. Τά δέ πρός τούς μακαριωτάτους Πατριάρχας ταυτί γράμματα, ἰσοδυναμοῦντα κατά πάντα τῷ πρός τήν σήν ἁγιωσύνην ἀπεσταλμένῳ, μή εὑρόντες τινά τῶν εὐλαβῶν καί πιστῶν, δι' οὗ ταῦτα τοῖς πρός οὕς ἐγράφησαν πέμψαι, τῇ σῇ πεπόμφαμεν τελειότητι, ὡς ἄν διαπορθμεύσῃς αὐτοῖς ταῦτα διά τινος εὐλαβοῦς τῶν πρός τούς τόπους ἐκείνους ἀφικνουμένων, πρός οὕς ἀπεστάλησαν. Πρός δέ καί δι' οἰκείας γραφῆς παραινέσεις καί παραθήξεις αὐτούς ζῆλον ἔνθεον ἀναλαβεῖν περί τοῦ ὀρθοῦ δόγματος καί τῆς ἀμωμήτου καί εἰλικρινοῦς ἡμῶν πίστεως, καί ἴσως εἴ γε περί τῶν ἐν Ῥώμῃ πεπραγμένων ἐρωτηθεῖεν, ἁρμόζουσαν πρός αὐτούς καί λεγομένην, ὡς δεδήλωται, ποιήσασθαι τήν ἀπόκρισιν. Περί δέ τοῦ πρός τόν ἁγιώτατον Πατριάρχην Ἀλεξανδρείας ἡμετέρου γράμματος καί τῷ ἁγιωτάτῳ Πατριάρχῃ Ἱεροσολύμων ἐγράψαμεν, ὡς ἄν,

ἡμετέραις πάλιν ὑπονοίας πιστεύειν, καί τά καθεστῶτα καί καλῶς ἔχοντα κινεῖν.

ιθ΄. Κἀντεῦθεν καί λίαν ἐπάναγκες, ἁγιώτατε δέσποτα, πάπα προχειριζομένου, πάντα ταῦτα τήν σήν ἱεροπρεπῆ τελειότητα διά τιμίας γραφῆς πρός αὐτόν ἀνατάξασθαι· οὕτως ἐν πᾶσι συνεργοῦντός σοι Κυρίου, καί τήν εἰς τοῦτο χάριν τῇ σῇ παρεχομένου ἁγιότητι. Ἴσως γάρ, καθώς λέγει ὁ Ἀπόστολος, ἡμῶν ἐν ἡμερότητι συναγόντων τούς τά διάφορα φρονοῦντας, δώσει αὐτοῖς μετάνοιαν ὁ Θεός, πρός τό ἐπιγνῶναι τήν ἀλήθειαν, καί παύσονται τῆς πολλῆς αὐτῶν φιλονείκου ἐνστάσεως, αἰχμαλωτισθέντων αὐτῶν εἰς τό αὐτοῦ θέλημα. Τάχα δέ καί ὁ πάπας ἀπολογήσεται, μή εἶναι ἀληθῆ τά περί Ῥωμαίων φημιζόμενα· ἤ καί πολλάκις παρ' ἐνίων πραττόμενα, μή κατ' ἐκείνου γνώμην καί σύνεσιν ταῦτα γίνεσθαι.

κ΄. Τίς δέ καί τοῦτο εὐπαράδεκτον ἡγήσεται, ὅτι Ῥωμαῖοι τάς ἁγίας καί σεπτάς εἰκόνας οὐ προσκυνοῦσιν, οὐδέ τιμῶσι τά τῶν ἁγίων λείψανα· καί ταῦτα κειμένων παρ' αὐτοῖς τῶν λειψάνων τῶν ἁγίων καί κορυφαίων, Πέτρου καί Παύλου, οἷς πλέον ἐγκαυχώμενοι φαίνονται καί μεγαλοφρόνως ἐναβρυνόμενοι, ἤ πᾶσι τοῖς ἄλλοις Ῥωμαϊκοῖς διηγήμασι καί κατορθώμασιν, ὧν πᾶσα πλήρης συγγραφή καί ποίησις; Τοῦ πάπα δέ Ῥώμης Ἀδριανοῦ, τῆς ἑβδόμης ἡγησαμένου συνόδου μετά τῶν ἄλλων ἁγιωτάτων πατριαρχῶν, καί τήν ἐπείσακτον καινοτομίαν τῶν Χριστιανοκατηγόρων Εἰκονομάχων αἱρετικῶν ἀναθεματίσαντος, πῶς μή τιμᾶσθαι παρά Ῥωμαίοις τάς ἁγίας καί σεπτάς εἰκόνας δώσει τις; καί μάλιστα πολλῶν ἐκ Ῥώμης εἰς Κωνσταντινούπολιν μετακομισθεισῶν ἁγίων εἰκόνων, πολύ τό ἔκκριτον καί τό ἀκριβές ἐχουσῶν, ὧν εἰσιν εἰκόνες τῆς πρωτοτύπου ἁγιότητος (AL. ὁμοιότητος). Ὅπου γε καί ἐνταῦθα παρεπιδημοῦντας ὁρῶμεν Φράγγους, καί ἐν τοῖς (AL. λυτοῖς) καθ' ἡμᾶς πανσέπτοις ναοῖς εἰσερχομένους, καί πᾶσαν τιμήν καί προσκύνησιν ταῖς ἁγίαις εἰκόσιν ἀπονέμοντας.

κα΄. Καί παρακαλῶ, καί ἱκετεύω, καί δέομαι, καί νοερῶς τῶν σῶν ἁγίων ἐφάπτομαι ποδῶν, ἵνα τοῦ ἄγαν ἀκριβοῦς ἡ θεοειδής ἐνδοῦσα μακαριότης σου, συνέλθῃ τοῖς πράγμασι. Δέος γάρ μήποτε ῥάψαι τό διερρωγός βουλομένη, χεῖρον (AL. μεῖζον) τό σχίσμα ποιήσῃ· καί τό καταπεπτωκός ἀνορθῶσαι σπουδάζουσα, μείζονα τήν πτῶσιν ἐργάσηται. Σκόπησον δέ εἰ μή φανερῶς ἐντεῦθεν, ἤγουν ἐκ τῆς μακρᾶς ταύτης διαστάσεως καί διχονοίας τοῦ (AL. καί τοῦ) τῆς καθ' ἡμᾶς ἁγίας Ἐκκλησίας τόν μέγαν τοῦτον καί (AL. καί πρῶτον) ἀποστολικόν θρόνον ἀπορῥαγῆναι, συνέβη πᾶσαν ἐν τῷ βίῳ κακίαν πληθυνθῆναι, καί σύμπαντα κόσμον ἔχειν κακῶς· καί ὅπως αἱ βασιλεῖαι πάσης (AL. πᾶσαι) τῆς γῆς τεταραγμέναι εἰσί, καί πανταχοῦ (AL. πανταχόθεν) θρῆνος, καί οὐαί πολύ, καί λιμοί, καί λοιμοί, καί συνεχεῖς κατά χώραν καί πόλιν· καί οὐδαμῆ οὐδαμῶς ὡς ἐπί πάντα (AL. ἐπίπαν) τά ἡμέτερα εὐοδοῦνται στρατόπεδα;

κβ΄. Ὡς ἔγωγε τήν ἐμήν γνώμην φανερῶ (φανερώσω)· εἰ τήν ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκην διορθώσαιντο, οὐδέν ἄν ἕτερον ἐπεζήτουν· ἀδιάφορον καταλιπών σύν τοῖς ἄλλοις καί τό περί τῶν ἀζύμων ζήτημα· εἰ καί φανερῶς ἔδειξα δι' ὧν πρός τόν ἐπίσκοπον Βενετίας ἀπέστειλα, πρό τοῦ Πάσχα γενέσθαι τό δεῖπνον, ἐν ᾧ ὁ Σωτήρ καί Κύριος ἡμῶν Ἰησοῦς Χριστός τό τῆς θείας μυσταγωγίας τοῖς μαθηταῖς παρέδωκε μυστήριον· καθ' ὅν καιρόν οὐκ ἦν νόμιμον ἄζυμον ἐσθίεσθαι. Ὅ δή καί τήν σήν θεοειδῆ μακαριότητα συναινῶ καταδέξασθαι, ἵνα μή, τό πᾶν ἐκζητήσαντες, τό πᾶν ἀπολέσωμεν. Διό χρή (AL. ἀπόχρη) ταῦτα τήν ἡμετέραν παραστῆσαι γνώμην, περί ὧν ἐδήλωσας, καί τήν σήν πρός οἶκτον ἁγίαν κινῆσαι ψυχήν· εἰ καί μᾶλλον ὁ λόγος ἅττει πρός ἄλλων πλειόνων θεωρημάτων καί κρυφιωτέρων (AL. κρυφιωδεστέρων) ὑποθέσεων ἀνάπτυξίν τε καί ἐξήγησιν.

κγ΄. Ἀνέγνων δέ καί τά ἴσα τῶν γραμμάτων, ὧν πρός τόν μακαριώτατον πάπαν ἀπέστειλας, καί τά ἐκείνου πάλιν ἀντίγραφα, εἰ μή παρά τοῦ Ἀργυροῦ (AL. INSER. ὡς ἐδήλωσας) ταῦτα πέπλασται καί παραπεποίηται· καί τῆς πολλῆς σε κατά Θεόν ἐμακάρισα ταπεινοφροσύνης καί πραότητος (AL. μετριότητος). Πλήν ἀνατετάχθαι (AL. ἐντετάχθαι) τούτοις ἔδει, ἐπεί περί ἑνώσεως καί ὁμονοίας ἀνατέτακτο, καί τά τῆς διαστάσεως αἴτια· ἵνα, τούτων διαφωτιζομένων, ἐντελῆ δόξῃ τά γράμματα. Διεπορθμεύθησαν δέ καί τά πρός τούς ἱερεῖς καί θεοφόρους ἀδελφούς καί συλλειτουργούς ἡμῶν, τόν τε Ἀλεξανδρείας, καί τόν Ἱεροσολυμίτην ἐκπεμφθέντα ἱερά γράμματα τῆς ἁγιωσύνης σου. Οὐ διαλαμβάνει δέ τά πρός τόν Βενετίας ἐμά ἀντίγραφα δηλωθῆναί μοι γράμματα παρ' αὐτοῦ (AL. INSED. παρ' ἐκείνου) πεμφθῆναι πρός τήν σήν μακαριότητα, καθώς καί τοῦτο τῇ γραφῇ σου προσέκειτο. Καί διά τοῦτο δωρεάν μοι φαίνῃ λυπούμενος κατά τοῦ ἀνδρός, μηδέν τοιοῦτον γράψαντος.

κδ΄. Ἀπέστειλα καί τό ἴσον τῆς πρός ἐμέ σταλείσης ἀντιγραφῆς τοῦ μακαρίτου πάπα, Ῥωμαϊκοῖς ἐνσεσημασμένον γράμμασιν. Οὐ γάρ ἠδυνήθημέν τινα εὑρεῖν δυνάμενον πρός ἀκρίβειαν εἰς τήν Ἑλλάδα ταύτην μεταμεῖψαι φωνήν. Καί διά ταῦτα τόν ταύτην διακομίσαντα Φράγγον, ἔμπειρον ὄντα γραμμάτων Ῥωμαϊκῶν, ἔπεισα ταύτην μεταγράψαι. Σόν οὖν ἐστι τοῦ λοιποῦ ταύτην ἀσφαλῶς διερμηνεῦσαι καί γνωσθῆναι τέλεον ἐξ αὐτῆς ἅ καί πρός ἡμᾶς ὁ δηλωθείς πάπας, ἡμετέραν συστατικήν δεξάμενος γραφήν, ἀντέγραψεν.

κε΄. Ἀλλ' εἴη μέν ταῦτα ἐν τούτοις. Ὁ δέ Θεός τῆς εἰρήνης· καλόν γάρ ἐκ τῆς γραφῆς ἀποδοθῆναι τόν τῆς ἐμῆς ἐπίλογον γραφῆς· ὁ εὐαγγελισάμενος εἰρήνην τοῖς ἐγγύς καί τοῖς μακράν τοῖς τε ὑπό νόμον καί τοῖς ἔξω νόμου, ὁ τῆς ἀγάπης Πατήρ, ἡ ἀγάπη· ταῦτα γάρ πρό τῶν ἄλλων χαίρει καλούμενος, ἵνα νομοθετήσῃ κἄν τοῖς ὀνόμασι τό φιλάδελφον· παρακαλῶν παρακαλέσαι τήν σήν ἡγιασμένην ψυχήν, καί πεῖσαι μετριώτερόν τε καί συγκαταβατικώτερον συνελθεῖν σε τοῖς πράγμασι, καί μᾶλλον οὗ μή ἐστι Θεός, ὡς ἔφθην εἰπών, τό περιφρονούμενον.



Ἅγ. Γρηγόριος ὁ Παλαμᾶς. Σύγχρονον ἔργον.

εἴπερ αὐτός δυσχερῶς τυχεῖν σχοίης πρός αὐτόν ἀποστεῖλαι τήν γραφήν, αὐτός ταύτην πρός τήν ἐκείνου διαβιβάσῃ μακαριότητα. Καί νῦν μέν, κατεπειγομένου τοῦ γαμβροῦ τῆς ἁγιωσύνης σου πρός τήν ἐξέλευσιν, ἐν ἐπιτόμῳ καί κατά πάροδον τά πεπραγμένα διεξήλθομεν. Μετά δέ τοῦτο πλατύτερον καί σαφέστερον, εἴ γε δεήσει, ἐπιστελοῦμεν πρός σέ περί τούτων, ἀποστείλαντες καί αὐτό τό καθ' ἡμῶν ἀποτεθέν ἔγγραφον ἐν τῇ μυστικῇ καί θείᾳ τραπέζῃ. Καί μαθήσῃ ἐκ τούτου τό διάστροφον τούτων περί τήν πίστιν, καί ὡς ἀμαθείας πάσης καί ἀγροικίας, πολλῷ δέ εἰπεῖν ἀναισθησίας καί ἀφροσύνης πεπλήρωνται.

Ὁ Κύριος ἐν ὑγείᾳ διαφυλάξαι τήν σήν τελειότητα, εὐχομένην ὑπέρ ἡμῶν».



Ἐθν. Βιβλ.Παρισίων, Κῶδ. 1242. Ὁ Ἰωάννης Καντακουζηνός, ἐν μέσῳ τῶν Συνοδικῶν Πατέρ



Μεγ. Λαύρα. Ἐπίτιτλον, (Κῶδ. Α113), 14ου αἰ.

Η ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΑΓΙΑ ΣΥΝΟΔΟΣ

Η ΓΕΝΟΜΕΝΗ ΕΝ ΕΤΕΙ 1351

ΤΟΜΟΣ ΣΥΝΟΔΙΚΟΣ

Ἐκτεθείς παρά τῆς θείας καί ἱερᾶς συνόδου τῆς συγκροτηθείσης κατά τῶν φρονούντων τά Βαρλαάμ καί Ἀκινδύνου ἐπί τῆς βασιλείας τῶν εὐσεβῶν καί ὀρθοδόξων βασιλέων ἡμῶν Καντακουζηνοῦ καί Παλαιολόγου.

Οὔτε τήν κατά τῆς Ἐκκλησίας τοῦ κοινοῦ πολεμίου μανίαν ἀγνοεῖν οὐδένα νομίζομεν, οὔτε τήν παρά τοῦ Σωτῆρος ῥοπήν, δι' ἣν μυρίων ἐπιῤῥυέντων αὐτῇ τῶν δεινῶν, οὐ τῶν βελῶν περιγίνεται μόνον, ἀλλά καί λαμπρά διαδείκνυται. Ἀπόδειξις δέ τῆς μέν ἐκείνου μανίας αἷμα Θεοῦ καί πάθος ἑκούσιον καί σταυρός, τῆς δέ παρά τοῦ Θεοῦ συμμαχίας οἱ τήν Ἐκκλησίαν διώκοντες μαρτύριον ἀκριβές· οἱ μέν εἰς εὐαγγελιστάς μετασκευασθέντες, οἱ δέ τρόπαιον τῆς τοῦ Θεοῦ δυνάμεως οὐ δι' ὧν ἀνεστάθησαν, ἀλλά δι' ὧν κατέπεσον ἀνακηρυχθέντες. Ἦν ταῦτα, καί τόν κοινόν πολέμιον οὐκ ἦν ἠρεμεῖν· ἀλλ' ὥσπερ ἑαυτοῦ καταγνούς, ὡς μή προσηκόντως βουλευσαμένου, οὐκ ἔθνει μικρῷ, ὥσπερ πάλαι τοῖς Ἰουδαίοις, τόν κατά τῆς Ἐκκλησίας πόλεμον ἐγχειρίζει, οἰκουμένην δέ ὅλην πικρῶς κατ' αὐτῆς ὁπλίζει. Στρατηγοί δέ αὐτῷ οἱ περί Διοκλητιανόν καί Μαξιμιανόν καί Δέκιον καί εἴ τις κατ' ἐκείνους, οἵ τοσοῦτον αἰσχρῶς ἀπώλοντο, ὁπόσον καί πολεμεῖν ἐγνώκεσαν. Τῶν μέν γάρ οἴχεται τό μνημόσυνον μετ' ἦχου, τῆς δέ τοῦ Θεοῦ Ἐκκλησίας ὁ φθόγγος ἐξῆλθεν εἰς πᾶσαν τήν γῆν· μαρτύριον δέ τῆς δυνάμεως αὐτῆς ἀψευδέστατον οἱ τῶν μαρτύρων νεκροί, δαίμονας πάντας ἐλαύνοντες. Οὕτως ἡ τοῦ Θεοῦ δύναμις ὑπερφυής καί διά τῶν συμφορῶν ἀναδείκνυται. Ἀλλ' ὁ πονηρός οὐδέ παθών ἔγνω, καί ταῦτα νήπιος ὤν, ἀλλ' ἑτέραν τραπόμενος προσβάλλει τῇ Ἐκκλησίᾳ· τοῦ μέν γάρ φανερῶς πολεμεῖν καί λίαν ἀπέγνω, πρός φανεράν αἰσχύνην ἀηδῶς ἔχων· τούς δέ περί Σαβέλλιον καί Ἄρειον καί τούς εἰς ἐκείνους τελοῦντας ὑποδύς, πολυθεΐαν δῆθεν ἐκ τοῦ μέσου ποιήσασθαι βουλευόμενος, πείθει τούς ἀνοήτους προφάσει τῆς εἰς τόν ἕνα τιμῆς ἥκιστα τόν ἀληθῆ νομίζειν Θεόν. Ἀλλά καί τοῦτο αὐτός κατ' αὐτοῦ βουλευσάμενος ὤφθη, τοῦ πολέμου τούτου λάφυρον τῆς τοῦ Θεοῦ Ἐκκλησίας λαβούσης τό τῆς Τριάδος ὁμότιμον.

2. Πολλούς δέ καί ἄλλους κύκλους ὁ πονηρός οὗτος κατά τῆς Ἐκκλησίας περιβαλλόμενος, καί νῦν μέν ὑποχωρῶν, νῦν δέ προσβάλλων, ποτέ μέν δόγμασιν οὐδέν ὑγιές ἔχουσι, ποτέ δέ ἡδοναῖς, αἷς ἐκεῖνος εἴωθε χαίρειν, ὧν τέλος ὁ ἀπό Θεοῦ χωρισμός, ἔσχατον τόν Βαρλαάμ ὑποδύς, ἐπιστρατεύει τῇ ἀληθείᾳ. Οὗτος δή, μοναχός ὢν καί τῆς Καλαβρίας ὁρμώμενος καί τῇ τῶν Ἑλλήνων παιδείᾳ πολύς γεγονώς καί ὅλον ἐκείνης ἑαυτόν ἐξαρτήσας, κατά τῆς ἀληθείας χωρεῖ καί τῶν ἱερῶς ἀντεχομένων αὐτῆς, καί διθεΐαν τούτων κατηγορήσας, οὐ μόνον τήν τρισυπόστατον καί πᾶσιν ἀμέθεκτον οὐσίαν τοῦ Θεοῦ ἄκτιστον εἶναι λεγόντων, ἀλλά καί τήν ἄϊδιον καί θεοποιόν καί τοῖς ἀξίοις μετεχομένην χάριν τοῦ Πνεύματος. Συνόδου θείας ἐπί τούτοις συγκροτηθείσης, ἐξηλέγχθη καί ἀπεκηρύχθη παρά τῆς τοῦ Χριστοῦ ἁγίας, καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας διά τῶν τοῖς ἁγίοις Πατράσι θεολογικῶς συγγραφέντων, τοῦ τῆς ἀληθείας λόγου προϊσταμένων τοῦ τε νῦν ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης τοῦ Παλαμᾶ καί τῶν μοναχῶν. Μετά μικρόν δέ, τῆς ἐκείνου πονηρᾶς δόξης γενόμενος ὁ Ἀκίνδυνος, μηδαμῶς τῇ τοῦ διδασκάλου καταδίκῃ σωφρονισθείς, μηδέ βελτίων γενόμενος, τῶν αὐτῶν πάλιν ἐπί τοῖς αὐτοῖς κατηγορεῖν ἐπεχείρησεν, ἔξαρνος μέν σύν δόλῳ τοῦ διδασκάλου γενόμενος καί τά δεινότατα ἐπαράμενος ἐκείνῳ, καί μηδέποτε τά αὐτά τῷ Βαρλαάμ ἤ φρονεῖν ἤ λέγειν ἰσχυριζόμενος, ἵν' ἐντεῦθεν αὐτῷ λέγειν ἐξῇ· οἷς δέ ἔλεγε, τόν κρυπτόμενον ὑποδεικνύς Βαρλαάμ καί τήν αὐτήν ἐκείνῳ πονηράν δόξαν καί φρονῶν καί λέγων καί συγγραφόμενος.

3. Ταύτῃ τοι καί συνόδου συγκροτηθείσης δευτέρας, ἧς προεκάθητο ὁ νῦν κραταιός καί ἅγιος ἡμῶν αὐτοκράτωρ, ὁ κύριος Ἰωάννης Καντακουζηνός, ἐξηλέγχθη τά αὐτά τῷ Βαρλαάμ καί φρονῶν καί λέγων καί τῶν μοναχῶν κατηγορῶν. Δι' ἅ καί τήν αὐτήν τῷ Βαρλαάμ ἐπε-



Κατουνάκια, Ἅγιον Ὄρος. Οἱ Ἁγιορεῖται Πατέρες, 19ου αἰ.

τόν Θεσσαλονίκης, ἐπειδή σκανδαλίζεσθαι ἔλεγον κατ' αὐτοῦ ἔν τισι τῶν πρός Βαρλαάμ καί 'Ακίνδυνον ἀντιρρητικῶς αὐτῷ συγγεγραμμένων.

6. Ὁ δέ Θεσσαλονίκης εἶπε. Λοιπόν, ὑμεῖς αὐτοί τά ἐκείνων φρονεῖτε. Οἱ δέ κατά μίμησιν 'Ακινδύνου, ὡς ἐκεῖνος ἔξαρνος ἐγένετο τοῦ καθηγησαμένου αὐτῷ τῆς πλάνης Βαρλαάμ, οὕτως οὗτοι τούτων ἀμφοτέρων. Ὁ δέ Θεσσαλονίκης, ἀνθυποφέρων, καί μήν, φησίν, οἱ πλείους τῶν ἀντιλέγειν προῃρημένων, ἡμῖν φανερῶς τῆς Βαρλαάμ καί 'Ακινδύνου κακοδοξίας προϊστάμενοι μέχρι καί εἰς δεῦρο ἀμεταμέλητοι διετέλεσαν, οἷς καί οἱ λοιποί συντεταγμένοι φανεροί πάντως ἐστέ πρός ἐκείνους, ὡς πρός παράδειγμα ἕνεκά γε δογμάτων ἀκριβῶς ἀφορῶντες. 'Επί τούτοις ἡ θεία σύνοδος, πρός ἥν φατέ δυσχεραίνειν, φησί, προσθήκην, ἥτις οὐδέ προσθήκη ἄν καλοῖτο δικαίως, ὡς ἀνάπτυξις οὖσα τῆς ἁγίας καί οἰκουμενικῆς ἕκτης συνόδου, οὐδέν ἕτερόν ἐστιν ἤ ἀποκήρυξις Βαρλαάμ τε καί 'Ακινδύνου· ἥν οἱ μεμφόμενοι δῆλοι πάντως τοῖς καί ὁπωσοῦν συνιεῖσίν εἰσι, τῶν τοῦ Βαρλαάμ καί 'Ακινδύνου ἀντιποιούμενοι. Οἱ δέ καί πάλιν ἠρνοῦντο μή τοῖς ἐκείνων στοιχεῖν. Ὡς δέ καί λέγειν ἤρξαντο, ἐν οἷς ἐσκανδαλίζοντο, λέξεσιν αὐταῖς ᾐτιῶντο, ἅπερ καί Βαρλαάμ καί 'Ακίνδυνος πρότερον κατά τε τοῦ Θεσσαλονίκης καί τῶν μοναχῶν διεξῄει. Τῶν δέ καί ἀπό τούτων δήλων γεγενημένων τά ἐκείνων ἀνιάτως νοσούντων, ἔδοξε τῷ θειοτάτῳ καί ἁγίῳ βασιλεῖ, συνειρηκότος καί τοῦ ἁγιωτάτου καί οἰκουμενικοῦ πατριάρχου καί πάσης τῆς ἱερᾶς συνόδου, ὡς ἄν τῆς περί τῶν προκειμένων δογμάτων ζητήσεως ἀπ' ἀρχῆς εἰς τέλος βασανισθείσης τἀληθές ἐν τούτοις διαγνωσθῇ. Τοῦτο δή καί τοῦ Θεσσαλονίκης ἐπαινέσαντος, ἐκεῖνοι παντελῶς ἀπηγόρουν. 'Αλλά καί ἀπαιτούμενοι φανεράν τήν οἰκείαν περί τῶν προκειμένων ἐκθέσθαι δόξαν, οὐδαμῶς ἤθελον, πρόφασιν σκανδάλων τά προειρημένα ποιούμενοι. Λόγων δέ κινηθέντων πολλῶν κατά τήν πρώτην ταύτην συνέλευσιν, τά μέν τῆς ἐνστάσεως ταύτης διελύθη· κεκύρωται δέ ἐγγράφως, ὡς ἄν ἐν τῇ δευτέρᾳ συνελεύσει ἄρξωνται μέν οὗτοι δή οἱ πρός τήν 'Εκκλησίαν διαφερόμενοι ὅθεν ἄν βούλωνται καί εἴπωσιν ὅσα βούλονται, εἶτα μετ' αὐτούς ὁ Θεσσαλονίκης, ἀρξάμενος ὅθεν ἄν βουληθῇ, εἴπῃ πάντα τά κατά γνώμην αὐτῷ.

7. Συγκροτηθείσης δέ καί δευτέρας συνελεύσεως, ἀπαντῶσι κἀκεῖνοι· καί ἀρξάμενοι εἶπον κατά τοῦ Θεσσαλονίκης, ὅσα ἐβούλοντο. 'Αρξαμένου δέ καί τοῦ Θεσσαλονίκης πρός ἕπος τοῖς παρ' ἐκείνων εἰρημένοις ἁπαντᾶν, τούς τε λόγους συνέχεον καί πρός φυγήν ὥρμησαν· καί πολλά βιασθέντες, οὐκ ἠνέσχοντο παραμεῖναι. Δόντες δ' ὑποσχέσεις εἰς ἑτέραν συνέλευσιν ἐνδημῆσαι πάλιν, φεύγουσι μηδενός διώκοντος πρό τοῦ νενομισμένου καιροῦ. Ὁ δέ Θεσσαλονίκης, προτραπείς παρά τε τοῦ ἐκ Θεοῦ βασιλέως ἡμῶν καί τῆς ἁγίας τοῦ Θεοῦ 'Εκκλησίας, ὡμίλησε παρρησίᾳ πλατύτερον πᾶσι περί τῶν προκειμένων εἰς ζήτησιν τῇ 'Εκκλησίᾳ δογμάτων· καί πάντες καί ἐπῄνεσαν καί συνῄνεσαν. 'Επεί δέ καί τοῦτο προσέθηκε, λέγων ὡς ἕτερόν ἐστιν ἡ ὑπέρ τῆς εὐσεβείας ἀντιλογία καί ἕτερον ἡ τῆς πίστεως ὁμολογία, καί ἐπί μέν τῆς ἀντιλογίας οὐκ ἀνάγκη περί τάς λέξεις ἀκριβολογεῖσθαι τόν ἀντιλέγοντα, ὡς καί ὁ μέγας φησί Βασίλειος, ἐπί δέ τῆς ὁμολογίας ἀκρίβεια διά πάντων τηρεῖται καί ζητεῖται, καί διά τοῦτο τοῖς ἐμαυτοῦ πρός Βαρλαάμ καί 'Ακίνδυνον ἀντιρρητικοῖς λόγοις συνέταξα καί ἥν παρά τῶν ἁγίων ἐδεξάμην ὁμολογίαν τῆς πίστεως, ἵνα οἱ ἐντυγχάνοντες τοῖς ἡμετέροις ἐκ τῆς ὁμολογίας μανθάνοιεν τόν τῆς ἀντιλογίας σκοπόν, ἐζήτησεν ὁ κράτιστος καί ἅγιος ἡμῶν αὐθέντης καί βασιλεύς τήν τοιαύτην ὁμολογίαν καί προκομισθείσης, ἀναγνωσθῆναι ταύτην ἐκέλευσεν. Οὗ γεγονότος, ἕκαστος ἠρωτήθη, ὡς ἔχει γνώμης περί ταύτης εἰπεῖν. Καί οὐδείς ἦν, ὅς οὐκ ἐγκωμίων ἐμνήσθη περί ἐκείνης ἀποφαινόμενος, ἅμα τόν τε Θεσσαλονίκης θαυμάζων, καί εὐχόμενος ἑαυτῷ τοῖς τῆς ὁμολογίας ἐκείνης συναπελθεῖν δόγμασι, καί μετ' ἐκείνης ἐμφανισθῆναι τῷ Κριτῇ ζώντων καί νεκρῶν κατά τήν τῆς κοινῆς ἀπολογίας ἡμέραν. Καί ἡ μέν δευτέρα συνέλευσις ἐν τούτοις ἐτελεύτησεν.

8. Συγκροτεῖται δέ καί ἡ μετ' αὐτήν. 'Απαντήσαντες δέ κἀκεῖνοι, τήν οἰκείαν ὁμολογίαν ἀναγνωσθῆναι ζητοῦσιν. Οὗ γεγενημένου, ἐν τῷ τέλει καί τοῦτο προσκείμενον ἦν· «περί δέ Βαρλαάμ καί 'Ακινδύνου οὕτω περί ἐκείνων ἔχομεν γνώμης, ὡς καί ἡ ἁγία τοῦ Θεοῦ 'Εκκλησία περί τῶν τοιούτων φρονεῖ». Πολλῶν δέ μεταξύ λόγων κινηθέντων, ἤρξαντο οἱ διαφερόμενοι τῆς κατά τοῦ Θεσσαλονίκης κατηγορίας· ἡ δέ ἦν τοιάδε. Ὡς ἄρα ἔν τισι τῶν ἑαυτοῦ συγγραμμάτων γράφει πολλάκις δύο καί πολλάς θεότητας, καί ταύτας ὑπερκειμένας καί ὑφειμένας. Καί τοῦτο τόν λόγον πολλάκις εἰπόντων καί περικροτησάντων, καί ταύτας δή τάς φωνάς καταιτιωμένων, ὁ εὐσεβέστατος βασιλεύς ἐπί τούτοις γενέσθαι ἡμῖν φανερόν ἐκέλευσεν: πότερον τῶν λαληθέντων ἐν αἰτίαις ποιεῖσθε τάς λέξεις αὐτάς, ἤ τά διά τῶν λέξεων δηλούμενα πράγματα, ἤ καί ἀμφότερα; Εἰ μέν δή ὁ πόλεμος πρός τά πράγματα, τί τῇ σκιᾷ τοῦ πράγματος πολεμεῖς, τῇ λέξει παρακαθήμενος; ἐξεταστέον γάρ δή αὐτά γυμνά τά πράγματα, καί παρά τῶν θεολόγων τήν ἐν τούτοις ἀλήθειαν ζητητέον. Εἰ δέ τοῖς πράγμασι σύμφωνοι διατελοῦντες, τί λέξει μέμφεσθε; 'Αλλ' ἡμεῖς γε οὐ λέξεων ἕνεκεν ἐνταῦθα συνεληλύθαμεν· οὐδέ γάρ περί τῶν ὀνομάτων, κατά τόν Θεολόγον, ζυγομαχήσομεν, κίνδυνον οὐδένα εἰδότες περί τάς λέξεις, ἕως ἄν ὁ νοῦς ὑγιαίνειν δοκῇ.

9. 'Επί τούτοις ὁ Θεσσαλονίκης, λέξεων ἐμοί λόγος ὀλίγος, ἔφη· οὐ γάρ ἐν ῥήμασιν ἡμῖν, ἀλλ' ἐν πράγμασιν ἡ ἀλήθειά τε καί ἡ εὐσέβεια, κατά τόν Θεολόγον Γρηγόριον. Περί δέ δογμάτων καί πραγμάτων τόν ἀγῶνα ποιοῦμαι. Κἄν τις ἐπί τῶν πραγμάτων ὁμοφωνῇ, πρός τάς λέξεις οὐ διαφέρομαι. Πρός δέ τήν παρά τῶν ἀντιλεγόντων προφερομένην κατηγορίαν ἐκεῖνο λέγω. Δύο μέν ἐγώ θεότητας ἤ πολλάς καί διαφόρους ἐπί τῆς ἁγίας Τριάδος, ὡς ἄλλην μέν εἶναι τοῦ Πατρός, ἄλλην δέ τοῦ Υἱοῦ, ἄλλην δέ τοῦ Πνεύματος, οὔτε ἐφρόνησα, οὔτε φρονῶ, οὔτε μήν φρονήσω τῇ χάριτι τοῦ Χριστοῦ· ἀλλά καί τούς οὕτω φρονοῦντας καθυποβάλλω τῷ ἀναθέματι. 'Αλλ' οὐδέ ἄλλο τί φημι θεότητα, ἐκτός τῆς τρισυποστάτου θεότητος· οὔτε οὐσίαν θείαν ἤ ἀγγελικήν, οὔτε ὑπόστασιν, κατά τόν μέγαν Διονύσιον, ἀλλ' ἐνεργείας θείας καί προόδους τινάς φύσει προσούσας καί ἐξ ἀϊδίου τῷ Θεῷ τῷ τῆς θεότητος ὀνόματι προσηγόρευσα, τοῖς ἁγίοις οἰόμενος σύμφωνα λέγειν. 'Αλλ' οὐδέ ταῦτα εἶπον ἄν, εἰ μή

σπάσατο καταδίκην, τόμου πραβάντος συνοδικοῦ κατά τῶν τοῦ Βαρλαάμ ἐκείνου βλασφημιῶν, δι' οὗ παντός τοῦ χριστιανικοῦ πληρώματος ἀποκέκοπται, ὡς αὐτός οὗτος ὁ συνοδικός τόμος διέξεισι, πολλῶν τε ἄλλων ἕνεκεν, καί ὅτι τό φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, τό τοῖς συναναβᾶσιν αὐτῷ μακαρίοις μαθηταῖς καί ἀποστόλοις ὀφθέν, κτιστόν ἐπεχείρει δεικνῦναι καί περιγραπτόν καί τῶν αἰσθητῶν φώτων πλέον ἔχον οὐδέν. Οὐχ οὗτος δέ μόνον ὁ Βαρλαάμ τῷ συνοδικῷ ἀποκεκήρυκται τόμῳ, ἀλλά ταῖς αὐταῖς ἐπιτιμίαις ἔνοχον ἑαυτόν καθίστησι καί εἴ τις ἐκείνῳ ἑπόμενος τοῖς μοναχοῖς καί τῇ Ἐκκλησίᾳ Θεοῦ πολεμεῖ· φησί γάρ ἐπί λέξεως. «Ἀλλά καί εἴ τις ἕτερός τι τῶν ὑπό τοῦ Βαρλαάμ βλασφήμως καί κακοδόξως κατά τῶν μοναχῶν, μᾶλλον δέ κατά τῆς Ἐκκλησίας αὐτῆς λαληθέντων ἤ συγγραφέντων, φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν ἤ ὅλως τούτων ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρά τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καί αὐτός καί ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας καί τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος».

4. Ἀλλ' ὡς οἶδεν ὁ ἐνεργῶν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, κατά τό γεγραμμένον, πονηρός καί ἀρχέκακος δράκων, ὅτι κατά τῆς εὐσεβείας καί τῶν ἀσφαλῶς ἀντεχομένων αὐτῆς προσβαλών, ἀνδράσι χρησάμενος οὐκ ἐν ἀξιώμασιν ἐξεταζομένοις, ἥκιστα ἠδυνήθη διά ταῦτα τῶν κατά γνώμην τυχεῖν, ὑποδύεται τόν εἰς πατριάρχας τότε τελοῦντα Ἰωάννην, σκεῦος ἄντικρυς τῆς ἐκείνου κακονοίας χωρητικόν. Ὅς, ὁμοφρονήσας τῷ Ἀκινδύνῳ καί πολλά κατά τῆς εὐσεβείας καί τῶν ἀντιποιουμένων αὐτῆς προσβαλών, μᾶλλον δέ κατ' αὐτός αὐτοῦ καί πράξας καί γράψας καί βουλευσάμενος, (οὗτος γάρ ἦν ὁ τήν καταδίκην ἐγγράφως ἐπενεγκών τῷ ἀποκηρύκτῳ Βαρλαάμ ἐκείνῳ), ἅμα καί τήν ἐμφύλιον μάχην ὡς ἕρμαιον ἁρπάσας, εὗρε καί οὗτος τῆς ἑαυτοῦ σπουδῆς καί τῶν πονηρῶν βουλευμάτων ἀξίως τάς ἀμοιβάς. Ἐξελεγχθείς γάρ, καθαιρεῖται· καί ἀποκηρυχθέντος καί τούτου συνοδικῇ διαγνώσει, τόμος ἱερός ἐκτίθεται τῇ συνόδῳ, ἅμα μέν ἀποδεικνύς ἐκεῖνον τῆς Ἀκινδύνου κακοδοξίας ἐχόμενον, ἅμα δέ καί τήν πρός τούς Ὀρθοδόξους αὐτοῦ σύν οὐδενί λόγῳ μανίαν. Ὁ δέ δή τόμος, ὑπογραφαῖς ἀρχιερέων τριάκοντα τό βέβαιον ἔχων, οἷς συνεῖπε δι' ὑπογραφῆς ὕστερον καί ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων, οὐ τόν Ἀκίνδυνον οὐδέ τόν πατριαρχεύσαντα μόνον ἐκβάλλει τῆς Καθολικῆς Ἐκκλησίας καί τοῦ τῶν χριστιανῶν τελέως ἐκκόπτει πληρώματος, «ἀλλά καί εἴ τις, φησίν, ἕτερος τῶν ἁπάντων τά αὐτά ποτε φωραθείη ἤ φρονῶν ἤ λέγων ἤ συγγραφόμενος κατά τοῦ εἰρημένου ἱερομονάχου κυρίου Γρηγορίου τοῦ Παλαμᾶ καί τῶν σύν αὐτῷ μοναχῶν, μᾶλλον δέ κατά τῶν ἱερῶν θεολόγων καί τῆς Ἐκκλησίας αὐτῆς, τά αὐτά καί κατ' αὐτοῦ ψηφιζόμεθα καί τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων τις εἴη εἴτε τῶν λαϊκῶν. Αὐτόν δέ τοῦτον τόν πολλάκις ῥηθέντα τιμιώτατον ἱερομόναχον κύριον Γρηγόριον τόν Παλαμᾶν καί τούς αὐτῷ συνᾴδοντας μοναχούς, μηδέν ἀπᾴδον τῶν θείων λογίων γράφοντάς τε καί φρονοῦντας, μετ' ἐξετάσεως καταλαβόντες ἀκριβῶς, μᾶλλον δέ τῶν θείων λογίων καί τῆς κοινῆς ἡμῶν εὐσεβείας καί παραδόσεως πᾶσι τρόποις, ὡς προσῆκεν, ὑπερμαχοῦντας, οὐκ ἀνωτέρους μόνον παντάπασι τῶν κατ' αὐτῶν, μᾶλλον δέ κατά τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐρεσχελιῶν, ὡς καί ὁ πρώην συνοδικός τόμος, ἔχομεν, ἀλλά καί ἀσφαλεστάτους τῆς Ἐκκλησίας καί τῆς εὐσεβείας προμάχους τε καί προαγωνιστάς καί βοηθούς ταύτης ἀποφαινόμεθα· οὕτω γάρ καί ὁ ἐπί ταῖς συνόδοις ἐκείναις προβάς τόμος ἕξει, καθάπερ οὖν ἔχει, τό ἀσφαλές τε καί βέβαιον».

5. Ἀλλ' ὁ τοῖς ἡμετέροις κακοῖς ἐπιχαίρων ἀεί, οὐδ' οὕτως ἡσυχίαν ἄγειν ἐγνώκει, οὐδέ γάρ ὀργάνων ἀπορῶν περιῄει ταῦτα ζητῶν· ἀλλ' ἔχων ἔτι τινάς παρά τόν Βαρλαάμ καί τόν Ἀκίνδυνον ἐκεῖνον φοιτήσαντας, καί τά ἐκείνων ἐσχάτως νοσοῦντας, δι' ἐκείνων ὑφ' ἑαυτόν ποιεῖται τόν τε χρηματίσαντα Ἐφέσου καί τόν Γάννου, Γρηγορᾶν τε καί Δεξιόν. Οἵ καί σύστημα ποιησάμενοι καί ἄλλους προσεταιρισάμενοι ἀνθρωπίσκους, οὐδέν ὑγιές διανοηθέντας οὐδέποτε, θόρυβον ἐγείρουσι κατά τῆς Ἐκκλησίας Θεοῦ, σπουδήν ποιούμενοι ἀποπλανᾶν τούς πολλούς καί τῆς Ἐκκλησίας ἀποτέμνειν ἐλεεινῶς, δόξαν ἑαυτοῖς ἐκ τούτου πορίζειν οἰόμενοι. Ἐδέησε γοῦν διά ταῦτα σύνοδον συγκροτηθῆναι μεγάλην, τοῦ γαληνοτάτου βασιλέως ἡμῶν ἔλεον λαβόντος τῶν ἀπολλυμένων ψυχῶν. Διό καί μεταπεμφθέντες παρά τῆς ἐκ Θεοῦ κραταιᾶς καί ἁγίας βασιλείας αὐτοῦ καί τοῦ ἁγιωτάτου καί οἰκουμενικοῦ πατριάρχου κυρίου Καλλίστου οἱ ἱερώτατοι ἀρχιερεῖς καί ὑπέρτιμοι, ὅ τε Ἡρακλείας, ὁ Θεσσαλονίκης, ὁ Κυζίκου, ὁ Φιλαδελφείας, ὁ Χαλκηδόνος, ὁ Μελενίκου, ὁ Ἀμασείας, ὁ Ποντοηρακλείας, ὁ Πηγῶν, ὁ Βερροίας, ὁ Τραπεζοῦντος, ὁ Τραϊανουπόλεως, ὁ Σηλυβρίας, ὁ Ἄπρω, ὁ Ἀμάστριδος, ὁ Αἴνου, ὁ Σουγδαΐας, ὁ Βρύσεως, ὁ Μαδύτων, ὁ Βιζύης, ὁ Γαρέλλης, ὁ Μηδείας, ὁ Τενέδου, ὁ Καλλιουπόλεως, ὁ Ἐξαμιλίου, ὄντων καί διά γνωμῶν τοῦ Ἀδριανουπόλεως, τοῦ Χριστουπόλεως, τοῦ Διδυμοτείχου· παρόντων καί θεοφιλεστάτων ἐπισκόπων, τοῦ Πανίου, τοῦ Χαριουπόλεως, τοῦ Παμφύλου, τοῦ Ἀθύρα, τοῦ Καμπανίας, τοῦ Σινάου, τοῦ Ἐλευθερουπόλεως· προκαθεσθέντος τοῦ γαληνοτάτου καί κρατίστου καί ἁγίου ἡμῶν αὐθέντου καί βασιλέως κυρίου Ἰωάννου Καντακουζηνοῦ ἐν τῷ τρικλίνῳ τῷ οὕτω πως ἐπιλεγομένῳ Ἀλεξιακῷ τῶν ἱερῶν Βλαχερνῶν· συνεδριάζοντος τῇ ἁγίᾳ βασιλείᾳ αὐτοῦ καί τοῦ ἁγιωτάτου καί οἰκουμενικοῦ πατριάρχου κυρίου Καλλίστου· καί ἔτι τοῦ περιποθήτου αὐταδέλφου τῆς ἁγίας βασιλείας αὐτοῦ τοῦ πανευτυχεστάτου σεβαστοκράτορος κυροῦ Μανουήλ τοῦ Ἀσάνη· καί ἔτι τοῦ περιποθήτου αὐταδέλφου τῆς ἁγίας βασιλείας αὐτοῦ κυρίου Μιχαήλ τοῦ Ἀσάνη· ἀλλά δή καί τοῦ περιποθήτου ἀνεψιοῦ τῆς ἁγίας βασιλείας αὐτοῦ πανυπερσεβάστου κυρίου Ἀνδρονίκου τοῦ Ἀσάνη· παρακαθημένων τῆς συγκλήτου σύν τοῖς ἀρχιερεῦσι καί ἐκκλησιαστικοῖς ἄρχουσι, καί συνειλεγμένων τῶν τε ἡγουμένων καί ἀρχιμανδριτῶν τῶν ἐν τῇ εὐδαίμονι ταύτῃ πόλει, ἔτι τε ἱερομονάχων καί ἱερέων καί μοναχῶν οὐκ ὀλίγων, οὐκ ἀπόντων καί τινων τῶν τῆς πολιτείας ἀρχόντων, περιεστηκότος δέ καί λαοῦ, ὅσον ἐν τούτοις φιλήκοον. Προσεκλήθησαν καί οἱ θορυβοῦντες καί τήν Ἐκκλησίαν κατατέμνοντες οὗτοι καί ἠρωτήθησαν, τίνος ἕνεκεν, βασιλέως εὐσεβῶς ζῶντος, παρ' αὐτῶν τοιαῦτα κατά τῆς εὐσεβείας τολμᾶται. Οἱ δέ ἠτιάσαντο προσθήκην τινά ἐν τῇ ὁμολογίᾳ τῶν χειροτονουμένων ἀρχιερέων γεγενημένην. Ἐν αἰτίαις δέ ἐποιοῦντο καί

ὀρθῶν δογμάτων τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐκφωνηθείσας, Ἀθανασίου, Κυρίλλου, Ἀμβροσίου, Ἀμφιλοχίου τοῦ θεηγόρου, Λέοντος τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς πρεσβυτέρας Ῥώμης καί τῶν λοιπῶν, ἔτι τε καί τά τῶν Οἰκουμενικῶν Συνόδων Πρακτικά, τῆς τετάρτης, φημί, καί τῆς ἕκτης, μή κατασπαζομένοις, ἀνάθεμα». Ἐπί τούτοις ἀνεγνώσθη καί ῥῆσις τῶν Πρακτικῶν, ἔχουσα ἐπί λέξεως οὕτως. «Τίς γάρ, εἰ καί βραδύς εἴη πρός τό νοῆσαι, οὐ θεωρήσει, ὅπερ πᾶσι φαίνεται, ὅτι ἀδύνατον καί παρά τήν τάξιν τῆς φύσεώς ἐστι δύνασθαι εἶναι φύσιν, καί ἐνέργειαν μή ἔχειν φύσεως; ὅπερ οὐδέ ἀπό τῶν αἱρετικῶν ποτε ἐδοκιμάσθη λέγεσθαι, οἵτινες πάσας τάς ἀνθρωπίνας πανουργίας καί σκολιάς ζητήσεις κατά τῆς ὀρθότητος τῆς πίστεως καί συναθροισμούς ταῖς φαυλότησιν αὐτῶν προσφόρους ἐφεῦρον. Πῶς οὖν ὅπερ οὔτε ἀπό τῶν ἁγίων Πατέρων ἐῤῥέθη ποτέ, οὔτε ἀπό τῶν βεβήλων αἱρετικῶν τετόλμηται εὑρεθῆναι, ἐπί τοῦ παρόντος δυνήσεται προπετευθῆναι, ἵνα τῶν δύο φύσεων τοῦ Χριστοῦ, τῆς θείας δηλονότι καί τῆς ἀνθρωπίνης, ὧν τινων αἱ ἰδιότητες ἀκέραιοι εἶναι γνωρίζονται ἐν Χριστῷ μίαν ἔχειν ἐνέργειαν; Τίς ποτε ὀρθῶς φρονῶν δυνήσεται ἀποδεῖξαι, ὁπόταν ἐάν μία ἐστίν εἴπωσιν, ἤ χρονική ἤ ἀΐδιος λεχθήσεται, θεία ἤ ἀνθρωπίνη, ἄκτιστος ἤ κτιστή, ἡ αὐτή ἥτις καί τοῦ Πατρός ἐστιν, ἤ ἑτέρα παρά τόν Πατέρα; Εἰ τοίνυν μία ἐστίν καί ἡ αὐτή, μία καί τῆς θεότητος καί τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κοινή ἐστιν, ὅπερ ἀλλόκοτόν ἐστι λέγεσθαι. Οὐκοῦν ἐπάν ὁ Υἱός τοῦ Θεοῦ ὁ αὐτός Θεός καί ἄνθρωπός ἐστι, τά ἀνθρώπινα ἐνεργήσας ἐπί τῆς γῆς, ὁμοίως σύν αὐτῷ καί ὁ Πατήρ ἐνήργησε φυσικῶς. Ἐπειδή ἅ ὁ Πατήρ ποιεῖ, ταῦτα καί ὁ Υἱός ὁμοίως ποιεῖ. Ἐπεί, ὅπερ ἡ ἀλήθεια περιέχει, ἐν ὅσῳ ἀνθρώπινά τινα ἐνήργησεν ὁ Χριστός, πρός μόνον τό πρόσωπον αὐτοῦ ὡς Υἱοῦ ἐπαναφέρεται· ἅτινα οὐκ ἔστι τά αὐτά, οἷα καί τοῦ Πατρός. Κατ' ἄλλο γάρ δηλονότι καί ἄλλο ἐνήργησεν ὁ Χριστός, ἵνα κατά τήν θεότητα, ἅ ποιεῖ ὁ Πατήρ, ταῦτα καί ὁ Υἱός ὁμοίως ποιῇ· καί κατά τήν ἀνθρωπότητα, ἅ εἰσι τοῦ ἀνθρώπου ἴδια, ὁ αὐτός οὗτος ἐνήργησεν ὡς ἄνθρωπος, ἐπειδή ἀληθής ἐστι καί Θεός καί ἄνθρωπος. Ὅθεν καί ἀληθῶς πιστεύεται, ὅτι ὁ αὐτός οὗτος εἷς ὢν ἔχει φυσικάς ἐνεργείας, τήν θείαν δηλονότι καί τήν ἀνθρωπίνην, τήν ἄκτιστον καί τήν κτιστήν, ὡς ἀληθινός καί τέλειος Θεός καί ἀληθινός καί τέλειος ἄνθρωπος, εἷς ὁ αὐτός, μεσίτης Θεοῦ καί ἀνθρώπων, Κύριος Ἰησοῦς Χριστός». Καί πάλιν ἀπό τῶν αὐτῶν Πρακτικῶν προεκομίσθη ἑτέρα ῥῆσις, ἔχουσα ἐπί λέξεως οὕτω. «Τήν ἑκατέρας φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν, τήν οὐσιώδη λέγω καί φυσικήν καί κατάλληλον, ἀδιαιρέτως προϊοῦσαν ἐξ ἑκατέρας οὐσίας καί φύσεως, κατά τήν ἐμπεφυκυῖαν αὐτῇ φυσικήν καί οὐσιώδη ποιότητα καί τήν ἀμέριστον ὁμοῦ καί ἀσύγχυτον θατέρας οὐσίας συνεπαγομένην ἐνέργειαν. Τοῦτο γάρ καί τῶν ἐνεργειῶν ἐπί Χριστοῦ ποιεῖ τό διάφορον, ὥσπερ δή καί τό εἶναι τάς φύσεις τῶν φύσεων».

13. Ἀλλά καί ὁ παρ' αὐτῶν ζητούμενος ὅρος ἀναγνωσθείς εἶχεν ἐπί λέξεως οὕτως. «Ἡ παροῦσα ἁγία καί οἰκουμενική σύνοδος, πιστῶς δεξαμένη καί ὑπτίαις χερσίν ἀσπασαμένη τήν τε τοῦ ἁγιωτάτου καί μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος γενομένην ἀναφοράν πρός τόν εὐσεβέστατον ἡμῶν βασιλέα»· καί μετά τινα· «ἑπομένη τε ταῖς τε ἁγίαις καί Οἰκουμενικαῖς πέντε Συνόδοις καί τοῖς ἁγίοις καί ἐγκρίτοις Πατράσι καί συμφώνως ὁρίζουσα, ὁμολογεῖ τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τόν ἀληθινόν Θεόν ἡμῶν, τόν ἕνα τῆς ἁγίας καί ὁμοουσίου καί ζωαρχικῆς Τριάδος, τέλειον ἐν θεότητι καί τέλειον τόν αὐτόν ἐν ἀνθρωπότητι, κατά πάντα ὅμοιον ἡμῖν χωρίς ἁμαρτίας· πρό αἰώνων μέν ἐκ τοῦ Πατρός γεννηθέντα κατά τήν θεότητα, ἐπ' ἐσχάτων δέ τῶν ἡμερῶν τόν αὐτόν δι' ἡμᾶς καί διά τήν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος ἁγίου καί Μαρίας τῆς παρθένου, τῆς κυρίως καί κατά ἀλήθειαν Θεοτόκου, κατά τήν ἀνθρωπότητα· ἕνα καί τόν αὐτόν Χριστόν, Υἱόν, Κύριον, Μονογενῆ, ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διά τήν ἕνωσιν, σῳζομένης δέ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καί εἰς ἕν πρόσωπον καί μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἤ διαιρούμενον, ἀλλ' ἕνα καί τόν αὐτόν Υἱόν μονογενῆ, Θεόν Λόγον, Κύριον Ἰησοῦν Χριστόν, καθάπερ ἄνωθεν οἱ προφῆται περί αὐτοῦ καί αὐτός ἡμᾶς Ἰησοῦς ὁ Χριστός ἐξεπαίδευσε καί τό τῶν ἁγίων Πατέρων ἡμῖν παραδέδωκε σύμβολον. Καί δύο φυσικάς θελήσεις, ἤτοι θελήματα, ἐν αὐτῷ, καί δύο φυσικάς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως, κατά τήν τῶν ἁγίων Πατέρων διδασκαλίαν, ὡσαύτως κηρύττομεν· καί δύο μέν φυσικά θελήματα οὐχ ὑπεναντία, μή γένοιτο, καθώς οἱ ἀσεβεῖς ἔφησαν αἱρετικοί, ἀλλ' ἑπόμενον τό ἀνθρώπινον αὐτοῦ θέλημα, καί μή ἀντιπῖπτον ἤ ἀντιπαλαῖον, μᾶλλον μέν οὖν καί ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καί πανσθενεῖ θελήματι».

14. Τούτων δέ ἀναγνωσθέντων, κωφοῖς ἐῴκεσαν οἱ τῆς αἱρέσεως προϊστάμενοι, ἕν καί πάντῃ ἀδιάφορον βοῶντες καί διατεινόμενοι τήν θείαν τε καί ἄκτιστον οὐσίαν καί τήν θείαν καί ἄκτιστον ταύτης ἐνέργειαν, προφέροντες καί ῥητά, ὧν τό μέν ἦν τοῦ ἁγίου καί ὁμολογητοῦ Μαξίμου, τό δέ τοῦ ἐν ἁγίοις ὁμολογητοῦ Θεοδώρου τοῦ Γραπτοῦ, διαστρέφοντες καί παρερμηνεύοντες ταῦτα πρός τήν οἰκείαν δυσσέβειαν. Πῶς γάρ ἄν ὁ θεῖος Μάξιμος τῇ τοῦ Θεοῦ ἐνεργείᾳ πολεμεῖν ἔμελλεν, ὅς γε ὑπέρ τῶν ἐν Χριστῷ δύο ἐνεργειῶν, τῆς τε θείας δηλαδή καί τῆς ἀνθρωπίνης, δρόμους μέν ἠλάθη τοσούτους, γλῶτταν δέ τήν θεόφθογγον ἀφῄρηται, χεῖρα δέ ἐκκέκοπται, καί τέλος ἀειφυγίαν καταδικασθείς, μαρτυρικόν γενναίως ἠσπάσατο θάνατον; Τῶν δέ καί ἔτι ἀντιλεγόντων καί προφερόντων τῷ Θεσσαλονίκης θεότητα λέγοντι τήν θείαν ἐνέργειαν, ἀνεγνώσθησαν ῥήσεις τῶν ἁγίων, τοῦ μέν μεγάλου Βασιλείου ἐν οἷς πρός Εὐστάθιον τόν ἰατρόν γράφει. «Οὐκ οἶδα ὅπως ἐπί τήν τῆς φύσεως ἔνδειξιν τήν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρά τῆς Γραφῆς ὅτι χειροτονητή φύσις οὐ γίνεται. Μωσῆς δέ τῶν Αἰγυπτίων ἐχειροτονήθη Θεός, οὕτω πρός αὐτόν εἰπόντος τοῦ χρηματίζοντος, ὅτι Θεόν σε δέδωκα τῷ Φαραῷ. Οὐκοῦν ἐξουσίας τινός εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δέ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος».

15. Τοῦ δέ Νύσσης ἐν τῷ περί θεότητος Υἱοῦ καί Πνεύματος λέγοντος. «Φασίν οἱ Πνευματομάχοι φύσεως εἶναι σημαντικήν τήν θεότητα... Ἡμεῖς δέ φαμεν, ὅτι ὄνομα σημαντικόν ἡ θεία φύσις ἤ οὐκ ἔχει, ἤ ἡμῖν οὐκ

πρός ἀνάγκην ἦλθον παρά τοῦ ἀντιλέγοντος καί κατά ἀντιπαράστασιν καί πρός ἐκεῖνον ἀγωνιζόμενος, μόνην ἄκτιστον λέγοντα θεότητα τήν οὐσίαν τοῦ Θεοῦ, πᾶσαν δέ δύναμιν καί ἐνέργειαν θείαν, τῆς οὐσίας διαφέρουσαν, εἰς κτίσμα κατασπῶντα. Ἄλλως τε καί τοῦτ' εἶπον, οὐ πολλάς ἐντεῦθεν συνάγων θεότητας, ὡς αὐτοί καταψεύδονται· καί δῆλον ἐκ τῶν ἐμῶν συγγραμμάτων, τῶν τε ἄλλων καί τῆς ὁμολογίας. Ἐν πᾶσι γάρ οὕτω τοῦτο προάγεται παρ' ἐμοῦ, ὡς ὑπό τῶν ἀντιλεγόντων μέν λεγόμενον, ὑπ' ἐμοῦ δέ μή στεργόμενον· μίαν γάρ οἶδα θεότητα, τήν αὐτήν τρισυπόστατον καί παντοδύναμον καί ἐνεργῆ. Πλήν οὔτε τότε περί τῶν λέξεων ὁ σκοπός ἐμοί, ἀλλ' ἅπας ὁ ἀγών περί τῶν πραγμάτων, οὔτε νῦν περί ὀνομάτων καί συλλαβῶν διαφέρομαι· ἀλλά τῶν πραγμάτων εὐσεβῶς ἀνακηρυχθέντων, Χριστοῦ χάριτι, ἕτοιμός εἰμι πᾶν ὅπερ ἄν ἡ θεία σύνοδος περί τῶν λέξεων διαγνῷ, στέρξαι καί ἀποδέξασθαι. Ἐφ' οἷς ὅ τε εὐσεβέστατος καί γαληνότατος βασιλεύς καί ἡ θεία σύνοδος τόν Θεσσαλονίκης ἀποδεξάμενοι διά πάντων τῆς εὐσεβοῦς διανοίας, ᾗ περί τά θεῖα κεχρημένος διατελεῖ, καί μάλιστα τῆς εὐγνωμοσύνης αὐτόν ἐπαινέσαντες, θεότητας μέν δύο ἤ πολλάς ἤ ὅλως ἀριθμόν θεοτήτων μήτε λέγεσθαι μήτε μήν νοεῖσθαι ἀσφαλῶς διωρίσαντο· μηδέ γάρ εἰρῆσθαι τοῦτο παρά τῶν θεολόγων ῥητῶς· διαφοράν μέντοι οὐσίας θείας καί θείας ἐνεργείας ἤ καί θείων ἐνεργειῶν, καί μάλα καί νοεῖσθαι καί λέγεσθαι προετρέψαντο, διαρρήδην τοῦ τοιούτου δόγματος παρά τῆς Ἐκκλησίας κεκηρυγμένου, ὡς καί κατωτέρω δειχθήσεται. Ὁ δέ Θεσσαλονίκης προθύμως καί λίαν ἀσμένως τοῦτο κατεδέξατο. Καί ἡ μέν τρίτη συνέλευσις ἐν τούτοις ἐτελεύτησεν.

10. Γενομένης δέ καί τετάρτης, ἤρξαντο πάλιν οἱ διαφερόμενοι λέξεις τινάς αἰτιᾶσθαι, ἐμφερομένας ἐν τοῖς τοῦ Θεσσαλονίκης συγγράμμασι, τῶν πραγμάτων ἀφέμενοι. Τοῦ δέ θειοτάτου βασιλέως καί τῆς συνόδου τῆς τῶν πραγμάτων ἐξετάσεως γενομένων, καί παρά τῶν τῆς Ἐκκλησίας θεολόγων τάς ἀποδείξεις τῶν προβεβλημένων ζητούντων, προεκομίσθη ὁ κατά τοῦ Βαρλαάμ ἐκτεθείς συνοδικός τόμος. Ὅς ἀναγνωσθείς κελεύσει θείᾳ τοῦ γαληνοτάτου βασιλέως ἡμῶν, κοινωνούς διά πάντων τῆς τοῦ Βαρλαάμ κακοδοξίας τούς διαφερομένους ἀπέδειξεν. Οὐ γάρ ἠνέσχοντο μή διά τέλους ἀντιλέγειν τοῖς ἐκεῖ γεγραμμένοις περί τε ἄλλων καί μάλιστα περί τοῦ θειοτάτου φωτός τῆς τοῦ Κυρίου Μεταμορφώσεως. Οὐ μήν ἀλλ' ἐρωτωμένων τοῦ τε Θεσσαλονίκης καί τῶν διαφερομένων τῇ Ἐκκλησίᾳ, ὅπως ἔχουσι δόξης περί τοῦ θειοτάτου φωτός, ὁ μέν δι' ὧν εἶπε καί ὧν ἀνέγνω εἰς ἐπήκοον πάντων ἐκ τῶν ἑαυτοῦ συγγραμμάτων, διά πάντων ἀνεφαίνετο ἀσφαλῶς τῆς τῶν θεολόγων διανοίας ἐξηρτημένος· οἱ δέ, δι' ὧν τε εἶπον καί ὧν ἐάλωσαν συγγραφόμενοι, ἐξηλέγχθησαν διχοτομοῦντες εἰς κτιστά καί ἄκτιστα τήν μίαν θεότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, τῷ τήν μέν οὐσίαν τοῦ Θεοῦ ἄκτιστον λέγειν θεότητα, ἐστερημένην πάσης δυνάμεως καί ἐνεργείας θείας, πᾶσαν δέ δύναμιν καί ἐνέργειαν Θεοῦ καί ἁπλῶς τό τούτου παντοδύναμον ἀθετοῦντές τε καί ἀρνούμενοι, καί εἰς κτίσμα κατασπῶντες τόν Θεόν, καί δύο λέγοντες αὐτόν θεότητας, ἄκτιστόν τε καί κτιστήν, ὑπερκειμένην τε καί ὑφειμένην ὄντως. Ἐπεί καί τό ἐν τῷ Θαβωρίῳ λάμψαν τῆς θεότητος φῶς ποτέ μέν οὐσίαν ἔλεγον εἶναι Θεοῦ, ποτέ δέ φάσμα καί παραπέτασμα καί ἴνδαλμα καί κτίσμα, ὡς εἶναι κατ' αὐτούς τό αὐτό κτίσμα καί οὐσίαν Θεοῦ. Προεκομίσθησαν δέ παρά τοῦ Θεσσαλονίκης καί γράμματα ἐκείνων οἰκειόχειρα, ἐν οἷς κατηγόρουν αὐτοῦ, ἄκτιστον εἶναι λέγοντος τό θειότατον ἐκεῖνο φῶς καί ἔλλαμψιν, ἀλλ' οὐκ οὐσίαν Θεοῦ. Ἀλλά καί δι' ὧν κατηγόρουν τοῦ Θεσσαλονίκης, ὡς πολλάς λέγοντος θεότητας, ἐπειδήπερ πάσας τάς θείας καί κοινάς τῶν τριῶν ὑποστάσεων δυνάμεις τε καί ἐνεργείας ἀκτίστους εἶναι διατείνεται, φανεροί γεγόνασιν, ὡς οὐ πρός τάς λέξεις αὐτοῖς ὁ πόλεμος, ἀλλ' οὔτε διαφοράν θείας οὐσίας καί θείας ἐνεργείας, οὔτε μήν ἄκτιστον εἶναι τήν θείαν καί παντοδύναμον ἐνέργειαν νομίζουσιν.

11. Ἐφ' οἷς προτεθέντων τῶν θεολόγων τῆς Ἐκκλησίας, ἀνεγνώσθη ἀπό μέν τοῦ μεγάλου Βασιλείου πολλά τε ἄλλα καί δή καί ταῦτα. «Εἰ γάρ οὐδέν ὅλως ἐπί Θεοῦ κατ' ἐπίνοιαν ὁ Εὐνόμιος θεωρεῖ, ἵνα μή δόξῃ ἀνθρωπίναις τόν Θεόν σεμνύειν προσηγορίαις, πάντα ὁμοίως οὐσίαν ὁμολογήσει τά ἐπιλεγόμενα τῷ Θεῷ· πῶς οὖν οὐ καταγέλαστον, τό δημιουργικόν οὐσίαν εἶναι λέγειν, τό προνοητικόν πάλιν οὐσίαν, τό προγνωστικόν ὡσαύτως, καί ἁπαξαπλῶς πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι»; Ἀπό δέ τοῦ θεολόγου Δαμασκηνοῦ, ἐν οἷς περί τῶν δύο ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ διδάσκει, λέγων. «Ἰστέον ὡς ἄλλο ἐστίν ἐνέργεια καί ἄλλο ἐνεργητικόν, καί ἄλλο ἐνέργημα, καί ἄλλο ὁ ἐνεργῶν· ἐνέργεια μέν οὖν ἐστιν ἡ δραστική καί οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικόν δέ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δέ τό τῆς ἐνεργείας ἀποτέλεσμα· ἐνεργῶν δέ ὁ κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις». Ὁ δέ θεῖος Μάξιμος ἐν τῷ κεφαλαίῳ τῷ ἐπιγραφομένῳ «ἐκ τῆς ἐπί σεκρέτου διαλέξεως», «πάντως, φησιν, ἀνάγκη ἐπί Χριστοῦ θελήσεις λέγεσθαι καί ἐνεργείας, καί πᾶσα ἀνάγκη· οὐδέν γάρ τῶν ὄντων χωρίς ἐνεργείας φυσικῆς ὑφέστηκεν· οἱ γάρ ἅγιοι Πατέρες φανερῶς λέγουσι μήτε εἶναι μήτε γινώσκεσθαι χωρίς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τήν οἱανδήποτε φύσιν».

12. Ἐπεί δέ οἷς ἔλεγον, μή μόνον τοῖς ἁγίοις διετέλουν καθ' ἕνα μαχόμενοι, ἀλλ' ἤδη καί αὐτήν τήν ἁγίαν καί οἰκουμενικήν ἕκτην Σύνοδον ἀνατρέπειν καί καταλύειν ἐπεχείρουν, ᾗ δή οὐκ ἄλλος ἦν ὁ σκοπός, περί δέ τῶν δύο φυσικῶν θελημάτων καί τῶν δύο φυσικῶν ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ καί Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ πᾶσα ἡ πρόθεσις γέγονε, καί ἦν ἀνάγκη διά ταῦτα προκομισθῆναι τῆς τοιαύτης Συνόδου Πρακτικά καί ἀναγνωσθῆναι, καί ἀπό τούτων τό εὐσεβές ἀνακηρυχθῆναι, τά μέν προετέθησαν ἐπί τοῦ μέσου· οἱ δ' εὐθύς ἅμα τῷ προτεθῆναι ἀνέκραξαν· «μή τά Πρακτικά τῆς Συνόδου, ἀλλά τόν ὅρον μόνον ἀνάγνωθι». Τῆς δέ θείας Συνόδου διαπορουμένης, ὅ τί ποτε βούλεται ἡ τοιαύτη φωνή, καί ἀνθ' ὅτουπερ ἀποδοκιμάζουσι καί οὐ δέχονται τά Πρακτικά, ἐκεῖνοι καί οὕτω τῆς αὐτῆς περιέργου κακονοίας καί διεστραμμένης γνώμης οὐδ' ὁπωσοῦν ἀφίσταντο, τῶν Πρακτικῶν μηδόλως προσιέμενοι τήν ἀνάγνωσιν. Ἐπί τούτοις, κελεύσει θείᾳ τοῦ γαληνοτάτου βασιλέως ἡμῶν, ἀνεγνώσθη ῥῆσις ἀπό τοῦ συνήθως ἐπ' ἄμβωνος ἀναγινωσκομένου τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας Συνοδικοῦ, ἥτις καί ἐπί λέξεως ἔχει οὕτως. «Τοῖς ἀποβαλλομένοις τάς τῶν ἁγίων Πατέρων φωνάς, τάς ἐπί συστάσει τῶν

τήν οὐσίαν τοῦ Θεοῦ ἐνέργειαν. Τό δέ μή ἔχον ἐνέργειαν ἀνενέργητόν ἐστι, τό δέ ἀνενέργητον καί ἀνύπαρκτον.

20. Τοῦ δέ θεοφόρου Δαμασκηνοῦ γράφοντος, «ἔργον μέν θείας φύσεως ἡ προαιώνιος γέννησις, ἔργον δέ θείας θελήσεως ἡ κτίσις», καί τοῦ ἁγίου Κυρίλλου, «τό μέν ποιεῖν ἐνεργείας ἐστί, φύσεως δέ τό γεννᾶν, φύσις δέ καί ἐνέργεια οὐ ταὐτόν», οἱ ἀδιάφορον εἶναι λέγοντες τήν θείαν οὐσίαν καί τήν θείαν ἐνέργειαν, ἐπειδή κατ' ἐκεῖνον τῆς φύσεώς ἐστι τό γεννᾶν, ἔστι δέ κατ' αὐτούς ἀδιάφορον τῆς φύσεως ἡ ἐνέργεια, ἔσται κατ' αὐτούς καί τῆς ἐνεργείας τό γεννᾶν· καί οὕτω τά ποιήματα ἔσονται γεννήματα ἀΐδια, ὡς ἐκ τῆς θείας φύσεως ὄντα. Ἐπεί δέ πάλιν τῆς ἐνεργείας ἐστί τό ποιεῖν, ἡ δέ φύσις ἀδιάφορος τῇ ἐνεργείᾳ, κατ' αὐτούς, τῆς φύσεως ἔσται τό ποιεῖν. Καί οὕτω κατ' αὐτούς τά ἐκ τῆς φύσεως ἔσονται ποιήματα. Καί πάλιν τοῦ αὐτοῦ γράφοντος ἐν τῷ δευτέρῳ τῶν πρός Ἑρμείαν διαλόγων, «πρός δέ τούτοις ἅπασι πεποιεῖσθαί φαμεν ἐξ ἐνεργείας Θεοῦ πῦρ τε τό καυστικόν, καί μήν καί τό ὕδωρ διαψύχειν εἰδός», οἱ ταὐτόν καί ἀδιάφορον οὐσίαν καί ἐνέργειαν εἶναι λέγοντες ἐκ τῆς τοῦ Θεοῦ οὐσίας τό τε πῦρ καί τό ὕδωρ λέγειν ἀναγκασθήσονται. Καί οὕτω καί τῆς Ἑλλήνων πλάνης χείρων ἡ νῦν κακοδοξία καθέστηκεν, εἴπερ ἐκεῖνοι μέν τήν λογικήν μόνην ψυχήν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ εἶναι ἐνόμισαν, οὗτοι δέ γε καί τά ὑλικά δή ταῦτα καί αἰσθητά σώματα.

21. Ἀλλά καί τοῦ Κυρίου καί Θεοῦ ἡμῶν ἐν τῷ κατά Ἰωάννην εὐαγγελίῳ, «ἐγώ καί ὁ Πατήρ ἕν ἐσμεν» εἰρηκότος, ὁ θεῖος Χρυσόστομος ἐν ὁμιλίᾳ ἑξηκοστῇ τῆς εἰς τό τοιοῦτον εὐαγγέλιον ἑρμηνείας, τοῦτο διασαφῶν τό ῥητόν, «κατά τήν δύναμιν ἐνταῦθά φησιν εἰρῆσθαι αὐτό». Καί γάρ περί ταύτης ἦν ὁ λόγος ἅπας αὐτῷ. «Εἰ δέ ἡ δύναμις ἡ αὐτή, εὔδηλον ὅτι καί ἡ οὐσία». Καί μετά βραχέα· «οὐδέ γάρ ἔστιν ἄλλην δι' ἄλλης, οὔτε οὐσίαν, οὔτε δύναμιν μαθεῖν». Καί πάλιν ἐν τῷ αὐτῷ εὐαγγελίῳ, τοῦ ἀποστόλου Φιλίππου εἰπόντος, «Κύριε, δεῖξον ἡμῖν τόν Πατέρα, καί ἀρκεῖ ἡμῖν», ὁ θεῖος οὗτος Χρυσόστομος ἐν τῇ αὐτῇ ὁμιλίᾳ, «ἴδωμεν», φησί, «τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν· ἆρα τήν σοφίαν τοῦ Πατρός, ἆρα τήν ἀγαθότητα; οὐχί, ἀλλ' αὐτό τί ποτέ ἐστιν ὁ Θεός· αὐτήν τήν οὐσίαν». Καί πάλιν ὁ αὐτός, τό ἀποστολικόν ῥητόν ἐξηγούμενος τῆς πρός Ῥωμαίους ἐπιστολῆς, τό λέγον, «τό γάρ φρόνημα τῆς σαρκός θάνατος, τό δέ φρόνημα τοῦ πνεύματος ζωή καί εἰρήνη», «φρόνημα, εἶπε, σαρκός τήν κακίαν φησί, καί φρόνημα πνεύματος τήν χάριν τήν διδομένην, καί τήν ἐνέργειαν τήν τῇ προαιρέσει κιρνωμένην τῇ χρηστῇ, οὐδαμοῦ περί ὑποστάσεως ἐνταῦθα καί οὐσίας διαλεγόμενος». Καί αὖθις ὁ αὐτός Χρυσόστομος ἐν τῷ λόγῳ, ἐν ᾧ ἐξηγεῖται τό, «θές τήν χεῖρά σου ὑπό τόν μηρόν μου καί ὄμοσον», τάδε κατά λέξιν φησίν· «λυχνία ἦν ἀληθής ἡ σάρξ ἡ δεσποτική, ἡ τοῦ ἁγίου Πνεύματος τάς ἐλλάμψεις ἐπταπλασίονι χάριτι δείξασα. «Ἐξελεύσεται γάρ», φησίν Ἡσαΐας, «ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καί ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καί ἐπαναπαύσεται ἐπ' αὐτόν πνεῦμα Θεοῦ». Ποῖον; τό πολυμερές ταῖς ἐνεργείαις καί πολύ τῇ φύσει· ἐπαναπαύσεται πνεῦμα Θεοῦ, (ἐνταῦθα τήν οὐσίαν ἑρμηνεύει, τό δέ ἐπαγόμενον τάς ἐνεργείας τοῦ Πνεύματος λέγει), πνεῦμα σοφίας καί συνέσεως, πνεῦμα βουλῆς καί ἰσχύος, πνεῦμα γνώσεως καί εὐσεβείας, πνεῦμα φόβου Θεοῦ». Τάς ἑπτά χάριτας τοῦ ἁγίου Πνεύματος, τάς ἐπαναπαυσαμένας τῷ δεσποτικῷ σώματι, ἐκείνας σχηματίζει ἐν τύπῳ ἑπταλύχνῳ». Καί πάλιν ὁ αὐτός θεῖος Χρυσόστομος ἐν τῷ περί τοῦ ἁγίου Πνεύματος λόγῳ, «οὐ πάντα, φησί, τά χαρίσματα λαμβάνει τις, ἵνα μή τις τήν χάριν φύσιν εἶναι νομίσῃ».

22. Ἀλλά καί τοῦ ἁγίου μάρτυρος καί φιλοσόφου Ἰουστίνου γράφοντος, «ὡς ἄρα τοῦ Θεοῦ ἔχοντος οὐσίαν μέν πρός ὕπαρξιν, βούλησιν δέ πρός ποίησιν», ὁ ἀποῤῥίπτων οὐσίας τε καί βουλῆς τήν διαφοράν, καί τήν ὕπαρξιν ἀποῤῥίπτει τοῦ Θεοῦ καί τήν ποίησιν· οὐ φανερῶς οἱ τήν διαφοράν ἀθετοῦντες, οὗτοι καί τόν Θεόν ἀρνούμενοι καί τό αὐτόματον δοξάζοντες δείκνυνται; Κατά γάρ τόν ἐκ Δαμασκοῦ θεῖον Ἰωάννην, «ἐνέργειά ἐστι καί ἡ βούλησις», ὡς ἐν τῷ περί ἐνεργείας τριακοστῷ ἕκτῳ τῶν δογματικῶν κεφαλαίων διασαφεῖ. Εἰπών γάρ πρότερον περί τε ἄλλων, καί δή καί βουλήσεως ἀνθρωπίνης τε καί θείας, ἐπάγει εὐθύς ἐν τῇ ἀρχῇ τοῦ ἐφεξῆς κεφαλαίου ἐπί λέξεως οὕτως. «Χρή γινώσκειν ὡς πᾶσαι αἱ δυνάμεις αἱ προειρημέναι, αἵ τε γνωστικαί, αἵ τε ζωτικαί καί φυσικαί καί τεχνικαί, ἐνέργειαι λέγονται· ἐνέργεια γάρ ἐστιν ἡ φυσική ἑκάστης οὐσίας δύναμίς τε καί κίνησις, ἧς μόνον ἐστέρηται τό μή ὄν».

23. Τούτων τοίνυν οὕτω πάνυ σαφῶς διευκρινηθέντων καί τῆς διαφορᾶς μάλα ἐναργῶς, καί ὡς οὐκ ἄλλως ἐνῆν ἀποδεδειγμένης, «οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις», κατά τόν θεσπέσιον Παῦλον, «ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου», ταῖς τῶν Πατέρων δήπου θεοπνεύστοις θεολογίαις, ἔδει τούς καί ὁπωστιοῦν, ἔφη ἡ θεία σύνοδος, περί τούτου διαφέρεσθαι πειραθέντας, νῦν γοῦν, εἰ καί μή πρότερον, τήν τῆς φιλονεικίας νόσον τῆς ἑαυτῶν διανοίας εὐσεβῶς ἐξεληλακέναι, καί τοῖς κοινοῖς ἡμῶν καθηγεμόσι καί διδασκάλοις τῆς εὐσεβείας εὖ μάλα προθύμως ἐθελῆσαι πεισθῆναι, σάλπιγγος ἁπάσης περί διαφοράς οὐσίας θείας καί ἐνεργείας μονονουχί λαμπροτέρας φωνάς ἀφιεῖσι· καί μηδέν τι πλέον μηδόλως ἐπιχειρεῖν αὐτοῖς ἀντιβαίνειν καί πειρᾶσθαι πολυπραγμονεῖν περαιτέρω, τίς ἡ ἐνέργεια καί ποταπή ἡ διαφορά καί πῶς ἄν γένοιτο αὕτη.

24. Οὐ γάρ, ὡς ἔοικε, τοῦ Χρυσοστόμου πατρός ἀκηκόασιν, ἐν οἷς τό κατά Ἰωάννην θεῖον εὐαγγέλιον ἐξηγεῖται, διδάσκοντος ἀνερμήνευτον καί ἀπερινόητον καί ὑπέρ τούς τῆς φύσεως νόμους τήν θείαν ἐνέργειαν εἶναι. «Εἰ γάρ τούτου, φησί, τοῦ πνεύματος, οὗ τήν αἴσθησιν δέχῃ τῇ ἀκοῇ καί τῇ ἁφῇ ἑρμηνεῦσαι οὐκ οἶδας, οὐδέ τήν ὁδόν, πῶς τήν ἀπό τοῦ θείου Πνεύματος ἐνέργειαν περιεργάζῃ, τήν τοῦ ἀνέμου οὐκ ἐπιστάμενος, καίτοι φωνήν ἀκούων; Τό δέ, «ὅπου θέλει πνεῖ», πρός παράστασιν τῆς τοῦ Παρακλήτου εἴρηται ἐξουσίας. Εἰ γάρ τοῦτο οὐδείς κατέχει, ἀλλ' ὅπου θέλει φέρεται, πολλῷ μᾶλλον τήν τοῦ Πνεύματος ἐνέργειαν οὐ φύσεως δυνήσονται νόμοι κατασχεῖν, οὐχ ὅροι σωματικῆς γεννήσεως, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν». Οὐδέ γε τοῦ μεγάλου Βασιλείου ἀντιλέγοντος Εὐνομίῳ καί θεολογοῦντος, «ὡς ἄρα εἰ μέλλοιμεν ἅπαντα τῇ καταλήψει μετρεῖν, καί τό τοῖς λογισμοῖς ἀπερίληπτον μηδέ εἶναι τό παράπαν ὑπολαμβάνειν, οἰχήσεται μέν ὁ τῆς πίστεως, οἰχήσεται δέ ὁ τῆς ἐλπίδος μισθός». Πῶς δ' ἄν εἴημεν ἔτι τῶν μακαρισμῶν ἄξιοι, τῶν ἐπί τῇ πίστει τῶν ἀοράτων ἀποκειμένων, οἱ μόνοις τοῖς κατά λογισμόν ἐναργέσι πειθόμενοι; Πόθεν ἐματαιώθησαν τά ἔθνη καί ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν

πασιν ἀποσειομένους, ζῆλον ἀναλαβών ἄξιον μέν ἑαυτοῦ καί τῆς ἐκ παιδός ἀρετῆς, ἄξιον δέ τοῦ θρόνου, τόν μέν Ἐφέσου καί τόν Γάννου τῶν ἀρχιερατικῶν συμβόλων καί πάσης ἱερωσύνης ἀπογυμνοῖ, τοῦτο καί τῆς ἱερᾶς συμψηφισαμένης συνόδου· οἱ δέ σύν αὐτοῖς ἕτεροι, οἵ τε τῆς αἱρέσεως προϊστάμενοι καί οἱ τούτοις κακῶς ἑπόμενοι, τήν καταδίκην μεθ' ἑαυτῶν ἔχοντες, ἀποπέμπονται, τινῶν συγγνώμην αἰτησάντων καί διά μετανοίας ταύτης τετυχηκότων. Καί ἡ μέν συνέλευσις αὕτη ἐν τούτοις ἐτελεύτησεν.

18. Ἡμέραι δ' ἐξ ἐκείνου παρερρύησαν ὀλίγαι, οὕτω τοῦ γαληνοτάτου καί ἁγίου βασιλέως ἡμῶν κελεύσαντος καί θύραν μετανοίας ἐντεῦθεν τοῖς διαφερομένοις σοφῶς ὑπανοίγοντος. Τῶν δέ καί ἔτι ἀνιάτως ἐχόντων, ἔδοξε δίκαιον σύνοδον πάλιν ἑτέραν συγκροτηθῆναι, ὥστε δι' ἐξετάσεως φανερωτέραν γενέσθαι περί τῶν προβεβλημένων τήν τῆς εὐσεβείας ἀλήθειαν ἐκ τῶν τοῖς ἁγίοις τεθεολογημένων. Καί δή γενομένης, τῶν ἑτεροδοξούντων ἀπαντῆσαι μή βουληθέντων, ἀλλ' ἀπειπόντων τοῦτο καθάπαξ, ὁ εὐσεβέστατος ἐκέλευσε βασιλεύς, πολλῶν δογματικῶν κεφαλαίων προβεβλημένων εἰς ζήτησιν, πρῶτον μέν εἰ ἔστιν ἐπί Θεοῦ θεοπρεπής διάκρισις οὐσίας καί ἐνεργείας· ἔπειτα διακρίσεως ἀναφανείσης, πότερον, ἡ ἐνέργεια αὕτη κτιστή ἐστιν ἤ ἄκτιστος· τρίτον δέ εἴ γε ἄκτιστος ἀποδειχθείη ἡ θεοπρεπής αὕτη ἐνέργεια, πῶς ἄν τίς ἐκφύγοι τό μή παρά τοῦτο σύνθετον τόν Θεόν εἶναι νομίζειν, ὅπερ οἱ ἑτεροδοξοῦντες προφέρειν τολμῶσι τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ· τέταρτον δέ, εἴγε ἡ φωνή τῆς θεότητος οὐκ ἐπί τῆς οὐσίας μόνον, ἀλλά καί τῆς θείας ἐνεργείας παρά τῶν θεολόγων ὕμνηται· καί ἐκ τούτου γάρ τήν τῆς διθεΐας ἀμορφίαν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καταχέουσιν οἱ ταύτης πολέμιοι· πέμπτον δέ, εἴπερ οἱ θεολόγοι κατά τι τήν οὐσίαν τῆς ἐνεργείας ὑπερκεῖσθαί φασιν, ἐπεί καί τοῦτο τοῖς ἐναντίοις ὑπό μέμψιν τελεῖ· καί λοιπόν ἔτι Θεοῦ μετεχομένου, πότερον κατά τήν οὐσίαν ἡ μετοχή ἤ κατά τήν ἐνέργειαν. Τοσούτων προκειμένων ἡμῖν ζητημάτων ἀρτίως, οὐ χρή περί πάντων ὁμοῦ ποιεῖσθαι τούς λόγους· γένοιτο γάρ ἄν οὕτως ἡ τοῦ ζητουμένου κατάληψις οὐδαμῶς ἀκριβής, οὐδέ κατά τήν ἡμετέραν πρόθεσιν, ἀλλά περί ἑκάστου ἰδίᾳ διαλαβόντες ἐφ' ἕτερον ἤδη χωρῶμεν, ὁδηγοῖς ἁπλανέσι χρώμενοι τοῖς σεπτοῖς θεολόγοις.

19. Καί πρῶτον, εἰ δοκεῖ, περί τοῦ πρώτου λέγωμεν. Ἆρ' ἔστι θεοπρεπής ἐπί Θεοῦ διάκρισις οὐσίας καί ἐνεργείας, ὅπερ τοῖς διαφερομένοις ἀπείρηται, πολλά τε ἄλλα ἄτοπα καί πολυθεΐαν ἐκ τούτου συνάγειν οἰομένοις, ἤ ταὐτόν πάντῃ καί ἀδιάφορον; Ταῦτα τοῦ κρατίστου βασιλέως κελεύσαντος, ἡ θεία σύνοδος τοῖς λεγομένοις προσχοῦσα, οὐκ ἄλλην, εἶπον, ἴσμεν ὁδόν, εὐσεβέστατε βασιλεῦ, ῥᾳδίως πρός ἀλήθειαν φέρουσαν, ἤ ταύτην, ἥν ἀρτίως ἡμῖν ὑπέδειξας. Καί τῶν θεολόγων ὡς ἔχουσι περί τούτων γνώμης εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων, ἀπεδείχθη ὅτι οἱ μή μετά τοῦ ἡνωμένου καί τό διακεκριμένον τῆς θείας οὐσίας καί ἐνεργείας πρεσβεύοντες ἄθεοί τέ εἰσι καί πολλοῖς ἑτέροις ἀτόποις ἑαυτούς περιβάλλουσι. Κατά γάρ τόν μέγαν Διονύσιον, «τό μηδεμίαν δύναμιν ἤ ἐνέργειαν ἔχον οὔτε ἐστίν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις οὐδέ ἀφαίρεσις». Τό δέ ἔχον, οὗ ἔχει κατά τι διαφέρει πάντως. Εἰ οὖν οὐκ ἔστι διαφορά τῆς θείας οὐσίας καί ἐνεργείας, οὐκ ἔστιν ἔχειν ἔχει· ἀλλ' εἴ τι καί λέγεται εἴτε παρά τῆς ἀνθρωπίνης συνηθείας, εἴτε παρά τῆς θείας Γραφῆς, τῶν περί αὐτήν ἀποσημανθέντων ἐστί τι. Αὐτή δέ ἡ θεία φύσις ἄφραστός τε καί ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τήν διά φωνῆς σημασίαν. Λαβέτωσαν δέ τῆς ἀνοήτου αὐτῶν βλασφημίας καί τόν ὄφιν κατήγορον, ὅς δείκνυσιν, ὅτι τό τῆς θεότητος ὄνομα τῆς ὁρατικῆς ἐνεργείας τήν σημασίαν ἔχει... Συμβουλεύων γάρ ἅψασθαι τῶν ἀπηγορευμένων, τοῦτο ἐπαγγέλεται, ὅτι ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοί καί ἔσεσθε ὡς θεοί. Ὁρᾷς, ὅτι τήν θεατικήν ἐνέργειαν προσμαρτυρεῖ τῇ φωνῇ τῆς θεότητος; Οὐ γάρ ἔστι θεάσασθαί τι μή τῶν ὀφθαλμῶν ἀνοιγέντων. Οὐκοῦν οὐχί φύσιν, ἀλλά τήν θεατικήν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησιν». Καί πάλιν ὁ αὐτός πρός Ἀβλάβιον γράφων, «Θεός, φησίν, ἐνεργοῦντα δηλοῖ· θεότης δέ ἐνέργειαν· οὐδέν δέ τῶν τριῶν ἐνέργεια, ἀλλά μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν».

16. Οὕτω δέ διά πάντων τούτων ἐξελεγχθέντων, προσεκλήθησαν παρά τῆς Ἐκκλησίας εἰς μετάνοιαν, πολλά πρότερον τοῦ γαληνοτάτου βασιλέως ἡμῶν μή ἀποπηδῆσαι τοῦ καλοῦ τῆς μετανοίας φαρμάκου λόγοις πολύ τό ἐπαγωγόν καί χαρίεν ἔχουσι παρακεκλημένος αὐτούς. Οἱ δέ οὐ κατεδέξαντο, ἄντικρυς λέγοντες, τό «ὁδούς σου εἰδέναι οὐ βούλομαι». Ἐνέμενον γάρ οἷς κακῶς ἔγνωσαν ἐξ ἀρχῆς. Διά τοῦτο κελεύσει θείᾳ τοῦ κρατίστου βασιλέως ἡμῶν καί τοῦ ἁγιωτάτου καί οἰκουμενικοῦ πατριάρχου ἀνεγνώσθη τόμος, ἐπί καθαιρέσει μέν προβάς πρό καιροῦ τινος, τοῦ Ἐφέσου, τοῦ Γάννου καί ἑτέρων, ὡς τά Βαρλαάμ καί Ἀκινδύνου νενοσηκότων· μήπω δέ εἰς ἔργον προβάς, διά τό τήν ἐπιστροφήν αὐτῶν καί μετάνοιαν ἀναμένειν, καί πᾶσι τρόποις καί μηχαναῖς ἀνακαλεῖσθαι ταύτην ὅλῃ προθυμίᾳ τε καί σπουδῇ. Καί ἀναγνωσθέντος, ἤρξατο ὁ τιμιώτατος μέγας χαρτοφύλαξ καί ὕπατος τῶν φιλοσόφων, κατά τό ἐκκλησιαστικόν ἔθος, ἑρωτᾶν ἕκαστον, ὅπως ἔχει γνώμης περί τῶν κατά μέρος λαληθέντων τε καί ἐξετασθέντων δογματικῶν κεφαλαίων. Καί πάντες ἑνί στόματι καί ἐξ ἑνός κινούμενοι Πνεύματος, μετά τοῦ ἡνωμένου καί θεοπρεπῆ διάκρισιν καί διαφοράν τῆς θείας οὐσίας καί ἐνεργείας φανερῶς ὡμολόγησαν, τοῖς θεολόγοις ἑπόμενοι, ἄκτιστόν τε τήν θείαν ἐνέργειαν, καθά δῆτα καί τήν οὐσίαν ἔστερξαν· καί θεότητα καί ταύτην δή τήν θείαν ἐνέργειαν ὀνομάζεσθαι παρά τῶν αὐτῶν θεολόγων ἀκούσαντες, ἀσμένως ἐδέξαντο.

17. Ἐπί τούτοις ἐρωτηθείς καί ὁ ἁγιώτατος καί οἰκουμενικός Πατριάρχης καί αὐτός τήν οἰκείαν γνώμην ἐξενεγκεῖν, λόγον τε διεξελθών πρότερον περί διαφορᾶς θείας οὐσίας καί ἐνεργείας, καί τούς παρά τῶν ἁγίων λεγομένους τῆς διαφορᾶς τρόπους πάντα καλῶς καί κατά μέρος διευκρινήσας, ἔτι τε καί τό ἡνωμένον καί ἀχώριστον ταύτης πρός τήν θείαν οὐσίαν ἀποδείξας, ἐν οἷς καί ἄκτιστον τήν θείαν ἐνέργειαν καί θεότητα παρά τῶν ἁγίων εἰρῆσθαι ἀπεφήνατο, τῆς πρός τούς διαφερομένους ἔπειτα παραινέσεως ὅλος ἐγένετο, παρακαλῶν, νουθετῶν, ἐλέγχων, πᾶσι τρόποις πρός μετάνοιαν αὐτούς ἐκκαλούμενος, καί τήν πρός τούς ἁγίους καί τήν ἱεράν σύνοδον συμφωνίαν μεθ' ὅ,τι πλείστης προθυμίας τε καί σπουδῆς θεοφιλῶς προτρεπόμενος. Ὡς δέ καί οὕτω τούτοις ἑώρα ἀνιάτως ἔχοντας, τῶν τε προτέρων βλασφημιῶν ἐχομένους καθάπαξ, καί τήν μετάνοιαν παντά-

τούς ἁγίους εὐσεβῶς θεωρούμενον, οὐδ' ὁτιοῦν ὑπό θατέρου παραβληθῆναι δυνήσεται.

28. Ἀλλά καί ὁ Νύσσης θεῖος Γρηγόριος τήν ἐν τοῖς αἰτίοις τούτοις καί αἰτιατοῖς διαφοράν εὖ μάλα εἰδώς ἀληθείας ἐξεχομένην καί μηδ' ὁπωσοῦν τῷ κατά τήν φύσιν ἀδιαφόρῳ λυμαινομένην, Ἀβλαβίῳ γράφων, «τό ἀπαράλλακτον, ἔφη, τῆς φύσεως ὁμολογοῦντες, καί τήν κατά τό αἴτιον καί αἰτιατόν διαφοράν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τό ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, ἐν τῷ τό μέν αἴτιον πιστεύειν εἶναι, τό δ' ἐκ τοῦ αἰτίου». Ὁ δέ γε ἀδελφός αὐτοῦ καί μέγας ὄντως Βασίλειος τοσαύτην φαίνεται ἁπαξαπλῶς τοῖς αἰτίοις τούτοις καί αἰτιατοῖς τήν διαφοράν παρέχων, ὡς καί τάξιν ἐκ φυσικῆς ἀκολουθίας ἐπ' αὐτήν δογματίζειν, καί τό πρότερον καί τό δεύτερον ἐπί τε αἰτίου καί αἰτιατοῦ λέγειν οὑτωσί διαῤῥήδην, καί τῶν ἀτόπων καί τῶν παραλόγων εἶναι νομίζειν τό μή ὁμολογεῖν, ἀλλ' ἀρνεῖσθαι ταῦτα πειρᾶσθαι, καί ἥ μή συνιδεῖν τήν διαφοράν ταύτην τόν Εὐνόμιον ἔφη, ἥ καί ἀποκρύψασθαι ταύτην ἑκόντα, γράφων. «Ἐκεῖνον δέ ἥ οὐ σύνοιδεν ὁ Εὐνόμιος, ἥ ἑκών ἀπεκρύψατο· ὅτι ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατά φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρί πρός τό φῶς ἐστι τό ἐξ αὐτοῦ. Ἐν τούτοις γάρ πρότερον τό αἴτιον λέγομεν· δεύτερον δέ τό ἀπ' αὐτοῦ οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλά τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τό αἴτιον». Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τήν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καί δεύτερον, οὐ κατά τήν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατά φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Πάρεστι τοίνυν ἅπασιν ἀκριβῶς συνιδεῖν ἐκ τούτων τοῖς καί ὁπωσοῦν λογίζεσθαι δυναμένοις, ὅπως τόν ἴσον τρόπον ἀληθείας ὁμοῦ καί εὐσεβείας ἐμέλησε τῷ ἁγίῳ. Τῷ μέν γάρ «οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνίστασθαι φάναι, ἀλλ' αὐτῇ τῇ κατά φύσιν ἀκολουθίᾳ συμβαίνειν», ἐξ ἀφύκτου καί πολλῆς καί φυσικῆς ἀνάγκης καί λαμπρᾶς ἀληθείας ἔδειξαν οὖσαν τήν ἐν τῇ τάξει ταύτῃ διαφοράν τῶν αἰτιατῶν τε καί τῶν αἰτίων, καί ἄλλως ἔχειν μηδέποτε ἐγχωροῦσαν, ἀλλ' ἀεί τούτοις ἀναγκαίως αὐτήν ἐνθεωρουμένην· τῷ δέ μή διαστήματι, ἀλλά τῷ λογισμῷ χωρίζειν ταῦτα ἐπενεγκεῖν, καί τήν ἐν τῷ προτέρῳ καί δευτέρῳ διαφοράν μόνῳ τῷ νῷ θεωρεῖν, φαίνεται δήπου τό τῆς ἑνώσεως χρῆμα σφόδρα εὐσεβῶς κατησφαλισμένον, καί μηδεμίαν εἰς αὐτήν ἐκ τῆς διακρίσεως ταύτην βλάβην εἰσάγων, ἀλλ' αὐτήν τε τήν ἕνωσιν ἀσύγχυτον εἶναι θεολογῶν, καί τήν διαφοράν ἀδιαίρετον πάντῃ διδάσκων. Πάλιν τοίνυν Εὐνομίου τήν τοιαύτην διαφοράν παντάπασιν ἀνελεῖν πειρωμένου, ὁ μέγας οὗτος, «πῶς φησίν, οὐδεμίαν διαφοράν καταλείπεις, οὐδέ τήν ἐν τοῖς αἰτίοις πρός τά ἐξ αὐτῶν ἐνυπάρχουσαν»; Οὕτω τό μηδεμίαν διαφοράν ἐπί τῶν αἰτίων καί αἰτιατῶν εἶναι δοξάζειν, τῆς Ἀρείου καί Εὐνομίου μανίας πρόδηλός ἐστι τόκος. Ἐκεῖνοι γάρ τό ὁμοούσιον ἀναιρεῖν πᾶσι τρόποις ἐσπουδακότες, ἀκηκοότες ἐν εὐαγγελίοις τοῦ Κυρίου τόν Πατέρα μείζονα ἑαυτοῦ εἰρηκότος, καί ταύτην πάντως διαφοράν ἐννοεῖν δεδωκότος, ἐντεῦθεν εὐθύς τήν μέν κατά φύσιν διαφοράν δυσσεβῶς παρεισάγειν ἐτόλμων, τήν δέ κατά τό αἴτιον καί αἰτιατόν, ὡς μηδεμίαν μηδαμοῦ φυσικήν ἀλλοτρίωσιν ἤ διαίρεσιν δυναμένην εἰσάγειν εἰδότες, ἀλλά καί οὕτω τήν τῆς φύσεως ἕνωσιν ἀδιάλυτον ἀεί συντηροῦσαν, ἀπηρνοῦντο καθάπαξ. Πρός οὕς οἱ τρεῖς οὗτοι, τόν ὑπέρ τῆς Τριάδος ἀνελόμενοι γενναίως ἀγῶνα, ὡς ἐκείνων τήν δυσσέβειαν ταύτην οὖσαν, καί τό μέγα καί ὑπερφυές τῆς Τριάδος μυστήριον ἀναιροῦσαν, τῆς ἡμετέρας αὐτό Ἐκκλησίας ἀπελαύνουσιν ὡς δυνατόν ῥᾳδιώτατα.

29. Τοιγαροῦν εἰκότως οἱ μέν τήν διαφοράν ταύτην ἀθετοῦντες νῦν τῆς ἐκείνων κακοδοξίας ἁλίσκονται μετεσχηκότες, οἱ δέ στέργειν τε καί ἀσπάζεσθαι προθύμως ὁμολογοῦντες, τῆς τῶν ἁγίων τούτων εὐσεβείας τε καί θεολογίας, μᾶλλον δέ τῆς τοῦ Χριστοῦ μερίδος διατελοῦσιν ὄντες, ἡνωμένως κατ' αὐτούς τά θεῖα διακρίνοντες καί διακεκριμένως ταῦτα ἑνοῦντες. Ἕν μέν δή καί πρῶτον καί κυρίως ἄν τις φαίη τῆς τε θείας οὐσίας καί ἐνεργείας διακρίσεως εἶδος. Διενηνόχασι δ' ἀλλήλων καί τῷ τήν μέν θείαν ἐνέργειαν μετέχεσθαι καί μερίζεσθαι ἀμερίστως καί ὀνομάζεσθαι καί νοεῖσθαί πως, εἰ καί ἀμυδρῶς, ἐκ τῶν αὐτῆς ἀποτελεσμάτων, τήν γε μήν οὐσίαν ἀμέθεκτον καί ἀμέριστον καί ἀνώνυμον εἶναι, ὡς ὑπερώνυμον δηλονότι καί ἀπερινόητον παντελῶς.

30. Μετά τοῦτο ἐζητήσαμεν ἀποδειχθῆναι παρά τῶν ἁγίων, εἰ ἔστιν ἄκτιστος ἡ ἀχώριστος μέν, διαφέρουσα δέ τῆς θείας φύσεως αὕτη ἐνέργεια, ὅπερ οἱ ἀντιλέγοντες τῇ Ἐκκλησίᾳ ἥκιστα ἐδέχοντο. Καί ἀπεδείχθη καί τοῦτο ὑπό τῶν ἁγίων ἐναργῶς κηρυττόμενον· ὧν κεφάλαιον ἡ ἁγία καί οἰκουμενική ἕκτη σύνοδος, καθώς ἀνωτέρω διά τῶν κατά μέρος προτεθέντων αὐτῆς ῥητῶν μάλιστα ἱκανῶς ἀποδέδεικται. Συναπεδείχθη δέ καί τοῦτο, ὅτι οἱ μή δεχόμενοι ἄκτιστον τήν ἀχώριστον μέν καί φυσικήν τῆς θείας οὐσίας ἐνέργειαν, διαφέρουσαν δέ αὐτῆς, ὥσπερ εἴρηται, κτίσμα τε ποιοῦσι καί αὐτήν τήν οὐσίαν τοῦ Θεοῦ. Κατά γάρ τόν ἅγιον Μάξιμον, «ἀπό τῆς ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται», τῆς μέν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστήν δέ τῆς κτιστῆς. Ἔτι δέ κατά τόν Δαμασκηνόν θεῖον Ἰωάννην φάσκοντα: «ἡ κτιστή ἐνέργεια κτιστήν δηλώσει καί φύσιν, ἡ δέ ἄκτιστος ἄκτιστον χαρακτηρίζει οὐσίαν». Οἱ οὖν λέγοντες κτιστήν τήν θείαν ἐνέργειαν, ἀφ' ἧς ἡ θεία φύσις χαρακτηρίζεται, κτιστήν ἐξ ἀνάγκης παριστῶσι καί τήν θείαν φύσιν.

31. Οὐ μήν ἀλλά καί Μονοθελῆταί εἰσι, τῶν πώποτε ἐκείνων χείρους καί ἀτοπώτεροι, καί προαιώνια δοξάζουσιν εἶναι κτίσματα. Ἐπεί γάρ δύο φύσεις ὁμολογοῦμεν ἐπί τοῦ Κυρίου ἡμῶν Χριστοῦ, τήν μέν ἄκτιστον, τήν δέ κτιστήν, οἱ μή λέγοντες ἔχειν τήν θείαν φύσιν καί θέλημα καί ἐνέργειαν ἄκτιστον, ἕν θέλημα καί μίαν ἐνέργειαν δοξάζουσιν ἐπί Χριστοῦ, ὅπερ ἡ ἕκτη Σύνοδος ἀπεκήρυξε καί ἀνεθεμάτισε. Κἀντεῦθεν Μονοθελῆται καί αὐτοί φανερῶς ἀναδείκνυνται· χείρους δέ ἐκείνων πολλῷ, ὅσον κἀκεῖνοι μέν ἕν θέλημα καί μίαν ἐνέργειαν ἔλεγον ἐπί Χριστοῦ, ἀλλά ἄκτιστον, τήν κτιστήν δήπουθεν ἀναιροῦντες· οὗτοι δέ ἕν θέλημα καί μίαν ἐνέργειαν, ἀλλά κτιστήν, τήν ἄκτιστον φανερῶς μή δεχόμενοι. Ἀλλά καί τοῦ μεγάλου Βασιλείου ἐν τοῖς πρός Ἀμφιλόχιον γράφοντος, «τά μέν ὀνόματα τοῦ Πνεύματος τοιαῦτα ὑπερφυῆ καί μεγάλα, οὔμενουν ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν, αἱ δέ ἐνέργειαι τίνες; ἄῤῥητοι μέν διά τό μέγεθος, ἀνεξαρίθμητοι δέ διά τό πλῆθος· πῶς γάρ νοήσωμεν τά τῶν αἰώνων ἐπέκεινα»; Τίνες ἦσαν αὐτοῦ πρό τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; Οἱ λέγοντες κτιστάς

καρδίᾳ; οὐκ ἐπειδή τοῖς τῷ λογισμῷ φαινομένοις ἀκολουθοῦντες, τῷ κηρύγματι τοῦ Πνεύματος ἀπειθοῦσι; Τίνας δέ Ἡσαΐας ἀπολωλότας ὀδύρεται, «οὐαί οἱ σοφοί παρ' ἑαυτοῖς καί ἐνώπιον αὐτῶν ἐπιστήμονες;» οὐ τούς τοιούτους;

25. Ταῦτα μέν οὖν ἐχρῆν αὐτούς τῶν ἁγίων θεολογούντων ἀκούειν καί γ' εὐθύς ἀσμένως ὑπακούειν, ὡς ἥδιστά τε τούτοις προσεσχηκέναι καί ἀβασανίστως ταῖς τήν διαφοράν σημαινούσαις θείαις φωναῖς αὐτῶν ὑποπεπτωκέναι, εὐσεβεῖ σιωπῇ ταύτην στέργοντάς τε καί δεχομένους, τό δ' ὅπως ἤ μηδαμοῦ ἤ μή ἐπ' ἀναιρέσει τῆς διαφορᾶς προστιθέντας, εἴπερ ἄρα τοῖς καί ὁπωσοῦν εἰς εὐσεβοῦντας τελεῖν δοκοῦσιν ἑαυτούς συγκαταλέγειν ἠξίουν. Ἐπεί δέ εἰς τοσοῦτον ὕβρεως καί ἀναιδείας, μᾶλλον δέ παραπληξίας ἀφίκοντο, ὡς καί κατ' αὐτῶν μανῆναι τῶν τε ἁγίων καί Οἰκουμενικῶν Συνόδων καί πάντων, ὡς εἰπεῖν, τῶν ἱερῶν θεολόγων, καί τολμᾶν εἰς εὐθύνας ἤδη καί τούτους ἄγειν, καί τούς μέν φεῦ! τῶν ἑλληνικῶν ἔτι καί συντρόφων αὐτοῖς δογμάτων ἀπόζειν λέγειν, τούς δ' ἀμαθείας γράφεσθαι πλείστης, ὅλην καί ταῦτα σύνοδον ὄντας, ἐνίους δ' ὑπ' ἀνάγκης εἰς ταύτην τήν θεολογίαν ἐξῆχθαι, καίτοι μαρτυρίου θάνατον προθύμως ὑπέρ αὐτῆς ἑλομένους, ἄλλους δ' ἐγκωμιάζοντας οὐκ ἀληθεύοντας ταῦτα γράψαι, (ὦ πῶς ἄν τις ἐν μέρει λέγειν τάς αὐτῶν ἀνάσχοιτο βλασφημίας;), φέρε νῦν ἡμεῖς, διά τό μή καταδέχεσθαι τῶν φιλοχρίστων τήν ἀκοήν, ὥς πού τις ἔφη τῶν παρ' αὐτῶν ἀθετουμένων Πατέρων, ὅ τί ποτε περί θείου δόγματος εἴρηται τοῖς ἁγίοις, μή σφόδρα ἀληθείας καί θεολογικῆς ἀκριβείας ἐξηρτημένον, τῷ παρ' αὐτῶν πρεσβευομένῳ Θεῷ θαῤῥήσαντες, περί τε ἑνώσεως καί διακρίσεως τρόπου θείας οὐσίας καί ἐνεργείας βραχέα ἅττα πειραθῶμεν διεξιέναι, οὐκ οἴκοθεν λογισμούς ἐφευρίσκειν ἐπιχειροῦντες εἰς συνηγορίαν τινά τῶν ὑπ' αὐτῶν εὐσεβῶς πάλαι τεθεολογημένων, ἀλλ' ὅν περ ἁπανταχοῦ τηρεῖν ἐσπουδάκαμεν νόμον, τά τῆς Ἐκκλησίας δόγματα διά τῶν τῆς Ἐκκλησίας διδασκάλων πιστοῦσθαι, καί μηδαμοῦ παρ' ἑαυτῶν προστιθέναι ἤ ἀφαιρεῖν τῶν τούτοις δογματισθέντων. Τούτῳ δή κεχρημένοι κἀνταῦθα, τήν θείαν ἐνέργειαν ἐκ τῆς θείας οὐσίας εἶναι διαῤῥήδην τῶν ἁγίων βοώντων ἀκηκοότες, οὐχ ὡς τά πάντα ἐκ τοῦ Θεοῦ, καί ταύτην εἶναι νομίζομεν, καθάπερ τοῖς διαφερομένοις σύν πολλοῖς ἑτέροις ἀτόποις καί τοῦτο δοκεῖ. Τό μέν γάρ ἐκ τοῦ Θεοῦ κἀπί τῶν κτισμάτων εἴρηται, τό δ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἐπ' οὐδενός εἴρηταί ποτε τῶν ποιημάτων· μάλιστα μέν οὖν καί ἀπείρηται παντελῶς τοῦτό γε τοῖς ἁγίοις.

26. Ὅ τε γάρ μέγας Βασίλειος, «τό ποιούμενον, φησίν, οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντός ἐστι»· καί ὁ θεῖος Δαμασκηνός, «ἡ κτίσις, εἰ καί μετά ταῦτα γέγονεν, ἀλλ' οὐκ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας»· καί πάλιν, «κτίσις δέ καί ποίησις, τό ἔξωθεν καί οὐκ ἐκ τῆς οὐσίας τοῦ κτίζοντος καί ποιοῦντος γενέσθαι τό κτιζόμενον καί ποιούμενον, ἀνόμοιον παντελῶς». Οὐ μήν, ἀλλ' οὐδ' ὡς ἔξω τῆς θείας οὐσίας αὐτήν, ἐκ τῆς θείας οὐσίας ὑπειλήφαμεν εἶναι, ὥσπερ καί τοῦτο ληρεῖν οὐ τοσοῦτον ἀσεβῶς ὅσον ἀμαθῶς τοῖς δι' ἐναντίας ἐπῆλθεν, μήποτέ τις οὕτω φρενῶν ἐκσταίη· ἀλλ' οὐσιώδη καί φυσικήν ταύτην τοῦ Θεοῦ κίνησιν οὖσαν κατά τούς θεολόγους εἰδότες, ὡς ἐκ πηγῆς ἀεννάου φαμέν τῆς θείας οὐσίας προέρχεσθαί τε καί πηγάζειν, καί ταύτης χωρίς οὐδέποτε θεωρεῖσθαι· ἀλλ' ἀδιαίρετον αὐτῆς ἀεί διαμένειν, ἐξ ἀϊδίου τε τῇ θείᾳ συνυπάρχειν οὐσίᾳ, καί ἀχωρίστως ἡνωμένην εἶναι, μήτ' αἰῶνι μήτε χρονικῷ ἤ τοπικῷ τινι διαστήματι τῆς θείας οὐσίας διαιρεῖσθαί ποτε δυναμένην, ἀλλ' ἀχρόνως τε καί προαιωνίως ἐξ αὐτῆς τε προϊοῦσαν καί ἀδιασπάστως αὐτῇ συνοῦσαν. Ὁ γάρ μέγας Ἀθανάσιος, «ὅταν δέ, φησί, τά πάντα ἐνεργεῖται ὑπό τοῦ Θεοῦ διά Χριστοῦ ἐν ἁγίῳ Πνεύματι, ἀχώριστον ὁρῶμεν ἐνέργειαν τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος». Καί ὁ ἐν ἁγίοις θεῖος Ἀναστάσιος, οὗ καί ἡ ἁγία καί οἰκουμενική σύνοδος μεμνημένη, μέγαν τοῦτον προσείρηκεν, ἐν τῷ περί ἀπεριγράπτου δευτέρῳ λόγῳ αὐτοῦ, «ἴδωμεν, φησίν, οἷα λέγειν περί Θεοῦ ἀνέχονται οἱ αἱρετικοί· τῇ ἐνεργείᾳ φασίν ἐν πᾶσίν ἐστιν ὁ Θεός, τῇ οὐσίᾳ δέ οὐδαμοῦ, ἐνέργειαν λέγοντες τό προϊόν ἐκ τῆς ἐνεργείας ἀποτέλεσμα· φαίην δ' ἄν ἔγωγε, τῆς τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τήν ἐνέργειαν αὐτοῦ». Καί μετά τινα· «ἔνθα ἄν ἡ ἐνέργεια φάναι, συνθεωρεῖται ταύτῃ καί ἡ οὐσία, ἐξ ἧς προέρχεται· ἑκάτερον γάρ ἀπερίγραπτον, καί διά τοῦτο παντελῶς ἀλλήλων ἐστίν ἀχώριστα· κηρύττει μέν γάρ ἡ ἐνέργεια τήν λανθάνουσαν οὐσίαν, θεωρεῖται δέ συμπαροῦσα τῇ ἐνεργείᾳ, χωρίς αὐτῆς εἶναι μή δυναμένη». Καί αὖθις· «περί τό πᾶν ἐστιν ἡ ἐνέργεια, ταύτης δέ ἀχώριστος ἡ οὐσία καθέστηκεν».

27. Ἀλλά μήν ὥσπερ τήν ἕνωσιν θείαν καί ἄϊδιον οὐ μόνῳ τῷ ἀχωρίστῳ, ἀλλ' ἄλλοις τε πολλοῖς καί δή καί τῇ κοινότητι τοῦ ἀκτίστου καί ἀπεριγράπτου κατά τήν τῶν ἁγίων θεολογίαν κηρύττομεν, οὕτω καί τήν διάκρισιν καί διαφοράν πάλιν κατ' αὐτούς θεοπρεπῆ καί ταύτην δοξάζειν ἐγνώκειμεν· οὐκ εἰς παντελῆ διασπασμόν ἐντεῦθεν αὐτά καί διαίρεσιν κατασπῶντες, οὐδέ τινα ἔκφυλον τήν διαφοράν ταύτην καί φυσικήν ἀλλοτρίωσιν ἐννοοῦντες, ἤ διαστήμασι χωρίζοντες ἀλλήλων ταῦτα, ἄπαγε, ἀλλ' οἵαν ἐπιδέχεσθαι τά κατά φύσιν αἴτια καί αἰτιατά μεμνήμεθα παρά τῶν ἁγίων, μόνῳ τῷ λογισμῷ θεοπρεπῶς διακρίνοντες τά φύσει ἡνωμένα καί ἀδιαίρετα. Ἀθανάσιος γάρ ὁ μέγας ἐν τῷ κατά Ἀρειανῶν πέμπτῳ λόγῳ αὐτοῦ, «ἄλλο, φησίν, εἶναί τό ἔκ τινος καί ἄλλο τό ἐξ οὗ ἐστι· κατά τοῦτο ἄρα δύο. Εἰ δέ μή δύο εἴη, ἀλλ' ἐπί τοῦ αὐτοῦ λέγοιτο, ἔσται τό αὐτό αἴτιον καί αἰτιατόν, γεννῶν καί γεννώμενον, ὅπερ ἄτοπον ἐπί Σαβελλίου δέδεικται». Οὐκοῦν καί τῆς ἐνεργείας ἐκ τῆς οὐσίας εἶναι κατά τούς θεολόγους ἅπαντας πεπιστουμένης, τό τε ἄλλο καί ἄλλο εἶναι καί δύο εἶναι, κἀντεῦθεν διενηνοχέναι ἀλλήλων, ἐναργῶς ἀναπέφηνε, κατά τό ἐξ οὗ καί ἔκ τινος, τό αἴτιον δηλαδή καί τό αἰτιατόν, ὡς ὁ πολύς οὗτος τά θεῖα διδάσκει θεολογῶν. Καί μετά τινα· «ἔστω δέ, φησί, παράδειγμα ἀνθρώπινον τό πῦρ καί τό ἐξ αὐτοῦ ἀπαύγασμα· δύο μέν τῷ εἶναι καί ὁρᾶσθαι, ἕν δέ τῷ ἐξ αὐτοῦ καί ἀδιαίρετον εἶναι τό ἀπαύγασμα αὐτοῦ». Ὥσπερ τοίνυν ἐπί τοῦ πυρός καί τοῦ ἐξ αὐτοῦ φωτός, τοῦ μέν φύσεως καί αἰτίου ὄντος, τοῦ δέ φυσικοῦ καί αἰτιατοῦ, τό τε ἕν διά τό ἀχώριστον, καί τό διάφορον αὖθις καί διά τό αἴτιον καί αἰτιατόν εἴρηκεν, οὕτω κἀπί τῆς θείας φύσεως καί τῆς ἐξ αὐτῆς ἐνεργείας, τό ἕν καί τό διάφορον ἡμῖν ἐκληπτέον· τό μέν κατά τό ἡνωμένον καί ἀδιαίρετον, τό δέ κατά τό αἴτιον καί τό ἐξ αὐτοῦ δή τοῦ αἰτίου. Οὔτε γάρ τό ἕν τήν διαφοράν ἀπευλάνει, οὔτε μήν ὅλως ἡ διαφορά τό ἕν ἀνατρέπει· ἀλλ' ἑκάτερον κατά

πρός Γάϊον δευτέρᾳ ἐπιστολῇ «θεότητα, φησίν, εἶναι τό χρῆμα τοῦ θεοποιοῦ δώρου, καί τό ἀμίμητον μίμημα τοῦ ὑπερθέου καί ὑπεραγάθου, καθ' ὅ θεούμεθα καί ἀγαθυνόμεθα».

36. Ἐπί τούτοις, ἐπειδήπερ τήν τοιαύτην δωρεάν τοῦ Πνεύματος καί ἐνέργειαν, δηλαδή τήν θέωσιν, καθ' ἥν οἱ ἅγιοι θεοῦνται, θεότητα παρά τῶν ἁγίων προσαγορευομένην, οἱ τῷ Θεσσαλονίκης ἀντιλέγοντες λέγουσιν εἶναι θεότητα κτιστήν, κατασκευάζοντες δῆθεν τοῦτο ἐκ τοῦ ὑποστάτην αὐτῆς εἰρῆσθαι παρά τοῦ μεγάλου Διονυσίου τόν Θεόν, καί μίμημα καλέσαι ταύτην καί τῶν μετεχόντων σχέσιν, δυσσεβῶς μέν αὐτούς λέγειν ἀπεφήνατο ἡ ἱερά σύνοδος. Ὅμως ζητηθέντος καί τούτου παρά τῆς θείας συνόδου, εἴπερ εἰπέ τις ἁγίων ἄκτιστον εἶναι τήν θέωσιν, καί εἴπερ ἡ σχέσις καί τό μίμημα καί τό «ὑπέστη» καί ἐπί τῶν ἀκτίστων λέγεται, προεκομίσθησαν ῥήσεις τῶν ἁγίων, οὐκ ἀεί ἐπί κτιστῶν δηλοῦσαι λέγεσθαι ταῦτα. Ὁ γάρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησιν· «ὁ τετοκώς βώλους δρόσου οὐχ ὁμοίως τάς τε βώλους καί τόν Υἱόν ὑπεστήσατο». Κἀν τῷ πρώτῳ δέ τῆς Ἑξαημέρου, «ἵνα δειχθῇ, φησίν, ὅτι ὁ κόσμος τεχνικόν ἐστι κατασκεύασμα, προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥστε δι' αὐτοῦ τήν τοῦ ποιήσαντος αὐτόν σοφίαν ἐπιγινώσκεσθαι, οὐκ ἄλλῃ τινί φωνῇ ἐχρήσατο ὁ σοφός Μωϋσῆς περί αὐτοῦ, ἀλλ' εἶπεν, «ἐν ἀρχῇ ἐποίησεν», οὐχί ἐνήργησεν, οὐδέ ὑπέστησεν, ἀλλ' «ἐποίησεν»· καθότι πολλοί τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τόν κόσμον, οὐχί γεγενῆσθαι παρ' αὐτοῦ συνεχώρησαν». Συναπεδείχθη δέ ἀπό τούτου, ὅτι καί τό ἐνεργεῖν καί τό ἐνεργεῖσθαι οὐ μόνον ἐπί κτιστῶν, ἀλλά καί ἐπί ἀϊδίων καί ἀκτίστων δύναται λέγεσθαι· ἐπεί καί τήν χάριν ἐνεργουμένην ἀκούοντες οἱ διαφερόμενοι, κτιστήν εὐθύς εἶναι νομίζουσιν. Ὁ γάρ μέγας ἐν θεολογίᾳ Γρηγόριος, «ἔστω, φησί, καί ἐνεργείας, εἰ τοῦτο δοκεῖ· οὐδέ οὕτως ἡμᾶς αἱρήσετε· αὐτό δέ τοῦτο ἐνηργηκώς ἄν εἴη τό ὁμοούσιον».

37. Καί ὁ Νύσσης δέ θεῖος Γρηγόριος, «οὐ τρεῖς θεούς ὀνομάζειν, φησίν, δυνάμεθα, τούς τήν θεϊκήν καί ἐποπτικήν ἐνέργειαν συνημμένως καί ἀδιακρίτως ἀλλήλων ἐφ' ἡμῶν τε καί πάσης τῆς κτίσεως ἐνεργοῦντας». Περί δέ τοῦ μιμήματος εἶπεν ὁ Θεσσαλονίκης, ὡς ὁ μέγας Διονύσιος τῷ μιμήματι τό ἀμίμητον προσέθηκεν ὥστε τό θεοποιόν δῶρον οὐ μᾶλλον μίμημα ἤ ἀμιμησία. Φησί δέ καί ὁ Θεολόγος Γρηγόριος μίμημα εἶναι καί τοῦ Πατρός τόν Υἱόν, γράφων ἐν τῷ δευτέρῳ τῶν περί Υἱοῦ. «Εἰκών τοῦ Πατρός ὁ Υἱός ὡς ὁμοούσιος, καί ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ. Αὕτη γάρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καί οὗ λέγεται». Ὥστε τό μίμημα οὐκ ἐμποδίζει πρός τό ἄκτιστον εἶναι τήν θέωσιν. Σχέσις δέ ἐστι καί ἡ τοῦ Θεοῦ πρόνοια πρός τα προνοούμενα, καί ἡ πρόγνωσις αὐτοῦ πρός τα προγινωσκόμενα, καί οἱ ἐξ ἀϊδίου ἐν τῷ Θεῷ προορισμοί πρός τά προοριζόμενα. Ἀλλ' ἑκάστῳ τούτων οὐκ ἐμπόδιόν ἐστι τό σχέσιν εἶναι πρός τό ἄκτιστον εἶναι, ὥς γε οὐδέ ἡ θεοποιός δωρεά τοῦ Πνεύματος, αὐτή ἡ θέωσις, ἔστι κτιστή, διότι σχέσις ἐστί πρός τά θεούμενα. Ὅτι γάρ ἄκτιστός ἐστι, σαφῶς καί συντόμως παραστήσει καί ὁ θεῖος Μάξιμος γράφων. « Ἡ θεία χάρις, εἰ καί ἀπόλαυσιν δίδωσι τοῖς κατά χάριν μετέχουσιν, ἀλλ' οὐ κατάληψιν. Μένει γάρ κἀν τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς ἀκατάληπτος, ὅτι κατά φύσιν ὡς ἀγένητος ἔχει τήν ἀπειρίαν». Καί πάλιν· «τοῦτό ἐστι τό τοῦ Θεοῦ εὐαγγέλιον, πρεσβεία Θεοῦ πρός ἀνθρώπους δι' Υἱοῦ σαρκωθέντος καί μισθόν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τήν ἀγένητον θέωσιν».

38. Μετά δέ τό φανῆναι καί τήν θείαν ἐνέργειαν θεότητα ὀνομαζομένην, ἐζητήσαμεν ἀποδειχθῆναι παρά τῶν θεολόγων, εἰ τῆς θείας ἐνεργείας ταύτης καί τῶν οὐσιωδῶς περί αὐτόν θεωρουμένων ὑπέρκειται κατ' οὐσίαν ὁ Θεός. Καί ἀνεφάνη καί τοῦτο παρά πάντων κηρυττόμενον τῶν ἁγίων. Συναπεδείχθη δέ καί τοῦτο, ὅτι οἱ μή τοῦτο παραδεχόμενοι ὄντως πολύθεοί εἰσι, πολλάς λέγοντες ἀρχάς, ὡς μή ἀναφέροντες εἰς ἕν αἴτιον καί μίαν ἀρχήν τά περί τόν Θεόν οὐσιωδῶς θεωρούμενα. Ὁ γάρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησιν. « Ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατά φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρί πρός τό φῶς ἔστι τό ἐξ αὐτοῦ. Ἐν τοῖς τοιούτοις γάρ πρότερον τό αἴτιον λέγομεν, δεύτερον δέ τό ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλά τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τό αἴτιον». Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τήν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καί δεύτερον, οὐ κατά τήν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατά φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Ἀλλά καί ἐν τοῖς πρός Ἀμφιλόχιον γράφει. «Αἱ δέ ἐνέργειαι τοῦ Πνεύματος τίνες; Ἄῤῥητοι μέν διά τό μέγεθος, ἀνεξαρίθμητοι δέ διά τό πλῆθος. Πῶς γάρ νοήσωμεν τά τῶν αἰώνων ἐπέκεινα; Τίνες ἦσαν αὐτοῦ πρό τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; Πόσαι δέ αἱ ἀπ' αὐτοῦ περί τήν κτίσιν χάριτες; Τίς δέ ἡ πρό τούς αἰῶνας τούς ἐπερχομένους δύναμις; Ἦν μέν γάρ καί προῆν καί συμπαρῆν τῷ Υἱῷ καί τῷ Πατρί πρό τῶν αἰώνων. Ὥστε κἄν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, καί τοῦτό ἐστι τοῦ Πνεύματος κατωτέρω, τάς προαιωνίους ἐνεργείας Πνεύματος κατωτέρω τοῦ Πνεύματος ἀποφαινόμενος εἶναι». Ἐν δέ τῷ περί θεότητος Υἱοῦ καί Πνεύματος λόγῳ ὁ Νύσσης θεῖος Γρηγόριος φησίν· «ἡ μέν θεία φύσις ἄφραστός τε καί ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τήν διά φωνῆς σημασίαν». Οὐκοῦν οὐχί φύσιν, ἀλλά τήν θεατικήν δύναμιν τοῦ Πνεύματος ἡ τῆς θεότητος προσηγορία παρίστησιν. Ὁ δέ μέγας Ἀθανάσιος ἐν τῷ κατά Ἀρειανῶν δευτέρῳ λόγῳ, τῶν αἱρετικῶν λεγόντων τῆς θελήσεως εἶναι τόν Υἱόν ἀλλ' οὐ τῆς φύσεως τοῦ Πατρός· «εἰ τό βούλεσθαι, φησί, περί τῶν μή ὄντων διδόασι τῷ Θεῷ, διατί τό ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ»; Κἀν τῷ τρίτῳ κατά τῶν αὐτῶν· «τό μέν ἀντικείμενον τῆς βουλήσεως ἐωράκασιν οἱ αἱρετικοί, τό δέ μεῖζον καί ὑπερκείμενον οὐ τεθεωρήκασιν. Ὥσπερ γάρ ἀντίκειται τῇ βουλήσει τό παρά γνώμην, οὕτως ὑπέρκειται καί προηγεῖται τοῦ βούλεσθαι τό κατά φύσιν». Καί κατά Μακεδονίου γράφων ὁ αὐτός, «γίνωσκε, φησίν, ὅτι τό Θεός εἶναι δεύτερόν ἐστι τῆς φύσεως· καί γάρ καί ἡμεῖς, ἐάν μιμηταί γενώμεθα τοῦ Θεοῦ, κατά τόν Παῦλον, θεοί μέν γινόμεθα, τῆς δέ αὐτῆς φύσεως γενέσθαι οὐ δυνάμεθα». Ὁ δέ θεῖος Μάξιμος, «πάντων, φησί, τῶν ὄντων, καί μετεχόντων καί μεθεκτῶν, ἀπειράκις ἀπείρως ὁ Θεός ὑπερεξῄρηται».

39. Ἀλλά καί ὁ μέγας Διονύσιος ἐν τῷ περί θείων ὀνομάτων δωδεκάτῳ φησίν. «Καθόσον ὑπερέχουσι τῶν οὐκ ὄντων, τά ὄντα ἅγια ἤ θεῖα ἤ κύρια ἤ βασιλικά, καί

τάς θείας ἐνεργείας φανερῶς δοξάζουσιν εἶναι κτίσματα τῶν αἰώνων ἐπέκεινα. Ἐδείχθη δέ καί τοῦτο, ὅτι ἄκτιστοι αἱ κοιναί καί φυσικαί τῆς τρισυποστάτου φύσεως θεῖαι ἐνέργειαι, οὐ διά δύο ἤ τριῶν μαρτυριῶν, ἀλλά διά πάσης τῆς θείας Γραφῆς.

32. Μετά τοῦτο ἐζητήσαμεν παρά τῶν ἁγίων, εἰ μηδεμίαν ἔχοι τις ἄν ἐπινοεῖν σύνθεσιν ἐπί Θεοῦ διά τήν τῆς θείας οὐσίας καί ἐνεργείας διαφοράν. Καί τοῦτο γάρ οἱ ἀντιλέγοντες ἰσχυρίζονται. Ἀπεδείχθη γοῦν παρά τῶν ἁγίων ἁπάντων κηρυττόμενον, ὡς οὐκ ἔστι σύνθεσίν τινα παρά τοῦτο νομίζειν ἐπί Θεοῦ. Ὁ γάρ θεῖος Μάξιμος, ἐν οἷς πρός Πύρρον διαλέγεται, φανερώτατα δείκνυσι μή τινα σύνθεσιν ἐκ τῆς ἐνεργείας γίνεσθαι· «ὁρᾷς, λέγων τῷ Πύρρῳ, ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντῃ ἀγνοῆσαι ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων καί οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων εἰσί· καί τοῦτο κοινόν φρόνημα πάντων, καί τῶν ἔξω φιλοσόφων καί τῶν τῆς Ἐκκλησίας θεοσόφων μυσταγωγῶν· εἰ δέ τῶν θελημάτων σύνθεσιν λέγετε, καί τῶν ἄλλων φυσικῶν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε». Ἀλλά καί ὁ Νύσσης Γρηγόριος ἐν ἕκτῳ κεφαλαίῳ τῆς εἰς τήν Ἑξαήμερον ἀναπληρώσεως οὕτω πρός λέξιν διέξεισιν. «Εἰ τοίνυν ἐν τῷ ἀνθρώπῳ κἄν διάφορα τυγχάνῃ τά πρός αἴσθησιν κατεσκευασμένα παρά τῆς φύσεως ὄργανα, διά πάντων ὁ νοῦς ἐνεργῶν καί κινούμενος καί καταλλήλως ἑκάστῳ πρός τό προκείμενον κεχρημένος, εἷς ἐστι καί ὁ αὐτός, ταῖς διαφοραῖς τῶν ἐνεργειῶν οὐ συνεξαλλάττων τήν φύσιν, πῶς ἄν τις ἐπί Θεοῦ διά τῶν ποικίλων δυνάμεων πολυμερές τό τῆς αὐτοῦ οὐσίας καθυποπτεύσειεν;»

33. Ἀλλά καί τοῦτο συναπεδείχθη, ὅτι οἱ κατά τούς ἀντιλέγοντας μή δεχόμενοι τήν διαφοράν τῆς θείας οὐσίας καί τῆς ἐνεργείας, καί ἁπλῶς πάντων τῶν περί τήν θείαν οὐσίαν φυσικῶς θεωρουμένων, ἐκεῖνοι σύνθετον ποιοῦσι μᾶλλον τόν Θεόν, τοῦ μεγάλου Βασιλείου φανερῶς λέγοντος· «εἴπερ εἰς τήν οὐσίαν φέροντες πάντα καταθήσομεν τά θεῖα ὀνόματα, οὐ μόνον σύνθετον, ἀλλά καί ἐξ ἀνομοιομερῶν συγκείμενον τόν Θεόν ἀποδείξομεν, διά τό ἄλλο καί ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι». Καί τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου γράφοντος· «ἤ καί τό ἀθάνατον καί τό ἄκακον καί τό ἀναλλοίωτον οὐσία Θεοῦ· ἀλλ' εἰ τοῦτο, πολλαί οὐσίαι Θεοῦ, καί οὐ μία, ἤ σύνθετον ἐκ τούτων τό θεῖον· οὐ γάρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι». Ἔτι καί τοῦ θείου Κυρίλλου· «οὐ γάρ οὐσία τό ἀγέννητον ἤ τό ἄφθαρτον ἤ τό ἀθάνατον ἤ τό ἀόρατον· εἰ γάρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεός, ὅσα περ ἄν αὐτῷ φυσικῶς προσόντα φαίνηται· πολλά γάρ ἐστιν, ἅ μόνῳ μέν αὐτῷ πρόσεστιν, ἑτέρῳ δέ τῶν ἁπάντων οὐδενί». Καί τοῦ θείου Χρυσοστόμου· «τοῦ Πνεύματος τήν χάριν ἡ Γραφή ποτέ μέν πῦρ, ποτέ δέ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐκ οὐσίας ταῦτα ὀνόματα, ἀλλ' ἐνεργείας· οὐ γάρ ἐκ διαφόρων συνέστηκεν οὐσιῶν τό Πνεῦμα, ἀόρατόν τε καί μονοειδές ὄν». Καί τοῦ Νύσσης πρός Εὐνόμιον λέγοντος. «Τίς ὁ διφυᾶ τόν Θεόν εἶναι λέγων πλήν σοῦ, τοῦ πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ Πατρός οὐσίᾳ συμφύοντος, καί μηδέν ἔξωθεν προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περί τό θεῖον ὀνομάτων τῇ τοῦ Θεοῦ οὐσίᾳ ἐγκεντρίζοντος»;

34. Μετά τοῦτο ἐζητήθη, εἴ γε ἡ θεία καί ἄκτιστος ἐνέργεια θεότης παρά τῶν ἁγίων προσαγορεύεται. Οὐδέ γάρ τοῦτο οἱ νῦν ἀντιλέγοντες παρεδέχοντο. Καί ἀνεφάνη καί τοῦτο παρά τῶν ἁγίων κηρυττόμενον θεολόγων. Αὐτίκα γάρ ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου, «καί αὐτό, φησί, τό τῆς θεότητος ὄνομα, εἴτε τήν ἐποπτικήν εἴτε τήν προνοητικήν ἐξουσίαν σημαίνει, οἰκείως εἶχε πρός τό ἀνθρώπινον». Καί πάλιν ὁ αὐτός ἐν τῇ πρός Εὐστάθιον τόν ἰατρόν ἐπιστολῇ. «Οὐκοῦν, φησίν, ἡ τῆς ἐνεργείας ταυτότης ἐπί Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος δείκνυσι σαφῶς τό τῆς φύσεως ἀπαράλλακτον. Ὥστε κἄν φύσιν σημαίνῃ τό τῆς θεότητος ὄνομα, κυρίως καί τῷ ἁγίῳ Πνεύματι τήν προσηγορίαν προσαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπί τήν τῆς φύσεως ἔνδειξιν τήν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες». Καί μετά τινα. «Οὐκοῦν ἐξουσίας τινός, εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δέ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γάρ καί κριτήν, ἀγαθόν τε καί δίκαιον, καί ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφοράς ἐδιδάχθημεν. Τοῦ δέ ἐνεργοῦντος τήν φύσιν οὐδέν μᾶλλον διά τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γάρ ἀποδιδῷ τις λόγον ἑκάστου τούτων τῶν ὀνομάτων, καί αὐτῆς τῆς φύσεως, περί ἣν τά ὀνόματα, οὐ τόν αὐτόν ἀμφοτέρων ἀποδώσει λόγον. Ὧν δέ ὁ λόγος ἕτερος, τούτων καί ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μέν ἐστιν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτής ἐξευρέθη, ἑτέρα δέ τῶν περί αὐτήν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινός ἤ ἀξίας ὀνομαζομένων». Καί πάλιν ὁ αὐτός μέγας Βασίλειος ἐν τῇ αὐτῇ ἐπιστολῇ. «Εἴτε ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος, οὕτω μίαν φαμέν εἶναι καί τήν θεότητα, εἴτε καί κατά τάς τῶν πολλῶν δόξας φύσεως ἐνδεικτικόν ἐστι τό τῆς θεότητος ὄνομα, διά τό μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγήν, οὐκ ἀπεικότως μιᾶς θεότητος τήν ἁγίαν Τριάδα ὁριζόμεθα».

35. Καί ὁ ἅγιος Ἀναστάσιός φησιν. «Ἡ Θεός προσηγορία πρόδηλον ὡς ἐνεργητική τυγχάνει· οὐ γάρ αὐτήν τήν τοῦ Θεοῦ οὐσίαν παρίστησιν· ἀδύνατον γάρ ταύτην γνῶναι· ἀλλά τήν θεωρητικήν αὐτοῦ ἐνέργειαν ἡμῖν παρίστησι καί δηλοῖ τό Θεός». Καί πάλιν ὁ αὐτός. «Τό Θεός ὄνομα οὐ τήν οὐσίαν τῆς θεότητος σημαίνει· ἀκατάληπτος γάρ αὕτη καί ἀνώνυμός ἐστιν· ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας Θεός εἴρηται, ὥς φησιν ὁ ἅγιος Διονύσιος, ἤ ἐκ τοῦ θέειν, ἤγουν διατρέχειν, ἤ ἐκ τοῦ αἴθειν, ὅ ἐστι φλογίζειν». Ὁ δέ αὐτός μέγας Διονύσιος, «εἰ τήν ὑπερούσιον, φησί, κρυφιότητα Θεόν ἤ ζωήν ἤ οὐσίαν ἤ φῶς ἤ λόγον ὀνομάσαιμεν, οὐδέν ἕτερον νοοῦμεν ἤ τάς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις ἐκθεωτικάς ἤ οὐσιοποιούς ἤ ζωογόνους ἤ σοφοδώρους. Αὐτῇ δέ κατά τήν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, μηδεμίαν ὁρῶντες θέωσιν ἤ ζωήν ἤ οὐσίαν, ἥτις ἐμφερής ἐστι τῇ πάντων ἐξῃρημένῃ κατά πᾶσαν ὑπεροχήν αἰτίᾳ». Καί πάλιν ὁ αὐτός φησι· «θεότης ἐστίν ἡ πάντα θεωμένη πρόνοια». Ὅτι δέ ἡ πρόνοια ἐνέργειά ἐστι, καί ἀπ' ἄλλων μέν τοῦτο γνώριμον, μάλιστα δέ καί ἀφ' ὧν ὁ μέγας Ἀθανάσιος γράφει λέγων. «Οὐ κατά ἄλλην καί ἄλλην πρόνοιαν ὁ Πατήρ καί ὁ Υἱός ἐργάζεται, ἀλλά κατά μίαν καί τήν αὐτήν οὐσιώδη τῆς θεότητος ἐνέργειαν». Ἀλλά καί ὁ μέγας Διονύσιος πάλιν ἐν τῇ

προσενεχθῆναι τήν ὑπέρ ἡμῶν θυσίαν, καί τήν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καί γενέσθαι τοῦ Θεοῦ φίλους, καί τότε λαβεῖν τήν δωρεάν. Εἰ γάρ ἐπί τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρός Ἀβραάμ, πολλῷ μᾶλλον ἐπί τῆς χάριτος».

41. Καί πάλιν ὁ αὐτός ἐν τριακοστῇ ἕκτῃ ὁμιλίᾳ τῆς αὐτῆς πραγματείας. «Καί ἐφ' ἡμῶν, φησίν, οὐχ ἁπλῶς τό ὕδωρ ἐργάζεται, ἀλλ' ὅταν τήν τοῦ Πνεύματος χάριν δέξηται, τότε ἅπαντα λύει τά ἁμαρτήματα». Καί μετά βραχέα. «Ἀλλά κἄν ἡ οἰκουμένη πᾶσα ἔλθῃ, ἡ χάρις οὐ καταναλίσκεται, οὐδέ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ' ὁμοία μένει, καί τοιαύτη οἵα καί πρό τούτου. Καί καθάπερ αἱ ἡλιακαί ἀκτῖνες καθ' ἑκάστην φωτίζουσι τήν ἡμέραν, καί οὐ δαπανῶνται, οὐδέ ἀπό τῆς πολλῆς χορηγίας ἔλαττον αὐταῖς γίνεται τό φῶς, οὕτω καί πολλῷ μᾶλλον ἡ τοῦ Πνεύματος ἐνέργεια οὐδέν ἐλαττοῦται παρά τῶν ἀπολαυόντων αὐτῆς». Καί πάλιν ὁ αὐτός ἐν πέμπτῃ ὁμιλίᾳ τῆς αὐτῆς πραγματείας, τό «πάντα δι' αὐτοῦ ἐγένετο» ἐξηγούμενος, φησίν. «Εἰπών περί τῆς δημιουργίας ὁ Ἰωάννης, ἐπάγει καί τόν περί τῆς προνοίας λόγον, «ἐν αὐτῷ ζωή ἦν», λέγων. Καί γάρ, ἵνα μηδείς ἀπιστήσῃ, πῶς τά τοσαῦτα καί τηλικαῦτα δι' αὐτοῦ γέγονεν, ἐπήγαγεν ὅτι ἐν αὐτῷ ζωή ἦν. Καθάπερ οὖν ἐπί τῆς πηγῆς τῆς τικτούσης ἀβύσσους, ὅσον ἄν ἀφέλῃς, οὐδέν ἠλάττωσας τήν πηγήν οὕτω καί ἐπί τῆς ἐνεργείας τοῦ Μονογενοῦς, ὅσα ἄν πιστεύσῃς παρῆχθαι δι' αὐτῆς καί πεποιῆσθαι, οὐδέν ἐλάττων αὕτη γέγονεν». Καί πάλιν τοῦ εὐαγγελίου εἰρηκότος, «ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν», ὁ αὐτός θεῖος Χρυσόστομος ἐν ιδ΄ ὁμιλίᾳ ἐξηγούμενος τοῦτο, «καί τί ποτέ ἐστι, φησί, τό «ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν»· ἐπί γάρ τοῦτο τέως ἀκτέον τόν λόγον· οὐ μεθεκτήν, φησίν, ἔχει τήν δωρεάν, ἀλλ' αὐτοπηγή καί αὐτορρίζα ἐστί τῶν καλῶν, αὐτοζωή καί αὐτόφως καί αὐτοαλήθεια· οὐκ ἐν αὐτῷ συνέχων τῶν ἀγαθῶν τόν πλοῦτον, ἀλλά καί εἰς τούς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτόν, καί μετά τό ὑπερβλύσαι μένων πλήρης, καί οὐδενί ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεί πηγάζων, καί πᾶσι τούτων μεταδιδούς τῶν καλῶν, ἐπί τῆς αὐτῆς μένει τελειότητος. Ὅ δέ ἐγώ φέρω, μεθεκτόν ἐστι· παρ' ἑτέρου γάρ ἔλαβον αὐτό, καί μικρόν τι τοῦ παντός καί οἱονεί σταγών εὐτελής πρός ἄβυσσον ἄφατον καί πέλαγος ἄπειρον. Μᾶλλον δέ οὐδέ τοῦτο τό παράδειγμα παραστῆσαι δύναιτ' ἄν, ὅπερ ἐπιχειροῦμεν εἰπεῖν. Σταγόνα μέν γάρ ἀπό τοῦ πελάγους ἄν ἐξέλῃς, αὐτό τοῦτο τό πέλαγος ἠλάττωσας, εἰ καί ἀφανής ἡ ἐλάττωσις· ἐπί δέ τῆς πηγῆς ἐκείνης οὐκ ἔστι τοῦτο εἰπεῖν· ἀλλ' ὅσον ἄν τις ἀρύσηται, μένει μηδέν ἐλαττουμένη. Διό χρή μάλιστα ἐφ' ἕτερον ὑπόδειγμα ἐλθεῖν, ἀσθενές μέν καί αὐτό καί οὐ δυνάμενον ὅπερ ζητοῦμεν παραστῆσαι, μᾶλλον δέ τοῦ προτέρου χειραγωγοῦν ἡμᾶς πρός τήν ἔννοιαν τήν προκειμένην ἡμῖν νῦν. Ὑποθώμεθα γάρ εἶναι πυρός πηγήν, εἶτα ἀπό τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καί δίς τοσούτους καί τρίς καί πολλάκις. Ἆρα οὐκ ἐπί τῆς αὐτῆς μένει πληρότητος τό πῦρ καί μετά τό μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας αὐτοῦ; Παντί που δῆλόν ἐστιν. Εἰ δέ ἐπί τῶν σωμάτων τῶν μεριστῶν, τῶν ἐλαττουμένων ὑπό τῆς ἀφαιρέσεως, εὑρέθη τι τοιοῦτον, ὅ καί μετά τό παρασχεῖν ἑτέροις τά παρ' ἑαυτοῦ οὐδέν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπί τῆς ἀσωμάτου καί ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. Εἰ γάρ ἔνθα οὐσία ἐστί τό μεταλαμβανόμενον καί σῶμα, καί μερίζεται καί οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περί ἐνεργείας ὁ λόγος ᾖ, καί ἐνεργείας τῆς ἐκ τῆς ἀσωμάτου οὐσίας, οὐδέν εἰκός τοιοῦτον παθεῖν. Διά τοῦτο καί ὁ Ἰωάννης ἔλεγεν, «ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν». Ἡμεῖς, πάντες ἡμεῖς· οἱ δώδεκα, οἱ τριακόσιοι, οἱ πεντακόσιοι, οἱ τρισχίλιοι, οἱ πεντακισχίλιοι, αἱ πολλαί τῶν Ἰουδαίων μυριάδες, ἅπαν τό πλήρωμα τῶν πιστῶν καί τῶν τότε καί τῶν νῦν καί αὖθις ἐσομένων, ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν· τί δέ ἐλάβομεν; «χάριν ἀντί χάριτος», φησίν.

42. Καί ὁ μέγας Βασίλειος, τόν τεσσαρακοστόν ὄγδοον ψαλμόν ἐξηγούμενος, φησίν. «Τόν μέν ἄνθρωπον ὁ Θεός ἐποίησεν ἀπό τῆς γῆς, καί τούς λειτουργούς αὐτοῦ πυρός φλόγα· ἀλλ' ὅμως ἥ γε τοῦ νοεῖν καί συνιέναι τόν ἑαυτῶν κτίστην καί δημιουργόν δύναμις καί ἐν ἀνθρώποις ὑπάρχει. «Ἐνεφύσησε γάρ εἰς τό πρόσωπον», τουτέστι μοῖράν τινα τῆς ἰδίας χάριτος ἐναπέθετο τῷ ἀνθρώπῳ, ἵνα τῷ ὁμοίῳ ἐπιγινώσκῃ τό ὅμοιον». Καί πάλιν ὁ αὐτός ἐν τοῖς πρός Ἀμφιλόχιον περί τοῦ Ἁγίου Πνεύματος. «Ἀνακαινίζων, φησί, τόν ἄνθρωπον ὁ Κύριος, καί ἧν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, ταύτην πάλιν ἀποδιδούς, ἐμφυσήσας εἰς τό πρόσωπον τῶν μαθητῶν, τί φησιν; «Λάβετε Πνεῦμα Ἅγιον». Καί ὁ θεῖος Δαμασκηνός ἐν τῷ περί προγνώσεως καί προορισμοῦ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων, «τοῦτον, φησί, τόν ἄνθρωπον ὁ Δημιουργός ἄρρενα κατέσκευασε, μεταδούς αὐτῷ τῆς ἑαυτοῦ θείας χάριτος, καί ἐν κοινωνίᾳ ἑαυτοῦ διά ταύτης αὐτόν ποιησάμενος». Καί πάλιν ὁ μέγας Βασίλειος ἐν τοῖς πρός Ἀμφιλόχιον, «τίς, φησίν, οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων ἀγαθῶν παρά Θεοῦ τοῖς ἀξίοις, ὡς ἀγνοεῖν ὅτι τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματος ἐστι χάρις, δαψιλεστέρα τότε καὶ τελεωτέρα παρεχομένη»;

43. Ἀλλά καί ὁ ἅγιος Κύριλλος ἐν τῷ τρίτῳ τῶν πρός Ἑρμείαν, ἐρωτῶντος αὐτόν τούτου δή τοῦ Ἑρμείου περί τῆς ἐν ἡμῖν θείας ἐνοικήσεως καί μετοχῆς, καί λέγοντος, «πλήν ὡς ἥδιστα ἄν σου διαπυθοίμην τό, ὅπως ἄν ἐν ἡμῖν ἥ τε τοῦ Πατρός καί τοῦ Υἱοῦ πλήρωσις νοοῖτό τε καί πράττοιτο, μία τις οὖσα καί οὐ διάφορος», ἀποκρινόμενος οὗτος δή ὁ ἅγιος Κύριλλος, «καί μήν, φησίν, οὐδ' ὁπωστιοῦν ἔν γε δή τούτῳ χαλεπόν ἤ δυσέφικτον· πῶς γάρ ἄν ἑτέρως ἤ διά τοῦ Ἁγίου Πνεύματος θείων ἡμᾶς χαρισμάτων ἀναπιμπλάντος δι' ἑαυτοῦ, καί τῆς ἀῤῥήτου φύσεως κοινωνούς ἀποφαίνοντος»; Καί πάλιν ὁ αὐτός ἐν τοῖς θησαυροῖς. «Ἀλλ' εἴπερ ἦν, φησίν, ὄντως ποίημα κατά τήν τῶν ἑτεροδόξων μανίαν τό Πνεῦμα τό Ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τήν ἐνέργειαν; οὐ γάρ δή τις τοσοῦτον, οἶμαι, τοῦτο φρονεῖν ὀρθῶς ἐκβοήσεται, ὡς τολμῆσαι καί μόνον εἰπεῖν τήν θείαν οὐσίαν δι' ὀργάνων τινῶν ἔξωθεν εἰς τό εἶναι παρενεχθέντων διακονεῖσθαι πρός ἐνέργειαν, τήν ἐξ αὐτῆς διαβαίνουσαν φυσικῶς πρός τινας ἐπιτηδείους πρός τό λαβεῖν».

44. Καί ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρός Σεραπίωνα ἐπιστολῇ, «πάντα, φησί, τά τοῦ Πατρός, τοῦ Υἱοῦ ἐστι· διό καί τά παρά τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα, τοῦ Πατρός ἐστι χαρίσματα. Καί τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν, καί ὁ Λόγος, ὁ τοῦτο διδούς, ἔστιν ἐν ἡμῖν, καί ἐν τῷ Λόγῳ ἐστίν ὁ Πατήρ· καί οὕτως ἐστί τό, «ἐλευσόμεθα ἐγώ καί ὁ Πατήρ, καί μονήν παρ' αὐτῷ ποιήσομεν»,

αὐτῶν μετεχόντων αἱ αὐτομετοχαί, κατά τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπέρ πάντα τά ὄντα, καί πάντων τῶν μετεχόντων καί τῶν μετοχῶν ὁ ἀμέθεκτος αἴτιος». Κἀν τῇ δευτέρᾳ δέ πρός Γάϊον ἐπιστολῇ, «πῶς, φησίν, ὁ πάντων ἐπέκεινα καί ὑπέρ θεαρχίαν ἐστί καί ὑπέρ ἀγαθαρχίαν; Εἰ θεότητα καί ἀγαθότητα νοήσαις, αὐτό τό χρῆμα τοῦ ἀγαθοποιοῦ καί θεοποιοῦ δώρου, καί τό ἀμίμητον μίμημα τοῦ ὑπερθέου καί ὑπεραγάθου, καθ' ὅ θεούμεθα καί ἀγαθυνόμεθα· καί γάρ εἰ τοῦτο ἀρχή γίνεται τοῦ θεοῦσθαι καί ἀγαθύνεσθαι τοῖς θεουμένοις καί ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρχιος, καί τῆς οὕτω λεγομένης θεότητος καί ἀγαθότητος, ὡς θεαρχίας καί ἀγαθαρχίας ἔστιν ἐπέκεινα». Καί πάλιν ὁ αὐτός. «Μετιτέον νῦν ἐπί τήν ὄντως οὖσαν τοῦ ὄντως ὄντος θεολογικήν οὐσιωνυμίαν· τοσοῦτον δέ ὑπομνήσομεν, ὅτι τῷ λόγῳ σκοπός, οὐ τήν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος, ἐκφαίνειν· ἄρρητον γάρ τοῦτο καί ἄγνωστον καί παντελῶς ἀνέκφαντον, καί αὐτήν ὑπεραῖρον τήν ἕνωσιν· ἀλλά τήν οὐσιοποιόν εἰς τά ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι». Ὁ δέ θεῖος Μάξιμος ἐν τοῖς Σχολίοις, «πρόοδον, φησίν, ἐνταῦθα τήν θείαν ἐνέργειαν, ἥτις πᾶσαν οὐσίαν παρήγαγεν». Καί ὁ θεῖος Χρυσόστομος ἐν τῷ περί ἀκαταλήπτου πρώτῳ λόγῳ φησίν. «Οἱ προφῆται οὐ μόνον τί τήν οὐσίαν ἐστίν ὁ Θεός ἀγνοοῦντες φαίνονται, ἀλλά καί περί τῆς σοφίας αὐτῆς πόση τίς ἐστιν ἀποροῦσιν. Καίτοι γε οὐχ ἡ οὐσία ἀπό τῆς σοφίας, ἀλλ' ἡ σοφία ἐκ τῆς οὐσίας. Ὅταν δέ μηδέ ταύτην δύνανται καταλαβεῖν μετά ἀκριβείας, πόσης ἄν εἴη μανίας τό τήν οὐσίαν αὐτήν νομίζειν δύνασθαι τοῖς οἰκείοις ὑποβάλλειν λογισμοῖς»; Καί ἐν τῷ κατά Ἰωάννην εὐαγγελίῳ πάλιν ὁ αὐτός φησιν. «Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεός τό Πνεῦμα. Ἡμεῖς γάρ πάντες μέτρῳ τήν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν. Πνεῦμα γάρ ἐνταῦθα τήν ἐνέργειαν λέγει· αὕτη γάρ ἐστιν ἡ μεριζομένη· οὗτος δέ ἀμέτρητον ἔχει καί ὁλόκληρον πᾶσαν τήν ἐνέργειαν. Εἰ δέ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία».

40. Μετά τοῦτο ἐζητήθη παρ' ἡμῶν, ἐπειδήπερ οἱ τήν Ἐκκλησίαν ἐλαύνοντες, οὗτοι τῆς οὐσίας τοῦ Θεοῦ μετέχειν ἅπαντά φασιν, ὡς ἀδιαφόρου οὔσης τῆς τε θείας οὐσίας καί τῆς θείας ἐνεργείας, καί μηδέν ἕτερον κατ' αὐτούς ὄντος τοῦ Θεοῦ, πλήν οὐσίας μόνης· ἡμεῖς δέ παρά τῶν ἁγίων ἐδιδάχθημεν Γραφῶν καί οὐσίαν ἔχειν τόν Θεόν καί δύναμιν καί ἐνέργειαν τῆς θείας οὐσίας διαφέρουσαν, μᾶλλον δέ καί δυνάμεις καί ἐνεργείας· οὕτω γάρ οὐ μόνον τρισυπόστατος, ἀλλά καί παντοδύναμος ἔσται· ἐζητήθη οὖν τίνος μετέχουσι τά πάντα, τῆς θείας οὐσίας, ἤ τῆς τοῦ Θεοῦ θείας ἐνεργείας. Ἡ δέ θεία σύνοδος, ἀχώριστον μέν ἴσμεν, ἔφη, τήν θείαν οὐσίαν καί τήν θείαν καί φυσικήν ἐνέργειαν· οὐ γάρ ποτε ἐνέργεια εἴη ἄν, τῆς ἑαυτῆς οὐσίας χωρίς. Περί μέντοι τῶν ἐξ ἀρχῆς ὑπό τοῦ Θεοῦ δεδημιουργημένων ἔφη, τίς οὐκ οἶδεν, εἰ μή κατά τούς ἀντιλέγοντας τῇ Ἐκκλησίᾳ παραπαίει, ὅτι πᾶν δημιούργημα τῆς ἐνεργείας τοῦ δημιουργήσαντος, ἀλλ' οὐχί τῆς οὐσίας μεταλαγχάνει; Οὐ γάρ ἡ οἰκία τῆς τοῦ οἰκοδόμου, οὐδέ ναῦς τῆς τοῦ ναυπηγήσαντος μετείληχεν οὐσίας, ἀλλά τῆς τέχνης καί τῆς ἐνεργείας, κατά τόν Νύσσης θεολόγον. Ὅτι δέ καί οἱ ἅγιοι, τῇ πρός Θεόν ἑνώσει θεοποιούμενοι, οὐ τῆς θείας οὐσίας, ἀλλά τῆς αὐτοῦ θείας ἐνεργείας μετέχουσιν, ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος παρίστησι, γράφων περί τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι «Χριστός λέγεται διά τήν θεότητα· χρίσις δέ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνεργείᾳ κατά τούς ἄλλους χριστά ἁγιάζουσα, παρουσίᾳ δέ ὅλου τοῦ χρίοντος». Καί ὁ μέγας Βασίλειος· «πάντα μέν, φησί, πληροῦν ἐστι τῇ δυνάμει τό Πνεῦμα τό Ἅγιον· μόνοις δέ ἔστι μεθεκτόν τοῖς ἀξίοις, οὐχ ἑνί μέτρῳ μετεχόμενον, ἀλλά κατά τήν ἀναλογίαν τῆς πίστεως διαιροῦν τήν ἐνέργειαν». Καί ἀλλαχοῦ πάλιν· ὥσπερ αἱ τῶν προσώπων ἐμφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητα καί διαφάνειαν κεκτημέναις, οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ Πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς μηδέν σκολιόν ἐχούσαις μηδέ στραγγαλιῶδες». Ὁ δέ ἅγιος Μάξιμος, «πάντα, φησίν, ὅσα ὁ Θεός, καί ὁ διά τῆς χάριτος τεθεωμένος ἔσται, χωρίς τῆς κατ' οὐσίαν ταυτότητος». Ὁ δέ μέγας Διονύσιος, «κυκλικῶς, φησίν, οἱ θεῖοι κινοῦνται νόες, ἑνούμενοι ταῖς ἀνάρχοις καί ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καί ἀγαθοῦ». Πληθυντικῶς μέν οὖν αὐτάς προενεγκών, ἔδειξεν οὐκ οὐσίαν οὔσας τοῦ Θεοῦ· οὐδέποτε γάρ ἐκείνη πληθυντικῶς προάγεται, ἑλλάμψεις δέ αὐτάς καλέσας καί ἀνάρχους καί ἀτελευτήτους προσειπών, θείας καί ἀκτίστους ἐνεργείας οὔσας ταύτας ἔδειξεν εἶναι. Ὁ δέ Κύριος ἡμῶν καί Θεός ἐν τῷ κατά Ἰωάννην ἁγίῳ εὐαγγελίῳ, «ὁ πιστεύων εἰς ἐμέ, φησίν, καθώς εἶπεν ἡ Γραφή, ποταμοί ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δέ εἶπε περί τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Οὔπω γάρ ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη».

Ὅπερ ὁ θεῖος Χρυσόστομος ἐξηγούμενος, «ποταμοί, φησίν, ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν, τό δαψιλές καί ἄφθονον τῆς χάριτος αἰνιττόμενος· ὅπερ ἀλλαχοῦ φησί, «πηγή ὕδατος ἁλλομένου εἰς ζωήν αἰώνιον»· τουτέστι πολλήν ἔξει χάριν. Ἀλλαχοῦ μέν οὖν «ζωήν αἰώνιον» λέγει, ἐνταῦθα δέ «ὕδωρ ζῶν». Ζῶν δέ λέγει τό ἐνεργοῦν ἀεί. Ἡ γάρ τοῦ Πνεύματος χάρις, ἐπειδάν εἰς διάνοιαν ἔλθῃ καί ἱδρυθῇ, πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καί οὐ διαλιμπάνει, οὐδέ κενοῦται, οὐδέ ἵσταται. Ὁμοῦ δέ καί τό ἀνελλιπές τῆς χορηγίας δηλῶν καί τό ἄφατον τῆς ἐνεργείας, πηγήν καί ποταμόν ἐκάλεσεν· οὐχ ἕνα ποταμόν, ἀλλά ἀφάτους· καί ἐκεῖ δέ τήν πλημμύραν διά τοῦ ἅλλεσθαι παρέστησεν». Καί μετά τινα ὁ αὐτός· «οὐκέτι προφήτης παρ' αὐτοῖς ἦν, οὐδέ ἐπώπτευεν αὐτῶν τά ἅγια ἡ χάρις· ἐπεί οὖν ἀνέσταλται μέν τό Πνεῦμα τό Ἅγιον, ἔμελλε δέ λοιπόν ἐκχεῖσθαι δαψιλῶς, ταύτης δέ τῆς διανομῆς ἀρχή μετά τόν σταυρόν ἐγένετο, οὐ μόνον δαψιλείας, ἀλλά καί μειζόνων χαρισμάτων· καί γάρ θαυμαστότερα ἦν ἡ δωρεά, ὡς ὅταν λέγῃ· «οὐκ οἴδατε ποίου Πνεύματός ἐστε». Καί πάλιν· «οὐ γάρ ἐλάβετε Πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας». Καί γάρ καί οἱ παλαιοί, καί αὐτοί μέν Πνεῦμα εἶχον, ἄλλοις δέ οὐ παρεῖχον· οἱ δέ ἀπόστολοι μυριάδας ἐνέπλησαν. Ἐπεί οὖν ταύτην ἔμελλον λαμβάνειν τήν χάριν, οὔπω δέ ἦν δοθεῖσα, διά τοῦτό φησιν, «οὔπω ἦν Πνεῦμα Ἅγιον», τουτέστι δοθέν, «ἐπεί Ἰησοῦς οὐδέπω ἐδοξάσθη», δόξαν καλῶν τόν σταυρόν. Ἐπειδή γάρ ἐχθροί ἦμεν καί ἡμαρτηκότες καί ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ καί θεοστυγεῖς, ἡ δέ χάρις καταλλαγῆς ἦν ἀπόδειξις, δῶρον δέ οὐ τοῖς ἐχθροῖς, οὐδέ τοῖς μισουμένοις, ἀλλά τοῖς φίλοις δίδοται καί τοῖς εὐηρεστηκόσιν, ἔδει πρότερον

σπέρματος Δαβίδ οὐκ οὐσίαν ἐνυπόστατον. Ἄρειος Υἱόν μέν ὁμολογεῖ, ῥήματι δέ μόνον· κτίσμα δέ εἶναί φησι, καί τοῦ Πατρός ἐλάττονα πολύ. Ἕτεροι δέ οὔ φασιν ἔχειν αὐτόν ψυχήν. Εἶδες τά ἄρματα ἑστῶτα; θεώρει τοίνυν αὐτῶν καί τά πτώματα, πῶς ὁμοῦ πάντας κατακρούων βάλλει, καί μιᾷ πληγῇ πάντας ἀθρόον. Πῶς οὖν καταβάλλει; «τοῦτο γάρ φρονείσθω ἐν ὑμῖν, φησίν, ὅ καί ἐν Χριστῷ Ἰησοῦ, ὅς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμόν ἡγήσατο τό εἶναι ἴσα Θεῷ». Ἐντεῦθεν καί Παῦλος ὁ Σαμοσατεύς ἔπεσε καί Μάρκελλος καί Σαβέλλιος. Ἐν μορφῇ γάρ, φησί, Θεοῦ ὑπάρχων. Πῶς οὖν λέγεις, ἀπό Μαρίας, ὦ μιαρέ, ἤρξατο, καί πρό τούτου οὐκ ἦν; Πῶς δέ σύ λέγεις, ἐνέργεια ἦν; Μορφή γάρ Θεοῦ, φησίν, μορφήν δούλου ἔλαβεν. Ἡ μορφή τοῦ δούλου ἐνέργεια δούλου ἐστίν ἤ φύσις δούλου; πάντως δήπου φύσις δούλου. Οὐκοῦν καί ἡ μορφή τοῦ Θεοῦ, Θεοῦ φύσις· οὐκ ἄρα ἐνέργεια».

48. Ἀλλά καί ὁ Νύσσης θεῖος Γρηγόριος ἐν τῷ πρός Ἀβλάβιον λόγῳ, Θεός, φησίν, ἐνεργοῦντα δηλοῖ· θεότης δέ ἐνέργειαν. Οὐδέν δέ τῶν τριῶν ἐνέργεια, ἀλλά μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν. Ἐκ δή τούτων, ἡ θεία σύνοδος, σαφῶς ἀποδέδεικται, φησίν, ὡς ὁ λέγων μόνον τόν Υἱόν καί τό Πνεῦμα τό Ἅγιον ἀκτίστους ἐνεργείας εἶναι τοῦ Θεοῦ, ὡς μή κοινήν ἐνέργειαν δοξάζων φυσικήν τῶν τριῶν ὑποστάσεων, ἥν ὁ Ἀκίνδυνος ἀθετεῖ, τήν Μαρκέλλου καί Φωτεινοῦ καί Σωφρονίου αἵρεσιν, πάλαι τεθνηκυῖαν καί καταργηθεῖσαν, εἰς τήν Ἐκκλησίαν τολμᾷ παρεισάγειν τοῦ Θεοῦ. Εἰ δέ καί τισι τῶν ἁγίων δύναμις ἤ ἐνέργεια εἴρηται ὁ Υἱός ἤ τό Πνεῦμα τό Ἅγιον, ἀλλά τοῦ Πατρός· καί οὕτως ἑκάτερον ὡς ὑπόστασις τελεία καί ἐνέργειαν καί δύναμιν ἔχον. Καί ἔστι τοῦτο κοινόν ὄνομα, κατά τόν θεῖον Διονύσιον, τῆς ὁλοτελοῦς καί ὑπερπλήρους θεότητος, καθ' ὅ σημαινόμενον καί ὁ Πατήρ δύναμις καλεῖται. Ἡμῖν δέ ἀρτίως ὁ λόγος οὐ περί ταύτης τῆς ἐνεργείας καί δυνάμεως, ἀλλά περί τῆς κοινῆς τῆς τρισυποστάτου θεότητος, ἥτις οὐχ ὑπόστασίς ἐστιν, ἀλλά φύσις, καί ὑπερφυῶς πρόσεστιν ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων, κατά τήν τῶν θεολόγων παράδοσιν. Ἕνα γάρ Θεόν ἐν τρισίν ὑποστάσεσι, κατά τόν μέγαν Ἀθανάσιον, θεολογοῦμεν, μίαν ἔχοντα τήν οὐσίαν καί τήν δύναμιν καί τήν ἐνέργειαν, καί ὅσα ἄλλα περί τήν οὐσίαν θεωρεῖται θεολογούμενα καί ὑμνούμενα. Καί ἵνα τύπον δῶμεν τῷ λόγῳ καί ἄθροισμα ἤ πλήρωμα τά κατά θεολογίαν ἔχωμεν, καθεξῆς ἀκούσωμεν, ὅτι τό ἄκτιστον, τό ἀσώματον, τό ἄχρονον, τό ἄναρχον, τό ἀΐδιον, τό ἀτελεύτητον, τό ἄπειρον, τό ἄγνωστον, τό ἀσχημάτιστον, τό ἀνερμήνευτον, τό ἀνεξιχνίαστον, τό Θεόν θεῶν λέγεσθαι αὐτόν, τό κύριον κυρίων, τό βασιλέα βασιλευόντων, τό παντοκράτορα, τό ποιητήν, τό δημιουργόν, τό φῶς, τό ἅγιον, τό ζωήν, τό ἀγαθόν, τό ἰσχυρόν, τό παντοδύναμον, καί ὅσα ἄλλα κατά τε ὑπεροχήν καί αἰτιολογίαν, οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλά περί τήν οὐσίαν· ἅ καί ἄθροισμα καί πλήρωμα θεότητος λέγεται κατά τήν Γραφήν, καθ' ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καί θεολογούμενα. «Πάντα γάρ ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι, καί δεδόξασμαι ἐν αὐτοῖς». Ἄλλως τε δύναμις καλεῖται ὁ Υἱός τοῦ Πατρός, ἤ καί τό Πνεῦμα τό Ἅγιον, καί δι' ἄλλας μέν αἰτίας, ἅς οἱ θεολόγοι παρέδοσαν, μάλιστα δέ ὡς ὅλης τῆς πατρικῆς δυνάμεως ἐναποκειμένης τῷ Υἱῷ, ὡς ὁ μέγας Βασίλειος ῥητῶς τοῦτο γράφει Εὐνομίῳ πολεμῶν. Πῶς οὖν δίκαιον ἀναιρεῖν τήν φυσικήν καί κοινήν τῆς τρισυποστάτου θεότητος δύναμιν, δι' ἥν καί ὁ Υἱός καί τό Πνεῦμα τό Ἅγιον δύναμις τοῦ Πατρός παρά τῶν θεολόγων ὕμνηται;

49. Ἐπί τούτοις ὁρισμῷ τοῦ κραταιοῦ καί ἁγίου ἡμῶν αὐθέντου καί βασιλέως ἠρωτᾶτο παρά τοῦ μεγάλου χαρτοφύλακος καί ὑπάτου τῶν φιλοσόφων τῶν ἀρχιερέων ἕκαστος καί τῶν συγκλητικῶν καί τῶν ἐκκλησιαστικῶν ἀρχόντων, τίνα γνώμην ἔχει περί τῶν λαληθέντων καί ἐξετασθέντων τούτων πάντων νῦν ἐπί τῆς θείας καί ἱερᾶς συνόδου. Καί καθ' ἕνα πάντες ἀναμφιβόλως ἔχειν περί τούτων ἀπεφήναντο, καί πολλήν χάριν εἰδέναι τῷ ἱερωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης ἔλεγον, ὡς συμφώνως τοῖς ἁγίοις πᾶσιν εἰπόντι καί συγγραψαμένῳ, καί εἰς συνηγορίαν τῆς κατ' εὐσέβειαν ἀληθείας ἐπί τοσοῦτον σπουδάσαντι, καί τοσαύτας ὕβρεις τε καί συκοφαντίας καί ἐπηρείας ἄλλας ὑπενεγκόντι ὑπέρ τοῦ ἐξελέγξαι Βαρλαάμ ἐκεῖνον καί τόν Ἀκίνδυνον καί τούς μετά ταῦτα μέχρι καί νῦν ἀναφανέντας συμφώνους αὐτοῖς, καί τῆς πατροπαραδότου πρός Θεόν πίστεως καί εὐσεβείας τήν τοῦ Χριστοῦ Ἐκκλησίαν μεταστῆσαι σπουδάζοντας. Μετά δέ πάντας ὕστερον ἀπεφήνατο καί ὁ μεγαλοφυέστατος ὄντως καί τά θεῖα σοφός, γαληνότατος, κράτιστος καί ἅγιος ἡμῶν αὐτοκράτωρ καί βασιλεύς, πάντων τῆς καθέδρας ἐξαναστάντων, τῶν τε λαμπροτάτων συγκλητικῶν καί τῶν ἱερωτάτων ἀρχιερέων, ὥσπερ δή νόμος ἐν τοῖς τοιούτοις, κύριος Ἰωάννης ὁ Καντακουζηνός, διορισάμενος ὅτι μέγα ἡ ἀδικία κακόν καί ἐπί τῶν γηΐνων τούτων καί χαμερπῶν, ὡς καί ἔθνος ὅλον ἀχρειῶσαι καί κατασπᾶσαι δυνάμενον. Ἐπεί καί τό ἐναντίον ταύτης, ἡ δικαιοσύνη, κατά τό γεγραμμένον, ἀνυψοῖ ἔθνος. Εἰ δέ ἐπί τῶν κάτω ἡ ἀδικία τοσοῦτον μέγα κακόν, πόσῳ μᾶλλον ὅταν εἰς τό θεῖον ὕψος λαλῆται παρά τῶν κακῶς φρονούντων, καί αὐτή ἡ ἐν Θεῷ ἀλήθεια ἀδικῆται παρά τῶν ἀθετούντων αὐτήν, καί οἱ ταύτην στέργοντες καί ἀνακηρύττοντες, ἔτι δέ καί συνηγοροῦντες πρός δύναμιν ἐπηρεάζωνται καί συκοφαντῶνται καί διαβάλλωνται παρά τῶν ἐν διαστρόφῳ γνώμῃ πλανᾶν τούς ὄχλους ἐπιχειρούντων; Ἐγώ γοῦν τοσαύτην ὁρῶ τήν πρός τούς ἁγίους συμφωνίαν τῶν παρά τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης λελεγμένων καί νῦν ἀναγνωσθέντων ἐκ τῶν αὐτοῦ συγγραμμάτων εἰς συνηγορίαν τῆς εὐσεβείας, καί τοσαύτην ποιησαμένους τούς ἁγίους σπουδήν ἐν τοῖς οἰκείοις συγγράμμασιν ὑπέρ τῶν προκειμένων ἀρτίως θείων δογμάτων, ὡς μηδένα τῶν μετ' εὐγνωμοσύνης ζῆν ἐθελόντων πλείω ταύτης ἐθελῆσαι ζητῆσαι. Ὑπέρ δέ ὧν τοῖς τε μακαρίοις τοῦ Χριστοῦ μαθηταῖς καί ἀποστόλοις καί ταῖς ἁγίαις καί οἰκουμενικαῖς συνόδοις καί τοῖς ἁγίοις πατράσι τεθεολόγηται, τοσοῦτον τό ἐν ἐμοί πρόθυμον διά τῆς ἐν ἐμοί τοῦ Χριστοῦ χάριτος, ὡς ἕτοιμος εἶναι, εἴπέρ μοι καί μία κοτύλη προσῆν αἵματος, καί ταύτην ἐκχέαι προθύμως ὑπέρ αὐτῶν. Χάριν δέ ἔχω καί τῷ ἑνί πάντων Θεῷ, τῷ Δεσπότῃ καί Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ὅτι μέγα ἔλεος ἐποίησε μεθ' ἡμῶν, εὐδοκήσας φανερωθῆναι καί στηριχθῆναι σήμερον τήν τῆς εὐσεβείας ἀλήθειαν, καί οὐκ ἐνδούς παρατραπῆναί τι ταύτης καί σαλευθῆναι παρά τῶν πολλοῖς ἐπιχειρήμασι καί δόλοις καί μηχανήμασι ἐπιχειρούντων ταύτην ἐπί τεσσαρεσκαίδεκα ἐνιαυτούς

καθάπερ εἴρηται. Ἔνθα γάρ τό φῶς, ἐκεῖ καί τό ἀπαύγασμα, καί ἔνθα τό ἀπαύγασμα, ἐκεῖ καί ἡ τούτου ἐνέργεια καί αὐγοειδής χάρις. Καί τοῦτο πάλιν διδάσκων ὁ Παῦλος, ἔγραφεν αὖθις Κορινθίοις ἐν τῇ δευτέρᾳ ἐπιστολῇ λέγων, «ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καί ἡ ἀγάπη τοῦ Θεοῦ, καί ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος εἴη μετά πάντων ὑμῶν». Ἡ γάρ διδομένη χάρις καί δωρεά ἐν Τριάδι δίδοται παρά Πατρός δι' Υἱοῦ ἐν Πνεύματι Ἁγίῳ. Ὥσπερ γάρ ἐκ Πατρός δι' Υἱοῦ ἐστιν ἡ διδομένη χάρις, οὕτως οὔκ ἄν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μή ἐν Πνεύματι τῷ Ἁγίῳ. Τούτου γάρ μετέχοντες, ἔχομεν τήν ἀγάπην τοῦ Πατρός καί τοῦ Υἱοῦ τήν χάριν καί αὐτοῦ τοῦ Πνεύματος τήν κοινωνίαν. Μία ἄρα ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται».

45. Ἀλλά καί ὁ ἅγιος Ἀναστάσιος ἐν τῷ περί τοῦ Πνεύματος λόγῳ αὐτοῦ, «συνῳδά, φησί, καί τά παρά τοῦ θεσπεσίου Παύλου περί τοῦ Πνεύματος εἰρημένα. Τούς γάρ πεπιστευκότας ναούς Θεοῦ προσηγόρευσεν, ἔνοικον ἐσχηκότας τήν χάριν τοῦ Πνεύματος· «οὐκ οἴδατε γάρ ὅτι ναός Θεοῦ ἐστε, καί τό Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν»; καί πάλιν, «οὐκ οἴδατε ὅτι τά σώματα ὑμῶν ναός τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπό Θεοῦ»; Ταῦτα δέ ἄντικρυς διδάσκει τῆς θείας φύσεως εἶναι τό Πανάγιον Πνεῦμα. Εἰ γάρ ναός Θεοῦ χρηματίζουσιν οἱ πιστεύσαντες, ἐπειδή τοῦ Πνεύματος τήν χάριν ἐδέξαντο, ἐκ τοῦ Θεοῦ ἄρα τό Πνεῦμα τό Ἅγιον. Τήν γάρ τούτου χάριν ἔνοικον ἐσχηκότες, Θεοῦ ναοί ὠνομάσθησαν». Καί ὁ θεῖος Χρυσόστομος ἐν τῷ δ΄ τῶν εἰς τάς Πράξεις ἐξηγητικῶν, τό «καί ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεί πυρός» ἀναπτύσσων, «καλῶς, φησίν, εἶπε «διαμεριζόμεναι»· ἐκ μιᾶς γάρ ἦσαν ῥίζης· ἵνα μάθῃς, ὅτι ἐνέργειά ἐστιν ἀπό τοῦ Παρακλήτου πεμφθεῖσα». Καί πάλιν ὁ αὐτός ἐν τῷ αὐτῷ· «καί ἐπλήσθησαν, φησίν, ἅπαντες· οὐχ ἁπλῶς ἔλαβον τοῦ Πνεύματος τήν χάριν, ἀλλ' ἐπλήσθησαν». Ἀλλά καί τῶν Μασσαλιανῶν λεγόντων, ὡς τῆς οὐσίας τοῦ Θεοῦ ἐν μετοχῇ καθίστανται οἱ παρ' ἐκείνοις κεκαθαρμένοι, καί προφερόντων τό εὐαγγελικόν ἐκεῖνο, τό «ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα, καί μονήν παρ' αὐτῷ ποιήσομεν», καί τοῦτο πρός τήν ἑαυτῶν δυσσέβειαν λίαν ἀνοήτως διαστρεφόντων, ἡ κατ' αὐτῶν δή τῶν Μασσαλιανῶν συστᾶσα σύνοδος, τήν ἐκείνων πονηράν δόξαν ἀποῤῥαπίζουσα, «γίνεταί τις, φησίν, ἐπιδημία τοῦ Παρακλήτου, καί ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεός, ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης».

46. Μετά τοῦτο ἐζητήθη δειχθῆναι παρά τῶν ἁγίων, ὅτι τε ἄκτιστόν ἐστι τό φῶς τῆς τοῦ Κυρίου Μεταμορφώσεως, καί ὅτι οὐκ ἔστι τοῦτο ἡ οὐσία τοῦ Θεοῦ. Καί πάντες σχεδόν εἶπον, ὅτι ἀπεδείχθη τοῦτο κατά τήν τετάρτην συνέλευσιν, ἐν ᾗ παρόντες οἱ ἀντιλέγοντες τῇ Ἐκκλησίᾳ, νῦν μέν κτιστόν εἶναι τοῦτο καί φάντασμα καί παραπέτασμα καί ἴνδαλμα φανερῶς βλασφημοῦντες ἔλεγον· νῦν δέ, καί τοῦτο δυσσεβῶς ἔλεγον, ἄκτιστον καί οὐσίαν εἶναι Θεοῦ. Προηνέχθη γάρ ἐν ἐκείνῃ τῇ συνελεύσει ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος γράφων· «οὐδείς ἐστιν ἐν ὑποστήματι καί οὐσίᾳ Κυρίου, κατά τό γεγραμμένον, καί Θεοῦ φύσιν ἤ εἶδεν ἤ ἐξηγόρευσεν». Καί ὁ θεῖος Μάξιμος γράφων ἐν ἑβδόμῳ κεφαλαίῳ τῆς τρίτης τῶν θεολογικῶν ἑκατοντάδος, «ὁ τοῖς οὖσι μή κατ' οὐσίαν ὑπάρχων μεθεκτός, κατ' ἄλλον δέ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται». Καί ὁ θεῖος Χρυσορῥήμων εἰς τήν αὐτήν ἑορτήν γράφων, «ἐν τῷ ὄρει, φησί, μεταμορφωθείς ὁ Σωτήρ, μικρῶς πως ὡς δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τήν δόξαν. Ἀλλ' εὐθύς ἐροῦσιν οἱ ἀπύλωτον καί θηρευτικήν περιφέροντες γλῶσσαν. Καί εἰ ἀθέατος ἡ θεϊκή αὐτοῦ δόξα, πῶς ἐπέδειξεν αὐτήν τοῖς ἀποστόλοις; εἰ γάρ ὁρατή, οὐκ ἀθέατος· εἰ δέ ἀθέατος, οὐχ ὁρατή. Διό ἄκουε συνετῶς. Ὁ Δεσπότης Χριστός ἐνταῦθα τοῖς ἑαυτοῦ μαθηταῖς ἐπέδειξε τῆς ἀθεάτου αὐτοῦ βασιλείας τήν δόξαν, καί οὐκ ἀπέδειξε· τουτέστι μικρόν παρήνοιξε τήν θεότητα καί οὐχί τελείως, τό μέν πληροφορῶν, τό δέ φειδόμενος· πληροφορῶν μέν γάρ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τήν θεϊκήν αὐτοῦ δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἐδύναντο βλέπειν οἱ σωματικούς ὀφθαλμούς περιφέροντες· φειδόμενος δέ καί οὐχί φθονῶν οὐκ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τήν πᾶσαν θεϊκήν αὐτοῦ δόξαν, ἵνα μή σύν τῇ ὁράσει καί τήν ζωήν ἀπολέσωσιν». Ἀλλά καί πάντες οἱ ἅγιοι, «ἔλλαμψιν» αὐτό λέγοντες καί «λαμπρότητα» καί «χάριν» καί «θέωσιν» καί «θεότητα παραδειχθεῖσαν μικροῦ στερῤῥοτέραν καί ὄψεως» καί «φῶς ἀπρόσιτον» καί «φυσικήν ἀκτῖνα τοῦ Υἱοῦ ἄναρχον», «βολίδα θεότητος», «ἀστραπήν θεότητος» καί τά τοιαῦτα. Προηνέχθη δέ ἐν ἐκείνῃ τῇ συνελεύσει καί ὁ ἐπί τούτοις συνοδικός πρῶτος τόμος, ὅς τοῦτο φιλευσεβῶς βεβαίως ἀπέδειξεν ἄκτιστον καί οὐκ οὐσίαν διά πολλῶν τῶν ἐκ τῆς θείας Γραφῆς μαρτυριῶν καί τῶν τοῦ τρισμακαρίστου καί ἀοιδίμου βασιλέως ἡμῶν ἐκείνου κυρίου Ἀνδρονίκου τοῦ Παλαιολόγου συμφώνως τοῖς ἁγίοις ῥημάτων καί θεοσεβῶν θεσπισμάτων. Πρός ὅν ἱερόν καί θεῖον τόμον ἀντικειμένους ἰδόντες τότε καί ἀντιλέγοντας τούς καί τῷ ἱερωτάτῳ Θεσσαλονίκης ἀντικειμένους, ἀπεβαλόμεθα τούτους, ὡς νῦν μέν κτιστόν τό φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, νῦν δέ λίαν ἀνοήτως οὐσίαν εἶναι τοῦτο τιθεμένους τοῦ Θεοῦ· καί ὡς μή στέργοντας ἔχειν τήν οὐσίαν τοῦ Θεοῦ καί δύναμιν ἄκτιστον καί ἐνέργειαν, ἀλλά πάσας τάς κοινάς δυνάμεις τε καί ἐνεργείας τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος ἀφρόνως εἰς κτίσμα κατασπῶντας, καί πολυθέους ὀνομάζοντας τούς ἄκτιστον ἀνομολογοῦντας τόν Θεόν, μή κατ' οὐσίαν μόνον, ἀλλά καί κατά τάς ὑποστάσεις καί κατά τάς κοινάς τῶν τριῶν ὑποστάσεων θείας δυνάμεις τε καί ἐνεργείας.

47. Ἐπί τούτοις πᾶσι τό τοῦ Ἀκινδύνου βιβλίον εἰς μέσον προενεχθέν ἀνεγνώσθη, ἐν ᾧ καί ἄλλας μέν κακοδοξίας παλαιάς τε καί νέας δογματίζων ἐφαίνετο, διισχυρίζετο δέ καί μηδεμίαν πρεσβεύειν ἐνέργειαν ἄκτιστον κοινήν τῆς τρισυποστάτου θεότητος, εἰ μή τόν Υἱόν μόνον καί τό Πνεῦμα τό Ἅγιον. Ἀλλ' ἡ θεία σύνοδος, καλῶς τε καί θεοφιλῶς ἐπιγνοῦσα Μαρκέλλου καί Φωτεινοῦ καί Σωφρονίου τῶν παλαιῶν αἱρετικῶν τήν δυσσέβειαν ταύτην οὖσαν, εὐθύς τόν θεῖον Χρυσόστομον κατά τῆς κακοδοξίας ταύτης ἀντεπεξάγουσι, καθάπερ τινά οὐρανόθεν αὐτόν ἀφιέντες πρηστῆρα, τά φρυγανώδη τοῦ Ἀκινδύνου ληρήματα κατακαύσοντα· ὅς δή καί τήν πρός Φιλιππησίους ἐπιστολήν ἐξηγούμενος, «Μάρκελλος, φησί, καί Φωτεινός καί Σωφρόνιος τόν Λόγον ἐνέργειαν εἶναί φασι, τήν δέ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ

νική αὕτη ψῆφος, γραφεῖσα καί ὑπογραφεῖσα ἀρτίως, ἀκίνητος εἰς αἰῶνα τόν σύμπαντα διατηρηθήσεται, τῇ πάντα δυναμένῃ ἐνεργείᾳ καί χάριτι τοῦ παντοδυνάμου καί μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν, ὑπέρ ἧς καί δι' ἧς ὁ παρών ἡμῖν ἀγών ἤνυσται.

ΥΠΟΓΡΑΦΑΙ

Εἶχεν ὑπογραφάς τό πρωτότυπον διά μέν ἐρυθρῶν γραμμάτων τῶν θειοτάτων βασιλέων ἀμφοτέρων τό,

ΙΩΑΝΝΗΣ ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ
ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΤΩΝ ΡΩΜΑΙΩΝ
Ο ΚΑΝΤΑΚΟΥΖΗΝΟΣ
ΙΩΑΝΝΗΣ ΕΝ ΧΡΙΣΤΩ ΤΩ·ΘΕΩ

πιστός βασιλεύς καί αὐτοκράτωρ Ῥωμαίων Παλαιολόγος.

Διά δέ τῆς σεβασμίας καί πατριαρχικῆς χειρός τό,

Κάλλιστος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καί οἰκουμενικός πατριάρχης.

Ὁ ταπεινός μητροπολίτης Ἡρακλείας, πρόεδρος τῶν ὑπερτίμων καί ἔξαρχος πάσης Θρᾴκης καί Μακεδονίας, Φιλόθεος.

Ὁ ταπεινός μητροπολίτης Θεσσαλονίκης, Ὑπέρτιμος καί ἔξαρχος πάσης Θετταλίας, Γρηγόριος.

Ὁ ταπεινός μητροπολίτης Κυζίκου, καί ἔξαρχος πάσης Ἑλλησπόντου, Ἀρσένιος.

Ὁ μητροπολίτης Φιλαδελφείας, ὑπέρτιμος καί ἔξαρχος πάσης Λυδίας καί καθολικός κριτής τῶν Ῥωμαίων, Μακάριος.

Ὁ ταπεινός μητροπολίτης Χαλκηδόνος, ὑπέρτιμος καί ἔξαρχος πάσης Βιθυνίας, Ἰάκωβος.

Ὁ μητροπολίτης Μελανίκου, ὑπέρτιμος καί καθολικός κριτής τῶν Ῥωμαίων, Μητροφάνης.

Ὁ ταπεινός μητροπολίτης Ἀμασείας καί ὑπέρτιμος.

Ὁ ταπεινός μητροπολίτης Ποντοηρακλείας καί ὑπέρτιμος Μεθόδιος.

Ὁ ταπεινός μητροπολίτης Πηγῶν καί Παρίου ὑπέρτιμος, Γεώργιος.

Ὁ ταπεινός μητροπολίτης Βερρόιας, ὑπέρτιμος καί τόν τόπον ἐπέχων τοῦ Τυάνων, Διονύσιος.

Ὁ ταπεινός μητροπολίτης Τραπεζοῦντος καί ὑπέρτιμος, Νήφων.

Ὁ ταπεινός μητροπολίτης Τραϊανουπόλεως ὑπέρτιμος καί ἔξαρχος πάσης Ῥοδόπης, Γερμανός.

Ὁ ταπεινός μητροπολίτης Σηλυβρίας, ὑπέρτιμος καί τόν τόπον ἐπέχων τοῦ Κοτυαίου, Ἡσαΐας.

Ὁ ταπεινός μητροπολίτης Ἄπρω, ὑπέρτιμος καί τόν τόπον ἐπέχων τοῦ Εὐχαΐτων, Γαβριήλ.

Ὁ ταπεινός μητροπολίτης Ἀμάστριδος καί ὑπέρτιμος, Καλλίνικος.

Ὁ ταπεινός μητροπολίτης Σουγδαίας καί ὑπέρτιμος, Εὐσέβιος.

Ὁ ταπεινός μητροπολίτης Αἴνου καί ὑπέρτιμος, Δανιήλ.

Ὁ ταπεινός μητροπολίτης Βρύσεως καί ὑπέρτιμος, Θεοδώρητος.

Ὁ ταπεινός μητροπολίτης Μαδύτων καί ὑπέρτιμος, Ἰάκωβος.

Ὁ ταπεινός μητροπολίτης Βιζύης καί ὑπέρτιμος, Νεόφυτος.

Ὁ ταπεινός μητροπολίτης Καλλιουπόλεως, Ἰωσήφ.

Ὁ ταπεινός μητροπολίτης Ἐξαμιλίου.

Ὁ ταπεινός μητροπολίτης Σωζοπόλεως, Θεοδόσιος.

Ἦσαν καί διά γνωμῶν οὗτοι, ὁ Ἀδριανουπόλεως, ὁ Σταυρουπόλεως, ὁ Διδυμοτείχου.

Παρῆσαν τῇ συνόδῳ καί ἐπίσκοποι τοῦ μέν Ἡρακλείας ὁ Πανίου, ὁ Καριουπόλεως, ὁ Παμφύλου, ὁ Ἀθύρα· τοῦ δέ Θεσσαλονίκης ὁ Καμπανίας· τοῦ Σάρδεων, ὁ Συνάδων, ὁ Ἐλευθερουπόλεως.

Διαλαθόντα τά δύο ταῦτα, ὕστερον προσετέθησαν.

Ὁ ταπεινός μητροπολίτης Διδυμοτείχου καί ὑπέρτιμος, Θεόληπτος.

Ὁ Λιτιτζίτζης μητροπολίτης βεβαιῶν ὑπέγραψα.

Ὁ μέγας χαρτοφύλαξ τῆς Ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας καί ὕπατος τῶν φιλοσόφων, ὁ Ἔμπαρις.

Ὁ μέγας σκευοφύλαξ, Εὐθύμιος ὁ Ἀπόκαυκος.

Ὁ σακελλάριος τῆς Ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας καί ἀρχιδιάκονος, Μιχαήλ ὁ Καβάσιλας.

Ὁ Ῥαιφερενδάριος τῆς Ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, Μανουήλ ὁ Σίλβεστρος.

Ὁ ἐπί τῶν δεήσεων τῆς Ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης Ἐκκλησίας, Θεόδωρος διάκονος ὁ Περδίκης.

Ὁ σκευοφύλαξ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου, Γεώργιος διάκονος ὁ Περδίκης.

Ὁ ἐπί τῆς ἱερᾶς καταστάσεως τῆς Ἁγιωτάτης Μεγάλης τοῦ Θεοῦ Ἐκκλησίας, Μιχαήλ διάκονος ὁ Μανιάκης.

Ὁ ἄρχων τῶν μοναστηρίων διάκονος ὁ Χωνειάτης.

Εἶχεν ἑτέραν ὑπογραφήν ὁμοίως τό πρωτότυπον τοῦ ὕστερον γενομένου θειοτάτου βασιλέως ἡμῶν μετά καί προγράμματος τοῦδε·

Ἡ βασιλεία μου μέλλουσα ὑπογράψειν ἐν τῷ παρόντι Τόμῳ, προγεγονότι παρά τοῦ κραταιοῦ καί ἁγίου μοναυτοκράτορος καί βασιλέως τοῦ πατρός τῆς βασιλείας μου καί τῆς θείας καί ἱερᾶς συνόδου ἐπί βεβαιώσει μέν τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας, ἐπί καθαιρέσει δέ τῆς ἀθεωτάτης Βαρλαάμ καί Ἀκινδύνου αἱρέσεως, τάττει καί διορίζεται στέργεσθαι τοῦτον παρ' αὐτῆς ἀμεταποίητον καί ἀμετακίνητον, χωρίς βασάνου καί δοκιμασίας τῆς οἱασδήτινος, ὡς ἐκ Θεοῦ γραφέντα διά τῶν ἐν αὐτῷ λαλούντων ἁγίων, δεχομένης μέν τῆς βασιλείας μου καί ἀσπαζομένης, ἅπερ καί ὁ παρών Τόμος προσίεται, ἀναθέματι δέ παραδιδούσης, ὅσα καί αὐτός τῷ ἀναθέματι παραδέδωκε· καί πρός μέν τούς ἐναντιουμένους τῷ τοιούτῳ θείῳ καί ἱερῷ Τόμῳ τάττει ἡ βασιλεία μου καί λόγοις καί ἔργοις κατ' αὐτῶν ἵστασθαι, καί ὡς κοινούς τῆς Ἐκκλησίας ἀπελαύνειν ἐχθρούς· τούς δέ ἐμμένοντας τούτῳ ἀποδοχῆς καί εὐμενείας τῆς δυνατῆς ἀξιοῦν. Ταῦτα δέ τάττει ἡ βασιλεία μου, ὡς ἐκ Θεοῦ καταστᾶσα διά τῆς αὐτοῦ χάριτος δεφένσωρ καί ἐκδικητής τῆς αὐτοῦ Ἐκκλησίας. Ὥστε δέ μένειν τόν παρόντα ὁρισμόν βέβαιον καί ἀκίνητον τῆς βασιλείας μου εἰς αἰῶνα τόν ἅπαντα, καί ὑπογέγραπται παρ' αὐτῆς, καί τῷ ἁγίῳ

ἤδη διαστρέψαι καί κατασεῖσαι. Ταῦτα μέν οὖν καί ὁ θειότατος βασιλεύς.

50. Ἐπεί δέ ἀπελύθη τούτου θεῖον καί σεπτόν πρόσταγμα καί πρός τό Ἅγιον Ὄρος, ὡς ἄν οἱ ἐν τούτῳ συνέσει καί ἀρετῇ διαφέροντες ἐπιδημήσωσιν εἰς τήν κατά τήν εὐδαίμονα ταύτην μεγαλόπολιν συγκεκροτημένην σύνοδον, ἐκεῖνοι δέ διά τε τό τῆς ὁδοῦ μῆκος καί τήν τοῦ καιροῦ δυσχέρειαν ἐπιδημῆσαι οὐκ ἴσχυσαν, δύο τῶν ἱερομονάχων ἀρετῇ τε καί λόγῳ σεμνυνομένους πέμπουσι καί ἀναφοράν πρός τόν κραταιόν καί ἅγιον ἡμῶν αὐτοκράτορα καί βασιλέα, παραδηλοῦσαν ὅτι καί ἔγγραφον τήν οἰκείαν γνώμην τῇ συνόδῳ ἀπέστειλαν. Ἀνέστησαν οὖν οἱ πεμφθέντες ἱερομόναχοι καί ἀπέδωκαν τῇ συνόδῳ λόγους, ὡς κοινούς τοῦ Ἁγίου Ὄρους παντός, οὕς συνεγράψατο ἐκεῖ ἔτι παραμένων μετ' αὐτῶν ὁ ἱερώτατος μητροπολίτης Ἡρακλείας κύριος Φιλόθεος. Προεκόμισαν δέ καί τήν νῦν ἐκεῖθεν πεμφθεῖσαν ἔγγραφον ἁπάντων γνώμην, ἥτις καί ἀναγνωσθεῖσα εἰς ἐπήκοον πάντων, συμφωνοῦσα καί συνεπιμαρτυροῦσα διετέλει τῷ ἱερωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης διά πάντων κατά τήν τῆς εὐσεβείας ἀλήθειαν. Ταῦτα δέ καί τό Ἅγιον Ὄρος ἅπαν.

51. Ἡμεῖς δέ πᾶσα ἡ συναθροισθεῖσα ἐν τῷ τρικλίνῳ τῷ οὕτως ἐπιλεγομένῳ Ἀλεξιακῷ τῶν ἱερῶν Βλαχερνῶν θεία καί ἱερά σύνοδος χάριτι Χριστοῦ καί νῦν τῆς εὐσεβείας ὑπερμαχοῦντες, καί ἀκριβῆ καί προσήκουσαν τήν περί τῶν προκειμένων σκέψιν καί ἐξέτασιν ποιησάμενοι, καί τούς πρώην ἐπί τούτοις συνοδικούς τόμους ὡς εὐσεβεστάτους ἐπικυροῦντες, μᾶλλον δέ καί τούτοις ἑπόμενοι, τόν μέν Βαρλαάμ ἐκεῖνον καί τόν Ἀκίνδυνον, ὡς εἰς αὐτά τά καίρια τῆς εὐσεβείας ἐμπαροινήσαντας καί μηδαμῶς μεταμεληθέντας ἔτι περιόντας τῷ βίῳ, τῷ ἀπό Χριστοῦ ἀναθέματι δικαίως καθυποβάλλομεν. Τούς δέ νῦν ἀναφανέντας καί συνοδικῶς ἐξελεγχθέντας ἐκείνοις ὁμόφρονας, καί ἁπλῶς ὅσοι τῆς συμμορίας αὐτῶν, ἀποκηρύκτους τε καί ἀποβλήτους ἔχομεν τῆς καθολικῆς καί ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, εἰ μή μεταμεληθεῖεν, καί τῷ ἀπό Χριστοῦ ἀναθέματι καθυποβάλλομεν, καί τούς κοινωνοῦντας τούτοις ἐν γνώσει ἀκοινωνήτους ἔχομεν, καί πάσης ἱερατικῆς λειτουργίας τούς ἔχοντας ἀπογυμνοῦμεν. Τούς δ' ὑπό τούτων συναρπαγέντας τε καί παρασυρέντας, καί μή τῶν ἐξάρχων τῆς αἱρέσεως ὄντας, ἀμεταμελήτους μέν μένοντας, τοῖς ὁμοίοις καθυποβάλλομεν, μεταμεληθέντας δέ γνησίως καί ἀναθεματίζοντας τήν τε ταύτην κακοδοξίαν καί τούς εἰς τέλος ἐμμείναντας ταύτῃ, μή μόνον εἰς κοινωνίαν τήν κατ' εὐσέβειαν, ἀλλά καί εἰς ἱερωσύνην ἀσμενέστατα προσιέμεθα, μηδαμῶς τούτους ὑποβιβάζοντες, κατά τήν ἐπί τοῖς τοιούτοις διάγνωσιν καί ἀπόφασιν τῆς ἁγίας καί Οἰκουμενικῆς ἑβδόμης Συνόδου, διοριζομένης «ὅτι τούς μέν πρωτάρχους καί προϊσταμένους καί τῆς δυσσεβείας ἐκδικητάς οὐδέ μεταμελουμένους ὅλως εἰς ἱερωσύνην παραδεχόμεθα, τούς δέ βιασθέντας ἤ συναρπαγέντας τε καί παρασυρέντας, μεταμελομένους ἀληθῶς καί γνησίως, εἰς ἱερωσύνην κατά τόν οἰκεῖον ἕκαστον βαθμόν προσδεχόμεθα».

Ἀλλά καί εἴ τις ἕτερος τῶν ἁπάντων τά αὐτά ποτε φωραθείη ἤ φρονῶν ἤ λέγων ἤ συγγραφόμενος κατά τοῦ ἱερωτάτου Θεσσαλονίκης, μᾶλλον δέ κατά τῶν ἱερῶν θεολόγων καί τῆς Ἐκκλησίας αὐτῆς, τά αὐτά κατ' αὐτοῦ ψηφιζόμεθα καί τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων εἴη τις, εἴτε τῶν λαϊκῶν. Αὐτόν μέντοι τόν πολλάκις ῥηθέντα Θεσσαλονίκης ἱερώτατον μητροπολίτην, μηδέν ἀπᾷδον τῶν θείων λογίων γράφοντά τε καί φρονοῦντα μετ' ἐξετάσεως καταλαβόντες, μᾶλλον δέ τῶν θείων λογίων καί τῆς κοινῆς ἡμῶν εὐσεβείας καί παραδόσεως, ὡς προσῆκεν, ὑπερμαχοῦντα, οὐκ ἀνώτερον μόνον παντάπασι τῶν κατ' αὐτοῦ, μᾶλλον δέ τῶν κατά τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐρεσχελιῶν, ὡς καί οἱ πρώην συνοδικοί τόμοι προβάντες ἔχομεν, ἀλλά καί ἀσφαλέστατον τῆς Ἐκκλησίας καί εὐσεβείας πρόμαχον καί προαγωνιστήν καί βοηθόν ταύτης ἀποφαινόμεθα. Οὕτω γάρ καί οἱ ἐπί ταῖς Συνόδοις ἐκείναις προβάντες τόμοι ἔξουσι, καθάπερ οὖν ἔχουσι, τό ἀσφαλές τε καί βέβαιον.

52. Τούτων δέ οὕτως ἐκβάντων, οὐκ ἄνευ δηλαδή τῆς τοῦ ἀγαθοῦ Πνεύματος συνεργείας καί χάριτος, λοιπόν ἦν ἔτι προθυμουμένοις πᾶσαν αἰτίαν τῶν βουλομένων αἰτιᾶσθαι περιαιρεῖν, μηδέ ἅπερ τῶν ἐν τοῖς τοῦ ἱερωτάτου Θεσσαλονίκης συγγράμμασιν ἐν αἰτίαις ἐποιοῦντο οἱ τῆς Ἐκκλησίας πολέμιοι, μηδέ ταῦτα παραδραμεῖν ἀβασάνιστα, εἰ καί ἀπό τῶν ἐξετασθέντων ἐν τῇ θείᾳ συνόδῳ τότε καί ταῦτα πάντα περιελήφθησαν. Εὑρόντος οὖν ταῦτα τοῦ κρατίστου καί ἁγίου ἡμῶν αὐθέντου καί βασιλέως καταγεγραμμένα κατά μέρος παρά τῆς ἐκείνων χειρός καί πρός ἡμᾶς ταῦτα δόντος, ἡμεῖς ἕκαστον τούτων ἐν τῷ τοῦ ἱερωτάτου Θεσσαλονίκης βιβλίῳ ἀνέγνωμέν τε καί ἐξητάσαμεν, συνελθόντες κατά τήν μεγάλην ἐκκλησίαν καί συνδιημερεύσαντες οὐχ ἅπαξ, ἀλλά καί δίς καί τρίς καί πολλάκις. Καί τόν μέν Θεσσαλονίκης ἱερώτατον μητροπολίτην καί ἐν τούτοις σύμφωνον τοῖς ἱεροῖς θεολόγοις εὕρομεν καί συνήγορον Χριστοῦ χάριτι τῆς κατ' εὐσέβειαν ἀληθείας, αὐτούς δέ, καί ἀφ' ὧν ἐγγράφως διαστρέφειν καί κατηγορεῖν ἐπεχείρουν, πολλαῖς καί μεγάλαις αἱρέσεσι περιπίπτοντας. Τοῖς γε γάρ παρά τῶν θεολόγων ῥητῶς εἰρημένοις φανερῶς ἀντιλέγοντες διετέλουν, καί τήν θέωσιν τοῦ δεσποτικοῦ προσλήμματος κτιστήν ἐτόλμησαν ἀνειπεῖν, καί τήν οὐσίαν τοῦ Θεοῦ, διά τό παρά τῶν ἁγίων εἰρῆσθαι ταύτην ἀπροσπέλαστον καί ἀμέθεκτον, φθαρτικήν εἶναι νομίζειν τούς οὕτω περί ταύτης φρονοῦντας, ὦ τόλμης! δυσσεβῶς ἀπεφήναντο· καί ταῦτα τοῦ Θεοῦ πρός Μωσῆν εἰρηκότος, «οὐδείς ὄψεται τό πρόσωπόν μου καί ζήσεται». Ἀλλά καί τά ἐπαναπεπαυμένα κατά τήν προφητείαν ἐπί τό ἄνθος τό ἐκ τῆς ῥίζης Ἰεσσαί, δηλονότι τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἑπτά πνεύματα, τουτέστι τάς ἐνεργείας κατά τούς ἱερούς θεολόγους τοῦ θείου Πνεύματος, ἅς ὁ μέν ἱερός Ζαχαρίας ἑπτά ὀφθαλμούς τοῦ Χριστοῦ ἀνύμνησεν, ἐπιβλέποντας ἐπί πᾶσαν τήν γῆν, ὁ δέ θεῖος Μάξιμος φυσικῶς ταῦτα προσεῖναι τῷ Υἱῷ τοῦ Θεοῦ ἐθεολόγησε, μετά τῶν κτισμάτων ἔταξαν· καί τά πλείω τούτων καί μηδέν ἧττον εἰς ἀσέβειαν φέροντα οὐδέ ἀριθμεῖν ῥᾴδιον. Διό καί ἀπό τούτων ἡ καταδίκη τούτοις, εἰ μή ἄρα μεταμεληθεῖεν, ἐπεκυρώθη, καί τά συνοδικῶς ἡμῖν ἀρτίως μετά τῆς ἐκ Θεοῦ βασιλείας ἐξετασθέντα καί διαγνωσθέντα τό ἀσφαλές ἐν πᾶσι καί βέβαιον ἔξει, σύμφωνα πάντως ὄντα τῇ τε ἀληθείᾳ καί τοῖς θείοις πατράσι πᾶσι καί ταῖς προγεγενημέναις τούτου χάριν ἱεραῖς καί θείαις συνόδοις καί τοῖς ἐπ' αὐταῖς συνοδικοῖς τόμοις. Καί ἡ ἔνθεσμος διά πάντων καί κανο-

ΣΥΝΟΔΟΣ

Ἐν Κωσταντινουπόλει τῷ 1642

Συνοδική Ἐπιστολή πρός τήν ἐν Ἰασίῳ Σύνοδον

ΠΑΡΘΕΝΙΟΣ Ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καί Οἰκουμενικός Πατριάρχης.

Τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, συνεδριαζόντων αὐτῇ καί τῶν ἱερωτάτων ἀρχιερέων καί ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν αὐτῆς ἀδελφῶν καί συλλειτουργῶν, καί τῶν τιμιωτάτων κληρικῶν τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, προήχθησαν εἰς μέσον κεφάλαιά τινα, ἐπιγραφήν ἔχοντα τοῦ πρό ἡμῶν Πατριάρχου γέροντος κυρ. Κυρίλλου, περί ὧν ἐζητήθη, εἰ χρή ταῦτα ὡς εὐσεβῆ λογίζεσθαι καί κατέχειν, ἤ ὡς τῆς ἡμετέρας ἀνατολικῆς καί ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀλλότρια ἀποκηρύττεσθαι. Διό πᾶσα ἡ ἱερά Σύνοδος αὕτη, ἕκαστον αὐτῶν ἐπιμελῶς ὑπεξελθόντες καί τόν νοῦν τῶν γεγραμμένων ἀνακρίναντες, εὗρον αὐτά πάντα, τοῦ ἑβδόμου ἐκτός, τῆς καλβινικῆς ἀντεχόμενα αἱρέσεως, καί ὡς πορρωτάτω τῆς χριστιανικῆς τῶν ἀνατολικῶν θρησκείας ἀπέχοντα.

α΄. Ἐν μέν γάρ τῷ πρώτῳ, τήν ἀΐδιον καί ὑπαρκτικήν τοῦ ἁγίου Πνεύματος πρόοδον ἐκ Πατρός καί Υἱοῦ ὑποτίθησι, παρά γνώμην τῆς Ἀνατολικῆς Ἐκκλησίας.

β΄. Ἐν δέ τῷ δευτέρῳ, τήν ἁγίαν Γραφήν γυμνήν ἐξηγήσεων τῶν τῆς Ἐκκλησίας ἁγίων Πατέρων δεχόμενος, τά ταῖς οἰκουμενικαῖς Συνόδοις θεοπνεύστως ἐκφωνηθέντα διαβάλλει, καί τάς ἀρχῆθεν κατά διαδοχήν κεκρατηκυίας ἀνά πᾶσαν τήν οἰκουμένην ἀποπέμπεται παραδόσεις, ὧν ἐκτός εἰς ψιλόν ὄνομα περισταίη τό κήρυγμα ἡμῶν, ᾗ φησι Βασίλειος.

γ΄. Ἐν δέ τῷ τρίτῳ, τόν Θεόν ὑποτίθησιν ἀδικώτατον, τυραννικῇ χρώμενον ἐξουσίᾳ, μόνῃ λέγων τῇ θελήσει αὐτοῦ τούς μέν εἰς δόξαν προορίσαι, τούς δέ ἀποβάλλειν εἰς κόλασιν, μηδαμῶς τά ἔργα αὐτῶν σκοπούμενον· οὗ τί ἄν γένοιτο ἀσεβέστερον;

δ΄. Τό δέ τέταρτον τῷ πρό αὐτοῦ ὅλως ἀντίκειται. Εἰ γάρ οὐκ αἴτιος τῶν κακῶν ὁ Θεός, πῶς τῷ οἰκείῳ θελήματι τούς ἀδοκίμους ἐπί τό κακοποιεῖν ἐξεπίτηδες προήγαγεν;

ε΄. Ἐν δέ τῷ πέμπτῳ, τήν θείαν παρεξηγεῖ πρόνοιαν, περιάπτων αὐτῇ κυρίως καί πρωτουργῶς τά κατά παραχώρησιν αὐτῆς ὑπό τῶν πονηρῶν ἀνθρώπων τε καί δαιμόνων γινόμενα, ὡς ἐξ ὧν παράγει μαρτυριῶν ἐπιστώθη· τοῦτο δέ πᾶσαν ὑπερβαίνει βλασφημίαν.

ς΄. Τό δέ ἕκτον, περικλεῖον πᾶσαν τήν ἀνθρωπίνην φύσιν ὑπό τήν ἁμαρτίαν, οὐ μόνον τήν προπατορικήν, ὡς καί ἡ Ἐκκλησία ἡμῶν ὁμολογεῖ, ἀλλά καί τήν ἐξ αὐτῆς ἀναβλύζουσαν προαιρετικήν καί θανάσιμον, ἥν καρπούς ἐκείνης ὀνομάζει, καί μηδένα ἐξαιροῦν ταύτης (τῆς θανασίμου, τῆς κατάκριτον ἐκτελούσης τόν ταύτην ἐργαζόμενον), οὔτε τόν ἐν γεννητοῖς γυναικῶν μείζονα, οὔτε τήν ἐν γυναιξίν εὐλογημένην, τήν ἄμωμον καί ἀειπάρθενον Μαρίαν, ἤ προπάτοράς τινας ἤ προφήτας καί ἀποστόλους, ὡς ἀλλότριον τῆς πίστεως ἡμῶν κέκριται.

η΄. Ἐν δέ τῷ ὀγδόῳ, τήν τῶν ἁγίων ἀναιρεῖ μεσιτείαν, τάς τε τῶν ἀγγέλων προστασίας, ναί μήν καί τάς τῶν ἱερέων ὑπέρ παντός τοῦ κόσμου ἐντεύξεις τε καί μεσιτείας, αἷς τήν Ἐκκλησίαν διατηρεῖσθαι πιστεύομεν.

θ΄. Ἐν δέ τῷ ἐνάτῳ, τήν πίστιν γυμνήν τῶν ἔργων σώζειν ὑπολαμβάνει, εἶναι δέ ταύτην οὐκ ἔργον ἡμέτερον, ἀλλά τοῦ Χριστοῦ μόνον, ἔξωθεν δικαιοῦντος τόν ἄνθρωπον διά τῆς ζωῆς καί τοῦ θανάτου αὐτοῦ, ἵνα μή δόξῃ καί ὁ ἄνθρωπος πρός τήν ἑαυτοῦ τι συμβάλλεσθαι σωτηρίαν.

ι΄. Ἐν δέ τῷ δεκάτῳ, τήν ἐπίγειον καί τήν ἐν οὐρανοῖς Ἐκκλησίαν συγχέων, τήν ἀρχιερατικήν ἀναιρεῖ ἐπιστασίαν καί δι' αὐτῆς ὅλον τό τῆς Ἐκκλησίας πλήρωμα· οὗ τί ἄν εἴη ἀκοσμότερον;

ια΄. Ἐν δέ τῷ ἑνδεκάτῳ, μέλη τῆς ἐνταῦθα Ἐκκλησίας μόνους τούς ἐκλεκτούς εἶναι βούλεται, καί οὐ τούς ἁπλῶς κοινωνοῦντας καί μετέχοντας τῶν ἐκείνης μυστηρίων μετά πίστεως, ὡς τόν Παῦλον, ὅτε τήν Ἐκκλησίαν ἐπόρθει, μέλος ἐκείνης εἶναι, διά τό ἐκ κοιλίας αὐτόν ἀφωρίσθαι, τόν δέ Ἰούδαν, ὁμοίως τοῖς λοιποῖς ἀποστόλοις δυνάμεις ἐκτελοῦντα, μή μέλος αὐτῆς τηνικαῦτα χρηματίσαι.

ιβ΄. Ἐν δέ τῷ δωδεκάτῳ, ἀγωνιζόμενος ὁ συγγραφεύς τάς τῶν πατέρων διδασκαλίας ἐκ μέσου ἆραι, τήν Ἐκκλησίαν φησίν ὑπό τοῦ παναγίου Πνεύματος διδάσκεσθαι· ὅ ἀληθές ὄν, αὐτός κακοήθως εἰσάγει. Διδάσκεται μέν γάρ ὑπό τοῦ παναγίου Πνεύματος ἡ Ἐκκλησία ἡμῶν, ἀλλ' οὐκ ἀμέσως, γλώσσαις δέ καί χερσίν ἀνθρωπίναις κεχρημένου τοῦ Πνεύματος. Ἄνθρωποι γάρ ἦσαν οἵ τε προφῆται καί ἀπόστολοι, οἱ τόν λόγον τοῦ Κυρίου κηρύξαντες καί γράψαντες· καίτοι τῶν λόγων ἐκείνων λεγομένων εἶναι τοῦ Πνεύματος καί θείων, ὡς ἐκεῖθεν ἐμπνευσθέντων καί μηδέν κεκτημένων ἀνθρώπινον. Καί ἡ Ἐκκλησία γοῦν ὑπό τῶν θεοπνεύστων λογίων τῶν πατέρων διδασκομένη, οὐ λέγεται ὑπ' ἀνθρώπων, ἀλλ' ὑπό τοῦ Πνεύματος διδάσκεσθαι. Ἐκεῖνοι γάρ Πνεύματι θείῳ κινούμενοι διδάσκουσιν ἡμᾶς οὐ κατ' ἄνθρωπον, ἀλλά καθ' ἥν ἀπό τοῦ Πνεύματος ἔλαβον ἔμπνευσιν, ὅ δῆλον ἐξ ἧς πρός ἀλλήλους ἔχουσι συμφωνίας. Τό δέ τήν Ἐκκλησίαν ἀποφαίνεσθαι (ἐν τῷ αὐτῷ κεφαλαίῳ) δυνατόν εἶναι ἁμαρτάνειν, καί ταῦτα τό Πνεῦμα κεκτημένην διδάσκαλον καί τόν Χριστόν κεφαλήν, περί ἧς εἴρηται, ὅτι σπίλον ἤ ῥυτίδα οὐκ ἔχει, ἀλλ' ὅλη ἐστί καλή καί τελεία, (Ἐφεσ. 5,27), ὡς δυσσεβές ἀποκεκήρυκται.

ιγ΄. Τό δέ δέκατον τρίτον ἐκβάλλει τά καλά τῶν ἔργων τῆς τῶν ἀνθρώπων σωτηρίας, ἀναιροῦν διά τούτου, τό γ' ἐπ' αὐτῷ, οὐ μόνον ἀρετήν πᾶσαν καί βίον ἔνθεον, ἀλλά καί πᾶσαν τήν ἱεράν Γραφήν ἐπί τάς ἀγαθάς τῶν πράξεων τούς πάντας προορμῶσαν, ἐφ' ᾧ σωτηρίας τύχοιεν.

ιδ΄. Τό δέ τέταρτον καί δέκατον, κατά τοῦ αὐτεξουσίου στρατευόμενον, τήν ἀνθρωπίνην παρασαλεῦσαι φύσιν ἀποπειρᾶται, τό εἶναι αὐτῆς κεκτημένην ἐν τῷ λογικῷ τε καί αὐτεξουσίῳ.

ιε΄. Ἐν δέ τῷ δεκάτῳ πέμπτῳ τά πέντε τῆς Ἐκκλησίας ἀρνεῖται μυστήρια, τήν ἱερωσύνην, τό ἱερόν μύρον, τό εὐχέλαιον, τήν διά τῆς μετανοίας ἐξομολόγησιν

θυσιαστηρίῳ ταῖς ἐμαυτοῦ χερσίν ὥσπερ ἱερόν ἀνάθημα φέρων ἀνέθηκα, παρουσίᾳ, τοῦ κραταιοῦ καί ἁγίου μου αὐτοκράτορος καί βασιλέως, τοῦ πατρός τῆς βασιλείας μου, καί τοῦ παναγιωτάτου μου δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Φιλοθέου, καί τῆς περί αὐτόν θείας καί ἱερᾶς συνόδου· μηνί Φεβρουαρίῳ ἰνδ. ζ΄. Ματθαῖος ἐν Χριστῷ τῷ Θεῷ πιστός βασιλεύς καί αὐτοκράτωρ τῶν Ῥωμαίων Ἀσάνης ὁ Καντακουζηνός.



Ἰωσήφ Κονονοβίκιος, ἡγούμενος τῶν ἁγίων Θεοφανείων.

ΣΥΝΟΔΟΣ

Ἐν Κωνσταντινουπόλει τῷ 1838

ΕΓΚΥΚΛΙΟΣ ΚΑΤΑ ΤΩΝ ΛΑΤΙΝΙΚΩΝ ΚΑΙΝΟΤΟΜΙΩΝ

ΓΡΗΓΟΡΙΟΣ Ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, Νέας Ρώμης, καὶ Οἰκουμενικός Πατριάρχης.

Ἡ τῶν ἁπανταχοῦ Ὀρθοδόξων ποιμαντικὴ ἐπίσκεψις καὶ φροντὶς ἐναπόκειται ἀπαραιτήτως τῇ μιᾷ τοῦ Χριστοῦ ἁγίᾳ, καθολικῇ καὶ ἀποστολικῇ Ἐκκλησίᾳ, εἰς τό νά ἐπαγρυπνῇ ἀόκνως καὶ νά διεξάγῃ ἐπιμελῶς τά λογικά τοῦ Χριστοῦ πρόβατα πρός νομάς σωτηρίους, ἐν τόπῳ χλόης καὶ ἐπί ὕδατος ἀναπαύσεως, ἅπερ εἰσίν ἡ ἄνωθεν παρά τῶν ἱερῶν Ἀποστόλων, τῶν ὁμιλητῶν τούτων, καὶ τῶν ἑπτά οἰκουμενικῶν Συνόδων ἀνόθευτος καὶ ἀπαραχάρακτος, ὀρθή καὶ ὑγιαίνουσα διδασκαλία τῆς εὐσεβοῦς ἡμῶν πίστεως, καὶ τό ἀραρός καὶ ἀκίβδηλον τῶν θείων δογμάτων, ἐθίμων τε καὶ διδαγμάτων τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας καὶ ἡ περί ταῦτα τήρησις καὶ ἀσφάλεια, ὑπέρ ὧν ὀφείλει ὁ ποιμήν ὁ καλός καὶ τήν ψυχήν αὐτοῦ ἐν καιρῷ τιθέναι, κατά τήν εὐαγγελικήν καὶ θεόφθεγκτον φωνήν, καὶ πανταχόσε προσέχειν, μήποτε ἐπέρχωνται κατά τοῦ ποιμνίου ἔξωθέν ποθεν λύκοι βαρεῖς, φθοροποιοί καὶ ὀλέθριοι, ἐν σχήματι προβάτων, κατασπαράττοντες ἀφειδῶς καὶ ἀπολλύοντες ψυχικῶς ταῦτα, ὑπέρ ὧν Χριστός ἀπέθανε, καὶ ὧν τό αἷμα ἐκ τῶν χειρῶν αὐτοῦ ἐκζητήσει Κύριος ἐν τῇ φοβερᾷ καὶ ἀδεκάστῳ ἐκείνῃ ἡμέρᾳ, ἐάν αὐτός τῶν πνευματικῶν αὐτοῦ χρεῶν ἀμελήσῃ, μή παντί σθένει ἀγωνιζόμενος, τούς μέν ψυχοφθόρους τούτους λύκους ὡς πορρωτάτω τῆς λογικῆς τοῦ Χριστοῦ μάνδρας νά ἀπελάσῃ, τό δέ ποίμνιον εἰς τήν εὐθεῖαν ὁδόν νά ὁδηγήσῃ, καί ἔργοις ἅμα καὶ λόγοις τούς Ὀρθοδόξους ἐν γένει λαούς εἰς τήν πατροπαράδοτον αὐτῶν καὶ θεοδίδακτον διδασκαλίαν τῆς ἱερᾶς ἡμῶν πίστεως νά ὑποστηρίξῃ. Ταῦτα οὖν τά ἀπαραίτητα ἱερά χρέη συνειδότες καὶ ἡμεῖς ἐν ἑαυτοῖς, οὐκ ἐπαυσάμεθα, τῇ τοῦ Θεοῦ δυνάμει ῥωννύμενοι, ἀπό τό νά φροντίζωμεν, κατά τό ἐνόν, εἰς τήν σωτήριον διεξαγωγήν τῶν λογικῶν τοῦ Χριστοῦ προβάτων πρός τάς σωτηρίους νομάς, καθώς καί ἐπιστολήν ἐγκύκλιον ἐν τύποις ἐξεδώκαμεν πρό πολλοῦ, προασφαλίζοντες τούς Ὀρθοδόξους λαούς, τά γνήσια καί ἀληθῆ τέκνα τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας ἀπό τήν, δίκην χειμάρρου, κινηθεῖσαν ψυχόλεθρον λύμην τῶν Λουθηροκαλβινιστῶν, κατά πάσης τῆς εὐσεβείας λυσσώντων καὶ πρόῤῥιζον τήν Ὀρθοδοξίαν ἀνατρέψαι διαφόρως μηχανωμένων, καί ὁλοτρόπως ἀγωνιζόμενοι, ἵνα τῇ θείᾳ δυνάμει τούς μέν ἀνυπόκριτον ἔχοντας τήν εὐσέβειαν καί τούς τῷ Σωτῆρι Χριστῷ εἰλικρινῶς τε καὶ γνησίως συντασσομένους στηρίξωμεν, τούς δέ ἠπατημένους ἤ ἐξηγορασμένους, καί ὁπωσδήποτε περί τήν πίστιν ὀκλάσαντας ἀνορθώσωμεν καί πρός τήν τοῦ Χριστοῦ ποίμνην ἀνακαλέσωμεν καί συγκατατάξωμεν, τούς δέ μανιώδεις καί λυσσώδεις λύκους εἰς τά τοῦ ᾅδου βάραθρα ἀποσοβοῦντες ἀποπέμψωμεν, εἰρήνην ἅμα τήν ἐν Χριστῷ ἀντικαθιστῶντες πᾶσι τοῖς ὀρθοδόξοις καί χριστωνύμοις λαοῖς.

Ἀλλ' ἤδη πάλιν μέ ὑπερβάλλουσαν τῆς ψυχῆς μας λύπην ἐνωτισθέντες τά κατά Συρίαν, Αἴγυπτον καί Παλαιστίνην ῥᾳδιουργήματα καί τά κατά τῆς Ὀρθοδοξίας ἐπιβουλεύματα τῶν τῆς πλάνης τοῦ Παπισμοῦ ὀπαδῶν, καί μή ἀνεχόμενοι νά θεωρῶμεν διαδιδομένην καί ἐπί πλεῖον ἐπεκτεινομένην τήν τοιαύτην ψυχόλεθρον ἐν τοῖς Ὀρθοδόξοις λύμην, ἀλλ' ἐπιθυμοῦντες νά στήσωμεν καί τόν ῥοῦν τῆς ἀπάτης ταύτης καί σατανικῆς πλάνης, ἵνα μή τῷ χρόνῳ συμπροϊοῦσα πᾶν τό ὀρθόδοξον λυμήνηται πλήρωμα, οὐκ ὠκνήσαμεν ἵνα δι' ἰδιαιτέρων ἡμῶν ἐπιστολῶν διακοινώσωμεν πρός τούς μακαριωτάτους καί σεβασμιωτάτους Πατριάρχας, τόν τε τῆς μεγάλης πόλεως Ἀλεξανδρείας κύριον Ἱερόθεον καί τόν τῆς θεουπόλεως Ἀντιοχείας κύριον Μεθόδιον, τούς ἐν Χριστῷ ἡμῖν ἀγαπητούς ἀδελφούς καί συλλειτουργούς, ταύτην ἡμῶν τήν πρόθεσιν, εἰς ἥν καί μετά ζέοντος ζήλου διατεθειμένους εὑρόντες καί ἐκθύμως τήν πρόθεσιν ἀποδεξαμένους κατιδόντες, οὐ μόνον ἀλλά καί ἔγγραφον αὐτῶν τήν γνώμην καί συγκατάθεσιν λαβόντες, σύμφωνον οὖσαν καί τῇ τοῦ ἐν τῇ βασιλευούσῃ ἐνδημοῦντος μακαριωτάτου καί σεβασμιωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Ἀθανασίου, τοῦ ἐν Χριστῷ τῷ Θεῷ ἀγαπητοῦ ἡμῖν ἀδελφοῦ καί συλλειτουργοῦ, ἔγνωμεν κατά χρέος ἐκκλησιαστικῆς προνοίας κοινῇ γνώμῃ καί ἑνί κατά Θεόν φρονήματι τῆς τε σεβασμίας ἡμῖν μακαριότητος αὐτῶν καί τῆς ἐνδημούσης περί ἡμᾶς ἱερᾶς ὁμηγύρεως τῶν ἱερωτάτων ἀρχιερέων καί ὑπερτίμων, τῶν ἐν ἁγίῳ Πνεύματι ἀγαπητῶν ἡμῖν ἀδελφῶν καί συλλειτουργῶν, ἵνα ὑψώσωμεν τήν τῆς Ἐκκλησίας φωνήν καί διά τῆς παρούσης πατριαρχικῆς καί συνοδικῆς ἡμῶν ἐγκυκλίου ἐπιστολῆς, ὡς δι' ἄλλης εὐαγγελικῆς σάλπιγγος, διασαλπίσωμεν πρός τούς ἁπανταχοῦ γῆς Ὀρθοδόξους, καί μάλιστα πρός τούς κατά Συρίαν, Αἴγυπτον καί Παλαιστίνην, καί στηλιτεύσωμεν δημοσίως, ὁποῖοί εἰσιν οἱ προβατόσχημοι οὗτοι λύκοι, οἱ δόλιοι καί ἀπατεῶνες, οἱ νεωστί ἤδη ἀπό τοῦ Λιβανίου ὄρους, ὡς ἄλλοι σκοτεινοί ἑωσφόροι ἀναφανέντες, καί κατασκιάσαντες ὡς νέφος μέλαν τε καί ἐπαχθές καί πνιγηρόν πάντα τά μέρη τῆς Συρίας, Αἰγύπτου τε καί τῆς Παλαιστίνης, λαλοῦντες βλάσφημα κατά τῆς εὐαγγελικῆς ἀληθείας, καί διδάσκοντες σοφιστικῶς ἐναντία τῆς ὀρθοδόξου ἡμῶν πίστεως, καί οὕτω νά προφυλάξωμεν τούς ἀληθῶς εὐσεβεῖς ἀπό τῆς ἑωσφορικῆς πλάνης αὐτῶν καί τά γνήσια τέκνα τῆς Ἀνατολικῆς Ἐκκλησίας ἀπό τάς βλασφημίας τοῦ Παπισμοῦ. Καθότι ἡ ἀκόρεστος λύσσα τοῦ Παπισμοῦ, ἡ πρός ἀπάτην καί προσηλυτισμόν τά πάντα μηχανωμένη, ἀφίησιν ἀπολύτους, κατά πονηρίαν, καί πάντῃ ἐλευθέρους τούς ἀφ' ἑκάστης Ἐκκλησίας τόν Παπισμόν ἐναγκαλιζομένους, συγχωροῦσα ἵνα ἐκτελῶσιν ἀπαραλλάκτως πάντα τά τῆς προτέρας αὐτῶν Ἐκκλησίας ἔθιμα καί μυστήρια, εἰς μόνα τά δύο ταῦτα ἐξαρκουμένη, τό μνημονεύειν δηλαδή τοῦ ὀνόματος τοῦ Πάπα, καί τό ἀποδέχεσθαι ὅτι ὁ Πάπας ἐστίν ἀλάνθαστος καί ἀναμάρτητος, τά ὁποῖα ὡς ἄφευκτα καί ἀπαραίτητα ἐναπαιτεῖ παρά τῶν αὐτοῦ προσηλύτων ὁ Πάπας, μικρά μέν καί ἁπλᾶ δοκοῦντα κατ' ἀρχάς, πλήρη δέ δόλου καί μυρίων ἀτοπημάτων μεστά. Τούτῳ δή τῷ τρόπῳ καί τούς τῆς Συρίας αὐτόχθονας προσηλύτους πρός ἑαυτόν ποιήσας, καί βλαστήματα πονηρά ἅμα καί σαθρά τῆς πονη-

καί τόν τέλειον γάμον· ἅ πάντα, ὡς ἱερά καί θείας χάριτος μεταδοτικά, ἡμῖν ἡ ἀρχαία κατέλιπε παράδοσις.

ις΄. Καί τά λοιπά δέ δύο καθομολογῶν μυστήρια ἐν τοῖς δυσίν ἐφεξῆς κεφαλαίοις, οὐχ ὑγιῶς τήν δύναμιν αὐτῶν ἐκτίθησι. Τῷ μέν γάρ βαπτίσματι οὕτω δικαιοῦσθαι οἴεται τόν βαπτιζόμενον, ὡς μή οἷόν τε εἶναι κατ' οὐδένα τρόπον ἀπολέσθαι, ἐπιλελησμένος τῶν μή τοῦτο φυλαξάντων ἀμόλυντον, μήτε τήν πίστιν μέχρι τέλους τετηρηκότων, καί διά τοῦτο μηδέν τῷ λουτρῷ ἀποναμένων, ἀλλά τῇ αἰωνίῳ κατακριθέντων κολάσει.

ιζ΄. Τήν θείαν δέ εὐχαριστίαν οὕτω διαρρήγνυσιν, ὡς μηδέν αὐτῇ ἕτερον, εἰ μή τύπον ψιλόν ἐγκαταλείπειν, ὡσανεί ἔτι τῇ σκιᾷ τοῦ παλαιοῦ νόμου ἐλατρεύομεν. Οὐ γάρ φησιν εἶναι σῶμα Χριστοῦ ἀληθινόν τόν ὁρώμενον καί ἐσθιόμενον ἄρτον, ἤδη ἁγιασθέντα, ἀλλά τόν νοούμενον πνευματικῶς, ἤ μᾶλλον εἰπεῖν φανταζόμενον, ὅ πάσης ἀσεβείας ἀνάπλεων. Ὁ γάρ Ἰησοῦς οὐκ ἔφησε, τοῦτό ἐστιν ὁ τύπος τοῦ σώματός μου, ἀλλά «τοῦτό ἐστι τό σῶμά μου, καί τοῦτό ἐστι τό αἷμά μου» (Ματθ. 26, 26.28)· τοῦτο δηλαδή τό ὁρώμενον καί λαμβανόμενον καί ἐσθιόμενον καί κλώμενον, ἁγιασθέν ἤδη καί εὐλογηθέν.

ιη΄. Ἔσχατον δέ πάντων, ἐπί προφάσει δῆθεν τοῦ καταβαλεῖν τό καθαρτήριον πῦρ, τάς νενομισμένας ἡμῖν ἐπί τοῖς ἀποιχομένοις μνείας ἐκβαλεῖν κατεπείγεται, δι' ὧν ἐλπίζομεν ἄνεσιν αὐτοῖς καί ἀναψυχήν παρά Θεοῦ καταπέμπεσθαι τῶν κατεχόντων αὐτούς ἀνιαρῶν.

Πρός τούτοις ἐνεφανίσθησαν καί ἅς τοῖς κεφαλαίοις προσέθηκαν ἐρωτήσεις, καί ἐγνώσθησαν πάσῃ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ, οὐδέν ἄμεινον τῶν κεφαλαίων διακείμεναι. Οὐ μόνον γάρ τάς τῆς Γραφῆς ἑρμηνείας, τάς τοῖς πατράσιν ἡμῶν ἐκπονηθείσας, ὡς καί πρότερον, παρακρούεται, ἀλλά καί τινα τῶν ἐκείνης ἀθετεῖ βιβλίων, ἅπερ αἱ ἅγιαι καί οἰκουμενικαί σύνοδοι ὡς κανονικά ἐδέξαντο. Καί ἐπί πᾶσι, τήν τῶν σεπτῶν καί ἁγίων εἰκόνων σχετικήν ἀποβάλλεται προσκύνησιν, ἥν ἡ ἑβδόμη ἐκύρωσεν οἰκουμενική ἁγία σύνοδος.

Διά τοῦτο τά τε κεφάλαια ταῦτα καί τάς ἐρωτήσεις κοινῇ ψήφῳ τελείως (φησίν ἡ ἁγία σύνοδος αὕτη) ἀνατρέπομεν, καί τῆς ἡμετέρας αὐλῆς ἀπελαύνομεν, ὡς αἱρέσεων πεπληρωμένα καί πάντῃ ἀλλότρια τῆς ὀρθοδόξου ἡμῶν πίστεως· τόν τε συγγράψαντα ξένον τῆς ἡμῶν κρίνομεν θρησκείας, πᾶσι δηλοποιοῦντες ὡς καταψεύδεται ἡμῶν ὁ τούτων συγγραφεύς, λέγων τήν ἰδίαν αὐτοῦ πίστιν ἀνατολικήν ὁμολογίαν εἶναι τῆς χριστιανικῆς πίστεως τῶν Γραικῶν, καλβινικήν οὖσαν καί οὐχ ἡμετέραν. Τούς δέ ταῦτα τά κεφάλαια ὡς ἀληθῆ καί εὐσεβῆ δῆθεν ἀναγινώσκοντας καί διακρατοῦντας, ὑπερμαχοῦντας αὐτῶν εἴτε λόγοις εἴτε συγγράμμασιν, ὡς συμφρονοῦντας καί συγκοινωνοῦντας αὐτοῦ ταῖς αἱρέσεσι καί λυμεῶνας τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἀποβάλλομεν τῆς τῶν πιστῶν ὁμηγύρεως, καί ὡς ἐθνικούς καί τελώνας λογίζεσθαι διατατόμεθα, μηδεμίαν κοινωνίαν ἔχοντας μεθ' ἡμῶν, ὁποίας ἄν εἵησαν καταστάσεως· καί ἔστωσαν τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι, καί ἀφωρισμένοι παρά Πατρός, Υἱοῦ καί ἁγίου Πνεύματος, τοῦ ἑνός τῇ φύσει μόνου Θεοῦ, ἔν τε τῷ νῦν αἰῶνι καί ἐν τῷ μέλλοντι, καί κατηραμένοι καί ἀσυγχώρητοι καί ἄλυτοι μετά θάνατον καί μέτοχοι τῆς αἰωνίου κολάσεως. Οὔτε γάρ ποτε ἡ ἡμετέρα Ἐκκλησία τοῖς τοιούτοις καθυπήχθη δόγμασι, μήτε μήν ἐς τοὐπιόν τοσοῦτον κατενεχθείη, χάριτι τοῦ ὁδηγοῦντος αὐτήν καί κυβερνῶντος Πνεύματος. Εἰς πίστωσιν δέ τῆς παρούσης πράξεως καί ἀσφάλειαν κατεστρώθη τό παρόν ἐν τῷ ἱερῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, ὑπογραφέν ἰδίαις χερσί τῶν ἱερωτάτων ἀρχιερέων καί λογιωτάτων κληρικῶν.

Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ τεσσαρακοστῷ δευτέρῳ, μηνί Μαΐῳ, ἰνδικτιῶνος δεκάτης.

ΣΥΝΟΔΙΚΗ ΕΠΙΣΤΟΛΗ

Τῆς ἐν ΙΑΣΙΩ ΣΥΝΟΔΟΥ πρός τόν ἡγεμόνα τῆς Μολδοβλαχίας

Τῷ ἐκλαμπροτάτῳ καί μεγαλοπρεπεστάτῳ Δουκί, θεοσεβεστάτῳ αὐθέντῃ καί ἡγεμόνι πάσης Μολδοβλαχίας, κυρίῳ κυρίῳ Ἰωάννῃ Βασιλείῳ Βοεβόδᾳ, σωτηρίαν παρά Θεοῦ.

Σόν ἦν ὡς ἀληθῶς, Δούξ μεγαλοπρεπέστατε, τύποις ἐκδοῦναι καί τά συνοδικά ταὐτί γράμματα. Ἐπειδή γάρ σοι τό σύνθημα δέδωκεν ὁ Κύριος, τοῦ εἶναι τῆς Ἐκκλησίας αὐτοῦ πρόμαχον καί τῶν αἱρέσεων γενναῖον καταλύτην, σέ μόνον ἐκ πάντων τῶν ἐπί γῆς ἡγεμόνων ὡς εὔχρηστον αὐτῷ ἐκλεξάμενος· τίνι ἄν ἄλλῳ ἐπέκειτο τάς κακοδοξίας στηλιτεῦσαι, εἰ μή ἄρα τῇ σῇ θεοσεβεστάτῃ μεγαλονοίᾳ, ὅς ἰδών τάς τοῦ Χριστοῦ Ἐκκλησίας ταραττομένας ἐπί τοῖς νεωστί ἀναφανεῖσι καλουϊνικοῖς κεφαλαίοις, διατεινομένοις ἡμετέροις εἶναι, τῷ ἐπιγραφθέσθαι «ἀνατολική ὁμολογία τῆς χριστιανικῆς πίστεως», οὐδ' ὁτιοῦν κατενάρκησας, ἀλλά πάντα κάλων κινήσας, οὐκ ἀπέστης ἕως οὗ μεταπεμψάμενος τοποτηρητάς τοῦ ἁγιωτάτου καί ἀποστολικοῦ θρόνου τοῦ οἰκουμενικοῦ καί πάσης τῆς περί αὐτόν ἱερᾶς συνόδου, καί ἀπό Ῥωσίας λεγάτους τῆς ἐκεῖθεν Ἐκκλησίας, σύν αὐτοῖς πάντα τά νενοθευμένα κατέρραξας δόγματα, δημοσίοις βίβλοις ἐγκρίνας τε καί κυρώσας τά τῆς Ἀνατολικῆς Ἐκκλησίας γνήσια διδάγματα· καί νῦν πᾶσι τοῖς χριστιανῶν παισίν Ὀρθοδόξοις, ἐκκαλύπτων τόν ἐγκεκρυμμένον ἰόν τοῖς κεφαλαίοις ἐκείνοις, κοινῶς προκεῖσθαι ἐθέσπισας, ἥν ἔχει δόξαν περί αὐτά ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη Ἐκκλησία, ἐφ' ᾧ ἔχει πανταχῇ τά τοῦ Κυρίου πρόβατα διαγινώσκειν, ὁποίων βρωμάτων ἀπέχεσθαι χρή, καί ποίαις τισί νομαῖς ἀναμφιβόλως προσπελάζειν. Διό χάριτας τῷ Θεῷ ἀποδιδόντες ἐπί τοῖς διά σοῦ παρ' αὐτοῦ οἰκονομηθεῖσιν ἡμῖν, ἐξ' ὅλης ψυχῆς ἱκετεύομεν αὐτόν τήν παροῦσαν ζωήν μακραίωνά τε καί εἰρηνικήν σοι δωρήσασθαι, τόν τῆς ἡγεμονίας θρόνον μέχρι τέλους κοσμοῦντα ἐν τῇ αὐτοῦ χάριτι, ἐν (δέ) τῇ μελλούσῃ ἐκ τῶν ἐπί γῆς (εἰς) τά οὐράνια μεταθέσθαι σε βασίλεια.

Οἱ ἀπό Κωνσταντινουπόλεως λεγάτοι καί ἔξαρχοι Πατριαρχικοί.

Ὁ πρώην Νικαίας Πορφύριος.

Μελέτιος Συρίγος, ἱερομόναχος καί κῆρυξ τοῦ Εὐαγγελίου.

Καί οἱ ἀπό Ῥωσίας λεγάτοι.

Ἡσαΐας Τρόφιμος, ἡγούμενος τοῦ ἁγίου Νικολάου.

Ἰγνάτιος ὁ Ξενοβίκιος, ὁ τοῦ Εὐαγγελίου κῆρυξ.

γαγεῖν εἰς τήν Δυτικήν Ἐκκλησίαν ὁ Πάπας Βονιφάτιος ὁ ὄγδοος κατά τό ατ΄ (1300) ἔτος, ἐπινοήσας τόν ἰουδαϊκόν ἰουβιλαῖον, δι᾽ οὗ ἠνέῳξε πλατυτάτην θύραν ἀπωλείας, ἐπί προφάσει μέν πληρεστάτης ἀφέσεως παντός εἴδους ἁμαρτήματος τῶν ὁδοιπορούντων εἰς προσκύνησιν τῶν ἐν Ῥώμῃ σεβασμάτων, (ἐξ ὧν τό τοῦ Πάπα πρῶτον), τῇ δ᾽ ἀληθείᾳ χρημάτων ἀπείρων πορισμοῦ ἕνεκα. Ἀλλ᾽ οἱ μετά τόν Βονιφάτιον ἐφεξῆς Πάπαι, φαντασιοκοποῦντες ἐξ οἰήσεως ὅτι αὐτοί μόνοι ἔχουσιν ὡς παρακαταθήκην τάς κλεῖς τῆς τῶν οὐρανῶν βασιλείας καί ὅτι μόνοι δύνανται δεσμεῖν καί λύειν, ἀνοίγειν καί κλείειν τόν οὐρανόν, ὅταν καί ὅπως καί εἰς οὕς τινας θέλουσιν, ὑπό εὐσπλαγχνίας δῆθεν κεκινημένοι πρός τούς δυτικούς, τόν ἅπαξ δι᾽ ἑκατόν χρόνων τελούμενον τοσοῦτον ποριστικόν καί κερδαλαῖον Βονιφατικόν τοῦτον ἰουβιλαῖον συνέταμον εἰς εἴκοσι καί πέντε μόνον χρόνους, ὅ καί διαμένει μέχρι τῆς σήμερον. Ἀλλ᾽ αὕτη ἡ φοβερά καί ἀνήκουστος κατάχρησις, ἡ προερχομένη μέ ἔκπληξιν βαθυτάτην ἀπό τήν τόλμην καί τήν θρασύτητα, δι᾽ ἧς οἱ Ῥώμης ἐπίσκοποι μετέρχονται τά ἁγιώτερα, ἱερώτερα καί φοβερώτερα τῆς ἱερᾶς τοῦ Χριστοῦ πίστεως, ὡς μέσα πoριστικά χρημάτων, δι᾽ ὧν ἤνοιξαν καί ἀνοίγουσι συναλλαγματικάς τραπέζας ἐπί τε τῆς ἑορτῆς τοῦ ἰουδαϊκοῦ τούτου ἰουβιλαίου καί διά τῶν πεμπομένων πανταχοῦ βούλλων, ἤτοι ἀποφασιστικῶν ἐγγράφων, ἐπί πράσει καί ἀπεμπολήσει τῶν ἰνδουλγεντζιῶν καί ἀγορᾷ τούτων παρά τῶν πεπλανημένων, κατ᾽ ἀναλογίαν τοῦ βάρους ἑκάστης ἁμαρτίας, αὕτη, λέγομεν, ἡ κατάχρησις προεξένησε τέλος πάντων εἰς τήν Παπικήν Ἐκκλησίαν τήν ὑπό τοῦ Λουθήρου στάσιν ἐκείνην καί τό σχίσμα, τό τοσοῦτον ὀλεθρίως αὐτήν βλάψαν καί ζημιῶσαν.

Ἰδού οἱ κατά Συρίαν, Παλαιστίνην καί Αἴγυπτον κατόλικοι ἀποπλανηθέντες, πρός ποίας Ἐκκλησίας ἀρχηγόν θρησκευτικῶς προσανέχουσιν, ἀφέντες τά πατροπαράδοτα καί ἀρχαῖα· πρός τοιοῦτον ἀρχηγόν, παρ᾽ οὗ προῆλθον ἀπό τινος καιροῦ καί προέρχονται διαδοχικῶς, πρός τοῖς πολλοῖς ἄλλοις, καί τά ῥηθέντα ἀντίθεα ψηφίσματα, προγράφοντα καί καταργοῦντα πολλά τῶν ἱερῶν δογμάτων, κανόνων καί διατυπώσεων καί ἐπικυροῦντα καταχρηστικῶς καί καινοτόμως νομοθεσίας, ἀντιθέου πλάνης καί ἀπάτης πεπληρωμένας. Ὅστις καί καθήμενος ἤδη ἐπί τήν πάλαι ποτέ ἱεράν καί σεβασμίαν καθέδραν, καί προσκυνούμενος παρά τῶν παποσέπτων κατολίκων ὡς ἰσόθεος φεῦ! καί ἀναμάρτητος, καί ἀρκούμενος ἐκ πονηρίας εἰς μόνον τό μνημόσυνον τοῦ ὀνόματός του καί τήν ἀποδοχήν τῆς δοκούσης ἀναμαρτησίας του, προσεφείλκυσεν αὐτούς εἰς ἑαυτόν, διά τῆς ἐπιτρέψεως τοῦ νά ἀναγινώσκωσι τό ἱερόν Σύμβολον ἤ μετά τῆς προσθήκης ἤ καί ἄνευ ταύτης, ὡς εἴρηται, διά τῆς καταλύσεως τῶν παρά τῶν ἁγίων Ἀποστόλων καί τῶν διαδόχων αὐτῶν παραδεδομένων ἀπαραιτήτων νηστειῶν, καί τῆς ἀφέσεως καί συγχωρήσεως πάσης οἱαστινοσοῦν ἁμαρτίας καί κακοπραγίας, καί τοιουτοτρόπως παρέσυρεν αὐτούς ἐλεεινῶς εἰς τήν αὐτήν ἄβυσσον, εἰς ἣν καί αὐτός καί οἱ πρό αὐτοῦ ἀπό τινων χρόνων Πάπαι κατεβυθίσθησαν.

Οἱ δέ τῶν κατολίκων αὐτῶν ἀνίεροι, φρονοῦντες καί δογματίζοντες κατ᾽ ἔκτασιν ὅσα καί αὐτός ὁ τῶν δογμάτων αὐτῶν κορυφαῖος, πρός ὃν ὑπόκεινται τετυφλωμένως ὡς ἀνδράποδα, οὐκ αἰσχύνονται νά λέγωσι, ὅτι εἰσίν ἱερεῖς καί ὅμοιοι καί ὁμόφρονες κατά πάντα ἡμῖν τοῖς Ὀρθοδόξοις, δελεάζοντες καί πλανῶντες διά τῆς ἐπιπλάστου ἐξωτερικῆς μόνης ἐξομοιώσεως αὐτῶν τούς ἁπλουστέρους τῶν Ὀρθοδόξων, καί ἑκτραχηλίζοντες τούς ἀθλίους αὐτούς εἰς τά βάραθρα τῶν αἱρέσεων των καί εἰς τούς ψυχοφθόρους κρημνούς τῆς παπικῆς πλάνης των. Ἡμεῖς δέ Ὀρθόδοξοι ὄντες, ὀρθοδόξως πιστεύομεν καί ἀραρότως κατέχομεν ὅσα ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἀπεκάλυψε καί οἱ Ἀπόστολοι παρέδωκαν καί αἱ οἰκουμενικαί ἅγιαι ἑπτά Σύνοδοι ἐκύρωσαν.

Πιστεύομεν δηλονότι τήν τρισυπόστατον θεότητα· Πατέρα ἀγέννητον, ἄναρχον, ἄϊδιον, μόνην πηγήν καί ῥίζαν τῆς θεότητος· Υἱόν γεννητόν ἐκ τοῦ Πατρός, συνάναρχον, συναΐδιον καί ὁμοούσιον τῷ Πατρί· Πνεῦμα ἅγιον ἐκ μόνου τοῦ Πατρός προερχόμενον, οὐ γεννητῶς, ἀλλ᾽ ἐκπορευτῶς, συνάναρχον, συναΐδιον, ὁμοούσιον τῷ Πατρί καί τῷ Υἱῷ. Ὁμολογοῦμεν καί ἐνεργοῦμεν ἕν βάπτισμα, οὐχί ῥάντισμα, εἰς τρεῖς καταδύσεις καί ἀναδύσεις, ἐφ᾽ ἑκάστης τούτων τήν ἐπίκλησιν τῆς μιᾶς ὑπερθέου ὑποστάσεως τῆς ἁγίας Τριάδος ἐπιλέγοντες, καί χρίοντες τόν βαπτισθέντα ἐκ τοῦ παραυτίκα τῷ ἱερῷ μύρῳ, εἰς ἀπολαβήν τῶν δωρεῶν τοῦ παναγίου Πνεύματος. Προσφέρομεν ἐπί τῆς θείας εὐχαριστίας ἄρτον ἔνζυμον, κατά τόν ἀπαράλλακτον τύπον τοῦ κυριακοῦ μυστικοῦ δείπνου, καί οὐχί ἰουδαϊκῶς ἄζυμα. Ἀποστρεφόμεθα τά πνικτά καί τό αἷμα, ἀκολουθοῦντες ἀκριβῶς τήν ἀποστολικήν νομοθεσίαν λέγουσαν, «ἀπέχεσθαι πνικτοῦ καί αἵματος». Νηστεύομεν τετράδα καί παρασκευήν, οὐχί δέ τό σάββατον, ἐφεπόμενοι ἀκριβῶς καί ἀπαραβάτως τῷ ξς΄ κανόνι τῶν ἁγίων Ἀποστόλων λέγοντι· «εἴ τις κληρικός εὑρεθῇ τήν Κυριακήν ἡμέραν νηστεύων ἤ τό σάββατον, πλήν τοῦ ἑνός καί μόνου, καθαιρείσθω· εἰ δέ λαϊκός, ἀφοριζέσθω». Οὐκ ἐμποδίζομεν τόν νόμιμον γάμον τῶν ἱερέων καί διακόνων, γεγονότα πρίν τῆς αὐτῶν χειροτονίας, κατά τόν στ΄ κανόνα τῆς ΣΤ΄ οἰκουμενικῆς Συνόδου, διά τό μήπω ἀναβιβασθῆναι ἐπί τῷ ὑψηλῷ ἀξιώματι τῆς ἱερωσύνης. Οὐδόλως ἀποδεχόμεθα τό παρ᾽ αὐτοῖς κακῶς καί καινοφανῶς ἐπινοηθέν πουργατόριον, ὅλως ὑπάρχον ἀντευαγγελικόν καί ἀντίθεον, ὡς παρεπεισάγον τέλος κολάσεως καί ὡς τιμωροῦν μεμονωμένην τήν ψυχήν τοῦ ἁμαρτήσαντος δίχα τοῦ σώματος, ἐνῷ τό εὐαγγέλιον διαρρήδην διδάσκει τήν τε κόλασιν καί τήν ἀμοιβήν τῶν καλῶν συνάμα ἀποδοθήσεσθαι, καθώς μετά σώματος ἡ ψυχή οὖσα, εἴτε τάς ἀρετάς συνάμα διεπράξατο, εἴτε τἀναντία. Ὡσαύτως παράνομον καί καινοτόμον ἐπίνοιαν λογιζόμεθα καί τάς παρ᾽ αὐτοῖς καλουμένας ἰνδουλγέντζιας, παραιτίους γινομένας μυρίων ἁμαρτιῶν εἰς τούς ἀθλίους χριστιανούς καί εὐρύχωρον ὁδόν ἀπωλείας δεικνυούσας.

Φυλάττομεν δέ οἱ Ὀρθόδοξοι ἀκριβῶς τάς νενομοθετημένας παρά τῶν ἁγίων Ἀποστόλων νηστείας τῆς τε τετράδος καί παρασκευῆς καί τῆς τεσσαρακοστῆς, κατά τόν ξθ΄ κανόνα αὐτῶν λέγοντα· «εἴ τις ἐπίσκοπος ἤ πρεσβύτερος ἤ διάκονος ἤ ὑποδιάκονος ἤ ἀναγνώστης ἤ ψάλτης τήν ἁγίαν τεσσαρακοστήν οὐ νηστεύει, ἤ τετράδα ἤ παρασκευήν, καθαιρείσθω· ἐκτός εἰ μή δι᾽ ἀσθένειαν σωματικήν ἐμποδίζοιτο· ἐάν δέ λαϊκός ᾖ, ἀφοριζέσθω»· ὁμοίως καί τάς λοιπάς ἐτησίους νηστείας, ὑπεί-

ρᾶς αὐτοῦ ῥίζης ἀναβλαστήσας τούς πλείονας ἐκ τοῦ ἐν Ῥώμῃ κολλεγίου, τοῦ τῆς προπαγάνδας λεγομένου φροντιστηρίου, τά λοιπά πάντα σχεδόν ἀφῆκεν ἀπαρασάλευτα, φαμέν δή τήν ἔξω ἐνδυμασίαν, τήν ἐκκλησιαστικήν περιβολήν, τάς ἱεροπραξίας, τάς τελετάς, τά μυστήρια καί τά ἔθιμα τῆς προτέρας αὐτῶν μητρός Ἀνατολικῆς Ἐκκλησίας, ὡς ἄλλα τινά κωμῳδήματα καί μορφώματα καί προσωπεῖα ἀπατηλά· ὥστε διά ταῦτα ἀνερυθριάστως νά λέγωσι, ὅτι ὅμοιοι ἡμῖν τοῖς εὐσεβέσιν εἰσί, καί ὅτι οὐδεμία δῆθεν διαφορά ὑπάρχει μεταξύ αὐτῶν τε καί ἡμῶν τῶν Ὀρθοδόξων. Ἐπί τούτῳ καί μόνῳ συγκεχώρηται τοῖς κατολίκοις οὐχί πιστεύειν, ἀλλά λέγειν μόνον τό ἱερόν Σύμβολον, εἴτε ἄνευ προσθήκης ὀρθῶς, εἴτε μετά τῆς προσθήκης δυσσεβῶς, ὅπως ἄν ἐγχωρῇ αὐτοῖς, εἰς προσηλυτισμόν ἄλλων καί τοῦ Παπισμοῦ πληθυσμόν. Δι' ἅ καί ἐπιδαψιλεύει ἀμοιβαδόν ἀπό τοῦ νομιζομένου πληρώματος τῆς παπικῆς ἐξουσίας αὐτοῦ πᾶσι τοῖς δεξαμένοις τόν Παπισμόν κατολίκοις οὐ μόνον τήν ἄθεσμον κατάλυσιν τῶν νηστειῶν καί τήν συγχώρησιν τῶν πεπραγμένων ἁμαρτημάτων, ἄνευ προηγουμένης ἱκανοποιήσεως, ἀλλά καί τήν ἀνήκουστον καί ἀντίθεον ἄφεσιν τῶν μελλόντων καί πραχθησομένων ἁμαρτημάτων, τήν ἀξιογέλαστον μέν, ὡς ἐκπίπτουσαν τῶν ἐκκλησιαστικῶν ἀρχαίων ὅρων καί κανόνων, εὐαπόδεκτον δέ παρά τῶν σαρκικῶν καί τῶν αἰσχροῖς πάθεσι δουλευόντων, καί εὐάρεστον διά τό πλατεῖαν καί εὐρύχωρον ἔχειν τήν ὁδόν, τήν ἀπάγουσαν εἰς ἀπώλειαν· ἐπειδή τίς ἄλλος πρόχειρος ἐργάτης πάσης ἀνομίας, εἰ μή ὁ ἑαυτόν νομίζων ἀκαταγνώστως ἁμαρτάνοντα καί μηδόλως πτοούμενος περί ἀπολογίας τῶν βεβιωμένων, ἅτε δῆθεν ἀπ' ἐντεῦθεν συγκεχωρημένων; Μέθοδος ἀπόκρυφος καί ὄργανον καταχθόνιον, δι' οὗ παρασύρουσι τούς εὐήθεις καί εὐαπατήτους πρός Παπισμόν!

Ἀλλ' οἱ ἐνστερνισθέντες μετά πολλοῦ ζήλου τά παπικά δόγματα κατά Συρίαν, Παλαιστίνην, Αἴγυπτον καί ἀλλαχοῦ, ἰδέτωσαν πρός ποίας Ἐκκλησίας ἀρχηγόν ὑπαχθέντες ἐξ ἀπάτης, τετυφλωμένως ὑπετάγησαν, ἀπολακτίσαντες τήν Ὀρθόδοξον Ἀνατολικήν Ἐκκλησίαν, τήν μή ἔχουσαν, κατά τόν Ἀπόστολον, σπῖλον ἤ ῥυτίδα παρεκτροπῶν ἀπό τῶν ἀρχαίων διατυπώσεων, ὡς μηδόλως παραδεχθεῖσαν ἤ προσθήκην ἤ ἀφαίρεσιν ἤ ὅλως καινοτομίαν τινά δογματικήν. Διότι ὁ παρ' αὐτῶν θεοποιούμενος Πάπας, ἐν πρώτοις βλασφημῶν καιρίως κατά τῆς ὑπερθέου Τριάδος, κακῶς πρεσβεύει, ὅτι τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται ἐκ τοῦ Πατρός «καί ἐκ τοῦ Υἱοῦ», παρεισάγων οὕτω δύο ἀρχάς εἰς τήν ἄναρχον Θεότητα, ὅπερ ἐστίν ἐναντίον ὅλως εἰς τό ἐξ αὐτοῦ τοῦ οὐρανίου στόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁριστικῶς καί ἐκπεφασμένως δογματισθέν ἐν τῷ εὐαγγελίῳ, «ὅ παρά τοῦ Πατρός ἐκπορεύεται» λέγοντος. Μ' ὅλον ὅτι μέχρι τοῦ θ΄ αἰῶνος τήν ἐκπόρευσιν τοῦ παναγίου Πνεύματος ἐκ μόνου τοῦ Πατρός εὐαγγελικῶς ὡμολόγουν ἐπί τῶν οἰκουμενικῶν ἁγίων Συνόδων ὅλοι οἱ ὀρθόδοξοι Πάπαι, καθώς καί Λέων ὁ Γ΄, ὅστις ἀπέρριψε καί κατέκρινε τήν τότε ἀναφανεῖσαν ταύτην βλάσφημον φωνήν τῆς «καί ἐκ τοῦ Υἱοῦ» προσθήκης, ἥν εἰσέπειτα ἡ Ἐκκλησία τῆς Ῥώμης μετά τῶν αὐτῆς Παπῶν μέχρι τῆς σήμερον τοσοῦτον ἀνυποστόλως ἀποδέχεται καί ἐνστερνιζομένη διακηρύττει.

β΄. Καινοτομεῖ εἰς τό θεῖον μυστήριον τοῦ βαπτίσματος, διότι ἡ θρασύτης τῆς καταργήσεως τῶν θεμελιωδῶν δογμάτων τῆς πίστεως διά τοῦ τά πάντα δυναμένου τῶν Παπῶν ἀλανθάστου, ὅπερ αὐτοί κακῶς ἰδιοποιοῦνται, ζητοῦντες ἱεροσύλως τό νά κάμπτωσι γόνυ ἐνώπιον τῆς αὐτῶν θελήσεως τά τε ἱερά καί θεῖα καί ὁ πᾶς κόσμος, κατέστησεν αὐτούς τολμηρούς νά καινοτομήσωσι καί ἐπί τούτου τοῦ ἱεροῦ μυστηρίου τοῦ βαπτίσματος, ῥαντίσματι χρώμενοι, ἀντί τῆς τριττῆς καταδύσεως καί ἀναδύσεως, τήν τριήμερον τοῦ Κυρίου ταφήν σημαινούσης, μήτε κἄν τό βάθος τῆς λέξεως «βάπτισις», ἥν καί αὐτοί ἑλληνιστί ἐκφωνοῦσιν, ἐννοοῦντες καί σεβόμενοι. «Ὅσοι εἰς Χριστόν ἐβαπτίσθημεν, εἰς τόν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συνετάφημεν οὖν αὐτῷ διά τοῦ βαπτίσματος εἰς τόν θάνατον». Παῦλος.

γ΄. Ἵνα μή δείκνυνται κατ' οὐδέν σύμφωνοι μέ τήν ἀρχαίαν ὁμολογίαν τῆς πίστεως καί ἡνωμένοι μέ τήν κοινωνίαν τῶν αὐτῆς μυστηρίων, οἱ Πάπαι ἐκ τῆς ἀλανθάστου αὐτῶν θελήσεως καί ἀποφάσεως ἀγωνιζόμενοι νά ἐξαλείψωσι τά ἱερά καί ἀρχαῖα καί ν' ἀντεισάξωσι κατά καιρούς νόμους νέους, εἰσήγαγον καί ἐπί τῆς θείας εὐχαριστίας ἄζυμα ἰουδαϊκῶς κατά τόν θ΄ αἰῶνα, ἀντί τῶν παραδεδομένων παρά τοῦ Σωτῆρος ἐνζύμων.

δ΄. Ἐσθίουσι πνικτά καί αἷμα, παραβάται τῶν ἀποστολικῶν κανόνων ἀσυνειδήτως γινόμενοι.

ε΄. Νηστεύουσι παρανόμως τό σάββατον.

ς΄. Κωλύουσιν ἐν γένει τόν ἀρχῆθεν συγχωρηθέντα παρά τῆς Ἐκκλησίας νόμιμον τῶν ἱερέων γάμον, τόν καί εἰς τήν Δυτικήν Ἐκκλησίαν ἔκπαλαι διατηρούμενον· διότι ὑπυρώδης ἐκεῖνος καί τήν ὁρμήν ἀκάθεκτος Πάπας Γρηγόριος ὁ ἕβδομος, ἀπιδών εἰς τό νά ἀποσπάσῃ τούς ἐγγάμους ἱερεῖς ἀπό τῆς τῶν βασιλέων ὑπερασπίσεως καί νά ὑπαγάγῃ αὐτούς τε καί τόν τῆς Δυτικῆς Ἐκκλησίας κλῆρον εἰς μόνην τήν αὐτοῦ ὑποταγήν καί θέλησιν, ἐθέσπισε τῷ 1076 ἔτει τόν περί ἀγαμίας τῶν ἱερέων νόμον, καί ἀποτόμως προσέταξε πρός τούς ἱερεῖς ἤ νά παραιτηθῶσι τῶν αὐτῶν συζύγων ἤ τέως τῆς ἱερωσύνης. Καί οὕτως ἀπό τοῦ ἐνδεκάτου αἰῶνος καί καθεξῆς κατηργήθη, ἐναντίον τῶν ἀρχαίων διατάξεων καί τῶν οἰκουμενικῶν συνοδικῶν ἀποφάσεων, διά παπικήν φιλαρχίαν, ὁ τῶν ἱερέων γάμος.

ζ΄ Δογματίζουσι φλυαροῦντες τό παρ' αὐτοῖς ἐπινοηθέν πουργατόριον, ὡς ἱκανοποίησιν δῆθεν τῶν ἡμαρτημένων.

η΄ Φρονοῦσι κακῶς περί τοῦ πρωτείου καί τῆς ἀναμαρτησίας τοῦ Πάπα· διότι τοῦτο τό ἀποδιδόμενον πρός θνητόν ἄνθρωπον ἄτοπον καί παράλογον γέρας, ὅτι ἐλέγχεται ὡς ψεῦδος παχυλόν καί ἐκφαυλίζεται διά τῶν περί τά δόγματα, τούς κανόνας καί τά ἔθιμα τῆς μιᾶς, ἁγίας, καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας ἀντιθέων παπικῶν διαφόρων ἀνοσιουργημάτων, ἅτινα καί τά πρίν ἡνωμένα τῷ τῆς εἰρήνης καί ὁμονοίας συνδέσμῳ διέρρηξάν τε καί διέσχισαν ἐξ ἀλαζονείας καί τύφου, δι' ἅ καί τό πανάγιον Πνεῦμα ἀπό ἀνατολῶν ἡλίου μέχρι δυσμῶν βλασφημεῖται, ἡ οἰκουμένη πᾶσα ἀναβοήσεται.

θ΄ Παρανομοῦσιν ἀντιθέως εἰς τήν ἀπόλυτον συγχώρησιν τῶν παντοίων ἁμαρτημάτων, τῶν τε προγεγενημένων, ἄνευ μέντοι προηγουμένης ἱκανοποιήσεως, τῶν τε πραχθησομένων, ὅσα δηλόντι ὁ σαρκικός καί φιλήδονος ἄνθρωπος ἐκ προθέσεως ἐπιθυμεῖ, ὅπερ πρῶτος τῶν πρό αὐτοῦ Παπῶν ἐτόλμησε καινοτόμως εἰσα-

Σερρῶν Ἀθανάσιος.– † Ὁ Ἰωαννίνων Ἰωαννίκιος.– † Ὁ Ἀγκύρας Νικηφόρος.– † Ὁ Φιλαδελφείας Δανιήλ.– † Ὁ Κεντεντιλίου Ἀρτέμιος.– † Ὁ Λήμνου Ἱερώνυμος.– † Ὁ Σκοπίων Γαβριήλ.



Ἁγ. Νικόλαος Ὀρφανός. Ὁ Εὐαγγελιστής Λουκᾶς, 14 αἰ.

κοντες εὐπειθῶς εἰς τάς πανσέπτους οἰκουμενικάς ἑπτά Συνόδους, καί μή προτιμῶντες τό φθαρτόν καί σκωληκόβρωτον σῶμα τῆς ἀθανάτου καί ἀΰλου ψυχῆς, ἀλλά τήν στενήν καί τεθλιμμένην ὁδόν βαδίζοντες, ὡς ἀληθεῖς μαθηταί τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καί γνήσια τέκνα τῆς μιᾶς, ἁγίας, καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας, τῆς μόνην κεφαλήν καί ἀρχηγόν ἐχούσης τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καί οὐχί ἄνθρωπον ὁμοιοπαθῆ ἡμῖν καί συναμαρτωλόν, ὡς οἱ λαοπλάνοι οὗτοι κακῶς φρονοῦσι καί παρανόμως κηρύττουσι περί τοῦ Πάπα, ἀντιλέγοντες τῷ ἀποστόλῳ Παύλῳ τρανῶς βοῶντι· «θεμέλιον ἕτερον οὐδείς δύναται θεῖναι παρά τόν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός· καί αὐτός ἐστίν ἡ κεφαλή τῆς Ἐκκλησίας». Ταύτης τῆς Ἐκκλησίας, τῆς ἐχούσης κεφαλήν τόν Χριστόν καί οὐχί τόν Πάπαν, ἡμεῖς ἐσμεν ἀκόλουθοι ἀκριβεῖς, καί τέκνα γνήσια καί πιστά, καί πᾶς ὅστις θέλει σωτηρίας τυχεῖν τῆς ἐν Χριστῷ, καί ὀρθόδοξος εἶναι καί λέγεσθαι τῇ ἀληθείᾳ, εἰς ταῦτα πρέπει νά ἐμμένῃ ἀσάλευτος καί νά διαφυλάττῃ ἀπαραχάρακτα.

Ταῦτα ἐξεθέμεθα, τέκνα ἡμῶν πνευματικά, συντόμως μέν καί κεφαλαιωδῶς, σαφῶς δέ πρός διάκρισιν ὑμετέραν καί ἀσφάλειαν εἰς τά περί τῆς Ὀρθοδοξίας, ἵνα γνωρίσητε ὅσον τό διάφορον ἡμῶν τῶν Ὀρθοδόξων ἀπό τῶν Κατολίκων, καί ἵνα μή ἀπατᾶσθε τοῦ λοιποῦ ἀπό τά σοφίσματα καί καινοφωνίας τῶν ψυχοφθόρων τούτων αἱρετικῶν, οἵτινες ἀκολουθοῦντες σοφιστικαῖς κακοτεχνίαις καί παραλελογισμέναις διδασκαλίαις, ἐκτρεπόμενοι εἰς βεβήλους καινοφωνίας καί ἀντιθέσεις ψευδωνύμων γνώσεων, ἠστόχησαν, κατά τόν Παῦλον, περί τήν πίστιν, καί ἀγωνίζονται ὅλαις δυνάμεσι καί ἑτέρους συνεφελκύσαι εἰς τό ἴδιον βάραθρον, καί προσηλύτους ποιῆσαι ὑμᾶς τῆς ματαιόφρονος καί σατανικῆς τούτων αἱρέσεως, πρόσφορον ὄργανον καί δέλεαρ εἰς ταῦτα πάντα μεταχειριζόμενοι τήν παράλογον κατάλυσιν τῶν ἁγίων καί ψυχωφελῶν νηστειῶν, τήν ἄνετον ἄδειαν τῶν σαρκικῶν παθῶν καί ἡδονῶν, τήν παράνομον καί ἀντίθεον συγχώρησιν τῶν ἁμαρτιῶν, τῶν τε πεπραγμένων καί τῶν ἐσομένων, καί τἆλλα ὅσα ὁ σαρκικός ἄνθρωπος ἐπιθυμεῖ καί ὀρέγεται καί εὐκόλως ἀποδέχεται.

Ἰδού ἡμεῖς, ἐκπληροῦντες τά ποιμαντορικά ἡμῶν χρέη, ὑψοῦμεν τήν φωνήν τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας, τῆς κοινῆς ἡμῶν μητρός καί τροφοῦ, πρός ὑμᾶς τά πνευματικά αὐτῆς τέκνα, διά τῆς παρούσης πατριαρχικῆς ἡμῶν καί συνοδικῆς ἐγκυκλίου ἐπιστολῆς, καί προτρεπόμεθα καί συμβουλεύομεν ὑμᾶς ἅπαντας, ἵνα προσέχητε ἑαυτοῖς καί μή συγκοινωνῆτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους τοῦ αἰῶνος τούτου· ἵνα στήκητε στερεοί ἐπί τήν ἀκράδαντον πέτραν τῆς ὀρθοδόξου πίστεως, ἐπί τήν ὁμολογίαν, ἣν ἐδώκατε ἐν τῷ καιρῷ τῆς ἀναγεννήσεως ὑμῶν τῆς διά τοῦ λουτροῦ τοῦ θείου βαπτίσματος ἐνώπιον τοῦ φοβεροῦ Θεοῦ καί τῶν ἀοράτως παρισταμένων ἐκεῖ ἀΰλων αὐτοῦ λειτουργῶν καί θείων ἀγγέλων καί ἐνώπιον ἀνθρώπων, καί τήν ὁποίαν μέλλει νά ἀπαιτήσῃ ἀφ' ὑμῶν ἐν τῇ δευτέρᾳ αὐτοῦ φρικτῇ παρουσίᾳ ὁ Κύριος· ἵνα διακρατῆτε ἀνόθευτα τά δόγματα καί τά μυστήρια τῆς μιᾶς, ἁγίας, καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας, εἰς τήν ὁποίαν καί ἐγεννήθητε καί ἐβαπτίσθητε καί ηὐξήθητε καί εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ ἐφθάσατε· ἵνα μή, ἀντί τῆς ἀληθινῆς κεφαλῆς τῆς Ἐκκλησίας, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σωτῆρος καί λυτρωτοῦ τῶν ἡμετέρων ψυχῶν, ὁμολογοῦντες κεφαλήν τῆς Ἐκκλησίας ἄνθρωπον γηγενῆ, τόν Πάπαν, ἀνεπαισθήτως ἀρνησίχριστοι ἀναφανῆτε· ἵνα μή, δοκοῦντες πίστιν εὑράμενοι ἄνετον, εἰς βάραθρα ἀσεβείας καταντήσητε· ὁ γάρ ἀπό τῆς Χριστοῦ πίστεως παρεκκλίνων, εἰς ναυάγιον ἀπιστίας καί αἱρέσεως καταβυθίζεται. Διό καί ὁ Παῦλος Τιμοθέῳ γράφων λέγει· «ταύτην τήν παραγγελίαν παρατίθεμαί σοι, ἵνα στρατεύῃ τήν καλήν στρατείαν, ἔχων πίστιν καί ἀγαθήν συνείδησιν, ἥν τινες ἀπωσάμενοι περί τήν πίστιν ἐναυάγησαν». Τό δέ τῆς ὑγιοῦς καί ὀρθῆς πίστεως ναυάγιον ἐρήμωσίς ἐστι καί γύμνωσις πάντων τῶν καλῶν καί πάσης ἀρετῆς, καί οὐδεμία ἐλπίς ἀπολείπεται, ἐάν μή ἐπιστροφή γένηται· τί γάρ ὄφελος τοῦ λοιποῦ ὅλου σώματος, τῆς κεφαλῆς διεφθαρμένης ὑπαρχούσης; Κατέχετε λοιπόν, τέκνα ἡμῶν ἀγαπητά, τήν ὀρθόδοξον πίστιν ἡμῶν ἐν ἀκεραιότητι, ἐν εὐθύτητι γνώμης, ἐν ἁπλάστῳ καρδίᾳ, ἐν καθαρῷ ψυχῆς συνειδότι, ἀκεραίαν, ἀπαραχάρακτον, ἀπαράβατον, ἀμετάθετον, ἀδιάβλητον, ἀνυπόκριτον, καί ὡς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἀπεκάλυψεν ἡμῖν, καί οἱ θεῖοι Ἀπόστολοι παρέδωκαν, καί αἱ θεόπνευστοι ἑπτά οἰκουμενικαί Σύνοδοι ἐπεκύρωσαν, δίχα προσθήκης, δίχα ἀφαιρέσεως, δίχα παρεκτροπῆς τινος ἤ ἀλλοιώσεως, ἵνα ἔξητε σωτηρίαν τήν ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν.

Ταῦτα λοιπόν ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία, ὁμοφρόνως τε καί ὁμοφώνως πρός πάντας τούς Ὀρθοδόξους ἀποτεινομένη, συμβουλεύει πατρικῶς καί προτρέπεται πνευματικῶς, ἐκπληροῦσα χρέη ποιμαντικά ἐνώπιον Θεοῦ καί ἀνθρώπων, πρός ἀπολογίαν εὐπρόσδεκτον τήν ἐπί τοῦ φοβεροῦ αὐτοῦ βήματος. Καί ἐάν ὑμεῖς φυλάξητε, ἥν παρελάβετε παρακαταθήκην τῆς πίστεως σῴαν καί ἀκέραιον, μέγας ἔσται ὁ μισθός ὑμῶν ἐν τοῖς οὐρανοῖς· εἰ δέ μή, ἀνένοχοι ἡμεῖς παρά τῷ Θεῷ. Πρός δέ τούς ὁπωσποτε ἐξολισθήσαντας καί ἐκτραχηλισθέντας εἰς τόν θεοστυγῆ Κατολικισμόν καί ἐξαπατηθέντας παρά τῶν λαοπλάνων καί δολερῶν ἀποτείνοντες τόν λόγον, συμβουλεύομεν ἵνα ἐπιστρέψωσιν εἰς τήν πατροπαράδοτον αὐτῶν εὐσέβειαν καί Ὀρθοδοξίαν, μεταμεληθέντες δι' ὅν ἑαυτοῖς ἐπεσπάσαντο κίνδυνον ψυχικόν, ἀπομακρυνθέντες ἀπό τοῦ Θεοῦ καί τῆς ἀμώμου καί ἀδόλου πίστεως τοῦ Ἰησοῦ Χριστοῦ, καί κλαύσαντες ἐπί τῇ ἀπαρνήσει τῆς Ὀρθοδοξίας, συνταγῶσι πάλιν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, ἀμετατρέπτῳ λογισμῷ καί ἀνεπιστρόφῳ καρδίᾳ, ἵνα εὕρωσιν ἔλεος ἐν ἡμέρᾳ κρίσεως παρά τοῦ φοβεροῦ κριτοῦ, τοῦ Κυρίου ἡμῶν, οὗ ἡ χάρις καί τό ἄπειρον ἔλεος εἴη μετά πάντων ὑμῶν.

Ἐν ἔτει σωτηρίῳ ᾳωλη΄, κατά μῆνα Σεπτέμβριον.

ΥΠΟΓΡΑΦΑΙ

† Ὁ Κωνσταντινουπόλεως Γρηγόριος, ἔχων καί τάς γνώμα
τῶν μακαριωτάτων Πατριαρχῶν, τοῦ τε Ἀλεξανδρείας κυρίου Ἰε
ροθέου καί τοῦ Ἀντιοχείας κυρίου Μεθοδίου, ἐν Χριστῷ τῷ Θε
ἀποφαίνεται.

† Ὁ Ἱεροσολύμων Ἀθανάσιος ἐν Χριστῷ τῷ Θεῷ συναπ
φαίνεται.

† Ὁ Ἡρακλείας Διονύσιος.– † Ὁ Χαλκηδόνος Ἱερόθεος
† Ὁ Δέρκων Γερμανός.– † Ὁ Θεσσαλονίκης Μελέτιος.– † Ὁ